
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ
Πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΤΩΝ
εὑρισκομένων.

ΤΟΜΟΣ ΕΒΔΟΜΟΣ,

Δι' ἐπιμελείας καὶ ἀναλωμάτων ΕΡΡΙΚΟΥ τοῦ ΣΑΒΙΛΙΟΥ
ἐκ παλαιῶν ἀντιγράφων ἐκδοθείς.



E T O N Æ, *in Collegio Regali,*
Excudebat I O A N N E S N O R T O N, in Græcis &c.
Regius Typographus.
1612

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Χρυσοστόμου τὰ ἐν ἐξορίᾳ γραφέντα.

ΠΡΟΣ ΤΟΥΣ ΣΚΑΝΔΑΛΙΣΘΕΝΤΑΣ ΕΠΙ ΤΑΙΣ δυσημερίαις ταῖς ″γενομέναις, καὶ τῇ τοῦ λαοῦ καὶ πολλῶν ἱερέων διώξει καὶ διαστροφῇ.

γ. γινομέναις

Ἰατρῶν μὲν παῖδες ὅταν πυρέττοντάς τινας, ἢ ἕτερόν τι νόσημα νοσοῦντας μέλλωσι θεραπεύειν, αὐτοὺς πρῶτον ζητοῦσι τοὺς κάμνοντας ἰδεῖν, ὅτι πόρρωθεν αὐτῶν ὄντες οὐκ ἂν δύναιντο τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν. τοιοῦτον γὰρ καὶ ἡ τέχνη καὶ αὐτὴ τῶν νοσημάτων ἡ φύσις ἐκείνων. ἡμεῖς δὲ οὐχ ἕνα πού τινα ἢ δεύτερον, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκουμένην σκανδαλιζομένους θεραπεύειν ἐσπουδακότες οὐ δεόμεθά τινος τοιούτου. οὐδὲ γὰρ εἰς οἶκόν τινος τῶν νοσούντων εἰσελθεῖν αὐτοὺς μὲν, οὐδ' ἔνθα κατάκεινται μαθεῖν, ἀλλ' οὐδὲ αὐτοὺς τοὺς ἀρρωστοῦντας ἰδεῖν ἐπιζητοῦμεν. οὐκ ὄργανα μεταχειριζόμεθα, οὐ χρημάτων ποιούμεθα δαπάνην, τὰ πρὸς ἰατρείαν ὠνεῖσθαι κελεύοντες τοὺς ἀσθενοῦντας· ἀλλὰ κἂν ἄγνωστοι ἡμῖν ὦσι, κἂν πρὸς αὐτὰς ἀπῳκισμένοι τὰς τῆς οἰκουμένης ἐσχατιὰς, κἂν ἐν μέσοις βαρβάροις, κἂν ἐν αὐτοῖς κείμενοι τοῖς τῆς ταλαιπωρίας πυθμέσι, κἂν πένητες τοσαύτην πενίαν, ὥστε καὶ τῆς ἀναγκαίας ἀπορεῖν τροφῆς, οὐδὲν ἡμῖν τούτων πρὸς τὴν ἰατρείαν ἐστὶ κώλυμα· ἀλλ' εἰ ἱδρυμένοι χωρὶς ὀργάνων καὶ φαρμάκων καὶ σιτίων καὶ ποτῶν καὶ χρημάτων καὶ μακρᾶς ἀποδημίας τὴν νόσον ἀπελαύνομεν ταύτην. πῶς καὶ ″τίνι τρόπῳ; δὲ τοῦ λόγου κατασκευάζοντες φάρμακον, ὃ ταῦτα πάντα γινόμενον τοῖς νοσοῦσι, καὶ ἄμεινον, ἢ τὰ εἰρημένα *ἅπαντα. καὶ γὰρ καὶ ἄρτου τρέφει μᾶλλον, καὶ φαρμάκου διορθοῦται πλέον, καὶ πυρὸς εὐτονώτερον καίει, ἀλγηδόνα μὲν οὐδεμίαν παρέχον, τῶν δὲ πονηρῶν λογισμῶν τὰ δυσώδη ῥεύματα ἀναστέλλον, καὶ σιδήρου τομώτερον τέμνει τὰ σεσηπότα ἀνωδύνως· καὶ τοῦτο ποιοῦν δαπάνην οὐδεμίαν ἐργάζεται χρημάτων, οὐδὲ ἐπιτείβει πενίαν. τοῦτο οὖν ″κατασκευάσαντες δὲ φάρμακον πᾶσι παραπεμπόμεθα, καὶ πάντες οἶδ' ὅτι ἀπολαύσονται θεραπείας, μόνον εἰ τοῖς λεγομένοις μετ' ἀκριβείας καὶ εὐγνωμοσύνης προσέχοιεν.

γ. πόρῳ

* ἐκεῖνα

γ. -ζοντες

κεφ. α. Ὅτι οὐκ ἂν ἐχρῆν εἰπεῖν τὴν αἰτίαν, ἀφ' ἧς τὸ σκάνδαλον ἐτέχθη.

Ἐπειδὴ δὲ καὶ ἐπὶ τῶν σωμάτων οὐ μικρὸν, ἀλλὰ καὶ μέγιστον πρὸς τὴν τῆς ἀρρωστίας ἀ-

παλλαγὴν συντελεῖν εἴωθε, τὸ μαθεῖν τὸν κάμνοντα τῆς ἀρρωστίας τὴν ὑπόθεσιν (οὐ γὰρ δὴ μόνον
τῆς κατεχούσης αὐτὸν ἀπαλλαγήσεται) νόσου τοῦτο μαθὼν, ἀλλ' οὐδὲ μετὰ ταῦτα αὐτῇ περιπεσεῖται,
τὴν αἰτίαν γνοὺς, ἀφ' ἧς αὐτῇ περιέπεσεν ἅπαξ, καὶ φυλαττόμενος) φέρε καὶ ἡμεῖς τοῦτο πρῶτον τοὺς
τὰ τοιαῦτα νοσοῦντας διδάξωμεν, πόθεν αὐτοῖς τὸ νόσημα τοῦτο γέγονε τοῦ σκανδάλου. εἰ γὰρ δὴ τοῦ-
το μάθοιεν, καὶ βουληθεῖεν φυλάξασθαι μετὰ ἀκριβείας αὐτὸ, οὐ ταύτης μόνον ἀπαλλαγήσονται 5
τῆς ἀρρωστίας, οὐδὲ νῦν μόνον, ἀλλὰ καὶ διηνεκῶς καὶ ταύτης καὶ ἑτέρων πλειόνων. τοιαύτη γὰρ
[καὶ] ἡ τοῦ φαρμάκου τούτου φύσις ἐστὶν, ὡς καὶ τὸ παρὸν θεραπεῦσαι, καὶ τῶν ἄλλων γενέσθαι
προφυλακτικὸν παθῶν. οὐ γὰρ ἓν καὶ δύο καὶ τρία, ἀλλὰ καὶ πολλὰ κατὰ τὸν παρόντα βίον ἐστὶ
τὰ σκανδαλίζοντα τοὺς ἀσθενεστέρους· καὶ τούτων ἁπάντων ὁ λόγος ἡμῶν ἐπαγγέλλεται τοὺς
ἀκούοντας ἐλευθεροῦν, μόνον εἰ βουληθεῖεν (ὅπερ καὶ ἔμπροσθεν εἶπον) καὶ μαθεῖν καὶ φυ- 10
λάξαι τὰ λεγόμενα. ποιοῦμαι δὲ τὴν θεραπείαν ταύτην οὐκ ἀπὸ τῶν "θεϊκῶν μόνον γρα- γρ. θείων
φῶν συντιθεὶς, ἀλλὰ καὶ ἀπὸ τῶν κατὰ τὸν παρόντα βίον γινομένων καὶ συμβαινόντων διηνεκῶς·
ὥστε καὶ τοῖς μὴ "προσέχουσι γραφαῖς κοινὴν γενέσθαι τὴν διόρθωσιν, εἰ βουληθεῖεν (οὐ γὰρ γρ. συντυχοῦσι
παύσομαι τοῦτο συνεχῶς ἐπιλέγων) ἀνάγκη γὰρ καὶ βίᾳ καὶ μὴ βουλομένῳ οὐκ ἔνι ταύ-
την ποτὲ θεραπευθῆναι τὴν ἰατρείαν, καὶ τοὺς θείους μὴ καταδεχομένῳ χρησμούς· καὶ 15
ἐντεῦθεν, μᾶλλον δὲ πλέον ἐντεῦθεν, ἢ ἐκ τῆς τῶν πραγμάτων ἀποδείξεως. τῶν γὰρ ὁ-
ρωμένων ἀξιοπιστοτέραν δεῖ τὴν τοῦ Θεοῦ ἀπόφασιν πιστεύειν εἶναι). διά τοι τοῦτο καὶ χαλε-
πωτέρα τούτοις μένει τιμωρία μὴ διορθουμένοις, ὅτι δεξάμενοι τὰς γραφὰς, οὐδὲν ἐκεῖθεν
εἰς τὴν τοιαύτην καρποῦνται ὠφέλειαν. ἵνα οὖν μὴ τοῦτο πάθωσι, φέρε ἁψώμεθα τῆς
διορθώσεως λοιπὸν, τὴν αἰτίαν εἰπόντες τοῦ νοσήματος πρῶτον. 20

κεφ. β.

Ὅτι ἐπισφαλὲς καὶ παραπληξίας ἀνάμεστον τὸ πολυπραγμονεῖν καὶ περιεργάζεσθαι τὴν ἀπόρρητον τοῦ Θεοῦ σοφίαν.

Τίς οὖν ἡ αἰτία τῆς ἀρρωστίας τῆς "τοσαύτης ἐστίν; ἡ πολυπράγμων καὶ περίεργος γνώ- γρ. ταύτης
μη, καὶ τὸ βούλεσθαι πάντων τῶν γινομένων εἰδέναι τὰς αἰτίας ἁπάσας, καὶ φιλονεικεῖν τὴν
ἀκατάληπτον καὶ ἄρρητον τοῦ Θεοῦ πρόνοιαν, τὴν ἀπέραντον καὶ ἀνεξιχνίαστον περιεργάζεσθαι
ἀναισχύντως καὶ πολυπραγμονεῖν. καίτοι τίς τοῦ Παύλου σοφώτερος γέγονεν; εἰπὲ γάρ
μοι, οὐ σκεῦος ἐκλογῆς ἦν οὗτος; οὐ πολλὴν καὶ ἄφατον ἐπεσπάσατο τοῦ πνεύματος τὴν χάριν; 25
οὐ τὸν Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα; οὐκ ἀπορρήτων ἐκοινώνησε τοῦ Θεοῦ ῥημάτων;
οὐχ ἃ μηδενὶ ἀνθρώπων λαλῆσαι ἐξὸν ἦν, μόνος ἤκουσεν ἐκεῖνος; οὐκ εἰς παράδεισον ἡρ-
πάγη; οὐκ εἰς τρίτον οὐρανὸν ἀνηνέχθη; οὐ γῆν καὶ θάλατταν περιέδραμεν; οὐ * βαρβάρους * γάρ
φιλοσοφεῖν ἔπεισεν; οὐ πολλὰς καὶ ποικίλας εἶχε τοῦ πνεύματος ἐνεργείας; οὐ δήμους ὁλοκλή-
ρους καὶ πόλεις ἐρρύθμιζεν; οὐ τὴν οἰκουμένην ἅπασαν εἰς χεῖρας αὐτῷ φέρων ἔθηκεν ὁ Θεός; 30
ἀλλ' ὅμως ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ σοφὸς οὕτω καὶ δυνατὸς καὶ πνευματικὸς ἀνὴρ, ὁ τοσούτων
ἀπολελαυκὼς, ὅταν εἰς τὴν ἐξέτασιν τῆς τοῦ Θεοῦ προνοίας ἐμπέσῃ, καὶ οὐδὲ ὁλοκλήρου
προνοίας, ἀλλὰ "μόνον εἰς μέρος αὐτῆς, ἄκουσον πῶς ἐκπλήττεται, πῶς ἰλιγγιᾷ, πῶς ἀπο- γρ. ὅταν
πηδᾷ ταχέως τῷ ἀκαταλήπτῳ παραχωρῶν. ὅτι οὖν ἐσκόπει το, οὐχ ὅπως ἀγγέλων προ-
νοεῖ καὶ ἀρχαγγέλων ὁ Θεὸς καὶ τῶν χερουβεὶμ καὶ τῶν σεραφεὶμ καὶ τῶν ἄλλων ἀοράτων δυ- 35
νάμεων, οὐδὲ πῶς ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, οὐδὲ πῶς τοῦ γένους τῶν
ἀνθρώπων παντὸς, οὐδὲ πῶς ἀλόγων καὶ φυτῶν καὶ σπερμάτων καὶ βοτανῶν καὶ ἀέρων καὶ ὡρῶν
καὶ πνευμάτων καὶ πηγῶν καὶ ποταμῶν, οὐδὲ τῆς κατὰ φύσιν γεννήσεώς τε καὶ αὐξήσεως καὶ δια-
τροφῆς, καὶ τῶν ἄλλων τῶν τοιούτων· ἀλλ' ἕν τι μέρος ἀπολαβὼν τῆς προνοίας αὐτοῦ, τὸ κατὰ
Ἰουδαίους καὶ Ἕλληνας (καὶ γὰρ περὶ τούτων τὸν ἅπαντα διεξῄει λόγον, διδάσκων πῶς μὲν τοὺς 40
ἐξ ἐθνῶν ἐκάλεσε, πῶς δὲ τοὺς ἐξ Ἰουδαίων ἀπώσατο, καὶ πῶς ἐλέῳ τὴν ἑκατέρων σωτηρί-
αν ἐπραγματεύσατο) ἄκουσον οἷά φησιν. ἰδὼν γὰρ πέλαγος ἀχανὲς ἀνοιχθὲν καὶ ἐν αὐτῷ
τῷ μέρει τούτῳ, καὶ πρὸς αὐτὸ τῆς προνοίας αὐτοῦ ταύτης τὸ βάθος διακύψαι βουληθεὶς,
ὥσπερ τινὶ σκοτοδίνῳ κατασχεθεὶς τῷ ἀρρήτῳ τῆς οἰκονομίας ταύτης, καὶ θαυμάσας καὶ ἐκπλα-
γεὶς

γεὶς τὸ ἄφατον, τὸ ἀπέραντον, τὸ ἄρρητον, τὸ ἀκατάληπτον τῆς τοῦ Θεοῦ σοφίας τε καὶ προνοίας, ἀπεπήδησε ταύτας ἀφιεὶς τὰς φωνὰς, καὶ μετὰ πολλῆς τῆς ἐκπλήξεως ἀνακεκραγὼς ταῦτα τὰ ῥήματα· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· εἶτα δεικνὺς, ὅτι τὸ βάθος μὲν εἶδε, πόσον δὲ μαθεῖν οὐκ ἠδυνήθη, ἐπήγαγεν· Ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι
5 αἱ ὁδοὶ αὐτοῦ. οὐκ εἶπεν ἀκατάληπτα μόνον, ἀλλὰ καὶ ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ. καὶ γὰρ καταλαβεῖν τις οὐ δύναται, ἀλλ' οὐδὲ ἀρχὴν ἐρεύνης ποιήσασθαι. οὕτως οὐ μόνον εἰς τὸ πέρας τις ἐλθεῖν οὐκ ἴσχυεν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ἐξιχνιάσαι τῆς οἰκονομίας αὐτοῦ. εἰπὼν δὲ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ, καὶ θαυμάσας καὶ ἐκπλαγεὶς, εἰς δοξολογίαν τὸν λόγον κατέπαυσεν, οὕτως ἐπάγων καὶ λέγων· Τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς
10 σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· αὐτὸς πηγὴ, αὐτὸς αἴτιος τῶν ἀγαθῶν, οὐδενὸς δεῖται κοινωνοῦ, οὐδενὸς δεῖται συμβούλου, οὐ παρ' ἑτέρου δανειζόμενος γνῶσιν ἢ σύνεσιν, οὕτω βουλεύεται καὶ δημιουργεῖ· ἀλλ' αὐτὸς ὢν ἀρχὴ καὶ αἰτία καὶ πηγὴ πάντων τῶν ἀγαθῶν, αὐτὸς δημιουργὸς, αὐτὸς αὐ-
15 τὰ οὐκ ὄντα παρήγαγε, καὶ αὐτὸς παραχθέντα διακρατεῖ, καὶ διατηρεῖ ὡς βούλεται. τὸ γὰρ ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα, τοῦτό ἐστι δηλοῦντος, ὅτι αἴτιος τῶν ὄντων αὐτὸς καὶ δημιουργὸς καὶ διακρατῶν καὶ συνέχων τὰ πάντα. εἰπὼν οὕτω περὶ τούτων ἐνταῦθα, εἶτα πάλιν τῆς δωρεᾶς μνησθεὶς τῆς εἰς ἡμᾶς γεγενημένης, ἀλλαχοῦ λέγει· Χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ· καὶ τὴν εἰρήνην δὲ τὴν δοθεῖσαν ἡμῖν, οὐχὶ λόγον νικᾶν
20 μόνον, οὐδὲ διήγησιν ὑπερβαίνειν, ἀλλὰ καὶ νοῦ παντὸς ἀνωτέραν εἶναι δηλοῖ τῷ λέγειν· Ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν. εἰ τοίνυν τὸ βάθος ἄπειρον τοῦ πλούτου καὶ τῆς σοφίας καὶ τῆς γνώσεως, εἰ τὰ κρίματα αὐτοῦ ἀνεξερεύνητα, καὶ αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, εἰ ἡ δωρεὰ αὐτοῦ ἀνεκδιήγητος, καὶ ἡ εἰρήνη ἡ ὑπερέχουσα πάντα νοῦν, οὐ τὸν ἐμὸν καὶ τὸν σὸν καὶ τὸν τοῦ δεῖνος, οὐδὲ τὸν τοῦ Παύλου καὶ Πέτρου μόνον, ἀλ-
25 λὰ καὶ αὐτὸν τὸν τῶν ἀρχαγγέλων καὶ τῶν ἄνω δυνάμεων, ποίαν ἕξεις αὐτὸς ἀπολογίαν, εἰπέ μοι; τίνα δὲ συγγνώμην τοσαύτῃ κεχρημένος μανίᾳ καὶ ἀπονοίᾳ, τὰ ἀνεξιχνίαστα πολυπραγμονῶν καταλαβεῖν, καὶ περὶ πάσης τῆς τοῦ Θεοῦ προνοίας λόγον ἀπαιτῶν; εἰ γὰρ ὁ τοσαύτης ἀπολελαυκὼς γνώσεως, καὶ παρρησίαν οὕτως ἄφατον ἔχων, καὶ τῶν τοσούτων χαρισμάτων ἠξιωμένος Παῦλος παραχωρεῖ, καὶ ἐξίσταται τῆς ὑπὸ τὴν ζήτησιν γνώσεως, καὶ οὐ
30 μόνον εὑρεῖν οὐ δύναται, ἀλλ' οὐδὲ ἐρευνῆσαι τὴν ἀρχὴν (ἐπεὶ μηδὲ δυνατὸν) πῶς οὐ πάντων ἀθλιώτερος καὶ τὴν χαλεπωτάτην μαινόμενος μανίαν, ὁ τὴν ἐναντίαν ὁδὸν ἐρχόμενος ἐκείνῳ; οὐδὲ γὰρ ταῦτα εἴρηκε μόνον, ἀλλὰ καὶ περὶ γνώσεώς ποτε Κορινθίοις ἐπιστέλλων, καὶ δεικνὺς, ὅπως, εἰ καὶ πολλὰ μεμαθήκαμεν, ἀλλ' ὀλίγον καὶ σφόδρα ἐλάχιστον μέρος γνώσεως ἔχομεν, οὕτω πως φησίν, Εἴ τις δοκεῖ ἐγνωκέναι τι, οὔπω οἶδε, καθὼς δεῖ γνῶναι. εἶτα δη-
35 λῶν ὅτι πολὺ λείπει τῆς γνώσεως ἡμῖν, καὶ τὸ πλέον ἐν τῷ μέλλοντι ταμιεύεται χρόνῳ, ὀλίγον δέ τι ἡμῖν δέδοται, ἐπήγαγεν· Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ δεῖξαι βουλόμενος πόσον τὸ μέσον ταύτης κἀκείνης τῆς γνώσεως, καὶ ὅτι πολὺ τὸ λειπόμενον, διά τε εἰκόνων τινῶν σαφὲς τοῦτο ποιεῖ, λέγων· Ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς
40 νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου. βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. εἶδες πόσον τὸ μέσον; ὅσον νηπίου παιδὸς καὶ ἀνδρὸς τελείου, ὅσον ἐσόπτρου καὶ αἰνίγματος καὶ τῆς ἄλλης τῆς ἀσαφοῦς τῶν πραγμάτων ὄψεως πρὸς σαφῆ ὄψιν· τοῦτο γάρ ἐστι, πρόσωπον πρὸς πρόσωπον. τί οὖν μαίνῃ καὶ λυττᾷς τῶν κεκωλυμένων κατατολμῶν εἰκῇ καὶ μάτην; τί δαὶ οὐ πείθῃ Παύλῳ

γρ. ἀφεὶς

Ρωμ. ια λγ.

Ρωμ. ια λδ.

γρ. περιζωννύεται καὶ διανέμεται καὶ διοικεῖ

β. Κορ. θ. ιε.

Φιλιπ. δ. ζ.

γρ. βιαζόμενος

γρ. ἐμπεπλησμένος

α. Κορ. η β.

α. Κορ. ιγ. θ.

α. Κορ. ιγ. ια.

Ῥωμ. θ. κ.

λέγοντι, Μενοῦνγε σὺ τίς εἶ, ὦ ἄνθρωπε, ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; ὁρᾷς πόσην ἀπαιτεῖ τὴν ὑπακοήν; πόσην τὴν σιγήν; οὐ γὰρ δὴ τὸ αὐτεξούσιον ἡμῶν ἀναιρῶν, τοῦτο λέγει· μὴ γένοιτο· ἀλλὰ δηλῶν, ὅτι τὸν ταῦτα ζητοῦντα οὕτως ἄφωνον εἶναι δεῖ, ὡς ἡ τοῦ πηλοῦ φύσις, ἑπομένην ᾗπερ ἂν ὁ τεχνίτης ἄγῃ, μὴ ἀντιτείνοντα, μηδὲ περιεργαζόμενον. διὸ καὶ τῆς φύσεως ἡμᾶς ἀναμιμνήσκει τῆς ἡμετέρας, καὶ πηλοῦ μέμνηται καὶ κεραμέως. καίτοιγε κεραμέως καὶ πηλοῦ ἡ αὐτὴ οὐσία. εἰ δὲ ἔνθα ἡ αὐτὴ οὐσία, τοσαύτη ἡ ὑπακοή, ἔνθα ἄπειρον τὸ μέσον καὶ οὐσίας καὶ γνώσεως καὶ τῶν ἄλλων ἁπάντων, ποίας τεύξεται συγγνώμης ὁ οὕτως ἰταμὸς καὶ ἀναιδής, ὥστε πολυπραγμονεῖν τὰ τοῦ πεποιηκότος αὐτὸν Θεοῦ; ἐννόησον, ὦ ἄνθρωπε, τίς εἶ. τοῦτο γὰρ δηλοῖ δι' ὧν λέγει, σὺ τίς εἶ; οὐχὶ πηλός; οὐχὶ τέφρα καὶ σποδός; οὐχὶ κόνις; οὐ καπνός; οὐ χόρτος; οὐκ ἄνθος χόρτου; ταύτας γὰρ πάσας τὰς εἰκόνας εἰς μέσον οἱ προφῆται συνεχῶς φέρουσι, τὴν εὐτέλειαν ἡμῶν τῆς φύσεως παραστῆσαι φιλονεικοῦντες. ὁ δὲ πολυπραγμονούμενος ὑπὸ σοῦ ἀνώλεθρος, ἀναλλοίωτος, ἀεὶ ὤν, καὶ ὡσαύτως ὤν, ἄναρχος, ἀτελεύτητος, ἀπερινόητος, ὑπερβαίνων νοῦν, νικῶν λογισμόν, ἀνέκφραστος, ἄρρητος, ἀκατάληπτος οὐκ ἐμοὶ καὶ σοὶ μόνον, οὐ προφήταις καὶ ἀποστόλοις, ἀλλὰ καὶ ταῖς ἄνω δυνάμεσι, ταῖς καθαραῖς, ταῖς ἀοράτοις, ταῖς ἀσωμάτοις, ταῖς διηνεκῶς ἐν οὐρανῷ διατελούσαις.

Ἡσ. ς.

Ὅτι οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ ταῖς ἄνω δυνάμεσιν ἀκατάληπτον τὸ θεῖον.

Ὅταν γοῦν ἴδῃς τὰ Σεραφεὶμ τὰ περιϊπτάμενα τὸν θρόνον τὸν ὑψηλὸν ἐκεῖνον καὶ ἐπηρμένον, τῇ προβολῇ τῶν πτερύγων ἀποτειχίζοντα τὰς ἑαυτῶν ὄψεις, καὶ * τοὺς πόδας καλύπτοντα καὶ νῶτα καὶ πρόσωπα, καὶ κραυγὴν ἀφιέντα ἐκπλήξεως γέμουσαν, μὴ πτερὰ νόμιζε καὶ πόδας καὶ πτέρυγας αὐταῖς εἶναι (ἀσώματοι γὰρ αἱ δυνάμεις ἐκεῖναι) ἀλλὰ διὰ τῶν εἰκόνων τούτων τὸ ἀπρόσιτον, τὸ ἀκατάληπτον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου λογίζου. καὶ γὰρ καὶ ἐκείναις ἀκατάληπτος καὶ ἀπρόσιτός ἐστι, καίτοι συγκαταβαίνων. οὐδὲ γὰρ ὅπερ ἦν ἐφαίνετο τότε. Θεὸς γὰρ οὐ κάθηται, οὐδὲ θρόνῳ περιέχεται, οὐδὲ τόπῳ περιείληπται. εἰ δὲ καθήμενον καὶ ἐπὶ θρόνου ἱδρυμένον καὶ κυκλούμενον ὑπ' αὐτῶν (ἅπερ ἐστὶν ἅπαντα συγκαταβαίνοντος, οὐ καθημένου) οὐκ ἴσχυσαν ἰδεῖν, ἀλλὰ μὴ φέρουσαι τὴν ἐκεῖθεν ἐκπηδῶσαν ἀστραπήν, τῇ προβολῇ τῶν πτερύγων τὰς ὄψεις ἀπετείχιζον, καὶ μόνον ἐδοξολόγουν, μόνον ὕμνουν μετὰ πολλῆς τῆς φρίκης τὸ μυστικὸν ἐκεῖνο τοῦ ἁγιασμοῦ ἀναφέρουσαι μέλος· οὐκ ἀπελθὼν κατορύξεις σαυτόν, καὶ καταδύσῃ, τῆς ἀρρήτου καὶ ἀφράστου καὶ ταῖς ἄνω δυνάμεσιν ἀκαταλήπτου Θεοῦ δυνάμεως τὴν πρόνοιαν μετὰ τοσαύτης περιεργάζεσθαι βουλόμενος τῆς ἰταμότητος; τὰ γὰρ ἐκείνου υἱῷ καὶ πνεύματι ἁγίῳ δῆλα μόνον ἅπαντα μετ' ἀκριβείας, ἑτέρῳ δὲ οὐδενί. καὶ τοῦτο τὸ μὲν Ἰωάννης ὁ Εὐαγγελιστής, τὸ δὲ Παῦλος ὁ ἀπόστολος παρεδήλωσεν. ὁ μὲν οὖν τῆς βροντῆς υἱὸς καὶ σφόδρα ἐπέραστος ὢν τῷ Χριστῷ, καὶ τοῦτο παράσημον ἔχων, ὅπερ ἦν μεγίστης ἀρετῆς ἀπόδειξις· ὁ τοσαύτης ἀπολαύων παρρησίας, ὡς καὶ ἐπὶ τὸ στῆθος αὐτοῦ κατακλίνεσθαι, οὕτω πως λέγει· Θεὸν οὐδεὶς ἑώρακε πώποτε (ὅρασιν τὴν γνῶσιν λέγων) ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. τοῦτο καὶ ὁ Χριστὸς πρὸ τούτων δι' ἑαυτοῦ πάλαι τῷ δήμῳ τῶν Ἑβραίων διαλεγόμενός φησιν· Οὐδεὶς ἑώρακε τὸν πατέρα, εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. τὸ δὲ σκεῦος τῆς ἐκλογῆς εἰς τὸν τῆς οἰκονομίας αὐτοῦ λόγον ἐμπεσών, καὶ τὰ ἀπόρρητα, ἅπερ ἔμαθεν ἅπαντα βουλόμενος εἰπεῖν πῶς αὐτὰ ἔγνω, οὕτω καὶ αὐτὸς λέγει· Λαλοῦμεν δὲ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. ἀλλὰ καθὼς γέγραπται, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. πῶς οὖν αὐτὰ ἔγνωμεν ἡμεῖς, ὦ Παῦλε; τίς ὁ μηνύσας καὶ δῆλα καταστήσας αὐτά, τὰ ἀθέατα, τὰ ἀνήκουστα,

τὰ

Marginalia: Ἰωαν. α. ιη. — Ἰωαν. ς. μς. — α. Κορ. β. ζ.

* μήτι — γρ. ἀόρατοι — γρ. καταδύσεις — γρ. ὁ σφόδρα φιλούμενος ὑπὸ τοῦ Χριστοῦ, — γρ. δηλοποιῶν καὶ ἀποφαίνων λέγων· — γρ. ἐκεῖνα.

τὰ εἰς καρδίαν ἀνθρώπου μὴ ἀναβάντα; εἰπέ, καὶ δεῖξον τίς ὁ τοσαύτην ἡμῖν γνῶσιν χαρισάμενος. ἡμῖν δέ, φησιν, ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. Εἶτα, ἵνα μή τις νομίσῃ, ὅτι ταῦτα μόνον ἐπίσταται, ἅπερ ἀπεκάλυψεν ἡμῖν ὁ Θεὸς δι' αὐτοῦ, οὐχὶ δὲ καὶ πᾶσαν ἔχει τὴν γνῶσιν, ἐπήγαγε· Τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. τίς γὰρ 5 οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὥσπερ ἄνθρωπος αὐτὸς οἶδε τὰ ἑαυτοῦ, καὶ ἃ βουλεύεται καὶ ἐν διανοίᾳ ἔχει μετ' ἀκριβείας ἐπίσταται πάντα· οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον μετ' ἀκριβείας οἶδε τοῦ Θεοῦ τὴν ἀπόρρητον γνῶσιν ἅπασαν. εἰπὼν τοίνυν, οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ, οὐκ 10 ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὴν ἄνω κτίσιν ἅπασαν τῆς ἀκριβοῦς ταύτης ἐξέβαλε γνώσεως.

κ. χαρισάμενος

α. Κορ. β. ι.

διὸ καὶ σοφός τις παραινεῖ λέγων, Χαλεπώτερά σου μὴ ζήτει, καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ. πλείονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθη σοι. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲ ταῦτα, ἅπερ ἔχεις, οἴκοθεν μαθὼν ἔχεις ἅπαντα, οὐδὲ ἤρκεσέ σοι ἡ φύσις πρὸς τὴν τῶν ἁπάντων εἴδησιν, ἀλλ' ἄνωθεν τῶν πλειόνων ἔλαβες τὴν γνῶσιν. 15 πολλῷ γὰρ μείζονα ἦν, ἢ ὥστε τῇ συνέσει καταληφθῆναι τῇ σῇ. τί τοίνυν οἴκοθεν φιλονεικεῖς τὰ βαθύτερα ἐρευνᾶν, ὅτε καὶ αὐτῶν, ὧν οἶδας, πολλὰ ὑπερβαίνει σου τὴν φρόνησιν, καὶ ταῦτα ἑτέρωθεν ἔχεις; τοῦτο καὶ ὁ Παῦλος παραδηλῶν ἔλεγε· Τί γὰρ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; παῦσαι τοίνυν ὤνθρωπε ποτὲ τῆς τοσαύτης φιλονεικίας, καὶ ἀνέχου τῆς σοφωτάτης συμβουλῆς ἐκείνης τῆς λεγούσης, Μὴ εἴπῃς, τί τοῦτο; εἰς 20 τί τοῦτο; πάντα γὰρ εἰς χρείαν αὐτῶν ἔκτισται.

κ. ἕτερος παραινεῖ λέγων

Σειρ. γ. κ.

α. Κορ. δ. ζ.

Σειρ. λθ. κς.

κεφ. δ.

Διὰ γάρ τοι τοῦτο, ἐπειδὴ πᾶσα ἡ κτίσις ἐγένετο καὶ τὸν οἰκεῖον κόσμον ἀπέλαβε, καὶ τὸ παναρμόνιον τοῦτο καὶ παράδοξον καὶ πολλῆς γέμον ἐκπλήξεως ἔργον εἰς μέσον προὔκειτο, ἔμελλον δὲ πολλοὶ τῶν ἀνοήτων καὶ μαινομένων ἐπιλαμβάνεσθαι τῶν γινομένων· ὅρα πῶς προαναστέλλων αὐτῶν τὴν ἄκαιρον κρίσιν καὶ μανιώδη ψῆφον, ἐν ῥήματι πᾶσαν ἀναίσχυντον ἐνέ- 25 φραξε γλῶτταν ὁ νομοθέτης εἰπών· Εἶδεν ὁ Θεὸς πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. ἐπειδὴ γὰρ ἐν τοῖς ὁρωμένοις ἦν οὐχὶ φῶς μόνον, ἀλλὰ καὶ σκότος· οὐ καρποὶ μόνον, ἀλλὰ καὶ ἄκανθαι· οὐ δένδρα ἥμερα, ἀλλὰ καὶ ἄγρια· οὐχ ὕπτια πεδία, ἀλλὰ καὶ ὄρη καὶ νάπαι καὶ φάραγγες· οὐκ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἑρπετὰ ἰοβόλα· οὐκ ἰχθύες μόνον, ἀλλὰ καὶ κήτη· οὐχ ἥμερα πελάγη, ἀλλὰ καὶ ἄπλωτος θάλασσα· οὐχ ἥλιος μόνον καὶ σελήνη καὶ ἄστρα, 30 ἀλλὰ καὶ κεραυνοὶ καὶ πρηστῆρες· οὐκ ἄνεμοι μόνον προσηνεῖς, ἀλλὰ καὶ καταιγίδες· οὐ περιστεραὶ μόνον καὶ ὄρνιθες ᾠδικοί, ἀλλὰ καὶ ἰκτῖνοι καὶ κόρακες καὶ γῦπες καὶ ἕτερα ἀνθρωποφάγα ζῶα· οὐ πρόβατα καὶ βόες, ἀλλὰ καὶ λύκοι καὶ παρδάλεις καὶ λέοντες· οὐκ ἔλαφοι καὶ λαγωοὶ καὶ δορκάδες, ἀλλὰ καὶ σκορπίοι καὶ ἔχεις καὶ δράκοντες· καὶ ἐν βοτάναις δὲ οὐχὶ σωτήρια μόνον φυτά, ἀλλὰ καὶ δηλητήρια, καὶ πολλοὶ ἐντεῦθεν σκανδαλίζεσθαι ἔμελλον καὶ αἱρέσεις 35 τίκτειν· μετὰ τὸ γενέσθαι τὰ γινόμενα, καὶ τὸν οἰκεῖον ἕκαστον ἀπολαβεῖν κόσμον, καθ' ἕκαστον δείκνυσι τὸν δημιουργὸν ἐπαινοῦντα τὸ γεγενημένον, μᾶλλον δὲ καθ' ἕνα αὐτῶν, καὶ κοινῇ πάντα· ἵνα τὴν ἐκείνου κρίσιν μαθών, κἂν σφόδρα τις ἰταμὸς καὶ ἀναίσχυντος ᾖ, μηδὲν περιεργάζηται λοιπὸν τῶν ὁρωμένων. διὰ τοῦτο εἰπών, ὅτι ἐγένετο φῶς, ἐπήγαγε, Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν, καὶ καθ' ἕκαστον οὕτως. εἶτα ἵνα μὴ πάντα κατ' ὄνομα εἰπών, μηκύνῃ τὸν 40 λόγον, ὁμοῦ περὶ πάντων ἀποφαίνεται ἁπαξαπλῶς, καὶ πάλιν λέγει· Εἶδεν ὁ Θεὸς πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. * οὐκ ἐπειδὴ μετὰ τὸ γενέσθαι ἔγνω ὁ Θεὸς ὅτι καλὸν τὸ γενόμενον· ἄπαγε. εἰ γὰρ τεχνίτης ἄνθρωπος καὶ πρὸ τοῦ γενέσθαι τὰ τῆς τέχνης μαθών, οἶδεν ὅτι καλὰ τὰ πρὸ αὐτοῦ μέλλοντα γίνεσθαι, πολλῷ μᾶλλον ἡ ἄρρητος ἐκείνη σοφία βουλήματι μόνῳ τὰ σύμπαντα παραγαγοῦσα, καὶ πρὸ τῆς γενέσεως ᾔδει ὅτι καλά. οὐδὲ γὰρ ἂν αὐτὰ

κ. θαυμαστῆς

Ὅτι καὶ ὁ προφήτης Μωϋσῆς τὴν περιεργίαν τῶν ἀσφαλῆ ἐν προοιμίοις τῆς βίβλου δι' ἑνὸς ἀνεῖλε ῥήματος.

Γεν. α. λα.

κ. δυσπλόημα

κ. ἱέρακες

κ. ἐκ τούτων

Γεν. α. γ. δ.

κ. ἐν πᾶσι τοῖς κτίσμασιν τὸ αὐτὸ ποιεῖν

* τοῦτο δὲ λέξει

παρ' ἣν ἤγαγον, εἰ ἠγνόει. τίνος οὖν ἕνεκεν οὕτως εἴρηται; διὰ τὴν αἰτίαν, ἣν εἶπον. ἀκού-
σας τοίνυν τοῦ προφήτου πρὸς σὲ λέγοντος, ὅτι ὁ Θεὸς αὐτὰ εἶδε καὶ ἐπῄνεσε, μὴ ζήτει λοιπὸν
ἑτέραν βάσανον καὶ ἀπόδειξιν τοῦ κάλλους αὐτῶν· μηδὲ λέγε, πῶς καλά; τῆς γὰρ διὰ τῶν
ἔργων ἀποδείξεως σαφεστέρα ἡ διὰ τῆς ψήφου καὶ τῆς κρίσεως τοῦ ποιήσαντος ἀπόφασις.
διά τοι τοῦτο καὶ παχυτέρᾳ κέχρηται τῇ λέξει. ὥσπερ γὰρ εἴ τις φάρμακα βουλόμενος ὠ- 5
νεῖσθαι ἄπειρος ὢν κελεύοι περὶ πεῖραν ἐπιδείκνυσθαι τῷ ἰατρῷ ταῦτα, κἂν μάθῃ σαφῶς, ὅτι
ἰδὼν ἐκεῖνος ἐπῄνεσεν, οὐδεμίαν ἑτέραν ἀπόδειξιν τῆς τούτων ἀρετῆς ἐπιζητεῖ, ἀλλ' ἀκούσας
ὅτι εἶδεν αὐτὰ ὁ ἰατρὸς καὶ ἐπῄνεσεν, ἀρκεῖται τῇ ψήφῳ τοῦ τεχνίτου· οὕτω δὴ καὶ ὁ Μωϋσῆς
πᾶσαν περιεργίαν ἀναίσχυντον περιελεῖν βουλόμενος τῶν μετὰ ταῦτα μελλόντων ἀπολαύειν
τῆς κτίσεως, ἀπήγγειλε καὶ εἶπεν, ὅτι εἶδεν αὐτὰ ὁ Θεὸς καὶ ἐπῄνεσε, καὶ ἐψηφίσατο εἶναι κα- 10
λά, καὶ οὐχ ἁπλῶς καλά, ἀλλὰ καὶ καλὰ λίαν. μὴ τοίνυν περιεργάζου, μηδὲ πολυπραγ-
μόνει λογισμοῖς τὰ γεγενημένα, τοιαύτην ἔχων τοῦ κάλλους αὐτῶν μαρτυρίαν. εἰ γὰρ μὴ γ. ἀπόδειξιν.
ἀρκεσθεὶς τῷ ῥήματι τούτῳ, ἀλλὰ βουληθεὶς εἰς ζήτησιν τῶν γεγενημένων ἐλθεῖν, εἰς ἄ-
πειρον λογισμῶν καὶ κύματα πολλὰ ἐργαζόμενα χειμῶνα σαυτὸν ἐμβαλὼν μόνον, εἴσῃ μὲν πλέ-
ον οὐδέν, ναυάγιον δὲ ἐργάσῃ σεαυτῷ χαλεπόν. οὐδὲ γὰρ δυνήσῃ τοὺς λόγους ἀπολῦσαι ἑκά- 15
στου τῶν γεγενημένων εὑρεῖν, ἀλλὰ καὶ τῶν δοκούντων εἶναι σοι νῦν καλῶν πολλὰ διαβαλεῖς, ἐὰν
ἀγνώμονι κεχρημένος ᾖς τῇ γνώμῃ. οὕτω γὰρ ἀσθενὴς τῶν ἀνθρώπων ὁ λογισμός, ὡς εἰς
ἐναντία περιάγεσθαι πολλάκις, καὶ ἐκ διαμέτρου κατ' ἀλλήλων στῆναι πολλοὺς ἐν τῇ περὶ
τῆς κτίσεως ψήφῳ. Ἑλλήνων μὲν γὰρ παῖδες ὑπὲρ τὸ δέον αὐτὴν θαυμάσαντες, τὸ μέτρον
ὑπερεκβάντες καὶ Θεὸν εἶναι αὐτὴν ἐνόμισαν. Μανιχαῖοι δὲ καὶ ἕτεροι πάλιν αἱρετικοί, οἱ μὲν 20
οὐκ ἀγαθοῦ Θεοῦ ἔργον ἔφησαν αὐτὴν εἶναι· οἱ δὲ ἐν αὐτῆς ἀποτιμόντες μέρος, αὐτομάτῳ τινὶ
προσερρίφθαι ὕλῃ, καὶ ἀναξίαν ἔκριναν τῆς τοῦ Θεοῦ δημιουργίας εἶναι. οὕτως, ὥσπερ ἔφθην
εἰπών, εἴ τις λογισμοῖς καὶ ἀγνώμονι χρήσαιτο γνώμῃ, καὶ τῶν δοκούντων εἶναι καλῶν πολλὰ
διαβαλεῖ. τί γὰρ σοι ὡραιότερον ἡλίου εἶναι δοκεῖ; ἀλλ' ὅμως τοῦτο τὸ φαιδρὸν ἄστρον καὶ γλυ-
κύ, καὶ ὀφθαλμοὺς λυμαίνεται ἀσθενοῦντας, καὶ γῆν κατακαίει θερμοτέρας ἀφεὶς τὰς ἀκ- 25
τῖνας, καὶ πυρετοὺς τίκτει, καὶ καρπὸν πολλάκις κατεξήρανε καὶ ἐποίησεν ἄχρηστον, καὶ δέν-
δρα ἄκαρπα εἰργάσατο, καὶ μέρος τῆς οἰκουμένης ἀοίκητον κατέστησεν ἡμῖν. τί οὖν, εἰπέ
μοι; διαβαλοῦμεν τὸν ἥλιον διὰ τοῦτο; ἄπαγε· ἀλλὰ τοὺς λογισμοὺς ἡσυχάζειν ἀφέντες καὶ
Γεν. α. λα. τὸν τούτων θόρυβον, ἐπιληψώμεθα τῆς πέτρας ἐκείνης, καὶ τῆς ῥήσεως τῆς λεγούσης, Καὶ εἶ- γ. λαβώμεθα
δεν ὁ Θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· ἐπεὶ καὶ αὐτά, ἃ ἀπηριθμησάμην 30 γ. ἐπειδὴ
νῦν, καλὰ λίαν καὶ χρηστά. ἀλλ', ὅπερ ἔμπροσθεν εἶπον, ἐπὶ τὴν ῥῆσιν ἐκείνην ἐπανιέ- γ. ἀπιέναι
ναι χρὴ διαπαντὸς καὶ λέγειν, ἰδοὺ πάντα, ὅσα ἐποίησεν ὁ Θεός, καλὰ λίαν. ἀλλὰ τὸ τρυ-
φᾶν καὶ γελᾶν καὶ ἐν ἡδονῇ εἶναι, καλόν; οὐκοῦν ἄκουε Σολομῶντος, τοῦ πολὺ εἶδος τρυφῆς γ. ἄκουσον
Εκκλησ. ζ. γ. ἐπελθόντος, λέγοντος, Ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ πορευθῆναι εἰς οἶκον πότου.
ἀλλὰ νὺξ φαῦλον; (δεῖ γὰρ ἐκ τῶν ἐναντίων μεταχειρίσασθαι τὸν λόγον) ἀλλὰ καὶ αὕτη 35 γ. πειράσασθαι
πόνων ἀνάπαυσις, φροντίδων ἀπαλλαγή, νοσημάτων παραμυθία, φόβων καὶ κινδύνων οὐ μι-
κρὰ ἀναψυχή· νεαρὸν ποιεῖ τὸ σῶμα, ἀκμάζουσαν τὴν διάνοιαν, ἀναπαύει τὴν σάρκα πε-
πονηκυῖαν. ἀλλὰ νόσος κακόν; πόθεν οὖν ὁ Λάζαρος ἐστεφανώθη; ἀλλὰ πενία; καὶ πόθεν
ὁ Ἰὼβ εὐδοκίμησεν; ἀλλὰ θλίψεις ἐπάλληλοι καὶ συνεχεῖς; καὶ πόθεν οἱ ἀπόστολοι ἀνεκη-
ρύχθησαν; ποία δὲ ὁδὸς ἡ εἰς τὴν ζωὴν ἄγουσα; οὐχ ἡ στενὴ καὶ τεθλιμμένη; μὴ τοίνυν λέγε, 40
διὰ τί τοῦτο; εἰς τί τοῦτο; ἀλλὰ καὶ ἐπὶ τῶν οἰκονομιῶν καὶ ἐπὶ τῶν κτισμάτων τοῦ Θεοῦ,
ἣν παρέχει σιγὴν ὁ πηλὸς τῷ κεραμεῖ, ταύτην καὶ αὐτὸς τῷ ποιήσαντί σε Θεῷ παρέχε,
ἄνθρωπε.

Ῥωμ. θ. Ὅτι δεῖ πιστεύειν ὅτι προνοεῖ πάντων ὁ Θεός, καὶ τοῖς ἀμεταβάλλουσι μηνύει ἡ διὰ τῆς κτίσεως ἀπόδειξις.

Τί οὖν φησιν; οὐ βούλει με εἰδέναι σαφῶς καὶ πιστεύειν ὅτι προνοεῖ πάντων ὁ Θεός; καὶ

μάλα

μάλα καὶ βούλομαι καὶ εὔχομαι, καὶ ἐπιθυμῶ σφόδρα· οὐ μὴν περιεργάζεσθαι
τὴν πρόνοιαν, οὐδὲ πολυπραγμονεῖν. Εἰ μὲν γὰρ οἶσθα καὶ πέπεικας σαυτὸν, μὴ ζή-
τει· εἰ δὲ ἀμφιβάλλεις, ἐρώτησον τὴν γῆν, τὸν οὐρανὸν, τὸν ἥλιον, τὴν σελήνην· ἐ-
ρώτησον τὰ ποικίλα τῶν ἀλόγων γένη, τὰ σπέρματα, τὰ φυτὰ, τοὺς ἀφώνους ἰχθύας, τὰς πέ-
5 τρας, τὰ ὄρη, τὰς νάπας, τοὺς βουνοὺς, τὴν νύκτα, τὴν ἡμέραν. τοῦ γὰρ ἡλίου καὶ τῆς ἀκτῖνος
αὐτῆς φανερωτέρα ἡ τοῦ Θεοῦ πρόνοια, καὶ καθ' ἕκαστον καιρὸν, καὶ καθ' ἕκαστον τόπον, καὶ ἐν
ἐρημίᾳ, καὶ ἐν οἰκουμένῃ, καὶ ἐν ἀοικήτῳ, καὶ ἐν γῇ, καὶ ἐν θαλάσσῃ, καὶ ὅπουπερ ἂν " ἀ- [γ. ἀφίκοιο,]
φίκῃ, ὑπομνήματα ὄψει τῆς προνοίας ταύτης σαφῆ καὶ διαρκῆ, καὶ παλαιὰ καὶ νέα, καὶ
φωνὰς τῆς φωνῆς ἡμῶν ταύτης τῆς λογικῆς τρανοτέρας πανταχόθεν φερομένας, καὶ τὸν
10 βουλόμενον ἀκούειν παιδευούσας αὐτοῦ τὴν κηδεμονίαν. διὰ τοῦτο καὶ ὁ προφήτης τῶν φω-
νῶν τούτων τὸ ἐξαίρετον δηλῶν ἔλεγεν· Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ [Ψαλ. ιη. γ.]
φωναὶ αὐτῶν. ἡ μὲν γὰρ ἡμετέρα τοῖς ὁμοφώνοις ἐστὶ γνώριμος μόνον, ἑτερογλώσσοις δὲ οὐκ-
έτι· ἡ δὲ διὰ τῆς κτίσεως φωνὴ πᾶσι τοῖς ἔθνεσι τοῖς κατὰ τὴν οἰκουμένην ἐστὶν ἀκουστή.

Τοῖς μὲν οὖν εὐγνώμοσιν ἀρκεῖ καὶ περὶ τῆς διὰ τῶν ἔργων ἀποδείξεως ἡ ἀπόφασις " αὐ- [γ. αὐτὴ μόνη] [ψε. ζ. ς.]
15 τὴ μόνη τοῦ Θεοῦ, οὐχὶ τὴν πρόνοιαν αὐτοῦ " δεῖξαι μόνον, ἀλλὰ καὶ τὸν σφοδρὸν ἔρωτα τὸν πε- [γ. δεικνύντα]
ρὶ ἡμᾶς. οὐ γὰρ ἁπλῶς ἡμῶν προνοεῖ, ἀλλὰ καὶ ἐρᾷ, καὶ σφόδρα ἐρᾷ ἔρωτά τινα ἀμή-
χανον, ἔρωτα ἀπαθῆ μὲν, θερμότατον δὲ καὶ εὐτονώτατον, καὶ γνήσιον καὶ ἀκατάλυτον, καὶ σβε-
σθῆναι μὴ δυνάμενον. καὶ τοῦτο παραστῆσαι βουλομένη ἡ θεία γραφὴ, παράγει μὲν εἰκό-
νας τὰς ἐν ἀνθρώποις, παράγει δὲ καὶ πολλὰ ἔρωτος ὑποδείγματα καὶ προνοίας καὶ κηδεμο-
20 νίας. οὐ μὴν μέχρι τούτων ἡμᾶς μόνον βούλεται ἑστάναι, ἀλλὰ καὶ ὑπερβαίνειν τὰ παρα-
δείγματα τῷ λογισμῷ. οὐδὲ γὰρ ὡς ἀρκοῦντα δεῖξαι τὸ φίλτρον παράγει ταῦτα, ἀλλ'
ὡς γνώριμα τοῖς ἀκούουσι, καὶ τῶν ἄλλων μᾶλλον δυνάμενα δεῖξαι τοῦτο. οἷόν τι λέγω. πρὸς
τινὰς ὀδυρομένους καὶ πενθοῦντάς ποτε καὶ λέγοντας, ἐγκατέλιπέ με Κύριος, καὶ ἐπελάθετό
μου ὁ Θεὸς τοῦ Ἰσραὴλ, τηνικαῦτα ἐπάγει λέγων ὁ προφήτης· Μὴ ἐπιλήσεται γυνὴ τοῦ [Ησ. μθ. ιε.]
25 παιδίου αὐτῆς, ἢ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; τοῦτο λέγων, ὅτι ὥσπερ ἐκείνη οὐκ
ἂν ἐπιλάθοιτο τῶν παιδίων τῶν ἑαυτῆς, οὕτως οὐδὲ ὁ Θεὸς τοῦ γένους τῶν ἀνθρώπων.
Εἶτα ἵνα μάθῃς ὅτι τὴν εἰκόνα ταύτην παρήγαγεν ὁ προφήτης, οὐχὶ τοσοῦτον βουλόμενος
δεῖξαι τὸ μέτρον τῆς ἀγάπης τοῦ Θεοῦ, ὅση μητρός ἐστι περὶ τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς, ἀλλ'
ἐπειδὴ τοῦτο μᾶλλον τῶν ἄλλων ἐξαίρετον μέτρον ἀγάπης γνώριμον εἶχε (τὸ μέντοι φίλτρον τοῦ
30 Θεοῦ πολλῷ μεῖζον ἐκείνου) ἐπήγαγεν· Εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπι-
λήσομαί σου, λέγει Κύριος. Εἶδες πῶς ὑπερέβη τῆς μητρὸς τὸ μέτρον; καὶ ἵνα μάθῃς ὅτι ἐκ
πολλοῦ τοῦ περιόντος ὑπερέβη καὶ μητρὸς φιλοστοργίαν, καὶ πατρὸς περὶ παῖδας πόθον, " ὁ μὲν [γ. ὅσα προφῆται ἕτερον τοῦτο παριστῶντα, δι' ὧν λέγει,]
προφήτης φησί· Καθὼς οἰκτείρει πατὴρ υἱοὺς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν. καὶ [Ψαλ. ρβ. ιγ.]
αὐτὸς δὲ πάλιν ταύτην εἰσάγει τὴν εἰκόνα τῆς ἀγάπης. ᾔδει γὰρ ταύτην τῶν ἄλλων ἔ-
35 χουσάν τι ἐξαίρετον. ὁ δὲ καὶ προφητῶν καὶ πάντων δεσπότης δηλῶν, ὅτι καὶ ταύτης τὸ μέ-
τρον ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνει τοῦ Θεοῦ ἡ κηδεμονία, καὶ ὅσον τοῦ φωτὸς τὸ μέσον
ἐστὶ πρὸς σκότος, καὶ πονηρίας πρὸς ἀγαθότητα, τοσοῦτον τὸ μέτρον τῆς " τοῦ Θεοῦ χρηστότη-
τος καὶ προνοίας πρὸς τὴν πατρικὴν φιλοστοργίαν, ἄκουε τί φησι· Τίς ἐστιν ἐξ ὑμῶν, ὃν [γ. αὐτοῦ] [Ματθ. ζ. ς.]
ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπι-
40 δώσει αὐτῷ; εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, " πολ-
λῷ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν, " δείκνυς ὅτι ὅ- [γ. ἴσον] [γ. ὁρᾷς ὡς ἔδειξεν,]
σον πονηρίας καὶ ἀγαθότητος τὸ μέσον, τοσοῦτον ἡ τοῦ Θεοῦ ἀγαθότης τῆς τῶν πατέρων κηδε-
μονίας ἐστὶν ἀνωτέρα. Ταῦτα δὲ εἶπον τὰ ὑποδείγματα, ἵν', ὅταν ἑτέρας ἐπαγάγω φίλ-
τρου εἰκόνας, μὴ μέχρι τοῦ μέτρου τοῦ λεγομένου παρὰ τῶν προφητῶν στήσῃς τὴν διάνοι-

αν,

ων, ἀλλ' ἔχων τὴν ἐπιθυμίαν τοῦτον ὑπερβῇς τῷ λογισμῷ περαιτέρω, καὶ ἴδῃς τῆς ἀγάπης αὐτοῦ τὴν ἄφατον ὑπερβολήν. οὐδὲ γὰρ ἀρκεῖται τοῖς τῆς φύσεως μέτροις, ἀλλ' ἀφεὶς αὐτὰ καὶ ὑπερακοντίσας, καὶ ἕτερα πάλιν προστίθησιν ὑποδείγματα. τοιοῦτον γὰρ ὁ φιλῶν· διὰ πλειόνων βούλεται δεικνύναι τοῦτο τῷ φιλουμένῳ· ὃ δὴ καὶ αὐτὸς ποιεῖ εἰς τοπικὴν διαστημάτων μέγεθος ἐξάγων τὸν λόγον, οὐχ ἵνα πάλιν τοσοῦτον αὐτοῦ νομίσῃς τὸ φίλτρον, ἀλλ' ἐπειδὴ τοῦτο μόνον τὸ μέτρον τῶν διαστημάτων τῶν ἄλλων ἐξαίρετον καὶ γνώριμον ἦν τοῖς ἀκούουσι. καὶ διὰ μὲν τοῦ Δαβίδ φησι· Κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν· καὶ, καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν· διὰ δὲ τοῦ Ἡσαΐου, Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὡς αἱ βουλαὶ ὑμῶν, οὐδὲ αἱ ὁδοί μου, ὡς αἱ ὁδοὶ ὑμῶν· ἀλλ' ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τοσοῦτον ἀπέχουσιν αἱ ὁδοί μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματά μου ἀπὸ τῶν διανοημάτων ὑμῶν. ταῦτα δὲ ἔλεγεν, ἐπειδὴ ἀνωτέρω περὶ ἀφέσεως ἁμαρτημάτων ἦν διαλεχθεὶς, καὶ εἰπὼν, ὅτι ἐπὶ πολὺ ἀφήσω τὰς ἀνομίας ὑμῶν. εἶτα δεικνὺς πόσον πολὺ, ἐπήγαγε τοῦτο τὸ ὑπόδειγμα· καὶ οὐδὲ τούτοις ἀρκεῖται μόνοις, ἀλλὰ καὶ εἰς ἑτέραν παχυτέραν καταφέρει τὸν λόγον εἰκόνα. ἐν γὰρ τῷ Ὠσηὲ ἔλεγε, Τί σοι ποιήσω, Ἐφραΐμ; τί σοι ποιήσω, Ἰούδα; ὡς Ἀδαμὰ θήσομαί σε, καὶ ὡς Σεβοείμ. μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ· συνεταράχθη ἡ μεταμέλειά μου. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲ τὸ ῥῆμα ἤνεγκα τῆς ἀπειλῆς. καὶ ἀνθρωπίνως μὲν διαλέγεται, οὐχ ἵνα τι ἀνθρώπινον ὑποπτεύσῃς (ἄπαγε) ἀλλ' ἵνα ἀπὸ τῆς παχύτητος τῆς λέξεως θεοπρεπῆ τινα ἀγάπην καὶ γνησίαν [καὶ ἀκατάλυτον] νοήσῃς. ὥσπερ γάρ τις μανικῶς τινος ἐρῶν οὐδὲ μέχρι ῥημάτων αἱρεῖται λυπῆσαι τὸν ἐρώμενον, οὕτω δὴ καὶ αὐτός φησιν· ἐπειδὴ μόνον εἶπον καὶ ἐλύπησα τῇ λέξει, μετεστράφη ἡ καρδία μου ἐν ταὐτῷ. οὐδὲ γὰρ τὰς παχυτάτας ταύτας παραιτεῖται εἰκόνας παραγαγεῖν, ἵνα δείξῃ τὸ φίλτρον, ὅπερ μάλιστα ἐρῶντός ἐστι. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ περαιτέρω πρόεισι πάλιν ἕτερον ἔτι παχύτερον ἐπάγων ὑπόδειγμα, καὶ λέγων· ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί. καλῶς δὲ νύμφης ἐμνημόνευσε καὶ νυμφίου, ὅτι μάλιστα ἐν ἀρχῇ τούτων θερμότεροι οἱ ἔρωτες [καὶ ζῶντες καὶ ἀκμάζοντές εἰσιν.] τοῦτο δὲ εἴρηται, οὐχ ἵνα τι ἀνθρώπινον ὑποπτεύσῃς (πάλιν γὰρ τὸ αὐτὸ λέγων οὐ παύσομαι) ἀλλ' ἵνα ἐκ τούτων τὸ θερμὸν, τὸ γνήσιον, τὸ σφοδρὸν, τὸ πεπυρωμένον τῆς ἀγάπης ἴδῃς. εἶτα εἰπὼν, ὅτι ὡς πατὴρ φιλεῖ, καὶ πλέον ἢ πατὴρ, ὡς μήτηρ, καὶ πλέον ἢ μήτηρ, ὡς νυμφίος, καὶ πλέον ἢ νυμφίος, ὅτι τοσοῦτον ὅσον τὸ διάστημα τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, καὶ πλέον ἢ τοσοῦτον· ὅτι τηλικοῦτον ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, καὶ πλέον ἢ τηλικοῦτον, οὐδὲ ἐνταῦθα ἵσταται [τῶν εἰκόνων,] ἀλλὰ καὶ περαιτέρω πρόεισιν εἰς ἐπίδειξιν πολλῷ ταπεινοτέρου ὑποδείγματος. τοῦ γὰρ Ἰωνᾶ μετὰ τὴν φυγὴν καὶ τοῦ Θεοῦ τὴν καταλλαγὴν τὴν πρὸς Νινευΐτας ἐξαπορηθέντος, ὡς οὐκ ἐλθόντων εἰς ἔργον τῶν ἀπειληθέντων, καὶ παθόντος τι ἀνθρώπινον πάθος καὶ σκυθρωπάσαντος, ἐπιτάξας τῇ ἀκτῖνι θερμοτέραν ἀφεῖναι τὴν φλόγα, εἶτα κελεύσας τῇ γῇ χαρίσασθαι αὐτῷ στέγην ἀπὸ λαχάνου, καὶ θάλψας αὐτὸν μεθ' ὑπερβολῆς καὶ ἀναπαύσας, εἶτα λυπήσας πάλιν τῷ ταύτην ἀφανίσαι τὴν στέγην, ἐπειδὴ τὸ μὲν εἶδεν ἀναιρεθὲν, τὸ δὲ κατατεινόμενον, ἄκουε τί φησι πρὸς αὐτόν· Σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξέθρεψας, ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευῒ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσιν ἐν αὐτῇ πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν ἢ ἀριστερὰν αὐτῶν; ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐχ οὕτως ἀνέπαυσέ σε ἡ σκιὰ τοῦ λαχάνου, ὡς ἐμὲ εὔφρανεν ἡ σωτηρία τῶν Νινευϊτῶν, οὐδὲ οὕτω σε ἐλύπησεν ἡ ἀφαίρεσις αὐτοῦ, ὡς ἐμὲ ὁ τούτων ὄλεθρος· οὕτω παρὰ γνώμην μοι ἡ ἀπώλεια αὐτῶν ἦν. ὁρᾷς πῶς καὶ ἐνταῦθα ὑπερβαίνει τὴν εἰκόνα; οὐ γὰρ εἶπε, σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, καὶ ἐσίγησεν,

ἀλλ'

Ψαλμ. ρβ΄ ια΄. — Ἡσ. νε΄ η΄. — Ὠσ. ια΄ θ΄. — Ἰωα. δ΄ ια΄.

γρ. ἔστι μαθεῖν ἐντεῦθεν — γρ. τοσοῦτον αὐτοῦ δείξῃ — γρ. βαρυτέραν — γρ. πάλιν φησί — γρ. τὴν — γρ. ἀκώλυτον — γρ. ἐκπληκτικῶς — γρ. βαρυτάτας — γρ. βαθύτερον — γρ. κολοκύνθης — γρ. μου

ἀλλ' ἐπήγαγεν, "ὑπὲρ ἧς οὐκ ἐκοπίασας, οὐδὲ ἐξέθρεψας [αὐτήν.] ἐπειδὴ γὰρ ἐ-
κεῖνα μάλιστα φιλοῦσι τῶν φυτῶν οἱ γηπόνοι, περὶ ἃ πολὺν ἐπεδείξαντο πόνον, δεῖξαι ἐθέλων (κ. ἰδ'.)
ὅτι καὶ κατὰ τοῦτο φιλεῖ τὸ εἶδος τοῦ φίλτρου τοὺς ἀνθρώπους, τοῦτο προσέθηκεν· εἰ γὰρ σὺ
τοῦ ἀλλοτρίου [ἔργου] οὕτως ἀντείχου, φησὶ, πολλῷ μᾶλλον ἐγὼ τοῦ οἰκείου, καὶ οὗ ποιητής εἰ-
5 μι. εἶτα καὶ ὑποτέμνεται τὰ τῆς κατηγορίας αὐτῶν λέγων, οἳ οὐκ ἔγνωσαν δεξιὰν ἢ (κ. π)
ἀριστερὰν [αὐτῶν], ἀφελείᾳ μᾶλλον, ἢ πονηρίᾳ πεπλημμεληκέναι αὐτοὺς ἀποφη- (κ. ταχεία)
νάμενος, ὃ καὶ ἔδειξε τὸ τῆς μετανοίας τέλος. καὶ ἑτέροις δὲ ἐπιτιμῶν θρηνοῦσιν, ὡς
ἐγκαταλειφθεῖσι, ταῦτα λέγει τὰ ῥήματα· Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ (Ho. με. ιά.)
τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τίς πατέρα ἀναμι-
10 μνήσκει καὶ παρακαλεῖ, ὥστε προνοῆσαι παιδός; ἢ τεχνίτην καὶ δημιουργὸν, ὥστε μὴ ἀφεῖ-
ναι διαπεσεῖν τὸ ἔργον; εἶτα ἐπ' ἀνθρώπων μὲν ἀρκεῖσθε τῇ φύσει καὶ τῇ τέχνῃ εἰς ἀ-
πόδειξιν τῆς κηδεμονίας, ἐμὲ δὲ οἴεσθε χρῄζειν τοῦ παρακαλοῦντός με, ἵνα τῶν τέκνων τῶν ἐ-
μῶν καὶ τῶν ἔργων ἀντιλήψωμαι; ταῦτα δὲ ἔλεγεν, οὐχ ἵνα μὴ παρακαλῶσιν, ἀλλ' ἵνα εἰ- (κ. ἰδ')
δέναι ἔχωσιν, ὅτι καὶ πρὸ τῆς παρακλήσεως ὁ Θεὸς τὰ ἑαυτοῦ ποιεῖ· βούλεται δὲ καὶ παρακα-
15 λεῖσθαι, ἐπειδὴ μέγα οἶδε τοῖς παρακαλοῦσιν ἐντεῦθεν ὑπάρχον τὸ κέρδος. εἶδες πῶς
σαφέστερον καὶ ἡλίου φαιδρότερον διὰ τῶν ὑποδειγμάτων τούτων τῆς ἀφάτου προνοίας αὐ-
τοῦ ἡ ἀπόδειξις διαλάμπει; σκόπει δέ. παρήγαγεν εἰς μέσον τὸν πατέρα, τὴν μητέρα, τὸν
νυμφίον, τὴν νύμφην, τὸ διάστημα τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὸ μέσον τῶν ἀνατολῶν πρὸς δυ-
σμὰς, τὸν φυτουργὸν καὶ περὶ λάχανα πονούμενον, τὸν οἰκοδόμον τὸν λυπούμενον, τὸν σφοδρὸν ἐρα- (κ. περὶ λάχανα πονούμενον φυτουργόν)
20 στὴν, τὸν καταπτόμενον, εἰ καὶ μέχρι ῥημάτων λυπήσειε τὸν ἐρώμενον· καὶ τοσοῦτον ἁπάντων
ὑπερακοντίζειν διὰ πάντων τούτων ἔδειξε τὴν τοῦ Θεοῦ ἀγαθότητα, ὅσον πονηρίαν χρηστότητος.

Καίτοι τοῖς μὲν [οὖν] ἀγνώμοσιν, ὅπερ ἔφην, ἀρκεῖ καὶ ταῦτα. ἀλλ' ἐπειδή τινές εἰσι πη- (κεφ. ζ. Ἀπόδειξις τῆς τοῦ Θεοῦ προνοίας ἡ διὰ τῆς κτίσεως.)
λινοι καὶ δυσανάγωγοι καὶ δυσπειθεῖς καὶ αὐτάρκεις, φέρε δὴ καὶ διὰ τῶν ἔργων αὐτῶν ἀπο- (κ. ἀπειθεῖς)
δείξωμεν αὐτοῦ τὴν πρόνοιαν, καθ' ὅσον ἡμῖν οἷόν τε. ἅπασαν γὰρ αὐτὴν, μᾶλλον δὲ οὐ- (κ. καθὼς)
25 δὲ τὸ πολλοστὸν αὐτῆς μέρος παραστῆσαι ῥᾴδιον. οὕτως ἐστὶν ἄπειρος καὶ ἄφατος, καὶ διὰ
τῶν μικρῶν καὶ διὰ τῶν μεγάλων διαλάμπουσα, καὶ τῶν ὁρωμένων καὶ τῶν οὐχ ὁρωμένων. πλὴν
ἀλλ' ἀπὸ τῶν ὁρωμένων τέως ποιησώμεθα τὴν ἀπόδειξιν. τὴν γὰρ θαυμασίαν ταύτην καὶ
παναρμόνιον κτίσιν δι' οὐδὲν ἕτερον ἐποίησεν, ἢ διὰ σέ. τί λέγω; καὶ καλὴν οὕτω καὶ μεγά-
λην οὕτω καὶ ποικίλην καὶ πολυτελῆ καὶ διαρκῆ, καὶ χρησίμην καὶ πανταχόθεν κερδαλέαν, καὶ
30 πρὸς σώματος διατροφὴν καὶ σύστασιν, καὶ πρὸς ψυχῆς φιλοσοφίαν, καὶ πρὸς θεογνωσίας ὁ-
δὸν ἐπιτηδείαν κατεσκεύασε διὰ σέ. οὐδὲ γὰρ ἄγγελοι ταύτης ἐδέοντο. πῶς γὰρ οἱ καὶ πρὶν
γενέσθαι αὐτὴν ὄντες; ὅτι γὰρ ἐκεῖνοι πολλῷ ταύτης πρεσβύτεροι, ἄκουε τί φησιν ὁ Θεὸς τῷ
Ἰὼβ διαλεγόμενος· Ὅτε ἐγένετο ἄστρα, ᾔνεσάν με πάντες ἄγγελοί μου, καὶ ὕμνησαν φωνῇ
μεγάλῃ, τουτέστιν, ἐκπλαγέντες τὸ πλῆθος, τὸ κάλλος, τὴν θέσιν, τὴν χρείαν, τὴν ποι-
35 κιλίαν, τὴν φαιδρότητα, τὴν λαμπηδόνα, τὴν ἁρμονίαν, τὰ ἄλλα πάντα, ἅπερ ἀκρι-
βέστερον ἡμῶν συνορῶσιν ἐκεῖνοι. οὐκ ἄστρασι δὲ ἐκαλλώπισε μόνον, ἀλλὰ καὶ ἡλίῳ καὶ σελή-
νῃ κατεκόσμησεν, ἐν ἑκατέρῳ τῷ καιρῷ πολλὴν μὲν σοι τὴν ἡδονὴν, πολλὴν δὲ παρέχων τὴν
χρείαν ἐξ ἀμφοτέρων. τί γὰρ ὡραιότερον οὐρανοῦ, νῦν μὲν ὑφ' ἡλίου τε καὶ σελήνης (κ. ἀπὸ τῆς ἀκτῖνος)
καταλαμπομένου, νῦν δὲ, καθάπερ τισὶν ὀφθαλμῶν βολαῖς, τῷ ἀπείρῳ τῶν ἄστρων πλή-
40 θει καταυγάζοντος τὴν γῆν, καὶ ναύταις καὶ ὁδοιπόροις ὁδηγούς τινας διδόντος καὶ χειραγωγούς;
ὁ γὰρ τὸ πέλαγος τέμνων, καὶ ἐπὶ τῶν οἰάκων καθήμενος, καὶ κυμάτων ἐμβολαῖς καὶ
ὑδάτων ἀτάκτων ῥύμῃ, καὶ πνευμάτων βιαίων φορᾷ, καὶ νυκτὸς ἀσελήνῳ σκότῳ ἐκδίδωσιν ἑαυ- (κ. ἐν νυκτὶ καὶ)
τὸν, τῇ παρὰ τούτου ὁδηγίᾳ θαρρῶν· καὶ ὁ ἐν ὕψει [κείμενος] ἀστὴρ τὸν ἐκ τοσούτου καθήμενον
διαστήματος, ὥσπερ ἐγγὺς καὶ πλησίον παρὼν, οὕτω μετὰ ἀκριβείας χειραγωγεῖ, καὶ πρὸς λιμέ-

νας

γας ὁρμίζει, φωνὴν μὲν οὐκ ἀφιείς, τῇ δὲ ὄψει δεικνὺς αὐτοῖς τὰς ὁδούς, καὶ τὴν θάλασσαν τέμνειν αὐτοῖς χαριζόμενος μετ' ἀσφαλείας, καιροὺς ὑποδεικνύς, ὥστε νῦν μὲν εἴσω τοῦ λιμένος κατέχειν τὸ πλοῖον, νῦν δὲ θαρροῦντας εἰς τὸ πέλαγος ἐξάγειν, καὶ μὴ διὰ τὴν τοῦ μέλλοντος ἄδηλον ἀπερισκέπτως εἰς χειμέριον ἐμπίπτοντας ἡμέραν ναυάγιον ὑπομένειν. καὶ οὐχ ὁλοκλήρων δὲ ἐνιαυτῶν μέτρα μόνον καὶ καιροὺς χαρακτηρίζουσιν οὗτοι, ἀλλὰ καὶ ἑκάστης νυκτὸς καὶ ὥραν καὶ ταύτην μετὰ πολλῆς παριστῶσι τῆς ἀκριβείας, καὶ ποιοῦσιν εἰδέναι τοὺς ὁρῶντας πότε μὲν τὸ πλέον αὐτῆς παρῆλθε, πότε δὲ τὸ ἔλαττον ὑπολέλειπται, καὶ αὖ τοὐναντίον πάλιν· ὅπερ οὐ ναύταις μόνον, ἀλλὰ καὶ ὁδοιπόροις χρήσιμον, ὥστε μὴ ἀωρεὶ τῆς νυκτὸς τῆς ὁδοιπορείας ἅπτεσθαι, μήτε ἐν καιρῷ τῷ προσήκοντι οἴκοι καθῆσθαι. τούτων μετὰ τῶν ἀστέρων καὶ οἱ σεληνιαῖοι δρόμοι μετὰ ἀκριβείας εἰσὶν ἐμπεπιστευμένοι. καθάπερ γὰρ ὁ ἥλιος τὰς ὥρας τῆς ἡμέρας, οὕτω καὶ ἡ σελήνη τὰς τῆς νυκτὸς κανονίζει, καὶ πολλὴν ἑτέραν χρείαν παρέχει, καὶ ἀέρος εὔκρατον χύσιν, καὶ δρόσου γένεσιν πρὸς τὴν τῶν σπερμάτων βλάστην, καὶ πολλὴν οἴκοθεν εἰς τὴν σύστασιν τῶν ἀνθρώπων παρεχομένη τὴν ὠφέλειαν, καὶ μέση τοῦ χοροῦ τῶν ἀστέρων καὶ τῆς ἡλιακῆς ἱσταμένη λαμπηδόνος· τοῦ μὲν γάρ ἐστιν ἐλάττων, τῶν δὲ ἀμείνων καὶ πολλῷ μείζων. οὐ μικρὰ δὲ καὶ ἐκ τῆς ποικιλίας ταύτης ἡδονὴ τοῖς θεαταῖς καὶ χρεία, ὥσπερ οὐδὲ τυχοῦσα ἡ ὄνησις ἡ ἀπὸ τῶν καιρῶν, ἡ ἀπὸ τῶν ὡρῶν, ἡ ἀπὸ τοῦ μέτρου, ἡ ἀπὸ τοῦ μεγέθους καὶ τῆς βραχύτητος, ἡ ἀπὸ τῆς διαφορᾶς τῆς ἀφώτου. τὸν μὲν γὰρ ἐλάττω, τὸν δὲ μείζω καὶ φαιδρότερόν ἐστιν ἰδεῖν, καὶ κατὰ διαφόρους καιροὺς φαινομένους αὐτῶν τινας. ἡ γὰρ περιουσία τῆς εὐμηχάνου σοφίας πολλὴν πανταχοῦ τὴν ποικιλίαν ἐργάζεται, ὁμοῦ μὲν τῆς οἰκείας θαυματουργίας τὴν ἀπόδειξιν ἐπιδεικνυμένη, ὁμοῦ δὲ καὶ τῆς τῶν ὁρώντων προνοοῦσα χρείας, καὶ πολλὴν καὶ ἄφατον τὴν ὠφέλειαν παρεχομένη, καὶ μετὰ τούτων ἁπάντων καὶ τὴν ἡδονήν. τί γὰρ τερπνότερον οὐρανοῦ, νῦν μὲν ὡς σινδόνος καθαρᾶς καὶ διαυγοῦς ὑπὲρ κεφαλῆς ἡπλωμένου, νῦν δὲ ὡς λειμῶνος πολυανθοῦς ποικιλλομένου, καὶ τὸν αὐτοῦ φαίνοντος στέφανον; οὐδὲ γὰρ οὕτως ἡδὺ λειμῶνα ἰδεῖν ἐν ἡμέρᾳ, ὡς ἡδὺ καὶ τερπνὸν οὐρανὸν ἰδεῖν ἐν νυκτὶ μυρίοις ἄνθεσι τοῖς τῶν ἀστέρων πανταχόθεν κατεστεμμένον, ἄνθεσιν οὐδέποτε μαραινομένοις, ἀλλ' ἀκραιφνὲς ἀεὶ τὸ οἰκεῖον κάλλος ἐπιδεικνυμένοις. τί δαὶ αὐτοῦ ἡδύτερον, ὅταν τῆς νυκτὸς ἀπελθούσης, καὶ μηδέπω τῆς ἀκτῖνος ἀνισχούσης, καθάπερ κροκωτῷ τινι πέπλῳ τοῖς προοιμίοις τῆς ἀνατολῆς τοῦ ἡλίου φοινισσόμενος καλλωπίζηται; τί δαὶ ἡλίου γένοιτ' ἂν ὡραιότερον θέαμα ἀνίσχοντος ὑπὸ τὴν ἕω καὶ μικρᾷ καιροῦ ῥοπῇ πᾶσαν μὲν γῆν, πᾶσαν δὲ θάλασσαν, πᾶν δὲ ὄρος καὶ νάπας καὶ βουνούς, πάντα δὲ τὸν οὐρανὸν ταῖς τῶν ἀκτίνων καταλάμποντος βολαῖς, καὶ τῆς νυκτὸς τὸ περιβόλαιον ἀπαμφιεννύντος [τῶν ὁρωμένων], καὶ γυμνὰ πάντα πρὸ τῶν ὀφθαλμῶν δεικνύντος ἡμῖν; πῶς ἄν τις αὐτοῦ ἐκπλαγείη τοὺς δρόμους, τὴν εὐταξίαν, τὴν ἐν τοσαύταις ἐτῶν περιόδοις ἀπαράλλακτον καὶ ἀνεμπόδιστον διακονίαν, τὸ κάλλος αὐτοῦ τὸ διηνεκῶς ἀκμάζον, τὴν λαμπηδόνα, τὴν φαιδρότητα, τὴν καθαρότητα, τὴν τοσούτοις ὁμιλοῦσαν σώμασι, καὶ μηδαμοῦ μολυνομένην; πρὸς δὲ τούτοις, τὴν χρείαν τὴν ἄφατον, τὴν ἐν σπέρμασι, τὴν ἐν φυτοῖς, τὴν ἐν σώμασιν ἀνθρώπων, τετραπόδων, ἰχθύων, ἀέρων, λίθων, βοτανῶν, τὴν ἐν γῇ, τὴν ἐν θαλάσσῃ, τὴν ἐν ἀέρι, τὴν ἐν πᾶσιν ἁπλῶς τοῖς ὁρωμένοις; πάντα γὰρ αὐτοῦ δεῖται καὶ ἀπολαύει τῆς χρείας, καὶ ἀμείνω γίνεται ταύτης μετέχοντα· οὐ σώματα δὲ μόνον, οὐδὲ φυτά, ἀλλὰ καὶ ὕδατα, καὶ λίμναι, καὶ πηγαί, καὶ ποταμοί, καὶ αὐτὴ τοῦ ἀέρος ἡ φύσις λεπτυνομένη καὶ καθαιρομένη καὶ διειδεστέρα γινομένη. διὰ δὴ τοῦτο καὶ ὁ ψαλμῳδὸς τὸ κάλλος αὐτοῦ παραδηλῶσαι βουλόμενος, τὸ διηνεκῶς φαιδρόν, τὴν ἀκμάζουσαν ὥραν, τὸ μηδέποτε διαπῖπτον ἄνθος, τὴν εὐπρέπειαν, τὴν εὐμορφίαν, τὴν ἀπαραπόδιστον διακονίαν, οὕτω πως ἔλεγεν· Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, τουτέστιν, ἐν αὐτοῖς τοῖς οὐρανοῖς. τοῦτο σκήνωμα Θεοῦ λέγων, αἰνίττεται. καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ

παστοῦ

Ψαλ. ιη. ε.

γρ. πια

γρ. ταῦτα

γρ. ὁρίζει,

γρ. ἐκ γὰρ περιουσίας ἡ εὐμήχανος Θεοῦ σοφία

γρ. εἰργάσατο

γρ. τὸ τῶν ἀνθρώπων συστάσεως προνοοῦσα,

γρ. δίκην

γρ. δὲ

γρ. μιαινομένην

γρ. αἱ ἀναμιμνήσκει σε τῆς ἐπὶ τὸ παχύτητος

γρ. λαμπρυνομένη

γρ. περιεστῶσαι

γρ. εὐταξίαν.

πάσου αὐτοῦ. Εἶτα καὶ τὸ εὔκολον τῆς διακονίας αὐτοῦ δηλῶν ἐπήγαγεν, Ἀγαλλιάσεται ὡς
γίγας δραμεῖν ὁδὸν αὐτοῦ. Εἶτα τὸ διαρκὲς καὶ ἀποχρῶν τῇ οἰκουμένῃ πάσῃ, Ἀπ' ἄκρου τοῦ
οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ· Εἶτα τὸ πᾶσι χρήσιμον
καὶ ὠφέλιμον, Καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τῆς θέρμης αὐτοῦ. ἔξεστιν, εἰ μὴ ἀπέκαμες,
5 μαθεῖν αὐτοῦ τὴν πρόνοιαν καὶ ἑτέρωθεν· ἀπὸ τῶν νεφῶν, ἀπὸ τῶν ὡρῶν, ἀπὸ τῶν τροπῶν,
ἀπὸ τῶν ἀνέμων, ἀπὸ τῆς θαλάσσης καὶ τῶν ἐν αὐτῇ ποικίλων γενῶν, ἀπὸ τῆς γῆς καὶ τῶν
ἐν αὐτῇ τετραπόδων, ἑρπετῶν, πτηνῶν τῶν ἀεροπόρων, τῶν χερσαίων, ἀπὸ τῶν ἀμφιβίων τῶν
ἐν λίμναις καὶ πηγαῖς καὶ ποταμοῖς, ἀπὸ τῆς οἰκουμένης, ἀπὸ τῆς ἀοικήτου, ἀπὸ τῶν φυομέ-
νων σπερμάτων, δένδρων, βοτανῶν, φυτῶν ἐν ταῖς ἐρήμοις, ἐν ταῖς οὐκ ἐρήμοις, ἀπὸ τῶν βλα-
10 στανόντων ἐν πεδίοις, ἐν φάραγξιν, ἐν ὄρεσιν, ἐν νάπαις, ἀπὸ τῶν αὐτομάτως φυομένων,
ἀπὸ τῶν μετὰ πόνου καὶ γεωργίας, ἀπὸ τῶν ζώων τῶν ἡμέρων, τῶν ἀνημέρων, τῶν ἀγρίων, τῶν
χρησίμων, τῶν μικρῶν, τῶν μεγάλων, ἀπὸ τῶν ἐν χειμῶνι, τῶν ἐν θέρει, τῶν ἐν μετοπώρῳ
φαινομένων ὀρνίθων καὶ τετραπόδων καὶ ἰχθύων καὶ φυτῶν καὶ βοτανῶν, ἀπὸ τῶν ἐν νυκτὶ γινο-
μένων, ἀπὸ τῶν ἐν ἡμέρᾳ, ἀπὸ τῶν ὑετῶν, ἀπὸ τοῦ μέτρου τῶν ἐνιαυτῶν, ἀπὸ θανάτου, ἀπὸ
15 ζωῆς, ἀπὸ τοῦ πόνου τοῦ συγκεκληρωμένου ἡμῖν, ἀπὸ ἀθυμίας, ἀπὸ λύσεως, ἀπὸ σίτων καὶ
ποτῶν τῶν δεδομένων ἡμῖν, ἀπὸ ″ τῶν ἐπιτηδευμάτων, ἀπὸ ″ τεχνῶν, ἀπὸ ξύλων, ἀπὸ
λίθων, ἀπὸ τῶν ὀρῶν τῶν μεταλλικῶν, [ἀπὸ τῆς πλεομένης θαλάττης, ἀπὸ τῆς ἀπλώτου.]
ἀπὸ τῶν νήσων, ἀπὸ τῶν ὅρμων, ἀπὸ τῶν ἀκτῶν, ἀπὸ τῆς ἐπιφανείας τοῦ πελάγους, ἀπὸ
τοῦ βάθους τῶν ὑδάτων, ἀπὸ τῆς φύσεως τῶν στοιχείων, ἀφ' ὧν ὁ κόσμος ἡμῖν συνέστηκεν, ἀπὸ
20 τῆς διατάξεως τῶν καιρῶν, ἀπὸ τῆς διαφορᾶς τοῦ μέτρου τῆς ἡμέρας καὶ τῆς νυκτός, ἀπὸ νόσου
καὶ ὑγιείας, ἀπὸ τῶν μελῶν τῶν ἡμετέρων, ἀπὸ τῆς κατασκευῆς τῆς ψυχῆς, ἀπὸ τῶν τεχνῶν
καὶ τῆς σοφίας τῆς ἐν αὐταῖς παραδοθείσης τῷ τῶν ἀνθρώπων γένει, ἀπὸ τῆς χρείας τῶν
ὑπηρετουμένων ἡμῖν ἀλόγων καὶ φυτῶν καὶ ἑτέρων κτισμάτων, ἀπὸ τῶν μικροτάτων καὶ εὐτε-
λεστάτων ζώων. τί γὰρ μελίττης βραχύτερον καὶ εἰδεχθέστερον; τί δαὶ μυρμήκων καὶ τεττίγων
25 εὐτελέστερον; ἀλλ' ὅμως καὶ ταῦτα λαμπρὰν ἀφίησι φωνὴν ὑπὲρ τῆς τοῦ Θεοῦ προνοί-
ας καὶ δυνάμεως καὶ σοφίας. Διὰ τοῦτο καὶ ὁ προφήτης ὁ τοσούτου πνεύματος ἠξιωμένος
ἐπιὼν τῆς κτίσεως τὸ σῶμα, καὶ ὀλίγα ἄττα διεξελθὼν, ἀνεβόησε μετ' ἐκπλήξεως πολλῆς
τὴν θαυμασίαν ἐκείνην φωνήν· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε; πάντα ἐν σοφίᾳ
ἐποίησας. καὶ ταῦτα πάντα, ἄνθρωπε, διὰ σέ. καὶ γὰρ καὶ ἄνεμοι διὰ σέ (ἐπὶ γὰρ τὴν
30 ἀρχὴν τὸν λόγον ἐπανάξομεν πάλιν) ἵνα τὰ σώματα πεπονηκότα ῥιπίζωσιν, ἵνα τὸν ἀπὸ
τοῦ βορβόρου μολυσμὸν, καὶ τὴν γινομένην βαρύτητα ἀπὸ τοῦ καπνοῦ καὶ τῆς ″ καμίνων καὶ ἑτέ-
ρων ἀναθυμιάσεως διακαθαίρωσιν, ἵνα τὴν ἐκ τῆς ἀκτῖνος θερμότητα παραμυθῶνται, ἵνα
κοῦφον ποιῶσι τὸν πνῖγος, ἵνα τὰ σπέρματα τρέφωσιν, ἵνα τὰ φυτὰ αὔξωσιν, ἵνα σοι καὶ ἐν θα-
λάσσῃ συνοδοιπορῶσι, καὶ ἐν γῇ τῆς γεωργίας ὑπηρέται γίνωνται, ἐκεῖ μὲν βέλους ὀξύτε-
35 ρον τὰ πλοῖα παραπέμποντες, οὕτω τὸν πλοῦν κοῦφον καὶ εὔκολον κατασκευάζοντες, ἐνταῦθα
δὲ μετὰ σοῦ τὰς ἅλωνας ἀνακαθαίροντες καὶ τὰ ἄχυρα τοῦ καρποῦ διαχωρίζοντες, καὶ τὴν ἐκ
τῆς ἐργασίας ταλαιπωρίαν ἐπικουφίζοντες· ἵνα σοι τὸν ἀέρα κοῦφον καὶ προσηνῆ κατα-
σκευάσωσιν, ἵνα σε καὶ ἑτέρωθεν τέρπωσι, νῦν μὲν γλυκὺ καὶ προσηνὲς συρίζοντες, νῦν δὲ
ἠρέμα φυτοῖς προσβάλλοντες καὶ πέταλα δένδρων σείοντες, ἵνα σοι τὸν ὕπνον καὶ θέ-
40 ρους καὶ ἀέρος ὥρᾳ ἡδίω καὶ μέλιτος γλυκύτερον ἐργάσωνται, ἵν', ὅπερ ἐπὶ τῶν δέν-
δρων ποιοῦσι, τοῦτο καὶ ἐπὶ τῶν θαλαττίων νώτων ἐργαζόμενοι, ἐπί τε τῶν ποταμίων
ναμάτων, καὶ τὴν ἐπιφάνειαν αὐτῶν μετεωρίζοντες, πολλήν σοι ἐντεῦθεν παρέχωσι τὴν
ἀπὸ τῆς θέας τέρψιν, καὶ παρὰ τῆς τέρψεως δὲ ταύτης καὶ ὠφέλειαν μεγίστην. καὶ γὰρ καὶ τοῖς
ὕδασιν οὗτοι καὶ ἄλλως χρήσιμοι, οὐκ ἀφιέντες διηνεκῶς ἑστῶτα τὰ ὕδατα κατασήπεσθαι,

ἀλλὰ

ἢ ἐνδυμάτων

ἢ πιχισμάτων,

ἢ καμινιαίας αἰθάλης

ἀλλὰ τῷ συνεχῶς αὐτὰ κινεῖν καὶ ἀναῤῥιπίζειν νεαρὰ καὶ ἀκμάζοντα καθιστῶντος, καὶ πρὸς
τροφὴν τῶν ἐν αὐτοῖς τικτομένων ζώων ἐπιτηδειότερα. εἰ δὲ καὶ αὐτὴν βουληθείης πε-
ριεργάζεσθαι τὴν νύκτα, ὄψει καὶ ἐντεῦθεν πολλὴν τοῦ ποιητοῦ τὴν πρόνοιαν. καὶ
γὰρ ἀναπαύει σοι τὸ σῶμα πεπονηκὸς, καὶ τὰ μέλη σοι καταπονούμενα τοῖς" μεθημε-
ρινοῖς πόνοις ἀνίησι καὶ χαλᾷ, ἀλλοιοῦσα καὶ πρὸς ἀκμὴν διὰ τῆς ἡσυχίας ἐπα- 5
νάγουσα πάλιν. οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν μεθημερινῶν σε ἀπαλλάττει" λυπῶν, καὶ
τῶν ἀκαίρων ἀνίησι φροντίδων. πολλάκις δὲ καὶ νοσούντων πυρετὸν ἔσβεσεν, ἀντιφαρ-
μακον ὕπνον ἐπάξασα, καὶ τὴν τῶν ἰατρῶν ἀπορουμένων τέχνην εἰς" εὔδιον ὁρμίσα-
σα λιμένα, καὶ πολλῶν ἀπαλλάξασα πόνων. καὶ τοσαύτη αὐτῆς ἡ χρεία, τηλικαύτη ἡ
ὠφέλεια, ὡς καὶ τὴν ἡμέραν" πολλάκις παραπόλλυσθαι τοῖς ἐν αὐτῇ σχολάζειν ἀποστερηθεῖ- 10
σιν. εἰ γάρ τις ἀνέλοι τῷ λόγῳ τὴν τῆς νυκτὸς ἡσυχίαν καὶ τὴν ἄνεσιν καὶ τὴν ἀνακωχὴν,
δι᾽ ἧς ἅπαντα ἀναπαύονται, καὶ ψυχὴ πεπονηκυῖα καὶ σῶμα ταλαιπωρηθὲν, ἀκμάζουσι τῇ
διανοίᾳ τῆς μεθ᾽ ἡμέρων ἐργασίας ἀπόλλυται, ἄχρηστον ὄψεται τὸ ζῶον τοῦτο γινόμενον. εἰ δέ
τις παραθείη τὰς νύκτας ταῖς ἡμέραις ἐγρηγορῶς καὶ ἐργαζόμενος, ἢ καὶ ἀγρυπνῶν, καὶ ἐπὶ πλέον
τοῦτο ποιήσειεν, ἀποθανεῖται εὐθέως, ἢ εἰ μὴ τοῦτο, νόσῳ πάντως μακρᾷ παραδοθεὶς, οὐδὲν 15
ἀπὸ τῆς ἡμέρας καρπώσεται εἰς τὴν τῆς οἰκείας χρείας ἐνέργειαν, τῆς δυνάμεως αὐτῷ κα-
τασβεσθείσης. "εἰ δὲ καὶ ἐπὶ τὸν ἄπειρον τῶν ἰχθύων δῆμον" ἁπλώσαιμεν τὸν λόγον, τῶν
ἐν λίμναις, τῶν ἐν πηγαῖς, τῶν ἐν ποταμοῖς, τῶν ἐν τῇ πλεομένῃ, τῶν ἐν τῇ ἀπλώτῳ θα-
λάττῃ, ἢ καὶ τὰ ἄφατα τῶν ὀρνίθων κατίδοιμεν ἔθνη, τῶν ἐν ἀέρι, τῶν ἐν γῇ, τῶν ἐν ὕδασιν
ὁμοῦ καὶ γῇ (καὶ γάρ ἐστιν ἀμφίβια πολλὰ ἐν αὐτοῖς) [τῶν ἀγρίων, τῶν ἡμέρων, τῶν ἀγρίων 20
μὲν, τιθασευομένων δὲ, τῶν δι᾽ ὅλου μενόντων ἀγρίων, τῶν ἐσθιομένων, τῶν οὐκ ἐσθιομένων] καὶ
περιεργασαίμεθα ἑκάστου καὶ κάλλος καὶ πτερὸν καὶ φωνὴν ᾠδικὴν, ἔτι τε τὰς διαφορὰς μόνον
αὐτῶν εἰ καταμάθοιμεν [καὶ ᾠδῆς καὶ τραπέζης καὶ διαγωγῆς] καὶ τὰς διατριβὰς καὶ τὰ ἤ-
θη καὶ τὰς χρείας καὶ τὰς διακονίας, ἃς παρέχουσιν ἡμῖν πάσας [ἐπέλθοιμεν]. καὶ τὰ μεγέθη,
καὶ τὴν βραχύτητα, καὶ τὰς ὠδῖνας, καὶ τὴν ἀνατροφὴν, καὶ τὴν πολλὴν ἐν τούτοις καὶ ἄ- 25
φατον ποικιλίαν, [καὶ τὸ αὐτὸ δὴ τοῦτο καὶ ἐπὶ ἰχθύων ποιήσαιμεν,] καὶ ἐντεῦθεν ἔλθοιμεν
καὶ ἐπὶ τὰς βοτάνας, τὰς πανταχοῦ [τῆς γῆς] φυομένας, ἑκάστου τε τύπον καὶ καρπὸν ἴδοι-
μεν καὶ χρείαν καὶ εὐωδίαν καὶ ὄψιν καὶ θέσιν [καὶ φύλλα] καὶ χρῶμα καὶ σχῆμα καὶ" μέγεθος [καὶ
μικρότητα] καὶ ὠφέλειαν καὶ ἐργασίας τρόπους, καὶ φλοιῶν καὶ στελεχῶν καὶ κλάδων διαφοράς,
καὶ λειμῶνας καὶ παραδείσους, εἶτα μετέλθοιμεν ἐπὶ τὰ ποικίλα ἀρώματα καὶ τοὺς παν- 30
τοδαποὺς τόπους αὐτῶν περιεργασαίμεθα, καὶ τοὺς τρόπους τῆς εὑρέσεως καὶ τῆς ἐπιμελείας
καὶ τῆς γεωργίας, καὶ ὅτι πρὸς ἰατρείαν ἡμῖν συντελεῖ· καὶ μετὰ τούτων πάλιν εἰ ἐπὶ τὰ
μεταλλικὰ ἔτι χωρήσαιμεν ὄρη, πολλὰ ὄντα κἀκεῖνα, καὶ ὅσα ἕτερα πολλῷ πλείονα κατὰ τὴν
κτίσιν διερευνήσαιμεν, ποῖος λόγος, ἢ ποῖος ἡμῖν διαρκέσει χρόνος πρὸς τὴν τούτων ἀκρι-
βῆ κατανόησιν; καὶ ταῦτα ἅπαντα, ἄνθρωπε, διὰ σέ· καὶ τέχναι [διὰ σέ] καὶ ἐπι- 35
τηδεύματα καὶ πόλεις καὶ κῶμαι [καὶ ὕπνος διὰ σὲ, καὶ θάνατος διὰ σὲ, καὶ ζωὴ διὰ
σὲ, καὶ αὔξησις καὶ φύσεως ἔργα τοσαῦτα] καὶ τοιοῦτος ὁ κόσμος διὰ σὲ νῦν, καὶ πάλιν ἀ-
μείνων διὰ σέ. ὅτι γὰρ ἀμείνων ἔσται, καὶ τοῦτο διὰ σέ, ἄκουσον τί φησιν ὁ Παῦλος, ὅτι Καὶ
αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς· τουτέστιν, ἀπὸ τοῦ εἶναι φθαρ-
τή. πῶς δὲ καὶ τῆς τοσαύτης ἀπολαύσεται τιμῆς διὰ σὲ δηλῶν ἐπήγαγεν, Εἰς τὴν ἐλευ- 40
θερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. εἰ δὲ μὴ μακρὸν σφόδρα καὶ ὑπὲρ τὸ μέτρον ἐποιούμην τὸν
λόγον, πολλὰ ἂν καὶ περὶ θανάτου ἐφιλοσόφησα, καὶ ἐν τούτῳ μάλιστα" ἐδείκνυον τὴν σοφίαν
τοῦ Θεοῦ καὶ τὴν πρόνοιαν, καὶ πολλὰ περὶ φθορᾶς, περὶ ἰχῶρος, περὶ σκωλήκων καὶ περὶ τέφρας
εἶπον ἄν, ἅπερ μάλιστα θρηνοῦσιν οἱ πολλοὶ καὶ ἀποδύρονται, [ὅτι εἰς τέφραν, ὅτι εἰς

κόνιν,

γρ. μεθημερινοῖς

γρ. λυπηρῶν

γρ. χρήσας᾽ ἀναγαγοῦσα τὴν κάμνουσαν ἐλπίδας πολλῶν ἀπήλλαξε πόνων

γρ. ἐν πολλοῖς τοῖς ἑαυτῆς σχολάζειν ταύτης ἀποστερηθεῖσαν

γρ. αὖ οὖν

γρ. ἀφῶμεν

γρ. μεγέθη

γρ. διαιτῶνται· ἄλλ. παράστασιν.

Ρωμ. η. κα.

γρ. ἔδειξα

κόνιν, ὅτι εἰς σκώληκας διαλυθήσεται) ἡμῶν τὰ σώματα,] κἀντεῦθεν ἐδείξαμεν τὴν ἄφατον αὐτοῦ πρόνοιαν καὶ κηδεμονίαν. ἀπὸ γὰρ τῆς [αὐτῆς] προνοίας, ἀπὸ [τῆς] αὐτῆς ἀγαθότητος, ἀφ' ἧς ἐξ οὐκ ὄντας ἐποίησεν, ἀπὸ τῆς αὐτῆς καὶ ἀποθνήσκειν ἐκέλευσε, καὶ τοιοῦτον ἔχειν τὸ τέλος. εἰ γὰρ καὶ διάφορα τὰ γινόμενα, ἀλλὰ μιᾶς εἰσιν ἀγαθότητος*. ὅ τε γὰρ ἀπελθὼν οὐδὲν ἐντεῦθεν παραβλάπτεται), ὅ τε ζῶν τὰ μέγιστα [ἐντεῦθεν] κερδαίνει, ἐν ἀλλοτρίῳ σώματι οἰκείαν καρπούμενος ὠφέλειαν. ὅταν γὰρ ἴδῃ τὸν χθὲς καὶ πρώην μετ' αὐτοῦ βαδίζοντα, τοῦτον εἰς σκώληκας διαλυόμενον καὶ εἰς ἰχῶρα καὶ τέφραν καὶ κόνιν, κἂν αὐτοῦ τοῦ διαβόλου τὴν ἀπόνοιαν ἔχῃ, "καταστέλλεται, συστέλλεται), μετριάζει, φιλοσοφεῖν παιδεύεται). καὶ τὴν μητέρα τῶν ἀγαθῶν τὴν ταπεινοφροσύνην εἰς τὴν διάνοιαν εἰσοικίζει. οὕτως οὔτε ὁ ἀπελθών τι παρεβλάβη (ἀπολήψεται γὰρ [τοῦτο] τὸ σῶμα ἀκήρατον καὶ ἄφθαρτον) ὅ τε ἔτι ἐν τοῖς σκάμμασιν ὤν, ἀφ' ὧν οὐδὲν ἕτερος ἐβλάβη, τὰ μέγιστα κερδαίνει. οὐχ ὁ τυχὼν διδάσκαλος φιλοσοφίας ὁ θάνατος εἰσηνέχθη εἰς τὸν ἡμέτερον βίον, παιδαγωγῶν τὴν διάνοιαν, καὶ τὰ πάθη τῆς ψυχῆς χαλινῶν, καὶ τὰ κύματα καταστέλλων, καὶ γαλήνην ποιῶν. μαθὼν τοίνυν καὶ ἐκ τῶν εἰρημένων, καὶ ἐξ ἑτέρων πλειόνων, τοῦ φωτὸς "τούτου φανερώτερον διαλάμπουσαν τὴν τοῦ Θεοῦ πρόνοιαν, μὴ περιεργάζου τὰ περιττά, μηδὲ ἀκίνητα δίωκε τὰς αἰτίας πάντων ἐξετάζων. καὶ γὰρ αὐτὸ τὸ εἶναι ἐξ ἀγαθότητος ἡμῖν παρέσχεν, οὐ χρείαν ἔχων ἡμῶν [τῆς διακονίας]. καὶ χρὴ θαυμάζειν αὐτὸν καὶ προσκυνεῖν οὐχ ὅτι ἐποίησε μόνον, οὐδ' ὅτι ψυχὴν εἰργάσατο ἀσώματον καὶ λογικήν, οὐδ' ὅτι τῶν ἄλλων ἁπάντων βελτίους εἰργάσατο, οὐδ' ὅτι τὴν "δεσποτείαν ἐνεχείρισε τῶν ὁρωμένων, καὶ "τὴν ἐξουσίαν ἐπέτρεψεν, ἀλλ' ὅτι μηδὲν δεόμενος ἡμῶν· τὸ γὰρ δὴ θαυμαστὸν τῆς ἀγαθότητος αὐτοῦ τοῦτό ἐστιν, ὅτι οὐδὲ χρῄζων ἡμῶν τῆς διακονίας παρήγαγε. καὶ γὰρ πρὶν γενέσθαι καὶ ἡμᾶς, καὶ ἀγγέλους, καὶ τὰς ἄνω δυνάμεις, ἦν τὴν οἰκείαν δόξαν ἔχων καὶ τὴν μακαριότητα· διὰ φιλανθρωπίαν δὲ μόνην ἡμᾶς παρήγαγε, καὶ ἅπαντα ταῦτα ἐποίησε δι' ἡμᾶς. [καὶ ἔτι πολλῷ πλείονα τούτων].

Διὰ τοῦτο καὶ νόμον γράψας ἔδωκε δι' ἡμᾶς, καὶ προφήτας ἀπέστειλε, καὶ θαύματα εἰργάσατο, καὶ πρὸ τούτων ἁπάντων ὁμοῦ πλάσας τὸν ἄνθρωπον, διδάσκαλον αὐτῷ τὸν ἔμφυτον ἐναπέθετο νόμον, ὥσπερ πλοίῳ κυβερνήτην, καὶ ἡνίοχον ἵππῳ τοῖς λογισμοῖς ἡμῶν ἐπιστήσας αὐτόν. οὕτω γοῦν καὶ Ἄβελ αὐτὸν ἔγνω, οὐ γραμμάτων ὄντων, οὐ προφητῶν, [οὐκ ἀποστόλων,] οὐ νόμου γραπτοῦ τινος ἐνηχοῦντος· ἀλλὰ τὸν ἔμφυτον ἔχων νόμον. οὕτως ὁ Κάϊν. καὶ γὰρ καὶ ἐκεῖνος ἔγνω. καὶ ἀμφότεροι μὲν αὐτὸν ᾔδεισαν, καὶ τὴν δεσποτείαν ἐπεγίνωσκον, οὐκ ἀμφότεροι δὲ τὴν αὐτὴν ἦλθον ὁδόν· ἀλλ' ὁ μὲν τὴν τῆς κακίας, ὁ δὲ τὴν τῆς ἀρετῆς. καὶ ὅμως οὐδὲ οὕτως αὐτὸν ἐγκατέλιπεν, ἀλλὰ καὶ πεσόντα καὶ ὑποσκελισθέντα ἐπηνώρθου καὶ ἐπιμελείας ἀπολαύειν ἐποίει· καὶ πρότερον μὲν "παραινῶν καὶ συμβουλεύων, ὕστερον δὲ τῷ φόβῳ, ἑτέρῳ τρόπῳ νουθετῶν, παιδεύων, διδάσκων. ἐπειδὴ δὲ τοσοῦτον παρεῖδον τὸ δῶρον οἱ πολλοὶ τῶν ἀνθρώπων, τὴν ἀπὸ τῆς φυσικῆς διδασκαλίας λέγω ὠφέλειαν, οὐδὲ οὕτως αὐτοὺς κατέλιπεν, οὐδὲ παντωλεθρίᾳ παρέδωκεν, ἀλλ' ἔμενε διὰ πραγμάτων, δι' εὐεργεσιῶν, διὰ κολάσεων παιδεύων, νουθετῶν, διὰ τῆς κτίσεως αὐτῆς καθ' ἡμέραν ἐργαζομένης καὶ τὴν διακονίαν πληρούσης τὴν εἰωθυῖαν, διὰ τῶν παραδόξως παρὰ τὰ εἰωθότα γινομένων, διὰ τῶν ἐν ἀρχῇ δικαίων. καὶ γὰρ ἄνδρας θαυμαστοὺς καὶ φιλοσοφίας γέμοντας ἀπὸ τόπων εἰς τόπους μετήγαγε. καὶ γὰρ καὶ τὸν Ἀβραὰμ νῦν μὲν εἰς Παλαιστίνην, νῦν δὲ εἰς Αἴγυπτον παρεσκεύασεν ἀπελθεῖν· καὶ τὸν Ἰακὼβ εἰς Συρίαν· Μωϋσέα πάλιν εἰς Αἴγυπτον, τοὺς τρεῖς παῖδας εἰς Βαβυλῶνα, καὶ τὸν Δανιήλ, καὶ τὸν Ἰεζεκιήλ, τὸν δὲ Ἱερεμίαν εἰς Αἴγυπτον. εἶτα καὶ νόμον ἔδωκε, καὶ προφήτας ἀπέστειλε, καὶ ἔπληξε, καὶ ἀνῆκε, καὶ αἰχμαλωσίᾳ παρέδωκε, καὶ ἐλευθερίας ἠξίωσε, καὶ οὐ διέλιπεν ἐξ ἀρχῆς ἕως τέλους πάντα ποιῶν καὶ πραγματευόμενος ὑπὲρ τῆς γνώσεως τοῦ ἡμε-

[Marginal notes, left: * δείγματα. — γρ. καταστέλλεται — γρ. τοῦ ἡλιακοῦ — γρ. βασιλείαν — γρ. τὴν [illegible] — γρ. παραινοῦντες καὶ συμβουλ.]

[Marginal note, right: κεφ. η. Ὅτι πολλῆς προνοίας ἀπόδειξις, καὶ τὸ νόμον δοῦναι καὶ φυσικὸν καὶ κατὰ τὸ γραπτόν, καὶ ἄνδρας περιφανεῖς διδασκάλους [illegible] μετοικεῖσθαι τῶν [illegible], καὶ τὸ μὴ πάντοτε [illegible] τῶν ἀγαθῶν χαίρεσθαι, τῆς μονογενοῦς τὴν παρουσίαν.]

πρου. οὐδὲ γὰρ ἠρκέσθη τῇ ἀπὸ τῆς κτίσεως διδασκαλίᾳ πρὸς θεογνωσίαν φερούσῃ μόνον, ἀλλ' ἐπειδὴ πολλοὶ παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην οὐδὲν ἐντεῦθεν ἀπώναντο, καὶ ἑτέρας ἐπενόησεν ὁδοὺς διδασκαλίας, καὶ τέλος τὸ κεφάλαιον τῶν ἀγαθῶν εἰργάσατο, καὶ τὸν υἱὸν ἀπέστειλε τὸν ἑαυτοῦ, [τὸν υἱὸν τὸν γνήσιον, τὸν μονογενῆ,] καὶ ὁ τῆς αὐτῆς φύσεως ὢν αὐτῷ γέγονεν ὅπερ ἐγὼ, καὶ ἐπὶ γῆς βαδίζων τοῖς ἀνθρώποις συνανεστρέφετο, καὶ ἤσθιε, καὶ ἔπινε, καὶ περιεπόλει τὴν γῆν παιδεύων, διδάσκων, νουθετῶν, θαυματουργῶν δι' ὧν προὔλεγε, δι' ὧν παρῄνει, δι' ὧν συνεβούλευε, δι' ὧν ἔπασχε, [δι' ὧν ὑπέμεινε,] δι' ὧν ἐπηγγέλλετο, δι' ὧν ἐδίδου. καὶ γὰρ τὰ μὲν ἐντεῦθεν ἤδη παρεῖχε, τὰ δὲ πρὸς τὸ μέλλον ἐταμιεύσατο· ἃ καὶ ὅτι δώσει, καὶ δι' ὧν ἔτι περιὼν ἐπὶ γῆς θαυμάτων εἰργάσατο, δῆλον ἐποίησε, καὶ διὰ τῆς λέξεως ταῦτα ὧν προέφη πάντων ἐκβάσεως. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; τίς οὐκ ἂν ἐκσταίη, τίς οὐκ ἂν φρίξειε τὴν ἄφατον αὐτοῦ κηδεμονίαν, ἐννοῶν πῶς ὑπὲρ τῶν ἀγνωμόνων οἰκετῶν τὸν μονογενῆ [υἱὸν] εἰς θάνατον ἐκδέδωκε, θάνατον τὸν ἐπάρατον, τὸν ἐπονείδιστον, τῶν τὰ ἀνήκεστα τετολμηκότων, θάνατον τὸν τῶν καταδίκων; καὶ γὰρ ἐφ' ὑψηλοῦ τοῦ ἰκρίου ἀνεσκολοπίζετο, καὶ ἐνεπτύετο, καὶ ἐρραπίζετο, καὶ ἐπὶ κόρρης ἐτύπτετο, καὶ ἐκωμῳδεῖτο, καὶ ἐν μέρει χάριτος ἐθάπτετο, καὶ σήμαντρα αὐτοῦ τῷ μνήματι ἐπετίθετο, καὶ ταῦτα ἅπαντα ὑφίστατο διὰ σὲ καὶ τὴν κηδεμονίαν τὴν σὴν, ἵνα τῆς ἁμαρτίας ἡ τυραννὶς ἀναιρεθῇ, ἵνα καθαιρεθῇ τοῦ διαβόλου ἡ ἀκρόπολις, ἵνα τμηθῇ τοῦ θανάτου τὰ νεῦρα, ἵνα ἀνοιγῶσιν ἡμῖν αἱ τοῦ οὐρανοῦ πύλαι, ἵνα ἀφανισθῇ ἡ ἀρὰ, ἵνα ἡ προτέρα καταδίκη λυθῇ, ἵνα μάθῃς ὑπομονὴν, ἵνα παιδευθῇς καρτερίαν, ἵνα μηδέν σε τῶν τοῦ παρόντος βίου λυπῇ, μὴ θάνατος, μὴ ὕβρεις, μὴ λοιδορίαι, μὴ σκώμματα, μὴ μάστιγες, μὴ ἐχθρῶν ἐπιβουλαὶ, μὴ ἐπήρειαι, [μὴ ἔφοδοι,] μὴ συκοφαντίαι, μὴ ὑπολήψεις πονηραὶ, μὴ ἄλλο τῶν τοιούτων μηδέν. διὰ γὰρ πάντων καὶ αὐτὸς ἦλθε, καὶ πάντων σοι τούτων ἐκοινώνησε, καὶ διὰ πάντων μεθ' ὑπερβολῆς ἐκράτησε, παιδεύων σε καὶ διδάσκων μηδὲν τῶν τοιούτων δεδοικέναι. καὶ οὐδὲ τούτοις ἠρκέσθη μόνον, ἀλλὰ καὶ ἀνελθὼν εἰς οὐρανοὺς πνεύματος ἁγίου ἐχαρίσατο χάριν ἄφατον, καὶ ἀποστόλους ἔπεμψεν αὐτοῦ πρὸς τοῦτο διακονησομένους. καὶ ἐρῶν αὐτοὺς τοὺς τῆς ζωῆς κήρυκας τὰ μυρία πάσχοντας κακὰ, μαστιζομένους, ὑβριζομένους, [καταποντιζομένους,] κατατεινομένους λιμῷ καὶ δίψῃ, καθ' ἑκάστην ἡμέραν ἀγχομένους, θανάτοις συζῶντας καθημερινοῖς, ἠνείχετο διὰ σὲ, καὶ τὴν κηδεμονίαν τὴν σήν. διὰ σὲ, ἄνθρωπε, καὶ βασιλείαν ἡτοίμασε, διὰ σὲ τὰ ἀγαθὰ τὰ ἀπόρρητα, τὴν λῆξιν ἐκείνην τὴν ἐν οὐρανοῖς, τὰς μονὰς τὰς διαφόρους καὶ ποικίλας, τὴν μακαριότητα, τὴν οὐδέποτε λόγῳ ἑρμηνευθῆναι δυναμένην. τοσαῦτα οὖν ἔχων δείγματα αὐτοῦ τῆς προνοίας, τὰ ἐν τῇ καινῇ, τὰ ἐν τῇ παλαιᾷ, τὰ ἐν τῷ παρόντι βίῳ, τὰ ἐν τῷ μέλλοντι, τὰ ἐσόμενα, τὰ γινόμενα, τὰ καθ' ἑκάστην ἐπιτελούμενα τὴν [ἡμέραν,] τὰ ἐξ ἀρχῆς, τὰ ἐν τῷ μέσῳ, τὰ ἐν τῷ τέλει, τὰ διηνεκῶς, τὰ περὶ σῶμα, τὰ περὶ ψυχὴν, καὶ νιφάδας ὁρῶν πάντοθεν φερομένας ἀποδείξεων, ἀνακηρυττούσας αὐτοῦ τὴν πρόνοιαν, ἀμφιβάλλεις ἔτι; ἀλλ' οὐκ ἀμφιβάλλεις, πιστεύεις δὲ ὅτι προνοεῖ, καὶ πέπεικας σαυτὸν τοῦτο; οὐκοῦν μηδὲν περιεργάζου πλέον, εἰδὼς τοῦτο σαφῶς, ὅτι δεσπότην ἔχεις πατέρων φιλοστοργότερον, καὶ μητέρων κηδεμονικώτερον, νυμφίου καὶ νύμφης ἐρῶντος ἐρωτικώτερον, οἰκείαν ἀνάπαυσιν τὴν σὴν ἡγούμενον σωτηρίαν, καὶ μᾶλλον ἐπὶ ταύτῃ χαίροντα, ἢ σὺ ἐπὶ ἀπαλλαγῇ κινδύνων καὶ θανάτων (ὅπερ ἔδειξα διὰ τοῦ Ἰωνᾶ) καὶ πολὺ εἶδος ἀγάπης ἐπιδεικνύμενον, ὁ πατὴρ περὶ παῖδας ἔχει, ἢ μήτηρ περὶ ἔκγονα, ὁ ἀμπελουργὸς περὶ φυτὰ, ὁ οἰκοδόμος περὶ τέχνην, ὁ νυμφίος περὶ νύμφην, ὁ νεανίσκος περὶ παρθένον· καὶ βουλόμενον ἀποστῆσαί σου τὰ κακὰ, ἴσον ἀφέστηκεν ἀνατολὴ τῆς δύσεως, ὅσον ὑψηλότερος τῆς γῆς ὁ οὐρανὸς (καὶ γὰρ καὶ τοῦτο ἀπεδείξαμεν) μᾶλλον δὲ οὐ τοσοῦτον μόνον, ἀλλὰ καὶ πολλῷ πλέον· καθάπερ ἐδείξαμεν τὸν περὶ τούτων κινοῦντες λόγον,

καὶ

γρ. σωτηρίας.

γρ. δι' ὧν ἐθαυματούργει.

γρ. τὰ μὲν γὰρ ἔδωκε, τὰ δὲ καὶ ὑπέσχετο. [illegible]

γρ. ἐγείρεσθαι.

γρ. τὰ μυρία κομίζοντας ἡμῖν ἀγαθά.

γρ. πανταχόθεν

καὶ παραινέσαντες μὴ μέχρι τῶν εἰκότων ἑστάναι, ἀλλ' ὑπερβαίνειν τοῖς λογισμοῖς. ἀνερμή-
νευτος γάρ ἡ τοῦ Θεοῦ πρόνοια, καὶ ἀκατάληπτος αὐτοῦ ἡ κηδεμονία, ἄρρητος ἡ ἀγαθότης καὶ
ἀνεξιχνίαστος ἡ φιλανθρωπία. ταῦτα οὖν ἅπαντα εἰδὼς, καὶ δι' ὧν ἀπεφήναμεν, καὶ δι' ὧν
ἐποιήσατε [καὶ δι' ὧν ποιήσει,] μηδὲν περιεργάζου, μηδὲ πολυπραγμόνει, μηδὲ λέγε, διὰ τί
5 τοῦτο; εἰς τί τοῦτο; πῶς γὰρ οὐ μανικὸν, καὶ ἐσχάτης ἀπονοίας καὶ παραπληξίας γέμεσον, ἰα-
τρὸν μὲν μηδέποτε πολυπραγμονεῖν τέμνοντα, καίοντα, πικρὰ ἐπιτιθέντα φάρμακα, κἂν
οἰκέτης ᾖ, ἀλλὰ κεῖσθαι σιγῇ τὸν δεσπότην ταῦτα πάσχοντα, καὶ χάριν εἰδέναι καὶ τῆς καύ-
σεως αὐτῷ καὶ τῆς τομῆς καὶ τῶν φαρμάκων, καίτοι ταῦτα ἔστω ἄδηλον τῷ μέλλοντι (πολ-
λοὶ γὰρ πολλοὺς καὶ ἀπέκτειναν ταῦτα ποιήσαντες) καὶ παραχωρεῖν αὐτῷ μετὰ πολλῆς τῆς
10 ὑποταγῆς ταῦτα ποιοῦντι· καὶ ἐπὶ ναύτου δὲ τὸ αὐτὸ τοῦτο ποιεῖν, καὶ οἰκοδόμου, καὶ ἐπὶ τῶν
τὰ ἄλλα ἐπιτηδεύματα μετιόντων· λέγω δὴ καταγέλαστοι εἰσὶ νομίζειν, τὸν ἰδιώτην καὶ
ἄπειρον ἀπαιτεῖν τὰς αἰτίας τῶν γινομένων ἁπάντων τὴν τέχνην, τὴν δὲ ἄφατον σοφίαν
ἐκείνην, τὴν ἄφραστον, τὴν ἄρρητον, τὴν ἀκατάληπτον περιεργάζεσθαι, καὶ ζητεῖν διὰ τί
τὸ καὶ τὸ γέγονε, καὶ ταῦτα εἰδότας σαφῶς, ὅτι ἀδιεξίτητος ἡ σοφία αὕτη, [ὅτι πολλὴ ἀγαθό-
15 της αὐτοῦ,] ὅτι ἄρρητος ἡ πρόνοια, ὅτι [πάντα] πρὸς [τὸ] τέλος ἅπαντα χρηστὸν τὰ παρ'
αὐτοῦ γινόμενα εἰς ἡμᾶς (μόνον εἰ μὴ τὰ ἡμέτερα διακόπτοιτο) ὅτι οὐδένα ἀπολέσθαι
βούλεται, ἀλλὰ σῶσαι; πῶς οὖν οὐχ ὑπερβαινούσης μανίας τὸν πάντας σῶσαι καὶ βουλό-
μενον καὶ δυνάμενον περιεργάζεσθαι ἐκ προοιμίων καὶ εὐθέως, καὶ μηδὲ τὸ τέλος ἀναμένειν τῶν
γινομένων;

20 Μάλιστα μὲν γὰρ οὔτε ἐκ προοιμίων, οὔτε μετὰ ταῦτα πολυπραγμονεῖν δεῖ. εἰ δὲ οὕτω
περίεργος εἶ καὶ πολυπράγμων, ἀνάμενε τὸ τέλος, καὶ σκόπει ποῦ ταῦτα ἀπαντᾷ, καὶ μὴ
θορυβοῦ, μηδὲ ταράττου ἐκ προοιμίων· ἐπεὶ καὶ τὸν χρυσοχόον ἄπειρός τις ὁρῶν ἐν ἀρχῇ
τήκοντα τὸ χρυσίον, καὶ τῇ τέφρᾳ ἀναμιγνύντα καὶ τοῖς ἀχύροις, εἰ μὴ τὸ τέλος ἀναμείνειεν, ἡγή-
σεται ἀπολωλέναι τὸ χρυσίον· οὕτω καὶ ἐν θαλάττῃ τις τραφεὶς καὶ τραφεὶς, εἶτα ἀθρόον
25 εἰς τὴν μεσόγειον μετοικισθεὶς καὶ καθόλου τῆς περὶ τὴν γῆν ἐπιμελείας ἀνήκοος ὢν, ἀν
ἴδῃ τὸν σῖτον τὸν ἀποκείμενον καὶ φυλαττόμενον ὑπὸ θύραις καὶ μοχλοῖς καὶ νοτίδος ἀπηλλαγ-
μένον, ἀθρόον ὑπὸ τοῦ γηπόνου ἐκφερόμενον, σκορπιζόμενον, ῥιπτούμενον, [καὶ ἐπὶ τῆς ἀ-
ρούρας κείμενον τοῖς παριοῦσιν ἅπασι,] καὶ οὐ μόνον οὐκ ἀπηλλαγμένον νοτίδος, ἀλλὰ καὶ πηλῷ
καὶ τέλμασι παραδιδόμενον, καὶ φύλακα οὐδένα ἔχοντα, οὐκ ἂν ἀπολέσθαι τὸν σῖτον νομί-
30 σειε, καὶ κατέγνω τοῦ ταῦτα ποιοῦντος γηπόνου; ἀλλ' οὐ τῆς τοῦ πράγματος φύσεως ἡ κατά-
γνωσις, ἀλλὰ τῆς τοῦ μὴ καλῶς κρίνοντος ἀπειρίας τε καὶ ἀνοίας, ἐκ προοιμίων εὐθέως
τὴν ψῆφον φέροντος. ἐπεὶ εἰ τὸ θέρος ἀνέμεινε, καὶ εἶδε τὰ λήϊα κυμαίνοντα, καὶ τὴν δρε-
πάνην ἠκονημένην, καὶ τὸν σκορπισθέντα [καὶ ἀφύλακτον μείναντα σῖτον, καὶ σαπέντα] καὶ
διαφθαρέντα καὶ τῷ πηλῷ παραδοθέντα, τοῦτον ἐγειρόμενον καὶ πολυπλασίονα γινόμενον,
35 ὡραιότερόν τε φαινόμενον [καὶ τὴν παλαιότητα ἀποθέμενον] καὶ μετὰ πολλῆς ὀρθούμενον
τῆς σφοδρότητος, καὶ δορυφόρους οἷς ἔχοντα καὶ ἐνδύματα, καὶ καλάμην πρὸς ὕψος
ἐγειρόμενα, καὶ τέρποντα τὸν θεατὴν καὶ τρέφοντα καὶ πολὺ παρέχοντα τὸ κέρδος, τότε ἂν ἐξ-
επλάγη μειζόνως, ὅτι διὰ τούτων ἐπὶ τοιαύτην ἦλθεν εὐθηνίαν καὶ φαιδρότητα ὁ καρπός.
καὶ σὺ τοίνυν, ἄνθρωπε, μάλιστα μὲν μὴ περιεργάζου τὸν κοινὸν ἁπάντων ἡμῶν δεσπότην·
40 εἰ δὲ οὕτω φιλόνεικος εἶ καὶ τολμηρὸς, ὡς μάχεσθαι τὴν μανίαν ταύτην, κἂν τὸ τέλος
ἀνάμεινον τῶν γινομένων. εἰ γὰρ ὁ γηπόνος ὁλόκληρον ἀναμένει χειμῶνα, οὐ πρὸς ταῦτα
ἀφορῶν πάντως, βλέπων κατὰ τὴν ὥραν τοῦ κρυμοῦ, ἀλλὰ πρὸς ἐκεῖνα ὧν ἀπολαύειν μέλ-
λει, πολλῷ μᾶλλον καὶ αὐτὸς ἐπὶ τοῦ τὴν οἰκουμένην γεωργοῦντος πᾶσαν, καὶ τὰς ψυχὰς
τὰς ἡμετέρας δίκαιος ἂν εἴης ἀναμένειν τὸ τέλος· λέγω δὲ τέλος οὐ τὸ ἐν τῷ παρόντι βίῳ

γρ. ἰχῶρας

γρ. ἀπολλύμενον

γρ. φύλακας

γρ. ἀναμένων

γρ. ἔρρ

κεφ. θ.
Ὅτι οὐ περιεργάζεσθαι χρὴ, καὶ ὅτι δεῖ ἀναμένειν τὰ τέλη τῶν πραγμάτων.

μόνον λέγω (πολλάκις γὰρ τοῦτο καὶ ἐνταῦθα ἐστὶ) ἀλλὰ καὶ τὸ ἐν τῷ μέλλοντι. πρὸς ἓν γὰρ βλέπει τέλος ἑκατέρων τῶν βίων τούτων ἡ οἰκονομία, τὴν σωτηρίαν τὴν ἡμετέραν καὶ τὴν εὐδοκίμησιν. εἰ γὰρ καὶ τῷ χρόνῳ διήρηται, ἀλλὰ τῷ σκοπῷ συνῆπται. καὶ ὥσπερ νῦν μὲν χειμὼν, νῦν δὲ ἔαρ, ἑκάτερα δὲ τοῦ ἔτους ἡ τροπὴ πρὸς ἓν βλέπει, τὴν τῶν καρπῶν τὴν ἀκμὴν, οὕτω δὴ καὶ ἐπὶ τῶν ἡμετέρων ἐστὶ πραγμάτων. ὅταν οὖν ἴδῃς τὴν ἐκκλησίαν σκορπισθεῖσαν, τὰ ἔσχατα παθοῦσαν, ἐλαυνομένους, μαστιζομένους τοὺς ἐν αὐτῇ λάμποντας, τὸν πρόεδρον αὐτοὺς πορρωτάτω ἀπενεχθέντα, μὴ ταῦτα σκόπει μόνον, ἀλλὰ καὶ τὰ ἐκ τούτων ἐκβησόμενα, τοὺς μισθοὺς, τὰς ἀμοιβὰς, τὰ βραβεῖα, τὰ ἔπαθλα. Ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται, φησίν. ἐπὶ μὲν γὰρ τῆς παλαιᾶς, ἐπειδὴ οὐδέπω γνώριμος ὁ τῆς ἀναστάσεως λόγος ἦν, ἐν τῷ παρόντι βίῳ ἀμφότερα ἐγίνετο· ἐπὶ δὲ τῆς καινῆς οὐ πανταχοῦ τοῦτο, ἀλλ' ἔστιν ὅπου τὰ μὲν λυπηρὰ ἐνταῦθα, τὰ δὲ χρηστὰ ἀναμένει τὴν ἐντεῦθεν ἡμῶν ἀποδημίαν. ἀλλ' ὅμως εἰ καὶ ἐν τῷδε τῷ βίῳ τὰ χρηστὰ αὖθις ἐξέβαινε καὶ παρούσῃ ζωῇ, καὶ ἐν τούτῳ μάλιστα θαυμαστοὶ ἂν εἶεν τῶν τούτων μὴ ἀπολελαυκότες, ὅτι μήτε τὸν περὶ ἀναστάσεως σαφῶς εἰδότες λόγον, καὶ τὰ ἐναντία τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ συμβαίνοντα ὁρῶντες ἐπὶ τῶν πραγμάτων, οὐκ ἐσκανδαλίζοντο, [οὐκ ἐθορυβοῦντο,] οὐδὲ ἐταράττοντο, ἀλλὰ παρεχώρουν αὐτοὶ τῇ ἀκαταλήπτῳ προνοίᾳ, οὐδὲ ἐκ τῶν ἐναντίως γινομένων σκανδαλιζόμενοι, ἀλλ' εἰδότες αὐτοῦ τὸ εὔπορον καὶ εὐμήχανον τῆς σοφίας, τὸ τέλος ἀνέμενον, μᾶλλον δὲ καὶ πρὸ τοῦ τέλους πολὺ, ὅπερ εἰς αὐτοὺς ἐτολμᾶτο, ἔφερον εὐχαρίστως, καὶ τὸν συγχωροῦντα ταῦτα γίνεσθαι Θεὸν δοξάζοντες διετέλουν. τάχα ἀσαφὴς ὁ λόγος οὗτος ὑμῖν εἶναι δοκεῖ· οὐκοῦν σαφέστερον αὐτὸν ποιῆσαι πειράσομαι.

Γέροντι γενομένῳ ποτὲ τῷ Ἀβραὰμ, καὶ πρὸς παιδοποιΐαν ἐκ τῆς ἡλικίας νεκρωθέντι λοιπὸν (εἰς γὰρ τὸ γενέσθαι πατὴρ, οὐδὲν ἄμεινον τῶν τετελευτηκότων διέκειτο ζῶν) γέροντι τοίνυν ὄντι τῷ δικαίῳ, καὶ σφόδρα γέροντι, καὶ τῆς φυσικῆς παιδοποιΐας ὑπερβάντι τοὺς ὅρους ἐκ πολλοῦ τοῦ περιόντος, ἔχοντι δὲ καὶ σύνοικον πέτρας ἀγονωτέραν τὴν Σάρραν, ἐπηγγέλλετο πατέρα ποιήσειν ὁ Θεὸς τοσούτων ἐκγόνων αὐτὸν, ὡς παρισοῦσθαι αὐτῶν τὸ πλῆθος τῷ πλήθει τῶν ἄστρων. ὁ δὲ * τοσούτων κωλυμάτων ὄντων, τῆς ἡλικίας ἤδη εἰς ἔσχατον γῆρας κατενεχθείσης, [καὶ] τῆς γυναικὸς ἀπό τε τῆς ἡλικίας, ἀπό τε τῆς φύσεως πεπηρωμένης (οὐ γὰρ τὸ γῆρας διεκώλυε μόνον, ἀλλὰ καὶ αὐτὴ τῆς φύσεως ἡ πήρωσις. καὶ γὰρ καὶ νέας οὔσης ἄχρηστον τὸ τῆς φύσεως ἐργαστήριον ἦν. στεῖρα γὰρ ἦν ἡ γυνή. διὸ καὶ Παῦλος ἐπισημαινόμενος τοῦτο αὐτὸ, [οὕτως] ἔλεγε, Καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας. οὐκ εἶπε τὴν νέκρωσιν Σάρρας ἁπλῶς, ἵνα μὴ τὴν ἡλικίαν ὑποπτεύσῃς μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς μήτρας τὴν νέκρωσιν, τὴν οὐκ ἀπὸ χρόνων μόνον, ἀλλὰ καὶ ἀπὸ φύσεως γεγενημένην) ἀλλ' ὅμως καὶ τηλικούτων, ὅπερ ἔφην, κωλυμάτων ὄντων, εἰδὼς τί ποτέ ἐστιν ἐπαγγελία Θεοῦ, πῶς εὐμήχανός τε καὶ εὔπορος, καὶ οὐ νόμοις φύσεως, οὐ δυσκολίᾳ πραγμάτων, οὐκ ἄλλῳ τινὶ κωλυομένη, ἀλλὰ διὰ τῶν ἐναντίων βαδίζουσα, καὶ τὸ ἐπηγγελμένον εἰς ἔργον ἄγουσα, κατεδέξατο τὸ εἰρημένον, καὶ ἐπίστευσε τῇ ὑποσχέσει· καὶ τὸν θόρυβον τὸν ἐκ τῶν λογισμῶν οὐδὲ κινηθῆναι ὅλως ἀφεὶς, ἀξιόπιστον ἔκρινεν εἶναι (ὥσπερ οὖν καὶ ἔστι) πρὸς τὴν τῆς ἐπαγγελίας πλήρωσιν τοῦ ὑποσχομένου τὴν δύναμιν· οὐκ ἐξετάσας, πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται, καὶ τίνος ἕνεκεν οὐκ ἐν νεότητι, ἀλλ' ἐν γήρᾳ, καὶ ὀψέ ποτε καὶ βραδέως. διὸ καὶ ὁ Παῦλος αὐτὸν ἀνακηρύττει μετὰ λαμπρᾶς τῆς φωνῆς οὕτω λέγων· Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν. τί ἐστι, παρ' ἐλπίδα ἐπ' ἐλπίδι; παρ' ἐλπίδα τὴν ἀνθρωπίνην, ἐπ' ἐλπίδι τῇ τοῦ * Θεοῦ, τῇ πάντα νικώσῃ, τῇ πάντα δυναμένῃ, τῇ πάντων περιγινομένῃ. καὶ ἐπίστευσεν οὐκ εἰς τὸ πατὴρ γενέσθαι μόνον, ἀλλὰ καὶ ἐθνῶν τοσούτων, ὁ γέρων καὶ ἄγονος, ὁ στεῖραν καὶ γεγηρακυῖαν γυναῖκα ἔχων, κατὰ τὸ εἰρημένον· Οὕτως ἔσται τὸ σπέρμα σου. καὶ μὴ ἀσθενή-

σας

Ματθ. ι. κϐ.
Γεν. ιζ. ι.
Ὅτι καὶ οἱ παλαιοὶ τὰ τέλη τῶν πραγμάτων ἀνέμενον.
Ῥωμ. δ. ιθ.
Ῥωμ. δ. ιη.
Γεν. ιε. ε.
Ῥωμ. δ. ιθ. κ. κα.

χ. ἦν
χ. ἤδη
χ. πρεσβύτῃ
* καί τοι τοιοῦτος ὤν
χ. ἐλθούσης,
χ. τοῦ χρόνου
χ. στείρας οὔσης αὐτῆς.
χ. νόμῳ
χ. τῆς ἐπαγγελίας ἀπόδειξιν
* ζῶντος

σας τῇ πίστει οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων, καὶ τὴν
νέκρωσιν τῆς μήτρας Σάῤῥας, εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυ-
ναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς, ὅτι, ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ
ποιῆσαι. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἀναπηδήσας καὶ ἐξαλλόμενος εὐθέως ἀπὸ τῆς ἀνθρω-
5 πίνης ἀσθενείας, καὶ πρὸς τὸ ὕψος ἀναδραμὼν τοῦ ὑποσχομένου, καὶ ἐννοήσας αὐτοῦ τὴν ἄ-
φατον δύναμιν, ἐπείσθη σαφῶς, ὅτι πάντως ἔσται τὸ εἰρημένον. καὶ τούτῳ μάλιστα τὸν
Θεὸν ἐδόξασε, τῷ μὴ περιεργάσασθαι, μηδὲ πολυπραγμονῆσαι, * ἀλλὰ τῷ ἀκαταλή-
πτῳ τῆς " σοφίας αὐτοῦ καὶ τῆς δυνάμεως παραχωρῆσαι καὶ μηδὲν ἀμφιβάλλειν ὅλως πε-
ρὶ τῶν εἰρημένων. ὁρᾷς ὅτι τοῦτο ἐστι μάλιστα [τὸ] δοξάζειν τὸν Θεὸν, τὸ ἀεὶ παραχωρεῖν αὐ-
10 τοῦ τῷ ἀκαταλήπτῳ τῆς προνοίας καὶ τῇ ἀῤῥήτῳ δυνάμει καὶ σοφίᾳ, καὶ μὴ περιεργάζεσθαι, μηδὲ
πολυπραγμονεῖν, μηδὲ λέγειν, διατί τοῦτο; εἰς τί τοῦτο; πῶς τοῦτο ἔσται; οὐ τοῦτο δὲ μόνον
ἐστὶ τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ τὸν υἱὸν αὐτοῦ ἐκεῖνον, τὸν μονογενῆ καὶ γνήσιον, μετὰ τὴν ὑπό-
σχεσιν ταύτην ἐκελεύετο καταθύειν, καὶ " οὐδὲ τότε ἐσκανδαλίζετο. καίτοι πολλὰ ἦν τὰ
δυνάμενα σκανδαλίσαι τὸν μὴ νήφοντα, [μηδὲ ἐγρηγορότα·] καὶ αὐτὸ πρῶτον τὸ ἐπί-
15 ταγμα, εἰ ὁ Θεὸς τοιαύτας καταδέχεται θυσίας, καὶ παιδοκτόνους εἶναι κελεύει τοὺς πατέ-
ρας, καὶ βιαίῳ τελευτῇ καταλύειν τὸν βίον, καὶ ἀώρῳ παραδιδόναι τοὺς παῖδας θανάτῳ, καὶ
αὐτόχειρας γενέσθαι τῶν γεννηθέντων, καὶ αἵματι τοιούτῳ τὸν βωμὸν αἱμάσσεσθαι βούλεται
τὸν αὐτοῦ, καὶ δεξιὰν ὁπλίζεσθαι πατρικὴν κατὰ τοῦ μονογενοῦς παιδὸς, καὶ φονέων εἶναι χα-
λεπωτέρους τοὺς δικαίους· καὶ μετὰ " τούτου καὶ ἡ τῆς φύσεως τυραννὶς θρυβοῦσα, ταράττουσα, οὐκ
20 ἐπειδὴ πατὴρ ἦν μόνον, ἀλλ' ἐπειδὴ καὶ φιλόστοργος, καὶ πατὴρ τοιούτου παιδὸς, γνησίου, μονογε-
νοῦς, καλοῦ μὲν ἰδεῖν, καλοῦ δὲ νοῆσαι. καὶ γὰρ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας ἦν, καὶ αὐτῇ τῆς
ἀρετῆς τῇ ἀκμῇ, διπλῇ τότε ἀπολάμπων τῇ εὐμορφίᾳ, καὶ τῇ τῆς ψυχῆς, καὶ τῇ τοῦ σώ-
ματος. οὐ μικρὸν δὲ εἰς " φιλοστοργίαν *, καὶ τὸ παρ' ἐλπίδα δοθῆναι πᾶσαν. ἴστε γάρ πως
" ποθεινὰ τὰ τοιαῦτα παιδία, τὰ παρ' ἐλπίδα καὶ προσδοκίαν, καὶ οὐ νόμῳ φύσεως κε-
25 χαρισμένα, οἷος ἐκεῖνος ἦν. καὶ μετὰ τούτων δὴ πάντων τὸ μάλιστα ἰσχῦον παρασχεῖν σκάνδαλον
ἡ ἐπαγγελία καὶ ἡ ὑπόσχεσις ἦν. ἐναντίον γὰρ ἦν αὐτῇ τὸ ἐπιταχθέν. τὸ μὲν γὰρ ἐπαγ-
γελθὲν ἦν, οὕτως ἔσται τὸ σπέρμα σου, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ· τὸ δὲ ἐπιτεταγμένον, τὸν υἱὸν τὸν μο-
νογενῆ, ἀφ' οὗ πᾶσαν ἔμελλεν ἐμπλήσειν τὴν οἰκουμένην, τοῦτον ἐκ μέσου γίνεσθαι, καὶ θανά-
τῳ παραδίδοσθαι καὶ σφαγῇ χαλεπωτάτῃ. ἀλλ' οὐδὲ οὕτως ἐσκανδαλίζετο, οὐδὲ ἐθορυ-
30 βεῖτο ὁ δίκαιος ἐκεῖνος, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν τινα τῶν ἀνοήτων παθεῖν καὶ χαμαὶ
συρομένων. οὐδὲ γὰρ εἶπε πρὸς ἑαυτὸν, τί τοῦτο; ἠπατήθημεν; παρελογίσθημεν; Θεοῦ
τοῦτο ἐπίταγμα; ἄπαγε· οὐ πείθομαι τὸ παιδοκτόνον με γενέσθαι " ἀμήχανον, καὶ τοιούτῳ
φοινίξαι αἵματι τὴν δεξιὰν μου. πῶς δὲ καὶ τὰ τῆς ἐπαγγελίας ἕξει πέρας; ἂν γὰρ ἀνέλω τὴν
ῥίζαν, πόθεν οἱ κλάδοι; πόθεν οἱ καρποί; ἂν καταχώσω τὴν πηγὴν, πόθεν οἱ ποταμοί;
35 ἂν " ἀφανίζω τὸν υἱὸν, πόθεν μοι τὸ πλῆθος τῶν ἐκγόνων τὸ τῷ πλήθει τῶν ἄστρων παρισούμε-
νον; πῶς δύναμαι ὑπέχεσθαι ἔπειτα, καὶ ἐναντία ἐπιτάττειν νῦν; τούτων οὐδὲν οὐκ εἶπεν, οὐκ ἐν-
ενόησεν· ἀλλὰ πάλιν ἐπὶ τὴν δύναμιν τοῦ ἐπαγγειλαμένου ταῦτα καταφυγὼν, τὴν ἄφα-
τον, τὴν εὐμήχανον, τὴν εὔπορον, τὴν διὰ τῶν ἐναντίων διαλάμπουσαν, τὴν ἀνω-
τέραν τῶν τῆς φύσεως νόμων, τὴν πάντων δυνατωτέραν, τὴν οὐδὲν ἔχουσαν τὸ ἀντι-
40 πίπτον, καὶ τοῦτο μετὰ πολλῆς τῆς πληροφορίας τὸ ἐπίταγμα ἤνυε, καὶ ἔσφαξε τὸν
υἱὸν, καὶ ᾔμαξε τὴν δεξιὰν, καὶ ἐφοίνιξε τὸ ξίφος, καὶ διὰ τῆς " δειρῆς τὴν μάχαιραν ἤλασεν. εἰ
γὰρ καὶ μὴ τῷ ἔργῳ, ἀλλὰ τῇ γνώμῃ ταῦτα πάντα ἐπλήρωσε. διὸ καὶ Μωϋσῆς αὐτὸν θαυ-
μάζων, οὕτως ἔφη· Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα, ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραὰμ, καὶ
εἶπεν αὐτῷ· λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας, τὸν Ἰσαὰκ, καὶ ἀνένεγκε αὐτὸν ἐφ' ἓν

Margin notes: * ἴσως, κ. περινοίας — κ. ὕπο — κ. τύπων — κ. πόθον — * ἦν — κ. ὑπέραστα — κ. ἄδικον — κ. σφάξω — κ. δέρης — Γεν. κβ. α.

τῶν ὀρέων, ὧν ἂν σοι εἴπω. ταῦτα τὰ τῆς ὑποσχέσεως ῥήματα; τὰ τῆς ἐπαγγελίας, τὰ λέγοντα, ὅτι πλήθους ἐκγόνων ἔσται πατὴρ, καὶ ἔσται τὸ σπέρμα αὐτοῦ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ; ὅρα πῶς μετὰ τὰ ῥήματα ταῦτα ἀκούσας σφάξαι τὸν υἱὸν, κατεδέξατο τὸν, ἀφ' οὗ τοῦτο ἔμελλεν ἔσεσθαι τὸ πλῆθος, τοῦτον ἀνελεῖν, καὶ καταθῦσαι, καὶ ἐκ μέσου ποιῆσαι, καὶ ἱερεῖον τῷ Θεῷ προσαγαγεῖν. καὶ ὁ Παῦλος δὲ αὐτὸν ἐντεῦθεν θαυμάζων πάλιν οὕτως ἐστεφάνου καὶ ἀνεκήρυττε λέγων· Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος. εἶτα δεικνὺς ἡλίκον πρᾶγμα ἐποίησε καὶ ὅσην ἐπεδείξατο πίστιν, ἐπήγαγε· Καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας δεξάμενος. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἔστιν εἰπεῖν, φησιν, ὅτι δύο παῖδας εἶχε γνησίους, καὶ προσεδόκα, ἀναιρεθέντος τούτου, ἀπὸ τοῦ ἑτέρου τοῦ πλήθους ἐκείνου ἔσεσθαι πατὴρ, ἀλλὰ καὶ μόνον εἶχεν αὐτὸν, καὶ ἀπὸ μόνου τούτου τὰ τῆς ἐπαγγελίας ἤρτητο· καὶ ὅμως τοῦτον εἵλετο καταθῦσαι, ὥσπερ ἐν τῇ ὑποσχέσει τῆς γεννήσεως αὐτοῦ μήτε τῇ οἰκείᾳ νεκρώσει, μήτε τῇ πηρώσει τῆς φύσεως τῆς γυναικὸς κωλυθεὶς πρὸς τὴν πίστιν, οὕτως οὐδὲ ἐν ταύτῃ τῷ θανάτῳ παρεμποδισθείς. παράβαλε τοίνυν ταῦτα πρὸς τὰ νῦν γεγενημένα, καὶ ὄψει σου τὴν μικροψυχίαν, καὶ ὄψει τὴν εὐτέλειαν τῶν σκανδαλιζομένων, καὶ εἴσῃ σαφῶς, ὅτι οὐδαμόθεν ἑτέρωθέν σοι τὸ σκάνδαλον γέγονεν, ἢ ἐκ τοῦ μὴ παραχωρεῖν τῇ ἀκαταλήπτῳ τοῦ Θεοῦ προνοίᾳ, ἀλλ' ἐπιζητεῖν οἰκονομιῶν τρόπον [πανταχοῦ], καὶ αἰτίας τῶν γινομένων ἀπαιτεῖν, καὶ ἕκαστα περιεργάζεσθαι· ὅπερ εἰ ἔπαθεν ὁ Ἀβραὰμ, ἔμελλε πρὸς τὴν πίστιν χωλεύειν. ἀλλ' οὐκ ἔπαθε· διὸ καὶ ἔλαμψε, καὶ πάντων ἐπέτυχε τῶν ἐπηγγελμένων, οὐδὲ ἐσκανδαλίζετο οὐδὲ τῷ γήρᾳ, οὐδὲ τῷ μετὰ ταῦτα ἐπιτάγματι· οὐδὲ ἐνόμισε κώλυμα εἶναι τὸ ἐπίταγμα τῇ ὑποσχέσει, οὔτε ἀναιρετικὴν εἶναι τὴν θυσίαν τῆς ἐπαγγελίας, οὐδὲ εἰς ἀπόγνωσιν ἐνέπιπτε τῆς ὑποσχέσεως, καίτοι πρὸς αὐτὸ τὸ πέρας τοῦ πράγματος ἐλθών. μὴ γάρ μοι τοῦτο λέγε, ὅτι οὐκ εἴασεν ὁ Θεὸς εἰς ἔργον τὸ ἐπίταγμα ἐλθεῖν, οὐδὲ αἱμάξαι τοῦ δικαίου τὴν δεξιάν· ἀλλ' ἐκεῖνο σκόπει, ὅτι τούτων οὐδὲν ὁ δίκαιος ᾔδει, οὐδὲ ὅτι ζῶντα ἀπολήψεται τὸν υἱὸν, καὶ οὕτως οἴκαδε ἐπιστρέψαι ἠπίστατο· ἀλλ' ἔτεινεν ὅλην πρὸς τὴν σφαγὴν τὴν ἑαυτοῦ γνώμην. διὰ τοῦτο καὶ ἐκ δευτέρου καλεῖται ἐκ τῶν οὐρανῶν. οὐ γὰρ εἶπεν αὐτῷ, Ἀβραὰμ ἁπλῶς, ἀλλὰ, Ἀβραὰμ, Ἀβραὰμ, τῷ διπλασιασμῷ τῆς φωνῆς τὴν ἐπιτεταμένην πρὸς τὴν θυσίαν προαίρεσιν ἀνείργων τε καὶ ἀναχαιτίζων· οὕτως ὅλως τοῦ ἐπιτάγματος ἦν. εἶδες πῶς τὸ πολὺ τῇ γνώμῃ αὐτοῦ ἐπεπλήρωτο, καὶ σκάνδαλον οὐδαμοῦ. τὸ δὲ αἴτιον, τὸ μὴ περιεργάζεσθαι τὰ τοῦ Θεοῦ. τί δαὶ ὁ Ἰωσήφ, εἰπέ μοι; οὐ τοιοῦτόν τι καὶ αὐτὸς πέπονθε; καὶ γὰρ κἀκείνῳ μεγάλη τις ὑπόσχεσις ἦν παρὰ τοῦ Θεοῦ δεδομένη, καὶ τὰ γινόμενα πάλιν ἀπεναντίας τῆς ὑποσχέσεως ἐγίνετο. ἡ μὲν γὰρ ὑπόσχεσις ἦν διὰ τῶν ὀνειράτων προσκυνήσειν αὐτὸν τοὺς ἀδελφούς· καὶ διπλῆ ὄψις τοῦτο ἀνεκήρυττεν, ἡ τε διὰ τῶν ἄστρων, ἥ τε διὰ τῶν δραγμάτων. τὰ δὲ μετὰ τὰς ὄψεις ταύτας συμβάντα ἐναντία τῶν ὄψεων ἦν. πρῶτον μὲν γὰρ, πόλεμος αὐτῷ χαλεπὸς ἐντεῦθεν κατὰ τὴν πατρῴαν οἰκίαν ἀνεῤῥιπίζετο, καὶ τὰς αὐτὰς αὐτῷ λύσαντες ὠδῖνας, διατεμόντες τῆς συγγενείας τοὺς νόμους, καὶ διαῤῥήξαντες τῆς ἀδελφικῆς διαθέσεως τὰ δεσμὰ, καὶ αὐτοὺς τῆς φύσεως διασαλεύσαντες τοὺς θεσμοὺς, ἐχθροὶ καὶ πολέμιοι καὶ λύκων ἀγριώτεροι περὶ τὸν ἀδελφὸν ἀπὸ τῶν ὄψεων ἐκείνων ἐγένοντο. καὶ ὥσπερ θῆρες ἄγριοι καὶ αἱμοβόροι τινὲς ἀρνίον ἐν μέσῳ λαβόντες, οὕτω καθ' ἑκάστην ἐπεβούλευον αὐτῷ τὴν ἡμέραν. καὶ πατὴρ τοῦ πολέμου τούτου φθόνος ἦν ἄλογος, καὶ βασκανία ἄδικος· καὶ τῷ θυμῷ ζέοντες, φόνου καθ' ἑκάστην ἔπνεον τὴν ἡμέραν, τοῦ φθόνου τὴν κάμινον ταύτην ἀνάπτοντος, καὶ τὴν πυρὰν ἐγείροντος. καὶ ἐπειδή πως αὐτὸν οὐδὲν ἐργάσασθαι ἠδύναντο χαλεπὸν, ἔνδον στρεφόμενον καὶ μετὰ τῶν γονέων διατρίβοντα, διαβάλλουσιν αὐτοῦ τὴν ὑπόληψιν, καὶ αἰσχρὰν κατασκευάζουσιν αὐτῷ δόξαν, καὶ ψόγον καταφέρουσι πονηρὸν, τοῦ πατρὸς τὸ φίλτρον

ταύτῃ

ταύτῃ καταλῦσαι βουλόμενοι, καὶ πρὸς ἐπιβουλὴν εὐχείρωτον λαβεῖν. Εἶτα μετὰ ταῦτα
λαβόντες αὐτὸν ἔξω τῶν πατρικῶν ὀφθαλμῶν, καὶ ἐπ' ἐρημίας εὑρόντες αὐτοῖς κομίζοντα τρο-
φὴν, καὶ εἰς ἐπίσκεψιν αὐτῶν ἀφιγμένον, οὐ τὴν αἰτίαν τῆς ἀφίξεως ᾐδέσθησαν, οὐ τὴν
τράπεζαν ἠσχύνθησαν τὴν ἀδελφικὴν, ἀλλὰ τὰ ξίφη ἠκόνουν, καὶ πρὸς σφαγὴν ηὐτρε-
5 πίζοντο, καὶ ἀδελφοκτόνοι πάντες ἐγίνοντο, οὐ μικρὸν, οὐ μέγα ἔχοντες ἐγκαλεῖν τῷ μέλλοντι ἀ-
ναιρεῖσθαι παρ' αὐτῶν· ἀλλ' ὑπὲρ ὧν αὐτὸν στεφανοῦσθαι καὶ ἀνακηρύττεσθαι ἔδει, φθονοῦντες,
πολεμοῦντες, διαβάλλοντες. ἀλλ' ἐκεῖνος οὐδὲ οὕτως ἀπεστρέφετο αὐτῶν τὴν συνουσί-
αν· ἀλλὰ καὶ ἐν τοσαύτῃ πονηρίᾳ τὴν ἀδελφικὴν ἐπεδείκνυτο διάθεσιν. Οἱ δὲ καὶ οὕτως
αὐτὸν ἀνελεῖν ἐπεχείρουν· καὶ ἀνεῖλον, τό γε αὐτῶν μέρος, καὶ τὰς δεξιὰς ἤμαξαν, καὶ τὴν ἀ-
10 δελφοκτονίαν ἀπήρτισαν. ἀλλ' ἡ εὐμήχανος, καὶ ἐν τοῖς ἀπόροις εὔπορος τοῦ Θεοῦ σοφία, καὶ
ἐν αὐτῷ τῷ βαράθρῳ, καὶ ἐν αὐτῇ τοῦ θανάτου τῇ ἐπαγωγῇ, ἐκ τῶν μιαρῶν αὐτῶν ἐκεῖνον ἐξ-
ήρπασε χειρῶν. Συνεβούλευσε μὲν γὰρ τῶν ἀδελφῶν εἷς, ὥστε ἀποστῆναι τῆς μιαιφονίας ἐ-
κείνης· ἔπεισε δὲ ὁ Θεὸς, καὶ τὴν σφαγὴν διεκώλυσεν. οὐ μὴν οὐδὲ ἐνταῦθα ἵστατο τὰ
δεινὰ, ἀλλὰ περαιτέρω προῄει πάλιν. ἐπειδὴ γὰρ αὐτὸν ἐκωλύθησαν ἀνελεῖν, ἔζεε δὲ ὁ θυ-
15 μὸς ἔτι, καὶ τὰ τῆς ὀργῆς ἤκμαζε, καὶ πολὺ τὸ κλυδώνιον τοῦ πάθους ἦν, εἰς ἕτερόν τι τὴν ὀργὴν
ἀφῆκαν. ἀποδύσαντες γὰρ καὶ δήσαντες αὐτὸν, καὶ εἰς λάκκον ῥίψαντες οἱ ὠμοὶ καὶ ἀπάν-
θρωποι καὶ θηριώδεις, οὕτω τῆς παρ' αὐτοῦ κομισθείσης τραπέζης ἀπήλαυον. καὶ ὁ μὲν ἦν ἐν
λάκκῳ περὶ τῶν ἐσχάτων δεδοικὼς, οἱ δὲ ἐτρύφων καὶ ἐμέθυον. ἀλλ' οὐδὲ ἐνταῦθα ἵσταντο τῆς
μανίας· ἀλλ' ἰδόντες ἀνθρώπους βαρβάρους καὶ πόῤῥω τῆς αὐτῶν ἀπῳκισμένους χώρας εἰς
20 τὴν Αἴγυπτον κατιόντας, λαβόντες ἀπέδοντο τὸν ἀδελφὸν, ἕτερον θάνατον ἐντεῦθεν αὐτῷ
κατασκευάζοντες, μακρότερόν τινα καὶ χαλεπώτερον καὶ πολλῆς γέμοντα ταλαιπωρίας. μει-
ράκιον γὰρ ὢν, καὶ μειράκιον κομιδῆ, καὶ μετὰ πολλῆς τῆς ἐλευθερίας ἐν οἰκίᾳ πατρῴᾳ τραφεὶς,
καὶ δουλείας ἁπάσης ἄμοιρος ὢν καὶ τῆς ἐν δουλείᾳ ταλαιπωρίας, ἐννόησον τί ποτε ἔπασχεν,
ἀθρόον δοῦλος ἀντ' ἐλευθέρου, καὶ ξένος ἀντὶ πολίτου γινόμενος, καὶ τὴν ἐσχάτην αἰχμαλω-
25 σίαν ὑπομένων· οὐχὶ δουλείαν μόνον, ἀλλὰ καὶ πατρὸς καὶ μητρὸς καὶ τῶν αὐτῷ προσηκόντων
ἁπάντων ἀποῤῥηγνύμενος, γυμνὸς, ξένος, ἄοικος, ἄπολις, νόμῳ δουλείας βαρβαρικαῖς
χερσὶν ἐκδεδομένος. τί γὰρ οὐκ ἦν αὐτὸν ἱκανὸν θορυβῆσαι; τὸ ἀθρόον, τὸ ἀπροσδόκητον,
τὸ παρ' ἐλπίδα, τὸ ἀμελέτητον, τὸ χαλεπὸν τῆς συμφορᾶς, τὸ παρὰ ἀδελφῶν, καὶ ἀδελφῶν
ἀγαπωμένων, μὴ μικρὸν, μὴ μέγα ἐκείνους ἠδικηκότα, μᾶλλον δὲ καὶ εὐεργετηκότα ταῦτα
30 παθεῖν; ἀλλ' ὅμως οὐδενὶ τούτων διεταράττετο, ἀλλ' ἀπήγετο διὰ τῶν ἐμπόρων ἐκείνων
εἰς Αἴγυπτον, δουλείαν ἐκ δουλείας ἀμείβων. καὶ γὰρ καὶ ἐκεῖ πάλιν ἐγένετο δοῦλος,
καὶ ᾤκει βαρβαρικὴν οἰκίαν ὁ Ἑβραῖος, ὁ εὐγενὴς, ὁ διπλῆν ἐλευθερίαν ἐλεύθερος,
καὶ τὴν τοῦ σώματος, καὶ τὴν τῆς ψυχῆς· καὶ οὐδὲ ἐντεῦθεν ἐταράττετο, οὐδὲ ἐσκανδα-
λίζετο πρὸς τὰ γινόμενα, τῶν ὀνείρων ἀναμιμνησκόμενος τῶν τὰ ἐναντία ἐπαγγελλομέ-
35 νων· οὐδὲ περιειργάζετο, τί δήποτε ταῦτα γέγονε. καὶ οἱ μὲν ἀδελφοκτόνοι καὶ λύκοι καὶ θῆ-
ρες, καίτοι τοσαῦτα ἠδικηκότες, ἐπὶ τῆς πατρῴας οἰκίας ἐτρύφωσιν· αὐτὸς δὲ ὁ προσδο-
κηθεὶς αὐτῶν βασιλεύειν, αἰχμάλωτος, δοῦλος, εἰς ἀλλοτρίαν ἀπεμποληθεὶς, τὴν ἐσχάτην
ὑπομένει ταλαιπωρίαν, οὐ μόνον αὐτῶν οὐ βασιλεύσας, ἀλλὰ καὶ δοῦλος αὐτῶν γινόμενος,
καὶ ἐκ πολλοῦ τοῦ διαμέτρου τἀναντία ταῖς ὑποσχέσεσι παθών. οὐ γὰρ δὴ μόνον βασιλείας
40 τότε οὐκ ἐπέτυχεν, ἀλλὰ καὶ πατρίδος καὶ ἐλευθερίας, καὶ τῆς τῶν γονέων ἐξέπεσεν ὄψε-
ως. καὶ οὐδὲ ἐνταῦθα αὐτῷ τὰ τῶν ἀγώνων ἵστατο· ἀλλ' ἕτερον βαθύτερον ἀνωρύττετο βάρα-
θρον, θάνατον πάλιν ἔχον, καὶ σφαγὴν, θάνατον ἐπονείδιστον, καὶ σφαγὴν αἰσχύνης γέμουσαν.
ἰδοῦσα γὰρ αὐτὸν ἀδίκοις ὀφθαλμοῖς ἡ κεκτημένη, καὶ ἁλοῦσα τῷ κάλλει τοῦ νεανίσκου, ὑπὸ
τῆς λαμπρότητος αὐτοῦ χειρωθεῖσα ὄψεως, καὶ αὐτὴ πάλιν δόλους ἔῤῥαπτε καὶ ἐπιβουλάς. καὶ

τὰ

γ. τὸ σκυλμοῦ
γ. τοιαῦτα
γ. ἐντεῦθεν
γ. βαθύτερον

τὰ δίκτυα τῆς ἀκολασίας πανταχόθεν ἁπλώσασα, καθ' ἑκάστην ἐσκοπεῖτο τὴν ἡμέραν εἴσω τῆς οἰκείας σαγήνης τὸν νεανίσκον λαβεῖν καὶ εἰς τὸ τῆς μοιχείας ἐμβαλεῖν βάραθρον, καὶ θανάτῳ παραδοῦναι ἀθανάτῳ. καὶ καθ' ἑκάστην ἡμέραν ἐπὶ τὴν ἄγραν ἐξῄει ταύτην, ὑπὸ τοῦ πάθους κεντουμένη, καὶ ὑπὸ τοῦ ἀκολάστου τούτου ἔρωτος καθ' ἑκάστην ὁπλιζομένη τὴν ἡμέραν· καί ποτε ἐπιλαβομένη μόνον, ἐπὶ τὴν ἄδικον αὐτὸν πρὸς βίαν εἷλκεν εὐνήν, καὶ τὸν ἀλλότριον διορύξαι γάμον ἠνάγκαζε, καὶ τὴν σωφροσύνην λυμήνασθαι ἐπεχείρει. ἀλλ' ὅμως οὐδὲ ἐντεῦθεν ἔπαθέ τι χαλεπὸν ὁ δίκαιος ἐκεῖνος· ἀλλὰ καὶ ἐπιθυμίας τυραννίδα, καὶ νέας ἡλικίας θορύβους, καὶ ἀκολάστου γυναικὸς ἐπιβουλήν, καὶ δεσποίνης ἐφόδους, καὶ νεότητος τάραχον, καὶ πάντα ὅσα εἰκὸς ἐκ τῆς ἁφῆς ἐκείνης γενέσθαι, καὶ τῆς ὄψεως, καὶ τῆς μανίας, μετὰ πολλῆς τῆς εὐκολίας ὑπερβάς, ὥσπερ τις ἀετὸς ὑψηλὸν τείνας τὸ πτερόν, καὶ αὐτὰ ἀποδυσάμενος τὰ ἱμάτια καὶ καταλιπὼν ταῖς ἀκολάστοις χερσίν, ἐξῆλθεν ἱματίων μὲν γυμνός, λαμπρὰν δὲ τῆς σωφροσύνης ἔχων τὴν περιβολὴν καὶ τῆς ἁλουργίδος αὐτῆς περιφανεστέραν. ἐντεῦθεν αὐτῷ ξίφος "ἠκονᾶτο πάλιν, καὶ θάνατος ἐμελετᾶτο, καὶ τὰ κύματα ἐπὶ τὸ μεῖζον "ἤρετο, καὶ ἡ μανία τῆς γυναικὸς τῆς Βαβυλωνίας καμίνου σφοδρότερον ἀνήπτετο. ἥ τε γὰρ ἐπιθυμία λοιπὸν ἐπὶ μεῖζον ἠγείρετο, ὅ τε θυμός, ἕτερον χαλεπώτατον πάθος, μετὰ πολλῆς προσετίθετο τῆς ἀγριότητος, καὶ φόνον ἔβλεπε καὶ ἐπὶ ξίφος ἔτρεχε, καὶ σφαγῆς ἤρα παρανομωτάτης, καὶ τὸν τῆς σωφροσύνης ἀθλητήν, καὶ τὸν τῆς καρτερίας καὶ ὑπομονῆς ἀγωνιστὴν ἀνελεῖν ἔσπευδε. καὶ εἰσπηδήσασα πρὸς τὸν ἄνδρα τὸν ἑαυτῆς, καὶ "ἀπαγγείλασα τὰ γεγενημένα, οὐχ ὡς ἡ τοῦ πράγματος εἶχεν ἀλήθεια, ἀλλ' ὡς αὐτὴ τὸ δρᾶμα τῆς συκοφαντίας κατεσκεύασεν, ἔπεισεν ἅπερ ἤθελε τὸν δικαστὴν [ἐρημίαν] κατηγοροῦσα, καὶ ὡς ἠδικημένη τὴν "ἐκδικίαν ἐπεζήτει, εἰς ἀπόδειξιν ὧν ἔλεγε, τὰ ἱμάτια τοῦ ἀθῴου νεανίσκου περιφέρουσα ταῖς ἀκαθάρτοις χερσὶν ἐκείναις. καὶ ὁ διεφθαρμένος δικαστής, οὐκ εἰς δικαστήριον εἰσήγαγε τὸν κατηγορούμενον, οὐ λόγου μετέδωκεν· ἀλλὰ τὸν οὐδὲ ἑωρακότα δικαστήριον, ὡς ἑαλωκότα, ὡς ἐληλεγμένον, καὶ μοιχὸν ἀπηρτισμένον κατεδίκασε, καὶ εἰς δεσμωτήριον ἐνέβαλε, καὶ ἁλύσει παρέδωκε. καὶ ἦν λοιπὸν ὁ τοσούτοις στεφάνοις ἀναδησάμενος ἀρετῆς, μετὰ γοήτων, μετὰ τυμβωρύχων, μετὰ ἀνδροφόνων, μετὰ τῶν τὰ ἔσχατα τετολμηκότων ἐν τῷ δεσμωτηρίῳ. ἀλλ' ὅμως οὐδὲν αὐτὸν τούτων ἐθορύβει. καὶ ἕτερος μὲν τῷ βασιλεῖ προσκεκρουκὼς ἠφίετο, αὐτὸς δὲ μακρὸν ἔνδον ἔμενε χρόνον, ὑπὲρ ὧν αὐτὸν στεφανοῦσθαι καὶ ἀνακηρύττεσθαι ἔδει, τὴν ἐσχάτην τίνων τιμωρίαν. καὶ οὐδὲ οὕτως ἐταράττετο, οὐδὲ ἐσκανδαλίζετο· οὐδὲ εἶπε, τί τοῦτο; εἰς τί τοῦτο; ὁ μέλλων ἐγὼ τῶν ἀδελφῶν βασιλεύειν, οὐ μόνον ταύτης "ἐξέπεσα τῆς τιμῆς, ἀλλὰ καὶ πατρίδος, καὶ οἰκίας, καὶ γονέων, καὶ ἐλευθερίας, καὶ ἀδείας, καὶ παρ' αὐτῶν τῶν μελλόντων με προσκυνεῖν ἀνῃρέθην. εἶτα μετὰ τὴν σφαγὴν ἐπράθην, δοῦλος ἐγενόμην βαρβάρων, καὶ συνεχῶς ἤμειψα δεσπότας· καὶ οὐδὲ ἐνταῦθα ἔστη μοι τὰ δεινά, ἀλλὰ "πανταχοῦ βάραθρα καὶ "σκόπελοι. μετὰ γὰρ τὴν ἐπιβουλὴν τῶν ἀδελφῶν, καὶ τὴν σφαγήν, καὶ τὴν δουλείαν καὶ τὴν προτέραν καὶ τὴν δευτέραν, πάλιν μοι θάνατος ἐμελετήθη, καὶ συκοφαντία τῆς προτέρας χαλεπωτέρα, καὶ ἐπιβουλή, καὶ ἔφοδος, καὶ δικαστήριον διεφθαρμένον, καὶ κατηγορία αἰσχύνην ἔχουσα πολλήν, καὶ σφαγὴν ἡμῖν ὠδίνουσα. καὶ οὔτε λόγου μεταλαβών, ἁπλῶς καὶ ὡς ἔτυχεν, εἰς δεσμωτήριον ἀπηνέχθην, καὶ ἁλύσεσι περίκειμαι μετὰ μοιχῶν καὶ ἀνδροφόνων καὶ τῶν τὰ ἔσχατα τετολμηκότων. καὶ ὁ μὲν ἀρχιοινοχόος ἀπηλλάγη καὶ ἁλύσεως καὶ δεσμωτηρίου· ἐγὼ δὲ οὐδὲ μετ' ἐκεῖνον ἀδείας τινὸς ἀπολαῦσαι δεδύνημαι· κἀκείνῳ μὲν εἰς ἔργον ἐξέβη τὸ ὄναρ κατὰ τὴν ἑρμηνείαν τὴν ἐμήν· ἐγὼ δὲ ἐν τοῖς ἀνηκέστοις εἰμὶ κακοῖς. ταῦτα αἱ "ὄψεις προεδήλουν ἐκεῖναι; ταῦτα τῶν ἀστέρων ὁ ἀριθμός; ταῦτα τὰ δράγματα; ποῦ τὰ τῶν ἐπαγγελιῶν; ποῦ τὰ τῶν ὑποσχέσεων; ἆρα ἠπατήμεθα; ἆρα παρελογίσθημεν; "ποῦ γάρ με λοιπὸν προσκυνήσουσιν οἱ ἀδελφοί,

Margin notes (by line): 13 γρ. ἠκούετο · 14 γρ. ἠγείρετο · 18 γρ. ἀναγ. · 21 γρ. ἐκδίκησιν · 31 γρ. -σον · 34 γρ. πάλιν · 35 γρ. κρημνοί · 42 γρ. ὀρχίσαι · 44 γρ. πῶς

ἀδελφοί, τὸν δοῦλον, τὸν αἰχμάλωτον, τὸν δεσμώτην, τὸν μοιχὸν εἶναι νομιζόμενον, τὸν περὶ τῶν ἐσχάτων κινδυνεύοντα, τὸν τοσοῦτον αὐτῶν ἀπῳκισμένον; οἴχεται πάντα ἐκεῖνα, καὶ ἀπόλωλεν. οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἀνέμενε τὸ τέλος, εἰδὼς καὶ αὐτὸς τοῦ Θεοῦ τὸ εὐμήχανον καὶ τὴν σοφίαν τὴν εὔπορον. καὶ οὐ μόνον οὐκ ἐσκανδαλίζετο, ἀλλὰ καὶ ἐνη-

5 βρύνετο καὶ ἐκωμῳδεῖτο τοῖς γινομένοις. τί δαὶ ὁ Δαβίδ, εἰπέ μοι; οὐ μετὰ τὸ χρισθῆναι εἰς βασιλέα, καὶ λαβεῖν τοῦ δήμου τῶν Ἑβραίων τὰ σκῆπτρα τῇ τοῦ Θεοῦ ψήφῳ, καὶ τὸ λαμπρὸν ἐκεῖνο στῆσαι τρόπαιον κατὰ τοῦ βαρβάρου, τὰ χαλεπώτατα πάντων ἔπαθε, πολεμούμενος, ἐπιβουλευόμενος παρὰ τοῦ Σαοὺλ, περὶ αὐτὸ τὸ ζῆν κινδυνεύων, εἰς πολέμους ἐπισφαλεῖς ἐκπεμπόμενος, συνεχῶς πρὸς τὴν ἐρημίαν ἐλαυνόμενος, ἀλήτης, φυγάς,

10 ἄπολις, ἄοικος, μετανάστης γινόμενος; τί δεῖ τὰ πολλὰ λέγειν; τέλος καὶ τῆς πατρίδος καὶ τῆς οἰκείας χώρας ἁπάσης ἐξέπεσεν ἐκείνης, παρὰ βαρβάροις τοῖς πολεμίοις καὶ ἐχθροτάτοις διατρίβων, καὶ δουλείας χαλεπωτέραν ὑπομένων ζωήν. καὶ γὰρ καὶ τῆς ἀναγκαίας ἠπόρει τροφῆς. καὶ ταῦτα ἔπασχε μετὰ τὴν προφητείαν τοῦ Σαμουὴλ, μετὰ τὴν τοῦ ἐλαίου χρίσιν, μετὰ τὴν τῆς βασιλείας ὑπόσχεσιν, μετὰ τὰ σκῆπτρα, μετὰ τὸ διάδημα, μετὰ

15 τὴν τοῦ Θεοῦ χειροτονίαν, καὶ τὴν ψῆφον τὴν ἐπ' αὐτῷ· καὶ ὅμως οὐδὲν αὐτοὶ τούτων ἐσκανδάλισεν, οὐδὲ εἶπεν οὐδὲ τοῦτο, τί τοῦτο; ὁ βασιλεὺς ἐγώ, καὶ τοσαύτης μέλλων ἀρχῆς ἀπολαύσεσθαι, οὐδὲ ἰδιώτης μετὰ ἀσφαλείας εἶναι δύναμαι· ἀλλὰ ἀλήτης γέγονα, καὶ φυγάς, ἄπολις, ἄοικος, μετανάστης, καὶ εἰς βάρβαρον ἀπῳκίσθην χώραν καὶ τῆς ἀναγκαίας ἀπορῶ τροφῆς, καὶ περὶ τῶν ἐσχάτων ὁρῶ καθ' ἑκάστην ἡμέραν ἐπικρεμάμενόν μοι

20 τὸν κίνδυνον. ποῦ τῆς βασιλείας αἱ ὑποσχέσεις; ποῦ τῆς ἀρχῆς αἱ ἐπαγγελίαι ἐκείνης; οὐδὲν τούτων οὐκ εἶπεν, οὐκ ἐνενόησεν· οὐκ ἐσκανδαλίσθη τοῖς γινομένοις, ἀλλὰ ἀνέμενε καὶ αὐτὸς τὸ τέλος τῶν ὑποσχέσεων. καὶ ἑτέρους δὲ μυρίους ἔστιν εἰπεῖν, οἳ χαλεποῖς περιπεσόντες πράγμασιν, οὐκ ἐθορυβήθησαν· ἀλλὰ τοῦ Θεοῦ τὴν ἐπαγγελίαν κατέχοντες, εἰ καὶ ἐναντία τὰ γινόμενα ταῖς ὑποσχέσεσιν ἦν, διὰ τῆς καλλίστης ταύτης ὑπομονῆς λαμπροὺς

25 ἐδρέποντο τοὺς στεφάνους. καὶ σὺ τοίνυν, ἀγαπητέ, ἀνάμενε καὶ αὐτὸς τὸ τέλος (πάντως γὰρ ἀπαντήσεται, ἢ ἐνταῦθα, ἢ ἐν τῷ μέλλοντι αἰῶνι) καὶ παραχώρει πανταχοῦ τῷ ἀκαταλήπτῳ τῆς τοῦ Θεοῦ προνοίας, καὶ μὴ λέγε, πῶς δὲ τὰ τοσαῦτα κακὰ λήψεται διόρθωσιν; μηδὲ περιεργάζου τῆς τοῦ Θεοῦ παραδοξοποιΐας τὸν τρόπον.

Οὐδὲ γὰρ οἱ δίκαιοι τότε ἐκεῖνοι τοῦτο ἐζήτησαν, τὸ, πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται· ἀλλ'

30 ὁρῶντες εἰς ἀπόγνωσιν κατὰ ἀνθρώπινον λογισμὸν πάντα φερόμενα, οὐδὲ οὕτως ἐθορυβοῦντο οὐδὲ ἐταράττοντο· ἀλλ' ἔφερον ἅπαντα γενναίως, μεγίστην ἔχοντες ἀπόδειξιν τῶν ἐσομένων χρηστῶν, τὴν δύναμιν τοῦ ὑποσχομένου, καὶ ἀπὸ τῆς τῶν γινομένων ἐναντιότητος εἰς ἀπόγνωσιν οὐκ ἐμπίπτοντες. ᾔδεσαν γὰρ σαφῶς, ὅτι εὐμήχανος ὢν καὶ σοφὸς, δυνήσεται καὶ μετὰ τὸ τὰ πράγματα ἀπαγορευθῆναι ἀνακτήσασθαί τε αὐτὰ μᾶλλον ἢ ἔμπροσ-

35 θεν, καὶ μετὰ πολλῆς τῆς εὐκολίας τοῖς ἐπαγγελθεῖσιν ἐπιθεῖναι τέλος. καὶ σὺ τοίνυν, ἀγαπητέ, ἄν τε ἐν τῷ παρόντι βίῳ λάβῃ τὰ λυπηρὰ λύσιν, δόξαζε τὸν Θεόν· ἄν τε εἰς δυσχερῆ καταλύσῃ, καὶ οὕτως εὐχαρίστει καὶ μηδὲν σκανδαλίζου, εἰδὼς σαφῶς τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν ἄπειρον καὶ ἑρμηνευθῆναι μὴ δυναμένην, καὶ ὅτι πάντως λήψεται τὸ προσῆκον ἅπαντα τέλος, εἴτε ἐν τῷ παρόντι βίῳ, εἴτε ἐν τῷ μέλλοντι. εἰ δέ τις τὸ μέλλον

40 ἀκούων, καὶ μικροψυχῶν ἐπείγοιτο τοῦτο ἐνταῦθα ἰδεῖν γινόμενον, ἐρεῦμεν ὅτι ἡ ἀληθῶς ζωὴ καὶ τὰ βέβαια πράγματα καὶ ἀκίνητα τότε ἡμᾶς μένει. τὰ μὲν γὰρ παρόντα, ὁδός· ἐκεῖνα δὲ, πατρίς· τὰ ἐνταῦθα, ἄνθεσιν ἔοικεν ἐαρινοῖς· ἐκεῖνα δὲ, πέτραις ἀκινήτοις· ἐκεῖ στέφανοι καὶ ἀμοιβαὶ τέλος οὐκ ἔχουσαι, ἐκεῖ ἔπαθλα καὶ βραβεῖα, ἐκεῖ κολάσεις καὶ τιμωρίαι ἀφόρητοι τῶν τὰ τοιαῦτα κακουργησάντων. τί οὖν πρὸς τοὺς τέως

σκανδαλιζομένους

Marginal notes: κ. 5 · κ. χρισθῆναι · κ. στῆσαι · κ. ἀνεδήσατο · κ. εὐθύνα- · κ. περὶ

κεφ. 12. Ὅτι οὐκ ἀδίκως τοῦτο γέγονε, καὶ ὅτι ἐν ἀρχῇ ἐναντία ἅπαντα βλέποντες οἱ παλαιοὶ οὐκ ἐσκανδαλίζοντο.

σκανδαλιζομένους, φησί; τί δαί; σὺ τοὺς μειζόνως διαλάμψαντας οὐ λέγεις, τοὺς δὲ
προσωπεῖα εὐλαβείας περικειμένους, καὶ νῦν ἐλεγχομένους, τούτους ἄγεις εἰς μέσον; οὐχ ὁ-
ρᾷς τὸ χρυσίον καθαιρόμενον; τὸν μόλιβδον ἐλεγχόμενον; τὰ ἄχυρα διακρινόμενα τοῦ σί-
του; τοὺς λύκους τῶν προβάτων; τοὺς πεπλασμένους τῶν ἀληθῶς ἐν εὐλαβείᾳ ζώντων; ὥ-
στε ὅταν ἴδῃς τούτων τὰ σκάνδαλα, ἐννόησον κἀκείνων τὰς εὐδοκιμήσεις. ὑπεσκελίσθησάν
τινες; ἀλλὰ καὶ ἔστησαν πολλῷ πλείους, καὶ μείζονα ἑαυτοῖς μισθὸν συνήγαγον, οὔτε τῇ δυνα-
στείᾳ τῶν ἐπιβουλευόντων, οὔτε τῇ δυσκολίᾳ τῶν καιρῶν περιτραπέντες. καὶ οἱ σκανδαλι-
ζόμενοι δὲ ἑαυτοῖς λογιζέσθωσαν· ἐπεὶ καὶ οἱ παῖδες οἱ τρεῖς καὶ ἱερῶν ἀποσπασθέντες, καὶ ναοῦ,
καὶ θυσιαστηρίου, καὶ τῆς ἄλλης ἁπάσης τῆς κατὰ νόμον ἐπιμελείας, καὶ ἐν μέσῃ βαρβάρων χώρᾳ
ἀποληφθέντες, μετὰ πολλῆς τῆς ἀκριβείας τὸν νόμον διετήρησαν· καὶ ὁ Δανιὴλ ὁμοίως, καὶ ἕ-
τεροι πολλοί· καὶ οἱ μὲν εἰς αἰχμαλωσίαν ἀπενεχθέντες, οὐ παρεβλάβησάν τι, ἄλλοι δὲ οἴ-
κοι μένοντες, καὶ πάντων ἀπολαύοντες τῶν ἐπὶ τῆς πατρίδος, προσέκρουσαν καὶ κατεδικά-
σθησαν.

Εἰ δὲ ζητοίης τίνος ἕνεκεν ταῦτα συνεχωρήθη, καὶ μὴ τοῖς ἀρρήτοις τῶν οἰκονομιῶν αὐτοῦ λό-
γοις παραχωροίης, ἀλλὰ ἐμμελετήσας ἀεὶ πάντα περιεργάζεσθαι, ὁδῷ προβαίνων, καὶ ἄλλα
πολλὰ διαπορήσεις, οἷον, τίνος ἕνεκεν ἀφείθησαν αἱ αἱρέσεις, τίνος ἕνεκεν ὁ διάβολος, τίνος ἕνε-
κεν οἱ δαίμονες, τίνος ἕνεκεν οἱ πονηροὶ τῶν ἀνθρώπων καὶ πολλοὺς ὑποσκελίζοντες· καὶ τὸ
δὴ κεφάλαιον ἁπάντων τούτων, τίνος ἕνεκεν ὁ ἀντίχριστος παραγίνεται, ὁ τοσαύτην ἔχων δύ-
ναμιν πρὸς ἀπάτην, ὡς τὸν Χριστὸν εἰπεῖν, ὅτι τοιαῦτα ποιήσει, ὥστε πλανῆσαι, εἰ δυνα-
τόν, καὶ τοὺς ἐκλεκτούς. ἀλλ᾽ οὐ δεῖ ταῦτα ζητεῖν, ἀλλὰ πάντα παραχωρεῖν τῷ ἀκατα-
λήπτῳ τῆς τοῦ Θεοῦ σοφίας. ὁ μὲν γὰρ γενναίως ἤδη πεπηγώς, κἂν μυρία τὰ κύματα, κἂν
μυρίοι οἱ χειμῶνες ἐπιῶσιν, οὐ μόνον οὐδὲν παραβλάπτεται, ἀλλὰ καὶ ἰσχυρότερος γίνεται· ὁ δὲ
ἀσθενὴς καὶ διαρρέων καὶ ὀλιγωρος, καὶ μηδενὸς ἐνοχλοῦντος καταπίπτει πολλάκις. εἰ δὲ καὶ
λόγον τινὰ ἐπιζητεῖς μαθεῖν, ἄκουε τὸν ἡμῖν γνώριμον. εἰσὶ μὲν γὰρ καὶ ἕτεροι πολλοὶ τοῦ δια-
φόρως καὶ ποικίλως τὰ καθ᾽ ἡμᾶς πάντα οἰκονομοῦντι δῆλοι· οὓς δὲ ἡμεῖς ἴσμεν, τέως ἐστὶ
φαμὲν ὅτι τὰ σκάνδαλα ταῦτα ἀφείθη ὑπὲρ τοῦ μὴ ἐλαττωθῆναι τῶν γενναίων τὰ βρα-
βεῖα· ὃ καὶ τῷ Ἰὼβ διαλεγόμενος ὁ Θεὸς ἐδήλωσε, λέγων· Ἄλλως με οἴει σοι κεχρηματικέ-
ναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; καὶ ὁ Παῦλος δέ φησι· Δεῖ δὲ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανε-
ροὶ γένωνται ἐν ὑμῖν. σὺ δὲ ὅταν ἀκούσῃς τό, δεῖ δὲ αἱρέσεις εἶναι, μὴ νομίσῃς ὅτι κελεύων ἢ νομο-
θετῶν ταῦτά φησιν (ἄπαγε) ἀλλὰ τὸ μέλλον προαναφωνῶν, καὶ τὸ ἐκ τούτου κέρδος τοῖς νή-
φουσι προμηνύων. τότε γὰρ ὑμῶν τῶν ἀνεξαπατήτων, φησί, σαφέστερον φανεῖται ἡ ἀρετή.
πρὸς τούτοις, καὶ δι᾽ ἑτέραν αἰτίαν οἱ πονηροὶ ἀφείθησαν, ὥστε μὴ προαναρπασθέντας ἀπο-
κλεισθῆναι τῆς ὠφελείας τῆς ἐκ τῆς μεταβολῆς αὐτοῖς γινομένης. οὕτω καὶ Παῦλος ἐσώθη,
οὕτως ὁ λῃστής, οὕτως ἡ πόρνη, οὕτως ὁ τελώνης, οὕτως ἕτεροι πολλοί. εἰ δὲ πρὶν ἢ μεταβα-
λέσθαι ἀνηρπάγησαν ἐντεῦθεν, οὐδεὶς ἂν αὐτῶν ἐσώθη. περὶ δὲ τοῦ ἀντιχρίστου καὶ ἑτέραν φη-
σὶν αἰτίαν ὁ Παῦλος. ποίαν δὴ ταύτην; τό, πᾶσαν καὶ ἐντεῦθεν ἀποκλεισθῆναι τῶν Ἰουδαί-
ων τὴν ἀπολογίαν. ποίαν γὰρ ἂν σχοῖεν συγγνώμην, τὸν Χριστὸν μὴ δεξάμενοι, οἱ μέλ-
λοντες ἐκείνῳ πιστεύειν; διό φησιν, Ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, τουτ᾽
ἔστι, τῷ Χριστῷ, ἀλλ᾽ εὐδοκήσαντες τῇ ἀδικίᾳ, τουτ᾽ ἔστι, τῷ ἀντιχρίστῳ. ἐπειδὴ γὰρ ἔλεγον,
διὰ τοῦτο αὐτῷ μὴ πιστεύειν, ἐπειδὴ Θεὸν ἑαυτὸν ἔλεγε (Διὰ γὰρ τοῦτό σε, φασί, λιθάζομεν
ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν, καίτοιγε τὰ πλείονα ἀκούοντες ἀνατιθέντα αὐτὸν τῷ
πατρί, καὶ λέγοντα μετὰ τῆς ἐκείνου γνώμης ἀφῖχθαι, καὶ διὰ πολλῶν τοῦτο ἀποδεικνύντα)
τί ἐροῦσιν, ὅταν τὸν ἀντίχριστον λέγοντα ἑαυτὸν εἶναι Θεόν, καὶ μηδὲ μεμνημένον τοῦ πατρός, ἀλλὰ
καὶ τοὐναντίον ποιοῦντα δέξωνται; τοῦτο καὶ ὁ Χριστὸς αὐτοῖς ὀνειδίζων, προὔλεγεν οὕτω λέ-
γων·

Marginalia: κεφ. ιϛ. Τίνος ἕνεκεν ἀφείθησαν ἐν τῷ κόσμῳ τούτῳ καὶ ἄνθρωποι πονηροί, δαίμονες, καὶ διάβολος. Ματθ. κδ. κδ. Ἰὼβ μ. γ. α. Κορ. ια. ιθ. β. Θεσ. β. ιβ. Ἰωάν. ι. λγ.

Marginal variants: γρ. ἐπι — γρ. κατηγορίας — γρ. ἀπαχθέντες — γρ. πιαῦτα — γρ. πάλιν — γρ. δικαίων — γρ. ἐκκλ.

γων· Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε· διὰ ταῦτα ἀφείθη τὰ σκάνδαλα. Εἰ δὲ τοὺς σκανδαλιζομένους λέγεις, ἐγώ σοι τοὺς μειζόνως ἐντεῦθεν διαλάμψαντας δείξω· καὶ πάλιν σοι τὸ αὐτὸ ἐρῶ, ὅτι οὐκ ἔδει διὰ τὴν ἑτέρων ἀπροσεξίαν καὶ ῥᾳθυμίαν τοὺς δυναμένους νήφειν καὶ ἐγρηγορέναι καὶ μυρίους ἐκ τούτων ἀναδήσασθαι στεφάνους ἐλαττοῦσθαι ἐν τῇ τῶν ἀμοιβῶν ἀντιδόσει. οὗτοι μὲν γὰρ ἐπηρεάζεσθαι ἔμελλον, εἰ μὴ τῶν ἀγώνων τούτων ἔλαβον ὑποθέσεις. οἱ δὲ ἐντεῦθεν βλαβέντες, ἑτέρῳ μὲν οὐδενί, ἑαυτοῖς δὲ εἶεν δίκαιοι λογίζεσθαι τὰ πλημμελήματα αὐτῶν, καὶ κατηγοροῖεν ἂν αὐτῶν οἱ μὴ μόνον μὴ σκανδαλισθέντες, ἀλλὰ καὶ φαιδρότεροι καὶ ἰσχυρότεροι ταύτῃ γινόμενοι.

Ιωαν. ε. μγ.

κ. φμί·

κεφ. ιγ. Ὅτι τοὺς νήφοντας οὐδὲν παραβλάπτει, οὐδὲ ὑποσκελίζει ἀλλ. σκανδαλίζει.

Ποίων γὰρ ἱερέων ἀπήλαυσεν ὁ Ἀβραάμ, εἰπέ μοι; ποίων διδασκάλων; ποίας κατηχήσεως; ποίας παραινέσεως; ποίας συμβουλῆς; ὅπου γε οὐδὲ γράμματα τότε ἦν, οὐ νόμος, οὐ προφῆται, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ ἄπλουν ἔπλει θάλατταν, καὶ ὁδὸν ὥδευεν ἀτριβῆ, καὶ ταῦτα καὶ οἰκίας καὶ πατρὸς ἀσεβοῦς γεγεννημένος. ἀλλ' οὐδὲ αὐτὸν ταῦτα παρέβλαψεν, ἀλλὰ τοσοῦτον ἔλαμψεν ἀρετῇ, ὡς ἃ μετὰ μακρὸν χρόνον, μετὰ προφήτας, μετὰ νόμον, καὶ τοσαύτην παιδαγωγίαν, τὴν διὰ σημείων καὶ θαυμάτων γεγενημένην ἔμελλεν ὁ Χριστὸς τοὺς ἀνθρώπους παιδεύειν, ταῦτα προλαβόντα δι' ἔργων ἐπιδείξασθαι, ἀγάπην γνησίαν καὶ θερμήν, χρημάτων ὑπεροψίαν, τὴν περὶ τοὺς οἰκείους τοῦ σπέρματος κηδεμονίαν· καὶ τὸν τῦφον δὲ ἅπαντα ἐπάτησε, καὶ τὸν ὑγρὸν καὶ διαλελυμένον διεκρούσατο βίον, τῶν νῦν τὰς κορυφὰς τῶν ὀρῶν κατειληφότων μοναχῶν ἀκριβέστερον ζῶν. οὔτε γὰρ οἰκία ἦν αὐτῷ, ἀλλ' ἡ σκιὰ τῶν φύλλων ὄροφος ἦν τῷ δικαίῳ καὶ στέγη· οὐδέ, ἐπειδὴ ξένος ἦν, ῥᾳθυμότερος περὶ τὴν φιλοξενίαν ἐγένετο, ἀλλ' ὁ ξένος ἐν ξένῃ ἔργον τοῦτο ἐποίει, τὸ διηνεκῶς ἐν μεσημβρίᾳ μέσῃ τοὺς παριόντας ὑποδέχεσθαι καὶ θεραπεύειν. καὶ δι' ἑαυτοῦ τὸ ἔργον ἅπαν ἤνυε, καὶ τὴν γυναῖκα κοινωνὸν ἐποίει τῆς καλῆς ταύτης πραγματείας. τί δαί; ὑπὸ τοῦ ἀδελφιδοῦ, καὶ ταῦτα οὐ καθηκόντως αὐτῷ χρησαμένου, ἀλλὰ τοῖς πρωτείοις ἐπιπηδήσαντος οὐκ ἐποίησε, καὶ ταῦτα μετὰ τὴν αἵρεσιν τῆς ἐκλογῆς; οὐχὶ τὸ αἷμα ἐξέχεεν; οὐχὶ τοὺς οἰκέτας ἅπαντας ὥπλισεν; οὐκ εἰς φανερὸν κίνδυνον ἑαυτὸν ἐνέβαλεν; ὅτε δὲ ἐκελεύσθη τὴν μὲν οἰκίαν ἀφεῖναι, εἰς δὲ τὴν ἀλλοτρίαν ἀπελθεῖν, οὐκ εὐθέως ὑπήκουσε, καὶ πατρίδα καὶ φίλους καὶ συγγενεῖς καὶ πάντας ἀφείς, καὶ τῷ προστάγματι πεισθεὶς τοῦ κελεύσαντος, τὰ μὲν δῆλα καταλιμπάνων, τοῖς δὲ ἀδήλοις πολλῷ σαφεστέροις, ἢ τοῖς δήλοις, προσέχων, διὰ τὴν ὑπακοὴν τοῦ Θεοῦ, ὅπερ ἦν πίστεως ἐπιτεταμένης; μετὰ δὲ ταῦτα πάντα οὐ, λιμοῦ καταλαβόντος, πάλιν μετανάστης ἐγίνετο; καὶ οὐκ ἐθορυβεῖτο, οὐδὲ ἐταράττετο, ἀλλὰ τὴν αὐτὴν ὑπακοὴν καὶ φιλοσοφίαν καὶ ὑπομονὴν ἐπεδείκνυτο, καὶ κατῄει εἰς Αἴγυπτον, καὶ ὑπακούσας τῷ Θεῷ τοιαῦτα κελεύοντι ἀφῃρέθη τὴν γυναῖκα, καθυβριζομένην ἑώρα, τόγε ἧκον εἰς τὸν Αἰγύπτιον, καὶ θανάτου χαλεπώτερα ὑπέμενεν ἐν τοῖς χειρίστοις πληττόμενος; τί γὰρ βαρύτερον ἦν, εἰπέ μοι, τοῦ γυναῖκα νόμῳ γάμου συναφθεῖσαν αὐτῷ, μετὰ τοσαῦτα κατορθώματα ὁρᾶν ὑπὸ βαρβαρικῆς ἀκολασίας ἁρπαζομένην, εἰσαγομένην ἔνδον εἰς τὰς βασιλικὰς αὐλάς, καθυβριζομένην; εἰ γὰρ καὶ μὴ τὸ ἔργον ἐξῆλθεν, ἀλλ' αὐτὸς τοῦτο προσεδόκησε, καὶ πάντα ἔφερε γενναίως· καὶ οὔτε αἱ συμφοραὶ αὐτὸν ὑπεσκέλισαν, οὔτε αἱ εὐημερίαι ἐφύσησαν· ἀλλ' ἐν τῇ τῶν καιρῶν διαφορᾷ ἴσην τὴν ἑαυτοῦ γνώμην διεφύλαττε. τί δαί, ὅτε αὐτῷ τὸν υἱὸν ἐπηγγείλατο, οὐχὶ μυρία τὰ κωλύματα ἦν, τὰ ἀπὸ τῶν λογισμῶν; καὶ πάντα ἐκεῖνα καταλύσας, καὶ τὸν ἐκείνων θόρυβον ἀνελών, ἀπὸ τῆς πίστεως διέλαμψεν; ὅτε δὲ αὐτὸν καθιερῶσαι ἐκελεύσθη, οὐχὶ μετὰ πολλοῦ τοῦ τάχους, ὡσανεὶ μέλλων εἰς παστάδας ἄγειν καὶ νυμφαγωγεῖν, οὕτως αὐτὸν ἀνήγαγε; καὶ αὐτῆς τῆς φύσεως σχεδὸν ἐξελθών, καὶ τοῦ ἄνθρωπος εἶναι ἀπαλλαγείς, καὶ θυσίαν ἀνέφερε καινήν τινα καὶ παράδοξον,

κ. ιε

κ. ιδ

κ. κβ

ξον, καὶ μόνος τὸν ἆθλον ἤθλησε τοῦτον, οὐ γυναικί, οὐκ οἰκέτῃ, οὐκ ἄλλῳ τινὶ τῶν μετ' αὐτοῦ
κοινωσάμενος; ἤδει γάρ, ἤδει σαφῶς τοῦ σκοπέλου τὸ ὑψηλόν, τοῦ ἐπιτάγματος τὸν ὄγκον, τοῦ (γρ. κοινωνήσας;)
ἀγῶνος τὸ μέγεθος. διὸ μόνος αὐτὸς τὸν δρόμον ἀνεδέξατο τοῦτον· καὶ ἔτρεχε, καὶ ἠγωνίζετο, καὶ
ἐστεφανοῦτο, καὶ ἀνεκηρύττετο. ποῖος ταῦτα αὐτὸν ἱερεὺς ἐδίδαξε; ποῖος δὲ διδάσκαλος; ποῖος
προφήτης; οὐδὲ εἷς. ἀλλ' ἐπειδὴ εὐγνώμονα εἶχε ψυχήν, ἤρκεσεν αὐτῷ πρὸς ἅπαντα. 5
τί δαὶ ὁ Νῶε; ποῖον εἶχεν ἱερέα; ποῖον διδάσκαλον; ποῖον καθηγητήν; ὅτι μόνος τῆς οἰκου-
μένης ἁπάσης διαφθαρείσης ἐν πονηρίᾳ, τὴν ἐναντίαν ἦλθεν ὁδόν, καὶ τὴν ἀρετὴν διε- (γρ. ὀρθὴν ἄδυσιν)
τήρησε, καὶ οὕτω διέλαμψεν ὡς ἐν τῷ ναυαγίῳ τῆς οἰκουμένης αὐτόν τε διασωθῆναι, καὶ ἑ-
τέρους διὰ τὴν περιουσίαν τῆς οἰκείας ἀρετῆς τῶν ἐπηρτημένων ἐξαρπάσαι κινδύνων;
πόθεν δίκαιος ἐγένετο; πόθεν τέλειος; ποῖον ἱερέα καὶ οὗτος ἢ διδάσκαλον ἐσχηκώς; οὐδεὶς ἂν εἰ- 10
πεῖν ἔχοι. ὁ δὲ υἱὸς ὁ τούτου, καίτοι ἔνδον ἔχων τὸν διδάσκαλον διηνεκῶς, τοῦ πατρὸς τὴν ἀρε-
τήν, καὶ νουθεσίας ἀπολαύων, καὶ τῆς διὰ ῥημάτων, καὶ τῆς διὰ τῶν ἔργων, καὶ τὴν ἀπὸ τῶν
πραγμάτων ἔκβασιν ὁρῶν, καὶ τὴν ἀπὸ τῆς συμφορᾶς, καὶ τὴν ἀπὸ τῆς σωτηρίας παραί-
νεσιν, πονηρὸς περὶ τὸν φύντα ἐγένετο, καὶ ἐκωμῴδει τοῦ γεγεννηκότος τὴν γύμνωσιν, καὶ ἐξε-
πόμπευσεν. ὁρᾷς ὅτι πανταχοῦ ψυχῆς χρεία εὐγνώμονος; τί δαὶ ὁ Ἰώβ, εἰπέ μοι; ποίων 15 (γρ. 3)
προφητῶν ἤκουσε; ποίας διδασκαλίας ἀπήλαυσεν; οὐδεμιᾶς. ἀλλ' ὅμως καὶ οὗτος οὐδενὸς
τούτων τετυχηκώς, [καὶ] πᾶν ἀρετῆς εἶδος μετὰ πολλῆς ὑπεδείξατο τῆς ἀκριβείας. καὶ
γὰρ κοινὰ τὰ ὄντα τοῖς δεομένοις ἐκέκτητο, καὶ οὐχὶ τὰ ὄντα μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα. τῇ
μὲν γὰρ οἰκίᾳ τοὺς ὁδίτας ὑπεδέχετο, καὶ ἐκείνων μᾶλλον ἦν ἡ οἰκία, ἢ τοῦ κεκτημένου· τῇ δὲ τοῦ
σώματος ἰσχύϊ τοῖς ἀδικουμένοις ἤμυνε, τῇ δὲ τῆς γλώττης συνέσει καὶ σοφίᾳ τοὺς ἐπηρεάζοντας 20
ἐπεστόμιζε, καὶ τὴν εὐαγγελικὴν πολιτείαν διὰ πάντων διαλάμπουσαν ἐπεδείκνυτο. σκό-
(Ματθ. ε. γ.) πει δέ. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, φησὶν ὁ Χριστός. τοῦτο αὐτὸς διὰ τῶν ἔργων κα-
(Ἰώβ. λα. ιγ.) τώρθωσεν. Εἰ γὰρ ἐφαύλισα, φησί, κρίμα θεράποντος ἢ θεραπαίνης, κρινομένων αὐτῶν πρὸς
με. τί γὰρ ποιήσω, ἐὰν ἐπίσκεψίν μου ποιήσῃ ὁ Κύριος; πότερον οὐχ ὡς ἐγὼ ἐγενόμην ἐν γα-
(Ματθ. ε. ε.) στρί, καὶ ἐκεῖνοι ἐγένοντο; ἐγενόμεθα δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ. Μακάριοι οἱ πρᾳεῖς, ὅτι αὐτοὶ κλη- 25
(Ἰώβ. λα. λα.) ρονομήσουσι τὴν γῆν. καὶ τί πρᾳότερον ἐκείνου γένοιτο, περὶ οὗ καὶ οἱ οἰκέται ἔλεγον· Τίς
(Ματθ. ε. δ.) ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι; οὕτως ἦσαν αὐτῷ σφοδροὶ ἐρασταί. Μακά-
(Ἰώβ. λα. λδ.) ριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. ἀλλ' οὐδὲ ταύτης ἄμοιρος ἦν τῆς ἀρε-
τῆς. ἄκουσον γοῦν τί φησιν. Εἰ δὲ καὶ ἁμαρτὼν ἑκουσίως διετράπην πολυοχλίαν λαοῦ,
τοῦ μὴ ἐξαγορεῦσαι τὴν ἀνομίαν μου. ὁ δὲ οὕτω διακείμενος, εὔδηλον ὅτι αὐτὴν ἐπένθει μετὰ 30
πολλῆς τῆς ὑπερβολῆς. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. ὅρα καὶ
(Ματθ. ε. ς.) (Ἰώβ. κθ. ιζ.) τοῦτο μεθ' ὑπερβολῆς αὐτῷ κατωρθωμένον. Συνέτριψα, φησί, μύλας ἀδίκων, καὶ ἐκ μέσου
ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα, δικαιοσύνην δὲ ἐνδεδύκειν, ἠμφιασάμην δὲ κρίμα ἴ-
σα διπλοΐδι. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. οὗτος δὲ οὐκ ἐν χρήμασι μό-
νον ἐλεήμων ἦν, οὐδὲ ἐν τῷ ἐνδύειν τοὺς γυμνούς, καὶ τρέφειν τοὺς πεινῶντας, καὶ χήραν διορ- 35
θοῦν, καὶ ὀρφανὴν περιστέλλειν, καὶ πηρώματα φύσεως παραμυθεῖσθαι, ἀλλὰ καὶ ἐν αὐτῇ τῇ
συμπαθείᾳ τῆς ψυχῆς. Ἐγὼ γάρ, φησιν, ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα, καὶ ἐστέναξα ἰδὼν ἄν-
(Ἰώβ. λ. κε.) δρα ἐν ἀνάγκαις. καθάπερ γὰρ κοινὸς ὢν ἁπάντων πατήρ, οὕτω τὰς ἑκάστου συμφορὰς, τὰς
μὲν διώρθου, τὰς δὲ ἐθεράπευε, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων, καὶ διὰ συμπαθείας, καὶ διὰ
δακρύων, καὶ διὰ παντὸς τρόπου τοὺς ἐν συμφοραῖς ἀνέχων, καὶ κοινός τις ἁπάντων λιμὴν γινό- 40
(Ματθ. ε. η.) μενος. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. καὶ τοῦτο οὐχ ὡς ἔτυ-
χεν αὐτῷ κατώρθωτο. ἄκουσον γοῦν τοῦ Θεοῦ μαρτυροῦντος αὐτῷ· Οὐκ ἔστιν ἄνθρωπος (γρ. λέγοντι)
ὅμοιος αὐτῷ τῶν ἐπὶ τῆς γῆς, ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμε-
(Ματθ. ε. ι.) νος ἀπὸ παντὸς πονηροῦ πράγματος. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι

αὐτῶν

αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ἐντεῦθεν πολλὴν τῶν ἀγώνων καὶ τῶν βραβείων τὴν δαψίλειαν ἐποιήσατο. οὐ γὰρ δι' ἀνθρώπων ἠλαύνετο, ἀλλ' αὐτὸς ὁ ἀρχέκακος δαίμων ἐπιθέμενος, καὶ πάντα αὐτοῦ τὰ μηχανήματα κινήσας, οὕτως ἦλθεν ἐπ' αὐτόν, ἀπελάσας αὐτὸν καὶ οἰκίας καὶ πατρίδος, καὶ εἰς τὴν κοπρίαν ἐξαγαγών, χρημάτων ἐκβαλὼν πάντων, κτημάτων, παίδων, αὐτῆς τοῦ σώματος τῆς ὑγείας, καὶ λιμῷ παραδοὺς χαλεπωτάτῳ. μετὰ δὲ ἐκείνου καὶ τῶν φίλων τινές, οὐχ ὡς ἔτυχεν, ἥλλοντο καὶ ἀνέξαινον αὐτοῦ τῆς ψυχῆς τὰ ἕλκη. Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι, ἕνεκεν ἐμοῦ. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ἀλλὰ καὶ τοῦτον μετὰ πολλῆς τῆς ἀφθονίας ἐκαρπώσατο τὸν μακαρισμόν. καὶ γὰρ καὶ οἱ παρόντες αὐτῷ τότε διεβάλλοντο αὐτόν, ἐλάττονα ὧν ἐπλημμέλησε λέγοντες αὐτὸν τετιμωρῆσθαι, μακρὰς κατηγορίας ἀποτείνοντες κατ' αὐτοῦ καὶ λόγους ψευδεῖς καὶ συκοφαντίας γέμοντας. ἀλλ' ὅμως καὶ τούτους αὐτὸς μέλλοντας κινδυνεύειν ἐξήρπασε τῆς θεηλάτου πληγῆς ὑπὲρ οὐδενὸς τῶν εἰρημένων μνησικακήσας αὐτοῖς. καὶ ἐνταῦθα πάλιν ἐκεῖνο ἐπλήρου τὸ παράγγελμα, τό, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. καὶ γὰρ ἠγάπησε καὶ ηὔξατο ὑπὲρ αὐτῶν, καὶ τὴν ὀργὴν τοῦ Θεοῦ διέλυσε, καὶ τὴν ἁμαρτίαν αὐτῶν ἔλυσε· καίτοι μὴ προφητῶν, μὴ εὐαγγελίων, μὴ ἱερέων, μὴ διδασκάλου, μὴ ἄλλου τινὸς ἀκούσας ὑπὲρ ἀρετῆς συμβουλεύοντος. ὁρᾷς ἡλίκον ἐστὶ γενναία ψυχή, καὶ πῶς ἀρκεῖ πρὸς ἀρετὴν ἑαυτῇ, κἂν μηδεμιᾶς ἐπιμελείας ἀπολαύῃ; καί τοι γε προγόνους οὐ μόνον χρηστοὺς οὐκ ἔχει, ἀλλὰ καὶ πολλὴν κακίαν ἐπιδειξαμένους. περὶ γοῦν τοῦ προγόνου αὐτοῦ φησιν ὁ Παῦλος, Μή τις πόρνος ἢ βέβηλος, ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια.

Τί δαί, ἐπὶ τῶν ἀποστόλων, εἰπέ μοι, οὐ μυρία τοιαῦτα ἐγένετο; ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος. Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. οὐ δεσμωτήρια ᾤκουν οἱ διδάσκαλοι; οὐχ ἁλύσεις περιέκειντο; οὐ παρὰ τῶν οἰκείων, οὐ παρὰ τῶν ἀλλοτρίων τὰ ἔσχατα ἔπασχον κακά; οὐ μετ' ἐκείνους ἀντ' ἐκείνων λύκοι βαρεῖς εἰσῄεσαν εἰς τὰ ποίμνια; οὐχὶ ταῦτα προὔλεγεν ὁ Παῦλος Ἐφεσίοις εἰς Μίλητον αὐτοὺς μεταπεμψάμενος; Ἐγὼ γὰρ οἶδα, φησίν, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου· καὶ ἐξ ὑμῶν δὲ αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. οὐ χαλκοτύπος ἀνὴρ Ἀλέξανδρος μυρία παρέσχεν αὐτῷ πράγματα, πανταχόθεν ἐλαύνων, πολεμῶν, πυκτεύων, καὶ εἰς τοσαύτην αὐτὸν κατέστησεν ἀγωνίαν, ὡς καὶ τῷ μαθητῇ παραγγεῖλαι καὶ εἰπεῖν, Ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις; οὐχ ὁλόκληρον ἔθνος τῶν Γαλατῶν ὑπό τινων ψευδαποστόλων διεφθάρη, καὶ πρὸς Ἰουδαϊσμὸν ηὐτομόλησεν; οὐκ ἐν προοιμίοις τοῦ κηρύγματος ὁ Στέφανος ὑπὲρ τοὺς ποταμοὺς ῥέων καὶ πάντας ἐπιστομίζων, ὁ τὰς ἀναισχύντους ἀποῤῥάπτων Ἰουδαίων γλώττας, ᾧ οὐδεὶς ἀντιστῆναι ἠδύνατο, ὁ πάντα συγχέας τὰ Ἰουδαϊκά, ὁ λαμπρὸν στήσας τρόπαιον καὶ νίκην περιφανῆ, ὁ γενναῖος οὗτος καὶ σοφὸς καὶ χάριτος πεπληρωμένος καὶ τοσαύτην ἐκκλησίαν ὠφελῶν, οὐδὲ πολὺν χρόνον ποιήσας ἐν τῷ κηρύγματι, ἀθρόον ἡρπάγη, καὶ ὡς βλάσφημος κατεδικάζετο καὶ κατελεύετο; τί δαὶ Ἰάκωβος; οὐκ ἐν ἀρχῇ καὶ αὐτὸς καὶ ἐξ αὐτῆς, ὡς εἰπεῖν, βαλβῖδος ἀνεσπάσθη, καὶ ἀποτμηθεὶς εἰς χάριν τῶν Ἰουδαίων ὑπὸ Ἡρώδου οὕτω τὸν βίον κατέλυσε, στῦλος τοιοῦτος καὶ ἑδραίωμα τηλικοῦτον τῆς ἀληθείας; πόσοι τότε ἐσκανδαλίζοντο γινομένων τούτων; ἀλλ' οἱ ἑστῶτες ἵσταντο, καὶ μειζόνως ἵσταντο. ἄκουσον γοῦν τί φησιν ὁ Παῦλος Φιλιππησίοις ἐπιστέλλων· Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, ὥστε τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως

:β. παρὰ
γρ. ἐπέκειντο αὐτῷ
:β. ἐπεξ.
Ματθ. ε. ιε.
γρ. κινδυνεύοντας
Ματθ. ε. μδ.
γρ. εὐαγγελιστῶν
Εβρ. ιβ. ιϛ.
κεφ. ιδ'.
Ὅτι καὶ ἐπὶ τῶν ἀποστόλων πολλὰ ἦν τὰ σκάνδαλα, καὶ πολλοὶ οἱ παρασυρόμενοι, καὶ διδασκάλων διώξεις καὶ αἱρέσεων ταχεῖαι.
β. Τιμ. α. ιε.
Πραξ. κ. κθ.
β. Τιμ. δ. ιε.
Πραξ. ιβ. β.
Φιλιπ. α. ιβ.

τὸν λόγον λέγειν. Εἶδες ἀνδρείαν; εἶδες παῤῥησίαν; εἶδες εὐτονίαν ψυχῆς; εἶδες φιλόσο-
φον γνώμην; ἑώρων τὸν διδάσκαλον ἐν δεσμωτηρίῳ καὶ ἁλύσει συγκεκλεισμένον, ἀγχόμενον,
παιόμενον, καὶ μυρία πάσχοντα δεινά· καὶ οὐ μόνον οὐκ ἐσκανδαλίζοντο, οὐδὲ ἐθορυβοῦντο,
ἀλλὰ καὶ μείζονα ″προθυμίαν ἐκτῶντο, καὶ πλείονα ″προσθήκην εἰς τοὺς· ἀγῶνας ἐ-
λάμβανον τοῦ διδασκάλου ″τοῖς παθήμασιν. Ἀλλὰ καὶ ὑπεσύρησαν, φησιν, ἕτεροι. 5
Οὐδ' ἐγὼ πρὸς τοῦτο ἀντιλέγω. καὶ γὰρ εἰκὸς πολλοὺς καὶ ὑποσύρεσθαι γινομένων τού-
των. ἀλλ', ὃ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι, τοῦτο καὶ νῦν ἐρῶ· ἑαυτοῖς δίκαιοι τοῦτο ἂν
εἶεν λογίζεσθαι οὗτοι, οὐ τῇ τῶν πραγμάτων φύσει. καὶ γὰρ ἀπιὼν ὁ Χριστὸς ἐντεῦθεν ταύ-
την κατέλιπεν ἡμῖν τὴν κληρονομίαν, λέγων, Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· καὶ, Ἐπὶ ἡγεμόνας
καὶ βασιλέας ἀχθήσεσθε· καὶ, Ἔσται καιρὸς, ὅτε πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξει λατρείαν προσ- 10
φέρειν τῷ Θεῷ. ὥστε περιττῶς μοι τοὺς σκανδαλιζομένους πανταχοῦ προφέρεις. ἀεὶ γὰρ
ταῦτα συνέβαινε. καὶ τί λέγω τὰ τῶν ἀποστόλων; πόσοι τῷ σταυρῷ αὐτοῦ τοῦ κοινοῦ πάν-
των ἡμῶν δεσπότου ἐσκανδαλίσθησαν, καὶ ″παρανομώτεροι καὶ θρασύτεροι μᾶλλον ἐγένοντο,
″καὶ παριόντες ἐκωμῴδουν αὐτὸν, λέγοντες, Ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις ἐγεί-
ρων αὐτὸν, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι; Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ 15
σταυροῦ, καὶ πιστεύσομεν εἰς σέ. Ἀλλ' ὅμως οὐκ ἂν ἔχοιεν ἀπολογίαν οὗτοι διὰ τὸν σταυ-
ρόν. ὁ γὰρ λῃστὴς ἁπάντων κατηγορεῖ τῶν τοιούτων. καὶ γὰρ καὶ ἐκεῖνος ἐσταυρωμένον εἶδεν
αὐτὸν, καὶ οὐ μόνον οὐκ ἐσκανδαλίσθη, ἀλλὰ καὶ ἐντεῦθεν μείζονα ὑπόθεσιν ἔλαβεν ″εἰς τὸ φι-
λοσοφῆσαι, καὶ πάντα ὑπερβὰς τὰ ἀνθρώπινα, καὶ τῷ πτερῷ τῆς πίστεως κουφισθεὶς, περὶ τῶν
μελλόντων ″φιλοσοφεῖ. ὁρῶν γὰρ ἀνεσκολοπισμένον, μεμαστιγωμένον, ὑβριζόμενον, χολὴν 20
ποτιζόμενον, ἐμπτυόμενον, ὑπὸ δήμου τοσούτου χλευαζόμενον, ὑπὸ δικαστηρίου κατακρι-
θέντα, τὴν ἐπὶ θάνατον ἀπαχθέντα, οὐδενὶ τούτων ἐσκανδαλίσθη· ἀλλ' ὁρῶν σταυρὸν καὶ ἥ-
λους ἐμπεπηγότας, καὶ κωμῳδίαν τοσαύτην γινομένην ὑπὸ τοῦ πλήθους τοῦ διεφθαρμένου,
τὴν ὀρθὴν ὁδὸν αὐτὸς ἐβάδισε λέγων, Μνήσθητί μου ἐν τῇ βασιλείᾳ σου· καὶ τὸν κακηγοροῦν-
τα ἐπεστόμιζε, καὶ τὰ οἰκεῖα ἁμαρτήματα ἐξωμολογεῖτο, καὶ περὶ ἀναστάσεως ἐφιλοσόφει· 25
καὶ ταῦτα οὐ νεκροὺς ἰδὼν ἐγειρομένους, οὐ λεπροὺς καθαιρομένους, οὐ χωλοὺς διορθουμένους, οὐ
θάλατταν χαλινουμένην, οὐ δαίμονας ἐλαυνομένους, οὐκ ἄρτους πηγάζοντας, οὐ τὰ ἄλλα,
ἅπερ ἐθεάσατο τῶν Ἰουδαίων ὁ δῆμος, καὶ θεασάμενος ἐσταύρωσεν. ἀλλ' οὗτος μὲν ἀνεσκολο-
πισμένον ἰδὼν καὶ ὡμολόγησε Θεὸν, καὶ βασιλείας ἐμνημόνευσε, καὶ περὶ τῶν μελλόντων ἐφιλοσό-
φησεν· ἐκεῖνοι δὲ θαυματουργοῦντα θεασάμενοι, καὶ τῆς διὰ λόγων, καὶ τῆς διὰ πραγμάτων 30
ἀπολαύσαντες διδασκαλίας, οὐ μόνον οὐδὲν ἀπώναντο, ἀλλὰ καὶ εἰς τὸ ἔσχατον βάραθρον
τῆς ἀπωλείας κατενεχθησαν, ἐπὶ τὸν σταυρὸν αὐτὸν ἀναβιβάσαντες. ὁρᾷς ὅτι οἱ μὲν ἀγνώ-
μονες καὶ ἠμελημένοι, οὐδὲ ἀπὸ τῶν ὠφελούντων κερδαίνουσιν· οἱ δὲ εὐγνώμονες καὶ νήφον-
τες, ἀφ' ὧν ἕτεροι σκανδαλίζονται, ἀπὸ τούτων τὰ μέγιστα ὠφελοῦνται; τοῦτο καὶ ἐπὶ τοῦ Ἰού-
δα, καὶ ἐπὶ τοῦ Ἰὼβ ἔστιν ἰδεῖν. ὁ μὲν γὰρ Ἰούδας οὐδὲ ἀπὸ τοῦ Χριστοῦ τοῦ τὴν οἰκουμένην ὀρ- 35
θώσαντος ἐσώθη· ὁ δὲ Ἰὼβ οὐδὲ ἀπὸ τοῦ διαβόλου τοῦ τοσούτους ″ἀπολέσαντος ἐβλάβη· ἀλλ'
ὁ μὲν μυρία πάσχων κακὰ, ἐστεφανοῦτο· ἐκεῖνος δὲ, ὁ σημεῖα θεασάμενος, καὶ αὐτὸς ποιήσας, ὁ
νεκροὺς ἐγείρας καὶ δαίμονας ἐλάσας (καὶ γὰρ καὶ αὐτὸς ταύτην εἴληφε τὴν ἐξουσίαν) ὁ μυ-
ρία περὶ βασιλείας καὶ γεέννης ἀκούσας, ὁ τραπέζης κοινωνήσας μυστικῆς, ὁ ″δείπνου μεταχὼν
″φρικωδεστάτου, καὶ τοσαύτης ἀπολαύσας εὐνοίας καὶ προνοίας, ὅσης Πέτρος καὶ Ἰάκωβος καὶ 40
Ἰωάννης, μᾶλλον δὲ καὶ πολλῷ πλείονος (μετὰ γὰρ τῆς ἄλλης ἐπιμελείας καὶ τῆς συγκαταβά-
σεως, ἧς μετεῖχε πολλῆς, καὶ τὰ χρήματα τῶν πενήτων ἐγκεχειρισθεὶς ἦν) [τότε οὗτος] μετὰ τοσαῦ-
τα ἐξεβακχεύθη, καὶ τὸν Σατανᾶν ὑποδεξάμενος διὰ τῆς φιλαργυρίας, εἰς τὴν ἑαυτοῦ
διάνοιαν ἐγένετο προδότης, καὶ τὸ κεφάλαιον εἰργάσατο τῶν κακῶν, αἷμα τοιοῦτον πωλή-

σας

Ἰωαν. ιϛ. λγ.
Ματθ. ι. ιη.
Ἰωαν. ιϛ. β.
Ματθ. κζ. μ.
Λουκ. κγ. μβ.

γρ. παῤῥησίαν
γρ. [illegible]
γρ. τὰ παθήματα.
γρ. πικρότεροι
γρ. ὥστε καὶ κωμῳδοῦντας λέγειν.
γρ. εὐσεβῆσαι
γρ. ἐφιλοσόφει.
γρ. ἀπατήσαντος
γρ. -νων
γρ. τοῦ -στάτου

σας τριάκοντα ἀργυρίων, καὶ φιλήματι δολίῳ προδοὺς τὸν δεσπότην. πόσους οἴει καὶ ἐν τούτῳ σκανδαλισθῆναι, τῷ παρὰ τοῦ μαθητοῦ γενέσθαι τὴν προδοσίαν; τί δαὶ ὁ τῆς ἐρήμου πολίτης, ὁ τῆς στείρας καρπὸς, ὁ τοῦ Ζαχαρίου παῖς, ὁ τὴν ἀγίαν ἐκείνην καὶ φρικώδη καταξιωθεὶς βαπτίσαι κεφαλὴν, καὶ γενέσθαι πρόδρομος τοῦ οἰκείου δεσπότου, ὅτι δεσμωτήριον ᾤκει, ὅτι ἀπετέμνετο, καὶ πορνικῆς ὀρχήσεως [σφαγὴ] μισθὸς ἐγίνετο, πόσους οἴει σκανδαλίζεσθαι τότε; καὶ τί λέγω τότε; πόσοι νῦν μετὰ χρόνον τοσοῦτοι ταῦτα ἀκούοντες σκανδαλίζονται; καὶ τί λέγω τὸν Ἰωάννην, καὶ τὸ δεσμωτήριον, καὶ τὴν σφαγὴν ἐκείνην, καὶ περὶ τοὺς οἰκέτας ἀναστρέφομαι, δέον πάλιν ἐπὶ τὸν δεσπότην καταφυγεῖν;

Ὁ γὰρ σταυρὸς τοῦ Χριστοῦ, ὁ τὴν οἰκουμένην ὀρθώσας, ὁ τὴν πλάνην λύσας, ὁ τὴν γῆν ποιήσας οὐρανὸν, ὁ τοῦ θανάτου τὰ νεῦρα ἐκκόψας, ὁ τὸν ᾅδην ἄχρηστον ἐργασάμενος, ὁ τοῦ διαβόλου τὴν ἀκρόπολιν καταλύσας, ὁ τοὺς δαίμονας ἐπιστομίσας, ὁ τοὺς ἀνθρώπους ἀγγέλους ποιήσας, ὁ βωμοὺς καταλύσας καὶ ναοὺς * ἀνατρέψας, ὁ τὴν καινὴν ταύτην καὶ ξένην φιλοσοφίαν εἰς τὴν γῆν καταφυτεύσας, ὁ μυρία ἐργασάμενος ἀγαθὰ, τὰ φρικώδη ταῦτα καὶ μεγάλα καὶ ὑψηλὰ, οὐχὶ σκάνδαλον πολλοῖς γέγονεν; οὐχὶ Παῦλος βοᾷ καθ' ἑκάστην ἡμέραν λέγων, καὶ οὐκ αἰσχύνεται· Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν; τί οὖν, εἰπέ μοι, οὐκ ἐχρῆν γενέσθαι τὸν σταυρὸν, οὐδὲ τὴν φρικώδη ἐκείνην ἀνενεχθῆναι θυσίαν, οὐδὲ τοσαῦτα τελεσθῆναι κατορθώματα, ἐπειδὴ σκάνδαλον ἐγίνετο τοῖς ἀπολλυμένοις τὸ πρᾶγμα καὶ τότε, καὶ μετὰ ταῦτα, καὶ παρὰ πάντα τὸν χρόνον; καὶ τίς οὕτω μαινόμενος, τίς οὕτως ἐξεστηκὼς, ὡς τοῦτο εἰπεῖν; ὥσπερ οὖν ἐνταῦθα οὐ τοὺς σκανδαλιζομένους δεῖ λογίζεσθαι, καίτοι τοσούτους ὄντας, ἀλλὰ τοὺς σωθέντας, τοὺς κατορθώσαντας, τοὺς ἀπολαύσαντας τῆς τοσαύτης σοφίας (καὶ οὐ χρὴ λέγειν, τί δὲ περὶ τοὺς σκανδαλισθέντας; ἑαυτοῖς γὰρ ἂν εἶεν ἐκεῖνοι δίκαιοι λογίζεσθαι) οὕτω δὴ οὐδὲ νῦν. τὸ γὰρ σκάνδαλον οὐ παρὰ τὴν φύσιν τοῦ σταυροῦ γέγονεν, ἀλλὰ παρὰ τὴν ἄνοιαν τῶν σκανδαλιζομένων (διὸ καὶ ἐπάγει ὁ Παῦλος, Αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν, Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν) ἐπεὶ καὶ ὁ ἥλιος βλάπτει τοὺς ἀσθενεῖς τῶν ὀφθαλμῶν. τί οὖν; οὐκ ἔδει γενέσθαι τὸν ἥλιον; καὶ τὸ μέλι πικρὸν τοῖς νοσοῦσι φαίνεται. τί οὖν; ἀφανισθῆναι ἔδει τοῦτο ἐκ τοῦ μέσου; αὐτοὶ δὲ οἱ ἀπόστολοι, οὐχὶ τοῖς μὲν ὀσμὴ ἐκ θανάτου εἰς θάνατον ἦσαν, τοῖς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν; διὰ τοὺς ἀπολλυμένους οὖν οὐκ ἔδει τοὺς ζῶντας ἀπολαῦσαι τῆς τοσαύτης κηδεμονίας; αὐτὴ δὲ ἡ παρουσία τοῦ Χριστοῦ, ἡ σωτηρία ἡ ἡμετέρα, ἡ πηγὴ τῶν ἀγαθῶν, ἡ ζωὴ, τὰ μυρία καλὰ, πόσους ἐβάρησε; πόσους ἀπολογίας ἀπεστέρησε καὶ συγγνώμης; οὐκ ἀκούεις τί φησι περὶ τῶν Ἰουδαίων ὁ Χριστός; Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. τί οὖν; ἐπειδὴ ἀναπολόγητα αὐτοῖς γέγονε μετὰ τὴν παρουσίαν τὰ ἁμαρτήματα, οὐκ ἔδει αὐτὸν παραγενέσθαι δι' ἐκείνους τοὺς κακῶς τῷ καλῷ χρησαμένους; καὶ τίς ἂν ταῦτα εἴποι; οὐδεὶς οὐδὲ τῶν σφόδρα ἐξεστηκότων. τί δαὶ, ἀπὸ τῶν γραφῶν, εἰπέ μοι, πόσοι ἐσκανδαλίσθησαν; πόσαι αἱρέσεις ἐντεῦθεν ἔτεκον ἑαυταῖς προφάσεις; ἐξαλειφθῆναι οὖν ἔδει τὰς γραφὰς διὰ τοὺς σκανδαλισθέντας; ἢ μηδὲ τὴν ἀρχὴν δοθῆναι; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα δοθῆναι διὰ τοὺς μέλλοντας καρποῦσθαι τὴν ἀπ' αὐτῶν ὠφέλειαν. ἐκεῖνοι μὲν γὰρ (πάλιν οὐ παύσομαι ταὐτὰ λέγων) ἑαυτοῖς λογιζέσθωσαν τὰ σκάνδαλα· οἱ δὲ μέλλοντες ἐξ αὐτῶν τὰ μέγιστα ὠφελεῖσθαι, οὐ τὴν τυχοῦσαν ὑπέμειναν ἂν ζημίαν, εἰ διὰ τὴν ἑτέρων ἀγνωμοσύνην καὶ ῥαθυμίαν αὐτοὶ μέλλοντες κερδαίνειν πρὶν λαβεῖν αὐτὰς, ἀπεστερήθησαν τῆς τοιαύτης ὠφελείας. μὴ τοίνυν μοι λέγε τοὺς ἀπολλυμένους. ὅπερ γὰρ καὶ ἐν τῷ ἔμπροσθεν εἶπον λόγῳ, οὐδεὶς τῶν ἑαυτοὺς μὴ ἀδικούντων παρ' ἑτέρων ἀδικεῖταί ποτε, κἂν εἰς αὐτὸ τὸ ζῆν κινδυνεύῃ.

[Margin, left:] γ. ὃ — γ. αἰὼς — * εἰδώλων — γ. ἔθνεσι — γ. πολλοὺς — γ. δεῖ — γρ. αἴτιοι — γ. ὃ — γ. μὴ γένοιτο

[Margin, right:] κεφ. ιε. Ὅτι οἱ αἴτιοι καὶ ἀπὸ τῶν κεφαλαίων τῶν ἀγαθῶν, τοῦ σταυροῦ λέγω, δι' οὗ ἡ οἰκουμένη ἐσώθη, ἐσκανδαλίσθησαν. — α. Κορ α. κγ. — β. Κορ β. ιϛ. — Ἰωάν. ιε. κβ.

Γεν. δ. ις'. Ὅτι τὴν ἑαυτῶν μὴ ἀδικοῦντες οὐδεὶς δύναται παραβλάψαι.

Τί γὰρ ὁ Ἄβελ ἐβλάβη, εἰπέ μοι, ὑπὸ ἀδελφικῆς κατενεχθεὶς δόξης, καὶ ἄωρον καὶ βίαιον ὑπομείνας θάνατον; ἀλλ' οὐχὶ μᾶλλον ἐκέρδανε, λαμπρότερον ἀναδησάμενος στέφανον; τί δαὶ ὁ Ἰακώβ, ὁ τοσαῦτα παθὼν παρὰ τοῦ ἀδελφοῦ, καὶ ἄπολις καὶ φυγὰς καὶ μετανάστης καὶ δοῦλος γενόμενος, καὶ εἰς ἔσχατον λιμὸν κατενεχθείς; τί δαὶ ὁ Ἰωσήφ, ὁμοίως καὶ αὐτὸς ἄπολις, ἄοικος, καὶ αἰχμάλωτος, καὶ δοῦλος, καὶ δεσμώτης γεγονώς, καὶ περὶ τὸν ἔσχατον κινδυνεύσας καὶ ἐν τῇ οἰκίᾳ, καὶ ἐν τῇ ἀλλοτρίᾳ, καὶ τοιαύτας ὑπομείνας διαβολάς; τί δαὶ ὁ Μωϋσῆς ὑπὸ τούτου δήμου μυριάκις καταλευσθείς, καὶ παρὰ τῶν εὐεργετηθέντων ἐπιβουλευθείς; τί δαὶ οἱ προφῆται πάντες τοσαῦτα παρὰ τῶν Ἰουδαίων παθόντες κακά; τί δαὶ ὁ Ἰώβ, ὑπὸ τοῦ διαβόλου μυρίαις μηχαναῖς πολεμηθείς; τί δαὶ οἱ παῖδες οἱ τρεῖς; τί δαὶ ὁ Δανιὴλ περὶ ζωῆς, περὶ ἐλευθερίας, περὶ τὸν ἔσχατον κινδυνεύσας αὐτῶν; τί δαὶ ὁ Ἠλίας ἐσχάτῃ πενίᾳ συζῶν, ἐλαυνόμενος, δραπετεύων, τὰς ἐρήμους οἰκῶν, φυγὰς ἀεὶ καὶ μετανάστης γενόμενος; τί δαὶ ὁ Δαβίδ, τοσαῦτα μὲν παρὰ τοῦ Σαοὺλ, τοσαῦτα δὲ ὕστερον παρὰ τοῦ ἰδίου παιδὸς παθών; οὐχὶ μᾶλλον διέλαμψε, τὰ ἔσχατα πάσχων κακά, ἢ ὅτε εὐημερίας ἀπήλαυε; τί δαὶ ὁ Ἰωάννης ἀποτμηθείς; τί δαὶ οἱ ἀπόστολοι, οἱ μὲν ἀποτμηθέντες, οἱ δὲ ἑτέραις τιμωρίαις παραδοθέντες; τί δαὶ οἱ μάρτυρες, οἱ δειναῖς βασάνοις τὴν ψυχὴν ἀπορρήξαντες; οὐχὶ πάντες οὗτοι τότε μάλιστα ἔλαμψαν, ὅτε ἐπηρεάζοντο; ὅτε ἐπεβουλεύοντο; ὅτε τὰ ἔσχατα πάσχοντες γενναίως ἐστήκεσαν;

Γαλ. ς'. ιδ'. Ὅτι μεγίστης προνοίας καὶ ἀγαθότητος καὶ ἀγάπης Θεοῦ ὁ σταυρὸς ὑπόδειγμα. Ῥωμ. ε. η.

Τὸν δὲ κοινὸν ἡμῶν δεσπότην διὰ τὰ ἄλλα πάντα ἀνυμνοῦντες, οὐ διὰ τοῦτο μάλιστα ἀνυμνοῦμεν, δοξάζοντες, ἐκπληττόμενοι διὰ τὸν σταυρόν, διὰ τὸν θάνατον ἐκεῖνον τὸν ἐπάρατον; οὐ τοῦτο ἄνω καὶ κάτω σημεῖον ὁ Παῦλος ποιεῖται τῆς ἀγάπης αὐτοῦ τῆς περὶ ἡμᾶς, τὸ ἀποθανεῖν; τὸ ὑπὲρ τοιούτων ἀποθανεῖν; καὶ παρεὶς εἰπεῖν τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλατταν, τὰ ἄλλα πάντα, ἅπερ ἐποίησεν ὁ Χριστὸς εἰς χρείαν ἡμῶν καὶ ἀνάπαυσιν, ἄνω καὶ κάτω περιστρέφει τὸν σταυρόν, λέγων· Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην ὁ Θεὸς εἰς ἡμᾶς, ὅτι, ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν, Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. καὶ ἐντεῦθεν ἡμῖν χρηστὰς ὑποτείνει τὰς ἐλπίδας, λέγων· Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. οὐκ ἐπὶ τούτῳ μάλιστα καὶ αὐτὸς καλλωπίζεται, καὶ μεγαφρονεῖ, καὶ σκιρτᾷ, καὶ πέταται ὑπὸ τῆς ἡδονῆς, Γαλάταις γράφων οὕτως· Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; καὶ τί θαυμάζεις, εἰ Παῦλος ἐπὶ τούτῳ σκιρτᾷ καὶ πηδᾷ καὶ καλλωπίζεται; αὐτὸς ὁ ταῦτα παθών, δόξαν τὸ πρᾶγμα καλεῖ. Πάτερ γάρ, φησιν, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱόν. καὶ ὁ μαθητὴς δὲ ὁ ταῦτα γράψας οὕτως ἔλεγεν· Οὔπω γὰρ ἦν ἐν αὐτοῖς πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη, δόξαν καλῶν τὸν σταυρόν. ὅτε δὲ αὐτοῦ τὴν ἀγάπην παραστῆσαι ἐβουλήθη, καὶ αὐτὸς τί εἶπε; σημεῖα; θαύματα; τεράστιά τινα; οὐδαμῶς, ἀλλὰ τὸν σταυρὸν εἰς μέσον φέρει, λέγων· Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. καὶ Παῦλος πάλιν, Ὅς γε οὐκ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; καὶ εἰς ταπεινοφροσύνην δὲ ὅταν ἐνάγῃ, ἐντεῦθεν κατασκευάζει τὴν παραίνεσιν, οὕτω λέγων· Εἴ τις παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες σύμψυχοι, τὸ ἓν φρονοῦντες, μηδὲν κατ' ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. Εἶτα εἰσάγων τὴν συμβουλήν, φησι· Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι

Ῥωμ. ε. ι. — Γαλατ. ς. ιδ. — Ἰωαν. ιζ. α. — Ἰωαν. ζ. λθ. — Ἰωαν. γ. ις. — Ῥωμ. η. λβ. — Φιλιπ. β. α. — Φιλιπ. β. ε.

ματι ἀνθρώπου γενόμενος, καὶ ἐν σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. καὶ περὶ ἀγάπης δὲ πάλιν συμβουλεύων, τοῦτο εἰς μέσον παράγει, Ἀγαπᾶτε, λέγων, ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. καὶ γυναῖκας συναπτῶν ἀνδράσιν εἰς ὁμόνοιαν, οὕτω λέγει· Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ αὐτῆς. καὶ αὐτὸς δὲ δεικνὺς πῶς αὐτὸ τὸ πρᾶγμα περισπούδαστον ἦν, καὶ πῶς σφόδρα ἤρα τοῦ πάθους, τὸν πρῶτον τῶν ἀποστόλων, τὴν κρηπῖδα τῆς ἐκκλησίας, τὸν κορυφαῖον τοῦ χοροῦ τῶν μαθητῶν, καὶ ταῦτα ἐξ ἀγνοίας εἰπόντα, Ἵλεώς σοι, οὐ μὴ ἔσται σοι τοῦτο, ἄκουσον τί ἐκάλεσεν· Ὕπαγε ὀπίσω μου Σατανᾶ· σκάνδαλόν μου εἶ· τῇ ὑπερβολῇ τῆς ὕβρεώς τε καὶ τῆς ἐπιτιμήσεως τὴν πολλὴν περὶ τὸ πρᾶγμα αὐτοῦ σπουδὴν ἐνδεικνύμενος. καὶ τὴν μὲν ἀνάστασιν λάθρα καὶ ἐν παραβύστῳ πεποίηκεν, ἐπιτρέπων αὐτῆς τὴν ἀπόδειξιν τῷ μετὰ ταῦτα χρόνῳ παντί· τὸν δὲ σταυρὸν ἐν μέσῃ τῇ πόλει, ἐν μέσῃ τῇ ἑορτῇ, ἐν μέσῳ δήμῳ τῶν Ἰουδαίων, ἑκατέρων τῶν δικαστηρίων παρόντων, Ῥωμαϊκῶν τε καὶ Ἰουδαϊκῶν, τῆς ἑορτῆς πάντας συναγούσης, ἐν ἡμέρᾳ μέσῃ, ἐν κοινῷ τῆς οἰκουμένης θεάτρῳ ὑπέμεινε. καὶ ἐπειδὴ οἱ παρόντες μόνοι ἑώρων τὸ γινόμενον, ἐπέταξε τῷ ἡλίῳ κρυβῆναι πανταχοῦ τῆς οἰκουμένης ἀπαγγεῖλαι τὸ τόλμημα. καίτοι πολλοῖς, ὅπερ ἔφθην εἰπών, σκάνδαλον τὸ πρᾶγμα ἐγένετο. ἀλλ' οὐ δεῖ τούτοις προσέχειν, ἀλλὰ τοῖς σωζομένοις, τοῖς κατωρθωκόσι. καὶ τί θαυμάζεις, εἰ ἐν τῷ παρόντι βίῳ οὕτω λαμπρὸς ὁ σταυρός, ὡς καὶ δόξαν αὐτὸν καλέσαι Χριστόν, καὶ τὸν Παῦλον ἐπ' αὐτῷ καυχᾶσθαι; ἐν γὰρ ἐκείνῃ τῇ φοβερᾷ καὶ φρικώδει ἡμέρᾳ, ὅταν ἔλθῃ τὴν δόξαν ἐνδεικνύμενος τὴν ἑαυτοῦ, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ, ὅταν τὸ φοβερὸν παρῇ κριτήριον, ὅταν πᾶσα ἡ τῶν ἀνθρώπων παραστήκῃ φύσις, ὅταν ποταμοὶ καχλάζοντες, ὅταν ἀγγέλων δῆμοι καὶ τῶν ἄνω δυνάμεων ἀθρόοι ἐκχέωνται κάτω μετ' αὐτοῦ, ὅταν βραβεῖα τὰ μυρία ἐκεῖνα, ὅταν οἱ μέν, ὡς ἥλιος λάμπωσιν, οἱ δέ, ὡς ἀστέρες, ὅταν συμμορίαι μαρτύρων, ὅταν ἀποστόλων χοροί, ὅταν προφητῶν τάγματα, ὅταν γυναικῶν ἀνδρῶν σύλλογοι πάντες εἰς μέσον ἄγωνται, τότε δή, τότε ἐν ἐκείνῃ τῇ λαμπρότητι, ἐν ἐκείνῃ τῇ περιφανείᾳ, αὐτὸς ἔρχεται φέρων λαμπρὰς ἀφιέντα τὰς ἀκτῖνας. Τότε γάρ, φησι, φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ· καὶ ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, τὸ δὲ σημεῖον τοῦ σταυροῦ φανήσεται. ὢ πάθους λαμπρότης, ὢ σταυροῦ φαιδρότης. ἥλιος σκοτίζεται, καὶ ἄστρα πίπτει, ὥσπερ φύλλα, ὁ δὲ σταυρὸς πάντων ἐκείνων φανότερον διαλάμπει, ὅλον κατέχων τὸν οὐρανόν. ὁρᾷς πῶς ἐγκαλλωπίζεται τούτῳ ὁ δεσπότης; πῶς δόξαν αὐτοῦ τὸ πρᾶγμα ἀποφαίνει, ὅταν ἐν ἐκείνῃ δεικνύῃ αὐτὸν τῇ ἡμέρᾳ τῇ οἰκουμένῃ πάσῃ μετὰ τοσαύτης λαμπηδόνος;

Ἐφεσ. ε. β.
Ἐφ. ε. κε.
Ματθ. ις. κγ.
χ. ἐνδ.
χ. πυρὸς ἕλκοντα
Ματθ. κδ. λ.

Καὶ σὺ τοίνυν, ὅταν ἴδῃς τινὰς ἀπὸ τῶν συμβάντων σκανδαλιζομένους, πρῶτον μὲν ἐκεῖνο λογίζου, ὅτι οὐκ ἐντεῦθεν, ἀλλ' ἀπὸ τῆς οἰκείας ἀσθενείας τὰ σκάνδαλα. καὶ δηλοῦσιν οἱ τοῦτο μὴ παθόντες. ἔπειτα σκόπει, ὅτι πολλοὶ καὶ διέλαμψαν ἐντεῦθεν μειζόνως, τὸν Θεὸν δοξάζοντες καὶ μετὰ πάσης εὐχαριστοῦντες σπουδῆς αὐτῷ καὶ ἐπὶ τούτοις. οὐκοῦν μὴ τοὺς σαλευομένους ὅρα, ἀλλὰ καὶ τοὺς παγίως ἑστῶτας, καὶ ἀκινήτους μένοντας, καὶ ταύτῃ ἰσχυροτέρους γινομένους· μὴ τοὺς θορυβουμένους, ἀλλὰ καὶ τοὺς ἐξ οὐρίων πλέοντας, καὶ πολλῷ πλείους ὄντας τῶν παρασυρέντων. εἰ δὲ καὶ πλείους ἦσαν ἐκεῖνοι, κρείττων εἷς ποιῶν τὸ θέλημα Κυρίου, ἢ μύριοι παράνομοι.

κεφ. ιη. Ὅτι ἐκ μικρῶν ἀπὸ τῶν συμβάντων κέρδος τῇ ἐκκλησίᾳ γέγονεν.
χ. ἢ

Ἐννόησον ὅσοι καὶ μαρτυρίου στέφανον ἀνεδήσαντο. οἱ μὲν γὰρ ἐμαστιγώθησαν, οἱ δὲ εἰς δεσμωτήριον ἐνεβλήθησαν, οἱ δὲ ἁλύσεις ὡς κακοῦργοι περιέκειντο, οἱ δὲ πατρίδος ἐξέπεσον, οἱ δὲ οὐσίαν ἀπέβαλον, οἱ δὲ πρὸς τὴν ὑπερορίαν μετῳκίσθησαν, οἱ δὲ ἐσφάγησαν, οἱ μὲν καὶ τῇ πείρᾳ, οἱ δὲ καὶ μόνῃ τῇ γνώμῃ. καὶ γὰρ δοράτων γυμνουμένων, καὶ ξιφῶν ἀκονου-

κεφ. ιθ. Ὅτι πολλοὶ μάρτυρες ἐν τῇ ἀπὸ δέους ταύτῃ ἐγένοντο καὶ ζῶντες, καὶ πλεῖστοι...
χ. μάρτυρες
χ. ἀπώλεσαν

μένων, καὶ ἀπειλῶν καθ' ἑκάστην ἡμέραν γινομένων, καὶ τῶν ἐν ἀρχαῖς θυμοῦ πνεόντων, καὶ φό-
νων ἐπανατεινομένων, καὶ μυρίων εἰδῶν κολάσεων καὶ τιμωριῶν, οὐκ εἶξαν, οὐδὲ ἐνέδω-
καν· ἀλλ' ἔστησαν ἐπὶ τῆς πέτρας ἀκίνητοι, πάντα καὶ ποιῆσαι καὶ παθεῖν αἱρούμενοι, ὥστε μὴ
γρ. τῇ πίστει
κοινωνῆσαι τῇ παρανομίᾳ τῶν τὰ τοιαῦτα τετολμηκότων; οὐκ ἄνδρες δὲ μόνον, ἀλλὰ καὶ
γυναῖκες. καὶ γὰρ καὶ γυναῖκες πρὸς τὸν ἀγῶνα ἀπεδύσαντο τοῦτον, καὶ ἀνδρῶν πολλαχοῦ 5
γρ. νεανίσκων
μᾶλλον ἠνδρίσαντο. οὐ γυναῖκες δὲ μόνον, ἀλλὰ καὶ νέοι καὶ μειράκια κομιδῇ. ταῦτ' οὖν, εἰ-
πέ μοι, μικρὰ τοσοῦτον δῆμον μαρτύρων κερδᾶναι τὴν ἐκκλησίαν; μάρτυρες γὰρ ἅπαντες
οὗτοι. οὐ γὰρ δὴ μόνοι ἐκεῖνοι οἱ εἰς δικαστήριον ἑλκυσθέντες, καὶ θῦσαι κελευσθέντες, καὶ μὴ
πεισθέντες, παθόντες ἅπερ ἔπαθον, μάρτυρες ἂν εἶεν μόνοι· ἀλλὰ κἀκεῖνοι οἱ ὑπὲρ ὁτουοῦν
τῶν τῷ Θεῷ δοκούντων παθεῖν τι καταδεξάμενοι· καὶ εἴ τις μετ' ἀκριβείας ἐξετάσειεν, οὗ- 10
τοι μᾶλλον, ἢ ἐκεῖνοι. οὐ γάρ ἐστιν ἴσον ὀλέθρου τοιούτου καὶ ἀπωλείας ψυχῆς προτεινομέ-
νης καταδέξασθαι παθεῖν τι καὶ μὴ παραπολέσθαι, καὶ ὑπὲρ ἐλάττονος κατορθώματος τὴν
αὐτὴν ταύτην ὑπομεῖναι τιμωρίαν. ὅτι δὲ οὐχ οἱ σφαγέντες μόνον, ἀλλὰ καὶ οἱ παρεσκευ-
ασμένοι καὶ γενόμενοι πρὸς τοῦτο ἕτοιμοι, μαρτυρίου στέφανον ἀνεδήσαντο, τοῦτό τι αὐτό, καὶ ὃ
πρότερον εἴρηκα, ὅτι ὁ ὑπὲρ ἐλαττόνων σφαγείς, μάρτυς ἐστὶν ἀπηρτισμένος, ἀπὸ τῆς 15
Παύλου φωνῆς ἀποδεῖξαι τοῦτο πειράσομαι. ἀρξάμενος γὰρ ἀπαριθμεῖσθαι τοὺς ἐπὶ τῶν
προγόνων λάμψαντας ὁ μακάριος Παῦλος, καὶ τὴν ἀρχὴν ἀπὸ τοῦ Ἄβελ ποιησάμενος,
εἶτα προελθὼν εἰς τὸν Νῶε, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν Ἰακώβ, τὸν Μωϋσέα, τὸν Ἰη-
Εβρ. ιβ. α.
σοῦν, τὸν Δαβίδ, τὸν Σαμουήλ, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον, τὸν Ἰώβ, ἐπήγαγε λέγων· Τοιγαρ-
οῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων. καίτοιγε οὐ πάντες ἐσφά- 20
γησαν οὗτοι, μᾶλλον δὲ οὐδὲ εἷς, πλὴν δυοῖν ἢ τριῶν, τοῦ Ἄβελ καὶ τοῦ Ἰωάννου· οἱ δὲ ἄλλοι πάν-
τες οἰκείᾳ τελευτῇ τὸν βίον κατέλυσαν. καὶ Ἰωάννης δὲ αὐτὸς οὐ θῦσαι κελευσθεὶς καὶ μὴ καταδε-
ξάμενος ἐσφάγη, οὐδὲ εἰς βωμὸν ἀχθείς, οὐδὲ πρὸς εἴδωλον ἑλκυσθείς, ἀλλ' ὑπὲρ ῥή-
Ματθ. ιδ. δ.
ματος ἑνός. ἐπειδὴ γὰρ εἶπε τῷ Ἡρώδῃ, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου,
καὶ τὸ δεσμωτήριον ᾤκησε, καὶ τὴν σφαγὴν ἐκείνην ὑπέμεινεν. εἴ γε ὁ γάμον παρανομού- 25
μενον ἐκδικήσας, τότε εἰς αὐτὸν ἧκον (οὐδὲ γὰρ διώρθωσε τὸ κακῶς γεγενημένον· ἀλλ' εἶ-
πε μόνον, παῦσαι δὲ οὐκ ἴσχυσεν) εἰ τοίνυν ὁ μόνον εἰπών, καὶ μηδὲν οἴκοθεν ἢ τοῦτο εἰσενεγ-
κών, ἐπειδὴ ἀπετμήθη, μάρτυς, καὶ μαρτύρων ἐστὶ πρῶτος, οἱ τοσαύτας σφαγὰς προσ-
γρ. ὑπομείναντες
δοκήσαντες, καὶ οὐχὶ πρὸς Ἡρώδην, ἀλλὰ πρὸς τοὺς κρατοῦντας τῆς οἰκουμένης ἁπάσης
ἀποδυσάμενοι, καὶ οὐχὶ γάμῳ παρανομουμένῳ, ἀλλὰ νόμοις πατρῴοις καὶ θεσμοῖς ἐκκλησίας 30
ἐπηρεασθεῖσι παραστάντες, καὶ διὰ τῶν ῥημάτων καὶ διὰ τῶν πραγμάτων τὴν παρρησίαν
ἐπιδειξάμενοι, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθνήσκοντες, καὶ ἄνδρες καὶ γυναῖκες καὶ παῖδες, πῶς
οὐκ ἂν εἶεν δίκαιοι μυριάκις εἰς τὸν τῶν μαρτύρων καταλεγῆναι χορόν; ἐπεὶ καὶ ὁ Ἀβρα-
άμ, μὴ σφάξας τῇ πείρᾳ τὸν υἱόν, τῇ προθέσει ἔσφαξε, καὶ φωνῆς ἤκουσεν ἄνωθεν λεγούσης·
Γεν. κβ. ιβ.
ὅτι Οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ. οὕτω πανταχοῦ καὶ ἡ γνώμη, ὅταν ἀπηρ- 35
τισμένη ᾖ ἐπὶ τῆς ἀρετῆς, ὁλόκληρον λαμβάνει τὸν στέφανον. εἰ δὲ ἐκεῖνος υἱοῦ μὴ φει-
σάμενος, οὕτως ἀνεκηρύττετο, οὗτοι ἑαυτῶν μὴ φεισάμενοι, ἐννόησον πόσον λήψονται μισθόν,
γρ. ἔλαβον
οὐ μίαν, καὶ δύο, καὶ τρεῖς ἡμέρας, ἀλλ' ὁλόκληρον τὸν βίον ἐπὶ τῆς παρατάξεως ἱστάμενοι
γρ. ἐνιαυτόν
ταύτης, βαλλόμενοι λοιδορίαις, ὕβρεσιν, ἐπηρείαις, συκοφαντίαις. οὐδὲ γὰρ τοῦτο μικρόν·
Εβρ. ι. λγ.
διὸ καὶ ὡς μέγα Παῦλος αὐτὸ θαυμάζει λέγων· Τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζό- 40
μενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω πασχόντων γενηθέντες. τί ἄν τις καὶ εἴποι τοὺς καὶ αὐτοὺς ἀπο-
θνήσκοντας, καὶ τοὺς τὰ τοιαῦτα ἀθλοῦντας ἀλείψαντας, * καὶ ἄνδρας καὶ γυναῖκας; καλῶς δὲ
αὐτοὺς καὶ θαυμάζει. καὶ γὰρ καὶ οὐσίας ἐπέδωκαν πολλοί, ὥστε τοὺς δεσμώτας καὶ τοὺς ἐξο-
ρίστους ἔχειν τινὰ παραμυθίαν τῆς τοσαύτης ταλαιπωρίας, καὶ τὴν ἁρπαγὴν τῶν
* καὶ τὰ παρ-χοντα ὑπο-πτεύοντας γρ. ἐξορισ-μένοις

ὑπαρχόντων

ὑπὸ τῶν ἀρχόντων ἡδέως ἐδέξατο, κατὰ τὸ ἀποστολικὸν ἐκεῖνο λόγιον· ἕτεροι, οἱ μὲν πατρίδος,
οἱ δὲ καὶ αὐτῆς ἐξεβλήθησαν τῆς ζωῆς. ὁρῶν τοίνυν τοσοῦτον πλοῦτον, τοσοῦτον κέρδος, τοσαύ-
την ἐμπορείαν " τῇ ἐκκλησίᾳ " συνηγμένην, τοσούτους θησαυροὺς ἀποτιθεμένους, πυρὸς
σφοδροτέρους γινομένους τοὺς πρότερον ἀποτεθνηκότας, καὶ τοὺς θεάτροις προσηλωμένους
5 εἰς τὰς ἐρημίας ἐξιόντας, καὶ τὰς νάπας καὶ τὰ ὄρη ποιοῦντας ἐκκλησίας, καὶ οὐδενὸς ἐξά-
γοντος τὴν ἀγέλην εἰς τὴν τῶν ποιμένων τάξιν μεταστάντα τὰ πρόβατα, καὶ τοὺς στρατιώ-
τας εἰς τὴν τοῦ στρατηγοῦ παρρησίας ἕνεκεν καὶ ἀνδρείας, καὶ πάντας μετὰ τῆς προσηκού-
σης θερμότητος, σπουδῆς, ἐμμελείας, τὰς συνάξεις ἐπιτελοῦντας, οὐκ ἐκπλήττῃ καὶ θαυ-
μάζεις, ὅσον ἐκ τούτου κατόρθωμα γέγονεν; οὐ γὰρ δὴ μόνον οἱ ὀρθῶς βιοῦντες, ἀλλὰ πολλοὶ
10 καὶ τῶν περὶ τὰ θέατρα μεμηνότων καὶ ἱπποδρομίαις προσεχόντων, ὑπὸ τοῦ ζήλου πυρὸς
σφοδροτέρου πυρωθέντες, πᾶσαν ἐκείνην ἀπέθεντο τὴν " μανίαν, καὶ κατ' αὐτῶν τῶν ξιφῶν
σχεδὸν ἐπήδησαν, πρὸς ἄρχοντας παρρησιαζόμενοι, βασάνων καταφρονοῦντες, ἀπειλῶν κα-
ταγελῶντες, δεικνύντες ὅσον ἐστὶν ἀρετή, καὶ πῶς ἔνι τὸν σφόδρα ἀπολλύμενον, μετανοήσαν-
τα καὶ μεταστάντα αὐτῆς ἅψασθαι τῶν οὐρανῶν τῆς ἁψῖδος. τοσαῦτα οὖν βραβεῖα ὁρῶν,
15 τοσούτους στεφάνους πλεκομένους, τοσαύτην διδασκαλίαν γινομένην, πόθεν, εἰπέ μοι, σκαν-
δαλίζῃ; ἀπὸ τῶν ἀπολωλότων, φησίν. ἀλλ', ὅπερ ἔφην, καὶ λέγων οὐ παύσομαι, οὗτοι ἑαυ-
τοῖς λογιζέσθωσαν τῆς ἀπωλείας τὴν ὑπόθεσιν. τοῦτο γὰρ δι' ὅλου ὁ λόγος ἡμῖν ἀγωνιζό-
μενος ἔδειξεν. εἴπω καὶ ἕτερον κατόρθωμα· πόσοι προσωπεῖον εὐλαβείας περικείμενοι,
πόσοι πεπλασμένην πραότητα ἔχοντες, πόσοι μεγάλοι τινὲς εἶναι νομιζόμενοι, καὶ οὐκ ὄντες,
20 ἀθρόον ἐπὶ τοῦ παρόντος διηλέγχθησαν καιροῦ, καὶ τὰ τῆς " ἀπάτης αὐτοῖς διερρύη, καί, ὅπερ
ἦσαν, ἐφάνησαν, οὐχ ὅπερ ὑπεκρίνοντο καὶ ἠπάτων; οὐ μικρὸν δὲ τοῦτο, ἀλλὰ καὶ σφόδρα μέ-
γιστον εἰς ὠφέλειαν τῶν ἐθελόντων προσέχειν, τὸ διαγινώσκειν τοὺς ἔχοντας τῶν προβάτων
τὰς δορὰς, καὶ μὴ ἀναμίγνυσθαι τοὺς λύκους τοὺς οὕτω κρυπτομένους τοῖς ὄντως προβάτοις.
καὶ γὰρ κάμινος γέγονεν ὁ καιρὸς οὗτος, τὰ χαλκὸν ἔχοντα τῶν νομισμάτων διελέγχων, τὸν μό-
25 λιβδον κατατήκων, τὴν καλάμην καταιθαλῶν, τὰς ποίας ὕλας " τιμιωτέρας ἀποφαίνων.
τοῦτο καὶ ὁ Παῦλος σημαίνων ἔλεγε· Δεῖ δὲ καὶ αἱρέσεις εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται
ἐν ὑμῖν.

Μηδεὶς οὖν σε τούτων σκανδαλιζέτω, μὴ ἱερεὺς νῦν φαῦλος γεγενημένος, καὶ λύκου παντὸς
τὸς ἀγριώτερον " ἐπιπηδῶν τῇ ἀγέλῃ, μὴ τῶν ἀρχόντων, μὴ τῶν κρατούντων τις πολλὴν
30 ὠμότητα ἐνδεικνύμενος. ἐννόησον γάρ μοι ὅτι καὶ ἐπὶ τῶν ἀποστόλων συνέβη τούτων χαλεπώ-
τερα. ὅτε γὰρ ἐκράτησε τότε τὸ σκῆπτρον, τὸ μυστήριον τῆς ἀνομίας Νέρων (οὕτω γὰρ αὐτὸν ὁ Παῦ-
λος ἐκάλεσε) πᾶν εἶδος κακίας ἐπελθών, καὶ πάντας ἀποκρύψας τῇ πονηρίᾳ, ἀλλ' οὐδὲν
οὔτε τὴν ἐκκλησίαν, οὔτε τοὺς γενναίους ἐκείνους ἄνδρας οὗτος παρέβλαψεν, ἀλλὰ καὶ λαμπρο-
τέρους ἀπέφηνεν· οἵ τε ἱερεῖς τῶν Ἰουδαίων οὕτω φαῦλοι καὶ πονηροί τινες ἦσαν, ὡς κελεύεσθαι
35 * τὸν ζῆλον αὐτῶν τοῦ βίου φεύγειν (Ἐπὶ γὰρ τῆς Μωϋσέως καθέδρας, φησίν, ἐκάθισαν οἱ
γραμματεῖς καὶ οἱ Φαρισαῖοι. πάντα οὖν, ὅσα ἂν λέγωσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔρ-
γα αὐτῶν μὴ ποιεῖτε) καίτοι τί γένοιτ' ἂν πονηρότερον ἱερέων, ὧν ὁ ζῆλος ἀπολλύει ἔμελλε τοὺς
μιμουμένους; ἀλλ' ὅμως καὶ τοιούτων ὄντων τῶν τότε κρατούντων, οἱ λάμψαντες, οἱ στε-
φανωθέντες οὐδὲν παρεβλάβησαν, ἀλλὰ μειζόνως ἐδοξάσθησαν. οὐ τοίνυν ξενίζεσθαι χρὴ
40 τοῖς γινομένοις. πανταχοῦ γὰρ πειρασμοὶ τοῖς νήφουσίν εἰσι παρεζευγμένοι, ἀπὸ τῶν οἰκείων,
ἀπὸ τῶν ἀλλοτρίων. διὰ τοῦτο καὶ Παῦλος τὰς νιφάδας ὁρῶν τῶν κινδύνων τὰς ἐπαγο-
μένας αὐτοῖς, καὶ δεδοικὼς μή τινες τῶν μαθητῶν ἐντεῦθεν θορυβηθῶσι, γράφων ἔλεγεν· Ἔ-
πεμψα ὑμῖν Τιμόθεον εἰς τὸ μηδένα " σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε ὅτι
εἰς τοῦτο κείμεθα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὗτος ἡμῶν ὁ βίος, αὕτη τῆς ἀποστολικῆς πολιτεί-
ας

Marginalia (left): γ. τ. ἐκκλησίας · γ. συναγομένων (3–4); γ. λύσσαν (11); γ. πλάνη (20); γ. ἐνδοξοτέρας. ἄλ. λαμπροτέρας (25); γ. ἐπιπηδώμενος (29); * τοῦ λαοῦ (35); γ. σαίνεσθαι (43).

Marginalia (right): α. Κορ. ια. ιθ. (26); κεφ. κ. Ὅτι καὶ ἐπὶ τῶν ἀποστόλων χαλεπώτερα συνέβη (28–31); β. Θεσ. β. ζ. (32); Ματθ. κγ. β. (35); α Θεσ. γ. β. (42).

ας ἡ ἀκολουθία, τὸ μυρία παθεῖν κακά. Εἰς τοῦτο γὰρ κείμεθα, φησί. τί ἐστιν, Εἰς τοῦτο κείμεθα; ὥσπερ τὰ ὤνια εἰς τοῦτο πρόκειται, εἰς τὸ πωλεῖσθαι, οὕτω καὶ ὁ ἀποστολικὸς βίος εἰς τὸ λοιδορεῖσθαι καὶ εἰς τὸ παθεῖν κακῶς, εἰς τὸ μηδέποτε ἀναπνεῖν, εἰς τὸ μηδεμίαν ἔχειν ἀνακωχήν. καὶ ὅσοι νήφουσιν, οὐ μόνον οὐδὲν ἐντεῦθεν βλάπτονται, ἀλλὰ καὶ μειζόνως κερδαίνουσι. διὰ δὲ τούτους, μετὰ τὸ μαθεῖν, ὅτι ἑστήκασι γενναίως, θαυμάζει. καὶ περὶ ἑτέρων δὲ ταῦτα λέγει, ὅτι μετὰ τὰ δεσμὰ αὐτοῦ καὶ τὰς ἁλύσεις περισσοτέρως ἐτόλμων ἀφόβως τὸν λόγον λαλεῖν. τί δαὶ ἐπὶ Μωϋσέως, εἰπέ μοι; ἐν μέσῃ βαρβάρων χώρᾳ οὐκ ἀφῆκεν ὁ Θεὸς καὶ μάγους τὰ αὐτῶν ἐπιδείξασθαι; οὐχὶ καὶ ταύτης μέμνηται τῆς ἱστορίας ὁ Παῦλος; Ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς, φησίν, ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀντιστήσονται τῇ ἀληθείᾳ. οὕτως οὐδέποτε ἐπέλιπεν οὔτε τὰ σκάνδαλα, οὔτε οἱ στεφανούμενοι διὰ τούτων. ταῦτ᾽ οὖν ἅπαντα λογίζου, καὶ μὴ ταῦτα μόνον, ἀλλὰ καὶ ὅσον κέρδος ἀπὸ τοῦ πράγματος γέγονε. κἀκεῖνο σκόπει, ὅτι καὶ ἕτεροί τινές εἰσιν ἀπόρρητοι λόγοι τούτων (οὐ γὰρ πάντα εἰδέναι ἡμᾶς δυνατόν) καὶ ὅτι τὰ χρηστότερα ἀπαντήσεται μετὰ ταῦτα, καὶ πλείων ἡ παραδοξοποιΐα· ὥσπερ οὖν ἐπὶ τοῦ Ἰωσὴφ ἡ μὲν ἀρχὴ δυσκολίαν εἶχε, καὶ μέχρι πολλοῦ περιῄει τὰ πράγματα, ἀπεναντίας εἶναι δοκοῦντα τῇ ὑποσχέσει· ὕστερον δὲ μείζονα τῶν προσδοκηθέντων ἐγένετο. καὶ ἐπὶ τοῦ σταυροῦ δὲ οὐκ εὐθέως, οὐδὲ ἐν προοιμίοις καὶ ἐν ἀρχῇ τὸ κατόρθωμα ἅπαν ἐβλάστησεν, ἀλλὰ τὸ μὲν σκάνδαλον περιῄει, καὶ ὀλίγα τινὰ γέγονε σημεῖα θαύματος ἕνεκεν καὶ τῆς διορθώσεως τῶν ταῦτα τολμησάντων, καὶ εὐθέως ἅπαντα προέδραμεν. Εἰ γὰρ καὶ τὸ καταπέτασμα ἐσχίσθη τοῦ ναοῦ τότε, καὶ πέτραι ἐρράγησαν, καὶ ἥλιος ἐσκοτίσθη, ἀλλὰ ταῦτα ἐν μιᾷ ἡμέρᾳ * καὶ ἐν λήθῃ γέγονε παρὰ τοῖς πολλοῖς. μετὰ δὲ ταῦτα εὐθέως ἐν φυγῇ οἱ ἀπόστολοι, ἐν διώξει, ἐν πολέμοις, ἐν ἐπιβουλαῖς, λανθάνοντες, κρυπτόμενοι, δεδοικότες, καταλυόμενοι, οὕτω τὸν λόγον ἐκήρυττον· καὶ ἐν δυναστείᾳ πολλῇ τῶν Ἰουδαίων ὁ δῆμος, ἀγόντων, περιαγόντων, ἑλκόντων, παρατιθέντων τοὺς πιστεύοντας. καὶ γὰρ τοὺς ἄρχοντας μεθ᾽ ἑαυτῶν ἔχοντες, καθ᾽ ἑκάστην ἦγον καὶ περιῆγον τοὺς ἀποστόλους. καὶ τί λέγω τὸν Ἰουδαίων δῆμον καὶ ἄρχοντας; Εἷς σκηνοῤῥάφος, περὶ δέρματα ἠσχολημένος, ὁ Παῦλος (τί γὰρ σκηνοῤῥάφου εὐτελέστερον;) τοσαύτῃ ἐκέχρητο τῇ μανίᾳ, ὡς σύρειν ἄνδρας καὶ γυναῖκας καὶ παραδιδόναι εἰς φυλακήν· καὶ ὁ σταυρωθεὶς ἠνείχετο ταῦτα ὁρῶν. ἀλλ᾽ ὅρα πῶς μετὰ ταῦτα οὗτός τε ὁ διώκτης πάντας ὑπερηκόντισε, καὶ τὸ πρᾶγμα ὑπὲρ τὸν ἥλιον διέλαμψε, καὶ πᾶσαν κατέσχε τὴν οἰκουμένην.

β. Τιμ. γ. η.

Εἰ δὲ λέγοις, καὶ τίνος ἕνεκεν καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ τοσοῦτοι κίνδυνοι, τοσοῦτοι πειρασμοί, τοσαῦται ἐπιβουλαί, μάνθανε καὶ τὴν αἰτίαν. τίς οὖν αἰτία; παλαίστρα ὁ παρὼν βίος ἐστί, γυμνάσιον καὶ ἀγών, χωνευτήριον, βαφεῖον ἀρετῆς. ὥσπερ οὖν οἱ σκυτοδέψαι τὰ δέρματα λαμβάνοντες στύφουσι πρότερον, κατατείνουσι, παίουσι καὶ τοίχοις καὶ λίθοις προσαράσσοντες, καὶ ἑτέραις μυρίαις θεραπείαις αὐτὰ ποιήσαντες ἐπιτήδεια πρὸς τὴν ὑποδοχὴν τῆς βαφῆς, οὕτω τὸ χρῶμα τὸ κύριον ἐπάγουσιν· οἵ τε χρυσοχόοι τὸ χρυσίον εἰς τὸ πῦρ ἐμβάλλοντες, τῇ βασάνῳ τῆς καμίνου παραδιδόασιν, ὥστε ποιῆσαι καθαρώτατον· οἵ τε παιδοτρίβαι ἐν τῇ παλαίστρᾳ πολλοῖς πόνοις τοὺς ἀθλητὰς γυμνάζουσι, τῶν ἀντιπάλων σφοδρότερον αὐτοῖς ἐμπίπτοντες, ἵνα ἐν τῇ γυμνασίᾳ τὸ πᾶν κατορθώσαντες ἐν τοῖς τῶν διδασκάλων σώμασιν, ἐπὶ τῶν ἀγώνων εὐτρεπεῖς ὦσι καὶ παρεσκευασμένοι πρὸς τὰς λαβὰς τῶν ἐχθρῶν, καὶ ῥᾳδίως αὐτὰς διαλύσωσιν· οὕτω καὶ ὁ Θεὸς ἐν τῷ παρόντι βίῳ ποιεῖ, πρὸς ἀρετὴν ἐπιτηδείαν βουλόμενος μετασκευάσαι τὴν ψυχήν, καὶ στύφει, καὶ χωνεύει, καὶ βασάνῳ πειρασμῶν παραδίδωσιν, ὥστε τούς τε ἀναπεπτωκότας καὶ διαλελυμένους σφίγξαι, τούς τε δοκίμους δοκιμωτέρους ποιῆσαι καὶ ἀχειρώτους ταῖς τῶν δαιμόνων ἐπιβουλαῖς καὶ ταῖς τοῦ διαβόλου παγίσι, καὶ σφόδρα ἐπιτηδείους πρὸς τὴν τῶν μελλόντων ἀγαθῶν ὑποδοχὴν [ἀπάντας].

κεφ. κα. Διὰ τί καὶ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ πολλοὶ οἱ πειρασμοί.

γρ. δ᾽ ἀγῶνι
γρ. πρόκειται
γρ. δ
γρ. ἐναντίου αὐτῷ
* διὸ
γρ. ἦν
γρ. ἐδίωκον
γρ. ξύλοις, ἢ ξύλοις
γρ. ἀπαιωροῦντες
γρ. τίμιον
γρ. καθαρώτερον
γρ. εὐτρεπέστεροι
γρ. ταύτας
γρ. κατασ.
γρ. σφιγχθῆναι

πάντας]. Ἀνὴρ γάρ, φησιν, ἀπείραστος, ἀδόκιμος· καὶ ὁ Παῦλος, Ἡ θλῖψις ὑπομονὴν (Ῥωμ. ε. δ.)
κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν. Ὥσπερ καρτερικοὺς οὖν καὶ ὑπομονητικοὺς ποιῆσαι θέ-
λων, ἀφίησι τὸ νόμισμα διακωδωνίζεσθαι παντὶ τρόπῳ. Ταύτης ἕνεκεν τῆς αἰτίας καὶ τὸν (γρ. κωτῆρες)
Ἰὼβ ἀφῆκε παθεῖν ἅπερ ἔπαθεν, ὥστε καὶ δοκιμώτερον φανῆναι, καὶ ἐμφράξαι τοῦ διαβόλου
5 τὸ στόμα· διὰ τοῦτο καὶ τοὺς ἀποστόλους ἀφῆκεν, ὥστε κἀκείνους ἀνδρειοτέρους γενέσθαι, καὶ
τὴν οἰκείαν δύναμιν ταύτῃ ἐπιδείξασθαι. καὶ γὰρ καὶ αὕτη αἰτία οὐ μικρά. διὸ καὶ Παύλῳ
ἔλεγε ζητοῦντι ἄνεσιν καὶ ἀπαλλαγὴν τῶν κατεχόντων κακῶν, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ (β Κορ. ιβ. θ.)
δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.

Καὶ γὰρ οἱ μηδέπω τῷ λόγῳ τοῦ χριστιανισμοῦ προσελθόντες, καὶ ἐντεῦθεν μειζόνως,
10 ἐὰν νήφωσι, κερδαίνουσι. καὶ γὰρ ὅταν ἴδωσιν ἀδικουμένους, λοιδορουμένους, δεσμωτήριον οἰκοῦν-
τας, ἐπηρεαζομένους, ἐπιβουλευομένους, ἀποτεμνομένους, καιομένους, καταποντιζομένους, καὶ
μηδενὶ τῶν δεινῶν εἴκοντας, ἐννόησον ὅσοι ἔχοντες θαῦμα τῶν παραδόξων τούτων ἀθλητῶν ἀπήρ-
χοντο καὶ οἱ τότε, καὶ οἱ μετὰ νῦν. ὥστε οὐ μόνον οὐκ ἐργάζεται σκάνδαλον τὰ γενόμενα τοῖς νή-
φουσιν, ἀλλὰ καὶ πλείονος διδασκαλίας ὑπόθεσις γίνεται. διὸ καὶ Παῦλος ἤκουσε ταῦτα, Ὅτι (γρ. τοῦτο)
15 ἡ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. τοῦτο καὶ ἐπὶ τῆς παλαιᾶς καὶ ἐπὶ τῆς καινῆς ἐστιν εὑ-
ρεῖν. ἐννόησον γὰρ τί πάσχειν εἰκὸς ἦν τὸν Ναβουχοδονόσορ ὑπὸ τριῶν παίδων, δούλων,
αἰχμαλώτων, δεδεμένων, πυρπολουμένων, τοσούτου στρατοπέδου παρόντος ἡττώμενον, καὶ (β. Κορ. ιβ. θ.)
μὴ δυνάμενον τριῶν περιγενέσθαι σωμάτων δεδουλωμένων, ὑποκειμένων, παντελῶς ἐκ-
πεπτωκότων, ἐλευθερίας, τιμῆς, δυναστείας, χρημάτων, πόρρω τῶν οἰκείων ἀπῳκισμέ-
20 νων. Εἰ δὲ μὴ συνεχωρήθη ὁ ἐμπρησμὸς ἐκεῖνος, οὐκ ἂν οὕτω λαμπρὸν τὸ βραβεῖον ἐγέ-
νετο, οὐκ ἂν οὕτω φαιδρὸς ὁ στέφανος. ἐννόησον τί πάσχειν εἰκὸς ἦν τὸν Ἡρώδην ὑπὸ δε-
σμώτου ἐλεγχόμενον, καὶ ὁρῶντα οὐδὲ ἀπὸ τῆς ἁλύσεως ἐνδιδόντα τῇ παρρησίᾳ, ἀλλ' αἱ-
ρούμενον σφαγῆναι μᾶλλον, ἢ προέσθαι τὴν καλλίστην ἐλευθεροστομίαν ἐκείνην. ἐννόη-
σον τίς ὁρῶν ταῦτα καὶ ἀκούων καὶ τῶν τότε ζώντων καὶ τῶν μετὰ ταῦτα γινομένων, κἂν σφόδρα
25 ἀναπεπτωκὼς ᾖ, τοιοῦ δέ τινα ἔχων βραχὺν, πῶς τὰ μέγιστα κερδάνας ἄπεισι; μὴ γάρ
μοι τὰ καθάρματα τῶν ἀνοήτων εἴπῃς, τοὺς βλᾶκας καὶ αὐτοσάρκας ὄντας, καὶ φύλλων κου-
φοτέρους. οὗτοι γὰρ οὐχὶ τούτοις μόνον, ἀλλὰ καὶ παντὶ σχεδὸν γινομένῳ προσπταίουσιν· ὡς
καὶ ὁ Ἰουδαίων δῆμος καὶ μάννα ἐσθίων καὶ ἄρτον ὁμοίως δυσάρεστος ἦν, καὶ ἐν Αἰγύπτῳ ὤν,
καὶ ἀπαλλαγεὶς Αἰγύπτου, καὶ παρόντος Μωϋσέως, καὶ ἀπελθόντος. ἀλλ' ἐκείνους εἰς μέ-
30 σον ἄγε μοι, τοὺς νήφοντας, τοὺς ἐγρηγοροῦντας, καὶ λογίζου πόσην εἰκὸς αὐτοὺς ἐντεῦθεν καρ-
πώσασθαι τὴν ὠφέλειαν, ὁρῶντας ψυχὴν ἀπερίτρεπτον, φρόνημα ἀδούλωτον, γλῶτταν
παρρησίας γέμουσαν, ἄνθρωπον ἐρημοπολίτην, βασιλέως περιγινόμενον, δεσμούμενον καὶ
οὐκ ἐνδιδόντα, ἀποτεμνόμενον καὶ οὐ σιγῶντα· καὶ μηδὲ μέχρι τούτων στῇς, ἀλλὰ καὶ τὰ
μετὰ ταῦτα ἐξέταζε. ἀπέτεμεν ὁ Ἡρώδης, ἀπετμήθη ὁ Ἰωάννης. τίς οὖν ἐστιν ἐν τοῖς ἁ-
35 πάντων μακαρισμοῖς; τίς ζηλωτός; τίς ἀνακηρύττεται; τίς στεφανοῦται; τίς ἐγκωμιάζεται;
τίς ἐπαινεῖται; τίς θαυμάζεται; τίς μέχρι σήμερον ἐλέγχει; οὐ καθ' ἑκάστην ἐκκλησίαν ὁ
μὲν βοᾷ, Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου, ὁ δὲ στηλιτεύεται καὶ (Ματθ. ιδ. δ.)
μετὰ τελευτὴν ἐπὶ τῇ μοιχείᾳ καὶ τῇ παρανοίᾳ καὶ τῇ θρασύτητι; σκόπει δὲ μετὰ τῶν εἰ- (γρ. στόμα)
ρημένων, ὅση τοῦ δεσμώτου ἡ δύναμις, καὶ τοῦ τυράννου ἡ ἀσθένεια. ὁ μὲν γὰρ οὐκ ἴσχυσε μίαν
40 ἐπιστομίσαι γλῶτταν, ἀλλ' ἀνελὼν αὐτὴν μυρία ἀντ' ἐκείνης καὶ μετ' ἐκείνης ἀνέῳξε
στόματα. ὁ δὲ καὶ τότε αὐτὸν εὐθέως ἐφόβησε μετὰ τὴν σφαγὴν (οὕτω γὰρ αὐτοῦ τὸ συνει-
δὸς κατέσειεν ὁ φόβος, ὡς νομίζειν αὐτὸν τότε καὶ ἐκ νεκρῶν ἀναστάντα θαυματουργεῖν) καὶ νῦν
δὲ καὶ ἐξ ἐκείνου διὰ παντὸς τοῦ χρόνου μετὰ πᾶσαν αὐτὸν ἐλέγχει τὴν οἰκουμένην, καὶ δι' ἑ-
αυτοῦ, καὶ δι' ἑτέρων. ἕκαστος γὰρ τὸ εὐαγγέλιον ἀναγινώσκων τοῦτο, λέγει, Οὐκ ἔξεστί σοι ἔχειν
τὴν

τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου· καὶ τοῦ εὐαγγελίου χωρὶς ἐν συλλόγοις καὶ συνου-
σίαις, ταῖς οἴκοι, ταῖς ἐν ἀγορᾷ, ταῖς ἀπανταχοῦ, κἂν εἰς τὴν Περσῶν χώραν ἀπέλθῃς,
κἂν εἰς τὴν Ἰνδῶν, κἂν εἰς τὴν Μαύρων, κἂν ὅσην ἥλιος ἐφορᾷ γῆν, καὶ πρὸς αὐτὰς
τὰς ἐσχατιάς, ταύτης ἀκούσῃ τῆς φωνῆς, καὶ ὄψει τὸν δίκαιον ἐκεῖνον ἔτι καὶ νῦν βοῶντα, ἐν-
ηχοῦντα, καὶ τὴν κακίαν ἐλέγχοντα τοῦ τυράννου, καὶ οὐδέποτε σιγῶντα, οὐδὲ τῷ πλήθει τοῦ 5
χρόνου τὸν ἔλεγχον μαραινόμενον. τί τοίνυν ἀπὸ τῆς τελευτῆς παρεβλάβη ὁ δίκαιος ἐκεῖνος;
τί δὲ ἀπὸ τοῦ βιαίου θανάτου; τί δὲ ἀπὸ τῆς ἁλύσεως; τί δὲ ἀπὸ τοῦ δεσμωτηρίου; τίνας δὲ οὐκ
ὤρθωσε τῶν νῦν ὄντων, ἀφ' ὧν εἶπεν, ἀφ' ὧν ἔπαθεν, ἀφ' ὧν ἔτι καὶ νῦν κηρύττει τὰ αὐτά,
ἃ καὶ τότε ζῶν; μὴ τοίνυν λέγε, διατί συνεχωρήθη ἀποθανεῖν; οὐ γὰρ θάνατος ἦν, ἀλλὰ
στέφανος τὸ γεγενημένον· οὐ τελευτή, ἀλλὰ μείζονος ζωῆς προοίμια. μάθε φιλοσοφεῖν, καὶ 10
οὐ μόνον οὐδὲν ἐκ τῶν τοιούτων βλαβήσῃ, ἀλλὰ καὶ τὰ μέγιστα κερδανεῖς. τί δὲ ἡ Αἰγυπτία
γυνή; οὐ κατηγόρησεν; οὐκ ἐσυκοφάντησεν; οὐκ ἔδησε τὸν δίκαιον; οὐκ εἰς δεσμωτήριον
ἐνέβαλεν; οὐ τὸν περὶ τῶν ἐσχάτων ἐπεκρέμασεν αὐτῷ κίνδυνον; οὐκ αἴσχε, τόγε εἰς αὐτὴν
ἧκον; οὐ πονηρὰν περιέθηκε δόξαν; τί οὖν αὐτὸν παρέβλαψεν ἢ τότε ἢ νῦν; καθάπερ γὰρ
πυρὸς ἄνθρακες ὑπὸ ἀχύρων καλυφθέντες, παρὰ μὲν τὴν ἀρχὴν σκιάζεσθαι δοκοῦσιν, 15
ὕστερον δὲ διαφαγόντες τὰ ἐπικείμενα, δι' αὐτῶν ἐκείνων τῶν ἀχύρων ὑψηλοτέραν ἀνάπτου-
σι τὴν φλόγα· οὕτω δὴ καὶ ἡ ἀρετή, κἂν ἐπηρεάζεσθαι δοκῇ, ὕστερον δὴ δι' αὐτῶν τῶν κωλυ-
μάτων μειζόνως ἀνθεῖ, καὶ εἰς αὐτὸν φθάνει τὸν οὐρανόν. τί γὰρ μακαριώτερον γένοιτ' ἂν
τοῦ νεανίσκου ἐκείνου διὰ τὴν συκοφαντίαν, διὰ τὴν ἐπιβουλήν, οὐ διὰ τὸν θρόνον τὸν
ἐν Αἰγύπτῳ, οὐδὲ διὰ τὴν ἐκεῖ βασιλείαν; πανταχοῦ γὰρ τοῖς πάθεσιν αἱ δόξαι, καὶ 20
αἱ εὐδοκιμήσεις, καὶ οἱ στέφανοι εἰσὶ συγκεκληρωμένοι. οὐχὶ καὶ τοῦτον πάντες πανταχοῦ τῆς
οἰκουμένης ᾄδουσι; καὶ χρόνου τοσούτου πλῆθος οὐκ ἐμάρανεν αὐτοῦ τὴν μνήμην, ἀλλὰ τῶν
βασιλικῶν εἰκόνων λαμπρότεραί τε καὶ διαρκέστεραι αἱ τῆς ἀρετῆς καὶ τῆς σωφροσύνης
αὐτοῦ πανταχοῦ τῆς οἰκουμένης ἀνάκεινται εἰκόνες, ἐν τῇ Ῥωμαίων, ἐν τῇ βαρβάρων χώ-
ρᾳ, ἐν τῷ ἑκάστου συνειδότι, ἐν τῇ ἑκάστου γλώττῃ. καὶ ὁρῶμεν αὐτὸν ἅπαντες κατηγορούμενον, 25
ἀγχόμενον, συμβουλεύοντα τῇ ἀθλίᾳ καὶ ταλαιπώρῳ πόρνῃ τὰ δέοντα, καὶ τὰ παρ' ἑαυτοῦ πάν-
τα εἰσφέροντα εἰς τὴν ἐκείνης σωτηρίαν, ἐντρέποντα αὐτῆς τὴν ἀναισχυντίαν, σβεννῦν-
τα τὴν κάμινον, χειμῶνος ἐξαρπάσαι ἐπιχειροῦντα χαλεποῦ, καὶ εἰς τὴν γαλήνην ὁρμί-
ζοντα· εἶτα ἐπειδὴ τὸ κλυδώνιον ὑπερέσχε, καὶ ὑπέραντλον τὸ πλοῖον γέγονε, ναυαγούσης ἐ-
κείνης, φεύγοντα τὰ κύματα, καὶ ἐπὶ τὴν "στερεὰν τῆς σωφροσύνης πέτραν τρέχοντα, καὶ τὰ 30
ἱμάτια ἐν ταῖς ἐκείνης καταλιμπάνοντα χερσί, καὶ τῶν τὰς πορφυρίδας περιβεβλημένων
λαμπρότερον ἐν τῇ γυμνότητι φαινόμενον, καὶ καθάπερ ἀριστέα τινὰ καὶ τροπαιοῦχον φαι-
δρόν, τὸ τρόπαιον ἱστῶντα τῆς σωφροσύνης. καὶ οὐδὲ ἐν τούτοις καταλύομεν τὴν μνήμην,
ἀλλὰ περαιτέρω προϊόντες, ὁρῶμεν αὐτὸν πάλιν εἰς δεσμωτήριον ἀπαγόμενον, δεδεμένον,
αἰχμῶντα, πολὺν ἐκεῖ τηκόμενον χρόνον. καὶ διὰ ταῦτα μάλιστα θαυμάζομεν πάλιν αὐτόν, 35
μακαρίζομεν, ἐκπληττόμεθα, ἐπαινοῦμεν. κἂν σώφρων τις ᾖ, ἐννοῶν αὐτὸν σωφρονέστερος
γίνεται· κἂν ἀκόλαστος, ταχέως τῷ διηγήματι πρὸς σωφροσύνην μεθίσταται, καὶ ὑπὸ τῆς ἱστορίας
ἀμείνων καθίσταται. ταῦτα τοίνυν ἅπαντα "ἀναλέγοντες μηδὲν θορυβεῖσθε, ἀλλὰ καὶ κερ-
δαίνετε ἐκ τῶν γινομένων· καὶ ἡ τῶν ἀθλούντων ὑπομονὴ γινέσθω καρτερίας ὑμῖν διδά-
σκαλος, καὶ πάντα τὸν βίον τῶν γενναίων καὶ ὑψηλῶν ἀνδρῶν ὁρῶντες διὰ τοιούτων ὑφαινό- 40
μενον, μὴ συγχεῖσθε, μηδὲ ταράττεσθε, μήτε τοῖς ἰδίοις, μήτε τοῖς "κοινοῖς πειρασμοῖς. καὶ
γὰρ καὶ ἡ ἐκκλησία ἐξ ἀρχῆς οὕτως* ἐτράφη, οὕτως ηὐξήθη. μηδὲν οὖν ξενίζεσθε. οὐδὲν
γὰρ ἀπεικὸς γέγονεν. ἀλλ' ὥσπερ ἐπὶ τῶν βιωτικῶν, οὐκ ἔνθα ἄχυρα καὶ χόρτος, οὐδὲ ἔνθα
ἄμμος, ἀλλ' ἔνθα χρυσίον καὶ μαργαρῖται, ἐκεῖ πειραταὶ καὶ καταποντισταὶ καὶ λῃσταὶ καὶ τοι-

χωρύχοι

γρ. στερρὰν

γρ. λογιζόμενοι,

γρ. ἀλλοτρίοις

* κλυδωνιζομένη

χωρύχοι συνεχῶς ἐνοχλοῦσι καὶ ἐπιβουλεύουσιν· οὕτω καὶ ὁ διάβολος ἔνθα ἂν ἴδῃ πλοῦτον συναγόμενον τὸν κατὰ ψυχήν, καὶ εὐπορίαν εὐσεβείας ἐπιτεινομένην, ἐκεῖ τὰ μηχανήματα ἵστησι καὶ προσάγει. ἀλλ᾽ ἐὰν οἱ ἐπιβουλευόμενοι νήφωσιν, οὐ μόνον οὐδὲν ἐλαττοῦνται ἐντεῦθεν, ἀλλὰ καὶ μείζονα τὸν πλοῦτον τῆς ἀρετῆς συνάγουσιν. ὃ δὴ καὶ νῦν γέγονε.

κεφ. κγ. Ὅτι μέγιστον σημεῖον τῆς εὐδοκιμήσεως τῆς ἐκκλησίας τὰ γενόμενα, καὶ πολλοὺς ταῦτα ὠφέλησαν.

5 Καὶ μέγιστον ἄν τις τοῦτο σημεῖον καὶ τοῦ πλούτου τῶν κατορθωμάτων, καὶ τῆς ἀνδρείας τῆς ἐκκλησίας ποιήσειεν. ὅτι γὰρ εἶδεν αὐτὴν ὁ πονηρὸς δαίμων ἐκεῖνος ἀνθοῦσαν, εὐδοκιμοῦσαν, ἐν βραχείᾳ καιροῦ ῥοπῇ πρὸς ὕψος ἀνενεχθεῖσαν, πολλὴν σπουδὴν ἐν αὐτῇ γινομένην, καὶ τὴν μὲν τῶν εὐδοκιμούντων ἐπὶ τὸ βέλτιον ἐπίδοσιν, τῶν ἐν ἁμαρτίαις ζώντων εἰς μετάνοιαν μετάστασιν, πᾶσαν τὴν οἰκουμένην ἀπὸ τῆς πόλεως ταύ-
10 της κατηχουμένην· πάντα ἐκίνησεν αὐτοῦ τὰ μηχανήματα, καὶ ἐμφυλίους ἀνῆψε πολέμους. καὶ καθάπερ ἐπὶ τοῦ Ἰώβ, νῦν μὲν τὴν ἀποβολὴν τῶν χρημάτων, νῦν δὲ τὴν ἀπαιδίαν, νῦν δὲ τὴν ἀρρωστίαν τοῦ σώματος, νῦν δὲ τῆς γυναικὸς τὴν γλῶτταν, νῦν δὲ τῶν φίλων τὰ ὀνείδη καὶ τὰ σκώμματα καὶ τὰς λοιδορίας ἐκίνει κατὰ τοῦ δικαίου, καὶ πᾶν εἶδος μηχανημάτων προσῆγεν· οὕτω καὶ ἐπὶ τῆς ἐκκλησίας, διὰ φίλων, δι᾽ ἐχθρῶν, διὰ τῶν εἰς κλῆρον τε-
15 λούντων, διὰ τῶν εἰς στρατείαν καταλεγομένων, διὰ τῶν ἐπισκοπῇ τετιμημένων, διὰ πολλῶν καὶ παντοδαπῶν προσώπων τὰ παρ᾽ ἑαυτοῦ ἐκίνησεν. ἀλλ᾽ ὅμως καὶ τοσαῦτα μηχανησάμενος, οὐ μόνον αὐτὴν οὐκ ἐσάλευσεν, ἀλλὰ καὶ λαμπροτέραν ἐποίησεν. οὐ γὰρ οὕτω τότε μὴ ἐνοχλουμένη πάντας ἐπαίδευσεν, ὡς νῦν τὴν οἰκουμένην διδάσκει καρτερεῖν, ἐγκρατεύεσθαι, φέρειν πειρασμούς, ὑπομονὴν ἐπιδείκνυσθαι, καταφρονεῖν τῶν βιωτικῶν. μη-
20 δὲν ἡγεῖσθαι πλοῦτον, καταγελᾶν τιμῆς, ὑπερορᾶν θανάτου, καταφρονεῖν ζωῆς, πατρίδα παρορᾶν, οἰκείους, φίλους, συγγενεῖς, πρὸς σφαγὰς ἀποδύεσθαι παντοδαπάς, κατὰ ξιφῶν κυβιστᾶν, τὰ λαμπρὰ ἅπαντα τοῦ παρόντος βίου, τιμὰς λέγω καὶ δόξας, καὶ δυναστείας, καὶ τρυφήν, τῶν ἠρινῶν ἀνθῶν εὐτελέστερα εἶναι νομίζειν. καὶ ταῦτα οὐκ εἷς παιδεύει μόνον, οὐδὲ δύο καὶ τρεῖς, ἀλλὰ πᾶς ὁ λαός, καὶ οὐ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ πραγ-
25 μάτων, δι᾽ ὧν πάσχουσι, δι᾽ ὧν νικῶσι, δι᾽ ὧν περιγίνονται τῶν ἐπιβουλευόντων, δι᾽ ὧν ἀδάμαντος στερρότεροι καὶ πέτρας ἰσχυρότεροι ἅπαντα γεγόνασιν, οὐχ ὅπλα κινοῦντες, οὐ πόλεμον ἀναρριπίζοντες, οὐ τόξον, οὐ βέλη ἀφιέντες, ἀλλ᾽ ὑπομονῆς τεῖχος ἕκαστος περιβεβλημένος, ἐπιεικείας, πραότητος, ἀνδρείας, ᾗ πάντας κακῶς τοὺς ποιοῦντας ἐκ πολλοῦ τοῦ περιόντος καταισχύνοντες.

κεφ. κδ. Ὅτι οἱ ταῦτα παρανομήσαντες καὶ ἐντεῦθεν ἤδη δεδώκασι δίκην.

30 Νῦν γοῦν οὗτοι μὲν φαιδρῷ τῷ προσώπῳ, ἐλευθέροις τοῖς ὀφθαλμοῖς, παρρησίᾳ ἀφάτῳ κεχρημένοι, εἰς ἀγορὰν ἐμβάλλουσιν, ἐν οἰκίαις στρέφονται, πρὸς τὴν σύναξιν αὐτομολοῦσιν· οἱ δὲ ταῦτα ἐργασάμενοι, καθ᾽ ἕκαστον τῶν μηχανημάτων, ὧν προσάγουσιν, ἐγκαλυπτόμενοι, καὶ πονηρὸν ἔνδον ἔχοντες συνειδός, τρέμοντες, δεδοικότες οὕτω περιΐασι. καὶ καθάπερ τὰ δυσθανατῶντα τῶν θηρίων, μετὰ προτέραν καὶ δευτέραν πληγὴν σφοδροτέρως ἐπι-
35 πίπτοντα ταῖς αἰχμαῖς τῶν δοράτων, χαλεπωτέραν καθ᾽ ἑαυτῶν ὠθεῖ τὴν πληγήν, τὰ τραύματα εἰς αὐτὰ τὰ σπλάγχνα δεχόμενα, καὶ τὰ κύματα ταῖς πέτραις ῥηγνύμενα, τῇ σφοδροτέρᾳ ῥύμῃ ἑαυτὰ ἀφανίζει καὶ διαλύει· οὕτω δὴ καὶ οὗτοι, δι᾽ ὧν ἐπιβουλεύουσιν, ἑαυτοῖς μᾶλλον ἢ ἑτέροις τὰ βάραθρα ἀνορύττουσιν. οἱ μὲν γὰρ ἐπιβουλευόμενοι τῆς οἰκουμένης ἐραστὰς ἔχουσιν, ἐπαινέτας, θαυμαστάς, ἀνακηρύττοντας, στεφανοῦντας, τοὺς εἰδότας, τοὺς οὐκ εἰδό-
40 τας, τοὺς ἀπὸ τῶν πραγμάτων, τοὺς ἀπὸ τῆς φήμης τὰ ἐκείνων μανθάνοντας, τοὺς συναλγοῦντας μυρίους, τοὺς συναγωνιζομένους, τοὺς τὰ χρηστὰ συνευχομένους αὐτοῖς πάντας· οἱ δὲ ἐπιβουλεύοντες τοὺς μισοῦντας τοσούτους καὶ πολλῷ πλείους, τοὺς κατηγόρους, τοὺς διαβάλλοντας, τοὺς ἐλέγχοντας, τοὺς καταισχύνοντας, τοὺς ἐπαρωμένους μυρία, τοὺς ἐπιθυμοῦντας αὐτοὺς ἰδεῖν ἐν κολάσει καὶ τιμωρίᾳ. καὶ ταῦτα μὲν ἐνταῦθα· τὰ δὲ ἐκεῖ ποῖος παραστήσει λό-

γῆς; Εἰ γὰρ ἕνα τις σκανδαλίσας τοσαύτῃ κολάσει κατακρίνεται, ὡς συμφέρειν μύλον κρεμασθῆναι ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν· ἐννόησον πόσας δώσουσιν οὗτοι δίκας ἐν τῷ φοβερῷ δικαστηρίῳ τότε ἐκείνῳ, πόσας ὑποστήσονται τιμωρίας, τὴν εἰς αὐτοὺς ἧκον, τὴν οἰκουμένην ταράξαντες ἅπασαν, τοσαύτας ἀνατρέψαντες ἐκκλησίας, τοσαύτῃ πολεμήσαντες εἰρήνῃ, μυρία πανταχοῦ σκάνδαλα θέντες; Οἱ δὲ παρ' ἐκείνων παθόντες, ἅπερ ἔπαθον, μετὰ τῶν μαρτύρων, μετὰ τῶν ἀποστόλων, μετὰ τῶν γενναίων καὶ ὑψηλῶν ἀνδρῶν στήσονται λάμποντες ἀπὸ τῶν κατορθωμάτων, ἀπὸ τῶν παθῶν, ἀπὸ τῶν στεφάνων, ἀπὸ τῶν βραβείων, ἀπὸ τῆς πολλῆς παρρησίας. καὶ ὄψονται μὲν αὐτοὺς κολαζομένους, ἐξαρπάσαι δέ, κἂν μυριάκις βουληθῶσι, τῆς κολάσεως οὐ δυνήσονται· ἀλλὰ θήσουσι μὲν ἱκετηρίαν οὗτοι, οὐδὲν δὲ ὀνήσουσιν. Εἰ γὰρ ὁ πένητα ἕνα παραδραμὼν τὸν Λάζαρον τοσαύτην ὑπέμεινε δίκην, καὶ οὐδεμιᾶς ἔτυχε παραμυθίας, τί πείσονται οὗτοι, τοσούτους διώξαντες καὶ σκανδαλίσαντες; Ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, καὶ ὅσα τούτοις ἐοικότα ἀπὸ τῶν θείων συλλέγοντες γραφῶν, ἑαυτοῖς μὲν τεῖχος ἀσφαλές, τοῖς δὲ ἀσθενεστέροις ἔτι φάρμακα ταῦτα κατασκευάζοντες τὰ διηγήματα, στήκετε ἑδραῖοι, καὶ ἀμετακίνητοι, τὰ ἀποκείμενα ὑμῖν ἀγαθὰ ἀναμένοντες. πάντως γάρ, πάντως κείσονται ὑμῖν ἀμοιβή, οὐ τῶν πόνων ἴση, ἀλλ' ἐκ πολλοῦ τοῦ περιόντος ἄφατος. τοιοῦτος γὰρ ὁ φιλάνθρωπος Θεός· μετὰ πολλῆς τῆς φιλοτιμίας τοὺς ἀγαθόν τι ποιεῖν ἢ λέγειν προαιρουμένους ταῖς ἀντιδόσεσι καὶ ταῖς ἀμοιβαῖς νικᾷν ἐσπούδακεν· ὧν ἐπιτύχοιμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἴσ. ἀποκείσονται

ΧΡΥΣΟΣΤΟΜΟΥ ΛΟΓΟΣ, ΟΤΙ ΤΟΝ ΕΑΥΤΟΝ μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δύναται.

γρ. Ἐπιστολὴ γραφεῖσα ἀπὸ Κουκουσοῦ τῆς Κιλικίας, ὅτε αὐτὸς ἐν ἐξορίᾳ.

Οἶδα μὲν ὅτι τοῖς παχυτέροις καὶ πρὸς τὰ παρόντα κεχηνόσι καὶ τῇ γῇ προσηλωμένοις, καὶ αἰσθηταῖς μὲν δουλεύουσιν ἡδοναῖς, τῶν δὲ νοερῶν οὐ σφόδρα ἀντεχομένοις, καινός τις καὶ παράδοξος ὁ λόγος οὗτος εἶναι δόξει· καὶ γελάσονται δαψιλές, καὶ καταγνώσονται ἡμῶν, ὡς ἀπίθανα λεγόντων ἐκ προοιμίων τῆς ὑποσχέσεως. οὐ μὴν διὰ τοῦτο ἀποστησόμεθα τῆς ἐπαγγελίας· ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐπὶ τὴν ἀπόδειξιν ὧν ὑπεσχόμεθα, μετὰ πολλῆς βαδιούμεθα τῆς σπουδῆς. ἂν γὰρ βουληθῶσιν οἱ οὕτω διακείμενοι μὴ θορυβεῖν, μηδὲ ταράττειν, ἀλλὰ ἀναμένειν τοῦ λόγου τὸ τέλος· εὖ οἶδ' ὅτι μεθ' ἡμῶν στήσονται, καὶ ἑαυτῶν καταγνώσονται, ὡς τὸν ἔμπροσθεν ἠπατημένοι χρόνον, καὶ παλινῳδίαν ᾄσονται, καὶ ἀπολογήσονται καὶ συγγνώμην αἰτήσονται, ὑπὲρ ὧν οὐκ ὀρθὴν περὶ τῶν πραγμάτων εἶχον τὴν ψῆφον, καὶ χάριν ἡμῖν εἴσονται πολλήν, ὥσπερ οἱ κάμνοντες τοῖς ἰατροῖς, ἐπειδὰν τῶν νοσημάτων ἀπαλλαγῶσι τῶν τὸ σῶμα πολιορκούντων αὐτοῖς. μὴ γάρ μοι τὴν νῦν κατέχουσαν παρὰ σοὶ κρίσιν λέγε, ἀλλὰ ἀνάμεινον καὶ τῶν λόγων τῶν ἡμετέρων τοὺς ἀγῶνας, καὶ τότε δυνήσῃ τὴν ψῆφον ἀδέκαστον ἐνεγκεῖν, οὐδὲν ἐξ ἀγνοίας εἰς τὸ τἀληθῆ κρίνειν παραβλαπτόμενος. ἐπεὶ καὶ οἱ [ἐπὶ] τῶν βιωτικῶν τούτων πραγμάτων καθήμενοι δικασταὶ οὐκ ἀνέχονται, κἂν σφοδρῶς ῥέοντα ἴδωσι τὸν πρότερον ῥήτορα, καὶ πάντα ἐπικλύζοντα τῇ γλώττῃ, μὴ καὶ τὰ θατέρου μετὰ μακροθυμίας ἀκούσαντες τοῦ πρὸς αὐτὸν ἱσταμένου τὴν ψῆφον ἐνεγκεῖν· ἀλλὰ κἂν μυριάκις ὁ πρότερος δοκῇ δίκαια λέγειν, ἀνέπαφοι τὴν ἀκοὴν καὶ τῷ δευτέρῳ τηροῦσιν· ἐπειδήπερ καὶ αὕτη δικαστῶν ἐστιν ἀρετή, τὰ παρ' ἑκατέρων μαθόντας μετὰ ἀκριβείας ἁπάσης, τότε τὰ παρ' ἑαυτῶν ἐπάγειν. ἐπεὶ οὖν καὶ νῦν ἀντὶ ῥήτορός τινος ἡ κοινὴ τῶν πολλῶν πρόληψις καὶ ἐν τῷ μακρῷ χρόνῳ ῥιζωθεῖσα παρὰ ταῖς

τῶν

τὴν πολλὴν ἀγνοίας ταῦτα κατὰ τὴν οἰκουμένην ἅπασαν ῥητορεύει λέγουσα· πάντα, φη-
σὶν, ἄνω καὶ κάτω γέγονε, πολλῆς συγχύσεως τὸ τῶν ἀνθρώπων ἐμπέπλησται γένος, καὶ πολ-
λοὶ καθ' ἑκάστην ἡμέραν οἱ ἀδικούμενοι, οἱ ἐπηρεαζόμενοι, οἱ βιαζόμενοι, οἱ βλαπτό-
μενοι, οἱ ἀσθενεῖς παρὰ τῶν δυνατωτέρων, οἱ πένητες παρὰ τῶν πλουσίων· καὶ ὥσπερ τὰ
5 κύματα τῆς θαλάττης οὐκ ἔστιν ἀριθμεῖν, οὕτως οὐδὲ τὸ πλῆθος τῶν ἐπιβουλευομένων, τῶν
ἐπηρεαζομένων, τῶν κακῶς πασχόντων· καὶ οὔτε νόμων διόρθωσις, οὔτε δικαστηρίων φόβος, οὔτε
ἄλλο οὐδὲν τὸν λοιμὸν τοῦτον ἔστησε καὶ τὴν νόσον, ἀλλὰ καθ' ἑκάστην ἡμέραν αὔξεται τὸ
κακὸν, καὶ οἰμωγαὶ πανταχοῦ, καὶ θρῆνοι, καὶ δάκρυα τῶν ἀδικουμένων· καὶ οἱ ταχθέντες
τὰ τοιαῦτα διορθοῦν δικασταὶ, αὐτοὶ τὸν χειμῶνα ἐπιτείνουσι, καὶ τὴν νόσον ἐπιτρίβουσι· πολ-
10 λοὶ δὲ ἐντεῦθεν τῶν ἀνοητοτέρων καὶ ἀθλιωτέρων, καινήν τινα μανέντες μανίαν, τῆς τοῦ Θεοῦ
κατηγοροῦσι προνοίας, ὁρῶντες τὸν μὲν ἐπιεικῆ πολλάκις ἑλκόμενον, σπαραττόμενον, ἀγχό-
μενον· τὸν δὲ θρασὺν καὶ φοβερὸν τοῖς πολλοῖς γινόμενον, καὶ ἰταμὸν καὶ ἄτιμον καὶ ἐξ ἀτίμων
πλουτοῦντα καὶ δυναστείαν περιβεβλημένον, μυρία περιτριβόμενον τοῖς ἐπιεικεστέροις δει-
νὰ, καὶ ταῦτα ἐν πόλεσι καὶ ἐν χώραις καὶ ἐν ἐρημίαις καὶ ἐν γῇ καὶ ἐν θαλάττῃ τολμώμενα·
15 ἀναγκαῖος οὖν ἡμῖν ὁ λόγος οὗτος εἰσέρχεται, ἀπενάντιας τοῖς εἰρημένοις ἱστάμενος, καὶ ἀγῶ-
να ἀγωνιζόμενος καινὸν μὲν (ὅπερ ἀρχόμενος εἶπον) καὶ παράδοξον, χρήσιμον δὲ καὶ ἀληθῆ,
καὶ τοῖς βουλομένοις προσέχειν καὶ πείθεσθαι λυσιτελῆ. καὶ γὰρ ἐπαγγέλλεται δεῖξαι (ἀλλὰ
μὴ θορυβεῖσθε) οὐδένα τῶν ἀδικουμένων παρ' ἑτέρου τινὸς ἀδικούμενον, ἀλλὰ παρ' ἑαυτοῦ τοῦτο
πάσχοντα. ἵνα δὲ σαφέστερος ὁ λόγος γένηται, φέρε πρῶτον ἐξετάζωμεν τί ἐστιν ἀδικία, καὶ
20 περὶ ποίων πραγμάτων ὕλην συνίστασθαι πέφυκε· καὶ τί ποτέ ἐστιν ἀνθρωπίνη ἀρε- *γρ. ὕλη*
τὴ, καὶ τί τὸ λυμαινόμενον ταύτην, καὶ τί ποτε δοκεῖ μὲν λυμαίνεσθαι, οὐ λυμαίνεται δέ. οἷον
(δεῖ γὰρ ἐκ παραδειγμάτων ἐντελῆ ποιῆσαι τὸν λόγον) ἕκαστον τῶν πραγμάτων ἓν ἔχει τὸ
λυμαινόμενον, ὁ σίδηρος τὸν ἰὸν, τὸν σῆτα τὸ ἔριον, προβάτων ἀγέλαι τοὺς λύκους· καὶ οἴνου
μὲν ἀρετῆς βλάβη, τὸ παρατραπῆναι καὶ εἰς ὀξίνην μεταπεσεῖν· μέλιτος δὲ, τὸ τὴν σύμ- *γρ. καταπεσεῖν,*
25 φυτον ἀπολέσαι γλυκύτητα, καὶ εἰς πικρὸν κατενεχθῆναι χυμόν. λυμαίνεται δὲ καὶ ληΐων *γρ. ἔμφυτον*
κόμαις ἐρυσίβη καὶ αὐχμὸς, καὶ ἀμπέλων καρπῷ καὶ φύλλοις καὶ κλήμασι τὸ πονηρὸν τῶν ἀκρί-
δων στρατόπεδον, καὶ ἑτέροις δένδρεσιν ἡ κάμπη, καὶ σώμασι δὲ ἀλόγοις ποικίλα νοσήματα· καὶ
(ἵνα μὴ πάντα ἐπεξιόντες μακρὸν ποιήσωμεν τὸν λόγον) τῇ σαρκὶ δὲ τῇ ἡμετέρᾳ καὶ πυρετοὶ καὶ
παρέσεις καὶ ἑτέρων νοσημάτων ἑσμός. ὥσπερ οὖν τούτων ἕκαστον ἔχει τὸ λυμαινόμενον αὐτοῦ
30 τὴν ἀρετὴν, φέρε σκοπήσωμεν τί καὶ τὸ τῶν ἀνθρώπων παραβλάπτει γένος, καὶ τί ποτέ ἐστι τὸ
λυμαινόμενον ἀνθρώπου ἀρετήν.

Οἱ μὲν οὖν πολλοὶ ἕτερα ἄττα νομίζουσι (δεῖ γὰρ καὶ τὰς πεπλανημένας δόξας εἰπεῖν, καὶ
ἀνελόντας αὐτὰς οὕτω τὴν ὄντως λυμαινομένην ἡμῶν ταῖς ἀρεταῖς εἰς μέσον ἀγαγεῖν, καὶ
δεῖξαι σαφῶς, ὅτι ταύτην [ἡμᾶς] οὐδεὶς δύναιτ' ἂν ἀδικῆσαι τὴν ἀδικίαν, οὐδὲ λυμή-
35 νασθαι τὴν λύμην, εἰ μὴ αὐτοὶ ἑαυτοὺς προδοίημεν) οἱ μὲν οὖν πολλοὶ πεπλανημένας
ἔχοντες δόξας, ἕτερα νομίζουσιν εἶναι τὰ λυμαινόμενα ἡμῶν τῇ ἀρετῇ· οἱ μὲν πενίαν, οἱ δὲ *γρ. τὴν ζωὴν, μᾶλλον μὲν τὴν ἀρετὴν, οἱ μὲν*
νόσον σώματος, οἱ δὲ τὴν ἐν χρήμασι ζημίαν, ἕτεροι συκοφαντίαν, ἄλλοι θάνατον, καὶ ταῦ-
τα ἀποδυρόμενοι καὶ θρηνοῦντες διατελοῦσι, καὶ τοὺς πάσχοντας ἐλεοῦντες καὶ δακρύοντες, καὶ ἐκ-
πληττόμενοι πρὸς ἀλλήλους λέγουσιν, οἷα πέπονθεν ὁ δεῖνα; ἀθρόον ἀφῃρέθη τὴν οὐσίαν
40 ἅπασαν. ἕτερος περὶ ἑτέρου πάλιν· ὁ δεῖνα δὲ ἀῤῥωστίᾳ χαλεπῇ περιπεσὼν ἀπέγνωσται πα-
ρὰ τῶν πρὸς αὐτὸν εἰσιόντων ἰατρῶν. καὶ ὁ μὲν τοὺς τὸ δεσμωτήριον οἰκοῦντας, ὁ δὲ τοὺς τῆς
πατρίδος ἐκπεσόντας, καὶ πρὸς τὴν ὑπερορίαν μεταστάντας, ἄλλος τοὺς ἐλευθερίας ἐκ- *γρ. μεταναστάντας*
πεπτωκότας, ἕτερος τοὺς ὑπὸ πολεμίων ἁρπαγέντας καὶ γινομένους αἰχμαλώτους, ἕτερος
τὸν καταποντισθέντα ἢ καέντα, ἄλλος τὸν ὑπὸ οἰκίας καταχωσθέντα θρηνοῦσι καὶ ὀλοφύ-

ἔρχονται· τοὺς δὲ ἐν πονηρίᾳ ζῶντας οὐδείς. ἀλλ', ὃ πάντων ἐστὶ χαλεπώτερον, πολλάκις
αὐτοὺς καὶ μακαρίζουσιν, ὃ καὶ πάντων αἴτιόν ἐστι τῶν κακῶν. φέρε οὖν (ἀλλ' ὅπερ ἐξ ἀρχῆς
παρεκάλεσα, μὴ θορυβεῖσθε) δείξωμεν, ὡς οὐδεὶς τῶν εἰρημένων ἀδικεῖ τὸν νήφοντα ἄνθρω-
πον, οὐδὲ τὴν ἀρετὴν αὐτοῦ λυμήνασθαι δύναιτ' ἄν. τί γάρ, εἰπέ μοι, τὸν τὰ αὐτοῦ πάν-
τα ἀπολωλεκότα, ἢ παρὰ συκοφαντῶν, ἢ παρὰ λῃστῶν, ἢ καὶ οἰκετῶν κακούργων ἀφαιρε- 5 γρ. οἰκείων
θέντα τὰ ὄντα ἔβλαψεν αὕτη ἡ ζημία εἰς ἀρετὴν τοῦ ἀνθρώπου; μᾶλλον δέ, εἰ δοκεῖ, πρό-
τερον ὑπογράφωμεν, τί ποτέ ἐστιν ἀνθρώπου ἀρετή, ἐν ἑτέραις οὐσίαις πρότερον τὸν λόγον
γυμνάσαντες, ὥστε εὐμαθέστερον αὐτὸν ποιῆσαι καὶ σαφέστερον τοῖς πολλοῖς. τί ποτ' οὖν ἐστιν
ἵππου ἀρετή; ἆρα τὸ χρυσοῦν ἔχειν χαλινόν, καὶ περιστομίδας τοιούτους, καὶ στρωμάτων δεσμὸν γρ. στρωματί-δεσμον
ἐκ σηρικῶν νημάτων συγκείμενον, καὶ τάπητας ποικίλους καὶ χρυσοπάστους, καὶ φάλαρα λιθο- 10
κόλλητα, καὶ πλοκάμους χρυσοῖς σχοινίοις συμπεπλεγμένους· ἢ τὸ δρομικὸν εἶναι καὶ εὐσκελῆ, καὶ
βαδίζειν εὔρυθμα, καὶ ὁπλὰς ἔχειν ἵππῳ πρεπούσας γενναίῳ, καὶ ἀνδρείαν κεκτῆσθαι τὴν ἐν
ἀποδημίαις μακραῖς, τὴν ἐν πολέμοις ἁρμόζουσαν, καὶ δύνασθαι καὶ ἐν παρατάξει μετὰ
πολλοῦ φαίνεσθαι τοῦ παραστήματος, καὶ τροπῆς γινομένης σώζειν τὸν ἀναβάτην; οὐκ εὔδηλον
ὅτι ταῦτα ἵππου ἀρετή, οὐκ ἐκεῖνα; τί δέ, ὄνων καὶ ἡμιόνων ποίαν φαίης ἀρετὴν εἶναι; οὐ τὸ 15
δύνασθαι μετ' εὐκολίας ἀχθοφορεῖν, καὶ ῥᾳδίως τὰς ὁδοὺς διανύειν, καὶ πόδας ἔχειν στερρότητι
πέτρας μιμουμένους; μὴ τὰ ἔξωθεν αὐτοῖς περικείμενα συντελεῖν τι πρὸς τὴν οἰκείαν ἀ-
ρετὴν αὐτῶν φήσομεν; οὐδαμῶς. ἄμπελον δὲ ποίαν θαυμασόμεθα; τὴν τοῖς φύλλοις κομῶ-
σαν, καὶ τοῖς κλήμασιν, ἢ τὴν τῷ καρπῷ βριθομένην; ποίαν δὲ ἀρετὴν ἐλαίας εἶναι φαμέν;
ὅταν μεγάλους ἔχῃ τοὺς κλάδους καὶ πολλὴν τὴν ἀπὸ τῶν φύλλων κόμην, ἢ ὅταν τὸν οἰκεῖον 20
καρπὸν δαψιλῆ καὶ πανταχοῦ διεσπαρμένον ἐμφαίνῃ; οὕτω δὴ καὶ ἐπὶ τῶν ἀνθρώπων ποι-
ῶμεν. διακρίνωμεν τὴν ἀρετὴν τὴν τοῦ ἀνθρώπου, καὶ βλάβην εἶναι ἐκείνην νομίσω-
μεν μόνην, τὴν αὐτῇ λυμαινομένην. τί οὖν ἐστιν ἀρετὴ ἀνθρώπου; οὐ χρήματα, ἵνα πενίαν
δείσῃς· οὐδὲ ὑγίεια σώματος, ἵνα φοβηθῇς νόσον· οὐδὲ ἡ τῶν πολλῶν ὑπόληψις, ἵνα ὑπί- γρ. φύγῃς
δῃς δόξαν πονηράν· οὐδὲ τὸ ζῆν ἁπλῶς καὶ εἰκῇ, ἵνα φοβερός σοι γένηται ὁ θάνατος· οὐδὲ ἐλευ- 25
θερία, ἵνα δουλείαν φύγῃς· ἀλλ' ἡ τῶν ἀληθῶν δογμάτων ἀκρίβεια, καὶ ἡ κατὰ τὸν βίον ὀρθότης.
ταῦτα δὲ οὐδὲ αὐτὸς ὁ διάβολος ἀποσυλῆσαι δυνήσεται, ἐὰν ὁ κεκτημένος αὐτὰ μετὰ τῆς
προσηκούσης ἀκριβείας διαφυλάττῃ. καὶ ταῦτα καὶ ὁ πονηρότατος καὶ ἄγριος δαίμων ἐκεῖ-
νος οἶδε. διὰ γάρ τοι τοῦτο καὶ τὴν οὐσίαν ἐσύλα τοῦ Ἰώβ, οὐχ ἵνα πένητα ποιήσῃ, ἀλλ' ἵνα
βλάσφημόν τι ῥῆμα ἐκβαλεῖν βιάσηται· καὶ τὸ σῶμα κατέτεμνεν, οὐχ ἵνα ἀρρωστίᾳ περι- 30
βάλῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ τὴν κατὰ ψυχὴν ἀρετήν. ἀλλ' ὅμως πάντα αὐτοῦ κινήσας τὰ
μηχανήματα, καὶ πένητα αὐτὸν πλουτοῦντος ποιήσας (τοῦτο δὴ τὸ πᾶσιν ἡμῖν φρικωδέστατον γρ. πάντων
εἶναι δοκοῦν) αὐτὸν πολύπαιδος ἄπαιδα, καὶ καταξάνας αὐτοῦ τὸ σῶμα ἁπάντων τῶν ἐν δικαστηρί-
οις δημίων χαλεπώτερον (οὐ γὰρ οὕτω διαρρύπτουσιν αἱ ἐκείνων ὄνυχες τὰς πλευρὰς τῶν ἐμπιπτόν-
των αὐτοῖς, ὡς κατέξεσαν αὐτοῦ τὴν σάρκα τῶν σκωλήκων τὰ στόματα) καὶ πονηρὰν αὐτῷ πε- 35
ριθεὶς δόξαν (οἱ γὰρ φίλοι αὐτῷ παρόντες ἔλεγον· οὐκ ἄξια ὧν ἥμαρτες μεμαστίγωσαι· καὶ
πολλοὺς ἐπέτεινον κατ' αὐτοῦ κατηγορίας λόγους) καὶ οὐχὶ τῆς πόλεως ἐκβαλὼν μόνον, οὐ-
δὲ τῆς οἰκίας, καὶ εἰς ἄλλην μεταστήσας πόλιν, ἀλλὰ τὴν κοπρίαν καὶ οἰκίαν αὐτῷ καὶ πό- γρ. ἀπέτεινον
λιν καταστήσας, οὐ μόνον οὐδὲν αὐτὸν ἐλυμήνατο, ἀλλὰ καὶ λαμπρότερον, δι' ὧν ἐπεβούλευσεν,
ἀπέφηνεν· ὁ δὲ οὐ μόνον τι τῶν ὄντων οὐκ ἀφείλετο (καίτοι τοσαῦτα ἀφελόμενος) ἀλλὰ 40
καὶ μείζονα αὐτῷ τὸν πλοῦτον τῆς ἀρετῆς εἰργάσατο. καὶ γὰρ πλείονος μετὰ ταῦτα ἀπή-
λαυσε παρρησίας, ἅτε καὶ σφοδρότερον ἀγωνισάμενος ἀγῶνα. εἰ δὲ ὁ τοσαῦτα παθὼν οὐδὲν
ἠδίκηται, καὶ παθὼν οὐ παρὰ ἀνθρώπου, ἀλλὰ παρὰ τοῦ πάντων ἀνθρώπων πονηροτέρου
δαίμονος, τίς ἕξει λοιπὸν ἀπολογίαν τῶν λεγόντων, ὅτι ὁ δεῖνα με ἠδίκησε καὶ παρέβλαψεν; εἰ

γὰρ

γὰρ ὁ διάβολος ὁ τοσαύτης γέμων κακίας, πάντα αὐτοῦ κινήσας τὰ ὄργανα καὶ πάντα ἀφεὶς
τὰ βέλη, καὶ ὅσα ἦν ἐν ἀνθρώποις κακὰ, μετὰ πολλῆς τῆς ὑπερβολῆς, καὶ εἰς τὴν οἰκίαν τοῦ
δικαίου καὶ εἰς τὸ σῶμα κενώσας, οὐδὲν τὸν ἄνδρα ἠδίκησεν, ἀλλ᾿, ὅπερ ἔφην, καὶ μᾶλλον ὠφέ-
λησε· πῶς δυνήσονταί τινες τὸν δεῖνα καὶ τὸν δεῖνα αἰτιάσασθαι, ὡς παρ᾿ αὐτῶν, ἀλλ᾿ οὐχ
5 ὡς οἴκοθεν ἠδικημένοι; τί οὖν φησι, τὸν Ἀδὰμ οὐκ ἠδίκησε, καὶ ὑπεσκέλισε, καὶ ἐξέβαλε τοῦ
παραδείσου; οὐχ οὗτος, ἀλλ᾿ ἡ τοῦ ἀδικηθέντος ῥᾳθυμία, καὶ τὸ μὴ νήφειν, μηδὲ ἐγρηγορέναι. ὁ
γὰρ τοιαῦτα καὶ τοσαῦτα προσαγαγὼν μηχανήματα, καὶ τὸν Ἰὼβ κατενεγκεῖν μὴ δυνηθεὶς,
πῶς ἂν ἐξ ἐλαττόνων ἐκράτησε τοῦ Ἀδὰμ, εἰ μὴ διὰ τῆς οἰκείας ῥᾳθυμίας ἑαυτὸν προέ- [χ. παρέδωκεν]
δωκεν ἐκεῖνος; τί οὖν; ὁ συκοφαντίαις περιπεσὼν καὶ δημευθεὶς τὴν οὐσίαν, οὐκ ἠδίκηται τὰ
10 ὄντα πάντα ἀφαιρεθεὶς, καὶ πατρῴων ἐκπεσὼν, καὶ πενίᾳ παλαίων ἐσχάτῃ; οὐκ ἠδίκηται, ἀλλὰ
καὶ ἐκέρδανεν, ἐὰν νήφῃ. τί γὰρ, εἰπέ μοι, τοῦτο παρέβλαψε τοὺς ἀποστόλους; οὐ λιμῷ καὶ
δίψει καὶ γυμνότητι συνεχῶς ἐπάλαιον; καὶ δι᾿ αὐτὸ μὲν οὖν τοῦτο καὶ σφόδρα ἦσαν λαμπροὶ, καὶ
ἐπίσημοι, καὶ πολλὴν παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν ἐπεσπάσαντο. τί δὲ τὸν Λάζαρον ἡ νό- [χ. παῤῥησίαν] [Λυκ. ις.]
σος, καὶ τὰ ἕλκη, καὶ ἡ πενία, καὶ ἡ ἐρημία τῶν προστησομένων παρέβλαψεν; οὐκ ἐντεῦθεν αὐτῷ
15 μειζόνως ἐπλάκησαν οἱ στέφανοι; τί δὲ τὸν Ἰωσὴφ τὸ πονηρὰν δόξαν κτήσασθαι ἐπὶ τῆς οἰ- [Γεν. λζ. καὶ λθ.]
κείας καὶ ἐπὶ τῆς ἀλλοτρίας; καὶ γὰρ καὶ μοιχὸς καὶ ἐπαιεικὸς εἶναι ἐνομίζετο. τί δὲ ἡ δουλεία;
τί δὲ τὸ τῆς πατρίδος ἐκπεσεῖν; οὐ διὰ ταῦτα αὐτὸν μάλιστα θαυμάζομεν, καὶ ἐκπληττόμε-
θα; καὶ τί λέγω τὴν εἰς τὴν ὑπερορίαν μετάστασιν, καὶ πενίαν, καὶ πονηρὰν δόξαν, καὶ δουλεί-
αν; αὐτὸς γὰρ ὁ θάνατος τί τὸν Ἄβελ παρέβλαψε καὶ βίαιος καὶ ἄωρος γενόμενος, καὶ ὑπὸ [Γεν. δ.]
20 χειρὸς ἀδελφικῆς τολμηθείς; οὐ διὰ τοῦτο πανταχοῦ τῆς οἰκουμένης ᾄδεται;

Ὁρᾷς πῶς πλέον ἤπερ ὑπέσχετο ὁ λόγος ἀπέδειξεν; οὐ γὰρ δὴ μόνον οὐδένα παρ᾿ οὐδενὸς
ἀδικούμενον ἀπέφηνεν, ἀλλὰ καὶ μειζόνως κερδαίνοντας τοὺς ἑαυτοῖς προσέχοντας. τίνος
οὖν ἕνεκεν τιμωρίαι καὶ κολάσεις, φησί; τίνος ἕνεκεν γέεννα; τίνος ἕνεκεν ἀπειλαὶ τοσαῦται, [χ. τοιαῦται]
εἰ μηδεὶς μήτε ἀδικεῖται, μήτε ἀδικεῖ; τί λέγεις; τί συγχέεις τὸν λόγον; οὐδὲ γὰρ εἶπον,
25 ὅτι οὐδεὶς ἀδικεῖ· ἀλλ᾿, ὅτι οὐδεὶς ἀδικεῖται. καὶ πῶς ἔνι, φησὶν, ἀδικούντων πολλῶν, μὴ ἀ-
δικεῖσθαί τινα; οὕτως ὡς ἐδίδαξα νῦν. ἐπεὶ καὶ τὸν Ἰωσὴφ ἠδίκησαν μὲν οἱ ἀδελφοὶ, αὐ-
τὸς δὲ οὐκ ἠδικήθη· καὶ τῷ Ἄβελ ἐπεβούλευσε μὲν ὁ Κάϊν, αὐτὸς δὲ οὐκ ἐπεβουλεύθη. διὰ
τοῦτο τιμωρίαι καὶ κολάσεις. οὐδὲ γὰρ διὰ τὴν τῶν πασχόντων ἀρετὴν ἀναιρεῖ τὰς τιμω-
ρίας ὁ Θεὸς, ἀλλὰ διὰ τὴν κακίαν τῶν πονηρευομένων τίθησι τὰς κολάσεις. εἰ γὰρ καὶ
30 λαμπρότεροι οἱ πάσχοντες κακῶς ἀπὸ τῶν ἐπιβούλων γίνονται, ἀλλ᾿ οὐ τῆς γνώμης τοῦτο
τῶν ἐπιβουλευόντων, ἀλλὰ τῆς ἀνδρείας τῶν ἐπιβουλευομένων ἐστί. διὰ τοῦτο τοῖς μὲν τῆς
φιλοσοφίας τὰ βραβεῖα, ἐκείνοις δὲ τῆς πονηρίας αἱ τιμωρίαι εὐτρεπίζονται καὶ παρασκευά-
ζονται. ἀφῃρέθης τὰ χρήματα; λέγε, Γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ [Ἰωβ. α. καὶ]
ἀπελεύσομαι· καὶ πρόσθες τὸ ἀποστολικόν· Οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον τοῦ- [α. Τιμ. ς. ζ.]
35 τον· δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. ἤκουσας κακῶς, καὶ μυρίαις σέ τινες ἔπλυνον
λοιδορίαις; ἀναμνήσθητι τῆς ῥήσεως ἐκείνης τῆς λεγούσης· Οὐαὶ ὑμῖν ὅταν καλῶς ὑμᾶς [Λυκ. ς. κς.]
εἴπωσι πάντες οἱ ἄνθρωποι· καὶ, Χαίρετε καὶ σκιρτᾶτε ὅταν ἐκβάλλωσι καθ᾿ ὑμῶν ὄνομα [Λυκ. ς. κγ.]
πονηρόν. πρὸς τὴν ὑπερορίαν μετῳκίσθης; ἐννόησον ὅτι οὐκ ἔχεις ἐνταῦθα πατρίδα,
ἀλλ᾿ εἰ μέλλεις φιλοσοφεῖν, καὶ τὴν γῆν ἅπασαν ξένην ἐκελεύσθης εἶναι νομίζειν. ἀλλὰ νό-
40 σῳ παρεδόθης χαλεπῇ; εἰπὲ τὸ ἀποστολικὸν ἐκεῖνο· Ὅσῳ ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος δια- [β. Κορ. δ. ις.]
φθείρεται, τοσούτῳ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. ἀλλὰ θάνατον ὑπέμεινέ τις βίαιον;
ἐννόησον τὸν Ἰωάννην καὶ τὴν ἀποτμηθεῖσαν ἐν δεσμωτηρίῳ κεφαλὴν, ἐπὶ πίνακος ἐνε-
χθεῖσαν, καὶ πορνικῆς ὀρχήσεως γενομένην μισθόν. ἐννόησον τὰς ἐντεῦθεν ἀμοιβάς. ταῦτα
γὰρ ἅπαντα τὰ παθήματα, ὅταν ἀδίκως παρά τινος ἐπάγηταί τινι, καὶ ἁμαρτήματα λύει, [χ. μετὰ τὸ καὶ ἁμαρτήματα λύειν καὶ δικαιοσύνας ἐργ.]

καὶ δικαιοσύνην ἐργάζεται. τοσοῦτον αὐτῆς τῆς ὠφελείας τὸ μέγεθος ἐπὶ τῶν γενναίως αὐτὰ φερόντων.
ὅταν οὖν μήτε ζημία χρημάτων, μήτε συκοφαντία, καὶ λοιδορία, μήτε τὸ πρὸς τὴν ὑπερορί-
αν μεταστῆναι, μήτε νόσοι καὶ βάσανοι, μήτε αὐτὸς ὁ πάντων δοκῶν φοβερώτερον εἶναι, ὁ θάνατος,
βλάπτῃ τοὺς πάσχοντας, ἀλλὰ καὶ ὠφελῇ μειζόνως, πόθεν ἔχεις μοι δεῖξαι τινὰ ἀδικούμενον,
ὅταν ἐντεῦθεν μηδὲν ἀδικῆται; ἐγὼ γὰρ τοὐναντίον ἀποδεῖξαι πειράσομαι, ὅτι οἱ μάλι- 5
στα ἀδικούμενοι καὶ ἐπηρεαζόμενοι καὶ τὰ ἀνήκεστα πάσχοντες, οἱ ταῦτα ποιοῦντές εἰσι. τί γὰρ
ἀθλιώτερον γένοιτ' ἂν τοῦ Καΐν, τοῦ τοιαῦτα τὸν ἀδελφὸν διαθέντος; τί δὲ τῆς Φιλίππου γυ-
ναικὸς ἐλεεινότερον, τῆς τὸν Ἰωάννου ἀποτεμούσης; τί δὲ τῶν ἀδελφῶν τοῦ Ἰωσὴφ τῶν ἀπεμ-
πολησάντων αὐτὸν, καὶ πρὸς τὴν ὑπερορίαν μεταστησάντων; τί δὲ τοῦ διαβόλου τοῦ τὸν Ἰὼβ
τοσούτοις καταξαίνοντος κακοῖς; οὐ γὰρ δὴ μόνον τῶν ἄλλων, ἀλλὰ καὶ οὕτως οὐ τὴν τυχοῦσαν 10
δώσει δίκην τῆς ἐπιβουλῆς. εἶδες πῶς κἀνταῦθα πλείω τῆς ὑποσχέσεως ὁ λόγος ἀ- χ. πλεῖον
πέδειξεν, οὐ μόνον οὐδεμίαν λύμην ἀπὸ τῶν ἐπιβουλῶν τούτων ὑπομένοντας τοὺς ἐπηρε-
αζομένους, ἀλλὰ καὶ τὸ πᾶν εἰς τὴν τῶν ἐπιβουλευόντων περιτρεπόμενον κεφαλήν; ἐπεὶ
γὰρ οὔτε πλοῦτος, οὔτε τὸ ἐλεύθερον εἶναι, οὔτε τὸ πατρίδα οἰκεῖν, οὔτε τὰ ἄλλα, ἅπερ εἶπον,
ἀνθρώπου εἰσὶν ἀρεταὶ, ἀλλὰ τῆς ψυχῆς τὰ κατορθώματα· εἰκότως ὅταν εἰς ταῦτα 15
ἡ βλάβη γίνηται, οὐδὲν ἡ ἀνθρωπίνη παραβλάπτεται ἀρετή. τί οὖν ἂν εἰς αὐτήν τις
παραβλαβῇ τῆς ψυχῆς τὴν φιλοσοφίαν; οὐδὲ ἐνταῦθα, ἂν βλαβῇ, παρ' ἑτέρου βλάπτε- γρ. τῆς ὁπν. οιῶ
ται, ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτοῦ. πῶς οἴκοθεν καὶ παρ' ἑαυτοῦ, φησίν; ὅταν μαστιχθῇ παρά του,
ἢ τὰ ὄντα ἀφαιρεθῇ, ἢ χαλεπήν τινα ἑτέραν ὑπομείνας ἐπήρειαν βλάσφημόν τι ῥῆμα
ἐξενέγκῃ, ἐβλάβη μὲν ἐνταῦθα καὶ βλάβην μεγίστην· οὐ μὴν παρὰ τοῦ ἐπηρεάσαντος, ἀλ- 20
λὰ παρὰ τῆς οἰκείας μικροψυχίας. ὅπερ γὰρ ἔμπροσθεν εἶπον, καὶ νῦν ἐρῶ· οὐδεὶς ἀν-
θρώπων, κἂν μυριάκις ᾖ πονηρὸς, τοῦ ἀλάστορος ἐκείνου δαίμονος, καὶ ἀκαταλλάκτως πρὸς
ἡμᾶς ἔχοντος τοῦ διαβόλου πονηρότερον ἄν τινι προσβάλοι, οὐδὲ πικρότερον· ἀλλ' ὅμως ὁ
χαλεπὸς οὗτος δαίμων οὐκ ἴσχυσε τὸν πρὸ τοῦ νόμου, τὸν πρὸ τῆς χάριτος τοσαῦτα κατ' αὐτοῦ
βέλη καὶ οὕτω πυκνὰ πάντοθεν ἀφεὶς, ὑποσκελίσαι καὶ καταβαλεῖν. τοσαύτη τῆς ψυχῆς 25
ἐστὶν ἡ εὐγένεια. τί δὲ ὁ Παῦλος; οὐ τοσαῦτα ἔπαθε δεινὰ, ἃ μηδὲ καταλέξαι ῥᾴδιον; δε-
σμωτήρια οἰκῶν, ἁλύσεις περικείμενος, ἀγόμενος καὶ περιαγόμενος, μαστιγούμενος παρὰ
Ἰουδαίων, λιθαζόμενος, οὐχ ἱμᾶσι μόνοις, ἀλλὰ καὶ ῥάβδοις τὰ νῶτα ξαινόμενος, καταπον- χ. ξαινόμενος
τιζόμενος, λῃσταῖς πολλάκις περιπίπτων, ἐμφύλιον ὑπομένων πόλεμον, παρὰ τῶν ἐ-
χθρῶν, παρὰ τῶν γνωρίμων βαλλόμενος διηνεκῶς, μυρίαις ἐπιβουλευόμενος ἐπιβουλαῖς, 30
λιμῷ καὶ γυμνότητι παλαίων, ἑτέρας πυκνὰς καὶ συνεχεῖς ὑπομένων περιστάσεις καὶ θλί-
ψεις· καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καθ' ἑκάστην ἀποθνήσκων τὴν ἡμέραν· ἀλλ' ὅμως τοσαῦτα
πάσχων καὶ τηλικαῦτα, οὐ μόνον οὐδὲν ἐξήνεγκε ῥῆμα βλάσφημον, ἀλλ' ἔχαιρεν ἐπὶ τούτοις
Κολ. α. κδ. καὶ ἐκαυχᾶτο. καὶ νῦν μὲν φησί, Χαίρω ἐν τοῖς παθήμασί μου· νῦν δὲ πάλιν, Οὐ μόνον δὲ, ἀλ-
Ρωμ. ε. γ. λὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν. εἰ τοίνυν τοσαῦτα πάσχων αὐτὸς ἔχαιρε καὶ ἐκαυχᾶτο, 35
τίνα ἕξεις συγγνώμην, ποίαν ἀπολογίαν σὺ οὐδὲ τὸ πολλοστὸν αὐτῶν ὑπομένων μέρος, καὶ βλα-
σφημῶν; ἀλλ' ἑτέρως ἀδικοῦμαι, φησὶ, κἂν μὴ βλασφημήσω· τὰ χρήματα ἀφαιρεθεὶς,
ἄπορος γίνομαι πρὸς τὴν ἐλεημοσύνην, φησί. σκῆψις ταῦτα καὶ πρόφασις. εἰ γὰρ διὰ
τοῦτο ἀλγεῖς, μάθε σαφῶς, ὅτι πενία ἐλεημοσύνης οὐδὲν γίνεται κώλυμα. κἂν γὰρ μυριάκις ᾖς
πένης, οὐκ εἶ πενέστερος τῆς δρᾶκα ἀλεύρου μόνον κεκτημένης, καὶ τῆς δύο μόνον ἐχούσης ὀβολοὺς, ὧν 40
ἑκατέρα τὴν οὐσίαν ἅπασαν εἰς τοὺς δεομένους κενώσασα παραδόξως ἐθαυμάσθη, καὶ ἡ τοσαύτη
πενία τῇ τοσαύτῃ φιλανθρωπίᾳ οὐ γέγονε κώλυμα· ἀλλ' οὕτω δαψιλὴς καὶ φιλότιμος ἡ
ἐκ τῶν δύο λεπτῶν γέγονεν ἐλεημοσύνη, ὡς τοὺς πλουτοῦντας ἅπαντας ἀποκρύψαι, καὶ τοὺς
πολλοὺς στατῆρας καταβαλόντας ὑπερακοντίσαι τῷ πλούτῳ τῆς γνώμης, καὶ τῇ προθυμίᾳ
τῆς

τῆς προθυμίας. ὥστε οὐδὲ ἐνταῦθα ἠδίκησαι, ἀλλὰ καὶ μειζόνως ἐκέρδανας, δι' ὀλίγης
εἰσφορᾶς τῶν τὰ πολλὰ καταθέντων λαμπροτέρους λαβὼν τοὺς στεφάνους. ἀλλ' ὅμως, κἂν
μυριάκις ταῦτα εἴπωμεν, αἱ φιλοσώματοι ψυχαὶ καὶ τοῖς βιωτικοῖς ἡδέως ἐγκαλινδούμε-
ναι, καὶ τοῖς παροῦσιν ἐνδυπαθοῦσαι πράγμασιν, οὐκ ἂν ῥᾳδίως ἀνάσχοιντο τῶν κ-τ-α-ο-η-
5 ποιημένων αὐτῶν ἀποστῆναι (τοιαῦτα γὰρ τοῦ βίου τὰ φαιδρὰ τούτου) οὐδὲ τὰς σκιὰς ἀφεῖναι ἀνέχοιντο.
ἀλλ' οἱ μὲν ἐπιεικέστεροι κἀκείνων καὶ τούτων ἀντέχονται, οἱ δὲ ἐλεεινότεροι καὶ ἀθλιώτεροι ἐκ
πλείονος μὲν ἐκείνων μοίρας, τούτων δὲ ἐξ ἐλάττονος σφόδρα. φέρε δὴ τὰ προσωπεῖα ἀφε-
λόντες τὰ φαιδρὰ καὶ περιφανῆ τῆς αἰσχρᾶς καὶ δυσειδοῦς τῆς πραγματείας ὄψεως τύπον, δείξωμεν τῆς ἑ-
ταιριζομένης γυναικὸς τὴν βδελυγμίαν (τοιοῦτον γὰρ ἡ τοιαύτη ζωὴ, ἡ τρυφαῖς καὶ πλούτῳ καὶ δυ-
10 ναστείαις προσέχουσα) τὸ αἰσχρὸν καὶ δυσειδὲς καὶ πολλῆς βδελυγμίας γέμον, τὸ ἀηδὲς καὶ φορ-
τικὸν καὶ πικρίας ἐμπεπλησμένον. καὶ γὰρ δὴ τοῦτο μάλιστά ἐστι τὸ πάσης ἀποστεροῦν τοὺς ἁ-
λόντας συγγνώμης, ὅτι καὶ ἀηδίας καὶ πολλῆς τῆς πικρίας ἐμπεπλησμένος ὁ βίος οὗτος πεφυκὼς τοῖς
αὐτοῖς περισπούδαστός ἐστι, καὶ μυρίων γέμει κακῶν καὶ κινδύνων, αἱμάτων, κρημνῶν, σκο-
πέλων, καὶ φόνων, καὶ φόβων, καὶ τρόμου, καὶ φθόνου, καὶ βασκανίας, καὶ ἐπιβουλῆς, καὶ φροντίδος
15 διηνεκοῦς καὶ μερίμνης, καὶ κέρδος ἔχων οὐδὲν, οὐδὲ καρπὸν τῶν τοσούτων κακῶν οὐδένα φέ-
ρων, ἀλλ' ἢ κόλασιν καὶ τιμωρίαν, καὶ τὸ διηνεκῶς βασανίζεσθαι· καίπερ τοιοῦτος ὢν ζηλω-
τὸς εἶναι τοῖς πολλοῖς δοκεῖ καὶ περιμάχητος· ὅ τῆς ἀνοίας τῶν ἁλισκομένων ἐστὶν, οὐ τῆς τοῦ
πράγματος μακαριότητος. ἐπεὶ καὶ τὰ παιδία τὰ μικρὰ πρὸς μὲν τὰ ἀθύρματα κέχηνε
καὶ ἐπτόηται, τῶν δὲ τελείοις ἀνδράσι πρεπόντων πραγμάτων οὐδὲ αἴσθησιν λαβεῖν δυνηθεῖ-
20 εν. ἀλλ' ἐκείνοις μὲν συγγνώμη διὰ τὸ τῆς ἡλικίας ἄωρον, οὗτοι δὲ ἀπολογίας ἐκβέβληνται,
ἐν ἡλικίᾳ τελείᾳ παιδικὴν ἔχοντες γνώμην, κἀκείνων ἀνοητότερον διακείμενοι.

Διὰ τί γὰρ ζηλωτὸν ὁ πλοῦτος, εἰπέ μοι; καὶ γὰρ ἀναγκαῖον ἐντεῦθεν προοιμιάσασθαι,
ἐπειδὴ ὑγείας, καὶ ζωῆς, καὶ τῆς παρὰ τῶν πολλῶν εὐφημίας, καὶ χρηστῆς ὑπολήψεως, καὶ
πατρίδος, καὶ οἰκείων, καὶ φίλων, καὶ συγγενῶν, καὶ τῶν ἄλλων πάντων, τὸ χαλεπὸν τοῦτο νό-
25 σημα τῶν νενοσηκότων τιμιώτερον πολλοῖς ἔδοξεν εἶναι, καὶ πρὸς αὐτὰς ἀνέβη λοιπὸν τὰς νε-
φέλας ἡ πυρὰ, καὶ γῆν καὶ θάλατταν ἡ κάμινος αὕτη κατέλαβε· καὶ ὁ μὲν σβεννύων τὴν
φλόγα ταύτην οὐδεὶς, οἱ δὲ ἀνακαίοντες, ἅπαντες, αὐτοί τε οἱ ἁλόντες ἤδη, οἵ τε μηδέπω
ἁλόντες, ἵνα ἁλῶσι. καὶ ἕκαστον ἴδοι τις ἂν καὶ ἄνδρα καὶ γυναῖκα, καὶ οἰκέτην καὶ ἐλεύθε-
ρον, καὶ πλούσιον καὶ πένητα, κατὰ δύναμιν τὴν ἑαυτοῦ φορτία βαστάζοντα, τῇ φλογὶ ταύτῃ
30 δι' ἡμέρας τε καὶ νυκτὸς πολλὴν παρέχοντα τὴν τροφήν· φορτία οὐ ξύλων οὐδὲ φρυγάνων
(οὐ γὰρ τοιαύτη ἡ φλὸξ) ἀλλὰ ψυχῶν καὶ σωμάτων ἀδικίας καὶ παρανομίας. ἀπὸ γὰρ τού-
των ἀνάπτεσθαι πέφυκεν αὕτη τῆς φλογὸς ἡ φύσις. οἵ τε γὰρ πλουτοῦντες οὐδαμοῦ τῆς ἀ-
τόπου ταύτης ἵσταν) ἐπιθυμίας, κἂν ἅπασαν περιβάλωνται τὴν οἰκουμένην· οἵ τε πένητες
ἐπείγονται φθάσαι ἐκείνους, καὶ λύσσα τις ἀνίατος, καὶ μανία ἀκατάσχετος, καὶ νόσος ἀδιόρ-
35 θωτος τὰς πάντων κατέχει ψυχάς· καὶ πάντα ἔρωτα οὗτος ἐνίκησεν ὁ ἔρως καὶ παρωσάμενος
ἐξέβαλε τῆς ψυχῆς· καὶ οὔτε φιλίας λόγος, οὔτε συγγενείας (καὶ τί λέγω φιλίας καὶ συν-
ηθείας;) οὐ γυναικὸς καὶ παίδων, οὗ τί γένοιτ' ἂν ἀνδράσι ποθεινότερον; ἀλλὰ πάντα χαμαὶ
ἔρριπται καὶ καταπεπάτηται, τῆς ὠμῆς ταύτης καὶ ἀπανθρώπου τῶν ἁλόντων δεσποίνης τὰς
ἁπάντων καταλαβούσης ψυχάς. καὶ γὰρ ὡς δέσποινα τούτων ἀπάνθρωπος, καὶ ὡς τύραννος
40 ἀπηνὴς, καὶ ὡς βάρβαρος ὠμὴ, καὶ ὡς πόρνη πάνδημος καὶ πολυτελὴς, καταισχύνει καὶ
κατατείνει, καὶ μυρίοις κολάζει κινδύνοις τε καὶ τιμωρίαις τοὺς ἑλομένους δουλεύειν αὐτῇ,
καὶ φοβερά τις οὖσα καὶ ἀμείλικτος, ἀγρία τε καὶ ἀπηνὴς, καὶ προσωπεῖον ἔχουσα βαρ-
βαρικὸν, μᾶλλον δὲ θηριῶδες, καὶ λύκου καὶ λέοντος ἀγριώτερον, προσηνὴς τις εἶναι δοκεῖ καὶ
ποθεινὴ καὶ μέλιτος γλυκυτέρα τοῖς αἰχμαλωτισθεῖσιν ὑπ' αὐτῆς· καὶ ξίφη καὶ ὅπλα

γ. κατὰ συνή-θειαν ἀπο-
γ. τόπων
γ. ἀφέντες
γ. δύναται

καθεκάστην κατ' αὐτὴν χαλκεύουσα τὴν ἡμέραν, καὶ βάραθρα ἀνορύττουσα, καὶ ἐπὶ κρημνοὺς ἄγουσα καὶ σκοπέλους, καὶ μυρία αὐτοῖς πλέκουσα κολάσεως δίκτυα, ζηλωτοὺς αὐτοὺς νομίζεται ποιεῖν τοῖς τε ἑαλωκόσιν αὐτοῖς, τοῖς τε ἐπιθυμοῦσιν ἁλῶναι. καὶ καθάπερ ἐν ἀμάρᾳ καὶ βορβόρῳ σῦς ἐγκαλινδουμένη ἥδεται καὶ τρυφᾷ, καὶ κάνθαροι κόπρον συνεχῶς ἀνελίττοντες· οὕτω δὴ καὶ οἱ τῇ φιλαργυρίᾳ ἁλόντες τῶν ζώων τούτων εἰσὶν ἀθλιώτεροι. καὶ γὰρ μείζων ἡ ἐνταῦθα βδελυγμία, καὶ ὁ βόρβορος δυσωδέστερος. ἐνδιατρίβοντες γὰρ τοῖς πάθεσι, πολλὴν νομίζουσιν ἡδονὴν ἐντεῦθεν καρποῦσθαι· ὅπερ οὐ τῆς φύσεως τοῦ πράγματός ἐστιν, ἀλλὰ τῆς νοσούσης διανοίας (τοῦτο δὲ τῆς ἀλογίας ἐκείνων χεῖρον) ὥσπερ οὖν ἐπὶ τοῦ βορβόρου καὶ τῆς κόπρου, οὐ τοῦ βορβόρου καὶ τῆς κόπρου τὸ αἴτιον, ἀλλὰ τῆς ἀλογίας τῶν ἐμπεπτωκότων ζώων· οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων λογίζου. καὶ πῶς ἂν ἰασαίμεθα τοὺς οὕτω διακειμένους; εἰ βουληθεῖεν ἡμῖν ἀνοῖξαι τὰς ἀκοάς, καὶ ἁπλῶσαι τὴν διάνοιαν, καὶ δέξασθαι τὰ λεγόμενα. τὰ μὲν γὰρ ἄλογα μεταθεῖναι τῆς ἀκαθάρτου διατριβῆς καὶ ἀπαγαγεῖν οὐκ ἔνι (λογισμοῦ γάρ ἐστιν ἔρημα) τὸ δὲ ἡμερώτατον τοῦτο γένος, καὶ λογισμῷ καὶ λόγῳ τετιμημένον, τὴν ἀνθρωπείαν λέγω φύσιν, εἰ βουληθείη, ῥᾴδιόν τε καὶ σφόδρα εὔκολον καὶ τοῦ βορβόρου καὶ τῆς δυσωδίας καὶ τῆς κόπρου καὶ τῆς βδελυγμίας ἀπαλλάξαι ἐκείνης. διὰ τί γὰρ ὁ πλοῦτος, ἄνθρωπε, περισπούδαστος εἶναί σοι δοκεῖ; διὰ τὴν ἡδονὴν πάντως τὴν ἀπὸ τῆς τραπέζης; διὰ τὴν τιμὴν καὶ τὴν δορυφορίαν τὴν ἀπὸ τῶν [διὰ τοῦτον] θεραπευόντων; διὰ τὸ δύνασθαι τοὺς λυποῦντας ἀμύνασθαι, καὶ πᾶσιν εἶναι φοβερόν; οὐδὲ γὰρ ἂν ἑτέρας αἰτίας ἔχοις εἰπεῖν, ἀλλ' ἢ ἡδονὴν καὶ κολακείαν καὶ φόβον καὶ τιμωρίαν. οὔτε γὰρ σοφώτερον, οὔτε σωφρονέστερον, οὔτε ἐπιεικέστερον, οὔτε συνετώτερον πάντως ὁ πλοῦτος ποιεῖν εἴωθεν, οὐ χρηστόν, οὐ φιλάνθρωπον, οὐκ ὀργῆς κρείττονα, οὐ γαστρὸς ἀμείνω, οὐχ ἡδονῶν ἀνώτερον· οὐ μετριάζειν παιδεύει, οὐ συνεστάλθαι διδάσκει, οὐκ ἄλλο τι μέρος τῆς ἀρετῆς εἰς τὴν ψυχὴν εἰσάγει καὶ καταφυτεύει. οὐδ' ἂν ἔχοις εἰπεῖν διὰ τί τούτων περισπούδαστός ἐστί σοι καὶ ποθεινὸς οὗτος. οὐ γὰρ δὴ μόνον οὐδὲν οἶδε φυτεύειν ἢ γεωργεῖν τῶν ἀγαθῶν, ἀλλά, κἂν ἀποκείμενα εὕρῃ, λυμαίνεται καὶ κωλύει καὶ καταμαραίνει· ἔνια δὲ καὶ ἀνασπᾷ, καὶ τὰ ἐναντία τούτων ἐπεισάγει, ἀκολασίαν ἄμετρον, θυμὸν ἄκαιρον, ὀργὴν ἄδικον, ἀπόνοιαν, ὑπερηφανίαν, ἄνοιαν. ἀλλὰ μὴ εἴπω περὶ τούτων. οἱ γὰρ τῇ νόσῳ ταύτῃ ἑαλωκότες οὐκ ἀνάσχοιντο περὶ ἀρετῆς καὶ κακίας ἀκούοντες, τῆς ἡδονῆς ὄντες ὅλοι, καὶ διὰ τοῦτο αὐτῆς γενόμενοι δοῦλοι, κατηγορουμένων αὐτῶν ὁμοῦ καὶ ἐλεγχομένων. φέρε οὖν τέως τὸν περὶ τούτων λόγον ἀφέντες, τὰ λοιπὰ εἰς μέσον ἀγάγωμεν, καὶ ἴδωμεν, εἴ τινα ἡδονὴν ὁ πλοῦτος ἔχει, εἴ τινα τιμήν. τοὐναντίον γὰρ ἅπαν ὁρῶ. καί, εἰ βούλεσθε, πρότερον τὰς τραπέζας τῶν πλουτούντων καὶ πενομένων ἐξετάζωμεν, καὶ ἐρώμεθα τοὺς ἑστιωμένους, τίνες μάλιστά εἰσιν οἱ καθαρὰν καὶ γνησίαν καρπούμενοι ἡδονήν· οἱ πρὸς διαμεμετρημένην τὴν ἡμέραν ἐπὶ τῶν στιβάδων κατακείμενοι, καὶ τὰ δεῖπνα τοῖς ἀρίστοις συνάπτοντες, καὶ τὴν γαστέρα διαρρηγνύντες, καὶ τὰς αἰσθήσεις πηροῦντες, καὶ τῷ ὑπερόγκῳ τῶν ἐδεσμάτων φορτίῳ τὸ πλοῖον καταποντίζοντες, καὶ ὑπέραντλον ποιοῦντες τὴν ναῦν, καὶ καθάπερ ἐν ναυαγίῳ τὴν τοῦ σώματος κατακλύζοντες αὐτήν, καὶ πέδας, καὶ χειροπέδας, καὶ γλωσσοπέδας ἐπινοοῦντες, καὶ ἅπαν αὐτῶν καταδεσμοῦντες τὸ σῶμα ἀλύσεως σιδηρᾶς χαλεπωτέρῳ δεσμῷ τῷ τῆς μέθης καὶ τῆς τρυφῆς, καὶ μήτε ὕπνον αἱρούμενοι γνήσιον καὶ εἰλικρινῆ, μήτε ὀνειράτων ἀπηλλαγμένοι φοβερῶν, τῶν τε μαινομένων ὄντες ἀθλιώτεροι, καὶ αὐθαίρετόν τινα δαίμονα ἐπεισάγοντες τῇ ψυχῇ, καὶ γέλως προκείμενοι τῷ θεάτρῳ τῶν οἰκετῶν, μᾶλλον δὲ καὶ τραγῳδία καὶ δακρύων ὑπόθεσις τοῖς ἐπιεικεστέροις αὐτῶν, καὶ μηδένα εἰδότες τῶν παρόντων, μήτε εἰπεῖν τι καὶ ἀκοῦσαι δυνάμενοι, ἀλλὰ φοράδην ἀπὸ τῶν στιβάδων ἐπὶ τὴν κλίνην αἰρόμενοι· ἢ οἱ νήφοντες καὶ οἱ ἐγρηγορότες, καὶ τῇ χρείᾳ τὸ μέτρον ὁρίζοντες, καὶ ἐξουσίας πλέοντες, καὶ μέγιστον ἥδυσμα

γρ. ἀνθρωπίνην

γρ. τῷ σώματι

γρ. μηδὲν

τὸ

χ. σίτων
χ. πότων

τὸ πεινῆν καὶ διψῆν ἔχοντες ἐπί τε τῶν σιτίων, ἐπί τε τῶν ποτῶν; οὐδὲν γὰρ οὕτω καὶ ἡδονὴν
καὶ ὑγείαν ἐργάζεται, ὡς τὸ πεινῶντα καὶ διψῶντα οὕτω τῶν προκειμένων ἅπτεσθαι, καὶ κόρον
εἰδέναι τὴν χρείαν μόνην, καὶ μὴ ὑπερβαίνειν ταύτης τὰ σκάμματα, μηδὲ μεῖζον τῆς δυ-
νάμεως ἐπιτιθέναι τὸ ἄχθος τῷ σώματι. Εἰ δὲ ἀπιστεῖς μου τῷ λόγῳ, κατάμαθε τὰ ἑκατέ-
5 ρων σώματα, καὶ τὴν ἑκάστου ψυχήν. οὐχὶ τὰ μὲν τῶν οὕτω διαιτωμένων συμμέτρως (μὴ
γάρ μοι τὸ σπανιάκις συμβαῖνον εἴπῃς, καὶ εἴ τινες ἀσθενεῖς εἶεν ἐκ περιστάσεως ἑτέρας
τινός, ἀλλ' ἀπὸ τῶν ἀεὶ καὶ συνεχῶς συμβαινόντων τὰς ψήφους λάμβανε) οὐχὶ τὰ μὲν συμμέ-
τρως ἑστιωμένων εὔρωστα τὰ σώματα, καὶ τετρανωμέναι αἱ αἰσθήσεις, τὴν οἰκείαν χρείαν πλη-
ροῦσαι μετὰ πολλῆς τῆς εὐκολίας, ἐκείνων δὲ πλαδαρὰ καὶ παντὸς κηροῦ μαλακώτερα,
10 καὶ ἑσμῷ νοσημάτων πολιορκούμενα; καὶ γὰρ καὶ ποδάγραι ταχέως αὐτοῖς ἐφίστανται, καὶ τρό-
μος ἄκαιρος, καὶ γῆρας ἄωρον, καὶ κεφαλαλγίαι, καὶ διατάσεις, καὶ στομάχων πηρώσεις, καὶ
ὀρέξεως ἀναίρεσις, καὶ διηνεκῶν δέονται ἰατρῶν, καὶ συνεχῶν τῶν φαρμάκων, καὶ καθη-
μερινῆς τῆς θεραπείας. Ταῦτα οὖν ἡδονῆς, εἰπέ μοι; καὶ τίς ἂν εἴποι τῶν εἰδότων ὅ,τι
ποτέ ἐστιν ἡδονή; ἡδονὴ γὰρ γίνεται τότε, ὅταν ἐπιθυμίας ἡγουμένης ἀπόλαυσις ἕπηται· ἂν δὲ ἀ-
15 πόλαυσις μὲν ᾖ, ἐπιθυμία δὲ μηδαμοῦ φαίνηται, τὰ τῆς ἡδονῆς οἴχεται καὶ ἠφάνισται. Διά-
τοι τοῦτο καὶ οἱ νοσοῦντες, καίτοι σιτίων περισπουδάστων αὐτοῖς προκειμένων, ναυτιῶντες καὶ
ἐνοχλεῖσθαι δοκοῦντες, οὕτως αὐτῶν ἀπογεύονται, ἐπειδὴ ἐπιθυμία οὐκ ἔστιν ἡ τὴν ἀπό-
λαυσιν ἡδίστην ποιοῦσα. οὔτε γὰρ ἡ τῶν σιτίων φύσις, οὔτε ἡ τῶν ποτῶν, ἀλλ' ἡ τῶν ἑστιωμένων
ὄρεξις τὴν ἐπιθυμίαν τίκτειν εἴωθε, καὶ τὴν ἡδονὴν ἐργάζεσθαι πέφυκε. Διὰ τοῦτο καὶ
20 τις σοφὸς ἀνὴρ τὰ τῆς ἡδονῆς ἀκριβῶς εἰδὼς καὶ φιλοσοφεῖν ταῦτα ἐπιστάμενος, ἔλεγε· Ψυχὴ
ἐμπεπλησμένη κηρίοις ἐμπαίζει, δεικνὺς ὅτι οὐκ ἐν τῇ φύσει τῆς τραπέζης, ἀλλ' ἐν τῇ δια-
θέσει τῶν ἑστιωμένων τὰ τῆς ἡδονῆς ἕστηκε. Διὰ τοῦτο καὶ ὁ προφήτης τὰ ἐν Αἰγύπτῳ θαύμα-
τα καὶ τὰ ἐν τῇ ἐρήμῳ καταλέγων, μετὰ τῶν ἄλλων καὶ τοῦτο εἴρηκεν, Ὅτι ἐκ πέτρας μέλι ἐ-
χόρτασεν αὐτούς, καίτοιγε οὐδαμοῦ μέλι φαίνεται πέτρα αὐτοῖς ἀναβλύσασα. τί οὖν ἐστι τὸ εἰ-
25 ρημένον; ἐπειδὴ πολλῷ κατειργασμένοι τῷ καμάτῳ καὶ τῇ ὁδοιπορίᾳ, καὶ σφοδρῷ κατεχόμενοι
τῷ δίψει, ψυχροῖς τοῖς νάμασι προσέπεσον, ἀντὶ ἡδύσματος μεγάλου τὴν δίψην ἔχοντες·
τὴν ἡδονὴν τῶν ναμάτων ἐκείνων παραστῆσαι βουλόμενος, μέλι τὸ ὕδωρ ἐκάλεσεν, οὐχ
ὡς τῆς φύσεως εἰς μέλι μεταβληθείσης, ἀλλ' ὡς τῆς ἡδονῆς τοῦ ὕδατος ἁμιλλωμένης ἐκεί-
νῃ τῇ γλυκύτητι διὰ τὸ διψῶντας τότε προσπεσεῖν αὐτοὺς ἀπολελαυκότας αὐτῶν. ὅταν
30 τοίνυν ταῦτα τοῦτον ἔχοι τὸν τρόπον, καὶ μηδεὶς ἀντιλέγειν δύναιτο, κἂν ᾖ σφόδρα ἀναίσθη-
τος, οὐκ εὔδηλον ὅτι παρὰ ταῖς τῶν πενήτων τραπέζαις ἡ καθαρὰ καὶ εἰλικρινὴς καὶ σφοδρὰ
ἡδονή, ἐν δὲ ταῖς τῶν πλουσίων ἀηδία, καὶ βδελυγμία, καὶ μολυσμός; καὶ καθώς εἶπεν ὁ σοφὸς
ἐκεῖνος ἀνήρ, καὶ τὰ ἡδέα ἐνοχλεῖν δοκεῖ.

Παρ. κζ. ζ.

χ. ἐν ἀπο-
σμ... [illegible]

Ψαλ. π. ιϛ.

χ. αὐτοῦ

χ. τὸ ἐνο-
χλεῖν

Ἀλλὰ τιμᾶσθαι παρασκευάζει τοὺς ἔχοντας ὁ πλοῦτος, φησί, καὶ ἐχθροὺς ἀμύνασθαι
35 μετ' εὐκολίας. Διὰ τοῦτο οὖν, εἰπέ μοι, ποθεινὸς ἡμῖν καὶ περιμάχητος εἶναι δοκεῖ, ὅτι τὰ χαλε-
πώτατα ἐν ἡμῖν τρέφει πάθη, ὀργήν τε εἰς ἔργον ἐξάγων, καὶ τῆς δοξομανίας τὰς πομφό-
λυγας εἰς μείζονα ὄγκον ἐπαίρων, καὶ πρὸς ἀπόνοιαν ἀλείφων τε καὶ διεγείρων; Διὰ ταῦ-
τα μὲν οὖν μάλιστα ἀμεταστρεπτὶ φεύγειν αὐτὸν χρή, ὅτι θηρία τινὰ ἄγρια καὶ χαλεπὰ εἰς τὴν
διάνοιαν εἰσοικίζει τὴν ἡμετέραν, τῆς μὲν ὄντως τιμῆς τῆς παρὰ πάντων ἀποστερῶν,
40 τὴν δὲ ἐναντίαν ἐκείνης τοῖς ἐκείνης χρώμασιν ἀναχρωννύς, καὶ οὕτω προσάγων τοῖς ἠπα-
τημένοις, καὶ πείθων ταύτην ἐκείνην εἶναι νομίζειν, οὐκ οὖσαν τῇ φύσει, ἀλλὰ τῇ ὄψει δοκοῦ-
σαν εἶναι. καθάπερ γὰρ τὰ κάλλη τῶν ἑταιριζομένων γυναικῶν ἐπιτρίμμασι καὶ ὑπογρα-
φαῖς συγκείμενα, κάλλους μὲν ἀπεστέρηται, τὴν δὲ αἰσχρὰν ὄψιν καὶ δυσειδῆ, καλήν τε καὶ εὐει-
δῆ εἶναι ποιεῖ παρὰ τοῖς ὑπ' αὐτῆς ἠπατημένοις, οὐκ οὖσαν καλήν· οὕτω δὴ καὶ ὁ πλοῦτος τὴν

κολακείαν

κολακείαν βιαζόμενος τιμὴν δεικνύναι. μὴ γάρ μοι τὰς ἐν τῷ φανερῷ διὰ φόβον καὶ θω-
πείαν γινομένας εὐφημίας ἴδῃς (αὗται γάρ εἰσι τὰ χρώματα, καὶ αἱ ἐπιγραφαὶ) ἀλλὰ
τὸ ἑκάστου συνειδὸς τῶν τὰ τοιαῦτά σε κολακευόντων ἀνακάλυψον, καὶ ὄψει μυρίοις ἔνδον κα-
ταβοῶντάς σου κατηγορίαις, καὶ τῶν μάλιστα ἐχθρῶν καὶ πολεμίων μᾶλλον ἀποστρεφομένους καὶ
μισοῦντας. καὶ εἴ ποτε τὸ ἐκ τοῦ φόβου τούτου συγκείμενον προσωπεῖον μεταβολὴ πραγ- 5
μάτων ἐπελθοῦσα ἀφανίσειέ τε καὶ διελέγξειε, καθάπερ τὰς ὄψεις ἐκείνας ἥλιος θερμοτέ-
ραν ἀκτῖνα ἀφεὶς, τότε ὄψει καλῶς, ὅτι παρὰ πάντα τὸν ἔμπροσθεν χρόνον ἐν ἐσχάτῃ μὲν ἧς
ἀτιμίᾳ παρὰ τοῖς θεραπεύουσι, τιμῆς δὲ ἐνόμιζες ἀπολαύειν παρὰ τῶν μάλιστα μισού-
των σε, καὶ μυρίαις σε κατὰ διάνοιαν πλυνόντων λοιδορίαις, καὶ ἐν ἐσχάταις σε συμφοραῖς ἐ-
πιθυμούντων ἰδεῖν. τιμὴν γὰρ οὐδὲν οὕτως εἴωθε ποιεῖν, ὡς ἀρετὴ, τιμὴν οὐ κατηναγκα- 10
σμένην, τιμὴν οὐ πεπλασμένην, οὐδὲ προσωπείῳ τινὶ φενακισμοῦ κεκρυμμένην, ἀλλὰ ἀ-
ληθῆ καὶ γνησίαν, καὶ οὐδεμιᾷ καιρῶν δυσκολίᾳ ἐλεγχομένην. ἀλλ' ἀμύνασθαι βούλει
τοὺς λελυπηκότας; καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα, καθάπερ ἔφθην εἰπὼν, φευκτὸς ὁ
πλοῦτος. κατὰ γὰρ σαυτοῦ τὸ ξίφος ὠθεῖν σε παρασκευάζει, καὶ βαρυτέρας τὰς ἐν τῷ μέλ-
λοντί σοι καθίστησιν εὐθύνας, καὶ ἀφορήτους ποιεῖ τὰς τιμωρίας. τοσοῦτον γὰρ κακὸν τὸ ἀμύνα- 15
σθαι, ὅτι καὶ Θεοῦ φιλανθρωπίαν ἀνεκαλέσατο, καὶ δοθεῖσαν ἤδη ἁμαρτημάτων ἀπείρων
συγχώρησιν ἠκύρωσεν. ὁ γὰρ μυρίων λαβὼν ταλάντων τὴν ἄφεσιν, καὶ ἀπὸ ψιλῆς παρα-
κλήσεως τοσαύτης ἀπολαύσας δωρεᾶς, ἐπειδὴ ἑκατὸν δηναρίων ἀπαίτησιν ἐποιεῖτο παρὰ τοῦ
συνδούλου, τουτέστιν, ἐπειδὴ τῶν εἰς αὐτὸν πλημμελημάτων ἀπῄτει δίκας, ἐν τῇ περὶ τὸν
ὁμόδουλον σφοδρότητι καθ' ἑαυτοῦ τὴν καταδίκην ἐξήνεγκε. καὶ δι' ἕτερον μὲν οὐδὲν, διὰ 20
τοῦτο δὲ μόνον καὶ τοῖς βασανισταῖς παρεδίδοτο καὶ ἐστρεβλοῦτο, καὶ τὰ μυρία τάλαντα ἀπαιτεῖ-
σθαι ἐκελεύετο, καὶ συγγνώμης οὐδεμιᾶς οὐδὲ ἀπολογίας ἀπήλαυεν, ἀλλὰ τὰ ἀνήκεστα ἔ-
παθε, κελευσθεὶς ἅπαν καταθεῖναι τὸ χρέος, ὃ προλαβοῦσα ἡ τοῦ Θεοῦ συνεχώρησε φι-
λανθρωπία. διὰ ταῦτα οὖν, εἰπέ μοι, ὁ πλοῦτός σοι περισπούδαστος, ὅτι σε εἰς τοι- [γρ. τοῦτο]
αύτην ἁμαρτίαν μετ' εὐκολίας ἐξάγει; καὶ μὴν διὰ τοῦτο αὐτὸν ὡς ἐχθρὸν καὶ πολέμιον καὶ 25
μυρίων γέμοντα φόνων ἀποστρέφεσθαι δεῖ. ἀλλ' ἡ πενία, φησὶ, παρασκευάζει δυσχεραίνειν,
καὶ πολλάκις καὶ βλάσφημα ῥήματα καταβάλλειν, καὶ ἀνελεύθερα πράγματα ὑπομένειν.
[Λουκ. ις.] οὐχ ἡ πενία, ἀλλ' ἡ μικροψυχία. ἐπεὶ καὶ ὁ Λάζαρος πένης ἦν, καὶ σφόδρα γε πένης· καὶ τῇ
πενίᾳ προσῆν καὶ ἀρρωστία, πενίας ἁπάσης πικροτέρα, ἣ καὶ τὴν πενίαν ταύτην χαλεπω-
τέραν ποιοῦσα, καὶ τῇ ἀρρωστίᾳ ἐρημία τῶν προστησομένων, καὶ ἀπορία τῶν θεραπευόντων, 30
ἥτις καὶ τὴν πενίαν καὶ τὴν ἀρρωστίαν πικροτέραν εἰργάζετο. τούτων γὰρ ἕκαστον καὶ καθ' ἑαυ-
τὸ μὲν ὀδυνηρόν· ὅταν δὲ μηδὲ οἱ θεραπεύοντες ὦσι, μεῖζον γίνεται τὸ δεινὸν, χαλεπωτέρα ἡ
φλὸξ, πικροτέρα ἡ ὀδύνη, ἀγριώτερος ὁ χειμὼν, σφοδρότερον τὸ κλυδώνιον, φλογωδεστέρα
ἡ κάμινος. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἕτερον τούτοις τέταρτον προσῆν, ἡ τοῦ πλου-
τοῦντος ἐκ γειτόνων οἰκοῦντος ἄδεια καὶ τρυφή. εἰ δὲ βούλει τι καὶ πέμπτον ἄλλο εὑρεῖν ὑπέκ- 35
καυμα τῆς φλογὸς, καὶ τοῦτο ὄψει σαφῶς αὐτῷ παρακείμενον. οὐ γὰρ δὴ μόνον ἐτρύφα ὁ πλού-
σιος ἐκεῖνος· ἀλλὰ καὶ δεύτερον καὶ τρίτον, μᾶλλον δὲ καὶ πλεονάκις τῆς ἡμέρας αὐτὸν ὁρῶν. πα-
ρὰ γὰρ τὴν εἴσοδον ἔρριπτο, θέατρον χαλεπὸν ἐλεεινῆς τραγῳδίας ὢν, καὶ τῇ ὄψει μόνον [γρ. μόνῃ]
καὶ λιθίνην ἱκανὸς καταμαλάξαι ψυχήν· καὶ ὅμως οὐδὲ τοῦτο ἐπεσπάσατο τὸν ἀπάνθρω-
πον ἐκεῖνον εἰς τὴν τῆς πενίας ἐκείνης ἀντίληψιν. ἀλλ' ὁ μὲν Συβαριτικὴν παρετίθετο τρά- 40
πεζαν, καὶ κρατῆρας εἶχεν ἐστεμμένους, καὶ ἄκρατον ἁπλῶς ἐκχεόμενον, καὶ στρατόπεδα μα-
γείρων λαμπρὰ, καὶ παρασίτους, καὶ κόλακας ἅμα πρωῒ, καὶ χοροὺς ᾀδόντων, οἰνοχοούν-
των, γελωτοποιούντων, καὶ πᾶν εἶδος ἐπινοῶν ἀσωτίας, καὶ μεθύων καὶ κραιπαλῶν, καὶ στολῇ
καὶ τραπέζῃ καὶ ἑτέραις πλείοσι τρυφαῖς ἅπαντα διετέλει τὸν χρόνον. τοῦτον δὲ λιμῷ χαλεπῷ

καὶ

καὶ ἀῤῥωστία πικροτάτη, καὶ πολιορκία τοσούτων ἑλκῶν, καὶ ἐρημία, καὶ τοῖς ἐκ τούτων κακοῖς ὁρῶν καθ' ἑκάστην καταπινόμενον τὴν ἡμέραν, οὐδὲ εἰς νοῦν ποτε ἐβάλλετο. ἀλλ' οἱ μὲν παράσιτοι, καὶ οἱ κόλακες καὶ ὑπὲρ τὴν χρείαν διεῤῥήγνυντο· ὁ δὲ πένης, καὶ οὕτω πένης, καὶ ἐν τοσούτοις κείμενος τοῖς κακοῖς, οὐδὲ ψιχίων ἐκ τῆς τραπέζης ἀπήλαυεν ἐκείνης, καὶ

5 ταῦτα σφόδρα ἐπιθυμῶν· καὶ ὅμως οὐδὲν αὐτὸν τούτων παρέβλαψεν, οὐ ῥῆμα πικρὸν ἐξέβαλεν, οὐ βλάσφημον ἐφθέγξατο λόγον· ἀλλ' ὥσπερ χρυσίον τῇ σφοδροτέρᾳ πυρώσει μειζόνως καθαιρόμενον λαμπρύνεται, οὕτω δὴ καὶ ἐκεῖνος ὑπὸ τῶν παθημάτων τούτων ἐνοχλούμενος, πάντων ὑψηλότερος ἦν, καὶ τῶν παθῶν, καὶ αὐτῶν τῶν ἐντεῦθεν πολλοῖς τικτομένων θορύβων. εἰ γὰρ ἁπλῶς πένητες πλουσίους ὁρῶντες τήκονται τῷ φθόνῳ, καὶ κατα-

10 τείνονται τῇ βασκανίᾳ, καὶ τὸν βίον ἀβίωτον εἶναι νομίζουσι, καὶ ταῦτα τῆς ἀναγκαίας εὐποροῦντες τροφῆς καὶ τοὺς θεραπεύοντας ἔχοντες· ὁ πένης οὗτος, ὡς οὐδεὶς ἕτερος πένης ὤν, καὶ οὐχὶ πένης μόνον, ἀλλὰ καὶ ἀσθενὴς, καὶ μηδένα ἔχων τὸν προστησόμενον καὶ παρακαλέσοντα, ἀλλ' ἐν μέσῃ πόλει, καθάπερ ἐν ἐσχάτῃ κείμενος ἐρημίᾳ, καὶ λιμῷ τηκόμενος πικροτάτῳ, καὶ πάντα ὁρῶν ἐκείνῳ καθάπερ ἐκ πηγῶν ἐπιῤῥέοντα, καὶ ἀνθρωπίνης μὲν οὐδεμιᾶς

15 ἀπολαύων παραμυθίας, ταῖς δὲ τῶν κυνῶν γλώτταις προκείμενος τράπεζα διηνεκὴς (οὕτω γὰρ ἦν τὸ σῶμα παρειμένος καὶ διαλελυμένος, ὡς μηδὲ ἐκείνους ἀποσοβεῖν δύνασθαι) τί οὐκ ἂν ἔπαθεν, εἰ μὴ σφόδρα γενναῖος καὶ φιλόσοφος ἦν; ὁρᾷς ὅτι ὁ ἑαυτὸν μὴ ἀδικῶν, κἂν παρὰ πάντων ἀδικῆται, οὐδὲν πάσχει δεινόν; πάλιν γὰρ τὸν αὐτὸν ἀναλήψομαι λόγον.

τί γὰρ ἡ ἀῤῥωστία; τί δὲ ἡ ἐρημία τῶν προστησομένων; τί δὲ ἡ ἔφοδος τῶν κυνῶν; τί δὲ τὸ γειτό-

20 νημα τοῦ πλουσίου τὸ πονηρόν; τί δὲ ἡ πολλὴ χλιδὴ καὶ ὑπερηφανία, καὶ ἡ ἀπόνοια ἐκείνου

τὸν ἀθλητὴν τοῦτον παρέβλαψεν; ἢ μαλακώτερον πρὸς τὰ ὑπὲρ τῆς ἀρετῆς ἐποίησε σκάμματα; τί δὲ αὐτοῦ τὴν εὐτονίαν ἐλυμήνατο; οὐδὲν οὐδαμοῦ, ἀλλὰ καὶ μᾶλλον αὐτὸν ἐπέῤῥωσε, καὶ μυρίων αὐτῷ στεφάνων ὑπόθεσις γέγονε, καὶ προσθήκη βραβείων, καὶ πλεονασμὸς ἀντιδόσεως, καὶ μειζόνων ἀμοιβῶν ὑπόθεσις τῶν δεινῶν τὸ πλῆθος ἐκεῖνο, καὶ ἡ τοῦ πλουτοῦν-

25 τος ὠμότης. οὐ γὰρ δὴ διὰ τὴν πενίαν ἐστεφανοῦτο μόνον, οὐδὲ διὰ τὸν λιμὸν, οὐδὲ διὰ τὰ ἕλκη, οὐδὲ διὰ τὰς γλώττας τῶν κυνῶν· ἀλλ' ὅτι τοιοῦτον γείτονα ἔχων, καὶ καθ' ἑκάστην ὁρώμενος ὑπ' αὐτοῦ τὴν ἡμέραν, καὶ ὑπερορώμενος διηνεκῶς, τοῦτον ἤνεγκε γενναίως τὸν πειρασμὸν καὶ μετὰ πολλῆς τῆς καρτερίας, καὶ τῇ πενίᾳ καὶ τῇ ἀῤῥωστίᾳ καὶ τῇ ἐρημίᾳ οὐ μικρὰν, ἀλλὰ καὶ σφόδρα εὐτονωτάτην συνεισφέροντα τὴν φλόγα. τί δὲ ὁ μακάριος Παῦλος,

30 εἰπέ μοι; οὐδὲν γὰρ κωλύει πάλιν ἐπιμνησθῆναι τοῦ ἀνδρός. οὐχὶ μυρίας ἐδέξατο πειρασμάτων νιφάδας; τί οὖν ἐντεῦθεν ἐβλάβη; οὐκ ἐντεῦθεν μὲν οὖν καὶ μειζόνως ἐστεφανοῦτο; ὅτι ἐλιμώττεν; ὅτι κρυμῷ καὶ γυμνότητι κατετήκετο; ὅτι μάστιξι πολλάκις κατεξαίνετο; ὅτι λίθοις ἐβάλλετο; ὅτι κατεποντίζετο; ἀλλ' ἐκεῖνος Παῦλος ἦν, φησι, καὶ κλητὸς τοῦ Χριστοῦ. καίτοι καὶ Ἰούδας εἷς τῶν δώδεκα ἦν, καὶ κλητὸς καὶ αὐτὸς τοῦ Χριστοῦ· ἀλλ' οὔτε τὸ εἶναι τῶν δώ-

35 δεκα, οὔτε ἡ κλῆσις αὐτὸν ὤνησεν, ἐπειδὴ γνώμην οὐκ εἶχε πρὸς ἀρετὴν παρεσκευασμένην. ἀλλ' ὁ μὲν Παῦλος καὶ λιμῷ παλαίων, καὶ τῆς ἀναγκαίας ἀπορῶν τροφῆς, καὶ τοσαῦτα καθ' ἑκάστην πάσχων τὴν ἡμέραν, μετὰ πολλῆς τῆς προθυμίας τὴν εἰς οὐρανὸν φέρουσαν ἔτρεχεν ὁδόν· ἐκεῖνος δὲ καὶ πρὸ τούτου κληθεὶς, καὶ τῶν αὐτῶν ἀπολαύσας, ὧνπερ καὶ αὐτὸς, καὶ μυηθεὶς τὴν ἀνωτάτω φιλοσοφίαν, καὶ τραπέζης μετασχὼν ἱερᾶς καὶ τῶν φρικωδεστάτων ἐκείνων

40 δείπνων, καὶ χάριν λαβὼν τοσαύτην, ὡς καὶ νεκροὺς ἐγείρειν καὶ λεπροὺς καθαίρειν καὶ δαίμονας ἐλαύνειν, καὶ τοὺς περὶ ἀκτημοσύνης πολλάκις ἀκούσας λόγους, καὶ αὐτῷ τοσοῦτον χρόνον συγγινόμενος τῷ Χριστῷ, καὶ τῶν πενήτων τὰ χρήματα πιστευθεὶς, ὥστε τοῦ πάθους ἐκεῖθεν ἔχειν παραμυθίαν (καὶ γὰρ κλέπτης ἦν) οὐδὲ οὕτως ἐγένετο βελτίων, καίτοι τοσαύτης συγκαταβάσεως ἀπολαύσας. ἐπειδὴ γὰρ ᾔδει ὁ Χριστὸς ὅτι φιλάργυρος ἦν, καὶ διὰ χρημάτων ἔ-

ρωτα

ρωτα ἔμελλεν ἀπόλλυσθαι, οὐ μόνον αὐτὸν οὐκ ἀπῄτησε τούτου δίκας τότε, ἀλλ᾽ ὥστε αὐτοῦ καταλεῦσαι τὸ πάθος, καὶ τὰ χρήματα αὐτῷ τὰ τῶν πενήτων ἐπίστευσεν, ἵν᾽ ἔχων ὅθεν κορέσει τὴν φιλοχρηματίαν, μὴ καταπέσῃ εἰς τὸ φρικῶδες ἐκεῖνο βάραθρον, ἐλάττονι κακῷ τὸ μεῖζον περιστέλλων. οὕτω πανταχοῦ τὸν μὲν ἑαυτὸν μὴ βουλόμενον ἀδικεῖν οὐδεὶς ἕτερος ἀδικῆσαι δυνήσεται· τὸν δὲ οὐκ ἐθέλοντα νήφειν καὶ τὰ παρ᾽ ἑαυτοῦ συνεισφέρειν οἴκοθεν οὐδεὶς οὐδέποτε ὠφελήσει. διὰ τοῦτό σοι καὶ ἡ θαυμασία τῶν γραφῶν ἱστορία, καθάπερ ἐν εἰκόνι τινὶ ὑψηλῇ καὶ μεγάλῃ καὶ πολὺ τὸ εὖρος ἐχούσῃ τῶν παλαιῶν ἀνεγράψατο τοὺς βίους, ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας ἐκτείνασα τὴν διήγησιν· καὶ δείκνυσί σοι καὶ τοὺς ὑποσκελιζομένους καὶ τοὺς στεφανουμένους, ἵνα σε διὰ πάντων παιδεύσῃ ὅτι τὸν παρ᾽ ἑαυτοῦ μὴ ἀδικούμενον οὐδεὶς ἕτερος ἀδικῆσαι δυνήσεται, κἂν πᾶσα ἡ οἰκουμένη πρὸς αὐτὸν χαλεπὸν ἀναρριπίζῃ πόλεμον. οὔτε γὰρ δυσκολία πραγμάτων, οὔτε καιρῶν μεταβολαί, οὔτε δυναστευόντων ἐπήρειαι, οὔτε ἐπιβουλῶν νιφάδες, οὔτε συμφορῶν ἴλες, οὔτε πάντων τῶν ἐν ἀνθρώποις κακῶν συλλεγόμενος ὁ φορυτὸς παρασαλεῦσαί τι κἂν μικρὸν δυνήσεται τὸν γενναῖον, καὶ νήφοντα, καὶ ἐγρηγορότα· ὥσπερ αὖ τὸν ῥᾴθυμον καὶ ἀναπεπτωκότα καὶ οἴκοθεν προδεδομένον, κἂν μυρίαι προσάγωνται θεραπεῖαι, οὐδὲν ἀμείνω ποιοῦσι. τοῦτο γοῦν καὶ ἡ παραβολὴ ἡ περὶ τῶν ἀνθρώπων ἐκείνων παρεδήλωσεν ἡμῖν, ὧν ὁ μὲν ἐπὶ τῆς πέτρας, ὁ δὲ ἐπὶ τῆς ψάμμου τὴν οἰκίαν ᾠκοδόμησε τὴν ἑαυτοῦ· οὐχ ἵνα ψάμμον καὶ πέτραν νοήσωμεν, οὐδ᾽ ἵνα οἰκοδομὴν λίθων καὶ ὀρόφων, οὐδ᾽ ἵνα ποταμοὺς καὶ ὑετὸν καὶ πνεύματα ἄγρια προσπίπτοντα ταῖς οἰκοδομαῖς, ἀλλ᾽ ἵνα ἀρετὴν καὶ κακίαν ἐκ τούτων ἐκλάβωμεν, καὶ ἴδωμεν κἀντεῦθεν ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς ἀδικεῖ. οὐκοῦν οὔτε ὁ ὑετός, καίτοι ῥαγδαίως φερόμενος, οὔτε οἱ ποταμοὶ πολλῷ ῥοθίῳ προσπίπτοντες, οὔτε τὰ πνεύματα τὰ ἄγρια μετὰ σφοδρᾶς τῆς ῥύμης προσβάλλοντα, παρεσάλευσάν τι τῆς οἰκίας ἐκείνης, ἀλλ᾽ ἔμενε καὶ ἀχείρωτος καὶ ἀκίνητος· ἵνα μάθῃς ὅτι τὸν ἑαυτὸν οὐ προδιδόντα οὐδεὶς πειρασμὸς παρασαλεῦσαι δύναται. ἡ δὲ τοῦ ἑτέρου κατεφέρετο ῥᾳδίως, οὐ διὰ τὴν τῶν πειρασμῶν ἐπιβολὴν (ἢ γὰρ ἂν καὶ ἡ ἑτέρα τὸ αὐτὸ ἔπαθεν) ἀλλὰ διὰ τὴν οἰκείαν ἄνοιαν. οὐ γὰρ ἐπειδὴ ἄνεμος προσέπνευσε, διὰ τοῦτο ἔπεσεν, ἀλλ᾽ ἐπειδὴ ἐπὶ τῆς ψάμμου ἦν οἰκοδομηθεῖσα, τουτέστιν, ἐπὶ ῥᾳθυμίας καὶ πονηρίας, τοῦτο πέπονθε. καὶ γὰρ καὶ πρὶν ἢ τὸν χειμῶνα προσβαλεῖν ἐκεῖνον, ἀσθενής τε ἦν, καὶ πρὸς τὸ πεσεῖν ἑτοίμη. αἱ γὰρ τοιαῦται οἰκοδομαί, καὶ μηδενὸς ἐνοχλοῦντος, αὐτόματοι καταφέρονται, ὑποσυρομένης αὐταῖς τῆς κρηπῖδος καὶ πάντῃ διαρρεούσης. καὶ καθάπερ αἱ μὲν ἀράχναι αὐτόματοι διασπῶνται, μηδενὸς αὐταῖς ἐνοχλοῦντος, ὁ δὲ ἀδάμας καὶ παιόμενος ἀδιάλυτος μένει· οὕτω δὴ καὶ οἱ μὴ ἑαυτοὺς ἀδικοῦντες, κἂν ὑπὸ μυρίων παίωνται, ἰσχυρότεροι γίνονται· οἱ δὲ ἑαυτοὺς προδιδόντες, κἂν μηδεὶς ὁ ἐνοχλῶν ᾖ, αὐτόματοι φέρονται, καὶ διαρρέουσι, καὶ ἀπόλλυνται· ὥσπερ καὶ ὁ Ἰούδας οὐ μόνον οὐδενὸς ἐνοχλήσαντος πειρασμοῦ τοιούτου, ἀλλὰ καὶ πολλῆς ἀπολαύσας τῆς θεραπείας ἀπώλετο.

Βούλει σοι τοῦτο καὶ ἐπὶ δήμων ὁλοκλήρων δείξω διαλάμποντα τὸν λόγον; πόσης ὁ Ἰουδαίων δῆμος ἀπήλαυσε προνοίας; οὐ πᾶσα ἡ ὁρωμένη κτίσις πρὸς ὑπηρεσίαν αὐτῶν παρεσκευάζετο; καὶ καινός τις αὐτοῖς καὶ ξένος εἰσήγετο διαγωγῆς βίου τρόπος; οὐδὲ γὰρ εἰς ἀγορὰν ἐνέβαλλον, καὶ οὕτω τῶν ὠνίων ἀπήλαυον, οὐκ ἀργύριον καταθέντες, οὐδὲ αὔλακας ἔτεμνον, οὐδὲ ἄροτρον εἷλκον, οὐδὲ γῆν ἐσπάραττον, οὐδὲ σπέρματα κατέβαλλον, οὐδὲ ὑετῶν ἐδέοντο καὶ ἀνέμων καὶ τῶν τοῦ ἔτους ὡρῶν, οὐχ ἡλιακῆς ἀκτῖνος, οὐ σεληνιαίου δρόμου, οὐ φύσεως ἀέρος, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός, οὐχ ἅλωνα παρεσκεύαζον, οὐ καρπὸν ἔτριβον, οὐ πνεύματι ἐχρῆζον πρὸς τὸ διακρῖναι τοὺς πυροὺς τῶν ἀχύρων, οὐ μύλην ἔστρεφον, οὐ κλίβανον ᾠκοδόμουν, οὐ ξύλα καὶ πῦρ εἰς τὴν οἰκίαν εἰσῆγον, οὐκ ἀρτοποιητικῆς

ἐδέοντο

Ματ. ζ.

λ. ὄροφον

κ. ἐμβάλλ.

2. ἴσ. ἢ γὰρ

κ. σπέρμα

ἐδέοντο τέχνης, οὐ μάκελλαν μετεχείριζον, οὐ δρεπάνην ἠκόνουν, οὐκ ἄλλης τινὸς ἐδέοντο τέ-
χνης, ὑφαντικῆς λέγω καὶ οἰκοδομικῆς, καὶ τῆς περὶ τὰ ὑποδήματα ἐχούσης· ἀλλὰ πάντα (γ. καὶ πᾶσι τὰ ὑποδήματα συνεχῶς·) (Ἐξοδ. ιϛ.)
ἦν αὐτοῖς ὁ τοῦ Θεοῦ λόγος, καὶ ἐσχεδιασμένην εἶχον τράπεζαν καὶ ἱδρώτων καὶ πόνων ἀπηλλαγ-
μένην. τοιαύτη γὰρ ἡ τοῦ μάννα φύσις νεαρά τε καὶ πρόσφατος, καὶ οὐδαμοῦ πόνον ἔχουσα
αὐτοῖς πράγματα, οὐδὲ κατατείνουσα πόνῳ. καὶ τὰ ἱμάτια δὲ αὐτοῖς καὶ τὰ ὑποδήματα, (Δευτ. η καὶ κθ.)
καὶ αὐτὴ ἡ τοῦ σώματος φύσις τῆς οἰκείας ἐπελανθάνετο ἀσθενείας. ἐν γὰρ χρόνῳ οὕτω μακρῷ
οὔτε ἐκεῖνα ἐτρίβετο, οὔτε οἱ πόδες αὐτῶν, καίτοι τοσαῦτα βαδιζόντων, ἐτυλώθησαν. ἰα-
τρῶν δὲ αὐτοῖς καὶ φαρμάκων καὶ τῆς ἄλλης τῆς περὶ τὴν τοιαύτην τέχνην σπουδῆς οὐδὲ μνή-
μη τις ἦν ἐν αὐτοῖς· οὕτω πᾶσα ἐκποδὼν ἀρρωστία ἦν. Ἐξήγαγε γὰρ αὐτοὺς ἐν ἀργυρίῳ (Ψαλ. ρδ. λϛ.)
καὶ χρυσίῳ, φησί, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν· ἀλλ' ὥσπερ τὸν κόσμον τοῦτον ἀ-
φέντες, καὶ πρὸς ἑτέραν βελτίονα μετοικισθέντες οἰκουμένην, οὕτως ἤσθιον, οὕτως ἔπινον, καὶ
οὔτε ἡ ἀκτὶς θερμοτέρα γινομένη τὰς κεφαλὰς ἔπληττε τὰς ἐκείνων. διετείχιζε γὰρ τὴν
φλόγα νεφέλη πάντοθεν ἐπαιωρουμένη, καὶ περιφορητὴ γινομένη στέγη τοῖς δήμοις ἅπασιν (γ. αἰωρουμένη)
ἐκείνοις. ἀλλ' οὔτε ἐν νυκτὶ λαμπάδος ἐδέοντο τῆς διαιρούσης τὸ σκότος, ἀλλ' ἦν αὐτοῖς ὁ στῦλος (Ἐξοδ. ιγ.)
τοῦ πυρὸς πηγὴ φωτὸς ἀφάτου, δύο χρείας πληρῶν, τήν τε ἀπὸ τοῦ φαίνειν, τήν τε ἀπὸ τοῦ (γ. πυρφόρος)
κατευθύνειν αὐτοῖς τὴν ἀποδημίαν. οὐ γὰρ φωτοειδὴς μόνον ἦν, ἀλλὰ καὶ ὁδηγοῦ παντὸς
ἀκριβέστερον ἐχειραγώγει κατὰ τὴν ἔρημον ἐκείνην τὸν ἄπειρον δῆμον ἐκεῖνον. ἐβάδιζον δέ, οὐκ (γ. ἔπιπρο)
ἐπὶ γῆς μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάσσης, ὡς ἐπὶ γῆς· καὶ τῶν ὅρων τῆς φύσεως κατετόλ- (Ἐξοδ. ιδ.)
μων, τὸ χαλεπὸν ἐκεῖνο πεζεύοντες πέλαγος, ὡς διὰ πέτρας στερρᾶς καὶ ἀντιτύπου τινὲς
ὁδοιποροῦντες. καὶ ὅτε μὲν αὐτοῖς ὑπεστόρεστο, γῆν ἐμιμεῖτο στερρὰν τὸ στοιχεῖον, καὶ πεδία
ὕπτια, καὶ ἀρούρας· ὅτε δὲ τοὺς ἐχθροὺς ἀπέλαβε, τὰ θαλάττης κατ[illegible]ζετο. καὶ αὐτοῖς μὲν
ἐγίνετο ὄχημα, τοῖς δὲ πολεμοῦσιν αὐτούς, τάφος· τοὺς μὲν μετ' εὐκολίας διαπέμπουσα,
τοὺς δὲ μετὰ πολλῆς τῆς σφοδρότητος καταποντίζουσα· καὶ ἡ ἄτακτος τῶν ὑδάτων ῥύμη, ἀν-
δρῶν λογικῶν καὶ συνετωτάτων εὐταξίαν καὶ ὑπακοὴν ἐπεδείκνυτο, νῦν μὲν φύλακος, νῦν δὲ
δημίου τάξιν ἐπέχουσα, καὶ ἐν ἡμέρᾳ μιᾷ τὰ ἐναντία ἀθρόον ἐπιδεικνυμένη. τί ἄν τις εἴ- (Ἐξοδ. ιζ.)
ποι τὰς πέτρας, αἳ ποταμοὺς ἠφίεσαν ὑδάτων; τί δὲ τὰ νέφη τῶν ὀρνίθων, οἳ τῷ πλήθει τῶν (Ἀριθ. κ.)
σωμάτων τὴν γῆν ἀπέκρυψαν ἅπασαν; τί τὰ ἐν Αἰγύπτῳ θαύματα; τί τὰ ἐν ἐρήμῳ (Ἐξοδ. ιϛ.) (Ἀριθ. ια.)
παράδοξα; τί τὰ τρόπαια καὶ τὰς νίκας τὰς ἀναιμωτὶ γινομένας; ὡς γὰρ χορεύοντες, οὐχ ὡς πολε-
μοῦντες, τοὺς ἀντιπίπτοντας ἐχειροῦντο. καὶ τῶν μὲν οἰκείων δεσποτῶν χωρὶς ὅπλων ἐκρά-
τησαν· τῶν δὲ μετὰ τὴν Αἴγυπτον μαχομένων αὐτοῖς, σαλπίζοντες καὶ ψάλλοντες, οὕτω περι-
εγίνοντο. καὶ ἦν χορεία μᾶλλον ἢ πόλεμος τὰ γινόμενα, μυσταγωγία μᾶλλον ἢ μάχη. οὐ γὰρ (Ἰησ. ϛ.)
πάντα τὰ τεράστια ταῦτα οὐ διὰ τοῦτο ἐγίνετο μόνον, ἵνα τὴν χρείαν αὐτοῖς πληρώσῃ, ἀλλ'
ἵνα καὶ τὴν διδασκαλίαν, ἣν ἐνέθηκεν αὐτοῖς ὁ Μωϋσῆς, τῆς θεογνωσίας ἀκριβέστερον διατη-
ρήσωσι. καὶ φωναὶ πανταχόθεν ἐφέροντο τὸν δεσπότην ἀνακηρύττουσαι. καὶ γὰρ ἡ θά-
λαττα ταῦτα ἐβόα, νῦν μὲν πεζευομένη, νῦν δὲ θάλαττα γινομένη· καὶ τὰ Νειλῷα νάματα (γ. θάλαττα)
ταύτην ἠφίει τὴν φωνὴν πρὸς αἵματος μεταβαλλόμενα φύσιν, καὶ οἱ βάτραχοι, καὶ τὸ τῶν ἀ-
κρίδων στρατόπεδον ἐκεῖνο, καὶ ἡ κάμπη καὶ ἐρυσίβη ταῦτα διελέγετο τῷ δήμῳ παντί· καὶ
τὰ ἐπὶ τῆς ἐρήμου τεράστια, τὸ μάννα, ὁ στῦλος, ἡ νεφέλη, ἡ ὀρτυγομήτρα, τὰ ἄλλα πάντα
ἀντὶ βιβλίου τότε αὐτοῖς ἐγίνετο καὶ γραμμάτων οὐδέποτε ἐξαλειφομένων, ἔναυλον καθ' ἑ-
κάστην ἡμέραν παρεχόμενα αὐτοῖς τὴν μνήμην, καὶ ἐνηχοῦντα αὐτῶν τὴν διάνοιαν. ἀλλ'
ὅμως μετὰ τοσαύτην καὶ τηλικαύτην πρόνοιαν, μετὰ τὰς εὐεργεσίας τὰς ἀφάτους ἐκείνας,
μετὰ τὸ μέγεθος τῶν θαυμάτων, μετὰ τὴν κηδεμονίαν τὴν ἄρρητον, μετὰ τὴν διδασκαλίαν τὴν
διηνεκῆ, μετὰ τὴν κατήχησιν τὴν ἀπὸ τῶν ῥημάτων, μετὰ τὴν παραίνεσιν τὴν ἀπὸ τῶν ἔρ-
γων, μετὰ τὰς νίκας τὰς λαμπράς, μετὰ τὰ τρόπαια τὰ παράδοξα, μετὰ τὴν τῶν τραπεζῶν (γ. διὰ)
ἀφθονίαν,

ἀφθονίαν, μετὰ τὴν διαψίλειαν τῶν ναμάτων ἐκείνων, μετὰ τὴν ἄφατον δόξαν, ἣν περιε-
βάλλοντο παρὰ πᾶσι τῷ τῶν ἀνθρώπων γένει, ἀλλ' ἀγνώμονες ἦσαν καὶ ἀναίσθητοι, μέχρι
προσεκύνησαν καὶ βοὸς κεφαλὴν ἐθεράπευον, καὶ θεοὺς ἐπεζήτουν αὐτοῖς γενέσθαι, νεαρὰ
τὰ ὑπομνήματα τῶν ἐν Αἰγύπτῳ εὐεργεσιῶν ἔχοντες τοῦ Θεοῦ, καὶ πολλῶν καὶ ἄλλων
ἀπολαύοντες ἔτι. ὁ δὲ τῶν Νινευιτῶν δῆμος βάρβαρος ὢν καὶ ἀλλόφυλος, οὐδενὸς τούτων 5
μετεσχηκὼς, οὐ μικροῦ, οὐ μεγάλου, οὐ λόγων, οὐ θαυμάτων, οὐκ ἔργων, οὐ ῥημάτων, ἀλλ'
ἄνθρωπον εἶδον ἐκ ναυαγίου διασωθέντα οὐδέποτε αὐτοῖς συγγενόμενον ἔμπροσθεν, ἀλλ' ἄ-
τοτε πρῶτον ὀφθέντα, εἰσελθόντα καὶ εἰπόντα, Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται·
οὕτως ἀπὸ τῶν ψιλῶν τούτων ῥημάτων μετεβάλλοντο καὶ βελτίους ἐγίνοντο, καὶ τὴν προτέραν
ἀποθέμενοι κακίαν, πρὸς ἀρετὴν διὰ μετανοίας ὥδευσαν, ὡς ἀπόφασιν ἀνακαλέσασθαι 10
Θεοῦ, καὶ σειομένην στῆσαι πόλιν, καὶ θεήλατον ὀργὴν ἀποκρούσασθαι, καὶ πάσης ἀπαλλαγῆναι
κακίας. Εἶδε γὰρ ὁ Θεὸς, φησὶν, ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ἐπέ-
στρεψεν ἐπὶ τὸν Κύριον. πῶς ἀπέστη, εἰπέ μοι; καίτοι μεγάλη ἦν αὐτῶν ἡ κακία, ἄφατος ἡ
πονηρία, δυσίατα τὰ ἕλκη. καὶ τοῦτο δηλῶν ὁ προφήτης ἔλεγεν· Ἀνέβη ἡ κακία αὐτῆς ἕως τοῦ οὐ-
ρανοῦ, τῷ διαστήματι τοῦ τόπου τὸ μέγεθος τῆς κακίας αὐτῶν ἐνδεικνύμενος. ἀλλ' ὅμως τὴν τοσαύ- 15
την πονηρίαν, τὴν οὕτω κορυφωθεῖσαν καὶ ὑψωθεῖσαν, ὡς καὶ ἕως τοῦ οὐρανοῦ φθάσαι, ταύτην ἐν
τρισὶν ἡμέραις, ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἀπὸ ῥημάτων ὀλίγων, ἃ παρ' ἑνὸς ἤκουσαν ἀνθρώ-
που ἀγνώστου, ξένου, ναυαγοῦ γεγυμνωμένου, οὕτω κατέλυσαν, οὕτως ἠφάνισαν, οὕτως ἐκποδὼν
ἐποίησαν εἶναι, ὡς τοιαύτης ἀπολαῦσαι φωνῆς· Ὅτι εἶδεν ὁ Θεὸς, ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῆς
ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ μετενόησεν ἀπὸ τῆς κακίας, ἧς εἶπεν ὁ Θεὸς ποιῆσαι αὐτοῖς. ὁρᾷς 20
ὅτι ὁ μὲν νήφων καὶ ἐγρηγορὼς οὐ μόνον παρὰ ἀνθρώπων οὐδὲν ἀδικεῖται, ἀλλὰ καὶ θεήλατον
ὀργὴν ἀνατρέπει; ὁ δὲ οἴκοθεν ἑαυτὸν προδιδοὺς καὶ καταβλάπτων, κἂν μυρίων εὐεργεσιῶν
ἀπολαύῃ, οὐδὲν μέγα κερδαίνει; οὕτω γοῦν οὐδὲ ἐκείνους ὠφέλησε τὰ τοσαῦτα σημεῖα, οὐδὲ
αὐτοὺς τούτους τὸ μὴ μετασχεῖν τούτων παρέβλαψεν· ἀλλ' ἐπειδὴ οἴκοθεν ἦσαν εὐγνώμονες, μικρᾶς
ἐπιλαβόμενοι ῥοπῆς, βελτίους ἐγένοντο, καίτοι βάρβαροι ὄντες, καὶ ἀλλόφυλοι, καὶ πάντων ἀ- 25
νήκοοι τῶν θείων χρησμῶν, καὶ πόρρω που τῆς Παλαιστίνης ἀπῳκισμένοι. τί δὲ τῶν παίδων τῶν
τριῶν, εἰπέ μοι, τὴν ἀρετὴν τὰ ἐπελθόντα κακὰ ἐλυμήνατο; οὐχὶ ἔτι νέοι ὄντες, καὶ νέοι κο-
μιδῆ, ἐν ἡλικίᾳ ἀώρῳ τὴν χαλεπὴν ἐκείνην ὑπέμειναν τιμωρίαν καὶ αἰχμαλωσίαν, καὶ
τὴν μακρὰν ἀποδήμησαν ἀποδημίαν, καὶ πατρίδος, καὶ οἰκίας, καὶ ναοῦ, καὶ βωμοῦ, καὶ θυσι-
ῶν, καὶ προσφορῶν, καὶ σπονδῶν, καὶ αὐτοῦ δὲ τοῦ ψάλλειν, εἰς τὴν ἀλλοτρίαν ἐλθόντες γῆν 30
ἐχωρίσθησαν; οὐ γὰρ ἡ οἰκία αὐτοῖς μόνον ἄβατος ἦν, ἀλλὰ καὶ πολλὰ τῆς λατρείας ἐν-
τεῦθεν εἴδη. οὐχὶ βαρβαρικαῖς ἐξεδόθησαν χερσὶ, καὶ λύκοις μᾶλλον ἢ ἀνθρώποις; καὶ τὸ
δὴ χαλεπώτατον, εἰς μακρὰν οὕτω διακειμένην καὶ βάρβαρον ἀποικισθέντες γῆν, καὶ αἰχ-
μαλωσίας νόμῳ χαλεπωτάτῳ, οὐ διδάσκαλον εἶχον, οὐ προφήτην, οὐκ ἄρχοντα. Οὐ γάρ
ἐστι, φησὶν, ἄρχων, οὐδὲ προφήτης καὶ ἡγούμενος, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου, καὶ 35
εὑρεῖν ἔλεος· ἀλλὰ καὶ εἰς βασιλικὴν οἰκίαν, ὡς εἰς σκόπελόν τινα καὶ κρημνὸν καὶ πέλα-
γος ὑφάλων γέμον καὶ σπιλάδων, οὕτως εἰσηνέχθησαν χωρὶς κυβερνήτου, καὶ πρωρέως, καὶ
ναυτῶν, καὶ ἱστίων, ἀναγκαζόμενοι τὴν χαλεπὴν ἐκείνην θάλατταν πλεῖν, καὶ καθάπερ ἐν
δεσμωτηρίῳ ταῖς βασιλικαῖς αὐλαῖς ἐναπειλημμένοι. ἐπειδὴ γὰρ φιλοσοφεῖν ᾔδεσαν, καὶ
τῶν βιωτικῶν ἦσαν ἀνώτεροι πραγμάτων, καὶ τὸν τῦφον ἅπαντα κατεπάτησαν τὸν ἀν- 40
θρώπινον, καὶ κοῦφοι αὐτοῖς τὸ πτερὸν εἰργάσαντο, προσθήκην κακῶν καὶ τὴν αὐτόθι
διατριβὴν ἐνόμιζον εἶναι. ἔξω μὲν γὰρ ὄντες, καὶ ἐν ἰδιωτικῇ οἰκίᾳ πλείονος ἔμελλον ἀπο-
λαύσεσθαι τῆς ἐξουσίας· εἰς δὲ τὸ δεσμωτήριον εἰσαχθέντες ἐκεῖνο (δεσμωτηρίου γὰρ τὴν
φαντασίαν ἅπασαν ἐκείνην καὶ κρημνῶν καὶ σκοπέλων οὐδὲν ἄμεινον εἶναι ἐνόμιζον) εὐθέως
δυσκολίαν

Marginalia (left): Ἐξ. λζ. — Ιων. γ. δ. — Ιων. γ. ι. — Ιων. α. β. — Ιων. γ. ι. — Δαν. τριῶν παίδων. ιε.

Marginalia (right): γρ. βάρβαρος καὶ ἀλλοφύλως, — γρ. διὰ — γρ. μυρίας εὐεργεσίας ἀπολαύσῃ, — γρ. καὶ αἰχμαλωσίαν χαλεπωτάτην,

δυσκολίαν ὑπέμειναν χαλεπήν. ὁ μὲν γὰρ βασιλεὺς ἐκέλευσε κοινωνοὺς αὐτοὺς τῆς τρα-
πέζης εἶναι τῆς ἑαυτοῦ τῆς Συβαριτικῆς ἐκείνης καὶ ἀκαθάρτου καὶ βεβήλου, αὐτοῖς δὲ ἀπηγορεύετο
τοῦτο, καὶ θανάτου χαλεπώτερον εἶναι ἐδόκει· καὶ μόνοι καθάπερ ἀρνία λύκων μεταξὺ το-
σούτων ἦσαν ἀπειλημμένοι· καὶ ἀνάγκη ἦν, ἢ λιμῷ τήκεσθαι (μᾶλλον δὲ καὶ τὴν ἐπὶ θά-
5 νατον ἄγεσθαι) ἢ τῶν κεκωλυμένων ἀπογεύεσθαι ἐδεσμάτων. τί οὖν ποιοῦσιν οἱ νέοι; οἱ
ἐν ὀρφανίᾳ, οἱ αἰχμάλωτοι, οἱ ξένοι, οἱ δοῦλοι τῶν ταῦτα κελευόντων; οὐκ ἐνόμισαν ἀρ-
κεῖν αὐτοῖς εἰς ἀπολογίαν τὴν ἀνάγκην, οὐδὲ τὴν τυραννίδα τοῦ τὴν πόλιν ἔχοντος· ἀλ-
λὰ πάντα μηχανῶνται καὶ πραγματεύονται, ὥστε τὴν ἁμαρτίαν φυγεῖν, καίτοι πάντα-
χόθεν προδεδομένοι. οὔτε γὰρ χρήμασι πείθειν ἠδύναντο· πῶς γάρ οἱ αἰχμάλωτοι; οὐ
10 φιλίᾳ καὶ συνουσίᾳ· πῶς γάρ οἱ ξένοι; οὐ δυναστείᾳ περιγενέσθαι· πῶς γάρ οἱ δοῦλοι; οὐ
πλήθει κρατῆσαι· πῶς γάρ οἱ τρεῖς μόνοι; προσελθόντες τοίνυν πείθουσι τὸν εὐνοῦχον ἐκεῖ-
νον λόγοις, τὸν ταύτην ἔχοντα τὴν ἐξουσίαν. ἐπειδὴ γὰρ εὗρον αὐτὸν περιδεῆ καὶ τρέμοντα καὶ
περὶ τῆς οἰκείας σωτηρίας ἀγωνιῶντα, καὶ φόβος ἀφόρητος ἦν ὁ περὶ τοῦ θανάτου κατασείων
αὐτοῦ τὴν ψυχήν· Φοβοῦμαι γὰρ ἐγώ, φησι, τὸν κύριόν μου τὸν βασιλέα, μήποτε ἴδῃ τὰ   Δαν. α. ι.
15 πρόσωπα ὑμῶν σκυθρωπὰ ὑπὲρ τὰ παιδάρια τὰ συνήλικα ὑμῶν, καὶ καταδικάσητε
τὴν κεφαλήν μου τῷ βασιλεῖ· ἀπαλλάξαντες αὐτὸν τούτου τοῦ δέους πείθουσι δοῦναι τὴν
χάριν. καὶ ἐπειδὴ πάντα τὰ παρ' ἑαυτῶν εἰσήνεγκαν, καὶ ὁ Θεὸς τὰ παρ' ἑαυτοῦ λοιπὸν εἰσέ-
φερεν. οὐδὲ γὰρ τοῦ Θεοῦ μόνου τὸ κατόρθωμα ἦν (ἐπεὶ τί ἔμελλον ἐκεῖνοι μισθὸν λαμβά-
νειν;) ἀλλὰ τῆς ἐκείνων γνώμης ἡ ἀρχὴ καὶ τὰ προοίμια, ἣν παρασχόμενοι γενναίαν καὶ ἀν-
20 δρείαν, ἐπεσπάσαντο τοῦ Θεοῦ τὴν ῥοπήν, καὶ εἰς τέλος ἤγαγον, ὅπερ ἐσπούδαζον.

Ὁρᾷς ὅτι τὸν μὴ ἑαυτὸν ἀδικοῦντα οὐδεὶς ἕτερος παραβλάψαι δυνήσεται; ἰδοὺ γοῦν
καὶ νεότης καὶ αἰχμαλωσία, καὶ ὀρφανία, καὶ εἰς ἀλλοτρίαν ἀπαγωγὴ καὶ μόνωσις καὶ ἐρημία τῶν
κ. βοηθούν- "προστησόντων, καὶ ἐπίταγμα χαλεπόν, καὶ φόβος θανάτου πολὺς ἐπιτειχίζων τοῦ εὐνούχου τὴν
των κ. δειλίαν "διάνοιαν, καὶ πενία, καὶ ὀλιγότης, καὶ τὸ ἐν μέσῳ βαρβάρων εἶναι, καὶ τὸ τοὺς ἐχθροὺς ἔχειν δεσπό-
25 τας, καὶ τὸ εἰς αὐτὰς ἐκδεδόσθαι τὰς χεῖρας τὰς βασιλικάς, καὶ τῶν οἰκείων ἁπάντων ὁ χω-
ρισμός, καὶ ἱερέων καὶ προφητῶν, καὶ τῶν ἄλλων τῶν ἐπιμελουμένων αὐτῶν ἀλλοτρίωσις, καὶ
κ. ψαλμῶν σπονδῶν καὶ θυσιῶν ἀργία, καὶ ναοῦ καὶ "ψαλμοῦ ἀφαίρεσις, καὶ οὐδὲν τούτων αὐτοὺς παρέβλα-
ψεν· ἀλλὰ τότε μειζόνως εὐδοκίμησαν, ἢ ὅτε τούτων ἀπήλαυον ἐπὶ τῆς πατρίδος τῆς ἑαυ-
τῶν. καὶ πρῶτον ἆθλον ἀνύσαντες τοῦτο, καὶ λαμπρὸν ἀναδησάμενοι τὸν στέφανον, καὶ τὸν νό-
30 μον καὶ ἐν ἀλλοτρίᾳ τηρήσαντες, καὶ ἐπίταγμα καταπατήσαντες τυραννικόν, καὶ φόβον νικήσαν-
τες τοῦ ἀλάστορος, καὶ μηδὲν μηδαμόθεν παραβλαβέντες· ὥσπερ οἴκοι καθήμενοι καὶ πάντων
ἐκείνων ἀπολαύοντες, οὕτω τὸ ἔργον μετ' ἀδείας ἀνύσαντες, ἐφ' ἕτερα πάλιν ἐκαλοῦντο σκάμ-
ματα, καὶ πάλιν ἦσαν οἱ αὐτοί. καὶ ἀγὼν τοῦ προτέρου χαλεπώτερος αὐτοῖς ἐπετίθετο, καὶ κά-
μινος ἀνήπτετο, καὶ βαρβαρικὸν πρὸς αὐτοὺς στρατόπεδον μετὰ τοῦ βασιλέως παρετάττετο, καὶ
35 ἡ Περσικὴ πᾶσα δύναμις ἐκινεῖτο, καὶ πάντα πρὸς ἀπάτην αὐτῶν ἐπετηδεύετο καὶ βίαν, καὶ
μουσικῆς εἴδη διάφορα, καὶ κολάσεων ποικίλοι τρόποι, καὶ ἀπειλαί, καὶ ὄψις πάντοθεν ἦν φοβε-
ρά, καὶ ῥήματα ὄψεως φοβερώτερα· ἀλλ' ὅμως ἐπειδὴ ἑαυτοὺς οὐ προὔδωκαν, ἀλλὰ τὰ παρ'
ἑαυτῶν πάντα εἰσήνεγκαν, οὐδὲν οὐδὲ τότε παρεβλάβησαν· ἀλλὰ καὶ λαμπροτέρους τῶν
προτέρων ἀνεδήσαντο τοὺς στεφάνους. ἔδησε μὲν γὰρ αὐτοὺς ὁ Ναβουχοδονόσορ, καὶ ἐνέβαλεν
40 εἰς τὴν κάμινον· οὐ μὴν παρέβλαψεν, ἀλλὰ καὶ μειζόνως ὠφέλησε, καὶ ἐνδοξοτέρους εἰρ-
γάσατο. καὶ οὔτε τὸν ναόν (πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ) οὔτε θυσιαστήριον, οὐ πατρίδα, οὐχ ἱε-
ρέας, οὐ προφήτας ἔχοντες, ἐν ἀλλοτρίᾳ καὶ βαρβάρῳ χώρᾳ, ἐν αὐτῇ μὲν οὖν μέσῃ τῇ κα-
μίνῳ, μεταξὺ τοῦ στρατοπέδου παντὸς ἐκείνου, τοῦ βασιλέως τοῦ ταῦτα ἐργαζομένου θεω-
ροῦντος, λαμπρὸν ἀνέστησαν τὸ τρόπαιον, καὶ περιφανῆ νίκην ἤραντο, τὴν θαυμαστὴν ἐκεί-

νην δὲ παράδοξον ᾄσαντες ᾠδὴν, ἣ καὶ μέχρι τοῦ νῦν ἐξ ἐκείνου πανταχοῦ τῆς οἰκουμένης ᾀδο-
μένην, καὶ ᾀσθησομένην καὶ εἰς τὰς μετὰ ταῦτα γενεάς. οὕτως οὖν ὅταν μηδεὶς ἑαυτὸν ἀ-
δικῇ, οὐδεὶς παρ' ἑτέρου βλαβῆναι δυνήσεται. οὐ γὰρ παύσομαι συνεχῶς τοῦτο ἐπᾴδων τὸ ῥῆμα.
Εἰ γὰρ αἰχμαλωσία καὶ δουλεία, καὶ μόνωσις, καὶ πατρίδος ἀποβολὴ καὶ τῶν οἰκείων ἁπάν-
των, καὶ θάνατος, καὶ ἐμπρησμὸς, καὶ στρατόπεδον τοσοῦτον, καὶ τύραννος οὕτως ὠμὸς οὐκ ἴσχυ-
σαν παῖδας τρεῖς, νέους, αἰχμαλώτους, δούλους, ξένους, ἐπὶ ἀλλοτρίας ὄντας λυμήνασθαί τι
εἰς τὴν οἰκείαν αὐτῶν ἀρετὴν, ἀλλὰ καὶ μείζονος αὐτοῖς παρρησίας γέγονε πρόφασις ἡ
ἐπιβουλή· τί τὸν νήφοντα παραβλάψαι δυνήσεται; οὐκ ἔστιν οὐδὲν, κἂν πᾶσαν τὴν οἰκου-
μένην ἔχῃ πολεμοῦσαν αὐτῷ. ἀλλ' ὁ Θεὸς τότε, φησὶ, παρέστη αὐτοῖς, καὶ ἐξήρπασεν αὐτοὺς
τῆς φλογός. μάλιστα μὲν οὖν καὶ σὺ τὰ παρ' ἑαυτοῦ πάντα ἐὰν παράσχῃς, τὰ παρὰ τοῦ Θεοῦ ἕ-
ψεται πάντως. πλὴν ἀλλ' ἐγὼ τοὺς παῖδας ἐκείνους οὐ διὰ τοῦτο θαυμάζω καὶ μακαρί-
ζω καὶ ζηλωτοὺς εἶναί φημι, ὅτι τὴν φλόγα κατεπάτησαν, καὶ τῆς τοῦ πυρὸς ἐνεργείας κρείτ-
τους ἐγένοντο· ἀλλ' ὅτι ὑπὲρ τῶν ἀληθῶν ἐδέθησαν δογμάτων, καὶ εἰς κάμινον ἐνεβλήθη-
σαν, καὶ τῷ πυρὶ παρεδόθησαν. ἐνταῦθα γὰρ αὐτοῖς ἅπαν τὸ τρόπαιον ἀπήρτισται, καὶ ὁμοῦ
κατενεχθεῖσιν εἰς τὴν κάμινον στέφανος ἐπετίθετο· καὶ ἀπὸ τῶν ῥημάτων δὲ ἐκείνων ἤρξατο
πλέκεσθαι καὶ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, ἃ μετὰ πολλῆς τῆς παρρησίας καὶ τῆς ἐ-
λευθεροστομίας πρὸς τὸν βασιλέα ἀχθέντες εἰς μέσον ἔλεγον· Οὐ χρείαν ἔχομεν ἡμεῖς
Δαν. γ. 15.
περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ ὁ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύ-
ομεν, ἱκανὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου,
βασιλεῦ, ῥύσεται ἡμᾶς. καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύο-
μεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ἣ ἔστησας, οὐ προσκυνοῦμεν. ἀπὸ τούτων αὐτοὺς τῶν ῥημάτων
ἀνακηρύττω, ἀπὸ τούτων τὸ βραβεῖον τῆς νίκης ἁρπάσαντες ἐπὶ τὸν λαμπρὸν ἔδραμον τοῦ
μαρτυρίου στέφανον, τῇ τῶν ῥημάτων ὁμολογίᾳ τὴν διὰ τῶν πραγμάτων προσθέντες.
γ. προσθέντι
εἰ δὲ ἐμβληθέντας ᾐδέσθη τὸ πῦρ αὐτῶν τὰ σώματα, καὶ τὰ δεσμὰ ἔλυσε, καὶ παρεῖχε κάτω μετ'
ἴσ. ἐμβληθέντα
ἀδείας βαδίζειν, καὶ τῆς οἰκείας ἐνεργείας ἐπελάθετο, καὶ πηγὴ ψυχρῶν ὑδάτων γέγονε τοῦ
πυρὸς ἡ κάμινος· τοῦτο λοιπὸν τῆς τοῦ Θεοῦ χάριτος τὸ θαῦμα ἦν, καὶ τῆς ἄνωθεν παραδοξο-
ποιίας· ὡς οἵ γε ἀθληταὶ, καὶ πρὶν ἢ ταῦτα γενέσθαι, ὁμοῦ τῆς φλογὸς ἐπιβάντες, καὶ τὸ τρό-
γ. ἄστε οἱ ἀ.
παιον ἔστησαν, καὶ τὴν νίκην ἤραντο, καὶ τὸν στέφανον ἀνεδήσαντο, καὶ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ἀνε-
κηρύχθησαν, καὶ τὸ λοιπὸν αὐτοῖς εἰς εὐδοκίμησιν οὐδὲν ἦν. τί οὖν ἂν ἔχοις πρὸς ταῦτα εἰ-
πεῖν; εἰς ὑπερορίαν ἀπηνέχθης, καὶ τῆς πατρίδος ἐξεβλήθης; ἰδοὺ καὶ οὗτοι. αἰχμαλωσίαν
ὑπέμεινας, καὶ ὑπὸ βαρβάροις ἐγένου δεσμώτης; ἀλλὰ καὶ τοῦτο εὑρήσεις τούτοις συμβάν.
γ. δεσπότας
ἀλλ' οὐδένα ἔχεις ἐκλιπαροῦντα καὶ διορθούμενον τὰ σὰ, οὐδὲ νουθετοῦντα καὶ διδάσκον-
γ. ἐκεῖ παρόντα
τα; καὶ ταύτης οὗτοι τῆς ἐπιμελείας ἦσαν ἐστερημένοι. ἀλλ' ἐδέθης, ἀλλ' ἐνεπρήσθης,
ἀλλ' ἀπέθανες; οὐδὲν γάρ μοι τούτων χαλεπώτερον ἔχεις εἰπεῖν. ἀλλ' ἰδοὺ καὶ οὗτοι διὰ
πάντων ἐλθόντες τῶν λυπηρῶν, λαμπρότεροι δι' ἑκάστου τούτων ἐγένοντο καὶ λίαν περιφανέστεροι,
καὶ μείζονα τὴν ἐμπορείαν τὴν ἐν τοῖς οὐρανοῖς συνήγαγον. καὶ οἱ μὲν Ἰουδαῖοι καὶ ναὸν ἔχον-
τες, καὶ θυσιαστήριον, καὶ κιβωτὸν, καὶ τὰ χερουβὶμ, καὶ τὸ ἱλαστήριον, καὶ τὸ καταπέτασμα,
καὶ τὸ ἄπειρον τῶν ἱερέων πλῆθος, καὶ τὰς καθημερινὰς λατρείας, καὶ τὰς θυσίας τὰς ἑωθι-
νὰς, τὰς ἑσπερινὰς, καὶ συνεχῶς τῶν προφητῶν ἀκούοντες ἀναγινωσκομένων, τῶν ζώντων,
τῶν τεθνηκότων ἐνηχούντων αὐτῶν ταῖς ἀκοαῖς, καὶ τῶν θαυμάτων τὴν μνήμην περιφέρον-
τες τῶν ἐν Αἰγύπτῳ, τῶν ἐν ἐρήμῳ, τῶν ἄλλων ἁπάντων, καὶ ἐπὶ τῶν χειρῶν ταῦτα σκαλεύον-
τες, ἐπὶ τῶν φλιῶν ἔχοντες ἐγγεγραμμένα, καὶ πολλῆς τῆς τότε θαυματουργίας ἀπολαύοντες καὶ
ἑτέρας ἐπιμελείας, οὐ μόνον οὐδὲν ὠφελήθησαν, ἀλλὰ καὶ παρεβλάβησαν, ἐν αὐτῷ τῷ ναῷ εἴ-
δωλα στήσαντες, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας σφάξαντες ὑπὸ δένδρα, καὶ πανταχοῦ
γ. σφαγιάσαντες

χοῦ σχεδὸν τῆς χώρας τῆς ἐν Παλαιστίνῃ τὰς παρθένους ἐκείνας καὶ ἐναγεῖς ἐργασάμενοι θυ-
σίας, καὶ ἕτερα ἀτοπώτερα μυρία τολμήσαντες· οὗτοι δὲ ἐν βαρβάρῳ μέσῃ, ἐν πολεμίᾳ καὶ
ἐχθρᾷ γῇ, ἐν οἰκίᾳ τυραννικῇ στρεφόμενοι, πάσης ἐκείνης τῆς ἐπιμελείας ἐστερημένοι, ἀπα-
γόμενοι, καιόμενοι, οὐ μόνον ἐντεῦθεν οὐδὲν παρεβλάβησαν, οὐ μικρόν, οὐ μέγα· ἀλλὰ καὶ μει-
5 ζόνως διέλαμψαν. Ταῦτ' οὖν εἰδότες, καὶ τὰ τούτοις ἐοικότα συλλέγοντες ἀπὸ τῶν θεοπνεύ-
στων καὶ θείων γραφῶν (πολλῶν γάρ ἐστιν εὐπορεῖν τοιούτων ὑποδειγμάτων καὶ ἐπὶ διαφό-
ρων προσώπων ἑτέρων) μήτε δυσκολίαν καιρῶν ἢ πραγμάτων, μήτε ἀνάγκην καὶ βίαν
καὶ τυραννίδα τῶν δυναστευόντων νομίζωμεν ἀρκεῖν ἡμῖν εἰς ἀπολογίαν, ἡνίκα ἂν πλημ-
μελῶμεν. ὅπερ γὰρ ἀρχόμενος εἶπον, εἰς τοῦτο καὶ νῦν καταλύσω τὸν λόγον, ὅτι εἴ τις
10 βλάπτοιτο καὶ ἀδικοῖτο, παρ' ἑαυτοῦ πάντως τοῦτο πάσχει, οὐ παρ' ἑτέρων, κἂν μυρίοι οἱ ἀδικοῦν-
τες καὶ ἐπηρεάζοντες ὦσιν· ὡς εἴγε μὴ παρ' ἑαυτοῦ τοῦτο πάθοι, οἱ γῆν ἅπασαν καὶ θάλατταν
οἰκοῦντες κοινῇ ἅπαντες εἰ ἐπέλθοιεν, οὐδὲ μικρὸν τοῦτον παραβλάψαι δυνήσονται). τὸν ἐν
Κυρίῳ γρηγοροῦντα καὶ νήφοντα. νήφωμεν τοίνυν, παρακαλῶ, καὶ γρηγορῶμεν διαπαντός.
καὶ φέρωμεν πάντα γενναίως τὰ λυπηρά, ἵνα τῶν αἰωνίων ἐκείνων καὶ ἀκηράτων ἐπιτύχωμεν
15 ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΑΙ ΠΡΟΣ ΤΗΝ ΟΛΥΜΠΙΑΔΑ ἐπιστολαί.

20

ΤΗ ΔΕΣΠΟΙΝΗ ΜΟΥ ΑΙΔΕΣΙΜΩΤΑΤΗ ΚΑΙ ΘΕΟΦΙΛΕΣΤΑΤΗ διακονίσσῃ Ὀλυμπιάδι Ἰωάννης ἐν Κυρίῳ χαίρειν.

25

Φέρε δή*, ἀπαντλήσω σου τῆς ἀθυμίας τὸ ἕλκος, καὶ διασκεδάσω τοὺς
λογισμοὺς* τοὺς τὸ νέφος τοῦτο συναγαγόντας. τί γάρ ἐστιν ὃ συν-
έχει σου τὴν διάνοιαν, καὶ λυπῇ, καὶ ἀδημονεῖς; ὅτι ἄγριος ὁ χειμὼν ὁ
30 τὰς ἐκκλησίας καταλαβὼν καὶ ζοφώδης, καὶ νύκτα ἀσέληνον πάντα
εἰργάσατο, καὶ καθ' ἑκάστην κορυφοῦται τὴν ἡμέραν, πικρὰ τινὰ
ὠδίνων ναυάγια, καὶ αὔξεται ἡ πανωλεθρία τῆς οἰκουμένης; οἶδα
τοῦτο κἀγώ, ἀδελφή, καὶ οὐδεὶς ἀντερεῖ. καί, εἰ βούλει, εἰκόνα ἀναπλάττω τῶν γινομένων,
ὥστε σαφεστέραν σοι ποιῆσαι τὴν τραγῳδίαν. θάλατταν ὁρῶμεν* ἀπ' αὐτῆς κάτωθεν ἀ-
35 ναμοχλευομένην τῆς ἀβύσσου, πλωτῆρας τοῖς ὕδασι νεκροὺς ἀποπλέοντας, ἑτέρους ὑπο-
βρυχίους γινομένους, τὰς σανίδας τῶν πλοίων διαλυομένας, τὰ ἱστία διαρρηγνύμενα, τοὺς
ἱστοὺς διακλωμένους, τὰς κώπας τῶν χειρῶν τῶν ναυτῶν ἀποπτάσας, τοὺς κυβερνήτας ἀντὶ
τῶν οἰάκων ἐπὶ τῶν καταστρωμάτων καθημένους, τὰς χεῖρας τοῖς γόνασι περιπλέκοντας, καὶ
πρὸς τὴν ἀμηχανίαν τῶν γινομένων κωκύοντας ὀξέως, βοῶντας, θρηνοῦντας, ὀλολύζον-
40 τας, ὀλοφυρομένους, οὐκ οὐρανὸν μόνον, οὐ πέλαγος φαινόμενον, ἀλλὰ σκότος πάντα βαθὺ καὶ
ἀφεγγὲς καὶ ζοφῶδες οὔτε τὸν πλησίον ἐπιτρέποντα βλέπειν, καὶ πολὺν τὸν πάταγον τῶν
κυμάτων, καὶ θηρία θαλάττια πάντοθεν τοῖς πλέουσιν ἐπιτιθέμενα. μᾶλλον δὲ μέχρι τί-
νος διώκομεν ἀκίχητα; οἵαν γὰρ ἂν ζητήσω τῶν παρόντων κακῶν εἰκόνα, ἡττώμενος τῶν κα-
κῶν ὁ λόγος ἀναχωρεῖ. ἀλλ' ὅμως καὶ ταῦτα εἰδώς, οὐκ ἀπογινώσκω τῆς χρηστοτέρας ἐλ-

Marginalia: γρ. ἀρεῖν · * νῦν · * σου · * μαινομένην ποντόθεν, · χ. διακλώμ. · χ βλέπειν · χ. - πίπτουσι

πίδος, τὸν κυβερνήτην τοῦδε τοῦ παντὸς ἐννοῶν, ὃς οὐ τέχνῃ περιγίνεται τοῦ χειμῶνος, ἀλλὰ νεύματι λύει τὴν ζάλην. [marg: γρ. ῥύει τὴν ἐκ- [illegible]] Εἰ δὲ μὴ ἐκ προοιμίων, μηδὲ εὐθέως ἔθος αὐτῷ τοιοῦτον, μὴ ἐν ἀρχῇ τὰ δεινὰ καταλύειν, ἀλλ' ὅταν αὐξηθῇ καὶ πρὸς τὸ τέλος ἔλθῃ, καὶ παρὰ τῶν πλειόνων ἀπογνωσθῇ, τότε θαυματουργεῖ καὶ παραδοξοποιεῖ, τήν τε οἰκείαν ἐνδεικνύμενος δύναμιν, καὶ τῶν ἐμπιπτόντων τὴν ὑπομονὴν ἐγγυμνάζων. μὴ τοίνυν ἀναπέσῃς, παρακαλῶ. ἓν γάρ ἐστι μόνον, Ὀλυμπιάς, φοβερὸν, [εἷς πειρασμὸς,] ἡ εἰς Θεὸν ἁμαρτία· καὶ τοῦτο συνεχῶς ἐπᾴδων ὑμῖν τὸ ῥῆμα οὐκ ἐπαυσάμην· [marg: γρ. σοι] τὰ δὲ ἄλλα πάντα, μῦθος· κἂν ἐπιβουλὰς εἴπῃς, κἂν ἀπεχθείας, κἂν δόλους, κἂν συκοφαντίας, κἂν λοιδορίας, κἂν κατηγορίας, κἂν δημεύσεις, κἂν ἐξορίας, κἂν ξίφη ἠκονημένα, κἂν πέλαγος, κἂν τὸν τῆς οἰκουμένης ἁπάσης πόλεμον. οἷα γὰρ ἂν ᾖ ταῦτα, πάντα πρόσκαιρά τέ ἐστι καὶ ἐπίκηρα, καὶ ἐν θνητῷ γινόμενα σώματι, καὶ τὴν νήφουσαν οὐδὲν παραβλάπτοντα ψυχήν. [marg: γρ. [illegible]] διὰ τοῦτο καὶ τῶν χρηστῶν, καὶ τῶν λυπηρῶν τῶν κατὰ τὸν παρόντα βίον τὸ εὐτελὲς ὁ μακάριος Παῦλος δεῖξαι βουλόμενος, μιᾷ λέξει τὸ πᾶν ἐνέφηνεν εἰπών· [marg: β. Κορ. δ. ιη.] Τὰ γὰρ βλεπόμενα, πρόσκαιρα. τί τοίνυν τὰ πρόσκαιρα δέδοικας, τὰ ποταμίων ῥευμάτων δίκην παραρρέοντα; τοιαῦτα γὰρ τὰ παρόντα, κἂν χρηστὰ ᾖ, κἂν λυπηρά. προφήτης δὲ ἕτερος ἅπασαν τὴν ἀνθρωπίνην εὐημερίαν οὐ χόρτῳ, ἀλλ' ἑτέρᾳ ὕλῃ εὐτελεστέρᾳ παρέβαλεν, ἄνθος αὐτὴν ὀνομάσας χόρτου πᾶσαν ὁμοῦ. οὐδὲ γὰρ μέρος αὐτῆς ἔθηκεν, [marg: γρ. ταύτης] οἷον πλοῦτον μόνον, ἢ τρυφὴν μόνον, ἢ δυναστείαν μόνον, ἢ τιμάς, ἀλλὰ πάντα τὰ ἐν ἀνθρώποις δοκοῦντα εἶναι λαμπρὰ μιᾷ προσηγορίᾳ τῇ τῆς δόξης περιλαβὼν, οὕτως ἐπήγαγε τὴν εἰκόνα τοῦ χόρτου εἰπών· [marg: Ησ. μ. ζ.] Πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἀλλ' ἡ δυσημερία δεινὸν καὶ βαρύ; ἀλλ' ὅρα καὶ ταύτην πάλιν ἑτέρᾳ παραβαλλομένην εἰκόνι, καὶ καταφρονεῖ καὶ ταύτης. τὰς γὰρ λοιδορίας, καὶ τὰς ὕβρεις, καὶ τὰ ὀνείδη, καὶ τὰ σκώμματα τὰ παρὰ τῶν ἐχθρῶν, καὶ τὰς ἐπιβουλὰς ἱματίῳ παλαιωθέντι καὶ ἐρίῳ διαβρωθέντι παρεικάζων ἔλεγεν· [marg: Ησ. να. ζ.] Ὀνειδισμὸν ἀνθρώπων μὴ φοβεῖσθε, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε· ὅτι ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ ἔριον ὑπὸ σητὸς, οὕτω βρωθήσονται. μηδέν σε τοίνυν ταραττέτω τῶν γινομένων, [marg: γρ. ἡμᾶς] ἀλλ' ἀφεῖσα τὸν δεῖνα καὶ τὸν δεῖνα παρακαλεῖν, καὶ τὰς σκιὰς περιτρέχειν (τοῦτο γὰρ ἡ ἀνθρωπίνη συμμαχία) τὸν Θεὸν, ᾧ λατρεύεις, ἐνδελεχῶς παρακάλει νεῦσαι μόνον, καὶ πάντα ἐν μιᾷ καιροῦ λύεται ῥοπῇ. εἰ δὲ παρεκάλεσας, καὶ οὐκ ἐλύθη, τοιοῦτον τῷ Θεῷ ἔθος, μὴ ἐκ προοιμίων (τὸν γὰρ ἔμπροσθεν ἀναλήψομαι λόγον) καταλύειν τὰ δεινά· ἀλλ' ὅταν κορυφωθῇ, ὅταν αὐξηθῇ, ὅταν σχεδὸν μηδὲν ὑπολελειμμένον ᾖ τῆς τῶν πολεμούντων κακίας, τότε ἀθρόον ἅπαντα μεταβάλλειν ἐπὶ τὸ γαληνὸν, καὶ πρὸς ἀπροσδοκήτους τινὰς καταστάσεις αὐτὰ τὰ πράγματα ἄγειν. οὐ γὰρ τοσαῦτα δύναται [marg: γρ. τὰ πράγματα ἄξει.] μόνον ποιῆσαι χρηστὰ, ὅσα προσδοκῶμεν καὶ ἐλπίζομεν, ἀλλὰ καὶ πολλῷ πλείονα, καὶ ἀπείρως μείζονα. διὸ καὶ Παῦλος ἔλεγε· [marg: Εφ. γ. κ.] Τῷ δὲ δυναμένῳ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν. μὴ γὰρ οὐκ ἠδύνατο ἐκ προοιμίων κωλῦσαι τοὺς παῖδας τοὺς τρεῖς εἰς τὸν πειρασμὸν ἐκεῖνον μὴ ἐμπεσεῖν; ἀλλ' οὐκ ἠβουλήθη, πολλὴν αὐτοῖς συνάγων τὴν ἐμπορίαν. διὰ τοῦτο ἀφῆκε καὶ χερσὶν αὐτοὺς βαρβαρικαῖς παραδοθῆναι, καὶ τὴν κάμινον ἐξαφθῆναι πρὸς ὕψος ἄφατον, καὶ τὴν βασιλικὴν ὀργὴν τῆς καμίνου [marg: γρ. ἀναφ.] χαλεπωτέραν ἐκκαῆναι, καὶ χεῖρας δεθῆναι καὶ πόδας μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ εἰς τὸ πῦρ ἐμβληθῆναι. καὶ ὅτε πάντες οἱ θεωροῦντες αὐτοὺς ἀπέγνωσαν αὐτῶν τὴν σωτηρίαν, τότε ἀθρόον καὶ παρ' ἐλπίδα ἅπασαν ἀνεφαίνετο ἡ θαυματοποιΐα [marg: γρ. ἅπαν] τοῦ ἀριστοτέχνου Θεοῦ, καὶ μετὰ πολλῆς ἐξέλαμπε τῆς ὑπερβολῆς. τὸ μὲν γὰρ πῦρ ἐδεσμεῖτο, οἱ δὲ δεσμῶται ἐλύοντο, καὶ ναὸς εὐκτήριος ἡ κάμινος ἐγίνετο, καὶ πηγὴ, καὶ δρόσος, καὶ αὐλῶν τῶν βασιλικῶν σεμνοτέρα. καὶ τὴν παμφάγον οὐσίαν ἐκείνην, καὶ σιδήρου καὶ λίθων περιγινομένην, καὶ πάσης κρατοῦσαν ὕλης τριχῶν ἐνίκα φύσις, καὶ χορὸς ἵστατο παναρμόνιος

αὐτόθι

αὐτόθι τῶν ἁγίων ἐκείνων ἑκατέραν τὴν κτίσιν εἰς τὴν θαυμασίαν ταύτην κα[illegible]ων
μελῳδίαν, ᾄδοντες, εὐχαριστηρίους ἀναπέμποντες ὕμνους, ὑπὲρ ὧν ἐκάησαν (τότε τῶν ἐ-
χθρῶν μέρος) ὑπὲρ ὧν πατρίδος ἐξέπεσον, ὑπὲρ ὧν αἰχμάλωτοι γεγόνασιν, ὑπὲρ ὧν τὴν ἐ-
λευθερίαν ἀφῃρέθησαν, ὑπὲρ ὧν ἀπόλιδες, ἄοικοι καὶ μετανάσται γεγόνασιν, ὑπὲρ ὧν ἐν ἀλλο-
5 τρίᾳ καὶ βαρβάρων διέτριβον γῇ. τοῦτο γὰρ ψυχῆς εὐγνώμονος. καὶ ἐπειδὴ καὶ τὰ τῆς κακίας τῶν
πολεμούντων ἀπήρτιστο (τί γὰρ μετὰ θάνατον λοιπὸν ἐπιχειρῆσαι ἠδύναντο;) καὶ τὰ τῶν ἀθλη-
τῶν ἐπεπλήρωτο, καὶ ὁ στέφανος ἐπλέχθη, καὶ τὰ βραβεῖα αὐτοῖς συνελέγη, καὶ οὐδὲν λοιπὸν
ἔλιπεν εἰς εὐδοκίμησιν· τότε δὴ τὰ δεινὰ λύει, καὶ ὁ τὴν κάμινον ἀνάψας καὶ τοσαύτῃ πα-
ραδοὺς τιμωρίᾳ, οὗτος θαυμαστὸς ἐπαινέτης τῶν ἁγίων ἐκείνων ἀθλητῶν γίνεται, καὶ κῆρυξ
10 τῆς τοῦ Θεοῦ παραδοξοποιΐας, καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκπέμπει γράμματα
πολλῆς γέμοντα εὐφημίας, διηγούμενος τὰ γεγενημένα, καὶ ἀξιόπιστος γινόμενος κῆρυξ
τῶν τοῦ παραδοξοποιοῦ Θεοῦ θαυμάτων. ἐπειδὴ γὰρ ἐχθρὸς ἦν καὶ πολέμιος, ἀνύποπτα λοι-
πὸν καὶ παρὰ τοῖς ἐχθροῖς τὰ γραφόμενα ἦν. εἶδες τὸ εὐμήχανον τοῦ Θεοῦ; εἶδες τὸ σο-
φόν; εἶδες τὸ παράδοξον; εἶδες τὸ φιλάνθρωπον καὶ κηδεμονικόν; μὴ τοίνυν θορυβοῦ, μηδὲ
15 ταράττου, ἀλλὰ μένε διηνεκῶς ὑπὲρ πάντων αὐτῷ εὐχαριστοῦσα, δοξολογοῦσα, παρα-
καλοῦσα, δεομένη, ἱκετεύουσα. κἂν μυρίοι θόρυβοι, κἂν μυρίαι ταραχαὶ ἐπίωσι, κἂν καται-
γίδες, κἂν πάντα ἐπ' ὄψεσι κέηται, μηδέν σε τούτων ταραττέτω. οὐ γὰρ προλαμβάνεται ἡ-
μῶν ὁ δεσπότης ὑπὸ τῆς τῶν πραγμάτων δυσκολίας, κἂν εἰς ἔσχατον ὄλεθρον πάντα
κατενεχθῇ. δυνατὸν γὰρ αὐτῷ καὶ τοὺς πεπτωκότας ἐγεῖραι, καὶ τοὺς πεπλανημένους ἐπι-
20 στρέψαι, καὶ τοὺς σκανδαλισθέντας διορθῶσαι, καὶ τοὺς μυρίων πληρωθέντας ἁμαρτημάτων ἀ-
παλλάξαι καὶ δικαίους ποιῆσαι, καὶ τοὺς νεκρωθέντας ζωογονῆσαι, καὶ τὰ κατασκαφέντα λαμ-
πρὰ ἐργάσασθαι, καὶ τὰ παλαιωθέντα ἀνανεῶσαι. εἰ γὰρ τὰ μὴ ὄντα ποιεῖ ὡς ὄντα, καὶ
τοῖς μηδαμοῦ μηδαμῶς φαινομένοις χαρίζεται τὸ εἶναι, πολλῷ μᾶλλον τὰ ὄντα καὶ γενόμε-
να διορθώσεται. ἀλλὰ πολλοὶ οἱ πλανώμενοι, πολλοὶ οἱ σκανδαλιζόμενοι. πολλὰ
25 πολλάκις καὶ ἤδη τοιαῦτα γέγονεν, ἀλλ' ὕστερον τὴν προσήκουσαν ἔλαβε πάντα διόρθωσιν,
πλὴν εἰ μή τινες ἀνιάτως ἔχοντες ἔμειναν, καὶ μετὰ τὴν τῶν πραγμάτων μεταβολήν. τί
* ταράττῃ καὶ ἀλύεις, εἰ ὁ δεῖνα ἐκβέβληται, καὶ ὁ δεῖνα εἰσενήνεκται; ὁ Χριστὸς ἐσταυροῦ-
το, καὶ Βαραββᾶς ὁ λῃστὴς ἐξῃτεῖτο· καὶ ὁ διεφθαρμένος ἐβόα δῆμος, τὸν ἀνδροφόνον τοῦ
σωτῆρος καὶ εὐεργέτου δεῖν μᾶλλον σωθῆναι. πόσους νομίζεις ταῦτα ἐσκανδάλιζε τότε; πό-
30 σους ταῦτα τέως ἀπώλεσε; μᾶλλον δὲ ἀνωτέρω τὸν λόγον ἀναγκαῖον ἀγαγεῖν. οὐκ εὐθέως
τεχθεὶς οὗτος ὁ σταυρωθεὶς, μετανάστης ἐγίνετο καὶ φυγὰς, καὶ μετὰ ὁλοκλήρου τῆς οἰκίας πρὸς
τὴν ἀλλοτρίαν ἐξ αὐτῶν τῶν σπαργάνων ἀπῳκίζετο γῆν, διάστημα ὁδοῦ τοσοῦτον εἰς βάρ-
βαρον ἀπαγόμενος χώραν; καὶ αἱμάτων ῥύακες ἐκ τῆς ὑποθέσεως ταύτης ἐγίνοντο καὶ
φόνοι ἄδικοι καὶ σφαγαὶ, καὶ ἡ ἄωρος ἡλικία πᾶσα, καθάπερ ἐν παρατάξει καὶ πολέμῳ,
35 κατεκόπτετο, καὶ τῶν μαζῶν ἀποσπώμενοι οἱ παῖδες σφαγῇ παρεδίδοντο, καὶ ἔτι τοῦ
γάλακτος ἐπὶ τοῦ φάρυγγος ὄντος διὰ τοῦ λαιμοῦ καὶ τῆς δέρρης τὸ ξίφος ἠλαύνετο; τί ταύτης
χαλεπώτερον * τῆς τραγῳδίας; καὶ ταῦτα ἔπραττεν ὁ ζητῶν αὐτὸν ἀνελεῖν, καὶ ὁ μακρόθυ-
μος Θεὸς ἠνείχετο τοιαύτης τολμωμένης τραγῳδίας, τοσούτου ῥέοντος αἵματος. καὶ ἠνείχετο,
κωλῦσαι δυνάμενος, ἀπορρήτῳ τινὶ σοφίᾳ τὴν τοσαύτην ἐπιδεικνύμενος μακροθυμίαν.
40 ἐπειδὴ δὲ ἐπανῆλθεν ἀπὸ τῆς βαρβάρων χώρας καὶ ηὐξήθη, πόλεμος αὐτῷ πανταχόθεν ἀ-
νερριπίζετο. καὶ πρῶτον μὲν οἱ Ἰωάννου διεφθόνουν τι καὶ ἐβάσκαινον μαθηταὶ, καίτοι γε ἐκεί-
νου τὰ αὐτῶν θεραπεύοντος, καὶ ἔλεγον, ὅτι ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ἴδε οὗτος βαπτί-
ζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν. ταῦτα γὰρ ὑποκνιζομένων ἦν λοιπὸν τὰ ῥήματα καὶ
φθόνῳ βαλλομένων καὶ τηκομένων τὰ πάθη. διὰ δὴ τοῦτο καὶ μετὰ Ἰουδαίου τινὸς εἷς τῶν μαθητῶν τῶν

Marginalia: γ. ὕμνους; γ. ἐξέπεσον; γ. ἠξίωντο; γ. ἐπλάκη; γ. τῷ Θεῷ; γ. ἐπ' ὄψιν; γ. ζωοποιῆσαι; γ. λαμπρότερα; γ. γίνεσθαι; γ. γενόμενα; γ. ἀπολλύμενοι; * γὰρ; γ. ἀλύῃ; γ. ἐξῄτετο; * γ. ... τ' αὐ; γ. ἐκ; γ. ἐκ; Ioan. 3

ταῦτα εἰρηκότων ἐφιλονείκει καὶ ἐπύκτευε τῶν περὶ καθαρσίων λόγον κινῶν, καὶ βάπτισμα
(Ιωαν. γ. κε.) βαπτίσματι παραβάλλων τὸ Ἰωάννου τῷ τῶν μαθητῶν τοῦ Χριστοῦ. Ἐγένετο γάρ, φησιν,
ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου τινὸς ζήτησις περὶ καθαρισμοῦ. ἐπεὶ δὲ καὶ τῶν σημεί-
ων ἥψατο, πόσαι αἱ συκοφαντίαι; οἱ μὲν Σαμαρείτην αὐτὸν ἐκάλουν καὶ δαιμονῶντα, λέ-
(Ιωαν. η. μη.) γοντες, ὅτι Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις· οἱ δὲ πλάνον, λέγοντες· Οὗτος οὐκ ἔστιν ἐκ 5
(Ιωαν. ζ. ιβ.) τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον· οἱ δὲ γόητα, λέγοντες, ὅτι ἐν τῷ ἄρχοντι τῶν δαι- (γ. κόσμον· γ. τῷ βεελζεβούλ)
(Ματθ. θ. λδ.) μονίων ἐκβάλλει τὰ δαιμόνια. καὶ συνεχῶς ταῦτα ἐπέλεγον, καὶ ἀντίθεον ὠνόμαζον καὶ γα-
(Λουκ. ζ. λδ.) στρίμαργον καὶ ἀδηφάγον καὶ μέθυσον, καὶ πονηρῶν καὶ διεφθαρμένων φίλον. Ἦλθε γάρ, φησιν,
ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελω-
νῶν φίλος καὶ ἁμαρτωλῶν. καὶ ὅτε δὲ τῇ πόρνῃ διελέγετο, ψευδοπροφήτην αὐτὸν ἐκά- 10
(Λουκ. ζ. λθ.) λουν. Εἰ γὰρ ἦν προφήτης, φησίν, ᾔδει τίς ἐστιν ἡ γυνὴ αὕτη ἡ λαλοῦσα αὐτῷ. καὶ καθ' ἑ-
κάστην ἡμέραν τοὺς ὀδόντας ἠκόνουν κατ' αὐτοῦ. καὶ οὐκ Ἰουδαῖοι μόνον οὕτως ἐπολέμουν αὐ-
τῷ, ἀλλ' οὐδὲ αὐτοὶ οἱ δοκοῦντες εἶναι ἀδελφοὶ ὑγιῶς εἶχον πρὸς αὐτόν· ἀλλὰ καὶ ἐκ τῆς
οἰκίας ὁ πόλεμος αὐτῷ διερριπίζετο. ὅρα γοῦν πῶς καὶ αὐτοὶ ἦσαν διεφθαρμένοι, ἐξ ὧν καὶ
(Ιωαν. ζ. ε.) ὁ εὐαγγελιστὴς [ἐπαγαγὼν] ἔλεγεν· Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. ἀλλ' 15
ἐπεὶ σκανδαλιζομένων μέμνησαι πολλῶν καὶ ἀπολλυμένων, πόσους οἴει κατὰ τὸν καιρὸν τοῦ σταυ- (γ. πλανωμένων)
ροῦ σκανδαλισθῆναι τῶν μαθητῶν; ὁ μὲν παρέδωκεν, οἱ δὲ ἐδραπέτευσαν, ὁ δὲ ἠρνήσατο· καὶ, πάντων
ἀναχωρησάντων, ἤγετο μόνος δεδεμένος. πόσους τοίνυν οἴει πρότερον ἑωρακότας τὰ σημεῖα αὐτὸν (γ. πρώην)
ἐργαζόμενον, νεκροὺς ἐγείροντα, λεπροὺς καθαρίζοντα, δαίμονας ἀπελαύνοντα, ἄρτους πη-
γάζοντα, τὰ ἄλλα τεράστια ἐργαζόμενον, σκανδαλισθῆναι κατὰ τὸν καιρὸν ἐκεῖνον, θεωροῦντας 20
μόνον ἀπαγόμενον καὶ δεδεμένον, ὑπὸ ἀτίμων στρατιωτῶν* περιστοιχιζόμενον, καὶ ἱερέων Ἰουδαϊκῶν (* αὐτὸν)
ἐπομένων καὶ θορυβούντων καὶ ταραττόντων, καὶ τοὺς ἐχθροὺς* μόνον ἐν μέσῳ ἔχοντας ἀπειλημμένον (* ἅπαντας)
αὐτόν, καὶ τὸν προδότην παρόντα καὶ ἐναβρυνόμενον τέως; τί δαί, ἡνίκα ἐμαστίζετο; καὶ γὰρ εἰκὸς
παρεῖναι πλῆθος ἄπειρον. ἑορτή τε γὰρ ἦν περιφανὴς ἡ πάντας συνάγουσα, καὶ μητρόπολις ἡ
τὸ δρᾶμα τῆς παρανομίας δεξαμένη, καὶ ἐν μεσημβρίᾳ μέσῃ. πόσους τοίνυν οἴει παρεῖναι τότε, καὶ 25
σκανδαλίζεσθαι, ὁρῶντας αὐτὸν δεδεμένον, μεμαστιγωμένον, αἵματι περιρρεόμενον, ὑπὸ ἡγε-
μονικοῦ δικαστηρίου ἐξεταζόμενον, καὶ οὐδένα τῶν μαθητῶν παρόντα; τί δαί, ἡνίκα αἱ ποικίλαι
ἐκεῖναι καὶ συνεχεῖς καὶ ἐπάλληλοι ἐγίνοντο κατ' αὐτοῦ κωμῳδίαι; καὶ ποτὲ μὲν αὐτὸν ἀκάνθαις
ἐστεφάνουν, ποτὲ δὲ χλαμύδα περιετίθεσαν, ποτὲ δὲ κάλαμον ἐνεχείριζον, ποτὲ δὲ πίπτον-
τες αὐτὸν προσεκύνουν, πᾶν εἶδος χλευασίας κινοῦντες καὶ γέλωτος. πόσους οἴει σκανδα- 30 (γ. χλευασμοῦ)
λίζεσθαι, πόσους θορυβεῖσθαι, πόσους ταράττεσθαι, ὅτε ἐπὶ κόρρης αὐτὸν ἔπαιον, καὶ ἔλεγον·
(Ματθ. κς. ξη.) Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε, καὶ ἦγον καὶ περιῆγον, πᾶσαν τὴν ἡμέραν ἀνα-
λίσκοντες εἰς σκώμματα καὶ λοιδορίας καὶ χλευασίαν καὶ γέλωτα ἐν μέσῳ θεάτρῳ Ἰουδαϊ-
κῷ; τί δαί, ὅτε αὐτὸν ἐρράπιζεν ὁ δοῦλος τοῦ ἀρχιερέως; τί δαί, ὅτε τὰ ἱμάτια αὐτοῦ διεμε-
ρίζοντο οἱ στρατιῶται, ἡνίκα ἐπὶ τὸν σταυρὸν ἀνέβη γυμνὸς ἐπὶ τοῦ νώτου ἔχων τὰς μά- 35 (γ. ἀνήχθη)
στιγας, καὶ ἀνεσκολοπίζετο; οὐδὲ γὰρ τότε οἱ ἄγριοι θῆρες ἐμαλάττοντο, ἀλλὰ μανικώτε-
ροι μᾶλλον ἐγίνοντο, καὶ τὰ τῆς τραγῳδίας ἐπετείνετο, καὶ τὰ τῆς χλευασίας ηὔξετο. οἱ μὲν
(Ματθ. κζ. μ. μα.) γὰρ ἔλεγον, Ὁ καταλύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν· οἱ δὲ ἔλεγον, Ἄλ-
λους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι; ἄλλοι δὲ ἔλεγον· Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ
τοῦ σταυροῦ, καὶ πιστεύσομέν σοι. τί δαί, ὅτε τῇ σπογγιᾷ χολὴν καὶ ὄξος ποτίζοντες ἐνεπα- 40
ρῴνουν αὐτῷ; τί δαί, ὅτε οἱ λῃσταὶ ἐλοιδόρουν αὐτῷ; τί δαί, ὅπερ καὶ ἔμπροσθεν ἔλεγον, τὸ
φρικτὸν ἐκεῖνο καὶ παρανομώτατον, ὅτε τὸν λῃστὴν ἐκεῖνον καὶ τοιχωρύχον καὶ μυρίων γέ-
μοντα φόνων, ἄξιον ἔλεγον εἶναι ἐξαιτηθῆναι μᾶλλον αὐτοῦ; καὶ λαβόντες αἵρεσιν παρὰ τοῦ
δικαστοῦ τὸν Βαραββᾶν προετίμησαν, οὐ σταυρῶσαι μόνον, ἀλλὰ καὶ πονηρὰν βουλόμενοι

τῷ Χριστῷ περιθεῖναι δόξαν; ἐνόμιζον γὰρ δύνασθαι κατασκευάζειν ἐκ τούτων, ὅτι τοῦ λῃστοῦ χείρων ἦν, καὶ οὕτω παράνομος, ὥστε μήτε φιλανθρωπίᾳ, μήτε ἑορτῆς ἀξιώματι δύνασθαι σώζεσθαι. πάντα γὰρ τούτου ἕνεκεν ἐποίουν, ὥστε αὐτοῦ τὴν ὑπόληψιν διαβαλεῖν. διὰ δὴ τοῦτο καὶ τοὺς δύο λῃστὰς αὐτῷ συνεσταύρωσαν. ἀλλ' ἡ ἀλήθεια οὐ μόνον οὐ
5 συνεσκιάζετο, ἀλλὰ καὶ μειζόνως διέλαμπε, καὶ τυραννίδα δὲ αὐτῷ ἐνεκάλουν λέγοντες, Πᾶς ὁ ποιῶν ἑαυτὸν βασιλέα, οὐκ ἔστι φίλος τοῦ Καίσαρος, τῷ οὐκ ἔχοντι ποῦ τὴν κεφαλὴν κλῖναι τυραννίδος ἐπάγοντες ἔγκλημα. καὶ ἐπὶ βλασφημίᾳ δὲ αὐτὸν ἐσυκοφάντουν.. ὁ γὰρ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ λέγων, ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; ὁ δὲ θάνατος αὐτοῦ οἷος; οὐ καταδίκων; οὐκ ἐπαράτων; οὐχ ὁ αἴσχιστος; οὐκ ὁ τῶν τὰ αἴσχιστα
10 παρανενομηκότων, καὶ οὐκ ἀξίων ὄντων οὐδὲ ἐπὶ τῆς γῆς τὴν ψυχὴν ἀφεῖναι; τὸ δὲ τῆς ταφῆς εἶδος οὐκ ἐν χάριτος ἐπληροῦτο μέρει; ἐλθὼν γάρ τις τὸ σῶμα αὐτοῦ ἐξῃτήσατο. οὕτως οὐδὲ ὁ θάπτων αὐτὸν ἦν τῶν οἰκείων, τῶν εὐεργετηθέντων, τῶν μαθητῶν, τῶν τοσαύτης ἀπολελαυκότων σωτηρίας, πάντων φυγάδων γενομένων, πάντων ἀποπηδησάντων. ἡ δὲ πονηρὰ ἐκείνη ὑπόληψις, ἣν κατεσκέδασαν τῆς ἀναστάσεως εἰπόντες, ὅτι ἦλθον οἱ μαθηταὶ
15 αὐτοῦ, καὶ ἔκλεψαν αὐτόν, πόσους ἐσκανδάλισε; πόσους ὑπεσκέλισε τέως; καὶ γὰρ ἐκράτησεν ὁ λόγος τότε, καίτοιγε πεπλασμένος ὢν καὶ χρημάτων γενόμενος ὠνητός· ἀλλ' ὅμως ἐκράτησε παρά τισι μετὰ τὰ σήμαντρα καὶ σφραγῖδας, μετὰ τὴν περιφάνειαν τῆς ἀληθείας τὴν τοσαύτην. οὐδὲ γὰρ οἱ περὶ τῆς ἀναστάσεως ᾔδεσαν λόγον τὸ πλῆθος· ὅπουγε οὐδὲ αὐτοὶ οἱ μαθηταὶ ἠπίσταντο. Οὐδὲ γὰρ οἱ μαθηταὶ αὐτοῦ ᾔδεσαν, φησι, τότε, ὅτι δεῖ αὐτὸν ἐκ
20 νεκρῶν ἀναστῆναι. * ἀλλ' ὅμως ὁ μακρόθυμος Θεὸς ἠνείχετο, τῇ οἰκείᾳ σοφίᾳ ἀπορρήτως πάντα οἰκονομῶν. εἶτα μετὰ τὰς ἡμέρας ἐκείνας πάλιν κρυπτόμενοι, λανθάνοντες, φυγαδευόμενοι οἱ μαθηταί, δεδοικότες, τρέμοντες, τόπον ἐκ τόπου συνεχῶς ἀμείβοντες, οὕτως ἐλάνθανον· καὶ μετὰ πεντήκοντα ἡμέρας ἀρξάμενοι φαίνεσθαι, καὶ σημείων ἅπτεσθαι, οὐδὲ οὕτως ἀδείας ἀπήλαυσαν, ἀλλὰ καὶ μετ' ἐκεῖνα μυρία σκάνδαλα μαστιζομένων αὐτῶν ἐγίνετο ἐν
25 τοῖς ἀσθενεστέροις, τῆς ἐκκλησίας ταραττομένης, αὐτῶν ἐλαυνομένων, τῶν ἐχθρῶν κρατούντων πανταχόθεν καὶ θορυβούντων. ὅτε γὰρ τὴν πολλὴν ἐκ τῶν σημείων ἐκτήσαντο παρρησίαν, τότε πάλιν ἡ Στεφάνου τελευτὴ διωγμὸν χαλεπὸν εἰργάσατο, καὶ πάντας διέσπειρε, καὶ τὴν ἐκκλησίαν ἐν θορύβῳ κατέστησε. καὶ πάλιν ἐν φόβῳ τὰ τῶν μαθητῶν, καὶ πάλιν ἐν φυγῇ, καὶ πάλιν ἐν ἀγωνίᾳ. καὶ οὕτω διαπαντὸς τὰ τῆς ἐκκλησίας ηὔξετο· καὶ ὅτε ἤνθει διὰ
30 τῶν σημείων, ὅτε φαιδρὰ ἐκ προοιμίων ἐφαίνετο, ὁ μὲν διὰ θυρίδος ἐχαλᾶτο, καὶ οὕτως διέφυγε τοῦ ἄρχοντος τὰς χεῖρας, τὸν δὲ ἄγγελος ἐξέβαλε, καὶ οὕτω τῶν ἀλύσεων ἀπήλλαττε, τοὺς δὲ ἀγοραῖοί τινες καὶ χειροτέχναι ὑποδεχόμενοι παρὰ τῶν ἐν δυναστείαις ἐλαυνομένους, πάντη ἐθεράπευον ἔργῳ, πορφυροπώλιδες γυναῖκες καὶ σκηνορράφοι καὶ σκυτοδέψαι, πρὸς αὐτὰς οἰκοῦντες τὰς ἐσχατιὰς τῶν πόλεων παρὰ αἰγιαλὸν καὶ θάλασσαν· πολλά-
35 κις δὲ καὶ οὐδὲ ἐν μέσαις ἐτόλμων φαίνεσθαι ταῖς πόλεσιν. εἰ δὲ καὶ αὐτοὶ ἐτόλμων, ἀλλ' οἱ ξενοδόχοι οὐκ ἐτόλμων. καὶ οὕτως ὑφαίνετο τὰ πράγματα διὰ πειρασμῶν, οὐ δι' ἀνέσεων. καὶ οἱ πρότερον σκανδαλισθέντες, μετὰ ταῦτα διωρθοῦντο, καὶ οἱ πλανηθέντες ἐπανήγοντο, καὶ τὰ κατεσκαμμένα ἀνῳκοδόμητο μειζόνως. διὰ τοῦτο καὶ Παύλου αἰτήσαντος δι' ἀνέσεως μόνης βαδίζειν τὸ κήρυγμα, ὁ πάνσοφος καὶ εὐμήχανος Θεὸς οὐκ ἠνέσχετο τοῦ
40 μαθητοῦ, ἀλλὰ καὶ πολλάκις παρακαλοῦντος οὐκ ἐπένευσεν· ἀλλ' εἶπεν, Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. εἰ βούλει τοίνυν καὶ νῦν λογίσασθαι, μετὰ τῶν λυπηρῶν τὰ χρηστὰ πολλὰ ἐνταῦθα γεγενημένα, εἰ καὶ μὴ σημεῖα καὶ θαύματα, ἀλλ' ἐοικότα σημείοις πράγματα, δείγματα τῆς πολλῆς τοῦ Θεοῦ προνοίας καὶ ἀντιλήψεως ἄφατα. ἀλλ' ἵνα μὴ πάντα μετ' εὐκολίας παρ' ἡμῶν ἀκούσῃς, τοῦτό σοι καταλιμπάνω τὸ μέρος,

Margin notes: γ. ὡς — Ἰωαν. ιθ. ιϛ. — Ματθ. κϛ. ξε. — γ. ἔσχατα — γ. φεύδων — γ. κατεσκέδασαν — Ματθ. κη. ιγ. — * πόσοις οὖν οἱ μετὰ τὰς ἡμέρας ἐκείνας σκανδαλισθῆναι; — Ἰωαν. κ. θ. — γ. αἴτιος — γ. πολλαχοῦ — γ. ὑπὸ — γ. ἐγίνετο — γ. θυρ. — ἴσ. ἐξήγαγε — γ. ἀνε. — β Κορ. ιβ. θ. — γ. καὶ παραδείγματα

μέρος,

μέρους, ὥστε μετ' ἀκριβείας ἀναλέξαι πάντα καὶ παραθεῖναι τοῖς λυπηροῖς, καὶ καλὴν ἀπολουμένην ἀπολίαν οὕτως ἀπαγαγεῖν σαυτὴν τῆς ἀθυμίας. πολλὴν γὰρ καὶ ἐντεῦθεν δέξῃ τὴν παράκλησιν. πάντα σου τὸν εὐλογημένον οἶκον παρ' ἡμῶν πολλὰ προσειπεῖν παρακλήθητι. ἐρρωμένη, εὐθυμουμένη διατελοίης, δέσποινά μου αἰδεσιμωτάτη καὶ θεοφιλεστάτη. εἰ βούλει με μακρὰ γράφειν καὶ τοιαῦτα, δήλωσόν μοι, μὴ ἀπατῶσα μέντοι με, ὅτι πᾶσαν ἀπέθου τὴν ἀθυμίαν, καὶ ἐν ἀνέσει διάγεις (τοιοῦτον γὰρ τῶν γραμμάτων τύπων τὸ φάρμακον, ὡς καὶ εὐθυμίαν σοι ἐμποιῆσαι πολλὴν) καὶ ὄψει συνεχῶς ἐπιστέλλοντα. ἀλλὰ μή μοι γράψῃς πάλιν, ὅτι καὶ πολλὴν παραμυθίαν ἔχω ἐκ τῶν γραμμάτων σου (τοῦτο γὰρ οἶδα κἀγὼ) ἀλλ' οὐ τοσαύτην, ὅσην ἐγὼ βούλομαι, ὅτι οὐ συγχέῃ, ὅτι οὐ δακρύεις, ἀλλὰ καὶ ἐν ἀνέσει καὶ εὐθυμίᾳ διάγεις. ἔρρωσο.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ β.

Ἤρκει μὲν καὶ ἡ πρώτη ἐπιστολὴ πρὸς τὴν ἐμμέλειαν τὴν σὴν καταστεῖλαί σου τῆς ὀδύνης τὴν φλεγμονήν· ἐπειδὴ δέ σε σφόδρα κατειργάσατο τῆς ἀθυμίας ἡ τυραννίς, ἀναγκαῖον εἶναι ἐνόμισα καὶ δευτέραν προσθεῖναι τῇ προτέρᾳ, ὥστε σε μετὰ δαψιλείας πολλῆς καρπώσασθαι τὴν παράκλησιν, καὶ ἐν ἀσφαλεῖ σοι τὰ τῆς ὑγιείας εἶναι λοιπόν. δεῦρο δὴ οὖν καὶ ἑτέρωθεν διασκεδάσω σου τῆς ἀθυμίας τὴν κόνιν. καὶ γὰρ ἀπὸ ἕλκους καὶ οἰδημάτων χαλεπῶν κόνιν οἶμαι αὐτὴν γεγενῆσθαι· πλὴν ἀλλ' οὐδὲ οὕτως ἀμελητέον τῆς ἐπιμελείας τῆς σῆς. ἐπεὶ καὶ ἡ κόνις τὸν μὴ μετὰ σπουδῆς αὐτὴν ἐκκλίνοντα, ἐν τῷ καιριωτάτῳ τῶν μελῶν ἀπαιτεῖ τὴν δίκην, τὸ διειδὲς τῆς κόρης θολοῦσα, καὶ ὁλόκληρον διαταράττουσα τοῦ ῥᾳθυμοῦντος τὸ ὄμμα. ἵν' οὖν μὴ καὶ ἐνταῦθα τοῦτο γένηται, μετὰ σπουδῆς πολλῆς καὶ τὸ λείψανον ἀνέλωμεν τοῦ κακοῦ. ἀλλὰ διανάστηθι, καὶ χεῖρα ἡμῖν ὄρεξον. ὅπερ γὰρ ἐπὶ τῶν τὰ σώματα καμνόντων συμβαίνειν εἴωθεν, ἂν τὰ τῶν ἰατρῶν μὲν εἰσφέρηται, τὰ δὲ ἐκείνων ἐλλιμπάνηται, διακόπτεται τῆς ὑγιείας τὸ κέρδος· τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς γίνεσθαι πέφυκεν. ἵν' οὖν μὴ γένηται τοῦτο, καὶ τὰ παρὰ σαυτῆς μετὰ τῆς προσηκούσης σοι συνέσεως σπούδαζε εἰσφέρειν ἡμῖν, ὥστε ἑκατέρωθεν πολλὴν γενέσθαι τὴν ὠφέλειαν. ἀλλὰ βούλομαι μέν, ἴσως ἐρεῖς, οὐ δύναμαι δέ. οὐδὲ γὰρ ἀρκῶ διακρούσασθαι τὸ νέφος τὸ πυκνὸν καὶ ζοφῶδες τῆς ἀθυμίας, καίτοι σφόδρα φιλονεικοῦσα. σκῆψις ταῦτα καὶ πρόφασις. ἐγὼ γὰρ οἶδά σου τῶν λογισμῶν τὴν εὐγένειαν, οἶδα τῆς εὐλαβοῦς σου ψυχῆς τὴν ἰσχύν, οἶδα τῆς συνέσεως τὸ πλῆθος, τῆς φιλοσοφίας τὴν δύναμιν· καὶ ὡς ἀρκεῖ σοι μόνον ἐπιτάξαι τοῖς μαινομένοις τῆς ἀθυμίας πελάγεσι, καὶ πάντα ποιῆσαι γαλήνην. ἵνα δέ σοι τοῦτο καὶ εὐκολώτερον γένηται, καὶ τὰ παρ' ἑαυτῶν εἰσοίσωμεν. πῶς οὖν ῥᾳδίως δυνήσῃ τοῦτο ποιῆσαι; τὰ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἀναλογιζομένη πάντα (καὶ γὰρ πολλὰ ταύτης ἕνεκεν ἡμῖν εἴρηται τῆς ὑποθέσεως ἐν ἐκείνῃ) καὶ μετ' ἐκείνων καὶ τοῦτο ποιοῦσα, ὅπερ ἐπιτάττω νῦν ἐγώ. τί δὲ τοῦτό ἐστιν; ὅταν ἀκούσῃς, ὅτι τῶν ἐκκλησιῶν ἡ μὲν κατέδυ, ἡ δὲ σαλεύεται, ἑτέρα χαλεποῖς περιαντλεῖται κύμασιν, ἄλλη τὰ ἀνήκεστα πέπονθεν, ἡ μὲν λύκον ἀντὶ ποιμένος λαβοῦσα, ἡ δὲ πειρατὴν ἀντὶ κυβερνήτου, ἡ δὲ δήμιον ἀντὶ ἰατροῦ· ἄλγει μὲν (οὐ γὰρ δεῖ τὰ τοιαῦτα ἀνωδύνως φέρειν) ἄλγει δὲ μέτρον ἐπιθεῖσα τῇ λύπῃ. εἰ γὰρ ἐν οἷς ἡμεῖς αὐτοὶ πλημμελοῦμεν, καὶ ὑπὲρ ὧν μέλλομεν τὰς εὐθύνας ὑπέχειν, οὐκ ἀναγκαῖον οὐδὲ ἀσφαλές, ἀλλὰ καὶ σφόδρα ὀλέθριον καὶ βλαβερὸν τὸ μετὰ πολλῆς ἀλγεῖν τῆς σφοδρότητος· πολλῷ μᾶλλον ὑπὲρ τῶν ἑτέροις πλημμελουμένων τὸ καταμαλακίζεσθαι καὶ κατακλᾶσθαι, περιττὸν καὶ μάταιον, καὶ πρὸς τούτοις Σατανικόν, καὶ ψυχῆς ὄλεθρος. καὶ ἵνα μάθῃς ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον,

γρ. ἀλγεινῶν

γρ. προτέρα ἐλθοῦσα

γρ. ἀσφαλεῖ

γρ. σκῆψις ταῦτα καὶ πρόφασις

γρ. προτέρᾳ

γρ. ὀλέθριον

α. Κορ. ε.

πον, ἱστορίαν σοι διηγήσομαι παλαιάν. Κορίνθιός τις ἀνήρ, τῶν ἱερῶν ἀπολαύσας ναμάτων,
καὶ καθαρθεὶς διὰ τῆς τοῦ βαπτίσματος μυσταγωγίας, καὶ τῆς φρικωδεστάτης μετασχὼν τρα-
πέζης, καὶ πάντων ἁπαξαπλῶς τῶν παρ' ἡμῖν κοινωνήσας μυστηρίων· πολλοὶ δέ φασιν ὅτι καὶ
διδασκάλου τάξιν ἐπεῖχε· μετὰ τὴν ἱερὰν ταύτην τελετήν, καὶ τὸ πάντων αὐτὸς γενέσθαι
5 τῶν ἀπορρήτων ἀγαθῶν, καὶ τὰ πρωτεῖα ἔχειν ἐπὶ τῆς ἐκκλησίας, ἥμαρτεν ἁμαρτίαν χα- (γ. ἡμάρτηκεν)
λεπωτάτην. τὴν γὰρ γυναῖκα τοῦ πατρὸς ἀδίκοις ἰδὼν ὀφθαλμοῖς οὐκ ἔστη μέχρι τῆς πο-
νηρᾶς ταύτης ἐπιθυμίας, ἀλλὰ καὶ εἰς ἔργον τὴν ἀκόλαστον γνώμην ἐξήγαγε· καὶ ἦν τὸ
τολμηθὲν οὐχὶ πορνεία μόνον, ἀλλὰ καὶ μοιχεία· μᾶλλον δὲ καὶ μοιχείας πολλῷ χαλεπώτε-
ρον. διὰ δὴ τοῦτο καὶ ὁ μακάριος Παῦλος ἀκούσας [καὶ] οὐκ ἔχων ὄνομα ἐπιθεῖναι πρὸς ἀξίαν
10 τῷ ἁμαρτήματι κύριον, ἑτέρως ἐμφαίνει τὸν ὄγκον τῆς παρανομίας οὑτωσὶ λέγων· Ὅλως ἀκού- (α. Κορ. ε. α.)
εται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, οἵα οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται. Οὐκ εἶπεν,
οὐδὲ τολμᾶται, ἀλλ', οὐδὲ ὀνομάζεται, τὴν ὑπερβολὴν δεῖξαι θέλων τῆς παρανομίας
ἐκείνης. καὶ παραδίδωσιν αὐτὸν τῷ διαβόλῳ, καὶ πάσης ἐκτέμνει τῆς ἐκκλησίας, καὶ οὐδὲ τρα-
πέζης κοινῆς ἀφίησιν αὐτὸν τινὶ κοινωνεῖν· Τῷ γὰρ τοιούτῳ, φησί, μηδὲ συνεσθίετε· καὶ πολλῆς (α. Κορ. ε. ια.)
15 τινος, τὴν ἐσχάτην αὐτὸν ἀπαιτεῖ δίκην, καὶ δημίῳ πρὸς τοῦτο κεχρημένος τῷ Σατανᾷ, (γ. τὴν)
καὶ κατακόπτων αὐτοῦ δι' ἐκείνου τὴν σάρκα. ἀλλ' ὅμως ὁ τῆς ἐκκλησίας ἀποτεμὼν Παῦ- (γ. χρώμενος)
λος, ὁ μηδὲ τραπέζης κοινῆς ἀφεὶς τινὶ κοινωνεῖν, ὁ πάντας κελεύσας δι' ἐκεῖνον πενθεῖν (Καὶ (α. Κορ. ε. β.)
ὑμεῖς γὰρ πεφυσιωμένοι ἐστέ, φησί, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ
τὸ ἔργον τοῦτο πεποιηκώς) ὁ πάντοθεν αὐτὸν ὥσπερ λοιμόν τινα ἀπελαύνων, ὁ πάσης αὐτὸν ἀ-
20 ποκλείσας οἰκίας, ὁ τῷ Σατανᾷ παραδούς, ὁ τοσαύτην παρ' αὐτοῦ δίκην ἀπαιτῶν, ὅτε εἶ-
δεν ἀλγήσαντα καὶ μεταγνόντα ἐφ' οἷς ἥμαρτε, καὶ παλινῳδίαν διὰ τῶν ἔργων ᾄδοντα, οὕτω καὶ
αὐτὸς μετετάξατο πάλιν, ὡς ἐκείνοις οἷς ταῦτα ἐπέταξε τὰ ἐναντία κελεῦσαι. ὁ γὰρ εἰπών, ἐκ-
κόψατε, ἀπογράφητε, πενθήσατε, καὶ λαμβανέτω αὐτὸν ὁ διάβολος, τί φησι; Κυρώσατε εἰς (β. Κορ. β. η.)
αὐτὸν ἀγάπην, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος, καὶ πλεονεκτηθῶμεν ὑπὸ τοῦ
25 Σατανᾶ. οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. ὁρᾷς πῶς σατανικὸν τὸ ἀμέτρως ἀλγεῖν,
καὶ τῆς ἐκείνου παγίδος ἔργον τὸ σωτήριον φάρμακον τῇ ἀμετρίᾳ ποιοῦντος δηλητήριον; καὶ
γὰρ γίνεται δηλητήριον, κἀκείνῳ τὸν ἄνθρωπον παραδίδωσιν, ὅταν εἰς ἀμετρίαν ἐκπέσῃ.
διὸ καὶ ἔλεγεν, Ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· ψώρας
τὸ πρόβατον ἐμπέπλησται πολλῆς; ἠλλοτριώθη τῆς ἀγέλης; ἀπερράγη τῆς ἐκκλησίας;
30 ἀλλὰ διώρθωσε τὴν νόσον, γέγονε πρόβατον ὅπερ ἔμπροσθεν ἦν. τοιαύτη γὰρ τῆς μετανοίας ἡ
δύναμις. γέγονε λοιπὸν τῆς ποίμνης τῆς ἡμετέρας. * ἐπισπασώμεθα αὐτόν, ὑπτίαις (* ὁλοκλήρως)
ὑποδεξώμεθα ταῖς χερσί, περιλάβωμεν, περιπτυξώμεθα, ἑνώσωμεν ἡμῖν αὐτοῖς. εἰ γὰρ
μὴ βουληθείημεν τοῦτο ποιῆσαι, πλεονεκτεῖ λοιπὸν ἡμᾶς ὁ διάβολος, οὐ τὸν αὐτοῦ λαμβά-
νων, ἀλλὰ τὸν ἡμέτερον γενόμενον ἀπὸ τῆς ῥᾳθυμίας τῆς ἡμετέρας καὶ διὰ τῆς ἀμετρίας
35 τῆς κατὰ τὴν ἀθυμίαν καταποντίζων, καὶ αὐτοῦ λοιπὸν ποιῶν εἶναι. διὸ καὶ ἐπήγαγεν· οὐ γὰρ
αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν· ὅτι καὶ διὰ τῶν ὠφελούντων πολλάκις, ὅταν μὴ δεόντως ταῦ-
τα γίνηται, τοὺς μὴ προσέχοντας ὑποσκελίζειν εἴωθεν. εἰ δὲ ὑπὲρ ὧν αὐτός τις ἐπλημ-
μέλησε, καὶ πλημμέλημα τοιοῦτον, οὐκ ἀφίησιν ὁ Παῦλος πολλῇ τῇ λύπῃ κεχρῆσθαι, ἀλλὰ
σπεύδει καὶ ἐπείγεται καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε ἐκκόψαι τὸν ὄγκον τῆς ἀθυμί-
40 ας, σατανικὸν εἶναι λέγων τὴν ἀμετρίαν, καὶ τοῦ διαβόλου πλεονεξίαν, καὶ τῆς ἐκείνου κακουρ-
γίας, καὶ τῶν πονηρῶν αὐτοῦ νοημάτων ἔργον· ὑπὲρ ὧν ἕτεροι πεπλημμελήκασι, καὶ ἕτεροι μέλλου-
σιν εὐθύνας ὑπέχειν, πῶς οὐκ ἐσχάτης ἀνοίας τε καὶ μανίας οὕτω κατακόπτεσθαι καὶ ἀλγεῖν,
ὡς καὶ σκότος ἄφατον ἐπάγειν τῇ διανοίᾳ, καὶ πολὺν τὸν θόρυβον καὶ τὴν σύγχυσιν καὶ ταραχὴν
καὶ ζάλην ἄφατον; εἰ δὲ πάλιν μοι τὰ αὐτὰ λέγεις, ὅτι βούλομαι μέν, οὐκ ἰσχύω δέ· πάλιν (γ. οὐ δύναμαι)

σοι καὶ ἐγὼ τὰ αὐτὰ ἐρῶ, ὅτι σκῆψις ταῦτα καὶ πρόφασις. καὶ γὰρ οἶδά σου τῆς φιλοσόφου
ψυχῆς τὰ νεῦρα. ἵνα δὲ καὶ ἑτέρωθεν εὐκολωτέραν σοι ποιήσω τὴν κατὰ τῆς ἀθυμίας ταύτης τῆς
ἀκαίρου καὶ ὀλεθρίου ἀντίστασίν τε καὶ νίκην, * τοῦτο πάλιν, ὅπερ ἐπέταττον, ποίει. ὅταν ἀκούσῃς
διηγουμένου τινὸς τὴν πανωλεθρίαν ταύτην, ἀποπήδα ταχέως ἀπὸ τῶν λογισμῶν τού-
των, καὶ τρέχε ἐπὶ τὴν ἔννοιαν τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς, καὶ ἀναλογίζου παρὰ σαυτῇ 5
τὸ βῆμα τὸ * φρικῶδες, τὸν δικαστὴν τὸν ἀδέκαστον, τοὺς ποταμοὺς τοῦ πυρὸς τοὺς παρὰ τοῦ
βήματος ἐκείνου συρομένους καὶ σφοδροτάτῃ κοχλάζοντας τῇ φλογί, τὰς ἠκονημένας ῥομ-
φαίας, τὰς ἀποτόμους τιμωρίας, τὴν κόλασιν τὴν οὐκ ἔχουσαν τέλος, τὸν ζόφον τὸν ἀφεγγῆ,
τὸ σκότος τὸ ἐξώτερον, τὸν σκώληκα τὸν ἰοβόλον, τὰ δεσμὰ τὰ ἄλυτα, τὸν βρυγμὸν τῶν ὀδόντων
καὶ τὸν κλαυθμὸν τὸν ἀπαραμύθητον, τὸ θέατρον τῆς οἰκουμένης, μᾶλλον δὲ τὸ θέατρον ἑκατέρας 10
τῆς κτίσεως, τῆς ἄνω, τῆς κάτω. Καὶ γὰρ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, φησίν.
Εἰ γὰρ καὶ μηδὲν ἑαυταῖς συνίσασι, μηδὲ μέλλουσιν ὑπέχειν εὐθύνας, ἀλλ' ἱδρῶσαι τὸ
γένος ἅπαν τῶν ἀνθρώπων καὶ τοὺς ἀπείρους δήμους κρινομένους, οὐκ ἀδεῶς ἐκεῖ παρεστήκα-
σι. τοσοῦτος ὁ φόβος τότε. ταῦτα τοίνυν ἐννόει, καὶ τοὺς ἀφύκτους ἐλέγχους. οὐδὲ γὰρ κατη-
γόρων δεῖται ἐκεῖ ὁ δικαστής, οὐ μαρτύρων, οὐδὲ ἀποδείξεων, οὐδὲ ἐλέγχων, ἀλλὰ πάντα, 15
ὡς ἐπράχθη, φέρει εἰς μέσον * παρὰ τῶν ὀφθαλμῶν τῶν πεπλημμεληκότων. τότε οὐδεὶς ὁ
παρεσόμενος καὶ ἐξαρπάσων τῆς τιμωρίας, οὐ πατήρ, οὐχ υἱός, οὐ θυγάτηρ, οὐ μήτηρ, οὐκ
ἄλλος τις συγγενής, οὐ γείτων, οὐ φίλος, οὐ συνήγορος, οὐ χρημάτων δόσις, οὐ πλούτου περιουσία,
οὐ δυναστείας ὄγκος· ἀλλὰ πάντα ταῦτα, ὥσπερ κόνις, ἐκποδὼν ἐλήλαται, καὶ μόνος ὁ κρινό-
μενος ἀπὸ τῶν αὐτῷ πεπραγμένων ἢ τὴν ἐλευθεροῦσαν, ἢ τὴν δικάζουσαν ὑπομένει ψῆφον. 20
τότε οὐδεὶς ὑπὲρ ὧν ἄλλος ἐπλημμέλησε κρίνεται, ἀλλ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἥμαρτε. ταύτ-
ην ἅπαντα συναγαγοῦσα, καὶ τὸν φόβον τοῦτον ἐξογκώσασα καὶ ἐπιτειχίσασα τῇ Σα-
τανικῇ καὶ ψυχοβλαβεῖ λύπῃ, οὕτως ἐν τῇ πρὸς αὐτὴν στῆθι παρατάξει· καὶ φανεῖσα μόνον, ἀθρό-
ως αὐτὴν εὐκολώτερον διασπάσαι καὶ ἀφανίσαι δυνήσῃ. αὕτη μὲν γάρ, μετὰ τοῦ μάταιος εἶναι
καὶ περιττή, καὶ ὀλέθριος σφόδρα καὶ βλαβερά· ἐκεῖνος δὲ καὶ ἀναγκαῖος ὁ φόβος, καὶ χρήσι- 25
μος, καὶ ἐπωφελής, καὶ πολὺ τὸ κέρδος ἔχων. ἀλλὰ γὰρ ἔλαθον ὑπὸ τῆς τοῦ λόγου ῥύμης πα-
ρασυρείς, καὶ οὐχ ἁρμόζουσάν σοι ταύτην ποιησάμενος τὴν παραίνεσιν. ἐμοὶ μὲν γὰρ καὶ τοῖς
κατ' ἐμὲ βεβαπτισμένοις ἁμαρτημάτων πλήθει ἀναγκαῖος ὁ λόγος οὗτος (φοβεῖ γὰρ καὶ δια-
νίστησι) σὲ δὲ ἐν τοσούτοις κατορθώμασι κομῶσαν, καὶ αὐτῆς ἤδη τῆς ἀψῖδος τῶν οὐρανῶν ἀψα-
μένην οὐδὲ ἁπλῶς νύττειν δύναιτ' ἄν. διὸ πρὸς ἑτέραν μεταστήσομαι μελῳδίαν πρὸς σὲ 30
διαλεγόμενος, καὶ ἑτέραν ἀνακρούσομαι νευράν, ἐπειδή σου οὗτος ὁ φόβος καθικέσθαι οὐ δύναται,
πλὴν ὅσον καὶ τῶν ἀγγέλων. μεταταξώμεθα τοίνυν, καὶ δεῦρο καὶ αὐτὴ μετάστηθι μετὰ τοῦ λό-
γου, καὶ ἀναλογίζου τῶν κατορθωμάτων σου τὰς ἀντιδόσεις, τὰ βραβεῖα τὰ λαμπρά, τοὺς
φαιδροὺς στεφάνους, τὴν μετὰ τῶν παρθένων χορείαν, τὰς παστάδας τὰς ἱεράς, τὸν νυμφῶνα
τῶν οὐρανῶν, τὴν μετὰ τῶν ἀγγέλων λῆξιν, τὴν πρὸς τὸν νυμφίον παρρησίαν καὶ ὁμιλίαν, τὴν 35
θαυμαστὴν δᾳδουχίαν ἐκείνην, τὰ ἀγαθὰ τὰ καὶ λόγον καὶ νοῦν ὑπερβαίνοντα. ἀλλὰ μή
μου τῶν λόγων ἐπιλάβῃ, εἰ καὶ εἰς τὸν χορὸν τῶν παρθένων σε κατέλεξα μετὰ τῶν ἁγίων ἐκεί-
νων ἐν χηρείᾳ βεβιωκυῖαν. ἤκουσας γάρ μου πολλάκις καὶ ἰδίᾳ καὶ δημοσίᾳ διαλεγομένου τίς
ποτέ ἐστι τῆς παρθενίας ὁ ὅρος· καὶ ὡς οὐκ ἂν κωλυθείη ποτὲ εἰς τὸν ἐκείνων καταλεγῆναι
χορόν, μᾶλλον δὲ καὶ ἐκείνας ὑπερβῆναι μετὰ πολλῆς τῆς περιουσίας, ἡ πολλὴν ἐν τοῖς ἄλ- 40
λοις ἐπιδειξαμένη φιλοσοφίαν. διά τοι τοῦτο καὶ ὁ Παῦλος ὅρον * παρθενίας τιθείς, οὐ τὴν
ἀπειρόγαμον καὶ ἀπηλλαγμένην συνουσίας ἀνδρὸς παρθένον ἐκάλεσεν, ἀλλὰ τὴν τὰ τοῦ
Κυρίου μεριμνῶσαν. καὶ αὐτὸς δὲ ὁ Χριστὸς δεικνύς, ὅσῳ μεῖζον παρθενίας ἐλεημοσύνη (ἧς
τὰ σκῆπτρα κατέχεις αὐτή, καὶ τὸν στέφανον ἀνεδήσω πάλαι) ἀπ' ἐκείνου μὲν τοῦ χοροῦ τὸ

ἥμισυ

Ματθ. κδ. κθ.

α. Κορ. ζ. λδ.

γρ. σκῆψις ταῦτα καὶ πρόφασις.
* καὶ
γρ. ἐκ
γρ. φρικῶδες καὶ
γρ. -σις
* καὶ
γρ. κατορθωμάτων σοι
γρ. τῶν οὐρανῶν
* ἀεὶ
γρ. Κύριος

ἥμισυ μέρος ἐξέβαλεν, ἐπὶ ταύτης εἰσῆλθον χωρίς· μᾶλλον δὲ ἐπὶ δαψιλῶς αὐτὴν οὐκ
ἐκέκτητο (καὶ γὰρ εἶχον ἔλαιον, ἀλλ' οὐκ ἀρκοῦν) αὗται δὲ χωρὶς παρθενίας εἰσελθοῦσαι,
ἐπὶ ταύτην ἦσαν περιβεβλημέναι, μετὰ πολλῆς ὑπεδέξατο τῆς τιμῆς, εὐλογημένους τε
τοῦ πατρὸς ὀνομάζων, καὶ πρὸς ἑαυτὸν καλῶν, καὶ τῆς βασιλείας τὴν κληρονομίαν αὐτοῖς χα-
5 ριζόμενος, καὶ ἐν μέσῃ ἀνακηρύττων τῇ οἰκουμένῃ· καὶ οὐ παρῃτήσατο, καὶ ἀγγέλων καὶ τῆς κτί-
σεως πάσης παρούσης, τροφέας τε αὐτοῦ καὶ ξενοδόχους αὐτοὺς προσειπεῖν. ταύτης καὶ αὐτὴ
ἀκούσῃ τότε τῆς μακαρίας φωνῆς, ταύτης" ἀπολαύσῃ τῆς ἀμοιβῆς μετὰ πολλῆς τῆς παρ-
ρησίας. εἰ δὲ ὑπὲρ ἐλεημοσύνης μόνον τοσαῦται αἱ ἀντιδόσεις, τοσοῦτοι οἱ στέφανοι, τοσαύτη
ἡ λαμπρότης, τοσαύτη ἡ περιφάνεια καὶ ἡ δόξα· εἰ καὶ τὰ ἄλλα τῆς ἀρετῆς ἐπέλθοιμι
10 "σου μέρη, ποίαν ἂν ἔχοις συγγνώμην, ὀφείλουσα ἐντεῦθεν ἤδη ἑορτὴν ἄγειν καὶ σκιρτᾶν καὶ
χορεύειν καὶ στεφανοῦσθαι, ἐπειδὴ ὁ δεῖνα ἐμάνη, καὶ ὁ δεῖνα κατὰ κρημνῶν ἦλθε, κατακόπτουσα
ἑαυτήν, καὶ εὔκολον κατὰ τῆς ἁγίας σου ψυχῆς τῷ διαβόλῳ ποιοῦσα τὴν "ἔφοδον, ὃν μέχρι
τήμερον καταξαίνουσα οὐκ ἐπαύσω; τί γὰρ ἄν τις εἴποι τὴν ὑπομονὴν τὴν" πολυειδῆ καὶ
πολύτροπον; καὶ πόσος ἡμῖν εἰς τοῦτο ἀρκέσει λόγος, πόσον δὲ ἱστορίας μέτρον, εἴ τις τὰ ἐκ
15 πρώτης * ἡλικίας μέχρι τοῦ νῦν παθήματά σου καταλέγοι, τὰ παρὰ τῶν οἰκείων, τὰ παρὰ
τῶν ἀλλοτρίων, τὰ παρὰ τῶν φίλων, τὰ παρὰ τῶν ἐχθρῶν, τὰ παρὰ τῶν γένει προση-
κόντων, τὰ παρὰ τῶν μηδαμόθεν προσηκόντων, τὰ παρὰ τῶν ἐν δυναστείαις, τὰ παρὰ τῶν
εὐτελῶν, τὰ παρὰ τῶν ἀρχόντων, τὰ παρὰ τῶν ἰδιωτῶν, τὰ παρὰ τῶν εἰς κλῆρον τε-
λούντων; τούτων γὰρ ἕκαστον εἴ τις διεξίοι, αὐτὸ καθ' ἑαυτὸ μόνον ἱστορίαν ὁλόκληρον ἱκανὸν ποι-
20 ῆσαι τὸ διήγημα. εἰ δέ τις καὶ πρὸς τὰ ἕτερα εἴδη τῆς ἀρετῆς μετασταίη, καὶ μηκέτι τὰ
παρ' * ἑτέρων, ἀλλὰ τὰ παρὰ σοῦ κατασκευασθέντα διηγήσαιτο πάθη, τίνα λίθον, τίνα σίδη-
ρον, ποῖον ἀδάμαντα οὐχ εὑρήσει νικηθέντα παρὰ σοῦ; ἁπαλὴν γὰρ οὕτω σάρκα λαβοῦσα
καὶ τρυφεράν, παντὶ εἴδει τρυφῆς συντραφεῖσαν, οὕτως αὐτὴν ποικίλοις ἐπολι-
όρκησας πάθεσιν, ὡς μηδὲν ἄμεινον τῆς νεκρωθείσης διακεῖσθαι νῦν· καὶ τοσοῦτον ἀνῆ-
25 ψας ἐν σαυτῇ νοσημάτων ἑσμόν, ὡς καὶ ἰατρῶν τέχνην, καὶ φαρμάκων δύναμιν,
καὶ πάντα ἐπιμελείας ἐλέγξαι τρόπον, καὶ διηνεκέσι συζῆν ὀδύναις. τὴν δὲ ἐπὶ τῆς
τραπέζης καρτερίαν τε καὶ ἐγκράτειαν, καὶ τὴν ἐν ταῖς νυξὶν εἴ τις βουληθείη διεξελθεῖν,
πόσων δεήσεται λόγων; μᾶλλον δὲ οὐδὲ εἴασας αὐτὴν ἐγκράτειαν καλεῖσθαι λοιπόν, οὐδὲ
καρτερίαν ἐπὶ σοῦ, ἀλλ' ἕτερον ὄνομα ταύταις ἡμῖν ζητητέον ταῖς ἀρεταῖς πολλῷ μεῖζον. καὶ
30 γὰρ ἐγκρατεύεσθαι ἐκεῖνόν φαμεν καὶ καρτερεῖν, τὸν ὑπό τινος ἐπιθυμίας ἐνοχλούμενον καὶ
κρατοῦντα ταύτης· σὺ δὲ οὐκ ἔχεις ὅτου κρατήσεις. πολλῇ γὰρ τῇ ῥύμῃ παρὰ τὴν ἀρ-
χὴν πηδήσασα κατὰ τῆς σαρκός, ἔσβεσας αὐτῆς τὰς ἐπιθυμίας ταύτας, οὐ χαλινώσασα τὸν
ἵππον, ἀλλὰ συμποδίσασα καὶ χαμαὶ ῥίψασα, καὶ ποιήσασα μένειν ἀκίνητον· καὶ τότε μὲν ἐγ-
κράτειαν κατορθώσασα, νῦν δὲ ἀπάθειαν λοιπόν. οὐ γὰρ διενοχλεῖ τρυφῆς ἐπιθυμία, καὶ πό-
35 νον ἔχεις ὥστε αὐτῆς κρατῆσαι· ἀλλὰ καθάπαξ αὐτὴν ἀφανίσασα, καὶ ἄβατον αὐτῇ τὴν
σάρκα ποιήσασα, τοσοῦτον ἀπολαύειν σίτου καὶ ποτοῦ τὴν γαστέρα ἐπαίδευσας, ὅσον μὴ ἀποθα-
νεῖν καὶ δίκην δοῦναι. διά τοι τοῦτο οὐ νηστείαν οὐδὲ ἐγκράτειαν τοῦτο καλῶ, ἀλλ' ἕτερόν τι τούτου
μεῖζον. τοῦτο καὶ ἐπὶ τῆς ἀγρυπνίας σου τῆς ἱερᾶς ἔστιν ἰδεῖν. καὶ γὰρ ἡ τοῦ καθεύδειν ἐπιθυ-
μία, ἐκείνης σβεσθείσης, συγκατεσβέσθη. τροφὴ γὰρ ὕπνου, σιτία. καὶ ἑτέρῳ δὲ αὐτὴν κα-
40 τέλυσας τρόπῳ, ἐξ ἀρχῆς μὲν καὶ αὐτὴν βιασαμένη τὴν φύσιν, καὶ ὁλοκλήρους νύκτας ἀΰ-
πνους διάγουσα, ὕστερον δὲ τῇ συνεχεῖ συνηθείᾳ καὶ εἰς φύσιν ἀγαγοῦσα τὸ πρᾶγμα.
ὥσπερ γὰρ τοῖς ἄλλοις κατὰ φύσιν τὸ καθεύδειν, οὕτω σοὶ τὸ ἐγρηγορέναι. θαυμαστὰ μὲν οὖν
ταῦτα καὶ ἐκπλήξεως γέμοντα καὶ καθ' ἑαυτά· εἰ δέ τις καὶ τὸν καιρὸν ἐξετάσειεν, ὅτι ἐν ἀώ-
ρῳ ἡλικίᾳ ταῦτα κατορθοῦτο, καὶ τὴν ἐρημίαν τῶν διδαξάντων, καὶ τὸ πλῆθος τῶν σκανδα-
λιζόντων,

Ματθ κε. λδ.

γ. σοῖς

γ. σοι

γ. ἔπαθεν

γ. ποικίλην

* σου

* παρ

λιζόντων, καὶ ὅτι ἐν ψυχῇ ἐξ ἀσεβοῦς οἴκου νῦν αὐτομολησάσῃ πρὸς τὴν ἀλήθειαν, καὶ ὅτι (γρ. οἰκίας)
ἐν σώματι γυναικείῳ τε καὶ ἄλλως ἁπαλῷ διὰ τὴν τῶν προγόνων περιφάνειαν καὶ τὴν τρυ-
φήν· πόσα πελάγη θαυμάτων εὑρήσει καθ᾽ ἕκαστον τούτων ἀνοιγόμενα; διά τοι τοῦτο τῶν
ἄλλων οὐδὲ ἐπιμνησθήσομαι, τῆς ταπεινοφροσύνης, τῆς ἀγάπης, τῶν λοιπῶν ἀρετῶν τῆς
ἁγίας σου ψυχῆς. καὶ γὰρ μόνον, ὡς ἐμνήσθην, τούτων καὶ τὰς προσηγορίας εἶπον, * μυρίας 5 (* καὶ) (γρ. μυ)
ἀνέβλυσέ μοι πάλιν ἡ διάνοια πηγάς, καὶ βιάζεται καὶ τούτων εἰπεῖν, ὡς τῆς προτέρας,
κἂν ἐκ μέρους τὰ εἴδη, μᾶλλον δὲ τὰς ὑποθέσεις [ἐπίσταμαι] μόνον. ἐκεῖνο γὰρ σφόδρα
ἄπειρον ἐπιζητεῖ λόγον. ἀλλ᾽ οὐκ ἀνεξόμεθα, ὥστε μὴ τῆς ὑποθέσεως ἐκπεσεῖν, ἣν προ-
ειλόμην κατορθῶσαι, εἰς ἄπειρον ἐξενεχθεὶς πέλαγος. ἐπεὶ εἰ μὴ τοῦτο προὔκειτό μοι
νῦν, τὸ πρόῤῥιζον τὴν ἀθυμίαν ἀπὸ σοῦ ἀνασπάσαι, ἡδέως τούτοις ἐνδιέτριβον τοῖς λόγοις, καὶ 10
πελάγους ἄπειρον ἔπλεον, μᾶλλον δὲ πελάγη, ἑκάστης σου ἀρετῆς τὰς πολυσχιδεῖς ἀνατέμ-
νων ὁδούς, ὧν ἑκάστη ὁδὸς πέλαγος ἔτικτε πάλιν κἂν τῇ ὑπομονῇ, κἂν τῇ ταπεινοφροσύνῃ καὶ
ἐλεημοσύνῃ τῇ πολυειδεῖ καὶ πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἁπλωθείσῃ, κἂν τῇ ἀ-
γάπῃ τῇ μυρίας νικώσῃ καμίνους, κἂν τῇ συνέσει τῇ ἀπείρῳ καὶ πολλῆς γεμούσῃ χάριτος καὶ
τὰ μέτρα τῆς φύσεως ὑπερβάσῃ. τὰ δὲ κατορθώματα τὰ ἐντεῦθεν τεχθέντα εἴ τις βού- 15
λοιτο ἐπιέναι, ταὐτὸν ποιήσει, οἷον ἂν εἴ τις καὶ τὰ κύματα τῆς θαλάττης ἀριθμεῖν ἐπιχει-
ροίη. διὸ τὰ ἄπειρα ταῦτα παραδραμὼν πελάγη, τὸν λέοντα ἀπὸ τοῦ ὄνυχος δεῖξαι πει-
ρασόμεθα, ὀλίγα ἄττα περὶ τῆς στολῆς σου διαλεχθείς, περὶ τῶν ἁπλῶς καὶ εἰκῇ σοι περι-
κειμένων ἱματίων. τῶν μὲν γὰρ ἄλλων ἔλαττον εἶναι δοκεῖ τὸ κατόρθωμα· εἰ δέ τις ἀκριβῶς
αὐτὸ ἐξετάσειε, σφόδρα εὑρήσει μέγα τε ὑπάρχον, καὶ φιλοσόφου δεόμενον ψυχῆς καὶ τὰ βιω- 20
τικὰ ἅπαντα καταπατούσης, καὶ πρὸς αὐτὸν ἱπταμένης τὸν οὐρανόν. διόπερ οὐκ ἐν τῇ και- (γρ. αὐτὸ)
νῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ παλαιᾷ, ὅτε διὰ σκιᾶς καὶ τύπου τὸ τῶν ἀνθρώπων ὁ Θεὸς ἦγε
γένος, καὶ σωματικώτερον τὰ τῆς πολιτείας ἐῤῥύθμιζεν, καὶ περὶ τῶν οὐρανίων οὐδεὶς οὐδέ-
πω λόγος ἦν, οὐδὲ μελλόντων μνήμη, οὐδὲ τῆς νῦν κατεχούσης φιλοσοφίας αἴνιγμα, (γρ. αἰνίγματα)
ἀλλὰ παχύτερόν πως καὶ σαρκικώτερον οἱ νόμοι τοῖς Ἑβραίοις ἐγράφοντο, μετὰ πολλῆς 25
τῆς σφοδρότητος τὴν ἐν τοῖς ἱματίοις ἀπαγορεύων φιλοκοσμίαν, ταῦτα διὰ τοῦ προ-
φήτου φησί· Τάδε λέγει Κύριος ἐπὶ τὰς ἀρχούσας θυγατέρας Σιών· ἀνθ᾽ ὧν ὑψώθη- (Ἡσ. γ. ιϛ.)
σαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν * ὑψηλῷ τραχήλῳ καὶ νεύμασιν ὀφθαλμῶν, καὶ (γρ. αὐτῶν, * ἐν)
τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι, ταπεινώσει Κύριος
τὰς ἀρχούσας θυγατέρας Σιών, καὶ ἀνακαλύψει τὸ σχῆμα αὐτῶν, καὶ ἀφελεῖ τὴν δόξαν τοῦ 30
ἱματισμοῦ αὐτῶν. καὶ ἔσται σοι ἀντὶ ὀσμῆς ἡδείας κονιορτός, καὶ ἀντὶ ζώνης σχοινίῳ ζώσῃ, καὶ ἀν-
τὶ τοῦ κόσμου τῆς κεφαλῆς σου φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου, ἀντὶ δὲ τοῦ χιτῶνος τοῦ με-
σοπορφύρου περιζώσῃ σάκκον· ταῦτά σοι ἀντὶ καλλωπισμοῦ. εἶδες ὀργὴν ἄφατον, εἶ-
δες κόλασιν καὶ τιμωρίαν σφοδροτάτην; εἶδες αἰχμαλωσίαν ἐπιτεταμένην; ἐκ τούτου
στοχάζου τοῦ ἁμαρτήματος τὸ μέγεθος. οὐ γὰρ ἂν σφοδροτάτην οὕτως ἐπήγαγε τιμωρί- 35
αν ὁ φιλάνθρωπος ποτε, μὴ τῆς ἁμαρτίας τῆς ἐπισπωμένης αὐτὴν πολὺ μείζονος οὔ- (γρ. τότε)
σης. εἰ δὲ τὸ ἁμάρτημα μέγα, εὔδηλον ὅτι καὶ τὸ κατόρθωμα μέγιστον τὸ ἀπεναντίας ἑστηκὸς
τούτῳ. διά τοι τοῦτο καὶ βιωτικαῖς γυναιξὶ διαλεγόμενος ὁ Παῦλος, οὐ μόνον τοῦ χρυσοφο- (α. Τιμ. β. θ.)
ρεῖν αὐτὰς ἀπάγει, ἀλλ᾽ οὐδὲ ἱμάτια πολυτελῆ περικεῖσθαι ἀφίησιν. οἶδε γάρ, οἶδε σαφῶς,
ὅτι χαλεπὸν τοῦτο ψυχῆς νόσημα καὶ δυσκαταγώνιστον, καὶ γνώμης διεφθαρμένης δεῖγμα μέγι- 40
στον, καὶ σφόδρα φιλοσόφου δεόμενον ψυχῆς. καὶ δηλοῦσιν οὐχ αἱ βιωτικαὶ γυναῖκες μόνον καὶ ἀν-
δράσιν ὁμιλήσασαι, ὧν οὐδεμία ῥᾳδίως ταύτης ὑπέχει τῆς παραινέσεως, ἀλλὰ καὶ αἱ φι- (γρ. γνώμης)
λοσοφεῖν δοκοῦσαι, καὶ εἰς τὸν τῆς παρθενίας τελοῦσι χορόν. πολλαὶ γὰρ τούτων πρὸς τυραν-
νίδα φύσεως ἀποδυσάμεναι, καὶ καθαρῶς τὸν τῆς παρθενίας διανύσασαι δρόμον, καὶ ἀγ-

γελικὴν

γελικὴν ἐν τούτῳ μιμούμεναι πολιτείαν, καὶ ἐν θνητῷ σώματι τὰ τῆς ἀναστάσεως ἐπιδεικνύμεναι προοίμια (Ἐν γὰρ τῷ αἰῶνι ἐκείνῳ, φησὶν, οὔτε γαμοῦσιν, οὔτε ἐκγαμίσκονται) καὶ πρὸς τὰς ἀσωμάτους δυνάμεις θέμεναι τὴν ἅμιλλαν, καὶ πρὸς τὴν ἀφθαρσίαν ἐν φθαρτῷ σώματι φιλονεικοῦσαι, καὶ, ὃ πολλοῖς οὐδὲ ἀκοῦσαι φορητὸν, διὰ τῶν ἔργων κατορθοῦσαι, καὶ καθάπερ λυττῶντα κύνα καὶ συνεχῶς ἐπιπηδῶντα τὴν ἐπιθυμίαν διακρουόμεναι, καὶ μαινομένην θάλατταν καταστέλλουσαι, καὶ ἐν ἀγρίοις κύμασι μετὰ γαλήνης πλέουσαι, καὶ ταραττομένου σφοδρῶς τοῦ πελάγους ἐξ οὐρίας φερόμεναι, καὶ ἐν καμίνῳ φυσικῆς ἐπιθυμίας ἑστῶσαι καὶ μὴ κατακαιόμεναι, ἀλλ' ὡς πηλὸν τοὺς ἄνθρακας τούτους καταπατοῦσαι, ὑπὸ τῆς ἐπιθυμίας ταύτης ἑάλωσαν αἰσχρῶς πάνυ καὶ ἐλεεινῶς, καὶ τὰ μείζονα δυνηθεῖσαι ὑπὸ τούτου κατηγωνίσθησαν. Τοσοῦτον γάρ ἐστιν ἡ παρθενία πρᾶγμα, καὶ τοσούτου δεῖται τοῦ πόνου, ὅτι κατελθὼν ὁ Χριστὸς ἐξ οὐρανοῦ ἵνα τοὺς ἀνθρώπους ἀγγέλους ποιήσῃ, καὶ τὴν ἄνω πολιτείαν ἐνταῦθα καταφυτεύσῃ, οὐδὲ τότε ἐθάρρησεν ἐπιτάξαι τοῦτο, οὐδὲ εἰς νόμου αὐτὸ τάξιν ἀγαγεῖν, ἀλλ' ἀποθνήσκειν μὲν ἐνομοθέτησεν, οὗ τί βαρύτερον γένοιτ' ἄν; καὶ σταυροῦσθαι διηνεκῶς, καὶ τοὺς ἐχθροὺς εὐεργετεῖν, παρθενεύειν δὲ οὐκ ἐνομοθέτησεν, ἀλλ' ἀφῆκεν ἐν τῇ τῶν ἀκουόντων κεῖσθαι προαιρέσει εἰπών· Ὁ δυνάμενος χωρεῖν χωρείτω. καὶ γὰρ μέγας ὁ ὄγκος τοῦ πράγματος, καὶ ἡ δυσκολία τῶν παλαισμάτων τούτων, καὶ ὁ ἱδρὼς τῶν ἀγώνων, καὶ σφόδρα ἀπόκρημνον τοῦτο τῆς ἀρετῆς τὸ χωρίον. καὶ τοῦτο δηλοῦσι καὶ οἱ ἐν τῇ παλαιᾷ πολλὰ κατορθώσαντες. καὶ γὰρ Μωϋσῆς ἐκεῖνος ὁ μέγας, τῶν προφητῶν τὸ κεφάλαιον, ὁ γνήσιος τῷ Θεῷ φίλος, ὁ τοσαύτης ἀπολαύσας παρρησίας, ὡς ἑξακοσίας χιλιάδας ὑπευθύνους γενομένας κολάσει ἐξαρπάσαι θεηλάτου πληγῆς, οὗτος ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ θαλάττῃ μὲν ἐπέταξε, καὶ πέλαγος ἔσχισε, καὶ πέτρας διέρρηξε, καὶ ἀέρα μετέβαλε, καὶ τὸ Νειλῷον ὕδωρ εἰς αἷμα μετέστρεψε, καὶ βατράχων καὶ ἀκρίδων στρατόπεδον ἐπετείχισε τῷ Φαραώ, καὶ πᾶσαν τὴν κτίσιν μετεστοιχείωσε, καὶ μυρία ἕτερα ἐπεδείξατο θαύματα* (καὶ γὰρ ἐξ ἑκατέρου μέρους ἔλαμψε) πρὸς δὲ τοὺς ἀγῶνας τούτους οὐδὲ ἀντιβλέψαι ἴσχυσεν, ἀλλ' ἐδεήθη γάμου, καὶ ὁμιλίας γυναικὸς, καὶ τῆς ἐντεῦθεν ἀσφαλείας, καὶ οὐκ ἐτόλμησεν εἰς τὸ τῆς παρθενίας πέλαγος ἑαυτὸν ἐκδοῦναι, τὰ ἐκεῖθεν κύματα δεδοικώς. καὶ ὁ πατριάρχης δὲ ὁ τοῦ παιδὸς ἱερεὺς τὸ μὲν τυραννικώτατον τῆς φύσεως καταπαλαῖσαι ἴσχυσε πάθος, καὶ παῖδα ἀνελεῖν ἠδυνήθη, καὶ παῖδα τὸν Ἰσαὰκ, ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει, ἐν αὐτῇ τῆς νεότητος τῇ ἀκμῇ, μονογενῆ, γνήσιον, καὶ παρὰ ἐλπίδα αὐτῷ πᾶσαν δεδομένον, καὶ ἔτι αὐτῷ σαλεύων μόνῳ*, καὶ ἐν ἐσχάτῳ γήρᾳ, καὶ ἀρετῇ κομῶντα πολλῇ, καὶ ἀναγαγεῖν αὐτὸν ἐπὶ τὸ ὄρος ἴσχυσεν ἐπὶ τοιαύτῃ μέλλων αὐτὸν πράξει, καὶ θυσιαστήριον ᾠκοδόμησε, καὶ ξύλα συνέθηκε, καὶ τὸ ἱερεῖον ἐπέθηκε, καὶ μάχαιραν ἥρπασε, καὶ διὰ τοῦ λαιμοῦ τοῦ παιδὸς τὸ ξίφος ὤθησε, * καὶ ἠμάξεν ὁ ἀδάμας ἐκεῖνος, μᾶλλον δὲ καὶ ἀδάμαντος στερρότερος (ὁ μὲν γὰρ ἐν τῇ φύσει τοῦτο κέκτηται· οὗτος δὲ διὰ τῆς κατὰ προαίρεσιν φιλοσοφίας φυσικὴν ἐμιμήσατο στερρότητα, καὶ ἀγγέλων ἀπάθειαν διὰ τῶν ἔργων ἐπεδείξατο) ἀλλ' ὅμως ὁ τοσοῦτον καὶ τηλικοῦτον ἰσχύσας διανύσαι ἆθλον, καὶ αὐτῆς ἐξελθεῖν τῆς φύσεως, πρὸς τοὺς ἀγῶνας τῆς παρθενίας ἀποδύσασθαι οὐκ ἐτόλμησεν, ἀλλ' ἔδεισε καὶ αὐτὸς τὰ σκάμματα ταῦτα, καὶ τὴν ἀπὸ τοῦ γάμου παραμυθίαν ἐπεσπάσατο. Βούλει παραθῶ καὶ τὸν Ἰὼβ τοῖς εἰρημένοις, τὸν δίκαιον, τὸν ἀληθινὸν, τὸν θεοσεβῆ, τὸν ἀπεχόμενον ἀπὸ παντὸς πονηροῦ πράγματος; οὗτος ὁ Ἰὼβ συνέκοψε τοῦ διαβόλου τὴν ὄψιν παιόμενος οὐ παίων, ἐκένωσεν αὐτοῦ τὴν βελοθήκην ἅπασαν κατατοξευόμενος παρ' αὐτοῦ συνεχῶς, ἅπαν ὑπέμεινε πειρασμῶν εἶδος, καὶ ἕκαστον μεθ' ὑπερβολῆς ἁπάσης. τὰ γὰρ δοκοῦντα εἶναι κατὰ τὸν βίον λυπηρὰ,* ταῦτα μάλιστα πάντων ἐστὶ, πενία, καὶ νόσος, καὶ παίδων ἀποβολὴ, καὶ ἐχθρῶν ἐπανάστασις, καὶ φίλων ἀγνωμοσύνη, καὶ λιμὸς, καὶ σαρκὸς ὀδύναι διηνεκεῖς,

Marginalia: γρ. ἐστί. — Λουκ. κ. λε. — γρ. οὐρανῶν — Ματθ. ιθ. ιϛ. — * καὶ ἀρετῆς δὲ πολλὰ κατορθώματα γρ. ἴσχυσεν — * τὰς ἐλπίδας, — * καὶ ξίφος ὤθησε, — γρ. τῶν — * καὶ ὄντα.

καὶ λοιδορίαν, καὶ συκοφαντίαν. καὶ τὸ πονηρὰν κτήσασθαι ὑπόληψιν· καὶ ταῦτα ἅπαντα
εἰς ἓν ἐξεχύθη σῶμα, καὶ μιᾶς κατεσκεδάσθη ψυχῆς· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ἀ-
μελετήτῳ ὄντι ἐπέθετο. ὃ δὲ λέγω τοιοῦτόν ἐστιν· ὁ ἐκ πενήτων τραφεὶς καὶ ἐν οἰκίᾳ τοιαύτῃ
τραφεὶς, ἅτε γεγυμνασμένος καὶ μελετήσας, ῥᾳδίως ἂν ἐνέγκοι τῆς πενίας τὸ βάρος· ὁ δὲ
τοσούτοις περιρρεόμενος χρήμασι, καὶ τοσούτῳ πλούτῳ κομῶν, εἶτα ἀθρόον εἰς τὸ ἐναν-
τίον μεταπεσὼν, οὐκ ἂν εὐκόλως ὑπομείνῃ τὴν μεταβολήν. καὶ γὰρ ἀγυμνάστῳ ὄντι
χαλεπωτέρα φαίνεται ἀθρόον προσπεσοῦσα. πάλιν ὁ ἄσημος καὶ ἐξ ἀσήμων* γενόμε-
νος, καὶ ἐν τῷ διηνεκῶς καταφρονεῖσθαι ζῶν, οὐκ ἂν σφόδρα λοιδορούμενος καὶ ὑβριζόμε-
νος ταραχθείη· ὁ δὲ τοσαύτης ἀπολαύσας δόξης, καὶ παρὰ πάντων δορυφορούμενος, καὶ ἐν
τοῖς ἁπάντων στόμασιν ὢν καὶ πανταχοῦ μετὰ πολλῆς ἀνακηρυττόμενος τῆς περιφανείας, εἰς
ἀτιμίαν καὶ εὐτέλειαν κατενεχθεὶς, τὸ αὐτὸ ἂν πάθοι τῷ ἀπὸ πλουσίου ἀθρόον γενομένῳ
πένητι. ὁ παῖδας ἀποβαλὼν πάλιν, κἂν ἅπαντας ἀποβάλῃ, μὴ ἐν ἑνὶ δὲ καιρῷ, οὗτος λει-
πομένους ἔχει τὴν ἀπελθόντων παραμυθίαν· ἢ τῆς ἐπὶ τῷ προτέρῳ τελευτῆς τοῦ πάθους
λήξαντος, ἂν ἡ τοῦ δευτέρου προσγένηται μετὰ χρόνον, τοῦτο αὐτῷ προσεπιτείνει τὸ πά-
θος. οὐ γὰρ νεαρῷ ὄντι ἔπεισι τῷ ἕλκει, ἀλλὰ κοιμηθέντι ἤδη καὶ ἀφανισθέντι, ὅπερ οὐκ ὀ-
λίγον ὑποτέμνεται τῆς ὀδύνης· οὗτος δὲ ὁλόκληρον αὐτῷ τὸν χορὸν εἶδεν ἐν μιᾷ ἀναρπα-
σθέντα καιροῦ ῥοπῇ, καὶ τούτῳ πικροτάτῳ τελευτῆς. καὶ γὰρ καὶ βίαιος καὶ ἄωρος ὁ θάνατος ἦν· καὶ
ὁ καιρὸς δὲ καὶ ὁ τόπος οὐ μικρὰν ἐποιεῖτο τῷ πένθει προσθήκην. καὶ γὰρ ἐν ὥρᾳ συμποσίου, καὶ
ἐν οἰκίᾳ τῇ τοῖς ξένοις ἀνεῳγμένῃ, καὶ τάφος αὐτοῖς ὁ οἶκος ἐγένετο. τί ἂν τις εἴποι τὸν λιμὸν ἐκεί-
νου τὸν καινότερον καὶ ἑρμηνευθῆναι μὴ δυνάμενον, πότερον ἀκούσιον, ἢ ἑκούσιον; οὐ γὰρ οἶδα πῶς
αὐτὸν καλέσω· οὐδὲ γὰρ εὑρίσκω ὄνομα ἐπιθεῖναι τῷ παραδόξῳ τῆς συμφορᾶς εἴδει. καὶ
γὰρ παρακειμένης ἀπείχετο τῆς τραπέζης, καὶ ὁρωμένων οὐχ ἥπτετο τῶν σιτίων. τὴν γὰρ
περὶ τὸ σῶμα τραυμάτων ἡ δυσωδία προσαπαντῶσα κατέλυε τὴν ἐπιθυμίαν, καὶ αὐτὴν
ἐνεπίμπλη τὴν τράπεζαν τῆς ἀηδίας. καὶ τοῦτο δηλῶν ἔλεγε· Βρόμον γὰρ ὁρῶ τὰ σιτία μου.
καὶ ἡ μὲν ἀνάγκη τοῦ λιμοῦ τῶν προκειμένων ἅπτεσθαι ἐβιάζετο· ἡ δὲ τῆς δυσωδίας ὑπερ-
βολὴ τῆς ἐκ τῶν σαρκῶν γινομένης ἐνίκα τοῦ λιμοῦ τὴν βίαν. διὰ δὴ τοῦτο εἶπον, οὐκ ἔ-
χω πῶς αὐτὸν καλέσω. ἑκούσιον; ἀλλ' ἐβούλετο ἀπογεύσασθαι τῶν προκειμένων· ἀλλ' ἀ-
κούσιον; ἀλλὰ παρῆν τὰ σιτία, καὶ οὐδεὶς ὁ κωλύων ἦν. πῶς ἂν διηγησαίμην τὰς ὀδύνας,
τὰς πηγὰς τῶν σκωλήκων, τὸν ἰχῶρα τὸν καταρρέοντα, τὰ ὀνείδη τῶν φίλων, τὴν καταφρό-
νησιν τῶν οἰκετῶν (Οὐ γὰρ ἐφείσαντό μου, φησὶν, οἱ οἰκέται μου ἀπὸ προσώπου ἐμπτυσ-
μάτων) τοὺς ἐπεμβαίνοντας, τοὺς ἐφαλλομένους; Οὓς γὰρ οὐχ ἡγησάμην, φησὶν, ἀξίους εἶναι
κυνῶν τῶν ἐμῶν νομάδων, οὗτοι νῦν ἐπιπεπτώκασί μοι, καὶ νουθετοῦσί με ἐλάχιστοι. οὐ δοκεῖ σοι
ταῦτα ἅπαντα χαλεπὰ εἶναι; καὶ γὰρ ἐστὶ χαλεπά. εἴπω δὲ κεφάλαιον τῶν κακῶν, τὸν κο-
λοφῶνα τῆς συμφορᾶς, τὸν μάλιστα ἄγχοντα αὐτὸν, τὸν χειμῶνα τῶν θορύβων τῶν ἐν τῷ λογισ-
μῷ γινομένων αὐτῷ; οὗτος μάλιστα ἦν ὁ ἀποπνίγων αὐτὸν καὶ ἀφόρητος, τὸ συνειδὸς αὐτοῦ τὸ
καθαρόν. τοῦτο μάλιστα ἐποίει τὴν ἔνδον ζάλην, καὶ ἐσκότου τὸν λογισμὸν, καὶ τὸν κυβερνήτην
ἐτάραττεν. οἱ μὲν γὰρ ἑαυτοῖς συνειδότες ἁμαρτήματα πολλὰ, κἂν πάθωσί τι δεινὸν, ἔ-
χουσι κἂν τὸν λόγον εὑρεῖν τῶν γινομένων, τὰς ἁμαρτίας τὰς ἑαυτῶν ἀναλογιζόμενοι, καὶ λύον-
τες τὴν ἐπὶ τῇ ἀπορίᾳ ταραχήν. πάλιν οἱ μηδὲν ἑαυτοῖς συνειδότες, ἀλλὰ καὶ κατορθώμα-
σι κομῶντες, ἂν πάθωσί τι τοιοῦτον, τὸν περὶ τῆς ἀναστάσεως εἰδότες λόγον, καὶ τὰς ἀμοιβὰς
ἐννοοῦντες ἐκείνας, οἴδασιν ὅτι ἆθλοι τὰ συμβαίνοντα, καὶ μειζόνων στεφάνων ὑπόθεσις· οὗ-
τος δὲ καὶ δίκαιος ὢν, καὶ περὶ ἀναστάσεως *ἐπιστάμενος οὐδὲν, ταύτῃ μάλιστα ἐκλυδωνίζετο,
οὐκ εἰδὼς τὴν αἰτίαν ὧν ἔπασχε, καὶ τῶν σκωλήκων καὶ τῶν ὀδυνῶν, ὑπὸ τῆς ἀπορίας
ταύτης μᾶλλον κεντούμενος. καὶ ἵνα μάθῃς ὅτι ταῦθ' οὕτως ἔχει, ὅτε κατηξίωσεν ὁ φιλάν-
θρωπος

Ἰωβ. ς. ζ.
Ἰωβ. λ. ι.
Ἰωβ. λ. α.

γ. ἐκ τῶν
* γονέων
ἴσ. καὶ ἐπὶ τῇ τοῦ προτέρου τελευτῇ τοῦ πάθ. λήξ.
γ. ἁπτομένης
γ. σιτία
γ. γεύσασθαι
γ. πληγάς
γ. ἐλάχιστοι
γ. ἆθλοι
* οὐκ
γ. οὐχ ὑπὸ σκωλ. καὶ τ. ὀδ. ἢ ὑπὸ

θρωπος Θεὸς εἴποι ἂν αὐτῷ τῶν ἀγώνων τούτων τὴν αἰτίαν, ὅτι ἵνα δίκαιος ἀναφανῇς ταῦτα
συνεχωρήθη, οὕτως ἀνέπνευσεν, ὡς μηδὲ πεπονθώς τι τῶν λυπηρῶν ἐκείνων. καὶ τοῦτο
ἐξ ὧν * ἐφθέγξατο ἐδήλωσεν. ἀλλ᾽ ὅμως καὶ πρὶν ἢ μαθεῖν τὴν αἰτίαν, ὠδύνατο μὲν, ἔφε-
ρε δὲ γενναίως, καὶ μετὰ τὸ πάντα ἀποβαλεῖν τὴν θαυμασίαν ἐκείνην ἀφῆκε φωνήν· Ὁ Κύ-
ριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα Κυ-
ρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ἀλλὰ γὰρ ἔοικα ὑπὸ τοῦ ἔρωτος τοῦ ἀνδρὸς "κατεχόμε-
νος, πορρωτέρω τῆς ὑποθέσεως ἐληλακέναι τῆς προκειμένης. διὸ ὀλίγα προσθεὶς ἅψομαι
τῶν προκειμένων πάλιν. ἐστὶ τοίνυν ὁ "τοιοῦτος καὶ τηλικοῦτος ἀνὴρ, ὁ τοσαύτας ἀνάγκας
φύσεως καταπατήσας οὐκ ἐτόλμησεν οὐδὲ ἴδιος εἰς τὸν ἀγῶνα τοῦτον καθεῖναι, ἀλλὰ καὶ
γυναικὸς ἀπήλαυσε, καὶ πατὴρ ἐγένετο παίδων τοσούτων. τοσαύτη τῆς παρθενίας ἡ δυσκο-
λία, οὕτως ὑψηλοὶ καὶ μεγάλοι αὐτῆς οἱ ἀγῶνες, καὶ χαλεποὶ οἱ ἱδρῶτες, καὶ πολλῆς δεόμε-
νοι τῆς εὐτονίας. ἀλλ᾽ ὅμως πολλαὶ τὴν πρὸς τὸν ἀγῶνα τοῦτον ἀποδυσαμένων ἐκεῖνο οὐ
κατηγωνίσαντο τὸ πάθος, τὸ τοῦ καλλωπισμοῦ τῆς περιβολῆς τῶν ἱματίων, ἀλλ᾽ ἑάλωσαν καὶ
ἐχειρώθησαν καὶ τῶν βιωτικῶν γυναικῶν μᾶλλον. μὴ γάρ μοι τοῦτο λέγε, ὅτι χρυσίον οὐ περί-
κεινται, οὐδὲ σηρικὰ καὶ χρυσόπαστα περιβέβληνται ἱμάτια, οὐδὲ περιδέρραια λιθοκόλλητα
ἔχουσι. τὸ γὰρ χαλεπώτερον μάλιστα πάντων τοῦτό ἐστι, καὶ ὃ μεθ᾽ ὑπερβολῆς δείκνυσιν αὐτῶν
τὸ νόσημα καὶ τοῦ πάθους τὴν τυραννίδα, ὅτι ἴσχυσαν καὶ ἐφιλονείκησαν καὶ ἐβιάσαντο, δι᾽ εὐτε-
λῶν ἱματίων ἐκείνων ὑπερακοντίσαι τὸν καλλωπισμὸν τῶν τὰ χρυσᾶ "περικειμένων καὶ τὰ
ἱμάτια τὰ σηρικά, καὶ ἐπέραστοι μᾶλλον ἐντεῦθεν αὐτῶν φανῆναι, ὡς μὲν αὗται νομίζουσιν, ἀ-
διάφορόν τι μετιοῦσαι πρᾶγμα· ὡς δὲ ἡ τοῦ πράγματος φύσις δείκνυσιν, ὀλέθριον καὶ βλα-
βερὸν καὶ βαθὺ τὸ βάραθρον ἔχον. διὸ μυρίοις στόμασιν ἀνακηρύττειν σε χρὴ ταύτης ἕνεκεν τῆς
ὑποθέσεως, ὅτι ὃ παρθένοις γέγονε δυσκαταγώνιστον, τοῦτο τῇ ἐν χηρείᾳ ζώσῃ οὕτω ῥᾴδιον καὶ
εὔκολον, ὡς αὐτὴ τῶν πραγμάτων ἔδειξεν ἡ ἀλήθεια. οὐδὲ γὰρ τὴν εὐτέλειαν θαυμάζω τῆς περιβο-
λῆς μόνον τὴν ἄφατον καὶ αὐτοὺς τοὺς προσαιτοῦντας ὑπερακοντίζουσαν, ἀλλὰ καὶ τὸ ἀσχη-
μάτιστον μάλιστα, τὸ ἀνεπιτήδευτον τῶν περιβλημάτων, τῶν ὑποδημάτων, τῆς βαδίσεως·
ἅπερ ἅπαντα χρώματά ἐστι τῆς ἀρετῆς τὴν ἐναποκειμένην τῇ ψυχῇ φιλοσοφίαν ἔξω-
θεν "ἀναζωγραφοῦντα. Στολισμὸς γάρ, φησιν, ἀνδρὸς καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀ-
ναγγελεῖ τὰ περὶ αὐτοῦ. εἰ γὰρ μὴ μεθ᾽ ὑπερβολῆς τοὺς γεώδεις τῆς βιωτικῆς φαντασίας
λογισμοὺς χαμαὶ ἔρριψας καὶ κατεπάτησας, οὐκ ἂν οὕτως εἰς τοσοῦτον ἐξεπήδησας ὑπεροψί-
ας αὐτῶν, οὐδ᾽ ἂν οὕτω κατὰ κράτος τὴν χαλεπωτάτην ταύτην ἀρρωστίαν ἐνίκησάς τε καὶ ἀ-
πήλασας. ἀλλὰ μηδεὶς ὑπερβολὴν καταγινωσκέτω τοῦ λόγου, εἰ χαλεπωτάτην αὐτὴν ἀρρω-
στίαν ἐκάλεσα. εἰ γὰρ ἐπὶ τῶν βιωτικῶν καὶ Ἑβραίων γυναικῶν, καὶ ἐν ἐκείνῳ τῷ καιρῷ τοσαύτην
ἔφερε τὴν κόλασιν τὸ πλημμέλημα, ἐπὶ τῶν ὀφειλουσῶν τὸ πολίτευμα ἔχειν ἐν οὐρανοῖς καὶ ἀγγε-
λικὸν "μιμεῖσθαι βίον, καὶ ἐν χάριτι πολιτευομένων, τίνα ἂν σχοίη συγγνώμην τὸ αὐτὸ τοῦτο τολμώ-
μενον μετὰ πλείονος τῆς ὑπερβολῆς; ὅταν γὰρ ἴδῃς παρθένον κατακλωμένην ἐν τοῖς ἱματίοις,
σύρουσαν τοὺς χιτῶνας, ὅπερ ὁ προφήτης ἐνεκάλεσε, διαθρυπτομένην ἐν τῇ βαδίσει, καὶ
διὰ φωνῆς καὶ διὰ ὀμμάτων καὶ διὰ στολῆς τὸ δηλητήριον κεραννῦσαν ποτήριον τοῖς ἀκολάστως
ὁρῶσι, καὶ τὰ βάραθρα ἐπὶ πλέον ἀνασκάπτουσαν τοῖς "παριοῦσι, καὶ παγίδας τιθεῖσαν ἐντεῦ-
θεν, πῶς ταύτην λοιπὸν προσερεῖς παρθένον, ἀλλ᾽ οὐ μετὰ τῶν πορνευομένων αὐτὴν ἀριθ-
μήσεις γυναικῶν; οὐ γὰρ τοσοῦτον ἐκεῖναι δέλεαρ, ὅσον αὗται γίνονται, πανταχόθεν ἀναπε-
τάννυσαι τῆς ἡδονῆς τὰ πτερά. διὰ ταῦτά σε μακαρίζομεν, διὰ ταῦτά σε θαυμάζο-
μεν, ὅτι πάντων ἀπηλλαγμένη τούτων, καὶ ἐν τούτῳ τὴν νέκρωσιν ἐπεδείξω τῷ μέρει, οὐχ ὡ-
ραϊζομένη, ἀλλὰ νεκρουμένη, οὐ καλλωπιζομένη, ἀλλ᾽ ὁπλιζομένη. ἀλλ᾽ ἐπειδὴ ἀπὸ τοῦ ὄνυ-
χος τὸν λέοντα πῶς ἐδείξαμεν, καὶ τοῦτο ἐν μέρει (οὐδὲ γὰρ τοῦτο ὅλον ἐπῆλθόν σου τὸ κατόρ-

Margin: * πῶ. γ. δῆλον. Ἰωβ. α. κα. γ. ζωω. γ. παῖς. γ. ἀπεριβλημένοι. γ. διαζωγρ. Σειρ. ιθ. κ'. γ. μιμήσεως. γ. παρειῶν.

θῶμα. καθάπερ γὰρ ἔφθην εἰπὼν, εἰς τὰ ἄπειρα τῶν ἄλλων σου κατορθωμάτων δέδοικα εἰσελθεῖν πελάγη· ἄλλως δὲ, οὐδὲ ἐγκώμιον προσθέμενα νῦν εἰπεῖν τῆς ἁγίας σου ψυχῆς, ἀλλὰ παραμυθίας κατασκευάσαι φάρμακον) φέρε πάλιν ἀναλάβωμεν τὰ ἔμπροσθεν εἰρημένα. τί δὲ ἔμπροσθεν εἰρήκαμεν; ἀπαλλαγεῖσα τοῦ λογίζεσθαι τί ὁ δεῖνα ἥμαρτε, καὶ τί ὁ δεῖνα ἐπλημμέλησεν, ἐννόει σου τοὺς ἄθλους διηνεκῶς, τῆς καρτερίας, τῆς ὑπομονῆς, τῆς νηστείας, τῶν εὐχῶν, τῶν παννυχίδων τῶν ἱερῶν, τῆς ἐγκρατείας, τῆς ἐλεημοσύνης, τῆς φιλοξενίας, τῶν ποικίλων καὶ χαλεπῶν καὶ πυκνῶν πειρασμῶν. ἀναλόγισαι πῶς ἐκ πρώτης ἡλικίας μέχρι τῆς παρούσης ἡμέρας οὐκ ἐπαύσω τρέφουσα πεινῶντα τὸν Χριστὸν, διψῶντα ποτίζουσα, γυμνὸν ἐνδύουσα, ξένον συνάγουσα, ἀρρωστοῦντα ἐπισκεπτοῦσα, προσδεδεμένῳ συναπιοῦσα. ἐννόησόν σου τῆς ἀγάπης τὸ πέλαγος, ὃ τοσοῦτον ηὔρυνας, ὡς πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα μετὰ πολλῆς ἀφικέσθαι τῆς ῥύμης. οὐ γὰρ ἡ οἰκία σου παντὶ ἐλθόντι ἠνέῳκτο μόνον, ἀλλὰ καὶ πανταχοῦ γῆς καὶ θαλάττης πολλοὶ ταύτης ἀπήλαυσαν τῆς φιλοτιμίας διὰ τῆς φιλοξενίας. ταῦτα δὴ πάντα συνάγουσα, τρύφα καὶ εὐφραίνου τῇ ἐλπίδι τῶν στεφάνων καὶ τῶν βραβείων. εἰ δὲ καὶ τοὺς παρανόμους τούτους καὶ αἱμοβόρους καὶ πολλῷ τούτων χαλεπώτερα ἐργασαμένους ἐπιθυμεῖς δίκην διδόντας ἰδεῖν, ὄψει καὶ τοῦτο τότε· ἐπεὶ καὶ ὁ Λάζαρος τὸν πλούσιον εἶδεν * ἀποτηγανιζόμενον. εἰ γὰρ καὶ ὁ τόπος αὐτοὺς διώριστο διὰ τὴν τοῦ βίου διαφορὰν, καὶ τὸ χάος αὐτοὺς διεῖργεν, καὶ ὁ μὲν ἦν ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ, ὁ δὲ ἐν ταῖς καμίνοις ταῖς ἀφορήτοις, ἀλλ᾽ ὅμως καὶ εἶδεν αὐτὸν ὁ Λάζαρος καὶ φωνῆς ἤκουσε καὶ ἀπεκρίνατο· ταῦτα καὶ ἐπὶ σοῦ ἔσται τότε. εἰ γὰρ ὁ ἕνα τῶν ἰδίων ἀνθρώπων τοιαύτας δίδωσι τιμωρίας, καὶ τῷ σκανδαλίσαντι πάλιν ἕνα λυσιτελὲς μύλον ἐκκρεμασθῆναι [κατὰ] τοῦ τραχήλου, καὶ εἰς τὴν θάλασσαν καταποντισθῆναι, οἱ τοσαύτην οἰκουμένην σκανδαλίσαντες, καὶ τοσαύτας ἀνατρέψαντες ἐκκλησίας, καὶ πάντα θορύβων καὶ ταραχῆς ἐμπλήσαντες, καὶ λῃστῶν καὶ βαρβάρων νικήσαντες ὠμότητα καὶ ἀπανθρωπίαν, καὶ οὕτω κατὰ κράτος ἐκβακχευθέντες ὑπὸ τοῦ στρατηγοῦντος αὐτοὺς διαβόλου, καὶ τῶν συνεργούντων αὐτοῖς δαιμόνων, ὡς τὸ φρικτὸν τοῦτο δόγμα καὶ ἀηδίας γέμον καὶ τοῦ δεδωκότος ἄξιον, καταγέλαστον καὶ Ἰουδαίοις καὶ Ἕλλησι ποιῆσαι, οἱ μυρίας καταδύσαντες ψυχὰς καὶ μυρία ναυάγια πανταχοῦ τῆς οἰκουμένης ἐργασάμενοι, οἱ τοσαύτην ἀνάψαντες πυρὰν, καὶ τὸ σῶμα τοῦ Χριστοῦ σχίσαντες, καὶ τὰ μέλη αὐτοῦ πολλαχοῦ διασπείραντες· Ὑμεῖς γὰρ, φησὶν, ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. μᾶλλον δὲ τί φιλονεικῶ παραστῆσαι τὴν μανίαν αὐτῶν ἑρμηνευθῆναι μὴ δυναμένην λέγω; πόσην τοίνυν οἴει ὑποστήσεσθαι τιμωρίαν τότε τοὺς λυμεῶνας τούτους καὶ αἱμοβόρους; εἰ γὰρ οἱ μὴ θρέψαντες πεινῶντα τὸν Χριστὸν μετὰ τοῦ διαβόλου καταδικάζονται τῷ πυρὶ τῷ ἀσβέστῳ, οἱ καὶ λιμῷ παραδόντες μοναχῶν καὶ παρθένων χορούς, καὶ ἐνδεδυμένους γυμνώσαντες, καὶ ξένους ὄντας οὐ μόνον οὐ συναγαγόντες, ἀλλὰ καὶ ἐλάσαντες, καὶ ἀρρωστοῦντας οὐ μόνον οὐκ ἐπισκεψάμενοι, ἀλλὰ καὶ ἐπιπλέον συντρίψαντες, καὶ οὐ μόνον δεδεμένους οὐκ ἰδόντες, ἀλλὰ καὶ λελυμένους εἰς δεσμωτήριον παρασκευάσαντες ἐμβληθῆναι, ἐννόησον ἴσην ὑποστήσονται τιμωρίαν; τότε τοίνυν ὄψει αὐτοὺς ἀποτηγανιζομένους, καταφλεγομένους, δεδεμένους, τοὺς ὀδόντας βρύχοντας, ὀλοφυρομένους, ἀνόνητα λοιπὸν θρηνοῦντας, ἀνωφελῆ μετανοοῦντας καὶ ἀκερδῆ, καθάπερ καὶ ὁ πλούσιος ἐκεῖνος. ὄψονταί σε καὶ οὗτοι πάλιν ἐν τῇ μακαρίᾳ λήξει ἐκείνῃ στεφανηφοροῦσαν, μετὰ τῶν ἁγίων ἀγγέλων χορεύουσαν, τῷ Χριστῷ συμβασιλεύουσαν, καὶ βοήσονται) πολλὰ καὶ ἀθλιωθήσονται, μεταγινώσκοντες ἐφ᾽ οἷς εἰς σὲ ἐμπαρῴνησαν, καὶ ἱκετηρίαν σοι προτιθέντες, καὶ ἐλέους μεμνημένοι καὶ φιλανθρωπίας· καὶ οὐδὲν ἔσται πλέον αὐτοῖς. ταῦτ᾽ οὖν ἅπαντα λογιζομένη ἔπᾳδε συνεχῶς σου τῇ ψυχῇ, καὶ τὴν κόνιν ταύτην διασκεδάσαι δυνήσῃ. ἐπειδὴ δὲ καὶ ἕτερόν τι ἐστὶ τὸ μάλιστά σε ὀδυνῶν, ὡς ἔγωγε οἶμαι, φέρε καὶ τούτῳ τῷ λογισμῷ κατασκευάσωμεν

α. Κορινθ. ιβ.

γρ. ἕως · * ἀποτηγανιζόμενον · γρ. εὐθύνας · γρ. μύλον · γρ. ἀκερδῆ · γρ. κόνιν

σκευάσωμεν φάρμακον, μετὰ τῶν εἰρημένων καὶ ἀνίαν ἑώρομεν. καὶ γάρ οἶμαί σε ἀλγεῖν [γ. ὑγιείας]
οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ διὰ τὸ κεχωρίσθαι τῆς "ἀσθενείας τῆς ἡμετέρας, καὶ τοῦτο δι-
ηνεκῶς θρηνεῖν σε καὶ πρὸς ἅπαντας λέγειν· οὐκ ἀκούομεν τῆς γλώττης ἐκείνης, οὐδὲ ἀ-
πολαύομεν τῆς συνήθους διδασκαλίας, ἀλλ' ἐν λιμῷ κατακεκλείσμεθα, καὶ ὅπερ ἠπείλησεν
5 ὁ Θεὸς τοῖς Ἑβραίοις τότε, τοῦτο νῦν ὑπομένομεν· οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ [Ἀμώς. η.]
λιμὸν θείας διδασκαλίας. τί οὖν ἡμεῖς πρὸς ταῦτα ἐροῦμεν; ὅτι μάλιστα μὲν ἔξεστί σοι καὶ ἀ-
πόντων ἡμῶν ὁμιλεῖν τοῖς βιβλίοις τοῖς ἡμετέροις· καὶ ἡμεῖς δὲ σπουδὴν ποιησόμεθα, ἂν ἐπι-
τυγχάνωμεν γραμματηφόρων, συνεχεῖς σοι * καὶ μακρὰς πέμπειν ἐπιστολάς. εἰ δὲ καὶ [* ἢ πυκνάς]
παρὰ ζώσης φωνῆς βούλει τὰ παρ' ἡμῶν ἀκούειν, ἴσως καὶ τοῦτο ἔσται, καὶ ἡμᾶς ὄψει πάλιν, τοῦ
10 Θεοῦ ἐπιτρέποντος· μᾶλλον δὲ οὐκ ἴσως, ἀλλὰ καὶ πάντως, * μηδὲν ἀμφίβαλλε. "ἀναμνή- [* ἢ]
σομεν γάρ σε, ὅτι οὐκ εἰκῇ ταῦτα εἰρήκαμεν, οὐδὲ ἀπατῶντές σε καὶ παραλογιζόμενοι, [γ. ἀναμιμνήσκομεν]
ἀλλὰ καὶ παρὰ ζώσης ἀκούσῃ φωνῆς, ἃ διὰ τῶν γραμμάτων νῦν. εἰ δὲ * ἡ μέλλησίς σε λυ- [* ἢ]
πεῖ, ἐννόησον ὅτι οὐδὲ αὕτη ἡ ἀναβολὴ ἀκερδής σοι γέγονεν, ἀλλὰ πολὺν οἴσει τὸν μισθὸν καρ-
τερούσῃ καὶ μηδὲ ἐκφερούσῃ πικρὸν ῥῆμα, ἀλλὰ καὶ ὑπὲρ τούτων τὸν Θεὸν δοξαζούσῃ, ὃ δὴ καὶ
15 διατελοῦσα ποιεῖς. οὐδὲ γὰρ μικρός ἐστιν ἆθλος, ἀλλὰ καὶ σφόδρα νεανικῆς δεόμενος ψυχῆς καὶ
φιλοσόφου διανοίας, ὥστε ἀγαπωμένης ψυχῆς ἐνεγκεῖν χωρισμόν. τίς ταῦτά φησιν; εἴ τις
οἶδε φιλεῖν γνησίως, εἴ τις ἐπίσταται δύναμιν ἀγάπης, οἶδεν ὃ λέγω. ἀλλ' ἵνα μὴ περιϊόντες
ζητῶμεν τοὺς γνησίως φιλοῦντας (καὶ γὰρ σπάνιον τοῦτο) δράμωμεν ἐπὶ τὸν μακάριον Παῦ-
λον, καὶ εἴσεται ἡμῖν ἐρεῖ, ἡλίκος ἐστὶν ὁ ἆθλος, καὶ ἡλίκης δεόμενος ψυχῆς. οὗτος γὰρ ὁ Παῦλος,
20 ὁ τὴν σάρκα ἀποδυσάμενος, καὶ τὸ σῶμα ἀποθέμενος, καὶ γυμνῇ σχεδὸν τὴν οἰκουμένην
"περιϊὼν τῇ ψυχῇ, καὶ πᾶν πάθος ἐξορίσας τῆς διανοίας, καὶ τῶν ἀσωμάτων δυνάμεων τὴν ἀ- [γ. περιελθὼν]
πάθειαν μιμούμενος, καὶ τὴν γῆν ὡς τὸν οὐρανὸν οἰκῶν, καὶ μετὰ τῶν χερουβὶμ ἑστὼς ἄνω, καὶ τῆς
μυστικῆς ἐκείνης μελῳδίας αὐτοῖς κοινωνῶν, τὰ μὲν ἄλλα πάντα ῥᾳδίως ἔφερεν, ὡς ἐν ἀλλο-
τρίῳ πάσχων σώματι, καὶ δεσμωτήρια, καὶ ἁλύσεις, καὶ ἀπαγωγάς, καὶ μάστιγας, καὶ ἀπειλάς, καὶ
25 θάνατον, καὶ τὸ καταλεύεσθαι, καὶ τὸ καταποντίζεσθαι, καὶ πᾶν κολάσεως εἶδος· μιᾶς δὲ ψυ-
χῆς ἀγαπωμένης παρ' αὐτοῦ χωρισθεὶς οὕτω συνεχύθη καὶ διεταράχθη, ὡς εὐθέως καὶ τῆς πό-
λεως ἀποπηδῆσαι, ἐν ᾗ τὸν ἀγαπώμενον προσδοκῶν ἰδεῖν οὐχ εὗρε. καὶ ταῦτα αὐτῷ συνοί-
δεν ἡ Τρωάς, ἡ διὰ τοῦτο καταλειφθεῖσα παρ' αὐτοῦ, ἐπειδὴ οὐκ εἶχεν ἐπιδεῖξαι αὐτῷ τότε ἐκεῖ-
νον. ἐλθὼν γάρ, φησιν, εἰς Τρωάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμέ- [β. Κορ. β. ιβ.]
30 νης ἐν Κυρίῳ, οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελ-
φόν μου· ἀλλὰ ἀποταξάμενος αὐτοῖς, ἐξῆλθον εἰς Μακεδονίαν. τί τοῦτο, ὦ Παῦ-
λε; ξύλῳ μὲν δεδεμένος, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ἔχων ἐπικειμένας, καὶ τὰ νῶτα αἵ-
μασι περιρρεόμενος καὶ ἐμυσταγώγεις καὶ ἐβάπτιζες καὶ "θυσίαν προσῆγες, καὶ ἑνὸς οὐ κατεφρόνησας [γ. θυσίας]
μέλλοντος σώζεσθαι· εἰς δὲ τὴν Τρωάδα ἐλθών, καὶ τὴν ἄρουραν "ἰδὼν ἐκκεκαθαρμένην [γ. ἰδὼν]
35 καὶ ἑτοίμην οὖσαν τὰ σπέρματα ὑποδέξασθαι, καὶ τὴν "ἁλίαν πεπληρωμένην καὶ πολλὴν [γ. ἁλιείαν]
παρέχουσάν σοι τὴν εὐκολίαν, τοσοῦτον ἔρριψας ἀπὸ τῶν χειρῶν κέρδος, ὡς καὶ διὰ τοῦτο
παραγενόμενος (ἐλθὼν γάρ, φησιν, εἰς τὴν Τρωάδα εἰς τὸ εὐαγγέλιον, τουτέστι, διὰ τὸ
εὐαγγέλιον) καὶ οὐδενὸς ἀντιπίπτοντος (θύρας γάρ μοι, φησιν, ἀνεῳγμένης) ἀπεπήδησας
εὐθέως; ναί, φησι. πολλῇ γὰρ κατεσχέθην ἀθυμίας τυραννίδι, καὶ σφόδρα μου συνεῖχε τὴν
40 διάνοιαν ἡ Τίτου ἀπουσία, καὶ οὕτω μου ἐκράτησε καὶ περιεγένετο, ὡς ἀναγκάσαι τοῦτο ποι-
ῆσαι. ὅτι γὰρ διὰ ἀθυμίαν τοῦτο ἔπαθεν, οὐδὲν ἡμᾶς δεῖ στοχάζεσθαι, ἀλλὰ παρ' αὐτοῦ καὶ
"τοῦτο μανθάνειν. καὶ γὰρ τὴν αἰτίαν τῆς ἀναχωρήσεως τέθεικεν, εἰπών· οὐκ ἔσχηκα ἄνεσιν [γ. αὐτὸ]
τῷ πνεύματί μου, τῷ μὴ εὑρεῖν με Τίτον, ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλθον. εἶδες πῶς
μέγιστος ἆθλος τὸ δυνηθῆναι ἐνεγκεῖν * ἀγαπωμένου χωρισμόν, καὶ πῶς ὀδυνηρὸν πρᾶγ- [* φίλου]

μα καὶ πικρὸν, πῶς ὑψηλῆς δεόμενοι καὶ νεανικῆς ψυχῆς; τοῦτον τὸν ἆθλον καὶ αὐτὴ διηγωνί-
σθης νῦν. ὅσῳ δὲ μέγιστος ὁ ἆθλος, τοσούτῳ καὶ ὁ στέφανος μείζων, καὶ τὰ βραβεῖα λαμπρότε-
ρα. τοῦτό σοι τῆς μνήσεως ἔστω παραμυθία, καὶ τὸ πάντως ἡμᾶς ὄψεσθαί σε πάλιν βρύουσαν
τῶν ἐντεῦθεν μισθῶν καὶ στεφανουμένην καὶ ἀνακηρυττομένην. οὐδὲ γὰρ ἀρκεῖ τοῖς ἀγαπῶσι μό-
νον τὸ τῇ ψυχῇ συνδεδέσθαι, οὐδὲ "ἀρκετὸν τοῦτο εἰς παραμυθίαν, ἀλλὰ καὶ σωματικῆς 5
δέονται παρουσίας. κἂν μὴ τοῦτο προσῇ, οὐ μικρὸν τῆς εὐφροσύνης ὑποτέμνεται μέρος.
καὶ τοῦτο πάλιν πρὸς τὸν τῆς ἀγάπης τρόφιμον ἐλθόντες εὑρήσομεν οὕτως ἔχον. Μακεδόσι
γὰρ ἐπιστέλλων οὕτως ἔλεγεν· Ἡμεῖς δὲ, ἀδελφοὶ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥ-
ρας, προσώπῳ, οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν· ἐγὼ μὲν
Παῦλος καὶ ἅπαξ καὶ δὶς, καὶ "ἀνέκοψεν ἡμᾶς ὁ Σατανᾶς. διὸ μηκέτι στέγοντες, ηὐδο- 10
κήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι, καὶ ἐπέμψαμεν ὑμῖν Τιμόθεον. ὢ λέξεως ἑκά-
στης δύναμις. τὴν γὰρ ἐναποκειμένην αὐτοῦ τῇ ψυχῇ φλόγα τῆς ἀγάπης μετὰ πολλῆς ἐν-
δείκνυται τῆς σαφηνείας. οὐδὲ γὰρ εἶπε, χωρισθέντες ὑμῶν, οὐδὲ διασπασθέντες ὑμῶν,
οὐδὲ διαστάντες, οὐδὲ ἀπολειφθέντες, ἀλλὰ ἀπορφανισθέντες ὑμῶν. λέξιν ἐζήτησεν ἱκα-
νὴν ἐμφῆναι τὴν ὀδύνην αὐτοῦ τῆς ψυχῆς. καίτοι γε ἐν τάξει πατρὸς ἦν ἅπασιν "αὐτοῖς, ἀλλὰ 15
παιδίων ὀρφανῶν ἐν ἀώρῳ ἡλικίᾳ τὸν γεγεννηκότα ἀποβαλόντων φθέγγεται ῥήματα, τὴν ὑ-
περβολὴν τῆς ἀθυμίας ἐνδείξασθαι βουλόμενος. οὐδὲν γὰρ ὀδυνηρότερον ὀρφανίας ἀώ-
ρου, ὅταν τῆς τε ἡλικίας πρὸς οὐδὲν αὐτοῖς ἀρκούσης, τῶν τε προστησομένων γνησίως οὐκ
ὄντων, καὶ τῶν ἐπιθησομένων καὶ ἐπιβουλευόντων πολλῶν ἀθρόον ἀναφαινομένων, ὥσπερ ἄρ-
νοι, οὕτως εἰς μέσον προκέωνται λύκοις πάντοθεν σπαράττουσιν αὐτοὺς καὶ ξαίνουσιν· οὐ- 20
δεὶς δύναται παραστῆσαι τῆς συμφορᾶς ταύτης τῷ λόγῳ τὸ μέγεθος. διὰ τοῦτο καὶ Παῦ-
λος περιελθὼν καὶ ζητήσας καὶ ἐρημίας καὶ συμφορᾶς χαλεπῆς ῥῆσιν ἐνδεικτικὴν, ἵνα πα-
ραστήσῃ ὅπερ ἔπασχε τῶν ἀγαπωμένων χωριζόμενος, ταύτῃ ἐχρήσατο τῇ λέξει. εἶτα καὶ ἐπι-
τείνει πάλιν αὐτὴν διὰ τῶν ἑξῆς. ἀπορφανισθέντες γὰρ, φησὶν, οὐ χρόνον, ἀλλὰ πρὸς και-
ρὸν ὥρας, καὶ χωρισθέντες οὐ διανοίᾳ, ἀλλὰ προσώπῳ μόνῳ, οὐδ' οὕτω φέρομεν τὴν ἐν- 25
τεῦθεν ὀδύνην· καίτοι γε ἱκανὴν ἔχοντες παραμυθίαν, τὸ τῇ ψυχῇ συνδεδέσθαι, τὸ ἐν
καρδίᾳ ὑμᾶς εἶναι τῇ ἡμετέρᾳ, τὸ χθὲς καὶ πρώην ὑμᾶς ἑωρακέναι, ἀλλ' οὐδὲν τούτων ἡ-
μᾶς ἀπαλλάττει τῆς ἀθυμίας. ἀλλὰ τί βούλει; καὶ ἐπιθυμεῖς, εἰπέ μοι, καὶ ἐπιθυμεῖς μεθ'
ὑπερβολῆς αὐτὴν αὐτῶν τὴν ὄψιν; περισσοτέρως γὰρ, φησὶν, ἐσπουδάσαμεν τὸ πρόσω-
πον ὑμῶν ἰδεῖν. τί φῄς; ὁ ὑψηλὸς καὶ μέγας, ὁ τὸν κόσμον ἔχων ἐσταυρωμένον καὶ τῷ κόσμῳ σταυ- 30
ρωθεὶς, ὁ πάντων ἀπαλλαγεὶς τῶν σαρκικῶν, ὁ σχεδὸν ἀσώματος γενόμενος, οὕτως αἰχμάλω-
τος ὑπὸ τῆς ἀγάπης ἐγένου;* ναὶ, φησὶ· καὶ οὐκ αἰσχύνομαι ταῦτα λέγων, ἀλλὰ καὶ ἐγκαλ-
λωπίζομαι. τὴν μητέρα* τῶν ἀγαθῶν ἔχων ἐν ἐμοὶ βρύουσαν, τὴν ἀγάπην, ταῦτα
ἐπιζητῶ. καὶ οὐδὲ ἁπλῶς σωματικὴν ἐπιζητεῖ παρουσίαν, ἀλλὰ τὸ πρόσωπον αὐτῶν
μάλιστα ἐπιθυμεῖ θεάσασθαι. περισσοτέρως γὰρ, φησὶν, ἐσπουδάσαμεν τὸ πρόσωπον 35
ὑμῶν ἰδεῖν. ὄψεως οὖν ἐρᾷς, εἰπέ μοι*; καὶ σφόδρα, φησὶν, ἔνθα τῶν αἰσθητηρίων ἡ συνα-
γωγή. ψυχὴ γὰρ γυμνὴ καθ' ἑαυτὴν ἑτέρᾳ ψυχῇ συγγενομένη οὔτ' εἰπεῖν τι, οὔτε ἀκοῦσαι
δυνήσεται· σωματικῆς δὲ ἂν ἀπολαύσω παρουσίας, καὶ ἐρῶ τι, καὶ ἀκούσομαι παρὰ τῶν ἀγα-
πωμένων. διὰ τοῦτο ἐπιθυμῶ τὸ πρόσωπον ἰδεῖν, ἔνθα καὶ γλῶττα ἐστὶ φωνὴν ἀφιεῖσα,
καὶ τὰ "ἔνδον ἡμῖν ἀπαγγέλλουσα, καὶ ἀκοὴ ῥήματα δεχομένη, καὶ ὀφθαλμοὶ κινήματα 40
ψυχῆς διαζωγραφοῦντες. καὶ γὰρ τῆς ποθουμένης ψυχῆς διὰ τούτων ἀκριβέστερον
τῆς συνουσίας ἐστὶν ἀπολαῦσαι. καὶ ἵνα μάθῃς πῶς ἐκκαίεται εἰς τὴν θεωρίαν
ταύτην εἰπὼν, περισσοτέρως ἐσπουδάσαμεν, οὐκ ἠρκέσθη τῇ λέξει ταύτῃ, ἀλλ' ἐπήγαγεν,
ἐν πολλῇ "ἀθυμίᾳ. εἶτα οὐκ ἀνεχόμενος ἑαυτὸν μετὰ τῶν ἄλλων ἐγκαταμίξαι, ἀλλὰ

δεικνὺς

Marginalia:

α. Θεσσ. β. ιζ.

5 γρ. ἀποχρῶν- ται τούτῳ

10 γρ. ἐνέκοψ.

15 γρ. αὐτοῖς,

* ὡς εἰ εἶπε, τὰ κατηγχῆναι τὴν πηγὴν, τὴν ἀπὸ γῆς, τὴν ἀγάπην;

* γὰρ

* καὶ πρόσωπον θεωρεῖν ἐπιθυμεῖς;

γρ. ἔνδοθεν

γρ. ἐπιθυμίᾳ

δεικνὺς ὅτι σφοδρότερον τῶν ἄλλων φιλεῖ, εἰπὼν ὅτι περισσοτέρως ἐσπουδάσαμεν καὶ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἀπέρρηξεν ἑαυτὸν τῶν λοιπῶν, καὶ μόνον στήσας, ἐπήγαγεν· ἐγὼ μὲν Παῦλος καὶ ἅπαξ καὶ δίς· δεικνὺς ὅτι πλέον τῶν ἄλλων ἐσπούδαζεν. εἶτα ἐπειδὴ οὐκ

χ. τέτου, ἐπέτυχεν" τούτου, οὐκ ἀρκεῖται τοῖς γράμμασιν, ἀλλὰ πέμπει τὸ κεφάλαιον τῶν σῶν αὐτῷ,

5 Τιμόθεον, τὸν ἀντὶ γραμμάτων ἐσόμενον αὐτῷ. διὸ καὶ ἐπάγει λέγων, Διὸ μηκέτι στέγοντες. ὢ πάλιν λέξεως εὐγένεια· ὢ ῥήσεως δύναμις, τὴν ἀκάθεκτον αὐτοῦ καὶ ἀκαρτέρητον ἀγά-

χ. ἐμπυρισμοῦ πην δηλοῦσα. καὶ ὡς ἄν τις ἐμπυριζόμενος, ὡς ἄν τις καιόμενος καὶ ζητῶν τοῦ" ἐμπυρισμοῦ παραμυθίαν τινὰ εὑρεῖν, πάντα κινεῖ· οὕτω δὴ καὶ οὗτος, ἀναπαλλόμενος, ἀγχόμενος, καιόμενος, κατὰ τὸ ἐγχωροῦν τὴν δυνατὴν ἐπενόησε παραμυθίαν. μηκέτι γὰρ στέγοντες, φησιν, ἐπέμ-

10 ψαμεν Τιμόθεον τὸν διάκονον τοῦ εὐαγγελίου καὶ συνεργὸν ἡμῶν, τὸ ἀναγκαιότατον μέρος διασπάσαντες ἡμῶν τῆς συνουσίας, καὶ λύπην ἀλλαξάμενοι λύπης. ὅτι γὰρ οὐδὲ τὴν ἐκείνου ἀπουσίαν εὐκόλως ἔφερεν, ἀλλὰ διὰ τούτους εἵλετο τὸ βαρύτατον τοῦτο, καὶ τοῦτο αὐτὸς ἐδήλωσεν εἰπών· Ηὐδοκήσαμεν καταλειφθῆναι μόνοι. ὢ ψυχῆς μετὰ ἀκριβείας πρὸς

χ. πωθ. αὐτὴν" ποιωθείσης τὴν ἀγάπην. ἐπειδὴ γὰρ ἀδελφοῦ ἐχωρίσθη ἑνός, μεμονῶσθαί φησι,

15 καὶ ταῦτα τοσούτους ἔχων μεθ' ἑαυτοῦ. ταῦτα δὴ συνεχῶς μελέτα καὶ αὐτή. καὶ ὅσῳ σοι τὸ πρᾶγμα ὀδυνηρόν, τοσούτῳ καὶ κερδαλεώτερον εἶναι νομίζω εὐχαρίστως φερούσῃ. οὐ γὰρ δὴ μόνον σώματι πληγαὶ ἐπαγόμεναι, ἀλλὰ καὶ ψυχῆς ὀδύνη ἀφάτους φέρει τοὺς στεφάνους· καὶ ψυχῆς ὀδύνη μᾶλλον ἢ σώματος, ὅταν οἱ πληττόμενοι φέρωσιν εὐχαρίστως. ὥσπερ οὖν εἰ καταξαινομένη τὸ σῶμα καὶ μαστιγουμένη γενναίως ἔφερες τὸν Θεὸν ὑπὲρ τούτων δοξάζουσα,

ἐφ' τέτων 20 πολλὴν ἀπέλαβες ἂν τὴν ἀμοιβήν· οὕτω τῆς ψυχῆς ταῦτα πασχούσης νῦν, πολλὰς ἀνάμενε τὰς ἀντιδόσεις· προσδόκα δὲ καὶ τὸ πάντως ἡμᾶς ὄψεσθαι πάλιν, καὶ τῆς ὀδύνης ἀπαλλαγήσεσθαι ταύτης, καὶ τὴν ἐκ τῆς ὀδύνης γινομένην ἐμπορείαν πολλὴν ἀπολήψεσθαι καὶ τότε καὶ νῦν. ἀρκεῖ ταῦτά σοι πρὸς παραμυθίαν, μᾶλλον δὲ οὐχὶ σοὶ μόνον, ἀλλὰ καὶ εἴ τις ἀνόητος εἴη καὶ ἀμβλύθυμος τὴν ψυχήν. ὅπου δὲ σύνεσις τοσαύτη καὶ εὐλαβείας πλοῦτος καὶ

25 φιλοσοφίας ὕψος καὶ ψυχὴ τὴν βιωτικῶν τὴν φαντασίαν καταπατήσασα, πλείων ἡ εὐκολία τῆς θεραπείας. δεῖξον δὴ κἀν τούτῳ τὴν ἀγάπην τὴν περὶ ἡμᾶς, ὅτι καὶ γράφοντες μεγάλην ἔχομεν παρὰ σοὶ δύναμιν, καὶ τοσαύτην, ὅσην περ ὄντες. δεῖξις δὲ σαφής, ἂν μάθωμεν ὅτι σοι γέγονέ τι πλέον ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων· μᾶλλον δὲ οὐχὶ πλέον μόνον, ἀλλὰ καὶ τοσοῦτον, ὅσον ἐπιθυμοῦμεν· ἐπιθυμοῦμεν δὲ ἐν τῇ αὐτῇ εὐφροσύνῃ εἶναί σε νῦν,

30 ἐν ᾗ καὶ αὐτόθι διατρίβοντες ἐβλέπομεν. ἂν τοῦτο μάθωμεν, οὐ μικρὰν καὶ αὐτοὶ τῆς ἐρημίας, ἐν ᾗ νῦν ἐσμεν, καρπωσόμεθα τὴν παράκλησιν. ὥστε εἰ βούλει καὶ ἡμᾶς ἐν εὐθυμίᾳ καταστῆσαι πλείονι (οἶδα δὲ ὅτι βούλει καὶ σφόδρα ἐσπούδακας) δήλωσον, ὅτι πάντα τῆς ἀθυμίας ἀπήλασας τὸν φορυτόν, καὶ ἐν γαλήνῃ τὰ σά· καὶ δὸς ἡμῖν ταύτην τῆς περὶ σὲ εὐνοίας καὶ ἀγάπης ἀμοιβήν. οἶσθα γάρ, οἶσθα σαφῶς, ὅπως ἡμᾶς δυνακτήσῃ κατορθώσα-

35 σα τοῦτο, καὶ μετὰ ἀληθείας δηλώσασα διὰ γραμμάτων ἡμῖν.

ΤΗ ΑΥΤΗ. γ.

Καὶ τὰ σώματα τὰ σφοδροῖς παλαίσαντα πυρετοῖς, καὶ τὰ πελάγη τὰ

40 ἀγρίοις πυκτεύσαντα πνεύμασιν, οὐκ ἀθρόον οὔτε ἐκεῖνα τὴν ἀπὸ τῶν πυρετῶν βλάβην, οὔτε ταῦτα τὴν ἀπὸ τῶν κυμάτων ἀποτίθεται ζάλην, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. καὶ γὰρ τὰ σώματα πλείονος δεῖται χρόνου, ὥστε μετὰ τὴν τῶν πυρετῶν ἀπαλλαγὴν εἰς καθαρὰν ἐπανελθεῖν ὑγίειαν, καὶ ἀποτινάξασθαι τὸν ἀπὸ τῆς ἀρρωστίας ἐναπο-

μείναντα

μείναντα αὐτοῖς μαλακισμόν· τά τε ὕδατα, καὶ τῶν πνευμάτων παυσαμένων, ἐπιπολὺ σα-
λευόμενα καὶ κινούμενα μένει φερόμενά τε ἐν πολλῇ πάλιν ἐπαναγόμενα τῇ ῥύμῃ, καὶ δεῖται
καὶ αὐτὰ χρόνου, ὥστε εἰς καθαρὰν ἐπανελθεῖν γαλήνην. Ταῦτα δέ μοι εἴρηται τὰ προ-
οίμια πρὸς τὴν σὴν εὐλάβειαν οὐχ ἁπλῶς, ἀλλ' ἵνα μάθῃς, ὅτι καὶ ταύτην ἀναγκαίως σοι
πέμπομεν τὴν ἐπιστολήν. Εἰ γὰρ καὶ τὴν τυραννίδα κατελύσαμεν τῆς ἀθυμίας, καὶ τὴν 5
ἀκρόπολιν αὐτῆς κατεσκάψαμεν διὰ τῶν ἔμπροσθεν γραμμάτων· ἀλλ' ὅμως πολλῆς ἔτι
χρεία τοῦ λόγου τῆς προσεδρίας, ἵνα σοι καὶ βαθεῖαν ἐργάσηται εἰρήνην, καὶ τὴν μνήμην
πάντων τῶν ἐξ ἐκείνης γινομένων ἐξαλείψασα θορύβων λευκήν σοι καὶ πραεῖαν δείξῃ γαλή-
νην, καὶ ἐν πολλῇ σε καταστήσῃ τῇ εὐθυμίᾳ. τοῦτο γὰρ ἡμῖν τὸ σπουδαζόμενον, οὐκ ἀθυμίας
σε ἀπαλλάξαι μόνον, ἀλλὰ καὶ εὐφροσύνης ἐμπλῆσαι πολλῆς καὶ διηνεκοῦς. δυνατὸν γάρ, 10
ἐὰν θέλῃς. οὐ γὰρ ἐν τοῖς ἀκινήτοις τῆς φύσεως νόμοις, οὓς ἀναμοχλεῦσαι ἡμῖν ἀδύνατον
καὶ μεταθεῖναι, ἀλλ' ἐν τοῖς ἐλευθέροις τῆς προαιρέσεως λογισμοῖς, οὓς μεταχειρίζειν ἡμῖν ῥᾴ-
διον, τὰ τῆς εὐθυμίας ἀπόκειται. καὶ οἶσθα, εἴγε μέμνησαι, καὶ πρότερον (οὐδὲ γὰρ πολὺς ὁ
μεταξὺ χρόνος) πολλούς μοι καὶ μακροὺς ὑπὲρ τούτων ἀναγνωσθέντας λόγους· ὅτι δὴ καὶ συνε-
χῶς ἐπέλεγον ταῖς ἱστορίαις, ἃς εἰς μέσον ἦγον· οὐ γὰρ ἐν τῇ φύσει τῶν πραγμάτων οὕ- 15
τως, ὡς ἐν τῇ γνώμῃ τῶν ἀνθρώπων τὰ τῆς εὐθυμίας ἵστασθαι πέφυκεν. ἐπεὶ οὖν τοῦτο τοῦ-
τον ἔχει τὸν τρόπον, καὶ πολλοὶ τῷ πλούτῳ περιρρεόμενοι τὸν βίον ἀβίωτον ἐνόμισαν εἶναι, ἕτε-
ροι δὲ πενίᾳ συζῶντες ἐσχάτῃ πάντων εὐθυμότεροι διετέλεσαν· καὶ οἱ μὲν δορυφορίας ἀπο-
λαύοντες καὶ δόξης καὶ τιμῶν πολλάκις ἑαυτῶν ἐπηράσαντο τῇ ζωῇ, οἱ δὲ ἄσημοι καὶ ἐξ ἀσή-
μων καὶ οὐδενὶ γνώριμοι πολλῶν ἑαυτοὺς μακαριωτέρους εἶναι ἐνόμισαν (οὐ γὰρ ἐν τῇ φύσει 20
τῶν πραγμάτων, ὡς ἐν τῇ γνώμῃ τῶν ἀνθρώπων τὰ τῆς εὐθυμίας. οὐ γὰρ παύσομαι
συνεχῶς τοῦτο ἐπᾴδων) μὴ ἀναπέσῃς, ἀδελφή, ἀλλὰ διανάστηθι, καὶ χεῖρα ὄρεξον τῷ λόγῳ,
καὶ τὴν καλὴν ταύτην παράσχου συμμαχίαν ἡμῖν, ἵνα σε ὁλοκλήρως ἐξαρπάσωμεν τῆς πι-
κρᾶς τῶν λογισμῶν αἰχμαλωσίας. Εἰ γὰρ μὴ βουληθείης καὶ αὐτὴ τοσαύτην σπουδὴν
ποιήσασθαι, ὅσην καὶ ἡμεῖς, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῆς ἰατρείας. καὶ τί θαυμαστόν, εἰ ἐφ' ἡ- 25
μῖν τοῦτο συμβαίνει; καὶ γὰρ ὁ πάντα δυνάμενος Θεός, ὅταν παραινῇ καὶ συμβουλεύῃ, ὁ δὲ
ἀκούων μὴ πείθηται τοῖς λεγομένοις, οὐδέποτε γέγονέ τι πλέον, ἀλλὰ καὶ μείζονος ἔσται κολά-
σεως ἐφόδιον τοῦτο τῷ μὴ πεισθέντι. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· Εἰ μὴ ἦλθον, καὶ
ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐ-
τῶν. διὰ δὴ τοῦτο καὶ τὴν Ἱερουσαλὴμ θρηνῶν τοῦτό γε αὐτοῦ ἕνεκεν ἔλεγεν· Ἱερουσαλήμ, 30
Ἱερουσαλήμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς
αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ ἀφίεται
ὁ οἶκος ὑμῶν ἔρημος. ταῦτ' οὖν εἰδυῖα (δέσποινά μου θεοφιλεστάτη) κάμνε καὶ φιλο-
νείκει καὶ βιάζου, τὴν ἀπὸ τῶν εἰρημένων ἔχουσα συμμαχίαν, ἐξωθεῖν καὶ ἐκβάλλειν
μετὰ πολλῆς τῆς σφοδρότητος τοὺς ταράττοντάς σε λογισμούς, καὶ θόρυβον καὶ ζάλην ἐμ- 35
ποιοῦντάς σοι τοσαύτην. ἀλλ' ὅτι μὲν ἐργάσῃ τοῦτο, καὶ ἀνέξῃ τῆς παραινέσεως τῆς ἡμετέρας,
οὐδένα οἶμαι δεῖν ἀμφιβάλλειν· δεῖ δέ σοι κατασκευάσαι λοιπὸν ξίφη καὶ δόρατα καὶ τόξα
καὶ βέλη καὶ θώρακας καὶ ἀσπίδας καὶ κνημῖδας, ὥστε τοὺς μὲν φράττεσθαι, τοὺς δὲ βάλλειν
καὶ κατασφάττειν καὶ νεκροὺς τιθέναι τοὺς ἐπιόντας σοι τῆς ταραχῆς λογισμούς. πόθεν οὖν
σοι τὰ μηχανήματα ταῦτα καὶ τὰς σφενδόνας κατασκευάσομεν, ὥστε μηδὲ ἐγγὺς ἀφεῖναι 40
προσιέναι τοὺς πολεμίους, ἀλλὰ ὡς πορρωτάτω μετὰ πολλῆς ἀπελαύνειν τῆς ὑπερβολῆς;
ἀπὸ τῆς ἀθυμίας αὐτῆς, ὀλίγα ἄττα περὶ αὐτῆς φιλοσοφήσαντες καὶ δείξαντες, ὅπως
βαρὺ τὸ πρᾶγμα καὶ ἐπαχθές. ἡ γὰρ ἀθυμία ψυχῶν ἐστι βασανιστήριον χαλεπόν, ὀδύνη
τις ἄρρητος, καὶ δίκη δίκης ἁπάσης καὶ τιμωρίας πικροτέρα. καὶ γὰρ σκώληκα μιμεῖται

* ἰοβόλον,

Marginal notes: (l. 10) γρ. ἐστί · (l. 18) γρ. ἀθυμότερον · (l. 19) γρ. τιμῆς · (l. 20) γρ. τῇ ζωῇ · (l. 23) γρ. καλλίω · (l. 25) γρ. ἡμῶν · (l. 28) Ἰωαν. ιε κβ' · (l. 30) Ματθ. κγ' λζ' · (l. 32) γρ. ὑμῶν · (l. 39–40) γρ. κατασκεύ[ασον] · πτειν · (l. 42) γρ. ττα

* πὶν

*ἰοβόλον, οὐχὶ τῆς σαρκὸς μόνον, ἀλλὰ καὶ αὐτῆς καθαπτομένη τῆς ψυχῆς· καὶ σὴς ἐστὶν οὐχὶ
ὀστέων μόνον, ἀλλὰ καὶ διανοίας, καὶ δήμιος διηνεκὴς, οὐ πλευρὰς καταξαίνων, ἀλλὰ καὶ
δύναμιν ψυχῆς λυμαινόμενος, καὶ νὺξ διηνεκὴς, καὶ σκότος ἀφεγγὲς, καὶ χειμὼν, καὶ ζάλη,
καὶ πυρετὸς ἀφανὴς ἁπάσης φλογὸς σφοδρότερον κατακαίων, καὶ πόλεμος διακοπὴν
5 οὐκ ἔχων, καὶ νόσος "πολλοῖς τῶν ὁρωμένων ἐπισκοτοῦσα. ὅ τε γὰρ ἥλιος, ἥ τε τοῦ ἀέρος (γ. πολλοῖς)
φύσις τούτου τοῦ διαφανοῦς τοῖς οὕτω διακειμένοις παρενοχλεῖν δοκεῖ, καὶ ἐν μεσημβρίᾳ μέσῃ νύκ-
τα μιμεῖσθαι βαθεῖαν. διὸ καὶ ὁ θαυμάσιος προφήτης τοῦτο δηλῶν ἔλεγε· Δύσεται ὁ ἥλιος (Αμως η. δ.)
αὐτοῖς ἐν μεσημβρίᾳ, οὐχ ὡς ἀφανιζομένου τοῦ ἄστρου, οὐδ᾽ ὡς τοῦ συνήθους διακοπτομένου
δρόμου, ἀλλ᾽ ὡς τῆς ἀθυμούσης ψυχῆς ἐν τῷ φαιδροτάτῳ τῆς ἡμέρας νύκτα φανταζομένης.
10 οὐ γὰρ τοιοῦτον τῆς νυκτὸς τὸ σκότος, οἷα τῆς ἀθυμίας ἡ νὺξ, οὐ κατὰ νόμον φύσεως παραγινομένη,
ἀλλὰ κατὰ λογισμῶν σκότωσιν συναγομένη, φοβερά τις οὖσα καὶ ἀφόρητος, "ἀμείλικτον ἔχου- (γ. ἀπηνὲς)
σα τὸ πρόσωπον, τυράννου παντὸς ὠμοτέρα, οὐδενὶ ταχέως εἴκουσα τῶν διαλύειν αὐτὴν
ἐπιχειρούντων, ἀλλ᾽ ἀδάμαντος στερρότερον κατέχουσα πολλάκις τὴν ἁλοῦσαν ψυχὴν, ὅ-
ταν αὕτη μὴ πολλῇ ᾖ κεχρημένη τῇ φιλοσοφίᾳ. τί δεῖ τὰ πολλὰ λέγειν ἐκεῖθεν περὶ αὐτῆς
15 ἀποφαινόμενον, παρὸν ἐπὶ τοὺς ἁλόντας ἐλθεῖν, κἀκεῖθεν αὐτῆς τὴν ἰσχὺν ἅπασαν καταμα-
θεῖν; μᾶλλον δὲ, εἰ δοκεῖ, τέως πρότερον ἑτέρωθεν αὐτῆς ποιησώμεθα τὴν ἀπόδειξιν. ὅτε γὰρ
ἥμαρτεν ὁ Ἀδὰμ τὴν ἁμαρτίαν ἐκείνην τὴν χαλεπὴν, καὶ τὸ κοινὸν ἁπάντων ἀνθρώπων
κατεδίκασε γένος, μόχθῳ τότε κατεδικάζετο· ἡ δὲ μείζονα ἁμαρτοῦσα, καὶ ὑπὸ μείζονα, ὡς
τὴν ἁμαρτίαν τὴν τούτου πρὸς ἐκείνην συγκρινομένην μηδὲ ἁμαρτίαν εἶναι νομίζεσθαι
20 (Ἀδὰμ γὰρ οὐκ ἠπατήθη, φησὶν, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονεν) αὕτη τοί- (α. Τιμ. β. ιδ.)
νυν ἡ ἀπατηθεῖσα καὶ ἐν παραβάσει γενομένη, καὶ τὸ δηλητήριον καὶ ἑαυτῇ καὶ τῷ ἀνδρὶ "κερά- (γ. κατασκεδάσασα)
σασα φάρμακον, [πλείονι] τῇ λύπῃ* κατακρίνεται, ὡς κατ᾽ ἀξίαν δυναμένην τοῦ μόχθου (* πάντῃ)
μειζόνως. Πληθύνων γὰρ, φησὶ, πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις (Γεν. γ. ις.)
τέξῃ τέκνα. οὐδαμοῦ πόνος, οὐδαμοῦ ἱδρὼς, οὐδαμοῦ μόχθος· ἀλλ᾽ ἀθυμία καὶ στεναγμὸς, καὶ
25 ἡ ἐντεῦθεν τιμωρία καὶ πόνων καὶ μυρίων θανάτων ἀντίρροπος οὖσα· μᾶλλον δὲ καὶ πολλῷ χαλε-
πωτέρα. καίτοι τί θανάτου χεῖρον; οὐχὶ τὸ κεφάλαιον τῶν ἐν ἀνθρώποις κακῶν, τὸ φοβε-
ρὸν καὶ ἀφόρητον καὶ μυρίων ἄξιον θρήνων τοῦτο εἶναι δοκεῖ; οὐχὶ παρανομίας τῆς χαλεπωτά-
της ταύτην ἔφησε δίκην* ὁ Παῦλος; τοὺς γὰρ ἀναξίως τῶν ἱερῶν ἀπολαύοντας μυστηρίων καὶ (* εἶναι)
τῆς φρικτῆς ἐκείνης μετέχοντας τραπέζης, ταύτην ἔφησε τίνειν δίκην, οὕτω λέγων· Διὰ (α. Κορ. ια. λ.)
30 τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. οὐχὶ καὶ νομοθέται πάντες
τοὺς τὰ ἀνήκεστα πλημμελοῦντας τούτῳ "καταδικάζουσι τῷ ἐπιτιμίῳ; καὶ ὁ Θεὸς δὲ οὐ ταύ- (γ. ..ζοντας)
την ἐσχάτην "ἠπείλησε τὴν τιμωρίαν ἐν τῷ νόμῳ τοῖς τὰ μέγιστα πλημμελοῦσιν; οὐ διὰ (γ. ἐπῆξε)
τὸν τούτου φόβον ὁ πατριάρχης ἐκεῖνος* καὶ τὴν φύσιν αὐτοῦ νικήσας, τὴν γυναῖκα τὴν ἑαυτοῦ κατεδέξα- (* Ἀβραάμ)
το ἡδυπαθείαις ἐκδοῦναι βαρβαρικαῖς καὶ Αἰγυπτιακῇ τυραννίδι, καὶ τὸ δρᾶμα τῆς ὕβρεως αὐ-
35 τός τε κατεσκεύαζε, καὶ τὴν γυναῖκα παρεκάλει τὴν χαλεπὴν ταύτην συνυποκρίνασθαι τραγῳ-
δίαν αὐτῷ; καὶ οὐδὲ τὴν αἰτίαν αἰσχύνεται τιθεὶς τῆς τοιαύτης σκηνῆς. Ἔσται γὰρ, φησὶν, ὡς ἂν ἴδω- (Γεν. ιβ. ιβ.)
σί σε οὕτω τῇ ὥρᾳ λάμπουσαν, καὶ τῷ κάλλει* τῆς ὄψεως κρατοῦσαν, ἀποκτενοῦσί με, σὲ δὲ περι-
ποιήσονται. εἰπὲ οὖν, ὅτι ἀδελφή μου εἶ, ἵνα εὖ μοι γένηται διὰ σὲ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκέν σου. (* περιέψονται καὶ)
Εἶδες φόβον; εἶδες τρόμον κατασείοντα τὴν ὑψηλὴν ἐκείνην καὶ φιλόσοφον ψυχήν; εἶδες τὸν
40 ἀδάμαντα διαλυθέντα τῇ ἀγωνίᾳ; ψεύδεται τὸ γένος, καὶ ἕτερον ἀνθ᾽ ἑτέρου περιτίθησι τῇ
γυναικὶ τὸ "πρόσωπον, καὶ τοῖς λύκοις εὐάλωτον ποιεῖ τὴν ἀμνάδα· καὶ ὃ πάντων ἐστὶν ἀνδράσιν (γ. προσωπεῖον)
ἀφορητότερον, γυναῖκα ἰδεῖν ὑβριζομένην, μᾶλλον δὲ καὶ ὑποπτευομένην μόνον, τοῦτο αἱρεῖται
καὶ τὸ τούτου χαλεπώτερον. οὐδὲ γὰρ ὑποψίαν, ἀλλ᾽ ὕβριν ἔργῳ τολμωμένην οὐ μόνον ὁρᾷ,
ἀλλὰ καὶ ὅπως τολμηθείη κατασκευάζει, καὶ κοῦφον αὐτῷ φαίνεται τοῦτο καὶ φορητόν. καὶ γὰρ

πάθος

πάθος ἐκράτει πάθους, τοῦ χείρονος δὲ χαλεπώτερον, καὶ ζηλοτυπίας περιεγένετο δειλία θα-
νάτου. καὶ ὁ μέγας δὲ Ἠλίας ἐκεῖνος διὰ τὸν τούτου φόβον δραπέτης καὶ φυγὰς καὶ μετανά-
στης ἐγένετο, ἀπειλὴν μόνην δείσας πορνευομένης καὶ ἐναγοῦς γυναικός· καὶ ὁ τὸν οὐρανὸν ἀπο-
κλείσας καὶ τοσαῦτα θαύματα ἐργασάμενος, '' ῥήματος φόβον οὐκ ἤνεγκεν, ἀλλ' οὕτω τὴν
οὐρανομήκη ψυχὴν ἐκείνην κατέσεισεν ἡ ἀγωνία, ὡς καὶ πατρίδα καὶ δῆμον τοσοῦτον, δι' ὃν το- 5
σαῦτα διεξεκινδύνευσε, καταλιπεῖν ἄθροον, καὶ * τεσσαράκοντα ἡμερῶν ὁδεῦσαι ὁδὸν, καὶ
πρὸς τὴν ἐρημίαν μετοικισθῆναι μετὰ τὴν παρρησίαν ἐκείνην, μετὰ τὴν τοσαύτην ἐλευ-
θεροστομίαν, μετὰ τὴν '' τηλικαύτην τῆς ἀνδρείας ἐπίδειξιν. καὶ γὰρ φοβερὰ σφόδρα τοῦ
πράγματος ἡ φύσις. διά τοι τοῦτο καθ' ἑκάστην ἡμέραν ἐπιοῦσα ἡμῖν ὁ ἥλιος, οὕτω καθ'
ἕκαστον ἡμᾶς ἐκπλήττει νεκρὸν καὶ συγχέει καὶ συστέλλει, ὡς ἄθροον τότε φαινομένη. καὶ οὐδὲν 10
ἰσχύουσιν εἰς παραμυθίαν ἡ τοῦ χρόνου μυρία ἔτη, οὐδὲ τὸ καθ' ἑκάστην ἐν ταύτῃ γυμνάζεσθαι
τῇ θεωρίᾳ, οὐδὲ ἐπαλαιώθη τῷ χρόνῳ τὰ τῆς ἀθυμίας καὶ τῆς ἐκπλήξεως ταύτης· ἀλλ' ἀ-
καὶ νεάζει καὶ ἀκμάζει διηνεκῶς, καὶ τὸν φόβον ἀκραιφνῆ καὶ ἀνθοῦντα ἔρχεται καθ' ἑκά-
στην φέρουσα τὴν ἡμέραν· καὶ μάλα εἰκότως. τίς γὰρ οὐκ ἂν συγχυθείη καὶ καταπέ-
σοι, ὅταν ἴδῃ τὸν χθὲς ἢ πρὸ ὀλίγων ἡμερῶν βαδίζοντα, ἄγοντα, φέροντα μυρία πράγ- 15
ματα, οἰκίας, γυναικὸς, παίδων, οἰκετῶν, πολλάκις δὲ καὶ πόλεων ὁλοκλήρων προεστάμενον,
ἀπειλοῦντα, φοβοῦντα, λύοντα κολάσεις, ἐπάγοντα κολάσεις, μυρία κατὰ πόλεις καὶ χώρας
ἐργασάμενον, τοῦτον ἄθροον λίθων ἀφωνότερον κείμενον, καὶ μυρίων '' ἀλυόντων, καὶ τῶν
φιλτάτων '' κατακοπτομένων, καὶ τῆς γυναικὸς καταθρυπτομένης, πλοκάμους λυούσης,
παρειὰς ξαινούσης, χοροὺς περιϊστάσης θεραπαινίδων μετὰ πολλῆς τῆς ὀλολυγῆς, οὐδενὸς αἰσθα- 20
νόμενον· καὶ πάντα ἐξαίφνης ἐκποδὼν, καὶ λογισμὸν, καὶ διάνοιαν, καὶ ψυχὴν, καὶ ὄψεως ἄν-
θος, καὶ μελῶν κίνησιν· καὶ τὰ '' ἀτερπῆ διαδεξάμενα, ἀφωνίαν, ἀναισθησίαν, φθορὰν, ἰχῶρα,
σκώληκας, τέφραν, κόνιν, δυσωδίαν, ἀφανισμὸν παντελῆ καὶ εἰς ὀστέα * εἰδεχθῆ καὶ ἄ-
σημα τὸ πολὺ ἐπειγόμενον καταλῦσαι σῶμα; ἀλλ' ὅμως τὸ φοβερὸν τοῦτο καὶ διὰ τῶν πραγ-
μάτων δεικνύμενον, καὶ διὰ τῆς τῶν ἁγίων ἐκείνων δειλίας, ἀθυμίας πολὺ κουφότερον. 25
ταύτῃ γὰρ τοὺς μακροὺς τούτους τῶν λόγων διαύλους ἀνάλωσα, ὥστε '' σε διδάξαι οἵαν τί-
νεις δίκην, καὶ ἀντίρροπον αὐτῆς, μᾶλλον δὲ καὶ πολλῷ μείζονα τῶν ἀγαθῶν ἀναμένεις τὴν
ἀμοιβήν. καὶ ἵνα μάθῃς, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ἐπὶ τοὺς ἁλόντας λοιπὸν κατα-
φεύξομαι, εἰς ὃ καὶ ἔμπροσθεν ἠπειγόμην ἐλθεῖν. ὁ γὰρ τῶν Ἑβραίων δῆμος, Μωϋσέως
ἐλθόντος καὶ ἐλευθερίαν εὐαγγελιζομένου καὶ τῶν Αἰγυπτιακῶν κακῶν ἀπαλλαγὴν, οὐδὲ ἀ- 30
κοῦσαι ἠνέσχετο. καὶ τὴν αἰτίαν δὲ τιθεὶς ὁ νομοθέτης ἔλεγεν· Ἐλάλησε δὲ Μωϋσῆς τῷ λαῷ,
καὶ οὐκ ἤκουσεν ὁ λαὸς Μωϋσέως ἀπὸ τῆς ὀλιγοψυχίας. καὶ ὅταν μεγάλας ἀπειλῇ τοῖς Ἰου-
δαίοις ὁ Κύριος ἀπειλὰς ὑπὲρ '' ἀνομίας πολλῆς, μετὰ τὴν αἰχμαλωσίαν καὶ '' τὸ ἐν ἀλλο-
τρίᾳ διατελεῖν γῇ, καὶ δουλείαν, καὶ τοὺς λιμοὺς, καὶ τοὺς λοιμοὺς, καὶ τὴν ἀνθρωποφα-
γίαν, ταύτην ἐπάγει τὴν δίκην λέγων· Δώσω αὐτοῖς καρδίαν ἀθυμοῦσαν, καὶ ἐκλείπον- 35
τας ὀφθαλμοὺς, καὶ τηκομένην ψυχήν. ἀλλὰ τί χρὴ λέγειν Ἰουδαίους, δῆμον ἄτακτον καὶ ἀ-
γνώμονα καὶ τῇ σαρκὶ δεδουλωμένον, καὶ φιλοσοφεῖν οὐκ εἰδότα, παρὸν ἀπὸ τῶν μεγάλων
ἐκείνων καὶ ὑψηλῶν ἀνδρῶν τύπον λαβεῖν τὴν ἀπόδειξιν; ὁ γὰρ τῶν ἀποστόλων χορὸς, τρί-
τον ἔτος συγγενόμενος τῷ Χριστῷ, καὶ πολλὰ περὶ ἀθανασίας παιδευθεὶς, καὶ τῶν ἄλλων
ἀπορρήτων, σημεῖά τε ἐργασάμενοι θαυμαστὰ καὶ παράδοξα, καὶ αὐτὸν ἐπὶ τοσοῦτον χρόνον θαυ- 40
ματουργοῦντα θεασάμενοι, καὶ τραπέζης αὐτῷ καὶ ὁμιλίας καὶ λόγων τοιούτων κοινωνήσαντες,
καὶ πάντα παιδευθέντες τρόπον, ἐπειδὴ ῥημάτων ἤκουσαν ἀθυμίαν αὐτοῖς ἐμποιούντων, συνε-
χῶς αὐτὸν κατέχοντες καὶ ἐκκρεμάμενοι, καθάπερ ὑπομάζια παιδία, καὶ διηνεκῶς αὐ-
τὸν ἐρωτῶντες, ποῦ ὑπάγεις, οὕτω τῇ τυραννίδι τῆς ἀθυμίας ἐσβέσθησαν ταύτης,

καὶ

Marginal notes: γρ. ῥημάτων (l. 4); * μόνος (l. 6); γρ. τοσαύτην (l. 8); γρ. κωκυόντων (l. 18); γρ. κοπτ. (l. 19); γρ. ἀτερπῆ (l. 22); * εὐτελῆ (l. 23); γρ. δεῖξαι (l. 26); Ἐξόδ. ς. θ. (l. 31); γρ. παρανομ. (l. 33); γρ. τὴν ἐν ἀλλοτρίᾳ διατριβήν (l. 33–34); Λευιτ. κϛ. ξε. (l. 35)

καὶ ὅλοι τῆς λύπης ἐγένοντο, ὡς μηκέτι αὐτὸν ταῦτα πυνθάνεσθαι. καὶ τοῦτο
ὀνειδίζων αὐτοῖς ὁ Χριστὸς ἔλεγεν· Ἠκούσατε ὅτι ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ ἔρχομαι
πρὸς ὑμᾶς, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις, ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν,
ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. εἶδες ἐρωτᾷ πόσον ἐπεσκότισεν ἀθυμίας τυραν-
5 νίς, καὶ πῶς αἰχμαλώτους αὐτοὺς εἰργάσατο, καὶ αὐτῆς εἶναι πεποίηκε; ὁ δὲ Ἠλίας πάλιν ἐκεῖ-
νος (οὐ γὰρ ἀποστήσομαι αὐτοῦ οὐδὲ νῦν) μετὰ τὴν φυγὴν καὶ τὴν ἀναχώρησιν τὴν
ἀπὸ Παλαιστίνης οὐ φέρων τῆς ἀθυμίας τὴν τυραννίδα (καὶ γὰρ σφόδρα ἠθύμει. τοῦτο γοῦν
καὶ ὁ τὴν ἱστορίαν γράψας ἐδήλου λέγων, Ὅτι ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ) ἄκουσον τί φησιν
εὐχόμενος· Ἱκανούσθω τὰ νῦν, Κύριε. λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὐ κρείττων ἐ-
10 γώ εἰμι ὑπὲρ τοὺς πατέρας μου. καὶ τὸ φοβερώτατον ἐκεῖνο, τὸν κολοφῶνα τῆς τιμωρίας καὶ
τὸ κεφάλαιον τῶν κακῶν, τὸ πάσης ἁμαρτίας ἐπιτίμιον, τοῦτο ἐν εὐχῆς αἰτεῖται τάξει, καὶ ἐν
χάριτος μέρει βούλεται λαβεῖν. οὕτω πολὺ θανάτου φοβερώτερον ἀθυμία. ἵνα γὰρ ἐκείνην
διαφύγῃ, καταφεύγει ἐπὶ τοῦτον. ἐνταῦθα δέ σοι καὶ ζήτημά τι διαλῦσαι βούλομαι. οἶδα γάρ
σου τὴν περὶ τὰς λύσεις τῶν τοιούτων ἐπιθυμίαν, καὶ σφόδρα ἐπίσταμαι, ὅσον σοι χαριοῦ-
15 μαι. τί ποτ' οὖν ἐστι τὸ ζήτημα; εἰ θάνατον κουφότερον ἀθυμίας εἶναι ἐνόμιζε, διὰ τί καὶ
πατρίδα καὶ δῆμον, ἵνα μὴ θανάτῳ περιπέσῃ, καταλιπὼν ἀπέδρα; καὶ πῶς τότε αὐτὸν
φεύγων, νῦν αὐτὸν ἐπιζητεῖ; ἵνα ἴδῃς καὶ ἐντεῦθεν μάλιστα, πῶς χαλεπώτερον ἀθυμία
θανάτου. ὅτε μὲν γὰρ αὐτὸν ἐκεῖνος ὁ φόβος κατέσεισε μόνος, εἰκότως ἅπαντα ἔπραττεν, ὥστε
αὐτὸν ἐκφυγεῖν· ἐπειδὴ δὲ ἐγκαθημένη αὕτη τὴν οἰκείαν ἐπεδείξατο φύσιν, κατεσθίουσα, δα-
20 πανῶσα, ταῖς ὀδύναις αὐτὸν καταναλίσκουσα, ἀφόρητος αὐτῷ γινομένη, τότε δὴ τὸ πάν-
των βαρύτερον κουφότερον αὐτῆς εἶναι ἐνόμισεν. οὕτω καὶ Ἰωνᾶς ἐκείνην φεύγων, ἐπὶ τοῦτον
κατέφυγε, καὶ αὐτὸς θάνατον αἰτεῖται λέγων· Λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλόν μοι τὸ
ἀποθανεῖν ἢ ζῆν με. καὶ ὁ Δαβὶδ δέ, εἴτε ἐξ οἰκείου προσώπου, εἴτε ἐξ ἑτέρων τινῶν ἀπο-
δυρομένων ψαλμὸν γράφων, τὸ αὐτὸ τοῦτο ἐδήλωσεν. Ἐν γὰρ τῷ συστῆναι τὸν ἁμαρτω-
25 λὸν ἐναντίον μου, φησίν, ἐκωφώθην, καὶ ἐταπεινώθην, καὶ ἐσίγησα ἐξ ἀγαθῶν· καὶ τὸ ἄλ-
γημά μου ἀνεκαινίσθη· ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθή-
σεται πῦρ· ἐκεῖνο τὸ πῦρ τούτου τοῦ πυρὸς σφοδρότερον· τὸ τῆς ἀθυμίας πάθος δηλῶν. εἶτα
μηκέτι φέρων τὰς πληγὰς αὐτῆς καὶ τὰς ὀδύνας, φησίν· Ἐλάλησα ἐν γλώσσῃ μου. καὶ τί
λαλεῖ, εἰπέ μοι; θάνατον αἰτεῖ καὶ οὗτος λέγων· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν
30 ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ, τίνος ἕνεκεν ἀπελείφθην ἑτέροις μὲν ῥή-
μασι, τοῖς δὲ αὐτοῖς νοήμασι τὰ τοῦ Ἠλίου φθεγγόμενος. ὅπερ γὰρ εἶπεν ἐκεῖνος, Ὅτι οὐ
κρείττων ἐγώ εἰμι ὑπὲρ τοὺς πατέρας μου, τοῦτο καὶ οὗτος ἠνίξατο λέγων· γνώρισόν μοι, Κύ-
ριε, τὸ πέρας μου, ἵνα γνῶ τί ὑστερῶ ἐγώ. τίνος ἕνεκεν ἀπελείφθην, φησίν, ἐγὼ καὶ ὑστερῶ, του-
τέστιν, ἀπομένω, καὶ ἐν τῷ παρόντι διατρίβω βίῳ, τῶν ἄλλων ἀπελθόντων; καὶ οὕτως αὐτὸν
35 ἐπιζητεῖ εἴτε αὐτός, εἴτε ἐκεῖνοι, ὧν ἐκ προσώπου κεχρημένος φθέγγεται, ὅλη καὶ μὴ παρόν-
τος τὸν καιρὸν τῆς παρουσίας ἐπιθυμεῖ μαθεῖν. γνώρισον γάρ μοι, φησί, τὸ πέρας μου, ἵνα καὶ
ἐντεῦθεν μεγίστην καρπώσηται τὴν ἡδονήν. οὕτω τὸ φοβερὸν, ποθεινὸν γίνεται διὰ τὴν ἀφό-
ρητον τῆς ἀθυμίας ὀδύνην, καὶ τὸ πῦρ τὸ ἐκκαιόμενον ἐν τῇ διανοίᾳ. Ἐν γὰρ τῇ μελέτῃ μου
ἐξεκαύθη, φησί, πῦρ. τοσαύτης τοίνυν τιμωρίας μεγάλας προσδόκα τὰς ἀμοιβάς, πολ-
40 λὰ τὰ βραβεῖα, ἀφάτους τὰς ἀντιδόσεις, φαιδροὺς καὶ σφόδρα ἀνθοῦντας τῶν τοσούτων ἀγώνων
τοὺς στεφάνους. οὐ γὰρ τὸ ποιῆσαί τι χρηστὸν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν τι κακόν, πολλὰς ἔχει τὰς
ἀμοιβὰς καὶ μεγάλα τὰ ἔπαθλα. καὶ πρὸς τοῦτον ἤδη βαδιοῦμαι τὸν λόγον σφόδρα καὶ
σοὶ καὶ πᾶσι χρήσιμον ὄντα, καὶ ἱκανὸν πρὸς ὑπομονὴν ἀλεῖψαι, καὶ πρὸς καρτερίαν διεγεῖ-
ραι καὶ μὴ ἀφιέναι πρὸς τοὺς τῶν παθημάτων καταμαλακίζεσθαι ἱδρῶτας. ὅλη μὲν οὖν ἀπαύ-

των

Marginalia (left): γ. ποπώτης · γ. ἐρωτᾶν · γ. ἐσκότισεν · γ. τῇ ψυχῇ · γ. ξηρότερον · γ. λοιπὸν · γ. συναχθῆναι τὸν ἁμαρτωλόν · γ. τοσαύτην τοίνυν τίνουσα τιμωρίαν. · γ. τοιούτων · γ. καρδίαν

Marginalia (right): Ιωαν. ις. ε. · γ. Βασ. ιθ. δ. · Ιων. δ. γ. · Ψαλ. λη. γ. · γ. Βασ. ιθ. δ.

πον τῶν " κακῶν χαλεπώτερον ἀθυμία, καὶ ὁ κολοφὼν καὶ τὸ κεφάλαιον * τῶν δεινῶν, τούτου ἱ-
κανῶς ἡμῖν ὁ λόγος ἀπέδειξε. λείπεται) τοίνυν κατορθωμάτων καὶ παθημάτων ποιήσασθαι
σύγκρισιν, ἵνα μάθῃς σαφῶς, ὅτι οὐ κατορθώμασι μόνον, ἀλλὰ καὶ παθήμασιν ἀμοιβαὶ κεῖνται, καὶ
ἀμοιβαὶ σφόδρα μεγάλαι· καὶ παθήμασιν οὐκ ἔλαττον, ἢ κατορθώμασι, μᾶλλον δέ ἐστιν ὅ-
που " καὶ πλείονα παθήμασι. καὶ εἰσαγάγωμεν, εἰ δοκεῖ, τὸν μέγαν τῆς ὑπομονῆς ἀθλητήν, 5
τὸν ἑκατέροις διαλάμψαντα τούτοις, τὸν ἀδάμαντα, τὴν πέτραν, τὸν ἐν τῇ Αὐσίτιδι μὲν γενόμενον
χώρᾳ, πᾶσαν δὲ τὴν οἰκουμένην καταλάμψαντα τῇ τῆς οἰκείας ἀρετῆς ὑπερβολῇ· καὶ εἴ-
πωμεν αὐτοῦ τά τε κατορθώματα, τά τε παθήματα, ἵνα εἰδῇς πόθεν μειζόνως διέλαμψε. τί-
να οὖν ἦν αὐτοῦ τὰ κατορθώματα; Ὁ οἶκός μου, φησί, παντὶ ἐλθόντι ἀνέῳκτο, καὶ κοινὸς ἦν
τοῖς ὁδοιπόροις λιμήν, καὶ τοῖς δεομένοις τὰ αὐτοῦ πάντα σχεδὸν ἐκέκτητο. Ἐγὼ γὰρ ἤμην, φη- 10
σίν, ὀφθαλμὸς τυφλῶν, καὶ ποὺς χωλῶν· ἐγὼ ἤμην πατὴρ ἀδυνάτων· δίκην δέ, ἣν οὐκ ᾔδειν,
ἐξιχνίασα, καὶ συνέτριψα μύλας ἀδίκων, καὶ ἐκ μέσου ὀδόντων αὐτῶν ἐξήρπασα ἅρπαγ-
μα. ἀδύνατοι δέ, " ἣν ἄν ποτε εἶχον χρείαν, οὐκ ἀπέτυχον, οὐδὲ ἐξῆλθέ τις τὴν θύραν μου
κόλπῳ κενῷ. Εἶδες διάφορα φιλανθρωπίας εἴδη, καὶ ποικίλους ἐλεημοσύνης " λιμένας,
καὶ διὰ πάντων αὐτὸν βοηθοῦντα τοῖς " δεομένοις; Εἶδες πενίαν ἀνέχοντα, " χήραν διορθού- 15
μενον, " ἀδικουμένων προϊστάμενον, φοβερὸν τοῖς ἐπηρεάζουσιν ὄντα; οὐ γὰρ δὴ μέχρι τοῦ
παραστῆναι καὶ συμμαχῆσαι μόνον τὴν σπουδὴν ἐπεδείκνυτο (τοῦτο δὴ τὸ τῶν πολλῶν)
ἀλλὰ καὶ μέχρι τοῦ πρὸς τὸ τέλος τὸ πρᾶγμα ἀγαγεῖν, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος.
Συνέτριψα γὰρ μύλας ἀδίκων, φησί, τῇ φιλονεικίᾳ τῇ ἐκείνων τὴν ἑαυτοῦ πρόνοιαν ἐπι-
τειχίζων. οὐκ ἀνθρώπων δὲ μόνον ἐπηρείαις, ἀλλὰ καὶ φύσεως ἐπιβουλαῖς ἀντέστησεν ἑαυτοῦ 20
τὴν κηδεμονίαν, τὰ ἁμαρτήματα αὐτῆς τῇ τῆς οἰκείας συμμαχίας ὑπερβολῇ διορθούμενος.
ἐπειδὴ γὰρ τὰ μέλη αὐτοῖς ἀποδοῦναι οὐκ εἶχε, τοῖς πηροῖς τὰ ὄμματα, τοῖς χωλοῖς τοὺς πό-
δας, ἀντὶ τῶν μελῶν αὐτοῖς ἐγίνετο· καὶ δι' αὐτοῦ καὶ οἱ τοὺς ὀφθαλμοὺς πεπηρωμένοι, καὶ οἱ τὰ
σκέλη ἐκκεκομμένοι, οἱ μὲν " ἐνέβλεπον, οἱ δὲ ἐβάδιζον. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς φι-
λανθρωπίας; οἶδα αὐτοῦ καὶ " τὴν ἄλλην ἀρετήν, ἵνα μὴ πάντα καταλέγων μακρὸν 25
ποιήσω τὸν λόγον, τὴν ἐπιείκειαν, τὴν πρᾳότητα, τὴν σωφροσύνην τὴν ἀκριβῆ· πῶς,
σφοδρὸς ὢν τοῖς ἀδικοῦσι (τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστι) προσηνὴς καὶ ἥμερος ἦν, καὶ αὐτοῦ
τοῦ μέλιτος ἡδίων τοῖς τε ἄλλοις ἅπασι, καὶ τοῖς οἰκέταις τοῖς αὐτοῦ. οἱ τοῦ ἔρωτος, ὃν ἤρων ἐ-
κείνου, μέγα ἐκφέροντες δεῖγμα, ἔλεγον, Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ ἐμπλησθῆναι;
εἰ δὲ οἰκέταις οὕτω ποθεινὸς ἦν, οὕτως ἐπέραστος, οἷς ἀνάγκη πολλάκις καὶ φοβερὸν εἶναι, πολλῷ 30
μᾶλλον τοῖς ἄλλοις ἅπασιν ἀνθρώποις. ταῦτα δὴ οὖν καὶ τὰ τούτων πλείονα παρ' ἑαυτῆς συλ-
λέξασα, δεῦρο δὴ βάδιζε μετ' ἐμοῦ ἐπὶ τὸν τῶν παθημάτων αὐτοῦ κατάλογον, καὶ ἴδωμεν συγ-
κρίναντες πότε λαμπρότερος ἦν, ὅτε ἐκεῖνα κατώρθου, ἢ ὅτε ἔπασχε τὰ ὀδυνηρά, καὶ πολλὴν
" ἐντιθέντα αὐτῷ τὴν ἀθυμίαν. πότε οὖν λαμπρότερος ἦν ὁ Ἰώβ, ὅτε τὴν οἰκίαν αὐτοῦ
πᾶσι τοῖς παριοῦσιν ἀνέῳξεν, ἢ ὅτε κατενεχθείσης αὐτῆς οὐδὲν ἐφθέγξατο ῥῆμα πικρόν, ἀλλ' 35
εὐφήμησε τὸν Θεόν, καίτοι τὸ μὲν κατόρθωμα ἦν, τὸ δὲ πάθημα; πότε φαιδρότερος ἦν, εἰ-
πέ μοι, ὅτε ἔθυεν ὑπὲρ τῶν παιδίων καὶ πρὸς ὁμόνοιαν αὐτοὺς συνῆγεν, ἢ ὅτε καταχωσθέντων
αὐτῶν καὶ τῷ πικροτάτῳ τρόπῳ τῆς τελευτῆς καταλυσάντων τὸν βίον, μετὰ πολλῆς τῆς φιλο-
σοφίας ἤνεγκε τὸ συμβάν; πότε μᾶλλον ἐξέλαμψεν, ὅτε ἀπὸ τῆς κουρᾶς τῶν ἀρνῶν αὐ-
τοῦ ἐθερμάνθησαν τῶν γυμνῶν οἱ ὦμοι, ἢ ὅτε ἀκούσας ὅτι πῦρ ἐξ οὐρανοῦ ἔπεσε καὶ κατέφα- 40
γε τὴν " ἀγέλην μετὰ τῶν ποιμένων οὐ διεταράχθη, οὐδὲ ἐθορυβήθη, ἀλλὰ πρᾴως ἤνεγκε
τὴν συμφοράν; πότε μείζων ἦν, ὅτε " τῇ ὑγιείᾳ τοῦ σώματος εἰς τὴν τῶν ἀδικουμένων ἐκέ-
χρητο προστασίαν, συντρίβων μύλας ἀδίκων, καὶ ἐκ μέσου τῶν ὀδόντων ἐξαρπάζων ἁρ-
πάγματα, καὶ λιμὴν αὖθις γινόμενος, ἢ ὅτε τὸ σῶμα τοῦτο αὐτοῦ, τὸ τῶν ἀδικουμένων ὅπλον,

ἑώρα

Marginal notes (left): Ἰωβ. λα. λϛ. — Ἰωβ. κθ. ιε. — Ἰωβ. λα. λε. — Ἰωβ. κθ. ιε. — Ἰωβ. λα. λα.

Marginal notes (right): γρ. παθῶν, ἀλλ. παθημάτων — * τούτου — γρ. πλείω ἢ — γρ. ἣν ποτε χρείαν, ἐπέτυχον, — γρ. λειμῶνας — γρ. ἀδικουμένοις; — γρ. χηρείαν — γρ. ἀδικουμένοις παριστάμενον, — γρ. ἐβλ. — γρ. τὰς ἄλλας ἀρετάς — γρ. ἐπιπηδῶντα — γρ. τίμιον — γρ. τὴν ὑγίειαν τοῦ σώματος ἐκέκτητο, εἰς τὴν τῶν ἀδικουμένων ἐκέχρητο.

ἑώρα καταδιδόμενον ὑπὸ σκωλήκων, καὶ καθήμενος ἐπὶ τῆς κοπρίας αὐτὸς αὐτοῦ κατέξαινε
λαβὼν ὄστρακον; Τήκω γὰρ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων, φησί. καίτοι ἐκεῖνα μὲν πάν- Ιωβ. ζ. ε.
τα κατορθώματα, ταῦτα δὲ πάντα παθήματα ἦν· ἀλλ' ὅμως ταῦτα αὐτὸν ἐκείνων λαμ-
πρότερον ἀπέφηνε. τοῦτο γὰρ μάλιστα τὸ πικρότατον αὐτῷ τῆς παρατάξεως μέρος ἦν, καὶ
γ. φιλοσοφωτέρας 5 μείζονος δεόμενον τῆς ἀνδρείας, καὶ ἀτονωτέρας ψυχῆς, καὶ "ὑψηλοτέρας διανοίας καὶ πλείονα
περὶ τὸν Θεὸν ἐχούσης ἀγάπην. διά τοι τοῦτο ἐκείνων μὲν γινομένων, εἰ καὶ ἀναισχύντως
γ. ἰταμῶς καὶ σφόδρα "λῃστρικῶς, ἀλλ' ὅμως ἀντεῖπεν ὁ διάβολος, λέγων· Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Ιωβ. α. θ.
Θεόν; τούτων δὲ συμβάντων, ἐγκαλυψάμενος ἀνεχώρησε νῶτα δούς, καὶ οὐδὲ ἀναισχύντου τινὸς
ἀντιλογίας σκιὰν λοιπὸν ἔχων προβαλέσθαι. τοῦτο γὰρ ὁ κολοφὼν "τοῦ στεφάνου, τοῦτο ἡ κορωνὶς
γ. τῶν στεφάνων 10 "τῆς ἀρετῆς, τοῦτο ἡ σαφὴς τῆς ἀνδρείας ἀπόδειξις, τοῦτο ἡ ἀκριβεστάτη τῆς φιλοσοφίας ἐ-
γ. τῶν ἀρετῶν πίτασις. δηλῶν δὲ καὶ αὐτὸς οὗτος ὁ μακάριος Ἰώβ, ὅσον χαλεπώτερον τυραννὶς ἀθυμίας θανά-
γ. ἤτει του, ἀνάπαυσιν αὐτὸν καλεῖ. Θάνατος ἀνδρί, φησιν, ἀνάπαυσις· καὶ ἐν χάριτος αὐτὸν "αἰ- Ιωβ. γ. κγ.
ὁ Κύριος τεῖται μέρει, ὥστε ἐκείνης ἀπαλλαγῆναι, λέγων· Εἰ γὰρ δῴη*, καὶ ἔλθοι μου ἡ αἴτησις, Ιωβ. ς. η.
καὶ τὴν ἐλπίδα μου δῴη ὁ Θεός, ἀρξάμενος ὁ Κύριος τρωσάτω με καὶ εἰς τέλος με ἀνελέ-
15 τω. Εἴη δέ μοι ἡ πόλις μου τάφος, ἐφ' ἧς ἐπὶ τειχέων ἡλλόμην ἐπ' αὐτῆς. οὕτω πάντων
βαρύτερον ἀθυμία· ὅσῳ δὲ βαρύτερον, τοσούτῳ καὶ μείζους ἔχει τὰς ἀντιδόσεις. ἵνα δὲ καὶ
ἑτέρωθεν μάθῃς ὅσον τῶν παθημάτων τὸ κέρδος, κἂν μὴ διὰ τὸν Θεόν τις πάθῃ (καὶ μηδεὶς
ὑπερβολὴν τοῦτο νομιζέτω) πάθῃ δὲ ὅμως, καὶ γενναίως ἐνέγκῃ καὶ πράως, τὸν Θεὸν ἐπὶ πᾶ-
σι δοξάζων, μεγάλων τῶν ἀναρρήσεων τυγχάνει· ἐπεὶ καὶ Ἰὼβ αὐτὸς οὐκ ᾔδει ὅτι διὰ
20 τὸν Θεὸν ταῦτα ἔπασχε, καὶ ὅμως διὰ τοῦτο ἐστεφανοῦτο, ὅτι οὐδὲ τὴν αἰτίαν ἐπιστάμενος ἐ-
καρτέρει γενναίως. καὶ ὁ Λάζαρος ἐκεῖνος ἀσθενείᾳ φύσεως περιπεσὼν (τοῦτο δὲ οὐκ ἦν δή που
διὰ τὸν Θεὸν παθεῖν) ἐπειδὴ ὅλως ἔπαθε, καὶ ἐκαρτέρησε, καὶ γενναίως ἤνεγκε τὴν ἐρημίαν τῶν
θεραπευσόντων, τὴν ἀπὸ τῶν ἑλκῶν ἀθυμίαν, τὴν ἀπὸ τοῦ λιμοῦ, τὴν ἀπὸ τῆς ὑπεροψί-
ας τοῦ πλουσίου καὶ τῆς ὠμότητος, οἶσθα ἡλίκων ἀπέλαυσε στεφάνων. καίτοιγε αὐτοῦ κατόρ-
γ. εὕρομεν 25 θωμα οὐδὲν "ἔχομεν εἰπεῖν, οὐχ ὅτι πένητας ἠλέησεν, οὐχ ὅτι ἀδικουμένοις παρέστη, οὐχ ὅτι
* ποιῆτι ἀγαθόν τι* εἰργάσατο, ἀλλὰ τὴν ἐν τῷ πυλῶνι τοῦ πλουσίου κατάκλισιν, καὶ τὴν ἀρρω-
στίαν, καὶ τῶν κυνῶν τὰς γλώττας, καὶ τὴν τοῦ πλουσίου κατ' αὐτοῦ γινομένην ὑπεροψίαν, ἅ-
περ τοῦ πάσχειν κακῶς ἅπαντα ἦν. ἀλλ' ὅμως καίτοι μηδὲν γενναῖον ποιήσας, ἐπειδὴ μόνον τὴν
ἐκ τούτων ἀθυμίαν ἤνεγκε γενναίως, τῷ τοσαῦτα κατορθωκότι πατριάρχῃ τῆς αὐτῆς ἐτυ-
γ. τούτων 30 χε λήξεως. Εἴπω δή τι μετὰ "τοῦτο καὶ ἕτερον, παράδοξον μὲν εἶναι δοκοῦν, ἀληθὲς δέ. κἂν
ἀγαθόν τις ἐργάσηται μέγα καὶ γενναῖον, μὴ μετὰ πόνου δὲ καὶ κινδύνου καὶ παθημάτων, οὐ πολλήν τι-
να λήψεται μισθόν. Ἕκαστος γάρ, φησι, τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον· οὐ κατὰ α Κορ. γ. η.
τὸ μέγεθος τοῦ κατορθώματος, ἀλλὰ κατὰ τὸν ὄγκον τοῦ παθήματος. διά τοι τοῦτο καὶ Παῦλος
καυχώμενος, οὐκ ἐπὶ τῷ κατορθῶσαι μόνον, καὶ γενναῖόν τι ποιῆσαι καυχᾶται, ἀλλὰ καὶ ἐπὶ
35 τῷ παθεῖν κακῶς. Εἰπὼν γάρ, Διάκονοι Χριστοῦ εἰσι, παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ, β. Κορ. ια. κγ.
καὶ τὴν κατὰ σύγκρισιν ὑπεροχὴν ὑφαίνων, οὐκ εἶπε, τόσοις καὶ τόσοις ἐκήρυξα· ἀλλ' ἀφεὶς
ἅπερ κατώρθωσεν, ἅπερ ἔπαθε κακῶς, ταῦτα ἐξαριθμεῖται, οὕτω λέγων· Ἐν πληγαῖς ὑπερ-
βαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις, πεντάκις τεσσαράκοντα παρὰ
μίαν ὑπὸ Ἰουδαίων ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα,
40 νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις
λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κιν-
δύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολ-
λάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι· χωρὶς τῶν παρεκτός· ἡ
ἐπισύστασίς μου ἡ καθ' ἡμέραν. Εἶδες παθημάτων ὁρμαθόν, καὶ καυχήσεως ἀφορμάς; Εἶ-

τα ἐπάγει τούτοις καὶ κατόρθωμα· καὶ ἐν τούτῳ πάλιν τὸ πλέον τοῦ παθήματός ἐστιν, οὐχὶ τοῦ κατορθώματος. Εἰπὼν γάρ, ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, τὰς ἀπαγωγὰς λέγων τὰς συνεχεῖς, τοὺς θορύβους, τὰς περιστάσεις (τοῦτο γάρ ἐστιν, ἡ ἐπισύστασίς μου) ἐπήγαγεν· ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. οὐκ εἶπεν, ἡ διόρθωσις, ἀλλ', ἡ μέριμνα, ὅπερ παθήματος πλέον ἦν, ἢ κατορθώματος. καὶ τὰ ἑξῆς ὁμοίως· Τίς ἀσθενεῖ, φησι, καὶ οὐκ ἀσθενῶ; οὐκ εἶπε, διορθοῦμαι, ἀλλ', ἀσθενῶ. καὶ πάλιν, τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; οὐκ εἶπεν, ἀπήλλαξα τοῦ σκανδάλου, ἀλλ', ἐκοινώνησα τῆς ἀθυμίας. εἶτα δεικνύς, ὅτι ταῦτα μάλιστα τὰς ἀμοιβὰς ἔχει, ἐπήγαγεν· Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. [β. Κορ. ια. λ.] καὶ ἕτερον πάλιν τοιοῦτον ἐπάγει, τὴν φυγὴν τὴν διὰ τῆς θυρίδος, τὴν διὰ τῆς σαργάνης, τὴν διὰ τοῦ τείχους. τοῦτο δὲ τοῦ παθεῖν κακῶς ἦν. Εἰ τοίνυν τὰ παθήματα μεγάλας ἔχει τὰς ἀμοιβάς, τῶν δὲ παθημάτων πάντων χαλεπώτερον καὶ ὀδυνηρότερον ἡ ἀθυμία, ἐννόησον ὅσαι σοι κείσονται αἱ ἀντιδόσεις. οὐ γὰρ παύσομαι συνεχῶς ταύτην σοι ἐπᾴδων τὴν ἐπῳδήν, ἵν' ὅπερ ὑπεσχόμην ἐν προοιμίοις, τοῦτο πληρώσω νῦν, ἀπὸ τῆς ἀθυμίας αὐτῆς ὑφαίνων τοὺς λογισμούς, τοὺς τὴν παραμυθίαν τῆς ἀθυμίας σοι τίκτοντας. ἵνα δὲ καὶ ἑτέρωθεν μάθῃς, ὅσον ἐστὶ τὸ μετὰ παθημάτων τι ποιεῖν γενναῖον, καὶ ὅσον ἀποδεῖ τούτου τὸ ἀπονητὶ "τὸ αὐτὸ ποιεῖν, ὁ Ναβουχοδονόσωρ ἐκεῖνος ὁ Βαβυλώνιος ἐν σκήπτροις καὶ "διαδήματι τὸ ἀποστολικόν ποτε κατώρθωσε" ἔργον. μετὰ γὰρ τὴν κάμινον τῶν παίδων καὶ τὴν παραδοξοποιίαν ἐκείνην, τὸ κήρυγμα ἀνεδέξατο τῆς οἰκουμένης, οὐ διὰ γλώττης μόνον, ἀλλὰ καὶ διὰ γραμμάτων, καὶ πανταχοῦ τῆς γῆς ἔγραφεν οὕτω· [Δαν. γ. λβ.] Ναβουχοδονόσωρ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς, φυλαῖς, γλώσσαις, τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ, εἰρήνη ὑμῖν πληθυνθείη. τὰ σημεῖα καὶ τὰ τέρατα, ἃ ἐποίησε μετ' ἐμοῦ ὁ Θεὸς ὁ ὕψιστος, ἤρεσεν ἐνώπιον ἐμοῦ ἀναγγεῖλαι ὑμῖν ὡς μεγάλα καὶ ἰσχυρά· * ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ εἰς "γενεὰν καὶ" γενεάν. καὶ δόγμα ἔθηκεν ὅπως πᾶς λαός, φυλή, γλῶσσα, ἢ ἂν εἴπῃ "ῥῆμα κατὰ τοῦ Θεοῦ Σεδράχ, Μισὰκ καὶ Ἀβδεναγώ, εἰς ἀπώλειαν" ἔσονται, καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγήν. καὶ προστίθησι, καθότι οὐκ ἔστι Θεὸς ἕτερος, ὃς δυνήσεται ῥύσασθαι οὕτως. εἶδες ἀπειλὴν ἐν τοῖς γράμμασιν; εἶδες φόβον; εἶδες διδασκαλίαν; εἶδες "κήρυκα ὑψηλόν, καὶ πανταχοῦ τῆς οἰκουμένης ἐκπεταννύντα τὰ γράμματα; τίνα οὖν, εἰπέ μοι, τῶν αὐτὸν τοῖς ἀποστόλοις μισθὸν λήψεται, ἐπειδὴ οὕτως διεκήρυξε τοῦ Θεοῦ τὴν δύναμιν, ἐπειδὴ τοσαύτην σπουδὴν ἐποιήσατο πανταχοῦ καταστεῖλαι τὸν λόγον; οὐδὲ τὸ πολλοστὸν οὖν μέρος, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς ἁπάσης καταδεέστερον, καίτοιγε τὸ αὐτὸ ἔργον ἐκείνοις ἐποίησεν. ἀλλ' ἐπειδὴ πόνος οὐκ ἔστιν ἐν τῷ συνεζευγμένος, οὐδὲ" παθήματα, διὰ τοῦτο ὑποτέμνεται τὰ τῆς ἀντιδόσεως. οὗτος μὲν γὰρ μετ' ἐξουσίας καὶ ἀδείας τοῦτο ἔπραττεν· ἐκεῖνοι δὲ κωλυόμενοι, ἐλαυνόμενοι, κοπτόμενοι, μαστιζόμενοι, ταλαιπωρούμενοι, κατακρημνιζόμενοι, καταποντιζόμενοι, λιμῷ τηκόμενοι, καθ' ἑκάστην ἀποθνήσκοντες τὴν ἡμέραν, τὴν ψυχὴν αὐτῶν βασανιζόμενοι, καθ' ἕκαστον τῶν ἀσθενούντων ἀσθενοῦντες, καθ' ἕκαστον τῶν σκανδαλιζομένων πυρούμενοι. καὶ τῶν πόνων τούτων καὶ τῆς ἀθυμίας μάλιστα ἦσαν πλείους αἱ ἀμοιβαί. [α. Κορ. γ. η.] Ἕκαστος γὰρ τὸν ἴδιον μισθὸν λήψεται, φησι, κατὰ τὸν ἴδιον κόπον. οὐ γὰρ παύσομαι αὐτὸ συνεχῶς ἐπιλέγων. διὰ δὴ τοῦτο καὶ ὁ φιλάνθρωπος Θεός, τοῦ Παύλου πολλάκις παρακαλέσαντος τῶν παθημάτων αὐτὸν καὶ τῆς ἀθυμίας καὶ τῆς ὀδύνης καὶ τῶν κινδύνων ἀπαλλάξαι, οὐκ ἐπένευσεν· [β. Κορ. ιβ. γ.] Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵν' ἀποστῇ ἀπ' ἐμοῦ, φησι, καὶ οὐκ ἐπέτυχον τῆς αἰτήσεως. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, λήψεσθαι λοιπὸν τὰς μεγάλας ἀμοιβάς, εἴγε ἀπραγμόνως ἐκήρυξε, τρυφῶν καὶ ἐν εὐθυμίᾳ διάγων; ὅτι στόμα διῆρε, καὶ γλῶσσαν ἐκίνησεν οἴκοι καθήμενος; ἀλλὰ τοῦτο καὶ τῷ τυχόντι ῥᾴδιον ἦν, καὶ τῷ σφόδρα ἀναπεπτωκότι, καὶ τὸν ὑγρὸν καὶ διαλελυμένον ζῶντι βίον. νυνὶ μέντοι τῶν πραγμάτων,

τῶν

[Margin: γρ. αὐτὸ τὸ ... ποιεῖν — γρ. ... εὐαγγελικὸν — γρ. λόγον. — * καὶ ὡς μεγάλη καὶ ἰσχυρὰ ἡ βασιλεία αὐτοῦ. — γρ. -ας — γρ. -ας. — γρ. βλασφημίαν — γρ. ἔσται καὶ οἶκος — γρ. κήρυγμα — γρ. πάθημα]

τῶν θανάτων, τῶν δρόμων τῶν κατὰ γῆν καὶ θάλατταν, τῆς ἀθυμίας αὐτῆς, τῶν δακρύων,
τῶν ὀδυρμῶν (Τριετίαν γάρ, φησιν, οὐκ ἐπαυσάμην νύκτα καὶ ἡμέραν μετὰ δακρύων νουθε- Πράξ. κ. λά.
τῶν ἕνα ἕκαστον ὑμῶν, μετὰ πολλῆς τῆς παρρησίας) λήψεται τὰς ἀντιδόσεις καὶ τοὺς στεφάνους.
Ταῦτα οὖν ἐννοοῦσα καὶ λογιζομένη ὅσον τοῦ ὀδυνηροῦ καὶ ἐπιμόχθου βίου τὸ κέρδος, χαῖρε καὶ
5 εὐφραίνου τὴν ἐπικερδῆ καὶ μυρίων γέμουσαν στεφάνων ἐκ πρώτης ἡλικίας ὁδεύουσα ὁδόν,
καὶ διὰ συνεχῶν καὶ πυκνῶν παθημάτων. καὶ γὰρ ἡ τοῦ σώματος ἀρρωστία ἡ ποικίλη καὶ
παντοδαπή, καὶ μυρίων θανάτων χαλεπωτέρα οὐκ ἐπαύσατό σε συνεχῶς πολιορκοῦσα,
γινόμεναι, καὶ λοιδοριῶν δὲ καὶ ὕβρεων νιφάδες καὶ συκοφαντίαι οὐδέποτε διέλιπον κατὰ σοῦ "ὑφαινόμεναι,
ἀθυμίαι τε αἱ πυκναὶ καὶ συνεχεῖς καὶ πηγαὶ δακρύων διαπαντὸς ἐνώχλησαν τοῦ χρόνου.
10 τούτων δὲ ἕκαστον καὶ καθ' ἑαυτὸ ἤρκεσε τοῖς ὑπομεμενηκόσιν εἰς ὠφέλειαν πολλήν. ὅ τε
γὰρ Λάζαρος ἀπὸ τῆς ἀρρωστίας μόνης τῆς αὐτῆς ἐκοινώνησε τῷ πατριάρχῃ λήξεως·
καὶ ὁ τελώνης δὲ αἱ λοιδορίαι τοῦ Φαρισαίου δικαιοσύνην ὑπερβαίνουσαν τὸν Φαρισαῖον ἐ-
κόμισαν· ὅ τε κορυφαῖος τῶν ἀποστόλων, ἀπὸ δακρύων τὸ ἕλκος τῆς χαλεπῆς ἐκείνης ἀπαρ-
νήσεως διώρθωσεν. ὅταν οὖν ἑκάστῳ τῶν προειρημένων φαίνηται καὶ μόνον ἓν τῶν παθημάτων
15 τούτων ἀρκέσαν, ἐννόησον πόσας αὐτὴ λήψῃ τὰς ἀμοιβάς. πάντα ὁμοῦ μετὰ πολλῆς τῆς ὑ-
περβολῆς ὑπομείνασα καὶ διαπαντὸς τοῦ χρόνου. οὐδὲ γάρ, οὐδὲν οὕτω λαμπροὺς ποιεῖ
καὶ ζηλωτούς, καὶ μυρίων ἐμπίμπλησιν ἀγαθῶν, ὡς πειρασμῶν πλῆθος καὶ κίνδυνοι καὶ πό-
νοι καὶ ἀθυμίαι καὶ τὸ διηνεκῶς ἐπιβουλεύεσθαι, [καὶ] πάσχειν ὧν οὐδαμῶς ἐχρῆν, καὶ πράως
ἅπαντα φέρειν. ἐπεὶ καὶ τὸν υἱὸν τοῦ Ἰακὼβ οὐδὲν οὕτως ἐποίησε μακάριον καὶ εὐδόκιμον,
20 ὡς ἡ συκοφαντία τότε ἐκείνη, καὶ τὸ δεσμωτήριον, καὶ ἡ ἅλυσις, καὶ ἡ ἐντεῦθεν ταλαιπω-
ρία. μέγα μὲν γὰρ αὐτοῦ καὶ τὸ τῆς σωφροσύνης κατόρθωμα, ὅτι τῆς Αἰγυπτιακῆς ἀκο-
λασίας περιεγένετο, καὶ τὴν ἀθλίαν γυναῖκα ἐκείνην ἐπὶ τὴν ἄδικον αὐτὸν καλοῦσαν
ὁμιλίαν διεκρούσατο· ἀλλ' οὐχ οὕτω μέγα τοῦτο, ὡς τὰ παθήματα. ποῖον γὰρ ἐγκώ-
* μηδὲ ἀλλότριον διορύξαι γάμον — μιον, εἰπέ μοι, τὸ μὴ μοιχεῦσαι, * μηδὲ μιᾶναι εὐνὴν οὐδαμόθεν αὐτῷ προσήκου-
25 σαν, μηδὲ ἀδικῆσαι τὸν εὐεργετήσαντα, μηδὲ αἰσχύνῃ περιβαλεῖν τοῦ προεστῶτος τὴν
οἰκίαν; ἀλλὰ τὸ ποιῆσαν αὐτὸν μέγαν, ἐκεῖνο μάλιστά ἐστιν, ὁ κίνδυνος, ἡ ἐπιβου-
λή, ἡ μανία τῆς ἀκολάστου, ἡ ἐπενεχθεῖσα βία, τὸ ἄφυκτον δεσμωτήριον, ὁ θάνατος,
ὅνπερ αὐτῷ κατεσκεύαζεν ἡ μοιχαλίς, τὰ δίκτυα, ἃ πανταχόθεν ἀνεπέτασεν, ἡ κατηγορία,
χ. τυχόντα τῶν δικαίων μετὰ — ἡ συκοφαντία, τὸ δεσμωτήριον, ἡ ἅλυσις, τὸ μηδενὸς "τυγχάνειν τῶν δικαίων· μετὰ τὸν τοσοῦ-
30 τον ἆθλον, ὑπὲρ οὗ στεφανοῦσθαι ἐχρῆν, ὡς κατάδικον καὶ ὑπεύθυνον ἐπὶ τὸ ὀχύρωμα
χ. κατακλεισθῆναι — ἄγεσθαι, καὶ μετὰ τῶν τὰ ἔσχατα ἡμαρτηκότων "κατακλείεσθαι· ὁ αὐχμός, τὸ σιδήριον, ἡ τοῦ
δεσμωτηρίου ταλαιπωρία. τότε αὐτὸν ὁρῶ λάμποντα μειζόνως, ἢ ὅτε ἐπὶ τοῦ θρόνου τῆς
Αἰγύπτου καθήμενος, τὸν σῖτον διένειμε τοῖς δεομένοις, καὶ τὸν λιμὸν ἔλυσε, καὶ κοινὸς λιμὴν
ἅπασιν ἐγένετο. τότε ὁρῶ αὐτὸν φαιδρόν, ὅτε αὐτῷ αἱ πέδαι καὶ αἱ χειροπέδαι περιέκειντο, ἢ ὅ-
χ. πασῶν — 35 τε ἐν ἱματίοις λαμπροῖς τὴν "τοιαύτην δυναστείαν περιεβέβλητο. ὁ μὲν γὰρ πραγμα-
τείας ἦν καιρὸς καὶ ἐμπορείας πολλῆς, ὁ τοῦ δεσμωτηρίου λέγω· ὁ δὲ τρυφῆς καὶ ἀνέσεως, καὶ τιμῆς,
πολλὴν μὲν ἔχων τὴν ἡδονήν, οὐ πολὺ δὲ τὸ κέρδος. διὰ τοῦτο οὐδὲ οὕτως αὐτὸν μακαρίζω
τιμώμενον ὑπὸ τοῦ πατρός, ὡς φθονούμενον ὑπὸ τῶν ἀδελφῶν, καὶ συνοίκους ἔχοντα τοὺς
πολεμίους. καὶ γὰρ ἐκ πρώτης ἡλικίας οἴκοθεν χαλεπὸς αὐτῷ ἀνερριπίζετο πόλεμος, τῶν πο-
40 λεμούντων ἔγκλημα μὲν ἐχόντων οὐδέν, τηκομένων δὲ καὶ διαρρηγνυμένων διὰ τὸ πλείονος
αὐτὸν ἀπολαύειν παρὰ τοῦ πατρὸς διαθέσεως. καίτοιγε τὸ φίλτρον ὁ νομοθέτης Μωϋσῆς οὐκ
ἔφησεν ἐξ ἀρετῆς τοῦ παιδὸς ἔχειν τὴν ἀρχήν, ἀλλ' ἀπὸ τοῦ καιροῦ τῶν ὠδίνων. ἐπειδὴ γὰρ
χ. ὕστερος — "ὕστερον τῶν ἄλλων ἐτέχθη, φησί, καὶ ἐν ἐσχάτῳ γήρᾳ· ποθεινὰ δὲ τὰ τοιαῦτα παιδία, ἅτε παρ'
χ. ἐλπίδας — "ἐλπίδα γινόμενα· διὰ τοῦτο ἐφιλεῖτο. Ἠγάπα γὰρ αὐτὸν ὁ πατήρ, φησιν, ὅτι υἱὸς γήρως Γεν. λζ. ϛ.

ἦν αὐτῷ. ταῦτα δὲ ὁ νομοθέτης ἔγραψεν, ὡς ἔγωγε οἶμαι, οὐ τὸ ὂν διηγούμενος, ἀλλὰ τοῦ πατρὸς τὴν σκῆψιν καὶ τὴν πρόφασιν. ἐπειδὴ γὰρ ἑώρα φθονούμενον τὸ μειράκιον, παραμυθήσασθαι τὸ πάθος τῶν ἀδελφῶν βουλόμενος, ἔπλασεν ἀγάπης αἰτίαν οὐ πολλὴν τίκτουσαν αὐτῷ τὸν φθόνον. ὅτι γὰρ οὐ τοῦτο αἴτιον ἦν τοῦ φίλτρου, ἀλλ' ἡ ἀκμάζουσα τῆς ψυχῆς ἀρετὴ, καὶ τῆς ἡλικίας ἀκμαιοτέρα οὖσα, δῆλον ἐκ τοῦ Βενιαμίν. εἰ γὰρ διὰ τοῦτο ἐκεῖνος ἐφιλεῖτο, πολλῷ μᾶλλον τὸν νεώτερον αὐτοῦ φιληθῆναι ἐχρῆν. μετὰ γὰρ τὸν Ἰωσὴφ ἐκεῖνος ἐτέχθη, καὶ ἐστὶ μᾶλλον υἱὸς γήρως ἦν αὐτῷ. ἀλλ', ὅπερ ἔφην, τοῦ πατρὸς ἦν τὸ πλάσμα βουλομένου καταλῦσαι τὸν ἀδελφικὸν πόλεμον. ἀλλ' οὐδὲ οὕτως ἴσχυσεν, ἀλλ' ἐξεκαίετο σφοδρότερον ἡ φλόξ. καὶ ἐπειδὴ οὐδὲν ἴσχυον ποιῆσαι τέως, κατὰ τὴν ἐγχώριον αὐτῷ ψόγον πονηρὸν, αἰσχρᾷ περιέβαλον αἰτίᾳ, τὴν βαρβάρων γυναῖκα προφθάσαντες οἱ ἀδελφοὶ, καὶ πολλῷ χείρους φανέντες αὐτῆς. ἡ μὲν γὰρ εἰς ἀλλότριον, οἱ δὲ εἰς ἀδελφὸν ἐγίνοντο πονηροί. καὶ οὐδὲ ἐνταῦθα ἔστησαν τῆς κακίας, ἀλλ' ἐπηγωνίζοντο τοῖς προτέροις ἀεὶ, καὶ λαβόντες μόνον ἐν ἐρημίᾳ, καὶ ἔσφαξαν, καὶ ἀπέδοντο, καὶ δοῦλον ἀντ' ἐλευθέρου ἐποίησαν, καὶ δουλείαν τὴν ἐσχάτην. οὔτε γὰρ ὁμοφύλοις τισὶν, ἀλλὰ βαρβάροις ἑτερογλώσσοις, καὶ αὖθις εἰς βαρβάρων ἀπιοῦσι χώραν ἐξέδωκαν τὸν ἀδελφόν. ὁ δὲ Θεὸς λαμπρότερον αὐτὸν ποιῶν, ἠνείχετο τούτων γινομένων, καὶ ἐμακροθύμει κινδύνων κινδύνοις διαδεχομένων. μετὰ γὰρ τὸν φθόνον καὶ τὴν αἰσχρὰν διαβολὴν, σφαγῇ παρέδωκαν, καὶ δουλείᾳ σφαγῆς χαλεπωτέρᾳ. μὴ γὰρ δὴ παραδράμῃς ἁπλῶς τὸ εἰρημένον, ἀλλ' ἐννόησον ἡλίκον ἦν, μειράκιον εὐγενὲς ἐν οἰκίᾳ πατρικῇ τραφὲν μετ' ἐλευθερίας ἁπάσης, μετὰ ἀγάπης πατρὸς τοσαύτης, ἀθρόον ὑπὸ ἀδελφῶν ἀπεμποληθῆναι οὐδὲν ἔχοντα ἐγκαλεῖν, καὶ βαρβάροις ἐκδοθῆναι ἑτερογλώσσοις, καὶ ἤθεσιν ἀλλοκότοις, καὶ αὐτοῖς θηρίοις μᾶλλον, ἢ ἀνθρώποις· καὶ ἄπολιν, καὶ μετανάστην, καὶ οἰκέτην, καὶ ξένον ἀντ' ἐλευθέρου * γενέσθαι, καὶ τοσαύτης ἀπολαύσαντα τῆς εὐημερίας πρὸς τὴν ἐσχάτην κατενεχθῆναι ταλαιπωρίαν δουλείας, ἀήθη ὄντα μετὰ ὑπερβολῆς ἁπάσης, καὶ πικροτάτους λαβεῖν δεσπότας, καὶ πρὸς ἀλλοτρίαν καὶ βάρβαρον ἀπενεχθῆναι γῆν. ἀλλ' οὐδὲ ἐνταῦθα ἵστατο τὰ δεινά· ἀλλ' ἐπιβουλαὶ πάλιν ἐπιβουλὰς διεδέχοντο μετὰ τὰ ὀνείρατα ἐκεῖνα τὰ μεγάλα καὶ θαυμαστὰ, καὶ τὴν τῶν ἀδελφῶν αὐτοῦ προσκύνησιν προαναφωνοῦντα. λαβόντες γὰρ αὐτὸν οὗτοι οἱ ἔμποροι οὐ κατέσχον, ἀλλ' ἑτέροις αὐτὸν πάλιν χείροσιν ἀπέδοντο βαρβάροις. οἶσθα δὲ ἡλίκον * εἰς συμφορᾶς λόγον, τὸ δεσπότας τοιούτους ἐκ τοιούτων ἀμείβειν. τοῦτο γὰρ δυσχερεστέραν ποιεῖ τὴν δουλείαν, ὅταν καὶ ξένοι πάλιν οἱ κτώμενοι, καὶ τῶν προτέρων ὦσι χαλεπώτεροι. καὶ γὰρ ἐν Αἰγύπτῳ, τῇ θεομάχῳ τότε ἐκείνῃ καὶ μαινομένῃ, ὅθεν τὰ ἀναίσχυντα στόματα, ὅθεν αἱ βλάσφημοι γλῶσσαι. καὶ γὰρ παρ' Αἰγυπτίοις, ὧν καὶ εἷς ἤρκεσε μόνος τὸν μέγαν Μωϋσέα δραπέτην καὶ φυγάδα ποιῆσαι. καὶ ἐπειδὴ μικρὸν ἀνέπνευσεν ἐκεῖ, τοῦ φιλανθρώπου Θεοῦ τὰ κατ' αὐτὸν παράδοξα οἰκονομοῦντος, τὸν ἄγγελον θηρία τὸν ὠνησάμενον ἥμερον ποιήσαντος πρᾶον, εὐθέως αὐτῷ σκάμματα παρασκευάζεται πάλιν, καὶ πάλιν στάδιον, καὶ πάλιν παλαίσματα καὶ ἀγῶνες καὶ ἱδρῶτες σφοδρότεροι τῶν προτέρων. ἰδοῦσα γὰρ αὐτὸν ἀδίκοις ὀφθαλμοῖς ἡ κεκτημένη, καὶ τῷ κάλλει τῆς ὄψεως αὐτοῦ χειρωθεῖσα, καὶ κατὰ κράτος ἁλοῦσα τῷ πάθει, λέαινα ἀντὶ γυναικὸς ὑπὸ τῆς ἀκολάστου ταύτης ἐπιθυμίας ἐγίνετο. καὶ πάλιν ἐναντίος ὁ πόλεμος ἦν, ἐναντίαν τοῖς προτέροις τὴν ὑπόθεσιν ἔχων. ἐκεῖνοι μὲν γὰρ μισοῦντες αὐτὸν * ἐξέβαλον, αὕτη δὲ ἐρῶσα καὶ προσκειμένη τοῦ νεανίσκου. καὶ ἦν διπλοῦς, μᾶλλον δὲ τριπλοῦς καὶ πολλαπλοῦς ὁ πόλεμος οὗτος. μὴ γὰρ, ἐπειδὴ τὰ δίκτυα ὑπερήλατο, καὶ τὸν βρόχον διέτεμεν ἐν βραχείᾳ καιροῦ ῥοπῇ, νομίσῃς καὶ ἀπραγμόνως αὐτὸν νενικηκέναι τὸν ἆθλον τοῦτον. καὶ γὰρ πολὺν τὸν ἱδρῶτα ὑπέμεινε. καὶ εἰ βούλει τοῦτο σαφῶς ἰδεῖν, ἐννόησον ὅτι ἔστι νεότης, καὶ νεότητος ἀκμή. ἐν γὰρ αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας τότε ἐτύγχανεν ὢν, ὅτε σφοδροτέρα τῆς φύσεως ἡ φλὸξ ἐγείρεται, ὅτε πολλὴ τῆς ἐπιθυμίας ἡ ζάλη,

Marginal notes:

- γρ. φιλεῖσθαι
- γρ. αὐτοῦ
- γρ. πικροτάτην
- γρ. τοῖς γινομένοις
- * καὶ πόλιν
- γρ. ἐξεν.
- * ποτε
- γρ. καὶ
- γρ. παρεσκευάζετο
- γρ. ἐγίνετο
- * τῆς οἰκίας
- γρ. μαθεῖν
- γρ. ἐπιτυχεῖν
- πότε

ἡ ζάλη, ὅτι ἀσθενέστερος μὲν ὁ λογισμὸς τῶν νεωτέρων, αἱ δὲ ψυχαὶ οὐ σφόδρα φράττονται
τῇ συνέσει, οὐδὲ πολλὴν τῆς ἀρετῆς ποιοῦνται σπουδήν· ἀλλ' ὁ μὲν χειμὼν τῶν παθῶν
χαλεπώτερος, ὁ δὲ τὰ πάθη κυβερνῶν λογισμὸς ἀσθενέστερος. μετὰ δὲ τῆς φύσεως καὶ τῆς ἡ-
λικίας πολλὴ καὶ τῆς γυναικὸς * ἡ ἀκολασία. καὶ καθάπερ τὴν Βαβυλωνίαν κάμινον αἱ Περ-
5 σικαὶ χεῖρες ἐξῆπτον μετὰ πολλῆς ἀνήπτον τῆς σπουδῆς, δαψιλῆ τῷ πυρὶ παρέχουσαι τὴν
τροφὴν, καὶ ποικίλα ὑπεκκαύματα ἐμβάλλουσαι τῇ φλογί· οὕτω δὴ καὶ τότε ἡ ἀθλία καὶ
ταλαίπωρος ἐκείνη γυνὴ τῆς καμίνου ταύτης χαλεπωτέραν ἀνῆπτε τὴν φλόγα, μύρων ὄζουσα,
ἐπιτρίμμασι προσώπων, ὑπογραφαῖς ὀφθαλμῶν, κατακεκλασμένῃ φωνῇ, κινήμασι, βα-
δίσμασι διαθρυπτομένη, ἱματίοις μαλακοῖς, περιβολῇ χρυσίων, ἑτέραις τοιαύταις μυρίαις
10 μαγγανείαις καταγοητεύουσα τὸ μειράκιον. καὶ καθάπερ τις θηρατὴς δεινὸς, δυσάλωτον
μέλλων χειροῦσθαι ζῶον, ἅπαντα κινεῖ τῆς τέχνης τὰ ὄργανα· οὕτω δὴ καὶ αὕτη τὴν σωφρο-
σύνην εἰδυῖα τοῦ νεανίσκου (οὐδὲ γὰρ ἔλαθεν ἐν τοσούτῳ χρόνῳ διαλανθάνειν) πολλῆς
ἐνόμιζεν αὐτῇ δεῖν παρασκευῆς ἐπὶ τὴν αἰχμαλωσίαν τοῦ νεανίσκου· καὶ διὰ τοῦτο πάντα
ἐκίνει τῆς ἀκολασίας τὰ μηχανήματα· καὶ οὐδὲ τούτοις ἠρκεῖτο μόνοις, ἀλλὰ καὶ καιρὸν καὶ τό-
15 πον ἐπετήρει πρὸς τὴν θήραν ἐπιτήδειον. διὰ τοῦτο οὐδὲ εὐθέως ἀλοῦσα προσέβαλεν,
ἀλλὰ πολὺν ἀνέμεινε χρόνον, τὴν πονηρὰν ταύτην ἐπιθυμίαν ὠδίνουσα καὶ παρασκευα-
ζομένη· δεδοικυῖα μὴ τῷ τάχει, καὶ ταῖς ἐσχεδιασμέναις αὐτῆς ἐπιβουλαῖς διαφύγῃ τὸ θή-
ραμα. καὶ ποτε εὑροῦσα μόνον ἐν τῷ οἴκῳ τὰ συνήθη ποιοῦντα, ἀνασκάπτει [βαθύτερον] λοι-
πὸν τὸ βάραθρον, καὶ τὰ πτερὰ τῆς ἡδονῆς πάντοθεν ἀναπετάσασα, ὥσπερ ἐν μέσοις δικτύ-
20 οις λοιπὸν ἔχουσα τὸν ἀετὸν, ἐπεισέρχεται, καὶ μόνη μόνον ἀπολαβοῦσα, μᾶλλον δὲ οὐ μόνη (καὶ
γὰρ καὶ τὴν ἡλικίαν καὶ τὴν φύσιν καὶ τὰ αὐτοῦ μηχανήματα συμπράττοντα εἶχεν αὐτῇ)
ἕλκει λοιπὸν ἐπὶ τὴν ἄδικον πρᾶξιν πρὸς βίαν τὸν γενναῖον ἐκεῖνον. τί τοῦ πειρασμοῦ τού-
του χαλεπώτερον; ποίας τοῦτο καμίνου καὶ φλογὸς οὐ σφοδρότερον; νέον, σφριγῶντα, δοῦλον,
ἔρημον, ἄπολιν, ξένον, μετὰ μανίας ἐρῶν ὑπὸ δεσποίνης οὕτως ἀκολάστου καὶ μαινομένης, οὕτω πλου-
25 τούσης, καὶ τοσαύτην δυναστείαν περιβεβλημένης, ἐν ἐρημίᾳ τοσαύτῃ (συντελεῖ γὰρ καὶ
τοῦτο πρὸς τὴν τοιαύτην ἅλωσιν) συνειλημμένον κατέχεσθαί τε καὶ κολακεύεσθαι, καὶ πρὸς
εὐνὴν ἄγεσθαι δεσποτικὴν, καὶ ταῦτα μετὰ τοσούτους κινδύνους καὶ ἐπιβουλάς. οἶσθα γὰρ ὡς
οἱ πολλοὶ, ὅταν περιπεσόντες τύχωσι τοῖς δεινοῖς, εἶτα εἰς τρυφὴν καταστῶσι, καὶ ἄνεσιν
καὶ τὸν ὑγρὸν τοῦτον καὶ διαλελυμένον βίον, προθυμότερον ἐπιτρέχουσιν. ἀλλ' οὐκ ἐκεῖνος
30 οὕτως· ἀλλ' ἔμεινε διὰ πάντων τὴν οἰκείαν καρτερίαν ἐπιδεικνύμενος. ἐγὼ τὸν θάλαμον
ἐκεῖνον, καὶ τὴν Βαβυλωνίαν κάμινον, καὶ τὸν τοῦ Δανιὴλ λάκκον τῶν λεόντων, καὶ τὴν γαστέρα
τοῦ θαλαττίου θηρίου, εἰς ἣν ὁ προφήτης ἐνέπεσε, θαῤῥῶν ἴσην ἂν προσείποιμι· μᾶλλον δὲ καὶ
πολλῷ τούτων χαλεπώτερον. ἐκεῖ μὲν γὰρ τῆς ἐπιβουλῆς ἡ νίκη σώματος ἦν ἀπώλεια· ἐν ταύτῃ δὲ
ψυχῆς πανωλεθρία, καὶ θάνατος ἀθάνατος, καὶ συμφορὰ παραμυθίαν οὐκ ἔχουσα. οὐ ταύτῃ
35 δὲ μόνον χαλεπὸς ὁ λάκκος οὗτος ἦν, ἀλλ' ὅτι γε μετὰ τῆς βίας καὶ τοῦ δόλου καὶ πολλῆς ἔγεμε τῆς
κολακείας, πολλοῦ τοῦ ποικίλου καὶ παντοδαποῦ πυρὸς, οὐ σῶμα καίοντος, ἀλλ' αὐτὴν
φλέγοντος τὴν ψυχήν. καὶ τοῦτο αὐτὸ δηλῶν ὁ Σολομὼν, ὁ μάλιστα ταῦτα μετὰ ἀκρι-
βείας εἰδὼς, ἡλίκον ἐστὶ τὸ γυναικὶ συλλαλεῖν ἄνδρα ἐχούσῃ, Ἀποδήσει τίς, φησι, πῦρ ἐν
κόλπῳ, τὰ δὲ ἱμάτια αὐτοῦ οὐ κατακαύσει; ἢ περιπατήσει τις ἐπ' ἀνθράκων πυρὸς, τοὺς
40 δὲ πόδας οὐ καταφλέξει; οὕτως ὁ πορευόμενος πρὸς γυναῖκα ὕπανδρον, καὶ πᾶς ὁ ἁπτόμενος
αὐτῆς, οὐκ ἀθωωθήσεται. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὥσπερ, φησὶν, οὐκ ἔνι ὁμιλοῦντα πυρὶ
μὴ κατακαίεσθαι, οὕτως οὐδὲ γυναιξὶ συνόντα διαφυγεῖν τὸν ἐντεῦθεν ἐμπρησμόν.
οὗτος δὲ, ὃ πολλῷ χαλεπώτερον ἦν, ὑπέμενεν. οὐ γὰρ αὐτὸς αὐτῆς ἥψατο, ἀλλ' ὑπ'
ἐκείνης κατείχετο, μόνος ὑπὸ μόνης ἀπειλημμένος. καίτοι τοσούτοις ἤδη κακοῖς κατειργασμέ-

Marginal notes: ἰῶ · γ. λυσσαίνειν · γ. νέον · γ. δαπ. · γ. νέον · γ. συμπαρόντα · γ. ἀκολασίας · γ. συμβαλεῖν · γ. ἱματίω · Παροιμ. ς. κζ.

νος, καὶ τοσαύταις περιεχόμενος ἐπιβουλαῖς, καὶ ἀνέσεως ἐπιθυμῶν τῆς ἀδείας, ἀλλ' ὅμως ἐν τοσούτοις δικτύοις ὤν, καὶ ποικίλον θηρίον ὁρῶν "αὐτῷ προσβάλλον, καὶ διὰ πάντων αὐτὸν "κατατοξεῦον, διὰ τῆς ἀφῆς, διὰ τῆς φωνῆς, διὰ τῶν ὀμμάτων, διὰ τῶν χρωμάτων, διὰ τῶν ἐπιτριμμάτων, διὰ τῆς ὑπογραφῆς, διὰ τῶν χρυσίων, διὰ τῶν μύρων, διὰ τῶν ἱματίων, διὰ τοῦ ἤθους, διὰ τῶν ῥημάτων, διὰ τοῦ κόσμου τοῦ περικειμένου, διὰ τῆς "μονώσεως, διὰ τοῦ λανθάνειν, διὰ τοῦ πλούτου, διὰ τῆς δυναστείας, ἔχουσάν τε μετὰ τούτων συνεργὸν, ὅπερ ἔμπροσθεν εἶπον, τὴν ἡλικίαν, τὴν φύσιν, τὴν δουλείαν, τὸ ἐν ἀλλοτρίᾳ εἶναι, πᾶσαν ἐνίκησε τὴν φλόγα ἐκείνην. ἐγὼ τοῦτον τὸν πειρασμὸν καὶ τοῦ φθόνου τῶν ἀδελφῶν, καὶ τοῦ μίσους τοῦ συγγενικοῦ, καὶ τῆς πράσεως, καὶ τῆς τῶν βαρβάρων δεσποτείας, καὶ τῆς μακρᾶς ἀποδημίας, καὶ τῆς ἐν ἀλλοτρίᾳ διατριβῆς, καὶ τοῦ δεσμωτηρίου, καὶ τῆς ἀλύσεως, καὶ τοῦ μακροῦ χρόνου, καὶ τῆς αὐτόθι ταλαιπωρίας πολὺ χαλεπώτερον εἶναί φημι. τῆς γὰρ περὶ τὴν ἐσχάτην ὁ κίνδυνος ἦν. ἐπειδὴ δὲ καὶ τοῦτον διέφυγε τὸν κίνδυνον, καὶ διέδρα τὸν πόλεμον, καὶ ἐγένετο καὶ ἐνταῦθα πνεῦμα δρόσου διασυρίζον ἀπό τε τῆς τοῦ Θεοῦ χάριτος καὶ τῆς ἀρετῆς τοῦ νέου (τοσοῦτον γὰρ αὐτῷ περιῆν ἀπαραξίας καὶ σωφροσύνης, ὅτι καὶ τὴν ἐκείνης μανίαν καταλῦσαι ἐσπούδασε) πλὴν ἀλλ' ἐπειδὴ αὐτὸς ἐξῆλθεν ἀνέπαφος, ὥσπερ οἱ νεανίσκοι τὴν Περσικὴν "διαφυγόντες φλόγα (Οὐδὲ γὰρ ὀσμὴ πυρὸς ἦν ἐν αὐτοῖς, φησὶ) τῆς σωφροσύνης μέγας ἀθλητὴς ἀνεδείχθη, καὶ ἀδάμαντα ἐμιμήσατο· ἴδωμεν οἵων εὐθέως ἀπέλαυσε, καὶ τίνα ἔπαθλα διαδέχεται τὸν στεφανίτην. ἐπιβουλαὶ πάλιν, καὶ βάραθρα, καὶ θάνατος, καὶ κίνδυνοι, καὶ συκοφαντίαι, καὶ μῖσος ἄλογον. ἡ γὰρ ἀθλία τότε ἐκείνη ὑπὸ τῆς χαλεπῆς μανίας ἐκβακχευομένη θυμῷ παραμυθεῖται τὸν ἔρωτα, καὶ πάθος "συνάπτει πάθει, καὶ ἐπιθυμίᾳ ἀκολάστῳ προστίθησιν ὀργὴν ἄδικον, καὶ μετὰ τὴν μοιχείαν γίνεται καὶ ἀνδροφόνος καὶ πνέουσα θηριωδίας πολλῆς. καὶ "φόνον βλέπουσα καθίζει δικαστήριον διεφθαρμένον, τὸν δεσπότην τὸν ἐκείνου, τὸν ἄνδρα τὸν ἑαυτῆς, τὸν βάρβαρον, τὸν Αἰγύπτιον· τῆς εἰσαγωγῆς κατηγορίαν ἀμάρτυρον, καὶ οὐδὲ ἀφίησιν εἰσελθεῖν εἰς δικαστήριον τὸν ἐγκαλούμενον, ἀλλ' "ἐρήμην κατηγορεῖ τῇ τε ἀνοίᾳ καὶ τῇ εὐνοίᾳ τοῦ δικάζοντος, τῇ τε ἀξιοπιστίᾳ τοῦ οἰκείου προσώπου, καὶ τῷ δοῦλον εἶναι τὸν ἐγκαλούμενον θαῤῥοῦσα, καὶ τὰ ἐναντία εἰποῦσα τῶν γενομένων ἐκράτησε τοῦ δικαστοῦ, καὶ τὴν νικῶσαν ἔπεισε ψῆφον ἐξενεγκεῖν, καὶ καταδικάσαι τὸν ἀνεύθυνον, καὶ τιμωρίαν ἐπιθεῖναι χαλεπωτάτην. καὶ δεσμωτήριον εὐθέως καὶ ἀπαγωγὴ, καὶ ἅλυσις. καὶ μηδὲ ἰδὼν δικαστὴν "κατεκρίνετο ὁ θαυμάσιος ἐκεῖνος ἀνήρ· καὶ τὸ δὴ χαλεπώτερον, κατεκρίνετο ὡς μοιχὸς, ὡς δεσποτικῆς ἐπιθυμήσας εὐνῆς, ὡς ἀλλότριον διορύξας γάμον, ὡς ἁλοὺς, ὡς ἐληλεγμένος. ὅ τε γὰρ δικαστὴς, ἥ τε κατήγορος παρὰ τοῖς πολλοῖς καὶ τὴν ἀλήθειαν οὐκ εἰδόσι, ἥ τε τιμωρία ἑπομένη ἀξιόπιστον ἐποίει τὸ δρᾶμα φαίνεσθαι. ἀλλ' οὐδὲν τούτων "ἐθορύβησεν ἐκεῖνον, οὔτε εἶπεν, αὗται τῶν "ὀνειράτων αἱ ἀμοιβαί; τοῦτο τῶν ὄψεων ἐκείνων τὸ τέλος; ταῦτα τῆς σωφροσύνης τὰ ἔπαθλα; κρίσις ἄλογος, καὶ ψῆφος ἄδικος, καὶ πονηρὰ πάλιν ὑπόληψις; ὡς γὰρ ὑπαιρηκὼς ἐξεβλήθην "ἔναγχος τῆς πατρῴας οἰκίας· ὡς μοιχὸς καὶ σωφροσύνην διορύξας γυναικὸς εἰς δεσμωτήριον "εἰσάγομαι νῦν, καὶ ταῦτα περὶ ἐμοῦ πάντες ψηφίζονται). καὶ οἱ μὲν ἀδελφοὶ οἱ μέλλοντές με προσκυνεῖν (τοῦτο γὰρ τὰ ὀνείρατα ἐδήλου) ἐν ἐλευθερίᾳ καὶ ἀδείᾳ καὶ τρυφῇ καὶ πατρίδι καὶ οἰκίᾳ πατρῴᾳ· ἐγὼ δὲ ὁ μέλλων αὐτῶν κρατεῖν, μετὰ τυμβωρύχων, μετὰ λῃστῶν, μετὰ βαλλαντιοτόμων ἐνταῦθα δέδεμαι· οὔπω μετὰ τὸ τῆς πατρίδος ἐκπεσεῖν, θορύβων "ἀπαλλαττόμενος καὶ πραγμάτων, ἀλλὰ καὶ ἐν ἀλλοτρίᾳ πάλιν βάραθρα ἡμᾶς καὶ ξίφη ἠκονημένα διαδέχεται. καὶ ἡ μὲν τοιαῦτα * δράσασα καὶ συκοφαντήσασα, καὶ δι' ἑκατέρων τῶν τολμημάτων ἀποτμηθεῦσα δίκαια, χορεύει τε καὶ σκιρτᾷ νῦν, ὥσπερ ἐπὶ τροπαίοις τε λαμπροῖς ἐπινικίοις ἐστεφανωμένη· ἐγὼ δὲ ὁ μηδὲν ἠδικηκὼς, τὴν ἐσχάτην τίνω δίκην. οὐδὲν

τούτων

Margin: Δαν. γ. κη. — γ. ἔτω — γ. καταξέον — 5 γ. ἐρημίας — 10 — γ. εὐταξίας — 15 — γ. ἐκφυγ. — 20 γ. ἀνάπτει — γ. φόνον — 25 γ. κατὰ μόνας — γ. κατεκρί. — 30 ὁ θαυμαστὸς — γ. ἐφόβησεν — γ. ὀνείρων — 35 γ. περὶ ὀλίγ. — γ. βάλλομαι — 40 γ. ἀπαλλαγ. μένος — * καὶ

τούτων ἐκεῖνος οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ὥσπερ ἀθλητὴς διὰ στεφάνων ὀδυνῶν, οὕτως
ἔχαιρε καὶ εὐφραίνετο, οὐ τοῖς ἀδελφοῖς, οὐ τῇ μοιχαλίδι μνησικακῶν. πόθεν τοῦτο δῆλον;
ἐξ ὧν αὐτὸς πρός τινα τῶν αὐτόθι δεδεμένων διελέχθη ποτέ. τοσοῦτον γὰρ ἀπεῖχεν ἀπὸ
ἀθυμίας ἁλῶναι, ὅτι καὶ ἑτέροις ἔλυσε λύπας. ἐπειδὴ γὰρ εἶδέ τινας αὐτόθι τεταραγμέ-
5 νους * καὶ ἀθυμοῦντας, προσῆλθεν εὐθέως τὴν αἰτίαν εἰσόμενος· καὶ μαθὼν, ὅτι ἐξ [illegible]ως
ὀνειράτων ὁ θόρυβος ἦν, διέλυσε τὰ ὀνείρατα. εἶτα παρακαλεῖ ἀναμνῆσαι τὸν βασιλέα
τῆς ἀπαλλαγῆς ἕνεκεν τῆς αὐτοῦ (εἰ γὰρ καὶ γενναῖος καὶ θαυμάσιος ἦν, ἀλλ' ἄνθρωπος ἦν,
καὶ οὐκ ἐβούλετο ταῖς ἀλύσεσιν ἐνταλαιπωρεῖσθαι ἐκείναις) παρακαλεῖ τοίνυν μνησθῆναι
αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ πεῖσαι ἀφεῖναι αὐτὸν τῶν δεσμῶν, καὶ ἀναγκαζόμενος καὶ τὴν
10 αἰτίαν εἰπεῖν, δι' ἣν ἐνεβέβλητο, ὥστε καὶ ἐκεῖνον τὸν ὑπὲρ αὐτοῦ δεόμενον εὐπρόσωπον ἔχειν
πρόφασιν τῆς ὑπὲρ αὐτοῦ συνηγορίας, οὐδενὸς ἐμνημόνευσε τῶν ἠδικηκότων· ἀλλ' ἀ-
παλλάξας ἑαυτὸν τῶν ἐγκλημάτων, ἔστη μέχρι τούτου μόνον, καὶ οὐ προσέθηκε τοὺς εἰς αὐτὸν
πεπλημμεληκότας. Καὶ γὰρ ἐγώ, φησι, κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων, καὶ ὧδε οὐκ
ἐποίησα οὐδὲν, καὶ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον. καὶ τίνος ἕνεκεν οὐ λέγεις τὴν πόρνην,
15 τὴν μοιχαλίδα, τοὺς ἀδελφοὺς τοὺς ἀδελφοκτόνους, τὸν φθόνον, τὸν φόνον, τὴν πρᾶσιν, τὴν
μανίαν τῆς δεσποίνης, τὴν ἔφοδον, τὴν ἀκολασίαν, τὰ δίκτυα, τὰ μηχανήματα, τὴν συ-
κοφαντίαν, τὴν ἄδικον κρίσιν, τὸν διεφθαρμένον δικαστὴν, τὴν παράνομον ἀπόφασιν, τὴν
καταδίκην τὴν οὐκ ἔχουσαν λόγον; διατί ταῦτα σιγᾷς καὶ ἀποκρύπτεις, φησίν; ὅτι μνησι-
κακεῖν οὐκ οἶδα, φησιν, ὅτι ἐμοὶ ταῦτα στέφανοι καὶ βραβεῖα καὶ μείζονος ἐμπορείας ὑπό-
20 θεσις. Εἶδες ψυχὴν φιλόσοφον; εἶδες ὀργῆς καθαράν, καὶ τῶν ἀνέμων ὑψηλοτέραν; εἶδες
συναγορεύοντα τοῖς ἠδικηκόσι μᾶλλον, ἢ μνησικακοῦντα; ὥστε γὰρ μήτε τοὺς ἀδελφοὺς εἰς μέ-
σον ἐνεγκεῖν, μήτε τὴν αἱμοβόρον ἐκείνην, κλοπῇ, φησιν, ἐκλάπην ἐκ γῆς Ἑβραίων· καὶ
ὧδε οὐκ ἐποίησα οὐδέν. καὶ οὐδαμοῦ προσώπων μέμνηται, οὐδὲ τοῦ λάκκου, οὐδὲ ἄλ-
λου τινός. ἀλλ' ὅμως καὶ μετὰ ταῦτα αὐτὸν οὐχ ὁ τυχὼν διεδέξατο πειρασμός. ὁ γὰρ τοσαύτης
25 παρ' αὐτοῦ παρακλήσεως τυχὼν, καὶ τῶν δεσμῶν κατὰ τὴν τούτου πρόρρησιν ἐλευθερωθεὶς, καὶ
ἐπὶ τὴν προτέραν ἀνακληθεὶς τιμὴν, ἐπειδὴ τῆς εὐεργεσίας ἀπέλαυσεν, ἐπελάθετο καὶ
τῆς τοῦ δικαίου ἱκετηρίας. καὶ ὁ μὲν οἰκέτης ἐν βασιλικαῖς ἦν αὐλαῖς πολλῆς ἀπολαύων εὐη-
μερίας· ὁ δὲ ὑπὲρ τὸν ἥλιον λάμπων, καὶ οὕτω φαιδρὰς ἀφιεὶς τῆς ἀρετῆς τὰς ἀκτῖνας ἐπὶ
τὸ δεσμωτήριον ᾤκει· καὶ οὐδεὶς ἦν ὁ ἀναμιμνήσκων τὸν βασιλέα. ἔδει γὰρ ἔτι αὐτῷ
30 πλείους πλακῆναι τοὺς στεφάνους, καὶ μείζονα παρασκευασθῆναι τὰ βραβεῖα. διὸ καὶ μα-
κρότεροι τῶν δρόμων οἱ δίαυλοι τότε ἐπήγνυντο, ἐῶντος μὲν τοῦ Θεοῦ μένειν τὰ σκάμματα,
οὐ μὴν τέλεον ἐγκαταλείποντος· ἀλλὰ τοσοῦτον συγχωροῦντος τοῖς ἐπιβουλεύουσι τὰ αὐτῶν
ἐπιδείκνυσθαι, ὅσον μηδὲ ἀφανίσαι τὸν ἀθλητὴν, μηδὲ ἐκποδὼν ποιῆσαι τῆς ἀρετῆς
τὸν ἀνταγωνιστήν. Εἰς λάκκον μὲν γὰρ αὐτὸν ἐμβληθῆναι συνεχώρησε, καὶ τὸ ἱμάτιον αἱ-
35 μαχθῆναι, εἰς δὲ σφαγὴν αὐτὸν ἐλθεῖν οὐκ ἀφῆκεν· ἀλλὰ συνεβούλευσε μὲν τοῦτο ὁ ἀ-
δελφὸς, τὸ δὲ πέρας τῆς τοῦ Θεοῦ προνοίας ἐγένετο. τοῦτο καὶ ἐπὶ τῆς Αἰγυπτιακῆς συνέβη
γυναικός. τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, ὁ θερμὸς οὕτω καὶ ὀργίλος * (καὶ γὰρ τοῦτο μὲν ὑπερβο-
λῆς αὐτοῖς πρόσεστι τὸ πάθος) ὃν ἐπίστευσεν εἶναι μοιχὸν, καὶ τὴν γυναῖκα ἠδικηκέναι τὴν ἑ-
αυτοῦ, οὐκ ἀπέτεμεν εὐθέως, οὐδὲ πυρὶ παραδέδωκεν· ἀλλ' οὕτως ἀλόγιστος ὢν ὡς ἐκ μιᾶς
40 μοίρας ἀποφήνασθαι, καὶ μηδὲ λόγου μεταδοῦναι τῷ ἐγκαλουμένῳ, ἐν τῷ καιρῷ τῆς τιμω-
ρίας πολλὴν τὴν ἐπιείκειαν ἐπεδείξατο, καὶ ταῦτα, ὁρῶν τὴν γυναῖκα μαινομένην, λυττῶ-
σαν, βίαν ἀποδυρομένην, τὰ ἱμάτια διερρωγότα προφέρουσαν, καὶ μειζόνως καὶ ἐντεῦθεν ἐκκαι-
ομένην καὶ θρηνοῦσαν καὶ ὀλοφυρομένην. ἀλλ' ὅμως τούτων οὐδὲν αὐτὸν εἰς σφαγὴν ἐξῆ-
ψε. πόθεν, εἰπέ μοι; οὐκ εὔδηλον ὅτι ὁ τοὺς λέοντας χαλινώσας, καὶ τὴν κάμινον καταψύξας,
οὗτ

Marginalia: γ. ἐκ (l. 3); * γ. ἐμπνιγμένους (l. 5); γ. θαυμαστός (l. 7); Γεν. μ. ιε. (l. 13); γ. ἐμμένων (l. 11); γ. δικτύων (l. 20); γ. προσώπου (l. 23); γ. καὶ τῶν ἐμπεπλησμένων, ἀλλ' ἀπ' ἄλλης (l. 24–26); γ. ἀναμνήσων (l. 29); γ. ἐνδείκν. (l. 33); γ. αὐτοῖς (l. 35); γ. Αἰγυπτίας (l. 36); * γ. τῶν Αἰγυπτίων τὸ γένος ὡς φιλόψυχον (l. 37–38); γ. ἐξέκαε (l. 43)

οὐδὲ καὶ τοῦ θηρίου τούτου τὸν ἄμετρον ἐπέσχε θυμόν, καὶ τὴν ἄφατον ὀργὴν ἔσβεσεν, ὡς κερασθῆναι
συμμέτρως τῇ τιμωρείᾳ; τοῦτο καὶ ἐν τῷ δεσμωτηρίῳ συμβὰν ἴδοι τις ἄν. δεθῆναι μὲν γὰρ αὐτὸν
συνεχώρησε, καὶ μετὰ τῶν καταδίκων εἶναι· τὸν δὲ τοῦ δεσμοφύλακος ἀπηνείας ἐξήρπασεν. οἶσθα γὰρ
οἶμαι ὅτι δεσμοφύλαξ· ἀλλ' ἐκείνῳ τότε πρᾶος καὶ ἥμερος ἦν, καὶ οὐ μόνον οὐ κατέτεινεν αὐτὸν πό-
νοις τισίν, ἀλλὰ καὶ ἄρχοντα πάντων ἐποίησε τῶν αὐτόθι· καὶ ταῦτα ὡς μοιχὸν δεξάμενος καὶ
κατάδικον, καὶ μοιχὸν ἐπίσημον. οὐ γὰρ εἰς οἰκίαν εὐτελῆ, ἀλλ' εἰς μεγάλην καὶ λαμ-
πρὰν τὸ δρᾶμα τοῦτο τετολμῆσθαι ἐνομίζετο. ἀλλ' ὅμως οὐδὲν τούτων ἐκεῖνον ἐφόβησεν,
οὐδὲ ἔπεισεν ἐκείνῳ γενέσθαι χαλεπόν· ἀλλὰ καὶ οἱ στέφανοι ἀπὸ τῶν παθημάτων ἐπλέ-
κοντο τῷ δικαίῳ, καὶ ἡ τοῦ Θεοῦ συμμαχία μετὰ πολλῆς ἐπέρρει τῆς δαψιλείας. ἐβουλόμην
καὶ ἕτερον παρατεῖναι τῇ ἐπιστολῇ μῆκος· ἀλλ' ἐπειδὴ καὶ τοῦτο μετὰ πολλῆς τῆς περιουσίας οἶμαι
τὸ μέτρον ὑπερβεβηκέναι, ἐνταῦθα καταλύσας τὸν λόγον, ἐκεῖνο παρακαλῶ σου τὴν εὐλά-
βειαν (ὅπερ ἀεὶ διετέλεσα παρακαλῶν) ἀθυμίας μὲν ἀπαλλάττεσθαι, δοξάζειν δὲ τὸν Θεὸν
(ὅπερ ἀεὶ πεποίηκας, καὶ ποιοῦσα διατελεῖς) χάριτας ὁμολογοῦσαν ὑπὲρ πάντων αὐτῷ τῶν
χαλεπῶν τούτων καὶ ὀδυνηρῶν. οὕτω γὰρ καὶ αὐτὴ τὰ μέγιστα ἀγαθὰ καρπώσῃ, καὶ τῷ δια-
βόλῳ καιρίαν δώσεις πληγήν, καὶ ἡμῖν πολλὴν παρέξεις παράκλησιν, καὶ τῆς ἀθυμίας τὸ νέ-
φος μετὰ πολλῆς ἀφθονίας δυνήσῃ τῆς εὐκολίας καὶ καθαρᾶς ἀπολαῦσαι γαλήνης. μὴ
δὴ καταμαλακίζου, ἀλλ' ἀνενεγκοῦσα ἀπὸ τοῦ καπνοῦ τούτου (καπνοῦ γάρ, ἐὰν θέλῃς, ῥᾷον
διασκεδάσεις πᾶσαν τὴν ἀθυμίαν ταύτην) δῆλον τοῦτο πάλιν ποίησον ἡμῖν· ἵνα καὶ πόρρω-
θεν ὄντες, πολλὴν ἀπὸ τῶν τοιούτων γραμμάτων καρπωσώμεθα τὴν εὐφροσύνην.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ιη.

Ἐπετάθη τὰ τῆς θλίψεως ὑμῖν, καὶ πλατύτερα πάλιν ἐτέθη τὰ
σκάμματα, καὶ μακρότεροι τῶν δρόμων οἱ δίαυλοι, καὶ πρὸς μείζο-
να φλόγα τῶν ἐπιβουλευόντων ὑμῖν αἴρεται ὁ θυμός. ἀλλ' οὐ θορυ-
βεῖσθαι οὐδὲ ταράττεσθαι, ἀλλὰ δι' αὐτὰ μὲν οὖν ταῦτα μάλιστα
χαίρειν δεῖ καὶ σκιρτᾶν καὶ στεφανοῦσθαι καὶ χορεύειν. εἰ γὰρ μὴ καιρίας
ἐν τοῖς ἔμπροσθεν ἐδώκατε τῷ διαβόλῳ τὰς πληγάς, οὐκ ἂν οὕ-
τως ἠγριώθη τὸ θηρίον, ὡς καὶ περαιτέρω προελθεῖν. δεῖγμα τοίνυν καὶ τῆς ὑμετέρας ἀν-
δρείας καὶ νίκης, καὶ τῆς ἥττης ἐκείνου τῆς πολλῆς, τὸ μειζόνως ἐφάλλεσθαι καὶ ἐπιπηδᾶν,
καὶ πλείονα ἐπιδείκνυσθαι τὴν ἀναισχυντίαν, καὶ δαψιλέστερον ἐκχεῖν τὸν ἰόν. ἐπεὶ καὶ ἐπὶ
τοῦ μακαρίου Ἰώβ, ἐπειδὴ ἐν τῇ τῶν χρημάτων ἀποβολῇ ἡττήθη καὶ τῇ τῶν παίδων ἀφαιρέ-
σει, δεῖγμα τότε ἐκφέρων τοῦ χαλεπὰ τραύματα δέξασθαι, ἐπὶ τὸ κεφάλαιον ὥρμησε τῶν
κακῶν, τὴν τῆς σαρκὸς πολιορκίαν, τὴν τῶν σκωλήκων πηγήν, τὸν τῶν τραυμάτων χορόν.
χορὸν γὰρ αὐτὸν ἐγὼ καὶ στέφανον καλῶ, καὶ μυρίων βραβείων ἑσμόν. καὶ οὐδὲ ἐνταῦθα ἔστη,
ἀλλ' ἐπειδὴ οὐδὲν ὑπελείπετο ἕτερον αὐτῷ μηχάνημα τοιοῦτον (ὡς γὰρ ἔσχατον ὅρον συμ-
φορῶν, οὕτω τὴν νόσον ἐπήγαγεν ἐκείνην) καὶ ἕτερα πάλιν ἐκίνει μηχανήματα, τὴν γυναῖ-
κα ὁπλίζων, τοὺς φίλους προξενῶν, τοὺς οἰκέτας διεγείρων καὶ θηριώδεις ποιῶν, καὶ διὰ
πάντων τὰ τραύματα ἀναξαίνων· ὃ δὴ καὶ νῦν ἐπιχειρῶν οὐ παύεται, ἀλλὰ κατὰ τῆς ἑαυτοῦ
κεφαλῆς· ὡς τά γε ὑμέτερα ἐντεῦθεν λαμπρότερα καὶ μείζω καὶ φαιδρότερα καθ' ἑκά-
στην γίνεται τὴν ἡμέραν· πλείων ὑμῖν ὁ πλοῦτος, δαψιλεστέρα ἡ ἐμπορεία, ἐπάλληλοι καὶ
συνεχεῖς οἱ στέφανοι, πολλὴ δι' αὐτῶν τῶν σκύλων τῆς ἀνδρείας ὑμῖν ἡ προσθήκη, καὶ αἱ ἐ-
πιβουλαὶ τῶν ἐχθρῶν ἄλειμμα γέγονε τῆς καρτερίας τῆς ὑμετέρας. τοιαύτη γὰρ τῆς θλί-
ψεως ἡ φύσις· τοῖς πράως αὐτὴν καὶ γενναίως φέρουσιν ἀνωτέρους ποιεῖ τῶν δεινῶν, ὑψηλοτέ-

ρους

γ. καὶ πικ
γ. μείζονα
γ. ἡμῖν
γρ. αὐξάνη
γ. ἡμέτερα
γ. ἡμῖν
γ. γυμναστὰς

ροις τῶν τοῦ διαβόλου βελῶν, καὶ παιδεύει καταφρονεῖν τῶν ἐπιβουλῶν. ἐπεὶ καὶ τὰ δένδρα,
τὰ μὲν σκιατροφούμενα, μαλακώτερα γίνεται, καὶ πρὸς καρπῶν γένεσιν ἀχρηστότερα· τὰ δὲ ἀέ-
ρων ἀνωμαλίᾳ ὁμιλοῦντα, καὶ πνευμάτων δεχόμενα ἐμβολὰς καὶ θέρμην ἀκτῖνος, αὐτά τε ἰ-
σχυρότερα καθίσταται, καὶ τοῖς φύλλοις κομᾷ, καὶ τῷ καρπῷ βρίθεται· οὕτω καὶ ἐπὶ τῆς θα-
5 λάσσης συμβαίνειν εἴωθεν. οἱ μὲν γὰρ πρῶτον ἐπιβαίνοντες νηός, κἂν σφόδρα γενναῖοί τινες τύ-
χωσιν ὄντες, ὑπὸ τῆς ἀπειρίας ταράττονται, θορυβοῦνται σκοτοδίνοις, ἰλίγγοις κατέχονται· οἱ δὲ
πολλὰ διαβάντες πελάγη, καὶ πολλοὺς ὑπομείναντες χειμῶνας, καὶ ὑφάλους, καὶ σκοπέλους, καὶ
σπιλάδας, καὶ θηρίων ἐφόδους, καὶ πειρατῶν ἐπιβουλὰς καὶ καταποντιστῶν, καὶ συνεχῶς
διασωζόμενοι χειμώνων, τῶν ἐπὶ γῆς λοιπὸν βαδιζόντων θαρραλεώτερον ἐπὶ τῆς νηὸς κάθηνται,
10 οὐκ ἔνδον παρὰ τὴν τρόπιν, ἀλλὰ καὶ αὐτοῖς ἐνιζάνοντες τοῖς ἰκρίοις τῆς νηός, καὶ ἐπὶ πρῴ-
ρας καὶ ἐπὶ πρύμνης ἀδεῶς ἱστάμενοι. καὶ οἱ περὶ τούτου ἔπ' ἴλιγγι μετὰ τρόμου καὶ φόβου
κείμενοι, μετὰ τὴν πολλὴν ʺ τοῦ χειμῶνος πεῖραν καὶ ʺ ἀγωνίαν ἕλκουσι, καὶ ἱστία διαίρουσι, καὶ κά-
λων ἅπτονται, καὶ πανταχοῦ τῆς νηὸς μετ' εὐκολίας περιτρέχουσι. μηδὲν τοίνυν ʺ ὑμᾶς
θορυβείτω τῶν συμπιπτόντων. εἰς τοῦτο γὰρ ʺ ὑμᾶς κατέστησαν οἱ ἐχθροὶ ἄκοντες, εἰς τὸ
15 μὴ δύνασθαι κακῶς παθεῖν, πάντα μὲν αὐτῶν κενώσαντες τὰ βέλη, οὐδὲν δὲ πλέον ἐν τούτῳ
ἀνύσαντες, ἢ τὸ καταισχύνεσθαι καὶ γελᾶσθαι, καὶ ὥσπερ κοινοὺς τῆς οἰκουμένης ἐχθρούς, οὕτω
πανταχοῦ φαίνεσθαι. ταῦτα τῶν ἐπιβουλευόντων τὰ ἐπίχειρα· τοῦτο τῶν ʺ πολέμων τὸ τέλος.
βαβαί, πηλίκον ἐστὶν ἀρετὴ καὶ τῶν παρόντων ὑπεροψία πραγμάτων. διὰ τῶν ἐπιβουλῶν
κερδαίνει, διὰ τῶν ʺ ἐπιβουλευόντων στεφανοῦται, διὰ τῶν κακῶς ποιούντων διαλάμπει μει-
20 ζόνως, διὰ τῶν ὑποσύρειν ἐπιχειρούντων ἰσχυροτέρους ποιεῖ τοὺς κεκτημένους αὐτήν, ὑψηλο-
τέρους, ἀχειρώτους, ἀλώτους, οὐχ ὅπλων, οὐ δοράτων δεομένους, οὐ τειχῶν, οὐ τάφρων, οὐ πύρ-
γων, οὐ χρημάτων, οὐ στρατοπέδων· ἀλλὰ γνώμης ʺ στερρᾶς μόνον καὶ ἀπεριτρέπτου ψυχῆς, καὶ
πᾶσαν ἀνθρωπίνην ἐπιβουλὴν ἐλέγχει. ταῦτ' οὖν, δέσποινά μου θεοφιλεστάτη, καὶ σαυτῇ
καὶ ταῖς μετὰ σοῦ τὸν καλὸν τοῦτον ἀγῶνα ἀγωνιζομέναις ἐπᾴδουσα, ʺ αἴιση τὰ φρονήματα
25 ʺ πάντων συγκροτοῦσα τὴν παράταξιν· ὥστε διπλοῦν καὶ τριπλοῦν καὶ πολλαπλασίονα
γενέσθαι σοι τὸν στέφανον τῆς ἀρετῆς, δι' ὧν τε αὐτὴ πράττεις, δι' ὧν τε ἑτέρας εἰς ταῦτα ἐν-
άγεις [καὶ] πείθουσα πάντα πράως φέρειν, καὶ ὑπερορᾶν τῶν σκιῶν, καὶ καταφρονεῖν τῆς τῶν ὀνει-
ράτων ἀπάτης, καὶ καταπατεῖν τὸν πηλόν, καὶ τοῦ καπνοῦ μηδένα ποιεῖσθαι λόγον, καὶ τὰς ἀρά-
χνας μὴ νομίζειν ὑμῖν διενοχλεῖν, καὶ παρατρέχειν τὸν σηπόμενον χόρτον. ταῦτα γὰρ * τῆς
30 ἀνθρωπίνης εὐημερίας ἡ ματαιότης, καὶ τούτων δὲ εὐτελέστερα. καὶ οὐκ ἄν τις ῥᾳδίως εἰ-
κόνα εὕροι ἀκριβῶς αὐτῆς τὴν ματαιότητα παριστῶσαν. μετὰ γὰρ τῆς εὐτελείας ταύτης οὐ μικρὰν
φέρει καὶ βλάβην τοῖς πρὸς αὐτὴν κεχηνόσιν, οὐκ ἐν τῷ μέλλοντι μόνον αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ παρόντι
βίῳ, καὶ κατ' αὐτὰς τὰς ἡμέρας, ἐν αἷς δοκοῦσιν αὐτοὶ ἐντρυφᾶν. καθάπερ γὰρ ἡ ἀρετὴ καὶ κατ'
αὐτὸν τὸν καιρόν, καθ' ὃν πολεμεῖται, σκιρτᾷ καὶ θάλλει καὶ φαιδροτέρα δείκνυται· οὕτω καὶ ἡ κακία,
35 καὶ κατ' αὐτὸν τὸν καιρόν, ὃν θεραπεύεται καὶ κολακεύεται, δείκνυσιν αὐτῆς τὴν ἀσθένειαν καὶ τὸν πολὺν
γέλωτα καὶ τὴν ἄφατον κωμῳδίαν. τί γάρ, εἰπέ μοι, τοῦ Κάϊν ἐλεεινότερον γέγονε, καὶ κατ' αὐτὸν τὸν
καιρόν, καθ' ὃν ἐδόκει κρατεῖν τοῦ ἀδελφοῦ καὶ περιγεγενῆσθαι, καὶ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς ἐμπεφο-
ρῆσθαι ἐκείνης τῆς ἀδίκου καὶ μιαρᾶς; τί τῆς δεξιᾶς ἐκείνης ἀκαθαρτότερον, τῆς δοκούσης νενικη-
κέναι, τῆς δεξιᾶς, ἣ τὴν πληγὴν ἐπήγαγε, καὶ τὸν φόνον εἰργάσατο· καὶ τῆς αἰσχίστης γλώτ-
40 της, ἣ τὸν δόλον ἔρραψε καὶ τὰ δίκτυα ἥπλωσε; καὶ τί λέγω ταῦτα μέρη τὰ τὸν φόνον ἐργασάμε-
να; καὶ γὰρ ὅλον τὸ σῶμα ἐκολάζετο, τῷ στεναγμῷ, τῷ τρόμῳ διηνεκῶς παραδοθέν. ὢ
καινῶν πραγμάτων· ὢ παραδόξου νίκης· ὢ ξένου τροπαίου. ὁ μὲν σφαγεὶς καὶ νεκρὸς κεί-
μενος ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο· ὁ δὲ νικήσας καὶ περιγεγονὼς οὐ μόνον ἀστεφάνωτος ʺ ἔμενεν,
ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο ἐκολάζετο, καὶ ἀφορήτοις παρεδίδοτο τιμωρίαις καὶ διηνεκεῖ
βασάνῳ.

χ. τὴν χειμῶ-
να
χ. χεῖρον
χ. ἡμᾶς
χ. ἡμᾶς
χ. πολεμίων
χ. ἐπιβούλων
χ. στερρᾶς
ἰσ. αἰδίως
χ. πάντων
* εἴτε
χ. ἀτρέμας

βασάνῳ. καὶ τοῦ κινουμένου καὶ ζῶντος ὁ πεπληγὼς καὶ τεθνεὼς, καὶ τοῦ φθεγγομένου ὁ ἄφωνος κατηγορεῖ μᾶλλον· ἢ οὐδὲ ὁ τεθνεὼς, ἀλλὰ τὸ αἷμα ψιλὸν καὶ τοῦ σώματος χωρισθὲν ἤρκεσεν εἰς τοῦτο μόνον. τοσαύτη τῶν ἐναρέτων ἡ περιουσία καὶ τελευτησάντων· τοσαύτη τῶν πονηρῶν ἡ ἀθλιότης καὶ ζώντων. εἰ δὲ ἐν τῷ σκάμματι τοιαῦτα τὰ βραβεῖα, ἐννόησον μετὰ τοὺς ἀγῶνας ἡλίκαι αἱ ἀμοιβαὶ, ἐν τῷ καιρῷ τῆς ἀντιδόσεως, ἐν τῇ χορηγίᾳ τῶν ἀγαθῶν ἐκείνων τῶν πάντα ὑπερβαινόντων λόγον. τὰ μὲν γὰρ λυπηρὰ, οἷα ἂν ᾖ, παρὰ ἀνθρώπων ἐπάγεται, καὶ μιμεῖται τῶν ἐπιφερόντων τὴν εὐτέλειαν· τὰ δὲ δῶρα καὶ αἱ ἀμοιβαὶ παρὰ τοῦ Θεοῦ δίδονται. διὸ καὶ τοιαῦτά ἐστιν, οἷα εἰκὸς παρὰ τῆς ἀφάτου δωρεᾶς ἐκείνης δίδοσθαι. χαῖρε τοίνυν καὶ εὐφραίνου στεφανηφοροῦσα, πομπεύουσα, τὰ κέντρα τῶν ἐχθρῶν καταπατοῦσα μᾶλλον ἢ πηλὸν ἕτεροι· καὶ δήλου συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας σου, ἵνα καὶ ἐντεῦθεν πολλὴν καρπωσώμεθα τὴν εὐφροσύνην. οἶσθα γὰρ ὡς οὐ μικρὰ ἡμῖν ἔσται παραμυθία καὶ ἐν ἐρημίᾳ καθημένοις, ὅταν συνεχῶς μανθάνωμεν περὶ τῆς ῥώσεως τῆς σῆς. ἔρρωσο.

γρ. τοῖς σκάμμασι
γρ. τῆς σῆς

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ε.

ΑΠ' αὐτὰς ἀναβὰς τὰς τοῦ θανάτου πύλας, ταῦτα ἐπιστέλλω πρὸς τὴν σὴν κοσμιότητα. διὸ καὶ σφόδρα ἥσθην ὅτι νῦν ἀπηντήκασιν οἱ παῖδες εἰς λιμένα λοιπὸν ὁρμίζουσιν ἡμῖν. εἰ γὰρ πελαγίῳ μοι σαλεύοντι ἔτι, καὶ τὰ χαλεπὰ τῆς ἀρρωστίας ἐκδεχομένῳ κύματα συνήντησαν, οὐδὲ ἀπατῆσαί μοι ῥᾴδιον ἦν τὴν σὴν εὐλάβειαν, χρηστὰ ἀντὶ δυσχερῶν ἀπαγγέλλοντι. καὶ γὰρ ὁ χειμὼν τοῦ συνήθους γενόμενος σφοδρότερος χαλεπωτέραν ἡμῖν καὶ τοῦ στομάχου τὸν χίμεθλα ἐπήγαγε, καὶ νεκρὰν οὐδὲν ἄμεινον τοὺς δύο διετέλεσα μῆνας τούτους, ἀλλὰ καὶ χαλεπώτερον. τοσοῦτον γὰρ ἔζων, ἴσον ἐπαισθάνεσθαι τῶν πάντοθεν κυκλούντων με δεινῶν. καὶ πάντα μοι νὺξ ἦν, καὶ ἡμέρα, καὶ ὄρθρος, καὶ μεσημβρία μέση. καὶ διημέρευον τῇ κλίνῃ προσηλωμένος, καὶ μυρία μηχανώμενος οὐκ ἴσχυον τὴν ἀπὸ τοῦ κρυμοῦ βλάβην ἀποτινάξασθαι. ἀλλὰ καὶ πῦρ ἀνάπτων, καὶ καπνοῦ χαλεπωτάτου ἀνεχόμενος, καὶ ἐν ἑνὶ δωματίῳ καθειργμένος, καὶ μυρία ἐπιβλήματα ἔχων, καὶ μηδὲ τὸν οὐδὸν ὑπερβῆναι τολμῶν, τὰ ἔσχατα ἔπασχον, ἐμέτων τε συνεχῶς ἐπιγινομένων, κεφαλαλγίας, ἀνορεξίας, ἀγρυπνίας διηνεκοῦς. τὰ γοῦν πελάγη τῆς νυκτὸς τὰ οὕτω μακρὰ ἀγρυπνῶν διετέλουν. ἀλλ' ἵνα μὴ ἐπὶ πλέον τοῖς δυσχερέσιν ἐνδιατρίβων κατατείνω σου τὴν διάνοιαν, πάντων ἀπηλλάγμεθα τούτων νῦν. ὁμοῦ τε γὰρ ἐπέστη τὸ ἔαρ καὶ μικρά τις τοῦ ἀέρος γέγονε μεταβολή, * αὐτόματα πάντα ἐλύθη. ἀλλ' ὅμως καὶ νῦν πολλῆς δέομαι τῆς ἀκριβείας κατὰ τὴν δίαιταν. διὸ δὴ τοῦτο κοῦφον ποιῶ τῷ στομάχῳ τὸ φορτίον, ὥστε αὐτὸ δύνασθαι καὶ ῥᾳδίως διαπεφθῆναι. οὐχ ὡς ἔτυχε δὲ ἡμᾶς κατέστησεν ἐν φροντίδι καὶ τὸ μαθεῖν πρὸς ἐσχάτας ἀναπνοὰς ἐλθεῖν σου τὴν κοσμιότητα· ἀλλ' ὅμως διὰ τὸ * σφόδρα μεριμνᾶν καὶ φροντίζειν τὰ σὰ, καὶ περὶ τῶν γραμμάτων τῆς τιμιότητός σου ταύτης ἀπηλλάγημεν τῆς μερίμνης, πολλῶν ἐκεῖθεν ἐλθόντων καὶ ἀπαγγειλάντων τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. καὶ νῦν χαίρω σφόδρα καὶ εὐφραίνομαι, οὐχ ὅτι τῆς ἀρρωστίας ἀπηλλάγης μόνον, ἀλλὰ πρὸ πάντων ὅτι οὕτω γενναίως φέρεις τὰ συμπίπτοντα, μηδὲν ἅπαντα ταῦτα καλοῦσα. καὶ τὸ δὴ μεῖζον, ὅτι καὶ τῇ τοῦ σώματος ἀρρωστίᾳ ταύτην προσέθηκας τὴν προσηγορίαν, ὃ ψυχῆς ἐστι νεανικῆς καὶ πολλῷ τῷ τῆς ἀνδρείας βρυούσης καρπῷ. τὸ γὰρ μὴ μόνον φέρειν γενναίως τὰ δυσχερῆ, ἀλλὰ μηδὲ [illegible] αὐτῶν αἰσθάνεσθαι, ἀλλ' ὑπερορᾶν, καὶ μετὰ πολλῆς τῆς ἀπραγμοσύνης καὶ τῆς ὑπομονῆς ἀναδήσασθαι στέφανον, οὐ κάμνουσαν, οὐδὲ ἱδροῦσαν, οὐδὲ πράγματα ἔχουσαν, οὐδὲ ἑτέροις παρέχουσαν, ἀλλ' ὥσπερ σκιρτῶσαν καὶ χορεύουσαν,

σαν,

γρ. ἀπαντ.
γρ. ἀν
γρ. αἰσχύνη
γρ. τὸν οὐδὸν
γρ. γὰρ
γρ. πλέον
* καὶ
γρ. ἠλάθη καὶ λύθη τὰ δυσχερῆ.
* στέργειν

σαν, τοῦτο τῆς ἀκριβεστάτης φιλοσοφίας ἐστὶν ἀπόδειξις. Διὰ ταῦτα χαίρω, σκιρτῶ, πέτο-
μαι ὑπὸ τῆς ἡδονῆς, οὐκ αἰσθάνομαι τῆς παρούσης ἐρημίας, οὐδὲ τῶν λοιπῶν περιστάσεων,
εὐφραινόμενος καὶ γαννύμενος καὶ σφόδρα καλλωπιζόμενος ἐπὶ τῇ σῇ μεγαλοφροσύνῃ
καὶ ταῖς ἐπαλλήλοις νίκαις· οὐ διὰ σὲ μόνον, ἀλλὰ καὶ διὰ τὴν μεγάλην καὶ πολυάν-
5 θρωπον πόλιν ἐκείνην, ᾗ καὶ ἀντὶ πύργου καὶ λιμένος γέγονας καὶ τείχους, λαμπρὰν
τὴν διὰ τῶν πραγμάτων ἀφιεῖσα φωνὴν, καὶ ἑκάτερον τὸ γένος ἐν τοῖς παθήμασί σου παι-
δεύουσα καὶ ἀποδύεσθαι ῥᾳδίως πρὸς τοὺς τοιούτους ἀγῶνας, καὶ καταβαίνειν εἰς τὰ
σκάμματα μετὰ ἀνδρείας ἁπάσης, καὶ φέρειν εὐκόλως τοὺς ἐκ τῶν τοιούτων ἀγώνων ἱδρῶ-
τας. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι οὐκ εἰς ἀγορὰν ἐμβάλλουσα, οὐδὲ τὰ μέσα τῆς πόλεως κα-
10 ταλαμβάνουσα, ἀλλ' ἐν οἰκίσκῳ βραχεῖ καὶ θαλάμῳ καθημένη μόνον, ἀλείφεις τοὺς ἐστῶ-
τας. καὶ τῆς θαλάττης οὕτω μαινομένης, καὶ τῶν κυμάτων οὕτω κορυφουμένων, σκοπέλων τε καὶ
ὑφάλων καὶ σπιλάδων καὶ θηρίων πανταχόθεν ἀγρίων ἀναφαινομένων, καὶ νυκτὸς βαθυτάτης
πάντα κατεχούσης, ὡς ἐν μεσημβρίᾳ καὶ γαλήνῃ καὶ κατὰ πρύμναν τοῦ πνεύματος ἱσταμένου, οὕ-
γ. ψυχῆς — τως ἀναπετάσασα τῆς ὑπομονῆς τὰ ἱστία, μετὰ πολλῆς πλέεις τῆς εὐκολίας, οὐ μόνον οὐ
15 κλυδωνιζομένη ὑπὸ τοῦ χαλεποῦ τούτου χειμῶνος, ἀλλ' οὐδὲ περιρραντιζομένη. καὶ μάλα-
γε εἰκότως. τοιαῦτα γὰρ τῆς ἀρετῆς τὰ πηδάλια. καὶ ἔμποροι μὲν, καὶ κυβερνῆται, καὶ ναῦ-
ται, καὶ πλωτῆρες, ἐπειδὰν ἴδωσι νεφῶν συνδρομὴν, ἢ ἀγρίων ἀνέμων ἐμβολὴν, ἢ τὸ ῥό-
γ. ῥεῖον — θιον τοῦ κύματος σφοδρότατον ἄνω ζέον ἀφρῷ, εἴσω λιμένος τὰ πλοῖα κατέχουσι· εἰ δέ που
που — καὶ * τύχοιεν πελάγιοι σαλεύοντες, πάντα ποιοῦσι καὶ μηχανῶνται, ὥστε πρὸς ὅρμον, ἢ νῆσον,
20 ἢ ἀκτὴν προσορμίσαι τὸ σκάφος. σὺ δὲ, μυρίων πνευμάτων, τοσούτων ἀγρίων κυμάτων πάν-
τοθεν συρρηγνυμένων, τοῦ βυθοῦ τῆς θαλάττης ἀναστραφέντος διὰ τὴν χαλεπότητα τοῦ χει-
γ. γινομ. — μῶνος, καὶ τῶν μὲν ὑποβρυχίων γινομένων, τῶν δὲ ἐπιπλεόντων νεκρῶν τοῖς ὕδασιν, ἑτέρων δὲ
γ. σανίδος — γυμνῶν ἐπὶ σανίδων φερομένων, εἰς μέσον ἁλλομένη τὸ πέλαγος τῶν κακῶν, μῦθον ἅπαν-
τα ταῦτα καλεῖς, μετ' οὐρίας ἐν τοσούτῳ χειμῶνι πλέουσα. καὶ μάλα εἰκότως. οἱ μὲν
25 γὰρ κυβερνῆται, κἂν μυριάκις ὦσι σοφοὶ τὴν ἐπιστήμην ἐκείνην, ἀλλ' οὐχ ἕξουσι τέχνην
ἀρκοῦσαν ἀντιστῆναι παντὶ χειμῶνι· διὸ καὶ φεύγουσι πολλάκις τὴν πρὸς τὰ κύματα μάχην.
σου — σοὶ δέ ἐστιν ἐπιστήμη παντὸς ἀνωτέρα χειμῶνος, τῆς φιλοσόφου * ψυχῆς ἡ δύναμις, ἣ καὶ στρα-
τοπέδων μυρίων ἐστὶν ἰσχυροτέρα, καὶ ὅπλων δυνατωτέρα, καὶ πύργων καὶ τειχῶν ἀσφαλεστέ-
ρα. στρατιώταις μὲν γὰρ καὶ ὅπλα καὶ τείχη καὶ πύργοι πρὸς σώματος ἀσφάλειαν χρήσιμα μό-
γ. ἀτείνει — 30 νον, καὶ τοῦτο οὐκ ἀεὶ, οὐδὲ διὰ παντὸς, ἀλλ' ἔστιν ὅτε καὶ ἡττᾶται ταῦτα πάντα, καὶ ἐρήμους ποιεῖ
γ. φέροντας — τῆς αὐτῶν προστασίας τοὺς καταφυγόντας· τὰ δὲ ὅπλα τὰ σὰ οὐ βέλη βαρβαρικὰ, οὐδὲ
μηχανήματα πολεμίων ἀνθρώπων, οὐδὲ ἐφόδους καὶ κλοπὰς τοιαύτας διελέγχει, ἀλλὰ τὰς
τῆς φύσεως κατεπάτησεν ἀνάγκας, καὶ τὴν τυραννίδα κατέλυσε, καὶ τὴν ἀκρόπολιν αὐτῶν
γ. διαπαντὸς — καθεῖλε· καὶ δαίμοσι πυκτεύουσα συνεχῶς μυρίας μὲν ἤρω νίκας, * ἄτρωτος ἐν τοσαύτῃ βε-
ἐν ἡμῖν ... ἰλιγγιῶσι ... ἀλλ' ... — 35 λῶν νιφάδι, καὶ τὰ ἀκόντια τὰ κατὰ σοῦ ῥιπτόμενα πρὸς τοὺς ἀφιέντας ὑποστρέφει πάλιν. τοι-
αύτη σου τῆς τέχνης ἡ σοφία. δι' ὧν πάσχεις κακῶς, τοὺς ποιοῦντας ἀμύνῃ· δι' ὧν ἐπιβουλεύῃ,
τοὺς πολεμοῦντας λυπεῖς, ὑπόθεσιν μεγίστην ἔχουσα πρὸς εὐδοκιμήσεως ἀφορμὴν μείζο-
νος, τὴν ἐκείνων κακίαν. ταῦτα καὶ αὐτὴ εἰδυῖα καλῶς, καὶ τῇ πείρᾳ τὴν αἴσθησιν ἔχουσα,
εἰκότως μῦθον ἅπαντα ταῦτα καλεῖς. πῶς γὰρ οὐκ ἂν καλέσειας, εἰπέ μοι, μῦθον, θνητὸν
40 σῶμα λαχοῦσα, καὶ θανάτου οὕτω καταφρονοῦσα, ὡς οἱ τὴν ἀλλοτρίαν ἐπειγόμενοι κα-
ταλιπεῖν, καὶ πρὸς τὴν οἰκείαν ἐπανελθεῖν πατρίδα; ἀρρωστίᾳ συζῶσα χαλεπωτάτῃ, καὶ
γ. ἡδύτερον — τῶν εὐσαρκούντων καὶ σφριγώντων ἥδιον διακειμένη, οὐχ ὕβρεσι ταπεινουμένη, οὐ τιμαῖς
γ. μυρίοις πολλοῖς — καὶ δόξαις ἐπαιρομένη· τοῦτο δὴ τὸ μυρίοις πολλῶν αἴτιον γινόμενοι κακῶν, οἱ καὶ
ἐν ἱερωσύνῃ διαλάμψαντες, καὶ πρὸς ἔσχατον γῆρας ἐλάσαντες καὶ βαθυτάτην πολιὰν,

ἐντεῦθεν

ἐντεῦθεν ὤλισθον, καὶ κοινὸν πρόκειται τοῖς βουλομένοις κωμῳδεῖν θέατρον. ἀλλ' ἡ γυνὴ καὶ ἀραχνῶδες περικειμένη σῶμα, καὶ τοσαύτας ἐνεγκοῦσα προσβολάς, οὐ μόνον οὐδὲν ἔπαθες τοιοῦτον, ἀλλὰ καὶ ἑτέρους πολλοὺς παθεῖν ἐκώλυσας. κἀκεῖνοι μὲν οὐδὲ μέχρι πολλοῦ τῶν ἀγώνων προελθόντες, ἀλλ' ἐξ αὐτῶν τῶν προοιμίων καὶ βαλβίδος αὐτῆς, ὡς εἰπεῖν, ἀλλόμενοι κατηνέχθησαν· σὺ δὲ μυριάκις τὴν ἐξωτέραν νύσσαν περιελθοῦσα, καθ' ἕκαστον δρόμον τὸ βραβεῖον ἥρπασας, ποικίλα παλαισμάτων ἐπιδειξαμένη καὶ ἀγώνων εἴδη. καὶ μάλα εἰκότως. οὐδὲ γὰρ ἐν ἡλικίᾳ, οὔτε ἐν σώματι τὰ παλαίσματα τῆς ἀρετῆς, ἀλλ' ἐν τῇ ψυχῇ μόνῃ καὶ γνώμῃ. οὕτω καὶ γυναῖκες ἐστεφανώθησαν, καὶ ἄνδρες ὑπεσκελίσθησαν· οὕτω καὶ παῖδες ἀνεκηρύχθησαν, καὶ γεγηρακότες κατῃσχύνθησαν. ἀεὶ μὲν οὖν χρὴ θαυμάζειν τοὺς μετιόντας ἀρετήν, μάλιστα δέ, ὅταν, πολλῶν αὐτὴν ἀπολειπόντων, εὑρεθῶσί τινες αὐτῆς ἀντεχόμενοι. διὰ δὴ τοῦτο καὶ τὴν σὴν ἐμμέλειαν θαυμάζειν ἄξιον μεθ' ὑπερβολῆς, ὅτι τοσούτων τραπέντων ἀνδρῶν, γυναικῶν, γεγηρακότων, τῶν δοκούντων μεγίστην ὑπόληψιν ἔχειν, πάντων ἐπ' ὄψιν κειμένων, οὐδὲ ἐκ πολλῆς πολέμου ῥύμης, οὐδὲ ἀπὸ σφοδρᾶς τῶν ἐχθρῶν παρατάξεως, ἀλλὰ πρὸ συμβολῆς πεσόντων, πρὸ συμπλοκῆς ἡττηθέντων, αὐτὴ μετὰ τοσαύτας μάχας καὶ παρατάξεις οὐ μόνον οὐ κατεμαλακίσθης, οὐδὲ ἐπαισχύνθης τῷ πλήθει τῶν κακῶν, ἀλλὰ καὶ ἐνεδυναμώθης μειζόνως, καὶ τῶν ἀγώνων ἡ προσθήκη προσθήκην σοι δίδωσιν ἰσχύος. ἡ γὰρ τῶν ἤδη κατορθωθέντων μνήμη, καὶ εὐφροσύνης καὶ χαρᾶς καὶ μείζονός σοι γίνεται προθυμίας ὑπόθεσις. διὰ ταῦτα χαίρομεν, σκιρτῶμεν, εὐφραινόμεθα. οὐ γὰρ παυσόμεθα συνεχῶς τοῦτο λέγοντες, καὶ "περιφέρων μου πανταχοῦ τῆς χαρᾶς τὴν ὑπόθεσιν. ὥστε εἰ καὶ ὁ ἡμέτερός σε λυπεῖ χωρισμός, ἀλλὰ μεγίστη σοι αὕτη τῶν κατορθωμάτων ἡ παράκλησις· ἐπεὶ καὶ ἡμεῖς ἀπῳκισμένοι μῆκος τοσοῦτον ὁδοῦ, οὐ μικρὰν ἐντεῦθεν, ἀπὸ τῆς σῆς ἀνδρείας λέγω, καρπούμεθα τὴν εὐφροσύνην.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ϛ.

Τί φῄς; οὐκ ἔστησας τρόπαιον, οὐδὲ ἤρω νίκην λαμπράν, οὐδὲ ἀνεδήσω στέφανον διηνεκῶς ἀνθοῦντα; ἀλλὰ* ταῦτά φησιν ἡ οἰκουμένη πᾶσα, ἡ πανταχοῦ τῆς γῆς "ᾄδουσά σου τὰ κατορθώματα. εἰ γὰρ καὶ τὰ σκάμματα καὶ οἱ ἀγῶνες ἐν ἑνὶ ἵδρυνται χωρίῳ, καὶ οἱ δίαυλοί σου τῶν δρόμων, καὶ τὰ ἀντὶ ἱδρῶτος αἵματος ἐμπεπλησμένα σου παλαίσματα αὐτόθι γέγονεν, ἀλλ' ἡ δόξα τούτων καὶ ἡ εὐφημία τὰ τέρματα κατείληφε τῆς οἰκουμένης. σὺ δὲ αὐτὰ μείζω βουλομένη ποιῆσαι καὶ πλείονα τὰ βραβεῖα ἐργάσασθαι, καὶ τοὺς ἀπὸ τῆς ταπεινοφροσύνης αὐτοῖς προσέθηκας στεφάνους, λέγουσα τοσοῦτον ἀπέχειν τῶν τροπαίων τούτων, ὅσον οἱ νεκροὶ τῶν ζώντων. ὅτι γὰρ ταπεινοφροσύνης τὰ ῥήματα, ἐξ αὐτῶν σε μᾶλλον ἐλέγξαι πειράσομαι τῶν γεγενημένων. ἐξέπεσες πατρίδος, συγγενῶν, φίλων, οἰκίας, πρὸς τὴν ὑπερορίαν μετέστης· οὐ διέλιπες καθ' ἑκάστην ἀποθνήσκουσα τὴν ἡμέραν, καὶ τὸ τῇ φύσει λεῖπον τῇ περιουσίᾳ τῆς προαιρέσεως ἀναπληροῦσα. ἐπειδὴ γὰρ οὐκ ἔνι ἄνθρωπον * τῇ πείρᾳ πολλοὺς θανάτους ἀποθανεῖν, τῇ γνώμῃ τοῦτο πεποίηκας. καὶ τὸ δὴ μέγιστον, τὰ μὲν πάσχουσα, τὰ δὲ πείσεσθαι προσδοκῶσα, οὐκ ἐπαύσω τῷ συγχωροῦντι ταῦτα Θεῷ γίνεσθαι τὴν ὑπὲρ τούτων ἀναφέρουσα δοξολογίαν, καὶ καιρίαν τῷ διαβόλῳ διδοῦσα πληγήν. ὅτι γὰρ καιρίαν "ἐδέξατο, ἔδειξε δι' ὧν μειζόνως" παροινῶν ὡπλίζετο. διὸ καὶ χαλεπώτερα τὰ ὕστερα τῶν προτέρων γέγονε. καθάπερ γὰρ ὁ σκορπίος, ἢ ὁ ὄφις, ὅταν βαθυτέραν λάβῃ πληγήν, μειζόνως τὸ κέντρον ἄρας κατὰ τοῦ πλήξαντος ἐξανίσταται, τὴν πολλῆς ἀλγηδόνος ἀπόδειξιν παρέχων τὴν ῥαγδαίαν κατὰ τοῦ παίοντος ῥύμην· οὕτω δὴ καὶ τὸ ἀναίσχυντον

γρ. ειν

* ὁ

γρ. ᾄδει

* ὄντα

γρ. αἰσθ.

γρ. σφοδρ.

ἀναίσχυντον θηρίον ἐκεῖνο, ἐπειδὴ τὰ τραύματα εἰς βάθος ἐδέξατο παρὰ τῆς θαυμασίας σου καὶ
ὑψηλῆς ψυχῆς, μειζόνως ἐπεπήδησε καὶ πλείους ἐπήγαγε πειρασμούς. ἐπήγαγε μὲν
γὰρ ἐκεῖνος, οὐχ ὁ Θεός, συνεχώρησε δὲ ὁ Θεός, αὔξων σου τὸν πλοῦτον, μείζονα ποιῶν τὴν ἐμπο- (γ. ἐκεῖνο)
ρείαν, πλείονα προξενῶν τὸν μισθόν, δαψιλεστέραν τὴν ἀντίδοσιν. μὴ τοίνυν θορυβοῦ, μηδὲ
5 ταράττου. τίς γάρ ποτε ἔκαμε πλουτῶν; τίς συνεχύθη ἐπὶ ταῖς ὑψηλοτάταις ἀγόμενος ἀρ- (χ. ὑψηλοτέ-ραις)
χαῖς; εἰ δὲ οἱ τὰ ἀνθρώπινα ταῦτα συνάγοντες, τὰ ἐπίκηρα καὶ σκιᾶς ἀδρανέστερα καὶ ἀν-
θῶν σηπομένων μᾶλλον μαραινόμενα, σκιρτῶσι, χορεύουσι, πέτονται ὑπὸ τῆς ἡδονῆς τῆς ὁμοῦ
τε φαινομένης καὶ ἀφισταμένης καὶ ποταμίων ῥευμάτων μιμουμένης δρόμον· πολλῷ μᾶλλόν
σε δίκαιον, καὶ εἰ πρότερον ἦς ἐν ἀθυμίᾳ, τὸν παρόντα καιρὸν εὐθυμίας μεγίστης ποιήσασθαι
10 πρόφασιν. καὶ γὰρ ὁ θησαυρός σου, ὃν συνήγαγες, ἄσυλος, καὶ τὸ ἀξίωμα τὸ διὰ τῶν πα-
θημάτων τούτων συγκροτηθὲν διαδοχὴν οὐκ οἶδεν, οὐδὲ ἀναμένει τέλος· ἀλλ' ἔστιν ἀπέραν-
τον, οὐ δυσκολίᾳ καιρῶν, οὐκ ἀνθρώπων ἐπιβουλαῖς, οὐ δαιμόνων ἐφόδοις, οὐκ αὐτῇ δια-
κοπτόμενον τῇ τελευτῇ. εἰ δὲ βούλει καὶ θρηνῆσαι, τοὺς ταῦτα ἐργαζομένους θρήνει, τοὺς τῶν
κακῶν τούτων αὐθέντας, τοὺς ὑπηρέτας, οἳ καὶ εἰς τὸ μέλλον μεγίστην ἑαυτοῖς ἐθησαύρισαν
15 τιμωρίαν, καὶ ἐνταῦθα δίκην ἔδοσαν ἤδη τὴν ἐσχάτην, τοσούτων ἀποστρεφομένων αὐτοὺς καὶ
πολεμίους ἡγουμένων, ἐπαρωμένων, καταδικαζόντων. εἰ δὲ οὐκ αἰσθάνονται τούτων, καὶ διὰ
τοῦτο μάλιστά εἰσιν ἐλεεινοὶ καὶ δακρύων ἄξιοι· καθάπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ,
λακτίζοντες μὲν καὶ παίοντες τοὺς ἀπαντῶντας εἰκῇ καὶ μάτην, πολλάκις δὲ καὶ τοὺς εὐηργε-
τηκότας καὶ φίλους, οὐκ αἰσθανόμενοι τῆς μανίας, ἣν μαίνονται. διὸ καὶ ἀνίατα νοσοῦσιν, οὔ-
20 τε ἰατροὺς προσιέμενοι, οὔτε φαρμάκων ἀνεχόμενοι, ἀλλὰ καὶ τοὺς θεραπεύειν καὶ εὐεργετεῖν
βουλομένους τοῖς ἐναντίοις ἀμειβόμενοι. ὥστε καὶ διὰ τοῦτο ἐλεεινοί, εἴγε μὴ αἰσθάνονται
τῆς τοιαύτης πονηρίας. εἰ δὲ καὶ πρὸς τὴν ἑτέρων κατάγνωσιν οὐκ ἐπιστρέφονται, τοῦ οἰκείου
συνειδότος τὸν ἔλεγχον ἀμήχανον διαφυγεῖν αὐτούς, τὸν ἄφυκτον, τὸν ἀδέκαστον, τὸν οὐδενὶ
εἴκοντα φόβῳ, τὸν οὐ κολακείᾳ, οὐ χρημάτων δόσει διαφθειρόμενον, οὐ χρόνῳ μακρῷ μαραι-
25 νόμενον. ὁ γοῦν τοῦ Ἰακὼβ υἱός, ὁ πρὸς τὸν πατέρα εἰπών, ὅτι θηρίον πονηρὸν κατέφαγε
τὸν Ἰωσήφ, καὶ τὸ πονηρὸν ἐκεῖνο ὑποκρινάμενος δρᾶμα, καὶ τῷ προσωπείῳ τούτῳ τὴν ἀδελ- (Γεν. λζ. λγ.)
φοκτονίαν συσκιάσαι ἐπιχειρήσας, τὸν μὲν πατέρα ἠπάτησε τότε, τὸ δὲ συνειδὸς οὐκ ἠπάτησεν,
οὐδὲ ἔπεισεν ἡσυχάζειν· ἀλλ' ἐπέμενεν αὐτοῦ κατεξανιστάμενον, καταβοῶν διηνεκῶς, καὶ (χ. ἔμενεν)
οὐδέποτε ἐπιστομιζόμενον. χρόνου γοῦν παρελθόντος μακροῦ, ὁ τῷ γεγυμνωκότι ἀρνησάμενος
30 τὸ τόλμημα, ὅπερ ἐτόλμησαν, ὁ μηδενὶ τῶν ἄλλων ἐξειπών, οὐδενὸς κατηγοροῦντος, οὐδενὸς (χ. ἀνθρώπων)
ἐλέγχοντος, οὐδενὸς ἐφεστῶτος, οὐδενὸς ὑπομιμνήσκοντος τῆς δραματουργίας ἐκείνης, κιν-
δυνεύων περὶ ἐλευθερίας καὶ αὐτοῦ τοῦ ζῆν, δεικνὺς ὅτι οὐκ ἐπεστομίσθη τοῦ συνειδότος ὁ κατή-
γορος ἐν οὕτω μακρῷ χρόνῳ, οὐδὲ κατεχώσθη, ταῦτά φησι τὰ ῥήματα· Ναὶ ἐν ἁμαρτίαις (Γεν. μβ. κα.)
γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτε κατεδέετο ἡμῶν, καὶ ὑπερείδομεν τὴν θλῖψιν αὐτοῦ
35 καὶ τὴν ὀδύνην τῆς ψυχῆς αὐτοῦ· καὶ νῦν ἐκζητεῖται τὸ αἷμα αὐτοῦ ἐξ ἡμῶν. καίτοι ἕτερον
ἦν, ὅπερ ἐπῄτειτο αὐτῷ ἔγκλημα, καὶ διὰ κλοπὴν ἐκρίνετο, καὶ ὡς ὑφελόμενος κύλικα
χρυσῆν, οὕτως εἰς δικαστήριον ἤγετο· ἀλλ' ἐπειδὴ τούτων μὲν ἑαυτῷ οὐδὲν συνῄδει, ὑπὲρ μὲν
τούτων οὐκ ἤλγει, οὐδὲ ἔφη ταῦτα πάσχειν, ὑπὲρ ὧν ἐκρίνετο καὶ δέσμιος ἤγετο· ὑπὲρ δὲ ὧν
οὐδεὶς ἐνεκάλει, οὐδὲ εὐθύνας ἀπῄτει, οὐδὲ εἰς δικαστήριον εἷλκε, μᾶλλον δὲ οὐδὲ ᾔδει
40 τετολμημένων αὐτῷ, ὑπὲρ τούτων αὐτὸς ἑαυτοῦ καὶ ἔλεγχος καὶ κατήγορος γέγονεν. ἐπελαμ-
βάνετο γὰρ ἑαυτοῦ τὸ συνειδός. καὶ ὁ μετ' ἀδείας τοσαύτης τὸ αἷμα ἐκχέας τοῦ ἀδελφοῦ, καὶ (χ. αὐτοῦ)
μηδὲν παθών, νῦν καὶ συμπαθητικὸς ἐγένετο, καὶ τοῦ χοροῦ τῶν κοινωνησάντων αὐτῷ τῆς μι- (χ. ἐγίνετο)
αιφονίας κατηγορεῖ, καὶ τὴν ὠμότητα πᾶσαν ἐκτραγῳδεῖ λέγων· ὅτε κατεδέετο ἡμῶν, καὶ
ὑπερείδομεν τὴν θλῖψιν αὐτοῦ. ἤρκει μὲν γὰρ καὶ ἡ φύσις, φησί, μαλάξαι καὶ ἐπικάμψαι

πρὸς ἔλεον, ὃ δὲ καὶ δάκρυα προσετίθει καὶ ἱκετηρίαν, ἀλλ' οὐδὲ οὕτως ἡμᾶς ἐπέκαμ-
ψεν· ἀλλ' ὑπερείδομεν τὴν θλίψιν αὐτοῦ, καὶ τὴν ὀδύνην τῆς ψυχῆς αὐτοῦ. διὰ τοῦτο ἡ-
μῖν τὸ δικαστήριον τοῦτο συγκεκρότηται, φησί, διὰ τοῦτο περὶ αἵματος κινδυνεύομεν, ἐπειδὴ καὶ
ἡμεῖς εἰς αἷμα ἡμαρτήκαμεν. οὕτω καὶ Ἰούδας οὐκ ἐνεγκὼν τοῦ συνειδότος τὸν ἔλεγχον, ἐπὶ
βρόχον ὥρμησε καὶ δι' ἀγχόνης τὸν βίον κατέλυσε. καὶ ὅτε μὲν τὸ ἀνάξιον ἐκεῖνο συμ- 5
βούλιον ἐτόλμα, λέγων· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οὐ τῶν ἀκού- (Ματθ. κϛ. ιε.)
οντων ᾐσθάνετο, ὅτι μαθητὴς ὢν τοιαῦτα περὶ τοῦ διδασκάλου ἐτύρευεν, οὐκ ἐν ταῖς ἡμέραις
ταῖς μεταξὺ κατενύγη, ἀλλὰ μεθύων ἔτι τῇ ἡδονῇ τῆς φιλαργυρίας οὐ σφόδρα ᾐσθάνετο
τῆς κατηγορίας τοῦ συνειδότος. ἐπειδὴ δὲ ἔπραξε τὴν ἁμαρτίαν, καὶ τὸ ἀργύριον ἔλαβε, καὶ
ἡ ἡδονὴ μὲν ἐπαύσατο τοῦ λήμματος, ἡ δὲ κατηγορία τοῦ πλημμελήματος ἤνθει λοιπόν, τότε 10
μηδενὸς ἀναγκάζοντος, μηδενὸς βιαζομένου, μηδενὸς παραινοῦντος, αὐτόματος ἀπελθὼν
τό τε ἀργύριον προσέρριψε τοῖς δεδωκόσι, καὶ τὴν παρανομίαν ὡμολόγησεν, αὐτῶν ἀκουόν-
των ἐκείνων, λέγων· Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οὐ γὰρ ἤνεγκε τοῦ συνειδότος τὸν (Ματθ. κζ. δ.)
ἔλεγχον. τοιοῦτον γὰρ ἡ ἁμαρτία. πρὶν ἢ μὲν ἀπαρτισθῆναι, μεθύειν ποιεῖ τὸν ἁλόντα·
ἐπειδὰν δὲ πληρωθῇ καὶ ἀπαρτισθῇ, τότε τὰ μὲν τῆς ἡδονῆς [ταύτης] ὑπεξίσταται καὶ σβέν- 15
νυται, γυμνὸς δὲ ἕστηκε λοιπὸν κατήγορος τὸ συνειδός, δημίου τάξιν ἐπέχων, καὶ καταξαίνων
τὸν πεπλημμεληκότα, καὶ τὴν ἐσχάτην ἀπαιτῶν δίκην, καὶ μολίβδου παντὸς βαρύτερον
ἐπικείμενος. καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· τὰ δὲ ἐκεῖ, οἶσθα τοῖς τοσαῦτα ἐργασαμένοις ἡλί-
κα τὰ κακὰ κείσεται τότε. τούτους οὖν χρὴ δακρύειν, τούτους θρηνεῖν· ἐπεὶ καὶ Παῦλος οὕ-
τως ἐποίει, τοῖς μὲν ἀθλοῦσι καὶ ἀγωνιζομένοις καὶ κακῶς πάσχουσι συνηδόμενος, τῶν δὲ ἁμαρ- 20
τανόντων πενθῶν. διὸ καὶ ἔλεγε· Μήπως ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς, καὶ (β. Κορ. ιβ. κα.)
πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκα-
θαρσίᾳ, ᾗ ἔπραξαν· τοῖς δὲ ἀγωνιζομένοις, Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. μηδέν τοίνυν σε (Φιλιπ. β. ιζ.)
θορυβείτω, μήτε τῶν θλιβομένων, μήτε τῶν ἀπολλυμένων. οὐδὲ γὰρ τὴν πέτραν διασαλεύει τὰ κύ- (γρ. γινομένων)
ματα, ἀλλ' ὅσῳ μετὰ πλείονος προσρήγνυται τῆς ῥύμης, τοσούτῳ μειζόνως αὐτὰ ἀφανίζει· ὃ δὴ 25
καὶ ἐπὶ τούτων γέγονε, καὶ ἔσται, μᾶλλον δὲ καὶ πολλῷ πλέον. τὴν μὲν γὰρ πέτραν οὐ διασαλεύει τὰ
κύματα, σὲ δὲ οὐ μόνον οὐ διεσάλευσεν, ἀλλὰ καὶ ἰσχυροτέραν πεποίηκε. τοιοῦτον γὰρ ἡ κακία, τοι-
οῦτον ἡ ἀρετή· ἡ μὲν πολεμοῦσα καταλύεται, ἡ δὲ πολεμουμένη διαλάμπει *μειζόνως. καὶ ἡ μὲν (* πλείονι καὶ)
οὐ μετὰ τοὺς ἀγῶνας μόνον, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς ἀγῶσιν ἔχει τὰ βραβεῖα, καὶ ὁ ἆθλος ἔπαθλον
αὐτῇ γίνεται· ἡ δὲ ὅταν νικήσῃ, τότε μάλιστα καταισχύνεται, τότε κολάζεται, τότε πολλῆς πλη- 30
ροῦται τῆς ἀτιμίας, καὶ πρὸ τῆς ἀποκειμένης αὐτῇ κολάσεως ἐν αὐτῷ τῷ πράττειν τιμω-
ρουμένη, οὐχὶ μετὰ τὸ πρᾶξαι μόνον. εἰ δὲ ἀσαφέστερος ὁ λόγος, ἄκουσον τοῦ μακαρίου
Παύλου ταῦτα ἀμφότερα διακρίναντος. γράφων γάρ ποτε Ῥωμαίοις, καὶ τὸν ἀκάθαρ-
τον τινῶν ἐκπομπεύων βίον, καὶ δεικνὺς ὅτι καὶ πρὸ τῆς τιμωρίας ἐν αὐτῇ τῇ πράξει τὴν
τιμωρίαν ἡ ἁμαρτία συγκεκληρωμένην ἔχει, μίξεων παρανόμων μνησθείς, γυναικῶν τε καὶ 35
ἀνδρῶν τῶν τοὺς ὅρους τῆς φύσεως παραβαινόντων καὶ ἐπιθυμίαν τινὰ ἀλλόκοτον ἐπινοησάν-
των, οὕτω πως φησίν· Αἱ γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν (Ρωμ. α. κϛ.) (γρ. τὸ)
παρὰ φύσιν· ὁμοίως δὲ καὶ οἱ ἄρρενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας, ἐξεκαύθη-
σαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζό-
μενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. τί λέ- 40
γεις, ὦ Παῦλε; καὶ μὴν ἥδονται οἱ ταῦτα τολμῶντες, καὶ μετ' ἐπιθυμίας τὴν παράνομον
ταύτην ἐργάζονται μίξιν. πῶς οὖν αὐτοὺς ἔφης κολάζεσθαι ἐν αὐτῷ δὴ τούτῳ; ὅτι τὴν (γρ. αὐτοῖς δὴ τούτοις)
ψῆφον, φησίν, οὐκ ἀπὸ τῆς ἡδονῆς τῶν νοσούντων, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων ἐκ-
φέρω φύσεως. ἐπεὶ καὶ ὁ μοιχὸς καὶ πρὸ τῆς τιμωρίας ἐν αὐτῷ τῷ μοιχεύειν κολάζεται, κἂν

ἥδεσθαι

ἥδεσθαι δοκῇ, τὴν ψυχὴν χείρονα ποιεῖ καὶ φαυλοτέραν· καὶ ὁ ἀνδροφόνος καὶ πρὶν ἢ δικαστή-
ριον ἰδεῖν καὶ ξίφη ἠκονημένα, καὶ δοῦναι εὐθύνας τῶν τετολμημένων, ἐν αὐτῷ τῷ φο-
νεύειν ἀπώλεσε πάλιν καὶ αὐτός, φαυλοτέραν αὑτοῦ κατασκευάζων τὴν ψυχήν. καὶ ὅ-
περ ἐστὶν ἐπὶ σώματος ἀρρωστία, ἢ πυρετός, ἢ ὕδερος, ἢ ἄλλο τι τῶν τοιούτων, καὶ ἐπὶ
5 σιδήρου ἰός, καὶ ἐπὶ ἐρίου σής, καὶ ἐπὶ ξύλου σκώληξ, τοῦτο [καὶ] ἐπὶ ψυχῆς κακία.
καὶ γὰρ ἀνδραποδώδη αὐτὴν ποιεῖ καὶ ἀνελεύθερον. τί λέγω ἀνδραποδώδη καὶ ἀνελεύ-
θερον; ἀλόγων αὐτὴν ἐργάζεται ψυχήν, τὴν μὲν λύκου, τὴν δὲ κυνός, τὴν δὲ ὄφεως, τὴν δὲ ἐ-
χίδνης, τὴν δὲ ἑτέρου θηρίου ποιοῦσα. καὶ τοῦτο δηλοῦντες οἱ προφῆται, καὶ τὴν ἐκ τῆς κακίας
μεταβολὴν πᾶσι γνώριμον ποιοῦντες, ὁ μὲν ἔλεγε, Κύνες ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν, τοὺς
10 ὑπούλους τῶν ἀνθρώπων καὶ λαθραίως ἐπιβουλεύοντας τοῖς λυπήσασι τῶν κυνῶν παραβάλ-
λων. οὐδὲ γὰρ μετὰ ὑλακῆς, ὅταν λυπῶσιν, ἐπέρχονται ἐχθροί, ἀλλὰ σιγῇ προσιόντες χεί-
ρονα τῶν ὑλακτούντων ἐργάζονται τοὺς ἀλόντας. ὁ δὲ κορώνην ἐκάλει πάλιν τινὰς ἀνθρώ-
πους· ὁ δὲ ἔλεγεν, Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀ-
νοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ὁ δὲ σαφέστερον προφητεύων, ὁ τῆς στείρας υἱός, καὶ ὄφεις καὶ γεν-
15 νήματα ἐχιδνῶν παρὰ τὸν Ἰορδάνην ἑστῶτας τινὰς ὠνόμασε. τί τοίνυν ταύτης γένοιτ' ἂν ἴσον τῆς
τιμωρίας, ὅταν ὁ κατ' εἰκόνα Θεοῦ γενόμενος καὶ τοσαύτης ἀπολαύσας τιμῆς, τὸ λογικὸν καὶ
ἡμερώτατον ζῶον, εἰς τοσαύτην καταπίπτῃ θηριωδίαν; εἶδες πῶς καὶ πρὸ τῆς κολάσεως
ἐν ἑαυτῇ τὴν τιμωρίαν ἡ κακία ἔχει; μάθε πῶς καὶ ἐν τῇ ἀρετῇ καὶ πρὸ τῶν ἐπάθλων αὐ-
τὴ ἑαυτῆς ἡ ἀρετὴ ἔπαθλόν ἐστιν. ὥσπερ γὰρ ἐν τῷ σώματι τῷ ἡμετέρῳ (οὐδὲν γὰρ κω-
20 λύει πάλιν τῷ αὐτῷ χρήσασθαι παραδείγματι πλείονα ἐργαζομένῳ τὴν σαφήνειαν) ὥ-
σπερ οὖν ἐν τῷ σώματι ὁ ὑγιαίνων καὶ εὐσωματῶν καὶ πάσης ἀπηλλαγμένος ἀρρωστίας, καὶ πρὸ
τῆς τρυφῆς "αὐτῷ τούτῳ τρυφᾷ, συγκεκληρωμένην ἔχων" τῇ ὑγιείᾳ τὴν ἡδονήν, καὶ οὔτε
ἀέρων αὐτὸν ἀνωμαλίαι, οὔτε αὐχμός, οὔτε κρυμός, οὔτε εὐτέλεια τραπέζης, οὐκ ἄλλο τι
τῶν τοιούτων λυπῆσαι δύναιτ' ἄν, ἀρκούσης τῆς ὑγιείας τὴν ἐκ τούτων διακρούσασθαι
25 βλάβην· οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθε. διὰ τοῦτο καὶ ὁ Παῦλος μαστιγού-
μενος, ἐλαυνόμενος, τὰ μυρία πάσχων δεινά, ἔχαιρεν οὕτω λέγων· Χαίρω ἐν τοῖς παθήμα-
σί μου ὑπὲρ ὑμῶν, οὐ μόνον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἣ ἔπαθλον κεῖται τῆς ἀρετῆς, ἀλλὰ
καὶ ἐν αὐτῷ τῷ πάσχειν. ἐπεὶ καὶ τοῦτο μέγιστον ἔπαθλον, τὸ ὑπὲρ ἀληθείας παθεῖν τι. διὰ
τοῦτο καὶ ὁ χορὸς τῶν ἀποστόλων ἐπανῄεσαν ἐκ τοῦ συνεδρίου τῶν Ἰουδαίων χαίροντες, οὐ διὰ
30 τὴν βασιλείαν μόνον τῶν οὐρανῶν, ἀλλ' ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Ἰησοῦ ἀ-
τιμασθῆναι. καὶ αὐτὸ γὰρ τοῦτο καὶ καθ' ἑαυτὸ μεγίστη τιμή, καὶ στέφανος, καὶ βραβεῖα, καὶ ἡδο-
νῆς ὑπόθεσις ἀδιαλύτου. χαῖρε τοίνυν καὶ σκίρτησον. οὐ γὰρ μικρὸς ὁ ἆθλος, ἀλλὰ καὶ σφό-
δρα μέγας ἐστὶν ὁ τῆς συκοφαντίας ἐστί, καὶ μάλιστα, ὅταν ἐπὶ τοιούτῳ ἐγκλήματι γίνηται [με-
γάλῳ], ἐφ' ᾧ νῦν ὑμᾶς ἐσυκοφάντησαν, ἐν δημοσίῳ δικαστηρίῳ τὸν ἐμπρησμὸν ἐγκαλοῦν-
35 τες. διὸ καὶ Σολομῶν τὸ τραχὺ τοῦ ἀγῶνος παραστῆσαι βουλόμενος, Εἶδον, φησί, τὰς συκο-
φαντίας τὰς ὑπὸ τὸν ἥλιον γινομένας· καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἦν
"αὐτοῖς ὁ παρακαλῶν. εἰ δὲ μέγας ὁ ἀγών, ὥσπερ οὖν καὶ μέγας, εὔδηλον ὅτι καὶ ὁ κείμενος ἐπὶ
τούτῳ στέφανος μείζων. διὰ τοῦτο καὶ ὁ Χριστὸς κελεύει χαίρειν καὶ σκιρτᾶν τοὺς τοῦτον ἀγωνιζο-
μένους τὸν ἀγῶνα μετὰ τῆς προσηκούσης ὑπομονῆς. Χαίρετε γάρ, φησί, καὶ σκιρτήσατε, ὅταν
40 εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν
τοῖς οὐρανοῖς. ὁρᾷς πόσης ἡδονῆς, πόσου μισθοῦ, πόσης εὐφροσύνης ὑμῖν αἴτιοι οἱ πολέμιοι
γεγόνασι; πῶς οὖν οὐκ ἄτοπον, ἃ μὴ ἐδυνήθησάν σε ἐργάσασθαι ἐχθροὶ κακά, ἀλλ' ὧν τὰ
ἐναντία σε πεποιήκασι, ταῦτα "σαυτὴν διατιθέναι; τί δέ ἐστιν ὃ φημι; ὅτι ἐχθροὶ μὲν οὐ
μόνον σε δίκην ἀπαιτῆσαι οὐκ ἴσχυσαν, ἀλλὰ καὶ ἀφορμήν σοι παρέσχον εὐφροσύνης, καὶ

Marginal notes (left): χ. ἀπὸ τούτου / χ. πλούσιαν / τῇ ἐσθῆτι (l. 22); χ. ἡ (l. 27); χ. Χριστοῦ (l. 30); χ. αὐτοῖς (l. 37); χ. σαυτῇ (l. 43).
Marginal notes (right): Ησ. νϛ. ι. (l. 9); Ιερ. γ. ε. / Ψαλ. μη. ιϛ. (l. 12–13); Ματθ. γ. ζ. (l. 15); Κολασ. α. κδ. (l. 26); Πραξ. ε. μα. (l. 29); Εκκλησ. δ. α. (l. 35); Λουκ. ϛ. κγ. (l. 39).

ἡδονῆς ὑπόθεσιν ἀμβλύτου· σὺ δὲ οὕτω σαυτὴν καταπίνουσα ὑπὸ τῆς ἀθυμίας, δίκην σαυτὴν ἀπαιτεῖς, συγχεομένη, ταραττομένη, πολλῆς πληρουμένη λύπης. ταῦτα γὰρ ἐκείνους ἔδει ποιεῖν, εἴ γε ὀψέ γοῦν ποτε ἠβουλήθησαν τὰ οἰκεῖα ἐπιγνῶναι κακά. ἐκεῖνοι πενθεῖν δίκαιοι ἂν εἶεν, θρηνεῖν, καταδύεσθαι, ἐγκαλύπτεσθαι, κατορωρύχθαι, μηδὲ τὸν ἥλιον τοῦτον ὁρᾶν, ἀλλ' ἐν σκότῳ που κατακλείσαντες ἑαυτοὺς τά τε οἰκεῖα θρηνεῖν κακά, καὶ οἷς τοσαύτας ἐκκλησίας περιέβαλον· σὲ δὲ ἀγάλλεσθαι καὶ χαίρειν χρή, ὅτι τὸ κεφάλαιόν σοι τῶν ἀγαθῶν κατώρθωται. οἶσθα γάρ, οἶσθα σαφῶς, ὅτι ὑπομονῆς ἴσον οὐδέν· ἀλλ' αὕτη μάλιστά ἐστιν ἡ βασιλὶς τῶν ἀρετῶν, ὁ θεμέλιος τῶν κατορθωμάτων, ὁ λιμὴν ὁ ἀκύμαντος, ἡ ἐν πολέμοις εἰρήνη, ἡ ἐν κλύδωνι γαλήνη, ἡ ἐν ἐπιβουλαῖς ἀσφάλεια, ἡ τοὺς κατωρθωκότας αὐτὴν ἀδάμαντος στερροτέρους ποιοῦσα· ἣν οὐχ ὅπλα κινούμενα, οὐ στρατόπεδα παρατασσόμενα, οὐ μηχανήματα προσαγόμενα, οὐ τόξα, οὐ δόρατα ἀφιέμενα, οὐκ αὐτὸ τὸ τῶν δαιμόνων στρατόπεδον, οὐχ αἱ ζοφεραὶ φάλαγγες τῶν ἀντικειμένων δυνάμεων, οὐκ αὐτὸς οὐδὲ ὁ διάβολος μετὰ πάσης αὐτοῦ παρατασσόμενος τῆς στρατιᾶς καὶ τῆς μηχανῆς παραβλάψαι δυνήσεται. τί τοίνυν δέδοικας; τίνος ἕνεκεν ἀλγεῖς, καὶ αὐτοῦ τοῦ ζῆν μελετήσασα καταφρονεῖν, ἣν καιρὸς καλῇ; ἀλλὰ λύσιν ἐπιθυμεῖς ἰδεῖν τῶν κατεχόντων δεινῶν; ἔσται καὶ τοῦτο, καὶ ταχέως ἔσται, τοῦ Θεοῦ ἐπιτρέποντος. χαῖρε τοίνυν καὶ εὐφραίνου, καὶ ἐντρύφα σου τοῖς κατορθώμασι, καὶ μηδέποτε ἀπογνῷς, ὅτι σε ὀψόμεθα πάλιν, καὶ τῶν ῥημάτων σε ἀναμνήσομεν τούτων.

γρ. ἀγαθῶν

ς

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ζ.

Οὐκ ἤμελλον ἄρα, οὐδὲ τῆς πόλεως ἀναχωρήσας, ἀπαλλάττεσθαι τῶν συντριβόντων ἡμῖν τὴν διάνοιαν. οἱ γὰρ κατὰ τὴν ὁδὸν ἡμῖν ἀπαντῶντες, οἱ μὲν ἐξ ἀνατολῆς, οἱ δὲ ἐξ Ἀρμενίας, οἱ δὲ ἀλλαχόθεν πολλαχόθεν τῆς οἰκουμένης, πηγὰς ἀφιᾶσι δακρύων ἡμᾶς βλέποντες, καὶ κωκυτοὺς προστιθέασι, καὶ δι' ὀδυρμῶν πᾶσαν παραπέμπουσι τὴν ὁδόν. ταῦτα δὲ εἴρηκα, ἵνα μάθητε ὅτι πολλοὺς ἔχετε συναλγοῦντας ὑμῖν. οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς παραμυθίας λόγον. εἰ γὰρ τὸ ἐναντίον ὡς βαρὺ καὶ ἀφόρητον ὁ προφήτης θρηνεῖ λέγων, Ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον· εὔδηλον ὅτι τοῦτο πολλὴν φέρει τὴν παραμυθίαν, τὸ κοινωνοὺς ἔχειν τῆς ἀθυμίας τὴν οἰκουμένην ἅπασαν. εἰ δὲ καὶ ἑτέραν ζητεῖς παραμυθίαν, ἡμεῖς, οἱ τοσαῦτα καὶ τηλικαῦτα παθόντες κακά, ἐν ὑγιείᾳ καὶ ἀδείᾳ διάγομεν, ἐν ἡσυχίᾳ πολλῇ, ἀριθμοῦντες ὑμῶν τὰ παθήματα τὰ ποικίλα καὶ συνεχῆ, τὰς θλίψεις, τὰς ἐπιβουλάς, καὶ τῇ μνήμῃ τούτων ἐντρυφῶντες διηνεκῶς. ταῦτ' οὖν καὶ αὐτὴ λογιζομένη σκέδασον τῆς ἀθυμίας τὸ νέφος, καὶ γράφε συνεχῶς ἡμῖν περὶ τῆς ὑγιείας τῆς σῆς. ἐπεὶ καὶ νῦν τοῦ κυρίου μου τοῦ ποθεινοτάτου Ἀραβίου ἐπεσταλκότος ἡμῖν, ἐθαύμασα πῶς ἡ σὴ τιμιότης οὐκ ἔστειλε, καίτοι τῆς κυρίας μου τῆς ἐλευθερίας αὐτοῦ σφόδρα σοι φίλης οὔσης. ἐννόει δὲ κἀκεῖνο, ὅτι καὶ τὰ χρηστὰ καὶ τὰ λυπηρὰ τοῦ παρόντος βίου παροδεύεται πάντως. εἰ στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδός, ἀλλ' ὅμως ὁδός. ἀναμνήσω γάρ σε ῥήματος, οὗ πολλάκις διελέχθην πρὸς σέ. εἰ καὶ πλατεῖα ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδός, ἀλλ' ὅμως καὶ αὕτη ὁδός. ἀπαλλαγεῖσα τοίνυν τῆς γῆς, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ συνδέσμου τῆς σαρκός, διέγειρόν σου τῆς φιλοσοφίας τὸ πτερόν, μηδὲ ἀφῇς ὑπὸ τῆς σκιᾶς αὐτοῦ καὶ τοῦ καπνοῦ (τοῦτο γὰρ τὰ ἀνθρώπινα) βαπτίζεσθαι*· ἀλλὰ κἂν ἴδῃς ἐκείνους τοὺς τοσαῦτα εἰς ὑμᾶς παρανομήσαντας, καὶ τὰς πόλεις αὐτῶν ἔχοντας, καὶ τιμῆς ἀπολαύοντας καὶ δορυφορίας, ἐπίλεγε τὸ ῥῆμα τοῦτο· Πλατεῖα ἡ πύλη,

γρ. ἠφίεσαν

γρ. ἔχω

Ψαλ. ξη. κα.

γρ. ὃ

Ματθ. ζ. ιγ.

* καὶ καθέλκεσθαι·

ἡ πύλη, καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ δάκρυε διὰ τοῦτο μᾶλλον
αὐτὸν καὶ θρήνει. ὁ γὰρ ἐνταῦθα κακόν τι ποιῶν, εἶτα πρὸς τῷ μὴ δοῦναι δίκην καὶ τιμῆς
παρὰ ἀνθρώπων ἀπολαύων, μέγιστον ἀπελεύσεται τιμωρίας ἐφόδιον ἔχων τὴν τιμήν.
διά τοι τοῦτο καὶ ὁ πλούσιος ἐκεῖνος χαλεπῶς ἀπετηγανίζετο, οὐ τῆς ὠμότητος μόνης ἕνεκεν,
5 ἣν περὶ τὸν Λάζαρον ἐπεδείξατο, δίκας διδούς, ἀλλὰ καὶ τῆς εὐημερίας, ἧς ἐν ὠμότητι το-
σαύτῃ διηνεκῶς ἀπολαύων, οὐδὲ ταύτῃ βελτίων ἐγένετο. ταῦτα καὶ τὰ τούτοις ὅμοια (οὐ γὰρ
"διελείπομεν ταῦτα συνεχῶς ἐπᾴδοντες) διαλεγομένη πρὸς ἑαυτήν, δέσποινά μου θεο-
φιλεστάτη, ἀπόθου τὸ βαρὺ τῆς ἀθυμίας φορτίον, καὶ δῆλον ἡμῖν τοῦτο ποίησον· ἵν', ὅπερ καὶ
ἔμπροσθεν ἐπέσταλκα, μαθὼν ὅτι γέγονέ σοί τι πλέον εἰς παραμυθίας λόγον, καὶ ἀπὸ τῶν
10 γραμμάτων τῶν ἡμετέρων, συνεχέστερον χρήσωμαι τῷ φαρμάκῳ.

γρ. διαλίπωμεν

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ η.

Ὅταν ἴδω δήμους ἀνδρῶν καὶ γυναικῶν κατὰ τὰς ὁδούς, κατὰ τοὺς σταθμούς,
15 κατὰ τὰς πόλεις ἐκχεομένους καὶ ὁρῶντας ἡμᾶς καὶ δακρύοντας, ἐννοῶ
ἐν τίσι τὰ ὑμέτερα. εἰ γὰρ οὗτοι νῦν πρῶτον ἡμᾶς ἑωρακότες οὕ-
τω κατακλῶνται ὑπὸ τῆς ἀθυμίας, ὡς μηδὲ ἀνενεγκεῖν ῥᾳδίως,
ἀλλ' ἱκετευόντων ἡμῶν καὶ παρακαλούντων καὶ συμβουλευόντων θερ-
μοτέρους ἠφίεσαν δακρύων κρουνούς, εὔδηλον ὅτι παρ' ὑμῖν σφοδρότε-
20 ρος ὁ χειμών. ἀλλ' ὅσῳ σφοδρότερος ὁ χειμών, τοσούτῳ μείζονα τὰ βραβεῖα, εἰ διηνε-
κῶς αὐτὸν εὐχαρίστως ἐνέγκοιτε καὶ μετὰ τῆς "προσηκούσης ἀνδρείας, ὥσπερ οὖν καὶ φέρετε.
ἐπεὶ καὶ κυβερνῆται, ἀνέμου σφοδροῦ πνέοντος, ἂν μὲν "πέρα τοῦ μέτρου τὰ ἱστία ἀναπετάσωσι,
περιέτρεψαν τὸ σκάφος· ἂν δὲ συμμέτρως καὶ ὡς προσῆκεν, ἰθυνοῦσιν αὐτὸ μετὰ πολλῆς ἀσ-
φαλείας. ταῦτ' οὖν εἰδυῖα, δέσποινά μου θεοφιλεστάτη, μὴ ἐκδῷς σεαυτὴν τῇ τῆς ἀθυμίας τυ-
25 ραννίδι, ἀλλὰ κέχρησο τῷ λογισμῷ τούτου τοῦ χειμῶνος (δύνασαι γάρ, καὶ οὐ μεῖζόν σου τῆς τέχνης
τὸ κλυδώνιον) καὶ πέμπε γράμματα ἡμῖν τοῦτο ἀπαγγέλλοντα, ἵνα καὶ ἐν ἀλλοτρίᾳ διατρί-
βοντες, πολλὴν καρπωσώμεθα τὴν εὐφροσύνην, μαθόντες ὅτι μετὰ τῆς προσηκούσης σοι
συνέσεως καὶ φιλοσοφίας ἤνεγκας τὴν ἀθυμίαν ταύτην. ταῦτα εἰς Καισαρείας λοιπὸν ἐλ-
θὼν ἐπέσταλκά σου τῇ τιμιότητι.

γρ. ἐπιπρεπούσης
γρ. παρὰ τὸ μέτρον

30

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ θ.

Ἀλλὰ καὶ τοῦτο συνελήλυθε τὸ δέος, τῆς ὁδοιπορίας ἕνεκα τῆς ἡμετέρας.
καὶ γάρ, ὅπερ ἔφθην ἐπιστείλας, τὸ σῶμα ἡμῖν εἰς ὑγείαν καὶ πλείονα
35 ῥῶσιν ἐπέδωκε, τοῦ τε ἀέρος καλῶς ἡμῖν κεχρημένου, τῶν τε ἀπαγόντων
ἡμᾶς πᾶσαν ποιουμένων σπουδήν, ὑπὲρ οὗ βουλόμεθα, ἀναπαύειν
ἡμᾶς, καὶ ἔργον τοῦτο ποιουμένων. μέλλων δὲ ἀπὸ τῆς Νικαίας ἐξιέναι,
ταύτην διεπεμψάμην τὴν ἐπιστολήν, τρίτῃ μηνὸς τοῦ Ἰουλίου.
γράφε οὖν συνεχῶς ἡμῖν περὶ τῆς ὑγείας τῆς σῆς. διακονήσεται γάρ σοι πρὸς τοῦτο ὁ δε-
40 σπότης μου Περγάμιος, ᾧ σφόδρα τεθάρρηκα. καὶ μὴ περὶ τῆς ὑγείας δὲ μόνον ἡμῖν δήλου
τῆς σῆς, ἀλλὰ καὶ περὶ τοῦ ἐσκεδάσθαι σοι τῆς ἀθυμίας τὸ νέφος. εἰ γὰρ μάθοιμεν διὰ
τῶν γραμμάτων τῶν σῶν τοῦτο, καὶ συνεχέστερον ἐπιστελοῦμεν, ὡς ἀνύοντές τι πλέον δι' ὧν
γράφομεν. εἰ τοίνυν ἐπιθυμεῖς πυκνότητος ἀπολαύειν ἐπιστολῶν, δήλου σαφῶς ἡμῖν, ὅτι
γέγονέ τι πλέον ἀπὸ τῆς πυκνότητος, καὶ ὄντως μετὰ δαψιλείας τοῦτο παρέχοντας. ἐπεὶ καὶ νῦν

πολλῶν παρελθόντων ἐντεῦθεν τῶν δυναμένων γράμματα κομίσαι, μὴ δεξάμενος παρὰ τῆς σῆς τιμιότητος ἐπιστολὴν σφόδρα ἤλγησα.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ι.

ΟΣῳ τὰ τῶν πειρασμῶν ἐπιτείνεται, τοσούτῳ καὶ τὰ τῆς παρακλήσεως ἡμῖν αὔξεται, καὶ χρηστοτέρας ἔχομεν περὶ τῶν μελλόντων τὰς ἐλπίδας, καὶ νῦν δὲ κατὰ ῥοῦν ἡμῖν ἅπαντα φέρεται, καὶ ἐξ οὐρίας πλέομεν. τίς εἶδε; τίς ἤκουσεν; ὕφαλοι καὶ σπιλάδες, στρόβιλοι καὶ καταιγίδες καταῤῥήγνυνται, νὺξ ἀσέληνος, ζόφος βαθύς, κρημνοὶ καὶ σκόπελοι, καὶ διὰ τοιούτων πλέοντες πελάγους τῶν ἐν λιμένι σαλευόντων οὐδὲν χεῖρον διακείμεθα. ταῦτ᾽ οὖν καὶ αὐτὴ λογιζομένη, δέσποινά μου θεοφιλεστάτη, ὑψηλοτέρα γίνου τῶν θορύβων τούτων καὶ τῶν κλυδώνων, καὶ δηλῶσαί μοι καταξίωσον τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. ἡμεῖς γὰρ καὶ ἐν ὑγιείᾳ καὶ ἐν εὐθυμίᾳ διάγομεν. καὶ γὰρ τὸ σῶμα ἡμῶν ἐρρωμενέστερον γέγονε, καὶ καθαρὸν ἀναπνέομεν ἀέρα, οἵ τε συναποδημοῦντες ἡμῖν ἐπαρχικοὶ οὕτω θεραπεύουσιν, ὅτι οὐδὲ οἰκετῶν ἡμᾶς ἀφιᾶσι δεῖσθαι, αὐτοὶ τὰ οἰκετῶν ποιοῦντες. καὶ γὰρ ἥρπασαν τὸ ἐπίταγμα τοῦτο διὰ τὸν περὶ ἡμᾶς ἔρωτα, καὶ δορυφορεῖαι πανταχοῦ, ἑκάστου αὐτῶν μακαρίζοντος ἑαυτὸν διὰ τὴν διακονίαν ταύτην. ἓν ἐστὶν ἡμᾶς τὸ λυποῦν, τὸ μὴ θαῤῥεῖν, ὅτι καὶ αὐτὴ ἐν εὐθυμίᾳ διάγεις. δήλωσον δὲ τοῦτο, ἵνα καὶ τῆς ἐντεῦθεν ἀπολαύωμεν εὐφροσύνης. καὶ τῷ κυρίῳ μου δὲ τῷ ποθεινοτάτῳ τέκνῳ ἡμῶν Περγαμίῳ πολλὰς χάριτας ἴσμεν. κἂν ἐθέλῃς ἡμῖν ἐπιστέλλειν, αὐτῷ πρὸς τοῦτο χρῆσαι, γνησίῳ τε ὄντι, καὶ σφόδρα ἡμῖν ἀνακειμένῳ, καὶ πάνυ αἰδουμένῳ τὴν κοσμιότητά σου καὶ τὴν εὐλάβειαν.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ια.

ΤΗν ἀῤῥωστίαν διαφυγὼν, ἣν κατὰ τὴν ὁδὸν ὑπέμεινα, ἧς καὶ τὰ λείψανα εἰς Καισάρειαν ἐκόμισα, καὶ πρὸς ὑγίειαν ἐπανελθὼν λοιπὸν καθαράν, ἐπιστέλλω σου τῇ εὐλαβείᾳ ἀπὸ Καισαρείας αὐτῆς, ἐν ᾗ πολλῆς ἀπολαύσας θεραπείας ῥᾴων διετέθην, ἰατρῶν ἀρίστων καὶ σφόδρα εὐδοκιμωτάτων, καὶ συμπαθείᾳ καὶ φίλτρῳ μᾶλλον, οὐχὶ τέχνῃ μόνον θεραπευόντων ἡμᾶς ἐπιτυχὼν, ὧν θάτερος καὶ συναπελθεῖν ἡμῖν ὑπέσχετο, καὶ ἕτεροι δὲ πλείους τῶν ἐν ἀξιώμασι. καὶ ἡμεῖς μὲν πολλάκις ἐπιστέλλομεν τὰ καθ᾽ ἡμᾶς, αὐτὴ δὲ (ὃ καὶ ἔμπροσθεν ἐνεκάλεσα) σπανιάκις τοῦτο ποιεῖς. καὶ ἵνα μάθῃς ὅτι ῥαθυμίας σῆς ἐστι τοῦτο, καὶ οὐχὶ ἡ σπάνις τῶν γραμματηφόρων τοῦτο ποιεῖ, ὁ κύριός μου ὁ ἀδελφὸς τοῦ μακαρίου Μαξίμου τοῦ ἐπισκόπου πρὸ δύο τούτων ἀπήντησεν ἡμερῶν, καὶ αἰτηθεὶς παρ᾽ ἡμῶν γράμματα, ἔφη σε μηδένα βουληθῆναι δοῦναι αὐτῷ· ἀλλὰ καὶ Τίγριον τὸν πρεσβύτερον αἰτηθέντα παρ᾽ αὐτοῦ μὴ παρασχεῖν. παρακαλῶ, ὀνείδισον αὐτοῖς τοῦτο αὐτῷ, τῷ γνησίῳ καὶ θερμῷ ἡμῶν ἐραστῇ, καὶ τοῖς ἄλλοις δὲ πᾶσι τοῖς περὶ Κυριακὸν τὸν ἐπίσκοπον. τοῦ γὰρ τόπου ἕνεκεν ὥστε ἐναλλαγῆναι, μήτε αὐτοῖς, μήτε ἄλλῳ μηδενὶ ἐνοχλεῖτε, δεδέγμεθα τὴν χάριν. ἴσως γὰρ ἠβουλήθησαν, καὶ οὐκ ἠδυνήθησαν. δόξα τῷ Θεῷ πάντων ἕνεκεν. οὐ γὰρ παύσομαι τοῦτο ἐπιλέγων ἀεὶ ἐπὶ πᾶσί μοι τοῖς συμβαίνουσιν. ἔστω, τοῦτο οὐκ ἠδυνήθησαν· μὴ γὰρ γράφειν οὐκ ἠδύναντο; πολλὰ εὐχαρίστησον ταῖς κυρίαις μου, ταῖς ἀδελφαῖς τοῦ κυρίου μου τοῦ τιμιωτάτου ἐπισκόπου Περγαμίου, πολλὴν ὑπὲρ ἡμῶν ποιουμέναις σπουδήν. καὶ γὰρ τὸν κύριόν μου τὸν Δοῦκα τὸν γαμβρὸν αὐτοῦ σφόδρα κατεσκεύασαν περὶ ἡμᾶς.

ἡμᾶς διακεῖσθαι, ὡς σφόδρα κἀκεῖνον ἐπιθυμεῖν ἡμᾶς ἐκεῖσε εἶναι. Καὶ αὐτὴ δὲ συνεχῶς ἡμῖν δήλου τὰ περὶ τῆς ὑγιείας τῆς σῆς, καὶ τῶν ἀγαπώντων ἡμᾶς· ἡμῶν δὲ ἕνεκεν ἀμέριμνος ἔσο. Καὶ γὰρ ἐν ὑγιείᾳ ἐσμὲν καὶ εὐθυμίᾳ, καὶ πολλῆς ἀπολαύομεν τῆς ἀνέσεως μέχρι τῆς σήμερον ἡμέρας. Ἐπιθυμοῦμεν δὲ μαθεῖν περὶ τῶν κατὰ Κυριακὸν τὸν ἐπίσκοπον, εἰ ἀφείθησαν· καὶ οὐδεὶς ἡμῖν οὐδὲν σαφὲς ἀπήγγειλε. Καὶ τοῦτο ἡμῖν δηλῶσαι. Εἰπὲ Κυριακῷ τῷ ἐπισκόπῳ, ὅτι λυπούμενος αὐτῷ οὐκ ἐπιστέλλω.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ιδ.

Μόλις ποτὲ ἀνεπνεύσαμεν εἰς τὴν Κουκουσὸν ἀφικόμενοι, ὅθεν καὶ ἐπιστέλλομεν· μόλις ποτὲ διεβλέψαμεν ἀπὸ τοῦ καπνοῦ καὶ τῆς ποικίλης τῶν κακῶν νεφέλης τῶν κατὰ τὴν ὁδὸν ἡμᾶς καταλαβόντων. Νῦν μὲν γάρ, ἐπειδὴ παρῆλθε τὰ ὀδυνηρά, διηγήσασθαι αὐτὰ τῇ εὐλαβείᾳ σου. Ὅτε γὰρ ἐν αὐτοῖς ἤμην, οὐκ ἐβουλόμην τοῦτο ποιῆσαι, ἵνα μὴ σφόδρα σε λυπήσω. Τριάκοντα σχεδὸν ἢ καὶ πλείους ἡμέρας πυρετοῖς χαλεπωτάτοις διετέλεσα παλαίων, καὶ οὕτω τὴν μακρὰν ταύτην καὶ χαλεπὴν ὁδὸν ὁδεύων, καὶ ἑτέραις χαλεπωτάταις ἀρρωστίαις πολιορκούμενος ταῖς ἀπὸ τοῦ στομάχου. Λόγισαι τὰ ἐντεῦθεν, οὐκ ἰατρῶν ὄντων, οὐ βαλανείων, οὐκ ἐπιτηδείων, οὐ τῆς ἄλλης ἀνέσεως· Ἰσαυρικοῦ φόβου πανταχόθεν ἡμᾶς πολιορκοῦντος, τῶν ἄλλων κακῶν, ὧνπερ ἡ δυσκολία τῶν ὁδῶν τίκτειν εἴωθε, φροντίδος, μερίμνης, ἀθυμίας, ἐρημίας τῶν θεραπευόντων. Ἀλλὰ νῦν ἅπαντα ταῦτα λέλυται. Εἰς γὰρ τὴν Κουκουσὸν ἐλθόντες, τήν τε ἀρρωστίαν ἅπασαν ἀπεθέμεθα μετὰ τῶν λειψάνων, καί ἐσμεν ἐν ὑγιείᾳ καθαρωτάτῃ, τοῦ τε φόβου τῶν Ἰσαύρων ἀπηλλάγημεν, πολλῶν ἐνταῦθα στρατιωτῶν ὄντων, καὶ σφόδρα πρὸς αὐτοὺς παρατεταγμένων· τῶν τε ἐπιτηδείων ἀφθονία πάντοθεν ἡμῖν ἐπιρρεῖ, πάντων μετὰ πάσης εὐνοίας ἡμᾶς ὑποδεχομένων, καίτοι σφόδρα ἐρημοτάτου ὄντος τοῦ χωρίου. Ἀλλ' ἔτυχεν ὁ δεσπότης μου Διόσκορος ἐνταῦθα ὤν, ὃς καὶ εἰς Καισάρειαν ἀπέστειλεν οἰκέτην εἰς αὐτὸ τοῦτο, παρακαλῶν καὶ δεόμενος μὴ προτιμῆσαι τῆς αὐτοῦ οἰκίας ἑτέραν· καὶ ἕτεροι δὲ πλείους. Ἀλλ' ἀναγκαῖον ἐνόμισα τῶν ἄλλων τοῦτον προτιμῆσαι. Καὶ κατήχθημεν ἐν τοῖς αὐτοῦ, καὶ πάντα ἡμῖν αὐτὸς γέγονεν, ὡς καὶ καταβοᾶν αὐτοῦ συνεχῶς διὰ τὴν πολλὴν δαψίλειαν καὶ τὴν ἀφθονίαν, ἣν βούλεται παρέχειν. Δι' ἡμᾶς γοῦν καὶ μετέστη χωρίον οἰκῶν, ὥστε πάντα θεραπεῦσαι τρόπον, τήν τε οἰκίαν ἡμῖν κατασκευάσαι πρὸς χειμῶνα ἐπιτηδείαν, πάντα ποιῶν ὑπὲρ τούτου καὶ πραγματευόμενος. Καὶ ὅλως οὐδὲν ἐλλέλειπται θεραπείας ἕνεκεν. Καὶ ἕτεροι δὲ πολλοὶ ἐπίτροποι καὶ οἰκονόμοι παρὰ τῶν δεσποτῶν τῶν ἑαυτῶν κελευσθέντες διὰ γραμμάτων συνεχῶς παραγίνονται, ἕτοιμοι κατὰ πάντα τρόπον ἡμᾶς ἀναπαῦσαι. Ταῦτα δὲ πάντα εἴρηκα, καὶ τὰ μὲν ἀπωδυράμην τὰ πρότερα, τὰ δὲ εἶπον τὰ χρηστά, ἵνα μὴ προπετῶς τις ἡμᾶς ἐντεῦθεν ἐγείρῃ. Εἰ μὲν γὰρ ὄντως βουλόμενοι δοῦναι ἡμῖν τὴν χάριν, κυρίους ἡμᾶς ποιοῖεν τοῦ εἶναι ὅπου βουλόμεθα, καὶ μὴ πάλιν ἕτερον ἡμῖν μέλλοιεν ἀποκληροῦν τόπον ὃν ἂν θέλωσι, κατάδεξαι τὴν χάριν· εἰ δὲ ἔνθεν ἡμᾶς ἀναστάντες, εἰς ἕτερον μέλλοιεν πέμπειν τόπον, καὶ πάλιν ὁδοί, καὶ πάλιν ἀποδημίαι, ἐμοὶ σφόδρα τοῦτο χαλεπώτερον· πρῶτον μέν, μή ποτε εἰς μακρότερον ἢ εἰς χαλεπώτερον ἡμᾶς πέμψωσι χωρίον· ἔπειτα δέ, ὅτι μυρίων ἐξοριῶν ἐμοὶ τὸ ὁδεύειν χαλεπώτερον. Καὶ γὰρ εἰς αὐτὰς ἡμᾶς κατήνεγκε τοῦ θανάτου τὰς πύλας ταύτης τῆς ἀποδημίας ἡ δυσκολία. Καὶ διατρίβομεν νῦν ἐν Κουκουσῷ, τῇ διηνεκεῖ καθέδρᾳ καὶ ἡσυχίᾳ ἀνακτώμενοι ἑαυτούς, καὶ τὴν ἐν τῷ μακρῷ χρόνῳ γενομένην ἡμῖν ταλαιπωρίαν, καὶ τὰ συντετριμμένα ἡμῶν ὀστᾶ, καὶ τὴν ταλαιπωρηθεῖσαν σάρκα διὰ τῆς ἡσυχίας θεραπεύοντες. Ἀπήντησε δὲ καὶ ἡ κυ-

ρία

γρ. ἐπίστελλε. γρ. πλέον. γρ. παρατεταγμένων. γρ. ὑποδ. ἐλλείπεται. γρ. λυπηρά. γρ. ἀναστήσαντες.

ρία μου Σαβινιανὴ ἡ διάκονος κατὰ τὴν ἡμέραν τὴν αὐτήν, καθ' ἣν καὶ ἡμεῖς ἀπηντήσαμεν, συντετριμμένη μὲν καὶ τεταλαιπωρημένη, ἅτε ἐν τούτῳ τῆς ἡλικίας οὖσα, ἔνθα καὶ κινεῖσθαι δύσκολον· ὅμως δὲ τῇ προθυμίᾳ νεάζουσα, καὶ μηδενὸς ἐπαισθανομένη τῶν λυπηρῶν. ἑτοίμη γὰρ ἔφησεν εἶναι καὶ εἰς Σκυθίαν ἀπαντήσασθαι· ἐπειδὴ τοιοῦτος ἐκράτει λόγος, ὡς ἐκεῖ ἡμῶν ἀπαχθησομένων. ἑτοίμη δέ ἐστιν, ὥς φησι, μηκέτι ὑποστρέφειν μηδαμοῦ, ἀλλ' ἐκεῖ διατρίβειν, ἔνθα ἂν ὦμεν. σφόδρα δὲ αὐτὴν ὑπεδέξατο τὸ τῆς ἐκκλησίας μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς εὐνοίας. καὶ ὁ κύριός μου δὲ Κωνστάντιος ὁ εὐλαβέστατος πρεσβύτερος πάλαι ἂν ἐνταῦθα ἦν. καὶ γὰρ καὶ ἐπέστειλέ μοι παρακαλῶν, ἵνα ἐπιτρέψω αὐτῷ ἐλθεῖν· τῆς γὰρ ἐμῆς γνώμης χωρὶς μηδὲ ἂν τολμῆσαι παραγενέσθαι, καίτοι σφόδρα ἐπιθυμῶν, καί, ὥς φησιν, οὐδὲ αὐτόθι μένειν δυνάμενος. κρύπτεται γὰρ καὶ λανθάνει. τοσαῦτα αὐτὸν συνέχει κακά, καθώς φησι. παρακαλῶ τοίνυν, μὴ ἄλλως ποιήσῃς τοῦ τόπου ἕνεκεν. εἰ δ' αὖ πάλιν δοκιμάσειας ἀποπειραθῆναι τῆς γνώμης αὐτοῦ, αὐτὴ μὲν οἴκοθεν μηδὲν εἴπῃς· δοκίμασον δέ, ποῦ προῄρηται, κατὰ τὴν σύνεσίν σου· δύνασαι γάρ. κἂν ἴδῃς ὅτι πλησίον αὐτόθι που ἐν παραθαλασσίῳ πόλει, ἢ ἐν Κυζίκῳ, ἢ Νικομηδείας πλησίον, καὶ τοῦτο καταδέξαι. εἰ δ' ἄρα μακρότερόν που, ἢ τοῦ τόπου τούτου μακρότερον, ἢ τοσοῦτον ὅσον ἐστί, μὴ ἕλῃ· ἐπεὶ σφόδρα τοῦτό μοι βαρὺ καὶ χαλεπώτατον. πῶς γὰρ πολλῆς ἀνέσεως ἐνταῦθα ἀπολαύομεν, ὡς καὶ ἐν δύο ἡμέραις ἅπασαν τὴν ἀηδίαν ἀπονίψασθαι τὴν ἐκ τῆς ὁδοῦ γεγενημένην ἡμῖν.

γρ. Σαβινιανὴ

γρ. -σταντῖνος

γρ. δοκεῖ ὑμῖν ἀπτ.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ιγ.

Τί θρηνεῖς; τί κόπτεις σαυτήν, καὶ δίκας ἀπαιτεῖς, ἃς οὐδὲ οἱ ἐχθροί σου ἀπαιτῆσαί σε ἴσχυσαν, οὕτω τῇ τυραννίδι τῆς ἀθυμίας ἐκδοῦσά σου τὴν ψυχήν; τὰ γὰρ γράμματα, ἃ διὰ Πατρικίου ἡμῖν διεπέμψω, ταῦτα ἐδήλωσέ σου τὰ τραύματα τῆς διανοίας. διὸ καὶ σφόδρα ἀλγῶ καὶ ὀδυνῶμαι, ὅτι ὀφείλουσα πάντα κινεῖν καὶ πραγματεύεσθαι, ὥστε ἀπελαύνειν σου τῆς ψυχῆς τὴν ἀθυμίαν, περιέρχῃ συνάγουσα λογισμοὺς ὀδυνηρούς, καὶ τὰ μὴ ὄντα (τοῦτο γὰρ καὶ ἔφησαν) ὡς ὄντα ἀναπλάττουσα, καὶ κατατείνουσα σαυτὴν εἰκῇ καὶ μάτην καὶ ἐπὶ βλάβῃ μεγίστῃ. τί γάρ σε λυπεῖ; ὅτι Κουκουσοῦ οὐκ ἴσχυσας ἡμᾶς μεταστῆσαι; καίτοιγε τὸ σὸν μέρος μετέστησας, πάντα κινήσασα καὶ πραγματευσαμένη. εἰ δὲ εἰς τέλος τὸ ἔργον οὐκ ἦλθεν, οὐδὲ διὰ τοῦτο ἀλγεῖν δεῖ. ἴσως γὰρ ἔδοξε τῷ Θεῷ μακροτέρους μοι τεθῆναι τοὺς δρόμους τοὺς διαύλους, ὥστε καὶ λαμπροτέρους γενέσθαι τοὺς στεφάνους. τί τοίνυν ἀλγεῖς ὑπὲρ τούτων, ἀφ' ὧν ἡμεῖς ἀνακηρυττόμεθα; δέον σε σκιρτᾶν διὰ ταῦτα καὶ χορεύειν καὶ στεφανοῦσθαι, ὅτι τοσούτου κατηξιώθημεν πράγματος σφόδρα ὑπερβαίνοντος ἡμῶν τὴν ἀξίαν. ἀλλ' ἡ ἐρημία σε λυπεῖ τῶν ἐνταῦθα; καὶ τί τῆς διατριβῆς τῆς ἐνταῦθα ἥδιον; ἡσυχία, γαλήνη, ἀπραγμοσύνη πολλή, σώματος εὐρωστία. εἰ γὰρ μήτε ἀγορὰν, μήτε ὤνιον ἔχει ἡ πόλις, οὐδὲν τούτων πρὸς ἐμέ. πάντα γάρ μοι καθάπερ ἐκ πηγῶν ἐπιρρεῖ. καὶ γὰρ τὸν κύριόν μου τὸν ἐπίσκοπον τὸν ἐνταῦθα, καὶ τὸν κύριόν μου Διόσκορον ἔχω ἔργον τοῦτο ποιουμένους δι' ὅλου, τὴν ἡμετέραν ἀνάπαυσιν. ἐρεῖ δέ σοι καὶ ὁ καλὸς Πατρίκιος, ὅπως διάγομεν ἐν εὐθυμίᾳ, ἐν εὐφροσύνῃ, ἐν θεραπείᾳ πολλῇ, τό γε εἰς τὴν διατριβὴν τὴν ἐνταῦθα ἧκον. εἰ δὲ τὰ ἐν Καισαρείᾳ θρηνεῖς, καὶ τοῦτο ἀναξίως σου ποιεῖς. καὶ γὰρ ἐκεῖ λαμπρότεροι πάλιν ἐπλάκησαν ἡμῖν οἱ στέφανοι, ὡς πάντας ἡμᾶς ἀνακηρύττειν, ἀναγορεύειν, θαυμάζειν, ἐκπλήττεσθαι, ἐφ' οἷς κακῶς παθόντες ἐξεβλήθημεν. ἀλλὰ ταῦτα μηδεὶς τέως εἰδέτω, εἰ καὶ πολλοὶ αὐτὰ διαθρυλλοῦσιν. ἐδή-

λωσε

λωσε γάρ μοι ὁ κύριός μου Παιάνιος, ὅτι καὶ πρεσβύτεροι αὐτοῦ τοῦ Φαρετρίου πάρει-
σιν αὐτόθι, οἳ ἔφησαν ἡμῖν κοινωνεῖν, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τοὺς ἐναντίους, μηδὲ
συγγίνεσθαι αὐτοῖς, μηδὲ κοινωνῆσαι. ἵν' οὖν μὴ διαταράξωμεν αὐτοὺς, μηδεὶς ταῦ-
τα εἰδέτω. καὶ γὰρ σφόδρα χαλεπὰ τὰ συμβάντα εἰς ἡμᾶς. καὶ εἰ μηδὲν ἄλλο
5 ἐπεπόνθειν δεινὸν, ἤρκει τὰ ἐκεῖσε γενόμενα μυρία μοι προξενῆσαι βραβεῖα. οὕτω περὶ τῶν
ἐσχάτων ἡμῖν ὁ κίνδυνος γέγονε. παρακαλῶ δὲ, ἀπόρρητα ἔσω παρὰ σοί· καὶ ἐν βραχεῖ
σοι αὐτὰ διηγήσομαι, οὐχ ἵνα λυπήσω, ἀλλ' ἵνα εὐφράνω. αὗται γάρ μου τῆς ἐμπορείας αἱ
ὑποθέσεις, οὗτός μου ὁ πλοῦτος, αὕτη τῶν ἁμαρτημάτων μου ἡ δαπάνη, τὸ συνεχῶς διὰ
τοιούτων ὁδεύειν πειρασμῶν, καὶ ἐπάγεσθαί μοι τούτους, παρ' ὧν οὐδαμῶς προσεδόκησα. ἐπειδὴ
10 γὰρ ἐμέλλομεν ἐπιβαίνειν τῆς Καππαδοκῶν χώρας ἀπαλλαγέντες τοῦ Γαλάτου, κἀκείνου
σχεδὸν θάνατον ἡμῖν ἀπειλήσαντος, πολλοὶ κατὰ τὴν ὁδὸν ἡμῖν ἀπηντῶν λέγοντες, ὅτι ὁ Κύ-
ριος Φαρέτριος ἀναμένει σε, καὶ πανταχοῦ περιέρχεται, μὴ ἀποτύχῃ τῆς συντυχίας σου,
καὶ πάντα ποιεῖ καὶ πραγματεύεται, ὥστε σε ἰδεῖν καὶ περιπτύξασθαι καὶ πᾶσαν ἀγάπην ἐ-
πιδείξασθαι· καὶ τὰ μοναστήρια ἀνδρῶν καὶ γυναικῶν ἐκίνησεν. ἐγὼ δὲ ταῦτα ἀκούων, τού-
15 των μὲν οὐδὲν προσεδόκων, ἀλλὰ τὰ ἐναντία διετύπουν παρ' ἐμαυτῷ. τῶν μέντοι ταῦτα
ἀπαγγελλόντων οὐδενὶ τούτων οὐδὲν ἔλεγον. ἐπειδὴ δὲ ἐπέβην ὀψέ ποτε τῆς Καισαρείας, κα-
τειργασμένος, τεταριχευμένος, ἐν αὐτῇ τῆς φλογὸς τῇ ἀκμῇ τοῦ πυρετοῦ κείμενος, ἀλύ-
ων, τὰ ἔσχατα πάσχων, ἐπέτυχον καταγωγίου πρὸς αὐτῇ τῆς πόλεως τῇ ἐσχατιᾷ κειμένου, καὶ
σπουδὴν ἐποιούμην ὥστε καὶ ἰατροῖς συντυχεῖν, καὶ τὴν κάμινον ἐκείνην σβέσαι. ἦν γὰρ αὐ-
20 τὴ ἡ ἀκμὴ τοῦ τριταίου, καὶ προσῆν καὶ ἡ τῆς ὁδοῦ ταλαιπωρία, ὁ κάματος, ἡ συντριβὴ, ἡ
τῶν θεραπευσόντων ἐρημία, ἡ τῶν ἐπιτηδείων ἀπορία, τὸ μηδένα παρεῖναι ἡμῖν ἰατρὸν, τὸ
καμάτῳ καὶ θάλπει καὶ ἀγρυπνίαις καταταθῆναι· καὶ σχεδὸν αὐτόνεκρος ὢν, εἰσῆλθον εἰς τὴν
πόλιν. τότε δὴ παρεγένοντο ὁ κλῆρος ἅπας, ὁ δῆμος, μονάζοντες, μονάστριαι, ἰατροί· καὶ πολ-
λῆς ἀπήλαυον θεραπείας, πάντων ἅπαντα ἡμῖν διακονουμένων, ὑπηρετουμένων. ἀλλὰ
25 καὶ οὕτω πολλῷ τῷ κάρῳ τῆς φλογὸς κατεχόμενος, ἐν ἐσχάτοις ἤμην δεινοῖς. τέλος κατὰ μι-
κρὸν *ἐλώφα τὸ νόσημα. ὁ δὲ Φαρέτριος οὐδαμοῦ, ἀλλ' ἀνέμενεν ἡμῶν τὴν ἔξοδον, οὐκ
οἶδα τί δόξαν αὐτῷ. ἐπειδὴ τοίνυν εἶδον ἠρέμα λωφῆσαν τὸ κακὸν, ἐβουλευόμην λοιπὸν περὶ
ἀποδημίας, ὥστε ἐπιλαβέσθαι τῆς Κουκουσοῦ, καὶ μικρὸν ἀναπαύσασθαι τῶν τῆς ὁδοῦ συμ-
φορῶν. καὶ ἐν τούτοις ἡμῶν ὄντων, ἀπαγγέλλονται ἄθρόοι Ἴσαυροι, πλῆθος ἄπειρον, κατα-
30 τρέχοντες τὴν Καισαρέων χώραν, καί τινα κώμην μεγάλην ἐμπρήσαντες, καὶ τὰ ἔσχατα δια-
θέντες. τοῦτο ἀκούσας ὁ Τριβοῦνος, λαβὼν τοὺς στρατιώτας, οὓς εἶχεν, ἐξῆλθεν. ἐδεδοίκε-
σαν γὰρ μὴ καὶ τῇ πόλει προσβάλωσι, καὶ πάντες ἦσαν ἐν φόβῳ, πάντες ἐν ἀγωνίᾳ, περὶ αὐ-
τοῦ τοῦ ἐδάφους τῆς πατρίδος κινδυνεύοντες, ὡς καὶ αὐτοὺς τοὺς πρεσβυτέρους τὴν φυλακὴν
τῶν τειχῶν μεταχειρίζειν. ἐν τούτοις τῶν πραγμάτων ὄντων, ἄθρόον ὑπὸ τὴν ἕω δροῦγ-
35 γος μοναζόντων (οὕτω γὰρ δεῖ εἰπεῖν, καὶ τῇ λέξει τὴν μανίαν αὐτῶν [illegible]ίξασθαι) ἐπέ-
στησαν τῇ οἰκίᾳ, ἔνθα ἦμεν, ἀπειλοῦντες αὐτὴν καίειν, ἐμπιπρᾷν, τὰ ἔσχατα ἡμᾶς δια-
θεῖναι, εἰ μὴ ὑπεξέλθοιμεν. καὶ οὔτε ὁ τῶν Ἰσαύρων αὐτοὺς φόβος, οὔτε ἡ ἀρρωστία οὕτω σφο-
δρῶς ἐπικειμένη, οὔτε ἄλλο οὐδὲν ἐποίησεν ἐπιεικεστέρους αὐτούς· ἀλλ' ἐπέκειντο τοσούτου θυ-
μοῦ πνέοντες, ὡς καὶ αὐτοὺς φοβηθῆναι τοὺς ἐπαρχικούς. καὶ γὰρ καὶ αὐτοῖς ἠπείλουν πλη-
40 γὰς, καὶ ἐκαλλωπίζοντο, ὡς καὶ ἤδη πολλοὺς αἰσχρῶς τυπτήσαντες ἐπαρχικούς. ταῦτα καὶ
ἐπαρχικοὶ ἀκούσαντες κατέφυγον εἰς ἡμᾶς, παρεκάλουν τε καὶ ἐδέοντο, ὅτι κἂν εἰς Ἰσαύ-
ρους μέλλωμεν ἐμπίπτειν, ἀπάλλαξον ἡμᾶς τῶν θηρίων τούτων. ἀκούσας ὁ ἡγεμὼν κα-
τέδραμεν ἐπὶ τὴν οἰκίαν βουλόμενος ἡμῖν βοηθῆσαι. οὐδὲ ἐκείνου παρακαλοῦντος ἠνέ-
σχοντο καὶ μονάζοντες, ἀλλὰ καὶ αὐτὸς ἠσθένησεν. ὁρῶν τοίνυν τὰ πράγματα ἐν ἀπορίᾳ
πολλῇ,

γ. Κύριος

*λήγει καὶ

γ. ..ω

γ. μετὰ μεγάλου θυμοῦ, ὥστε

πολλῇ, καὶ οὔτε τολμῶν ἡμῖν συμβουλεῦσαι εἰς φόνον φανερὸν ἐξελθεῖν, οὔτε πάλιν εἴδον μέ-
νειν διὰ τὴν τοσαύτην ἐκείνων μανίαν, ἔπεμψε πρὸς τὸν Φαρέτριον παρακαλῶν ὀλίγων
ἐνδοῦναι ἡμερῶν ἀριθμὸν, διά τε τὴν ἀῤῥωστίαν, διά τε τὸν ἐπικείμενον κίνδυνον. καὶ οὐδὲ οὕτως ἐ-
γένετό τι πλέον· ἀλλὰ τῇ ἑξῆς σφοδρότεροι παρεγένοντο, καὶ τῶν πρεσβυτέρων οὐδεὶς ἐτόλμα
παραστῆναι καὶ βοηθῆσαι, ἀλλ' αἰσχυνόμενοι καὶ ἐρυθριῶντες (κατὰ γὰρ γνώμην Φαρετρίου ἔ- 5
λεγον ταῦτα γίνεσθαι) ἐκρύπτοντο, ἐλάνθανον· καλούμενοι παρ' ἡμῶν, οὐχ ὑπήκουον. τί δεῖ πολ-
λὰ λέγειν; καὶ φόβων τοσούτων ἐπικειμένων, καὶ θανάτου σχεδὸν δήλου, καὶ τοῦ πυρετοῦ με κατεργα-
ζομένου (οὐδὲ γὰρ ἤμην ἀπαλλαγεὶς οὐδέπω τῶν κακῶν τῶν ἐντεῦθεν) μεσημβρίας
μέσης ῥίψας ἐμαυτὸν εἰς τὸ λεκτίκιον ἐξηγόμην ἐκεῖθεν, τοῦ δήμου παντὸς κωκύοντος, ὀλο-
λύζοντος, ἐπαρωμένου τῷ ταῦτα πεποιηκότι, ὀλοφυρομένων πάντων, θρηνούντων. ἐπειδὴ 10
δὲ τῆς πόλεως ἐξῆλθον, καὶ τῶν κληρικῶν τινες ἐλθόντες ἠρέμα ἡμᾶς προέπεμψαν ὀδυ-
ρόμενοι, καί τινων λεγόντων ἀκούσαντες, ποῦ αὐτὸν ἀπάγετε εἰς φανερὸν θάνατον; ἕτερος
ἔλεγε πρὸς ἡμᾶς τῶν σφόδρα ἡμᾶς φιλούντων· ἄπελθε, δέομαί σου, εἰς Ἰσαύρους ἔμ-
πεσον, μόνον ἡμῶν ἀπαλλάγηθι. ὅπου γὰρ ἂν ἐμπέσῃς, εἰς ἀσφάλειαν ἐμπίπτεις, ἂν τὰς
ἡμετέρας διαφύγῃς χεῖρας. ταῦτα ἀκούουσα καὶ ὁρῶσα ἡ καλὴ Σελευκία [, ἡ τοῦ κυρίου μου 15
Ῥουφίνου ἐλευθέρα,] (καὶ γὰρ σφόδρα ἡμᾶς ἐθεράπευσε) παρεκάλεσέ τε καὶ ἐδεήθη ὥστε εἰς τὸ
προάστειον αὐτῆς καταλῦσαι περὶ πέντε μιλίων τῆς πόλεως ὄν. καὶ συνέπεμψεν ἡμῖν ἀν-
θρώπους, καὶ ἀπήλθομεν ἐκεῖσε. ἀλλ' οὐδὲ ἐκεῖ ἔμελλεν ἡμῖν ἀποστήσεσθαι ἡ ἐπιβουλὴ
αὕτη. ὡς γὰρ ἔγνω ὁ Φαρέτριος, ἐδήλωσεν αὐτῇ, καθώς ἔλεγον, πολλὰς ἀπειλάς, ἐπειδή
με εἰς τὸ προάστειον αὐτῆς ὑπεδέξατο. κἀγὼ τούτων ᾔδειν οὐδέν. ἀλλ' ἐξελθοῦσα 20
πρὸς ἡμᾶς ταῦτα μὲν ἡμᾶς ἀπέκρυψεν, ἐδήλου δὲ τῷ ἐπιτρόπῳ αὐτῆς ἐκεῖσε ὄντι πᾶσάν τε
ἡμῖν ἀνάπαυσιν παρασχεῖν, καὶ εἴ τινες ἐπέλθοιεν μονάζοντες βουλόμενοι ἡμᾶς ἐνυβρίσαι ἢ
συντρίψαι, συναγαγεῖν γεωργοὺς ἀπὸ τῶν ἄλλων αὐτῆς χωρίων, καὶ οὕτω παρατάξασθαι
πρὸς αὐτούς. παρεκάλει δὲ καὶ εἰς τὴν οἰκίαν αὐτῆς κάστελλον ἔχουσαν καὶ ἀχείρωτον οὖσαν
καταφυγεῖν, ὥστε τοῦ ἐπισκόπου καὶ τῶν μοναζόντων ἐκφυγεῖν τὰς χεῖρας. ἀλλὰ τοῦτο μὲν 25
οὐκ ἠνεσχόμην, ἀλλ' ἤμην ἐν τῷ προαστείῳ, οὐδὲν εἰδὼς τῶν μετὰ ταῦτα κατασκευαζο-
μένων οὐδέ τι. οὐδὲ τοῦτο αὐτοῖς ἤρκεσεν εἰς τὸ ἀποστῆναι τῆς καθ' ἡμῶν μανίας. εἶ-
τα νύκτωρ μέσων οὐδὲν τούτων εἰδὼς (πολὺς γὰρ ἐπέκειτο ὁ Φαρέτριος ἀπειλῶν ἐκείνῃ,
καθώς φασι, καταναγκάζων, ὠθῶν, ὥστε ἡμᾶς ἐκβαλεῖν καὶ τῶν προαστείων) οὐ φέρουσα ἡ
γυνὴ τὴν ἐπήρειαν αὐτοῦ, οὐκ εἰδότος ἐμοῦ, ἐδήλωσεν αὐτόθι ὅτι οἱ βάρβαροι ἐπέστη- 30
σαν, αἰσχυνομένη τὴν ἀνάγκην εἰπεῖν ἣν ὑπέμεινε. καὶ μέσων νυκτῶν εἰσελθὼν πρός με
Εὐήθιος ὁ πρεσβύτερος, καθεύδοντά με διεγείρας, μετὰ πολλῆς τῆς βοῆς ταῦτα ἔλεγεν· ἀνά-
στηθι, παρακαλῶ, βάρβαροι ἐπέστησαν ἐνταῦθα πλησίον. ἐννόησον τίς ἤμην ταῦτα ἀκού-
ων. εἶτα ὡς πρὸς αὐτὸν εἶπον, καὶ τί δεῖ πρᾶξαι, εἰς τὴν πόλιν οὐ δυνάμεθα κατα-
φυγεῖν, μὴ χαλ[illegible]ώτερα πάθωμεν, ὧν Ἴσαυροι μέλλουσιν ἡμῖν ποιεῖν, ἠνάγκαζεν ἐξιέναι. 5
νὺξ ἦν ἀσέληνος, νὺξ μέση, ζοφώδης, σκοτεινή. καὶ τοῦτο αὐτὸ πάλιν ἀπορίας ἀνάμεστον ἦν
ἡμῖν. καὶ οὐδεὶς ὁ παρών, οὐδεὶς ὁ βοηθῶν. πάντες γὰρ ἡμᾶς ἐγκατέλιπον. ὅμως ὑπὸ τοῦ
φόβου συνωθηθεὶς, καὶ προσδοκῶν εὐθέως ἀποθανεῖσθαι, διανέστην ταλαιπωρούμενος,
κελεύσας λαμπάδας ἀναφθῆναι. ἀλλὰ καὶ ταύτας ὁ πρεσβύτερος ἐκέλευσε σβεσθῆναι,
μή ποτε, φησίν, οἱ βάρβαροι τῷ φωτὶ καλούμενοι πρὸς ἡμᾶς, ἐπιπέσωσιν ἡμῖν. ἐσβέ- 10
σθησαν καὶ αἱ λαμπάδες. εἶτα ὁ Βουρδὼν ὁ φέρων ἡμῖν τὸ λεκτίκιον (τραχεῖα γὰρ ἦν σφόδρα
ἡ ὁδὸς καὶ ἀνάντης καὶ λιθώδης) κατενεχθεὶς ἐπὶ γόνυ κατήνεγκέ με ἔνδον ὄντα, καὶ μικροῦ δεῖν
ἤμελλον ἀπόλλυσθαι. εἶτα ἐκπηδήσας, συρόμενος περιεπάτουν ὑπὸ Εὐηθίου τοῦ πρεσβυ-
τέρου κατεχόμενος. καταπεπήδηκε γὰρ καὶ αὐτὸς τοῦ ὑποζυγίου. καὶ οὕτω χειραγωγούμενος
ἐβάδιζον,

γρ. ἠλαθοῦμ. γρ. ὀδυρόμ. γρ. ἔμπεσε. γρ. ἀλλὰ τὰς. γρ. βία. γρ. βοηθούμενος.

ἐβάδιζον, μᾶλλον δὲ ἑλκόμενος. οὔτε γὰρ βαδίζειν ἦν εἰς τοιαύτην δυσχωρίαν καὶ ὄρη χαλε-
πὰ ἐν νυκτὶ μέσῃ. ἐννόησον τί με πάσχειν εἰκὸς ἦν τοσούτοις συνεχόμενον κακοῖς, καὶ τοῦ πυρε-
τοῦ ἐπικειμένου, καὶ μηδὲν εἰδότα τῶν κατεσκευασμένων, ἀλλὰ δεδοικότα βαρβάρους, καὶ
τρέμοντα, καὶ προσδοκῶντα εἰς τὰς χεῖρας αὐτῶν ἐμπεσεῖσθαι. οὐ δοκεῖ σοι ταῦτα
5 μόνα τὰ παθήματα, εἰ καὶ μηδέν μοι ἕτερον συμβεβήκει, πολλὰ ἡμῶν δύνασθαι δια-
λύειν τῶν ἁμαρτημάτων, καὶ πολλήν μοι παρέχειν εὐδοκιμήσεως ἀφορμήν; τὸ δὲ αἴτιον, ὡς ἔγω-
γε οἶμαι, πάντες εὐθέως εἰσελθόντα με ἐν Καισαρείᾳ, οἱ ἐν ἀξιώμασιν, οἱ ἀπὸ Βικα- (γ. ἐπαρχείας,)
ρίας, οἱ ἀπὸ ἡγεμονιῶν, σοφισταί, οἱ ἀπὸ Τριβουνῶν, ὁ δῆμος ἅπας καθ' ἑκάστην ἑώρων
ἡμέραν, ἐθεράπευον, ἐπὶ τῆς κόρης τῶν ὀφθαλμῶν ἐβάσταζον. ταῦτα οἶμαι ὑποκνίσαι τὸν Φαρέ-
10 τριον, καὶ τὸν φθόνον τὸν ἐλάσαντα ἡμᾶς ἀπὸ Κωνσταντινουπόλεως οὐδὲ ἐνταῦθα ἡμῶν ἀ-
ποστῆναι, ὥς ἔγωγε οἶμαι. οὐδὲ γὰρ ἀποφαίνομαι, ἀλλ' ὑποπτεύω. τί ἄν τις εἴποι τὰ
ἄλλα τὰ κατὰ τὴν ὁδόν, τοὺς φόβους, τοὺς κινδύνους; ἅπερ καθ' ἑκάστην ἡμέραν ἀναμιμνησκόμενος
αὐτός, καὶ * ἐν διανοίᾳ περιφέρων, πέτομαι ὑπὸ τῆς ἡδονῆς, σκιρτῶ ὡς θησαυρὸν μέγαν (* ἀεὶ)
ἔχων ἀποκείμενον. καὶ γὰρ ὡς ἔχων, οὕτω διάκειμαι. διὸ καὶ τὴν σὴν παρακαλῶ τιμιότητα
15 χαίρειν ἐπὶ τούτοις, εὐφραίνεσθαι, σκιρτᾶν, τὸν Θεὸν δοξάζειν τὸν καταξιώσαντα ἡμᾶς τοι-
αῦτα παθεῖν. καὶ παρὰ σαυτῇ παρακαλῶ ταῦτα ἔχειν, καὶ πρὸς μηδένα ἐξειπεῖν· εἰ καὶ
τὰ μάλιστα οἱ ἐπαρχικοὶ πᾶσαν ἐμπλῆσαι τὴν πόλιν ἔχουσι, καὶ αὐτοὶ περὶ τῶν ἐσχάτων κιν-
δυνεύσαντες. πλὴν παρὰ τῆς σῆς εὐλαβείας μηδεὶς εἰδέτω τοῦτο, ἀλλὰ καὶ κατάστελλε τοὺς
λέγοντας. εἰ δὲ διὰ τὰ λείψανα τῆς κακώσεως ἀλγεῖς, μάθε σαφῶς, ὅτι καθαρῶς ἁ-
20 πάντων ἀπηλλάγην, καὶ ἐρρωμενέστερον ἔχω τὸ σῶμα, ἢ αὐτόθι διέτριβον. τὸν δὲ κρυμὸν (ἴσ. διατρίβων)
τί δέδοικας; καὶ γὰρ καὶ οἰκήματα ἐπιτήδεια ἡμῖν κατεσκεύασται, καὶ πάντα ὁ κύριός μου Διό- (ἀλλ. ἢ ὅτι αἰτίῃ λέγεις.)
σκορος ποιεῖ καὶ πραγματεύεται, ὥστε μηδὲ μικρὰν αἴσθησιν ἡμᾶς λαβεῖν ἀπὸ τοῦ κρυ-
μοῦ. εἰ δὲ ἔστιν ἀπὸ τῶν προοιμίων στοχάζεσθαι, ἐμοὶ ὁ νῦν ἀὴρ ἀνατολικὸς εἶναι δοκεῖ, καὶ (γ. διατρίβω.)
οὐδὲν ἐλάττων Ἀντιοχείας. τοσοῦτον τὸ θάλπος, τοσαύτη ἡ εὐκρασία τοῦ ἀέρος. σφόδρα (γ. ἔλαττον)
25 δέ με ἐλύπησας εἰποῦσα, ὅτι ἴσως καὶ πρὸς ἡμᾶς λυπῇ ὡς ἀμελήσαντας. καίτοι πρὸ
πολλῶν ἡμερῶν ἐπέσταλκα πρὸς τὴν σὴν τιμιότητα, παρακαλῶν μὴ κινεῖν με ἐντεῦθεν.
ἐγὼ δὲ τοῦτο ἐννοῆσαι εἶχον; πολλῆς σοι ἀπολογίας δεῖ καὶ πολλῶν ἱδρώτων καὶ καμάτου, ἵνα
δυνηθῇς πρὸς τοῦτο ἀπολογήσασθαι τὸ ῥῆμα. τάχα δὲ ἐκ μέρους καὶ ἀπολελόγησαι εἰ-
ποῦσα, ὅτι ἁπλῶς λογίζομαι τοῦτο, ὑπὲρ τοῦ αὔξειν τὴν θλῖψιν. ἀλλὰ καὶ τοῦτο πάλιν
30 ἔγκλημα μέγιστον, τὸ λέγειν, ὅτι καὶ προσφιλοτιμοῦμαι τοῖς λογισμοῖς τὰς ὀδύνας. δέον γὰρ (γ. λέγεις)
πάντα σε ποιεῖν καὶ πραγματεύεσθαι ὑπὲρ τοῦ καταλύειν τὴν θλῖψιν, τὸ θέλημα τοῦ δια-
βόλου ποιεῖς αὔξουσα τὴν ἀθυμίαν. ἢ οὐκ οἶσθα πόσον κακὸν ἀθυμία; τῶν δὲ Ἰσαύρων
ἕνεκεν μηδὲν δέδιθι λοιπόν. καὶ γὰρ ὑπέστρεψαν εἰς τὴν * αὐτῶν, καὶ ὁ ἡγεμὼν πάντα (* χώραν)
ἐποίησεν ὑπὲρ τούτου, καὶ ἐν ἀσφαλείᾳ ἐσμέν, πολλῷ μᾶλλον ἐνταῦθα ὄντες, ἢ ὅτε ἐν
35 Καισαρείᾳ ἦμεν. οὐδένα γὰρ λοιπὸν δέδοικα, ὡς τοὺς ἐπισκόπους, πλὴν ὀλίγων. ὅλως (γ. ὀλίγον)
τοίνυν τῶν Ἰσαύρων ἕνεκεν μηδὲν δέδιθι. καὶ γὰρ ἀνεχώρησαν, καὶ τοῦ χειμῶνος καταλαβόντος
οἴκοι εἰσὶ συγκεκλεισμένοι, ἂν ἄρα λοιπὸν μετὰ τὴν πεντηκοστὴν ἐξέλθωσι. πῶς δὲ λέ-
γεις γραμμάτων οὐκ ἀπολαύειν; ἤδη σοι τρεῖς ἔπεμψα ἐπιστολάς, τὴν μὲν διὰ τῶν ἐπαρ-
χικῶν, τὴν δὲ διὰ Ἀντωνίνου, τὴν δὲ διὰ Ἀνατολίου τοῦ οἰκέτου σου, πολυστίχους, τὰς δὲ δύο (γ. Ἀντωνίου)
40 μάλιστα, φάρμακοι σωτήριοι, * πάντα σκανδαλιζόμενον ἱκανὰς ἀνακτήσασθαι καὶ πρὸς (* πάντα ἀθυμοῦντα,)
καθαρὰν εὐθυμίαν ἀγαγεῖν. λαβοῦσα τοίνυν ταύτας, ἐπέρχου συνεχῶς καὶ διαπαντός,
καὶ ὄψει αὐτῶν τὴν ἰσχύν, καὶ τῆς ἰατρείας πεῖραν λήψῃ πολλήν, καὶ ἡμῖν δηλώσῃς ὅτι γέγονέ σοι
τι πλέον ἐκεῖθεν. ἔχω καὶ τρίτην ἑτοίμην, ἐοικυῖαν αὐταῖς, ἣν οὐκ ἠβουλήθην πέμψαι
νῦν, σφόδρα ἀλγήσας, δι' ὅπερ ἔφης, ὅτι καὶ συνάγω μοι λογισμοὺς ὀδυνηρούς, καὶ τὰ οὐκ ὄν-

τα

τι ἀναπλάττουσα ἀνάξιον σαυτῆς φθέγξασθαι ἐβουλήθης ῥῆμα, ἐφ' ᾧ καὶ αὐτὸς αἰσχύνομαι καὶ ἐγκαλύπτομαι. πλὴν ἀνάγνωθι ἐκείνας, καὶ οὐκ ἔτι ταῦτα ἐρεῖς, κἂν μυριάκις φιλονεικῇς ἀθυμεῖν. περὶ δὲ καὶ τοῦ Ἡρακλείδου τοῦ ἐπισκόπου ἡμῖν ἐδήλωσας, ἔξεστιν αὐτῷ, εἰ βουληθείη δοῦναι ἔκστασιν, καὶ πάντων ἀπαλλαγῆναι. οὐδὲν γὰρ ἄλλο λείπεται. ἐγὼ δὲ εἰ καὶ μηδὲν μέγα ἤνυον, ἀλλ' ὅμως ἐδήλωσα τῇ κυρίᾳ μου Πενταδίᾳ, ὥστε πᾶσαν σπουδὴν ἐπιδείξασθαι, εἴ τινα ἐπινοήσειε τῶν κακῶν παραμυθίαν. ἔφης δὲ τετολμηκέναι δηλῶσαί μοι τὰ λυπηρά, διὰ τὸ παρ' ἐκείνου κελευσθῆναι. ποία τόλμα τοῦτο; οὔτε ἐπαυσάμην λέγων, οὔτε παύσομαι, ὅτι ἓν λυπηρόν, ἁμαρτία μόνον· τὰ δὲ ἄλλα πάντα κόνις καὶ καπνός. τί γὰρ βαρὺ δεσμωτήριον οἰκῆσαι καὶ ἅλυσιν περικεῖσθαι; τί δὲ βαρὺ πάσχειν κακῶς, ὅταν τοσαύτης ἐμπορίας τὸ πάσχειν κακῶς ὑπόθεσις γίνηται; τί δὲ ἐξορία βαρύ; τί δὲ δήμευσις; ῥήματα ταῦτά ἐστι δεινῶν, πραγμάτων ἔρημα· ῥήματα λύπης ψιλά. ἄν τε γὰρ θάνατον εἴπῃς, τὸ τῆς φύσεως ὄφλημα λέγεις, ὃ πάντως ὑπομεῖναι δεῖ καὶ μηδενὸς ἐπάγοντος· ἄν τε ἐξορίαν εἴπῃς, οὐδὲν ἕτερον λέγεις, ἢ χώραν καὶ τὸ πολλὰς πόλεις ὁρᾶν· ἄν τε χρημάτων δήμευσιν εἴπῃς, ἐλευθερίαν λέγεις, καὶ τὸ εὔλυτον εἶναι. Μαρουθᾶν τὸν ἐπίσκοπον μὴ διαλίπῃς τότε εἰς σὲ ἥκειν θεραπεύουσα, ὥστε ἀνιμήσασθαι τοῦ βαράθρου. μάλιστα γὰρ αὐτοῦ δέομαι διὰ τὰ ἐν Περσίδι. καὶ μάθε παρ' αὐτοῦ, ἂν δυνατόν σοι γένηται, τί τε κατώρθωται ἐκεῖσε δι' αὐτοῦ, καὶ τίνος ἕνεκα παραγέγονε, καὶ δήλωσον ἡμῖν καὶ εἰ τὰς δύο ἐπιστολάς, ἃς ἔπεμψα αὐτῷ, ἀπέδωκας. κἂν μὲν βουληθείη ἡμῖν ἐπιστεῖλαι, πάλιν ἐπιστελοῦμεν αὐτῷ· ἂν δὲ μὴ βουληθείη, κἂν τῇ εὐλαβείᾳ σου δηλώσῃ, εἴ τι γέγονε πλέον αὐτόθι, καὶ εἰ μέλλοι τι κατορθοῦν πάλιν καταπών. ἐγὼ γὰρ διὰ τοῦτο καὶ ἐσπούδαζον αὐτῷ συγγενέσθαι. τὰ παρὰ σοῦ γινέσθω· κἂν πάντες κατὰ κεφαλὰς φέρωνται, τὸ σαυτῆς πλήρου. ὁ γὰρ μισθός σου ἔσται ἀπηρτισμένος. πάνυ οὖν αὐτὸν οἰκείωσαι, ὡς ἐγχωρεῖ. παρακαλῶ τοῦτο, ὃ μέλλω λέγειν, μὴ παραδράμῃς, ἀλλὰ πολλὴν ἐπίδειξαι περὶ αὐτοῦ σπουδήν. ἐδήλωσάν μοι οἱ μονάζοντες οἱ Μαρσεῖς, οἱ Γότθοι, ἔνθα ἀεὶ ἐκρύπτετο Σαραπίων ὁ ἐπίσκοπος, ὅτι Μωδουάριος ἦλθεν ὁ διάκονος ἀπαγγέλλων, ὅτι Οὐνίλας ὁ ἐπίσκοπος ὁ θαυμάσιος ἐκεῖνος, ὃν πρώην ἐχειροτόνησα καὶ ἔπεμψα εἰς Γοτθίαν, πολλὰ καὶ μεγάλα κατορθώσας ἐκοιμήθη· καὶ ἦλθε φέρων γράμματα τοῦ ῥηγὸς τῶν Γότθων ἀξιοῦντα πεμφθῆναι αὐτοῖς ἐπίσκοπον. ἐπεὶ οὖν οὐδὲν ἄλλο ὁρῶ πρὸς τὴν ἀπειλουμένην καταστροφὴν συντελοῦν πρὸς διόρθωσιν, ἢ μέλλησιν καὶ ἀναβολήν (οὐδὲ γὰρ δυνατὸν αὐτοῖς πλεῦσαι εἰς τὸν Βόσπορον νῦν, οὐδὲ εἰς τὰ μέρη ἐκεῖνα) ὑπερθέσθαι πως αὐτοὺς διὰ τὸν χειμῶνα παρασκεύασον. ἀλλὰ μὴ ἁπλῶς αὐτὸ παραδράμῃς. κατόρθωμα γάρ ἐστι μέγιστον. δύο γάρ ἐστιν, ἃ μάλιστά με λυπεῖ, εἰ γένοιτο, ὃ μὴ γένοιτο· τό τε παρὰ τούτων μέλλειν γίνεσθαι τῶν τοσαῦτα κακὰ ἐργαζομένων καὶ περὶ ὧν οὐ θέμις· τό τε ἁπλῶς τινα γενέσθαι. ὅτι γὰρ οὐ σπουδάζουσί τινα γενναῖον ποιῆσαι, οἶσθα καὶ αὐτή. εἰ δὲ τοῦτο γένοιτο, ὃ μὴ γένοιτο, τὰ ἑξῆς ἐπίστασαι. ἵν' οὖν μηδὲν τούτων γένηται, πᾶσαν σπουδὴν ποίησαι ἀψοφητί. εἰ δὲ δυνατὸν καὶ λανθανόντως τὸν Μωδουάριον πρὸς ἡμᾶς ἐκδραμεῖν, μέγιστα ἂν ἤνυεν· εἰ δὲ μὴ δυνατόν, ἐκ τῶν ἐγχωρούντων τὰ δυνατὰ γινέσθω. ὅπερ γὰρ ἐπὶ χρημάτων γέγονε καὶ ἐπὶ τῆς χήρας συνέβη, τοῦτο καὶ ἐπὶ πραγμάτων. ὥσπερ γὰρ ἐκείνη δύο ὀβολοὺς καταβαλοῦσα πάντας ὑπερηκόντισε τοὺς πλείονα καταβάλλοντας, τὴν οὐσίαν πᾶσαν κενώσασα· οὕτω καὶ οἱ εἰς τὰ πράγματα πάσῃ δυνάμει σπουδάζοντες, τὸ πᾶν ἐπλήρωσαν, τό γε εἰς αὐτοὺς ἧκον. κἂν μηδὲν γένηται πλέον, καὶ τὸν μισθὸν ἀπηρτισμένον ἔχουσιν. Ἰλαρίῳ τῷ ἐπισκόπῳ πολλὰς ἔχω χάριτας. ἔγραψε γάρ μοι ἀξιῶν ἐπιτραπῆναι ἀπελθεῖν εἰς τὴν αὐτοῦ, καὶ διορθώσασθαι τὰ αὐτόθι, καὶ πάλιν παραγενέσθαι. ἐπεὶ οὖν πολλὰ ὠφελεῖ ἡ παρουσία αὐτοῦ (καὶ γὰρ εὐλαβής ἐστι καὶ ἀνὴρ ἀπερίτρεπτος καὶ ζέων) παρεκάλεσα αὐτὸν ἀπελθόντα ταχέως ἐπανελθεῖν.

γ. τῷ κακῷ

γ. αἰώρας

γ. τά.

Λυκ. κα. β.

θῆν. ποίησον τοίνυν τὴν ἐπιστολὴν ταχέως καὶ ἀσφαλῶς αὐτῷ ἀποδοθῆναι, καὶ μὴ περιῤ-
ῥιφῆναι. καὶ γὰρ μετὰ πολλῆς ἐπιθυμίας καὶ σφοδρότητος ἀπαιτοῦσι τὰ παρ' ἡμῶν γράμμα-
τα, καὶ πολὺ ὠφελεῖ ἡ παρουσία αὐτοῦ. πάνυ οὖν φρόντισον τὰς ἐπιστολάς. εἰ μὴ παρείη αὐ-
τόθι Ἑλλάδιος ὁ πρεσβύτερος, διά τινος ἀνθρώπου συνετοῦ ἐγκέφαλον ἔχοντος ποίησον ἀπο-
5 δοθῆναι τοῖς φίλοις.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ιη'.

Σὺ δέ μοι προσεδόκησας, τοσαύτην ἐκ νεότητος ἐπιδειξαμένη φι-
10 λοσοφίαν, καὶ τὸν ἀνθρώπινον καταπατήσασα τῦφον, ἀτάραχόν
τινα καὶ ἀπόλεμον ζήσεσθαι βίον; καὶ πῶς ἔνι τοῦτο; εἰ γὰρ ἀνθρώποις
ἄνθρωποι πυκτεύοντες μυρία καὶ ἐν ἀγῶσι καὶ ἐν πολέμοις δέχον-
ται τὰ τραύματα, ἡ πρὸς αὐτὰς ἀποδυσαμένη τὰς ἀρχὰς καὶ τὰς
ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου,
15 πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, καὶ ἀποδυσαμένη γενναίως οὕτω, καὶ τοσαῦτα
στήσασα τρόπαια, καὶ διὰ τοσούτων λυπήσασα τὸν ἄγριον ἐκεῖνον καὶ ἀλάστορα δαίμονα,
πόθεν ἤλπισας ἡσύχιόν τινα καὶ ἀπράγμονα βιώσεσθαι βίον; οὐ τοίνυν διὰ ταῦτα θορυβεῖ-
σθαι χρή, ὅτι πολλοὶ "πάντοθεν οἱ θόρυβοι, καὶ πολλαὶ αἱ ταραχαί· ἀλλὰ τοὐναντίον,
εἰ μηδὲν τούτων συμβέβηκε, τότε θαυμάσαι ἐχρῆν. τῇ γὰρ ἀρετῇ συγκεκλήρωται πόνος καὶ
20 κίνδυνος. καὶ ταῦτα οἶσθα καὶ πρὸ τῶν ἡμετέρων γραμμάτων αὐτή, καὶ οὐδὲν δεήσῃ παρ'
ἑτέρου μανθάνειν. ἐπεὶ καὶ ἡμεῖς οὐκ ἀγνοοῦσαν διδάσκοντες, ταῦτα ἐπιστέλλομεν. ἴσμεν
γάρ, ὅτι οὔτε τῆς πατρίδος ἐκπεσεῖν, οὔτε τῶν χρημάτων ὑπομεῖναι ζημίαν (τοῦτο δὴ τὸ
πολλοῖς ἀφόρητον) οὐχ ὕβρεις, οὐκ ἄλλη τις τοιαύτη θλίψις διαταράξαι σε δυνήσεται. εἰ
γὰρ οἱ κοινωνοὶ τῶν "τοσαῦτα πασχόντων γινόμενοι ζηλωτοί, πολλῷ μᾶλλον οἱ ἐν αὐτοῖς ὄν-
25 τες. διὰ τοῦτο Παῦλος ἐφ' ἑκατέρῳ τοὺς ἐξ Ἑβραίων πιστεύσαντας ἀνακηρύττει, λέγων· Ἀ-
ναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε
παθημάτων, τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω πα-
σχόντων γενηθέντες. διὰ τοῦτο οὐδὲ ἡμεῖς μακρὰν ποιούμεθα τὴν ἐπιστολήν. οὐδεὶς γὰρ τῷ
νικήσαντι καὶ τρόπαιον στήσαντι λαμπρὸν παραγίνεται συμμαχίαν κομίζων, ἀλλ' εὐφημίας
30 μόνον. ἐπεὶ οὖν καὶ ἡμεῖς ἔγνωμεν, ὅσην περὶ τὰ συμβάντα τὴν φιλοσοφίαν ἐπεδείξω,
μακαρίζομέν σε, θαυμάζομεν τῆς τε εἰς τὸ παρὸν ὑπομονῆς, καὶ τῶν ἀντιδόσεων τῶν ἐν-
τεῦθέν σοι τεταμιευμένων. ἐπειδὴ δὲ καὶ τὰ ἡμέτερα, εὖ οἶδ', ὅτι βούλει μανθάνειν (καὶ γὰρ μα-
κρὰν ἐσίγησας σιγήν) τῆς μὲν χαλεπωτάτης ἀῤῥωστίας ἀπηλλάγημεν· λείψανα δὲ ἔτι τῆς
νόσου περιφέρομεν, καὶ ἰατρῶν δὲ ἀπολαύομεν ἀρίστων. ἀλλ' ὅμως καὶ οὕτω λυμαίνεται τὴν ἀπὸ
35 τῆς θεραπείας ὠφέλειαν ἡ τῶν ἐπιτηδείων ἀπορία. οὐ γὰρ δὴ μόνον φαρμάκων ἐνταῦθα
σπάνις, καὶ τῶν ἄλλων τῶν δυναμένων διορθῶσαι σῶμα πεπονηκός, ἀλλ' ἤδη καὶ λιμὸς μελε-
τᾶται καὶ λοιμός, καὶ ταῦτα λοιπὸν "ὠδίνουσι τὰ κακὰ ἡ συνέχεια τῶν λῃστρικῶν ἐφόδων, αἱ
μέχρι πορρωτάτω τῶν ἰδῶν ἐκχεόμεναι, καὶ τὰς ὁδοὺς ἀποτειχίζουσαι τὰς πανταχοῦ πε-
πλημμυρίας· ἐντεῦθεν πολλὴν καὶ ὁδοιπόροις ἐπάγουσι κίνδυνον. Ἀνδρόνικος γοῦν, καθώς φη-
40 σι, καὶ ταῖς ἐκείνων περιέπεσε χερσί, καὶ ἀπολυθεὶς οὕτω διεσώθη. διὸ παρακαλῶ σου τὴν
ἐμμέλειαν μηδένα λοιπὸν ἀποστέλλειν ἐνταῦθα. δέος γὰρ μὴ τῆς πρὸς ἡμᾶς ἀποδημίας
ἡ ὑπόθεσις ἀφορμὴ τῷ παραγινομένῳ σφαγῆς γένηται· καὶ οἶσθα, ὅσην ἡμῖν οἴσει τὴν ὀ-
δύνην. ἀλλ' εἴ τινος ἐπιλάβοιο γνησίου κατὰ χρείαν ἑτέραν ἐνταῦθα ἀφικομένου, δι' αὐτοῦ δή-

γ. πανταχόθεν

γ. πάντες

Ἑβρ. ι. λβ.

γ. ὠδίνων

λυ τὰ περὶ τῆς ὑγιείας ἡμῖν τῆς σῆς· ἰδικῶς μέντοι εἰς τοῦτο μηδεὶς ἐν τούτῳ παραγινέσθω, μηδὲ δὴ ἡμετέραν χρείαν, διὰ τὸ δέος ὃ προειρήκαμεν.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ιε.

Ἀμφότερα τῆς ἀφάτου τοῦ Θεοῦ φιλανθρωπίας, καὶ τὸ συγχωρεῖν τοσούτους ἐπάγεσθαί σοι πειρασμοὺς καὶ ἐπαλλήλους οὕτως, ὥστε "λαμπροτέρους σοι γίνεσθαι τοὺς στεφάνους· καὶ τὸ ταχίστην αὐτῶν" ποιεῖσθαι τὴν ἀπαλλαγήν, ὥστε σε μὴ καταπίνεσθαι πάλιν τῇ παραμονῇ τῶν ἐπαγομένων κακῶν. οὕτω καὶ τῶν γενναίων ἀνδρῶν ἐκείνων, τῶν ἀποστόλων λέγω καὶ προφητῶν, τὸν βίον ἐκυβέρνησεν ὁ Θεός, νῦν μὲν ἀφιεὶς τὰ κύματα διεγείρεσθαι, νῦν δὲ ἐπιτιμῶν τῷ τῶν κακῶν πελάγει, καὶ ἀπὸ χαλεποῦ τοῦ χειμῶνος "λευκὴν ἐργαζόμενος γαλήνην. παῦσαι τοίνυν δακρύουσα καὶ καταπιπομένη τῇ λύπῃ· μηδὲ τὰ ἐπαγόμενά σοι δεινὰ σκόπει μόνον τὰ ἐπάλληλα καὶ συνεχῆ, ἀλλὰ καὶ τὴν ταχίστην αὐτῶν ἐλευθερίαν, καὶ τὴν ἄφατον ἐντεῦθεν ἐκτεθειμένην σοι ἀμοιβὴν καὶ ἀντίδοσιν. ὅπερ γάρ ἐστιν ἀράχνη, καὶ σκιά, καὶ καπνός, καὶ εἴ τι τούτων εὐτελέστερον, τοῦτό ἐστι τὰ ἐπενεχθέντα σοι πάντα δεινὰ πρὸς τὰ μέλλοντα δίδοσθαί σοι ἐντεῦθεν βραβεῖα. τί γάρ ἐστι πόλεως ἐκπεσεῖν, καὶ τόπους ἐκ τόπων ἀμείβειν, καὶ πανταχοῦ ἐλαύνεσθαι καὶ δημεύεσθαι, καὶ εἰς δικαστήρια περιέλκεσθαι, καὶ ὑπὸ στρατιωτῶν σπαράττεσθαι, καὶ ὑπὸ τῶν μυρία εὐεργετηθέντων τὰ ἐναντία νῦν ὑπομένειν, καὶ παρὰ οἰκετῶν, καὶ παρὰ ἐλευθέρων ἐπηρεάζεσθαι, ὅταν δὲ τούτων ἔπαθλον οὐρανὸς ᾖ, καὶ τὰ ἀκήρατα ἀγαθὰ ἐκεῖνα, τὰ μήτε λόγῳ ἑρμηνευθῆναι δυνάμενα, καὶ πέρας οὐκ ἔχοντα, ἀλλ' ἀθάνατον παρέχοντα τὴν ἐξ αὐτῶν ἀπόλαυσιν; ἀρίθμει τοίνυν τὰς ἐπιβουλάς, τὰς ἐπηρείας, τῶν χρημάτων τὰς ζημίας, τὰς μεταναστάσεις τὰς συνεχεῖς, τὴν ἐν ἀλλοτρίᾳ διαγωγὴν λογίζεσθαι, καὶ πηλοῦ παντὸς εὐτελέστερον ταῦτα καταπατοῦσα, ἐννόει τοὺς ἐκ τούτων σοι τεθέντας ἐν τοῖς οὐρανοῖς θησαυρούς, καὶ τὴν ἀνάλωτον πραγματείαν, καὶ τὸν ἄσυλον πλοῦτον. ἀλλὰ τὸ σῶμά σοι κακῶς ἐκ τῶν πόνων τούτων καὶ ταλαιπωριῶν διετέθη, καὶ τὰ τῆς ἀρρωστίας ἐπέτειναν αἱ τῶν ἐχθρῶν ἐπιβουλαί; πάλιν ἑτέρας μοι λέγεις ἐμπορείας ὑπόθεσιν μεγάλης καὶ ἀφάτου. οἶσθα γάρ, οἶσθα σαφῶς, ἡλίκον ἐστὶ σώματος ἀρρωστίαν γενναίως καὶ μετ' εὐχαριστίας ἐνεγκεῖν. τοῦτο, ὃ πολλάκις εἶπον, τὸν Λάζαρον ἐστεφάνωσε· τοῦτο ἐπὶ τῶν ἀγώνων τοῦ Ἰὼβ τὸν διάβολον κατῄσχυνε, καὶ τὸν ἀθλητὴν τῆς καρτερίας ἐκείνης λαμπρότερον ἀπέφηνε· τοῦτο καὶ φιλοπτωχίας, καὶ τῆς τῶν χρημάτων ὑπεροψίας, καὶ τῆς ἀθρόας ἐκείνης τῶν παίδων ἀποβολῆς, καὶ τῶν μυρίων ἐπιβουλῶν μᾶλλον αὐτὸν ἀνεκήρυξε, καὶ τὸ "ἀναίσχυντον τοῦ πονηροῦ δαίμονος ἐκείνου στόμα" ἐνέφραξε μετὰ πολλῆς τῆς περιουσίας. ταῦτ' οὖν ἀναλογιζομένη συνεχῶς καὶ αὐτὴ χαῖρε καὶ εὐφραίνου, τὸν μέγιστον ἆθλον διανύουσα, καὶ τὸ κεφάλαιον τῶν πειρασμῶν πρᾴως φέρουσα, καὶ ὑπὲρ τούτων δοξάζουσα τὸν φιλάνθρωπον Θεόν, τὸν δυνάμενον μὲν ἀθρόον ἀφανίσαι πάντα τὰ δεινά, ἀφιέντα δὲ γίνεσθαι, ὥστε σοι λαμπροτέραν τὴν καλὴν ταύτην γενέσθαι πραγματείαν. διὰ τοῦτο καὶ ἡμεῖς σε μακαρίζοντες οὐ παυόμεθα. ἥσθημεν δέ, ὅτι καὶ δικῶν ἀπαλλαγεῖσα καὶ πραγμάτων οὕτως, ὥς σοι πρέπον ἦν, οὕτω τῷ πράγματι τέλος ἐπέθηκας ὧν κατὰ τὴν διάλεξιν, οὔτε ἀνάνδρως αὐτὰ προεμένη, οὔτε αὖ καταχορδοῦσα πάλιν καὶ ἐμπείρασα σαυτὴν δικαστηρίοις καὶ τοῖς ἐκ τούτων κακοῖς, ἀλλὰ μέσην ὁδεύσασα ὁδόν, καὶ τὴν σοι πρέπουσαν ἐλευθερίαν καρπωσαμένη, καὶ πολλὴν τὴν σύνεσιν ἐπιδειξαμένη, καὶ τὴν μακροθυμίαν, καὶ τὴν καρτερίαν, καὶ τὴν ὑπομονήν, καὶ τὸ ἀνεξαπάτητον δείξασα τῆς συνέσεως τῆς σῆς.

γρ. λαμπροὺς
γρ. τὸν
γρ. λευκὴν
γρ. ἀκόρεστον
γρ. ἔκλεισε

ΠΡΟΣ

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ιϛ'.

Τῆς σφοδρότητος ἕνεκα τοῦ χειμῶνος, καὶ τῆς τοῦ στομάχου ἡμῶν ἀσθε-
5 νείας, καὶ τῆς Ἰσαυρικῆς καταδρομῆς μηδὲν ἕνεκεν ἡμῶν μερίμνα,
μηδὲ κατάτεινε σαυτὴν φροντίσιν. ὁ μὲν γὰρ χειμὼν γέγονεν, οἷος εἰκὸς ἐν
Ἀρμενίᾳ εἶναι. οὐδὲν γὰρ δεῖ πλέον εἰπεῖν. ἡμᾶς δὲ οὐ μέγα τι παρα-
βλάπτει. ταῦτα γὰρ προορῶντες πολλὰ μηχανώμεθα πρὸς τὸ
τὴν ἐντεῦθεν διακρούσασθαι βλάβην, καὶ πῦρ ἀνακαίοντες συνεχῶς,
10 καὶ τὸ δωμάτιον, ἔνθα καταμένομεν, πανταχόθεν περιφράττοντες, καὶ ἐπιβλήμασι κεχρη-
μένοι πλείοσι, καὶ διαπαντὸς ἔνδον μένοντες· ὅπερ ἐστὶ μὲν ἡμῖν ἐπαχθὲς, πλὴν διὰ τὸ
ἐντεῦθεν κέρδος φορητόν. ἕως γὰρ ἔνδον μένομεν, οὐ σφόδρα καταπονούμεθα τῷ κρυμῷ· εἰ
δὲ ἀναγκασθῶμεν μικρὸν προελθεῖν, καὶ τῷ ἔξω ὁμιλῆσαι ἀέρι, οὐ μικρὰν περιτριβόμεθα
βλάβην. διὸ καὶ τὴν τιμιότητά σου παρακαλῶ, καὶ ἐν μεγίστης αἰτῶ χάριτος μέρει, πολλὴν
15 ποιεῖσθαι ἐπιμέλειαν, ὥστε τὴν τοῦ σώματός σου διορθοῦν ἀσθένειαν. ποιεῖ μὲν γὰρ νόσον καὶ ἀ-
θυμία. ὅταν δὲ καὶ σῶμα πεπονηκὸς ᾖ καὶ ἐξησθενημένον, καὶ ἐν ἀμελείᾳ κέηται πολλῇ, καὶ μήτε
ἰατρῶν ἀπολαύῃ, μήτε ἀέρων εὐκρασίας, μήτε τῆς τῶν ἐπιτηδείων ἀφθονίας, ἐννόησον ἔτι οὐ
γ. καὶ τοῦ.
μικρὰ ἐντεῦθεν προσθήκη γίνεται τοῦ δεινοῦ. διὸ παρακαλῶ σου τὴν τιμιότητα καὶ ἰατροῖς
διαφόροις καὶ ἐμπείροις, καὶ φαρμάκοις χρῆσθαι τοῖς τὰ τοιαῦτα διορθοῦν δυναμένοις. ἐπεὶ
20 καὶ ἡμεῖς πρὸ τούτων τῶν ὀλίγων ἡμερῶν εὐεμπτώτως ἡμῖν ἔχοντος τοῦ στομάχου πρὸς τοὺς ἐ-
μέτους ἐκ τῆς τοῦ ἀέρος καταστάσεως τῇ τε ἄλλῃ ἐπιμελείᾳ χρησάμενοι, καὶ τῷ φαρμάκῳ
γ. κλητ πλῆς
τῷ ἀποσταλέντι παρὰ τῆς κυρίας μου τῆς κοσμιωτάτης Συγκλητίου, καὶ οὐ δεηθέντες πλέ-
ον, ἢ τριῶν ἡμερῶν αὐτῷ ἐπιθεῖναι, διωρθώσαμεν αὐτοῦ τὴν ἀσθένειαν. παρακαλῶ τοίνυν
καὶ αὐτήν σε χρῆσθαι τούτῳ, καὶ παρασκευάσαι πάλιν ἡμῖν ἐξ αὐτοῦ πεμφθῆναι. καὶ γὰρ πά-
25 λιν αἰσθόμενοί τινος ἀνατροπῆς, πάλιν αὐτῷ ἐχρησάμεθα, καὶ τὸ πᾶν διωρθώσαμεν. καὶ γὰρ
φλεγμονὰς καταστέλλει τὰς ἐν τῷ βάθει, καὶ νοτίδα αἱμᾶται, καὶ συμμέτρως ἐστὶ θερμὸν, καὶ τό-
νον ἐντίθησιν οὐ τὸν τυχόντα, καὶ ὄρεξιν διεγείρει τὴν πρὸς τὰ σιτία. καὶ τούτων ἁπάντων ἡμῖν ἐν ὀλί-
γαις ἡμέραις πεῖραν παρέσχε. ποίησον τοίνυν τὸν δεσπότην μου παρακληθῆναι τὸν αἰδεσιμώτατον
Θεόφιλον τὸν Κόμητα, ὥστε πάλιν ἐξ αὐτοῦ κατασκευάσαι ἡμῖν καὶ ἀποστεῖλαι. καὶ μή σε λυπείτω
30 τὸ ἐνταῦθα ἡμᾶς χειμάζειν. καὶ γὰρ πολλῷ ῥᾷον καὶ ὑγιεινότερον νῦν ἢ πέρυσι διακείμεθα. ὥστε εἰ καὶ
αὐτὴ τὴν προσήκουσαν ἐπιμέλειαν ἐποιοῦ, πολλῷ ἂν ἄμεινον διετέθης. εἰ δὲ ἐξ ἀθυμίας
φῂς τίκτεσθαί σοι τὰ νοσήματα, πῶς πάλιν ἐπιστολὰς ζητεῖς παρ' ἡμῶν, μηδὲν εἰς εὐθυμίαν
ἐντεῦθεν καρπωσαμένη, ἀλλ' οὕτω τῇ τυραννίδι τῆς ἀθυμίας βαπτισθεῖσα, ὡς καὶ ἐπιθυμεῖν
γ. ἐνταῦθα
νῦν τῆς ἐντεῦθεν ἀποδημίας; οὐκ οἶσθα, ὅσος καὶ ἀρρωστίας κεῖται μισθός; οὐ πολλάκις σοι
35 καὶ παρὼν καὶ δι' ἐπιστολῶν ταύτης ἕνεκεν διείλεγμαι τῆς ὑποθέσεως; ἀλλ' ἐπειδὴ ἴσως ὁ τῶν
γ. αἱ πάλλιλαι
πραγμάτων ὄχλος, ἢ αὐτὴ τῆς ἀρρωστίας ἡ φύσις καὶ αἱ πολλαὶ περιστάσεις οὐκ ἐῶσί σε
διηνεκῶς ἔναυλον ἔχειν τῶν εἰρημένων τὴν μνήμην, ἄκουε πάλιν τὰ αὐτὰ ἐπαδόντων ἡ-
μῶν τοῖς ἕλκεσί σου τῆς ἀθυμίας. Τὰ γὰρ αὐτὰ γράφειν, φησὶν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν Φιλιπ. γ.
δὲ ἀσφαλές. τί οὖν ἐστι λέγω καὶ γράφω; οὐδὲν, ὦ Ὀλυμπιὰς, τῆς ἐν ἀλγηδόσιν ὑπομο-
40 νῆς εἰς εὐδοκιμήσεως λόγον ἴσον. ἡ γὰρ βασιλὶς τῶν ἀγαθῶν, καὶ τῶν στεφάνων ἡ κορωνὶς,
αὕτη μάλιστά ἐστι. καὶ καθάπερ αὐτὴ κρατεῖ τῶν ἄλλων κατορθωμάτων, οὕτως ἐν αὐτῇ τοῦτο
μάλιστα τὸ εἶδος τῶν ἄλλων ἐστὶ λαμπρότερον. τάχα ἀσαφὲς τὸ εἰρημένον. οὐκοῦν αὐ-
τὸ ποιήσω σαφέστερον. τί οὖν ἐστιν, ὅ φημι; οὐ τὸ χρήματα ἀφαιρεθῆναι, κἂν πάντων τις
γυμνωθῇ τῶν ὄντων, οὐ τὸ τιμῆς ἐκπεσεῖν, οὐ τὸ πατρίδος ἐκβληθῆναι καὶ πρὸς τὴν ὑπερο-

εἶναι ἀπενεχθῆναι, οὐ τὸ πόνῳ καὶ ἱδρῶτι καταπίνεσθαι, οὐ τὸ δεσμωτήριον οἰκεῖν καὶ ἅλυσιν
περικεῖσθαι, οὐκ ὀνειδισμοὶ καὶ λοιδορίαι καὶ σκώμματα (μὴ γὰρ μηδὲ τοῦτο μικρὸν νομίσῃς
εἶναι καρτερίας εἶδος, τὸ γενναίως τὰ τοιαῦτα ἐνεγκεῖν. καὶ δείκνυσιν Ἰερεμίας ὁ τοσοῦτος καὶ τη-
λικοῦτος ἀνήρ, οὐχ ὡς ἔτυχεν ὑπὸ τούτου θορυβηθεὶς τοῦ πειρασμοῦ) ἀλλ' οὐδὲ τοῦτο, οὐ παίδων
ἀποβολή, κἂν ἅπαντες ἀθρόον ἀναρπασθῶσιν, οὐκ ἐχθροὶ συνεχῶς ἐπεμβαίνοντες, οὐκ
ἄλλο τῶν τοιούτων οὐδέν, οὐκ αὐτοὶ οἱ κολοφῶνες τῶν δοκούντων εἶναι λυπηρῶν, ὁ θάνατος, ὁ φοβερὸς
οὕτω καὶ φρικώδης, οὕτως ἐστὶ βαρύς, ὡς σώματος ἀρρωστία. καὶ ταῦτα δείκνυσιν ὁ μέγιστος τῆς
ὑπομονῆς ἀθλητής, ὃς, ἐπειδὴ σωματικῇ περιέπεσε νόσῳ, ἀπαλλαγὴν τῶν κατεχόντων δει-
νῶν τὴν τελευτὴν εἶναι ἐνόμισε. καὶ ὅτε μὲν τὰ ἄλλα ἔπασχεν ἅπαντα, οὐδὲν ᾐσθάνετο, καί-
τοι ἐπαλλήλους δεχόμενος τὰς πληγάς, καὶ τελευταίαν τὴν καιρίαν. οὐδὲ γὰρ τοῦτο μικρόν,
ἀλλὰ καὶ τῆς χαλεπωτάτης τοῦ πολεμοῦντος αὐτὸν κακουργίας, τὸ μὴ νεάζοντι μηδὲ νῦν
εἰς τοὺς ἀγῶνας καθέντι πρῶτον, ἀλλ' ἤδη τῇ πυκνότητι τῶν ἐπαλλήλων βελῶν κατειργα-
σμένῳ, τότε τὴν καιρίαν δοῦναι τὴν ἐπὶ τοῖς παισὶ πληγήν, καὶ ταύτην οὕτω χαλεπῶς, ὡς
καὶ ἐξ ἑκατέρας τῆς φύσεως, καὶ πάντας ἀθρόον, καὶ ἐν ἀώρῳ ἡλικίᾳ, καὶ βιαίῳ τελευτῇ διαφ-
θαρῆναι, καὶ τοῦ θανάτου καὶ τὸν τόπον ἐσχεδιασμένον αὐτοῖς ἐργάσασθαι τάφον. οὐδὲ γὰρ εἶδεν
ἐν κλίνῃ κειμένους, οὐδὲ ἐφίλησε χεῖρας, οὐδὲ ἐσχάτων ἤκουσε ῥημάτων, οὐδὲ ποδῶν ἥψατο
καὶ γονάτων, οὐ στόμα συνέκλει, οὐ καθεῖλεν ὀφθαλμοὺς μελλόντων αὐτῶν τελευτᾶν, ἅπερ οὐ μι-
κρὰ εἰς παραμυθίαν τοῖς παίδων χωριζομένοις πατράσιν, οὐδὲ τοὺς μὲν προέπεμψεν ἐπὶ
τὸν τάφον, τοὺς δὲ ἐπανελθὼν εὗρε παραμυθίαν τῶν ἀπελθόντων· ἀλλ' ἐν καιρῷ συμπο-
σίου (συμποσίου οὐ μέθην, ἀλλ' ἀγάπην βρύοντος) ἐν τραπέζῃ φιλαδελφίας, ἐπὶ στιβάδος
κειμένους ἤκουσε πάντας καταχωσθῆναι, καὶ πάντα ὁμοῦ μιγῆναι, τὸ αἷμα, τὸν οἶνον, τὰς κύ-
λικας, τὸν ὄροφον, τὴν τράπεζαν, τὴν κόνιν, τὰ μέλη τῶν παίδων. ἀλλ' ὅμως ἡνίκα αὐτὸ
ταῦτα ἤκουε, καὶ πρὸ τούτων τὰ ἄλλα, καὶ αὐτὰ χαλεπὰ (καὶ γὰρ καὶ ἐκεῖνα χαλεπῶς ἀπολώλει
τὰ ποίμνια, καὶ ὁλοκλήρους ἀγέλας, τὰς μὲν ὑπὸ πυρὸς ἄνωθεν κατενεχθέντος ἀνηλῶσθαι ἔλεγεν
ὁ πονηρὸς τῆς τραγῳδίας ταύτης ἄγγελος, τὰς δὲ ὑπὸ πολεμίων διαφόρων ἀθρόον πάσας ἀναρ-
πασθῆναι καὶ κατακοπῆναι σὺν αὐτοῖς τοῖς ποιμέσιν) ἀλλ' ὅμως τοσαύτην ζάλην ἐν βραχείᾳ
καιροῦ ῥοπῇ διεγερθεῖσαν ὁρῶν, ἐπὶ τῶν ἀγρῶν, ἐπὶ τῆς οἰκίας, ἐπὶ τῶν θρεμμάτων, ἐπὶ τῶν παίδων,
καὶ ἐπάλληλα τὰ κύματα, καὶ τὰς σπιλάδας συνεχεῖς, καὶ τὸν ζόφον βαθύν, καὶ τὸν κλυδώνιον ἀ-
φόρητον, οὔτε ἀθυμίᾳ κατετείνετο, οὔτε ᾐσθάνετο σχεδὸν τῶν συμβαινόντων, πλὴν τοσοῦτον, ὅσον
ἄνθρωπος ἦν καὶ πατήρ. ἐπειδὴ δὲ νόσῳ παρεδόθη καὶ ἕλκεσι, τότε καὶ θάνατον ἐπιζητεῖ, τότε καὶ
ἀποδύρεται καὶ θρηνεῖ, ἵνα μάθῃς πῶς τοῦτο πάντων ἐστὶ χαλεπώτερον, καὶ τῆς ὑπομονῆς
τὸ ἄκρον εἶδος. καὶ τοῦτο οὐδὲ αὐτὸς ὁ πονηρὸς ἠγνόει δαίμων· ἀλλ' ἐπειδὴ πάντα ἐκεῖνα κι-
νήσας εἶδε τὸν ἀθλητὴν ἀταράχως μένοντα καὶ ἀθόρυβον, ὡς ἐπὶ μέγιστον ἆθλον τοῦτον ὥρ-
μησε, λέγων· ὅτι τὰ μὲν ἄλλα πάντα φορητά, κἂν παῖδάς τις ἀποβάλῃ, κἂν κτήματα,

Ἰωβ. β. δ.

κἂν ἄλλο ὁτιοῦν. τοῦτο γάρ ἐστι, Δέρμα ὑπὲρ δέρματος· ἡ δὲ καιρία πληγή, ὅταν ἐν σώ-
ματί τις δέξηται τὰς ὀδύνας. διά τοι τοῦτο μετὰ τὸν ἆθλον τοῦτον ἡττηθείς, οὐδὲ γρύξαι εἶχεν. εἰ
καὶ τὰ μάλιστα καὶ τὰ πρότερα ἀναισχύντως ἀντέλεγεν, ἐνταῦθα μέντοι οὐδὲ ἀναίσχυντον
πλάσαι τι λοιπὸν εὗρεν, ἀλλ' ἐγκαλυψάμενος ἀνεχώρησεν. ἀλλὰ μὴ νόμιζέ σοι τοῦτο ἀ-
πολογίαν εἶναι εἰς τὸ καὶ αὐτὴν ἐπιθυμεῖν τελευτῆς, εἰ ἐκεῖνος ἐπεθύμει θανάτου, τὰς ὀδύ-
νας οὐ φέρων. ἐννόησον γὰρ πότε ἐκεῖνος ἐπεθύμει, καὶ πῶς τῶν πραγμάτων διακειμένων·
οὐ νόμου δοθέντος, οὐ προφητῶν φανέντων, οὐ τῆς χάριτος οὕτως ἐκχυθείσης, οὐ τῆς ἄλλης
φιλοσοφίας μετασχών. ὅτι γὰρ ἡμεῖς τῶν τότε πολιτευομένων πλείονα ἀπαιτούμεθα, καὶ μεί-

Ματθ. ε. κ.

ζονα ἡμῖν κεῖται τὰ σκάμματα, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιο-
σύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν

τῶν

τῶν οὐρανῶν. μὴ τοίνυν τὸ ἄρχεσθαι νῦν τῷ πλούτῳ ἀπηλλάχθαι ἐγκλήματος νόμιζε· ἀλλ'
ἄκουε τῆς Παύλου φωνῆς τῆς λεγούσης, Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον
κρεῖσσον· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι' ὑμᾶς. ὅσῳ γὰρ ἂν ἐπιτείνηται τὰ τῆς
θλίψεως, τοσούτῳ πλεονάζει καὶ τὰ τῶν στεφάνων· ὅσῳ μὲν πυρωθῇ τὸ χρυσίον, τοσούτῳ καθαρώ-
5 τερον γίνεται· ὅσῳ μακρότερον ἂν πλεύσῃ πέλαγος ὁ ἔμπορος, τοσούτῳ πλείονα συνάγει τὰ φορ-
τία. μὴ τοίνυν νομίσῃς μικρόν σοι προκεῖσθαι νῦν ἆθλον, ἀλλὰ πάντων ὧν ἀπηριθμήκας
τὸν ὑψηλότερον, τὸν ἐπὶ τῇ τοῦ σώματος ἀῤῥωστίᾳ λέγω. καὶ γὰρ τῷ Λαζάρῳ (εἰ γὰρ καὶ
πολλάκις τοῦτο εἴρηκα πρὸς σὲ, οὐδὲν κωλύει καὶ νῦν εἰπεῖν) ἤρκεσε τοῦτο εἰς σωτηρίαν,
καὶ τοῦ κοινὴν τὴν οἰκίαν τοῖς παριοῦσι κεκτημένου, καὶ μετανάστου συνεχῶς γινομένου διὰ τὸ
10 τοῦ Θεοῦ πρόσταγμα, καὶ τὸν υἱὸν κατασφάξαντος, τὸν γνήσιον, τὸν μονογενῆ, τὸν ἐν ἐσχάτῳ
γήρᾳ δοθέντα, ὁ μηδὲν τούτων πεποιηκὼς εἰς τοὺς κόλπους ἀπῄει, ἐπειδὴ ἤνεγκεν εὐκόλως
πενίαν καὶ ἀῤῥωστίαν καὶ τὴν τῶν προστησομένων ἐρημίαν. τοσοῦτον γάρ ἐστιν ἀγαθὸν τοῦτο τοῖς γεν-
ναίως φέρουσιν, ὅτι κἂν τὰ μέγιστα ἡμαρτηκότα τινὰ εὕρῃ, ἀπαλλάττει τοῦ βαρυτάτου τῶν
ἁμαρτιῶν φορτίου· κἂν κατωρθωκότα καὶ δίκαιον ὄντα, οὐ μικράν, ἀλλὰ καὶ σφόδρα μεγίστην
15 παῤῥησίαν προστίθησι. καὶ γὰρ καὶ στέφανός ἐστι λαμπρὸς ἐπὶ τῶν δικαίων, καὶ ὑπὲρ τὸν
ἥλιον μεθ' ὑπερβολῆς λάμπων, καὶ καθάρσιον μέγιστον ἐπὶ τῶν ἡμαρτηκότων. διά τοι τοῦτο τὸν
διορύξαντα γάμον πατρῷον, καὶ τὴν εὐνὴν διαφθείραντα τὴν ἐκείνου, εἰς ὄλεθρον τῆς
σαρκὸς παραδίδωσιν ὁ Παῦλος, τούτῳ καθαίρων αὐτὸν τῷ τρόπῳ. ὅτι γὰρ καθάρσιον τῷ γε-
νομένῳ ἦν τῆς τοσαύτης κηλῖδος, ἄκουσον αὐτοῦ λέγοντος· Ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέ-
20 ρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ἑτέροις δὲ ἐγκαλῶν "φρικωδεστάτην ἑτέραν ἁμαρ-
τίαν, τοῖς τῆς ἱερᾶς τραπέζης ἀναξίως ἀπολαύουσι, καὶ τῶν ἀπορρήτων μυστηρίων ἐκείνων,
καὶ εἰπὼν, ὅτι Ὁ τοιοῦτος ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου, ὅρα πῶς καὶ
αὐτούς φησι καθαίρεσθαι τῆς χαλεπῆς ταύτης κηλῖδος, οὕτω λέγων· Διὰ τοῦτο ἐν ὑμῖν
πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι. εἶτα δεικνὺς ὅτι οὐ μέχρι τῆς ζημίας ταύτης στήσεται τὰ ἐκεί-
25 νων, ἀλλ' ἔσται τι καὶ κέρδος ἀπὸ τοῦ πράγματος, τὴν εὐθύνην τὴν ἐπὶ τῇ ἁμαρτίᾳ ταύτῃ
ἀπαλλαγὴν ἐπήγαγεν. Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· νυνὶ δὲ κρινόμενοι
ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ὅτι δὲ καὶ οἱ τὰ με-
γάλα κατωρθωκότες ἐντεῦθεν πολλὰ κερδαίνουσιν, ἀπό τε τοῦ Ἰὼβ δῆλον μείζονος ἐντεῦθεν
λάμψαντος, ἀπό τε τοῦ Τιμοθέου, ὃς οὕτω καλὸς ὢν, καὶ τοιαύτην διακονίαν ἐγκεχειρισμέ-
30 νος, καὶ συμπεριπλανώμενος Παύλῳ τὴν οἰκουμένην, οὐδὲ δύο καὶ τρεῖς ἡμέρας, οὐδὲ δέκα καὶ
εἴκοσι καὶ ἑκατὸν, ἀλλὰ πολλὰς καὶ συνεχῶς ἐν ἀῤῥωστίᾳ ἔζη, τοῦ σώματος αὐτῷ μετὰ πολ-
λῆς τῆς σφοδρότητος ἐξησθενημένου. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν
στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. καὶ οὐ διώρθωσεν αὐτοῦ τὴν ἀσθένειαν ὁ νεκροὺς ἐγείρων, ἀλλ'
ἀφῆκεν εἶναι ἐν τῇ καμίνῳ τῆς νόσου, ὥστε μέγιστον αὐτῷ καὶ ἐντεῦθεν συναχθῆναι παῤῥησίας
35 πλοῦτον. ὧν γὰρ αὐτὸς ἀπολέλαυκε παρὰ τοῦ δεσπότου, καὶ ἅπερ ἐπαιδεύθη παρ' ἐκείνου,
ταῦτα καὶ τὸν μαθητὴν ἐδίδασκεν. Εἰ γὰρ καὶ μὴ ἀῤῥωστίᾳ περιέπιπτεν, ἀλλ' ἀῤῥωστίας
οὐκ "ἐλάττους πειρασμοὶ αὐτὸν ἐκολάφιζον, καὶ πολλὴν ὀδύνην ἐπιφέρουσι τῇ σαρκί. Ἐ-
δόθη μοι γάρ, φησι, σκόλοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ· τὰς πληγὰς λέ-
γων, τὰ δεσμὰ, τὰς ἁλύσεις, τὰ δεσμωτήρια, τὸ ἄγεσθαι, * σπαράττεσθαι, κατατείνεσθαι
40 [προτείνεσθαι] μάστιξιν ὑπὸ δημίων πολλάκις. διὸ καὶ μὴ φέρων τὰς ὀδύνας τὰς ἐντεῦθεν
τῇ σαρκὶ προσγινομένας ἔλεγεν· Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, τρὶς ἐνταῦθα
τὸ πολλάκις λέγων, ὥστε ἐλευθερωθῆναι τοῦ σκόλοπος τούτου. Εἶτα ἐπειδὴ οὐκ ἐπέτυχε, μα-
θὼν τοῦ πράγματος τὸ κέρδος, καὶ ἡσύχασε καὶ ἥδετο τοῖς γινομένοις. καὶ σὺ τοίνυν κἂν οἴκοι μένῃς
καὶ τῇ κλίνῃ προσηλωμένη ἦς, μὴ νόμιζε ἀργὸν βίον ζῆν. τῶν γὰρ ὑπὸ δημίων ἑλκομένων,

Marginalia: Φιλιπ. α. κγ. — α. Κορ. ε. ε. — γ. φρικωδέστερα ἁμαρτήματα — α. Κορ. ια. κζ. — α. Τιμ. ε. κγ. — γ. ἔλαττον — β. Κορ. ιβ. ζ. — * ῥίπτεσθαι. — β Κορ. ιβ. θ.

συρραπτομένων, τεινομένων, τὰ ἔσχατα πασχόντων χαλεπώτερα ὑπομένεις, δήμιον διηνεκῆ [καὶ] συνοικοῦν ἔχουσα τῆς ἀῤῥωστίας ταύτης τὴν ὑπερβολήν. μὴ τοίνυν μήτε πολυτελοῦς ἐπιθύμει νῦν, μήτε ἀμέλει θεραπείας. οὐδὲ γὰρ τοῦτο ἀσφαλές. διὰ τοῦτο καὶ Τιμοθέῳ παραινεῖ σφόδρα ἐπιμελεῖσθαι ἑαυτοῦ ὁ Παῦλος. τῆς μὲν οὖν ἀῤῥωστίας ἕνεκεν ἀρκεῖ ταῦτα εἰπεῖν. εἰ δὲ τὸ κεχωρίσθαι ἡμῶν ποιεῖ σοι τὴν ἀθυμίαν, προσδόκα καὶ τούτου λύσιν. καὶ τοῦτο οὐχ ἵνα παρακαλέσω σε, εἶπον νῦν, ἀλλ' οἶδα ὅτι πάντως ἔσται. εἰ γὰρ μὴ ἔμελλεν ἔσεσθαι, πάλαι ἄν, ὡς ἔγωγε οἶμαι, ἀπηλλάγην ἐντεῦθεν, τό γε ἧκον εἰς τοὺς ἐπινενοηθέντας μοι πειρασμούς. ἵνα γὰρ τὰ ἐν Κωνσταντινουπόλει παρῶ πάντα, μετὰ τὴν ἐκεῖθεν ἔξοδον ἔξεστι μαθεῖν ὅσα κατὰ τὴν ὁδὸν τὴν μακρὰν ταύτην καὶ χαλεπὴν, ὧν τὰ πλείονα ἱκανὰ ἦν θάνατον τεκεῖν, ὑπομεμένηκα, ὅσα μετὰ τὴν ἐντεῦθεν ἄφιξιν, ὅσα μετὰ τὴν μετανάστασιν τὴν ἀπὸ Κουκουσοῦ, ὅσα μετὰ τὴν ἐν Ἀραβισσῷ διατριβήν. ἀλλὰ πάντα ταῦτα διεφύγομεν, καὶ νῦν ἐσμὲν ἐν ὑγείᾳ καὶ ἀσφαλείᾳ πολλῇ, ὡς καὶ Ἀρμενίους πάντας ἐκπλήττεσθαι, ὅτι ἐν οὕτως ἀσθενεῖ σώματι καὶ ἀραχνώδει οὕτως ἀφόρητον φέρω κρυμὸν, ὅτι ἀναπνεῖν δύναμαι, τῶν εἰθισμένων τοῦ χειμῶνος οὐ τὰ τυχόντα ἐντεῦθεν πασχόντων. ἀλλ' ἡμεῖς ἐμείναμεν ἀβλαβεῖς μέχρι τῆς σήμερον, καὶ λῃστῶν χεῖρας διαφυγόντες πολλάκις ἐπελθόντων, καὶ ἀπορίᾳ ἀναγκαίων συζῶντες, καὶ μηδὲ βαλανείῳ χρῆσθαι δυνάμενοι, καίτοι τηνίκα αὐτόθι διετρίβομεν συνεχῶς τούτου δεόμενοι. νῦν μέν τοι ἐν τοσαύτῃ ἕξει καθέστημεν, ὡς μηδὲ ἐπιθυμεῖν τῆς ἐντεῦθεν παραμυθίας, ἀλλὰ καὶ ὑγιεινότεροι περὶ ταύτῃ ἡδέσθαι. καὶ οὔτε ἀέρων δυσκρασία, οὐ τόπων ἐρημία, οὐκ ὠνίων στενοχωρία, οὐ τῶν θεραπευόντων ἐρημία, οὐκ ἰατρῶν ἀμαθία, οὐ βαλανείων ἀπορία, οὐ τὸ δι' ὅλου καθάπερ ἐν ἑνὶ δεσμωτηρίῳ ἐν οἰκήματι καθεῖρχθαι, οὐ τὸ μὴ κινεῖσθαι ὅπερ ἀεὶ συνεχῶς ἐδεόμην, οὐ τὸ καπνῷ καὶ πυρὶ διηνεκῶς ὁμιλεῖν, οὐ λῃστῶν φόβος, οὐ πολιορκία διηνεκὴς, οὐκ ἄλλο τῶν τοιούτων ἡμῶν περιγέγονεν, ἀλλ' ὑγιεινότερον διακείμεθα, ἢ αὐτόθι ἦμεν, πολλῇ μέντοι κεχρημένοι τῇ ἐπιμελείᾳ. ταῦτα οὖν ἅπαντα λογιζομένη, διάκρουσον τὴν κατέχουσάν σε νῦν ὑπὲρ τούτων ἀθυμίαν, καὶ μὴ σαυτὴν ἀπαίτει δίκας περιττὰς καὶ χαλεπάς. ἔπεμψά σοι, ἅπερ ἔγραψα πρώην, ὅτι τὸν ἑαυτὸν οὐκ ἀδικοῦντα οὐδεὶς ἕτερος παραβλάψαι δυνήσεται, καὶ τοῦτον ἠγωνίσατο τὸν ἀγῶνα ὁ λόγος, ὃν ἀπέσταλκά σου τῇ τιμιότητι νῦν. συνεχῶς δὴ αὐτὸν ἐπέρχου. εἰ δὲ ὑγιαίνοις, καὶ ἐπὶ γλώττης φέρε. ἱκανὸν γὰρ ἔσται σοι φάρμακον, ἐὰν θέλῃς. εἰ δὲ φιλονεικοίης ἡμῖν, καὶ μήτε θεραπεύοις σαυτὴν, μήτε μυρίας ἀπολαύουσα παραινέσεώς τε καὶ συμβουλῆς βουληθείης ἀνενεγκεῖν ἐκ τῶν τελμάτων τῆς ἀθυμίας, οὐ ῥᾳδίως οὐδὲ ἡμεῖς ὑπακουσόμεθά σοι πρὸς τὸ πυκνὰς καὶ μακρὰς σοι πέμπειν ἐπιστολάς, εἰ μηδὲν μέλλοις ἐντεῦθεν κερδαίνειν εἰς εὐθυμίαν. πῶς οὖν εἰσόμεθα τοῦτο; οὐκ ἐὰν λέγῃς, ἀλλ' ἐὰν διὰ τῶν πραγμάτων δεικνύῃς· ἐπεὶ καὶ νῦν ἔφης μηδὲν τῶν ἄλλων, ἀλλὰ τὴν ἀθυμίαν σοι τὴν νόσον ἐργάσασθαι ταύτην. ἐπεὶ οὖν αὐτὴ τοῦτο ὡμολόγησας, ἂν μὴ τῆς ἀῤῥωστίας ἀπαλλαγῇς, οὐ πεισόμεθα, ὅτι καὶ τῆς ἀθυμίας ἀπήλλαξαι. εἰ γὰρ αὕτη ἐστὶν ἡ τὴν νόσον ποιοῦσα, καθὼς καὶ αὐτὴ ἐπέσταλκας, εὔδηλον ὅτι λυθείσης αὐτῆς κἀκείνη συναναιρεθήσεται, καὶ τῆς ῥίζης ἀνασπασθείσης καὶ οἱ ταύτης συναπόλλυνται κλάδοι· ὡς ἐὰν μένωσιν ἀνθοῦντες καὶ ἀκμάζοντες καὶ καρπὸν φέροντες τὸν οὐ πρέποντα, οὐ δυνάμεθα πεισθῆναι, ὅτι τῆς ῥίζης ἠλευθέρωσαι. μὴ τοίνυν μοι ῥήματα, ἀλλὰ πράγματα δεῖξον. κἂν ὑγιαίνῃς, ὄψει πάλιν ἐπιστολὰς πεμπομένας σοι λόγων ὑπερβαινούσας μέτρον. μηδὲ μικρὰν νόμιζέ σοι παράκλησιν εἶναι, ὅτι ζῶμεν, ὅτι ὑγιαίνομεν, ὅτι ἐν τοσαύταις πραγμάτων ὄντες περιστάσεσι νόσου καὶ ἀῤῥωστίας ἀπηλλάγμεθα· ὃ τοὺς ἐχθροὺς ἡμῶν, ὡς ἔγνων, σφόδρα λυπεῖ καὶ ὀδυνᾷ. ἀκόλουθον οὖν καὶ ἡμᾶς μεγίστην ταύτην ἡγεῖσθαι παράκλησιν, καὶ κεφάλαιον παραμυθίας. μὴ κάλει τὴν συνοδίαν σου ἔρημον, τὴν νῦν μειζόνως ἐν οὐ-

ρανοῖς

ρανοῖς ἐγγεγραμμένην διὰ τῶν παθημάτων, ὧν ὑπέμεινε. σφόδρα ἤλγησα ὑπὲρ Πελαγίου τοῦ μονάζοντος. ἐννόησον τοίνυν ὅσων στεφάνων ἄξιοί εἰσιν οἱ γενναίως στάντες, ὅταν ἄνδρες ἐν ἀσκήσει τοσαύτῃ διαγαγόντες καὶ καρτερίᾳ, οὕτω φανῶσιν ὑποσυρόμενοι.

ΠΡΟΣ ΤΗΝ ΑΥΤΗΝ ΕΠΙΣΤΟΛΗ ιζ.

Οὐδὲν ἀνάξιον, οὐδὲ ἀπεικὸς γέγονεν ἐπὶ τῆς ἀνδρείας τῆς σῆς, ἀλλὰ καὶ σφόδρα εἰκὸς καὶ ἀκόλουθον, τὸ τῇ συνεχείᾳ τῶν ἐπαλλήλων πειρασμῶν εὐτονώτερά σοι γενέσθαι τῆς ψυχῆς τὰ νεῦρα, καὶ μείζονα πρὸς τὰ παλαίσματα τὴν προθυμίαν καὶ τὴν ἰσχὺν, καὶ πολλὴν ἐντεῦθεν καρπώσασθαί σε ἡδονήν. τοιαύτη γὰρ τῆς θλίψεως ἡ φύσις, ὅταν γενναίας καὶ νεανικῆς ἐπιλάβηται ψυχῆς, ταῦτα ἐργάζεσθαι πέφυκε. καὶ καθάπερ τὸ πῦρ ποιεῖ δοκιμώτερον τὸ χρυσίον, ὅταν αὐτῷ συγγένηται, οὕτω καὶ ταῖς χρυσαῖς ψυχαῖς ἐπιοῦσα θλῖψις καθαρωτέρας αὐτὰς ἐργάζεται καὶ δοκιμωτέρας. διὸ καὶ Παῦλος ἔλεγεν· Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν. (Ρωμ. ε. δ.) διὰ ταῦτα καὶ ἡμεῖς σκιρτῶμεν καὶ χαίρομεν, καὶ τῆς ἐρημίας ταύτης μεγίστην καρπούμεθα παράκλησιν ἐπὶ τῇ ἀνδρείᾳ ταύτῃ. διὰ ταῦτα κἂν μυρίοι σε κυκλώσωσι λύκοι καὶ πολλαὶ συναγωγαὶ πονηρευομένων, οὐδὲν δεδοίκαμεν, ἀλλ' εὐχόμεθα μὲν καὶ τοὺς ὄντας σβεσθῆναι πειρασμοὺς, ἑτέρους τε μὴ προσγενέσθαι, δεσποτικὸν πληροῦντες νόμον τὸν κελεύοντα εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰ δ' ἄρα συγχωρηθείη γενέσθαι, πάλιν θαρροῦμεν ὑπὲρ τῆς χρυσῆς σου ψυχῆς, τῆς καὶ ἐντεῦθεν μέγιστον ἑαυτῇ συναγούσης πλοῦτον. τί γάρ σε δεδίξασθαι δυνήσονται οἱ κατὰ τῆς ἑαυτῶν πάντα τολμῶντες κεφαλῆς; ζημία χρημάτων; ἀλλ' εὖ οἶδ' ὅτι κόνις σοι καὶ πηλοῦ παντὸς εὐτελέστερα ταῦτα νομίζεται. ἀλλὰ πατρίδος ἐκβολὴ καὶ οἰκίας; ἀλλ' οἶσθα σὺ καὶ τὰς μεγάλας καὶ πολυανθρώπους πόλεις καθάπερ τὰς ἐρήμους οὕτως οἰκεῖν, ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ τὸν πάντα συζήσασα χρόνον, καὶ τὰς βιωτικὰς καταπατήσασα φαντασίας. ἀλλὰ θάνατον ἀπειλοῦσιν; ἀλλὰ καὶ σὺ τοῦτο προλαβοῦσα διὰ παντὸς ἐμελέτησας τοῦ χρόνου. κἂν ἑλκύσωσιν ἐπὶ σφαγὴν, νεκρὸν ἐπὶ ταύτην ἕξουσι σῶμα. τί δεῖ τὰ πολλὰ λέγειν; οὐδείς σε οὐδὲν ἐργάσασθαι δυνήσεται τοιοῦτον, οὗ τὴν ὑπομονὴν μετὰ πολλῆς οὐχ εὑρήσει τῆς περιουσίας ἐν σοὶ πάλαι κατορθωθεῖσαν. τὴν γὰρ στενὴν ἀεὶ καὶ τεθλιμμένην ὁδεύσασα ὁδὸν, ἐν ἅπασιν ἐγυμνάσω τούτοις. διόπερ τὴν καλλίστην ταύτην ἐπιστήμην ἐν τοῖς γυμνασίοις ἀσκήσασα, νῦν ἐν τοῖς ἀγῶσι λαμπροτέρα ἀνεφάνης, οὐ μόνον οὐδὲν ὑπὸ τῶν γινομένων θορυβουμένη, ἀλλὰ πτερουμένη, καὶ σκιρτῶσα, καὶ χορεύουσα. ὧν γὰρ προέλαβες τὰ γυμνάσια, τούτων τοὺς ἀγῶνας μετὰ πολλῆς νῦν μεταχειρίζῃ τῆς εὐκολίας, ἐν γυναικείῳ σώματι καὶ ἀραχνίων ἀσθενεστέρῳ ἀνδρῶν σφριγώντων καὶ τοὺς ὀδόντας βρυχόντων μετὰ πολλοῦ τοῦ γέλωτος τὴν μανίαν καταπατοῦσα, καὶ πλείονα ἑτοίμη οὖσα παθεῖν, ἢ ἐκεῖνοι παρασκευάζονται. μακαρία σὺ καὶ τρισμακαρία τῶν ἐντεῦθεν στεφάνων, μᾶλλον δὲ καὶ αὐτῶν τῶν ἀγώνων. τοιαύτη γὰρ τῶν παλαισμάτων ἡ φύσις τούτων. καὶ πρὸ τῶν βραβείων καὶ ἐν αὐτοῖς τοῖς σκάμμασιν ἔχει καὶ τὰς ἀμοιβὰς καὶ τὰς ἀντιδόσεις, τὴν ἡδονὴν, ἣν καρποῦσαι νῦν, τὴν εὐφροσύνην, τὴν ἀνδρείαν, τὴν καρτερίαν, τὴν ὑπομονὴν, τὸ ἀνάλωτον, τὸ ἀχείρωτον, τὸ πάντων ὑψηλοτέραν εἶναι, τὸ οὕτω σαυτὴν ἀσκῆσαι, ὡς μηδὲν δύνασθαι παρὰ μηδενὸς παθεῖν δεινὸν, τὸ τοσούτων κλυδωνίων γινομένων ἐπὶ τῆς πέτρας ἑστάναι, τὸ τῆς θαλάττης μαινομένης ἐξ οὐρίας φέρεσθαι μετὰ πολλῆς τῆς γαλήνης. ταῦτα τῆς θλίψεως καὶ πρὸ τῆς βασιλείας τῶν οὐρανῶν ἐνταῦθα τὰ ἔπαθλα. οἶδα γὰρ, οἶδα ὅτι νῦν οὐδὲ περικεῖσθαι τὸ σῶμα ἡγῇ ὑπὸ τῆς ἡδονῆς πτερουμένη, ἀλλ' ἂν καιρὸς καλῇ, εὐκολώτε-

ρον

ἐρεῖ νῦν ἀποδύσῃ, ἢ ἕτεροι τὰ ἱμάτια ἃ περίκειται. χαῖρε τοίνυν καὶ εὐφραίνου καὶ ὑπὲρ σαυτῆς, καὶ ὑπὲρ τῶν μακαρίαν τελευτησάντων τελευτήν, οὐκ ἐν κλίνῃ, οὐδὲ ἐν οἰκίᾳ, ἀλλ᾽ ἐν δεσμωτηρίοις καὶ ἁλύσεσι καὶ βασάνοις. θρήνει δὲ μόνους τοὺς ταῦτα ποιοῦντας, καὶ δάκρυε. καὶ γὰρ καὶ τοῦτο ἄξιον τῆς σῆς φιλοσοφίας. ἐπειδὴ δὲ καὶ περὶ τῆς τοῦ σώματος ἡμῶν ὑγιείας βούλει μαθεῖν, ἀπηλλάγημεν τέως τῆς πέρυσιν ἐνοχλούσης ἡμῖν ἀρρωστίας, καὶ ῥᾷον διακείμεθα νῦν, πλὴν εἰ μὴ πάλιν ἐπελθὼν ὁ χειμὼν λυμήνηται ἡμῖν τοῦ στομάχου τὴν ἀσθένειαν· καὶ τῶν Ἰσαύρων δὲ ἕνεκεν ἐν πολλῇ καθεστήκαμεν ἀσφαλείᾳ.

ΧΡΥΣΟΣΤΟΜΟΥ ΠΡΟΣ ΔΙΑΦΟΡΟΥΣ ΕΠΙΣΤΟΛΑΙ.

α. ΑΓΑΠΗΤΩ.

Πολλοῖς καὶ συνεχέσιν ἱδρῶσιν ἱδρώσας ὁ κύριός μου ὁ εὐλαβέστατος καὶ τιμιώτατος πρεσβύτερος Ἐλπίδιος, τοὺς τὸ ὄρος οἰκοῦντας, τὸ Ἀμανὸν λέγω, σπουδάζων ἀπαλλάξαι τῆς κατεχούσης αὐτοὺς ἀσεβείας· καὶ ἀπήλλαξε, καὶ μετέθηκεν ἀπὸ τῆς πλάνης, καὶ ἐκκλησίας ᾠκοδόμησε, καὶ μοναστήρια συνεστήσατο. καὶ ἔξεστι ταῦτα τῇ εὐγενείᾳ σου καὶ παρ᾽ ἑτέρων μανθάνειν. ἐπεὶ οὖν οἶδα ὅτι τῶν εὐλαβῶν ἀνδρῶν καὶ γενναίων σφοδρὸς ἀεὶ γέγονας ἐραστής, εἰδὼς ὅτι σοι χαριοῦμαι, γνώριμον ποιῶ τὸν τοσαῦτα κατωρθωκότα. ὁμοῦ καὶ προσειπεῖν σε διὰ ἑκάστης προφάσεως ἐπειγόμενος, προσέθηκα ταυτὶ τὰ γράμματα, τήν τε ὀφειλομένην πρόσρησιν ἀποδιδούς, καὶ τὸν ἄνδρα παρακατατιθέμενός σου τῇ εὐγενείᾳ. ἰδὼν τοίνυν αὐτόν, ὥς σοι πρέπον ἐστί, δέσποτά μου τιμιώτατε καὶ θαυμασιώτατε, δεῖξον αὐτῷ διὰ τῶν ἔργων, ὡς οὐ μάτην οὐδὲ εἰκῆ ταύτην ἦλθεν ἔχων παρ᾽ ἡμῶν τὴν ἐπιστολήν, ἀλλ᾽ ἴσχυσε ταυτὶ τὰ γράμματα πολλῆς αὐτὸν ποιῆσαι ἀπολαῦσαι εὐνοίας τε καὶ ἀγάπης. οὕτω γὰρ καὶ ἡμεῖς χάριν πολλὴν ὁμολογήσομεν τῇ εὐγενείᾳ τῇ σῇ, ὅτι καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος ἀπὸ τῆς ἐπιστολῆς δυνάμεθά σου συνάπτειν τῇ ἀγάπῃ γνησίως τοὺς ἐπιθυμοῦντας αὐτῆς ἀπολαύειν· ὧν εἷς οὗτός ἐστι, σφοδρὸς ἐραστὴς ὤν σου τῆς κοσμιότητος. διὸ καὶ μετὰ πολλῆς τῆς σπουδῆς ταύτην παρ᾽ ἡμῶν ᾔτησε τὴν ἐπιστολήν.

β. ΤΩ ΑΥΤΩ.

Οἶδά σου τὴν ἀγάπην τὴν γνησίαν καὶ θερμήν, τὴν ἄδολον καὶ εἰλικρινῆ, καὶ οὔτε πραγμάτων ὄχλῳ, οὔτε χρόνου πλήθει, οὔτε ὁδοῦ μήκει μαραινομένην. οἶδα καὶ ὅ-

πως

πως ἐπιθυμεῖς σε αὖθις ἡμᾶς θεάσασθαι, καὶ τῆς κατὰ πρόσωπον ἀπολαῦσαι συνουσίας. ἀλλ' ἐπειδὴ τοῦτο πως ἐργῶδες καὶ διὰ τὸ τῆς ὁδοῦ μῆκος, καὶ διὰ τὴν τοῦ ἔτους ὥραν, καὶ τὸν τῶν Ἰσαύρων φόβον, τὴν διὰ τῶν γραμμάτων παρέχε ἡμῖν εὐφροσύνην, συνεχῶς δηλοῦν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς, καὶ τοῦ οἴκου σου παντός. ἂν γὰρ τοιαῦτα δεχώμεθα συνεχῶς γράμματα παρὰ τῆς σῆς εὐγενείας καὶ θαυμασιότητος, οὐ τὴν τυχοῦσαν καὶ ἐν ἐρημίᾳ διατρίβοντες καρπωσόμεθα τὴν παράκλησιν. καὶ γὰρ οὐκ ἀγνοεῖς ὅπως ἡμῖν περισπούδαστον τὸ ἐν ὑγιείᾳ σε εἶναι, δέσποτά μου αἰδεσιμώτατε καὶ θαυμασιώτατε.

γ. ΤΩ ΑΥΤΩ.

Εἰ καὶ πολὺς μεταξὺ χρόνος, ἐξ οὗ τῆς θαυμασιότητος ἐχωρίσθημεν τῆς σῆς, καὶ τῆς ὁδοῦ δὲ αὐτῆς πολὺ τὸ μέσον τὸ διεῖργον ἡμᾶς, ἀλλ' ὅμως τῇ ἀγάπῃ συνδεδέμεθά σοι καὶ πλησίον σου διατρίβομεν· μᾶλλον δὲ καὶ ἐν αὐτῇ σε ἔχομεν τῇ διανοίᾳ, πανταχοῦ περιφέροντες ὅπουπερ ἂν ὦμεν. οὕτω τὴν ἄνωθεν καὶ ἐξ ἀρχῆς σοι πρὸς ἡμᾶς γεγενημένην φιλίαν, τὴν θερμὴν καὶ γνησίαν, τὴν σφοδράν τε καὶ ἀκλινῆ ἐγκολάψαντες ἡμῶν ἔχομεν τῷ συνειδότι· καὶ αὐτοὶ δὲ ἀκμάζουσαν τὴν περὶ σὲ διάθεσιν διατηροῦμεν, δέσποτα τιμιώτατε καὶ θαυμασιώτατε, οὐδὲν ἀπὸ τοῦ πλήθους τοῦ χρόνου, οὐδὲ ἀπὸ τοῦ μήκους τοῦ κατὰ τὴν ὁδὸν ἀφιέντες αὐτὴν ἀσθενεστέραν γενέσθαι. παρακαλῶ τοίνυν, ἡνίκα ἂν ἐξῇ, γράφειν ἡμῖν συνεχῶς μὴ κατόκνει περὶ τῆς ὑγιείας τῆς σῆς. οἶσθα γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα, καὶ ἡλίκην ἡμῖν χαριεῖ χάριν, τοιαῦτα πρὸς ἡμᾶς διαπεμπόμενος γράμματα.

δ. ΑΔΟΛΙΑ.

Τὸ μὲν παραγενέσθαι ἴσως ἐργῶδες διὰ τὴν τοῦ σώματος ἀσθένειαν. οὐδὲν γὰρ ἕτερον κώλυμα. τὰ γὰρ τῶν λῃστῶν πάντα πέπαυται. τὸ δὲ γράφειν, ποῖον ἔχει πόνον; οὐ γὰρ δή σε ἐνταῦθα εἰς ἐκεῖνο καταφυγεῖν ἔχεις. ταῦτα δὲ λέγω, ὅτι ἕκτην, ὡς ἔγωγε οἶμαι, ταύτην διαπεμψάμενος τὴν ἐπιστολήν, δύο μόλις ἐδεξάμην παρὰ τῆς εὐγενείας τῆς σῆς. πλὴν ἀλλ' ἄν τε γράφῃς, ἄν τε σιγᾷς, ἡμεῖς τὰ ἑαυτῶν ποιοῦντες οὐ διαλιμπάνομεν. οὐ γὰρ δυνησόμεθα ἐπιλαθέσθαι σου τῆς ἀρχαίας ἐκείνης καὶ γνησίας φιλίας, ἀλλ' ἀνθοῦσαν αὐτὴν διηνεκῶς διατηροῦμεν, καὶ ἡνίκα ἂν ἐξῇ, γράφομεν. ἐπειδὴ δὲ σφόδρα μεριμνῶμεν τὰ σά, σφόδρα ἐπιθυμοῦμεν καὶ γράμματα παρὰ σοῦ δέχεσθαι περὶ τῆς ὑγιείας ἡμῖν εὐαγγελιζόμενα τῆς σῆς. μὴ δὴ ταύτης ἡμᾶς ἀποστέρει τῆς παραμυθίας· ἀλλ' εἰδυῖα ὅσον χαριεῖζῃ, κἂν ἐπίπονόν σοι ᾖ τὸ γράφειν, δι' ἡμᾶς τοὺς σφόδρα σε ἀγαπῶντας καὶ τοῦτον κατάδεξαι τὸν πόνον, καὶ δήλου τὰ περὶ τῆς ῥώσεως ἡμῖν τῆς σῆς σφόδρα ἐπιθυμοῦσι καθ' ἑκάστην ἡμέραν περὶ ταύτης μανθάνειν.

ε. ΤΗ ΑΥΤΗ.

Ὅτι μὲν ἠρρώστησας ἔγνωμεν, καὶ ὅτι χαλεπῶς ἠρρώστησας, καὶ πρὸς αὐτὰς ἦλθες τοῦ θανάτου τὰς πύλας· ἀλλ' ὅτι καὶ ἀνήνεγκες ἐκ τῆς ἀρρωστίας, καὶ τοῦ κινδύνου λοιπὸν ἀπαλλαγεῖσα πρὸς ὑγίειαν ὁδεύεις. ἀλλ' οὐ παρὰ τῶν σῶν γραμμάτων ἔμαθόν τι τούτων. διὸ καὶ σφόδρα ἤλγησα, ἀλλ' ἑτέρωθεν καὶ παρ' ἑτέρων. πλὴν ἀρκεῖ εἰς παραμυθίαν ἡμῖν τὸ τῆς ἀρρωστίας ἀπηλλάχθαι σου τὴν εὐγένειαν. οὐ μήν, ἐπειδὴ ἀρκεῖ, πράως φέρομεν τὴν μακράν σου ταύτην σιγήν. ἐβουλόμεθα γάρ, καθάπερ καὶ αὐτὴ οἶσθα, καὶ παραγενομένην ἐνταῦθα ἰδεῖν.

ἰδεῖν. καὶ γὰρ εἰ μὴ ἡ ἀῤῥωστία περιέπεσε, τὸ κωλῦον οὐδὲν ἦν. ὅ τε γὰρ χειμὼν ὁ ἐνταῦθα, ἔαρ ἡμερώτατον τέως μιμεῖται, τῶν τε Ἰσαύρων ἡ Ἀρμενία ἀπήλλακται. ἀλλ' ὅμως οὐδὲν ἀναγκάζομεν, οὐδὲ βιαζόμεθα μὴ βουλομένην ὑπὲρ τῆς ἐνταῦθα παροικίας. ἀλλ' ὅπερ οὔτε Ἰσαύρων φόβος, οὔτε χειμῶνος σφοδρότης, οὐδὲ ὁδοῦ ταλαιπωρία, οὔτε ἄλλο οὐδὲν "κωλύει, τοῦτο αἰτοῦμεν, συνεχῶς ἡμῖν ἀποστέλλειν τὰ γράμματα τῆς θερμῆς σου καὶ γνησίας διαθέσεως. ἵν' ἂν γὰρ τούτων ἀπολαύωμεν συνεχῶς ἀπαγγελλόντων ἡμῖν τὰ περὶ τῆς ὑγιείας καὶ τῆς εὐθυμίας τῆς σῆς, οὐ τὴν τυχοῦσαν καὶ ἐντεῦθεν καρπωσόμεθα παραμυθίαν. ἐννοοῦσα τοίνυν, ἡλίκην ἡμῖν χαριῇ χάριν, μὴ κατόκνει τοῦτο ποιεῖν. οἶσθα γὰρ ὅπως ἀντεχόμεθά σου τῆς εὐθυμίας, καὶ ὅσην ἀεὶ περὶ τὴν σὴν ἐμμέλειαν ἐπεδειξάμεθα τὴν ἀγάπην. 5 γρ. διακωλύει

10

ϛ. ΤΗ ΑΥΤΗ.

ΗΜεῖς, κἂν αὐτὴ σπανιάκις ἐπιστέλλῃς, οὐ παυσόμεθα, ὁσάκις ἂν ἐπιτύχωμεν τῶν ἐντεῦθεν ἐκεῖσε ἀφικνουμένων, γράφοντες πρὸς τὴν εὐλάβειαν τὴν σήν. ἐβουλόμεθα μὲν γὰρ καὶ ἐνταῦθά σε παραγενομένην ἰδεῖν, καὶ σφόδρα τοῦτο ἐπεθυμοῦμεν. ἀλλ' ἐπειδὴ τοῦτο ἐργῶδες ἴσως κατεφάνη σου τῇ εὐλαβείᾳ (τὰ γὰρ τῶν Ἰσαύρων πέπαυται παντελῶς) τὴν γοῦν ἀπὸ τοῦ γράφειν συνεχῶς τῇ τιμιότητί σου παράκλησιν οὐ παυσόμεθα παρέχοντες ἑαυτοῖς. καὶ γὰρ ὁσάκις ἂν ἐπιτύχωμεν γραμματηφόρου ἐκεῖσε "παραγινομένου, οὐ τὴν τυχοῦσαν καρπούμεθα εὐφροσύνην ἐπιστέλλοντές σου τῇ τιμιότητι. ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη, καὶ αὐτὴ σπουδὴν ποιεῖσθαι παρακλήθητι τοῦ συνεχῶς ἡμῖν ἐπιστέλλειν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς καὶ τῆς εὐθυμίας. ὥσπερ γὰρ τῆς ἀποδημίας ἕνεκεν οὐδὲν ἐγκαλοῦμεν διὰ τὸ "δόξαι δυσκολίαν ἔχειν τὸ πρᾶγμα· οὕτω τῆς σιγῆς ἕνεκεν τῆς μακρᾶς οὐ παυσόμεθα αἰτιώμενοι διὰ τὸ σφόδρα ἐπιθυμεῖν συνεχῶς μανθάνειν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς καὶ τοῦ οἴκου σου παντός. 15 20 γρ. παραγιν. γρ. δόξαν

ι.ϛ. 25

ζ. ΤΗ ΑΥΤΗ.

ΤΙ λέγεις; πάλιν ἐπιβουλὰς ὀδύρῃ, καὶ δεινὰ πεπονθέναι φῇς; καὶ τί τὸ κωλῦον, εἰπέ μοι, εἰς γαλήνιον "καταπλεῦσαι λιμένα, καὶ τούτων πάντων ἀπηλλάχθαι τῶν κυμάτων; οὐ ταῦτά σοι διὰ παντὸς ἐπᾴδων τοῦ χρόνου διατελῶ; καὶ οὐδέποτε ἡμῶν ἀνασχέσθαι ἠθέλησας, ἀλλὰ καὶ σαυτῇ μυρία τὰ κακὰ ἀπὸ τοῦ πλήθους τῶν πραγμάτων τούτων προξενεῖς, εἰς πράγματα συνεχῶς ἐμπίπτουσα, ἃ ἡμῖν ἐκ τοῦ ταῦτα ὑπομένειν λύπας ἐπάγουσα συνεχεῖς καὶ πυκνάς; ἢ μικρῶς οἴει με νῦν ἀθυμεῖν ἀκούσαντα ταῦτα, ἅπερ ἐπέσταλκας, ὅτι παρὰ τῶν οἰκείων, ἤτοι ξένων (οὐδεὶς γάρ σου χρήσομαι τοῖς ῥήμασι) προδοσίας ὑπομεμένηκας καὶ τραγῳδίας χαλεπάς; μέχρι τινὸς τὸν καπνὸν περιστρέφεις, τὸ διαυγές σου τοῦ κατὰ ψυχὴν ὄμματος ἐπιθολοῦσα; μέχρι τινὸς οὐκ ἐλευθεροῖς σαυτὴν πικροτάτης δουλείας; τί δαὶ καὶ τὸ κωλῦον ἐνταῦθα παραγενέσθαι, καὶ περὶ τούτων ἡμᾶς κοινῇ βουλεύσασθαι; καὶ γὰρ ἔφης μηδ' ἂν αἴσθησιν τούτων λαβεῖν, εἰ τοῦτο γέγονεν. ἐγὼ "σφόδρα ἐκπλήττομαι καὶ θαυμάζω, καὶ αἰτίαν οὐδεμίαν εὑρίσκω τοῦ σε ἐπὶ τοσοῦτον ἡμῶν ἀπολειφθῆναι, ἢ [καὶ] ῥαθυμίαν καὶ ὄκνον μόνον. καὶ γὰρ τῆς ὁδοῦ τὸ μέσον ὀλίγον καὶ ἡ τοῦ ἔτους ὥρα πρὸς ἀποδημίαν σφόδρα ἐπιτηδεία, οὔτε κρυμῷ, οὔτε θάλπει λυποῦσα. ἀλλὰ πάλιν ἴσως ἡ πάντων σοι μήτηρ ἀεὶ τῶν κακῶν γινομένη, λέγω δὴ τῶν βιωτικῶν ἡ φροντίς, αὕτη καὶ νῦν κώλυμα γέγονε. ἐγὼ μὲν οὖν καὶ παραγινομένῃ χάριν ἔχω πολλήν, καὶ μὴ παραγινομένῃ οὐκ ἐγκαλῶ, οὔτε δυσχεραίνω· ἀλλ' ἔχω μὲν τὴν ἀγάπην, ἣν ἀεὶ περὶ τὴν σὴν ἐμμέλειαν ἐπεδειξάμην, 30 35 40 γρ. γαλήνιον γρ. ὃ ἴσ. λείπει

μένη, ἀκμάζουσαν· ἀλγῶ δὲ σφόδρα καὶ ὀδύρομαι ἀκούων ἔτι μυρίοις σε ἐμπεπλέχθαι πραγμάτων βιωτικῶν καὶ φροντίδων φορτίοις. καὶ εἰ μὴ ἡμᾶς ἡ τῆς ἐξορίας ἀνάγκη πεδήσασα ἐν ταύτῃ κατεῖχεν, οὐκ ἂν ἔσκυλά σου τὴν εὐλάβειαν· ἀλλ' εἰ καὶ τῆς ἀσθενείας ταύτης, ἧς ἔχω νῦν, ἀσθενέστερον εἶχον, αὐτὸς ἂν ἐξέδραμον, καὶ οὐκ ἂν ἀπέστην περιτρέχων
5 πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως ἄν σε τῆς ζάλης ταύτης καὶ τοῦ "θορύβου καὶ τοῦ φορυτοῦ τῶν μυρίων ἀπήλλαξα κακῶν. ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, ἐβουλόμην παραμυθουμένην περὶ τούτων ἡμῖν ἀνακοινώσασθαι. εἰ δὲ μηδὲ τοῦτο εὔκολον, ἀλλ' ἐργῶδες, οὐ παυσόμεθα διὰ γραμμάτων παραινοῦντες καὶ συμβουλεύοντες, ὥστε διακόψαι τὰ σχοινία, διατεμεῖν τὰς πλεκτάνας, διακλάσαι τὰς πέδας τῆς σῆς ψυχῆς, καὶ μετ' ἐλευθερίας καὶ εὐκολίας
10 βαδίζειν πολλῆς. οὕτω γὰρ οὐ μόνον τὴν ἐνταῦθα εὐφροσύνην καρπώσῃ, ἀλλὰ καὶ τῶν οὐρανῶν μετὰ πολλῆς λήψῃ τῆς εὐκολίας, ὧν * μέλλεις μικρὸν ὕστερον ἐν τῷ καιρῷ τῆς ἐντεῦθεν ἀποδημίας ἄκουσα ἀφίστασθαι, ταῦτα ἑκοῦσα "προπέμψασα εἰς τοὺς ἀσυλήτους θησαυρούς, καὶ διὰ τούτων σοι τοὺς ἀκηράτους ἐκείνους καὶ μηδέποτε μαραινομένους παραποθεμένη στεφάνους.

γρ. βιβλίων

*ἦν

γρ. προπέμψον

15

η. ΤΗ ΑΥΤΗ.

ΠΟλλάκις μὲν ἐπεστάλκαμέν σου πρὸς τὴν εὐλάβειαν. ἀλλ' οὐκ ἀρκεῖ τοῦτο τὸ πολλάκις ἡμῖν, ἀλλ' ἐβουλόμεθα μὲν καθ' ἑκάστην ἡμέραν τοῦτο ποιεῖν. οἶσθα γὰρ ὅπως
20 διακείμεθα περὶ τὴν ἐμμέλειαν τὴν σήν. ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, ἡνίκα ἂν ἐξῇ, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι τὴν ὀφειλομένην ἀποπληροῦμεν πρόσρησιν, συνεχῶς καὶ διηνεκῶς βουλόμενοι μανθάνειν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς καὶ τῆς εὐθυμίας. παρακαλῶ τοίνυν, εἰδυῖα ἡλίκα ἡμῖν χαρίζῃ ταῦτα ἐπιστέλλουσα, ἔργον ποιήσασθαι τοῦτο παρακλήθητι τὸ συνεχῶς ἡμῖν ταῦτα ἐπιστέλλειν. ἐπεὶ καὶ νῦν οὐχ ὡς ἔτυχεν ἠλγήσαμεν, ὅτι ἀνδράσι πᾶσιν, ὡς "εἰ-
25 πεῖν, γνωρίμου καὶ ἡμῖν ἀγαπητοῦ μέλλοντος ἐνταῦθα παραγίνεσθαι, τοῦ κυρίου μου τοῦ τιμιωτάτου Λιβανίου, οὐκ ἐπέσταλκας ἡμῖν, ἀγνοήσασα μὲν ἴσως· πλὴν ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο ἀλγοῦμεν, ὅτι ἀγνοεῖς τοὺς ἐκεῖθεν πρὸς ἡμᾶς ἐρχομένους. ἡμεῖς γὰρ οὐ παυόμεθα περιεργαζόμενοι καὶ πολυπραγμονοῦντες τοὺς ἐντεῦθεν πρὸς ὑμᾶς παραγινομένους, ἵνα ἐξῇ δι' ἐκείνων ἡμῖν τὴν ἐπιθυμίαν τὴν ἑαυτῶν πληροῦν. αὕτη δέ ἐστι, τὸ συνεχῶς ἐπιστέλλειν πρὸς
30 τὴν σὴν ἐμμέλειαν.

γρ. ὑμῖν

θ. ΤΗ ΑΥΤΗ.

ΚΑὶ ταύτῃ σου τὴν ἀγάπην "ἐπεδείξας τὴν γνησίαν καὶ θερμήν, ὅτι καὶ ἐν ἀρρωστίᾳ οὖ-
35 σα, οὕτω συνεχῶς ἡμῖν ἐπιστέλλεις. ἡμεῖς δὲ ἐπιθυμοῦμεν τῆς τε ἀρρωστίας σε ἀπαλλαγῆναι, καὶ ἐνταῦθα παραγινομένην, ὅταν ἐξῇ, θεάσασθαι· καὶ τοῦτο οἶσθα καὶ αὐτή, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη. ἐπεὶ οὖν, ὅπερ καὶ ἔμπροσθεν ἐπέσταλκα, νῦν ἐν φροντίδι μείζονι καθεστήκαμεν (καὶ γὰρ ἀπὸ τῶν γραμμάτων ἐστοχασάμεθά σου τῆς ἀρρωστίας τὴν ὑπερβολήν) διά τοι τοῦτο ἡνίκα ἂν πρὸς τὸ βέλτιον ἐπιδῷ σοι τὸ σῶμα, διὰ τάχους, ὡς
40 βούλει, δηλῶσαι ἡμῖν παρακλήθητι τοῦτο αὐτό, ἵνα βαρυτάτης ἡμᾶς ἀνεθῆναι ποιήσῃς φροντίδος. ὅτι γὰρ [καὶ] νῦν οὐκ ἐν μικρᾷ καθεστήκαμεν ἀθυμίᾳ τῆς ἀρρωστίας ἕνεκεν τῆς σῆς, οὐδὲ αὐτὴ ἀγνοεῖς. εἰδυῖα τοίνυν τὴν φροντίδα, ἐν ᾗ νῦν ἐσμεν, ὅπερ παρεκαλέσαμεν ποιῆσαι, σπούδασον· εἰ καὶ τὰ μάλιστα οὐδέν σοι εἰς τοῦτο δεῖ παρακλήσεως, ἀλλ' εὖ οἶδ' ὅτι ὅσων ἂν ἐπιτύχῃς γραμματοφόρων, οὐ παύσῃ δι' ἑκάστου ἡμῖν ἐπιστέλλουσα.

γρ. ὕψηξ.

ΑΕΤΙΩ.

ι. ΑΕΤΙΩ.

Ἡμεῖς σου τῆς ἀγάπης οὐδέποτε ἐπιλαθέσθαι δυνάμεθα, τῆς θερμῆς καὶ γνησίας καὶ πεπυρωμένης, τῆς εἰλικρινοῦς καὶ ἀδόλου· ἀλλὰ διηνεκῶς ἐπὶ διανοίας σε περιφέρομεν, καὶ ἔχομεν ἐγκεκολαμμένον ἡμῶν τῷ συνειδότι. καὶ ἐβουλόμεθα μὲν καὶ ὁρᾷν σε συνεχῶς· ἐπειδὴ δὲ τοῦτο πῶς οὐχ οἷόν τε, διὰ τῶν γραμμάτων τὴν ἐπιθυμίαν τὴν ἑαυτῶν πληρῶμεν, τὴν ὀφειλομένην πρόσρησιν ἀποδιδόντες σου τῇ εὐλαβείᾳ· καὶ σε παρακαλοῦμεν καὶ αὐτὸν συνεχῶς ἡμῖν ἐπιστέλλειν. Εἰ γὰρ καὶ ἐν ἐρημίᾳ διατρίβομεν πολλῇ, καὶ ὑπὸ φόβου λῃστῶν πολιορκούμεθα, καὶ ἐν ἀρρωστίᾳ τυγχάνομεν, ἀλλ' ἐὰν δεξώμεθα γράμματα παρὰ τῆς εὐλαβείας τῆς σῆς εὐαγγελιζόμενα ἡμῖν περὶ τῆς ὑγιείας σου, πολλὴν καὶ ἐν ἀλλοτρίᾳ οὕτως καρπωσόμεθα τὴν παράκλησιν. Εἰδὼς οὖν ἡλίκα ἡμῖν χαριῇ, καὶ ὅσην ἡμῖν παρέξεις τὴν εὐφροσύνην, μὴ φθονήσῃς ἡμῖν τῆς τοσαύτης ἡδονῆς· ἀλλὰ σπούδαζε ἡμῖν συνεχέστερον ἐπιστέλλειν. πολλὴν γὰρ ἐντεῦθεν καρπωσόμεθα τὴν ἡδονήν.

γρ. βουλόμεθα. γρ. πληροῦμεν. γρ. εὐσεβείᾳ. γρ. ἡμεῖς.

ια. ΑΚΑΚΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Οὔπω θερμὸς ἡμῶν ἐραστής, ὁ οὕτω σφοδρῶς περὶ ἡμᾶς διακείμενος, οὐδὲ γραμμάτων ἡμῖν μεταδίδως τῶν σῶν. καίτοιγε ἤδη ἐπεστάλκαμεν καὶ ἅπαξ καὶ δὶς, αὐτὸς δὲ ὀκνηρότερος περὶ τοῦτο γέγονας. ἐννοῶν τοίνυν ἡλίκα ἡμῖν χαρίζῃ τὰ περὶ τῆς ὑγιείας σου δηλῶν, μετὰ πολλοῦ τοῦ τάχους ἡμῖν γράψαι παρακλήθητι. πολλὴν γὰρ καρπούμεθα παράκλησιν, τὰ περὶ τῆς ὑγιείας ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς μανθάνοντες συνεχῶς.

ιβ. ΑΛΕΞΑΝΔΡΩ ΕΠΙΣΚΟΠΩ ΚΟΡΙΝΘΟΥ.

Οἶσθα τὴν ἀγάπην, ἣν ἐπεδειξάμεθα περὶ τὴν σὴν τιμιότητα, καὶ πῶς ὀλίγα σοι συγγενόμενοι, συνεδέθημέν σου τῷ πόθῳ. διὸ καὶ σφόδρα ἐθαυμάσαμεν ὅτι ἐν οὕτω χρόνῳ μακρῷ οὐδὲ ἅπαξ ἡμῖν ἐπιστεῖλαι κατεδέξω. καὶ οἶδα μὲν ὅτι γραμματηφόρων περιβαλῇ σπάνιν· καὶ οὐδὲν ἀπεικός. οὐ γὰρ δὴ πολλοὶ οἱ ἐκεῖθεν ἀφικνούμενοι, ἀλλ' ἔνθα καθήμεθα νῦν, οὐδεὶς ἂν ταχέως παραγένοιτο τῶν ἐκεῖθεν ἐρχομένων. πλὴν ἀλλ' οὐκ ἀρκεῖ τοῦτο ὑμῖν εἰς τὸ μηδὲ ἅπαξ δέξασθαι γράμματα· ἐπεὶ καὶ ἡμεῖς εἰς ταύτην ἔχοντες ἀναχωρῆσαι τὴν πρόφασιν, οὐδὲ οὕτως ἐσιγήσαμεν· ἀλλὰ τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον ἀναστήσαντες ἐντεῦθεν, ἐπέμψαμεν, ὥστε καὶ τῇ σῇ συντυχεῖν τιμιότητι, καὶ ταύτην ἡμῶν τὴν προσηγορίαν ἀποκομίσαι, καὶ μαθεῖν περὶ τῆς ὑγιείας τῆς σῆς, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν. ἰδὼν τοίνυν αὐτὸν, μετ' εὐνοίας καὶ ἀγάπης καὶ τῆς προσηκούσης φιλοφροσύνης ὡς μέλος ἡμέτερον, ἡνίκα ἂν ἐπανίῃ, τὰ περὶ τῆς ῥώσεώς σου δηλῶσαι ἡμῖν μὴ κατοκνήσῃς. μεγίστην γὰρ ἡμῖν ἀπὸ τῶν γραμμάτων καὶ ἐν ἐρημίᾳ καθεζομένοις παρέξεις τὴν παράκλησιν.

γρ. καθείργμεθα. γρ. ἀλλ'. γρ. ἡμῖν. γρ. ἡμῖν.

ιγ. ΑΛΥΠΙΩ.

Αὐτὸς μὲν ἔδεισας μὴ τῷ πρότερος ἐπιπηδῆσαι τοῖς πρὸς ἡμᾶς γράμμασι προπετείας μέμψει περιπέσῃς (αὐτοῖς γάρ σου χρήσομαι τοῖς ῥήμασιν) ἐγὼ δέ σοι τοσοῦτον ἀπέχω τοῦ τοῦτο γράψαι, ὅτι καὶ ῥᾳθυμίας ἐγκαλῶ τῆς βραδυτῆτος ἕνεκεν, καὶ μειζόνως ἂν ἐκήρυξα

γρ. -μίαν

τερον ἐπεσταλκότα. καὶ τοῦτο λέγω, αὐτῇ πάλιν σου τῇ ψήφῳ εἰς ἀπόδειξιν τούτου κεχρημένος. ἔφης γὰρ τοῦτο μάλιστα φιλοστοργίας εἶναι, τὸ καὶ σιωπῶντας προσειπεῖν. ἐπεὶ οὖν τό τε δέος σοι τῆς προπετείας ἀνῄρηται, ὅπερ οὐ δεόντως ἐδεδοίκεις, τοῦτό τε μειζόνως ἀποδέδεικται σημεῖον ἀγάπης, πέμπε λοιπὸν ἡμῖν νιφάδας γραμμάτων. "οἶσθα γὰρ ὅπως καὶ διετέθημεν, καὶ διακείμεθα περὶ τὴν σὴν ἐμμέλειαν. κἂν γὰρ εἰς ἐρημότατον τοῦτο χωρίον ἀπενεχθῶμεν, κἂν εἰς αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα, τῆς εὐγενοῦς σου ψυχῆς, τῆς ἐλευθέρας, τῆς ἀπλάστου, τῆς εἰλικρινοῦς ἀγάπης καὶ δόλον οὐκ ἐχούσης οὐδέποτε ἐπιλαθέσθαι δυνάμεθα· ἀλλὰ καθ' ἑκάστην σε τὴν ἡμέραν φανταζόμενοι διατελοῦμεν, τὰς ἀρετάς σου τῆς ψυχῆς διὰ τῆς μνήμης ἀναπλάττοντες. καὶ ἐβουλόμεθα μὲν συνεχέστερον ἐπιστέλλειν· ἐπειδὴ δὲ οὕτως ἐργῶδες ἡμῖν τοσοῦτον ὑμῶν ἀπῳκισμένοις, ὑμῖν δὲ ῥᾷδιον, παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς καὶ παντὸς ὑμῶν τοῦ οἴκου. οὕτω γὰρ καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες πολλὴν καρπωσόμεθα τὴν παράκλησιν.

γ. εἶδας

ιδ'. ΑΛΦΙΩ.

Μακάριος καὶ τρισμακάριος εἶ, καὶ πολλάκις τοῦτο, τοιαῦτα ἐργαζόμενος καὶ τοιαύταις ἐπιτρέχων πραγματείαις, αἳ πολὺν ἐν οὐρανοῖς παρατίθενταί σοι τὸν θησαυρόν. οὐδὲ γὰρ ὡς ἔτυχεν ἡμᾶς ἀνεπτέρωσας, τὰ κατὰ τὸν κύριόν μου Ἰωάννην τὸν πρεσβύτερον ἀπαγγείλας, ὅτι πολλὴν ἐποιήσω σπουδὴν ἀναστῆσαι αὐτὸν καὶ ἐκπέμψαι εἰς τὴν Φοινίκην. ὅτι δὲ καὶ χρυσίον αὐτῷ δέδωκας, αὐτὸς μὲν ἐσίγησας, καὶ τοῦτο πρέπον τῇ εὐλαβείᾳ σου ποιῶν, ἡμᾶς δὲ οὐκ ἔλαθες· ἀλλὰ καὶ τοῦτο ἔγνωμεν, καὶ τὴν δαψίλειαν, ἣν παρέσχες. [καὶ] διὰ τοῦτό σε θαυμάζοντες καὶ μακαρίζοντες οὐ παυόμεθα, ὅτι ἐν οἷς δεῖ πλουτεῖν* ἐν τούτοις πλουτεῖς· καί σε παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν. εἰ μὲν γὰρ δυνατὸν ἦν καὶ κατ' ὄψιν σε ἰδεῖν, πολλοῦ ἂν ἐπριάμεθα τοῦτο· ἐπεὶ δὲ τοῦτο τέως οὐκ ἔνι, γράφε συνεχῶς ἡμῖν, περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος καὶ τοῦ οἴκου σου παντός. οὐ γὰρ τὴν τυχοῦσαν καρπωσόμεθα παράκλησιν ταῦτα μανθάνοντες. εἰδὼς οὖν ἡλίκα ἡμῖν χαριῇ, μὴ ἀποστερήσῃς ἡμᾶς "τοσαύτης εὐφροσύνης.

γ. τ. τοιαύτης

ιε'. ΑΛΦΙΩ.

Ἐγὼ μὲν ἐβουλόμην συνεχέστερον ἐπιστέλλειν· ἡ δὲ τῶν γραμματηφόρων σπάνις οὐκ ἀφίησι τὴν ἐπιθυμίαν ταύτην εἰς ἔργον ἐλθεῖν. καὶ γὰρ ἡ τοῦ "χωρίου τούτου ἐρημία, καὶ ὁ τῶν Ἰσαύρων φόβος, καὶ ἡ τοῦ χειμῶνος σφοδρότης οὐκ ἐπιτρέπει συνεχῶς τινας ἡμῖν ἐπιχωριάζειν· ἀλλ' ὅμως καὶ γράφοντες καὶ σιγῶντες τὴν αὐτὴν ἀεὶ περὶ σὲ διάθεσιν διατηροῦμεν, τὴν προθυμίαν σου καὶ τὴν σπουδήν σου μανθάνοντες, ἣν ὑπὲρ τῆς ὠφελείας τῆς σῆς ἔχεις ψυχῆς, τούς τε ἐν εὐλαβείᾳ ζῶντας ἀναπαύειν ἐσπουδακώς, καὶ τὴν καλὴν ταύτην πραγματευόμενος πραγματείαν. ταῦτ' οὖν εἰδώς, κύριέ μου τιμιώτατε καὶ εὐλαβέστατε, συνεχῶς ἡμῖν ἐπίστελλε τὰ περὶ τῆς σῆς ὑγιείας καὶ τοῦ οἴκου σου παντός. οὕτω γὰρ καὶ ἐν ἐρημίᾳ ὄντες πολλὴν ἕξομεν τὴν εὐφροσύνην, "εἰ τοιαῦτα παρὰ τῆς σῆς τιμιότητος" δεχόμεθα γράμματα.

γ. χώρου

γ. ἦν

γ. ·χώμεθα

ις. ΤΩ ΑΥΤΩ.

Ἡμεῖς, εἰ καὶ πόῤῥω σου καθήμεθα, ἀλλ' ἀκούοντές σου τὰ κατορθώματα, καὶ τὴν πολλὴν μεγαλοψυχίαν, ἣν περὶ τοὺς δεομένους ἐπιδείκνυσαι, σκιρτῶμεν, εὐφραινόμεθα, χαίρομεν. καὶ ἐβουλόμεθα μὲν καὶ κατ' ὄψιν συντυχεῖν σου τῇ τιμιότητι, καὶ πολλὰς παρόντι παρόντες ὁμολογῆσαί σοι χάριτας. ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, "περὶ τὰ Ἰσαυρικὰ ἐπιταθῆναι πλέον, καὶ πᾶσαν ἀποτετειχίσθαι τὴν ὁδὸν (εὖ γὰρ οἶδ' ὅτι, εἰ μὴ τοῦτο ἦν, κἂν αὐτὸς παραγενόμενος, καὶ πολλὴν ἐποιήσω σπουδὴν δραμεῖν ἕως ἡμῶν) ἀλλ' ἐπειδὴ τοῦτο τέως οὐ δυνατόν, καὶ γράφομεν καὶ προσαγορεύομέν σου τὴν τιμιότητα, καὶ παρακαλοῦμεν συνεχῶς, ἡνίκα ἂν δόξῃ, ἐπιστέλλειν ἡμῖν, καὶ τὰ περὶ τῆς ὑγιείας σου καὶ τοῦ οἴκου σου παντὸς "ἡμῖν εὐαγγελίζεσθαι. οὐ γὰρ τὴν τυχοῦσαν, καὶ ἐνταῦθα καθήμενοι, ἀπὸ τῶν τοιούτων γραμμάτων τῆς σῆς τιμιότητος καρπωσόμεθα τὴν παράκλησιν.

γρ. διὰ τὸ
γρ. ὑμᾶς

ιζ. ΤΩ ΑΥΤΩ.

Ὁ Θεός σοι τὸν μισθὸν δῴη καὶ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς γνησίας καὶ θερμῆς περὶ ἡμᾶς ἀγάπης, τῆς εἰλικρινοῦς καὶ ἀνυποκρίτου, τῆς ἀκινήτου καὶ ἀπεριτρέπτου. οὐ γὰρ μικρὰ δείγματα τῆς περὶ ἡμᾶς διαθέσεως καὶ ταῦτα ἐκ τοσούτου καθήμενος διαστήματος ἐπεδείξω, κύριέ μου τιμιώτατε καὶ εὐγενέστατε, ἀλλὰ καὶ πολλὰ καὶ μεγάλα. διὰ τοῦτό σοι καὶ χάριτας ἴσμεν, καὶ συνεχῶς ἐπιστέλλειν βουλόμεθα, ἀλλ' οὐ δυνάμεθα, ὁσάκις ἂν βουλώμεθα· γράφομεν δὲ ὁσάκις ἂν δυνώμεθα. οἶσθα γὰρ καὶ τὴν ἀπὸ τοῦ χειμῶνος, καὶ τὴν ἀπὸ τῶν λῃστρικῶν ἐφόδων γινομένην ἐν ταῖς ὁδοῖς δυσκολίαν. μὴ τοίνυν νομίσῃς ῥᾳθυμεῖν ἡμᾶς, ὅταν μακρὰν σιγήσωμεν σιγήν· ἀλλὰ τῇ σπάνει τῶν γραμματοφόρων τοῦτο λογίζου, μὴ τῇ ὀλιγωρίᾳ τῇ ἡμετέρᾳ. ὡς εἴ γε δυνατὸν ἦν συνεχέστερον ἐπιστέλλειν, οὐκ ἂν ὠκνήσαμεν πυκνὰ πέμποντές σοι γράμματα. ἡμῖν γὰρ ἑαυτοῖς "ἐχαριζόμεθα τὰ μέγιστα, τὴν ὀφειλομένην σοι πρόσρησιν συνεχέστερον ἀποδιδόντες. ταῦτ' οὖν εἰδώς, γράφε ἡμῖν συνεχῶς καὶ αὐτὸς τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. ὅπερ ἔφης ἀπεσταλκέναι ἡμῖν, τοῦτο οὐδεὶς ἐκόμισεν ἐνταῦθα, ἀλλ' ὑπέστρεψεν ὁ ἔχων διὰ τὸν τῶν λῃστῶν φόβον. πλὴν παρακαλοῦμέν σε μὴ ποιεῖν τοῦτο, μηδὲ δυσκολίας σεαυτῷ παρέχειν καὶ πράγματα. τὰ γὰρ μεγάλα σου δῶρα, τὸ γνήσιόν σου καὶ θερμὸν τῆς διαθέσεως· οὗ διηνεκῶς ἀπολαύοντες ἐντρυφῶμεν ἀεὶ τῇ μνήμῃ τῆς σῆς ἀγάπης.

ἴσ. λείπει

ιη. ΑΜΠΡΟΥΚΛΗ ΔΙΑΚΟΝΩ.

Ἐδεξάμην "προτέραν ἣν ἔφης δευτέραν ἐπιστολὴν ἐπεσταλκέναι, δέσποινά μου τιμιωτάτη καὶ κοσμιωτάτη. καὶ τὰ αὐτὰ πάλιν λέγω. "μὴ κάλει τόλμαν, τὸ προτέραν τοῖς πρὸς ἡμᾶς ἐπιπηδῆσαι γράμμασι, μηδὲ ἁμάρτημα νόμιζε τὸ μέγιστον ἐγκώμιον. ἀγάπης γὰρ ζεούσης καὶ θερμῆς τοῦτο δεῖγμα ποιούμεθα, καὶ τῆς γνησίας καὶ εἰλικρινοῦς σου διαθέσεως τῆς φλογὸς θερμοτέρας. ταῦτ' οὖν εἰδυῖα, "ἐπιδαψίλευε ταύτην ἡμῖν τὴν χάριν συνεχῶς, περὶ τῆς ὑγιείας ἡμῖν δηλοῦσα τῆς σῆς, καὶ πέμπε νιφάδας ἡμῖν γραμμάτων τοῦτο ἀπαγγελλούσας. ἐὰν γὰρ "θαρρῶμεν περὶ τῶν ἀγαπώντων ἡμᾶς ὅτι ἐν εὐθυμίᾳ καὶ ἐν ὑγιείᾳ καὶ ἐν ἀσφαλείᾳ καθεστήκατε, οὐ μικρὰν δεξόμεθα τῆς ἐν ἀλλοτρίᾳ διατριβῆς παράκλησιν· ἀλλὰ καὶ μεγίστην καρπωσόμεθα παραμυθίαν, καίτοιγε ἐσχάτην ἐρημίαν οἰκοῦντες.

γρ. δευτέραν ἣν ἔφης προτέραν
γρ. μὴ τόλμαν
γρ. ἐπιδαψίλευε
γρ. μανθάνωμεν

τις. λογισαμένη τοίνυν ὅσην ἡμῖν ἐργάσῃ τὴν ἑορτήν, μὴ φθονήσῃς ἡμῖν τῆς καλλίστης ταύτης εὐφροσύνης· ἀλλ' ὡς ἂν ἐγχωρῇ, καὶ οἷόν τε ᾖ, εὐαγγελίζου συνεχῶς ἡμῖν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς.

γ. ὑμᾶς

5

ιθ. ΑΜΠΡΟΥΚΛΑ ΔΙΑΚΟΝΩ, ΚΑΙ ΤΑΙΣ ΕΝ αὐτῆς.

ΜΑκρῷ μὲν διῴκισμαι τῷ μήκει τῆς ὁδοῦ τῆς ὑμετέρας τιμιότητος, τὰς δὲ ἀνδραγαθίας ὑμῶν καὶ τὰς ἀριστείας τῶν παρόντων οὐκ ἔλαττον ἔμαθον. καὶ σφόδρα συνήσθην ὑμῖν τῆς ἀνδρείας, τῆς ὑπομονῆς, τῆς ἀπεριτρέπτου γνώμης, καὶ στερρᾶς καὶ ἀδαμαντίνης διανοίας, τῆς ἐλευθεροστομίας, τῆς παρρησίας. διὰ ταῦτα μακαρίζων ὑμᾶς οὐ παύομαι, ὑπέρ τε τῶν παρόντων, ὑπέρ τε τῶν μελλόντων ὑμᾶς ὑποδέξασθαι ἀγαθῶν ἐν τῷ μέλλοντι αἰῶνι, τῶν ἀπορρήτων ἐκείνων καὶ πάντα νοῦν καὶ λόγον ὑπερβαινόντων. σφόδρα δὲ ὑμᾶς ἐλύπησας ἐκ τοσούτου καθημένης διαστήματος, οὐδὲ ἐπιστεῖλαι καταδεξαμένη. καὶ οἶδα μὲν ὅτι οὐκ ἐκ ῥᾳθυμίας τοῦτο γέγονεν (ἐπιστάμεθα γὰρ καὶ γραφούσης ἡμῖν, καὶ σιγώσης τὴν θερμὴν καὶ γνησίαν ἀγάπην, τὴν εἰλικρινῆ καὶ ἄδολον, τὴν ἰσχυρὰν καὶ στερρὰν) ἀλλὰ διὰ τὸ μηδένα εἶναι τὸν ὑπογραφέντα. πλὴν ἀλλὰ καὶ οὕτως ἐχρῆν τῇ ἐγχωρίῳ σου γλώττῃ ἡμῖν ἐπιστεῖλαι καὶ τῇ χειρὶ τῇ σῇ. σφόδρα γὰρ ἀντεχόμεθα, καθάπερ καὶ αὐτὴ οἶσθα, τοῦ συνεχῶς ἐπιστολὰς δέχεσθαι παρὰ τῆς εὐλαβείας τῆς σῆς, ὥστε καθ' ἑκάστην ἡμέραν μανθάνειν ἡμᾶς τὰ περὶ τῆς ὑγείας τῆς σῆς, καὶ οὐ μικρὰν τῆς τοσαύτης ἐρημίας καὶ τῶν ἐνταῦθα περιστάσεων παράκλησιν ταύτην ἔχομεν. εἰδυῖα τοίνυν, δέσποινά μου τιμιωτάτη καὶ εὐλαβεστάτη, ὅτι ἐπιθυμίαν ἔχομεν τοῦτο, μὴ διαλείπῃς τὴν καλὴν ταύτην ἡμῖν χαριζομένη χάριν. καὶ γὰρ πολλοὶ πολλαχόθεν ἐκεῖθεν ἦλθον· ἀλλ' οὐκ ἐγκαλῶ ἐκείνων ἕνεκεν, διότι μὴ γράμματα ἡμῖν ἐκόμισαν παρὰ τῆς σῆς κοσμιότητος. εἰκὸς γὰρ αὐτοὺς ἀγνοεῖσθαι παρὰ τῆς εὐλαβείας τῆς σῆς. νῦν μέντοι, ὅτι ἔξεστι μετ' εὐκολίας πάσης ἐπιστεῖλαι, καὶ μάλιστα τοιούτων γενομένων αὐτόθι, σφόδρα ἐπιθυμοῦμεν δέξασθαι γράμματα. ἀνάκτησαι τοίνυν τὸ ἐν τῷ παρελθόντι χρόνῳ ῥᾳθυμηθέν, καὶ πυκνότητι καὶ νιφάδι ἐπιστολῶν τὸ μῆκος τῆς ἔμπροσθεν ἡμῖν παραμύθησαι σιγῆς.

10 · 15 · 20 · 25

ἴσ. ἡμᾶς

ἴσ. ὑπαχθέ-ντα

30

κ. ΤΗ ΑΥΤΗ, ΚΑΙ ΤΑΙΣ ΕΝ αὐτῆς.

ΤΑ κύματα ταῖς πέτραις προσρηγνύμενα, ἐκείνας μὲν οὐδὲ μικρὸν διασαλεῦσαι δύναται, ἑαυτὰ δὲ μειζόνως ὑπὸ ῥαγδαίας τῆς ῥύμης διαλύοντα ἀφανίζει· τοῦτο καὶ ἐφ' ὑμῶν ἐστιν ἰδεῖν νῦν, καὶ τῶν ἐπιβουλευόντων ὑμῖν εἰκῇ καὶ μάτην. ὑμῖν μὲν γὰρ καὶ ἡ παρὰ τῷ Θεῷ παρρησία, καὶ ἡ παρὰ ἀνθρώποις δόξα πλείων ἐντεῦθεν γέγονεν· ἐκείνοις δὲ κρίμα καὶ αἰσχύνη καὶ ὄνειδος. ἐπεὶ καὶ τοιοῦτον ἀρετή, καὶ τοιοῦτον κακία· ἡ μὲν καὶ πολεμουμένη μειζόνως ἀνθεῖ, αὕτη δὲ καὶ πολεμοῦσα ἀσθενεστέρα γίνεται, καὶ ταύτῃ μάλιστα καταλύεται. μεγίστην τοίνυν ἔχουσαι παράκλησιν τῶν γινομένων τὴν ὑπόθεσιν, χαίρετε καὶ εὐφραίνεσθε καὶ κρατύνεσθε. ἴστε γὰρ ἐφ' οἷς ἀπεδύσασθε ἐπάθλοις εἰς τὸν τῆς ἀνδρείας ταύτης ἀγῶνα, καὶ ποῖα ὑμᾶς καρπευούσας καὶ εὐχαρίστως φερούσας τὰ συμπίπτοντα ἀναμένει ἀγαθά, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. καὶ τὰ μὲν λυπηρὰ τοιαῦτα παροδεύεται, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ, τὰ δὲ ἐντεῦθεν ἔπαθλα ἀθάνατα μένει· καὶ πρὸ τῶν ἐπάθλων δὲ ἐκείνων, οὐ μικρὰν καὶ ἐντεῦθεν καρποῦσθε ἡδονήν, τῇ ἐλπίδι τοῦ χρηστοῦ

35 · 40

συνειδότος, καὶ προσδοκίᾳ τῶν στεφάνων ἐκείνων τρεφόμενα. Ταῦτα οἶδα ὅτι καὶ πρὸ τῶν ἡμετέρων οἶσθα γραμμάτων. ἀλλ' ἵνα μακρὰν ποιήσωμεν τὴν ἐπιστολὴν, ἐξέτεινα τὴν παράκλησιν. εὖ γὰρ οἶδ' ὅτι σφόδρα ἡμῶν τῶν γραμμάτων ἐρᾷς, καὶ μεθ' ὑπερβολῆς σφόδρα· καὶ τοῦτο οἶμαι αἴτιον εἶναι τοῦ συνεχῶς ἡμῖν ἐγκαλεῖν, ὅτι μὴ πολλάκις ἐπεστάλκαμεν. οὐ γὰρ δυνάμεθά σου κορέσαι τὴν ἐπιθυμίαν, κἂν καθ' ἑκάστην πέμπωμεν γράμματα, διὰ τὸ σφόδρα κεκρεμάσθαι τῶν ἐπιστολῶν. ὁ Θεός σοι τὸν μισθὸν δῴη, καὶ τὴν ἀμοιβὴν τῆς τοσαύτης περὶ ἡμᾶς ἀγάπης καὶ ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῷ μέλλοντι αἰῶνι. ἡμεῖς μέντοι οὐ διαλιμπάνομεν διὰ τῶν ἐμπιπτόντων συνεχῶς ἐπιστέλλοντες. ἡμῖν γὰρ αὐτοῖς τὰ μέγιστα χαριούμεθα τοῦτο ποιοῦντες, καὶ τῇ σῇ ψυχῇ συνεχῶς διὰ τῶν γραμμάτων προσαγορεύοντες. εἰ γὰρ τὴν ἀγάπην, ἣν ἐνέθηκας ἡμῖν ἐξ ἀρχῆς, ταύτην διηνεκῶς ἀκμάζουσαν διατηροῦμεν, κἂν πλείονα τούτου πάλιν ἀπολειφθῶμεν ὑμῶν χρόνον, οὐδὲν ἐντεῦθεν αὕτη ἀμαυροτέρα γίνεται. ἐν γὰρ διανοίᾳ πανταχοῦ περιφέρομεν ὑμᾶς, ἐκπληττόμενοι τὸ ἀπερίτρεπτον ὑμῶν τῆς γνώμης καὶ τὴν πολλὴν ἀνδρείαν. γράφε δὴ καὶ αὐτὴ συνεχῶς ἡμῖν τὰ περὶ ὑγιείας τῆς σῆς εὐαγγελιζομένη καὶ τοῦ οἴκου σου παντός, ἵνα πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

κα'. ΑΝΑΤΟΛΙΩ ΕΠΑΡΧΙΚΩ.

Ὀψὲ μὲν ἐπιστέλλω καὶ βραδέως πρὸς τὴν σὴν εὐγένειαν, πλὴν ἀλλ' οὐ ῥαθυμία τὴν σιγὴν εἰργάσατο, ἀλλ' ἀρρωστία μακρά· ὡς τῇ γε ἀγάπῃ διηνεκῶς σοι συνδεδέμεθα, τὸ γνήσιόν σου τῆς ἀγάπης εἰδότες, τὸ ἐλευθέριον τῆς γνώμης, τὸ ἄπλαστον καὶ εἰλικρινές. καὶ οὐκ ἐπαυσάμεθα πρὸς ἅπαντας ἀνακηρύττοντες τὴν διάθεσιν, ἧς συνεχῶς ἀπηλαύσαμεν παρὰ τῆς σῆς εὐγενείας, οὐχὶ παρόντες μόνον, ἀλλὰ καὶ ἀπιόντες. οὐδὲ γὰρ μετὰ τὴν ἀποδημίαν ἔλαθεν ἡμᾶς, ὅσα καὶ ποιεῖν καὶ λέγειν ὑπὲρ ἡμῶν ἐσπούδασας. ὁ Θεός σοι δῴη τὸν μισθὸν τῆς τοιαύτης σπουδῆς, καὶ ἐνταῦθα, καὶ ἐν τῷ μέλλοντι αἰῶνι. ἵνα δὲ καὶ πλείονος ἀπολαύωμεν ἡδονῆς, μὴ γράφοντες μόνον, ἀλλὰ καὶ γράμματα δεχόμενοι παρὰ τῆς ἐμμελείας τῆς σῆς, ἐπίστειλαι ἡμῖν παρακλήθητι περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος· ἵνα καὶ ἐν τῇ ἐρημίᾳ ταύτῃ καθεζόμενοι, πολλὴν καρπωσώμεθα τὴν παράκλησιν. ἂν γὰρ δεξώμεθα ἐπιστολὴν τῆς ἀγάπης σου, τὰ περὶ τῆς ῥώσεως ἡμῖν ἀπαγγελλούσης τῆς σῆς καὶ τῶν σοι προσηκόντων ἁπάντων, πολλὴν καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες γῇ δεξόμεθα παράκλησιν.

κβ'. ΑΝΑΤΟΛΙΩ ΕΠΙΣΚΟΠΩ ΑΔΑΝΗΣ.

Ἐγὼ μὲν καὶ συγγενέσθαι ἐπιθυμῶ σου τῇ τιμιότητι, παρὰ πολλῶν ἀκούων τὸν θερμὸν ἔρωτα, ὃν περὶ ἡμᾶς ἔχεις, καὶ ταῦτα μὲν συνιόμενος ἡμῖν ἐλπὶς γενέσθαι διορθοῦμαι τῇ τῶν γραμμάτων ὁμιλίᾳ χάριν ἑαυτῷ παρέχων μεγίστην. εἰ γὰρ καὶ ἐρημότατον χωρίον, εἰς ὃ νῦν ἀπῳκίσθημεν, ἡ Κουκουσὸς, καὶ κινδύνων γέμον πολλῶν, καὶ φόβῳ διηνεκεῖ τῶν λῃστῶν πολιορκούμενον, ἀλλ' οὐδὲν τούτων ἡμᾶς θορυβεῖ, οὐδὲ παρατρέπει τῆς ὑμετέρας ἀπολαύοντας ἀγάπης· ἀλλὰ εἰ καὶ τῷ σώματι διεστήκαμεν, τῇ δὲ ψυχῇ συνδεδεμένοι μετὰ πολλῆς τῆς σφοδρότητος ὑμῖν, τὴν ὑμετέραν μᾶλλον, τὴν ἀτάραχον καὶ ἀπόλεμον, ἢ τὴν Κουκουσὸν οἰκεῖν δοκοῦμεν, ἀεὶ μεθ' ὑμῶν ὄντες τῇ διαθέσει, καὶ ὅπουπερ ἂν ὦμεν, ἐπὶ διανοίας σε περιφέροντες.

κϛ΄. ΑΝΘΕΜΙΩ.

Ἄλλοι μέν σου τῇ θαυμασιότητι καὶ τῆς ὑπατείας καὶ τῆς ἐπαρχότητος συνήδονται· ἐγὼ δὲ αὐταῖς ταῖς ἀρχαῖς τῆς σῆς ἕνεκεν μεγαλοπρεπείας. οὐ γάρ σε κατεκόσμησαν, ἀλλ' ἐκοσμήθησαν παρὰ σοῦ. ἐπειδὴ καὶ τοιοῦτον ἡ ἀρετή· οὐκ ἔξωθεν δανείζεται τὰς τιμὰς, ἀλλ' αὐτὴ ἐν ἑαυτῇ περιφέρει ταύτας, τιμὴν τοῖς ἀξιώμασι τούτοις παρέχουσα, οὐκ αὐτὴ παρ' ἐκείνων λαμβάνουσα. διὰ δὴ τοῦτο οὐδὲ προσετεθήκαμεν τῷ φίλτρῳ νῦν τῷ περὶ σέ. οὐδὲν γάρ σοι προσγέγονε πλέον· οὐδὲ τὸν ὕπαρχον καὶ ὕπατον ἡμεῖς φιλοῦμεν, ἀλλὰ τὸν δεσπότην μου τὸν ἡμερώτατον Ἀνθέμιον, τὸν πολλῆς μὲν συνέσεως, πολλῆς δὲ γέμοντα φιλοσοφίας. διό σε καὶ μακαρίζομεν, οὐκ ἐπειδὴ πρὸς τὸν θρόνον ἀνέβης τοῦτον, ἀλλ' ἐπειδὴ δαψιλεστέραν ἔλαβες ὕλην εἰς τὸ τὴν σύνεσίν σου καὶ τὴν φιλανθρωπίαν ἐπιδείξασθαι· καὶ τοῖς ἀδικουμένοις πᾶσι συνηδόμεθα, τὸν πλατύν σου λιμένα τῆς ψυχῆς ὁρῶντες μυρία δυνάμενον λῦσαι ναυάγια, καὶ τοὺς εἰς ἔσχατον κλυδωνίου κατενεχθέντας παρασκευάσαι ἐξ οὐρίας πλεῖν. διὰ ταῦτα σκιρτῶμεν, διὰ ταῦτα χαίρομεν τὴν σὴν ἀρχὴν κοινὴν ἑορτὴν τῶν ἐπηρεαζομένων εἶναι νομίζοντες, ἧς καὶ αὐτοὶ νῦν ἀπολαύομεν, οἰκείαν ἡδονὴν εἶναι τιθέμενοι τὸ τῶν σῶν κατορθωμάτων τὸ μέγεθος.

[γ. περίχυτα]

κδ΄. ΠΡΟΣ ΤΟΝ ΑΝΤΙΟΧΕΑ.

Ἔδει μὲν τὴν ὑμετέραν εὐλάβειαν μὴ τοῖς ῥήμασι τῶν εἰρηκότων παρατρέπεσθαι τὴν διάνοιαν, ἀλλ' ἐν τῷ πλήθει τοῦ ψεύδους μετὰ πολλῆς τῆς σκέψεως ἀνιχνεῦσαι τὴν ἀλήθειαν. εἰ γὰρ ἅπαντα τὰ θρυλλούμενα ἀληθῆ ὑπολάβοις, κινδυνεύσειεν ἂν ἅπαντες· εἰ δὲ κρίσει καὶ νόμοις ἀνιχνεύεται τὰ λανθάνοντα, κριτήριον ἂν ἔγωγε παρ' ὑμῶν ἐπεζήτησα, εἰ μή τις ἕτερα αὖθις ὅπλα συκοφαντίας μοι ἐπιπνεύσει. δέδοικα γὰρ, δέδοικα λοιπὸν τὰς σκιὰς καὶ τὰ φαντάσματα, ἐπειδὴ αὐτοὶ ἐδικαιώσατε οὕτως. οἱ φίλοι τὴν φιλίαν ἠρνήσαντο, οἱ πλησίον ὄντες πόῤῥωθεν ἔστησαν, καὶ πόῤῥωθεν ὄντες τὰ βέλη τῆς συκοφαντίας ἀποτοξεύουσιν· ἐν μέσῳ δὲ τοῦ λιμένος ὄντα με ναυάγιον ὑπομεῖναι ἐποιήσατε. ἀλλ' εἰ καὶ τῆς πόλεως ἐκβαλλόμεθα, καὶ τῆς ἐκκλησίας ἀπειργόμεθα, πείθομαι πρὸς πᾶσαν ἀποδύσασθαι τιμωρίαν. κέκριται γάρ μοι φιλοσοφεῖν, καὶ φέρειν γενναίως τὰ δυσχερῆ. οἶδα γὰρ, οἶδα σαφῶς τὴν ἐρημίαν εὐτονωτέραν εἶναι τῆς πόλεως, καὶ τὰ θηρία τοῦ ἀγροῦ τῶν φίλων ἡμερώτερα. ἔῤῥωσο.

[γ. αἰχνεῦσαι] [γ. εὐνομωτέραν]

κε΄. ΑΝΤΙΟΧΩ.

Πότε γὰρ ἐπιλαθέσθαι δυνάμεθα τῆς γλυκείας σου καὶ θερμῆς διαθέσεως, τῆς γνησίας καὶ εἰλικρινοῦς ἀγάπης, τῆς ἐλευθέρας γνώμης καὶ ὑψηλῆς, τῆς πεπαῤῥησιασμένης ψυχῆς; κἂν γὰρ πρὸς αὐτὰς ἀπέλθωμεν τὰς ἐσχατιὰς τῆς οἰκουμένης, πανταχοῦ σε περιφέροντες ἄπιμεν, τὸν θερμὸν ἡμῶν ἐραστὴν καὶ σφόδρα ἡμῖν τῷ τῆς ἀγάπης νόμῳ συνδεδεμένον. διὸ καὶ πρὸς αὐτὴν τὴν ἐρημίαν τῆς καθ' ἡμᾶς οἰκουμένης ἀπῳκισθέντες, τὴν Κουκουσὸν λέγω, καὶ οὐ ῥᾳδίως ἐπιτυχεῖν τῶν τὰ γράμματα διακομιζόντων δυνάμενοι, πολλὴν ἐποιησάμεθα σπουδὴν ἐπιζητῆσαί τε καὶ εὑρεῖν τὸν ταύτην ἡμῶν τὴν ἐπιστολὴν διακομίζοντα, ὥστε σου προσειπεῖν τὴν θαυμασιότητα, καὶ τὴν ὀφειλομένην πρόσρησιν ἀποδοῦναι τῇ μεγαλοπρεπείᾳ τῇ σῇ. ὅτι δὲ καὶ αὐτὸς, ἐξ ὧν ἤδη πεποίηκας, οὐ δεήσῃ

τῆς παρ' ἡμῶν ὑπομνήσεως εἰς τὸ συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. καὶ γὰρ οὐ τὴν τυχοῦσαν καρπωσόμεθα παράκλησιν, ὅταν παρ' ὑμῶν τῶν οὕτω σφόδρα ἡμᾶς ἀγαπώντων δεχώμεθα γράμματα περὶ τῆς ῥώσεως τῆς ὑμετέρας δηλοῦντα, καὶ τὴν ἀγάπην διὰ τῶν ἐπιστολῶν συνεχῶς ἀνανεοῦντα, καὶ τὴν παρουσίαν " τῆς ὑμετέρας ἀγάπης ποιοῦντα φαντάζεσθαι. ἀρκεῖ γὰρ πυκνότης ἐπιστολῶν, ὅταν παρὰ γνησίων φέρηται, καὶ τῆς παρουσίας ὑφίστασθαι τὴν ἡδονήν.

5 γ. τῆς ὑμετέρας

κϛ. ΑΝΥΣΙΩ ΕΠΙΣΚΟΠΩ ΘΕΣΣΑΛΟΝΙΚΗΣ.

10

Ὀψὲ μὲν καὶ βραδέως ἐπεστάλκαμέν σου τῇ ἀγάπῃ· ἀλλ' οὐχ " ἑκουσίως ἡμῶν ἡ μακρὰ αὕτη σιγὴ γέγονεν, ἀλλὰ διὰ τὴν τοῦ χωρίου ἐρημίαν, ἐν ᾧ καθείργμεθα, οὐ διὰ τὴν ῥᾳθυμίαν τὴν περὶ τὴν ὑμετέραν ἀγάπην. νῦν γοῦν ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, τὴν πάλαι ὀφειλομένην ἀποδεδώκαμεν πρόσρησιν τῇ τιμιότητί σου, χάριτας πολλὰς ὁμολογοῦντές σου τῇ εὐλαβείᾳ, ὑπὲρ 15 τῆς ἐνστάσεως καὶ τῆς ἀνδρείας τῆς ὑπὲρ τῶν ἐκκλησιῶν. δεξάμενος τοίνυν αὐτὸν, δέσποτά μου τιμιώτατε, ὡς σοι πρέπον ἐστὶ, καὶ τὴν προσήκουσαν περὶ αὐτὸν φιλοφροσύνην ἐπιδειξάμενος, μὴ ἀποκάμῃς τὰ συντελοῦντα τῇ κοινῇ διορθώσει τῶν ἐκκλησιῶν ποιῶν καὶ πραγματευόμενος. οἶσθα γὰρ τοῦ κατορθώματος τὸ μέγεθος, καὶ ὑπὲρ ὅσων ἐκκλησιῶν τὸν καλὸν τοῦτον ἀγῶνα ἀνεδέξασθε, καὶ ὅσοι ὑπὲρ τῆς κοινῆς εἰρήνης πονουμένοις * ἀπόκεινται 20 παρὰ τῷ φιλανθρώπῳ Θεῷ οἱ στέφανοι.

γρ. ἑκόντος
* ὑμῖν

κζ. "ΑΝΥΣΙΩ, ΝΟΥΜΕΡΙΩ, ΘΕΟΔΟΣΙΩ, ΕΥΤΡΟΠίῳ," καὶ πᾶσι τοῖς κατὰ Μακεδονίαν ὀρθοδόξοις ἐπισκόποις.

γρ. Ἀνυσίῳ, γ. Εὐσταθίῳ, Μαρκέλλῳ, Ἀ..στείῳ, Μαξιμιανῷ, Εὐλυσίῳ, Γεροντίῳ καὶ Θύρσῳ, καὶ πᾶσι τοῖς κατὰ τὴν Μακεδονίαν ὀρθοδόξοις κοινωνικοῖς ἐπισκόποις.

25

Πολλὴ μὲν ὑμῶν τῆς ἀγάπης καὶ ἡ ἔμπροσθεν σπουδὴ, καὶ χάριτας ὑπὲρ τούτων ὁμολογοῦμεν, ὅτι ἐν οὕτω χρόνῳ μακρῷ ἔστητε μετὰ τῆς προσηκούσης ὑμῖν ἀνδρείας, μηδενὶ εἴκοντες τῶν συναρπάζειν ἐπιχειρούντων. παρακαλοῦμεν δὲ καὶ τὸ τέλος ἐπιθεῖναι, οἷον προσῆκόν ἐστιν. ὅσῳ γὰρ πλείονα τὰ τῶν καμάτων ὑμῖν, μείζονα καὶ τὰ τῶν ἀντιδόσεων ἔσται καὶ τῶν ἀμοιβῶν παρὰ τοῦ φιλανθρώπου Θεοῦ. καὶ ἐπιθυμοῦμεν μὲν κατὰ πρόσωπον ὑμῶν θεάσασθαι 30 τὴν τιμιότητα· ἐπεὶ δὲ τὰ τῆς ὑπερορίας δεσμὰ τοῦτο ἡμᾶς παρείλετο, καὶ ἐν ἑνὶ καθεῖρξε χωρίῳ, τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον ἀπεστάλκαμεν, καὶ δι' αὐτοῦ τήν τε ὀφειλομένην πρόσρησιν ἀποδίδομεν, καὶ δηλοῦμεν, ὅτι χάριτας πολλὰς καὶ μεγάλας ὁμολογοῦντες ὑμῶν τῇ θεοσεβείᾳ οὐ διαλιμπάνομεν, καὶ ἀξιοῦντες ὑπὲρ τῆς μακρᾶς σιγῆς τῆς ἔμπροσθεν συγγνώμην ἡμῖν νεῖμαι. οὐ γὰρ δὴ ῥᾳθυμοῦντες ὑμῶν, οὐδὲ κα- 35 ταλιγωροῦντες τοσοῦτον ἐσιγήσαμεν χρόνον, ἀλλ' ἐπειδὴ νῦν πρῶτον εὕρομεν τὸν δυνάμενον ἐκεῖσε διαβῆναι, ἔνθα διατρίβετε νῦν, καὶ τὰ παρ' ἡμῶν διακομίσαι γράμματα. δεξάμενοι τοίνυν αὐτὸν μετ' εὐνοίας καὶ διαθέσεως γνησίας, τὰ περὶ τῆς ὑγιείας ὑμῶν δηλοῦν ἡμῖν παρακλήθητε. μεγίστην γὰρ ἀπὸ τῶν τοιούτων γραμμάτων καὶ ἐν ἐρημίᾳ καθήμενοι ἕξομεν παραμυθίαν. 40

κη. ΑΡΑΒΙΩ.

Οἶδά σου τὴν ἀγάπην· οἶδά σου τὸ φίλτρον, τὸ θερμὸν, τὸ γνήσιον, τὸ εἰλικρινὲς, τὸ "διαυγές· καὶ ὡς οὔτε δυσκολία πραγμάτων, οὔτε ὄχλος φροντίδων, οὔτε περιστάσεων

γρ. διαρκές

στων πλῆθος, οὔτε χρόνου μῆκος, οὔτε ὁδοῦ διάστημα δύναται ταύτην ἀμαυροτέραν ποιῆ-
σαι. Διὰ τοῦτο καὶ σφόδρα ἐπιθυμῶ συνεχῶς δέχεσθαι γράμματα παρὰ τῆς εὐγενείας
τῆς σῆς, εὐαγγελιζόμενα περὶ τῆς ὑγιείας τῆς σῆς. κἂν ἐγκαλῶμεν, οὐχ ὡς ῥαθυμοῦντι ἐγ-
καλοῦμεν, ἀλλ' ὡς πλειόνων ἐρῶντι ἐπιστολῶν τοιούτων. Ταῦτ' οὖν εἰδὼς, δέσποτά μου τιμιώ-
5 τατε καὶ εὐγενέστατε, δίδου ταύτην ἡμῖν τὴν χάριν, κούφην τε οὖσαν καὶ εὔκολον, καὶ πολλὴν ἡ-
μῖν καὶ ἐν ἐρημίᾳ καθημένοις παρέχουσαν τὴν εὐφροσύνην.

κθ. ΑΡΑΒΙΩ.

10 ΤΗν κάμινον τῆς ἀθυμίας, ἣν ἐπὶ τῆς ψυχῆς περιφέρεις ὑπὲρ τῶν εἰς ἡμᾶς γεγε-
νημένων, σαφέστατα ἐδίδαξεν ἡμᾶς τὸ γράμμα τὸ σὸν, καὶ περὶ τούτου μὲν ἐπιστα-
μένοις. οὐ γὰρ δυνησόμεθα ἐπιλαθέσθαι τῆς πηγῆς τῶν δακρύων, ἣν ἐν ἀρχῇ τῶν κακῶν
τούτων ὑφαινομένων ἠφίεις. πλὴν ἀλλ' ἡ ἐπιστολὴ τῶν δακρύων οὐκ ἔλαττον καὶ τῶν ὀ-
δυρμῶν ἐκείνων ἀπεκάλυψεν ἡμῖν τὴν φλόγα τῆς λύπης τῆς ἐν τῇ καρδίᾳ τῇ σῇ. τοὺ-
15 των προσδόκα τὰς ἀμοιβὰς παρὰ τοῦ φιλανθρώπου Θεοῦ. ἔστι γὰρ καὶ λύπης μισθὸς καὶ
μέγας καὶ πολύς. ἐπεὶ καὶ ἐπὶ τῶν Ἰουδαϊκῶν κακῶν ἦσάν τινες, οἳ τὰ γινόμενα παρ' αὐτῶν
διορθῶσαι μὲν οὐκ ἠδύναντο, ἔστενον δὲ μόνον καὶ ἐθρήνουν, καὶ τοσαύτην ἐκαρπώσαντο
τὴν ἀμοιβὴν, ὡς, τῶν ἄλλων ἁπάντων ἀπολλυμένων καὶ πανωλεθρίᾳ παραδιδομένων, ἐ-
κείνους διαφυγεῖν τὴν ὀργήν. Δὸς γὰρ, φησι, τὸ σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων
20 καὶ ὀδυρομένων. καίτοιγε οὐκ ἐκώλυον τὰ γινόμενα· ἀλλ' ἐπειδὴ ὅπερ κύριοι ἦσαν, ἐποίουν,
ἔστενον, ἐθρήνουν τὰ γινόμενα, μεγίστην ἐντεῦθεν τὴν ἀσφάλειαν ἐκτήσαντο. μὴ οὖν
διαλείπητε καὶ ὑμεῖς, δέσποταί μου, στένοντες ταῦτα, καὶ τὸν φιλάνθρωπον Θεὸν παρακαλοῦν-
τες δοῦναι λύσιν τῷ κοινῷ τῆς οἰκουμένης ναυαγίῳ. ἴστε γὰρ, ἴστε σαφῶς, ὡς πάντα θορύβων
καὶ ταραχῆς πεπλήρωται· καὶ οὐχ ὑπὲρ Κωνσταντινουπόλεως χρὴ μόνον παρακαλεῖν, ἀλλ'
25 ὑπὲρ τῆς οἰκουμένης ἁπάσης· ἐπειδήπερ ἐντεῦθεν ἀρξάμενον τὸ κακὸν, καθάπερ ῥεῦμα
πονηρὸν ἐκχυθὲν πανταχοῦ τῆς γῆς, τὰς ἐκκλησίας λυμαίνεται. ὅπερ δὲ ἡμᾶς παρεκάλε-
σας, τοῦτο καὶ αὐτὸς παρ' ἡμῶν παρακλήθητι, ἕως ἂν ὑμῶν ὦμεν κεχωρισμένοι τῷ σώματι
(τῇ γὰρ ψυχῇ ἀεὶ, καὶ τῇ σῇ εὐγενείᾳ, καὶ τῷ οἴκῳ σου συνδεδέμεθα) συνεχῶς ἡμῖν ἐπιστέλ-
λειν, καὶ τὰ περὶ τῆς ὑγιείας σου εὐαγγελίζεσθαι. οἶσθα ἡλίκην ἡμῖν δώσεις τὴν χάριν. ἐπειδὴ
30 δὲ ἐκέλευσας ἡμᾶς ἐν τοῖς σοῖς καταχθῆναι, καθὼς ἔμαθον ἐξελθὼν, οὐκ ἔτι ἔδοξεν ἡμᾶς
εἰς Σεβάστειαν ἀπενεχθῆναι, ἀλλ' εἰς ἐρημότατον χωρίον τῆς Ἀρμενίας τὴν Κουκουσὸν, καὶ ἐρη-
μότατον καὶ σφοδρότατον τῆς τῶν Ἰσαύρων ἐπιδρομῆς ἕνεκα. χάριν μέντοι ἴσμεν τῇ εὐγε-
νείᾳ τῇ σῇ, καὶ δεδέγμεθα τὴν τιμὴν, ὅτι καὶ ἀπόντων οὕτως ἐφρόντισας, ὡς καὶ εὐτρεπίσαι
τὸ καταγώγιον ἡμῖν, καὶ παρακαλέσαι ἐν τοῖς σοῖς ἡμᾶς καταχθῆναι. ἀλλ' εἴ τινες εἶεν
35 σοι φίλοι κατὰ τὴν Κουκουσὸν, ἐκείνοις ἐπίστειλαι παρακλήθητι.

χ. ἔδειξεν ἡμῖν (margin, line 11) · χ. μένεις (margin, line 12) · χ. διανοίᾳ (margin, line 14) · χ. ὀλωσομ. (margin, line 20) · χ. ἐγκαταταχθ. (margin, line 34)

λ. ΑΡΜΑΤΙΩ.

ΤΙ τοῦτο; ἵνα μὲν μετ' ἀδείας ἐπιτάττωμεν τοῖς σοι προσήκουσιν ἀνθρώποις, ἐν οἷς ἂν
40 δεώμεθα, πολλὴν παρέσχες τὴν ἐξουσίαν· οὗ δὲ μάλιστα ἐδεόμεθα, τούτου ἡμᾶς ἀπεστέ-
ρησας, τῶν γραμμάτων λέγω τῶν σῶν, τῶν περὶ τῆς ὑγιείας τῆς σῆς ἡμῖν ἀπαγγελλόντων. οὐκ
οἶσθα ὅτι τοῖς μάλιστα φιλοῦσι γνησίως τοῦτο περισπούδαστον καὶ ποθεινὸν, καθάπερ οὖν καὶ ἡ-
μῖν νῦν; εἰ τοίνυν βούλει ἡμῖν χαρίσασθαι, δέσποτά μου τιμιώτατε, ἀφεὶς τὸ κελεύειν τοῖς
σοῖς ἀνθρώποις θεραπεύειν ἡμᾶς ἐν ταῖς χρείαις ταῖς σωματικαῖς (οὐδενὸς γὰρ δεόμεθα τού-
των,

χ. ἡμῖν ταῖς (margin, line 44)

των, ἀλλὰ πάντα ἡμῖν ὡς ἐκ πηγῶν ἐπιρρεῖ) αὐτὸς διὰ χάρτου μικροῦ καὶ μέλανος τὴν μεγίστην ἡμῖν παρέχει χάριν, καὶ ἧς μάλιστα ἀπολαύειν ἐπιθυμοῦμεν. αὕτη δέ ἐστι τὸ συνεχῶς ἡμῖν γράφειν περὶ τῆς ὑγιείας τῆς σῆς καὶ τοῦ οἴκου σου παντός. εἰ μὲν γὰρ δυνατὸν ἦν καὶ συγγενέσθαι ἡμᾶς ἀλλήλοις, κἂν αὐτὴν ᾔτησά σε οἴκοθεν, καὶ ἐν μεγίστης ᾔτησα χάριτος μέρει τὸ [illegible] θερμόν σε οὕτως ἐραστὴν ἡμῶν ὄντα ἰδεῖν καὶ κατ' ὄψιν αὐτήν. ἐπεὶ δὲ τοῦτο ὁ τῶν Ἰσαύρων διεκώλυσε φόβος, τὴν γοῦν ἀπὸ τῶν γραμμάτων ἡμῖν παραμυθίαν παρέχε δαψιλῶς, καὶ τὸ πᾶν ἀπειλήφαμεν. 5

λα. ΑΡΤΕΜΙΔΩΡΩ.

10

Πολλῆς ἐνόμισεν ἀπολαύσεσθαι εὐνοίας ὁ κύριός μου Ἀντίοχος, εἰ μετὰ γραμμάτων ἡμετέρων φανείη τῇ ἐμμελείᾳ τῇ σῇ. δεῖξον τοίνυν, δέσποτα τιμιώτατε, ὡς οὐ τηνάλλως ταῦτα ἐνόμισε· καὶ δεξάμενος αὐτὸν μετὰ τῆς σοι προσηκούσης εὐνοίας, ἂν ᾖ δίκαιον νομίζῃ καὶ λόγον ἔχον, ἕτοιμον σεαυτὸν αὐτῷ παρασχεῖν παρακλήθητι, καὶ δεῖξον διὰ τῶν ἔργων αὐτῷ, ὡς οὐ μάτην, οὐδὲ εἰκῇ ταύτην ἦλθε φέρων παρ' ἡμῶν τὴν ἐπιστολήν· ἀλλὰ γέγονέ τι πλέον αὐτῷ εἰς εὐνοίας καὶ συμμαχίας δικαίας λόγον ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων. οὕτω γὰρ ἀπολαύσεται μὲν τῆς εὐεργεσίας ἐκεῖνος, καρπώσομαι δὲ ἐγὼ τὴν τιμήν, δι' ὧν ἐκεῖνος τῆς εὐεργεσίας ἀπήλαυσε. 15

ἴσ. κομίζῃ

λβ. ΑΣΕΛΛΩ ΕΠΙΣΚΟΠΩ. 20

Οἴδαμεν, ὅτι οὐδὲν ὑμῖν δεῖ γραμμάτων εἰς τὸ διαναστῆναι καὶ ἀντιλαβέσθαι τῆς διορθώσεως τῶν τὰς ἐκκλησίας τῆς ἀνατολῆς κατειληφότων κακῶν. καὶ τοῦτο δι' ὧν πεποιήκατε ἐπεδείξασθε, αὐτοπαράκλητοι τοσαύτην παρασχόντες σπουδήν. ἀλλ' ἐπειδὴ τὰ κακὰ ἔτι μένει ἀδιόρθωτα διὰ τὴν ἄνοιαν τῶν τοσαῦτα παρανομησάντων, ἀναγκαῖον 25 εἶναι ἐνομίσαμεν παρακαλέσαι ὑμῶν τὴν εὐλάβειαν, ὥστε μὴ ἀποκάμψαι, μηδὲ παρακνῆσαι, ἀλλ' ἀκμαζούσῃ χρήσασθαι τῇ προθυμίᾳ, καὶ τὰ παρ' ἑαυτῶν πάλιν ἅπαντα εἰσενεγκεῖν. ὅσα γὰρ ἂν ἀνίατα νοσῶσιν οἱ πρὸς τὴν τῶν ἐκκλησιῶν κατάστασιν στασιάζοντες, τοσούτῳ κἀκείνοις πλεῖόν ἐστι τὸ κρίμα, καὶ ὑμῖν τοῖς μὴ ἀποκάμνουσι λαμπρότερος ὁ μισθός, καὶ μείζους οἱ στέφανοι. 30

γ. [illegible]

γ. κάμνειν

λγ. ΑΣΥΓΚΡΙΤΙΑ.

Οἶδα ὅτι ἐν πολλῇ θλίψει καθέστηκας νῦν. ἀλλ' ὥσπερ τοῦτο οἶδα, οὕτω κἀκεῖνο ἐπίσταμαι, ὅτι πολύς σοι [ἐκ] τῶν θλίψεων τούτων ἄνω μένει μισθός, καὶ μεγάλη ἀμοιβὴ 35 καὶ ἀντίδοσις κεῖται. εἰ γὰρ καὶ ἀθυμία, ἀλλὰ τὴν ψυχὴν ὠφελοῦσα, καὶ πολλὰ τὰ βραβεῖα προξενοῦσα. ταῦτ' οὖν εἰδυῖα καὶ λογιζομένη, μεγίστην ἐντεῦθεν καρποῦ τὴν παράκλησιν, μὴ τὸ ὀδυνηρὸν μόνον ὁρῶσα τῶν θλίψεων, ἀλλὰ καὶ τὸ ἐκ τούτων συναγόμενον κέρδος. καὶ γράφε συνεχῶς ἡμῖν περὶ τῆς ὑγιείας τῆς σῆς· ἐπεὶ καὶ νῦν οὐχ ὡς ἔτυχεν ἠλγήσαμεν, ἀκούσαντές σε ἀρρωστεῖν. διὸ καὶ σφόδρα ἐπιζητοῦμεν μανθάνειν μετὰ πολλοῦ τοῦ τάχους, 40 εἰ ῥᾷόν σοι διετέθη τὰ τῆς ἀρρωστίας, ὥστε τῆς ἐπὶ ταύτῃ φροντίδος ἀνεθῆναι.

γ. ἀναμένει

λη. ΤΗ ΑΥΤΗ.

Ἐμοὶ μὲν περισπούδαστον τὸ συνεχῶς ὑμῖν ἐπιστέλλειν. τῆς γὰρ διαθέσεως ὑμῶν καὶ τῆς αἰδοῦς καὶ τῆς τιμῆς, ἣν ἀεὶ περὶ ἡμᾶς ἐπεδείξασθε, ὅπουπερ ἂν ἀφικώμεθα, ἐπιλαθέσθαι οὐ δυνάμεθα· ἀλλ' ἔχομεν ὑμῶν διηνεκῶς τὴν μνήμην ἀκμάζουσαν πανταχοῦ περιφέροντες. εἰ δὲ μὴ ὁσάκις ἐβουλόμεθα ἐπεστάλκαμεν, ἀλλὰ σπανιάκις, τοῦτο οὐ τῆς ῥαθυμίας τῆς ἡμετέρας, ἀλλὰ τῆς τῶν πραγμάτων ἀνάγκης, καὶ τοῦ τὴν ὁδὸν ἄβατον ὁδοιπόροις εἶναι νῦν. ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐγενεστάτη, καὶ γραφόντων ἡμῶν καὶ σιγώντων, ὁμοίως διάκεισο περὶ τῆς διαθέσεως, ἣν ἀεὶ περὶ ὑμᾶς ἐπεδειξάμεθα.

λε. ἈΣΥΓΚΡΙΤΙΑ.

γ. Ἀσυγκρί-τῳ

Καὶ ἔμπροσθεν ἐπέσταλκά σου τῇ τιμιότητι, ὅτι καὶ σὲ μετὰ τῶν παραγενομένων ἀριθμοῦμεν κατὰ τὸν τῆς ἀγάπης λόγον· καὶ νῦν τὸ αὐτὸ λέγομεν, ὅτι τῇ γνώμῃ παραγέγονας. εἰ δὲ ἡ ἀσθένεια τοῦ σώματος διεκώλυσε, καὶ οἱ θόρυβοι οἱ τὴν Ἀρμενίαν κατειληφότες, ἡμεῖς ἀπὸ τῆς γνώμης καὶ τῆς προαιρέσεως τὴν αὐτὴν περὶ τῆς διαθέσεώς σου ψῆφον ἔχομεν, ἥνπερ καὶ ἔμπροσθεν. μὴ τοίνυν καταφρόνει συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ εἰ σοι λέλυται τὰ τῆς ἀρρωστίας, καὶ περὶ τῆς ὑγιείας σου δηλοῦν. ἐπεὶ καὶ νῦν σφόδρα ἠλγήσαμεν ἀκούσαντές σε ἐν ἀρρωστίᾳ εἶναι. ἵν' οὖν μὴ μεριμνῶμεν περὶ τούτου, διὰ τάχους ἡμῖν δήλωσον, εἰ πρὸς ὑγίειαν σοι τὰ τῆς ἀρρωστίας μεταβέβληται.

λϛ. ΑΣΥΓΚΡΙΤΙΑ, ΚΑΙ ΤΑΙΣ ΕΝ ΑΥΤΗΣ.

Οἶδα τὴν ἀγάπην ὑμῶν καὶ τὴν διάθεσιν, ἣν περὶ ἡμᾶς ἔχειν ἐσπουδάκατε, καὶ συνεχῶς ἐβουλόμην ἐπιστέλλειν· ἀλλ' ὁ τῶν Ἰσαύρων φόβος, πᾶσαν ἀποτειχίσας ὁδὸν, οὐκ ἀφίησιν εὐπορεῖν τῶν πρὸς τοῦτο διακονησομένων ἡμῖν. ἡνίκα γοῦν ἂν ἐπιτύχωμεν τούτων, τὴν ὀφειλομένην ἀποδίδομεν ὑμῖν πρόσρησιν, τὰ συνήθη παρακαλοῦντες ὑμᾶς, μηδὲν θορυβεῖσθαι, μηδὲ ταράττεσθαι ὑπὸ τῶν συνεχῶν τούτων καὶ ἐπαλλήλων πειρασμῶν. εἰ γὰρ ἔμποροι καὶ ναῦται φορτίων ὀλίγων ἕνεκεν οὕτω μακρὰ διαβαίνουσι πελάγη, καὶ τοσούτων κατατολμῶσι κυμάτων, καὶ στρατιῶται δὲ καὶ αὐτῆς καταφρονοῦσι τῆς ζωῆς ὑπὲρ ἐπικήρου καὶ βραχέος μισθοῦ, καὶ ζῶντες μὲν καὶ λιμῷ μάχονται πολλάκις, καὶ διηνεκῶς ἐπὶ τῆς ἀλλοτρίας διάγουσιν, ὕστερον δὲ καὶ ἄωρον καὶ βίαιον πολλοὶ τούτων ὑπομένουσι θάνατον, οὐδὲν ἐντεῦθεν, οὐ μικρὸν, οὐ μέγα καρπωσάμενοι· ὅταν οὐράνιος ἆθλος προκέηται, καὶ μετὰ τὴν τελευτὴν μείζων ἡ ἀντίδοσις καὶ πολλῷ πλείων, ποίας τεύξονται συγγνώμης οἱ καταμαλακιζόμενοι, καὶ μὴ καὶ αὐτῆς καταφρονοῦντες τῆς ζωῆς; ταῦτ' οὖν ἅπαντα λογιζομένη, καὶ ὅτι καπνὸς τὰ παρόντα καὶ ὄναρ, καὶ πᾶσα εὐημερία ἀνθρωπίνη φύλλων ἠρινῶν οὐδὲν ἄμεινον διάκειται, γινομένων τε ὁμοῦ καὶ μαραινομένων εὐθέως, ὑψηλοτέρα πάντων τῶν τοιούτων γίνου βελῶν. ἔξεστι γὰρ, ἐὰν θέλῃς, καὶ τὴν βιωτικὴν καταπατῆσαι φαντασίαν. ἓν σκόπει μόνον, ὅπως μετὰ πολλῆς τῆς σπουδῆς τὴν τεθλιμμένην ὁδὸν διανύσαι δυνηθῇς τὴν πρὸς αὐτὸν ἀνάγουσαν.

λζ. ΑΥΡΗΛΙΩ ΕΠΙΣΚΟΠΩ ΚΑΡΘΑΓΕΝΗΣ.

Βαβαὶ, ἡλίκον ἐστὶ γυναικεία ψυχὴ, καὶ πολλῷ βρύουσα τῷ τῆς ἀγάπης, καὶ τῷ τῆς εὐλαβείας καρπῷ· ὅπου γε καὶ αὐτὸς τοσοῦτον ἡμῶν ἀπῳκισμένος ὁδοῦ μῆκος, ὡς πα-

ρὼν

ρὰν καὶ μεθ' ἡμῶν ὤν, οὕτως ἡμᾶς εἷλες καὶ ἐχειρώσω; τὸ γὰρ ἀγάπης σου τὸ θερμὸν καὶ τὸ τῆς παρρησίας καὶ τὸ τῆς εὐλαβείας ἡ ἀνδρεία μέχρι καὶ ἡμῶν τῶν ἐν ἐσχατιᾷ τῆς οἰκουμένης καθημένων ἔφθασε. διὰ ταῦτά σοι χάριτας πολλὰς ἴσμεν, διὰ ταῦτά σου μακαρίζομεν τὴν εὐλάβειαν, ὅτι πόνον πολὺν καὶ ἱδρῶτα ὑπὲρ τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν "ἑλόμενος μεγίστους ἑαυτῷ παρὰ τῷ φιλανθρώπῳ Θεῷ προαποτίθου τοὺς στεφάνους. καί σε παρακαλοῦμεν [γὰρ] μένειν τὸν καλὸν τοῦτον ἀγῶνα ἀγωνιζόμενον. οἶσθα γὰρ τὰ ἐντεῦθεν βραβεῖα. Εἰ γὰρ ἕνα τις ἀδικούμενον καὶ παρανομούμενον ἀνέχων, ἄφατον ἔχει παρὰ τοῦ Θεοῦ τὸν μισθόν· ἐννόησον, ἴσην αὐτὸς λήψῃ τὴν ἀμοιβήν, ἐκκλησίας τοσαύτας παρασκευάσας διὰ τῆς καλῆς ταύτης σπουδῆς ἀπαλλάττεσθαι μὲν θορύβων καὶ ταραχῆς, εἰς δὲ γαληνὸν λιμένα εἰρήνης "ὁρμίσαι ἐσπουδακώς.

γρ. ἀναδέχῃ

γρ. ὁρμῆσαι

λη. ΑΦΘΟΝΙΩ, ΘΕΟΔΟΤΩ, ΧΑΙΡΕΑ, ΠΡΕσβυτέροις καὶ μονάζουσι.

Ἐβουλόμην καὶ αὐτὸς παραγενόμενος ὑμᾶς ἐνταῦθα ἰδεῖν· ἀλλ' ἐπειδὴ πολλὰ τὰ κωλύοντα, τοῦτο μὲν οὐ τολμῶ τέως ἀπαιτεῖν· ἀξιῶ δὲ καὶ πόρρωθεν οὔσας τὴν ἀπὸ τῶν πεπαρρησιασμένων εὐχῶν ὑμῶν παρέχειν συμμαχίαν ἡμῖν (αὕτη γὰρ οὔτε χρόνῳ μαραίνεται) ἡ βοήθεια, οὔτε ὁδοῦ μήκει διείργεται) ἀλλ' ὅπουπερ ἂν τύχῃ τις παρρησίαν πρὸς τὸν Θεὸν ἔχων, καθάπερ οὖν καὶ ὑμεῖς, δύναται καὶ τοὺς πόρρωθεν ὄντας εἰς τὰ μέγιστα ὠφελεῖν) μετὰ δὲ τῶν εὐχῶν καὶ γράμματα ἡμῖν παρέχειν τὰ συνεχῶς περὶ τῆς ὑγιείας ὑμῶν.* εὐαγγελιζόμενα. Εἰ γὰρ καὶ πολλὰ τὰ πανταχόθεν ἡμῖν περιεστηκότα κύματα, καὶ ἐρημία τόπου, καὶ πολιορκία, καὶ Ἰσαύρων ἔφοδος, καὶ καθημερινὸς θάνατος (θανάτῳ γὰρ συζῶμεν διηνεκεῖ, καθάπερ ἐν δεσμωτηρίῳ, ἐν τῷ φρουρίῳ τούτῳ συγκεκλεισμένοι, καὶ σώματος ἀσθενείᾳ παλαίοντες χαλεπῇ) ἀλλ' ὅμως εἰ καὶ πολλαὶ αἱ περιστάσεις, οὐ μικρὰν παραμυθίαν τῶν κακῶν τούτων τὴν ὑμετέραν ἔχομεν ἀγάπην. Εἰ γὰρ καὶ ὀλίγα ὑμῖν συνεγενόμεθα, ἀλλὰ πολλὴν πεῖραν ὑμῶν τῆς διαθέσεως εἰλήφαμεν τῆς γνησίας καὶ θερμῆς καὶ μέλιτος γλυκυτέρας, τῆς ἀπεριτρέπτου, τῆς στερρᾶς καὶ πεπηγυίας, ἣν καὶ παρόντες καὶ ἀπόντες ἐπιδείκνυσθε. διὸ ταῦτα καίτοι πόρρωθεν ὑμῶν ὄντες, καὶ τοσούτοις συνεχόμενοι δεινοῖς, ὥσπερ ἐν "λιμένι τινί, τῇ μνήμῃ τῆς ὑμετέρας ἀρετῆς ἐπαναπαυόμεθα, θησαυρὸν μέγιστον τὴν ὑμετέραν ἀγάπην εἶναι νομίζοντες. τῆς μὲν οὖν χαλεπῆς ἀρρωστίας ἀπηλλάγημεν, τοῦ χειμῶνος παρελθόντος, καὶ ἐπιστάντος τοῦ ἔαρος· ἔτι δὲ τὰ λείψανα αὐτῆς περιφέρομεν, ἅπερ ἐπιτείνει τῶν Ἰσαυρικῶν θορύβων ἡ συνέχεια. ταῦτ' οὖν εἰδότες καὶ πόρρωθεν ὄντες μεμνῆσθέ τε ἡμῶν διηνεκῶς μὴ κατοκνεῖτε, καὶ γράφειν ἡμῖν συνεχῶς, ἡνίκα ἂν ἐξῇ, τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας εὐαγγελιζόμενοι.

* ἡμᾶς

γρ. ἡμᾶς

γρ. λιμένι

λθ. ΑΦΘΟΝΙΩ, ΘΕΟΔΟΤΩ, ΧΑΙΡΕΑ, ΠΡΕΣΒΥΤΕροις μονάζουσι, καὶ "πᾶσι τοῖς τῆς συνοδίας ὑμῶν.

γρ. πάσῃ τῇ συνοδίᾳ.

Φέρει μέν τι πλέον εἰς παραμυθίας λόγον τοῖς ἀγαπῶσι καὶ ἡ σωματικὴ παρουσία τῶν ἀγαπωμένων· ἐπεὶ καὶ ὁ μακάριος Παῦλος, ὁ συνεχῶς, μᾶλλον δὲ διηνεκῶς, τὴν οἰκουμένην ἅπασαν τῶν πιστῶν ἐπὶ τῆς αὐτοῦ διανοίας περιφέρων, καὶ οὔτε ἐν ταῖς ἁλύσεσιν, οὔτε ἐν τοῖς δεσμοῖς καὶ ἐν τῇ ἀπολογίᾳ ἀνεχόμενος αὐτοὺς ἀποθέσθαι (ὃ καὶ δηλῶν ἔλεγε, Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου, καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου) μετὰ πολλῆς τῆς σπουδῆς καὶ τὴν τοῦ σώματος ἐπεζήτει "παραμυθίαν, οὕτω

Φιλιπ. α. ζ.

γρ. παρουσίαν

οὕτω λέγων· Ἡμεῖς δὲ ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ, οὐ καρδίᾳ, (α. Θεσ. β. ιζ.)
περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ὑμῶν ἰδεῖν· ὃ δὴ καὶ ἡμεῖς πάσχομεν νῦν, τῶν τε
ἑωρακότων ἡμᾶς, τῶν τε οὐχ ἑωρακότων μετὰ πολλῆς τῆς σπουδῆς ἐπιζητοῦντες τὴν παρου-
σίαν. ἀλλ' ἐπεὶ τοῦτο τέως οὐκ ἔνι (κωλύει γὰρ καὶ τῆς ὁδοῦ τὸ μῆκος, καὶ ἡ τοῦ ἔτους ὥρα, καὶ
ὁ τῶν λῃστῶν φόβος, καὶ τὸ μὴ ῥᾳδίως ὑμῖν εἶναι, ἐκ τούτων χυθεῖς, κινεῖσθαι οἴκοθεν καὶ μακρὰς ἀπο-
δημίας ἀποδημεῖν) ἐπὶ τὸν δεύτερον ἤλθομεν πλοῦν, τὴν τε ὀφειλομένην ἀποδιδόντες ὑ-
μῖν πρόσρησιν, καὶ περὶ ταύτης παρακαλοῦντες καὶ ἐν μέρει μεγίστης αἰτοῦντες χάριτος τὸ δι-
ηνεκῶς ἡμῶν εὐχομένους μεμνῆσθαι, καὶ τῷ φιλανθρώπῳ Θεῷ προσπίπτειν μετὰ πολλῆς
τῆς ἐκτενείας καὶ τῶν δακρύων ὑπὲρ τῆς ταπεινώσεως τῆς ἡμετέρας. ὑμεῖς γὰρ τὸ λοιπὸν
(χ. διαφυγόντες) τῶν βιωτικῶν ἀποφυγόντες πραγμάτων, καὶ τοῦ καπνοῦ καὶ τῆς ζάλης τῆς ἐν τῷ μέσῳ κα-
κῶν ἀπαλλαγέντες, καὶ καθάπερ εἰς λιμένα τινὰ εὔδιον καὶ ἀκύμαντον, τὸν καλῆς ταύτης (χ. καλλίστης)
φιλοσοφίας ὅρμον, τὰς ἑαυτῶν ὁδηγήσαντες ψυχὰς, καὶ τὰς νύκτας ταῖς ἱεραῖς παννυχίσιν ἡμέ-
ρας ἐργαζόμενοι, καὶ φανερώτερον ἐν ταύταις ὁρῶντες, ἢ ἐν ταῖς ἡμέραις ἕτεροι, δίκαιοι ἂν εἴ-
ητε καὶ ἡμῖν τῆς ἀπὸ τῶν εὐχῶν ὑμῶν μεταδοῦναι συμμαχίας. δυνατὸν γὰρ καὶ ἐκ τοσούτου
(χ. ποιαύτην) καθημένους διαστήματος ἀπολαύειν τούτων, καὶ τόπος οὐδεὶς ἐστιν, οὐδὲ χρόνος, ὁ τὴν τοιαύ-
την δυνάμενος διακόψαι βοήθειαν. συμμαχήσατε τοίνυν ἡμῖν καὶ χεῖρα ὀρέξατε διὰ τῶν
εὐχῶν τῶν ὑμετέρων. τοῦτο γὰρ μάλιστα μέγιστον ἀγάπης εἶδός ἐστι. καὶ μετὰ τῶν εὐχῶν καὶ
τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας δηλοῦν ἡμῖν μὴ κατοκνεῖτε, ἵνα κἀντεῦθεν μεγίστην δεχώ-
μεθα τὴν παραμυθίαν. ἐντρυφῶντες γὰρ ὑμῶν τῇ ἀγάπῃ, καὶ ὡς παρόντας οὕτως ἅπαντας
φανταζόμενοι (δύναται γὰρ καὶ εἰκόνας τοιαύτας ὑπογράφειν τὸ γνησίως φιλεῖν) κἂν ἐν
χαλεπωτέρᾳ ταύτης τύχωμεν ὄντες ἐρημίᾳ, πολλὴν ἐντεῦθεν καρπωσόμεθα τὴν πα-
ράκλησιν.

μ. ΒΑΛΕΝΤΙΝΩ.

Τρίτην ταύτην πέμπω ἐπιστολὴν, οὐδεμίαν αὐτὸς δεξάμενος πα-
ρὰ τῆς μεγαλοπρεπείας τῆς σῆς. ἀλλ' ὅμως μετὰ πολλῆς εὐφρο-
σύνης ἐδέξω ἡμῶν τὰ γράμματα, καὶ τὸν ἐγκλείσαντα ταῦτα τῆς
σοι προσηκούσης ἐποίησας ἀπολαῦσαι τιμῆς, καὶ τὰ παρὰ σαυτοῦ
πάντα εἰσήνεγκας, ἐν οἷς ἐδεῖτό σου τῆς δυνάμεως, ἔγνωμεν, καὶ
οὐδὲν ἡμᾶς τούτων ἔλαθεν· ἐπιστολὴν δὲ οὐδεμίαν ἐκομισάμεθα.
καὶ εἰ μὲν ἄλλος τις ἦν τῶν οὐ σφόδρα γνησίων ὁ σιωπήσας τοσοῦτον, ἐνομίσαμεν ἂν αὐτῷ
πρόφασιν εἰς ἀπολογίαν εἶναι τὸν τῶν πραγμάτων ὄχλον. ἐπειδὴ δέ σου τὸ ὑψηλὸν τῆς
διανοίας ἴσμεν, τὸ θερμὸν τῆς ἀγάπης, τὸ γνήσιον, τὸ εἰλικρινές, τὸ διαρκές, τὸ μόνιμον, οὐκ
(χ. αὖ) ἂν δεξαίμεθα ταύτην τὴν ἀπολογίαν, οὐδ' αὖ τὸ μὴ ἐκεῖσε διατρίβειν σε τὴν θαυμα-
σιότητα. καὶ γὰρ καὶ τοῦτο ἔγνωμεν. ἀλλ' ἐνὶ μόνῳ καρπωσόμεθα τῆς μακρᾶς σιγῆς παραμυ-
θίαν, εἰ βουληθείης εἰς τὸ ἐπιὸν τὸ προφθὲν ἐν τῷ παρελθόντι χρόνῳ ἀνακτήσασθαι, καὶ
πέμψαι νιφάδας γραμμάτων ἡμῖν ἀπὸ τῆς μελιρρεούσης γλώττης τὰ περὶ τῆς ὑγείας σου καὶ
τῆς ἀσφαλείας δηλούντων. εἰ γὰρ καὶ ἐν ἐρημίᾳ καθήμεθα, καὶ πολιορκίᾳ χαλεπῇ, καὶ μυρί-
οις περιεστοιχίσμεθα δεινοῖς, ἀλλ' ὅμως οὐ παυόμεθα μεριμνῶντες τὴν σὴν θαυμασιότη-
τα, καὶ καθ' ἑκάστην πυνθανόμενοι ἐν τίσιν ὁρμεῖ τὰ σά. ἵν' οὖν μὴ παρ' ἑτέρων, ἀλλὰ καὶ
παρὰ τῆς γλυκείας καὶ ποθεινοτάτης ἡμῖν διαθέσεως ταῦτα μανθάνωμεν, γράφε συνεχῶς ἡ-
μῖν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς· καὶ τὸ πολὺ ἀπειλήφαμεν, ἐὰν δεξώμεθα ἐπιστολὰς ταῦτα
φερούσας ἡμῖν τὰ εὐαγγέλια.

μα. ΒΑΛΕΝΤΙΝΩ.

μα'. ΒΑΛΕΝΤΙΝΩ.

Τί τοῦτο; εἰδὼς ὅπως σου χαίρομεν τοῖς ἀγαθοῖς καὶ σκιρτῶμεν ἐπὶ ταῖς σαῖς εὐδοκιμή-
σεσι, καὶ πρὸ πάντων ὀφείλων ἡμῖν δηλῶσαι τῆς τιμῆς τὸ μέγεθος, εἰς ὃ νῦν ἀνέβης, 5
ὑπέμεινας παρ' ἑτέρων ἡμᾶς πρότερον μαθεῖν τοῦτο; καὶ οὐ νομίζεις δεῖσθαί σοι πολλῆς
εἰς τοῦτο ἀπολογίας, ὅτι ἠνέσχου, τό γε σὸν μέρος, τοσοῦτον χρόνον ἡμᾶς ζημιῶσαι εὐφρο-
σύνης μέγεθος τηλικοῦτον; τὸ μὲν γὰρ ἀξίωμά σου τὸ ἀληθές, καὶ ἡ μεγίστη σου ἀρχή, τῆς ψυχῆς
σού ἐστιν ἡ ἀρετή· ἀλλ' ἐπειδὴ καὶ τούτοις τοῖς βιωτικοῖς εἰς τὴν ἐκείνης ὠφέλειαν κεχρῆσθαι
μεμελέτηκας, καὶ ὅσῳ ἂν γένῃ δυνατώτερος, τοσούτῳ λιμένα εὐρύτερον τοῖς δεομένοις καθί- 10
στασαι, διὰ τοῦτο νῦν χαίρομεν, σκιρτῶμεν· ἀλλ' ὅμως οὐκ ἀφίεμέν σε τοῦ τῆς σιγῆς ἐγκλή-
ματος. πῶς οὖν ἡμῖν ἀπολογήσῃ καλῶς; τῇ πυκνότητι τῶν ἐπιστολῶν, καὶ τῷ συνεχῶς τὰ
περὶ τῆς ὑγιείας ἡμῖν δηλοῦν τῆς σῆς, καὶ τοῦ οἴκου σου παντός. ἐπεὶ οὖν σε καὶ τὸν τρόπον τῆς
ἀπολογίας ἐδιδάξαμεν, πρόσθες τὰ παρὰ σαυτοῦ λοιπόν. εἰ γὰρ καὶ μετὰ τὴν ἐπισο-
λὴν ταύτην μένεις σιγῶν, γραψόμεθά σε ῥᾳθυμίας πολλῆς, καὶ ἀλγήσομεν. οἶδα δὲ σα- 15
φῶς ὅτι πικροτάτην ταύτην ἡγήσῃ διδόναι δίκην, τὸ ἀλγεῖν ἐπὶ τούτοις ἡμᾶς, ἐπειδὴ οἶδα
πῶς καὶ φιλεῖν ἡμᾶς γνησίως καὶ θερμῶς ἐσπούδακας.

μβ'. ΤΩ ΑΥΤΩ.

20

Οἶδά σου τὴν φιλότιμον ψυχήν, τὸν ἔρωτα τὸν θερμόν, ὃν περὶ τὰς τῶν πενήτων ἔχεις
προστασίας, τὴν ἐπιθυμίαν, ἣν ἀεὶ περὶ τὴν καλὴν ταύτην ἐπιδείκνυσαι πραγ-
ματείαν, καὶ παρέχων, καὶ μεθ' ἡδονῆς τοῦτο ποιῶν, καὶ ''διπλοῦν σοι τὸν στέφανον τῆς φιλαν- (γρ. διπλῶν)
θρωπίας καὶ λαμπρότερον καθιστάς, καὶ τῇ δαψιλείᾳ, καὶ τῇ γνώμῃ, ἀφ' ἧς καὶ ἡ δαψίλεια
γίνεται. ἐπεὶ οὖν ἐδήλωσεν ἡμῖν ὁ τιμιώτατος πρεσβύτερος Δομετιανός, ὁ τῶν χηρῶν καὶ παρ- 25
θένων τῶν αὐτόθι τὴν προστασίαν ἔχων, ὅτι σχεδὸν ἐν λιμῷ καθεστήκασιν, ὥσπερ εἰς λιμένα,
τὰς σὰς καταφεύγομεν χεῖρας, ὥστε τούτῳ λῦσαι τοῦ λιμοῦ τὸ ναυάγιον. δέομαι οὖν σου, καὶ
σφόδρα δέομαι, μεταπεμψάμενος τὸν πρεσβύτερον, ὅπερ ἂν ᾖ δυνατόν, ἐπικουρῆσαι πα-
ρακλήθητι. τῆς γὰρ ἐν ἄλλῳ καιρῷ ἐλεημοσύνης ἡ νῦν παρεχομένη πολλῷ πλείονα παρέ-
χει τὴν ἀμοιβήν, ὅσῳπερ ἐν χαλεπωτέρῳ χειμῶνι καὶ ζάλῃ καθεστήκασιν οἱ δεόμενοι λα- 30
βεῖν, οὐ τῆς εἰωθυίας ἀπολαύοντες ἀφθονίας. ἐννοήσας τοίνυν καὶ τοῦ πράγματος τὸ κέρδος,
καὶ τὴν ἀπὸ τοῦ καιροῦ γινομένην προσθήκην, τὰ σαυτοῦ ποιῆσαι παρακλήθητι. οὐδὲν γὰρ
δεῖ πλέον εἰπεῖν πρὸς φιλάνθρωπον οὕτω καὶ ἡμερωτάτην γράφοντας ψυχήν. οἶδας
''γὰρ ὅτι καὶ [σιτήσιως ἐφόδια] ἀπόρτυλα ἡμῖν χρεωστεῖς. ἀλλ' ὅμως καὶ ἐκείνων ἕνεκεν εἰς (γρ. δ)
τοῦτό σοι διαλυόμεθα. καὶ γράψαι δὲ ἡμῖν παρακλήθητι, ὅτι ἐπένευσας ἡμῶν τῇ αἰτήσει, καὶ 35
τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος, καὶ παντὸς τοῦ εὐλογημένου σου οἴκου.

μγ'. ΒΑΣΙΛΕΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ καὶ τῆς κατ' ὄψιν σου συντυχίας οὐκ ἀπελαύσαμεν, ἀλλὰ τὴν ἀρετήν σου τῆς ψυ- 40
χῆς ἀκούοντες, καὶ τὸν ζῆλον, ὃν ἔχεις κατὰ τῶν Ἑλλήνων, καταλύων αὐτῶν τὴν πλάνην,
καὶ πρὸς ἀλήθειαν χειραγωγῶν, ὡς παρόντες καὶ συγγενόμενοι καὶ πολύν σοι συντραφέντες
χρόνον, οὕτω σε αἰδούμεθα καὶ τιμῶμεν. διὸ καὶ πρότεροι ἐπεπηδήσαμεν τοῖς πρὸς σὲ γράμ-
μασι, μακαρίζοντές σε ὑπὲρ ὧν κατορθοῖς, καὶ θαυμάζοντες, καὶ αἰτοῦντες καὶ αὐτὸν ἡμῖν
ἐπιστέλλειν,

ἐπιστέλλειν, ἡνίκα ἂν δέῃ. Εἰ γὰρ καὶ τῷ σώματι κεχωρίσμεθα, ἀλλὰ τῇ ἀγάπῃ σοι συνδεδέμεθα, ἐννοοῦντες τὴν σὴν εὐλάβειαν. Ταῦτ' οὖν εἰδὼς μὴ κατόκνει συνεχῶς ἡμῖν ἐπιστέλλειν καὶ τὰ κατορθώματα τὰ σὰ δηλοῦν, ἵνα καὶ ἐν ἐρημίᾳ διατρίβοντες πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

5

γ. Βασιανῇ

μδ'. ΒΑΣΙΑΝΗ.

Αὕτη μὲν [γὰρ] μακρὸν ἐσίγησας χρόνον, καὶ ταῦτα ἔχουσα τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον Θεόδοτον τὸν διάκονον δυνάμενον ῥᾳδίως εὑρίσκειν τοὺς ἐκεῖθεν ἐνταῦθα ἀφικνουμένους· ἡμεῖς δὲ οὐδὲ ἐντεῦθεν ὑποπτεύομέν σου τὴν ἀγάπην, ὡς ῥᾳθυμοτέραν γεγενημένην περὶ ἡμᾶς. Πολλὴν γὰρ αὐτῆς πεῖραν καὶ διὰ πολλῶν εἰλήφαμεν, καὶ ἔγνωμεν αὐτῆς τὸ θερμὸν καὶ εἰλικρινές, τὸ γνήσιον καὶ ἀπερίτρεπτον. Διὸ κἂν γράφῃς, κἂν σιγᾷς, ὁμοίως διακείμεθά σου περὶ τὴν εὔνοιαν, καὶ θαρροῦμεν περὶ τῆς διαθέσεως τῆς σῆς, ὡς ἀκεραίου καὶ ἀκραιφνοῦς μενούσης. Ἀλλ' ὅμως καὶ οὕτω διακείμενοι, σφόδρα βουλόμεθα συνεχῆ γράμματα δέχεσθαι παρ' ὑμῶν εὐαγγελιζόμενα * περὶ τῆς ὑγιείας τῆς ὑμετέρας, καὶ τοῦ οἴκου ὑμῶν παντός· ἐπεὶ καὶ σφόδρα ταύτης ἐπιθυμοῦμεν καὶ ἀντεχόμεθα, καθάπερ καὶ αὐτὴ οἶσθα. Ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐγενεστάτη, χάριζου τὴν χάριν ἡμῖν ταύτην, κούφην τε οὖσαν καὶ ῥᾳδίαν καὶ εὔλογον, καὶ πολλὴν ἡμῖν καὶ ἐν ἐρημίᾳ καθημένοις παρέχουσαν τὴν παραμυθίαν.

* ὑμῶν

20

γ. Βάσσῳ

με'. ΒΑΣΣΩ ΕΠΙΣΚΟΠΩ.

Τί τοῦτο; ὁ τοσαύτην περὶ ἡμᾶς ἀγάπην ἐπιδειξάμενος, καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ καὶ ἔναγχος ἐν Κωνσταντινουπόλει ἀκούσας ἐκ γειτόνων εἶναι τῆς σῆς τιμιότητος, οὐδὲ γραμμάτων ἡμᾶς ἠξίωσας. Οὐκ οἶσθα ὅπως διακείμεθά σου περὶ τὴν εὐλάβειαν, καὶ ὅπως συνδεδέμεθά σου τῷ τῆς φιλίας δεσμῷ; ἐγὼ μὲν γὰρ προσεδόκων σε καὶ ἥξειν ἐνταῦθα, καὶ παρακαλέσειν ἡμᾶς ἐν ἐρημίᾳ τοσαύτῃ καθεστῶτας. Τί γὰρ ἂν γένοιτο ἐρημότερον Κουκουσοῦ, μετὰ τῆς ἐρημίας καὶ ὑπὸ τῆς τῶν Ἰσαύρων πολιορκουμένης ἐφόδου; ἀλλ' ὅμως εἰ τοῦτο ἐργῶδες διά τε αὐτῶν τῶν λῃστῶν τὸν φόβον, διά τε τῆς ὁδοῦ τὴν δυσχολίαν, γράφειν ἡμῖν μὴ κατόκνει καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι· ἵνα καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

μς'. ΒΕΝΕΡΙΩ ΕΠΙΣΚΟΠΩ ΜΕΔΙΟΛΑΝΩΝ.

Τὴν ἀνδρείαν ὑμῶν, καὶ τὴν παρρησίαν, καὶ τὴν ὑπὲρ τῆς ἀληθείας ἐλευθεροστομίαν καὶ πρότερον μὲν ἅπαντες ᾔδεσαν· ἔδειξε δὲ ἀκριβέστερον * ὁ παρὼν καιρὸς τὴν φιλαδελφίαν, τὴν ἀγάπην, τὴν εὐλάβειαν, τὴν πολλὴν συμπάθειαν ὑμῶν, τὴν κηδεμονίαν τὴν ὑπὲρ τῶν ἐκκλησιῶν. Ἐπεὶ καὶ κυβερνήτην ὁ χειμὼν μάλιστα δείκνυσι τῆς θαλάσσης, καὶ ἰατρὸν ἄριστον τὰ χαλεπὰ τῶν σωμάτων νοσήματα· οὕτω καὶ τὸν εὐλαβείᾳ ζῆν ἐσπουδακότα, καὶ πολλὴν ἔχοντα ἀνδρείαν ἡ τῶν καιρῶν δυσκολία. Ὃ δὴ καὶ ἐφ' ὑμῶν γέγονε, καὶ τό γε ὑμέτερον μέρος ἅπαντα διώρθωται, καὶ οὐδὲν ἐλλέλειπται. Ἀλλ' ἐπεὶ οἱ τὰς ταραχὰς τεκόντες καὶ τίκτοντες εἰς τοῦτο ἦλθον παρανοίας, ὡς μὴ μόνον μὴ ἐγκαλύπτεσθαι τοῖς προτέροις, ἀλλὰ καὶ ἐπαγωνίζεσθαι ἐκείνοις, παρακαλῶ κοινῇ πάντας ὑμᾶς ἐρρωμενεστάτῃ χρήσασθαι τῇ προθυμίᾳ, καὶ μὴ καταλῦσαι τὴν τοσαύτην σπουδήν, ἀλλὰ καὶ προστιθέναι

* καὶ

γ. ποιοῦντες

μειζόνως, κἂν μυρίαι δυσκολίαι περιεμπίπτωσιν. Οἱ γὰρ μετὰ πλειόνων ἱδρώτων καὶ πόνων μέγα τι καὶ γενναῖον κατορθοῦντες, τῶν ῥᾳδίως καὶ μετ' εὐκολίας τοῦτο ποιούντων πλείονα λήψονται τὸν μισθόν. Ἕκαστος γάρ, φησὶν ὁ μακάριος Παῦλος, τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. (α. Κορ. γ. η.) Μὴ τοίνυν τὰ πολλὰ κεκμηκέναι ποιείτω ὑμᾶς ἀπαγορεύειν, ἀλλ' αὐτὸ δὴ τοῦτο μᾶλλον διεγειρέτω. Ὅσῳ γὰρ ἂν προσθήκην λάβοι τὰ τῶν πειρασμῶν, τοσούτῳ μᾶλλον αὔξεται τὰ τῶν στεφάνων, καὶ πλεονάζει τὰ ὑπὲρ τῶν καλῶν τούτων ὑμῖν ἀγώνων ἀποκείμενα βραβεῖα.

μζ. Βρύσωνι.

(χ Βρίσ.)

Τί τοῦτο; αὐτόθι μενόντων ἡμῶν μυρία σε ποιεῖν καὶ λέγειν ἐσπούδακας, καὶ τῇ πόλει πάσῃ, μᾶλλον δὲ τῇ οἰκουμένῃ κατάδηλος γέγονας ἐπὶ τῷ φίλτρῳ, ᾧ περὶ ἡμᾶς ἐπιδείκνυσαι, μὴ στέγων αὐτὸ σιγῇ κατέχειν, ἀλλὰ διὰ τῶν ἔργων, διὰ τῶν ῥημάτων, πανταχοῦ ἐπιδεικνύμενος· ἐπιστεῖλαι δὲ ἡμῖν οὐδὲ ἅπαξ κατεδέξω, καὶ ταῦτα σφόδρα διψῶσι τῶν ἐπιστολῶν τῶν σῶν, καὶ τῶν γραμμάτων ἐπιθυμοῦσιν. Οὐκ οἶσθα ὅσην ἐμέλλομεν καρποῦσθαι παράκλησιν, τῆς οὕτω γνησίας ψυχῆς, τῆς οὕτω θερμῆς φιλίας ἔγγονα δεχόμενοι γράμματα; Καὶ ταῦτα οὐκ ἐγκαλῶν λέγω (οἶδα γὰρ ὅτι καὶ γράφων καὶ σιγῶν ἀκμάζουσαν διατηρεῖς τὴν περὶ ἡμᾶς διάθεσιν) ἀλλὰ σφόδρα ἐπιθυμοῦντές σου τῶν ἐπιστολῶν. Καὶ μὴ γράφοντος μέν σου, οὐ παυόμεθα τοὺς ἐκεῖθεν ἀφικνουμένους ἐρωτῶντες περὶ τῆς ῥώσεώς σου καὶ τῆς εὐθυμίας, καὶ σφόδρα χαίρομεν ἀκούοντες ἅπερ ἐπιθυμοῦμεν. Ἀλλὰ βουλόμεθα καὶ παρὰ τῆς γλώττης τῆς σῆς, καὶ παρὰ τῆς δεξιᾶς τῆς σῆς ταῦτα μανθάνειν. Εἰ τοίνυν μὴ βαρύ, μηδὲ ἐπαχθὲς ζητοῦμεν, (χ. αἰτοῦμεν) νῦν γοῦν ταύτην ἡμῖν παράσχου τὴν χάριν, μεγίστην τε οὖσαν καὶ ἡδίστην, καὶ πολλὴν ἡμῖν φέρουσαν τὴν ἡδονήν.

μη. Βρύσωνι.

(χ. Βρίσωνι)

Ἑβδομήκοντα σχεδὸν ἡμέρας ἀνηλώσαντες κατὰ τὴν ὁδὸν (ὅθεν λογίζεσθαι ἔξεστι τῇ θαυμασιότητί σου, ὅσα καὶ ἡλίκα πεπόνθαμεν κακά) φόβῳ τε Ἰσαυρικῷ πολιορκούμενοι πολλαχοῦ, καὶ πυρετοῖς ἀφορήτοις παλαίοντες, ὀψέ ποτε ἀπηντήσαμεν εἰς τὴν Κουκουσόν, τὸ πάσης τῆς οἰκουμένης ἐρημότατον χωρίον. Καὶ ταῦτα λέγω, οὐκ ἀξιῶν ἐνοχλῆσαί τινα, ὥστε ἡμᾶς μεταστῆσαι ἐντεῦθεν (τὸ γὰρ χαλεπώτατον διηνύσαμεν, τῆς ὁδοῦ τὴν ταλαιπωρίαν) ἀλλ' ὑμᾶς χάριν αἰτῶν τὸ συνεχῶς ἡμῖν ἐπιστέλλειν, μηδὲ ἐπειδὴ πορρωτέρω μετῳκίσθημεν ὑμῶν, καὶ ταύτης ὑμᾶς ἀποστερῆσαι τῆς παραμυθίας. Ἴστε γὰρ ὅση παράκλησις ἡμῖν γίνεται, εἰ καὶ τὰ ἡμέτερα ἐν θλίψει καὶ περιστάσει, ὅταν ἀκούωμεν τὰ περὶ τῆς ὑγιείας ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς, ὅτι ἐν εὐθυμίᾳ καὶ ὑγιείᾳ ἐστὲ καὶ ἀδείᾳ πολλῇ. Ἵν' οὖν ἐντεῦθεν πολλῆς ἀπολαύωμεν τῆς εὐφροσύνης, γράφε ταῦτα συνεχῶς ἡμῖν. Οὐ γὰρ ὡς ἔτυχεν ἡμᾶς ἀνακτήσῃ, ἀλλὰ πολλῆς ἡμᾶς παρασκευάσεις ἀπολαῦσαι τῆς παραμυθίας. Καὶ γὰρ οὐκ ἀγνοεῖς ὅπως χαίρομεν τοῖς σοῖς ἀγαθοῖς.

μθ. ΓΑΛΒΙΩΝΙ.

Ὅτι μὲν ἡμᾶς ἀγαπᾷς, κἂν γράφῃς, κἂν σιγᾷς, οἶδα σαφῶς. οὐδὲ γὰρ δύναται λαθεῖν οὕτω σφοδρὸς ἡμῶν ὢν ἐραστής, ἀλλὰ πάντες τοῦτο ἴσασι, καὶ πολλοὶ πρὸς ἡμᾶς ἀφικνούμενοι τὴν θερμήν σου καὶ γνησίαν ἡμῖν ἀπαγγέλλουσιν ἀγάπην. ἐβουλόμεθα δὲ καὶ γράμματα συνεχῶς δέχεσθαι παρὰ τῆς εὐγενείας τῆς σῆς, περὶ τῆς ὑγιείας τῆς σῆς δηλοῦντα, καὶ τῆς δεσποίνης μου τῆς ἐλευθέρας σου, καὶ τοῦ οἴκου σου παντός. οἶσθα γὰρ ὅπως ἡμῖν τοῦτο περισπούδαστον. ταῦτ' οὖν εἰδώς, δέσποτά μου τιμιώτατε, εἰ καὶ ἐργῶδες ὅπερ αἰτοῦμεν λοιπὸν διὰ τὴν τοῦ χειμῶνος ὥραν καὶ τὸ σπανιάκις ἡμῖν τινας ἐπιχωριάζειν, ὅτε δ' ἂν ἐξῇ, γράφειν ἡμῖν μὴ κατόκνει, ταῦτα δηλῶν ἅπερ ᾐτησάμεθα. τὴν γὰρ ὑγίειαν τὴν ὑμετέραν καὶ τὴν ἀσφάλειαν, ἡμέτερον εἶναι νομίζομεν πλοῦτον καὶ εὐφροσύνην, καὶ πολλὴν ἡδονήν. μὴ δὴ τοσαύτης ἡμᾶς ἀποστερήσῃς ἡδονῆς, ἀλλὰ χαρίζου τοῖς σφόδρα σε ἀγαπῶσι τὴν διὰ τῶν τοιούτων γραμμάτων παράκλησιν, πολλὴν ἡμῖν κομίζουσαν τὴν παραμυθίαν.

ν. ΓΑΥΔΕΝΤΙΩ ΕΠΙΣΚΟΠΩ ΒΡΥΞΗΣ.

Οὐδὲν ἡμᾶς ἔλαθε τῶν σῶν, ἀλλ' ἔγνωμεν σαφῶς, ὡς παρόντες, τὴν σπουδήν σου, τὴν ἀγρυπνίαν, τὴν φροντίδα, τοὺς καμάτους, τοὺς πόνους, οὓς ὑπὲρ τῆς ἀληθείας ἐπεδείξω. καί σοι χάριτας πολλὰς ὁμολογοῦμεν, καὶ ἐν τοσαύτῃ καθήμενοι ἐρημίᾳ, μεγίστην ἔχομεν παράκλησιν, τῆς ἀγάπης σου τὸ θερμὸν καὶ γνήσιον· ἧς πεῖραν ἐν ταῦθα λαβόντες, ἔγνωμεν αὐτὴν ἀκμάζουσαν καὶ ἐκεῖ, καὶ οὐδὲν οὔτε τῷ πλήθει τοῦ χρόνου, οὔτε τῷ μήκει τῆς ὁδοῦ καταμαρανθεῖσαν. διὰ τοῦτό σοι χάριτας ἴσμεν πολλάς, καί σε παρακαλοῦμεν μένειν τὴν αὐτὴν ἐπιδεικνύμενον σπουδήν. οἶδας γὰρ ὑπὲρ ὅσων ἐκκλησιῶν ὑμῖν ὁ ἀγὼν πρόκειται νῦν, καὶ ἡλίκον ἔσται τοῦ κατορθώματος τὸ μέγεθος. ταῦτ' οὖν ἐννοῶν, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, ἐπιμεῖναι τῇ αὐτῇ σπουδῇ παρακλήθητι. οὕτω γὰρ ὀλίγα καμόντες, ἀθάνατα ἑαυτοῖς προαποθήσεσθε ἐν τοῖς οὐρανοῖς τῶν καλῶν τούτων ἀγώνων τὰ βραβεῖα.

να. ΓΕΜΕΛΛΩ.

Βαβαί, ἡλίκον ἐστὶ γενναία καὶ νεανικὴ ψυχή, οὐκ ἔξωθέν ποθεν, ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτῆς καὶ τὴν ἡδονὴν καὶ τὴν ἀσφάλειαν καρπουμένη, καὶ τὸ δὴ θαυμαστόν, ἀπὸ πραγμάτων τοῖς πολλοῖς φοβερῶν καὶ σφαλερῶν εἶναι δοκούντων; τὸ γὰρ μὴ μόνον μὴ θορυβεῖσθαι μηδὲ ἀλγεῖν μισούμενον παρά τινων, ἀλλὰ καὶ καλλωπίζεσθαι ἐπὶ τούτῳ, καὶ μὴ καλλωπίζεσθαι μόνον, ἀλλὰ καὶ ἐλεεῖν τοὺς μισοῦντας καὶ ἐπιθυμεῖν αὐτοὺς μεταβαλέσθαι καὶ γενέσθαι χρηστούς, πόσης μὲν συνέσεως, πόσης δ' ἂν εἴη φιλοσοφίας; διὰ ταῦτά σε ἐπαινοῦμεν καὶ θαυμάζομεν, δέσποτα θαυμασιώτατε καὶ μεγαλοπρεπέστατε· διὰ ταῦτα καὶ αὐτοὶ σκιρτῶμεν μεγάλα, ὥσπερ ἐπὶ στεφάνῳ λαμπρῷ, τῇ φιλίᾳ τῆς σῆς σεμνυνόμενοι μεγαλοπρεπείας. ἐπεὶ δὲ καὶ εὐχὰς τὰς παρ' ἡμῶν ἀπαιτεῖς διὰ τῶν γραμμάτων, μάνθανε ὅτι καὶ πρὸ τῶν γραμμάτων τούτων οὐκ ἐπαυσάμεθα εὐχόμενοι, τὴν μεγάλην οὕτω καὶ φιλόσοφον ψυχὴν ἰδεῖν τελουμένην ταχέως τὴν ἱερὰν τελετήν, καὶ τῶν ἱερῶν ἐκείνων καὶ φρικτῶν κα-

ταξιουμένην μυστηρίων. κἂν τούτων δυνηθῶμεν μεταχεῖν τὴν εὐαγγελίαν, καὶ τῆς ἐξορίας ἀπηλλάγμεθα ταύτης, καὶ τῆς ἐρημίας ἐπιλελήσμεθα, καὶ τῆς σωματικῆς ἀσθενείας, ἢ παλαιόμενοι νῦν, ἠλευθερώμεθα. καὶ οἶδα μὲν ὅτι σοι σπουδὴ, δέσποτά μου θαυμασιώτατε, καὶ ἐπιθυμία διὰ τῆς ἡμετέρας βραχύτητος τῶν ἀπορρήτων τούτων καταξιωθῆναι ἀγαθῶν· καὶ ἡμῖν δὲ, ὡς αὐτὸς οἶσθα, τοῦτο περισπούδαστον. ἀλλ' ἐὰν μέλλῃ τὰ ἡμέτερα, τοῦτο μηδεμίαν ἐχέτω μέλλησιν. πάντως εὐπορήσεις, καὶ ἡμῶν ἀπόντων, ἀνδρῶν σφόδρα ἡμῖν γνησίων δυναμένων σε ἐπὶ ταύτην ἀγαγεῖν μυσταγωγίαν. κἂν τοῦτο γένηται, τὴν αὐτὴν ἕξομεν ἡδονὴν, ὥσπερ ἂν καὶ ἡμεῖς διηκονησάμεθα τῇ δόσει τῆς ἐπουρανίου δωρεᾶς, ἐπειδήπερ καὶ ἡ χάρις ἐστὶν ἡ αὐτή.

νβ. ΤΩ ΑΥΤΩ.

ΤΙ τοῦτο; ὅτι ἡ τοσαύτη καὶ τηλικαύτη πόλις ἑορτὴν ἄγει λαμπρὰν (τοῦτο γὰρ τὴν ἀρχὴν καλῶ τὴν σὴν) τότε ἡμᾶς ἐν πλείονι κατέστησας κατηφείᾳ, μακρὰν οὕτω σιγήσας σιγήν; καὶ εἰ μὲν ἄλλος τις ἦν τῶν πολλῶν ὁ τοῦτο πεποιηκὼς, καὶ τὴν αἰτίαν ῥᾳδίως ἂν εὕρομεν. τίς δὲ ἐστιν αὕτη; εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ἡνίκα ἂν μείζονος ἀρχῆς ἐπιλάβωνται, καὶ ἐν ὄγκῳ φρονήματος γίνεσθαι μείζονι. ἐπὶ δὲ τῆς σῆς μεγαλοπρεπείας φιλοσοφεῖν εἰδυίας, καὶ ἀκριβῶς διεσκεμμένης τὴν ἐπικήρων τούτων καὶ ῥεόντων πραγμάτων τὴν φύσιν, καὶ οὐκ ἀπατωμένης τοῖς ἐπιτρίμμασι καὶ ταῖς ὑπογραφαῖς, ἀλλὰ γυμνὰ τῶν προσωπείων τὰ πράγματα καταμανθανούσης, τὴν αἰτίαν οὐ δύναμαι τῆς σιγῆς εὑρεῖν. ἀλλ' ὅτι μὲν ἡμῶν ὁμοίως ἐρᾷς καὶ νῦν, ὥσπερ καὶ ἔμπροσθεν, μᾶλλον δὲ μειζόνως νῦν, ἢ ἔμπροσθεν, οἶδα σαφῶς. τίνος δὲ ἕνεκεν οὕτω διακείμενος τοσοῦτον ἐσίγησας χρόνον, εἰπεῖν οὐκ ἔχω. ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὐχ οὕτω τοῦτο μάλιστα ἀπορῶ. λῦσον δὴ ἡμῖν τὸ αἴνιγμα δι' ἐπιστολῆς, εἰ μὴ βαρὺ μηδὲ ἐπαχθές· καὶ περὶ τῆς ἐπιστολῆς δὲ ἐκείνης τοὺς ταύτην σοι κομίζοντας τὴν ἐπιστολὴν, λέγω δὴ τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον, καὶ τοὺς σὺν αὐτῷ δίδαξον, ὅπερ καὶ ἡμεῖς πεπείσμεθα, ὅτι ῥᾳθυμίας οὐκ ἦν ἡ σιγή. ἀρκεῖ γὰρ τοῦτο εἰπεῖν εἰς τὸ τυχεῖν αὐτοὺς φιλοφροσύνης παρὰ τῆς σῆς θαυμασιότητος.

νγ. ΓΕΜΕΛΛΩ.

ΕΡημον μὲν οἰκοῦμεν χωρίον τὴν Κουκουσὸν, καὶ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότατον· πλὴν κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἀπενεχθῶμεν, ἐπιλαθέσθαι σου τῆς ἀγάπης οὐ δυνάμεθα· ἀλλὰ καὶ ἐν ἀλλοτρίᾳ, καὶ ἐν ἐρημίᾳ διατρίβοντες, καὶ ἔτι λείψανα ἀρρωστίας περιφέροντες, καὶ φόβῳ λῃστῶν πολιορκούμενοι (οὐ γὰρ ἀφίστανται τὰς ὁδοὺς ἀποτειχίζοντες, καὶ πάντα αἱμάτων πληροῦντες οἱ Ἰσαῦροι) διηνεκῶς σε ἐπὶ διανοίας περιφέρομεν, τὴν ἀνδρείαν σου, τὴν παρρησίαν, τὴν γλυκεῖαν καὶ γνησίαν διάθεσιν πρὸς ἑαυτοὺς ἀναπλάττοντες, καὶ τούτων τῶν λογισμῶν ἐντρυφῶντες τῇ μνήμῃ. γράφε δὴ καὶ αὐτὸς ἡμῖν συνεχῶς, δέσποτα θαυμασιώτατε, τά τε περὶ τῆς ὑγιείας τῆς σῆς, καὶ πῶς σοι τὰ θερμὰ ἐχρήσατο, καὶ ἐν τίσιν ὁρμεῖ τὰ σὰ νῦν· ἵνα καὶ πόρρωθεν ὄντες, μηδὲν ἔλαττον ἔχωμεν τῶν ἀεί σοι συγγινομένων εἰς τὸ σαφῶς εἰδέναι τὰ σά. οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον περὶ τῆς ῥώσεως τῆς σῆς μανθάνειν, διὰ τὸ σφόδρα σου ἐρᾶν καὶ συνδεδέσθαι μετὰ ἀκριβείας τῇ μεγαλοπρεπείᾳ τῇ σῇ.

γ. τέρματα

νη΄. ΓΕΜΕΛΛΙῼ.

Ἄλλοι μὲν τῇ θαυμασιότητί σου συνήδονται τῆς ἀρχῆς· ἐγὼ δὲ τῇ πόλει καὶ τῇ μεγαλοπρεπείᾳ δὲ τῇ σῇ, οὐ διὰ τὴν ἐντεῦθεν τιμὴν (ὑψηλότερος γὰρ τῶν τοιούτων μεμελέτηκας εἶναι) ἀλλὰ διὰ τὸ λαβεῖν ἀφορμὴν τὴν παρέχουσάν σοι μετὰ πολλῆς τῆς ἀδείας καὶ τοῖς πολλοῖς δεῖξαι τὴν σύνεσίν σου καὶ τὴν ἡμερότητα, καὶ τὸ ἐκεῖθεν κέρδος συναγαγεῖν. εὖ γὰρ οἶδα ὅτι καὶ τοὺς σφόδρα τῇ γῇ προσηλωμένους, καὶ πρὸς τὰ ὀνείρατα ταῦτα κεχηνότας, λέγω δὴ τὴν παρὰ τῶν πολλῶν δόξαν, παιδεῦσαι δυνήσῃ, ὅτι οὐκ ἐν τῇ χλανίδι καὶ τῇ ζώνῃ, οὔτε ἐν τῇ φωνῇ τοῦ κηρύγματος ὁ ἄρχων, ἀλλ' ἐν τῷ τὰ πεπονηκότα ἀνακτᾶσθαι, καὶ τὰ κακῶς ἔχοντα διορθοῦν, καὶ κολάζειν μὲν ἀδικίαν, μὴ συγχωρεῖν δὲ ὑπὸ δυναστείας τὸ δίκαιον ἀπελαύνεσθαι. καὶ γὰρ οἶδά σου τὴν παρρησίαν, τὴν ἐλευθεροστομίαν, τῆς διανοίας τὸ ὕψος, τὴν τῶν βιωτικῶν ὑπεροψίαν, τὸ μισοπόνηρον, τὸ ἥμερον, τὸ φιλάνθρωπον, οὗ μάλιστα ἄρχοντι δεῖ. διὸ κἀκεῖνο οἶδα σαφῶς ὅτι λιμὴν ἔσῃ τῶν ναυαγούντων, βακτηρία τῶν ἐπὶ γόνυ κλιθέντων, πύργος τῶν ὑπὸ δυναστείας ἀδίκου πολεμουμένων. καὶ ἔσῃ ταῦτα ῥᾳδίως. οὐδὲ γὰρ πόνου σοι δεῖ, οὐδὲ ἱδρῶτος, οὐδὲ χρόνου μακροῦ εἰς τὸ κατορθοῦν ταῦτα. ἀλλ' ὥσπερ ὁ ἥλιος ὁμοῦ τε φαίνεται, καὶ πάντα λύει ζόφον· οὕτω καὶ αὐτὸς ἐπὶ τοῦ θρόνου φανείς, εὖ οἶδ' ὅτι ἐκ τῆς πρώτης ἡμέρας τούς τε ἀδικεῖν ἐπιχειροῦντας ἀνέστειλας, τούς τε ἀδικουμένους καὶ πρὶν εἰς τὸ δικαστήριον εἰσελθεῖν, πάσης ἐπηρείας ἀπήλλαξας· καὶ ἤρκεσεν εἰς τὴν τούτων διόρθωσιν ἡ τῆς φιλοσόφου σου ψυχῆς ὑπόληψις. διὰ ταῦτα καίτοι ἐν ἐρημίᾳ καθήμενος καὶ πολλαῖς συνεχόμενος περιστάσεσι, πολλῆς γέμω τῆς εὐφροσύνης, ἡμετέραν ἡδονὴν τὴν τῶν ἀδικουμένων συμμαχίαν ἡγούμενος.

νε΄. ΓΕΡΟΝΤΙῼ ΠΡΕΣΒΥΤΕΡῼ.

Καὶ ἤδη μὲν ἐπέσταλκά σου πρὸς τὴν εὐλάβειαν, νομίσας σε ἐν Φοινίκῃ εἶναι· καὶ νῦν δὲ ἐπιστέλλω ταῦτα, ἅπερ καὶ ἔμπροσθεν, ὅτι νῦν μάλιστα πάντα δεῖ ποιεῖν καὶ πάσχειν, ὥστε μὴ καταλιπεῖν ἔρημον τὴν καλὴν ὑμῶν γεωργίαν, μηδὲ ἀφεῖναι διαφθαρῆναί τινα τῶν ἤδη κατορθωθέντων. καὶ γὰρ καὶ ποιμένες ὅταν ἴδωσι πολλὴν πάντοθεν τοῖς προβάτοις ἐπιτιθεμένην λύμην, τότε μάλιστα ἀγρυπνοῦσι καὶ διεγείρονται, καὶ σφενδόνην μεταχειρίζουσι, καὶ τῇ ἄλλῃ κέχρηνται τέχνῃ, ὥστε πᾶσαν τῆς ἀγέλης ἀπελάσαι βλάβην. εἰ γὰρ πρόβατα ἄλογα πεπιστευμένος ὁ Ἰακώβ, ἔτη δεκατέσσαρα διετέλεσε δουλεύων, καὶ θάλπει καὶ ψύχει ταλαιπωρούμενος καὶ ἀγρυπνίᾳ πολλῇ, καὶ τὴν ἐσχάτην θητείαν ἐθήτευσεν, ἐννόησον ὅσα καὶ ποιεῖν καὶ πάσχειν χρὴ τοὺς πρόβατα λογικὰ ἐμπεπιστευμένους ὑπὲρ τοῦ μηδὲν αὐτῶν παραπολέσθαι. παρακαλῶ τοίνυν σου τὴν εὐλάβειαν, ὅσῳ μείζων ὁ χειμών, καὶ πλείονα τὰ κακά, καὶ σφοδρὰ τὰ κωλύματα, καὶ πολλοὶ οἱ ἐπιβουλεύοντες, τοσούτῳ μᾶλλον καὶ αὐτὸν διαναστῆναι, καὶ ἑτέρους παρακαλέσαι συνεφάψασθαί σοι τῆς καλῆς ταύτης προνοίας· καὶ μετὰ πολλοῦ τοῦ τάχους ἐπειχθῆναι [καὶ] παραγενέσθαι ἐκεῖσε. καὶ γὰρ καὶ τῆς ἀποδημίας αὐτῆς οὐ μικρὸν ἕξεις μισθόν. εἰ δὲ τῆς ἀποδημίας, πολλῷ μᾶλλον εἰ τῶν ἔργων ἅψαιο, καὶ σπουδὴν πολλὴν ἐπιδείξαιο. τοῦ γὰρ οἴκοι καθῆσθαι πολλῷ βέλτιον καὶ χρησιμώτερον τὸ τοιαύτας ἀποδημίας ἀποδημεῖν. ἐκεῖ μὲν γὰρ ὄντα καὶ ταῦτά ἐστιν ἔχειν, ἃ νῦν ἔχεις, τὴν νηστείαν, τὰς ἀγρυπνίας, τὴν ἄλλην φιλοσοφίαν· οἴκοι δὲ καθήμενον οὐκ ἔστι κερδᾶναι, ἅπερ ἐκεῖ καθήμενόν ἐστι καρπώσασθαι, ψυχῶν σωτηρίαν τοσούτων, τὸν ἀπὸ τῶν κινδύνων μισθόν, τὴν ἀπὸ τῆς τοσαύτης προθυμίας ἀμοιβήν. ἔστι γὰρ καὶ προθυμίας ἀμοι-

γ. Σιμελλίῳ

γ. ἀνδρείας

γ. ἐπιείκειαν

γ. κήρυκος

γ. ὅτι πύργος τῶν ὑπὸ δυναστείας ἀδίκως πολ.

γ. ἀνεῖλες

γ. τότε

βῆ. ἐννοῶν τοίνυν ἡλίκους σεαυτῷ περιεποιήσω στεφάνους, μηδὲν ἀθυμήσῃς, μηδὲν ταραχθῇς· ἀλλὰ ῥαΐσας, ἐντεῦθεν ἤδη τῆς ἀποδημίας ἅψασθαι παρακλήθητι, μηδὲν φροντίζων τῶν χρειῶν ἕνεκεν. πάντα γὰρ εἴποι τῷ κυρίῳ μου τῷ τιμιωτάτῳ καὶ εὐλαβεστάτῳ πρεσβυτέρῳ Κωνσταντίῳ, εἴτε εἰς οἰκοδομὰς ἀναλῶσαι δέοι, εἴτε εἰς χρείας ἀδελφῶν, μετὰ πλείονος παρέχειν ὑμῖν τῆς δαψιλείας, καὶ μετὰ πλείονος νῦν, ἢ ἔμπροσθεν. ἔχων τοίνυν καὶ τὴν" ἐκεῖθεν εὐκολίαν, καὶ πρὸ πάντων τὸ πρᾶγμα ποιεῖν ἀρέσκον Θεῷ, πάντα ὄκνον ἐκβαλὼν ἐπειχθῆναι ταχέως παρακλήθητι· καὶ ἐξ αὐτῆς ἡμῖν τοῦτο δήλωσον, ἵνα καὶ ἐν ἐρημίᾳ ὄντες χαλεπῇ πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν. εἰ γὰρ μάθοιμεν ὅτι ἀποδεδήμηκας ἐκεῖσε μετὰ τῆς γνώμης ἐκείνης πάντα ποιῆσαι καὶ παθεῖν ὑπὲρ τῆς σωτηρίας τῶν αὐτόθι ψυχῶν παρεσκευασμένος, οὐδὲ ἐρημίαν ἡγησόμεθα οἰκεῖν ἀπὸ τῆς τοσαύτης ἡδονῆς. "ἐπιθυμοῦμεν γὰρ καὶ παραγινόμενόν σε ἰδεῖν· ἀλλ' ἐπειδὴ τοῦτο, ὅπερ εἶπον, ἀναγκαιότερον, καὶ δέος μή ποτε ὁ χειμὼν ἀποκλείσῃ σοι τὴν ὁδὸν τὴν ἐντεῦθεν, ἐκεῖσε διὰ τοῦτό σε ἐπειγόμενον καὶ παρακαλοῦμεν ταχέως ἐπειχθῆναι.

γρ. ἐντεῦθεν

γρ. ἐπιθυμοῦμεν γὰρ καὶ ἡμῖν παρα.

ιϛ. ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

Εὐλογητὸς ὁ Θεός, ὁ πολλῷ μείζονα τῶν θλίψεων παρέχων τὴν παράκλησιν, καὶ ἡμῖν τοσαύτην διδοὺς τὴν ὑπομονήν, ὡς καὶ μετὰ πολλῆς εὐφροσύνης φέρειν τὰ συμπίπτοντα λυπηρά. τοῦτο μάλιστα διπλασιάζεται ὑμῖν τὸν μισθόν, τὸ καὶ φέρειν, καὶ μετὰ χαρᾶς φέρειν· τοῦτο καὶ ἡμῖν πολλὴν παρέχει τὴν παράκλησιν, ὅταν ἀκούωμεν τὴν ἀνδρείαν ὑμῶν, τὴν παρρησίαν, τὸ ἀπερίτρεπτον τῆς γνώμης, τὴν εὐτονίαν, τὴν ὑπομονήν, τὴν καρτερίαν, τὸν ζῆλον" τὸν πυρὸς θερμότερον. διὰ ταῦτα καὶ ἐν ἐρημίᾳ καθήμενοι, καὶ φόβῳ λῃστῶν πολιορκούμενοι, καὶ τῇ τοῦ χειμῶνος ὥρᾳ λοιπὸν κατατεινόμενοι, οὐδενὸς τούτων αἰσθανόμεθα διὰ τὸ μέγεθος τῆς ὑμετέρας εὐδοκιμήσεως· ἀλλὰ καὶ σκιρτῶμεν καὶ χαίρομεν καὶ μεγαφρονοῦμεν ἐπὶ τῇ τοσαύτῃ ὑμῶν καρτερίᾳ. ἵν' οὖν διηνεκῶς χαίρωμεν ταῦτα ἀκούοντες, διηνεκῶς ἡμῖν καὶ συνεχῶς ἐπιστέλλετε, αὐτά τε ταῦτα, καὶ τὰ περὶ τῆς ὑγιείας ὑμῶν εὐαγγελιζόμενοι. μεγίστην γὰρ ἡμῖν παρέξετε εὐφροσύνην ἐντεῦθεν καὶ ἡδονήν.

γρ. τοῦ

ιζ. ΔΙΟΓΕΝΕΙ.

Τὸ γνήσιόν σου τῆς ἀγάπης τῆς περὶ ἡμᾶς ᾔδειμεν καὶ ἔμπροσθεν· πολλῷ δὲ πλέον ἔγνωμεν νῦν, ὅτι τοσούτου τοῦ χειμῶνος ἀρθέντος οὐ μόνον οὐδὲν ῥαθυμότερος, ἀλλὰ καὶ πολλῷ σπουδαιότερος περὶ ἡμᾶς γέγονας, μείζω τὴν στοργὴν ἐνεδείξω. διὰ ταῦτά σε θαυμάζομεν, διὰ ταῦτα καθ' ἑκάστην ἡμέραν ἀνακηρύττοντες οὐ παυόμεθα. τὸν μὲν γὰρ ἄφατον τούτων μισθὸν λήψῃ παρὰ τοῦ φιλανθρώπου Θεοῦ τοῦ ταῖς ἀντιδόσεσιν ἐκ πολλοῦ τοῦ περιόντος νικῶντος ἀεὶ τοὺς ἀγαθόν τι ποιοῦντας ἢ λέγοντας. ἡμεῖς δέ σε, οἷς ἔχομεν ἀμειβόμεθα· θαυμάζοντές σε, ἐπαινοῦντες, μακαρίζοντες οὐ διαλιμπάνομεν, φιλοῦντες, αἰδούμενοι, τιμῶντες, ἐν διανοίᾳ πανταχοῦ περιφέροντες, ἡνωμένοι σοι καὶ συνδεδεμένοι τῷ τῆς ἀγάπης νόμῳ. ὅτι γάρ σου τῶν σφοδροτάτων ἀεὶ γεγόναμεν ἐραστῶν, οἶσθα καὶ αὐτὸς σαφῶς, δέσποτά μου αἰδεσιμώτατε καὶ θαυμασιώτατε. διὸ παρακαλῶ τῶν ἀποσταλέντων ἕνεκα μηδὲν ἀλγῆσαι πρὸς ἡμᾶς. τευγήσαντες γὰρ καὶ καρπωσάμενοι τὴν ἐξ αὐτῶν τιμήν, αὐτὰ ἀπεστάλκαμεν, οὐκ ἐξ ὀλιγωρίας, οὐδὲ ἐκ τοῦ μὴ θαρρεῖν σου τῇ εὐγενείᾳ, ἀλλὰ διὰ τὸ μὴ καθεστάναι ἐν χρείᾳ· ὃ δὴ καὶ ἐφ' ἑτέρων πολλῶν πεποιήκαμεν. καὶ γὰρ καὶ ἕτεροι πολλοί, καὶ τῆς σῆς εὐγενείας ἄξιοι, καὶ σφόδρα ἡμᾶς ἐκκαιόμενοι, ὡς ἔξεστί σου" τὴν θαυμασιότητα μαθεῖν,

γρ. τῇ θαυμασιότητι

τὸ

δ' αὐτὸ δὴ τοῦτο πεποιήκασι· καὶ ἤρκεσε πρὸς αὐτοὺς * αὕτη ἡ ἀπολογία, ἣν καὶ αὐτὸν προσ-
ίεσθαι παρακαλοῦμεν. εἰ γὰρ δὴ καταστταίημεν ἐν χρείᾳ, μετὰ πολλῆς ἀπαιτήσομεν, κα-
θάπερ ἐξ ἰδίων, τῆς παρρησίας· καὶ τοῦτο ὄψει διὰ τῆς πείρας αὐτῆς. δεξάμενος τοίνυν αὐτὰ,
φύλαττε μετὰ ἀκριβείας, ἵν', εἴ ποτε καιρὸς καλέσειε, μετὰ τοῦ θαρρεῖν αὐτὰ ἀπαιτήσωμεν
5 παρὰ τῆς σῆς "τιμιότητος.

* ἡμῖν

γ. θαυμασιότητος

ιη. ΤΩ ΑΥΤΩ.

ΜΕτὰ τὸ γράψαι τὴν προτέραν ἐπιστολὴν, ἰδὼν τὸν τιμιώτατον καὶ εὐλαβέστατον
10 Ἀφραάτην προσηλωμένον ἡμῖν, καὶ οὐκ ἀνεχόμενον οὔτε ἀπᾶραι ἐντεῦθεν, καὶ ἀπει-
λοῦντα μή τι γράμματα δέχεσθαι παρ' ἡμῶν, εἰ μὴ λάβοιμι τὰ ἀποσταλέντα, ἐπέθη-
κα "τύποι τῷ πράγματι σφόδρα κεχαρισμένοι τῇ εὐγενείᾳ σου, καὶ ἀναπαύοντά σου τὴν
ἐμμέλειαν· ὃν παρ' αὐτοῦ μαθὼν κέλευσον αὐτὸν διαμένοντα δέχεσθαι τῆς καλῆς ταύτης οἰκο-
νομίας. οἶσθα γὰρ ἡλίκον ἐστὶ τοῦ πράγματος τὸ κέρδος καὶ διὰ τῆς παρουσίας τούτου τῆς
15 εἰς τὴν Φοινίκην, καὶ διὰ τῆς φιλοτιμίας τῆς σῆς μεγαλοπρεπείας. καὶ ἀμφοτέρων τούτων αὐ-
τὸς λήψῃ τὸν μισθὸν, ἅτε τοσαύτην δαψίλειαν ἐπιδεικνύμενος περὶ τοὺς ἐν τῇ Φοινίκῃ "κατη-
χοῦντας τοὺς Ἕλληνας, καὶ περὶ τὴν οἰκοδομὴν τῶν ἐκκλησιῶν ἐσπουδακότας, καὶ ἄνδρα τοι-
οῦτον ἀναστήσας καὶ πέμψας εἰς παράκλησιν αὐτῶν, καὶ μάλιστα νῦν ἐν τοσαύτῃ δυσκολίᾳ
καθεστηκότων, καὶ παρὰ πολλῶν πολεμουμένων. ἐννοήσας τοίνυν τοῦ κατορθώματος τὸν ὄγκον,
20 μὴ ἀφῇς μηδὲ μικρὸν αὐτὸν ἀναβαλέσθαι, ἀλλ' ἅμα γε τῇ τῆς ὁδοῦ ταύτης ἅψασθαι παρα-
σκεύασον, πολλὴν σαυτῷ διὰ τῆς καλῆς ταύτης σπουδῆς, δέσποτα θαυμασιώτατε, προ-
αποτιθέμενος παρὰ τῷ φιλανθρώπῳ Θεῷ τὴν ἀμοιβήν.

γ. τύποι τῷ πράγματι

γ. κατηχοῦντας

ιθ. ΔΙΟΓΕΝΕΙ.

25 ΠΟλλοῦ ἂν ἐπριάμην ἰδεῖν σου τὴν ἐμμέλειαν, δέσποτά μου θαυμασιώτατε, καὶ τοῦτο
οἶσθα καὶ περὶ τῶν γραμμάτων αὐτός· ἐπεὶ καὶ τὸ φίλτρον οἶσθα σαφῶς, ὃ περὶ τὴν
σὴν ἔχομεν θαυμασιότητα. ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι (καὶ γὰρ τῆς ὁδοῦ πολὺ τὸ μέσον, καὶ οὐδὲ
κύριοι κινεῖσθαι, ὅπουπερ αὐτοὶ ἐθέλωμεν, ἐσμέν, καὶ τῶν Ἰσαυρικῶν ἐφόδων καθ' ἑκάστην ἡμέ-
30 ραν ὁ φόβος ἀκμάζει) παρακαλῶ σου τὴν εὐγένειαν, ὅπερ μέγιστον ἡμῖν εἰς παραμυθίαν ἐστὶ
καὶ τῆς ἐρημίας τῆς ἐνταῦθα, καὶ τῆς ταλαιπωρίας καὶ τῆς ἄλλης πάσης θλίψεως, τὸ συνε-
χῶς γράμματα δέχεσθαι εὐαγγελιζόμενα τὴν ὑγίειαν τὴν σὴν, καὶ τοῦ οἴκου σου παντός. τοῦτο
χαρίζεσθε ἡμῖν συνεχέστερον κατὰ τὸ ἐγχωροῦν. οὐδὲ γὰρ τοῦτο ῥάδιον μετὰ πολλῆς ἡμᾶς ἔχειν
τῆς δαψιλείας, "τῷ μηδένα ταχέως ἐκεῖθεν ἐνταῦθα ἀφικνεῖσθαι. ἀλλ' ὅμως, εἰ καὶ ἐργῶδες
35 ὅπερ ᾐτήσαμεν, ἀλλ' ὡς ἂν οἷόν τε ᾖ, σπουδὴν ποιήσασθαι παρακαλῶ ἤδη, καὶ συνεχῶς πέμ-
πειν ἐπιστολὰς ἀπαγγελλούσας ἡμῖν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς. ἵνα δὲ καὶ τὰ ἡμέτερα εἰδέ-
ναι ἔχῃς, ἀπραγμοσύνης ἀπολαύομεν, ἡσυχίας πολλῆς, λευκῆς τῆς γαλήνης, ὑγιείας
συμμέτρου, "τοῦτο θορυβούμενοι μόνον, τῷ κεχωρίσθαι ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς. ἀλλ' ἱ-
κανὴ ἡ σύνεσίς σου καὶ τοῦτο παραμυθήσασθαι, τὸν "τόπον, ὃν εἶπον. δίδου δὴ ταύτην ἡμῖν τὴν
40 χάριν, ὥστε καὶ ἐκ τοσούτου ἡμᾶς καθημένους διαστήματος δύνασθαι ἐντρυφᾶν καὶ ταύτῃ τῇ
γλυκείᾳ σου καὶ θερμῇ καὶ γνησίᾳ ἀγάπῃ.

γ. διὰ τὸ

ἴσ. τοῦτο

γ. πόνον

ξ. ΔΙΟΓΕΝΕΙ.

Ἔρημον μὲν ἡ Κουκουσὸς χωρίον, καὶ ἄλλως εἰς οἴκησιν σφαλερόν, διηνεκεῖ φόβῳ τῶν λῃστῶν πολιορκουμένων· σὺ δὲ αὐτὴν καὶ ἀπ' αὐτῶν παράδεισον εἶναι πεποίηκας. ὅταν γάρ σου τὸν ζῆλον ἀκούσωμεν τὸν πολύν, τὴν ἀγάπην τὴν περὶ ἡμᾶς, τὴν γνησίαν καὶ θερμὴν (οὐδὲν γὰρ ἡμᾶς λανθάνει καὶ ἐν τοσούτῳ καθημένους διαστήματι) ὡς θησαυρὸν μέγιστον ἔχοντες καὶ πλοῦτον ἄφατον τὴν διάθεσίν σου τῆς ἐμμελείας, καὶ ἐν ἀσφαλεστάτῃ καὶ ἐν εὐθαλεστάτῃ πόλει διατρίβειν ἡγούμεθα, ἀπὸ τῆς τοσαύτης εὐφροσύνης πτερούμενοι, καὶ μεγίστην παράκλησιν ἐντεῦθεν καρπούμενοι. ἵν' οὖν καὶ ἑτέρα προσθήκη γένηται ἡμῖν ἡδονῆς, παρακαλῶ, καὶ γράμματα ἡμῖν χαρίζου τὰ περὶ τῆς ὑγιείας σου δηλοῦντα. εἰ γὰρ καὶ ἐργῶδες τοῦτο διὰ τὸ τῆς ὁδοῦ μῆκος, καὶ τὸ σφόδρα ἀπῳκίσθαι τῆς δημοσίας τοῦτο τὸ χωρίον ὁδοῦ, ἀλλὰ τῷ οὕτω φιλοῦντι, ὡς αὐτὸς οἶσθα φιλεῖν, καὶ τὰ δύσκολα εὔκολα γίνονται. ἐννοήσας τοίνυν ἡλίκην ἡμῖν χαριῇ χάριν τῇ πυκνότητι τῶν τοιούτων γραμμάτων, πάρεχε καὶ ταύτην ἡμῖν τὴν εὐφροσύνην. καὶ γὰρ σφόδρα ἀλγοῦμεν, ὅτι δεύτερον ἐπεσταλκότες ἤδη, οὐδὲ ἅπαξ ἐδεξάμεθα γράμματα τῆς σῆς ἐμμελείας.

γρ. ἀπῳκίσθ

ξα. ΔΟΜΝΩ ΕΠΙΣΚΟΠΩ.

Καὶ τὸ πέμψαι τὸν τιμιώτατον πρεσβύτερον εἰς ἐπίσκεψιν ἡμετέραν, καὶ τὸ γράψαι πολλὰς ἔχω χάριτας τῇ εὐλαβείᾳ τῇ σῇ, δέσποτα τιμιώτατε. ἀμφότερα γὰρ γνησίας ἀγάπης καὶ θερμῆς διαθέσεως. διὰ τοῦτο καὶ ἐν ἐρημίᾳ διατρίβων, πολλὴν ἐντεῦθεν ἐδεξάμην τὴν παράκλησιν. τὸ γὰρ τοιούτους ἄνδρας οὕτω σφοδροὺς ἐραστὰς ἔχειν, οὐ τὴν τυχοῦσαν φέρει τοῖς ἀγαπωμένοις παραμυθίαν. καὶ ἐβουλόμην μὲν κατ' ὄψιν συντυχεῖν τῇ εὐλαβείᾳ τῇ σῇ, καὶ ἐμφορηθῆναι τῆς ἡδίστης σου διαθέσεως· ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι (οὔτε γὰρ ἡμῖν δυνατόν, οὔτε τῇ τιμιότητί σου ῥᾴδιον διὰ τὴν τῆς ἐκκλησίας τῆς αὐτόθι πρόνοιαν) ἐπὶ τὸν δεύτερον ἀναγκαίως ἤλθομεν πλοῦν, τὴν ἀπὸ τῶν γραμμάτων παραψυχὴν ἑαυτοῖς χαριζόμενοι. οὐ γὰρ μικρὸν καὶ ἐπιστολὴ δύναιτ' ἂν γνησίᾳ ἀγάπῃ ἀνακεχρωσμένη εἰς τὴν παράκλησιν τῶν τῷ σώματι κεχωρισμένων. ἵν' οὖν ταύτης συνεχῶς ἀπολαύωμεν τῆς παραμυθίας, ὁσάκις ἂν ἐξῇ, καὶ δυνατὸν ᾖ, γράφειν ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς μὴ κατόκνει. καὶ γὰρ θησαυρὸν μέγιστον καὶ πλοῦτον ἄφατον ἀγαθῶν ἡγούμεθα τὴν σὴν ἡμῖν εἶναι φιλίαν· κἂν συνεχῶς τοιούτων ἀπολαύωμεν ἀγαθῶν, ἤγουν τῶν γραμμάτων, οὐδὲ τῆς ἐνταῦθα ἐρημίας ληψόμεθα αἴσθησιν, ἀπὸ τῶν ἐπιστολῶν τῶν σῶν πολλὴν καρπούμενοι τὴν εὐφροσύνην.

ξβ. ΕΛΛΑΔΙΩ.

Ὀλίγα μέν σοι συνεγενόμεθα, πολλὴν δὲ πεῖραν σου τῆς γνησίας καὶ θερμῆς εἰλήφαμεν ἀγάπης. καὶ γὰρ αἱ γενναῖαι ψυχαὶ ἐν βραχεῖ καιρῷ χειροῦνται τοὺς ἐντυγχάνοντας· ὃ δὴ καὶ αὐτὸς πεποίηκας, ἐν ὀλίγῳ σφοδροὺς ἡμᾶς ποιήσας ἐραστὰς τῆς εὐγενείας τῆς σῆς. διὸ καὶ ἐπιστέλλομεν, καὶ τὰ καθ' ἡμᾶς αὐτοὶ δηλοῦμεν, ὅτι ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ διάγομεν πολλῇ, πάντων ἡμᾶς ἐνταῦθα θεραπευόντων μετὰ σπουδῆς, καὶ μετὰ πολλῆς ὁρώντων τῆς εὐνοίας. ἵν' οὖν καὶ τὰ ὑμέτερα μανθάνοντες

τες εὐφραινώμεθα, συνεχῶς ἡμῖν ἐπιστέλλειν μὴ κατόκνει, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι· ἵνα καὶ ἐκ τούτου πολλὴν καρπωσώμεθα τὴν παράκλησιν, τοιαῦτα παρὰ τῆς σῆς εὐγενείας δεχόμενοι γράμματα.

5

ξζ. ΕΛΠΙΔΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἡμεῖς μὲν ἐβουλόμεθα συνεχῶς ἐπιστέλλειν τῇ εὐλαβείᾳ τῇ σῇ· * οἶσθα τοῦτο καὶ αὐτός, δέσποτα τιμιώτατε. ἀλλ' ἐπειδὴ τοῦτο ἡμᾶς παραιρεῖται τὸ μηδένα συνεχῶς ἡμῖν ἐπιχωριάζειν (ἥ τε γὰρ ἐρημία τοῦ χωρίου τούτου, ὅ τε τῶν λῃστῶν φόβος ταύτην ἐπιτείνων, 10 λοιπὸν δὲ καὶ ἡ τοῦ ἔτους ὥρα τὰς ὁδοὺς ἀποτειχίζουσα πᾶσιν ἀβάτους ποιεῖ τὴν Κουκουσόν) ἀλλ' ἡνίκα ἂν ἐπιτύχωμεν γραμματηφόρων, πληροῦμεν ἡμῖν τὴν ἐπιθυμίαν, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι. ὃ δὴ καὶ νῦν πεποιήκαμεν, διὰ τῶν κυρίων μου τῶν τιμιωτάτων πρεσβυτέρων τήν τε ὀφειλομένην ἀποδιδόντες πρόσρησιν τῇ θεοσεβείᾳ σου, καὶ παρακαλοῦντες, ἡνίκα ἂν ἐξῇ, καὶ αὐτὸν ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας δηλοῦν τῆς σῆς. οὐ γὰρ ἀγνοεῖς, 15 δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, ὅπως ἡμῖν περισπούδαστον ἀεὶ περὶ ταύτης μανθάνειν. εἰ γὰρ καὶ πρὸς αὐτὰς ἀπῳκίσθημεν τῆς καθ' ἡμᾶς οἰκουμένης τὰς ἐσχατιάς, ἀλλ' ὅμως τῆς ἀγάπης σου τῆς γνησίας καὶ θερμῆς, τῆς εἰλικρινοῦς καὶ ἀδόλου ἐπιλαθέσθαι οὐ δυνάμεθα· ἀλλ' ὅπουπερ ἂν ἀπίωμεν, περιφέροντες αὐτὴν ἄπιμεν, μεγίστην ἐντεῦθεν καρπούμενοι τὴν παραμυθίαν.

[* καὶ] [γ. ἐμῶν] [γ. περιφερόμ.]

20

ξη. ΕΛΠΙΔΙΩ ΕΠΙΣΚΟΠΩ.

Οἶδα ὅτι ὀλιγάκις ἐπέσταλκα τῇ τιμιότητί σου, ἀλλ' οὐχ ἑκών, ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀνάγκης κατεχόμενος. καὶ γὰρ ἡ τοῦ ἔτους ὥρα, καὶ ἡ τοῦ χωρίου ἐρημία, ἐν ᾧ καθείργ- 25 μεθα δεσμωτηρίου χαλεπωτέρα, καὶ ἡ τῶν ἐνταῦθα παραγινομένων σπάνις, καὶ τὸ μηδὲ αὐτῶν τῶν ὀλίγων πάντων γνησίων ἐπιτυγχάνειν, ἔτι δὲ καὶ ἡ τοῦ σώματος ἀρρωστία σφόδρα ἡμᾶς κατεργασαμένη, καὶ πάντα τὸν χειμῶνα τῇ κλίνῃ προσηλώσασα, τὴν μακρὰν ταύτην σιγὴν ἐποίησεν· ἀλλ' οὐ τὴν ἀπὸ γνώμης, ἀλλὰ τὴν ἀπὸ γλώττης. μηδὲ νόμιζε τοσαύτας δέχεσθαι ἐπιστολάς, ὅσας διεπεμψάμεθα, ἀλλὰ πολλῷ πλείους. ἡγήσῃ δὲ τοῦτο, ἂν μὴ 30 τὰς διὰ χάρτου καὶ μέλανος μόνον, ἀλλὰ καὶ τὰς ἀπὸ διαθέσεως ἀριθμῇς. καὶ γὰρ τῇ διανοίᾳ συνεχῶς ἐπεστάλκαμεν, καὶ ἀεί σοι συγγινόμεθα, καὶ οὐδὲν οὐδὲ τὸ τῆς ὁδοῦ τὸ μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε αἱ τῶν πραγμάτων περιστάσεις τὴν περὶ τὴν σὴν τιμιότητα διάθεσιν ἡμῖν ἀμαυροτέραν ἐποίησεν, ἀλλὰ μένομεν ἀκμάζουσαν αὐτὴν διατηροῦντες, καὶ τὸ σφοδρὸν ἡμῶν καὶ θερμὸν ἐραστήν, κἂν εἰς ἐρημότερον τούτου χωρίον ἀπέλθωμεν, πανταχοῦ περιφέ- 35 ροντες ἄπιμεν ἐγκολάψαντες ἡμῶν τῇ διανοίᾳ. τοιοῦτον γὰρ τὸ γνησίως φιλεῖν. οὐ χρόνῳ, οὐ τόπῳ, οὐχ ὁδοῦ μήκει, οὐ πραγμάτων περιστάσει ἐξίτηλον γίνεται. ὃ τοίνυν οἶσθα καὶ αὐτός, ἐπειδὴ καὶ γνησίως οἶσθα φιλεῖν.

[γ. Οἶδα ὀλιγάκις ἐπεσταλκώς] [γ. παραγω.]

ξθ. ΕΛΠΙΔΙΩ ΕΠΙΣΚΟΠΩ.

40

Γλώττῃ μὲν ὀλιγάκις, γνώμῃ δὲ πολλάκις ἐπεστάλκαμέν σου τῇ θεοσεβείᾳ, καὶ καθ' ἑκάστην σοι συγγινόμεθα τὴν ἡμέραν. καὶ ταύτης οὐκ ἴσχυσε τῆς συνουσίας ἡμᾶς ἀποστερῆσαι οὐ χρόνου πλῆθος, οὐχ ὁδοῦ μῆκος, οὐ πραγμάτων περιστάσεις. τοιαύτη γὰρ τῆς ἀγάπης ἡ φύσις· οὐδενὶ τούτων εἴκει, οὐδὲ παραχωρεῖ, ἀλλ' ἕστηκε πάντων ὑψηλοτέρα γινομένη.

[ἢ περίστασις]

μὴ

μὴ τοίνυν διὰ τὸν ἐπιστολῶν ἀριθμόν, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, μέτρει τὸ φίλτρον, ὃ περὶ τὴν σὴν ἔχομεν ἐμμέλειαν· ἀλλ' εἰδὼς ἡμῶν τὴν γνώμην καὶ τὴν διάθεσιν, ἣν ἀεὶ περὶ τὴν εὐλάβειαν ἐπεδειξάμεθα τὴν σήν, μηδὲν ἀπὸ τῆς μακρᾶς ταύτης σιγῆς ὑποπτεύε. ἐπεὶ καὶ ἡμεῖς ὀλιγάκις δεξάμενοι γράμματα παρὰ τῆς σῆς διαθέσεως, οὐδὲν ἐντεῦθεν ῥαθυμότερόν σε περὶ ἡμᾶς γεγενῆσθαι νομίζομεν· ἀλλ' ἴσμεν σαφῶς 5 καὶ πεπιστεύκαμεν, ὅτι μένεις ἀνθοῦσαν διατηρῶν τὴν περὶ ἡμᾶς διάθεσιν, οὐ μόνον οὐκ ἀναπίπτων ἐκ τῆς συνεχείας τῶν ἐπαγομένων δεινῶν, ἀλλὰ καὶ σφοδρότερος γινόμενος περὶ ἡμᾶς· καὶ τούτου σοι χάριν ἴσμεν πολλήν. ἐπεὶ δὲ εὖ οἶδ' ὅτι καὶ τὰ ἡμέτερα βούλει μανθάνειν, ὑγιείας ἀπολαύομεν πολλῆς καὶ ἡσυχίας*, καὶ ἐν ἀσφαλείᾳ διάγομεν, τῶν Ἰσαυρικῶν τέως ἀπηλλαγμένοι θορύβων. τὸν γὰρ χειμῶνα λοιπὸν τὸν Ἀρμενίας φέρειν ἐμελέτησα, βλαπτό- 10 μενος μὲν ἠρέμα βλάβην, ὅσην εἰκὸς οὕτως ἀσθενεῖ σώματι κεχρημένον, περιγινόμενος δὲ τῷ διηνεκῶς οἴκοι κατακεκλεῖσθαι, ὅταν ἀφόρητος ὁ κρυμὸς ᾖ, καὶ ὀλιγάκις τῶν προθύρων προκύπτειν· ὡς τῶν γε ἄλλων ὡρῶν τοῦ ἔτους σφόδρα ἡδίστων ἀπολελαύκαμεν, ὡς δυνηθῆναι εὐκόλως καὶ τὴν ἐκ τοῦ χειμῶνος ἐγγινομένην ἡμῖν διορθώσασθαι ἀρρωστίαν.

* καὶ ἀπραγμοσύνης

15

ξϛ'. ΕΛΠΙΔΙῼ ΕΠΙΣΚΟΠῼ.

ΚΑὶ τοῦτο σόν, τοῦ νήφοντος καὶ ἐγρηγορότος κυβερνήτου, τὸ μηδὲ εἰς τοσοῦτον ἀρθέντος τοῦ χειμῶνος ἀναπεσεῖν, ἀλλ' ἐπιμένειν ἔτι φροντίζοντα καὶ μεριμνῶντα, καὶ κατὰ τὸ ἐγχωροῦν τὰ ἑαυτοῦ πάντα εἰσφέροντα, πανταχοῦ διὰ τῶν γραμμάτων παρατρέχοντα, τοὺς ἐγ- 20 γύς, τοὺς πόρρωθεν συγκροτοῦντα, διεγείροντα, ἀλείφοντα, παρασκευάζοντα μηδένα τῷ κλυδωνίῳ παρασυρῆναι, ἀλλ' ἑστάναι καὶ νήφειν, κἂν μυρία τούτων ἐπίῃ χαλεπώτερα κύματα, καὶ ἐν ἑνὶ ἱδρυμένον τόπῳ πανταχοῦ διὰ τῆς παραινέσεως ἵπτασθαι. οὐδὲ γὰρ ἡμᾶς ἔλαθε τὰ σά, καίτοι ἐκ τοσούτου καθημένους διαστήματος. διὸ καὶ μακαρίζομεν καὶ θαυμάζομέν σου τὴν εὐλάβειαν, καὶ τὴν διεγηγερμένην ψυχήν, καὶ τὴν ἀπερίτρεπτον γνώμην, 25 καὶ τὴν ἐν τοσούτῳ γήρᾳ νεάζουσαν προθυμίαν. καὶ οὐδὲν ἀπεικός. ὅταν μὲν γὰρ τὰ προκείμενα τῆς τοῦ σώματος δέηται ῥώμης, κώλυμα ἐν τούτῳ τὸ γῆρας γίνεται· ὅταν δὲ ψυχῆς ἀπαιτῇ φιλοσοφίαν, οὐδὲν ἡ πολιὰ τοῖς κατορθώμασιν ἐπισκοτεῖν εἴωθεν. οὐ τοίνυν οὐδὲ ἐπεσκότησεν· ἀλλ' ἅπαντα παρὰ τῆς σῆς εὐλαβείας εἰσενήνεκται. ὅτι δὲ καὶ καρπὸν δώσει τὸν προσήκοντα ὁ πόνος οὗτος καὶ ἡ τοσαύτη ἀγρυπνία, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλ- 30 λειν. ἐπεὶ δὲ μετὰ τῆς οἰκουμένης ἁπάσης καὶ περὶ ἡμῶν μεριμνᾷς κατεδέξω διὰ τὴν πολλήν σου καὶ θερμὴν ἀγάπην, καὶ μαθεῖν ἐπιθυμεῖς οὗ διατρίβομεν, καὶ ἐν τίσιν ὁρμεῖ τὰ ἡμέτερα, καὶ τίνες οἱ συνόντες ἡμῖν, καὶ μαθεῖν οὐχ ἁπλῶς, ἀλλ' ὥστε καὶ χάριν αὐτοῖς εἰδέναι· ἡμεῖς μὲν ὑπὲρ τῆς τοσαύτης ἀγάπης οὐ παυσόμεθά σε ἀνακηρύττοντες, στεφανοῦντες, παρὰ πᾶσιν ἀναγορεύοντες, χάριτας ὁμολογοῦντες παρὰ τοῖς ἐντυγχάνουσι καὶ συγγι- 35 νομένοις ἡμῖν. αὐτὸς δὲ τὰς μεγίστας ἀμοιβὰς καὶ μείζους τῶν πόνων ἀνάμενε παρὰ τοῦ φιλανθρώπου Θεοῦ τοῦ ταῖς ἀντιδόσεσιν ἐκ πολλοῦ τοῦ περιόντος νικῶντος τοὺς ἀγαθόν τι ποιεῖν ἢ λέγειν ἐσπουδακότας. ὥστε δέ σε καὶ ἑτέρωθεν ἡσθῆναι μαθόντα τὰ ἡμέτερα, πρὸς τὸ ἐρημότατον χωρίον ἀπῳκίσθημεν τὴν Κουκουσόν. πλὴν ἐρημίας οὐδεμίαν αἴσθησιν ἔχομεν· τοσαύτης ἀπολαύομεν ἡσυχίας, τοσαύτης ἀδείας, τοσαύτης παρὰ πάντων θεραπείας. 40 τά τε γὰρ λείψανα τῆς ἀρρωστίας εὐχαῖς ταῖς σαῖς ἀπεθέμεθα, καὶ ἐν ὑγιείᾳ διάγομεν νῦν· τοῦ τε φόβου τῶν Ἰσαύρων ἀπηλλάγημεν, καὶ ἐν ἀσφαλείᾳ κατέστημεν, ἀπραγμοσύνῃ ἐντρυφῶντες πολλῇ. παρ' ἡμῖν δέ εἰσιν οἱ τιμιώτατοι καὶ εὐλαβέστατοι πρεσβύτεροι Κωνστάντιος καὶ Εὐήθιος· προσδοκῶμεν δὲ καὶ ἑτέρους ταχέως ἀφίξεσθαι, οὓς εἰς τὸ πρὶν τὰ δεσμὰ

γρ. εἰς

κατεῖχεν

κατεῖχεν. ἀλλὰ πάντες ἀφείθησαν, καὶ εὖ οἶδ' ὅτι'' παρέσονται πρὸς ἡμᾶς. μὴ δὴ διαλίπῃς εὐχόμενος ὑπὲρ ἡμῶν τῶν σφόδρα σε ἀγαπώντων, δέσποτα αἰδεσιμώτατε καὶ θεοφιλέστατε, καὶ συνεχῶς ἐπιστέλλων, ἡνίκα ἂν δόξῃ, καὶ τὰ περὶ τῆς ὑγιείας δηλῶν τῆς σῆς. οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον καθ' ἑκάστην, εἰ οἷόν τε, ἡμέραν περὶ ταύτης μανθάνειν. τὸν δεσπότην μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον Ἀσυγκρίτιον μετὰ τῶν γλυκυτάτων αὐτοῦ'' παίδων, καὶ πάντα σου τῆς θεοσεβείας τὸν κλῆρον πολλὰ παρ' ἡμῶν προσειπεῖν παρακλήθητι.

γ. ἐλεύσονται — γ. παιδίων

ξζ. ΤΩ ΑΥΤΩ.

Ἡμεῖς οὔτε ὑπερορῶντες οὔτε ὀλιγωροῦντές σου τῆς ἀγάπης, τὸν ἔμπροσθεν ἐσιγήσαμεν χρόνον, ἀλλὰ τὰ περιεστῶτα ἡμᾶς δεινὰ τὴν μακρὰν ταύτην σιγὴν ἐποίησεν. οὐ γὰρ ἐν ἑνὶ ἱδρύμεθα χωρίῳ, ἀλλὰ νῦν μὲν τὴν Κουκουσόν, * νῦν δὲ τὰς φάραγγας καὶ τὰς ἐρημίας περιπολοῦμεν. οὕτω πάντα θορύβων ἐμπέπλησται, καὶ ταραχῆς, καὶ πῦρ καὶ σίδηρος πάντα δαπανᾷ, καὶ σώματα, καὶ οἰκοδομήματα. ἤδη δὲ καὶ πόλεις ἀνεσπάσθησαν αὔτανδροι, καὶ καθ' ἑκάστην ἡμέραν συνεχέσι βαλλόμενοι φήμαις μετανάσται γινόμεθα, χαλεπόν τινα καὶ καινὸν ἐξορίας ὑπομένοντες τρόπον, καὶ καθ' ἡμέραν θάνατον προσδοκῶντες. οὐδὲ γὰρ ἐν τῷ φρουρίῳ, καθάπερ ἐν δεσμωτηρίῳ, νῦν ἀποκλεισθέντες, ἔχομεν θαρρεῖν, διὰ τὸ καὶ τῶν τοιούτων τόπων Ἰσαύρους κατατολμᾶν. προσετέθη δὲ ἡμῖν καὶ ἀρρωστία χαλεπή, ἧς μόλις νῦν τὸ χαλεπώτερον διαφυγόντες ἔτι τὰ λείψανα αὐτῆς περιφέρομεν· καὶ ὥσπερ εἰς νῆσόν τινα ὑπὸ πελάγους ἀπλώτου κυκλουμένην ἀποικισθέντες, οὕτως οὐδαμόθεν οὐδένα ῥᾳδίως ὁρᾷν δυνάμεθα, πάσης ὁδοῦ τῷ φόβῳ τῶν θορύβων τούτων ἀποτετειχισμένης. παρακαλῶ τοίνυν συγγνῶναι ἡμῖν, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε (οἶσθα γὰρ τὴν ἀγάπην, ἣν ἄνωθεν καὶ ἐξ ἀρχῆς περὶ τὴν σὴν ἐπεδειξάμεθα εὐλάβειαν) καὶ μὴ διαλιπεῖν εὐχόμενον ὑπὲρ ἡμῶν. ὅτι γάρ, εἰ ῥᾳδίως ἐπιτύχοις τῶν πρὸς τὰ γράμματα ὑπηρετησομένων, οὐδὲ ὑπομνήσεως δεήσῃ πρὸς τὸ ἐπιστέλλειν ἡμῖν συνεχῶς περὶ τῆς ὑγιείας τῆς σῆς, σφόδρα θαρροῦμεν. καὶ ἡμεῖς δέ, εἰ'' λωφήσει ταυτὶ τὰ δεινά, καὶ προκύψαι τοῦ δεσμωτηρίου τούτου δυνηθείημεν, καὶ ἀναπνεῦσαι μικρὸν ἀπὸ τῆς κατεχούσης πολιορκίας ἡμᾶς, οὐ διαλείψομεν συνεχῶς ἐπιστέλλοντες πρὸς τὴν σὴν τιμιότητα. ἡμῖν γὰρ αὐτοῖς τοῦτο ποιοῦντες, τὰ μέγιστα χαριούμεθα.

*γρ. τὴν Ἀραβισσόν — γ. λωφήσειε

ξη. ΤΩ ΑΥΤΩ.

Πολλὰς ἔχω χάριτας τῷ κυρίῳ μου τῷ ποθεινοτάτῳ * Λιβανίῳ, ὅτι καὶ οἴκοθεν ἀνέστη, καὶ ἐνταῦθα παρεγένετο, καὶ πάλιν πρὸς τὴν σὴν εὐλάβειαν ἀφίκετο· καὶ τούτου μάλιστα χάριτας αὐτῷ οἶδα. ἐμοὶ γὰρ πᾶσα σπουδὴ τιμῆς σε καὶ θεραπείας ἀπολαύειν ἁπάσης παρὰ πάντων· οὐκ ἐπειδὴ αὐτῷ σοι τούτων δεῖ, ἀλλ' ἐπειδὴ τοῦτο συμφέρει ταῖς ἐκκλησίαις ταῖς τε χειμαζομέναις, ταῖς τε ἀχειμάστοις. ''ἀποδεξάμενος τοίνυν αὐτὸν τῆς εὐνοίας, δέσποτά μου τιμιώτατε καὶ θεοφιλέστατε, καὶ πάντα παρ' αὐτοῦ μαθὼν μετὰ ἀκριβείας, τά τε ἐν Ἀντιοχείᾳ, καὶ τὰ ἡμέτερα (καὶ γὰρ καὶ ταῦτα ἐρεῖ, ὀλίγον μεθ' ἡμῖν συγγενόμενος χρόνον, μαθὼν δὲ ὅπως διάγομεν,) ἔκπεμψον αὐτὸν χαίροντα καὶ εὐφραινόμενον. καὶ γὰρ καὶ τῆς θεοσεβείας ἐκκρέμαται τῆς σῆς, καὶ ἡμῶν σφοδρός ἐστιν ἐραστής. τὸν δεσπότην μου τὸν ποθεινότατον καὶ τιμιώτατον Ἀσυγκρίτιον τὸν πρεσβύτερον προσειπεῖν παρ' ἡμῶν παρακλήθητι μετὰ τῶν ποθεινοτάτων αὐτοῦ τέκνων, καὶ πάντα σου τὸν κλῆρον, ὃν ἐπαίδευσας ἐν βραχεῖ τὸν σὸν περὶ ἡμᾶς μιμεῖσθαι

*ἀδελφῷ — γ. ἀποδεχόμενος

μιμεῖσθαι ἐρωτᾷ. οὐδὲ γὰρ τοῦτο ἡμᾶς ἔλαθεν, ὅσην περὶ ἡμᾶς ἐπιδείκνυνται τὴν ἀγάπην, καὶ πῶς πάντα καὶ παθεῖν, καὶ ποιῆσαι τούτου ἕνεκεν παρεσκευασμένοι εἰσί. τοῦτο δὲ ὅλον κατόρθωμα τῆς θεοσεβείας τῆς σῆς.

ξθ. ΕΟΡΤΙῼ ΕΠΙΣΚΟΠῼ.

Ἐγὼ μὲν ἐπεθύμουν καὶ γράμματα δέξασθαι τῆς σῆς τιμιότητος, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς ἡμῖν δηλοῦντα. οἶσθα γὰρ ὅπως ἀεὶ περὶ τὴν σὴν διετέθημεν εὐλάβειαν, δέσποτα τιμιώτατε. ἀλλ' ἐπειδὴ τοῦτο ἴσως τῶν γραμματηφόρων ὑμᾶς παρείλετο ἡ σπάνις, ἡμεῖς ἐπιτυχόντες τῶν πρὸς τὴν σὴν εὐλάβειαν ἀφικνουμένων, προτέρῳ τοῖς γράμμασιν ἐπεπηδήσαμεν τοῖς πρὸς τὴν σὴν τιμιότητα· καί σε παρακαλοῦμεν, ἡνίκα ἂν ἐξῇ, καὶ αὐτὸν συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ περὶ τῆς ὑγιείας τῆς σῆς δηλοῦν. οἰκοῦμεν γὰρ "χώραν ἐρημοτάτην, καὶ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης" ἐρημοτέραν. πολιορκούμεθα δὲ καὶ φόβῳ λῃστῶν, καὶ πολλὰς ὡς ἐν ἀλλοτρίᾳ καὶ ἐν τοσαύτῃ ἐρημίᾳ θλίψεις ὑπομένομεν. πλὴν ἐὰν ὑμῶν τῶν σφόδρα ἡμᾶς ἀγαπώντων "πυκνῶς ἐπιτυγχάνωμεν γραμμάτων τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας δηλούντων, πολλὴν καὶ ἐν τοσαύταις περιστάσεσιν ὄντες καρπωσόμεθα τὴν παράκλησιν. οἶσθα γὰρ ὅση ἀγάπης δύναμις, καὶ ὡς οὐ παρουσία τῶν φιλούντων μόνον, ἀλλὰ καὶ γράμματα πολλὴν φέρει τὴν παραμυθίαν. ταῦτ' οὖν εἰδὼς ἐπιδαψιλεύου ταύτην ἡμῖν τὴν εὐφροσύνην, συνεχέστερον τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλῶν, περὶ ἧς μάλιστα περιεσπούδασται ἡμῖν μανθάνειν.

γρ. χωρίον ἐρημότατον
γρ. ἐρημότερον
γρ. πυκνῶν

ο. "ΕΠΙΣΚΟΠΟΙΣ.

γρ. ἐπαίτρ[illegible]

Καὶ ἡ καταλαβοῦσα τὰς ἐκκλησίας τὰς κατὰ τὴν ἀνατολὴν ταραχή, σφοδροτάτη καὶ ποικίλη· καὶ ἡ παρὰ τῆς εὐλαβείας ὑμῶν εἰσενεχθεῖσα εἰς τὴν διόρθωσιν "ταύτης σπουδή, πολλὴ καὶ δαψιλής. εἰ δὲ μηδὲν μηδέπω γέγονε πλέον, οὐδὲ μὲν ἀνίατα νοσοῦντας καὶ μὴ διορθωθέντας ταλανίζομεν· ὑμᾶς δὲ θαυμάζοντες καὶ μακαρίζοντες οὐ διαλιμπάνομεν, ὅτι μετὰ τοσοῦτον χρόνον τῶν πραγμάτων ἀδιορθώτων μενόντων οὐκ ἀπεκάμετε, οὐδὲ ὕπτιοι γεγόνατε, ἀλλ' ἐπίκεισθε ἔτι ἀκμαζούσῃ τῇ προθυμίᾳ τὴν παρ' ἑαυτῶν εἰσφέροντες συμμαχίαν, εἰς κρίμα μὲν τῶν οὐκ ἐθελόντων ὑμῶν ἀνασχέσθαι, εἰς στεφάνους δὲ τῆς ὑμετέρας σπουδῆς καὶ βραβεῖα πολλά. διὰ ταῦτα ὑμᾶς καὶ ἡμεῖς καὶ πάντες οἱ κατὰ τὴν οἰκουμένην ἀνακηρύττουσι, στεφανοῦσιν, ὅτι ἐκ τοσούτου καθήμενοι διαστήματος οὐ τῆς ὁδοῦ τὸ μῆκος, οὐ τοῦ χρόνου τὸ πλῆθος ῥαθυμοτέρους ἐποίησεν· ἀλλ' ὡς πλησίον ὄντες τῶν γινομένων, καὶ αὐταῖς ὄψεσιν ὁρῶντες τὰς γινομένας παρανομίας, οὕτως ἐρρωμενεστάτῃ προθυμίᾳ τὰ παρ' ἑαυτῶν εἰσφέρειν ἐσπουδάκατε. εἰ δὲ "μήπω τὴν ἄκαιρον φιλονεικίαν καὶ τὸν ἄλογον πόλεμον καταλύειν βούλονται οἱ ταῦτα ἐξ ἀρχῆς τεκόντες τὰ κακά, μηδὲν ὑμᾶς τοῦτο θορυβείτω, μηδὲ ἀποκάμνειν ποιείτω. ὅσῳ γὰρ ἂν πλείων ὁ πόνος ὑμῖν ἐκτείνηται, τοσούτῳ καὶ μείζων ἔσται ὁ στέφανος, τοῦ Θεοῦ τὰς ἀρρήτους ὑμῖν καὶ ἀφάτους ἐκείνας καὶ λόγον ὑπερβαινούσας ὁρίζοντος ἀμοιβάς.

γρ. ταύτην
γρ. μηδέπω

οα. ΕΠΙΣΚΟΠΟΙΣ.

Καὶ ἰδίᾳ ἑκάστῳ, καὶ κοινῇ πᾶσιν ὑμῖν πολλὰς ὀφείλομεν χάριτας· οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν ἀνατολὴν ἐπίσκοποι, κλῆροι διαφόρων πόλεων, λαοὶ

ποικίλως

ποικίλως ἐλαυνόμενοι, ὅτι πατρικὰ σπλάγχνα ἐπιδειξάμενοι συνηλγήσατε, ἔστητε γενναίως, τὰ παρ' ὑμῶν αὐτῶν πάντα εἰσηνέγκατε. διὰ ταῦτα πάντες ὑμᾶς ἀνακηρύττουσι, στεφανοῦσιν, ἐπὶ στόματος φέρουσιν ὑμῶν τὰ κατορθώματα. εἰ δὲ παρὰ ἀνθρώπων τοιαῦται αἱ τιμαί, ἐννοήσατε παρὰ τοῦ φιλανθρώπου Θεοῦ πόσαι ὑμῖν αἱ ἀντιδόσεις. 5 ταῦτ' οὖν εἰδώς, δέσποταί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, κἂν οἱ θορυβοῦντες τὰς ἐκκλησίας ἀνίατα νοσῶσι, μὴ παύσησθε τὴν παρ' ὑμῶν αὐτῶν εἰσφέροντες θεραπείαν. ὅσῳ γὰρ ἂν πλείονα τὰ κωλύματα ᾖ, καὶ πλείων ἡ δυσκολία, τοσούτῳ καὶ μείζων ὑμῖν ὁ μισθός. εἰ γὰρ ποτόν τις ψυχρὸν ἐπιδοὺς οὐκ ἄμισθον ἕξει τὴν βραχεῖαν φιλοφροσύνην, οἱ τοσαῦτα καὶ ποιῆσαι καὶ παθεῖν ἑλόμενοι ὑπὲρ ἐκκλησιῶν ταραττομένων, ἐννοήσατε ἡλίκην 10 λήψεσθε τὴν ἀμοιβήν, καὶ πόσα ὑμᾶς ἀναμένει τῶν καλῶν τούτων ἀγώνων τὰ βραβεῖα.

ἴσ. εἰδότες, δέσποταί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, γ. κωλύματα, γ. ποτήριον, γ. ψυχροῦ, γ. ἐπιδιδοὺς, γ. πόνων

οβ. ΕΠΙΣΚΟΠΟΙΣ.

ΟΥ διαλιμπάνομεν χάριν ὑμῖν ὁμολογοῦντες διηνεκῶς. εἰ γὰρ καὶ πολλὰ παρα-15 νενομήμεθα παρὰ τῶν ἐχθρῶν, ἀλλ' ὅμως πολλῆς παρ' ὑμῶν ἀπηλαύσαμεν τῆς συμμαχίας, δαψιλοῦς τῆς ἀγάπης, γνησίας φιλοφροσύνης, θερμοτάτης σπουδῆς. καὶ ταύτην οὐ μικρὰν παράκλησιν καὶ τῆς χαλεπωτάτης ἐξορίας, ἐν ᾗ κατεχόμεθα, καὶ τῶν ἄλλων τῶν ἐπενεχθέντων ἡμῖν δεινῶν ἔχομεν. διὸ καὶ παρακαλοῦμεν ὑμῶν τὴν εὐλάβειαν ἐπιμεῖναι τὴν αὐτὴν περὶ ἡμᾶς ἐπιδεικνυμένους διάθεσίν τε καὶ σπουδήν. οὐδὲ γὰρ εἰς ἡμᾶς στήσεται 20 τὸ γινόμενον μόνον, ἀλλὰ καὶ εἰς τὸ κοινὸν τῶν ἐκκλησιῶν διαβήσεται. οὐ γὰρ μία καὶ δύο καὶ τρεῖς πόλεις, ἀλλ' ὁλόκληρα ἔθνη πανταχοῦ τῆς γῆς ταράττεται. καὶ τοσαύτην παρ' ὑμῶν ἐπιδειχθῆναι δίκαιον σπουδήν, ὅσην εἰκὸς ὑπὲρ τοσούτων ψυχῶν ἐσπουδακότας καὶ κάμνοντας ἐπιδείξασθαι. εἰ δὲ πολλὰ πεποιήκατε, καὶ τὰ παρ' ἑαυτῶν εἰσηνέγκατε, ἴσμεν τοῦτο καὶ ἡμεῖς, καὶ εὐχαριστοῦντες ὑμῖν οὐ παυόμεθα. ἀξιοῦμεν δὲ μὴ διαλιπεῖν τοῦτο ποιοῦντας. ἡ γὰρ 25 καρτερία ὑμῶν καὶ ἡ ὑπομονὴ καὶ ἡ εὔτονος γνώμη δυνήσεται καὶ τοὺς σφόδρα φιλονείκως διακειμένους καὶ ἀνίατα νοσοῦντας ἀποστῆσαι τῆς κατεχούσης αὐτοὺς νυνὶ παραφροσύνης. εἰ δὲ ἐπιμένοιεν καὶ οὕτως ἀνιάτως ἔχοντες, ἀλλ' ὑμῖν ἀπηρτισμένος ὁ μισθὸς ἔσται, καὶ πλήρη τὰ τῆς ἀμοιβῆς, καὶ ὁλόκληρος τῶν καλῶν τούτων πόνων ὁ στέφανος.

γ. αὐτὴν

30 ογ. ΕΠΙΣΚΟΠΟΙΣ.

ΗΜεῖς μὲν ἐποθοῦμεν καὶ ταῖς τοῦ σώματος ὄψεσιν ὑμᾶς θεάσασθαι· ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, διὰ τῆς ἐξορίας δεσμῷ κατεχομένων ἡμῶν, τοῖς ὀφθαλμοῖς τῆς ἀγάπης ὑμᾶς καθ' ἑκάστην φανταζόμεθα τὴν ἡμέραν, καὶ περιπτυσσόμεθα, καὶ κροτοῦντες καὶ θαυμάζον-35 τες οὐ διαλιμπάνομεν, ὅτι τοσαύτην προθυμίαν καὶ σπουδὴν ἐξ ἀρχῆς μέχρι νῦν μεμενήκατε ἐπιδεικνύμενοι ὑπὲρ τῶν τῆς ἀνατολῆς ἐκκλησιῶν· καὶ παρακαλοῦμεν ἄξιον τῶν προοιμίων ἐπιδείξασθαι τὸ τέλος. εἰ γὰρ οἱ τὸ πᾶν ταράξαντες καὶ θορύβων ἐμπλήσαντες τοσαύτῃ κέχρηνται τῇ φιλονεικίᾳ, πολλῷ μᾶλλον ὑμᾶς τοὺς τὰ κακῶς γεγενημένα διορθοῦν ἐσπουδακότας πολλῇ δίκαιον κεχρῆσθαι τῇ ὑπομονῇ καὶ καρτερίᾳ περὶ τὴν τοιαύ-40 την σπουδήν. οὕτω γὰρ πλείων ὑμῖν ἔσται ὁ μισθὸς καὶ μείζων ἡ ἀμοιβή, ὅταν καὶ πολλῶν κωλυμάτων γινομένων μὴ ἀνακρούησθε, ἀλλὰ μένητε, τῇ τῶν πραγμάτων δυσκολίᾳ τὴν παρ' ἑαυτῶν ἐπιτειχίζοντες ἀγρυπνίαν τε καὶ σπουδήν.

γ. ἐπεθυμοῦμεν

γ. τὴν τῶν πραγμάτων δυσκολίαν τῇ παρ' ἑαυτῶν ἀντιτειχίζοντες ἀγρυπνίᾳ καὶ σπουδῇ

οδ'. ΕΠΙΣΚΟΠΟΙΣ.

Βοᾷ μὲν πανταχοῦ καὶ αὐτὴ τῶν πραγμάτων ἡ φύσις, σάλπιγγος λαμπρότερον ἀφιεῖσα φωνὴν, τὸ κάλλιστον ὑμῶν ζῆλον καὶ τὴν ὑπὲρ τῆς ἀληθείας προθυμίαν, ἣν οὐχ ὁδοῦ μῆκος, οὐ χρόνου πλῆθος, οὐ τῶν δυσίατα νοσούντων ἡ παράλογος φιλονεικία, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν κατέλυσεν, οὐδὲ ἀμαυρότερον ἐποίησε. καὶ ἡμεῖς δὲ οὐ διαλιμπάνομεν πολλὰς ὑμῖν ἔχοντες χάριτας, καὶ μακαρίζοντες ὑμᾶς οὐ παυόμεθα τῶν ἐπὶ τοῖς καλοῖς τούτοις ἀγῶσιν ἀποκειμένων ὑμῖν στεφάνων παρὰ τοῦ φιλανθρώπου Θεοῦ· καὶ ἐπιθυμοῦμεν ὑμᾶς καὶ κατ' ὄψιν ἰδεῖν. ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι δυνατὸν τοῖς τῷ τῆς ἐξορίας δεσμῷ πεπεδημένοις, ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, δι' αὐτοῦ γράφομεν, καὶ τὴν ὀφειλομένην πρόσρησιν ἀποδίδομεν, ὑμῖν δηλοῦντες, ὡς ἅπασαν ἀνηρτήσασθε τῷ πόθῳ τὴν ἀνατολὴν, καὶ σφοδροὺς ὑμῶν κατεστήσασθε ἐραστὰς, καὶ μυρίους ἔχετε τοὺς συναγανακτοῦντας ὑμῖν τὴν δικαίαν ταύτην ἀγανάκτησιν ἐπὶ ταῖς γεγενημέναις παρανομίαις· καὶ παρακαλοῦμεν τὴν αὐτὴν ἐπιδείξασθαι μέχρι τέλους προθυμίαν. ἴστε γὰρ ὅσους καρπώσεσθε στεφάνους, ἀπὸ τῶν προσκαίρων τούτων πόνων τὰς ἀθανάτους ὑμῖν μετὰ πολλῆς δαψιλείας προαποτιθέμενοι παρὰ τῷ φιλανθρώπῳ Θεῷ ἀμοιβάς.

οε'. ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙΝ ΑΠΟ ΤΗΣ ΔΥΣΕΩΣ.

Καὶ ἔμπροσθεν μὲν ἐξεπληττόμεθα ὑμῶν τὴν σπουδὴν, τὴν προθυμίαν τὴν ὑπὲρ τῆς διορθώσεως τῶν ἐκκλησιῶν γεγενημένην, τὴν στεῤῥὰν καὶ γνησίαν διάθεσιν, τὴν ἀνδρείαν καὶ ἀπερίτρεπτον γνώμην, τὴν καρτερίαν, ἣν ἐπὶ τοσοῦτον ἐπεδείξασθε χρόνον· μάλιστα δὲ ἐξεπλάγημεν νῦν τὸν πολὺν ὑμῶν τόνον οὕτω μακρὰν καὶ διαπόντιον ἀποδημίαν ἑλομένων, καὶ πόνων καὶ ἱδρώτων γέμουσαν, ὑπὲρ τῶν ταῖς ἐκκλησίαις συμφερόντων. καὶ ἐβουλόμεθα μὲν καὶ ἐπιστέλλειν συνεχῶς, καὶ τὴν ὀφειλομένην τῇ εὐλαβείᾳ ὑμῶν ἀποδιδόναι πρόσρησιν· ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι (σχεδὸν γὰρ ἄβατον τοῖς πολλοῖς οἰκοῦμεν χωρίον ἐρημίαις πανταχόθεν τετειχισμένον), νῦν ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, προσαγορεύομεν ὑμῶν τὴν ἀγάπην, καὶ παρακαλοῦμεν τοῖς προοιμίοις συμβαῖνον ἐπιθεῖναι τέλος. ἴστε γὰρ ὅσος ὑμῖν ἔσται τῆς ὑπομονῆς ὁ μισθὸς, καὶ ὅσαι παρὰ τοῦ φιλανθρώπου Θεοῦ αἱ ἀντιδόσεις ὑπὲρ τῆς κοινῆς εἰρήνης πονουμένοις καὶ τοσοῦτον ἀναδεχομένοις ἀγῶνα.

ος'. ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙΝ ΑΠΟ ΤΗΣ ΔΥΣΕΩΣ.

Οὐ μικρὰν καὶ ὑμῖν αὐτοῖς στεφάνων ὑπόθεσιν, καὶ ἡμῖν παρακλήσεως ἀφορμὴν ἀπὸ τῆς καλλίστης ὑμῶν ταύτης σπουδῆς καὶ τῶν πόνων καὶ τῶν ἱδρώτων κατεσκευάσατε. διὸ καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος ἀνακηρύττομεν ὑμᾶς, χάριτας ὁμολογοῦμεν, στεφανοῦμεν, μακαρίζομεν. καὶ ἐβουλόμεθα μὲν καὶ συνεχέστερον ἐπιστέλλειν (καὶ γὰρ μεγίστην ἐντεῦθεν ἂν ἐκαρπωσάμεθα παραμυθίαν) εἴγε τῶν τὰ γράμματα διακομιζόντων ἐπετυγχάνομεν. ἐπειδὴ δὲ οὐ ῥᾴδιον ἡμῖν ἐστι τοῦτο πρὸς αὐτὰς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἀπῳκισμένοις, καὶ οὐδενὸς ἡμῖν ταχέως ἐπιχωριάζειν δυναμένου, νῦν [δὴ] ὅτε ἐπετύχομεν τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, τὴν ὀφειλομένην ἀποδεδώκαμεν πρόσρησιν. καὶ παρακαλοῦμεν ὑμῶν τὴν εὐλάβειαν, ἐννοοῦντας τοῦ κατορθώματος τὸ μέγεθος (εἰ καὶ πο-

λὺς

Margin notes: γρ. ῥᾳθυμίαν ἔχειν — γρ. ἀποτρέπειν — γρ. ἐρημίαις πανταχόθεν ἀποτετειχ.

λεὶς ὁ παρελθὼν ἀνηλώθη χρόνος, καὶ ἐπὶ τὸ χεῖρον τῶν ἐναντιουμένων αὔξεται ἡ φιλονεικία, καὶ μένουσι νοσοῦντες ἀνίατα) τὰ γοῦν παρ' ὑμῶν μὴ διαλιπέτω εἰς διόρθωσιν τῶν γεγενημένων εἰσφερόμενα. ὅσῳ γὰρ πλείων ἡ δυσκολία, τοσούτῳ μείζων καὶ δαψιλεστέρα ἔσται τῶν καλῶν τούτων ἀγώνων ὑμῖν ἡ ἀμοιβὴ παρὰ τοῦ φιλανθρώπου Θεοῦ.

οζ'. ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙΝ ΑΠΟ ΤΗΣ δύσεως.

ΟΥ μικρὰν ἔχομεν παραμυθίαν τῶν κατειληφότων τὰ ἐνταῦθα κακῶν, τῆς ὑμετέρας σπουδῆς τὸ μέγεθος. ἱκανὰ μὲν γὰρ καὶ τὰ ἔμπροσθεν παρ' ὑμῶν γεγενημένα, ἡ ἀγρυπνία, καὶ ἡ σπουδὴ, καὶ ἡ τοσαύτη φροντὶς, πολλὴν ἡμῖν παρέχειν τὴν παράκλησιν. ὃ δὲ νῦν προσεθήκατε, τὸ μακρὰν οὕτως ἀποδημίαν στείλασθαι ὑπὲρ τῶν ταῖς ἐκκλησίαις συμφερόντων, σφόδρα πάντας ἡμᾶς ἀναπνεῦσαι πεποίηκε· καὶ κοινῇ πάντες ὑμῖν χάριτας ὁμολογοῦμεν πολλὰς ὑπὲρ τῶν τοσούτων πόνων καὶ ἱδρώτων καὶ τῶν καλῶν τούτων ἀγώνων, καὶ μακαρίζοντες ὑμᾶς οὐ διαλιμπάνομεν τῆς καλῆς ταύτης προθυμίας τε καὶ σπουδῆς. διὸ καὶ τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον παρεκαλέσαμεν δραμεῖν ἕως ὑμῶν. δεξάμενοι τοίνυν αὐτὸν μετὰ τῆς ὑμῖν πρεπούσης φιλοφροσύνης, ἄξιον τοῖς προοιμίοις τὸ τέλος ἐπιθεῖναι παρακλήθητε. εἰ γὰρ καὶ ἀνίατα νοσοῦσί πως οἱ τοσούτους χειμῶνας καὶ πολέμους ταῖς ἐκκλησίαις ἐργασάμενοι, [τοσοῦτον] ταλανίζειν μὲν ἐκείνους καὶ δακρύειν χρὴ, ὑμᾶς δὲ ἐκπλήττεσθαι καὶ ἀνακηρύττειν, ὅτι καὶ τῶν κακῶν αὐξομένων μείζονα ἀεὶ προϊόντες τὴν ὑπὲρ τοῦ τὰ τοιαῦτα διορθῶσαι σπουδὴν ἐπιδείκνυσθε.

οη'. ΕΠΙΣΚΟΠΩ ΕΛΘΟΝΤΙ ΑΠΟ ΤΗΣ ΔΥΣΕΩΣ.

ΟΤαν ἐννοήσω τὸν ἱδρῶτα, ὃν ἵδρωσας καὶ οἴκοι καθήμενος, καὶ μακρὰν οὕτω καὶ διαπόντιον ἀποδημίαν στειλάμενος ὑπὲρ τῶν ταῖς ἐκκλησίαις συμφερόντων πραγμάτων, καὶ περὶ τοῦ τέλους σε στεφανῶ, καὶ ἀνακηρύττω, καὶ μακαρίζων οὐ παύομαι. οὔτε γὰρ διήνυσταί τι πλέον ἀπὸ τῆς ὑμετέρας σπουδῆς, δέσποτά μου τιμιώτατε, οὔτι ἐπὶ τῆς αὐτῆς μένουσι φιλονεικίας οἱ τὰς ταραχὰς παρὰ τὴν ἀρχὴν ἐμβαλόντες, ἀνίατα νοσοῦντες, ὑμῖν ὁ μισθὸς ἐστὶν ἀπηρτισμένος ἀπὸ τῆς γνώμης καὶ τοῦ τὰ παρ' ἑαυτῶν ἅπαντα εἰσενεγκεῖν. διὰ τοῦτο ὑμᾶς μακαρίζομεν, θαυμάζομεν, χάριτας ὑμῖν ὁμολογοῦντες οὐ διαλιμπάνομεν. καὶ ἐβουλόμεθα μὲν καὶ συνεχέστερον ἐπιστέλλειν· ἐπειδὴ δὲ τοῦτο ἡμᾶς παρείλετο ἡ τοῦ χωρίου τούτου, ἐν ᾧ καθείργμεθα, ἐρημία, νῦν ὅτι ἐπετύχομεν τοῦ κυρίου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, καὶ γράφομεν, καὶ τὴν ὀφειλομένην ὑμῖν ἀποδίδομεν πρόσρησιν. γνώμῃ μὲν γὰρ καὶ διαθέσει πολλάκις ἐπεστάλκαμεν, χάρτῃ δὲ καὶ μέλανι πρῶτον νῦν, ἐπεὶ καὶ νῦν πρῶτον τὸν πρὸς ὑμᾶς ἀφικνούμενον εὑρήκαμεν. δεξάμενοι τοίνυν αὐτὸν, ὡς ὑμῖν πρέπον ἐστὶ, καὶ τὴν προσήκουσαν περὶ αὐτὸν ἐπιδειξάμενοι ἀγάπην, δότε ἐντρυφῆσαι ὑμῶν τῇ διαθέσει. οὐ γὰρ μικρὰν ἕξει τῆς τοσαύτης ταλαιπωρίας τῆς κατὰ τὴν ὁδοιπορίαν παραμυθίαν καὶ παράκλησιν, τὸ τῆς εὐνοίας ἀπολαῦσαι τῆς ὑμετέρας. ὅτι γὰρ ὑπὲρ τοῦ ἐρρωμενεστάτῃ χρήσασθαι σπουδῇ τῶν ταῖς ἐκκλησίαις ἕνεκεν συμφερόντων οὐδὲν δεήσεσθε τῆς ἑτέρων ὑπομνήσεως, ἐδείξατε διὰ τῶν πραγμάτων αὐτῶν.

οθ. ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙ [ΜΕΤΑ ΤΩΝ] ΑΠΟ τῆς δύσεως ἐλθόντων.

Ἐθαυμάσαμεν ὑμῶν καὶ τὴν ἔμπροσθεν ῥαθυμίαν τε καὶ σπουδὴν, ἣν ὑπὲρ τῶν τῆς ἐκκλησίας συμφερόντων ἐπεδείξασθε. ἐπειδὴ δὲ καὶ μακρὰν οὕτως ἀποδημίαν προσεθήκατε, καὶ πάντα ἐκεῖνον ἐκβαλόντες μετὰ τῆς προσηκούσης ὑμῖν ἀνδρείας τοσαύτην ὁδὸν ἐστείλασθε, οὐχ ὡς ἔτυχε καὶ διὰ τοῦτο ὑμᾶς ἐκπληττόμεθα, καὶ εὐχαριστοῦντες οὐ διαλιμπάνομεν καὶ διὰ γραμμάτων νῦν, καὶ χωρὶς γραμμάτων· οὐχ ἡμεῖς δὲ μόνον, ἀλλὰ καὶ πάντες οἱ κατὰ τὴν ἀνατολὴν θαυμάσονται, καὶ κήρυκες ὑμῶν γενήσονται διαπαντὸς τῆς στερρότητος τῆς ἀκλινοῦς καὶ θερμῆς ἀγάπης καὶ τῆς ἀπεριτρέπτου γνώμης· καὶ οὔτε ὁδοῦ μῆκος, οὔτε ταλαιπωρίαν ἀποδημίας ἡγήσονταί τι βαρὺ λοιπὸν καὶ ἐπαχθὲς ὑπὲρ τοῦ δραμεῖν καὶ ἰδεῖν ὑμῶν τὰ τοσαῦτα κατορθώματα. διὸ δὴ καὶ ὁ κύριός μου ὁ τιμιώτατος καὶ εὐλαβέστατος πρεσβύτερος, καίτοιγε ἀσθενεῖ κεχρημένος σώματι, πάντα εἵλετο παθεῖν ὑπὲρ τοῦ παραγενόμενος καὶ τῆς κατ' ὄψιν ἀπολαῦσαι συνουσίας ὑμῶν. δεξάμενοι τοίνυν αὐτὸν μετὰ τῆς πρεπούσης ὑμῖν ἀγάπης, κἂν ἐπὶ μεῖζον αἴρηται τὰ δεινὰ, παρακαλοῦμεν μὴ κατοκνῆσαι διορθουμένους αὐτὰ, ἀλλ' ἄξιον τῶν προοιμίων ἐπιθεῖναι τὸ τέλος. ἴστε γὰρ ἡλίκος ὑμῖν ἔσται ὁ μισθὸς παρὰ τοῦ φιλανθρώπου Θεοῦ ὑπὲρ τοσούτων ἐκκλησιῶν ταραττομένων πονουμένοις, καὶ πάντα ποιοῦσιν, ὥστε εἰς εὔδιον αὐτὰς ὁρμίσαι λιμένα.

γρ. γίνονται
γρ. ἡγοῦνται
γρ. συντυχ[ίας]

π. ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙ ΜΕΤΑ ΤΩΝ ΑΠΟ τῆς δύσεως.

Καὶ τὰ ἔμπροσθεν παρὰ τῆς τιμιότητος ὑμῶν γεγενημένα μεγάλα, τὸ δικαίαν καὶ πρέπουσαν ὑμῖν ἀγανάκτησιν ὑπὲρ τῶν τοσαῦτα ἐκκλησίας κατειληφότων κακῶν ἀγανακτῆσαι, τὸ συναλγῆσαι, τὸ μὴ μέχρι τούτου στῆναι μόνον, ἀλλὰ καὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν· πολὺ δὲ μέγιστον καὶ τὸ νῦν γεγενημένον παρὰ τῆς ἀγάπης ὑμῶν, τὸ ἀναστῆναι ἕκαστον ὑμῶν οἴκοθεν, τὸ μακρὰν οὕτως ἀποδημίαν στείλασθαι, τὸ διατρίβειν ἐπ' ἀλλοτρίας, καὶ τοὺς ἀπὸ τῆς μακρᾶς ἀποδημίας ὑπομένειν καμάτους ὑπὲρ τῶν ταῖς ἐκκλησίαις συμφερόντων. διὰ ταῦτα ὑμῖν εὐχαριστοῦντες οὐ παυόμεθα, θαυμάζοντες, μακαρίζοντες, ὅσους ἑαυτοῖς ὑπὲρ τούτων παρὰ τοῦ φιλανθρώπου Θεοῦ προαπέθεσθε τοὺς μισθούς. καὶ ἐπειδὴ οὔτε συγγενέσθαι ὑμῖν δυνατὸν νῦν ὑπὸ ἐξορίας κατεχομένῳ, οὔτε συνεχῶς ἐπιστέλλειν διὰ τὸ μὴ ταχέως εὐπορεῖν γραμματηφόρων (ἢ γὰρ ἂν νιφάδας ἐπέμψαμεν γραμμάτων) τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον, καὶ αὐτὸν οἴκοθεν ὁρμώμενον ἐλθεῖν καὶ ἀσπάσασθαι τὴν εὐλάβειαν τὴν ὑμετέραν, παρεκαλέσαμεν, ὥστε καὶ τῶν πρὸς ὑμᾶς γραμμάτων ἐπιτυχεῖν, καὶ αὐτὸν καὶ κατὰ πρόσωπον ἀπολαῦσαι τῆς ἀγάπης τῆς ὑμετέρας. δεξάμενοι τοίνυν αὐτὸν, ὡς ὑμῖν πρέπον ἐστὶν, ἡνίκα ἂν δέῃ, καὶ ἡμῖν δηλοῦν μὴ κατοκνεῖτε τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας. σφόδρα γὰρ ἡμῖν περισπούδαστον τοῦτο μανθάνειν, καὶ οὐ μικρὰ τῆς ἐρημίας, ἐν ᾗ καθήμεθα, τοῦτο ἡμῖν ἔσται παράκλησις.

γρ. γραμματηφόρου
γρ. ἡμᾶς

πα. ΕΠΙΣΚΟΠΟΙΣ ΕΛΘΟΥΣΙ ΜΕΤΑ ΤΩΝ ΑΠΟ τῆς δύσεως.

Χάριν ὑμῖν ἴσμεν πολλὴν τῆς τοσαύτης εὐτονίας καὶ σπουδῆς καὶ φροντίδος καὶ τῶν πόνων καὶ τῶν ἱδρώτων, καὶ τῆς μακρᾶς ταύτης ἀποδημίας, ἣν ὑπὲρ τῶν συμ-

φερόντων

φερόντων τῇ ἐκκλησίᾳ πεποιήκατε. ὅσῳ γὰρ τοῖς παρασοῦσιν ἅπαντα μεῖζον τὸ κρίμα, τοσούτῳ καὶ ὑμῖν πλείων ὁ μισθὸς τοσαύτῃ κεχρημένοις ὑπομονῇ καὶ σπουδῇ εἰς διόρθωσιν τῶν κακῶς παρ᾽ ἑτέρων γεγενημένων. καὶ ἐβουλόμεθα μὲν καὶ παρόντες κατὰ πρόσωπον συντυχεῖν ὑμῶν τῇ εὐλαβείᾳ. ἐπειδὴ δὲ τοῦτο ἀφῃρήμεθα ἀπὸ τῆς κατὰ τὴν ἐξορίαν ἀνάγκης, ἐπεί ποτε καὶ μόλις ἐπιτυχόντες τοῦ πρὸς ὑμᾶς ἀφικνουμένου, τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου, διεπεμψάμεθα ταυτὶ τὰ γράμματα, τήν τε ὀφειλομένην ὑμῖν ἀποδιδόντες πρόσρησιν, καὶ εὐχαριστοῦντες ὑπέρ τε τῶν παρελθόντων, ὑπέρ τε τῶν νῦν, ὑπέρ τε ὁλοκλήρου τῆς διορθώσεως τῶν κακῶν. κἂν γὰρ μηδὲν γένηται πλέον, ὑμεῖς τὸ ὑμέτερον πεποιήκατε. διὸ καὶ ἀπηρτισμένον ἔχετε παρὰ τοῦ φιλανθρώπου Θεοῦ τὸν μισθὸν, τοσαύτῃ καὶ σπουδῇ καὶ προθυμίᾳ πρὸς τὸ τὰ κακῶς γεγενημένα ἰάσασθαι διὰ παντὸς χρησάμενοι τοῦ χρόνου.

σβ. ΕΠΙΣΚΟΠΟΙΣ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΤΟΙΣ ἐν τῇ φυλακῇ.

Δεσμωτήριον οἰκεῖτε καὶ ἁλύσει περίκεισθε, καὶ μετὰ τῶν αὐχμώντων καὶ ῥυπώντων ἐστὲ καταχεκλεισμένοι· καὶ τί ἂν γένοιτο μακαριώτερον ὑμῶν, τούτων ἕνεκεν; τί γὰρ τοιοῦτον στέφανος χρυσοῦς κεφαλῇ περικείμενος, οἷον ἅλυσις δεξιᾷ περιπλεκομένη διὰ τὸν Θεόν; τί δὲ τοιοῦτον οἰκίαι περιφανεῖς καὶ μεγάλαι, οἷον δεσμωτήριον ζόφου καὶ ῥύπου γέμον, καὶ πολλῆς τῆς ἀηδίας, καὶ τῆς θλίψεως διὰ τὴν αὐτὴν ὑπόθεσιν; διὰ ταῦτα σκιρτᾶτε, ἀγάλλεσθε, στεφανοῦσθε, χορεύετε· ὅτι πολλῆς ἐμπορείας ὑμῖν ὑπόθεσις τὰ συμβαίνοντα λυπηρά. τοῦτο σπόρος ἄμητον προαναφωνεῖ ἄφατον· τοῦτο παλαίσματα νίκην ἔχοντα καὶ βραβεῖα· τοῦτο πλοῦς ἐμπορείαν πολλὴν προξενῶν. ταῦτ᾽ οὖν ἅπαντα ἀναλογισάμενοι, κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, χαίρετε, εὐφραίνεσθε, μὴ διαλίπητε τὸν Θεὸν ἐν πᾶσι δοξάζοντες, καὶ καιρίας τῷ διαβόλῳ διδόντες πληγάς, καὶ πολλὴν ἑαυτοῖς ἐν τοῖς οὐρανοῖς προαποτιθέμενοι τὴν ἀμοιβήν. οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ὑμᾶς. γράφετε δὲ καὶ ἡμῖν συνεχῶς. σφόδρα γὰρ ἐπιθυμοῦμεν γράμματα δέχεσθαι παρὰ ἀνθρώπων διὰ τὸν Θεὸν δεδεμένων, τὰ παθήματα ὑμῶν ἀπαγγέλλοντα· καὶ πολλὴν ἐντεῦθεν καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες καρπωσόμεθα τὴν παράκλησιν.

σγ. ΤΟΙΣ ΕΝ ΧΑΛΚΗΔΟΝΙ ΕΓΚΕΚΛΕΙΣΜΕΝΟΙΣ ἐπισκόποις καὶ διακόνοις.

Μακάριοι καὶ τῶν δεσμῶν ὑμεῖς, καὶ τῆς γνώμης, μεθ᾽ ἧς φέρετε τὰ δεσμά, ἀποστολικὴν ἀνδρείαν ἐν τούτοις ἐπιδεικνύμενοι· ἐπεὶ κἀκεῖνοι μαστιγούμενοι, καὶ ἐλαυνόμενοι, καὶ δεσμούμενοι, μετὰ πολλῆς ταῦτα ἔφερον τῆς ἡδονῆς· ἀλλὰ καὶ τὰ αὐτῶν ἐποίουν ἐν ταῖς ἁλύσεσιν ὄντες, καὶ τὴν οἰκουμένην μεριμνῶντες ἅπασαν. διὸ δὴ παρακαλῶ καὶ τὴν ὑμετέραν ἀγάπην μηδὲν ἐντεῦθεν ἀναπεσεῖν, ἀλλ᾽ ὅσῳ πλείων ἡ ὀδύνη γίνεται ἐξ ὧν πάσχετε, πλείονα καὶ τὴν προθυμίαν ἐπιδείξασθαι, καὶ καθ᾽ ἑκάστην ἡμέραν μεριμνᾶν ὑπὲρ τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν, ὅπως ἂν γένοιτό τις διόρθωσις προσήκουσα· μηδὲ ὀλιγότητα ὑμῶν ἀπιδόντες, καὶ τὸ περιελαύνεσθαι πανταχόθεν, ὑπτιώτεροι γένησθε. δι᾽ ὧν γὰρ πάσχετε, μείζονα παρὰ τῷ Θεῷ παρρησίαν κτώμενοι, πλείονα εὔδηλον ὅτι καὶ τὴν δύναμιν ἕξετε. χρήσασθε τοίνυν εἰς καιρὸν τῇ προθυμίᾳ, καὶ δι᾽ ἑαυτῶν, καὶ δι᾽ ἑτέρων, ὧν ἂν

φέροντο ἦ, ταῦτα καὶ πρᾶξαι καὶ εἰπεῖν σπουδάσατε, ἵνα τὸ κατέχον κλυδώνιον καταστεῖλαι δυνήσητε. μάλιστα μὲν γὰρ ἔσται τι πλέον σπουδαζόντων ὑμῶν· εἰ δ' ἄρα μηδὲν γένοιτο πλέον, τῆς προθυμίας καὶ τῆς γνώμης ἕξετε παρὰ τοῦ φιλανθρώπου Θεοῦ τὸν μισθόν.

5

πδ. ΤΟΙΣ ΑΠΟ ΔΥΣΕΩΣ ΕΠΙΣΚΟΠΟΙΣ.

γ. Κυριακῷ, Δημητρίῳ, Παλλαδίῳ, Εὐλυσίῳ ἐπισκόποις

ΜΑκάριοι καὶ τρισμακάριοι, καὶ πολλάκις τοῦτο ὑμεῖς, τῶν καλῶν τούτων ἱδρώτων καὶ ἀγώνων, τῶν μόχθων καὶ πόνων, καὶ τῶν κινδύνων, ὧν ὑπὲρ τῶν ἐκκλησιῶν τῶν κατὰ τὴν οἰκουμένην χειμώνων ὑπομεμενήκατε, λαμπροὶ μὲν ἐν γῇ, λαμπροὶ δὲ ἐν οὐρανοῖς 10 διὰ τούτων γενόμενοι. καὶ γὰρ ἄνθρωποι πάντες οἱ νοῦν ἔχοντες ἀνακηρύττουσιν ὑμᾶς, στεφανοῦσιν, ἐκπληττόμενοι τὴν ἀτολμίαν ὑμῶν, τὴν ἀνδρείαν, τὴν καρτερίαν, τὴν παρρησίαν· ὅ τε φιλάνθρωπος Θεός, ὁ μείζονας ἐκ πολλοῦ τοῦ περιόντος τιθεὶς ἀεὶ τῶν πόνων τὰς ἀμοιβάς, τοσούτοις ἀμείψεται ἀγαθοῖς, ὅσοις ἀμείβεσθαι Θεῷ πρέπον τοὺς οὕτω γενναίως ἀγωνιζομένους ὑπὲρ τῆς κατὰ τὴν οἰκουμένην εἰρήνης ἁπάσης. διὰ τοῦτο καὶ ἡμεῖς οὐ παυόμεθα μακαρίζοντες ὑμᾶς, ἐντρυφῶντες ὑμῶν τῇ μνήμῃ, διηνεκῶς ἐπὶ διανοίας περιφέροντες, εἰ καὶ πολλῷ διῳκίσμεθα τῷ τῆς ὁδοῦ μήκει. ὁ μὲν οὖν τιμιώτατος Κυριακὸς ὁ διάκονος οὐκ ἠδυνήθη νῦν ἐκπλεῦσαι διὰ τὸ πολλῷ κατειργάσθαι πόνῳ· οἱ μέντοι κύριοί μου, ὁ εὐλαβέστατος πρεσβύτερος Ἰωάννης, καὶ ὁ τιμιώτατος Παῦλος ὁ διάκονος, ἐλαυνόμενοι πανταχόθεν, καὶ μηδαμοῦ στῆναι, μηδὲ λαθεῖν ἔχοντες, ἀναγκαῖον ἐνόμισαν καταλαβεῖν 20 ὑμῶν τὴν ἀγάπην, καὶ αὐτόθι μεθ' ὑμῶν εἶναι. δεξάμενοι τοίνυν αὐτοὺς μετὰ ἀγάπης, τὴν πρέπουσαν ὑμῖν εὔνοιαν περὶ αὐτοὺς ἐπιδείξασθε.

γ. γινομένοι

γ. εὐγνώμω

15

πε. ΤΟΙΣ ΕΝΚΕΚΛΕΙΣΜΕΝΟΙΣ ΕΠΙΣΚΟΠΟΙΣ, πρεσβυτέροις τε καὶ διακόνοις.

25

ΜΑκάριοι τοῦ δεσμωτηρίου, καὶ τῆς ἁλύσεως, καὶ τῆς τῶν δεσμῶν ὑποθέσεως, ὑμεῖς μακάριοι, καὶ τρισμακάριοι, καὶ πολλάκις τοῦτο· * πᾶσαν ἀνηρτήσασθε τὴν οἰκουμένην τῷ περὶ ὑμᾶς φίλτρῳ· ἐραστὰς ὑμῶν καὶ τοὺς πόρρωθεν ὄντας πεποιήκατε· πανταχοῦ γῆς καὶ θαλάττης ᾄδεται ὑμῶν τὰ κατορθώματα, ἡ ἀνδρεία, ἡ ἀπερίτρεπτος γνώμη, τὸ ἀδούλωτον φρόνημα. οὐδὲν ὑμᾶς κατέπληξε τῶν δοκούντων εἶναι δεινῶν· οὐ δικαστήριον, οὐ δήμιος, οὐ βασάνων νιφάδες, οὐκ ἀπειλαὶ μυρίων γέμουσαι θανάτων, οὐ δικαστὴς πῦρ ἀπὸ τοῦ στόματος ἀφιείς, οὐκ ἐχθροὶ θήγοντες τοὺς ὀδόντας, καὶ μυρία εἴδη κινοῦντες ἐπιβουλῆς, οὐ συκοφαντίαι τοσαῦται, οὐκ ἀναίσχυντοι κατηγορίαι, οὐ θάνατος πρὸ τῶν ὀφθαλμῶν καθ' ἑκάστην ἡμέραν φαινόμενος· ἀλλ' ἤρκεσεν ὑμῖν εἰς παράκλησιν τῶν γινομένων ἡ ὑπόθεσις. 35 διὰ ταῦτα φανερῶς μὲν πάντες ὑμᾶς στεφανοῦσι καὶ ἀνακηρύττουσιν, οὐ φίλοι μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ ἐχθροὶ καὶ ταῦτα κατασκευάζοντες· εἰ καὶ μὴ φανερῶς, κἂν τις αὐτῶν ἀναπτύξειε τὸ συνειδός, πολὺ καὶ παρ' ἐκείνοις ὑμῶν εὑρήσει τὸ θαῦμα. τοιοῦτον γὰρ ἀρετή· καὶ παρὰ τοῖς πολεμοῦσιν αὐτὴν θαυμάζεται. τοιοῦτον κακία· καὶ παρὰ τοῖς μετιοῦσιν αὐτὴν καταγινώσκεται. καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα· τὰ δὲ ἐν οὐρανοῖς τίς παραστήσει λόγος; ἐνέγραψαι ὑμῶν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς, μετὰ τῶν ἁγίων καταριθμεῖσθε μαρτύρων. οἶδα ταῦτα ἐγὼ σαφῶς, οὐκ εἰς τὸν οὐρανὸν ἀναβάς, ἀλλ' ἀπὸ τῶν θείων αὐτὰ μαθὼν χρησμῶν. εἰ γὰρ ὁ γάμῳ παρανομουμένῳ παραστάς, καὶ μηδὲ διορθῶσαι δυνηθεὶς τὴν παρανομίαν, ἀλλ' ἐλέγξας αὐτὴν μόνον, ὁ τῆς στείρας καρπός, ὁ τῆς ἐρήμου πολίτης, ἐπειδὴ διὰ τοῦτο τὸ δεσμωτήριον

* εἰ

30

γ. κατέπληξε

γ. καταδύ

γ. οἱ

γ. αὐτῇ

40

πρεῖον ᾤκησε καὶ ἀπετμήθη, καὶ μάρτυς καὶ μαρτύρων ὁ πρῶτός ἐστιν· ὑμεῖς δὲ νόμοις πατέρων καὶ θεσμοῖς παραβαθεῖσι καὶ ἱερωσύνῃ ἐπηρεαζομένῃ καὶ παρανομουμένῃ παραστάντες, καὶ τοσαῦτα παθόντες ὑπὲρ ἀληθείας καὶ τῆς λύσσαν συκοφαντίας ἀναισχύντους οὕτως, ἐννοήσατε ἡλίκην λήψεσθε τὴν ἀμοιβήν. Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου, Ματθ. ιδ. δ.

5 εἶπε τότε ὁ γενναῖος ἐκεῖνος καὶ ὑψηλὸς ἀνὴρ, καὶ ἤρκεσεν αὐτῷ πρὸς τὴν ῥῆσιν ἀφατον. Εἴπατε καὶ ὑμεῖς· πρόκειται ἡμῶν τὰ σώματα κολάσεσι, τιμωρίαις, βασάνοις· ἀνάλισκε, δαπάνα, τιμώρει, εἰ βούλει· συκοφαντεῖν οὐχ αἱρούμεθα, ἀλλ' ἀποθνήσκειν μυριάκις. Ἀλλ' (γ. τιμώρησον)

οὐκ ἀπετμήθητε· ἀλλὰ πολλῷ χαλεπώτερα πεπόνθατε. οὐ γάρ ἐστιν ἴσον ἐν βραχεῖᾳ καιροῦ ῥοπῇ κεφαλὴν ἀποθέσθαι, καὶ τοσαύταις ἐπὶ τοσούτῳ χρόνῳ παλαίειν ὀδύναις, (γ. πολλά)

10 φόβοις, ἀπειλαῖς, δεσμωτηρίοις, δημίων χερσὶ, συκοφαντῶν ἀναισχύντοις γλώτταις, ὀνείδεσι, λοιδορίαις, σκώμμασι. καὶ γὰρ καὶ τοῦτο μέγιστον ἄθλων εἶδος, καὶ τίθησιν αὐτὰ ἐν τάξει μεγάλων ἀγώνων ὁ μακάριος Παῦλος οὕτω λέγων· Ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. Εἶτα λέγων τὴν ἄθλησιν, τοῦτο τέθεικεν οὕτως εἰπὼν ὁ μακάριος Παῦλος· Τοῦτο μὲν ὀνειδισμοῖς καὶ θλίψεσι (γ. ἄθλων) Ἑβρ. ι. λβ.

15 θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτω παθόντων γενηθέντες. Εἰ δὲ οἱ κοινωνήσαντες ἤθλησαν, πολλῷ μᾶλλον οἱ ὑπομείναντες. οὐδὲ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ πολλοὺς ὑπομεμενήκατε θανάτους τῇ γνώμῃ, εἰ καὶ μὴ τῇ πείρᾳ. χαίρετε τοίνυν καὶ σκιρτήσατε. τοῦτο γὰρ ὁ τῶν οὐρανῶν δεσπότης ἐκέλευσε, μὴ μόνον μὴ ἀλγεῖν, μηδὲ καταπίπτειν, ἀλλὰ καὶ σκιρτᾶν καὶ ἥδεσθαι, ὅταν τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἐκβάλλωσιν. Εἰ δὲ ἐπὶ συκοφαντίᾳ (γ. χαίρετε) Λυκ. ϛ. κβ.

20 χαίρειν δεῖ, ὅταν καὶ τοσαῦται πρὸς τῇ συκοφαντίᾳ πληγαὶ, βάσανοι, ξίφη ἠκονημένα, δεσμωτήρια, ἁλύσεις, ἀπαγωγαὶ, * ἐχθρῶν ξίφη τοσαῦτα, ἐννοήσατε ἡλίκος ὁ μισθὸς, ποῦ κορυφοῦνται τὰ τῆς ἀμοιβῆς. χαίρετε τοίνυν, σκιρτᾶτε, ἀνδρίζεσθε, κρατύνεσθε, ἐννοήσατε πόσους ἠλείψατε δι' ὧν ἐπάθετε, πόσων φρονήματα ἀνεστήσατε, πόσους ἐστηρίξατε σαλευομένους, οὐχὶ παρόντας, ἀλλὰ καὶ ἀπόντας, οὐ διὰ τῆς ὄψεως ὧν ὑπομεμενήκατε, ἀλλὰ καὶ διὰ τῆς (* εἰσαγωγαί)

25 ἀκοῆς μόνης καὶ οὐδὲ πόρρωθεν τὰ μέγιστα ὠφελήσαντες, συνεχῶς ἐκεῖνο περιφέρετε τὸ ἀποστολικὸν, Ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς. προσδοκᾶτε δὲ καὶ τὴν ταχίστην τῶν πειρασμῶν λύσιν καὶ τελείαν ἀπαλλαγὴν, καὶ εὔχεσθε συνεχῶς ὑπὲρ ἡμῶν. Εἰ γὰρ καὶ πολλῷ διῳκίσμεθα ὑμῶν τῷ μήκει τῆς ὁδοῦ, καὶ ἐπὶ πολὺν ἐχωρίσθημεν ὑμῶν χρόνον, ἀλλ' ὡς παρόντες καὶ συνόντες ὑμῖν, οὕ- Ρωμ. η. ιη.

30 τως ὑμᾶς περιπτυσσόμεθα, οὕτως ὑμῶν ἑκάστου τὴν φίλην καταφιλοῦμεν κεφαλὴν, ὑπτίαις χερσὶ * στεφανίτας δεχόμενοι, καὶ μέγιστοι καὶ ἐντεῦθεν προσδοκῶντες ἡμῖν ἔσεσθαι κέρδος ἀπὸ τῆς πολλῆς περὶ ὑμᾶς ἀγάπης. Εἰ γὰρ οἱ ἀγαπῶντας ὑμᾶς πολὺν ἀναμένειν δεῖ τὸν μισθὸν, ἐννοήσατε ἡλίκα ὑμῖν τὰ τῆς ἀντιδόσεως τοῖς ἐν τοσούτοις διαλάμψασιν ἀγῶσι. (* πῦ)

ϛ. ἙΡΚΟΥΛΙΩ. (γ. Ἑρβουλίῳ.) 35

ΜΗ κάμνε ζητῶν ἀπολογίαν τῆς μακρᾶς σιγῆς, δέσποτά μου θαυμασιώτατε καὶ μεγαλοπρεπέστατε, καὶ ἐπὶ τὴν σπάνιν τῶν γραμματηφόρων καταφεύγων. ἡμεῖς γὰρ καὶ γράφοντός σου καὶ σιγῶντος ἀκίνητον τὴν περὶ τῆς ἀγάπης σου ψῆφον ἔχομεν, ἣν διὰ

40 τῶν ἔργων ἐπεδείξω οὕτω σαφῶς, ὡς πᾶσαν εἰδέναι τὴν πόλιν τὸν θερμὸν ἡμῶν καὶ μανικὸν ἔρωτα ἣν. πλὴν ἀλλὰ καὶ οὕτω διακείμενοι σφόδρα ἐπιθυμοῦμεν συνεχῶς δέχεσθαι γράμματα παρὰ τῆς σῆς θαυμασιότητος, τὰ περὶ τῆς ὑγιείας δηλοῦντα τῆς σῆς. ὥσπερ γὰρ αὐτὸς μεγίστην ἔχεις παραψυχὴν τοσούτου χωρισμοῦ τὸ περὶ τῆς ὑγιείας τῆς ἡμετέρας μανθάνειν (καὶ οἶδα ἡλίκον τοῦτο ἀνδρὶ φιλεῖν ἐπισταμένῳ, ἐπεὶ καὶ φιλεῖν οἶδας καλῶς) οὕ-

τω

τω καὶ ἡμῖν περισπούδαστον τοῦτο. χαρίζου δὴ ταύτην ἡμῖν τὴν χάριν, ἵνα καὶ ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

πζ. ΕΥΗΘΙΩ.

ΕΙ καὶ τῷ σώματι κεχωρίσμεθά σου τῆς εὐγενείας, ἀλλὰ τῇ ἀγάπῃ συνδεδέμεθά σου τῇ ψυχῇ. τοιαῦτα ἐνέχυρα φιλίας ἡμῖν ἐναπέθου, πολλὴν περὶ ἡμᾶς τὴν θεραπείαν καὶ τὴν διάθεσιν ἐπιδειξάμενος αὐτόθι. διὰ τοῦτο ὅπουπερ ἂν ἀφικώμεθα, οὐ παυόμεθα χάριτας ὁμολογοῦντες τῇ εὐγενείᾳ τῇ σῇ, καί σε παρακαλοῦμεν συνεχῶς ἡμῖν καὶ αὐτὸν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι. ἡμεῖς γὰρ τὴν ὁδὸν ἅπασαν ἀπραγμόνως καὶ μετὰ ἀσφαλείας διανύσαντες ἐν τῇ Κουκουσῷ διατρίβομεν, ἐντρυφῶντες τῇ ἡσυχίᾳ τοῦ χωρίου καὶ τῇ ἀπραγμοσύνῃ, καὶ πολλῆς ἀπολαύοντες θεραπείας τε καὶ εὐνοίας. ἵν' οὖν καὶ περὶ τῆς ῥώσεως τῆς ὑμετέρας μανθάνοντες εὐφραινώμεθα, πυκνὰ καὶ συνεχῆ πέμπειν ἡμῖν τὰ γράμματα σπούδασον εὐαγγελιζόμενα ἡμῖν (γρ. ἡμᾶς) τὰ περὶ τῆς ὑγιείας σου, καὶ τοῦ οἴκου σου παντός. οὕτω γὰρ μεγίστην ἐντεῦθεν καρπωσόμεθα τὴν παράκλησιν.

πη. ΕΥΘΑΛΙΑ.

ΚΑν ἐλάττους δέχωμαι ἐπιστολὰς παρὰ τῆς κοσμιότητος τῆς σῆς, ὧν αὐτὸς πέμπω πρὸς τὴν σὴν ἐμμέλειαν, οὐκ ἀποστήσομαι συνεχῶς γράφων. ἐμαυτῷ γὰρ χαρίζομαι τοῦτο ποιῶν, πρὸς ψυχὴν οὕτω γνησίως περὶ ἡμᾶς διακειμένην καὶ θερμῶς, συνεχῶς ἐπιστέλλων. πλὴν ἀλλ' ἐπειδὴ σφόδρα ἡμῖν περισπούδαστον μανθάνειν ἐν τίσιν ὅρμοις (γρ. ὁρμῆς) τὰ σά, συνεχῶς καὶ γραμμάτων ἐπιθυμοῦμεν ἀπολαύειν· ἵνα μανθάνωμεν διηνεκῶς, ὅπερ ἐπιθυμοῦμεν, ὅτι ἐν εὐθυμίᾳ καὶ ἀσφαλείᾳ διάγεις πολλῇ. τούτων γὰρ ἀπολαύουσα, ὅτι πολλὴν ποιῇ τῆς ψυχῆς τῆς σῆς ἐπιμέλειαν, καὶ τὴν βιωτικὴν ὑποφέρουσα, τὴν εἰς τὸν οὐρανὸν ὁδὸν βαδίζεις, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. οἶδα γάρ σου τῆς ψυχῆς τὸ εὐγενές, καὶ ἐλευθέριον, καὶ ἀπραγμοσύνης γέμον, καὶ τῶν βιωτικῶν ἀπηλλαγμένον φροντίδων. ἐννοοῦσα τοίνυν ἡλίκα ἡμῖν χαρίζῃ τοῦτο ποιοῦσα, ἡνίκα ἂν ἐξῇ, καὶ δυνατὸν ᾖ, συνεχῶς ἡμῖν ἐπιστέλλειν, καθάπερ παρειρήκαμεν, παρακλήθητι· ὥστε πολλὴν ἡμᾶς καὶ ἐντεῦθεν τῆς ἐρημίας ταύτης, ἐν ᾗ διατρίβομεν, λαβεῖν παραμυθίαν. τὰ γὰρ ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς γράμματα, ὅταν συνεχῶς φέρηται πρὸς ἡμᾶς, τὰ περὶ τῆς ὑγιείας ὑμῶν δηλοῦντα, οὐ τῆς τυχούσης ἡμᾶς ἐμπίπλησιν εὐφροσύνης, ἀλλὰ τοσαύτην ἡμῖν ἐμποιεῖ τὴν ἡδονήν, ὡς μηδὲ μικρὰν αἴσθησιν τῆς ἐρημίας ταύτης, ἐν ᾗ διατρίβομεν, λαμβάνειν.

πθ. ΕΥΘΑΛΙΑ.

ΣΦόδρα γνησίας καὶ θερμῆς ἀγάπης ἀνακέχρωσταί σου τὰ γράμματα, εἰλικρινοῦς καὶ ἀδόλου (γρ. ἀδόλου) διαθέσεως. διὰ ταῦτά σοι πολλὰς χάριτας ὁμολογοῦμεν, καὶ ὅτι γράφεις, καὶ ὅτι τῆς γνησίας σου φιλίας τῆς περὶ ἡμᾶς μέγιστον δεῖγμα ἐκφέρεις. ὁ Θεός σοι τὸν μισθὸν δῴη τῆς τοιαύτης διαθέσεως καὶ ἐν τῷ νῦν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι, καὶ τειχίσειέ σε καὶ φρουρήσειε, καὶ ἐν πάσῃ καταστήσειεν ἀσφαλείᾳ καὶ εὐθυμίᾳ. οἶσθα γὰρ καὶ αὐτή, κυρία μου κοσμιωτάτη, ὡς οὐ μικρὰν ἡμῖν εὐφροσύνην φέρει, καὶ ταῦτα ἐν ἐρημίᾳ καθημένοις, τὸ συνεχῶς ἀκούειν κατὰ ῥοῦν σοι τὰ πράγματα φέρεσθαι. ταῦτα δὴ δήλου συνεχῶς ἡμῖν, καὶ μὴ διαλίπῃς πε-

ρὶ

εἰ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζομένη· ἵνα καὶ ἐν ἐρημίᾳ καθήμενοι, πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

ϟ. ΕΥΘΥΜΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Μηδὲν ὑμᾶς λυπείτω τὸ τῆς σχολῆς ἐξεῶσθαι· ἀλλ᾽ ἐννοοῦντες ὅσον καὶ ἐντεῦθεν ἐδέξασθε τὸν μισθόν, καὶ πῶς αὔξεται τὰ τῶν στεφάνων ὑμῖν, χαίρετε καὶ εὐφραίνεσθε ὑπὲρ τῶν παθημάτων τούτων καὶ τῶν ἐπιβουλῶν. πολλὴν γὰρ ὑμῖν συνάγει ταῦτα τὴν ἐν τοῖς οὐρανοῖς ἐμπορείαν, καὶ λαμπροτέρους ποιεῖ, καὶ μείζονα καθίστησι τὰ βραβεῖα. Στενὴ γὰρ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Καὶ ἡμῖν δὲ συνεχῶς ἐπιστέλλειν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς μὴ κατόκνει· οἶσθα γὰρ ὅπως συνδεδέμεθά σου τῇ ἀγάπῃ, καὶ πῶς, ὅπουπερ ἂν ὦ, ἐπὶ διανοίας σε περιφέρω, ἀεὶ σου "θερμὸς γενόμενος ἐραστής, νῦν δὲ πολλῷ θερμότερος, ὅσῳ καὶ λαμπρότερος ἀπὸ τῶν παθημάτων γέγονας.

Ματθ. ζ. ιδ.

[illegible]

ϟα. ΕΥΛΟΓΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἡμεῖς κἂν πρὸς αὐτὰς ἀφικώμεθα τῆς οἰκουμένης τὰς ἐσχατιάς, ἐπιλαθέσθαι σου τῆς ἀγάπης οὐ δυνάμεθα, ἀλλὰ πανταχοῦ περιφέροντες ἄπιμεν· οὕτως ἡμᾶς εἷλες καὶ ἐχειρώσω, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε. ἐπεὶ καὶ νῦν ἐν Κουκουσῷ καθήμενοι, τῷ πάσης τῆς καθ᾽ ἡμᾶς οἰκουμένης ἐρημοτάτῳ χωρίῳ, οὐ παυόμεθα διηνεκῶς τὴν χρηστότητα, τὴν γλυκύτητα, τὴν τῶν τρόπων ἐπιείκειαν, τὸ γνήσιον τῆς διαθέσεως, τὸ πεπυρωμένον, τὸ σφοδρόν, τὸν ζῆλον τὸν φλογὸς σφοδρότερον, τὴν ἄλλην ἅπασάν σου ἀρετὴν ἀναλογιζόμενοι, καὶ τῶν λογισμῶν τούτων τῇ μνήμῃ ἐντρυφῶντες, καὶ πρὸς ἅπαντας ἀνακηρύττοντες τὸ στερρόν σου τῆς γνώμης, τὸ ἀπερίτρεπτον, ὅπερ ἐπεδείξω πρὸς τοὺς πολεμήσαντας ταῖς ἐκκλησίαις, καὶ τοσούτων σκανδάλων τὴν οἰκουμένην ἐμπλήσαντας, εἰ καὶ τὰ μάλιστα τούτου οὐ δεῖται τῆς ἡμετέρας γλώττης. σάλπιγγος γὰρ λαμπρότερον αὐτὸς πᾶσι τοῖς κατὰ τὴν ἀνατολήν, καὶ πορρωτάτω οὖσι, διὰ τῶν ἔργων αὐτῶν ἀνεβόησας, ὑπὲρ τούτων χάριτας ὁμολογοῦμεν, *θαυμάζομεν καὶ παρακαλοῦμεν τὸν αὐτὸν παραμεῖναι ζῆλον ἐπιδεικνύμενον. οὐδὲ γὰρ ἴσον ἐστὶ κατὰ ῥοῦν τῶν πραγμάτων φερομένων ὀρθότητα ἐπιδείκνυσθαι, καὶ πολλῶν ὄντων τῶν ἐπιχειρούντων "καταδῦσαι τὰς ἐκκλησίας, μηδὲν ἐκεῖθεν παραλογίζεσθαι, ἀλλὰ μένειν ἀκλινῆ, τούτους ἀποστρεφόμενοι μετὰ τῆς προσηκούσης ἀνδρείας. οὐ γὰρ μικρὰ αὕτη, ἀλλὰ καὶ σφόδρα μεγίστη τῶν κατὰ θεὸν διόρθωσις. ὅτι δὲ τῆς σῆς εὐλαβείας ὑποδιακειμένης, πάντες οἱ κατὰ τὴν Παλαιστίνην κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι ἐπίσκοποι ἕψονταί σου τοῖς ἴχνεσιν, οὐδένα οἶμαι ἀμφιβάλλειν. οἶδα γὰρ σαφῶς, ὅτι ἐν τοῖς τοιούτοις κατορθώμασιν, ὥσπερ σώματι συνεχὲς κεφαλή, οὕτως αὐτὸς τῇ γλυκύτητί σου τῆς ἀγάπης συνῆψας, καὶ συνδεδέσθαι παρεσκεύασας· ὅπερ καὶ τοῦτο μέγιστον δεῖγμα τῆς σῆς ἀρετῆς.

* μυσάζομεν,

γ. καταλῦσαι

ϟβ. ΗΣΥΧΙΩ.

Ἡμεῖς "ἐπιθυμοῦμεν καὶ παρόντα σε θεάσασθαι, καὶ τῆς γλυκείας καὶ ἡδίστης σου ἀπολαῦσαι συνουσίας. ἀλλ᾽ ἐπειδὴ τοῦτο ἐργῶδες καὶ διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν, καὶ διὰ τὴν τῶν πραγμάτων ἀωρίαν, καὶ τὴν τοῦ σώματος ἀσθένειαν, τὴν ἀπὸ τῶν γραμμάτων ζητοῦμεν παράκλησιν, ἣν οὔτε σώματος ἀρρωστία, οὔτε ὁδοῦ τραχύτης διακωλῦσαι δύναται. δίδου δὲ τὴν χάριν ταύτην ἡμῖν κούφην τε οὖσαν καὶ ἀνεπαχθῆ, καὶ

γ. ἱστ.

πολλὴν

πολλὴν ἡμῖν κομίζουσαι τὴν ἡδονήν, καὶ οὐ μικρὸν τῆς ἀθυμίας τῆς ἐκ τοῦ σωματικοῦ χωρισμοῦ ὑποτεμνομένην. ἂν γὰρ ταύτης ἀπολαύσωμεν τῆς παρακλήσεως, καὶ πλησίον ἡγησόμεθα εἶναι, καὶ ἀεὶ μετὰ τῆς τιμιότητός σου. ἀρκεῖ μὲν γὰρ καὶ ἡ ἀγάπη τοῦτο ποιῆσαι· πλείονα δὲ αὐτὴ ἡ φαντασία λαμβάνει προσθήκην, ὅταν καὶ τὴν ἀπὸ τῶν γραμμάτων ἔχῃ συμμαχίαν. — γρ. αὐτῇ

5

ζγ. ΗΣΥΧΙΩ.

Αὐτὸς μὲν συγγνώμης ἀξιοῖς τυχεῖν ὑπὲρ τοῦ μὴ παραγενέσθαι, τὴν ἀῤῥωστίαν προβαλλόμενος· ἐγὼ δέ σε καὶ στεφανῶ καὶ ἀνακηρύττω τῆς γνώμης, ἀφ' ἧς καὶ παραγέγονας, καὶ τῶν ἐλθόντων οὐδὲν ἔλαττον ἔχεις παρ' ἡμῖν κατὰ τὸν τῆς ἀγάπης λόγον. ἱκανὸς δὲ ὁ Θεὸς καὶ τῆς κατεχούσης σε ἀπαλλάξαι ἀῤῥωστίας, καὶ πρὸς καθαρὰν ὑγείαν ἐπαναγαγεῖν, ἵνα σου καὶ τῆς κατ' ὄψιν ἀπολαύσωμεν εὐτυχίας. καὶ γὰρ σφόδρα ἐπιθυμοῦμέν σε ἰδεῖν, καὶ περιπτύξασθαι, καὶ τὴν φίλην ἡμῖν φιλῆσαι κεφαλήν. ἕως δ' ἂν ταῦτα τό τε ἀῤῥωστεῖν σου τὴν εὐγένειαν, καὶ ἡ τοῦ ἔτους ὥρα διακωλύῃ, οὐ παυόμεθα συνεχῶς ἐπιστέλλοντές σου τῇ τιμιότητι, καὶ τὴν ἐντεῦθεν ἡμῖν αὐτοῖς πραγματευόμενοι ἡδονήν. — γρ. ἡμῶν

10

15

ζδ. ΗΣΥΧΙΩ.

Ἐγὼ μέν σε καὶ ἰδεῖν ἐπεθύμουν, καὶ οὐκ ἄν με ἐκώλυσεν οὔτε ὁ τῶν Ἰσαύρων φόβος, οὔτε ἡ τοῦ σώματος ἀσθένεια, εἴ γε ἐπ' ἐμοὶ τὸ κινεῖσθαι, ὅπουπερ ἐβουλόμην, ἔκειτο. σὲ δὲ καίτοι κύριον ὄντα τούτου οὐδὲ οὕτως ἕλκω, οὐδὲ ἀναστῆναι οἴκοθεν παρακαλῶ καὶ πρὸς ἡμᾶς δραμεῖν, ἀλλὰ καὶ τῆς ὥρας τοῦ ἔτους τοῦτο ἐπιτρεπούσης, καὶ τῆς ἀποδημίας δι' ὀλίγου σοι γινομένης (οὐ γὰρ πολλῷ διειργόμεθα τῷ μέσῳ) ὅμως ἑλκῦσαί σε μὲν ἐνταῦθα οὐκ ἂν ἑλοίμην διὰ τὸν τῶν Ἰσαύρων φόβον· παρακαλῶ δὲ συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγείας ἐπιστέλλειν τῆς σῆς. οὐ γὰρ δήπου καὶ πρὸς τοῦτο κώλυμα τῶν λῃστῶν ἔσται σοι ἡ καταδρομή. δίδου δὲ ταύτην ἡμῖν τὴν χάριν ῥᾳδίαν τε οὖσαν, καὶ εὔκολον, καὶ πολλὴν παρέχουσαν ἡμῖν τὴν εὐφροσύνην. οἶσθα γὰρ ἡλίκα ἡμῖν χαριῇ, ταύτην περὶ ἡμᾶς ἐπιδεικνύμενος τὴν φιλοτιμίαν.

20

25

ζε. ΗΣΥΧΙΩ ΕΠΙΣΚΟΠΩ [ΣΑΛΟΝΩΝ].

30

Εἰ καὶ πολλῷ διειργόμεθα τῷ τῆς ὁδοῦ μήκει τῆς τιμιότητός σου, καὶ πρὸς αὐτὰς ἐσμὲν τῆς οἰκουμένης τὰς ἐσχατιὰς ἀπῳκισμένοι, ἀλλ' ὅμως τῷ τῆς ἀγάπης πτερῷ χρώμενοι, κούφῳ τε ὄντι καὶ ῥᾳδίας τὰς τοιαύτας ἀποδημίας ἐργαζομένῳ, πλησίον τε σου ἐσμὲν, καὶ συνεσμέν σοι, καὶ τὴν ὀφειλομένην διὰ τῶν γραμμάτων ἀποδιδόαμεν προσῤῥησιν, καί σε παρακαλοῦμεν τὴν προσήκουσαν ὑπὲρ τῶν ἐκκλησιῶν τῶν κατὰ τὴν ἀνατολὴν ποιήσασθαι σπουδήν. οἶσθα γὰρ ἡλίκος ἐστὶν ὁ μισθὸς ἐκκλησίαις πονουμέναις χεῖρα ὀρέγειν, καὶ ταραχὴν τοσαύτην εἰς γαλήνην μεταθεῖναι, καὶ πόλεμον οὕτω σφοδρὸν καταλῦσαι, καὶ ταῦτα οὐχ ὡς δεομένους ὑμᾶς τῆς παρ' ἡμῶν ὑπομνήσεως παρακαλοῦμεν (καὶ γὰρ καὶ πρὸ τῶν ἡμετέρων γραμμάτων τὰ παρ' ὑμῶν αὐτοὶ πεποιήκατε) ἀλλ' ἐπειδὴ οὐδέπω τὰ δεινὰ λέλυται, ἀλλὰ καὶ ἀκμάζει, ἀξιοῦμεν ὑμᾶς μὴ ἀναπεσεῖν, μηδὲ παρακακῆσαι· ἀλλ' ἕως ἂν μένῃ τὰ ἕλκη τὸ σῶμα τῆς ἐκκλησίας συντρίβοντα, καὶ τὰ παρ' ὑμῶν φάρμακα ἐπιτιθέναι. καὶ γὰρ ὅσῳ μετὰ πλειόνων πόνων ἀνύετε τὰ προκείμενα, τοσούτῳ πλείων ὑμῖν κείσεται καὶ ὁ μισθός.

γρ. ῥᾳδίως

35

γρ. κατὰ

40

γρ. τεθνᾶσι

γρ. μένει

ζϛ. ΗΣΥ-

ξϛʹ. ΗΣΥΧΙΩ.

Τί τοῦτο; οὕτως ἡμῶν σφοδρῶς ἐρῶν (οὐδὲ γὰρ ἔλαθεν ἡμᾶς· ἐπείπερ οὐδὲ δυνατὸν ἐραστὴν ποτὲ σφοδρὸν λαθεῖν τῶν ἐρωμένων) γράμματος ἡμᾶς οὐκ ἠξίωσας, ἀλλ' ἠνέσχου σιγῇ κατέχειν τὸν ἔρωτα; τί ποτε ἄρα τὸ αἴτιον, ἐγὼ μὲν εἰπεῖν οὐκ ἔχω· σοὶ δ' ἂν εἴη μετὰ τὸ λῦσαι τὴν σιγήν, καὶ τὴν αἰτίαν εἰπεῖν ἡμῖν τῆς σιγῆς. διὰ γὰρ τοῦτο καὶ πρότεροι τοῖς πρὸς τὴν σὴν εὔνοιαν ἐπεπηδήσαμεν γράμμασιν, ἵνα μηδὲ εἰς τοῦτό σοι καταφυγεῖν ἐξῇ. γράφε οὖν συνεχῶς ἡμῖν, δέσποτα αἰδεσιμώτατε καὶ εὐμενέστατε, καὶ πλήρου τὴν ἐπιθυμίαν ἡμῶν. καὶ γὰρ ἅπαξ χαρωθέντες ἀπὸ φήμης ψιλῆς μόνης, καὶ συνδεθέντες σου τῇ εὐνοίᾳ, οὐδ' ἂν αὐτοὶ σιγᾶν δυνηθείημεν λοιπόν, οὔτε σοῦ σιγῶντος ἀνέχεσθαι· ἀλλὰ μυρία σοι παρέξομεν πράγματα, εἰ μὴ συνεχεῖς καὶ πυκνὰς ἡμῖν πέμποις τὰς ἐπιστολάς, τῇ πυκνότητι τῶν γραμμάτων τὴν ἐκ τῆς παρουσίας σοφιζόμενος ἡδονήν.

γ. εἰ

γ. τοῦ

ξζʹ. ΗΣΥΧΙΩ.

Ἐγὼ μὲν ἐπιθύμουν καὶ μὴ γράψας πρὸς τὴν σὴν ἐμμέλειαν πρότερος δέξασθαι ἐπιστολὴν (τοῦτο γὰρ μάλιστα ἐραστοῦ σφοδροτέρου ἦν) οὐκ ἀνεμείναμεν δὲ ἡμεῖς τὰ σὰ γράμματα, ἀλλὰ πρότεροι τοῦ γράφειν ἐπεπηδήσαμεν, τὸν θερμὸν ἔρωτα, ὃν περὶ τὴν σὴν ἐμμέλειαν ἔχομεν, καὶ τούτῳ δεικνύντες. πλὴν ἀλλὰ καὶ τούτου σοι χάριν ἴσμεν. εὖ γὰρ οἶδ' ὅτι οὐκ ἐξ ὀλιγωρίας, ἀλλ' ἐκ τοῦ σφόδρα μετριάζειν τοῦτο πέπονθας. δείκνυε τοίνυν λοιπὸν μετὰ ἀδείας τὴν περὶ ἡμᾶς ἀγάπην, νιφάδας ἡμῖν πέμπων ἐπιστολῶν, δηλούσας τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. ἂν γὰρ τοιαῦτα δεχώμεθα γράμματα, κἂν πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα ἀπενεχθῶμεν, κἂν εἰς ἐρημότερον τούτου χωρίον, πολλὴν ἀπὸ τῆς ἀγάπης ὑμῶν καρπωσόμεθα τὴν παράκλησιν. οὐδὲν γὰρ οὕτω ψυχὴν ἀνέχειν δύναιτ' ἂν καὶ ἐν πολλῇ καθεστῶσαν ἀηδονῇ, ὡς τὸ φιλεῖν καὶ φιλεῖσθαι γνησίως. καὶ τοῦτο οἶσθα μάλιστα πάντων αὐτός, ἐπεὶ μάλιστα πάντων καὶ φιλεῖν οἶσθα.

γ. δύναται

ξηʹ. ΘΕΟΔΟΣΙΩ ΑΠΟ ΔΟΥΚΩΝ.

Πολλοῦ τοῦ μέλιτος τὴν ἐπιστολὴν ἀνεκέρασας, μᾶλλον δὲ καὶ μέλιτος αὐτὴν ἡδίω πεποίηκας. τὸ μὲν γὰρ ὅταν συνεχέστερον ὁμιλήσῃ τοῖς ἀπολαύουσιν αὐτοῦ τῆς γλυκύτητος, οὐκέτι ὁμοίως ἡδὺ φαίνεται, τοῦ κόρου τὴν τυραννίδα τῆς ἡδονῆς καταλύοντος· τὰ δὲ γράμματα τὰ σὰ τὴν σὴν ὑγίειαν ἡμῖν εὐαγγελιζόμενα τὴν σήν, τοσοῦτον ἀπέχει τοῦτο παθεῖν, ὅτι καὶ ἐπιτείνει τότε μάλιστα ἡμῖν τὴν εὐφροσύνην, ὅταν συνεχέστερον πέμπηται. σὺ μὲν οὖν τὴν ἐπιστολὴν περιεπτύξω τὴν ἐμήν· ἐγὼ δὲ αὐτόν σε τὸν πατέρα τῆς ἐπιστολῆς καὶ περιεπτυξάμην καὶ περιέβαλον ἄμφω τὼ χεῖρε, καὶ τῷ τραχήλῳ περιχυθείς, καὶ τὴν φίλην ἐμοὶ φιλήσας κεφαλήν, πολλὴν ἐκαρπωσάμην τὴν παραμυθίαν. οὐδὲ γὰρ ἐπιστολὴν ἐνόμιζον σὴν ἐπιέναι μόνον, ἀλλὰ καὶ αὐτὸν παρεῖναι ἡμῖν καὶ συγγίνεσθαι· τοσοῦτον ἴσχυσε τῆς ἐπιστολῆς ἡ δύναμις. τοιοῦτον γὰρ τῆς γνησίας ἀγάπης ἡ φύσις. κἂν διὰ γραμμάτων αὐτῆς προχέῃ τὰ νάματα, αὐτὴν τὴν πηγὴν τῶν γραμμάτων φαντάζεσθαι παρασκευάζει· ὃ δὴ καὶ ἡμεῖς πεπόνθαμεν. καὶ οὔτε χρόνου πλῆθος, οὔτε ὁδοῦ μῆκος, οὔτε πραγμάτων περιστάσεις, οὔτε ἄλλο οὐδὲν πρὸς

τοῦτο

γ. ἡμᾶς

τοῦτο κώλυμα γέγονεν ἡμῖν. ταῦτ' οὖν εἰδώς, δέσποτά μου θαυμασιώτατε, ἐπιστέλλειν ἡμῖν συνεχῶς μὴ κατόκνει, περὶ τῆς ὑγιείας σου, καὶ τοῦ οἴκου σου παντός, καὶ τῆς εὐθυμίας δηλῶν. οἶσθα γὰρ ὅπως ἡμῖν ταῦτα περισπούδαστον μανθάνειν.

ϟθ. ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ ΣΚΥΘΟΠΟΛΕΩΣ.

Τῷ μὲν τόπῳ μακρὰν ὑμῶν διεστήκαμεν· τῇ δὲ ἀγάπῃ ἐγγὺς ὑμῶν ἐσμεν καὶ πλησίον, καὶ αὐτῇ συνδεδέμεθα ὑμῶν τῇ ψυχῇ. τοιοῦτον γὰρ τὸ φίλτρον· οὐ κωλύεται τόπῳ, οὐ διείργεται ὁδοῦ μήκει· ἀλλὰ πᾶσαν ῥᾳδίως περιίπταται τὴν οἰκουμένην καὶ συγγίνεται τοῖς ἀγαπωμένοις. ὃ δὴ καὶ ἡμεῖς ποιοῦμεν νῦν, ἐν διανοίᾳ ὑμᾶς περιφέροντες. καὶ παρακαλοῦμεν ὑμᾶς, καθάπερ καὶ ἔμπροσθεν ἐποιήσατε, κοσμοῦντές τε ἑαυτούς, καὶ τὰς ἐκκλησίας ἀσφαλιζόμενοι, οὕτω καὶ νῦν ποιήσατε, καὶ τοὺς τοσαύτας ταραχὰς ἐμβαλόντας εἰς τὴν οἰκουμένην ἅπασαν, καὶ τὰς ἐκκλησίας διαταράξαντας ἀποστρέφεσθε μετὰ τῆς προσηκούσης ὑμῖν ἀνδρείας. τοῦτο γὰρ ἀρχὴ τῆς λύσεως τοῦ χειμῶνος, τοῦτο ἀσφάλεια ταῖς ἐκκλησίαις, τοῦτο τῶν κακῶν διόρθωσις, ὅταν τοὺς τὰ τοιαῦτα πονηρευσαμένους ὑμεῖς ὑγιαίνοντες ἀποστρέφησθε, καὶ μηδὲν κοινὸν ἔχητε πρὸς αὐτούς. ἐννοῶν τοίνυν τοῦ πράγματος τὴν ἀντίδοσιν, καὶ τοὺς ἐντεῦθεν κειμένους στεφάνους, τὴν προσήκουσαν ἀνδρείαν ἐπιδείξασθαι παρακλήθητι εἰς τοῦτο αὐτό, καὶ ἡμῶν τῶν ἀγαπώντων σε μεμνῆσθαι διηνεκῶς, τὰ μέγιστα ἡμῖν χαριζόμενος.

ρ. ΘΕΟΔΟΤΩ ΔΙΑΚΟΝΩ.

Οἶδα καὶ αὐτός, ὅτι οὐκ ἂν ἡμῖν διὰ γράμματος συνεγένου, εἰ διὰ παρουσίας ἐξῆν· ἀλλὰ πάντα ἀφείς, μεθ' ἡμῶν ἤμελλες εἶναι, εἰ μὴ κώλυμα ἦν, καὶ κώλυμα μέγιστον, καὶ ἡ τοῦ ἔτους ὥρα, καὶ τῶν πραγμάτων ἡ δυσκολία, καὶ τῶν ἐνταῦθα ἡ καθ' ἑκάστην ἡμέραν ἐπιτεινομένη πρὸς τὸ χεῖρον ἐρημία· καὶ οὐδὲν δεόμεθα τοῦτο παρὰ σοῦ μανθάνειν. ἐπεὶ γὰρ ἔγνων ἅπαξ ὅτι σφοδρὸς ἡμῶν ἐραστὴς εἶ, ἔγνων καὶ τοῦτο καλῶς. ἡμεῖς μὲν οὖν καὶ μὴ ἀναμνήσαντός σου πρὸς πάντας ἂν ἐπεστάλκαμεν· ἐθαυμάσαμεν δὲ καί σε καὶ ταύτης τῆς περὶ ἡμᾶς φιλοστοργίας, ὅτι καὶ τῷ τέλει τῆς ἐπιστολῆς παράκλησιν ὑπὲρ τούτου προσέθηκας. τοῦτο γὰρ ψυχῆς σφόδρα μεριμνώσης τὰ ἡμέτερα, φροντιζούσης, κηδομένης, γνησίως ἀγαπᾶν ἐπισταμένης. τοῖς μὲν οὖν ἄλλοις ἅπασιν ἐπεστάλκαμεν· ἐπειδὴ δὲ καὶ τῇ κυρίᾳ μου Καρτερίᾳ πρώην ἦμεν ἐπεσταλκότες, ἔγνωμεν δὲ αὐτὴν μὴ διατρίβειν ἐκεῖσε, ἀλλὰ μακρὰν ὁδὸν ἀποδεδημηκέναι, εἰ μὲν οἷόν τε ἐκπεμφθῆναι τὰ γράμματα τὰ ἡμέτερα ἐκεῖ, καὶ τοῦτο γινέσθω, ἐὰν δοκιμάσῃς. εἰ δὲ μὴ δυνατόν, τοῖς γοῦν κυρίοις μου τοῖς τιμιωτάτοις καὶ εὐγενεστάτοις τοῖς περὶ Μαρκελλῖνον ἐντυχὼν διαλέχθητι, ὥστε αὐτῇ, εἴ ποτε ἐπιστέλλοιεν, ἀπολογήσασθαι ὑπὲρ ἡμῶν, ὡς οὐκ ἐρρᾳθυμηκότων, οὐδὲ τὸν μεταξὺ χρόνον σεσιγηκότων, ἀλλ' ὑπὸ τῆς μακρᾶς αὐτῆς ἀποδημίας κωλυθέντων συνεχέστερον ἐπιστέλλειν πρὸς αὐτήν.

ρα. ΘΕΟΔΟΤΩ ΔΙΑΚΟΝΩ.

Ταχέως ἡμῶν ἐπελάθου, τῷ χωρισμῷ σου σφόδρα λυπηρῷ ἡμῖν γεγενημένῳ καὶ τὴν ἀπὸ τῆς σιγῆς τῆς μακρᾶς προσθεὶς ἀθυμίαν. καὶ οὐδὲ εἰς χρόνου στενοχωρίαν ἔχεις καταφυγεῖν. ἱκανὸν γὰρ τῶν ἡμερῶν τὸ πλῆθος πολλὴν ὁδοιπόρῳ παρασχεῖν εὐκολίαν πρὸς ἐπάνοδον. ἀλλ' οὐδὲ τὰ Ἰσαυρικὰ προβαλλομένου ἀνασχοίμεθα ἄν, ἐπειδὴ σφόδρα σε φιλοῦμεν. καὶ γὰρ πολλοὶ τῶν ἐκεῖθεν μετὰ τὴν σὴν ἀποδημίαν ἐνταῦθα παραγενόμενοι. τί

οὖν

οὖν ἐστὶ τῆς σιγῆς τὸ αἴτιον; ὄκνος καὶ ῥαθυμία. ἀλλ' ὅμως ἀφίεμέν σοι τῶν ἐπὶ τῇ προτέρᾳ ὀλιγωρίᾳ ἐγκλημάτων, ἂν βουληθῇς εἰς τὸ ἑξῆς τῇ πυκνότητι τῶν γραμμάτων διορθῶσαι τὸ παροφθέν. οἶσθα γὰρ ὅπως ἡμῖν χαριῇ, συνεχῶς ἡμῖν ἐπιστέλλων τὰ περὶ τῆς ὑγιείας τῆς σῆς.

ρβ. ΘΕΟΔΟΤῼ ΑΠΟΚΟΝΣΟΥΛΑΡΙΩΝ.

Τοῦτο πατήρ, τὸ μὴ μόνον μὴ δυσχεραίνειν τοῦ παιδὸς τὴν ἀληθῆ φιλοσοφίαν φιλοσοφοῦντος, ἀλλὰ καὶ συνωθεῖσθαι καὶ πάντα ποιεῖν, ὅπως εἰς ἄκρον αὐτῆς ἀφίκοιτο· καὶ μηδὲν τὸ πόρρωθεν εἶναι καὶ πατρίδος καὶ οἰκίας καὶ τῶν σῶν ὀφθαλμῶν βαρύνεσθαι· ἀλλὰ νῦν μᾶλλον αὐτὸν ἡγεῖσθαι πλησίον ἔχειν, ὅτε αὐτὸς τὰ τῆς ἀρετῆς ἐπιδίδωσι. διὰ ταῦτά σοι καὶ ἡμεῖς πολλὰς χάριτας ἴσμεν καὶ τεθαυμάκαμεν, πῶς τοιοῦτον ἡμῖν δῶρον δεδωκὼς τὸν υἱόν, ἐνόμισας δεῖν σοι καὶ ξενίων εἰς τιμὴν τὴν ἡμετέραν. τὴν μὲν οὖν τιμὴν τὴν ἐκ τῶν πεμφθέντων ἐδεξάμεθα· αὐτὰ δὲ ἀντεπεστάλκαμεν, οὐχ ὑπερορῶντές σου τῆς εὐνοίας (πῶς γάρ, τοῦ οὕτω σφοδρῶς ἡμῶν ἐρῶντος;) ἀλλ' ἡγούμενοι περιττὸν εἶναι τούτων τὴν ἀπόλαυσιν διώκειν, ὧν ἐν χρείᾳ οὐ καθεστήκαμεν. τὸν μέντοι καλὸν Θεόδοτον τὸν υἱὸν ἀναγνώστην ἐβουλόμεθα μὲν παρ' ἑαυτοῖς κατέχειν, καὶ πλατεῖν. ἐπειδὴ δὲ πάντα τὰ ἐνταῦθα φόνων, ταραχῆς, αἱμάτων, ἐμπρησμῶν ἐμπέπλησται, τῶν Ἰσαύρων πάντα σιδήρῳ καὶ πυρὶ ἀναλισκόντων, καὶ τόπους ἐκ τόπων ἀμείβοντες καθ' ἑκάστην μετοικισάμενοι τὴν ἡμέραν, ἀναγκαῖον εἶναι ἐνομίσαμεν ἐκπέμψαι αὐτόν, πολλὰ παραγγείλαντες τῷ κυρίῳ μου τῷ εὐλαβεστάτῳ διακόνῳ Θεοδότῳ ἐπιμελεῖσθαι αὐτοῦ διηνεκῶς, καὶ πολλὴν αὐτοῦ ποιεῖσθαι πρόνοιαν. τοῦτο δὴ καὶ αὐτὸς κατορθωθῆναι σπούδασον τῷ παιδί, καὶ πάντως ἡμῶν ἐπαινέσῃ τὴν συμβουλήν, καὶ πολλὴν εἴσῃ τῆς παραινέσεως ταύτης χάριν ἡμῖν.

ργ. ΘΕΟΔΟΤῼ ΔΙΑΚΟΝῼ.

Αὐτὸς μέν, κύριέ μου τιμιώτατε καὶ εὐλαβέστατε, τῶν χιόνων ἐν Ἀρμενίᾳ ἀπηλλάγης κακῶν· ἡμᾶς δὲ μετὰ τῶν ἐνταῦθα θορύβων, μᾶλλον δὲ τῶν θανάτων τῶν καθημερινῶν, οὐχ ὡς ἔτυχε λυπεῖ καὶ τὸ τῆς σῆς κεχωρίσθαι γλυκύτητος καὶ τῆς γνησίας καὶ εἰλικρινοῦς διαθέσεως. γέγονε δὲ καὶ ἑτέρα λύπης ταύτης προσθήκη, ἡ μακρά σου τῆς ἐμμελείας σιγή. ἐξ οὗ γὰρ ἐντεῦθεν ἀπῆρας, δευτέραν ταύτην ἐδεξάμεθα μόνην ἐπιστολήν. καὶ ταῦτα οὐκ ἐγκαλῶν λέγω, ἀλλ' ἀλγῶν. ὅτι μὲν γὰρ ἄβατος ὁδοιπόροις ἡ ἐνταῦθα φέρουσα ὁδός, οὐδεὶς ἀγνοεῖ· ἀλλὰ τοῦτο μὲν εἰς ἀπολογίαν σοι ἀπόχρη ἂν εἴη, εἰς δὲ ἡμετέραν παραμυθίαν οὐδαμῶς· ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἀλγοῦμεν, ὅτι καὶ τὴν λειπομένην ἡμῖν παραψυχὴν τῆς ἀποδημίας τῆς σῆς καὶ ταύτην ἀφῃρήμεθα. ἐπεὶ οὖν τοῦτο λυθῆναι τέως οὐκ ἔνι τὸ ἄπορον, ἀλλ' ἐπιτείνεται καθ' ἑκάστην ἡμέραν τὰ δεινά, ἑτέρῳ τρόπῳ τὴν ἐκ τῆς μακρᾶς σιγῆς ἀθυμίαν ἐγγινομένην ἡμῖν παραμυθήσασθαι παρακλήθητι, μεμνημένος τε ἡμῶν διηνεκῶς, καὶ ἡνίκα ἂν γράφῃς, μακροτέρας ποιῶν τὰς ἐπιστολάς, καὶ τοῖς περὶ τῆς σῆς ὑγιείας τε καὶ εὐθυμίας καὶ ἀσφαλείας ἐνδιατρίβων διηγήμασιν. οὕτω γὰρ δυνήσῃ τὸ λεῖπον ἡμῖν ἐκ τοῦ χρόνου, ἐκ τοῦ μήκους παραμυθήσασθαι τῶν ἐπιστολῶν.

ἢ. πότε
ἢ. ἐπειδὰν
ἢ. παραμυθεῖσθαι

ρδ. ΤΩ ΑΥΤΩ.

Καὶ τοῦτό σου τοῦ θερμοτάτου καὶ σφοδροῦ ἡμῶν ἐραστοῦ. μετὰ γὰρ τὸ τὴν προτέραν ἀναγνῶναι ἐπιστολήν, ἐδεξάμην καὶ δευτέραν, ἐν μιᾷ ἀμφοτέρας ἡμέρᾳ, καὶ σφό-

δρα ἥσθην. Εἶχε γάρ τι πλέον ἢ δευτέρα, οὐχὶ ῥήματα σὰ μόνον, ἀλλὰ καὶ γράμματα σὰ ἡμῖν ἐπιδεικνῦσα· ὃ καὶ προσθήκην ἡμῖν ἐποίησεν ἡδονῆς, ὅτι μὴ τῆς ψυχῆς σου μόνον τῆς θερμῆς καὶ γνησίας, ἀλλὰ καὶ τῆς δεξιᾶς μετὰ δαψιλείας τὴν εἰκόνα ἐθεασάμεθα. ποίει δὲ τοῦτο συνεχῶς, καὶ τὴν παραμυθίαν, ἣν αὐτὸς ἡμῖν καὶ τοῦτον ἐπενόησας τὸν τρόπον, μετὰ δαψιλείας παρέχε. ἐνταῦθα γάρ σε ἑλκῦσαι λοιπὸν οὐ τολμῶμεν· τοσαῦτα τῆς Ἀρμενίας τὰ κακά, καὶ χειμὼν ἕτερος ἅπαντα διεδέξατο. ὅπου γὰρ ἄν τις ἀφίκηται, χειμάρρους αἱμάτων, πλῆθος σωμάτων νεκρῶν, οἰκίας κατεσκαμμένας, πόλεις ἀνῃρημένας ὄψεται. ἡμεῖς δὲ δοκοῦμεν ἐν ἀσφαλείᾳ εἶναι, ὥσπερ ἐν δεσμωτηρίῳ χαλεπωτάτῳ, τῷ φρουρίῳ τούτῳ κατακεκλεισμένοι. οὐ μὴν ἀδείας ἀπολαύειν δυνάμεθα διὰ τοὺς καθ' ἡμέραν φόβους, διὰ τὰς φήμας τὰς θανάτων γεμούσας, διὰ τὴν συνεχῶς προσδοκωμένην τῶν Ἰσαύρων ἔφοδον, διὰ τὴν τοῦ σώματος, ᾗ μέχρι νῦν προσπαλαίομεν, ἀσθένειαν. ἀλλ' ὅμως καὶ ἐν τοσούτοις ὄντες κακοῖς, οὐ μικρὰν καὶ ἐν τοσαύτῃ περιστάσει καρπούμεθα παραμυθίαν, ὅταν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενα δεχώμεθα γράμματα.

ρε'. ΘΕΟΔΟΤΩ ΑΝΑΓΝΩΣΤΗ.

ΜΗ κάμνε ζητῶν ἀπολογίαν τοῦ ταχέως ἐντεῦθεν ἀποδημῆσαι, καὶ ἐπὶ τὴν τῶν ὀφθαλμῶν ἀσθένειαν καὶ ἐπὶ τὸν κρυμὸν καταφεύγων, καὶ τούτοις λογιζόμενός σου τὴν ἀποδημίαν. ἡμεῖς γάρ σε καὶ παρεῖναι καὶ μεθ' ἡμῶν εἶναι οὐκ ἔλαττον, ἢ καὶ ἔμπροσθεν λογιζόμεθα κατὰ τὸν τῆς ἀγάπης λόγον, καὶ προσδοκῶμεν καὶ τῆς κατ' ὄψιν ἀπολαύσεσθαί ποτε συντυχίας. μηδὲν οὖν σε τούτων θορυβείτω. εἰ γὰρ ἐκ τῆς Ἀρμενίας ἀπήγαγέ σε ὁ χειμών, ἀλλὰ τῆς ἡμετέρας ψυχῆς οὐκ ἐξέβαλεν· ἀλλ' ἐπὶ διανοίας σε περιφέρομεν διηνεκῶς. καὶ εἰ μὴ ὁ τῶν Ἰσαύρων πόλεμος πᾶσαν ἀποτειχίσας ὁδὸν ἐν ἀπορίᾳ κατέστησεν ἡμᾶς τῶν τὰ γράμματα διακομιζόντων, κἂν νιφάδας σοι πολλάκις ἐπέμψαμεν ἐπιστολῶν· νῦν μέντοι τῇ γλώττῃ τὸν παρελθόντα σεσιγήκαμεν χρόνον, τῇ γνώμῃ δὲ οὐδαμῶς· ἀλλ' ἀεί σε καὶ τὰ σὰ μεριμνῶμεν, καὶ τό γε ἡμέτερον μέρος συνεχῶς ἐπεστάλκαμεν. τοῦτο οὖν εἰδώς, μεθ' ἡμῶν τε εἶναι νόμιζε, καὶ σὺν ἡμῖν ἐν Ἀρμενίᾳ διατρίβειν· κἂν τις ἐπιβουλεύειν ἐπιχειρῇ καὶ κακῶς ποιεῖν, ὑψηλότερος γίνου τῶν ἐντεῦθεν βελῶν· ἐπειδήπερ οὐ τὸ πάσχειν κακῶς, ἀλλὰ τὸ ποιεῖν κακῶς, τοῦτ' ἔστι τὸ πάσχειν κακῶς. ἡμεῖς γάρ σε καὶ διὰ τοῦτο μειζόνως θαυμάζομεν, καὶ τὴν στερρότητά σου καὶ τὴν ἀνδρείαν ἐπαινοῦμεν, ὅτι καὶ τοσαύτης σε ζάλης περιαντλούσης ἕστηκας, ἀνώτερος τῶν ἐντεῦθεν θορύβων γινόμενος. μένε δὲ μετὰ πολλῆς τῆς ἡδονῆς τὸ γαληνὸν τοῦτο καὶ ἀκύμαντον πλέων πέλαγος· καὶ μὴ θαυμάσῃς, εἰ σου πολλῶν ἐπιβουλῶν μεμνημένου, ἐγὼ τὸ πέλαγος ἀκύμαντον καλῶ. οὐ γὰρ ἀπὸ τῆς τῶν ταραττόντων γνώμης, ἀλλ' ἀπὸ τῆς κατ' ἀρετὴν ἡσυχίας ταύτην φέρω τὴν ψῆφον. τί δέ ἐστιν ὅ φημι; ὁ μέγας οὗτος καὶ ὑψηλὸς βίος καὶ πρὸς τὸν οὐρανὸν τεταμένος, τῇ μὲν φύσει τῶν πραγμάτων δυσχερὴς ὡς εἶναι δοκεῖ· τῇ δὲ ἀνδρείᾳ τῶν μετιόντων καὶ τῇ προθυμίᾳ εὔκολος σφόδρα γέγονε. καὶ τὸ θαυμαστὸν τῆς φιλοσοφίας ταύτης τοῦτο μάλιστά ἐστιν, ὅτι τῆς θαλάττης μαινομένης, ἐξ οὐρίας πλεῖ καὶ μετὰ πολλῆς τῆς γαλήνης ὁ γνησίως αὐτὴν μετιὼν καὶ θερμῶς· καὶ ὅτι πολλῶν πολλαχόθεν θορύβων ἐγειρομένων ἡσυχίαν καρποῦται καθαράν, καὶ μυρίων πανταχόθεν πεμπομένων βελῶν ἕστηκεν ἄτρωτος, δεχόμενος μὲν τὰ ἀκόντια, πάσχων δὲ ἐντεῦθεν οὐδέν. ταῦτ' οὖν εἰδὼς καὶ διηνεκῶς ἐν τούτοις φιλοσοφῶν, καρποῦ τὴν ἀμάραντον ἡδονήν, ἀναμένων τοὺς ἐκεῖ τῶν καλῶν πόνων τούτων κειμένους σοι παρὰ τῷ Θεῷ στεφάνους, καὶ γράφε συνεχῶς ἡμῖν, ὁσάκις ἂν ἐξῇ, τὰ περὶ τῆς ὑγιείας σου δηλῶν τῆς κατὰ ψυχήν, καὶ τῆς κατὰ τὸ σῶμα, καὶ τὴν σχολὴν ἅπασαν εἰς τὴν τῶν θείων ἀνάλισκε γραφῶν ἀνάγνωσιν, τοσούτοις αὐ-

ταῖς ὁμιλιῶν, ὅσον καὶ ἡ τῶν ὀφθαλμῶν ἀσθένεια ἐπιτρέπει· ἵν', εἴ ποτε γένοιτο καιρὸς ἡμῖν καὶ τὰ νοήματα αὐτῶν ἐνθεῖναι τῇ εὐγενεστάτῃ σου ψυχῇ, μετὰ πολλῆς τοῦτο ποιήσωμεν τῆς εὐκολίας. οὐ γὰρ μικρὸν εἰς τοῦτο δυνήσεταί σοι συντελέσαι τὸ μαθεῖν τὰ ἐγκείμενα γράμματα, ἵνα ἂν μέλλῃς τὰ ἐν τούτοις νοήματα ὑποδέχεσθαι.

ρς'. ΘΕΟΔΟΤΩ ΔΙΑΚΟΝΩ.

Παύσαι κατηγορῶν ἡμῶν βραδυτῆτος, μὴ σαυτὸν πρότερον ἑλὼν ἐγκλήμασι. τοσαύτας γὰρ ἐπιστολὰς δεξάμενος παρ' ἡμῶν, ὅσας ἐπέσταλκας, πλὴν μιᾶς, ὥσπερ νιφάδας πέμπων γραμμάτων, οὕτως ἔφης τῇ γοῦν συνεχείᾳ ἀναστήσειν ἡμᾶς πρὸς τὸ γράφειν [οἰόμενος]. ἔστι μὲν οὖν καὶ μὴ γράφοντα φιλεῖν, πλὴν ἀλλ' ἐγὼ καὶ γράφων οὐ διέλιπον, καὶ φιλῶν οὐ παύομαι. ἀλλὰ κἂν χρόνος γένηται μακρότερος ὁ μεταξὺ τοῦ χωρισμοῦ τοῦ ἡμετέρου, κἂν εἰς ἐρημότερον ἀπενεχθῶμεν χωρίον, οὔτε ἐκβαλεῖν σε τῆς ψυχῆς δυνάμεθα, οὔτε μὴ διηνεκῶς ἀκμάζουσαν διατηρεῖν τὴν περὶ σὲ διάθεσιν. ταῦτ' οὖν εἰδὼς γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. πλείων γὰρ ὑμῖν ἡ εὐκολία τούτου, ἢ ἡμῖν. εἰ δὲ ἡ τοῦ ἔτους ὥρα διακωλύει, καὶ τῶν Ἰσαυρικῶν κακῶν ἡ σφοδρότης, εἰδότες σου τὴν γνώμην, ἣν περὶ ἡμᾶς ἔχεις, ἀρκοῦσαν τῆς μακρᾶς σιγῆς ἔξομεν παραμυθίαν.

ρζ'. ΘΕΟΔΟΤΩ ΔΙΑΚΟΝΩ.

Οὐ μικρὰν εἴχομεν παραμυθίαν ἐν ἐρημίᾳ τοσαύτῃ, τὸ συνεχῶς δύνασθαι ἐπιστέλλειν σου τῇ γλυκύτητι. ἀλλὰ καὶ τοῦτο ἡμᾶς παρείλετο τῶν Ἰσαυρικῶν κακῶν ἡ ἐπίτασις. ἐπιστάντος γὰρ τοῦ ἔαρος, ἤνθησε καὶ τὰ τῆς ἐκείνων ἐφόδου, καὶ πάντα γοῦν τῶν ὁδῶν εἰσιν ἐκκεχυμένοι, πᾶσιν ἀβάτους ποιοῦντες τὰς λεωφόρους. ἤδη γοῦν καὶ γυναῖκες ἐλεύθεραι ἑάλωσαν, καὶ ἄνδρες ἐσφάγησαν. διὸ παρακαλῶ σε συγγινώσκειν ἡμῖν μὴ συνεχῶς γεγραφηκόσιν. ἐπεὶ δὲ εὖ οἶδα ὅτι περισπούδαστόν σοι μανθάνειν τὰ περὶ τῆς ὑγιείας ἡμῶν, δεινοπαθήσαντες χαλεπῶς κατὰ τὸν παρελθόντα χειμῶνα, ὀλίγον ἀνενέγκαμεν νῦν, καὶ διαταραχθέντες πάλιν τῇ ἀνωμαλίᾳ τοῦ ἀέρος (ἔτι γὰρ καὶ νῦν χειμὼν ἐνταῦθα ἀκμάζων) ὅμως προσδοκῶμεν τὰ λείψανα τῆς ἀρρωστίας ἀποθέσθαι, καθαρῶς φανέντος τοῦ θέρους. οὐδὲν γὰρ ἡμῖν τὸ σῶμα οὕτω λυμαίνεται, ὡς κρυμὸς, οὔτε ὀνίνησιν, ὡς θέρος καὶ ἡ τοῦ θάλπεσθαι παραμυθία.

ρη'. ΘΕΟΔΟΤΩ ἈΠΟΚΟΝΣΟΥΛΑΡΙΩ.

Πολλά σοι τὰ ἀγαθὰ γένοιτο, ὅτι τὸν υἱὸν μετὰ τοσαύτης ὑπεδέξω τιμῆς. τοῦτο γὰρ αὐτὸς ἡμῖν ἐδήλωσε καὶ οὐκ ἔκρυψεν, ὁμοῦ τε τὴν περὶ τὸν πατέρα εὐγνωμοσύνην ἐπιδεικνύμενος, καὶ ἡμᾶς πολλῆς ἐμπλῆσαι βουλόμενος ἡδονῆς. ἐπεὶ καὶ ἡμετέραν διπλῆν ἡγούμεθα εἶναι τὴν τιμὴν, τῷ τε ἡμᾶς αὐτοὺς εὖ πεπονθέναι νομίζειν, ἅπερ ἂν ἐκεῖνος εὖ πάθῃ, τῷ τε καὶ ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων πολλὴν αὐτῷ γενέσθαι τὴν προσθήκην ταυτησὶ τῆς εὐνοίας. εὖγε δὴ, δέσποτά μου αἰδεσιμώτατε καὶ εὐγενέστατε, θεράπευε τὸ καλὸν τοῦτο φυτόν. τίς δέ ἐστι τῆς θεραπείας ὁ τρόπος; ἣν τὸν ἔρωτα τῆς καλλίστης ταύτης φιλοσοφίας, ἣν μέτεισι νῦν, τρέφῃς ἐν αὐτῷ διηνεκῶς, καὶ ἀκμάζειν παρασκευάζῃς. οὕτω γὰρ καὶ ταχέως ἡμῖν οἴσει τοὺς καρπούς. αἱ γὰρ γενναῖαι ψυχαὶ οὐ μιμοῦνται τὴν βραδυτῆτα

τουτονὶ τῶν φυτῶν τῶν τοῖς κόλποις τῆς γῆς παρακατατιθεμένων, ἀλλ' ὅμως τε φυτεύονται ἐν τῇ καλλίστῃ τῆς ἀρετῆς ταύτης ἐπιθυμίᾳ, καὶ πρὸς αὐτὸν ἀνατείνονται τὸν οὐρανόν, καὶ τοσαύτην ἐπιδείκνυνται τῶν καρπῶν τὴν φοράν, ὡς ἅπαντα ἀποκρύπτειν πλοῦτον καὶ τῇ δαψιλείᾳ καὶ τῇ φύσει. οὐ γὰρ τῷ παρόντι συγκαταλύονται βίῳ, ἀλλὰ πρὸς τὴν μέλλουσαν ἡμῖν συναποδημοῦσι ζωήν.

ρθ. ΘΕΟΔΟΤΩ, ΝΙΚΟΛΑΩ, ΧΑΙΡΕΑ, ΠΡΕΣΒΥΤΕΡΟΙΣ καὶ μονάζουσι.

Ὑμεῖς μὲν τῶν Ἰσαύρων αἰτιᾶσθε τὴν καταδρομὴν τῆς ἀποδημίας τῆς ὑμετέρας· ἐγὼ δὲ ὑμᾶς καὶ παρεῖναί φημι καὶ συνεῖναι ἡμῖν, καὶ οὐδὲν οὐδὲ ἐντεῦθεν γενέσθαι κώλυμα πρὸς τὴν ἄφιξιν ὑμῶν. τοιαῦτα γὰρ τῆς ἀγάπης τὰ πτερά· ἀθρόον καὶ μετὰ πολλῆς εὐκολίας πανταχοῦ παραγίνεται, κἂν μυρία τὰ κωλύματα ᾖ. εἰ δὲ καὶ τῆς σωματικῆς ὑμῶν ἀπεστερήμεθα παρουσίας, μὴ διαλίπητε εὐχόμενοι, καὶ δώσει καὶ ταύτην ὁ φιλάνθρωπος Θεός. ἐπεὶ καὶ αὐτὸς διηνεκῶς ὑμᾶς ἐν διανοίᾳ περιφέρων, οὐχ ὡς ἔτυχε καὶ τῆς κατ' ὄψιν ἐρῶ συντυχίας. καὶ εὖ οἶδα ὅτι καὶ αὕτη ἔσται, μετ' ἐκτενείας ὑμῶν παρακαλούντων τὸν δυνάμενον πάντα λῦσαι χειμῶνα, καὶ εἰς γαλήνην λευκὴν ἅπαντα ἀγαγεῖν. ἵνα δὲ καὶ τὰ ἡμέτερα μαθόντες εὐφραίνησθε, πολλῆς ἀπολαύομεν ἡσυχίας καὶ ἀπραγμοσύνης. τὸ σῶμα ἡμῖν, καίτοι πολλῶν ὄντων τῶν λυμαινομένων αὐτοῦ τὴν ὑγείαν (καὶ γὰρ καὶ ἰατρῶν ἀπουσία, καὶ ἀναγκαίων ἀπορία (οὐδὲ γάρ ἐστιν ὤνιον ἐνταῦθα, οὐ φαρμάκων εὐπορία) καὶ ἀέρος δυσκρασία (τοῦ κρυμοῦ γὰρ οὐκ ἔλαττον ἡμᾶς τὸ θέρος λυπεῖ, ἀπεναντίας τοῦ κρυμοῦ μιμούμενοι τὴν σφοδρότητα) καὶ πολιορκία χαλεπὴ καὶ διηνεκής, καὶ συνεχεῖς καὶ ἐπάλληλοι φόβοι τῶν Ἰσαυρικῶν ἐφόδων) τούτων τοίνυν καὶ ἑτέρων πλειόνων ὄντων τῶν διαφθειρόντων τὴν ῥῶσιν, τέως τοῦ μὲν κινδύνου τοῦ χαλεποῦ καὶ τῆς τοιαύτης ἀπηλλάγμεθα ἀρρωστίας, ὑγιαίνομεν δέ τινα ὑγίειαν σύμμετρον. μὴ δὴ διαλίπητε καὶ αὐτοὶ συνεχῶς ἡμῖν ἐπιστέλλοντες, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας εὐαγγελιζόμενοι. καὶ γὰρ παράκλησιν μεγίστην καὶ παραμυθίαν καὶ θησαυρὸν πολλῶν γέμοντα ἀγαθῶν, τὴν ὑμετέραν ἀγάπην εἶναι νομίζομεν. καὶ ὅταν τὴν διάθεσιν ὑμῶν τὴν γνησίαν καὶ τὸ ἀπερίτρεπτον τῆς γνώμης καὶ τὴν ἀκλινῆ καὶ στεῤῥὰν ὑμῶν ἐννοήσωμεν ἀγάπην (ἀεὶ δὲ αὐτὴν ἐννοοῦντες οὐ παυόμεθα) ὥσπερ εἴς τινα λιμένα εὐρὺν καὶ ἀκύμαντον ἀπὸ τῶν πολλῶν καταπλέομεν θλίψεων.

γρ. ἀκλονῆ. ἄλλ. ἀκλιν.

ρι. ΘΕΟΔΟΤΩ ΔΙΑΚΟΝΩ.

Οὐδὲ αὐτὸς ἀγνοῶ, ὅτι πάλαι μὲν ἡμῶν ἔμελλες εἶναι, εἰ μὴ τῶν Ἰσαύρων ὁ φόβος διετείχιζεν. ὁ γὰρ ἐν κρυμῷ πάντα πηγνύντι καὶ χιόνι τοσαύτῃ δραμεῖν ἐνταῦθα ἀναδεχόμενος, πολλῷ μᾶλλον τοῦ ἦρος φανέντος, καὶ πολλῆς τῆς κατὰ τὸν ἀέρα γαλήνης οὔσης, οὐκ ἂν ἠνέσχου μένειν αὐτόθι. οἶδα γὰρ τὸ γλυκύ, καὶ προσηνές, καὶ θερμόν σου τῆς διαθέσεως, τὸ εἰλικρινές, τὴν πολλῆς γέμουσαν ἀληθείας ψυχήν. διὸ καὶ αὐτός, οὐχ ὡς ἔτυχεν, ἀθυμῶ, ὅτι ἐν τῇ οὕτως ἡμερωτάτῃ τοῦ ἔτους ὥρᾳ χειμῶνα οὐ τὸν τυχόντα ἡμῖν ἐπάγεις ἀθυμίας, τοσοῦτον ἡμῶν χωριζόμενος χρόνον. καὶ ταῦτα λέγω οὐχ ἕλκων σε ἐνταῦθα, κἂν μυριάκις αὐτὸς ἐθέλῃς (πολλῶν γὰρ ἅπαντα πολέμων ἐμπέπλησται, καὶ τοῦτο εἴσῃ διὰ τῶν ἐντεῦθεν ἑκάστοτε ἀφικνουμένων) ἀλλ' ἵνα μάθῃς ὅτι οὐδὲ ἡμεῖς, καίτοιγε ἡσυχίας καὶ ἀπραγμοσύνης πολλῆς ἀπολαύοντες, ἀλύπως εἶναι δυνάμεθα ἐνταῦθα, τῆς σῆς κεχωρισμένοι τιμιότητος. καὶ τοῦτο μαθών, συνεχῶς ἡμῖν ἐπίστελλε, μὴ μόνον διὰ τῶν παρ' ἡμῶν ἑκάστοτε ἐρχομένων, ἀλλὰ καὶ διὰ τῶν ἐκεῖθεν ἁπτομένων τῆς ὁδοῦ καὶ τῆς ἐνταῦθα ἀφίξεως. πολλὴν δέ σοι χάριν ἴσμεν, δέσποτά μου τιμιώτατε, καὶ τῆς φροντίδος καὶ τῆς μερίμνης, ἣν ἔχεις ὑπὲρ τῶν ἐν-

ταῦθα

ταῦτα θορύβων. καὶ γὰρ καθ' ἑκάστην ἡμέραν ἐπιτείνεται τὰ τῆς πολιορκίας τῆς ἐνταῦθα, καὶ ὡς ἐν παγίδι τῷ Φρουρείῳ τούτῳ καθήμεθα. ἤδη γοῦν καὶ μέσων νυκτῶν παρ' ἐλπίδα πᾶσαν καὶ προσδοκίαν στῖφος Ἰσαύρων τριακοσίων τὴν πόλιν κατέδραμον, καὶ μικροῦ ἂν καὶ ἡμᾶς εἷλον. ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ταχέως αὐτοὺς καὶ μὴ αἰσθομένων ἡμῶν ἀπέστρεψεν, ὡς μὴ μόνον τῶν κινδύνων, ἀλλὰ καὶ τοῦ φόβου ἐκτὸς γενέσθαι, καὶ ἡμέρας γενομένης τότε μαθεῖν τὰ συμβάντα. διὰ ταῦτα χαῖρε καὶ εὐφραίνου, καὶ μὴ παύσῃ τὸν Θεὸν παρακαλῶν, ὥστε ἐν ἀσφαλείᾳ ἡμᾶς καταστῆσαι πάσῃ, καὶ ἀπαλλάξαι καὶ τῆς ἐπικειμένης ἀρρωστίας. εἰ γὰρ καὶ τοῦ σφοδρῶς ἔχειν ἠλευθερώμεθα, ἀλλ' ὅμως μένει ἔτι λείψανα τῆς ἀρρωστίας ἡμῖν, συνεχῶς τῆς ἀρρωστίας ἀναμιμνήσκοντα. ταῦτα δὲ ἐπεστάλκαμεν, οὐχ ἵνα λυπήσωμεν, ἀλλ' ἵνα σε σπουδαιότερον πρὸς τὰς ὑπὲρ ἡμῶν διεγείρωμεν εὐχάς. τὸν κύριόν μου τὸν τιμιώτατον τὸν ἀναγνώστην Θεόδοτον παρακατατίθεμαί σου τῇ εὐλαβείᾳ, ὥστε κατὰ τὸ δυνατὸν ἐν πᾶσιν αὐτῷ γενέσθαι λιμένα. πολλὰ γάρ ἐστιν, ὡς ἔγνωμεν, τὰ λυποῦντα αὐτόν.

ρια. ΘΕΟΔΟΤΩ ΑΝΑΓΝΩΣΤΗ.

Τί φῄς; πλείονά σοι τῶν προσδοκηθέντων τὰ κύματα ἐπανέστη νῦν, καὶ διὰ τοῦτο ἀλγεῖς; διὰ τοῦτο μὲν οὖν τοῦτο χαίρειν ἔδει καὶ σκιρτᾶν· ἐπεὶ καὶ ὁ μακάριος Παῦλος οὕτως ἐποίει, νῦν μὲν λέγων, Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσι· νῦν δέ, Ὅτι χαίρω ἐν τοῖς παθήμασί μου. ὅσῳ γὰρ ἂν μείζων καὶ τραχύτερος ὁ χειμὼν γένηται, τοσούτῳ πλείων ἡ ἐμπορεία, λαμπρότεροι τῆς ὑπομονῆς οἱ στέφανοι, πολλὰ τὰ βραβεῖα. ἐπεὶ καὶ αὐτὸς, σοῦ μὲν ἕνεκεν, θαρρῶ (οἶδα γάρ σου τὸ ἀπερίτρεπτον καὶ ἀκλινὲς καὶ στερρόν) τῶν δὲ ἐπιβουλευόντων ἕνεκεν ἀλγῶ καὶ δακρύω, ὅτι οὓς χρὴ ἐν τάξει εἶναι τῶν θεραπευόντων, τὰ τῶν ἐχθρῶν ἐπιδείκνυνται. ἕν με λυπεῖ μόνον, τὸ τοῖς τῶν ὀφθαλμῶν σου ἀσθενείας, ὧν καὶ σφόδρα ἀξιῶ πολλὴν σε ποιεῖσθαι λόγον, ἰατροῖς τε διαλεγόμενον, καὶ τὰ παρὰ σαυτοῦ συνεισφέροντα· ὡς τῶν γε θλίψεων τῶν ἐπαγομένων σοι, ὅπερ καὶ ἔμπροσθεν εἶπον, αὐτοῖς τε χαίρειν ἀξιῶ, καὶ ἐγὼ δέ σοι συνήδομαι. οἶδα γὰρ ἴσος ἐκ τούτου τίκτεταί σοι τῆς ὑπομονῆς ὁ καρπός· μηδεὶ οὖν σε θορυβείτω, μηδὲ ταραττέτω τῶν περιεμπιπτόντων. ἓν γὰρ χαλεπὸν, ἁμαρτία μόνον· ὡς τά γε ἄλλα πάντα ἀγρυπνοῦντί σοι καὶ νήφοντι καὶ κερδῶν ὑπόθεσις ἔσται μεγίστη, καὶ τὰ ἀπόρρητα ἐκεῖνα ἀγαθὰ τὰ ἐν οὐρανοῖς μετὰ πολλῆς οἴσει σοι τῆς δαψιλείας. τοιαύτην τοίνυν καθ' ἑκάστην ἡμέραν πραγματευόμενος πραγματείαν, χαῖρε καὶ εὐφραίνου καὶ συνεχῶς ἡμῖν ἐπιστέλλειν μὴ κατόκνει. ἡμεῖς μὲν γάρ σε βουλόμεθα καὶ μεθ' ἡμῶν εἶναι· ἀλλὰ καὶ ἡ τοῦ θέρους ὁμοίως ἐστὶν ἐπαχθής. ἐδείσαμεν εἰς ἀέρων σε δυσκρασίαν ἐμβαλεῖν, μάλιστα διὰ τὸ τῶν ὀφθαλμῶν πάθος. ἔργον τοίνυν ποιησάμενος, τὸ πολλὴν τούτοις προσάγειν τὴν ἐπιμέλειαν, καὶ περὶ τούτου ἡνίκα ἂν συνεχῶς ἡμῖν ἐπιστέλλῃς, δήλου, εἴ τι κἂν μικρὸν ἄμεινόν σοι διατεθεῖεν· ἵνα καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν εὐφροσύνην.

ἴσ. λύπη δεῖ, — Ῥωμ. ε. γ. — Κολασ. α. κδ. — ἴσ. τὸ — ἴσ. ἡ τοῦ θέρους ὥρα ὁμοί. — χ. τούτων

ριβ. ΘΕΟΔΟΤΩ ΕΠΙΣΚΟΠΩ.

Εἰ μὲν οἷόν τε ἦν καὶ ἐλθεῖν καὶ περιπτύξασθαί σου τὴν εὐλάβειαν καὶ ἐντρυφῆσαί σου τῇ ἀγάπῃ διὰ τῆς παρουσίας αὐτῆς, μετὰ πολλῆς ἂν τοῦτο ἐποιησάμεθα τῆς σπουδῆς καὶ τοῦ τάχους. ἐπειδὴ δὲ τοῦτο οὐκ ἐφ' ἡμῖν κεῖται νῦν, διὰ τῶν γραμμάτων τοῦτο αὐτὸ πληροῦμεν. κἂν γὰρ πρὸς αὐτὰς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἀπενεχθῶμεν, ἐπιλαθέσθαι σου τῆς ἀ-

γάπης οὐ δυνάμεθα τῆς γνησίας καὶ θερμῆς καὶ εἰλικρινοῦς καὶ ἀδόλου, τῆς τε ἄνωθεν καὶ ἐξ ἀρχῆς, ἣν τε ἐπεδείξω νῦν. οὐδὲ γὰρ ἔλαθεν ἡμᾶς ὅσα καὶ εἶπες καὶ ἐποίησας ὑπὲρ ἡμῶν ἐσπουδάσας, δέσποτά μου τιμιώτατε καὶ θεοφιλέστατε. εἰ δὲ μηδὲν γέγονε πλέον, ἀλλὰ τὸν Θεὸν ὀφειλέτην ἔχεις τῆς σπουδῆς καὶ τῆς προθυμίας, καὶ τὸν μισθὸν ἀπηρτισμένον, καὶ ἡμεῖς οὐ παυόμεθα χάριν εἰδότες σου τῇ ὁσιότητι, καὶ πρὸς ἅπαντας διακηρύττοντές σου τὴν εὐλάβειαν, καὶ 5 παρακαλοῦντες τὴν αὐτὴν ἀγάπην διαπαντὸς ἀκμάζουσαν διατηρεῖν. οὐ γὰρ τὴν τυχοῦσαν καὶ ἐν ἐρημίᾳ καθήμενοι καρπούμεθα παράκλησιν, ὅταν τοσοῦτον ἐν καρδίᾳ θησαυρὸν καὶ πλοῦτον ἀποκείμενον ἔχωμεν, τῆς ἐγρηγορυίας καὶ γενναίας σου ψυχῆς τὴν ἀγάπην.

ριϛ΄. ΘΕΟΔΟΥΛΩ ΔΙΑΚΟΝΩ. 10

Εἰ καὶ χαλεπὸς ὁ χειμὼν καὶ πρὸς ὕψος ἐγήγερται μέγα, καὶ οἱ βουλόμενοι λυμαίνεσθαι ταῖς ἐκκλησίαις ταῖς εἰς Γοτθίαν πολλὴν ποιοῦνται σπουδὴν, πανταχῆ περιέχοντες, ἀλλ' ὑμεῖς μὴ διαλίπητε τὰ παρ' ἑαυτῶν εἰσφέροντες. κἂν γὰρ μηδὲν ἀνύσητε πλέον, ὅπερ οὐχ ἡγοῦμαι, ἀλλ' ὅμως τῆς γνώμης καὶ τῆς προθέσεως ἀπηρτισμένον ἔχετε παρὰ 15 τοῦ φιλανθρώπου Θεοῦ τὸν μισθόν. μὴ τοίνυν κάμῃς, ἀγαπητέ, σπουδάζων, μεριμνῶν, φροντίζων καὶ διὰ σαυτοῦ καὶ δι' ἑτέρων, ὧν ἂν δέῃ τι, ὥστε μηδὲν γενέσθαι ταραχῆς αὐτόθι καὶ θορύβου. πρὸ δὲ πάντων εὔχεσθε, καὶ μὴ διαλίπητε ἐκτενῶς δεόμενοι τοῦ φιλανθρώπου Θεοῦ καὶ μετὰ τῆς προσηκούσης σπουδῆς, ἵνα λύσῃ τὰ κατέχοντα νῦν κακὰ, καὶ πολλὴν παράσχῃ καὶ βαθεῖαν ταῖς ἐκκλησίαις εἰρήνην. τέως μέντοι, ὅπερ καὶ ἔμπροσθεν ἐπέσταλ- 20 κα, πάντα ποιήσατε, ὥστε ἀναβολήν τινα γενέσθαι τῷ πράγματι. καὶ γράφε ἡμῖν συνεχῶς, ἕως ἂν ἧς αὐτόθι.

γρ. πανταχῆ περιέχοντες

γρ. τῇ ἱκεσίᾳ

ριζ΄. ΘΕΟΔΩΡΑ. 25

Ἀνηλώθημεν, ἐδαπανήθημεν, μυρίους ἀπεδυόμεθα θανάτους. καὶ ταῦτα ἴσασιν ἀκριβέστερον ἀπαγγεῖλαι οἱ τὰ γράμματα ἐγχειρίζοντες, καὶ ταῦτα βραχεῖάν τινα ῥοπὴν συγγενόμενοι· πρὸς οὓς οὐδὲ διαλεχθῆναι ἠδυνήθην ὑπὸ τῶν συνεχῶν πυρετῶν καταβεβλημένος, οὓς ἔχων καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ὁδοιπορεῖν ἠναγκαζόμην, καὶ θάλπει πολιορκούμενος, καὶ ὑπὸ ἀγρυπνίας διαφθειρόμενος, καὶ ὑπὸ τῆς τῶν ἐπιτηδείων ἐρημίας 30 ἀπολλύμενος καὶ τῆς τῶν προσηκόντων ἀπορίας. καὶ γὰρ τῶν τὰ μέταλλα ἐργαζομένων καὶ τὰ δεσμωτήρια οἰκούντων χαλεπώτερα καὶ πεπόνθαμεν, καὶ πάσχομεν. ὀψὲ δέ ποτε καὶ μόλις ἐπέτυχον τῆς Καισαρείας, ὡς ἀπὸ χειμῶνος εἰς γαλήνην καὶ εἰς λιμένα ἐλθών. ἀλλ' οὐδὲ ὁ λιμὴν οὗτος ἴσχυσεν ἀνακτήσασθαι τὰ ἀπὸ τοῦ κλυδωνίου κακά. οὕτω καθάπαξ ἡμᾶς ὁ ἔμπροσθεν χρόνος κατειργάσατο. ἀλλ' ὅμως ἐλθὼν εἰς τὴν Καισάρειαν μικρὸν 35 ἀνέψυξα, ὅτι ὕδατος ἔπιον καθαροῦ, ὅτι ἄρτου οὐκ ὀδωδότος, οὐδὲ κατεσκληκότος μετέλαβον, ὅτι οὐκ ἔτι ἐν τοῖς κλάσμασι τῶν πίθων ἐλουόμην, ἀλλ' εὗρον βαλανεῖον οἷον δήποτε, ὅτι συγκεχώρημαι πως τῇ κλίνῃ προσηλῶσθαι. εἶχον καὶ πλείονα τούτων εἰπεῖν, ἀλλ' ἵνα μὴ συγχέω σου τὴν διάθεσιν, μέχρι τούτων ἵστημι τὸν λόγον, ἐκεῖνο προσθεὶς, ὅτι μὴ παύσῃ ὀνειδίζουσα τοῖς ἀγαπῶσιν ἡμᾶς, ὅτι τοσούτους ἔχοντες ἐραστὰς καὶ τοσαύτην δύναμιν πε- 40 ριβεβλημένοι οὐκ ἐτύχομεν οὗ τυγχάνουσιν οἱ κατάδικοι, ὥστε εἰς ἡμερώτερον καὶ ἐγγύτερον τοῦ κατοικισθῆναι τόπον· ἀλλὰ καὶ τοῦ σώματος ἡμῖν ἀπαγορεύοντος, καὶ τοῦ φόβου τῶν Ἰσαύρων πάντα πολιορκοῦντος, τῆς μικρᾶς ταύτης καὶ εὐτελοῦς οὐκ ἐπετύχομεν χάριτος. δόξα τῷ Θεῷ καὶ διὰ τοῦτο. οὐ παυόμεθα γὰρ αὐτὸν ἐπὶ πᾶσι δοξάζοντες. εἴη τὸ ὄνομα αὐτοῦ

γρ. μάθητι

γρ. ἀπαγ- σαντος

αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας. πολὺ δὲ ἐξεπλάγην καὶ τὸ σὸν, ὅτι τετάρτην ἐπιστολὴν ἢ
καὶ πέμπτην ἐπεσταλκὼς τῇ διαθέσει σου καὶ τῇ κοσμιότητι, μίαν ἐδεξάμην μόνην· καίτοι
γ. ἀπολίας τοῦτο δυσχερείας οὐκ ἦν, τὸ ἐπιστέλλειν συνεχέστερον. καὶ ταῦτα οὐκ ἐγκαλῶν σοι λέγω
(τὰ γὰρ τῆς ἀγάπης οὐκ ἔστιν ἀνάγκης, ἀλλὰ προαιρέσεως) ἀλλὰ σφόδρα ἀλγῶν, ὅτι ἀ-
γ. πέμψασα 5 θρόον ἐξέβαλες ἡμᾶς τῆς διανοίας τῆς σῆς, ἐν οὕτω χρόνῳ μακρῷ μίαν ἡμῖν στείλασα ἐ-
πιστολήν. εἰ τοίνυν μηδὲν φορτικὸν μηδὲ ἐπαχθὲς αἰτοῦμεν, τοῦτο ἡμῖν πρᾶξε, οὗ κυρία εἶ,
καὶ ὃ ἐπὶ σοὶ κεῖται. τῶν γὰρ ἄλλων ἕνεκεν οὐκ ἐνοχλοῦμεν, ἵνα μὴ πρός τι μηδὲν ἀνύσῃ,
καὶ φορτικοί τινες δόξωμεν καὶ ἐπαχθεῖς εἶναι σοι.

10 ## ριε′. ΘΕΟΔΩΡΑ.

Γράφομεν ὀλιγάκις τῇ κοσμιότητί σου, διὰ τὸ μὴ ῥᾳδίως ἐπιτυγχάνειν τῶν κομιζόντων
τὰ γράμματα· μέμνημαι δέ σου οὐκ ὀλιγάκις, ἀλλὰ καὶ διηνεκῶς. τὸ μὲν γὰρ ἐφ' ἡ-
μῖν κεῖται, τὸ δὲ οὐκ ἐφ' ἡμῖν· ἀλλὰ τοῦ μὲν μεμνῆσθαι διηνεκῶς αὐτοὶ κύριοι, τοῦ δὲ κομίζειν
15 τὰς ἐπιστολὰς οὐκ ἔτι. διὰ τοῦτο τὸ μὲν ἀεὶ ποιῶ, τὸ δὲ, ἡνίκα ἂν ἐξῇ. τὰς μὲν οὖν ἄλλας
ἐπιστολὰς πρόσρησιν ἐχούσας ἐπέμπομεν, ταύτην δὲ καὶ χάριτος αἴτησιν. τίς δὲ ἡ χάρις; σοὶ
τῇ παρεχούσῃ μᾶλλον, ἢ τῷ δεχομένῳ τὸ κέρδος φέρουσα, καὶ πρὸ τοῦ λαμβάνοντος τὸν διδόντα
ὠφελοῦσα. καὶ γὰρ ἦλθεν εἰς ἡμᾶς, ὅτι δὴ Εὐστάθιος τῶν προσκεκρουκότων ἐστὶ τῇ τιμιό-
τητί σου, καὶ τῆς οἰκίας τῆς σῆς ἐξέπεσε, καὶ ἀπὸ ὄψεως γέγονεν. ὅπως μὲν οὖν ἔχει τοῦ πρά-
20 γματος ἡ φύσις, καὶ τίνος ἕνεκεν τοσαύτην ὑπέμεινεν ὀργήν, εἰπεῖν οὐκ ἔχω (ἐκεῖνο γὰρ ἔ-
γνων μόνον) ἃ δὲ χρή σε παρ' ἡμῶν ἀκοῦσαι τῶν σφόδρα σου τῆς σωτηρίας ἀντεχομένων, ἐστὶ
ταῦτα. οἶσθα ὡς οὐδὲν ὁ παρὼν βίος, ἀλλὰ ἄνθη μιμεῖται ἠρινά, καὶ σκιᾶς ἀδρανῆς, καὶ ὀνει-
ράτων ἐστὶν ἀπάτη· τὰ δὲ ἀληθῆ πράγματα καὶ πεπηγότα καὶ ἀμετακίνητα, τὰ μετὰ τὴν
ἐντεῦθεν ἀποδημίαν ἡμᾶς διαδεχόμενά ἐστι. ταῦτα καὶ παρ' ἡμῶν πολλάκις ἤκουσας, καὶ
25 οἴκοθεν φιλοσοφοῦσα διατελεῖς. διόπερ οὐδὲ μακρὰν ποιοῦμαι τὴν ἐπιστολήν, ἀλλ' ἐ-
κεῖνό φαμεν· εἰ μὲν ἀδίκως τινὲς ἐπηρεάσαντες ἐξέβαλον, αἰδουμένη τοῦ δικαίου τὴν φύσιν,
διόρθωσον τὸ γεγενημένον· εἰ δὲ δικαίως, τοὺς τῆς φιλανθρωπίας τιμῶσα νόμους, τὸ αὐτὸ
διὰ τοῦτο πάλιν ποίησον, ἔνθα καὶ αὐτὴ τὸ πλέον καρπώσῃ μᾶλλον, ἢ ἐκεῖνος. ὥσπερ γὰρ ὁ
τὸν ὁμόδουλον ἀπαιτῶν τὰ ἑκατὸν δηνάρια οὐκ ἐκεῖνον τοσοῦτον ἔβλαψεν, ὅσον ἑαυτῷ χα-
30 λεπὴν ἔδωκε τὴν πληγήν, διὰ τῆς πρὸς τὸν σύνδουλον ἀκριβολογίας μυρίων ταλάντων συγ-
χώρησιν ἀνατρέψας· οὕτως ὁ παρατρέχων τὰ τοῦ πλησίον ἁμαρτήματα, ἡμερωτέρας ἑαυτῷ
ποιεῖ τὰς ἐν τῷ μέλλοντι εὐθύνας· καὶ ὅσῳ ἂν μείζονα τὰ ἁμαρτήματα ἀφῇ, τοσούτῳ καὶ αὐ-
τὸς πλείονος τεύξεται τῆς συγχωρήσεως. οὐ ταύτῃ δὲ μόνον ἐστὶ τὸ διάφορον, ἀλλὰ καὶ τῷ
δουλικὴν διδόντα χάριν, δεσποτικὴν λαμβάνειν δωρεάν. μὴ τοίνυν μοι λέγε, ὅτι τὸ καὶ τὸ
35 αὐτῷ πεπλημμέληται. ὅσῳ γὰρ ἂν δείξῃς χαλεπώτερα τὰ γεγενημένα, τοσούτῳ τῆς συγ-
χωρήσεως ἀναγκαιοτέραν ἀποφαίνεις τὴν πρόφασιν· ἐπειδήπερ πολλῷ πλείονα φιλαν-
θρωπίας ἐν τῷ μέλλοντι προαποθήσεις σαυτῇ τὴν ὑπόθεσιν. λῦσον τοίνυν τὴν ὀργήν,
γ. ἀνενέγκαι κἂν δικαία ᾖ· δάμασον τὸν λογισμόν, φιλοσόφως τὸν θυμὸν ἀνενέγκας τοῦτο θυσίαν τῷ Θεῷ·
χάρισαι καὶ ἡμῖν ἀγαπῶσί σε, καὶ δεῖξον πῶς καὶ ἀπὸ βραχείας ἐπιστολῆς τοσαύτην ἔχομεν
γ. ἀπέρακτον 40 δύναμιν. χάρισαι καὶ σαυτῇ τὰ μεγάλα ταῦτα, ἅπερ εἶπον ἐγώ, τὸ ἀτάραχον, τὸ ἐξοι-
κίσαι τῆς ψυχῆς τὸν ἐντεῦθεν θόρυβον, τὸ μετὰ πολλῆς παρρησίας καὶ ἐντεῦθεν αἰτεῖν παρὰ τοῦ φι-
λανθρώπου Θεοῦ τὴν εἰς τὴν βασιλείαν εἴσοδον. καὶ γὰρ μέγα καθάρσιον μεγάλων ἁμαρτημάτων, ἡ
εἰς τὸν πλησίον φιλοφροσύνη. ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις, φησί, τὰ παραπτώματα αὐ- Ματ. ια. κε.
τῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος. ταῦτ' οὖν ἅπαντα λογισαμένη, πέμψον
ἡμῖν

ἡμῖν ἐπιστολὴν δηλοῦσαν ὅ,τι ἰοῦσι τὰ γράμματα ἡμῶν. ὃ μὲν γὰρ ἡμέτερον ἀπήρτισται, καὶ πεποιήκαμεν, ὑπὲρ ἐσμὲν κύριοι, παρεκαλέσαμεν, ἐδεήθημεν, χάριν ᾐτήσαμεν, συνεβουλεύσαμεν ἅπερ ἐχρῆν· πᾶσα δὲ ἡμῖν ἐστιν ἡ παρὰ σοῦ λοιπὸν ἡ σπουδή. ἡμῖν μὲν γὰρ ὁ μισθὸς, ἄν τε γένηταί τι πλέον, ἄν τε μὴ γένηται, τῆς παρακλήσεως ταύτης ἀποκείσεται (ἔστι γὰρ καὶ ῥημάτων λαβεῖν ἀμοιβὴν) ὁ δὲ κάματος ἡμῖν ἅπας, ὥστε διὰ τοῦ ἔργου καὶ τὴν σὴν κερδᾶναι κοσμιότητα, καὶ ἀπὸ τῶν παρόντων κατορθωμάτων τὰ μέλλοντα καὶ ἀθάνατα ἀγαθὰ μετὰ πολλῆς καρπώσασθαι τῆς εὐκολίας.

ρις΄. ΘΕΟΔΩΡΩ ΚΟΝΣΟΥΛΑΡΙΩ ΣΥΡΙΑΣ.

Αὐτὸς μὲν ἔφης σημεῖον ποιεῖσθαι μέγιστον τοῦ ἀμελεῖν ἡμᾶς τῶν σῶν, εἰ δευτέραν μετὰ τὴν προτέραν ἐπιστολὴν ἔλθοι πρὸς τὴν σὴν λαμπρότητα παρ' ἡμῶν. ἡμεῖς δὲ εἰ τῶν εἰς τοῦτο διακονησομένων ἡμῖν εὐποροῦμεν, νιφάδας ἂν ἐπέμψαμεν γραμμάτων πρὸς ἄνδρα οὕτω χρηστὸν καὶ ἐπιεικῆ καὶ σφοδρὸν ἡμῶν ἐραστὴν, καὶ μετὰ τοσαύτης ἐπιθυμίας δεχόμενον ἡμῶν τὰς ἐπιστολάς. ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, παρακαλοῦμέν σου τὴν λαμπρότητα μὴ τῷ τῶν ἐπιστολῶν ἀριθμῷ μετρεῖν ἡμῶν τὴν ἀγάπην, ἀλλὰ καὶ σιγώντων καὶ γραφόντων, ἥνπερ καὶ ἔμπροσθεν εἶχες περὶ αὐτῆς ψῆφον, ταύτην ἀκίνητον διατηρεῖν, λογιζόμενοι ὡς τὴν σιγὴν ἡμῖν μακροτέραν οὐχ ἡ τοῦ τρόπου ῥᾳθυμία, ἀλλ' ἡ τοῦ τόπου κατασκευάζει ἐρημία.

ριζ΄. ΘΕΟΔΩΡΩ.

Ἐθαύμασα πῶς παρ' ἑτέρων ἔμαθον τὴν ῥᾳθυμίαν Σελευσίου τοῦ πρεσβυτέρου. καὶ γὰρ ἐγνωρίσθη μοι ὅτι μόλις πέντε ὁμιλίας εἶπεν ἕως Ὀκτωβρίου μηνός, καὶ ὅτι καὶ αὐτὸς καὶ Θεόφιλος ὁ πρεσβύτερος, ὁ μὲν ὄκνῳ, ὁ δὲ δειλίᾳ οὐ παραβάλλουσι τῇ συνάξει. ἀλλὰ Θεοφίλῳ μὲν σφοδρότερον ἐπέστειλα καθαψάμενος αὐτοῦ· Σελευσίου δὲ ἕνεκεν τῇ σῇ ἐπιστέλλω τιμιότητι, ἐπειδὴ οἶδα πῶς αὐτοῦ σφοδρὸς ἐραστὴς εἶ, καὶ σφόδρα χαίρω καὶ εὐφραίνομαι ἐπὶ τούτῳ. καὶ ἀλγῶ πρὸς τὴν σὴν τιμιότητα, ὅτι μοι οὐκ ἐποίησας τοῦτο δῆλον, δέον καὶ διορθῶσαι· αὐτὸς δὲ οὐδέτερον τούτων ἐποίησας. νῦν γοῦν παρακαλῶ, καὶ σαυτῷ καὶ ἡμῖν χαριζόμενος τὰ μέγιστα, διέγειρον αὐτὸν σφοδρότερον, καὶ μὴ ἔα αὐτὸν καθεύδειν, μηδὲ ἀργεῖν. εἰ γὰρ μὴ νῦν ἐν τῷ χειμῶνι τῶν πραγμάτων τούτων καὶ τῇ ζάλῃ τὴν προσήκουσαν ἐπιδείξαιτο ἀνδρείαν, πότε αὐτοῦ δεηθησόμεθα οὕτως, ὅταν γαλήνη γένηται καὶ εἰρήνη; παρακαλῶ τοίνυν, τὰ σαυτῷ πρέποντα ποιῶν, καὶ αὐτὸν καὶ πάντας διεγεῖραι εἰς τὴν σπουδὴν καὶ τὴν ἀντίληψιν τοῦ χειμαζομένου λαοῦ, ὃ καὶ πρὸ τῶν ἡμετέρων γραμμάτων εὖ οἶδ' ὅτι οἴκοθεν [καὶ] παρὰ σαυτοῦ ποιεῖς.

ριη΄. ΘΕΟΔΩΡΩ ἸΑΤΡΩ.

Αὐτὸς μὲν εἰς τὴν τῶν πραγμάτων ἀσχολίαν καταφεύγεις, καὶ ἀπολογίαν ἐντεῦθεν ὑφαίνεις τοῦ μὴ παραγενέσθαι· ἐγὼ δὲ οὐδὲν οἶμαι δεῖν τούτων σε δεῖσθαι τῶν λόγων. καὶ γὰρ παραγέγονας, καὶ τῶν ἀφικομένων πρὸς ἡμᾶς οὐδὲν ἔλαττον ἔχεις κατὰ τὸν τῆς ἀγάπης λόγον. ἀπὸ γὰρ τῆς γνώμης σε ἀνακηρύττοντες ὁμοίως ἐκείνοις, εἰς τοὺς πρώτους σε τῶν φίλων ἐνεγράφομεν, καὶ σοὶ χάριτας ἴσμεν, ὅτι ὀλίγα συγγινόμενος ἡμῖν, τάχα δὲ οὐδὲ ὀλίγα, τῶν πολλῶν ἡμῖν συντραφέντων χρόνον οὐκ ἐλάττονα περὶ ἡμᾶς ἐπιδείκνυσαι ἔρωτα.

ται. διὰ ταῦτά σοι χάριτας ἴσμεν πολλάς, καί σε παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλ-
λειν. ἐπιθυμοῦμεν γὰρ αὐτὸν παρόντα σε θεάσασθαι. ἀλλ' ἵνα μὴ πολλοὺς ἀδικήσωμεν
τοὺς καὶ τῶν χειρῶν τῶν σῶν, καὶ τῆς γλώττης δεομένους τῆς σῆς, καὶ τοσοῦτον αὐτοῖς παραχωρήσωμεν
λιμένα, οὐ τολμῶμεν ἐνταῦθά σε ἑλκῦσαι· ἀλλ', ἕως ἂν ἐξῇ, παρακαλοῦμεν συνεχῶς
5 ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι. οὕτω γὰρ καὶ πόρρωθεν ὄντες πολ-
λὴν καρπωσόμεθα τὴν παράκλησιν, ἂν τοιαύτας δεχώμεθα παρὰ τῆς σῆς ἐμμελείας ἐπιστολάς.

ριθ. ΘΕΟΦΙΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

10 Οὐκ ἐπειδή σοι τὴν θύραν ἀνέῳξα τοῦ γράφειν, δεῖξον ὡς οὐχ ὁ ὄκνος ἐποίει τὴν προ-
τέραν σιγήν, ἀλλὰ τὸ πρὶν ἡμῶν ἀναμένειν λαβεῖν τοῦ γράφειν τὴν παρρησίαν· καὶ πέμ-
πε νιφάδας ἡμῖν γραμμάτων τὴν σὴν ἀπαγγελλόντων ἡμῖν εὐδοκίμησιν. οἶσθα γὰρ ὅπως
αὐτῆς ἀντεχόμεθα. μηδὲ ἀφῇς τῆς ἀθυμίας τὴν τυραννίδα εἰς σιγήν σε ἐμβαλεῖν, ἀλ-
λὰ πάσης ἀράχνης αὐτὴν εὐκολώτερον διασπάσας φαίνου λαμπρὸς ἐπὶ τῆς παρατάξε-
15 ως, τῇ πολλῇ παρρησίᾳ καὶ ἐλευθερίᾳ συγχέων τοὺς ἐναντίους. νῦν γάρ ἐστι καιρὸς εὐδο-
κιμήσεως καὶ ἐμπορείας πολλῆς. οὐδὲ γὰρ ἔμπορος ἐν λιμένι καθήμενος τὰ φορτία συνά-
γειν δύναιτ' ἄν, ἀλλὰ μακρὰ διαπερῶν πελάγη, καὶ κύμασι καταπαλαίων, καὶ λιμῷ καὶ
θηρίοις τοῖς ἐν πελάγει πυκτεύων, καὶ πολλὰς ἑτέρας ὑπομένων δυσκολίας. ταῦτ' οὖν καὶ
αὐτὸς λογισάμενος, ὡς ὁ τῶν δεινῶν καιρὸς οὗτος τῆς ἐμπορείας ἐστὶ καιρὸς καὶ πολλῆς εὐδοκιμήσεως
20 καὶ μισθῶν ἀφάτων, διανάστησόν σου τὸ πτερὸν τῆς διανοίας, καὶ τὴν κόνιν τῆς ἀθυμίας ἀπο-
τιναξάμενος μετὰ πολλῆς τῆς εὐκολίας πᾶσαν περίτρεχε τὴν φάλαγγα, συγκροτῶν, ἀλεί-
φων, ἅπαντας διεγείρων, νευρῶν, σπουδαιοτέρους ποιῶν· καὶ ταῦτα ἡμῖν δήλου διὰ γραμ-
μάτων τῶν σῶν, μηδὲν ὑφορώμενος, εἰ κατορθώματα μέλλεις αὐτὸς ἀπαγγέλλειν τὰ σά· ἀλλ'
ὡς ἐπίταγμα ἡμέτερον λύων, χαρίζου ταύτην ἡμῖν τὴν εὐφροσύνην, ἵνα καὶ πόρρωθεν ὄν-
25 τες πολλὴν καρπωσώμεθα τὴν παράκλησιν ταῦτα ἀκούοντες παρὰ τῆς σῆς εὐλαβείας,
ἅπερ ἐπιθυμοῦμεν μανθάνειν.

γ. ὑμετέραν · γ. ἡμῖν · δύναιτο · γ. [illegible]

ρκ. ΘΕΟΦΙΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

30 Καὶ τοῦτο τῆς σῆς εὐγνωμοσύνης καὶ τῆς εὐγενοῦς σου γνώμης, τὸ μηδενὸς ἀπολελαυ-
κότα παρὰ τούτων, οἷς σε παρακατεθέμεθα, τὸ πᾶν ἀπειληφέναι νομίζειν ἀπὸ τῆς ἡμε-
τέρας προθυμίας. ἀλλ' ἡμεῖς οὐκ ἀρκεσθησόμεθα τούτῳ· ἀλλὰ καὶ τῷ κυρίῳ μου Θεοδώρῳ
τῷ ἐπαρχικῷ τῷ ἀγαγόντι ἡμᾶς εἰς τὴν Κουκουσὸν πολλὰ ταύτης ἕνεκεν διελέχθημεν
τῆς ὑποθέσεως, καὶ πολλοῖς ἐπιστέλλοντες καὶ ταῦτα ἐπεστάλκαμεν. ἂν τι οὖν γένηταί τι ἀπὸ
35 τῶν γραμμάτων πλέον τῶν ἡμετέρων, ἄν τε γράμματα μείνῃ μόνον τὰ γράμματα, μηδὲν ἀ-
νύσαντα παρὰ τοῖς ὑποδεχομένοις αὐτά, διὰ ταχέων ἡμῖν δηλῶσαι σπούδασον. καὶ γὰρ
ἐν τούτῳ μάλιστα τὴν ἀγάπην σου θαυμάζομεν, καὶ τοῦ θαρρεῖν ἡμῖν τοῦτο μέγιστον ποιού-
μεθα σημεῖον, τὸ καὶ περὶ τούτων ἡμῖν διαλέγεσθαι. δήλωσον τοίνυν ἡμῖν, ἄν τε γένηταί τι
πλέον, ἄν τε μηδέν, ἵν' εἰ μὲν τὸ πρότερον ᾖ, χάριτας ὁμολογήσωμεν τοῖς τὴν ἑαυτῶν ὠφελη-
40 κόσι ψυχὴν (ἑαυτοῖς γὰρ μᾶλλον ἢ σοὶ χαρίζονται τοῦτο ποιοῦντες) ἂν δὲ τὸ δεύτερον, ἑτέραν
τινὰ ὁδὸν σύντομον καὶ εὐκολωτέραν ἐπινοήσωμεν, δι' ἧς πάντως πάσης ἀπολαύσῃ παρα-
μυθίας, ὡς ἐν μηδεμιᾷ εἶναι στενοχωρίᾳ. ἡμῖν γὰρ αὐτοῖς τὰ μέγιστα χαριούμεθα, τῆς εὐγε-
νοῦς σου καὶ ἐλευθέρας οὕτω φροντίζοντες ψυχῆς, καὶ γράφε συνεχῶς τὰ περὶ τῆς ὑγιείας τῆς σῆς
καὶ τῆς εὐδοκιμήσεως εὐαγγελιζόμενος.

γ. ἀγ. · γ. ἐν τούτῳ · οὕτως

ρκα. ΘΕΟ.

ρκα. ΘΕΟΦΙΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Σφόδρα ἤλγησα ἀκούσας, ὅτι καὶ σὺ καὶ Σαλούστιος ὁ πρεσβύτερος οὐ συνεχῶς πρὸς τὴν σύναξιν παραβάλλετε· καὶ οὐχ ὡς ἔτυχέ με τοῦτο ἐλύπησε. παρακαλῶ τοίνυν, εἰ μὲν ψευδὲς τοῦτο, δηλῶσαί μοι σπουδάσατε, ὅτι μάτην ἐσυκοφαντήθητε· εἰ δὲ ἀληθές, διορθώσασθαι τὴν τοιαύτην ῥᾳθυμίαν. ὥσπερ γὰρ μέγιστος ὑμῖν ἐστιν ὁ μισθός, μάλιστα ἐν τῷ παρόντι καιρῷ, τὴν προσήκουσαν ἀνδρείαν ἐπιδεικνυμένοις, οὕτως οὐ τὸ τυχὸν ἔσται κρίμα ὀκνοῦσι καὶ ἀναδυομένοις καὶ τὰ παρ' ἑαυτῶν οὐκ εἰσφέρουσιν. ἴστε γὰρ τί πέπονθεν ὁ τὸ τάλαντον καταχώσας τὸ ἕν, ὃς οὐδὲν ἕτερον ἐγκαλούμενος, ἀλλὰ τοῦτο μόνον ἐκολάζετο καὶ ἀπαραίτητον ἐδίδου δίκην. σπουδάσατε οὖν διὰ τάχους ἐλευθερῶσαί με τῆς φροντίδος. ὥσπερ γὰρ πολλήν μοι φέρει παράκλησιν καὶ παραμυθίαν, ἐπειδὰν ἀκούσω ὅτι μετὰ προθυμίας πάσης ἅπαντα τὸν χειμαζόμενον λαὸν συγκροτεῖτε· οὕτως ἐπειδὰν μάθω ὅτι τινὲς ῥᾳθυμοῦσιν, οὐχ ὡς ἔτυχεν ἀλγῶ ὑπὲρ αὐτῶν τῶν ῥᾳθυμούντων. τὴν μὲν γὰρ καλλίστην ἀγέλην ἐκείνην ἡ τοῦ Θεοῦ χάρις καθ' ἑκάστην συγκροτεῖ τὴν ἡμέραν, καθάπερ καὶ ὑμεῖς διὰ τῶν ἔργων αὐτῶν ἔγνωτε· οἱ δὲ ῥᾳθυμίᾳ τὰ παρ' ἑαυτῶν ἐλλιμπάνοντες, οὐ μικρὸν ἑαυτοῖς διὰ τῆς ῥᾳθυμίας ταύτης συνάγουσι κρίμα.

[Margin: γ. εἰς — γ. τοιαύτ. — Matth. κε. — γ. ἅπαντι]

ρκβ. ΙΝΝΟΚΕΝΤΙΩ ΕΠΙΣΚΟΠΩ ΡΩΜΗΣ. [ΤΩ ΔΕσπότῃ μου τῷ αἰδεσιμωτάτῳ καὶ θεοφιλεστάτῳ ἐπισκόπῳ Ἰννοκεντίῳ Ἰωάννης ἐν Κυρίῳ χαίρειν.]

Καὶ πρὸ τῶν γραμμάτων μὲν οἶμαι τῶν ἡμετέρων ἀνηκοέναι τὴν εὐλάβειαν ὑμῶν τὴν παρανομίαν τὴν ἐνταῦθα τολμηθεῖσαν. τὸ γὰρ μέγεθος τῶν δεινῶν οὐδὲν μέρος σχεδὸν τῆς οἰκουμένης ἀφῆκεν ἀνήκοον εἶναι τῆς χαλεπῆς ταύτης τραγῳδίας. καὶ γὰρ εἰς αὐτὰ τῆς γῆς τὰ ἔσχατα φέρουσα ἡ φήμη τὰ γενόμενα, πολὺν πανταχοῦ θρῆνον καὶ ὀλοφυρμὸν εἰργάσατο. ἀλλ' ἐπειδὴ οὐ θρηνεῖν δεῖ μόνον, ἀλλὰ καὶ διορθοῦν, καὶ σκοπεῖν ὅπως ἂν ὁ χαλεπώτατος οὗτος τῆς ἐκκλησίας σταίη χειμών, ἀναγκαῖον εἶναι ἐνομίσαμεν τοὺς κυρίους μου τοὺς τιμιωτάτους καὶ εὐλαβεστάτους ἐπισκόπους, Δημήτριον, Πανσόφιον, Πάππον, καὶ Εὐγένιον πεῖσαι τάς τε ἑαυτῶν ἀφεῖναι, καὶ πελάγεσι κατατολμῆσαι τοσούτοις, καὶ μακρὰν ἀποδημίαν στείλασθαι, καὶ πρὸς τὴν ὑμετέραν ἀναδραμεῖν ἀγάπην, καὶ πάντα σαφῶς ἀναδιδάξαντας τὰ ταχίστην παρασκευάσαι γενέσθαι τὴν διόρθωσιν· οἷς καὶ τοὺς τιμιωτάτους ἀγαπητοὺς τῶν διακόνους Παῦλον καὶ Κυριακὸν συνεπέμψαμεν· καὶ αὐτοὶ δὲ ὡς ἐν εἴδει ἐπιστολῆς, ἐν βραχεῖ διδάξομεν ὑμῶν τὴν ἀγάπην τὰ γεγενημένα. ὁ γὰρ τῆς ἐκκλησίας τῆς ἐν Ἀλεξανδρείᾳ τὴν προεδρίαν ἐγχειρισθεὶς Θεόφιλος, ἐντυχόντων τινῶν τῷ εὐσεβεστάτῳ βασιλεῖ κατ' αὐτοῦ, κελευσθεὶς ἀφικέσθαι μόνος, συναγαγὼν μεθ' ἑαυτοῦ πλῆθος Αἰγυπτίων ἐπισκόπων οὐκ ὀλίγων, παραγίνεται, καθάπερ ἐκ προοιμίων δεῖξαι βουλόμενος, ὅτι εἰς πόλεμον καὶ παράταξιν ἀφῖκται. εἶτα τῆς μεγάλης καὶ θεοφιλοῦς Κωνσταντινουπόλεως ἐπιβάς, οὐκ εἰς ἐκκλησίαν εἰσῆλθε κατὰ τὸ εἰωθὸς καὶ τὸν ἄνωθεν κρατήσαντα θεσμόν, οὐχ ἡμῖν συνήρχετο, οὐ λόγου μετέδωκεν, οὐκ εὐχῆς, οὐ κοινωνίας, ἀλλ' ἀποβὰς τοῦ πλοίου, καὶ τὰ πρόθυρα τῆς ἐκκλησίας παραδραμών, ἔξω που τῆς πόλεως ἀπελθὼν ηὐλίζετο, καὶ πολλὰ παρακαλεσάντων ἡμῶν καὶ αὐτὸν καὶ τοὺς περὶ αὐτὸν παραγενομένους παρ' ἡμῖν καταχθῆναι (καὶ γὰρ ἅπαντα ηὐτρέπιστο,

καὶ

[Margin: γ. τῶν ἐνταῦθα γ. σωμάτων μὲν οἶμαι τῶν ἑτέρων αὐτ. — γ. πίστ — γ. διορ. — γ. λόγου]

καὶ καταγώγια, καὶ ὅσα εἰκὸς ἦν) οὔτε ἐκεῖνοι, οὔτε αὐτὸς ἠνέσχετο. ταῦτα ὁρῶντες ἡμεῖς, ἐν ἀπορίᾳ
ἦμεν πολλῇ, μηδὲ τὴν αἰτίαν δυνάμενοι τῆς ἀδίκου ταύτης ἀπεχθείας εὑρεῖν. ἀλλ' ὅμως τὰ
παρ' ἑαυτῶν ἐπληροῦμεν, ὃ πρέπον ἡμῖν αὐτοῖς ποιοῦντες, καὶ συνεχῶς αὐτὸν παρακαλοῦντες
συγγενέσθαι τε ἡμῖν, καὶ εἰπεῖν τίνος ἕνεκεν τοσοῦτον ἐκ προοιμίων ἀνερρίπισε πόλεμον, καὶ τη-
5 λικαύτην διεσκέδασε πόλιν. ὡς δὲ οὐδὲ αὐτὸς ἠβούλετο λέγειν τὴν αἰτίαν, οἵ τε κατηγο-
ροῦντες αὐτοῦ ἐπέκειντο, καλέσας ἡμᾶς ὁ εὐσεβέστατος βασιλεὺς ἐκέλευσε πέραν, ἔνθα δι-
έτριβεν, ἀπιέναι, καὶ τὸν κατ' αὐτὸν ἀκούειν ὑποθέσεως. καὶ γὰρ καὶ ἐφόδους καὶ σφαγὰς καὶ ἕ-
τερα ἐνεκάλουν μυρία. ἀλλ' ἡμεῖς καὶ τοὺς νόμους τῶν πατέρων εἰδότες, καὶ τὸν ἄνδρα αἰ-
δούμενοι καὶ τιμῶντες, καὶ αὐτοῦ δὲ τὰ γράμματα ἔχοντες τὰ δηλοῦντα μὴ δεῖν ὑπερορίους
10 ἕλκεσθαι τὰς δίκας, ἀλλ' ἐν ταῖς ἐπαρχίαις τὰ τῶν ἐπαρχιῶν γυμνάζεσθαι, οὐ κατεδεξά-
μεθα δικάσαι, ἀλλὰ καὶ μετὰ πολλῆς παρῃτησάμεθα τῆς σφοδρότητος. ὁ δὲ ὥσπερ τοῖς
προτέροις ἐπαγωνιζόμενος, τὸν ἀρχιδιάκονον καλέσας τὸν ἐμόν, ἐξ αὐθεντίας πολλῆς, ὥσπερ ἤδη
χηρευούσης τῆς ἐκκλησίας καὶ οὐκ ἐχούσης ἐπίσκοπον, δι' ἐκείνου τὸν κλῆρον ἅπαντα πρὸς
ἑαυτὸν μετέστησε. καὶ ἀνάστατοι αἱ ἐκκλησίαι ἐγίνοντο, ἀπαγομένων τῶν ἐν ἑκάστῃ κληρικῶν,

γρ. ..έας

15 καὶ παρασκευαζομένων λιβέλλους διδόναι καθ' ἡμῶν, καὶ πρὸς κατηγορίαν ἀλειφομένων.
καὶ ταῦτα ποιήσας, ἔπεμπε καὶ ἐκάλει ἡμᾶς εἰς δικαστήριον, μηδέπω τὰς καθ' ἑαυτοῦ ἀ-
ποδυσάμενος αἰτίας, ὃ μάλιστα καὶ παρὰ κανόνας καὶ παρὰ πάντας τοὺς νόμους ἦν. ἀλλ' ἡ-
μεῖς συνειδότες ὅτι οὐ πρὸς δικαστήριον ἀφικόμεθα (ἢ γὰρ ἂν μυριάκις παρεγενόμεθα)
ἀλλὰ πρὸς ἐχθρὸν καὶ πολέμιον, καθάπερ τά τε ἔμπροσθεν γενόμενα, καὶ τὰ μετὰ ταῦτα ἐ-
20 δήλωσεν, ἀπεστάλκαμεν πρὸς αὐτὸν ἐπισκόπους, τὸν Πισινοῦντος Δημήτριον, τὸν Ἀπα-
μείας Εὐλύσιον, τὸν Ἀππιαρίας Λουππικῖνον· πρεσβυτέρους δέ, Γερμανὸν καὶ Σευῆρον,
μετὰ τῆς προσηκούσης ἡμῖν ἐπιεικείας ἀποκρινόμενοι καὶ λέγοντες μὴ παραιτεῖσθαι κρίσιν,
ἀλλ' ἐχθρὸν πρόδηλον καὶ πολέμιον φανερόν. ὁ γὰρ μηδέπω λιβέλλους δεξάμενος, καὶ τοιαῦ-
τα ἐκ προοιμίων ποιήσας, καὶ ἀπορρήξας ἑαυτὸν ἐκκλησίας, κοινωνίας, εὐχῆς, καὶ κατηγόρους
25 ἀλείφων, καὶ κλῆρον μεθιστάς, καὶ ἐκκλησίαν ἐρημῶν, πῶς ἂν ἦν δίκαιος ἐπὶ τὸν τοῦ δικαστοῦ
θρόνον ἀναβαίνειν οὐδαμόθεν αὐτῷ προσήκοντα; οὐδὲ γὰρ ἀκόλουθον ἦν τὸν ἐξ Αἰγύπτου
τοῖς ἐν Θρᾴκῃ δικάζειν, καὶ τοῦτον ὑπεύθυνον αἰτίαις ὄντα καὶ ἐχθρὸν καὶ πολέμιον. ἀλλ' ὅμως
οὐδὲν τούτων αἰδεσθείς, ἀλλ' ἅπερ ἐβούλετο πληρῶσαι ἐπειγόμενος, ἡμῶν δηλωσάντων, ὅτι
ἕτοιμοί ἐσμεν καὶ ἑκατὸν καὶ χιλίων ἐπισκόπων παρόντων ἀποδύσασθαι τὰ ἐγκλήματα, καὶ
30 δεῖξαι ὄντας καθαροὺς ἑαυτούς, ὥσπερ οὖν καί ἐσμεν, οὐκ ἠνέσχετο· ἀλλὰ ἀπόντων ἡμῶν, καὶ
σύνοδον ἐπικαλουμένων, καὶ κρίσιν ἐπιζητούντων, καὶ οὐκ ἀκροάσει φευγόντων, ἀλλ' ἀπέχθειαν
φανεράν, [καὶ] κατηγόρους ἐδέχετο, καὶ τοὺς παρ' ἐμοῦ γενομένους ἀκοινωνήτους ἔλυε, καὶ παρ' αὐτῶν
ἐκείνων οὐδέπω τὰ ἐγκλήματα ἀποδυσαμένων λιβέλλους ἐλάμβανε, καὶ ὑπομνήματα ἔπραττεν,
ἅπερ ἅπαντα παρὰ θεσμὸν καὶ κανόνων ἀκολουθίαν ἦν (καὶ τί γὰρ δεῖ πολλὰ λέγειν;) οὐκ ἀπέστη πάντα
35 ποιῶν καὶ πραγματευόμενος, ἕως ἡμᾶς μετὰ δυναστείας καὶ αὐθεντίας πάσης καὶ τῆς πόλεως καὶ τῆς
ἐκκλησίας ἐξέβαλε. καὶ πρὸς ἑσπέραν βαθεῖαν τοῦ δήμου παντὸς ἡμῖν ἐπισυρομένου, ἑλκόμε-

γρ. κωλύοντος

νος ὑπὸ τοῦ κουριώσου τῆς πόλεως ἐν μέσῃ τῇ πόλει καὶ πρὸς βίαν συρόμενος κατηγό-
μην καὶ εἰς πλοῖον ἐνεβαλλόμην καὶ διὰ νυκτὸς ἔπλεον, ἐπειδὴ σύνοδον καὶ δικαίαν ἀκρόασιν

γρ. ἔχει

ἐπεκαλούμην. τίς ταῦτα ἀδακρυτί, κἂν λιθίνην ἔχῃ καρδίαν, ἀκούσειεν; ἀλλ' ἐπειδή, κα-
40 θάπερ ἔφθην εἰπών, οὐ θρηνεῖν μόνον τὰ κακῶς γινόμενα, ἀλλὰ καὶ διορθοῦν δεῖ, παρακα-
λῶ τὴν ὑμετέραν ἀγάπην διαναστῆναι καὶ συναλγῆσαι καὶ πάντα ποιῆσαι, ὥστε στῆναι

γρ. ταῦτα

ταύτῃ τὰ κακά. οὐδὲ γὰρ ἐνταῦθα τὰ τῆς παρανομίας αὐτοῖς κατέλυσεν, ἀλλὰ καὶ μετὰ
ταῦτα τοῖς προτέροις ἐπαπεδύετο. ἐπειδὴ γὰρ ὁ εὐσεβέστατος βασιλεὺς ἐπιπηδήσαντας αὐ-
τοὺς τῇ ἐκκλησίᾳ ἀναισχύντως ἐξέβαλε, καὶ πολλοὶ τῶν παρόντων ἐπισκόπων ἰδόντες αὐτῶν

τὴν

γρ. Ἐλλύσιον
γρ. Ἀσπαρίας
γρ. Λουππῖνον
γρ. ..ώσας
γρ. ὅτι

τὴν παρανομίαν εἰς τὰς αὐτῶν ἀνεχώρησαν, τὴν ἔφοδον αὐτῶν ὥσπερ πυράν τινα πάντα ἐπινεμομένην φεύγοντες, ἡμεῖς μὲν πάλιν εἰς τὴν πόλιν ἐκαλούμεθα, καὶ εἰς τὴν ἐκκλησίαν, ἧς ἀδίκως ἐξεβλήθημεν, ἐπισκόπων τε ἡμᾶς πλειόνων ἢ τριάκοντα εἰσαγόντων, καὶ τοῦ θεοφιλεστάτου βασιλέως νοτάριον εἰς τοῦτο ἀποστείλαντος· ἐκεῖνος δὲ ἐδραπέτευσεν εὐθέως. τίνος ἕνεκεν καὶ διὰ τί; εἰσιόντες * παρεκαλοῦμεν τὸν θεοφιλέστατον βασιλέα σύνοδον συναγαγεῖν εἰς ἐκδικίαν τῶν γεγενημένων. συνειδὼς τοίνυν ὁ Θεόφιλος ἅπερ ἔδρασε, καὶ τὸν ἔλεγχον δεδοικὼς, καὶ γραμμάτων βασιλικῶν πανταχοῦ διαπεμφθέντων πάντοθεν πάντας συναγόντων, λάθρα μέσον νυκτῶν εἰς ἀκάτιον ἑαυτὸν ἐμβαλὼν, οὕτως ἀπέδρα, τοὺς μεθ' ἑαυτοῦ πάντας ἐπαγόμενος. ἀλλ' ἡμεῖς οὐδ' οὕτως ἔστημεν, διὰ τὸ τῷ συνειδότι θαρρεῖν τῷ ἡμετέρῳ, τὰ αὐτὰ πάλιν παρακαλοῦντες τὸν εὐσεβέστατον βασιλέα· ὃς καὶ πρεπόντως αὐτοῦ ποιῶν τῇ εὐσεβείᾳ, ἔπεμψε πρὸς αὐτὸν πάλιν, καλῶν αὐτὸν ἐξ Αἰγύπτου καὶ τοὺς μετ' αὐτοῦ πάντας, ὥστε δοῦναι λόγον τῶν γεγενημένων, καὶ μὴ τὰ ἀδίκως οὕτως ἐκ μιᾶς μοίρας καὶ ἀπόντων ἡμῶν τολμηθέντα καὶ παρὰ τοσούτους κανόνας νομίζειν ἀρκεῖν εἰς ἀπολογίαν ἑαυτῷ. ὁ δὲ οὐδὲ τῶν βασιλικῶν ἠνέσχετο γραμμάτων, ἀλλ' ἔμενεν οἴκοι, προβαλλόμενος στάσιν τοῦ δήμου, καὶ σπουδὴν ἄκαιρόν τινων δῆθεν ἀντεχομένων αὐτοῦ· καίτοι πρὸ τῶν γραμμάτων τῶν βασιλικῶν αὐτὸς οὗτος ὁ δῆμος μυρίαις αὐτὸν ἦν πλύνας λοιδορίαις. ἀλλ' οὐ ταῦτα περιεργαζόμεθα νῦν, ἀλλ' ἐκεῖνο δεῖξαι βουλόμενοι, ὅτι κακουργῶν ἀπελήφθη, ταῦτα εἰρήκαμεν. πλὴν οὐδὲ μετὰ ταῦτα ἡμεῖς ἡσυχάσαμεν· ἀλλ' ἐπεκείμεθα ἀξιοῦντες δικαστήριον γενέσθαι κατὰ πεῦσιν καὶ ἀπόκρισιν. ἕτοιμοι γὰρ εἶναι ἐλέγομεν δεῖξαι ἑαυτούς τε ἀνευθύνους ὄντας, ἐκείνους δὲ τὰ ἔσχατα παρανομήσαντας. καὶ γὰρ ἦσάν τινες Σύροι τῶν τότε μετ' αὐτοῦ παρόντων ἐνταῦθα ἀπολειφθέντες, οἳ κοινῇ μετ' αὐτοῦ τὸ πᾶν ἔδρασαν. καὶ προσῆμεν ἕτοιμοι δικάζεσθαι, καὶ πολλάκις ἠνωχλήσαμεν ὑπὲρ τούτου, ἀξιοῦντες τὰ ὑπομνήματα ἡμῖν δοθῆναι, ἢ λιβέλλους κατηγόρων, ἢ φύσιν ἐγκλημάτων γνωρισθῆναι, ἢ αὐτοὺς τοὺς κατηγόρους· καὶ οὐδενὸς τούτων τετυχήκαμεν, ἀλλὰ πάλιν ἐξεβλήθημεν τῆς ἐκκλησίας. πῶς ἂν τὰ ἐντεῦθεν διηγησαίμην λοιπὸν, πᾶσαν ὑπερβαίνοντα τραγῳδίαν; τίς αὐτὰ παραστήσει λόγος; ποία χωρὶς φρίκης δέξεται ἀκοή; ἡμῶν γὰρ ταῦτα, καθάπερ ἔμπροσθεν εἶπον, προτεινόντων, ἀθρόον στρατιωτικὸν πλῆθος, αὐτῷ τῷ μεγάλῳ σαββάτῳ, πρὸς ἑσπέραν λοιπὸν τῆς ἡμέρας ἐπειγομένης, ταῖς ἐκκλησίαις ἐπεισελθὸν, τὸν κλῆρον ἅπαντα τὸν σὺν ἡμῖν πρὸς βίαν ἐξέβαλον, καὶ ὅπλοις τὸ βῆμα περιεστοίχιστο, καὶ γυναῖκες τῶν εὐκτηρίων οἴκων πρὸς τὸ βάπτισμα ἀποδυσάμεναι, κατ' αὐτὸν τὸν καιρὸν γυμναὶ ἔφυγον ἀπὸ τοῦ φόβου τῆς χαλεπῆς ταύτης ἐφόδου, οὐδὲ τὴν πρέπουσαν γυναιξὶν εὐσχημοσύνην συγχωρούμεναι περιθέσθαι· πολλαὶ δὲ καὶ τραύματα δεξάμεναι ἐξεβάλλοντο, καὶ αἵματος αἱ κολυμβῆθραι ἐπληροῦντο, καὶ τὰ ἱερὰ ἀπὸ τῶν αἱμάτων ἐφοινίσσετο νάματα· καὶ οὐδὲ ἐνταῦθα εἱστήκει τὸ δεινόν· ἀλλ' ἔνθα τὰ ἅγια ἀπέκειτο, εἰσελθόντες οἱ στρατιῶται, ὧν ἔνιοι, καθὼς ἔγνωμεν, καὶ ἀμύητοι ἦσαν, πάντα τε ἑώρων τὰ ἔνδον, καὶ τὸ ἁγιώτατον αἷμα τοῦ Χριστοῦ, ὡς ἐν τοσούτῳ θορύβῳ, εἰς τὰ τῶν προειρημένων στρατιωτῶν ἱμάτια ἐξεχεῖτο, καὶ ὡς ἐν αἰχμαλωσίᾳ βαρβαρικῇ πάντα ἐτολμᾶτο· καὶ ὁ δῆμος πρὸς τὴν ἐρημίαν ἠλαύνετο, καὶ ἅπας ὁ λαὸς ἔξω τῆς πόλεως διέτριβε, καὶ κεναὶ ἐν ἑορτῇ τοιαύτῃ τῶν λαῶν αἱ ἐκκλησίαι ἐγίνοντο, καὶ πλείους ἢ τεσσαράκοντα ἐπίσκοποι οἱ κοινωνοῦντες ἡμῖν, μετὰ τοῦ λαοῦ καὶ τοῦ κλήρου εἰκῇ καὶ μάτην ἠλαύνοντο· καὶ ὀλολυγαὶ, καὶ οἰμωγαὶ, καὶ κωκυτοὶ, καὶ θρῆνοι, καὶ πηγαὶ δακρύων πανταχοῦ κατὰ τὰς ἀγορὰς, κατὰ τὰς οἰκίας, κατὰ τὰς ἐρημίας, καὶ πᾶν τῆς πόλεως μέρος τῶν συμφορῶν ἐπληροῦτο τούτων. διὰ γὰρ τὴν ὑπερβολὴν τῆς παρανομίας, οὐχ οἱ πάσχοντες μόνον, ἀλλὰ καὶ οἱ μηδὲν τοιοῦτον ὑπομένοντες συνήλγουν ἡμῖν· οὐχ οἱ ὁμόδοξοι μόνον, ἀλλὰ καὶ αἱρετικοὶ, καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες, καὶ ὡς τῆς πόλεως κατὰ κράτος ἁλούσης,

λυούσης, οὕτως ἐν θορύβοις καὶ ταραχαῖς καὶ ὀλολυγαῖς ἅπαντα ἦν. καὶ ταῦτα ἐτολμᾶτο παρὰ γνώμην τοῦ εὐσεβεστάτου βασιλέως, νυκτὸς καταλαβούσης, ἐπισκόπων αὐτὰ κατασκευαζόντων, καὶ πολλαχοῦ στρατηγούντων, οἳ οὐκ ᾐσχύνοντο ῥαβδούχους ἀντὶ διακόνων προπορευομένους ἔχοντες. ἡμέρας δὲ γενομένης, πᾶσα ἡ πόλις ἔξω τῶν τειχῶν μετῳκίζετο, ὑπὸ 5 δένδρα καὶ νάπας, καθάπερ πρόβατα διεσπαρμένα, τὴν ἑορτὴν ἐπιτελοῦντες. ἔξεστιν ὑμῖν τὰ ἐντεῦθεν λογίσασθαι λοιπὸν ἅπαντα. ὥσπερ γὰρ ἔφθην εἰπὼν, οὐχ οἷόν τε πάντα ἐπελθεῖν τῷ λόγῳ τὰ καθέκαστον γινόμενα. καὶ τὸ δὴ χαλεπὸν, ὅτι τὰ τοσαῦτα καὶ τηλικαῦτα κακὰ οὐδέπω καὶ νῦν λύσιν ἔλαβεν, ἀλλ' οὐδὲ ἐλπίδα λύσεως· ἀλλ' ἐπιτείνεται καθ' ἑκάστην ἡμέραν τὸ δεινὸν, καὶ γέλως γεγόναμεν τοῖς πολλοῖς· μᾶλλον δὲ γελᾷ μὲν οὐδεὶς, 10 κἂν μυριάκις παράνομος ᾖ, θρηνοῦσι δὲ πάντες, ὅπερ ἔφην, τὸν κολοφῶνα τῶν κακῶν, τὴν καινὴν ταύτην παρανομίαν. τί δ' ἄν τις εἴποι τὰς τῶν λοιπῶν ἐκκλησιῶν ταραχάς; οὐδὲ γὰρ ἐνταῦθα ἔστη τὸ κακὸν, ἀλλὰ καὶ μέχρι τῆς ἕω ἔφθασε. καθάπερ γὰρ ἀπὸ κεφαλῆς πονηροῦ ῥεύματος ἐκχυθέντος τὰ λοιπὰ διαφθείρεται μέρη, οὕτω δὴ καὶ νῦν, ὥσπερ ἐκ πηγῆς τῆς μεγάλης ταύτης πόλεως τῶν κακῶν ἀρξαμένων, ἐπὶ πάντα ὁ θόρυβος πανταχοῦ προ- 15 έβη, καὶ κληρικοὶ πανταχοῦ ἐπανέστησαν [ἐπισκόποις, καὶ ἐπίσκοποι] ἐπισκόποις, καὶ λαοὶ τοῖς μὲν διεσχίσθησαν, τοῖς δὲ μέλλουσι, καὶ πανταχοῦ τῶν κακῶν ὠδῖνες, καὶ τῆς οἰκουμένης ἁπάσης ἀνατροπή. μαθόντες τοίνυν ἅπαντα, κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, τὴν προσήκουσαν ὑμῖν ἀνδρείαν καὶ σπουδὴν ἐπιδείξασθε, ὥστε παρανομίαν τοσαύτην ἐπεισελθοῦσαν ταῖς ἐκκλησίαις ἀναστεῖλαι. εἰ γὰρ τοῦτο κρατήσειε τὸ ἔθος, καὶ ἐξὸν γένοιτο 20 τοῖς βουλομένοις εἰς ἀλλοτρίας ἀπιέναι παροικίας ἐκ τοσούτων διαστημάτων, καὶ ἐκβάλλειν οὓς ἂν ἐθέλοι τις, κατ' ἐξουσίαν ἰδίαν πράττοντας, ἅπερ ἂν ἐθέλωσιν, ἴστε ὅτι πάντα οἰχήσεται, καὶ πόλεμός τις ἀκήρυκτος πᾶσαν ἐπιδραμεῖται τὴν οἰκουμένην, πάντων πάντας βαλλόντων καὶ βαλλομένων. ἵνα οὖν μὴ τοσαύτη σύγχυσις καταλάβῃ τὴν ὑφ' ἡλίῳ πᾶσαν, ἐπιστεῖλαι παρακλήθητε τὰ μὲν οὕτω παρανόμως γεγενημένα ἀπόντων ἡμῶν, καὶ ἐκ μιᾶς μοίρας, καὶ οὐ παραιτουμένων 25 κρίσιν, μηδεμίαν ἔχειν ἰσχὺν, ὥσπερ οὖν οὐδὲ ἔχει τῇ οἰκείᾳ φύσει· τοὺς δὲ τοιαῦτα παρανομήσαντας, ἐλεγχομένους, ἐπιτιμίῳ ὑποβάλλεσθαι τῶν ἐκκλησιαστικῶν νόμων· ἡμᾶς δὲ τοὺς οὐχ ἁλόντας, οὐκ ἐλεγχομένους, οὐκ ἀποδειχθέντας ὑπευθύνους, τῶν γραμμάτων τῶν ὑμετέρων ἀπολαύειν συνεχῶς, καὶ τῆς ἀγάπης, καὶ πάντων τῶν ἄλλων, ὧνπερ καὶ ἔμπροσθεν. εἰ δὲ βούλοιντο καὶ νῦν οἱ τὰ τοιαῦτα παρανομήσαντες, τὰ ἐγκλήματα γυ- 30 μνάζειν, ἐφ' οἷς ἡμᾶς ἀδίκως ἐξέβαλον, ὑπομνημάτων ἡμῖν οὐ δοθέντων, οὐ λιβέλλων, οὐ κατηγόρων φανέντων, δικαστηρίου καθίσαντος ἀδεκάστου, καὶ δικασόμεθα καὶ ἀπολογησόμεθα, καὶ ἀποδείξομεν ἑαυτοὺς ἀνευθύνους τῶν ἐπαγομένων ἡμῖν, ὥσπερ οὖν καὶ ἐσμέν. τὰ γὰρ νῦν γεγενημένα παρ' αὐτῶν, πάσης ἐκτός ἐστιν ἀκολουθίας, καὶ παντὸς νόμου καὶ κανόνος ἐκκλησιαστικοῦ. καὶ τί λέγω κανόνος ἐκκλησιαστικοῦ; οὐδὲ ἐν τοῖς ἔξω μὲν οὖν δικαστηρίοις τοιαῦτα ἐ- 35 τολμήθη ποτέ· μᾶλλον δὲ οὐδὲ ἐν βαρβαρικῷ δικαστηρίῳ, οὐδὲ Σκύθαι, οὐδὲ Σαυρομάται οὕτως ἄν ποτε ἐδίκασαν ἐκ μιᾶς μοίρας κρίναντες, ἀπόντος τοῦ αἰτιωμένου, παραιτουμένου οὐ κρίσιν, ἀλλ' ἀπέχθειαν, καλοῦντος δικαστὰς μυρίους, ἀνεύθυνον ἑαυτὸν εἶναι λέγοντος, καὶ τῆς οἰκουμένης παρούσης ἀποδύσασθαι τὰς αἰτίας, καὶ δεῖξαι ἑαυτὸν ἐν ἅπασιν ἀθῷον ὄντα. ταῦτ' οὖν ἅπαντα λογισάμενοι, καὶ παρὰ τῶν κυρίων μου τῶν εὐλαβεστάτων ἀδελ- 40 φῶν ἡμῶν τῶν ἐπισκόπων σαφέστερον ἅπαντα μαθόντες, τὴν παρ' ἑαυτῶν εἰσενεγκεῖν σπουδὴν παρακλήθητε. οὕτω γὰρ οὐχ ἡμῖν μόνοις χαριεῖσθε, ἀλλὰ καὶ τῷ κοινῷ τῶν ἐκκλησιῶν, καὶ τὸν παρὰ τοῦ Θεοῦ λήψεσθε μισθὸν, τοῦ διὰ τὴν τῶν ἐκκλησιῶν εἰρήνην πάντα ποιοῦντος εἵνεκα. [ἐρρωμένος ὑπερεύχου μου, δέσποτα τιμιώτατε καὶ ὁσιώτατε.]

γ. διεσπαρμένα
γ. ἔσιν
γ. ἔφυς
γ. κλῆροι
γ. πολλαχοῦ
γ. ἐξῆναι
γ. ἔτι
γ. ἐλεγχθέντας

ρκγ. ΤΩ ΑΥΤΩ.

Τὸ μὲν σῶμα ἡμῖν ἐν ἑνὶ ἵδρυται χωρίῳ, τῆς δὲ ἀγάπης τὸ πτερὸν πανταχοῦ τῆς οἰκουμένης περιίπταται. ὅθεν καὶ ἡμεῖς ὁδοῦ τοσούτῳ διῳκισμένοι μήκει, πλησίον τῆς εὐλαβείας ὑμῶν ἐσμεν, καὶ καθ' ἑκάστην ὑμῖν συγγινόμεθα τὴν ἡμέραν, ὀφθαλμοῖς τοῖς ἐκείνης βλέποντες ὑμῶν τὴν ἀνδρείαν τῆς ψυχῆς, τὸ γνήσιον τῆς διαθέσεως, τὸ στεῤῥὸν, τὸ ἀπερίτρεπτον, τὴν πολλὴν ὑμῶν παράκλησιν καὶ διαρκῆ καὶ μόνιμον. ὅσῳ γὰρ τὰ τῶν κυμάτων ἐπὶ πλέον αἴρεται, καὶ πλείους ὕφαλοι καὶ σπιλάδες φύονται καὶ πολλαὶ αἱ καταιγίδες, τοσούτῳ καὶ τὰ τῆς ἀγρυπνίας αὔξει τῆς ὑμετέρας· καὶ οὐχ ὁδοῦ μῆκος τοσοῦτον, οὐ χρόνου πλῆθος, οὐ δυσκολία πραγμάτων ὑπτίους γενέσθαι ὑμᾶς παρεσκεύασεν, ἀλλὰ μένετε μιμούμενοι τοὺς ἀρίστους τῶν κυβερνητῶν, οἳ τότε μάλιστα διεγείρονται, ὅταν ἴδωσι τὰ κύματα κορυφούμενα, τὴν θάλατταν ἐπὶ μεῖζον φερομένην, πολὺν τῶν ὑδάτων τὸν πάταγον, βαθυτάτην ἐν ἡμέρᾳ νύκτα. διὸ καὶ χάριτας ὑμῖν ἴσμεν πολλάς· καὶ ἐπιθυμοῦμεν μὲν καὶ νιφάδας ὑμῖν πέμπειν γραμμάτων, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι. ἀλλ' ἐπειδὴ τούτου ἀφῃρήμεθα παρὰ τῆς τοῦ τόπου ἐρημίας (οὐδὲ γὰρ μόνον τῶν ἐκεῖσε ἀφικνουμένων, ἀλλ' οὐδὲ τῶν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ διατριβόντων δύναιτ' ἄν τις ῥᾳδίως ἡμῖν συγγενέσθαι) διά τε τὸ πόῤῥω καὶ πρὸς αὐτὰς τὰς ἐσχατιὰς κεῖσθαι τὸ χωρίον, ἐν ᾧ καθείργμεθα, καὶ διὰ τὸν λῃστρικὸν φόβον πᾶσαν ἀποτειχίζοντα τὴν ὁδὸν, παρακαλοῦμεν ἐλεεῖν μᾶλλον ἡμᾶς τῆς μακρᾶς σιγῆς, μὴ ῥαθυμίαν ἐντεῦθεν καταγινώσκειν ἡμῶν. ὅτι γὰρ οὐκ ὀλιγωροῦντες ἐσιγήσαμεν, ἐπιλαβόμενοι διὰ πολλοῦ τοῦ χρόνου νῦν τοῦ τιμιωτάτου καὶ ἀγαπητοῦ Ἰωάννου τοῦ πρεσβυτέρου, καὶ Παύλου τοῦ διακόνου, καὶ γράφομεν, καὶ εὐχαριστοῦντες ὑμῖν οὐ διαλιμπάνομεν, ὅτι πατέρας φιλοστόργους ἀπεκρύψατε τῇ περὶ ἡμᾶς εὐνοίᾳ τε καὶ σπουδῇ. καὶ τὸ μὲν εἰς τὴν εὐλάβειαν ἧκον τὴν ὑμετέραν, τὴν προσήκουσαν διόρθωσιν εἴληφεν ἅπαντα, καὶ ὁ φορυτὸς τῶν κακῶν καὶ τὰ σκάνδαλα ἀνῄρηται, καὶ αἱ ἐκκλησίαι εἰρήνης ἀπήλαυσαν καὶ λευκῆς γαλήνης, καὶ πάντα κατὰ ῥοῦν φέρεται, καὶ καταφρονηθέντες ἐξεδικήθησαν νόμοι, καὶ θεσμοὶ πατέρων παραβαθέντες. ἐπειδὴ δὲ ἐπὶ τῶν ἔργων αὐτῶν οὐδὲν τούτων γέγονε, τῶν τὰ πρότερα τολμησάντων τοῖς προτέροις ἐπαγωνιζομένων ἐπὶ παρανομήμασιν, ἅπαντα μὲν τὰ παρ' αὐτῶν μετὰ ταῦτα γεγενημένα καθ' ἕκαστον διηγήσασθαι παρίημι (καὶ γὰρ ἱστορίας ὑπερβαίνει μέτρον, οὐκ ἐπιστολῆς μόνον, ἡ διήγησις) ἐκεῖνο δὲ παρακαλῶ τὴν ἄγρυπνον ὑμῶν ψυχὴν, κἂν εἰς πάντα θορύβων ἐμπλήσαντες ἀμετάπτωτα νοσῶσι καὶ ἀνίατα, αὐτοὺς θεραπεῦσαι, ταῦτα λεγομένους μὴ ἐκκακῆσαι, μηδὲ ἀπαγορεῦσαι, τὸ μέγεθος τοῦ κατορθώματος ἐννοήσαντας. καὶ γὰρ ὑπὲρ τῆς οἰκουμένης σχεδὸν ἁπάσης ὁ παρὼν ὑμῖν ἀγὼν πρόκειται, ὑπὲρ ἐκκλησιῶν εἰς γόνυ κατενεχθεισῶν, ὑπὲρ λαῶν διασπαρέντων, ὑπὲρ κλήρων πολεμουμένων, ὑπὲρ ἐπισκόπων φυγαδευομένων, ὑπὲρ θεσμῶν πατέρων παραβαθέντων. διὸ καὶ παρακαλοῦμεν ὑμῶν τὴν ἐμμέλειαν καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, ὅσῳ πλείων ἡ ζάλη, τοσούτῳ πλείονα ἐπιδείξασθαι τὴν σπουδήν. προσδοκῶμεν γὰρ καὶ ἔσεσθαί τι πλέον εἰς διόρθωσιν. εἰ δ' ἄρα μὴ τοῦτο γένοιτο, ἀλλ' ὑμεῖς ἀπηρτισμένον ἔχετε τὸν στέφανον παρὰ τοῦ φιλανθρώπου Θεοῦ, καὶ τοῖς ἀδικουμένοις οὐ μικρὰ τοῦτο ἔσται παράκλησις, τῆς ὑμετέρας ἀγάπης ἡ ἔνστασις. ἐπεὶ καὶ ἡμᾶς τρίτον ἔτος τοῦτο ἐν ἐξορίᾳ διατρίβοντας, λιμῷ, λοιμῷ, πολέμοις, πολιορκίαις συνεχέσιν, ἐρημίᾳ ἀφάτῳ, θανάτῳ καθημερινῷ, μαχαίραις Ἰσαυρικαῖς ἐκδιδομένους οὐχ ὡς ἔτυχε παρακαλεῖ καὶ παραμυθεῖται τὸ διαρκὲς καὶ μόνιμον ὑμῶν τῆς διαθέσεως, τῆς παῤῥησίας τὸ ἀκλινές, τὸ δαψιλὲς καὶ γνησία οὕτως ἐντρυφᾶν ὑμῶν τῇ ἀγάπῃ. τοῦτο ἡμῖν τεῖχος, τοῦτο ἀσφάλεια, τοῦτο λιμὴν ἀκύμαντος, τοῦτο θησαυρὸς

γ. πλεῖον

μυρίων

μυρίων ἀγαθῶν, τοῦτο εὐφροσύνη, καὶ πολλῆς ἡδονῆς ὑπόθεσις· κἂν εἰς ἐρημότερον τούτου
γρ. τοῦ μακροῦ πάλιν ἀπενεχθῶμεν χωρίον, οὐ μικρὰν ταύτην ἔχοντες παράκλησιν τῶν παθημάτων ἡ-
μῶν, ἄπιμεν.

5

ρκδ΄. ΙΤΑΛΙΚΗ.

Ἐπὶ μὲν τῶν ἔξωθεν πραγμάτων, ὥσπερ τῇ φύσει, οὕτω καὶ τῇ πράξει καὶ τῇ μετα-
χειρίσει διῄρηται ταῦτα τὰ ἔργα, ἀνὴρ λέγω καὶ γυνή. τῇ μὲν γὰρ οἰκουρεῖν νενόμισται, τῷ
δὲ τῶν πολιτικῶν καὶ τῶν ἐν ἀγορᾷ πραγμάτων ἀντέχεσθαι. ἐπὶ δὲ τῶν τοῦ Θεοῦ ἀγώνων
10 καὶ τῶν ὑπὲρ τῆς ἐκκλησίας πόνων οὐκ ἔνι τοῦτο· ἀλλ' ἔστι καὶ γυναῖκα ἀνδρὸς ἐρρωμενεστέρων
γρ. πόνων τῶν καλῶν τούτων ἀντέχεσθαι ἀγώνων. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἐν τῇ πρὸς τὴν πατρί-
δα τὴν ὑμετέραν ἐπιστολῇ πολλὰς ἀνακηρύττει γυναῖκας, λέγων αὐτὰς οὐ μικρὰ πεπονη-
κέναι ἐν τῷ καὶ ἄνδρας διορθοῦν, καὶ ἐπάγειν ἐπὶ τὰ προσήκοντα. τίνος ἕνεκεν ταῦτά φημι;
ἵνα μὴ νομίσητε ἀλλότριοι ὑμῶν εἶναι τὸ τῆς σπουδῆς ἀντέχεσθαι καὶ τῶν πόνων τῶν εἰς τὴν
15 ἐκκλησιαστικὴν διόρθωσιν συντελούντων· ἀλλ', ὡς πρέπον ὑμῖν ἐστι, καὶ δι' αὐτῶν καὶ δι' ἑτέ-
γρ. συντειν. ρων, ὧν οἷόν τε ᾖ, τὴν προσήκουσαν εἰσενέγκητε σπουδὴν εἰς τὸ λῦσαι τὴν κοινὴν ζάλην
καὶ ταραχὴν τὴν τὰς ἐκκλησίας τῆς ἀνατολῆς καταλαβοῦσαν. ὅσῳ γὰρ χαλεπωτέρα
γέγονεν ἡ ζάλη καὶ βαρύτερος ὁ χειμὼν, τοσούτῳ καὶ ὑμῖν πλείων ἔσται ὁ μισθὸς τοῖς πάντα
πρᾶξαι καὶ παθεῖν αἱρουμένοις ὑπὲρ τοῦ τὴν διαταραχθεῖσαν εἰρήνην ἐπαναγαγεῖν, καὶ ἐν
20 καταστάσει τῇ προσηκούσῃ σπουδάσαι καταστῆσαι τὰ διαταραχθέντα ἅπαντα.

ρκε΄. ἸΟΥΛΙΑΝΗ ΚΑΙ ΤΑΙΣ ΣΥΝ ΑΥΤΗ.

γρ. αὐτῷ

Ὅσῳ χαλεπώτερον τὸ κρίμα γίνεται τοῖς τὰ τοιαῦτα παρανομήσασι, τοσούτῳ πλεί-
25 ων ὑμῖν ἔσται ὁ μισθὸς, τοῖς τοσαύτας παρανομίας λύειν ἐσπουδακόσι, καὶ τοσούτους ἐπι-
γρ. εὐποιΐα δεικνυμένοις πόνους καὶ καμάτους. οὐδὲ γὰρ ἔλαθεν ἡμᾶς τῆς ὑμετέρας διαθέσεως ἡ εὔνοια καὶ
ἡ σπουδὴ, ἣν καὶ εἰς τὴν προκειμένην ὑπόθεσιν ἐπεδείξασθε, καὶ εἰς τὴν φιλοφροσύ-
νην τῶν παρ' ἡμῶν ἐκεῖσε ἀφιγμένων. διὸ καὶ χάριτας ὑμῖν ἔχομεν, καὶ παρακαλοῦμεν τῇ αὐ-
τῇ ἐπιμεῖναι προθυμίᾳ, καὶ ἐρρωμενεστέραν ἐπιδείξασθαι εὐτονίαν τε καὶ ἀνδρείαν. ἴστε γὰρ ἡ-
30 λίκον τοῦ κατορθώματος τὸ μέγεθος, καὶ ὅσον λήψεσθε τὸν μισθὸν, τοσαύτην ταραχὴν, καὶ
ἴσ. λείπει φροντίδα, ἢ ἐπιμέλειαν. οὕτω κύματα ἄγρια, τό γε εἰς ὑμᾶς ἧκον, καταστέλλουσαι, καὶ τὴν προσήκουσαν εἰς τὴν
τῶν γεγυμνασμένων κακῶν εἰσφέρουσαι διόρθωσιν.

ρκς΄. ΙΩΑΝΝΗ ΕΠΙΣΚΟΠΩ ΙΕΡΟΣΟΛΥΜΩΝ.

35

Ἀπῳκίσθημεν μὲν εἰς τὴν Κουκουσὸν, τῆς δὲ ἀγάπης τῆς ὑμετέρας οὐ μετῳκίσθημεν.
τὸ μὲν γὰρ ἐφ' ἑτέροις ἔκειτο, τὸ δὲ ἐφ' ἡμῖν. διὸ δὴ καὶ ἐνταῦθα διατρίβοντες, καὶ ἐκ
τοσούτου καθήμενοι διαστήματος, καὶ ἐπιστέλλομεν, καὶ παρακαλοῦμεν ὑμῶν τὴν εὐλάβειαν, τὴν
ἀνδρείαν, ἣν ἐξ ἀρχῆς ἐπεδείξασθε ἀποστραφέντες τοὺς τὰς ἐκκλησίας τοσούτων θορύβων ἐμ-
40 πλήσαντας, ταύτην καὶ νῦν διατηρεῖν, καὶ ἄξιον τῶν προοιμίων, μᾶλλον δὲ καὶ πολλῷ λαμ-
πρότερον προσθεῖναι τὸ τέλος. οὐ γὰρ μικρὸς ὑμῖν ἐντεῦθεν κείσεται ὁ μισθὸς, ὅταν τοὺς
τοσοῦτον χειμῶνα ἐργασαμένους, καὶ τὴν οἰκουμένην σχεδὸν ἅπασαν τοσούτων ἐμπλήσαντας σκαν-
δάλων, ὡς προσῆκόν ἐστιν ὑμῖν, ἀποστρέφησθε, καὶ μηδὲν κοινὸν ἔχητε πρὸς αὐτούς. τοῦτο
ἀσφάλεια τῶν ἐκκλησιῶν, τοῦτο τεῖχος, τοῦτο ὑμέτεροι στέφανοι καὶ βραβεῖα. ταῦτ' οὖν εἰ-

δῶς, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, τὰ τῆς ἐκκλησίας ἀσφαλίζου τούτῳ τῷ τρόπῳ, μεγίστην ἐντεῦθεν προσδοκῶν ἀντίδοσιν, ἡμῶν τε τῶν σφόδρα ἀγαπώντων τὴν σὴν εὐλάβειαν καὶ ἐκκρεμαμένων σου τῆς διαθέσεως διηνεκῶς μέμνησο. ἴσμεν γάρ, ὅσην περὶ ἡμᾶς ἀγάπην ἐπιδείκνυσαι, διὰ τῶν πραγμάτων αὐτῶν μαθόντες.

ρκζ. ΚΑΛΛΙΣΤΡΑΤῼ ΕΠΙΣΚΟΠῼ ΙΣΑΥΡΙΑΣ.

Ἐγὼ μὲν σου τὴν εὐλάβειαν καὶ ἐνταῦθα παραγενομένην ἐπεθύμουν ἰδεῖν, ὥστε ἐντρυφῆσαί σου τῇ συνουσίᾳ, καὶ ἀπολαῦσαί σου τῆς γνησίας καὶ θερμῆς ἀγάπης· ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι διά τε τὴν τοῦ ἔτους ὥραν καὶ τὸ τῆς ὁδοῦ μῆκος, τὴν διὰ τῶν γραμμάτων ὀφειλομένην σοι πρόσρησιν ἀποδίδωμι, καὶ χάριν ἔχω σου τῇ εὐλαβείᾳ, ὅτι καὶ πρότερος τοῖς πρὸς ἡμᾶς ἐπεπήδησας γράμμασι. θερμῆς γὰρ τοῦτο καὶ γνησίας φιλίας. καὶ οὐ μόνον οὐκ ἀπεικότως ἔπραξας, ἀλλὰ καὶ σφόδρα σοι προσηκόντως. χαρίζου δὴ ταύτην συνεχῶς ἡμῖν τὴν χάριν, καὶ πυκνότερον ἡμῖν δήλου τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. εἰ δὲ καὶ δυνατὸν γένηται τῇ εὐλαβείᾳ τῇ σῇ σκυλῆναι ἕως ἡμῶν, τὰ μέγιστα ἡμῖν χαριῇ, καὶ πολλῆς ἡμᾶς ἐμπλήσεις εὐφροσύνης. ἐννοήσας τοίνυν ὡς καὶ ἡμεῖς ἐπιθυμοῦμεν ἰδεῖν σου τὴν εὐλάβειαν, καὶ ὡς τὸ πρᾶγμα οὐ σφόδρα ἐργῶδες, εἰ γένοιτο καιρὸς ἐπιτήδειος πρὸς ὁδοιπορείαν, μὴ στερήσῃς ἡμᾶς τῆς συντυχίας τῆς σῆς. ἕως δ᾽ ἂν τοῦτο γένηται, τῇ πυκνότητι τῶν γραμμάτων τὴν ἐκ τῆς παρουσίας ἡδονὴν σοφίζεσθαι παρακλήθητι.

γρ. ἀποστερήσ[illegible]
κ. παρ[illegible]θητι

ρκη. ΚΑΝΔΙΔΙΑΝῼ.

γρ. Κανδι[illegible]

Πολὺ τῆς ὁδοῦ τὸ μέσον τὸ διεῖργον ἡμᾶς, ἀλλ᾽ οὐδὲ ὁ χρόνος βραχύς, ἐξ οὗ τῆς θαυμασιότητος ἐχωρίσθημεν τῆς σῆς· καὶ τῶν πραγμάτων δὲ πολὺς ὁ περιεστὼς ἡμᾶς ὄχλος, ἐρημία χωρίου χαλεπωτάτη, πολιορκία ἀφόρητος, ἔφοδοι, καταδρομαὶ λῃστῶν, ἑτέρα στενοχωρία, καὶ ἡ τοῦ σώματος ἀρρωστία. ἀλλ᾽ ὅμως οὐδὲν τούτων ῥαθυμοτέρους ἡμᾶς περὶ τὴν ἀγάπην τὴν σὴν πεποίηκεν· ἀλλ᾽ ἀκμάζουσαν αὐτὴν καὶ ἀνθοῦσαν διατηροῦντες, ἐπὶ τῆς διανοίας σε περιφέρομεν, ὅπουπερ ἂν ὦμεν, καὶ ἄληστόν σου τὴν μνήμην ἔχοντες, καὶ τὸ εὐγενές σου τῆς ψυχῆς, τὸ ἐλευθέριον, τὸ ἀπερίτρεπτον, τὸ ἀκλινὲς τῆς γνησίας ἀγάπης, τὸ θερμὸν τῆς διαθέσεως ἐγκολάψαντες ἡμῶν τῇ διανοίᾳ, οὕτως ἐνταῦθα διάγομεν, μεγίστην παραμυθίαν τῆς τοσαύτης ἐρημίας τὴν μνήμην τῶν σῶν κατορθωμάτων ἔχοντες. γράφε δὴ καὶ αὐτὸς ἡμῖν συνεχῶς, δέσποτά μου θαυμασιώτατε καὶ μεγαλοπρεπέστατε, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος. οἶσθα γὰρ πῶς αὐτῆς ἀντεχόμεθα. καὶ γὰρ περισπούδαστον ἡμῖν περὶ ταύτης μανθάνειν, καὶ ὅτι διπλῆν καρπωσόμεθα τὴν εὐφροσύνην, τῷ τε ἐπιστέλλειν αὐτοί, τῷ τε τοιαῦτα δέχεσθαι γράμματα παρὰ τῆς μεγαλοπρεπείας τῆς σῆς.

γρ. στομάχ[illegible]
γρ. ἀ[illegible]

ρκθ. ΚΑΡΤΕΡΙᾼ.

Κἂν πολλάκις, κἂν ὀλιγάκις ἐπιστείλῃς, ἡμεῖς, ἥνπερ ἐξ ἀρχῆς ἐθέμεθα ψῆφον περὶ τῆς ἀγάπης τῆς σῆς, ταύτην ἀκίνητον διατηροῦμεν. ἴσμεν γὰρ ὅτι καὶ γράφουσα, καὶ σιγῶσα, ὁμοίως περὶ ἡμᾶς διακεῖσθαι ἐσπούδακας. ὁ Θεός σοι ταχίστην παράσχοι τὴν ὑγίειαν, καὶ πάσης ἀπαλλάξειεν ἀρρωστίας. καὶ γάρ, οὐχ ὡς ἔτυχεν, ἐν φροντίδι καθεστήκαμεν, περὶ τῆς ἀρρωστίας τῆς σῆς ἀκούοντες. διὸ καὶ παρακαλοῦμέν σου τὴν ἐμμέλειαν, ἡνίκα

ἂν

ἂν ἐξῇ, συνεχῶς ἡμῖν δηλοῦν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς, καὶ εἴ τινα πρὸς τὸ βέλτιον ἐ-
πίδοσιν ἔλαβέ σου τὸ σῶμα. οἶσθα γὰρ καὶ πῶς ἀλγοῦμεν ἀκούοντές σε ἐν ἀρρωστίᾳ εἶναι, καὶ
πῶς εὐφραινόμεθα καὶ πτερούμεθα ὑπὸ τῆς ἡδονῆς, ἐπειδὰν ἀκούσωμεν ἐν ὑγείᾳ σε καθε-
στάναι. ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐγενεστάτη, ὁσάκις ἂν δυνατὸν ᾖ,
5 γράφειν ἡμῖν μὴ κατόκνει καὶ δηλοῦν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς. οὐ γὰρ τὴν τυχοῦσαν ἡμῖν
χαριῇ χάριν, τοιαύτας πέμπουσα ἡμῖν ἐπιστολάς.

ρλ. ΚΑΡΤΕΡΙΑ.

10 Καὶ τοῦτο τῆς ἀγάπης τῆς σῆς, τῆς μεμεριμνημένης ψυχῆς τῆς σφοδρῶς περὶ ἡμᾶς
διακειμένης, τὸ μὴ μόνον ἀποστεῖλαι τὸ ''πολύαρχον, ἀλλὰ καὶ σκοπῆσαι ὅπως ἂν γέ-
νοιτο χρήσιμον, προσθεῖναί τε αὐτῷ τό, τε ''νάρδινον καὶ τὸ γλεύκινον ἔλαιον, διορθοῦντα αὐτοῦ
τὴν ἀπὸ τῆς μακρᾶς ἀποδημίας ξηρότητα· καὶ τὸ αὐτὴν δὲ κατασκευάσαι τοῦτο, καὶ μὴ ἑ-
τέροις ἐπιτρέψαι, καὶ μὴ τῆς ταχύτητος γενέσθαι, ἀλλὰ τοῦ γενέσθαι σπουδαῖον αὐτό, καὶ
15 τοῦτο μάλιστα ἐκπλήττεσθαι ἡμᾶς τὴν διάθεσιν τὴν περὶ ἡμᾶς πεποίηκε. διὰ τοῦτό
σοι χάριτας ὁμολογοῦμεν, ἓν μόνον ἐγκαλοῦντες, ὅτι ὃ μάλιστα περισπούδαστον ἦν ἡμῖν, τοῦτο
οὐκ ἔπεμψας διὰ τῶν γραμμάτων, τὰ εὐαγγέλια λέγω τῆς σῆς ὑγείας. καὶ ὡς νῦν ἐν
φροντίδι καθεστήκαμεν, οὐκ εἰδότες εἰ τὰ τῆς ἀρρωστίας ἔστηκε τῆς σῆς, οὕτως ἂν διὰ τα-
χέος ἡμῖν πέμψῃς γράμματα ἀπαγγέλλοντα ἡμῖν, ὅτι λέλυται τὰ τῆς νόσου, τὰ μέγιστα ἡμῖν
20 χαριῇ. εἰδυῖα τοίνυν ὅπως σφόδρα ἐπιθυμοῦμεν μαθεῖν ὅτι δὴ ἐκ τῆς ἀσθενείας ταύτης
ἀνήνεγκας, χαρίζου ἡμῖν ταύτην τὴν εὐφροσύνην, ἐν τῇ χαλεπωτάτῃ ταύτῃ ἐρημίᾳ τε
καὶ πολιορκίᾳ οὐ μικρὰν ἐσομένην ἡμῖν παράκλησιν.

γ. πολυάρχιν
γ. νάρδιον καὶ γλεύκινον

ρλα. ΚΑΡΤΕΡΙΑ.

25 Τί φῄς; αἱ συνεχεῖς ἀρρωστίαι οὐ συνεχώρησάν σοι παραγενέσθαι πρὸς ἡμᾶς; καίτοι
καὶ παραγέγονας, καὶ μεθ' ἡμῶν εἶ, καὶ ἀπὸ τῆς γνώμης σου τὸ πᾶν ἀπειλήφαμεν, καὶ οὐδὲν
σοι ὑπὲρ τούτων ἀπολογίας δεῖ. ἀρκεῖ γὰρ ἡ θερμή σου καὶ γνησία ἀγάπη ἡ οὕτως ἀκμά-
ζουσα διηνεκῶς, ἀντὶ πολλῆς εὐφροσύνης ἡμῖν γενέσθαι. ἀλλ' ἐπειδὴ οὐκ εἰς τὴν τυχοῦ-
30 σαν φροντίδα ἡμᾶς ἐνέβαλες, περὶ τῆς ἀρρωστίας τῆς σῆς εἰποῦσα, εἴγε ταύτης ἀπαλ-
λαγείης (ἱκανὸς γὰρ ὁ Θεὸς ἀπαλλάξαι σε, καὶ πρὸς ὑγίειαν καθαρὰν ἐπαναγαγεῖν) δι' αὐ-
τῆς ἡμῖν δήλωσον, ὥστε ἡμᾶς ἀπαλλαγῆναι τῆς φροντίδος. ὅπερ γὰρ ἀεὶ γράφων ἐδήλωσα,
τοῦτο καὶ νῦν δηλῶ, ὅτι ὅπουπερ ἂν ὦμεν, κἂν εἰς ἐρημότερον τούτου χωρίον ἀπενεχθῶμεν, σὲ καὶ
τὰ σὰ μεριμνῶντες οὐ διαλιμπάνομεν. τοιαῦτα ἡμῖν ἐνέχυρα τῆς θερμῆς καὶ γνησίας σου ἀ-
35 γάπης ἐναπέθου, ἅπερ οὐδέποτε σβεσθῆναι δύναται, οὐδὲ καταμαρανθῆναι τῷ χρόνῳ·
ἀλλὰ κἂν πλησίον σου ὦμεν τῆς εὐγενείας, κἂν πόρρωθεν, ἀεὶ τὴν αὐτὴν διαφυλάττομεν
ἀγάπην, εἰδότες τὸ γνήσιον καὶ εἰλικρινὲς τῆς διαθέσεως τῆς σῆς, ἧς διαπαντὸς ἀπελαύ-
σαμεν τοῦ χρόνου.

40 ρλβ΄. ΚΑΡΤΕΡΙΑ.

Εἰ σαφῶς ᾔδεις ὅσην ἡμῖν δίδως χάριν καὶ γράφουσα, καὶ συνεχῶς γράφουσα, καὶ τοῦ με-
λιτός σου τῆς ἀγάπης ἀναχρωννῦσα τὰ γράμματα, πάντα ἂν ἐποίησας, ὥστε δυ-
νηθῆναι καθ' ἑκάστην ἡμέραν πέμπειν ἡμῖν ἐπιστολάς. οὐκ ἔτι γὰρ Κουκουσὸν οἰκεῖν νομίζο-

μένη, οὐδὲ ἐν ἐρημίᾳ διάγειν, τοσαύτην ἀπὸ τῶν γραμμάτων σου καὶ τῆς γνησίας ἀγάπης καρπούμενοι τὴν εὐφροσύνην. τὸ δὲ μὴ μόνον ἐπιστολὰς πέμψαι, ἀλλὰ καὶ τὸν κύριόν μου τὸν ποθεινότατον ἀδελφὸν ἡμῶν Λιβάνιον πεῖσαι ἀναστῆναί τε ἐκεῖθεν καὶ τὴν ἀποδημίαν στείλασθαι ταύτην, πόσης διαθέσεώς ἐστι; πόσης κηδεμονίας; διὰ ταῦτα σκιρτῶμεν καὶ εὐφραινόμεθα. ἀγάπης γὰρ γνησίας ἴσον οὐδέν. καὶ αὐτὴ μὲν ἀξιοῖς τὴν αὐτὴν ἡμᾶς διασώζειν διάθεσιν, ἣν ἐξ ἀρχῆς ἐπεδειξάμεθα περὶ τὴν σὴν ἐμμέλειαν· ἡμεῖς δὲ οὐκ ἀνεχόμεθα ἐπὶ τοῦ μέτρου μένειν τούτου, ἀλλὰ καθ' ἑκάστην ἡμέραν προσθήκας ἐπιζητοῦμεν τῆς περὶ σὲ διαθέσεως, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι. οὐ γὰρ διαλιμπάνομεν συνεχῶς παρ' ἑαυτοῖς στρέφοντες τὸ εὐγενές σου τῆς ψυχῆς, τὸ ἄπλαστον, τὸ ἐλευθέριον, τὸ φιλικόν, τὸ γνήσιον, τὸ ἀνυπόκριτον· καὶ μεγίστην ἀπὸ τῆς μνήμης τῶν λογισμῶν τούτων καρπούμεθα τὴν εὐφροσύνην. διὸ παρακαλοῦμεν, θαρρήσαντες ὑμῶν τῇ ἀγάπῃ, μηδὲν ἀλγῆσαι ὑπὲρ τῶν ἀποσταλέντων παρὰ τῆς σῆς τιμιότητος, ὅτι δὴ ταῦτα ἀνεπέμψαμεν. τῇ μὲν γὰρ διαθέσει καὶ ἐδεξάμεθα, καὶ ἀπελαύσαμεν αὐτῶν. ἐπειδὴ δὲ ἐν χρείᾳ οὐ καθεστήκαμεν, ἐδηλώσαμεν αὐτὰ τηρεῖσθαι παρὰ τῇ σῇ εὐγενείᾳ. κἄν ποτε καταστῶμεν ἐν χρείᾳ, ὄψει μεθ' ὅσης παρρησίας καὶ τοῦ θαρρεῖν γράψομεν, ὥστε ἡμῖν ἀποσταλῆναι, καὶ τοῦτο τὸ σὸν φυλάσσοντες ῥῆμα. πρὸς γὰρ τῷ τέλει τῆς ἐπιστολῆς ἔφης· δεῖξον, ὅτι καταξιοῖ σου ἡ θεοσέβεια θαρρεῖν ἡμῖν, καὶ τοῖς ἡμετέροις, ὡς ἰδίοις, κεχρῆσθαι. εἰ τοίνυν οὕτω βούλει διακεῖσθαι ἡμᾶς, ὥσπερ οὖν καὶ βούλει, καὶ τοῖς σοῖς ὡς ἰδίοις κεχρῆσθαι, ἡνίκα ἂν ἐπιστέλλω, τότε πέμπε. τοῦ γὰρ ἴδια αὐτὰ νομίζειν, τοῦτο μέγιστόν ἐστι σημεῖον, τό, ἡνίκα ἂν ἐγὼ βουληθῶ, τότε αὐτὰ πέμπεσθαι, ἀλλὰ μὴ τότε, ὅτε οὐ δέομαι. δεῖξον τοίνυν καὶ τούτῳ τὴν γνησίαν σου ἀγάπην καὶ φιλίαν, καὶ τὴν αἰδῶ τὴν περὶ ἡμᾶς, τῷ καὶ ἐν τούτῳ ἡμῶν ἀνασχέσθαι, καὶ πέμψον ταχέως ἐπιστολὴν ἀπαγγέλλουσαν ἡμῖν ὡς οὐκ ἤλγησας. ἂν γὰρ μὴ τοῦτο ποιήσῃς, ἐν διηνεκεῖ φροντίδι καταστήσειν ἡμᾶς μέλλεις. οὐ γὰρ παυσόμεθα μεριμνῶντες, μήποτε ἐλυπήσαμεν. πολὺ γὰρ τῆς ἀγάπης σου ἀντεχόμεθα καὶ τοῦ ἀναπαύειν σου τὴν εὐγένειαν. ἐπεὶ οὖν ἱκανῶς ἀπολελογήμεθα, δήλωσον ἡμῖν, ὡς ἐδέξω τὴν ἀπολογίαν ἡμῶν. καὶ γὰρ ἔξεστί σου μαθεῖν τῇ ἐμμελείᾳ, ὅτι πρὸς μὲν ἄλλους τὸ αὐτὸ δὴ τοῦτο πεποιηκότας καὶ σφόδρα γνησίους ἡμῖν οὐκ ἐδέησεν ἡμῖν ἀπολογίας, ἀλλ' ἤρκεσε τὸ διακρούσασθαι τὰ πεμφθέντα· ἐπὶ δὲ τῆς σῆς τιμιότητος καὶ ἀπολογούμεθα, καὶ παρακαλοῦμεν μηδὲν ἀλγῆσαι, καὶ οὐ πρότερον ἀποστησόμεθα συνεχῶς ταῦτα λέγοντες, ἕως ἂν ἡμῖν δῆλον ποιήσῃς, ὅτι οὐκ ἤλγησας. ἂν γὰρ τοιούτων ἐπιτύχωμεν γραμμάτων, διπλασίονα καὶ τριπλασίονα καὶ πολλαπλασίονα τῶν ἀποσταλέντων ἡγούμεθα δεδέχθαι. ἱκανὸν γὰρ μάλιστα τοῦτο δεῖξαι τὴν αἰδῶ καὶ τὴν τιμήν, ἣν ἔχεις περὶ ἡμᾶς.

[marg.: χ. θαρρ. ἡμῶν — χ. ἐὰν — χ. ἰσχύει]

ρλγ. ΚΑΡΤΕΡΙΩ ΗΓΕΜΟΝΙ.

Ἐρημότατον μὲν χωρίον μεθ' ὑπερβολῆς ἡ Κουκουσός· πλὴν ἀλλ' οὐχ οὕτως ἡμᾶς ἡ ἐρημία λυπεῖ, ὡς εὐφραίνει ἡ ἡσυχία καὶ τὸ μηδαμόθεν ἡμῖν πράγματα παρέχειν. διὸ καθάπερ εἰς λιμένα τινά, τὴν ἐρημίαν ταύτην ἀπηντηκότες, οὕτω καθήμεθα, ἀπὸ τῶν κατὰ τὴν ὁδὸν καμάτων ἀναπνέοντες, καὶ τῇ ἡσυχίᾳ ταύτῃ τῆς ἀρρωστίας καὶ τῶν ἄλλων κακῶν, ὧν ὑπεμείναμεν, τὰ λείψανα διορθοῦντες. καὶ ταῦτα εἰρήκαμεν πρὸς τὴν σὴν λαμπρότητα, ἐπειδὴ σφόδρα ἴσμεν χαίροντά σε τῇ ἀνέσει τῇ ἡμετέρᾳ. ἐπεὶ καὶ ὃ αὐτόθι πεποίηκας, οὐδέποτε ἐπιλαθέσθαι δυνάμεθα, ὅτε περιέπτης ἐκείνους καὶ ἀλογίστους ἀνέστελλες θορύβους, καὶ πάντα ποιῶν ὥστε ἡμᾶς ἐν ἀδείᾳ καταστῆσαι, καὶ τὰ σαυτοῦ πληρῶν. καὶ ταῦτα πρὸς ἅπαντας, ὅπουπερ ἂν ἀφικώμεθα, ἀνακηρύττομεν, πολλάς σοι χάριτας εἰδότες, δέσποτά μου θαυμασιώτατε, τῆς τοσαύτης κηδεμονίας. ἵνα δὲ μὴ μόνον ἐκ τοῦ φιλεῖσθαι παρὰ

σοῦ.

σου, ἀλλὰ καὶ ἐκ τοῦ γραμμάτων ἀπολαύειν τῶν σῶν τῶν περὶ τῆς ὑγιείας τῆς σῆς σημαινόντων πολλὴν καρπωσόμεθα τὴν εὐφροσύνην, δίδου καὶ ταύτην ἡμῖν τὴν χάριν. οὐ γὰρ τὴν τυχοῦσαν δεξόμεθα καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες παράκλησιν, εἰ τοιαῦτα γράμματα δεξαίμεθα παρὰ τῆς θαυμασιότητός σου.

γ. σῆς

ρλδ. ΚΑΣΤΩ, ΟΥΑΛΕΡΙΩ, ΔΙΟΦΑΝΤΩ, ΚΥΡΙΑΚΩ πρεσβυτέροις Αντιοχείας.

γ. φρύττ
γ. τέρ

ΟΥ θαυμάζω ὅτι τὴν μακρὰν ἡμῶν ἐπιστολὴν βραχεῖαν ἐκαλέσατε. τοιοῦτοι γὰρ οἱ ἐρῶντες· οὐκ ἴσασι κόρον, οὐ δέχονται πλησμονήν· ἀλλ' ὅσα ἂν λάβωσι παρὰ 10 τῶν ἐρωμένων, πλείονα ἐπιζητοῦσι. διά τοι τοῦτο εἰ καὶ δεκαπλασίων ὑμῖν ἦλθεν [ἡ] ἐπιστολὴ τῆς ἔμπροσθεν, οὐκ ἂν οὐδ' ἐκείνη τὸ τῆς βραχύτητος διέφυγεν ὄνομα· ἀλλὰ καὶ αὐτὴ μικρὰ ἂν ἐκλήθη, μᾶλλον δὲ οὐκ ἐκλήθη μόνον, ἀλλὰ καὶ μικρὰ ἂν ὑμῖν ἐφάνη. ἐντεῦθεν καὶ ἡμεῖς, ὅσαπερ ἂν ἀφίκησθε, φιλοῦντες ὑμᾶς, οὐδὲ αὐτοὶ κόρον λαμβάνομεν, ἀλλ' ἀεὶ προσθήκας ἐπιζητοῦμεν ἡμῖν τοῦ φίλτρου, καὶ τὸ χρέος τῆς ἀγάπης, τὸ ἀεὶ μὲν ἐκτιννύ-

γ. ὑμῖν

15 μενον, ἀεὶ δὲ καὶ ὀφειλόμενον (Μηδενὶ γάρ, φησι, μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν) καθ' ἑκάστην τῶν ὑμῶν ἀπαιτοῦμεν ἡμέραν, ἀεὶ μὲν αὐτὸ μετὰ πολλῆς λαμβάνοντες τῆς δαψιλείας, οὐδέποτε δὲ ἀπειληφέναι τὸ πᾶν ἡγούμενοι. μὴ δὴ παύσησθε καταπιθέντες ἡμῖν τὸ καλὸν τοῦτο ὄφλημα καὶ πολλὴν ἔχον ἡδονήν. οἵ τε γὰρ καταβάλλοντες, οἵ τε ὑποδεχόμενοι, τὴν ἴσην καρποῦνται εὐφροσύνην, ἐπειδήπερ ἀμφότεροι τῇ καταβολῇ ὁ-

Ρωμ. ιγ. η.

20 μοίως γίνονται εὔποροι, ὅπερ ἐπὶ τῶν χρημάτων οὐκ ἔνι· ἀλλ' ὁ μὲν καταθείς, πενέστερος ταύτῃ γέγονεν, ὁ δὲ ὑποδεξάμενος εὐπορώτερος. ἀλλ' οὐκ ἐπὶ τοῦ συμβολαίου τῆς ἀγάπης τοῦτο συμβαίνει εἴωθεν. οὐδὲ γὰρ ἀφίησιν ἔρημον τὸν καταθέντα, ὅπερ ποιεῖ τὸ ἀργύριον πρὸς τὸν ὑποδεχόμενον μεταστάν, ἀλλὰ τότε μᾶλλον αὐτὸν εὐπορώτερον καθίστησιν, ὅταν αὐτὴν καταβάλλῃ. ταῦτ' οὖν εἰδότες, κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, μὴ διαλίπητε δι-

γ. διόλου

25 ηνεκῶς ἀκμάζουσαν περὶ ἡμᾶς τὴν διάθεσιν ἐπιδεικνύμενοι. εἰ γὰρ καὶ μηδὲν δεῖσθε εἰς τοῦτο τῆς παρ' ἡμῶν παρακλήσεως, ἀλλ' ἐπειδὴ σφόδρα ἐρῶμεν ὑμῶν τῆς ἀγάπης, καὶ μὴ δεομένους ἀναμιμνήσκομεν τούτου ἕνεκεν, καὶ τοῦ συνεχῶς ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας δηλοῦν. εἰ γὰρ μηδὲ τούτου χρείαν ἔχετε τοῦ ἀναμνήσοντος, ἀλλ' ἡμεῖς γε οὖν, ἐπειδὴ σφόδρα περισπούδαστοι ἡμῖν, οὐ παυσόμεθα διηνεκῶς παρ' ὑμῶν ἐπιζητοῦντες. ὅτι 30 μὲν γὰρ ἐργῶδες τοῦτο λοιπὸν καὶ διὰ τὴν τοῦ ἔτους ὥραν, καὶ διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν, οὐ πολλῶν φαινομένων τῶν ὁδοιπόρων τῶν πρὸς τοῦτο διακονησομένων ὑμῖν, οὐδὲ ἡμεῖς ἀγνοοῦμεν. πλὴν ἀλλ' ὡς ἔνι, καὶ οἷόν τέ ἐστι, καὶ ἐν τοσαύτῃ δυσκολίᾳ συνεχῶς ἐπιστέλλειν παρακαλοῦμεν, καὶ παρὰ τῆς ὑμετέρας ἀγάπης ταύτην αἰτοῦμεν τὴν χάριν· καὶ τῷ κυρίῳ δέ μου τῷ εὐλαβεστάτῳ πρεσβυτέρῳ Ρωμανῷ, καθὼς ἐκελεύσατε, ἐπεστάλκαμεν, καὶ τούτου χάριν ὑ-

35 μῖν εἰδότες πολλήν. ἐπεὶ καὶ τοῦτο σφόδρα ἡμᾶς ἀγαπώντων ἐστὶ καὶ μεθ' ὑπερβολῆς φιλούντων, τὸ τηλικούτοις ἀνδράσι καὶ διὰ τῶν γραμμάτων πειρᾶσθαι, καὶ πολλὴν ποιεῖσθαι σπουδὴν ἀκριβέστερον συνάπτειν ἡμᾶς. δεξάμενοι τοίνυν ἡμῶν τὴν πρὸς αὐτὸν ἐπιστολήν, καὶ ἐδυνῶ[?] παρακλήθητε, καὶ χωρὶς τῆς ἐπιστολῆς προσειπεῖν αὐτὸν πάλιν ἐξ ἡμῶν. καὶ γὰρ οὐχ ὡς ἔτυχεν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐρασταὶ γεγόναμεν αὐτοῦ σφοδρότατοι. καὶ τοῦτο μαν-

40 θανέτω διὰ τῆς γλώττης τῆς ὑμετέρας, ὅτι τὴν αὐτὴν ἀγάπην ἔχομεν διατηροῦντες, ἡμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι· καὶ ὅτι τὴν μεταξὺ σιγὴν οὐ ῥᾳθυμία πεποίηκεν, ἀλλὰ τὸ γράμματα ἀναμένειν δέξασθαι παρὰ τῆς εὐλαβείας αὐτοῦ. ἐπειδὴ δὲ προτέρους ἡμᾶς ἤτησεν ἐπιστεῖλαι, ἰδοὺ καὶ τοῦτο ποιοῦμεν, καὶ παρακαλοῦμεν [καὶ] αὐτὸν συνεχῶς τοῦτο πρὸς ἡμᾶς ποιεῖν.

γ. γράμμα τι

ρλε. ΚΑ-

ρλεʹ. ΚΑΣΤΩ, ΟΥΑΛΕΡΙΩ, ΔΙΟΦΑΝΤΩ, ΚΥΡΙΑΚΩ πρεσβυτέροις [Ἀντιοχείας].

χ. ·φάντη · χ. ἐκβάλ. · χ. ·τας · χ. δεομένοις

Ῥαγδαῖόν τι χρῆμα καὶ βίαιον ἡ ἀγάπη, καὶ χειμάρρου παντὸς σφοδροῦ βιαιότερον. οὐδὲ γὰρ οὕτως ἐκεῖνοι τοὺς τὰ χρήματα ὀφείλοντας αὐτοῖς ἄγχοντες ἀπαιτοῦσιν, ὡς ὑμεῖς τῆς ἀγάπης τὴν ἅλυσιν περιθέντες πρὸς τὴν τῶν ἐπιστολῶν ἡμᾶς ἔκτισιν κατεπείγετε, καίτοι πολλάκις τοῦτο καταθέντας τὸ ὄφλημα. ἀλλὰ τοιαύτη τούτου τοῦ χρέους ἡ φύσις· ἀεὶ κατατίθεται, καὶ ἀεὶ ὀφείλεται. διὰ τοῦτο καὶ ὑμεῖς πολλάκις δεξάμενοι γράμματα, οὐ κορέννυσθε. καὶ γὰρ καὶ τοῦτο ἐκείνης τὸ πλεονέκτημα καὶ μιμεῖται τὴν θάλασσαν, ἣ μυρίων πανταχόθεν εἰς αὐτὴν ῥεόντων ποταμῶν οὐκ ἐμπίπλαται. τοιοῦτον καὶ τῆς ἀκοῆς ὑμῶν τὸ πλάτος. διὰ τοῦτο ὅσῳ ἂν πλείονα ἐμβάλλωμεν, τοσούτῳ μειζόνως τὴν φλόγα τῆς διαθέσεως ὑμῶν ἐγείρομεν. μὴ τοίνυν νομίσητε ἀποπλεύσαντα ὑμῶν τὴν φιλίαν τὸν βραχὺν τοῦτον σεσιγηκέναι χρόνον. καὶ γὰρ τοὐναντίον ἅπαν ἐπάθομεν ἄν, εἴ γε ὑπωπλεύσαιμεν, καὶ πλεονάκις ἂν ἐπεστάλκαμεν. ὥσπερ γὰρ οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, οὕτως οἱ ὀλιγωροῦντες καὶ ἀναπεπτωκότες πολλῆς δέονται τῆς θεραπείας. εἰ τοίνυν καὶ ἡμεῖς ᾐσθόμεθα χωλευούσης ὑμῖν τῆς διαθέσεως, οὐκ ἂν ἠμελήσαμεν τὰ παρ' ἑαυτῶν εἰσφέροντες, ὥστε αὐτὴν ἀνακαῦσαι μειζόνως. τὸ δὲ σφόδρα ὑμῖν θαρρεῖν καὶ εἰδέναι σαφῶς, ὅτι καὶ δεχόμενοι, καὶ μὴ δεχόμενοι γράμματα, παγίαν, ἀκίνητον, μόνιμον, ἄτρεπτον, ἀκλινῆ, ἀκμάζουσαν καὶ ἀνθοῦσαν αὐτὴν διηνεκῶς διατηρεῖτε, οὐκ ἀναγκαίας εἰς τοῦτο ἐνομίζομεν ἡμῶν τὰς ἐπιστολάς, ἀλλ' εἰς τὸ διαθέσεως ἀποδοῦναι ὄφλημα· ἐπεὶ καὶ νῦν οὐ χρείας, ἀλλὰ φιλίας ἕνεκεν ἐπιστέλλομεν. ὅτι γὰρ κἂν πολλοὶ πολλαχόθεν οἱ χειμῶνες φύωνται, καὶ μυρία πρὸς ὕψος ἐπήρηται κύματα, οὐδὲν ἡμᾶς βλάψαι δύναιτ' ἂν καὶ ἐμβαλεῖν εἰς τὸν τῆς ἀθυμίας κλυδώνιον, ἱκανῶς ὁ παρελθὼν ἔδειξε χρόνος. οὐ τοίνυν ὡς πρὸς δεομένους τῆς ἐντεῦθεν παρακλήσεως ἐπιστέλλομεν, ἀλλὰ δηλοῦντες ὅτι χαίρομεν, σκιρτῶμεν, εὐφραινόμεθα, πτερούμεθα ὑπὸ τῆς ἡδονῆς, τοσαύτης καὶ ἐκ τοσούτου διαστήματος ἀγάπης παρὰ τῆς ἐμμελείας ὑμῶν ἀπολαύοντες. ἐπειδὴ δὲ εὖ οἶδα ὅτι πολλὴν ὑμῖν φέρει τὴν εὐφροσύνην τὸ μαθεῖν τὰ ἡμέτερα ἐν τίσιν ὁρμεῖ, ἀπηλλάγμεθα τῆς τοῦ στομάχου ἀσθενείας, ὑγιαίνομεν. οὐδὲν ἡμᾶς οὔτε πολιορκία, οὔτε ἔφοδοι λῃστρικαί, οὔτε ἐρημία χωρίου, οὔτε μυρίων περιστάσεων ὄχλος, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν συστέλλει καὶ θορυβεῖ· ἀλλ' ἀδείας ἀπολαύομεν, ἀπραγμοσύνης, ἡσυχίας πολλῆς, καθ' ἑκάστην μεριμνῶντες τὰ ὑμέτερα, ὑπὲρ τούτων πρὸς τοὺς εἰσιόντας πρὸς ἡμᾶς ποιούμενοι λόγους. τοιοῦτον γὰρ τὸ φιλεῖν γνησίως. ἐπὶ γλώττης ἀεὶ τοὺς ποθουμένους ἔχειν παρασκευάζει· ὃ καὶ ἡμεῖς ποιοῦμεν, ἐπειδὴ σφόδρα φιλοῦμεν· καὶ τοῦτο ἴστε καὶ ὑμεῖς. ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, μὴ νομίζετε ἐρραθυμηκέναι ἡμᾶς, μηδὲ ὀλιγώρους τῷ χρόνῳ γεγενῆσθαι περὶ τὴν διάθεσιν τὴν ὑμετέραν. ἡ γὰρ ἀγάπη οὐδέποτε ἐκπίπτει· ἀλλὰ κἂν χρόνος παρέλθῃ μακρός, κἂν πραγμάτων αὐξηθῶσι δυσκολίαι, κἂν μακροτέρῳ τῆς ὁδοῦ μήκει διειργώμεθα, οὐδενὶ τούτων αὕτη διακόπτεται, οὐδὲ ἐξίτηλος γίνεται, ἀλλ' αὔξει μειζόνως καὶ ἐπιδίδωσιν.

ρλϛʹ. ΚΑΣΤΩ, ΔΙΟΦΑΝΤΩ, ΟΥΑΛΕΡΙΩ, ΚΥΡΙΑΚΩ πρεσβυτέροις Ἀντιοχείας.

χ. ·φάντη

Ὅτι μὲν ἡμᾶς ἀπέλιπεν ὁ κύριός μου ὁ τιμιώτατος καὶ εὐλαβέστατος πρεσβύτερος Κωνστάντιος, ἀλγῶ· ὅτι δὲ ὑμᾶς ἀπείληφε, χαίρω· καὶ μειζόνως χαίρω, ἢ ἐκείνως ἀλγῶ.

ὣς γὰρ οἶδεν ὅτι εἰς ἀκύμαντον ὅρμον λιμένα, τὴν ὑμετέραν ἀγάπην. κἂν γὰρ μυρίαι πανταχόθεν περιεστήκωσι ταραχαὶ, καὶ πολλὰ ἐγείρηται τὰ κύματα, ἀλλὰ τοιαῦτα τὰ ὑμέτερα, ὡς καὶ ἐν χειμῶνι γαλήνης ἀπολαύειν λευκῆς, διὰ τὴν προσοῦσαν ὑμῖν ἀνδρείαν, καὶ τὴν ἀπερίτρεπτον ἀγάπην καὶ διάθεσιν. ἰδόντες τοίνυν αὐτὸν, ὡς ὑμῖν πρέπον ἐστὶ, πάντα
5 αὐτῷ γενέσθαι παρακλήθητε. ἴστε γὰρ ὅσος ὑμῖν κείσεται μισθὸς εἰκῇ καὶ μάτην ἐπηρεαζόμενοι διέχειν σπουδάζουσιν. οὐδὲ γὰρ ἡμεῖς ἄλλο τι ζητοῦμεν, ἀλλ' ὥστε μηδὲν αὐτὸν παρὰ τὸ δίκαιον ἐπηρεασθῆναι, μηδὲ εἰκῇ καὶ μάτην ἄγεσθαι καὶ περιάγεσθαι ἐν δικαστηρίοις παρατιθέμενον, ὑπὲρ ὧν στεφανοῦσθαι αὐτὸν καὶ ἀνακηρύττεσθαι ἔδει. καὶ ὑπὲρ μὲν τούτου ταῦτα αἰτοῦμεν· ὑπὲρ δὲ ἡμῶν αὐτῶν, ὥστε συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας
10 τῆς ὑμετέρας εὐαγγελίζεσθαι. εἰ γὰρ καὶ πολλῷ διειργόμεθα τῷ μέσῳ τῆς ὁδοῦ, ἀλλ' ὅμως οὐ παυόμεθα διηνεκῶς ὑμᾶς ἐπὶ διανοίας περιφέροντες, [καὶ πλησίον ὑμῶν ὄντες,] καὶ καθ' ἑκάστην ὑμῖν συγγινόμενοι τὴν ἡμέραν. τοιοῦτοι γὰρ οἱ τῆς ἀγάπης ὀφθαλμοὶ τῶν γνησίως εἰδότων φιλεῖν. καὶ τοῦτο ἴστε καὶ αὐτοὶ σαφῶς, ἐπεὶ καὶ φιλεῖν ἴστε γνησίως.

γ. πλείω
γ. αὐτῇ
γ. περιφέροντι

15 ## ρλζ. ΚΑΣΤΩ, ΟΥΑΛΕΡΙΩ, ΔΙΟΦΑΝΤΗ, ΚΥΡΙΑΚΩ πρεσβυτέροις Ἀντιοχείας.

γ. φαίνῃ

Τῇ γλώττῃ μὲν ὀλιγάκις ὑμῖν ἐπέσταλκα τῇ εὐλαβείᾳ, τῇ γνώμῃ δὲ συνεχέστερον καὶ πυκνότερον. μὴ δὴ τοσαύτας εἶναι νομίζετε ἡμῶν τὰς ἐπιστολὰς, ὅσας ὑπεδέξασθε
20 διὰ χάρτου καὶ μέλανος, ἀλλ' ὅσας ἐπεθυμοῦμεν ὑμῖν διαπέμψασθαι. εἰ γὰρ οὕτω βουληθείητε δικάσαι, νιφάδες γραμμάτων παρ' ἡμῶν πρὸς ὑμᾶς ἐπέμφθησαν. εἰ δὲ οὐδεὶς ὁ διακομίζων, οὐ τῆς ἡμετέρας ὀλιγωρίας, ἀλλὰ τῆς τῶν πραγμάτων δυσκολίας ἡ σιγὴ γέγονε. ταῦτα δὲ εἶπον, ἵνα καὶ γραφόντων ἡμῶν καὶ σιγώντων τὴν αὐτὴν περὶ τῆς ἡμετέρας ἀγάπης τῆς περὶ ὑμᾶς φέρητε ψῆφον. ἡμεῖς γὰρ ὅπουπερ ἂν ὦμεν, ἐγκολάψαντες ἡμῶν
25 τῇ διανοίᾳ τὴν μνήμην τὴν ὑμετέραν, πανταχοῦ περιφέρομεν· καὶ νῦν δὲ χάριν ὑμῖν ἴσμεν πολλὴν, ὅτι τὸν καλὸν μονάζοντα καὶ μετὰ τῆς πρεπούσης ὑμῖν εὐνοίας ὑπεδέξασθε, καὶ τοὺς βουλομένους ἀκαίρως πρὸς αὐτὸν φιλονεικεῖν ἡμερωτέρους πεποιήκατε. οὐκ ἄρα μάτην ἐλέγομεν, οὐδὲ κολακεύοντες ὑμᾶς, ὅτι κἂν μυρία πανταχόθεν ἐγείρηται κύματα, ἐν γαλήνῃ τὰ ὑμέτερα. οἱ γὰρ οὕτω ῥᾳδίως ἑτέροις ναυάγια διαλύοντες, εὔδηλον ὅτι πόρρω τῶν κλυδω-
30 νίων ἑστήκατε. γράφετε δὲ συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας. ἴστε γὰρ ὅπως ἡμῖν περισπούδαστον τοῦτο μανθάνειν. τοσαύτην γὰρ ὑμῖν ἰσχὺν ἔχει τὰ γράμματα τὰ τὴν ῥῶσιν ὑμῶν ἡμῖν ἀπαγγέλλοντα, ὅτι καὶ τοσούτοις περιεστοιχισμένοι δεινοῖς, πολέμοις, θορύβοις, ταραχαῖς, θανάτοις καθημερινοῖς, ἡνίκα ἂν τοσαύτας ὑμῶν δεξώμεθα ἐπιστολὰς, καὶ ἀναπτερούμεθα ὑπὸ τῆς ἡδονῆς, καὶ μεγίστην ἐντεῦθεν καρπούμεθα τὴν παραμυθίαν.
35 τοιοῦτον γὰρ τὸ φιλεῖν γνησίως, ὡς καὶ διὰ γραμμάτων δύνασθαι τῶν τὰ τοιαῦτα εὐαγγέλια ἐχόντων τοὺς τῷ σώματι κεχωρισμένους ἀνακτᾶσθαι ῥᾳδίως.

γ. παύσηται
γ. ἀναπτερούμεθα

ρλη. ΚΑΣΤΩ, ΟΥΑΛΕΡΙΩ, ΔΙΟΦΑΝΤΗ, ΚΥΡΙΑΚΩ πρεσβυτέροις Ἀντιοχείας.

γ. φαίνῃ

40
Καὶ τὸ γράψαι, καὶ τὸ προτέρους ἐπιπηδῆσαι τοῖς πρὸς ἡμᾶς γράμμασι, καὶ τὸ γράμματα παρ' ἡμῶν αἰτῆσαι, καὶ τὸ κελεῦσαι ὑπερβῆναι μέτρον ἐπιστολῆς, ἔδειξε τοὺς ἀκορέστους καὶ μανικοὺς ἡμῶν ἐραστάς. τοῦτο τὴν ἐρημίαν, ἐν ᾗ διατρίβομεν, οὐκ ἀφίησιν ἐρημίαν φαίνεσθαι· τοῦτο τὰς ποικίλας καὶ συνεχεῖς ἡμῶν περιστάσεις παραμυθεῖται. ἡ γὰρ ἀγάπης

γ. ἐμέ

ἀγάπης ἴσον; οὐκ ἔστιν οὐδέν. αὕτη καὶ ῥίζα καὶ μήτηρ καὶ πηγὴ τῶν ἀγαθῶν ἐστιν, ἀρετὴ πόνον οὐκ ἔχουσα, ἀρετὴ ἡδονῇ συγκεκληρωμένη, καὶ πολλὴν φέρουσα τοῖς γνησίως αὐτὴν μετιοῦσι τὴν εὐφροσύνην. διὰ ταῦτα χάριν ὑμῖν ἴσμεν πολλήν, ὅτι οὕτω γνησίως διετηρήσατε τὴν περὶ ἡμᾶς διάθεσιν. καὶ ἡμεῖς δέ, ὅπουπερ ἂν ὦμεν, κἂν περὶ αὐτὰ τῆς οἰκουμένης ἀπενεχθῶμεν τὰ τέρματα, κἂν εἰς ἐρημότερον τούτου χωρίον, περιφέροντες ὑμᾶς ἄπιμεν, ἐγκολάψαντες τῇ διανοίᾳ, καὶ τῷ συνειδότι ἐναποθέμενοι. καὶ οὔτε τῆς ὁδοῦ τὸ μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε ὁ τῶν περιστάσεων ὄχλος, ῥαθυμοτέρους ἡμᾶς περὶ τὴν ὑμετέραν ἐμμέλειαν πεποίηκεν· ἀλλ' ὡς χθὲς καὶ πρώην ὑμῖν συγγενόμενοι, μᾶλλον δὲ ὡς ἀεὶ μεθ' ὑμῶν ὄντες, ὥσπερ οὖν καί ἐσμεν, οὕτως ὑμᾶς ἐρῶμεν καὶ φανταζόμεθα τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς. τοιοῦτον γὰρ τὸ φιλεῖν. οὐ διείργεται ὁδῶν διαστήματι, οὐ μαραίνεται ἡμερῶν πλήθει, οὐ νικᾶται θλίψεων περιστάσει· ἀλλ' εἰς ὕψος αἴρεται διὰ πάντος, καὶ φλογὸς μιμεῖται δρόμον. καὶ τοῦτο ἴστε μάλιστα πάντων, ἐπειδὴ καὶ φιλεῖν μάλιστα πάντων ἐπίστασθε. διὸ καὶ σφόδρα ὑμᾶς μακαρίζομεν. εἰ γὰρ καὶ ἡμεῖς οἰκτροί τε καὶ ἄθλιοι, ἀλλ' ὁ Θεὸς ἱκανὸς ὑμῖν δοῦναι τῆς ἀγάπης ταύτης μείζονα τὴν ἀμοιβήν, καὶ πολλῷ πλείονα. καὶ γὰρ ἐκ πολλοῦ τοῦ περιόντος ἀεὶ νικᾷ ταῖς ἀντιδόσεσι τοὺς ἀγαθόν τι ποιοῦντας ἢ λέγοντας. ἐγὼ μὲν οὖν ἐβουλόμην καὶ αὐταῖς ὄψεσιν ἰδεῖν ὑμᾶς, καὶ τῆς κατὰ πρόσωπον ἀπολαῦσαι συνουσίας, καὶ ἐμφορηθῆναι καὶ τούτῳ τῷ τρόπῳ τῆς ἀγάπης ὑμῶν· ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, οὐ δι' ὄκνον καὶ ῥαθυμίαν, ἀλλὰ διὰ τὴν ἀνάγκην τῆς ἐξορίας πεπεδήμεθα, αὐτοὶ ὑμεῖς δεύτερον ἡμᾶς μὴ ἀποστερήσητε πλούτου, ἀλλὰ πέμπετε ἡμῖν νιφάδας ἐπιστολῶν, τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας δηλοῦντες. εἰ γὰρ τοιαῦτα δεξαίμεθα γράμματα συνεχῶς, πολλὴν καρπωσόμεθα τὴν παράκλησιν, καὶ ταῦτα ἐν ἀλλοτρίᾳ διατρίβοντες. εἰδότες οὖν ἡλίκα ἡμῖν χαριεῖσθε, καὶ ἐν ὅσῃ καταστήσετε ἡμᾶς εὐφροσύνῃ, μὴ φθονήσητε τῆς τοσαύτης ἡμῖν ἡδονῆς. ὁμιλοῦντες γὰρ ὑμῶν τοῖς γράμμασιν, αὐτοὺς ὑμᾶς ἡγησόμεθα ἐνταῦθα παρεῖναι, καὶ τρανωτέραν ἐντεῦθεν τῆς παρουσίας ὑμῶν ληψόμεθα τὴν φαντασίαν.

γρ. -μασι

γρ. πάντων

ρλθ. ΚΑΣΤΩ, ΟΥΑΛΕΡΙΩ, ΔΙΟΦΑΝΤΩ, Κυριακῷ πρεσβυτέροις.

Ὅ συμβαίνει τῷ χρυσίῳ βασανιζομένῳ πολλάκις ὑπὸ πυρός, τοῦτο καὶ ταῖς χρυσαῖς εἴωθε προσγίνεσθαι ψυχαῖς ὑπὸ τῶν πειρασμῶν. ἐκείνην τε γὰρ τὴν ὕλην λαμπροτέραν πολλῷ καὶ καθαρωτέραν ἡ τῆς φλογὸς ἀποφαίνει φύσις ὁμιλοῦσα αὐτῇ χρόνον τοσοῦτον, ὅσον ἂν ὁ τῆς τέχνης ἐπιτρέπῃ νόμος, τοῖς τε τῷ χρυσίῳ κατὰ διάνοιαν ἐοικότας ἀνθρώπους, χρυσίου παντὸς φαιδροτέρους καὶ πολυτελεστέρους μετὰ πολλῆς τῆς περιουσίας ἡ τῶν ἐπαλλήλων πειρασμῶν ἐργάζεται κάμινος. διὸ δὴ τοῦτο καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, οὐ παυόμεθα διηνεκῶς μακαρίζοντες ὑμᾶς. ἴστε γάρ, ἴστε σαφῶς ὅσον τῶν τοιούτων ἐπιβουλῶν τὸ κέρδος, καὶ πῶς ἡ τοῦ παρόντος βίου εὐημερία ὄνομα μόνον ἐστὶ ψιλόν, πράγματος ἔρημον, τὰ δὲ μέλλοντα ἀγαθὰ πεπηγότα, ἀκίνητα, μόνιμα, ἀθάνατα. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν τῆς ἀρετῆς, ὅτι ταῦτα ἡμῖν τὰ ἔπαθλα παρέχεται, ἀλλ' ὅτι καὶ πρὸ τῶν ἐπάθλων αὐτοὶ οἱ ἀγῶνες αὐτῆς ἔπαθλα γίνονται· καὶ οὐ μόνον τοῦ θεάτρου λυθέντος τὰ βραβεῖα τοῖς νενικηκόσιν ἔρχεται φέρουσα, ἀλλὰ καὶ ἐν αὐτῷ μέσῳ τῷ σκάμματι λαμπροὺς τοῖς ἀγωνιζομένοις πλέκει τοὺς στεφάνους. διὰ τοῦτο καὶ Παῦλος οὐκ ἐπὶ ταῖς ἀντιδόσεσι τῶν θλίψεων χαίρει καὶ εὐφραίνεται μόνον, ἀλλὰ καὶ ἐπ' αὐταῖς ταῖς θλίψεσι καλλωπίζεται, οὕτω λέγων· Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν. εἶτα ἀπαριθμούμενος αὐτῶν ὁρμαθὸν τῶν βραβείων τῶν θλίψεων, φησιν· Ὅτι ὑπομονὴν αὕτη τίκτει τὴν μητέρα τῶν ἀγαθῶν, αὐτὴν ἀκύμαντον

Ρωμ. ε. γ.

μασι τοι λιμένα, τὴν ἐν γαλήνῃ ζωήν, τῆς πέτρας ἰσχυροτέραν καὶ ἀδάμαντος στερροτέραν,
τὴν ὅπλου παντὸς δυνατωτέραν, καὶ τειχῶν ἀσφαλεστέραν. αὕτη δὲ καρτερία ποιεῖ τοὺς δοκί-
μους καὶ γενναίους ποιεῖ τοὺς αὐτῆς τροφίμους, καὶ μετὰ ὑπερβολῆς ἀχειρώτους. οὐδενὶ γὰρ ἀφί-
ησι τῶν περισταμένων θορυβεῖσθαι λυπηρῶν, οὐδὲ ὑποσκελίζεσθαι· ἀλλ' ὥσπερ ἡ πέτρα
5 ὅσῳπερ ἂν ὑπὸ πλειόνων παίηται κυμάτων, αὐτὴ μὲν ἐκκαθαίρεται μειζόνως, οὐδὲ μικρὸν
κινουμένη, τὸν δὲ προσρηγνυμένων αὐτῇ τῶν ὄγκον ὑδάτων διαφθείρει ῥᾳδίως· οὕτω δὴ καὶ ὁ
δόκιμος ἐξ ὑπομονῆς γενόμενος, πάσης ἀνώτερος ἕστηκεν ἐπιβουλῆς· καὶ τὸ δὴ θαυμαστὸν, ὅτι
ἰσχυρότερος γίνεται, οὐ τῷ ποιεῖν κακῶς, ἀλλὰ τῷ πάσχειν κακῶς τοὺς ποιοῦντας διαλύων ῥᾳδί-
ως. ταῦτα οὐχ ὡς δεομένοις παρ' ἡμῶν μανθάνειν ἐπέσταλκα. οἶδα γὰρ ὑμῶν τὴν σύνε-
10 σιν, ἣν καὶ διὰ τῶν ἔργων αὐτῶν ἐπεδείξασθε. ἃ γὰρ διὰ ῥημάτων ἐφιλοσοφήσαμεν νῦν ἡμεῖς,
ταῦτα ὑμεῖς δι' ὧν ἐπάθετε ἀνεκηρύξατε. οὐ τοίνυν ὡς δεομένοις μανθάνειν παρ' ἡμῶν ταῦτα
ἐπέσταλκα, ἀλλ' ἐπειδὴ μακρὸν ἐσιγήσατε χρόνον, μᾶλλον δὲ κοπῇ μακρὰν ἐσιγήσαμεν σιγήν,
ἐβουλήθην καὶ τὴν ἐπιστολὴν γενέσθαι μακράν. ἀθληταῖς δὲ ὑπομονῆς οὕτω ἐπιστέλλοντα
γενναίοις περὶ τίνος ἑτέρου διαλέγεσθαι ἐχρῆν, ἢ περὶ τούτων, δι' ὧν οὕτως ἀνεφάνητε λαμ-
15 προὶ καὶ εὐδόκιμοι; ἀλλ' οὐδὲ ἐν τούτοις ἵσταται τῆς ἀθλήσεως ὁ καρπὸς, ἀλλὰ πρόεισι πε-
ραιτέρω βρύων. Ἡ γὰρ δοκιμὴ, φησὶν, ἐλπίδα τίκτει, ἐλπίδα πάντως ἐπὶ τῶν πραγ- Ρωμ. ε. δ.
μάτων ἐκβησομένων, οὐ κατὰ τὴν ἀνθρωπίνην ταύτην, ἢ κατά τινας, ἃ πολλάκις τοῖς πό-
νοις τοῖς πρὸς αὐτὴν κεχηνότας οὐκ ἴσχυσε τοὺς καρποὺς ἀποδοῦναι τῶν πόνων αὐτοῖς, ἀλλὰ
μετὰ τῆς ζημίας καὶ αἰσχύνης καὶ κινδύνοις περιέβαλεν αὐτούς. ἀλλ' οὐκ αὕτη τοιαύτη, ἐπειδὴ
20 οὐδὲ ἀνθρωπίνου. ὅπερ ἑνὶ ῥήματι δηλῶν ὁ Παῦλος, ἔλεγεν· Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.
οὐ γὰρ δὴ μόνον οὐ ζημιοῖ τοὺς τὰ τοιαῦτα ἀγωνιζομένους, οὐδὲ οὐ μόνον καταισχύνει, ἀλλὰ καὶ
πολλῷ πλείονα καὶ πλοῦτον καὶ δόξαν αὐτοῖς τῶν πόνων καὶ τῶν ἱδρώτων ἔρχεται φέρουσα. τοιαύ-
τη γὰρ ἡ χαριζομένη χεὶρ τούτων τῶν πόνων τὰς ἀμοιβάς. τάχα ὑπερέβημεν τὸ μέτρον τῆς
ἐπιστολῆς· ἀλλ' οὐ παρ' ὑμῖν τοῖς οὕτω σφοδροῖς ἡμῶν ἐρασταῖς. οὐ γὰρ ἐπιστολιμαίων γραμ-
25 μάτων νόμῳ, ἀλλὰ θεσμῷ φιλίας, τὰ τοιαῦτα κρίνοντες, εὖ οἶδ' ὅτι καὶ βραχεῖαν εἶναι ταύ-
την ἡγήσεσθε τὴν ἐπιστολήν. ἀλλ' ὅμως εἰ καὶ βραχεῖα ὑμῖν εἶναι δοκεῖ, οὐ παύσομαι καὶ
ταύτης ἀπαιτῶν ὑμᾶς τοὺς μισθούς· οὐ τὸ φιλεῖσθαι παρ' ὑμῶν (οὐ γὰρ δεῖσθε εἰς τοῦτο τοῦ
ἀπαιτήσαντος, οἴκοθεν αὐτὸ μετὰ πολλῆς ἀεὶ τῆς δαψιλείας καὶ καταθέντες καὶ ὀφείλοντες)
οὐδὲ τὸ ἀντιγράψαι ἡμῖν. οἶδα γὰρ ὅτι οὐδὲ εἰς τοῦτο ἑτέρου τινὸς ἡμῖν δεῖ τοῦ ἀναμνήσαν-
30 τος ὑμᾶς. ἀλλὰ τίς ὁ μισθός; τὸ δῆλον ἡμῖν ποιῆσαι ὅτι σκιρτᾶτε, ὅτι χαίρετε καὶ εὐφραίνε-
σθε, καὶ ὅτι οὐδὲν τῶν ἐπενεχθέντων ὑμῖν πεπόνθατε δεινόν, ἀλλὰ πλείονος ἡδονῆς ὑμῖν ὑπο-
θέσεις αἱ ἐπιβουλαὶ γεγόνασι. ἂν γὰρ δεξώμεθα ἐπιστολὴν ταῦτα φέρουσαν ἡμῖν τὰ εὐαγγέ-
λια, καὶ ἐρημίας, καὶ λιμοῦ, καὶ λοιμοῦ, καὶ πολέμων Ἰσαυρικῶν, καὶ ἀρρωστίας ἁπάσης, οἷς ἅπα-
σιν ἐκδεδόμεθα νῦν, ἔσται ἡμῖν παράκλησις τὰ τοιαῦτα γράμματα, καὶ φάρμακα, καὶ ἰατρεῖα.
35 εἰδότες τοίνυν ἡλίκα ἡμῖν χαριεῖσθε, καὶ ἐπιστεῖλαι παρακλήθητε, ἵνα ἡμᾶς καὶ ἐκ τοσού-
του καθημένους διαστήματος πολλῆς ἐμπλήσητε τῆς εὐφροσύνης.

ρμ. ΚΛΑΥΔΙΑΝΩ.

40 ΤΙ τοῦτο; ὁ θερμὸς ἡμῶν ἐραστὴς, ὁ μανικὸς, ὁ τοσαύτης παρ' ἡμῶν ἀπολαύσας ἀγάπης,
ὁ διηνεκῶς ἡμῖν συνδεδεμένος, οὐδὲ γραμμάτων ἡμᾶς ἐν οὕτω χρόνῳ μακρῷ ἠξίω-
σας· ἀλλὰ ἠνέσχου σιγῆσαι σιγὴν οὕτω μακράν; τί ποτ' ἄρα τὸ αἴτιον; ἆρα μὴ μετὰ ἀ-
ποδημίαν ἐξέβαλες ἡμᾶς τῆς διανοίας τῆς σῆς, καὶ ῥᾳθυμότερος περὶ τὴν ἡμετέραν γέγονας
ἀγάπην; οὐκ ἔγωγε οἶμαι. μὴ γὰρ ποτε τοῦτο γένηται ἀπὸ φιλικῆς οὕτω ψυχῆς καὶ θερ-
μῆς,

ἴσ. ἢ κατά τινας πολλάκι τοῖς πόνοις τοῖς πρὸς αὐτ.
ἴσ. ἀνθρωπίνη
ἴσ. γένοιτο

μῆς τοσαύτην γενέσθαι μεταβολήν. ἀλλ' ἆρα μὴ ἀῤῥωστία σε κατέχει; ἀλλ' οὐκ ἠδύνατο αὕτη γενέσθαι κώλυμα τοῦ γράφειν. ἐπεὶ οὖν ἀγνοοῦμεν τὴν αἰτίαν, μετὰ τοῦ λῦσαι τὴν σιγὴν καὶ τὴν αἰτίαν εἰπὲ τῆς σιγῆς, καὶ πέμπε ταχέως ἡμῖν ἐπιστολὴν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζομένην ἡμᾶς. οὕτω γὰρ τὰ μέγιστα ἡμῖν χαριῇ, καὶ τῆς ἐρημίας πολλὴν παρέξεις παράκλησιν, ἂν τοιαῦτα δεξώμεθα γράμματα. ἀλλὰ μὴ ῥαθυμήσῃς. εἰ γὰρ καὶ μετὰ τὴν ἐπιστολὴν ταύτην μένεις σιγῶν, οὐκέτι σοι συγγνώμην δώσομεν, ἀλλὰ γραψόμεθά σε τῆς ἐσχάτης ἀγνωμοσύνης. οἶδα δὲ, ὅτι πάσης τιμωρίας τοῦτο πικρότερον.

ρμα. ΚΥΘΗΡΙΩ.

Ἡ μὲν συνουσία ἡμῖν ἡ αὐτόθι βραχεῖα γέγονε πρὸς ὑμᾶς· ἡ δὲ ἐντεῦθεν τεχθεῖσα ἀγάπη, μεγάλη καὶ ὑψηλὴ καὶ γενναία. τοῖς γὰρ γνησίως εἰδόσι φιλεῖν οὐ δεῖ εἰς τοῦτο χρόνου μακροῦ, ἀλλὰ καὶ ἐν βραχεῖ δυνατὸν κατορθῶσαι τὸ πᾶν· ὃ δὴ καὶ ἐφ' ἡμῶν γέγονε· καὶ γεγόναμεν ὑμῶν ἐρασταὶ σφοδροὶ ὡς πρὸ πολλοῦ συγγενόμενοι τοῦ χρόνου. ὅθεν δὴ καὶ ἐπιστέλλομεν, τὰ καθ' ἡμᾶς δηλοῦντες, ὅτι τε ὑγιαίνομεν, καὶ ἐν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ διάγομεν. ἴσμεν γὰρ ὅτι χαριούμεθα ταῦτα ὑμῖν ἀπαγγέλλοντες, καὶ τὰ παρ' ὑμῶν αἰτοῦμεν γράμματα τὰ αὐτὰ ἡμῖν εὐαγγέλια κομίζοντα. μὴ δὴ κατοκνήσητε γράφειν ἡμῖν συνεχῶς, καὶ τὰ περὶ τῆς ὑγιείας ὑμῶν εὐαγγελίζεσθαι. οὕτω γὰρ τὰ μέγιστα καὶ ἐν ἀλλοτρίᾳ διατρίβουσι χαριεῖσθε, ταῦτα ἐπιστέλλοντες, ἅπερ συνεχῶς ἐπιθυμοῦμεν μαθεῖν.

ρμβ. ΚΥΡΙΑΚΩ ΕΠΙΣΚΟΠΩ.

Ὁ δεσπότης μου Σώπατρος, ὁ τῆς Ἀρμενίας ἄρχων, Ἀρμενίας ταύτης, ἐν ᾗ νῦν ἐσμεν καθειργμένοι, ἦρξε μὲν Ἀρμενίας ὡς πατὴρ, ἐπεδείξατο δὲ περὶ ἡμᾶς θεραπείαν πλείονα ἢ πατήρ. ταύτης αὐτῷ τῆς εὐνοίας ἀποδοῦναι τὴν ἀμοιβὴν σπουδάζων τε καὶ ζητῶν, εὑρηκέναι μοι δοκῶ καλλίστην ὁδὸν, τὴν μεμεριμνημένην σου καὶ ἄγρυπνον ψυχὴν, δι' ἧς δυνήσομαι αὐτὸν ἀμείψασθαι. πῶς καὶ τίνι τρόπῳ; υἱός ἐστιν αὐτῷ διατρίβων αὐτόθι χρόνον ἤδη πολὺν ἐπὶ λόγων κτήσει. τοῦτον ἐὰν σπουδάσῃς μετὰ προθυμίας ἰδεῖν καὶ τῆς σοὶ πρεπούσης ἀγάπης, καὶ ποιήσῃς ἀπολαῦσαί τινος τῶν χρηστῶν, τὸ πᾶν ἐσόμεθα ἐκτετικότες. ποίει δὲ τοῦτο, καὶ καθίστη γνώριμον αὐτὸν καὶ τοῖς ἐν τέλει, τοῖς καὶ σοὶ γνωρίμοις, καὶ δυναμένοις αὐτῷ τὴν ἀλλοτρίαν ἡδίω τῆς ἐνεγκούσης ποιῆσαι. οὕτω γὰρ χαριῇ μὲν ἐκείνῳ, χαριῇ δὲ ἐμοὶ, χαριῇ δὲ σαυτῷ, ἄνδρα χρηστὸν καὶ φιλάνθρωπον καὶ κοινὸν τῶν πενήτων λιμένα διὰ τοῦ παιδὸς ὠφελῶν.

ρμγ. ΕΠΙΣΤΟΛΗ ΣΤΑΛΕΙΣΑ ΑΠΟ ΤΗΣ ΕΞΟΡΙΑΣ

πρὸς Κυριακὸν ἐπίσκοπον ὄντα καὶ αὐτὸν ἐν ἐξορίᾳ.

Φέρε δὴ πάλιν ἀπαντλήσω σου τῆς ἀθυμίας τὸ ἕλκος, καὶ διασκεδάσω τοὺς λογισμοὺς τοὺς τὸ νέφος τοῦτο συνιστῶντας. τί γάρ ἐστιν, ὃ λυπεῖ καὶ ἀδημονεῖς; ὅτι χαλεπὸς ὁ χειμὼν, καὶ πικρὸν τὸ ναυάγιον τὸ τὴν ἐκκλησίαν καταλαβόν; τοῦτο οἶδα κἀγὼ, καὶ οὐδεὶς ἀντερεῖ. ἀλλ' εἰ βούλει καὶ εἰκόνα σοι ἀναπλάττω τῶν γινομένων, θάλατταν ὁρῶ μαινομένην, ἀπ' αὐτῆς τῆς ἀβύσσου κάτωθεν ἀναμοχλευομένην, τοὺς ναύτας ἀντὶ τῶν οἰάκων καὶ τῶν κωπῶν τὰς χεῖρας τοῖς γόνασι περιπλέξαντας, καὶ πρὸς τὴν ἀμηχανίαν τοῦ χειμῶνος ἀπορηθέντας, οὐκ οὐρανὸν βλέποντας, οὐ πέλαγος, οὐ ξηρὰν, ἀλλ' ἐπὶ τῶν στρωμάτων κειμένους καὶ ὀλοφυρομένους καὶ κλαίοντας. καὶ ταῦτα μὲν ἐπὶ τῆς θαλάσσης οὕτω συμβαίνει· νῦν δὲ ἐπὶ

τῆς

γρ. ἐν τῇ ἡμέρᾳ

γρ. Κυθηρ[illegible]

γρ. στρωμάτων

τῆς ἡμετέρας θαλάσσης χείρων ὁ θόρυβος, καὶ "χείρω τὰ κύματα. ἀλλὰ παρακάλει τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν, ὃς οὐ τέχνῃ περιγίνεται τοῦ χειμῶνος, ἀλλὰ νεύματι λύει τὴν ζάλην. ἀλλ' εἰ καὶ πολλάκις παρεκάλεσας, καὶ οὐκ εἰσηκούσθης, μὴ ὀλιγωρήσης. "τοῦτο γάρ τῷ Θεῷ ἔθος τὴν σωτηρίαν ἡμῶν περιγινομένῳ. μὴ γὰρ οὐκ ἠδύνατο ἐκεῖνος τοὺς τρεῖς

5 παῖδας ἐκείνους λυτρώσασθαι, ἵνα μὴ εἰς τὴν κάμινον τοῦ πυρὸς ἐμπέσωσιν; ἀλλ' ὅτε "ἠχμαλωτεύθησαν, ὅτε εἰς "βαρβάρων χώραν ἀπερρίφησαν, καὶ τῆς πατρῴας κληρονομίας ἐξέπεσον, καὶ παρὰ πάντων ἀπεγνώσθησαν, καὶ οὐδὲν λοιπὸν οὐκ "ἀπελείπετο, τότε ὁ ἀληθινὸς καὶ ἀψευδὴς Θεὸς ἄνωθεν τὴν θαυματουργίαν εἰργάσατο, καὶ διεσκόρπισε τὸ πῦρ περὶ τὴν κάμινον τῶν Χαλδαίων· καὶ λοιπὸν ἐκκλησία αὐτοῖς ἦν ἡ κάμινος, καὶ πᾶσαν

10 τὴν κτίσιν προσεκαλοῦντο, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα, ἀγγέλους τε καὶ δυνάμεις, καὶ οὕτω πάντα συλλαβόμενοι ἔλεγον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. ὁρᾷς πῶς ἡ ὑπομονὴ τῶν ἁγίων καὶ τὸ πῦρ εἰς δρόσον μετέβαλε, καὶ τὸν τύραννον ἐδυσώπησε, καὶ κατὰ πάσης τῆς οἰκουμένης ἐκπέμπει γράμματα. Μέγας ὁ Θεὸς, φησὶ, Σεδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγώ. καὶ ἴδε πόσην ἀποτομίαν ἐνέθηκεν. Εἴ τις, φησὶ, λόγον εἴπῃ κατ' αὐτῶν, τὸν

15 οἶκον αὐτοῦ δημεύεσθαι, καὶ τὰ ὑπάρχοντα αὐτοῦ διαρπάζεσθαι. μὴ οὖν ἀθυμήσῃς,* μηδὲ ὀλιγωρήσῃς. καὶ γὰρ ἐγὼ ὅτε ἐξηλαυνόμην [ἀπὸ] τῆς πόλεως, οὐδὲν ὅσον τούτων οὐκ ἐφρόντιζον, ἀλλ' ἔλεγον πρὸς ἐμαυτόν· εἰ μὲν βούλεται με ἡ βασίλισσα ἐξορίσαι, ἐξορισάτω με· Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. καὶ εἰ βούλεταί με πρίσαι, πρισάτω με· τὸν Ἡσαΐαν ἔχω ὑπογραμμόν. εἰ θέλει εἰς τὸ πέλαγος ἀκοντίσαι με, τὸν Ἰωνᾶν ὑπο-

20 μιμνήσκομαι. εἰ θέλει εἰς κάμινον ἐμβαλεῖν, τοὺς τρεῖς παῖδας ἔχω τοῦτο πεπονθότας. εἰ με θέλει τοῖς θηρίοις βαλεῖν, τὸν Δανιὴλ ἐν λάκκῳ τοῖς λέουσι βεβλημένον ὑπομιμνήσκομαι. εἰ θέλει με λιθάσαι, λιθασάτω με· Στέφανον ἔχω τὸν πρωτομάρτυρα τοῦτο πεπονθότα. εἰ θέλει τὴν κεφαλήν μου λαβεῖν, λαβέτω· γυμνάσιον εἰς τοῦτο ἔχω Ἰωάννην τὸν Βαπτιστήν. εἰ θέλει τὰ ὑπάρχοντα λαβεῖν, λαβέτω· Γυμνὸς ἐξῆλθον ἐκ κοι-

25 λίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. ἐμοὶ παραινεῖ ὁ ἀπόστολος, Πρόσωπον ἀνθρώπου ὁ Θεὸς οὐ λαμβάνει· καὶ, Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. καὶ ὁ Δαβὶδ καθοπλίζει με λέγων, Ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην. πολλὰ κατ' ἐμοῦ ἐσκευάσαντο, καὶ λέγουσιν ὅτι τινὰς ἐκοινώνησα μετὰ τὸ φαγεῖν αὐτούς. καὶ εἰ μὲν τοῦτο ἐποίησα, ἐξαλειφθείη τὸ ὄνομά μου ἐκ τῆς βίβλου τῶν ἐπισκόπων, καὶ

30 μὴ ἐγγραφείη ἐν τῇ βίβλῳ τῆς ὀρθοδόξου πίστεως· ὅτι ἰδοὺ ἐὰν τοιοῦτον ἐγὼ ἔπραξα, καὶ ἀποβαλεῖ με Χριστὸς ἐκ τῆς βασιλείας αὐτοῦ. εἰ δὲ ἅπαξ καὶ τοῦτό μοι λέγουσι καὶ φιλονεικοῦσι, καθελέτωσαν τὸν Παῦλον, ὃς μετὰ τὸ δειπνῆσαι ὁλόκληρον τὸν οἶκον ἐβάπτισε· καθελέτωσαν καὶ αὐτὸν τὸν Χριστὸν, ὃς μετὰ τὸ δειπνῆσαι τοῖς ἀποστόλοις τὴν κοινωνίαν ἔδωκε. λέγουσιν ὅτι μετὰ γυναικὸς ἐκοιμήθην. ἀποδύσατέ μου τὸ σῶμα, καὶ εὑρήσετε τὴν νέκρωσιν

35 τῶν μελῶν μου. ἀλλὰ ταῦτα πάντα διὰ τὸν φθόνον ἐποίησαν. ἀλλὰ πάντως λυπῇ, ἀδελφὲ Κυριακὲ, ὅτι ἐκεῖνοι μὲν ἡμᾶς ἐξορίσαντες ἐπὶ τῆς ἀγορᾶς παρρησιάζονται, καὶ πλῆθος ἀκολουθοῦσι δορυφόρων. ἀλλὰ πάλιν ὑπομνήσθητι τὸν πλούσιον καὶ τὸν Λάζαρον, ποῖος μὲν ἐν τῷ νῦν αἰῶνι ἐθλίβη, ποῖος δὲ ἀπήλαυσε. τί ἔβλαψεν αὐτὸν ἡ πενία; οὐχὶ ὡς ἀθλητὴς καὶ νικητὴς εἰς τοὺς κόλπους τοῦ Ἀβραὰμ ἀπηνέχθη; τί δὲ ὠφέλησεν ἐκεῖνον ὁ πλοῦτος, τὸ

40 ἐν πορφύρᾳ καὶ βύσσῳ ἀνακείμενον; ποῦ οἱ ῥαβδοῦχοι; ποῦ οἱ δορυφόροι; ποῦ οἱ χρυσοχάλινοι ἵπποι; ποῦ οἱ παράσιτοι, ἢ ἡ βασιλικὴ τράπεζα; οὐχὶ ὡς λῃστὴς δεδεμένος ἀπήγετο ἐν τῷ μνήματι, γυμνὴν τὴν ψυχὴν ἐκ τοῦ κόσμου ἐκφέρων, καὶ κράζων κενῇ τῇ φωνῇ, Πάτερ Ἀβραὰμ, πέμψον Λάζαρον, ἵνα βρέξῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, διότι ὀδυνῶμαι ἀποτηγανίζομαι; τί πάτερα καλεῖς τὸν Ἀβραὰμ, οὗ τὸν βίον

Margin (left): γ. χείονα — γ. τοιοῦτον γὰρ ἴδιον ὁ μακρόθυμος Θεός — γ. αἰχμάλωτοι γεγόνασι — γ. βαρβάρων — γ. ἀπελείπετο, τότε Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἄριστη θαυματουργίᾳ διεσκόρπισε τὸ πῦρ. μὴ ἔσω γὰρ τὴν ἀγίων τῶν διωκομένων τὸ πῦρ, ἐξεπήδησεν ἔξω καὶ ἐνεπύρισεν τοὺς εὑρεθέντας περὶ τὴν κάμινον τῶν Χαλδαίων — * ἀδελφὲ Κυριακέ

Margin (right): Δαν. γ. νζ. — Δαν. γ. ϟϛ. — Ψαλ. κγ α. — Ἰὼβ α κα. — Γαλ β ϛ. α. — Ψαλ. ριη. μϛ. — Λουκ ιϛ. κδ.

οὐκ ἐμιμήσω; ἐκεῖνος πάντα ἄνθρωπον εἰς τὸν οἶκον αὐτοῦ ἐξένιζε, σὺ δὲ οὐδ' ἑνὸς πτωχοῦ φροντίδα οὐκ ἐποιήσω. οὐκ ἔστι πενθῆσαι καὶ κλαῦσαι, ὅτι ὁ τοσοῦτον πλοῦτον ἔχων σταγόνος ὕδατος ἄξιος οὐκ ἐγένετο; ἐπειδὴ γὰρ ψιχίων οὐ μετέδωκε τῷ πτωχῷ, σταγόνα ὕδατος οὐ λαμβάνει. τῷ χειμῶνι οὐκ ἔσπειρεν ἔλεος, ἦλθε τὸ θέρος, καὶ οὐκ ἐθέρισε. καὶ τοῦτο τοῦ δεσπότου οἰκονομία, ὅτι ἐξ ἐναντίας ἐποίησε τὴν κόλασιν τοῖς ἀσεβέσι καὶ τὴν ἀνταπόδοσιν τοῖς δικαίοις, ἵνα βλέπωσιν ἀλλήλους, ὅπως καὶ ἀλλήλους γνωρίζωσι. καὶ γὰρ ἕκαστος τότε μάρτυς τὸν ἴδιον τύραννον ἐπιγνώσεται, καὶ ἕκαστος τύραννος τὸν ἴδιον μάρτυρα, ὃν ἐκόλασε. καὶ οὐκ ἐμὰ τὰ ῥήματα· ἄκουσον τῆς σοφίας λεγούσης· Τότε, φησὶν, ἐν πολλῇ παῤῥησίᾳ στήσεται ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτόν. ὥσπερ δὲ ὁ ἐν καύματι περιπατῶν, ἡνίκα εὕρῃ καθαρὰν πηγὴν τῇ δίψῃ φλεγόμενος· ἢ ὥσπερ τις λιμῷ συνεχόμενος παρακάθηται μετὰ τραπέζῃ διάφορα ἐχούσῃ ἐδέσματα, παρά τινος δὲ δυνατωτέρου κωλύεται μὴ ἅψασθαι τῶν ἐπὶ τῆς τραπέζης, καὶ σφοδρὰν ἔχει τὴν ὀδύνην καὶ τὴν κόλασιν ὅ τε διψῶν, ὡς μὴ δυνάμενος τὴν δίψαν κατασβέσαι, καὶ ὁ πεινῶν, ὡς κωλυόμενος ἀπολαῦσαι τῶν ἐδεσμάτων· οὕτω καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως βλέπουσι τοὺς ἁγίους εὐφραινομένους οἱ ἀσεβεῖς, καὶ τῆς βασιλικῆς τραπέζης ἀπολαῦσαι οὐ δύνανται. καὶ γὰρ καὶ τὸν Ἀδὰμ ὁ Θεὸς κολάσαι βουλόμενος, ἐποίησεν αὐτὸν ἐξ ἐναντίας τοῦ παραδείσου ἐργάζεσθαι τὴν γῆν, ἵνα καθ' ἑκάστην ὥραν βλέπων ἐκεῖνο τὸ ποθεινὸν χωρίον, ὅθεν ἐξῆλθεν, ἔχῃ πάντοτε τὴν ὀδύνην ἐν τῇ ψυχῇ. εἰ δὲ καὶ ὧδε ἀλλήλοις μὴ συντύχωμεν, ἀλλ' ἐκεῖ οὐδεὶς ὁ κωλύων ἡμᾶς τότε μετ' ἀλλήλων διάγειν· ἀλλὰ καὶ ὀψόμεθα τοὺς ἐξορίσαντας ἡμᾶς, ὥσπερ ὁ Λάζαρος τὸν πλούσιον, καὶ οἱ μάρτυρες τοὺς τυράννους. μὴ οὖν ἀθύμει, ἀγαπητέ, ἀλλὰ μνημόνευε τοῦ προφήτου λέγοντος, Μυκτηρισμὸν * ἀνθρώπων μὴ φοβεῖσθε, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. ὥσπερ γὰρ ἔριον ὑπὸ σητὸς, οὕτω βρωθήσονται, καὶ ὡς ἱμάτιον παλαιωθήσονται. κατανόησον δὲ καὶ τὸν δεσπότην καὶ ποιητὴν τῶν ἁπάντων, πῶς εὐθὺς ἀπὸ τῶν σπαργάνων αὐτὸν ἐδίωκον, καὶ εἰς βάρβαρον γῆν ἀπερρίπτετο ὁ τὸν κόσμον κατέχων ἐν τῇ χειρὶ, τύπος ἡμῖν γινόμενος τοῦ μὴ ἐκκακεῖν ἐν τοῖς πειρασμοῖς. ἀναμνήσθητι τὸ πάθος τοῦ σωτῆρος, καὶ ὅσας ὕβρεις δι' ἡμᾶς ὑπέμεινεν. οἱ μὲν γὰρ αὐτὸν Σαμαρείτην ἐκάλουν, οἱ δὲ δαιμονῶντα καὶ γαστρίμαργον καὶ ψευδοπροφήτην. ἔλεγον γὰρ, Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, καὶ, Ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. τί δὲ, ὅτε ἦγον αὐτὸν κρημνίσαι, καὶ ὅτε εἰς τὸ πρόσωπον αὐτοῦ ἐνέπτυον, καὶ ῥαπίσματα αὐτῷ ἐδίδουν; τί δὲ, ὅτε ὄξος καὶ τὴν χολὴν αὐτὸν ἐπότιζον, ὅτε τῷ καλάμῳ τὴν κεφαλὴν αὐτοῦ ἔτυπτον; τί δὲ, ὅτε τὴν χλαμύδα αὐτῷ περιετίθουν, καὶ ὅτε ἀκάνθαις αὐτὸν ἐστεφάνουν, καὶ προσέπιπτον αὐτῷ ἐμπαίζοντες καὶ πᾶν εἶδος χλεύης αὐτῷ ἐπάγοντες, καὶ ὅτε περιεῖχον αὐτὸν οἱ αἱμοβόροι ἐκεῖνοι κύνες, καὶ ὅτε ἐπὶ τὸ πάθος ἤγετο γυμνός, καὶ πάντες αὐτὸν κατέλιπον οἱ μαθηταί, καὶ ὁ εἷς μὲν αὐτὸν ἠρνήσατο, εἷς δὲ προδέδωκεν, οἱ δὲ ἄλλοι ἐδραπέτευσαν, καὶ μόνος εἱστήκει γυμνὸς ἐν μέσῳ τῶν ὄχλων ἐκείνων; (ἑορτὴ γὰρ ἦν ἡ ἅπαντας συνάγουσα τότε) καὶ ὅτε ὡς πονηρὸν ἐν μέσῳ κακούργων αὐτὸν ἐσταύρωσαν, καὶ ἄταφος ἐκρέματο, καὶ ὅτε κατήνεγκαν αὐτὸν ἀπὸ τοῦ σταυροῦ, ἕως οὗ τις αὐτὸν ἐξητήσατο ἵνα αὐτὸν θάψῃ, καὶ ὅτε ταφῆς οὐκ ἠξιώθη, καὶ ὅτε λόγον πονηρὸν κατ' αὐτοῦ ἀπεφήναντο ὅτι οἱ μαθηταὶ αὐτοῦ ἔκλεψαν αὐτὸν, καὶ οὐκ ἀνέστη; ὑπομνήσθητι δὲ καὶ τοὺς ἀποστόλους πάλιν, ὅτι πανταχόθεν ἐδιώκοντο, καὶ κατεκρύπτοντο ἐν ταῖς πόλεσι μὴ δυνάμενοι φανῆναι· πῶς ὁ Πέτρος παρὰ Σίμωνι τῷ βυρσεῖ κατεκρύπτετο, καὶ ὁ Παῦλος παρὰ τῇ πορφυροπωλίσσῃ γυναικί· ὅτι οὐκ εἶχον παρὰ τοῖς πλουσίοις παῤῥησίαν. ἀλλ' ὕστερον πάντα ὁμαλὰ ἐγένετο αὐτοῖς. οὕτω καὶ σύ, ἀδελφέ, νῦν μὴ ἀθυμήσῃς. ἤκουσα γὰρ κἀγὼ περὶ τοῦ λήρου Ἀρσακίου ἐκείνου, ὃν ἐκάθισεν ἡ βασίλισσα ἐν τῷ θρόνῳ, ὅτι ἔθλιψε τοὺς ἀδελφοὺς καὶ τὰς παρθένους, μὴ θελήσαντας αὐτῷ κοινωνῆσαι. πολλοὶ δὲ αὐτῶν δι' ἐμὲ καὶ ἐν τῇ φυλακῇ ἀπέθανον. ὁ γὰρ προβατόσχημος

Marginalia (left): Σοφ. ε. α. — Ησ. να. ζ. — Λουκ. ζ. λδ. Ματθ. θ. λδ.

Marginalia (right): 5 γρ. ἀνάπαυσιν — γρ. στήσεται — 10 — 15 — γρ. ποθεινὸν — 20 * καὶ χλευασμὸν — 25 γρ. ἀναμνήσθητι — 30 — 35 — 40 — γρ. ἀνω… — γρ. ἐκείνου Νεκταρίου — γρ. θλιψ…

βατόσχημος ἐκεῖνος λύκος, ὁ σχῆμα μὲν ἔχων ἐπισκόπου, μοιχὸς δὲ ὑπάρχων. ὡς γὰρ ἡ γυνὴ μοιχαλὶς χρηματίζει, ἡ ζῶντος τοῦ ἀνδρὸς ἑτέρῳ ἀνδρὶ συναφθεῖσα, οὕτω καὶ οὗτος μοιχός ἐστιν, οὐ σαρκὸς, ἀλλὰ πνεύματος. ζῶντος γὰρ ἐμοῦ ἥρπασέ μου τὸν θρόνον τῆς ἐκκλησίας. καὶ ταῦτά σοι ἐπέστειλα ἀπὸ Κουκουσῶν τῆς Κιλικίας, ὅπου ἐκέλευσεν ἡμᾶς ἡ βασίλισσα ἐξορισθῆναι. πολλαὶ δὲ θλίψεις κατὰ τὴν ὁδὸν συνηντήσαν ἡμῖν, ἀλλ' οὐδενὸς ἐφροντίσαμεν. ὅτε δὲ ἤλθομεν πρὸς τὴν χώραν τῶν Καππαδόκων, καὶ ἐν τῇ Ταυροκιλικίᾳ, πολλοὶ χοροὶ ἡμῖν ἀπήντων πατέρων ἁγίων ἀνδρῶν, οὐ μὴν ἀλλὰ καὶ πλήθη μοναχῶν καὶ παρθένων, τὰς ἀθανάτους πηγὰς τῶν δακρύων ἐκχέοντες, καὶ ἔκλαιον σφόδρα θεωροῦντες ἡμᾶς ἐν τῇ ἐξορίᾳ ἀπερχομένους, καὶ ἔλεγον πρὸς ἑαυτούς· συνέφερεν ἵνα ὁ ἥλιος συνέστειλε τὰς ἀκτῖνας αὐτοῦ, ἢ ἵνα τὸ στόμα Ἰωάννου ἐσιώπησεν. ταῦτά με ἐθορύβησε καὶ ἔθλιψεν, ἐπειδὴ ἔβλεπον πάντας κλαίοντας περὶ ἐμοῦ· ἐπεὶ τῶν ἄλλων πάντων, ὅσα ἂν συνέβη μοι, φροντίδα οὐκ ἐποίησα. πάνυ δὲ ἡμᾶς ἐδεξιώσατο ὁ ἐπίσκοπος τῆς πόλεως ταύτης, καὶ πολλὴν ἀγάπην ἐνεδείξατο εἰς ἡμᾶς· ὥστε, εἰ δυνατὸν, καὶ τὸν θρόνον αὐτοῦ παρεχώρησεν ἡμῖν, εἰ μὴ τὸν ὅρον ἐφυλάττομεν. δέομαι καὶ ἀντιβολῶ καὶ τῶν γονάτων ἅπτομαι τῶν σῶν, ἀπόρριψον τὸ πένθος τῆς ἀθυμίας σου, ὑπὲρ ἡμῶν μνείαν ἔχων πρὸς τὸν Θεὸν, καὶ ἀντιγράψαι ἡμῖν παρακλήθητι.

ρμδ. ΚΥΡΙΑΚΩ ΕΠΙΣΚΟΠΩ.

ΤΑῦτα αἰσχρὰ, ταῦτα φορητὰ οἴει, καὶ κἂν σκιὰν ἀπολογίας ἔχειν; ἐν τῇ τοσαύτῃ ἀθυμίᾳ, ἐν οὕτω χρόνῳ μακρῷ, ἐν τοσούτῳ θορύβῳ καὶ ταραχῇ, ἐν τοσαύτῃ συντριβῇ καὶ ταλαιπωρίᾳ καθεστώτων ἡμῶν, οὐδὲ ἅπαξ ἐπιστεῖλαι ἡμῖν κατηξίωσας· ἀλλ' ἡμεῖς μὲν καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἀπεστάλκαμεν, σὺ δὲ σιγᾷς χρόνον οὕτω μακρὸν, καὶ νομίζεις τὸ τυχὸν ἡμαρτηκέναι ἁμάρτημα· οὕτως ἀγνώμων περὶ ἡμᾶς γεγενημένος, ἐμὲ εἰς πολλὴν ἀπορίαν κατέστησας. οὐδὲ γὰρ δύναμαι τῆς σιγῆς τὴν αἰτίαν εὑρεῖν, ὅταν ἐννοήσω σου τὴν θερμὴν ἀγάπην καὶ γνησίαν, ἣν ἀεὶ περὶ ἡμᾶς ἐπεδείξω. οὔτε γὰρ ῥᾳθυμίαν λογίσασθαι ἔχω (οἶδα γάρ σου τὴν ἄγρυπνον ψυχὴν) οὔτε δειλίαν (οἶδα γάρ σου τὴν ἀνδρείαν) οὔτε ὄκνον (οἶδα γάρ σου τὸ διεγηγερμένον καὶ ἐντρεχές) ἀλλ' οὐδὲ ἀρρωστίαν. καίτοιγε οὐδὲ αὕτη ἱκανὴ ἦν σε κωλῦσαι. πλὴν ἀλλὰ μανθάνω παρὰ τῶν ἐκεῖθεν ἐρχομένων, ὅτι ὑγιαίνεις καὶ ἔρρωσαι. τί οὖν ἐστι τὸ αἴτιον, εἰπεῖν οὐκ ἔχω, ἀλλ' ἓν μόνον, ἀλγῶ καὶ ὀδυνῶμαι. πάντα τοίνυν ποίησον, ὥστε ἀπαλλάξαι ἡμᾶς καὶ τῆς λύπης καὶ τοῦ διαπορεῖν. ἐπεὶ εἰ καὶ μετὰ τὰ γράμματα ταῦτα μὴ μετὰ πολλοῦ τοῦ τάχους ἡμῖν βουληθείης ἐπιστεῖλαι, οὕτως ἡμᾶς ἔχεις λυπῆσαι, ὡς πολλοῦ δεηθῆναι χρόνου εἰς τὸ θεραπεῦσαι ἡμῶν τὴν ἀθυμίαν.

ρμε. ΚΩΝΣΤΑΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

ΤΗ τετάρτῃ τοῦ παρόντος μηνὸς μέλλων ἀπὸ τῆς Νικαίας ἐξορμᾶν, ταῦτα διαπέμπομαι τὰ γράμματα πρὸς τὴν σὴν θεοσέβειαν, παρακαλῶν, ὅπερ ἀεὶ παρακαλῶν οὐκ ἐπαυσάμην, κἂν χαλεπώτερος τοῦ νῦν κατέχοντος γένηται ὁ χειμὼν, κἂν μείζονα τὰ κύματα, μὴ διαλιπεῖν τὰ σαυτοῦ πληροῦν τὰ εἰς τὴν οἰκονομίαν, ἧς ἐξ ἀρχῆς ἥψω· λέγω δὴ τοῦ ἑλληνισμοῦ τὴν καθαίρεσιν, τῶν ἐκκλησιῶν τὰς οἰκοδομὰς, τῶν ψυχῶν τὴν ἐπιμέλειαν· μηδέ σε ὕπτιον ποιείτω τῶν πραγμάτων ἡ δυσκολία. οὐδὲ γὰρ κυβερνήτης τὸ πέλαγος ὁρῶν μαινόμενον καὶ διανιστάμενον, ἀποστήσεται τῶν οἰάκων· ἀλλ' οὐδὲ ἰατρὸς τὸν κάμνοντα βλέπων τῇ νόσῳ κρατούμενον ἀναχωρήσει τῆς θεραπείας, ἀλλὰ τότε μάλιστα ἕκαστος τούτων τῇ τέχνῃ χρήσεται. καὶ σὺ τοίνυν, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, πολλῇ νῦν

χρήσαι τῇ προθυμίᾳ, μηδὲ ὕπτιον ποιείτω σε τὰ συμβαίνοντα. οὐ γὰρ ὑπὲρ ὧν ποιοῦσιν
ἡμᾶς ἕτεροι κακῶν λόγον δώσομεν, ἀλλὰ καὶ μισθὸν ληψόμεθα. εἰ δὲ αὐτοὶ τὰ παρ' ἑαυτῶν μὴ
εἰσενέγκαιμεν, ἀλλὰ ῥᾳθυμήσαιμεν, οὐδὲν εἰς τοῦτο ἡμῶν παραστήσεται ὁ τῶν πραγμάτων
θόρυβος. ἐπεὶ καὶ Παῦλος δεσμωτήριον οἰκῶν καὶ τῷ ξύλῳ προσδεδεμένος τὰ ἑαυτοῦ ἐποίει,
καὶ Ἰωνᾶς ἐν τῇ γαστρὶ τοῦ θαλαττίου θηρὸς φερόμενος, καὶ οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ δια- 5
τρίβοντες, καὶ οὐδένα τούτων τὰ ποικίλα δεσμωτήρια ταῦτα ῥᾳθυμότερον πεποίηκε. ταῦτ'
οὖν ἐννοῶν, δέσποτά μου, καὶ Φοινίκης, καὶ Ἀραβίας, καὶ τῶν κατὰ τὴν ἀνατολὴν μὴ παύσῃ φρον-
τίζων ἐκκλησιῶν, εἰδὼς ὅτι πλείονα λήψῃ τὸν μισθὸν, ὅσῳ καὶ τοσούτων ὄντων τῶν κωλυ-
μάτων τὰ παρὰ σαυτοῦ εἰσφέρεις· καὶ γράφειν δὲ ἡμῖν συνεχῶς μὴ κατόκνει, ἀλλὰ καὶ
πυκνότατα. ὡς γὰρ ἔγνωμεν νῦν, οὐκέτι εἰς Σεβάστειαν, ἀλλ' εἰς τὴν Κουκουσὸν ἐκελεύ- 10
σθημεν ἀπελθεῖν, ὅπου σοι καὶ εὐκολώτερον ἐπιστέλλειν ἡμῖν. γράφε τοίνυν ἡμῖν, πόσαι τε
ἐκκλησίαι ἐπ' ἔτος ᾠκοδομήθησαν, καὶ τίνες ἄνδρες ἅγιοι μετέστησαν εἰς τὴν Φοινίκην, καὶ εἴ
τις πλείων γέγονε προκοπή. καὶ γὰρ ἀπὸ Νικαίας εὑρών τινα μονάζοντα ἐγκεκλεισμένον, ἔ-
πεισα αὐτὸν ἐλθεῖν πρὸς τὴν σὴν εὐλάβειαν, καὶ ἀπελθεῖν εἰς τὴν Φοινίκην. εἰ παρα-
γέγονεν οὖν, δηλῶσαί μοι σπούδασον. τοῦ Σαλαμῖνος ἕνεκεν, χωρίου τοῦ κατὰ τὴν Τύρον 15 γρ. Κύρου
κειμένου, τοῦ ὑπὸ τῆς αἱρέσεως τῶν Μαρκιωνιστῶν πολιορκουμένου ἤμελλον διειλεγμένος οἷς
ἐχρῆν, καὶ κατωρθωκὼς δὲ πάνυ, ἀλλ' ἔφθην ἐκβληθείς. εἰ τοίνυν μάθοις τὸν κύριόν μου
Κυριακὸν τὸν ἐπίσκοπον ἐπὶ τῆς Κωνσταντινουπόλεως διατρίβειν, ἐπίστειλον αὐτῷ ταύτης
ἕνεκεν τῆς ὑποθέσεως, καὶ δὲ πάνυ ἀνύσαι δυνήσεται. πάντας, καὶ μάλιστα τοὺς πρὸς τὸν
Θεὸν παρρησίαν ἔχοντας παρακάλει πολλῇ κεχρῆσθαι τῇ εὐχῇ, πολλῇ τῇ ἐκτενείᾳ, ὥστε δὲ τῆς 20
οἰκουμένης τοῦτο ναυάγιον παύσασθαι. ἀφόρητα γὰρ καὶ τὴν Ἀσί..ν κατέλαβε κακά, καὶ
ἑτέρας δὲ πόλεις καὶ ἐκκλησίας· ἅπερ, ἵνα μὴ δοκῶ διενοχλεῖν, ἀφεὶς δὲ καθ' ἕκαστον λέγειν,
ἐκεῖνο μόνον ἐρῶ, ὅτι εὐχῶν πολλῶν χρεία καὶ δεήσεων ἐκτενῶν.

ρμϛ. ʹΚΩΝΣΤΑΝΤΙΩ. 25 γρ. ὀπίῳ

Ἐθαύμασα πῶς οὕτω σφοδρὸς ἡμῶν ὢν ἐραστὴς, καὶ πάντα καὶ ποιεῖν καὶ λέγειν ὑπὲρ ἡμῶν
καὶ πάσχειν παρεσκευασμένος (οὐδὲν γὰρ ἡμᾶς ἔλαθεν. οὐδὲ γὰρ ἔνι φιλοῦντα γνησί-
ως λαθεῖν) οὐδὲ ἅπαξ ἡμῖν ἐπέσταλκας, καὶ ταῦτα πλησίον ἐλθοῦσιν ὑμῶν, καὶ τοῦ τιμίου μοι
καὶ ἐνδοξοτάτου ἀδελφοῦ Λιβανίου ἐνταῦθα ἀφικνουμένου. καὶ ταῦτα οὐκ ἐγκαλῶν, ἀλλ' 30
ἀλγῶν λέγω. ἐπειδὴ γὰρ σφόδρα διάκειμαι περὶ τὴν εὐλάβειαν ὑμῶν, δι' ἕτερον μὲν
οὐδὲν, ὅτι δέ σοι τῆς ψυχῆς μέλει τῆς σῆς μετὰ πάσης σπουδῆς, καὶ λιμὴν εἶ κοινὸς
τῶν ἐν ἀνάγκαις ὄντων, πενίαν λύων, χηρείαν διορθούμενος, ὀρφανίαν ἀνέχων, κοινὸς
πατὴρ ἁπάντων ὤν, τούτου χάριν σφόδρα σου ἐρῶ, καὶ γράμματα συνεχῆ παρὰ τῆς
σῆς εὐλαβείας δέχεσθαι ἐπιθυμῶ. δίδου δὴ ταύτην ἡμῖν τὴν χάριν, καὶ ἔμπλησον ἡ- 35
μῶν τὴν ἐπιθυμίαν. οὐ γὰρ τὴν τυχοῦσαν καρπωσόμεθα παράκλησιν, καὶ ταῦτα
ἐν ἐρημίᾳ διατρίβοντες, ἂν τῆς ποθεινῆς σου καὶ ψυχῆς καὶ χειρὸς δεξώμεθα γράμ-
ματα τὰ περὶ τῆς σῆς ἀπαγγέλλοντα ὑγιείας καὶ τοῦ οἴκου σου παντός.

40

ρμζ. ΛΕΟΝΤΙῼ.

Τῆς μὲν πόλεως ὑμῶν ἀπηλάθημεν, τῆς δὲ ἀγάπης σου οὐκ ἀπεληλάμεθα. τὸ μὲν γὰρ ἐφ' ἑτέροις ἔκειτο, τὸ μένειν αὐτόθι, ἢ ἐκβάλλεσθαι· τὸ δὲ, ἐφ' ἡμῖν. διὸ οὐδεὶς ἡμᾶς αὐτῆς ἀφελέσθαι δυνήσεται· ἀλλ' ὅπουπερ ἂν ἀπίωμεν, πανταχοῦ περιφερόμεθά σου τὸ μέλι τῆς ἀγάπης, καὶ ἐντρυφῶμεν τῇ μνήμῃ τῆς εὐγενείας τῆς σῆς, τὸν ἔρωτά σου τὸν περὶ ἡμᾶς, τὴν σπουδὴν, τὴν σύνεσιν, τὴν φιλοφροσύνην, τὴν φιλοξενίαν, τὰ ἄλλα πάντα συνθέντες, καὶ τὴν εἰκόνα διαπλάττοντες τῆς σῆς ἀρετῆς. ἐπεὶ οὖν οὕτως ἡμᾶς εἷλες καὶ ἐχειρώσω, ὡς καὶ τῆς παρουσίας σου σφόδρα ἐπιθυμεῖν, τοῦτο δὲ οὐκ ἔνι γενέσθαι νῦν, τὴν ἀπὸ τῶν γραμμάτων πάρεχε παραμυθίαν ἡμῖν. δυνήσῃ γὰρ τῇ πυκνότητι τῶν ἐπιστολῶν σοφίσασθαι τὴν ἐκ τῆς παρουσίας ἡδονὴν, τοσαύτῃ κεκοσμημένος συνέσει.

ρμη. ΛΟΥΚΙῼ ΕΠΙΣΚΟΠῼ.

χ. Λουκίῳ

Εἰ καὶ πολλῷ τῷ μέσῳ τῆς ὁδοῦ διεστήκαμεν τῆς εὐλαβείας τῆς σῆς, ἀλλ' ὅμως οὐκ ἔλαθεν ἡμᾶς τὸ μισοπόνηρόν σου τῆς γνώμης, καὶ πῶς ἤλγησας ἐπὶ τοῖς τηλικαῦτα παρανομήσασι, καὶ τοσούτων σκανδάλων ἐμπλήσασι τὴν οἰκουμένην. διὰ τοῦτό σοι χάριτας ὁμολογοῦμεν, καὶ θαυμάζοντές σε καὶ μακαρίζοντες οὐ παυόμεθα, ὅτι ἐν τοσούτῳ φορυτῷ καὶ τῶν τοσούτων κατὰ κρημνῶν φερομένων καὶ σκοπέλων, αὐτὸς τὴν ὀρθὴν ὁδὸν οὐκ ἐπαύσω βαδίζων, αἰτιώμενός τε τὰ γεγενημένα, ἀποστρεφόμενός τε τοὺς ἐργαζομένους, ὥς σοι πρέπον ἐστί. διὸ δὴ καὶ παρακαλοῦμεν ἐπιμεῖναι τῇ καλῇ ταύτῃ προθυμίᾳ, καὶ μείζονα ἐπιδείξασθαι τὸν ζῆλον. οἴδατε γὰρ ἡλίκος ὑμῖν ἔσται ὁ μισθὸς, οἷα τὰ βραβεῖα, πηλίκοι οἱ στέφανοι, ὅταν τοσούτων ὄντων τῶν παραπλόντων αὐτοὶ τὴν ἐναντίαν φέρησθε, μεγίστην τοῖς παροῦσι κακοῖς "ἐντεῦθεν διδόντες τὴν διόρθωσιν. ὅτι γὰρ, εἰ βουληθείητε εἶναι γενναῖοι, κἂν ὀλίγοι τὸν ἀριθμὸν ἦτε, περιέσεσθε τῶν πλειόνων τῶν ἐπὶ κακίᾳ καλλωπιζομένων, οὐδεὶς ἀντερεῖ. ἀρετῆς γὰρ ἰσχυρότερον οὐδὲν, καὶ τοῦ ταῦτα ζητεῖν, ἃ τειχίζει τὰς ἐκκλησίας. ἔχοντες τοίνυν τὴν γνώμην ἀρκοῦσαν ὑμῖν εἰς τὸ πολλὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν "ἐπισπᾶσθαι, τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν παρακλήθητε, τεῖχος μέγιστον ταῖς πανταχοῦ τῆς οἰκουμένης ἐκκλησίαις διὰ τῆς γνώμης ταύτης γινόμενοι.

χ. ἐνταῦθα

χ. ἐπισπάσασθαι

ρμθ. ΜΑΓΝῼ ΕΠΙΣΚΟΠῼ.

χ. Μάγνῳ

Εἰ καὶ αὐτὸς ἡμῖν οὐκ ἐπέσταλκας, καίτοι τῶν κυρίων μου τῶν "πρεσβυτέρων παραγενομένων, ἀλλ' ἡμεῖς τῆς τε ἄνωθέν σου φιλίας μεμνημένοι, καὶ τὴν τῶν τρόπων σου θαυμάζοντες ἐπιείκειαν, καὶ τὴν τῆς ψυχῆς ἀνδρείαν, εἰδότες δὲ καὶ τὸ φίλτρον, ὃ ἀεὶ περὶ ἡμᾶς ἐπεδείξω, πρότεροι τοῖς πρὸς τὴν σὴν ἐμμέλειαν ἐπεπηδήσαμεν γράμμασι, χάριτάς τέ σοι ὁμολογοῦντες τῆς διαθέσεως, ἣν περὶ ἡμᾶς ἐπιδείκνυσαι (οὐ γὰρ ἔλαθεν ἡμᾶς τοῦτο, καίτοιγε ἐκ τοσούτου καθημένους διαστήματος) καὶ παρακαλοῦντες, ἡνίκα ἂν δόξῃ, καὶ γράφειν ἡμῖν συνεχῶς, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς "εὐαγγελίσασθαι. ὅταν γὰρ ἀκούσωμεν τοὺς σφοδροὺς ἡμῶν ἐραστὰς, καὶ γνησίους οὕτω καὶ διεγηγερμένους,

νήφοιταί τε καὶ ἐγρηγορεῖται περὶ τὴν τῶν ἐκκλησιῶν πρόνοιαν, ἐν ὑγιείᾳ διάγειν πολλὴ δοκοῦμεν, καὶ ἐντεῦθεν καρπούμεθα τὴν παράκλησιν. Ταῦτ' οὖν εἰδὼς, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, μὴ κατόκνει συνεχῶς ταῦτ' ἡμῖν δηλοῦν. οὕτω γὰρ κἂν πρὸς αὐταῖς ἀπενεχθῶμεν τῆς οἰκουμένης ταῖς ἐσχατιαῖς, πολλὴν καρπωσόμεθα τὴν παραμυθίαν, ταύτης συνεχῶς ἀπολαύοντες τῆς παρακλήσεως.

ρν. ΜΑΛΧΩ.

Μήτε ἀθύμει, μήτε ἀωρίαις λογίζου τὴν καλλίστην ἀποδημίαν τῆς μακαρίας θυγατρός σου. Εἰς γὰρ ἀκύμαντον κατέπλευσε λιμένα, καὶ πρὸς ζωὴν ἦλθε μηκέτι πέρας ἔχουσαν· καὶ τῶν κατὰ τὸν παρόντα βίον κυμάτων ἀπαλλαγεῖσα, ἕστηκεν ἐπὶ τῆς πέτρας, ὅσα συνήγαγεν ἀγαθὰ, ὥσπερ ἐν ἀσύλῳ λοιπὸν ἔχουσα θησαυρῷ. καὶ δεῖ χαίρειν ὑπὲρ τούτων, καὶ σκιρτᾷν, καὶ εὐφραίνεσθαι, ὅτι τὴν ἐκείνης ψυχὴν καθάπερ γεωργὸς ἄριστος καρπὸν ὥριμον τῷ κοινῷ πάντων παρέστησας δεσπότῃ. Ταῦτα, καὶ τὰ ἐκ τῶν τοιούτων λογισμῶν ἐπιτήδεια φάρμακα καὶ σαυτῷ, καὶ τῇ κυρίᾳ μου τῇ κοσμιωτάτῃ μητρὶ αὐτῆς, πλεόναζε τῶν ὑπὲρ τούτων ἀποκείμενον ὑμῖν μισθόν· ἵνα μὴ μόνον τῆς καλλίστης ἀναστροφῆς, ἀλλὰ καὶ τοῦ πρᾴως καὶ εὐχαρίστως ἐνεγκεῖν τὴν καλλίστην ταύτην αὐτῆς ἀποδημίαν, πολλὴν παρὰ τοῦ φιλανθρώπου Θεοῦ λάβητε τὴν ἀντίδοσιν.

ρνα. ΜΑΞΙΜΩ ΕΠΙΣΚΟΠΩ.

Ὀτὴν ἐνοχήσω τῶν πόνων ὑμῶν καὶ τῶν ἱδρώτων τῶν ἐπὶ μακρῷ χρόνῳ γεγενημένους, οὐ τὴν τυχοῦσαν, ἀλλὰ καὶ μεγίστην καρπούμεθα παράκλησιν, ἐφ' οἷς αὐτὸς πέπονθα παρανόμως, τὴν ὑμετέραν ἀγάπην τὴν οὕτω θερμὴν καὶ γνησίαν, τὴν πρόνοιαν τὴν εἰλικρινῆ, τὴν ἀγρυπνίαν τὴν ὑπὲρ τῆς διορθώσεως τῶν γεγενημένων τὴν ἐπιτεταμένην, μεγίστην ἔχων παραμυθίαν. καὶ γὰρ οὐχ ἡ τυχοῦσα γέγονέ μοι παραψυχὴ τὸ λογίζεσθαι, ὅτι ἐκ τοσούτου καθήμενοι διαστήματος, οὐχ ἑωρακότες ἡμᾶς ποτε, οὐκ ὀφθέντες παρ' ἡμῶν, οὐ λόγων ἡμῖν κοινωνήσαντες, ἀθρόον ὑπὸ τῆς παρανομίας τῶν τολμηθέντων κινηθέντες τοσαύτην ἐπεδείξασθε περὶ ἡμᾶς ἀγάπην, ὅσην πατέρες περὶ παῖδας· μᾶλλον δὲ καὶ πατέρας ἀπεκρύψατε τῇ τοσαύτῃ κηδεμονίᾳ. διὰ ταῦτα χάριτας ὑμῶν ἴσμεν τῇ εὐλαβείᾳ, θαυμάζομεν, μακαρίζομεν, παρακαλοῦμεν ὑμᾶς αὐτοὺς τὰ ἑαυτῶν μιμήσασθαι, καὶ ἣν ἐξ ἀρχῆς ἐπεδείξασθε προθυμίαν, ταύτην εἰς τέλος ἀγαγεῖν. κἂν γὰρ μηδὲν γένηται πλέον εἰς διόρθωσιν τῶν γεγενημένων, οὐ μικρὰ παράκλησις ἡμῖν, ὅπερ ἔφθην εἰπὼν, τοσαύτης ἀπολελαυκόσι καὶ ἀπολαύουσι παρὰ τῆς τιμιότητος τῆς ὑμετέρας, [τῆς] ἀγάπης.

ρνβ. ΜΑΡΗ ΕΠΙΣΚΟΠΩ.

Καὶ ἡνίκα προοίμια εἶχεν ὁ χειμὼν ὁ τὴν ἐκκλησίαν διασαλεύσας, οὐκ ἔλαθεν ἡμᾶς τὸ ὀρθὸν καὶ ἀπερίτρεπτόν σου τῆς γνώμης· καὶ νῦν δὲ, ὅτε ηὐξήθη τὰ κακὰ, ἔγνωμεν πάλιν τὴν εὐλάβειαν τὴν σὴν τοῖς αὐτοῖς ἐπιμείνασαν. διὸ καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος, καὶ τὴν ὀφειλομένην ἀποδιδόαμέν σοι πρόσρησιν, καὶ μακαρίζομεν καὶ θαυμάζομεν, ὅτι τῶν πλειόνων ἑαυτοὺς κατακρημνισάντων οἷς εἰς τὰς ἐκκλησίας παρηνόμησαν, αὐτὸς τὴν ἐναντίαν τοῖς ἄλλοις ἦλθες ὁδὸν, τούς τε ταῦτα τολμήσαντας ἀποστρεφόμενος, καὶ ἐπὶ τῆς σοὶ πρεπούσης μένων ἀληθείας. ἐννόει τοίνυν ἡλίκον τοῦ κατορθώματος τούτου τὸ μέγεθος,

γεθος, καὶ τὸ μὴ συναπάγεσθαι τοῖς πονηρευομένοις, καὶ ὅτι οὐδὲ ἔστι καὶ προοίμια τῆς τῶν κακῶν διορθώσεως ἡ ἀπερίτρεπτος ὑμῶν αὕτη γνώμη καὶ ἀκλινής, αὐτός τε, ὥς σοι πρέπον ἐστί, στῆναι γενναίως παρακλήθητι, τούς τε ἄλλους, ὡς ἂν οἷός τε ᾖς, ἀλείφειν. οὕτω γὰρ ἀρκέσει εἰς συμμαχίαν ἡμῖν αὐτὴ ἡ πρόθεσις, τοῦ Θεοῦ τὴν γνώμην ὑμῶν ἀποδεχομένου τὴν ἐν τοσαύτῃ συγχύσει τὰ ὀρθὰ ἑλομένην, καὶ τὴν παρ' ἑαυτοῦ παρέχοντος ῥοπήν.

ρις'. ΜΑΡΙΑΝΩ.

γ. ἢν γὰρ πᾶσιν

Τοῖς μὲν ἄλλοις ἅπασιν ἀνθρώποις ἡδὺ τὸ ἔαρ, ὅτι τὴν ὄψιν τῆς γῆς ἄνθεσι καλλωπίζει, καὶ πάντα δείκνυσι λειμῶνας· ἐμοὶ δὲ, ὅτι καὶ τοῖς ἄνθεσι τοῖς ἐμοῖς συγγίνεσθαι διὰ γραμμάτων εὐκολίαν παρέχει πολλήν. ἐβουλόμην μὲν γὰρ καὶ αὐταῖς ὄψεσιν ὑμᾶς θεωρεῖν· ἐπειδὴ δὲ τοῦτο οὐκ ἔνι, ὅπερ ἔνι μετὰ πολλῆς ποιῶ τῆς προθυμίας διὰ γραμμάτων ὑμῖν ὁμιλῶν. καὶ οὐχ οὕτω ναῦται καὶ πλωτῆρες μεθ' ἡδονῆς τὰ θαλάττια τέμνουσι νῶτα ἐκείνης τοῦ ἔτους τῆς ὥρας ἐπιστάσης, ὡς ἐγὼ καὶ χάρτην καὶ μέλαν μεταχειρίζομαι, μέλλων ἐπιστέλλειν ὑμῶν τῇ ἐμμελείᾳ. πρώην μὲν γὰρ διὰ τὸν τοῦ χειμῶνος καιρὸν τοῦ κρυμοῦ πάντα πηγνύντος καὶ τῆς ἀφάτου χιόνος τὰς ὁδοὺς ἀποτειχιζούσης, οὔτε ἔξωθέν τις ἡμῖν ἐπιχωριάζειν ἠδύνατο, οὔτε ἐντεῦθεν ἀναστῆναι. διόπερ καὶ ἡμεῖς, καθάπερ ἐν δεσμωτηρίῳ τοῖς ἐνταῦθα δωματίοις καθήμενοι, καὶ ὥσπερ τινὶ γλωσσοπέδῃ κατεχόμενοι, τῇ τῶν γραμματοφόρων ἀπορίᾳ, καὶ ἄκοντες τὴν μακρὰν ἐσιγήσαμεν σιγήν. ἐπειδὴ δὲ λοιπὸν ἀνέῳξε τὰς λεωφόρους τῆς ὁδοιπορίας ὁ καιρὸς, καὶ ἡμῖν τὰ δεσμὰ τῆς γλώσσης ἔλυσε, τὸν σὺν ἡμῖν πρεσβύτερον ἐντεῦθεν ἀναστήσαντες ἀπεστάλκαμεν πρὸς τὴν ὑμετέραν εὐγένειαν, εἰσόμενοι τὰ περὶ τῆς ὑγιείας ὑμῶν. δεξάμενος τοίνυν αὐτὸν, δέσποτά μου θαυμασιώτατε, καθώς σοι πρέπον ἐστὶ, καὶ ἰδὼν μετὰ τῆς σοὶ πρεπούσης ἀγάπης, ἡνίκα ἂν ἐπανίῃ, τὰ περὶ τῆς ὑγιείας σου δηλῶσαι ἡμῖν παρακλήθητι. οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον περὶ ταύτης μανθάνειν.

γ. λοιπὸν πό-δι

γ. ἦν

ριη'. ΜΑΡΚΕΛΛΙΝΩ.

Μακρὰν μὲν ἐσιγήσαμεν ἀμφότεροι σιγὴν πρὸς ἀλλήλους, τῆς δὲ ἀγάπης σου τῆς ἀρχαίας καὶ γνησίας ἐκείνης οὐκ ἐπιλελήσμεθα, ἀλλ' ἀκμάζουσαν αὐτὴν διατηροῦμεν, καὶ ὅπουπερ ἂν ἀπίωμεν, αὐτὴν περιφέρομεν, μεγίστην ἐντεῦθεν καρπούμενοι τὴν παράκλησιν. διὸ δὴ καὶ νῦν ἐπιτυχόντες τοῦ πρὸς τὴν σὴν εὐγένειαν ἀφικνουμένου, τήν τε ὀφειλομένην ἀποδίδομεν πρόσρησιν, καὶ δηλοῦμεν, ὅτι κἂν πρὸς αὐτὰς ἀπενεχθῶμεν τῆς οἰκουμένης τὰς ἐσχατιὰς, ἔχοντές σε ἄπιμεν ἐν διανοίᾳ ἐγκεκολαμμένον ἡμῶν τῷ συνειδότι. ἀλλ' ἐπειδὴ τοῖς οὕτω διακειμένοις οὐ τὸ γράφειν μόνον, ἀλλὰ καὶ τὸ δέχεσθαι γράμματα παρὰ τῶν οὕτω φιλουμένων πολλὴν φέρει τὴν ἡδονὴν, διπλασίασον ἡμῖν τὴν εὐφροσύνην, δέσποτα τιμιώτατε, καὶ ἡνίκα ἂν ἐξῇ, γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλῶν. οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον ταῦτα μανθάνειν, καὶ ὅσην καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες ἐντεῦθεν καρπωσόμεθα τὴν παράκλησιν.

ρνε'. ΜΑΡΚΕΛΛΙΝΩ.

γ. ἀπηνεχ.

Εἰς μὲν αὐτὸ τὸ πάντων ἐρημότατον χωρίον ἀπήχθημεν τὴν Κουκουσόν· πλὴν ὅταν τὴν ἀγάπην ὑμῶν τῶν φιλούντων ἡμᾶς ἐννοήσωμεν, μεγίστην καρπούμεθα παράκλησιν, ἐν ἐρημίᾳ πλουτοῦντες. οὐδὲ γὰρ ὁ τυχὼν θησαυρὸς, ἀνδρῶν ἐπιτυγ-

χάνειν

χάριν γνησίως φιλεῖν εἰδότων. διὰ δὴ τοῦτο, κἂν μὴ τῷ σώματι παρῶμεν ὑμῖν, τῇ ψυχῇ συνδεδέμεθα, τῇ τῆς ἀγάπης ἁλύσει σφιγγόμενοι· ὅθεν καὶ ἐπιστέλλομεν ἐκ τοσούτου διαστήματος, καὶ τὴν ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν. ὅτι γὰρ εἰς τοὺς προτέρους σε τῶν ἐραστῶν ἐνεγράψαμεν τῶν ἡμετέρων, οὐδὲ αὐτὸς ἀγνοεῖς, δέσποτά μου θαυμασιώτατε. δίδου δὴ καὶ αὐτὸς ταύτην ἡμῖν τὴν χάριν, καὶ συνεχῶς ἡμῖν ἐπίστελλε τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος· ἵνα καὶ τῷ γράφειν καὶ τῷ δέχεσθαι τοιαύτας ἐπιστολὰς πολλὴν καρπωσώμεθα τὴν παραμυθίαν καὶ εὐφροσύνην, καὶ μεγίστης καὶ ἐν ἐρημίᾳ διατρίβοντες ἀπολαύσωμεν παρακλήσεως.

ρνς. ΜΑΡΚΙΑΝΩ ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩ.

Ἐβουλόμεθα μὲν ὑμᾶς, σφοδροὺς ἡμῶν ὄντας οὕτως ἐραστάς, καὶ παρόντας ἰδεῖν· ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι (τό τε γὰρ τῆς ὁδοῦ μῆκος, ἥ τε τοῦ χειμῶνος ὥρα, καὶ ὁ τῶν λῃστῶν φόβος ἱκανὰ διατειχίσαι τὴν ἀποδημίαν) τοὺς γοῦν τὰ γράμματα κομίζοντας παρ' ἡμῶν πρὸς ὑμᾶς ἐπιθυμοῦμεν συνεχέστερον περιτυγχάνειν, ὥστε δύνασθαι μετὰ δαψιλείας πληρῶσαι τὴν ἐπιθυμίαν τὴν ἡμετέραν. ἀλλ' ἐπειδὴ καὶ τοῦτο παρείλετο ἡμᾶς ἡ ἐρημία τοῦ "χωρίου, ἐν ᾧ διατρίβομεν, καὶ τὸ σφόδρα αὐτὸ ἀπῳκίσθαι τῆς δημοσίας ὁδοῦ, παρακαλῶ, ἂν μὴ συνεχῶς τοῦτο ποιῶμεν, συγγνώμην * νέμειν, καὶ γραφόντων καὶ σιγώντων ἡμῶν τὴν αὐτὴν ἔχειν περὶ τῆς ἀγάπης τῆς ἡμετέρας ψῆφον, λογιζομένους ὅτι τὴν σιγὴν ἡμῖν πολλάκις μακροτέραν ἡ ἐρημία τοῦ τόπου, οὐχ ἡ τοῦ τρόπου ὀλιγωρία, ἐργάζεται.

γρ. χώρου
* ἡμῖν

ρνζ. ΜΑΡΚΙΑΝΩ ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩ.

Ἀρκοῦσαν ἔχετε παραμυθίαν τῆς ἀθυμίας, ἧς ὑπομένετε, καθὼς ἐπεστάλκατε, τὴν φιλόσοφον "ἡμῶν γνώμην καὶ ὑψηλήν, τὴν ἀπερίτρεπτον καὶ ἀκλινῆ διάθεσιν. ὥσπερ γὰρ τὸ χαῦνον καὶ διαλελυμένον οὐδὲ γαλήνη καὶ τὸ κατὰ ῥοῦν φέρεσθαι ὠφελῆσαί τι μέγα δυνήσεται· οὕτω τὸν στερρὸν καὶ συγκεκροτημένον καὶ νήφοντα οὐδὲ χειμὼν χαλεπὸς "διασαλεύσει ποτέ, ἀλλὰ καὶ λαμπρότερον ἐργάζεται. τοιαύτη γὰρ τῶν πειρασμῶν ἡ φύσις· τοῖς γενναίως αὐτοὺς φέρουσι πολλὰ κομίζει τὰ βραβεῖα καὶ λαμπροὺς τοὺς στεφάνους. ταῦτ' οὖν εἰδότες, κύριοί μου τιμιώτατοι καὶ εὐλαβέστατοι, καὶ ἀρκοῦσαν ἐν τοῖς δεινοῖς ταύτην ἔχοντες τὴν παραμυθίαν, μήτε θορυβεῖσθε ἐπί τινι τῶν γινομένων, μήτε διαλίπητε συνεχῶς ἡμῖν ἐπιστέλλοντες. ἐβουλόμεθα μὲν γὰρ καὶ παρόντας ὑμᾶς ἰδεῖν καὶ περιπτύξασθαι· ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, ἀλλὰ πολλὰ τὰ κωλύματα, συνεχῶς ἡμῖν ἐπιστέλλειν μὴ κατοκνεῖτε, τὰ περὶ τῆς ὑγιείας δηλοῦντες τῆς ὑμετέρας. ἴστε γὰρ "ἡλίκον ἡμῖν χαριεῖσθε τοῦτο ποιοῦντες, καὶ ὅσης ἡμᾶς ἐμπιπλᾶτε τῆς εὐφροσύνης.

γρ. ὑψηλ
γρ. διασαλεύσει
γρ. ἡλίκα

ρνη. ΜΑΡΚΙΑΝΩ ΚΑΙ "ΜΑΡΚΕΛΛΙΝΩ.

γρ. Μαρκιανῷ

Ὡς καλὴ ὑμῶν ἡ ξυνωρὶς καὶ σφόδρα ἡμῖν ποθεινή, οὐ νόμῳ φύσεως μόνον, ἀλλὰ καὶ ἀγάπης σφοδροτάτης ἁλύσει συνδεδεμένη· διὰ ταῦτα καλλωπιζόμεθα ὑμῶν τῇ φιλίᾳ "ἐναβρυνόμενοι, καὶ ἐπιθυμοῦμεν καὶ τῆς κατ' ὄψιν συντυχίας μετασχεῖν. ἐπειδὴ δὲ τοῦτο τέως οὐκ ἔνι, ὅπερ ἔνι, ποιοῦμεν· γράφομεν συνεχῶς, μεμνήμεθα διηνεκῶς, ἐπὶ διανοίας ὑμᾶς πανταχοῦ περιφέρομεν, ὅπουπερ ἂν ὦμεν, οὐδὲ μικρὸν τῷ μήκει τῆς ὁδοῦ διειργόμεθα τῆς ἐμμελείας τῆς ὑμετέρας. τοιοῦτον γὰρ τῆς ἀγάπης τὸ πτερόν· καὶ ὁδῶν διαστήματα

γρ. βαρυνόμενοι

εὐκόλως

εὐκόλως περᾷ, καὶ πραγμάτων περιστάσεως ὑψηλότερον γίνεται. διὸ δὲ ἡμεῖς, καίτοι πολλαῖς συνεχόμενοι θλίψεσιν, ἐρημίαις, πολιορκίαις, συνεχέσιν ἐφόδοις λῃστρικαῖς, οὐδὲν ἐν τούτων ῥαθυμότεροι περὶ τὸ φιλεῖν ὑμᾶς γεγενήμεθα· ἀλλ' ἀνθοῦσαν διηνεκῶς τὴν περὶ ὑμᾶς διατηροῦμεν διάθεσιν. διὸ καὶ παρακαλοῦμεν συνεχέστερον ἡμῖν ἐπιστέλλειν, τὰ περὶ τῆς ὑγείας τῆς ὑμετέρας εὐαγγελιζομένους. ἴστε γὰρ καὶ αὐτοί, ὅσην ἐντεῦθεν καρπωσόμεθα καὶ ἐν ἐρημίᾳ καθήμενοι τὴν παράκλησιν.

ρνθ. ΜΑΡΚΙΑΝΩ ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩ.

ΤΙ τοῦτο; οὕτως ἡμῶν ἐρῶντες (οὐδὲ γὰρ ἐκ τοσούτου καθημένους ″ὑμῶν διαστήματος ἔλαθεν ″ἡμᾶς ὁ ἔρως, διὰ τὸ σφοδρὸς εἶναι καὶ πεπυρωμένος) κατεδέξασθε σιγᾶν; καὶ οὐδὲ ἅπαξ ἡμῖν ἐπεστείλατε, ἀλλ' αἴνιγμα τὸ πρᾶγμα ὑμῖν πεποίηκατε; οὐδὲ γὰρ ἀρκοῦσα πρόφασις, ἣν ἐνεγράψατε ἐπιστέλλοντες πρὸς τὸν κύριόν μου τὸν εὐλαβέστατον πρεσβύτερον Κωνστάντιον. πλὴν ἀλλ' οὐδὲν ἀκριβολογούμεθα· ἀλλ' ἔστω τοῦτο οὕτως ἔχειν, καὶ κείσθω τῆς σιγῆς ταύτην εἶναι τὴν αἰτίαν. ἰδοὺ καὶ ″αὐτὴ ὑμῖν ἀνῄρηται, καὶ προθυμότεροι τοῖς πρὸς ὑμᾶς ἐπεπηδήσαμεν γράμμασι· χαρίζεταί τε ὑμῖν ὁμολογοῦντες τῆς γνησίας ἀγάπης, ἣν οὕτως ἀκμάζουσαν περὶ ἡμᾶς διατηρεῖτε, καὶ παρακαλοῦντες, ἐπειδὰν ἐξῇ, καὶ ἐπιστέλλειν ἡμῖν συνεχῶς. ὅτι μὲν γὰρ καὶ παραγενέσθαι ἐνταῦθα οὐκ ἂν ὠκνήσατε, εἰ μὴ τὰ εἰρημένα κωλύματα παρὰ τῆς κοσμιότητος ὑμῶν ἦν, οὐδὲν ἀμφιβάλλω· μᾶλλον δὲ ἀπὸ τῆς γνώμης καὶ παραγεγένεσθε. ἀλλ' ἐπειδὴ τοῦτο τῷ ἔργῳ πληρῶσαι τέως οὐκ ἔνι, τὴν ἀπὸ τῶν γραμμάτων ἡμῖν παρέχετε παράκλησιν, τὰ περὶ τῆς ὑγείας ὑμῶν καὶ τοῦ οἴκου παντὸς εὐαγγελιζόμενοι. εἰ γὰρ τοιαῦτα δεξώμεθα συνεχῶς παρ' ὑμῶν γράμματα, κἂν ἐν χαλεπωτέρᾳ ταύτης ἐρημίᾳ καθήμεθα, πολλὴν ἀπὸ τῶν ἐπιστολῶν ὑμῶν ″καρπωσόμεθα τὴν παράκλησιν.

″γ. ἡμῖν ″γ. ὑμῶν ″γ. αὐτή ″ἰδίων

ρξ. ΜΑΡΚΙΑΝΩ ΚΑΙ ΜΑΡΚΕΛΛΙΝΩ.

ΕΛύσατε ἡμῖν τὸ αἴνιγμα. ὅτι γὰρ οὐκ ἤρκει εἰς ἀπολογίαν ἡ ἐγκειμένη τότε πρόφασις, αὐτοὶ νῦν ἐδηλώσατε, μὴ δεξάμενοι γράμματα, καὶ προθυμότεροι τοῦ γράφειν ἐπιπηδήσαντες. τοιαύτη γὰρ τῆς ἀγάπης ἡ φύσις· οὐκ ἀνέχεται σιγᾶν, ἀλλὰ καὶ θρασύτητος μέλλῃ κρίνεσθαι, τὸ αὐτῆς πληροῖ. ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τοῦ γράψασθαι ὑμᾶς διὰ τὸ προτέρους ″ἐπιστεῖλαι, ὅτι καὶ στεφανοῦμεν ὑπὲρ τούτου καὶ ἀνακηρύττομεν, καὶ νῦν μάλιστα τοὺς γνησίους ἡμῶν ἔγνωμεν ἐραστάς, οὐκ ἀπὸ τοῦ γράψαι μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ προτέρους γράψαι. ἱκετεύομεν δὲ ὁ Θεὸς καὶ τῆς ἀρρωστίας ἡμᾶς ἀπαλλάξαι, καὶ πρὸς καθαρὰν ὑγίειαν ἐπαναγαγεῖν, καὶ δοῦναι εὐκολίαν πολλὴν καὶ τῆς κατ' ὄψιν ἡμῖν συνουσίας. ἱκανὴν μὲν γὰρ καὶ νῦν καρπούμεθα παράκλησιν, ἀπὸ γνησίας οὕτω ψυχῆς δεχόμενοι γράμματα· ἐπιθυμοῦμεν δὲ καὶ ἐκείνης τῆς συντυχίας, ἧς γένοιτο μετ' οὐ πολὺ τάχους ἡμᾶς ἀπολαῦσαι, ὥστε μεγίστην ἡμᾶς ἀγαγεῖν ἑορτήν.

″γ. ὅτι πεπιδήσαμεν

ρξα. ΜΑΡΚΙΑΝΩ ΚΑΙ ΜΑΡΚΕΛΛΙΑΝΩ.

ΤΟῦτο καὶ ἡμῖν τῆς μακρᾶς σιγῆς αἴτιον γέγονεν, ὃ καὶ τῇ εὐγενείᾳ τῇ ὑμετέρᾳ· ἀλλὰ σιγῆς οὐ τῆς κατὰ τὴν γνώμην, ἀλλὰ τῆς κατὰ τὴν γλῶτταν· ὡς τῇ διανοίᾳ καὶ ἐπιστέλλομεν καὶ προσφθεγγόμεθα συνεχῶς, μᾶλλον δὲ διηνεκῶς, τὴν εὐγενεστάτην καὶ ἐμμελεστάτην ὑμῶν

μῶν ψυχὴν, καὶ ἐγκολάψαντες ὑμᾶς τῷ συνειδότι, πανταχοῦ περιφέρομεν. τοιοῦτον γὰρ τὸ φιλεῖν γνησίως. ταῦτ' οὖν εἰδότες, κύριοί μου ποθεινότατοι καὶ τιμιώτατοι, ἐπιστέλλετε μοι, ἡνίκα ἂν ἐξῇ, τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας δηλοῦντες· θαῤῥεῖτε δὲ ὅτι καὶ σιγώντων ὑμῶν τὴν αὐτὴν περὶ τῆς ἀγάπης ὑμῶν ψῆφον οἴσομεν, ἣν καὶ γραφόντων, ἀπὸ τῆς γνώμης ταῦτα ψηφιζόμενοι τῆς ὑμετέρας. 5

ρξϛ. ΜΑΡΚΙΑΝΩ.

χ. Μαρκιᾳ

Μακάριος εἶ καὶ τρισμακάριος καὶ πολλάκις τοῦτο, ἐν οὕτω χειμῶνι χαλεπῷ καὶ τοσαύτῃ τῶν πραγμάτων ζάλῃ τοσαύτην ἐπιδεικνύμενος περὶ τοὺς δεομένους μεγαλοψυχίαν. οὐ γὰρ ἔλαθεν ἡμᾶς τῆς φιλανθρωπίας σου τὸ μέγεθος, καὶ ὅτι κοινὸς ἅπασι γέγονας λιμὴν, ὀρφανοῖς παριστάμενος, χήρας παντὶ τρόπῳ παραμυθούμενος, ἀνέχων αὐτῶν τὴν πενίαν, διορθούμενος τὴν πτωχείαν, οὐδὲ αἴσθησιν ἀφιεὶς λαμβάνειν τῆς στενοχωρίας ταύτης, ἀλλ' ἀντὶ πάντων αὐτοῖς γινόμενος, καὶ δῆμον ὁλόκληρον διατρέφων σίτῳ, καὶ ἐλαίῳ, καὶ οἴνῳ, καὶ τοῖς ἄλλοις ἅπασιν. ὁ Θεός σοι τὸν μισθὸν δῴη, καὶ ἐν τῷ παρόντι βίῳ, καὶ 15 ἐν τῷ μέλλοντι αἰῶνι, τῆς μεγαλοψυχίας ταύτης, τῆς δαψιλείας, τῆς προθυμίας, τοῦ ζήλου, τῆς φιλοπτωχείας, τῆς γνησίας ἀγάπης. καὶ γὰρ ἐν ἅπασι τούτοις βρύεις καὶ κομᾷς, μέγιστα σεαυτῷ προαποτιθέμενος βραβεῖα ἐν τῷ μέλλοντι αἰῶνι. ταῦτα καὶ ἡμεῖς μανθάνοντες, ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι, καὶ πολλαῖς κυκλούμενοι περιστάσεσι (καὶ γὰρ Ισαυρικοῦ φόβου πολιορκία, καὶ χωρίου ἐρημία, καὶ χειμῶνος σφοδρότης ἡμᾶς θλίβει) ἀλλ' ὅμως ταῦτα 20 ἀκούοντες περὶ τῆς σῆς τιμιότητος, οὐδὲ αἴσθησιν τούτων λαμβάνομεν τῶν λυπηρῶν· ἀλλὰ καὶ πολλὴν καρπούμεθα τὴν παράκλησιν, σκιρτῶντες, εὐφραινόμενοι, χαίροντες ἐπὶ τοῖς τοιούτοις σου κατορθώμασιν, ἐπὶ τῷ πλούτῳ τῷ ἀφάτῳ, ὃν ἐν οὐρανοῖς συνάγεις σεαυτῷ. ἵν' οὖν καὶ ἐν ἑτέρῳ εὐφραινώμεθα, γράφειν ἡμῖν συνεχῶς μὴ κατόκνει, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος. σφόδρα γὰρ ἐπιθυμοῦμεν ἀκούειν τὰ περὶ τῆς ῥώσεως τῆς σῆς· καὶ 25 τοῦτο οἶσθα καὶ αὐτὸς, ἐπειδήπερ κἀκεῖνο οἶσθα, ὅπως ἀεὶ τῆς ἀγάπης τῆς σῆς ἀντεχόμεθα.

χ. ποιοῦντ

ρξζ. ΤΟΙΣ ΜΟΝΑΖΟΥΣΙ ΓΟΤΘΟΙΣ ΤΟΙΣ ΕΝ τοῖς Προμώτου.

30

Εγνων καὶ παρὰ τῶν γραμμάτων τῶν ὑμετέρων, ὅσην ὑπομένετε θλίψιν, ὅσας ἐπιβουλὰς, ὅσους πειρασμοὺς, ὅσας ἐπηρείας· καὶ διὰ τοῦτο μάλιστα ὑμᾶς μακαρίζω, τοὺς ἐντεῦθεν ὑμῶν ἐνορῶν στεφάνους, τὰ βραβεῖα, τὰ ἔπαθλα. ὥσπερ γὰρ οἱ ἐπιβουλεύοντες ὑμῖν καὶ ταράττοντες ὑμᾶς, κρίμα καθ' ἑαυτῶν χαλεπὸν ἐπιφέρουσι, καὶ τὸ τῆς γεέννης κατὰ τῆς ἑαυτῶν κεφαλῆς ἐπισωρεύουσι πῦρ, οὕτως ὑμεῖς οἱ ταῦτα πάσχοντες, πολλῆς ἀπολαύσετε 35 τῆς ἀμοιβῆς, πολλῆς τῆς ἀντιδόσεως. μὴ δὴ θορυβεῖσθε, μηδὲ διαταράττεσθε ἐντεῦθεν, ἀλλὰ χαίρετε καὶ σκιρτᾶτε, ἀποστολικὸν φρόνημα διατηροῦντες τὸ λέγον· Νῦν χαίρω ἐν τοῖς παθήμασί μου. καὶ πάλιν· Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν. δοκιμώτεροι τοίνυν γινόμενοι καὶ εὐπορώτεροι τὴν εὐπορίαν τὴν ἐν οὐρανοῖς, κἂν χαλεπώτερα τούτων γίνηται, μειζόνως ἀγάλλεσθε. Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς. οὐδὲ γὰρ ἔλαθεν ἡμᾶς ἡ ὑπομονὴ ὑμῶν, ἡ ἀνδρεία, ἡ καρτερία, ἡ γνησία καὶ θερμὴ διάθεσις, τὸ ἀκλινὲς ὑμῶν τῆς γνώμης, τὸ ἀπερίτρεπτον, τὸ ἀκίνητον. διὸ καὶ ἡμεῖς ὑμῖν πολλὰς ὁμολογοῦμεν χάριτας, καὶ συνδεδέμεθα ὑμῶν ταῖς ψυχαῖς

Κολασ. α. κδ
Ρωμ. ε. γ.
Ρωμ. η. ιη.

χ. ὑπομένε τε
40 χ. πάσχητε

χαῖς διηνεκῶς, καὶ τῆς ὁδοῦ τὸ μῆκος οὐδὲν ῥαθυμοτέρους ἡμᾶς περὶ τὴν ἀγάπην τὴν ὑμετέραν ἐργάζεται. χάριν δὲ ὑμῖν ἔχω καὶ τῆς σπουδῆς, ἣν ἐπεδείξασθε, ὑπὲρ τοῦ μηδένα θόρυβον γενέσθαι ἐν τῇ ἐκκλησίᾳ τῇ τῶν Γότθων, ἀλλ' εἰς ἀναβολὴν τὸ πρᾶγμα ἐμπεσεῖν. καὶ οὐ μόνον οὐκ ἐγκαλῶ, ὅτι οὐδένα ἐπέμψατε, ἀλλὰ καὶ ἐπαινῶ καὶ θαυμάζω. ἐκεῖνο

5 γὰρ πολὺ τούτου προτιμότερον, ὃ πολλάκις ἡμᾶς εἰς τὴν ὑπόθεσιν ταύτην ἀπολεῖσθαι. μὴ δὴ διαλίπητε τὰ παρ' ὑμῶν αὐτῶν εἰσφέροντες καὶ δι' ὑμῶν αὐτῶν, καὶ δι' ἑτέρων, ἐὰν οἷόν τε ᾖ, ὥστε ὑπόθεσιν τῷ πράγματι γενέσθαι. ἄν τε γὰρ λύσητέ τι, ἄν τε μή, τὸν μισθὸν ἀπηρτισμένον ἔχετε τῆς γνώμης καὶ τῆς προθυμίας.

10 ## ρξδ. ΜΟΝΤΙΩ.

Πόρρω μέν σου καθεστήκαμεν τῇ παρουσίᾳ τοῦ σώματος, ἐγγὺς δὲ* τῇ διαθέσει τῆς ψυχῆς, καὶ σύνεσμέν σοι καὶ συμπεπλέγμεθα καθ' ἑκάστην ἡμέραν, διὰ τὸν θερμόν σου περὶ ἡμᾶς ἔρωτα, καὶ τὴν φιλοξενίαν, τὴν φιλοφροσύνην, τὴν ποικίλην θεραπείαν καὶ σπουδήν,

15 ἣν διὰ πάντων ἐπεδείξω, καθ' ἑαυτοὺς ἀναλογιζόμενοι, καὶ ἐντρυφῶντες τῇ μνήμῃ τῆς εὐγενείας τῆς σῆς, καὶ πρὸς ἅπαντας ἀνακηρύττοντές σου τὴν εἰλικρινῆ διάθεσιν καὶ δόλον οὐκ ἔχουσαν. διὸ καὶ γράμματα ″ἐπιθυμοῦμεν τῆς εὐγενείας τῆς σῆς, καί σε παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγείας τῆς σῆς εὐαγγελίζεσθαι· ἵνα καὶ ἐκ τούτου πολλὴν καρπωσώμεθα τὴν παράκλησιν, μανθάνοντες τὰ περὶ τῆς ῥώσεως τῆς σῆς. πάνυ γὰρ ἡμεῖς

20 τοῦτο περισπούδαστον εἴδομεν. μὴ τοίνυν ἀποστερήσῃς ἡμᾶς ταύτης τῆς εὐφροσύνης, ἀλλ' ὁσάκις ἂν δόξῃ, γράφε ταῦτα ″ἡμᾶς εὐαγγελιζόμενος.

*πω

γ. ἐπιποθοῦμεν

γ. ἰδεῖν

ρξε. ″ΜΟΥΣΩΝΙΩ.

γ. Μινουκίῳ

25 Καὶ ἤδη ἐπεστάλκαμέν σου τῇ εὐγενείᾳ, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, καὶ νῦν τὸ αὐτὸ πάλιν ποιοῦμεν, καίτοι μηδὲ ἅπαξ σου ἐπεσταλκότος ἡμῖν. ἀλλ' ὅμως ἡμεῖς οὐ διαλείψομεν συνεχῶς ἐπιστέλλοντες καὶ τὸ ἡμῖν αὐτοῖς πρέπον ποιοῦντες. ἐβουλόμεθα μὲν γὰρ καὶ πυκνότεροι τοῦτο ποιεῖν· ἐπειδὴ δὲ καὶ ἐν ἐρημίᾳ πολλῇ χειμερίῳ διατελοῦμεν, καὶ ὁ τῶν λῃστῶν φόβος πολιορκεῖ τὴν πόλιν, καὶ ἡ τοῦ χειμῶνος ὥρα ἀποτειχίζει τὰς ὁδούς, καὶ ταῦτα πάντα

30 οὐκ ἀφίησι πολλοὺς ἡμῖν* ἐπιχωριάζειν, ἐπὰν δὲ δόξῃ, καὶ γραμματηφόρων ἐπιτυχόμεν, τὴν ὀφειλομένην πρόσρησιν ἀποδιδόαμέν σου τῇ εὐλαβείᾳ. ἴσμεν γάρ σου τὸ γνήσιον τῆς ἀγάπης, τὴν θερμοτέραν διάθεσιν, τὸ ἀπερίτρεπτον τῆς γνώμης, τῆς ἐλευθερίας τὸ ἀνυπόκριτον. διὸ καὶ ἐπὶ μνήμης σε διηνεκῶς περιφέρομεν, ὅπουπερ ἂν ὦμεν, καὶ ἐπιλαθέσθαι σου τῆς ἐμμελείας οὐ δυνάμεθα. ἵνα δὲ μὴ τῷ γράφειν μόνον, ἀλλὰ καὶ τῷ δέχεσθαι γράμματα

35 τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλοῦντα εὐφραινώμεθα, πέμπε συνεχῶς ἡμῖν τοιαύτας ἐπιστολάς. οὕτω γὰρ καὶ πόρρωθεν ὄντες πολλὴν καρπωσόμεθα ἀπὸ τῶν τοιούτων γραμμάτων παραμυθίαν, ὅταν ἀκούωμεν ὅτι ὑμεῖς διὰ τὸν σφοδρὸν ἡμῶν ἔρωτα καὶ τὸν θερμόν, ἐν εὐθυμίᾳ καὶ ἀσφαλείᾳ διάγετε.

*συνεχῶς

40 ## ρξϛ. ΜΩΥΣΗ ΕΠΙΣΚΟΠΩ.

Οἴμοι μοι, μηδὲ γράμματά σε ἀξιοῦσθαι τῶν ἡμετέρων εἰς τὴν προσήκουσαν ἀνδρείαν ἐπιδείξασθαι, καὶ ἀποστραφῆναι τοὺς τοσαῦτα κακὰ ἐργασαμένους ταῖς ἐκκλησίαις, καὶ τὴν οἰκουμένην ταραχῶν ἐμπλήσαντας. διὰ γὰρ ὧν ἐποίησας, ἐδήλωσας. ἀλλ' ἐπειδὴ συν-

εχῶς

ἐχοῦς καὶ δι᾽ ἑκάστης προφάσεως προσφθέγγεσθαί σου τὴν εὐλάβειαν ἐμοὶ περισπούδαστοι, καὶ νῦν ταὐτὰ παρακαλῶ, ὥστε αὐτόν τι τῇ προσηκούσῃ ἀνδρείᾳ χρήσασθαι εἰς τὸ ἀποστρέφεσθαι ἐκείνους, τούς τε ἄλλους ἅπαντας εἰς τοῦτο ἀλείφειν. οὐ γὰρ μικρὸς ὑμῖν κείσεται ὁ μισθὸς, εἰ τοὺς χειμῶνα τοσοῦτον ἀνάψαντας καὶ πολὺν ἐμπλήσαντας μυρίων σκανδάλων μέλλοιτε ἀποστρέφεσθαι, "ὡς εἰκός ἐστι. καὶ γὰρ μεγίστην ἐντεῦθεν τὰ πράγματα λήψεται διόρθωσιν· καὶ ἡμεῖς δὲ τῶν ἀγαπώντων σε σφόδρα διηνεκῶς μεμνῆσθαι παρακαλοῦμεν. οἶσθα γὰρ ὅπως διετέθημέν τι καὶ διακείμεθα ἀεὶ περὶ τὴν σὴν εὐλάβειαν.

ρξζ. ΜΩΥΣΗ ΠΡΕΣΒΥΤΕΡΩ*.

Ἡ μὲν ὑπερβολὴ τῶν ἐγκωμίων τῶν τοῖς γράμμασιν ἐγκειμένων τῆς σῆς τιμιότητος σφόδρα ἡμῶν ὑπερβαίνει τὴν "ἀσθένειαν. διὸ τούτων ἀφέμενος, μὴ διαλίπῃς εὐχόμενος ὑπέρ τε τοῦ κοινοῦ τῶν ἐκκλησιῶν, ὑπέρ τε τῆς ταπεινώσεως τῆς ἡμετέρας, καὶ τὸν φιλάνθρωπον παρακαλῶν Θεὸν δοῦναι λύσιν τοῖς καταλαβοῦσι τὴν οἰκουμένην κακοῖς. εὐχῶν γὰρ μόνον τὰ παρόντα δεῖται πράγματα, καὶ εὐχῶν μάλιστα τῶν ὑμετέρων, τῶν πολλὴν πρὸς τὸν Θεὸν παῤῥησίαν κεκτημένων. μὴ διαλίπητε τοῦτο ἐκτενῶς ποιοῦντες, καὶ ἡμῖν δὲ, ἡνίκα ἂν ἐξῇ, συνεχῶς ἐπιστέλλειν μὴ κατοκνεῖτε. οὐ γὰρ πολὺ τῆς ὁδοῦ τὸ μῆκος. σφόδρα γὰρ ἐπιθυμοῦμεν μανθάνειν περὶ τῆς ὑμετέρας ὑγιείας, ἐπείπερ ὑμῶν ἡ ὑγίεια πολλοῖς στηριγμὸς καὶ παράκλησις ἐστί. ἀεὶ μὲν γὰρ ὑμῶν χρεία τῆς ζωῆς, μάλιστα δὲ νῦν ἐν τοσούτῳ χειμῶνι καὶ ζόφῳ· ἵν᾽ ὥσπερ καθαροὶ φωστῆρες φαινόμενοι λάμπητε τοῖς χειμαζομένοις καὶ κλυδωνιζομένοις. ἵν᾽ οὖν καὶ ἡμεῖς εὐθυμῶμεν, πυκνὰ πέμπετε ἡμῖν γράμματα περὶ τῆς ὑγιείας τῆς ὑμετέρας εὐαγγελιζόμενα· καὶ οὐ μικρὰν καρπωσόμεθα παράκλησιν, ἂν ταῦτα συνεχῶς μανθάνωμεν" παρὰ τῆς τιμιότητος τῆς ὑμετέρας.

ρξη. "ΝΑΜΑΙΑ.

Τί περιέρχῃ ἀπολογίαν ζητοῦσα, καὶ συγγνώμην αἰτοῦσα, ὑπὲρ ὧν ἡμεῖς σε στεφανοῦμεν καὶ ἀνακηρύττομεν, ὅτι μὲν ἔγραψας ἀποδεχόμενοι καὶ ἀνακηρύττοντες, ὅτι δὲ ὀψὲ καὶ βραδέως, ἐγκαλεῖν ἔχοντες; ὥστε εἰ νομίζεις μεγάλα τετολμηκέναι τῷ γράψαι, τοῦτο ἀφεῖσα πρὸς τὸ ἔγκλημα τῆς βραδυτῆτος μετάγε καὶ συντίθει τὴν ἀπολογίαν. καὶ γὰρ ὅσῳπερ ἂν λέγῃς καὶ παρόντας καὶ ἀπόντας ἠγαπηκέναι γνησίως, τοσούτῳ μειζόνως αὔξεις τὴν κατηγορίαν. εἰ μὲν γὰρ τῶν ἁπλῶς περὶ ἡμᾶς διακειμένων ἦσθα, οὐδὲν ἀπεικὸς μακρὸν χρόνον οὕτω σιγῆσαι. ἐπειδὴ δὲ οὕτω γνησίαν καὶ θερμὴν περὶ ἡμᾶς ἐπιδεδεῖχθαι ἀγάπην ἔφης, ὡς μηδ᾽ ἂν ἐλθεῖν παραιτήσασθαι ὁδὸν οὕτω χαλεπὴν, καὶ φόβῳ λῃστῶν * πολιορκουμένην, εἰ μὴ τὰ τῆς ἀῤῥωστίας διέκοπτεν, ἕν σοι λοιπὸν ἀπολογίας λείπεται εἶδος, τὸ ψεκάδας ἡμῖν πέμπειν γραμμάτων δυναμένων τὴν ἐκ τῆς μακρᾶς σιγῆς παραμυθήσασθαι αἰτίαν. τοῦτο δὴ ποίει, καὶ τὸ πᾶν ἀπειλήφαμεν· ἐπεὶ καὶ αὐτὴ χρονία ἐλθοῦσα ἡ ἐπιστολὴ, ἐπειδὴ θερμῆς ἔπνει τῆς ἀγάπης, καὶ τοῦ παρελθόντος χρόνου τὸ χρέος ἀπέτισε. πλὴν ἀλλ᾽ αἱ λοιπαὶ μὴ μιμείσθωσαν τὴν ταύτης βραδυτῆτα. οὕτω γὰρ καὶ αὐτὴ δυνήσεται δεῖξαι, ὅτι οὐ δι᾽ ὄκνον, ἀλλὰ διά τινα πρόφασιν εὔλογον, καθὼς καὶ αὐτὴ ἔφης, χρονία παραγέγονεν, εἰ αἱ λοιπαὶ μετὰ τάχους καὶ πολλῆς παραγίνοιντο τῆς συνεχείας ἡμῖν.

ρξθ. ΝΙΚΟΛΑΩ.

γρ. ὡς ἀποστρέφεσθαι ἀναγκαῖον ἐστι

* μοναζούσῃ

γρ. ὑψηλήν

γρ. περὶ

γρ. Ναμέᾳ

* πολιορκουμένην

ρξθ. ΝΙΚΟΛΑῼ ΠΡΕΣΒΥΤΕΡῼ.

Σφόδρα ἡμᾶς ἀνεπτέρωσας, καὶ πολλῆς ἐνέπλησας τῆς ἡδονῆς, δηλώσας ὅτι σοι πολ-
5 λὴ φροντὶς τῆς Φοινίκης ἐστὶ, καὶ ἐν τοσούτῳ καθήμενος διαστήματος διὰ γραμμάτων
ἀλείφεις τοὺς αὐτόθι, ζῆλον πληρῶν ἀποστολικόν. διὰ ταῦτά σε θαυμάζοντες καὶ μακα-
ρίζοντες οὐ διαλιμπάνομεν, ὅτι καὶ πρότερον τοὺς μοναχοὺς ἔπεμψας, καὶ ὅτι νῦν ἐν πραγ-
μάτων δυσκολίᾳ τοσαύτῃ οὐ μόνον αὐτοὺς οὐκ ἀπήγαγες, ἀλλὰ καὶ μένειν ἐκέλευσας, ἀρίστου
κυβερνήτου καὶ ἰατροῦ γενναίου πρᾶγμα ποιῶν. καὶ γὰρ ἐκείνων ἕκαστος, ὁ μὲν ὅταν ἴδῃ τὰ
10 κύματα ἐγειρόμενα, τότε μᾶλλον πολλὴν ἐπιδείκνυται τὴν σπουδήν· ὁ δὲ ὅταν τὸν πυρε-
τὸν ἐπὶ μείζονα φλόγα διεγερθέντα, τότε πολλῇ κέχρηται τῇ τέχνῃ. καὶ αὐτὸς τοίνυν, κύριέ
μου τιμιώτατε καὶ εὐλαβέστατε, ἄξια τῆς'' αὐτοῦ πεποίηκας ἀρετῆς, ὅτε τὰ πράγματα εἶ-
δες νοσοῦντα καὶ στασιάζοντα, τότε μάλιστα ἐπιθέμενος τοῖς ἐκεῖσε διατρίβουσιν, ὥστε μὴ λει-
ποτακτῆσαι, ἀλλ' ἐπιμεῖναι, καὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν. τὰ σαυτοῦ τοίνυν μιμούμε-
15 νος, τόν τε κύριόν μου τὸν τιμιώτατον Γερόντιον πρεσβύτερον, εἰ ῥᾷον σχοίη καὶ πρὸς καθαρὰν
ὑγίειαν ἐπανέλθοι, εὐθέως κατέπειξον τῆς ἐκεῖ ἅψασθαι ὁδοῦ. ''ἐπιθυμοῦμεν γὰρ αὐτὸν ἡ-
μεῖς καὶ ἐνταῦθα παραγενόμενον ἰδεῖν· ἀλλ' ἐπειδὴ καὶ ταχυτῆτος καὶ πολλῆς δεῖται τῆς ἀ-
γρυπνίας τὰ ἐκεῖσε πράγματα, ὥστε μὴ πολὺν ἐν τῇ ὁδῷ διατρῖψαι χρόνον, καὶ τὸν
χειμῶνα ἐπιστάντα ἀποκλεῖσαι'' αὐτῷ τὴν ὁδόν, παρακαλοῦμέν σου τὴν τιμιότητα αὐτόν τε
20 ῥαΐσαντα ἐπεῖξαι ἀπελθεῖν, τόν τε γλυκύτατον καὶ ποθεινότατον Ἰωάννην τὸν πρεσβύτερον
παρασκευάσαι συνεφάψασθαι τῆς ἀποδημίας αὐτῷ. οἶσθα γὰρ καὶ αὐτὸς ὅτι νῦν μάλι-
στα τὰ αὐτόθι πολλῶν δεῖται τῶν διορθωσομένων, ὅσῳ ἐπὶ μεῖζον'' ἦρται τὰ κακά. ταῦτ' οὖν
ἐννοῶν καὶ'' εἰδὼς ἡλίκον ἐστὶ σωτηρία ψυχῆς, καὶ οἷα κατώρθωταί σου τῇ τιμιότητι διὰ τῆς
ἔμπροσθεν σπουδῆς, πάντα ποίησαι καὶ διὰ σαυτοῦ, καὶ δι' ἑτέρων, ὧν ἂν οἷός τε ᾖς, παρακλή-
25 θητι, ὥστε τὰ διορθωθέντα μεῖναι ἀκίνητα, ἕτερά τε αὐτοῖς πολλῷ πλείονα γενέσθαι προσθή-
κην. αὐτὸς μέντοι τῶν ἐνταῦθα ἐλθόντων οὐκ ἔλαττον ἡμᾶς εὔφρανας. τῇ μὲν γὰρ γνώ-
μῃ καὶ παραγέγονας, καὶ τοῖς τῆς ἀγάπης σε ὀφθαλμοῖς καὶ μὴ παρόντα σωματικῶς ἡ-
μεῖς καθ' ἑκάστην ὁρῶμεν τὴν ἡμέραν, ἐπὶ τῆς διανοίας πανταχοῦ περιφέροντες. ἔσται δὲ
ἴσως καὶ ἡ κατ' ὄψιν* συντυχία, ὅταν ὁ καιρὸς ἐπιτρέπῃ· ὡς νῦν γε καὶ ἡμεῖς, καίτοι σφόδρα
30 ἐπιθυμοῦντες ἰδεῖν τὴν ἀγάπην σου καὶ περιπτύξασθαι, ἀναγκαῖον εἶναι νομίζομεν τὴν'' αὐ-
τόθι σου μονήν. εὖ γὰρ οἶδ', ὅτι οὐ παύσῃ πάντα ποιῶν καὶ πραγματευόμενος, ὥστε ἐμ-
πλῆσαι τὴν Φοινίκην γενναίων ἀνδρῶν, καὶ τούς τε ἐκεῖ μεμενηκότας στηρίζων ἐπὶ πλέον, ὥστε
μὴ ἀφέντας τὰ αὐτόθι ἐπανελθεῖν, τούς τε πλησίον ὄντας διαζητῶν, καὶ μετὰ πολλῆς ἐκπέμ-
πων τῆς προθυμίας, πᾶσί τε κέρδος γινόμενος μέγιστον, τοῖς τε ἐγγὺς, τοῖς τε μακρὰν, καὶ τὴν
35 τῶν ἀρωμάτων μιμούμενος φύσιν, ἅπερ οὐ τὸν τόπον μόνον τὸν ὑποδεχόμενον αὐτὰ, ἀλλὰ καὶ
τὸν ἀφεστηκότα ἀέρα πολλῆς ἐμπίπλησι τῆς εὐωδίας.

ρο. ΝΙΚΟΛΑῼ ΠΡΕΣΒΥΤΕΡῼ.

40 Καὶ τοῦτο τῆς γνησίας σου καὶ θερμῆς ἀγάπης, τὸ ἐκ τοσούτου καθήμενον διαστήματος προ-
τρέπειν ἡμῶν'' τῇ σωτηρίᾳ. πρότερον μὲν οὖν τόπους ἐκ τόπων ἀμείβοντες, ἐν αὐτῇ
τοῦ χειμῶνος τῇ ἀκμῇ, νῦν μὲν ἐν πόλεσι, νῦν δὲ ἐν φάραγξι καὶ νάπαις διατρίβομεν, ὑπὸ
τῆς τῶν Ἰσαύρων ἐφόδου πανταχόθεν ἐλαυνόμενοι. ὀψὲ δέ ποτε λωφησάντων μικρὸν τῶν
ἐνταῦθα'' κακῶν, τὰς ἐρημίας ἀφέντες, ἐπὶ τὴν Ἀραβισσὸν κατεδράμομεν, ἀσφαλέστερον

Marginalia: ἴσ. αὐτοῦ (l. 12); γρ. ἐπιθ. (l. 16); γρ. αὐτῷ (l. 19); γρ. ἦρθαι (l. 22); γρ. ἰδὼν (l. 23); * ἡμῶν (l. 29); γρ. ἐνταῦθα (l. 30); γρ. τῇ σωτηρίᾳ (l. 41); γρ. αἰσαρῶν (l. 44)

μετὰ τῶν ἄλλων χωρίων τὸ ἐν αὐτῇ φρούριον εὑρόντες (οὐδὲ γὰρ ἐν τῇ πόλει διάγομεν, ἐπειδήπερ οὐδὲ τοῦτο ἀσφαλές) δεσμωτηρίου δὲ παντὸς χαλεπώτερα ὑπομένοντες οἴκησιν. μετὰ γὰρ τοῦ καθ' ἑκάστην, ὡς εἰπεῖν, τὴν ἡμέραν ἐπὶ θύραις ἡμῖν εἶναι τὸν θάνατον, τῶν Ἰσαύρων πάντα ἐπιόντων, καὶ πυρὶ καὶ σιδήρῳ καὶ σώματα καὶ οἰκοδομήματα ἀφανιζόντων, καὶ λιμὸν δεδοίκαμεν, ὃν ἡ στενοχωρία, καὶ τὸ πλῆθος τῶν ἐνταῦθα συνδραμόντων ποιεῖν ἀπειλεῖ. καὶ ἀρρωστίαν δὲ μακρὰν τὴν ἀπὸ τοῦ χειμῶνος καὶ τῆς συνεχοῦς φυγῆς ἐγγενομένην ἡμῖν ὑπομείναντες, νῦν τὸ μὲν χαλεπὸν αὐτῆς διεκπεφεύγαμεν· ὀλίγα δὲ αὐτῆς περιφερόμεθα λείψανα. ἀλλ' ὅμως καὶ ἐν τοσούτοις ὄντες κακοῖς καὶ τηλικαύταις περιστάσεσι, μεγίστην καρπούμεθα τὴν παραμυθίαν ἐκ τῆς ὑμετέρας ἀγάπης τῆς θερμῆς, καὶ γνησίας, καὶ ἀπεριεργάστου. ταῦτ' οὖν εἰδότες, συνεχῶς ἡμῖν εὐαγγελίζεσθαι περὶ τῆς ὑγιείας τῆς ὑμετέρας μὴ κατοκνεῖτε. εἰ γὰρ καὶ ἐκ τοσούτου καθήμεθα διαστήματος, ἀλλ' ὅμως τῇ τῆς ἀγάπης ἀλύσει μετὰ πολλῆς ὑμῖν συνδεδέμεθα τῆς ἀκριβείας. χάριν δὲ ἔχω σου πολλὴν τῇ τιμιότητι, ὅτι καὶ τῶν ἐν Φοινίκῃ πραγμάτων, καὶ ἐν τοσαύταις ὢν ταραχαῖς, πολλὴν ποιεῖς σπουδήν. ἂν οὖν τι πλέον ἐκεῖθεν ἀπαγγελθείη, δηλῶσαι ἡμῖν μὴ κατοκνήσῃς. ἡμῖν γὰρ οὐδεὶς οὐδαμόθεν ταχέως ἐπιχωριάζειν ἀνέχεται, τῶν ὁδῶν πανταχόθεν τῶν ἐνταῦθα φερουσῶν ἀποτετειχισμένων. ἀλλ' ὅμως εἰ καὶ ἐργῶδες τὸ πέμπειν πρὸς ἡμᾶς, συνεχῶς, ἡνίκα ἂν ἐξῇ, τοῦτο ποίει, τά τε ἐκεῖθεν πάντα δηλῶν, καὶ περὶ τῆς ὑγιείας ὑμῶν γνωρίζων, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν.

ρα'. ΝΙΚΟΛΑΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐβουλόμην καὶ αὐτὸς καὶ σφόδρα ἐπεθύμουν καὶ ἰδεῖν σου τὴν ἐμμέλειαν καὶ περιπτύξασθαι· καὶ τοῦτο οἶσθα καὶ παρὰ τῶν ἡμετέρων γραμμάτων. φιλεῖν γὰρ εἰδὼς γνησίως, καὶ τοὺς γνησίως φιλοῦντας διαγινώσκειν ἐπίστασαι. ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, ὅπερ ἔνι ποιῶ, πέως γράφω, προσαγορεύω, γράμματα ἀπαιτῶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς ἡμῖν πυκνότερον δηλοῦντα. χαρίζου δὴ ταύτην ἡμῖν τὴν χάριν. εἰ γὰρ καὶ μὴ δεῖ σοι παρακλήσεως εἰς τοῦτο, οὐ παυσόμεθά σε ἀναμιμνήσκοντες ὑπὲρ τούτου. οὐ γὰρ μικρὰ παράκλησις ἡμῖν καὶ παραμυθία καὶ τῆς ἐρημίας καὶ τῶν φόβων τῶν καθημερινῶν τῶν ἀπὸ τῆς ἐφόδου γινομένων τῆς λῃστρικῆς, καὶ τῆς τοῦ σώματος ἀῤῥωστίας, καὶ τῶν ἄλλων περιστάσεων, τὸ μανθάνειν περὶ τῶν ἀγαπώντων ἡμᾶς ὑμῶν, ὅτι δὴ καὶ ἔῤῥωσθε καὶ ὑγιαίνετε καὶ κατὰ ῥοῦν ὑμῖν ἅπαντα φέρεται, κἂν μυρίους ἡμῖν λέγῃς χειμῶνας. πῶς καὶ τίνι τρόπῳ; ὅτι ἔνι τὸν γενναῖον καὶ ἐγρηγορότα καὶ νήφοντα, καὶ ἐν παρατεταμένῳ πραγμάτων πελάγει ἐξ οὐρίας πλεῖν, ὥσπερ οὖν καὶ τὸν ῥᾳθυμοῦντα καὶ ἀναπεπτωκότα καὶ κειμένων ὑπτίων, καὶ ἐν γαλήνῃ διαταράττεσθαι καὶ θορυβεῖσθαι.

ρβ'. ΟΝΗΣΙΚΡΑΤΙΑ.

Σφόδρα ἠλγήσαμεν καὶ ἡμεῖς, ἀκούσαντες περὶ τῆς μακαρίας θυγατρός σου. ἀλλ' ὅμως εἰδότες τὸ φιλόσοφόν σου τῆς διανοίας καὶ τὸ ὑψηλὸν τῆς γνώμης, πάνυ θαῤῥοῦμεν, ὡς ἀνωτέρα στήσῃ τῶν τοιούτων κυμάτων. μὴ λυπεῖσθαι μὲν γὰρ ἀμήχανον· παρακαλοῦμεν δὲ συμμέτρως τοῦτο ποιεῖν, εἰδυῖα τὸ ἐπίκηρον τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ὡς κοινὰ ταῦτα πᾶσι τὰ πάθη, καὶ ὡς φύσεως νόμος κοινός, καὶ τοῦ πάντων ἡμῶν δεσπότου Θεοῦ ἀπόφασις. οὐ γὰρ δὴ θάνατος

τοῦτο,

τοῦτο, ἀλλ᾽ ἀποδημία καὶ μετάστασις ἀπὸ τῶν χειρόνων πρὸς τὰ βελτίω. ταῦτ᾽ οὖν ἅπαντα λογιζομένη φέρε γενναίως τὸ συμβάν, καὶ εὐχαρίστει τῷ φιλανθρώπῳ Θεῷ. εἰ γὰρ καὶ χαλεπωτέρα ἡ πληγὴ γέγονε πρὸς τὸ νεαρὰν οὖσαν τὴν προτέραν καταλαβεῖν, ἀλλὰ καὶ λαμπρότερός σοι ὁ στέφανος τῆς ὑπομονῆς, καὶ μείζω τὰ βραβεῖα μετ᾽ εὐχαριστίας καὶ δοξολογίας φερούσῃ τὸ πάθος. ἵν᾽ οὖν καὶ ἡμεῖς μὴ σφόδρα ἀλγῶμεν, ἀλλ᾽ εἰδῶμεν σαφῶς, ὅτι γέγονέ σοί τι πλέον ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων, μὴ κατοκνήσῃς ἡμῖν γράψαι τοῦτο αὐτὸ δηλοῦσα, ὅτι σοι τῆς ἀθυμίας διεσκέδασται τὸ νέφος, καὶ τὸ πολὺ τῆς ὀδύνης τοῦ ἕλκους ὑποτέτμηται. εἰ γὰρ ταῦτα μάθοιμεν, οὐ παυσόμεθα νιφάδας ἐπιστολῶν πέμπειν σοι. καὶ γὰρ οὐχ ὡς ἔτυχεν ἀντεχόμεθά σου τῆς εὐγενείας, γνησίας ἀεὶ καὶ εἰλικρινοῦς καὶ τιμῆς καὶ αἰδοῦς καὶ ἀγάπης ἀπολαύσαντες παρὰ τῆς σῆς κοσμιότητος· ὧν συνεχῶς μεμνημένοι ἀκμάζουσαν τὴν περὶ σὲ διάθεσιν διατηροῦμεν, κἂν πρὸς αὐτὰς ἀφικώμεθα τῆς οἰκουμένης τὰς ἐσχατιάς.

ρογ΄. ΟΥΡΒΙΚΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰ καὶ πολὺν ἔχω χρόνον μὴ συγγενόμενός σου τῇ εὐλαβείᾳ, ἀλλ᾽ οὐδὲν ἐντεῦθεν ῥαθυμότερος περὶ τὸ φίλτρον γέγονα. τοιαύτη γὰρ τῆς γνησίας ἀγάπης ἡ φύσις· οὐ χρόνῳ μακρῷ μαραίνεται, οὐ δυσκολίᾳ πραγμάτων ἀμαυροῦται· ἀλλὰ μένει διηνεκῶς ἀκμάζουσα. διὸ δὴ καὶ ἡμεῖς καὶ ἐν πολλαῖς περιστάσεσι γινόμενοι, καὶ νῦν εἰς τὴν ἐσχάτην τῆς οἰκουμένης ἐρημίαν ἀπενεχθέντες, καὶ φόβῳ συζῶντες διηνεκεῖ τῷ τῶν λῃστῶν, καὶ πολιορκίᾳ καινῇ (καθ᾽ ἑκάστην γὰρ ἡμέραν ἡ Κουκουσὸς πολιορκεῖται, τὰς ὁδοὺς τῶν λῃστῶν ἀποτειχισάντων) οὐδὲν τούτων γεγόναμεν ῥαθυμότεροι περὶ τὴν εὐλάβειαν· ἀλλὰ καὶ γράφομεν, καὶ τὴν ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν, καί σε παρακαλοῦμεν, εἰ μὴ βαρὺ, μηδὲ ἐπαχθὲς, καὶ αὐτὸν ἡμῖν ἐπιστέλλειν. οὕτω γὰρ καὶ ἡδονὴν πολλὴν καρπωσόμεθα παρ᾽ ὑμῶν τῶν οὕτω γνησίως ἀγαπώντων ἡμᾶς δεχόμενοι γράμματα, καὶ διὰ τούτων τὴν παρουσίαν φανταζόμενοι τὴν ὑμετέραν.

ροδ΄. ΠΑΙΑΝΙΩ.

Σφόδρα με ἀνεπτέρωσας καὶ σκιρτᾷν ἐποίησας, ὅτι τὰ λυπηρὰ ἀπαγγείλας τούτοις ἐπέθηκας τὸ ῥῆμα, ὃ ἀεὶ πᾶσι τοῖς συμβαίνουσιν ἐπιλέγειν χρὴ, εἰπὼν, δόξα δὴ τῷ Θεῷ πάντων ἕνεκεν. τοῦτο τὸ ῥῆμα καιρία τῷ διαβόλῳ πληγὴ, τοῦτο μεγίστη τῷ λέγοντι ἐν παντὶ κινδύνῳ ἀσφαλείας καὶ ἡδονῆς ὑπόθεσις. ἅμα τε γάρ τις ἐφθέγξατο τοῦτο, καὶ σκεδάννυται εὐθέως τῆς ἀθυμίας τὸ νέφος. μὴ δὴ παύσῃ τοῦτο αὐτός τι λέγων, καὶ τοὺς ἄλλους παιδεύων. οὕτω καὶ ὁ χειμὼν ὁ καταλαβὼν, κἂν τραχύτερος γένηται, εἰς γαλήνην μεταστήσεται· οὕτω καὶ οἱ χειμαζόμενοι πλείονα καρπώσονται τὴν ἀμοιβὴν μετὰ τοῦ καὶ τῶν δεινῶν ἀπαλλαγῆναι. τοῦτο καὶ Ἰὼβ ἐστεφάνωσε, τοῦτο τὸ ῥῆμα καὶ διάβολον ἐτρέψατο καὶ ἐγκαλυψάμενον ἀναχωρῆσαι πεποίηκε, τοῦ θορύβου παντὸς ἀναίρεσις. φαίνε δὴ τοῦτο ἐπᾴδων τοῖς γινομένοις ἅπασι· τοῦ πάντων ἕνεκεν μηκέτι λοιπὸν μηδεὶς ἐνοχλείτω. εἰ γὰρ καὶ ἔρημον χωρίον ἡ Κουκουσὸς, ἀλλ᾽ ὅμως καὶ ἡσυχίας ἀπολαύομεν ἐνταῦθα, καὶ οὐ τὸ τυχὸν ἐκ τῆς ἀσθενείας τῆς κατὰ τὴν ὁδὸν γενομένης ἡμῖν διὰ τῆς οἴκοι καθέδρας τῆς διηνεκοῦς διορθῶσαι ἰσχύσαμεν. ἂν δὲ μέλλῃ τὸ πάλιν ἡμᾶς ἀναγκάζειν τόπους ἐκ τόπων ἀμείβειν, τὰ ἔσχατα πεισόμεθα, καὶ μάλιστα, τοῦ χειμῶνος ἐπὶ θύραις ὄντος. μηδενὶ τοί-

νων φορτικός, μηδεὶς μηδὲ ἐπαχθὴς γινέσθω ταύτης ἕνεκεν τῆς ὑποθέσεως· ἀλλὰ γράφε ἡμῖν συνεχῶς τὰ περὶ τῆς ὑγείας τῆς σῆς, καὶ τῆς διατριβῆς τῆς αὐτόθι, καὶ τῆς εὐδοκιμήσεώς σου, καὶ τῆς εὐθυμίας. οὐ γὰρ τὴν τυχοῦσαν καὶ ἐν ἐρημίᾳ τοιαύτῃ διατρίβοντες καρπωσόμεθα παράκλησιν, τοιαῦτα παρὰ τῆς σῆς θαυμασιότητος δεχόμενοι γράμματα.

ροε'. ΠΑΙΑΝΙΩ.

Χαλεπὰ τὰ γεγενημένα· ἀλλ' οὐχ ὑπὲρ τῶν παθόντων καὶ ἑστώτων γενναίως, ἀλλ' ὑπὲρ τῶν ποιησάντων θρηνεῖν ἀναγκαῖον. καθάπερ γὰρ τὰ δυσθάνατα τῶν θηρίων πολλῷ τῷ θυμῷ ταῖς αἰχμαῖς τῶν δοράτων ἐμπίπτοντα, πρὸς τὰ βαθύτερα τῶν σπλάγχνων ὠθοῦσι τὰ ξίφη· οὕτω δὴ καὶ οἱ τὰς παρανομίας ταύτας τολμῶντες, τὸ χαλεπὸν τῆς γεέννης πῦρ κατὰ τῆς ἑαυτῶν συνάγουσι κεφαλῆς. εἰ δὲ ἐγκαλλωπίζονται οἷς ποιοῦσι, καὶ διὰ τοῦτο μάλιστα εἰσὶ θρήνων καὶ πλειόνων ἄξιοι δακρύων, ὅτι καὶ ταῦτα πλάττοντες, καὶ τούτοις ἐγκαλλωπιζόμενοι, χαλεπωτέρας ἑαυτοῖς τὰς εὐθύνας κατασκευάζουσι. τούτους οὖν δεῖ θρηνεῖν διηνεκῶς· τοῖς δὲ πικρῶς οὕτω σφαττομένοις ὑπ' αὐτῶν συνήδεσθαι τῶν βραβείων, τῶν στεφάνων τῶν ἐν τοῖς οὐρανοῖς ἀποκειμένων, καὶ ταῦτα μεγίστην πείθεσθαι καὶ σαφεστάτην ἀπόδειξιν τῆς καιρίας τοῦ διαβόλου πληγῆς. εἰ γὰρ μὴ καιρίαν αὐτὴν ἐδέξατο, οὐκ ἂν τοσοῦτον ἔπνευσε διὰ τῶν πεπορθημένων αὐτῷ. ταῦτ' οὖν ἅπαντα ἐννοῶν, δέσποτά μου θαυμασιώτατε, μεγίστην δέχου παράκλησιν, καὶ γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγείας τῆς σῆς, καὶ τῆς διατριβῆς τῆς αὐτόθι, καὶ τῆς εὐδοκιμήσεώς σου καὶ τῆς εὐθυμίας. οὐ γὰρ τὴν τυχοῦσαν καὶ ἐν ἐρημίᾳ τοιαύτῃ διατρίβοντες καρπωσόμεθα τὴν παράκλησιν, τοιαῦτα παρὰ τῆς θαυμασιότητος δεχόμενοι γράμματα.

ροϛ'. ΠΑΙΑΝΙΩ.

Ὅταν ἐννοήσῃς, δέσποτά μου θαυμασιώτατε καὶ μέλιτος ἡμῖν γλυκύτερε, ὅτι βαρὺ καὶ ἐπαχθὲς τὸ κεχωρίσθαι ἡμῶν, λογιζόμενος οἷον πρᾶγμα μεταχειρίζεις, καὶ ὅτι πόλιν ὁλόκληρον κατορθοῖς, μᾶλλον δὲ οἰκουμένην ὁλόκληρον διὰ τῆς πόλεως ἐκείνης, σκίρτα καὶ εὐφραίνου. μετὰ γὰρ τῆς ὠφελείας πολλὴν ἔξεστί σοι καρποῦσθαι καὶ τὴν ἡδονήν. εἰ γὰρ χρήματά τινες συλλέγοντες, τά τε ἀπολλύμενα καὶ ἀπολλύοντα αὐτούς, τοσαύτης ἐμφοροῦνται εὐφροσύνης, καὶ οἰκιῶν καὶ γυναικὸς καὶ τέκνων καὶ πάντων τῶν προσηκόντων ἐπὶ πολὺ χωριζόμενοι χρόνον· τίς ἂν παραστήσειε λόγος τὴν ἡδονὴν τοῦ πλούτου, τῶν τοσούτων θησαυρῶν, ὧν καθ' ἑκάστην συνάγεις ἡμέραν καὶ φαινόμενος αὐτόθι μόνον; οὐ γὰρ δὴ κολακεύων σε ταῦτα λέγω (καὶ ἴσασιν οἱ καὶ ἀπόντος σου ταῦτα παρ' ἡμῶν ἀκούοντες ἐνταῦθα) ἀλλ' ἡδόμενος σφόδρα καὶ χαίρων καὶ πτερούμενος ὑπὸ τῆς εὐφροσύνης. ἀρκεῖς γὰρ καὶ φαινόμενος πολλοὺς ὀρθῶσαι τῶν αὐτόθι, στηρίξαι, ἀλεῖψαι, συγκροτῆσαι. οἶδα ἐγὼ τὸν ἀριστέα τὸν ἐμόν, οἶδά σου τὰς ἀνδραγαθίας τὰς αὐτόθι, τὸν ζῆλον, τὴν ἀγρυπνίαν, τοὺς δρόμους, τὸν πόνον τῆς ψυχῆς, τὴν παρρησίαν, τὴν ἐλευθερίαν, μεθ' ἧς καὶ ἐπισκόπων κατεξανίστασο, τοῦ καιροῦ τοῦτο ἀπαιτοῦντος, μετὰ τοῦ προσήκοντος μέντοι μέτρου. καὶ ἐθαύμαζόν σε ἐπ' ἐκείνοις· πολλῷ δὲ πλέον καὶ νῦν, ὅτι καὶ μηδενός σοι παραστάντος αὐτόθι, ἀλλὰ τῶν μὲν φευγόντων, τῶν δὲ ἐλαυνομένων, τῶν δὲ κρυπτομένων, μόνος ἕστηκας ἐπὶ τῆς παρατάξεως, τὸ μέτωπον αὐτῆς κατακοσμῶν, καὶ οὐδένα ἀφιεὶς γενέσθαι λειποτάκτην, ἀλλὰ καὶ τοὺς μετὰ τῶν ἐναντίων τεταγμένους τῇ ἐμμελείᾳ σου καθ' ἑκάστην ἡμέραν μεθιστάς. οὐ διὰ ταῦτα δὲ θαυμάζω μόνον, ἀλλ' ὅτι καὶ ἐν ἑνὶ ἱδρυμένος χωρίῳ τὴν οἰκουμένην ἅπασαν μεριμνᾷς, τὰ ἐν Παλαιστίνῃ, τὰ ἐν Φοινίκῃ, τὰ ἐν Κιλικίᾳ, ὧν καὶ μάλιστα φροντίζειν ὀφείλεις.

ὀφέλεις. Παλαιστινοὶ μὲν γὰρ, καὶ Φοίνικες, καθὼς ἔγνων σαφῶς, οὐκ ἐδέξαντο τῶν παρὰ τῶν ἐναντίων ἀποσταλέντα ἐκεῖ, οὐδὲ ἀποκρίσεως αὐτοὺς ἠξίωσαν· οὐδὲ αἰγῶν, ὡς ἔγνω, καὶ ὁ Ταρσοῦ μετ' ἐκείνων τάττονται. καὶ ὁ Γαβάλων ἐνταῦθα ἐδήλωσέ τινι τῶν ἡμετέρων φίλων, ὅτι ἀναγκάζουσιν αὐτοὺς οἱ ἀπὸ Κωνσταντινουπόλεως τῇ παρανομίᾳ αὐτῶν συνθέσθαι, καὶ τέως ἀντέχουσι. πολλῆς τοίνυν σοι δεῖ τῆς μερίμνης, πολλῆς τῆς ἀγρυπνίας, ὥστε καὶ τοῦτο διορθῶσαι τὸ μέρος, τῷ διασπότῃ μου γράψαντι τῷ αἰδεσιμωτάτῳ σου τῷ κυρίῳ τῷ ἐπισκόπῳ Θεοδώρῳ. τὰ κατὰ Φαρέτριον λυπηρὰ μὲν καὶ σφόδρα αἰσχρά· πλὴν ἀλλ' ἐπειδὴ οἱ πρεσβύτεροι αὐτοῦ οὔτε συνέτυχον τοῖς ἐναντίοις, ὥς φης, οὔτε αἱροῦνται αὐτοῖς κοινωνῆσαι, ἀλλ' ὡς λέγουσιν, ἔτι μεθ' ἡμῶν ἑστήκασι, μηδὲν τούτων κοινωνήσῃς πρὸς αὐτούς, ἐπεὶ ἃ ἐποίησεν εἰς ἡμᾶς ὁ Φαρέτριος, οὐδεμίαν ἔχει συγγνώμην. ὁ μέντοι κλῆρος αὐτοῦ πᾶς καὶ ἤλγει καὶ ὠδύρετο καὶ ἐθρήνει καὶ μεθ' ἡμῶν ὅλος ἦν τῇ γνώμῃ. ἀλλ' ἵνα μὴ τούτους ποιήσωμεν ἀποπηδῆσαι καὶ τραχυτέρους ἐργασώμεθα, μαθὼν ἅπαντα παρὰ τῶν ἐπιστείλαντων, παρὰ σαυτῷ κάτεχε, καὶ μετὰ πολλῆς ἡμερότητος αὐτοῖς προσφέρου (οἶδα γάρ σου τὸ οἰκονομικόν) καὶ λέγε ὅτι καὶ ἡμεῖς ἠκούσαμεν, ὅτι σφόδρα ἤλγησεν ἐπὶ τοῖς γινομένοις, καὶ ὅτι ἕτοιμος ἦν πάντα παθεῖν ὑπὲρ τοῦ διορθῶσαι πάντα τὰ κακῶς τολμηθέντα. τὸ σῶμα ἡμῖν ἐν ὑγείᾳ πολλῇ, καὶ τὰ λείψανα τῆς ἀρρωστίας ἀπεθέμεθα. ὅταν δὲ ἐννοήσωμεν ὅση σοι καὶ τούτου φροντὶς, οὐ μικρὰ καὶ τοῦτο ὑγείας ἡμῖν ὑπόθεσις γίνεται, ὅτι οὕτω σφοδρὸν ἐραστὴν ἔχομεν. ὁ Θεός σοι τῆς τοιαύτης σπουδῆς, τῆς ἀγάπης, τοῦ ζήλου, τῆς ἀγρυπνίας δῴη τὸν μισθὸν καὶ ἐν τῷ παρόντι βίῳ, καὶ τῷ μέλλοντι αἰῶνι, καὶ τειχίσειε καὶ φρουρήσειέ σε καὶ ἀσφαλίσαιτο καὶ καταξιώσειε τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν. δοίη δὲ καὶ ἡμῖν ταχέως ἰδεῖν σου τὸ ποθεινὸν πρόσωπον, ἀπολαῦσαί σου τῆς γλυκείας ψυχῆς, καὶ τὴν καλλίστην ταύτην ἑορτὴν ἀγαγεῖν. οἶσθα γὰρ ὅτι καὶ ἑορτὴ ἡμῖν καὶ πανήγυρις, τὸ καταξιωθῆναι τῆς ἡδίστης καὶ πολλῶν ἀγαθῶν γεμούσης συνουσίας σου [καὶ ταύτης] ἀπολαῦσαι πάλιν.

Marg.: γ. ὑπασάλην — γ. ἐστὶ

ρϛ´. ΠΑΙΑΝΙΩ.

Ἀνεπνεύσαμεν, ἐσκιρτήσαμεν, οὐκέτι ἀλλοτρίαν, οὐδὲ ξένην οἰκεῖν ἡγούμεθα, τῆς σῆς θαυμασιότητος πρὸς τὴν πιαῦτα πάσχουσαν ἐπιδημησάσης πόλιν. ποίει δὲ ἡμῖν τὴν τοσαύτην ἡδονὴν οὐ τό σε πλείονος ἀπολελαυκέναι τιμῆς. ἡ γὰρ σὴ τιμὴ, τῆς ψυχῆς σου ἐστὶν ἡ ἀρετὴ, καὶ οὔτε ἔμπροσθέν σέ τις αὐτὴν ἀφελέσθαι ἴσχυσεν, οὔτε νῦν ἀποδέδωκε. πῶς γὰρ τὴν μὴ ἀφαιρεθεῖσαν; σκιρτῶμεν δὲ ὅτι μεγίστη παράκλησις τοῖς ἐλαυνομένοις, τοῖς σφαττομένοις, τοῖς δεδιωγμένοις εἰς τὴν πόλιν ἐκείνην εἰσελήλυθας, κοινὸν ὄφελος, καὶ λιμὴν εὐρύτατος τούτων ἁπάντων γενόμενος. καὶ γὰρ οἶσθα κερδαίνειν ἃ κερδαίνειν χρή. γράφε δὴ λοιπὸν ἡμῖν τῶν κατορθωμάτων σου τὸ μέγεθος, καὶ λέγε σαφῶς πόσους κειμένους ἀνέστησας, πόσους καταπεπτωκότας ἀνώρθωσας, τίνας σαλευομένους ἐστήριξας, τίσι πεπονηκόσιν ἐν τῷ μακρῷ τούτῳ πολέμῳ παρέστης, τίνας ῥαθυμοῦντας σπουδαίους ἐποίησας, τίνας σπουδαίους ὄντας σπουδαιοτέρους εἰργάσω, καὶ πάντα ἁπλῶς καθ' ἕκαστον τὰ ἐπὶ τῆς παρατάξεως σου ταύτης ἀνδραγαθήματα. οἶδα μὲν γὰρ ταῦτα καὶ πρὸ τῶν γραμμάτων τῶν σῶν, ἐπειδὴ καὶ τὴν ψυχὴν οἶδα τὴν σὴν, καὶ τὸν γενναῖον ἀθλητὴν, καὶ τὸν θαυμαστὸν ἀριστέα. ἀλλ' ὅμως βούλομαι καὶ παρὰ τῆς ποθεινοτάτης μοι γλώττης ταῦτα μανθάνειν. δίδου δὴ ταύτην ἡμῖν τὴν αἴτησιν. οἶσθα γὰρ ἡλίκην ἡμῖν χαριῇ χάριν τοῦτο ποιῶν.

Marg.: * ἐπίσκοπος

ρζ´. ΠΑΛΛΑΔΙΩ ΕΠΙΣΚΟΠΩ*.

Ὑπὲρ μὲν τῶν καθ' ἡμᾶς αὐτοὺς οὐδὲν δεόμεθα παρακλήσεως (ἀρκεῖ γὰρ ἡμῖν εἰς παράκλησιν ἡ τῶν γεγενημένων ὑπόθεσις), θρηνοῦμεν δὲ τὸ κοινὸν τῶν ἐκκλησιῶν χειμῶ-

να, καὶ τὸ τὴν οἰκουμένην καταλαβὸν ναυάγιον· καὶ πάντας ὑμᾶς παρακαλοῦμεν εὐχαῖς βοηθεῖν, ὥστε τὴν πανωλεθρίαν ταύτην λυθῆναί ποτε, καὶ εἰς λευκὴν ἅπαντα μεταβαλεῖν γαλήνην. τοῦτο δὲ ποιοῦντες μὴ διαλίπητε. λανθάνοντες γὰρ καὶ κρυπτόμενοι, πλείονα σχολὴν ἔχετε νῦν προσκαρτερεῖν ταῖς εὐχαῖς καὶ μετὰ θλιβομένης διανοίας. οὐ μικρὸν δὲ τοῦτο τῷ φιλανθρώπῳ Θεῷ προσαπτειν. μὴ διαλίπητε οὖν τοῦτο ποιοῦντες, ἡνίκα ἂν δόξῃ, καὶ γράφετε ἡμῖν συνεχῶς. εἰ γὰρ καὶ πολλῷ τῷ μήκει τῆς ἐρημίας ὑμῶν ἀπῳκίσθημεν, ἀλλ' οὐ παυόμεθα καθ' ἑκάστην ἡμέραν μεριμνῶντες τὰ ὑμέτερα, καὶ τοὺς ἐκεῖθεν ἀφικνουμένους, εἰ καὶ τούτων σπανιάκις ἐπιτυγχάνομεν, ἐρωτῶντες καὶ περιεργαζόμενοι. ἵν' οὖν σαφέστερον πάντα εἰδότες ὦμεν, ὅταν ἐγχωρῇ, παρέχετε ταύτην ἡμῖν τὴν χάριν, περὶ τῆς ὑγιείας τῆς ὑμετέρας εὐαγγελιζόμενοι ἡμᾶς· ἵνα καὶ ἐν ἐρημίᾳ διατρίβοντες, πολλὴν καρπωσώμεθα τὴν παράκλησιν.

ροθ. ΠΕΛΑΓΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Οἶδά σου τὸ ὡραῖον, τὸ ἐπιεικὲς, τὸ χρηστὸν, τὸ γλυκὺ, τὸ θερμὸν τῆς ἀγάπης, τὸ γνήσιον τῆς διαθέσεως τῆς περὶ ἡμᾶς. διὸ καὶ προσαγορεύω σου τὴν τιμιότητα μετὰ πολλῆς τῆς προθυμίας, καὶ δῆλον ποιῶ, ὅτι ὅπουπερ ἂν ὦ, ἐπὶ διανοίας σε περιφέρω. παρακαλῶ τοίνυν ἵνα καὶ ἑτέραν δεχώμεθα τὴν εὐφροσύνην, μὴ μόνον ἀπὸ τοῦ γράφειν, ἀλλὰ καὶ ἀπὸ τοῦ μανθάνειν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς, δήλου ἡμῖν ταῦτα συνεχῶς. κἂν γὰρ εἰς χαλεπωτέραν ταύτης ἐρημίαν ἀπενεχθῶμεν, δεχόμενοι τοιαῦτα παρὰ ὑμῶν τῶν ἀγαπώντων ἡμᾶς γράμματα, πολλῆς ἀπολαυσόμεθα τῆς εὐφροσύνης.

ρπ. ΠΕΝΤΑΔΙΑ ΔΙΑΚΟΝΩ.

Ἐγώ σου τὴν ἀγάπην, ἣν περὶ ἡμᾶς ἔχεις, ᾔδειν μὲν καὶ ἔμπροσθεν δι' αὐτῶν μαθὼν τῶν πραγμάτων· ἔμαθον δὲ σαφέστερον νῦν, ἐξ ὧν ἐπέσταλκας ἡμῖν. καὶ διὰ τοῦτο μάλιστά σε θαυμάζομεν, οὐ διὰ τὸ γράψαι μόνον, ἀλλὰ καὶ διὰ τὸ ἀπαγγεῖλαι ἡμῖν πάντα τὰ γεγενημένα. τοῦτο γὰρ καὶ θαρρούσης ἡμῖν καὶ μεριμνώσης ἐστὶ τὰ ἡμέτερα. διὰ ταῦτα σκιρτῶμεν, χαίρομεν, εὐφραινόμεθα, μεγίστην παράκλησιν καὶ ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι τὴν ἀνδρείαν ἔχομεν τὴν σὴν, τὴν ἔνστασιν, τὴν ἀπερίτρεπτον γνώμην, τὴν σύνεσιν τὴν πολλὴν, τὴν ἐλευθεροστομίαν, τὴν παρρησίαν τὴν ὑψηλὴν, δι' ἧς κατῄσχυνας μὲν τοὺς ὑπεναντίους, καιρίαν δὲ δέδωκας τῷ διαβόλῳ πληγὴν, ἤλειψας δὲ τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγωνιζομένους, καθάπερ ἀριστεύς τις γενναῖος ἐν πολέμῳ τρόπαιον στήσασα λαμπρὸν, καὶ νίκην ἀραμένη φαιδράν. καὶ ἡμᾶς δὲ τοσαύτης ἐνέπλησας ἡδονῆς, ὡς νομίζειν μήτε ἐν ἀλλοτρίᾳ εἶναι, μήτε ἐν ξένῃ γῇ, μήτε ἐν ἐρημίᾳ, ἀλλ' ἐκεῖσε παρεῖναι καὶ μεθ' ὑμῶν εἶναι, καὶ ἐντρυφᾶν σου τῇ τῆς ψυχῆς ἀρετῇ. χαῖρε τοίνυν καὶ εὐφραίνου τοιαύτην ἀραμένη νίκην, καὶ τοιούτους οὕτως εὐκόλως ἐπιστομίσασα θῆρας, καὶ τὰς ἀναισχύντους αὐτῶν ἐμφράξασα γλώττας, καὶ λυττῶντα ἀποῤῥάψασα στόματα. τοιοῦτον γὰρ ἡ ἀλήθεια, μεθ' ἧς ἠγωνίσω, καὶ ὑπὲρ ἧς ἐσφάγης πολλάκις· ἐν βραχέσι ῥήμασι κρατεῖ τῶν συκοφαντούντων· ὥσπερ οὖν τὸ ψεῦδος, κἂν μυρίους περιβάλληται λόγων διαύλους, διαῤῥεῖ καὶ καταπίπτει ῥᾳδίως, καὶ ἀράχνης ἐστὶν ἀσθενέστερον. χαῖρε τοίνυν καὶ εὐφραίνου. οὐ γὰρ παύσομαι συνεχῶς ταῦτα λέγων τὰ ῥήματα, ἀνδρίζου καὶ κραταιοῦ καὶ καταγέλα πάσης ἐπαγομένης σοι παρ' αὐτῶν ἐπιβουλῆς. ὅσῳ γὰρ ἂν χαλεπώτερον ἀγριαίνωσι, τοσούτῳ βαθυτέρας καθ' ἑαυτῶν τὰς ἴλιγγας ἐπιφέρουσι· σὲ μὲν οὐδὲ μικρὸν ἀδικοῦντες, ὥσπερ οὐδὲ τὴν πέτραν τὰ κύματα, ἑαυτοὺς

δὲ

δὲ διαλύοντες καὶ ἀσθενεστέρους ποιοῦντες, καὶ ὑπερβαλλούσαις καθ' ἑαυτὴν σωρεύοντες τὰς τιμω-
ρίας. μηδὲν τοίνυν δεδίτω τῶν ἀπειλουμένων, κἂν τοὺς ὀδόντας βρύχωσι, κἂν θυμῷ πολλῷ
μεθύωσι, κἂν φόνον βλέπωσιν, εἰς ἀγριότητα θηρίων ὑπὸ τῆς πονηρίας ἐκπεσόντες. ὁ
γὰρ μέχρι σήμερον ἐξαρπάσας σε τῶν ποικίλων αὐτῶν καὶ διαφόρων ἐπιβουλῶν, οὗτος σε
καὶ εἰς τὸ μέλλον ἀνδριζομένην ἐν ἀσφαλείᾳ καταστήσει πολλῇ· καὶ ἐρεῖς καὶ αὐτή, βέλος
νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν, καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν· ὅπερ καὶ
γέγονε καὶ ἔσται, ὥστε καὶ σε μείζονα καρπώσασθαι τὸν μισθόν, καὶ λαμπροτέρους στεφάνους
λαβεῖν, ἐκείνους τε ἀμετανόητα νοσοῦντας μείζονι παραδοθῆναι κολάσει. τί γὰρ ἐνέλι-
πον ἐπιβουλῆς; ποῖον τρόπον μηχανημάτων οὐκ ἐκίνησαν, ἐπιχειροῦντες ἐπισυλεύειν τῇ
στερρᾷ σου καὶ γενναιοτάτῃ ψυχῇ; κατήγαγον εἰς ἀγορὰν τὴν ἐκκλησίαν καὶ θαλάμου πλέον
εἰδυῖαν οὐδέν· ἀπ' ἀγορᾶς εἰς δικαστήριον, ἀπὸ δικαστηρίου εἰς δεσμωτήριον· ψευδο-
μαρτύρων ἠκόνησαν γλώσσας, συκοφαντίαν ἔρραψαν ἀναίσχυντον, φόνους εἰργάσαντο, καὶ
χειμάρρους αἱμάτων ῥεῖσθαι ἐποίησαν, καὶ πυρὶ καὶ σιδήρῳ σώματα νέων ἀνάλωσαν, ἄνδρας το-
σούτους καὶ τοιούτους πληγαῖς, αἰκισμοῖς, μυρίαις τιμωρίαις περιέβαλον· πάντα ἐκίνησαν, ἵνα
δυνηθῶσιν ἀναγκάσαι σε καὶ βιάσασθαι τῷ φόβῳ εἰπεῖν τὰ ἐναντία ὧν ᾔδεις· καὶ καθάπερ
ἀετὸς ὑψηλὰ πετόμενος, οὕτω διαρρήξασα αὐτῶν τὰ δίκτυα, πρὸς τὸ σοὶ πρέπον τῆς ἐλευ-
θερίας ἀνέβης ὕψος, οὐ παραλογισθεῖσα παρ' αὐτῶν, ἀλλὰ καὶ συκοφάντας αὐτοὺς ἀποφήνα-
σα ἐπὶ τῷ ἐγκλήματι τούτῳ τοῦ ἐμπρησμοῦ, ἐφ' ᾧ μάλιστα ἐδόκουν μεγαφρονεῖν οἱ ἄ-
θλιοι καὶ ταλαίπωροι. ἐννόησον τοίνυν τὰ παρελθόντα ἅπαντα, πόσα κύματα, καὶ χειμῶνα σοι
οὐκ εἰργάσατο· πόσην ζάλην, καὶ κλυδώνιον οὐκ ἐποίησεν, ἀλλ' ἐν μέσῃ μαινομένῃ θαλάτ-
τῃ μετὰ γαλήνης ἔπλευσας, προσδόκα ταχέως καὶ τὸν λιμένα μετὰ πολλῶν τῶν στεφάνων.
ἐπεὶ δὲ καὶ περὶ ἡμῶν βούλει μανθάνειν, ζῶμεν, ὑγιαίνομεν, πάσης ἀπηλλάγμεθα ἀρρωστίας.
εἰ δὲ καὶ ἠρρωστοῦμεν, ἱκανὸν ἡμῖν φάρμακον εἰς ὑγίειαν τῆς σῆς εὐλαβείας ἡ ἀγάπη ἡ γνησία
καὶ θερμὴ καὶ στερρὰ καὶ ἀπερίτρεπτος. ἐπεὶ οὖν οὐ τὴν τυχοῦσαν ἡμῖν εὐφροσύνην φέρει τὸ συν-
εχῶς μανθάνειν τὰ περὶ τῆς ῥώσεώς σου καὶ τῆς ἀσφαλείας ἁπάσης, παρακαλοῦμεν, ὃ καὶ χω-
ρὶς παρακλήσεως εἴωθας ποιεῖν, συνεχέστερον ἡμῖν ἐπιστέλλειν τὰ περὶ τῆς ὑγείας σου καὶ τοῦ
οἴκου σου παντὸς καὶ τῶν προσηκόντων σοι. οἶδα γὰρ ὅπως καὶ σε καὶ τὸν εὐλογημένον σου
οἶκον πάντα μεριμνῶσαν.

(γ. κλόνοι)

ρπα. ΠΕΝΤΑΔΙΑ ΔΙΑΚΟΝΩ.

Μακρὰν ἐσίγησας σιγήν, καίτοι πολλῶν ὄντων τῶν ἐκεῖθεν ἀφικνουμένων πρὸς ἡμᾶς.
τί ποτ' οὖν ἂν εἴη τὸ αἴτιον; τῶν πραγμάτων ὁ θόρυβος; ἄπαγε. τοῦτο οὐκ ἂν εἴ-
ποιμι. οἶδα γάρ σου τὴν μεγάλην καὶ ὑψηλὴν ψυχήν, τὴν καὶ ἐν πολλοῖς κλυδωνίοις δυνα-
μένην ἐξ οὐρίας πλεῖν, καὶ ἐν μέσοις κύμασι γαλήνης ἀπολαύειν λευκῆς. καὶ τοῦτο δι' αὐτῶν
τῶν πραγμάτων ἔδειξας, καὶ πρὸς αὐτὰς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἦλθεν ἡ φήμη
τὰ σὰ φέρουσα κατορθώματα, καὶ πάντες ἀνακηρύττουσιν, ὅτι καὶ ἐν ἑνὶ χωρίῳ ἱδρυμένη, καὶ
τοὺς πόρρωθεν ὄντας διὰ τῆς εὐλαβείας τῆς σῆς διεγείρεις, καὶ προθυμοτέρους ποιεῖς. τίς
οὖν αἰτία τῆς σιγῆς; ἐγὼ μὲν εἰπεῖν οὐκ ἔχω· παρακαλῶ δέ σε τὴν ἐμμέλειαν διὰ τοῦ γράμ-
ματα ἐγχειρίζοντός σου τῇ εὐλαβείᾳ, δι' αὐτοῦ δηλῶσαι ἡμῖν τὰ περὶ τῆς ὑγείας τῆς σῆς
καὶ τῆς εὐθυμίας καὶ τῆς ἀσφαλείας καί σου καὶ τοῦ οἴκου σου παντός· ἵνα καὶ ἐκ τοσούτου κα-
θήμενοι διαστήματος, καὶ ἐν οὕτω χαλεπωτάτῃ ἐρημίᾳ διατρίβοντες, πολλὴν ἀπὸ τῶν
τοιούτων γραμμάτων καρπωσώμεθα τὴν παράκλησιν.

ρϙβ. ΠΕΝΤΑΔΙΑ ΔΙΑΚΟΝῼ.

Τῶν μὲν στεφάνων σε μακαρίζω, οὓς ἀνεδήσω καὶ νῦν διὰ τῆς ἀνδρείας, πολλάκις ἑλομένη παθεῖν ὑπὲρ τῆς ἀληθείας. διὰ τοῦτο καὶ τὸν Θεὸν ὑπερασπίζοντά σου ἔχεις μετὰ πολλῆς τῆς σφοδρότητος. Ἕως γὰρ θανάτου, φησὶν, ἀγώνισαι ὑπὲρ τῆς ἀληθείας, καὶ ὁ Κύριος πολεμήσει ὑπὲρ σοῦ, ὅπερ καὶ γέγονε. μέχρι γὰρ τοσούτου δραμοῦσα τὸν καλὸν τοῦτον ἀγῶνα, πολλὰ ἄνωθεν ἐπεσπάσω τὰ βραβεῖα. τούτου μὲν οὖν ἕνεκεν χαίρω. ἐπειδὴ δὲ ἔγνων ὅτι βουλεύει περὶ ἀποδημίας, καὶ μεταστῆναι ἐκεῖθεν βούλει, παρακαλῶ σου τὴν τιμιότητα μηδὲν τοιοῦτον ἐννοῆσαι, μηδὲ βουλεύσασθαι· πρῶτον μὲν δι' αὐτὸ τοῦτο, ὅτι σὺ στήριγμα τῆς πόλεως εἶ τῆς αὐτόθι, καὶ λιμὴν ὕρμος, καὶ βακτηρία, καὶ τεῖχος ἀσφαλὲς τοῖς καταπονουμένοις. μηδὲ τοσαύτην ἀπὸ τῶν χειρῶν ἐμποιεῖν ῥίψεις. μηδὲ τοσοῦτον περιέλῃ κέρδος, τοσούτους καθ' ἑκάστην ἡμέραν συνάγουσα θησαυροὺς ἀπὸ τῆς προεδρίας τῆς αὐτόθι. οἵ τε γὰρ ὁρῶντες, οἵ τε ἀκούοντές σου τὰ κατορθώματα οὐ μικρὰ κερδαίνουσιν. οἶσθα δὲ ἡλίκον τοῦτο φέρει σοι τὸν μισθόν. πρῶτον μὲν, ὅπερ ἔφην, διὰ τοῦτο παρακαλοῦμεν αὐτόθι μένειν. καὶ γὰρ ποτίζειν οὐ μικρὰν δέδωκας τῆς ὠφελείας, ἣν παρέχεις διὰ τῆς αὐτόθι παραμονῆς. ἔπειτα δὲ οὐδὲ ἡ τοῦ ἔτους ὥρα ἐπιτρέπει τοῦτο. οἶσθα γάρ σου τοῦ σώματος τὴν ἀσθένειαν, καὶ πῶς οὐ ῥᾴδιόν σοι κινεῖσθαι ἐν κρυμῷ τοσούτῳ καὶ χειμῶνι. πρὸς τούτοις, ὡς ἀκούομεν, καὶ τὰ Ἰσαυρικὰ ἀνθεῖ. πάντα τοίνυν ταῦτα λογισαμένη, ὡς συνετὴ, μηδαμοῦ τέως κινεῖσθαι καταδέχου, καὶ περὶ τούτου γράψαι ἡμῖν διὰ ταχέων παρακλήθητι, καὶ περὶ τῆς ὑγιείας συνεχῶς δήλου τῆς σῆς. ἐπεὶ καὶ νῦν ἠλγήσαμεν μὴ δεξάμενοι γράμματά σου τῆς τιμιότητος, καὶ ἐν φροντίδι καθεστήκαμεν μήποτε ἀῤῥωστία τοῦτο διεκώλυσεν. ἵν' οὖν καὶ ταύτην ἀνέλκῃς ἡμῶν τὴν φροντίδα, ταχέως ἡμῖν πέμψον ἐπιστολὴν ταῦτα δηλοῦσαν.

Σειρ. δ. λα.

ρϙγ. ΠΟΛΥΒΙῼ.

Ἄλλοις μὲν ἀνυπόφορος ἦν ἀφόρητος ὁ κρυμὸς ὢν ἐνταῦθα, τὴν πολλὴν ἐρημίαν τοῦ χωρίου, τὴν χαλεπωτάτην ἀῤῥωστίαν (καὶ γὰρ καὶ ἀῤῥωστίᾳ ἐνταῦθα περιπεπτώκαμεν) ἀποδύρεται ἂν καὶ ἐθρήνησεν· ἐγὼ δὲ ταῦτα ἀφεὶς, τὸν χωρισμὸν ὀλοφύρομαι τὸν ὑμέτερον, ὃ καὶ ἐρημίας καὶ νόσου καὶ χειμῶνος βαρύτερον ἐμοὶ, καὶ νῦν αὐτὸς χαλεπώτερον, ἢ πρότερον, ἐποίησεν ὁ χειμών. καὶ γὰρ ἣν μόνην εἶχον παραμυθίαν τοῦ πικροτάτου τούτου χωρισμοῦ, τὸ διὰ γραμμάτων ὑμῖν ὁμιλεῖν, καὶ ταύτην ἐπελθὼν ἡμᾶς ἀφείλετο, τὰς ὁδοὺς ἀποκλείσας τῇ πολλῇ τῆς χιόνος φορᾷ, καὶ οὔτε ἐξ ὑμῶν παραγίνεσθαι καὶ συγγίνεσθαι ἡμῖν, οὔτε ἐντεῦθεν αἰας τινὰς καὶ ἀποδημῆσαι πρὸς ὑμᾶς ἀφείς. καὶ νῦν δὲ οὐκ ἔλαττον τῶν Ἰσαύρων ὁ φόβος, ἀλλὰ καὶ πολλῷ πλέον τὸ αὐτὸ δὴ τοῦτο ποιεῖ, τὴν ἐρημίαν ἐπιτείνων, πάντας ἐλαύνων, φυγάδας, μετανάστας ποιῶν. οὐδεὶς γὰρ οἴκοι λοιπὸν μένειν ἀνέχεται, ἀλλ' ἕκαστος τὴν ἑαυτοῦ ἀπολιπὼν ἀποπηδᾷ· καὶ αἱ μὲν πόλεις εἰσὶ λοιπὸν τοῖχοι καὶ ὄροφοι, αἱ δὲ φάραγγες καὶ αἱ νάπαι πόλεις. καὶ καθάπερ τὰ ἄγρια τῶν θηρίων, παρδάλεις καὶ λέοντες, τὴν ἔρημον τῶν οἰκουμένων πόλεων ἀσφαλεστέραν αὐτοῖς εἶναι νομίζει· οὕτω δὴ καὶ νῦν τὴν Ἀρμενίαν οἰκοῦντες ἄνθρωποι· καὶ καθ' ἑκάστην ἡμέραν τόπους ἐκ τόπων ἀναγκαζόμεθα μεταπηδᾷν, Ἁμαξοβίων καὶ Νομάδων τινῶν βίον ζῶντες, καὶ οὐδαμοῦ στῆναι θαῤῥοῦντες. οὕτω πάντα τὰ ἐνταῦθα θορύβων γέμει καὶ ταραχῆς. καὶ τοὺς μὲν τῇ προεδρίᾳ σφάττουσι, καίουσι, δούλους ἀντ' ἐλευθέρων ποιοῦσι· τοὺς δὲ τῇ φήμῃ δραπέτας ἐργάζονται, καὶ ἀπόλιδας, μᾶλλον δὲ καὶ ἀναιροῦσιν. ὅσοι γὰρ νέοι κομιδῇ, ἐν μέσῃ νυκτὶ πολλάκις καὶ κρυμῷ πάντα πηγνῦντι, ἀθρόον

γρ. κρυμόν

γρ. ἐξόντι

γρ. καταπνεῖ

τῆς οἰκίας ἐκπηδῆσαι ἠναγκάσθησαν, ὥσπερ τινὸς καπνοῦ, τοῦ φόβου τῆς φήμης αὐτοὺς ἐλαύνοντος. οὐκ ἐδεήθησαν μαχαίρας Ἰσαυρικῆς εἰς τὸ καταλῦσαι τὸν βίον, ἀλλ' ἐν τῇ χιόνι παγέντες οὕτως ἀπέπνευσαν· καὶ γέγονεν αὐτοῖς τῆς τοῦ θανάτου φυγῆς ἡ πρόφασις, θανάτου πρόφασις χαλεπωτάτη. ἐν τούτοις τὰ ἡμέτερα. καὶ ταῦτα εἰρήκαμεν, οὐχ ἵνα σε λυπήσωμεν (εὖ γὰρ οἶδ' ὅτι καθάπτεταί σου τὰ εἰρημένα) ἀλλ' ἵνα τὴν αἰτίαν εἴπωμεν τῆς μακρᾶς ταύτης σιγῆς, καὶ τί δήποτε ὀψὲ καὶ βραδέως ἐπεστάλκαμεν. οὕτω γὰρ πάντες ἡμᾶς ἀπέλιπον, ὡς μηδὲ εὑρεῖν τινα τῶν ἐκεῖσε ἀφικνουμένων, ἀλλὰ ἀναγκασθῆναι τὸν συνόντα ἡμῖν πρεσβύτερον ἀναστῆσαί τε ἐντεῦθεν, καὶ πέμψαι πρὸς τὴν ἡμετέραν θαυμασιότητα. δεξάμενος τοίνυν αὐτόν, ὥς σοι πρέπον, ταχέως ἡμῖν ἔκπεμψον εὐαγγελιζόμενον τὴν ὑγίειαν τῆς σῆς ἐμμελείας. οἶσθα γὰρ ὅπως ἡμῖν περισπούδαστον τοῦτο μανθάνειν.

ρπδ'. ΠΟΛΥΒΙΩ.

ΤΟῦ μὲν ἐδάφους καὶ τῶν τοίχων τῆς πόλεως ἐκβεβλήμεθα, τῆς δὲ κυρίως πόλεως οὐ μετῳκίσθημεν. εἰ γὰρ ὑμεῖς ἡ πόλις, μεθ' ὑμῶν δὲ ἡμεῖς ἀεὶ καὶ ἐν ὑμῖν, εὔδηλον ὅτι καὶ ἐνταῦθα διάγοντες, τὴν πόλιν οἰκοῦμεν ἐκείνην. καὶ γὰρ ἐνδιαιτώμεθα ὑμῶν ταῖς ψυχαῖς, εὖ οἶδ' ὅτι, καὶ ὅπουπερ ἂν ἀπίωμεν, πανταχοῦ ὑμᾶς τοὺς σφοδροὺς ἡμῶν ἐραστὰς ἐπὶ διανοίας περιφέροντες ἄπιμεν. τοῦτο ἡμᾶς οὔτε τὴν ἐρημίαν τοῦ χωρίου τούτου (καὶ γὰρ πάσης τῆς οἰκουμένης ἐστὶν ἐρημότατον) οὔτε τὴν πολιορκίαν τῶν λῃστῶν (καὶ γὰρ καθ' ἑκάστην πολιορκεῖται τὴν ἡμέραν) οὔτε τὸν ἐντεῦθεν τικτόμενον λιμὸν ἀφίησιν ὁρᾶν· ἐπειδὴ τὸ μὲν σῶμα ἡμῖν ἐνταῦθα ἵδρυται, ἡ δὲ ψυχὴ παρ' ὑμῖν διηνεκῶς. ἀλλ' ἐπειδὴ τοῖς οὕτω διακειμένοις ποθεινὴ σφόδρα καὶ περισπούδαστος καὶ ἡ σωματικὴ παρουσία, καὶ λυπεῖ μὴ γινομένη, τοῦτο δὲ πῶς λύεσθαι οὐκ ἔνι, ἔνι δὲ αὐτῇ φάρμακον μέγιστον, ἡ διὰ τῶν γραμμάτων συνουσία, παρέχετε ταύτην ἡμῖν δαψιλῶς, καὶ ταύτης ἀπηλλάγμεθα τῆς ἀθυμίας. ἱκανὸς γὰρ σύ, δέσποτα θαυμασιώτατε, καὶ διὰ γραμμάτων σοφίζεσθαι παρουσίας ἡδονήν.

γρ. μόπτουν

γρ. πάρεχε

ρπε'. ΠΟΡΦΥΡΙΩ ΕΠΙΣΚΟΠΩ.

ΟΙδά σου τῆς ἀγάπης τὸ θερμόν, τὸ ἀπερίτρεπτον, τὸ ἀκλινές· καὶ ὡς οὐδεμία πραγμάτων δυσκολία αὐτὴν παρασαλεῦσαι δύναιτ' ἄν. τοῦτο διὰ τῶν ἔργων ἔδειξας. διὰ τοῦτο καὶ ἡμεῖς, καίτοι ἐν ἀρρωστίᾳ καθεστῶτες, καὶ εἰς τὸ πάσης τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότατον χωρίον ἀπενεχθέντες, τὴν Κουκουσόν, καὶ ὑπὸ τῆς τῶν Ἰσαύρων ἐφόδου πολιορκούμενοι, καὶ ἐν πολλαῖς ὄντες περιστάσεσι, καὶ γράφομεν καὶ τὴν ὀφειλομένην ἀποδίδομεν πρόσρησιν τῇ εὐλαβείᾳ τῇ σῇ, τῷ σώματι μὲν διεστηκότες, τῇ ψυχῇ δέ σοι συνδεδεμένοι, καὶ μεγίστην ἐντεῦθεν καρπούμεθα τὴν παράκλησιν. εἰ γὰρ καὶ πολλὴ τῆς ἐντεῦθεν διατριβῆς ἡ δυσκολία, ἀλλ' ἓν τοῦτο μέγιστον ἐντεῦθεν καρπούμενοι, τὸ ἐκ γειτόνων ὑμῖν εἶναι, καὶ συνεχῶς δύνασθαι, ὀλίγου τοῦ μέσου τῆς ὁδοῦ ταύτης ὄντος, καὶ ἐπιστέλλειν πρὸς τὴν ὑμετέραν εὐλάβειαν, καὶ δέχεσθαι παρ' ὑμῶν γράμματα. καὶ γὰρ ταύτης ἀπολαύομεν τῆς ἑορτῆς. ἑορτὴν γὰρ ἐγὼ τοῦτο τίθεμαι, καὶ πανήγυριν, καὶ πολλῆς ἡδονῆς ὑπόθεσιν. οὐδὲ μακρὰν αἴσθησιν τῆς ἐρημίας καὶ τοῦ φόβου καὶ τῆς ἀγωνίας ληψόμεθα.

ρπϛ'. ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΦΟΙΝΙΚΗ ΠΡΕΣΒΥΤΕΡΟΥΣ καὶ μονάζοντας τοὺς κατηχοῦντας τοὺς Ἕλληνας.

Οἱ κυβερνῆται ἐπειδὰν ἴδωσι τὴν θάλασσαν κυμαινομένην καὶ ἐγειρομένην, καὶ πολὺν τὸν χειμῶνα καὶ τὴν ζάλην, οὐ μόνον οὐκ ἀφιᾶσι τὸ πλοῖον, ἀλλὰ καὶ τότε πλείονι τῇ σπουδῇ καὶ μείζονι τῇ προθυμίᾳ καὶ αὐτοὶ νήφουσι, καὶ τοὺς ἄλλους διεγείρουσι· καὶ ἰατροὶ πάλιν ὅταν ἴδωσι τὸν πυρετὸν ἐπιθέντα καὶ σφοδρὸν γινόμενον, οὐ μόνον οὐκ ἀπολιμπάνουσι τὸν νοσοῦντα, ἀλλὰ καὶ τότε καὶ αὐτοὶ πάντα ποιοῦσι καὶ δι' ἑαυτῶν, καὶ δι' ἑτέρων, μείζονι κεχρημένοι τῇ σπουδῇ καὶ τῇ προθυμίᾳ, ὥστε λῦσαι τὸ κακόν. τίνος ἕνεκεν ταῦτα λέγω; ἵνα μή τις ὑμᾶς ἀπατήσῃ διὰ τὴν ταραχὴν τὴν γεγενημένην καταλιπεῖν τὴν Φοινίκην, καὶ ἀναχωρῆσαι ἐκεῖθεν· ἀλλ' ὅσῳ πλείους αἱ δυσκολίαι, καὶ χαλεπώτερα τὰ κύματα, καὶ μείζων ἡ ταραχή, τοσούτῳ μᾶλλον ἐμμένετε σπουδάζοντες, νήφοντες, ἀγρυπνοῦντες, πλείονα προθυμίαν ἐπιδεικνύμενοι, ὥστε μὴ τὴν οἰκοδομὴν ὑμῶν τὴν καλλίστην καταλυθῆναι, μηδὲ * τοσοῦτον πόνον ἀνωφελῆ γενέσθαι, μηδὲ τὴν γεωργίαν ὑμῶν ἀφανισθῆναι. ἱκανὸς γὰρ ὁ Θεὸς καὶ τὴν ταραχὴν λῦσαι, καὶ τῆς ὑπομονῆς ὑμῖν δοῦναι τὸν μισθόν. οὐδὲ γὰρ τοσοῦτος ὑμῖν ὁ μισθός, ὅτε μετ' εὐκολίας τὰ πράγματα ἠνύετε, ὅσος ἐστὶν ὑμῖν νῦν, ὅτε πολλὴ ἡ δυσκολία, πολλὴ ἡ ταραχή, πολλοὶ οἱ σκανδαλίζοντες. ἐννοοῦντες τοίνυν καὶ τὸν κάματον, ὃν ἐκάμετε, καὶ τοὺς πόνους, οὓς ὑπεμείνατε, καὶ τὰ κατορθώματα, ἃ κατωρθώσατε, καὶ ὅτι χάριτι Θεοῦ τοσοῦτον κατελύσατε μέρος τῆς ἀσεβείας, καὶ εἰς προκοπὴν τὰ πράγματα τῆς Φοινίκης ἦλθε, καὶ ὅτι πλείων ὑμῖν ὁ μισθός, καὶ μείζων ἡ ἀμοιβή, καὶ ὅτι ταχέως ὁ Θεὸς καὶ τὰ κωλύματα λύσει, καὶ πολλὰς ὑμῖν τῆς ὑπομονῆς δώσει τὰς ἀντιδόσεις, παραμένετε, ἐνίστασθε. οὐδὲν γὰρ ὑμῖν ἔχει λεῖψαι οὐδὲ νῦν· ἀλλὰ τῆς αὐτῆς ἀφθονίας καὶ δαψιλείας ἀπολαύειν ὑμᾶς ἐκέλευσα, εἴτε ἐν ἐνδύμασιν, εἴτε ἐν ὑποδήμασιν, εἴτε ἐν διατροφαῖς τῶν ἀδελφῶν. εἰ δὲ ἡμεῖς ἐν τοσαύτῃ θλίψει ὄντες, καὶ περιστάσει καὶ ἐρημίᾳ, οἰκοῦντες τὴν Κουκουσόν, τοσαύτην ποιούμεθα φροντίδα τῶν κατορθωμάτων τῶν ὑμετέρων, πολλῷ μᾶλλον ὑμᾶς διὰ πολλῆς εὐπορείας ἀπολαύοντας (κατὰ τὴν χρείαν λέγω τῶν ἀναγκαίων) τὰ παρ' ἑαυτῶν συνεισφέρειν. παρακαλῶ τοίνυν, μηδεὶς ὑμᾶς φοβείσθω. καὶ γὰρ καὶ τὰ πράγματα χρηστοτέρας ἔχει ἐλπίδας, καὶ δυνήσεσθε τοῦτο μαθεῖν ἀπὸ τῶν ἀντιγράφων τῶν ἀποσταλέντων παρὰ τοῦ κυρίου μου τοῦ εὐλαβεστάτου πρεσβυτέρου Κωνσταντίου· καὶ ἐὰν παραμείνητε, κἂν μυρία ᾖ τὰ κωλύματα, πάντων περιγενήσεσθε. οὐδὲν γὰρ ὑπομονῆς ἴσον καὶ καρτερίας. πέτρᾳ γὰρ ἔοικεν· αἱ δὲ ταραχαὶ αὗται καὶ αἱ ἐπιβουλαί, αἱ κατὰ τὴν ἐκκλησίαν γινόμεναι κύμασιν ἐοίκασι προσρηγνυμένοις τῇ πέτρᾳ καὶ διαλυομένοις εἰς οἰκεῖον ἀφρόν. ἐννοήσατε ὅσα οἱ μακάριοι ἀπόστολοι ἔπαθον καὶ παρὰ οἰκείων, καὶ παρὰ ἀλλοτρίων, καὶ ὅτι πάντα τὸν χρόνον τοῦ κηρύγματος διὰ πειρασμῶν, διὰ κινδύνων, δι' ἐπιβουλῶν διήνυσαν, εἰς δεσμωτήρια, καὶ ἀλύσεις, καὶ ἀπαγωγάς, καὶ μάστιγας, καὶ λιμούς, καὶ γυμνότητας δαπανώμενοι. ἀλλ' ὅμως καὶ ἐν αὐτοῖς τοῖς δεσμωτηρίοις οἰκοῦντες, τῆς ἐγχειρισθείσης αὐτοῖς οἰκονομίας οὐκ ἀφίσταντο. ἀλλ' ὁ μακάριος Παῦλος καὶ δεσμωτήριον οἰκῶν, καὶ μεμαστιγωμένος, καὶ αἵματι περιρρεόμενος, καὶ ξύλῳ προσδεδεμένος, καὶ τοσαῦτα πάσχων, καὶ ἐμυσταγώγει ἐν τῷ δεσμωτηρίῳ, καὶ τὸν δεσμοφύλακα ἐβάπτισε, καὶ τὰ παρ' ἑαυτοῦ πάντα ἐποίει. ταῦτ' οὖν ἅπαντα, καὶ τὰ τοιαῦτα λογιζόμενοι, καθάπερ ὑμᾶς παρεκάλεσα τὴν ἀγάπην, στήκετε ἑδραῖοι, ἀμετακίνητοι, ἀνεξαπάτητοι, τὴν τοῦ Θεοῦ ἐλπίδα ἀναμένοντες καὶ τὴν ἐκεῖθεν συμμαχίαν, ἧς ἴσον οὐδέν· καὶ ἀντιγράψαι ἡμῖν περὶ πάντων σπουδάσατε ἐξ αὐτῆς. διὰ γὰρ τοῦτο καὶ Ἰωάννην τὸν εὐλαβέστατον πρεσβύτερον εἰς τοῦτο ἀπεστείλαμεν, ὥστε παρακαλέσαι ὑμῶν τὴν καρδίαν, καὶ μὴ ἀφεῖναι ὑπὸ μηδενὸς περισαλευθῆναι. ἐγὼ δὲ ἐμαυτὸν πέπεικα, καὶ λόγοις παρακαλῶν, καὶ συμβουλαῖς ἀνορθῶν, καὶ τῶν χρειῶν τὴν ἀφθονίαν παρέχων, ὥστε ἐν μηδενὶ ὑ-

μᾶς

* τὸ

μᾶς ὑστερηθῆναι. εἰ δὲ μὴ βουληθείητε μὲν ἀνάγεσθαι, ἀλλὰ τοῖς ἀπατῶσιν ὑμᾶς καὶ ἀναπείθουσι πεισθῆναι, ἐγὼ ἀθῷος εἰμί· ἴστε δὲ ἡ κατάγνωσις αὕτη καὶ ἡ ζημία ἐπὶ τίνα ἔρχεται. ἵν' οὖν μηδὲν τοιοῦτον γένηται, παρακαλῶ, ἀνάγεσθε μὲν τοῦ σφόδρα ὑμᾶς ἀγαπῶντος, καὶ περὶ ὧν ἂν δέησθε, ἢ ἐπιστείλατε ἡμῖν, ἢ, εἰ βούλεσθε, ἕνα τινὰ πέμψατε πρὸς ἡμᾶς, καὶ οὐδὲν ὑμῖν ὑστερήσει καθόλου.

ρπζ. ΠΡΕΣΒΥΤΕΡΟΙΣ ΡΩΜΑΙΟΙΣ ΕΛΘΟΥΣΙ ΜΕΤΑ τῶν ἐπισκόπων.

Πολλὸν ὑπομεμενήκατε πόνον, μακρὰν οὕτω καὶ διαπόντιον ἀποδημίαν στειλάμενοι, πολὺν τὸν ἱδρῶτα· ἀλλ' οὐχ ὑπὲρ τῶν βιωτικῶν καὶ ἐπικήρων πραγμάτων, ἀλλ' ὑπὲρ τῶν ταῖς ἐκκλησίαις συμφερόντων, ὑπὲρ ὧν καὶ πολλῷ μείζονα τῶν πόνων λήψεσθε τὰ βραβεῖα παρὰ τοῦ φιλανθρώπου Θεοῦ. οὐ μικρὰ τοίνυν καὶ ὑμῖν καὶ ἡμῖν ἔσται ἡ παράκλησις, ὁ πόνος ὑμῶν καὶ ἡ σπουδή· ὑμῖν μὲν, ὅτι ὑπὲρ εἰρήνης τοσούτων ἐκκλησιῶν ὁ καλὸς οὗτος ἀγὼν, καὶ ἐπὶ πολλῷ μείζοσι στεφάνοις ἡ ἀντίδοσις αὐτῶν· ἡμῖν δὲ, ὅτι τοσαύτης παρ' ὑμῶν ἀπολαύομεν ἀγάπης, καὶ παρὰ τοσούτων καὶ τηλικούτων ἀνδρῶν πολλῆς τετυχήκαμεν τῆς σπουδῆς, καὶ τῷ σώματι τοσοῦτον διῳκισμένους ὁδοῦ μῆκος τῇ τῆς ἀγάπης ἁλύσει ὑμῖν αὐτοῖς συνεδήσατε μετὰ πολλῆς τῆς ἀκριβείας. διὰ ταῦτα χάριτας ὑμῖν ἴσμεν πολλὰς, καὶ ἀνακηρύττοντες ὑμῶν τὴν πολλὴν εὔνοιαν οὐ παυόμεθα. βοᾷ μὲν γὰρ αὐτὴν καὶ αὐτὴ τῶν πραγμάτων ἡ φωνή· οὐ διαλιμπάνομεν δὲ καὶ ἡμεῖς διὰ τῆς ἡμετέρας τοῦτο ἐργαζόμενοι γλώττης. εἰ δὲ νῦν παρὰ τὸν ὑμῖν ἐπεστάλκαμεν, οὐκ ἀπὸ ῥαθυμίας, ἀλλ' ἀπὸ τῆς τοῦ τόπου ἐρημίας τοῦτο πεπόνθαμεν. νῦν γοῦν ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου πρεσβυτέρου διαβαίνοντος οἷ διάγετε, τὴν ὀφειλομένην ὑμῖν ἀποδίδομεν πρόσρησιν, καὶ παρακαλοῦμεν ὑμᾶς μετὰ τῆς πρεπούσης ὑμῖν ἀγάπης αὐτὸν ὑποδέξασθαι, καὶ ἐπανιόντος τὰ περὶ τῆς ὑγιείας ἡμῖν δηλῶσαι τῆς ὑμετέρας, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν. ὑπὲρ γὰρ τοῦ τὴν προσήκουσαν σπουδὴν ἐπιδείξασθαι εἰς τὴν τοῦ πράγματος ὑπόθεσιν, εἰς ἣν ἐστὲ ἀφιγμένοι, οὐδὲν οἶμαι δεῖσθαι τὴν εὐλάβειαν ὑμῶν τῆς ἑτέρωθεν ὑπομνήσεως. καὶ τοῦτο δῆλον πεποιήκατε διὰ τῆς σπουδῆς, ἣν διὰ παντὸς ἐπεδείξασθε τοῦ χρόνου.

ρπη. ΠΡΟΒΗ ῞ΕΛΕΥΘΕΡΙΑ ΕΝ ΡΩΜΗ.

Εἰ καὶ πολλῷ διῳκίσμεθα τῷ μέσῳ τῆς ὁδοῦ, ἀλλὰ τῆς γνησίας σου καὶ θερμῆς ἀγάπης, ὡς παρόντες καὶ πάντα τὰ σὰ ὁρῶντες, οὕτως ἀκριβῆ πεῖραν εἰλήφαμεν, τῶν ἐκεῖθεν ἀφικνουμένων πρὸς ἡμᾶς ἀπαγγελλόντων περὶ τῆς σῆς ἐμμελείας ταῦτα, ἅπερ ἐπιθυμοῦμεν μανθάνειν. διὰ τοῦτό σοι χάριτας ἴσμεν πολλὰς καὶ μεγάλας, καὶ ἐναβρυνόμεθα καὶ καλλωπιζόμεθα ἐπὶ τῇ διαθέσει τῆς εὐγενείας σου. καὶ τοὺς ἀγαπητοὺς, τὸν εὐλαβέστατον πρεσβύτερον Ἰωάννην, καὶ τὸν τίμιον διάκονον Παῦλον παρακατατιθέμεθά σου τῇ κοσμιότητι, ὡς εἰς λιμένα, ταῖς σαῖς αὐτοὺς παραπέμποντες χεῖρας. ἰδεῖν τοίνυν αὐτοὺς, ὥς σοι πρέπον ἐστὶ, δέσποινά μου τιμιωτάτη καὶ εὐγενεστάτη, παρακλήθητι (οἶσθα γὰρ ὅσος ἔσται σοι τῆς φιλοφροσύνης ταύτης ὁ μισθὸς) καὶ ποίησον, ἂν ἐξῇ, συνεχέστερον ἡμῖν δῆλα τὰ περὶ τῆς ὑγιείας τῆς σῆς, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν, ἐπειδήπερ καὶ σφόδρα αὐτῆς ἀντεχόμεθα.

ρπθ. ΠΡΟΚΟΠΙΩ.

Ὀλίγα μὲν ἡμεῖς συνεγενόμεθα αὐτόθι, δέσποτά μου θαυμασιώτατε· πολλὴν δὲ σου πεῖραν τῆς γνησίας εἰλήφαμεν ἀγάπης, ἀπράγμονος ψυχῆς, καὶ τῆς γνησίας καὶ θερμῆς διαθέσεως. διὸ καὶ πρὸς αὐτὰ τῆς οἰκουμένης ἀπῳκισθέντες τὰ τέρματα, καὶ πρὸς αὐτὴν τὴν ἐσχάτην ἐρημίαν ἀπενεχθέντες, διὰ τὸ πανταχοῦ σε περιφέρειν, ὅπουπερ ἂν ἀπίωμεν, καὶ ἔχειν ἐγκεκολαμμένον τῷ συνειδότι, καὶ γράφομεν ἐκ τοσούτου διαστήματος, καὶ τὴν ὀφειλομένην ἀποδιδόαμεν πρόσρησιν. καὶ σοῦ παρακαλοῦμεν τὴν ἐμμέλειαν, εἰ μὴ βαρὺ μηδὲ ἐπαχθές, καὶ αὐτὴν ἡμῖν ταύτην παρέχειν τὴν χάριν, καὶ τὰ περὶ τῆς ὑγιείας εὐαγγελίζεσθαι ἡμᾶς τῆς σῆς. μανθάνομεν γὰρ αὐτὰ καὶ μὴ γράφοντος, τοὺς ἐκεῖθεν ἀφικνουμένους ἐρωτῶντες, διὰ τὸ σφόδρα περισπούδαστον ἡμῖν εἶναι εἰδέναι τὰ περὶ τῆς ῥώσεως τῆς σῆς καὶ τῆς εὐδοκιμήσεως. βουλόμεθα δὲ καὶ παρὰ τῆς γλώττης τῆς σῆς, καὶ παρὰ τῆς χειρὸς τῆς σῆς ταῦτα δηλοῦσθαι, ὥστε διπλῆν ἡμᾶς καρποῦσθαι τὴν ἡδονήν, ἀπό τε τοῦ γράφειν· ἀπό τε τοῦ γράμματα δέχεσθαι παρὰ τῆς εὐγενείας τῆς σῆς. δίδου δὲ ταύτην ἡμῖν τὴν χάριν, ἡδίστην τε οὖσαν, καὶ εὔλογον, καὶ πολλὴν ἡμῖν παρέχουσαν τὴν εὐφροσύνην.

ρϙ. ΡΟΥΦΙΝΩ.

Ἐβουλόμην μὲν συνεχέστερον ἐπιστέλλειν τῇ ἐμμελείᾳ σου, ἐπειδή σε φιλῶ, καὶ σφόδρα φιλῶ, δέσποτά μου αἰδεσιμώτατε καὶ θαυμασιώτατε. καὶ ἀμφότερα ταῦτα οἶσθα καὶ αὐτός. ἀλλ' ἐπειδὴ τὸ μὲν ἐν ἡμῖν κεῖται, τὸ δὲ οὐκ ἐν ἡμῖν, τοῦ μὲν φιλεῖν ἡμεῖς κύριοι, τοῦ δὲ συνεχῶς ἐπιστέλλειν οὐκέτι, διά τε τῆς ὁδοῦ τὴν δυσκολίαν, καὶ τοῦ ἔτους τὴν ὥραν, ἐκεῖνο μὲν διηνεκῶς ποιοῦμεν, τοῦτο δὲ ἡνίκα ἂν δέξῃ· μᾶλλον δὲ καὶ τοῦτο διηνεκῶς. εἰ γὰρ καὶ μὴ μέλανι καὶ χάρτῃ συνεχῶς ἐπιστέλλομεν, ἀλλὰ γνώμῃ καὶ διανοίᾳ. τοιοῦτον γὰρ τὸ φιλεῖν γνησίως.

ρϙα. ΡΟΥΦΙΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἦλθεν εἰς ἡμᾶς, ὅτι πάλιν ἀνήφθη τὰ ἐν Φοινίκῃ κακά, καὶ ἡ τῶν Ἑλλήνων ηὐξήθη μανία, καὶ πολλοὶ τῶν μοναχῶν, οἱ μὲν ἐπλήγησαν, οἱ δὲ καὶ ἀπέθανον. διὰ τοῦτό σε μειζόνως ἐπείγω μετὰ πλείονος τοῦ τάχους ἅψασθαι τῆς ὁδοῦ, καὶ στῆναι ἐπὶ τῆς παρατάξεως. οὐ γὰρ οἶδα ὅτι φανεὶς μόνον τρέψῃ πάντας τοὺς ὑπεναντίους, [καὶ] εὐχῇ καὶ ἐπιεικείᾳ καὶ καρτερίᾳ καὶ ὑπομονῇ καὶ τῇ συνήθει κεχρημένος ἀνδρείᾳ, καὶ καταλύσεις αὐτῶν τὴν μανίαν, καὶ τοὺς μεθ' ἡμῶν ὄντας ἀνακτήσῃ, καὶ πολλὰ ἐργάσῃ τὰ ἀγαθά. μὴ τοίνυν μέλλε, μηδὲ ἀναβάλλου, ἀλλὰ πλείονι κέχρησο τῷ τάχει, καὶ ταῦτα τὰ ἀπαγγελθέντα προθυμότερόν σε ἐργαζέσθω. οὐδὲ γάρ, εἰ οἰκίαν εἶδες ἀναπτομένην, ἀνεχώρησας ἄν, ἀλλὰ τότε καὶ μειζόνως ἐπέθου, ὥστε καὶ προκαταλαβεῖν τὴν φλόγα, καὶ διὰ σαυτοῦ, καὶ δι' ἑτέρων πάντα ἂν ἐποίησας ὑπὲρ τοῦ σβέσαι τὸ κακόν. καὶ νῦν τοίνυν ἐπειδὴ τοιαύτη ἀνήφθη πυρά, ἀμελλητὶ τὰ αὐτόθι καταλαβεῖν σπούδασον· καὶ πάντως ἔσται τι χρηστόν, καὶ πολλὴ τούτων διόρθωσις. τὸ μὲν γὰρ ἐν ἡσυχίᾳ καὶ γαλήνῃ καὶ μηδενὸς πολεμοῦντος κατηχεῖν τινας, *τῶν τυχόντων ἐστί· τὸ δὲ ὑπὸ τοῦ διαβόλου λυμαινομένου, καὶ τῶν δαιμόνων ὁπλιζομένων, στῆναι γενναίως καὶ ἐξαρπάσαι τοὺς μετ' ἐκείνου τεταγμένους τῶν ἀνθρώπων, καὶ τοὺς ἄλλους κωλῦσαι εἰς τὰς ἐκείνου

χεῖρας

χεῖρας ἐμπεσεῖν, τοῦ ἀνδρὸς γενναίου, τοῦτο νηφούσης ψυχῆς, τοῦτο τῆς σῆς διανοίας τῆς ὑψηλῆς καὶ διεγηγερμένης, τοῦτο μυρίων στεφάνων ἄξιον, τοῦτο βραβείων ἀφάτων, τοῦτο ἀποστολικὸν κατόρθωμα. ἐννοήσας τοίνυν, ὅτι ὁ καιρὸς οὗτος εὐδοκιμήσεώς σοι καιρός ἐστι, καὶ μυρίας ἐμπορίας καὶ πραγματείας ὑπόθεσις, ἅρπασον τοσοῦτον πλοῦτον, καὶ πολλῇ ταχύτητι χρήσασθαι παρακλήθητι, καὶ διὰ τάχους ἡμῖν ἐπίστειλον, ἐπειδὰν ἀπαντήσῃς αὐτόθι. ἂν γὰρ πυθώμεθα μόνον, ὅτι τῶν ὁρίων ἐπέβης τῆς Φοινίκης, ἀμέριμνοι λοιπόν ἐσμεν, ἀναπαυόμεθα, ἐν ἀδείᾳ διάγομεν. τὰ γὰρ ἑξῆς ἴσμεν, ὅτι καθάπερ ἀριστεὺς γενναῖος καὶ ἀνδραγαθεῖν εἰδώς, οὕτως ἅπαντας ἐπελεύσῃ, τοὺς μὲν κειμένους ἀνεγείρων, τοὺς δὲ ἑστῶτας ἑδράζων καὶ πηγνύς, τοὺς δὲ πλανωμένους ἐπανάγων, καὶ τοὺς ἀπολωλότας ἀναζητῶν καὶ εὑρίσκων, ἅπασαν τοῦ διαβόλου συγκόπτων τὴν φάλαγγα. οἶδα γάρ, οἶδα σαφῶς τὸ ἄγρυπνόν σου τῆς ψυχῆς, τὸ μεμεριμνημένον τῆς διανοίας, τὸ συνετόν, τὸ ἐμμελές, τὸ προσηνές, τὸ ἀνδρεῖον, τὸ εὔτονον, τὸ καρτερικόν. γράφε τοίνυν ἡμῖν συνεχῶς καὶ πρὶν ἢ τὴν Φοινίκην ἰδεῖν ἀπὸ τῆς ὁδοῦ πυκνὰ πέμπων γράμματα, ἐπεὶ καὶ νῦν ἐθαύμασα, πῶς τῶν περὶ τὸν κύριόν μου τὸν εὐλαβέστατον Θεόδοτον πρεσβύτερον παραγενομένων οὐκ ἐπέσταλκας. ἵν' οὖν μὴ πάλιν ἀλγῶμεν μὴ δεχόμενοι γράμματα τῆς σῆς τιμιότητος, εἰ οἷόν τε, καθ' ἑκάστην μονὴν πέμπε ἡμῖν συνεχῶς ἐπιστολάς, ἵνα μανθάνωμεν, πόσον τε προέκοψας τῆς ὁδοῦ, καὶ εἰ πλησίον γέγονας τῶν μερῶν ἐκείνων. πάνυ γὰρ μεριμνῶμεν καὶ φροντίζομεν καὶ βουλόμεθα ταῦτα καθ' ἑκάστην ἡμέραν μανθάνειν. ταῦτ' οὖν εἰδώς, κύριέ μου τιμιώτατε, χάρισαι ταύτην ἡμῖν μεγίστην τὴν χάριν, καὶ πρὶν ἢ ἀπελθεῖν, καὶ ἐπειδὰν ἀπέλθῃς, συνεχεῖς πέμπων ἐπιστολάς, καὶ πάντα ἡμῖν δηλῶν, ἵνα ἐὰν μὲν κατορθώματα ᾖ, χαίρωμεν καὶ εὐφραινώμεθα· ἂν δὲ κωλύματα, παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ πειρώμεθα αὐτὰ ἀνελεῖν. οὐ γὰρ ἡσυχάσομεν, καὶ δι' ἑαυτῶν, καὶ δι' ἑτέρων, ὧν ἂν οἷόν τε ᾖ, τοῦτο ποιοῦντες· κἂν μυριάκις καὶ εἰς τὴν Κωνσταντινούπολιν ἀποστέλλειν δέῃ, ὥστε πολλήν σοι ποιῆσαι τὴν εὐκολίαν, οὐδὲ τοῦτο παραιτησόμεθα. ταῦτ' οὖν εἰδώς, τὰ παρὰ σαυτοῦ παρέχε ἡμῖν, τὴν ἀγρυπνίαν, τὴν σπουδήν. κἂν ἀδελφοὺς δεήσῃ ἀποστεῖλαι, καὶ τοῦτο δήλωσον ἡμῖν· καὶ τῶν λειψάνων δὲ ἕνεκεν τῶν ἁγίων μαρτύρων ἀμέριμνος ἔσο. καὶ γὰρ εὐθέως ἀπέστειλα τὸν κύριόν μου τὸν εὐλαβέστατον ἐπίσκοπον Ὀτρήϊον τὸν Ἀραβισσοῦ. αὐτὸς γὰρ ἔχει καὶ ἀναμφισβήτητα καὶ πολλά· καὶ εἴσω ὀλίγων ἡμερῶν ἀποστελοῦμέν σοι αὐτὰ εἰς τὴν Φοινίκην. μηδὲν τοίνυν ἐλλιμπανέσθω τῶν παρὰ τῆς σῆς τιμιότητος. τὰ γὰρ παρ' ἡμῶν ὁρᾷς μεθ' ὅσης πεπλήρωται τῆς προθυμίας. σπεῦσον, ἵνα πρὸ τοῦ χειμῶνος δυνηθῇς τὰς ἀστεγάστους ἐκκλησίας ἀπαρτίσαι.

γρ. ἐποπτ. | γρ. ἀφαιρεῖν | ἴσ. ἐπέστειλα αὐτὸς | γρ. ταῦτα

ρϟβ. ΡΟΥΦΙΝΩ ΕΠΙΣΚΟΠΩ [ΡΩΣΟΥ].

Οἶδά σου τῆς ἀγάπης τὸ στερρόν. ὀλίγα μέν σοί ποτε συνεγενόμεθα ἐν Ἀντιοχείᾳ, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε· πολλὴν δέ σου πεῖραν τῆς εὐλαβείας καὶ τῆς συνέσεως εἰληφότες, καὶ τῆς περὶ ἡμᾶς ἀγάπης, ἐξ ἐκείνου, καίτοι πολλοῦ μεταξὺ γενομένου τοῦ χρόνου, τὴν περὶ σὲ ἀγάπην ἀκμάζουσαν διατηροῦμεν, καὶ ὡς χθὲς καὶ πρώην σε ἑωρακότες, οὕτω σου φανταζόμεθα τὴν παρουσίαν. διὸ καὶ ἐπιστέλλομεν καὶ παρακαλοῦμεν μεμνῆσθαι ἡμῶν διηνεκῶς. ἀπήχθημεν εἰς χωρίον τῆς καθ' ἡμᾶς οἰκουμένης ἐρημότατον, τὴν Κουκουσόν, καὶ καθ' ἑκάστην σχεδὸν τὴν ἡμέραν ὑπὸ τῆς τῶν Ἰσαύρων πολιορκούμεθα ἐφόδου. ἀλλ' ὅμως καὶ ἐν τοσαύταις ὄντες περιστάσεσιν, ἓν θαρροῦμεν περὶ τῆς ἀγάπης τῆς ὑμετέρας, καὶ ἴσμεν σαφῶς ὅτι γνησίας ἀπολαύομεν διαθέσεως, οὐ τὴν τυχοῦσαν καὶ ἐν ταῖς θλίψεσι ταύταις καρπωσόμεθα τὴν παράκλησιν.

ρϞγ'. ΡΩΜΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Οἴδατε καὶ αὐτοὶ, κύριέ μου τιμιώτατε καὶ εὐλαβέστατε, πῶς ἀεὶ περὶ τὴν σὴν εὐλάβειαν διετέθημεν, καὶ πῶς ἀεὶ συνδεδεμένοι σοι τῷ νόμῳ τῆς ἀγάπης διετελέσαμεν, θαυμάζοντές σου τὴν τῶν τρόπων ἐπιείκειαν, καὶ ἐκπληττόμενοι τῆς ἀρετῆς σου τὴν εὐμορφίαν, δι' ἧς πάντας τοὺς ἐντυγχάνοντας χειροῦσαι. Διὰ δὴ τοῦτο καὶ ἐκ μακροῦ καθήμενοι διαστήματος, ἀεί σε ἐπὶ τῆς διανοίας περιφέρομεν, καὶ ὅπουπερ ἂν ἐρημίας ἀπενεχθῶμεν, ἐπιλαθέσθαι σου τῆς ἀγάπης οὐ δυνάμεθα· ἀλλ' ὡς παρόντα καὶ πλησίον ὄντα, οὕτω καὶ ὁρῶμεν καὶ φανταζόμεθα τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς συνεχῶς, μᾶλλον δὲ διηνεκῶς σε βλέποντες, καὶ πρὸς ἅπαντας ἀνακηρύττοντές σου τὴν εὐλάβειαν. Παρακαλοῦμεν δὴ καὶ αὐτοὶ μεμνῆσθαι ἡμῶν διηνεκῶς, καὶ τὴν ἀγάπην, ἣν ἐξ ἀρχῆς περὶ ἡμᾶς ἐπεδείξω, ταύτην καὶ νῦν ἀκμάζουσαν διατηρεῖν, καὶ εὔχεσθαι μετὰ πολλῆς ἐκτενείας ὑπὲρ τῆς ταπεινώσεως τῆς ἡμετέρας, καὶ ἐπιστέλλειν ἡμῖν, ἡνίκα ἂν ἐξῇ, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλοῦν· ἵνα καὶ ἐν ἐρημίᾳ καθήμενοι πολλὴν καρπωσώμεθα τὴν παράκλησιν, τῆς ἀπὸ τῶν εὐχῶν σου συμμαχίας ἐκ τοσούτου ἀπολαύοντες διαστήματος.

γ. πάν

ρϞδ'. ΡΩΜΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ [ΚΑΙ] μονάζοντι.

γ. Μάρωνι

Ἡμεῖς τῇ μὲν ἀγάπῃ συνδεδέμεθά σοι, καὶ τῇ διαθέσει, καὶ ὡς παρόντα σε ἐνταῦθα, οὕτως ὁρῶμεν. Τοιοῦτοι γὰρ τῆς ἀγάπης οἱ ὀφθαλμοί· οὐχ ὁδῷ διακόπτονται, οὐ χρόνῳ μαραίνονται. Ἐβουλόμεθα δὲ καὶ συνεχέστερον ἐπιστέλλειν τῇ εὐλαβείᾳ σου· ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔστι ῥᾳδίως διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν, καὶ τὴν ἀπορίαν τῶν ὁδοιπόρων, ἡνίκα ἂν ἐξῇ, προσαγορεύομέν σου τὴν τιμιότητα, καὶ δῆλόν σοι ποιοῦμεν, ὅτι διηνεκῶς ἐπὶ μνήμης σε ἔχομεν, ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ περιφέροντες, ὅπουπερ ἂν ὦμεν. Δήλου τοίνυν καὶ αὐτὸς ἡμῖν συνεχέστερον τὰ περὶ τῆς ὑγιείας τῆς σῆς, ἵνα καὶ τῷ σώματι κεχωρισμένοι, μανθάνοντες συνεχῶς τὰ περὶ τῆς ῥώσεως τῆς σῆς, εὐθυμότεροι γινώμεθα, καὶ πολλὴν καὶ ἐν ἐρημίᾳ καθήμενοι δεχώμεθα τὴν παράκλησιν. Οὐ μικρὰν γὰρ ἡμῖν εὐφροσύνην κομίζει τὸ ἀκούειν περὶ τῆς ὑγιείας τῆς σῆς· καὶ πρὸ πάντων εὔχεσθαι ὑπὲρ ἡμῶν παρακλήθητι.

γ. ἵνα

ρϞε'. ΡΩΜΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Οὐ μέχρι τῆς Ἀρμενίων μόνον, οὐδὲ τῆς Καππαδοκῶν χώρας, ἀλλὰ καὶ πορρωτέρω, τῆς ἀγάπης σου καὶ τῆς διαθέσεως, ἣν περὶ ἡμᾶς ἐπεδείξω διηνεκῶς, σάλπιγγος λαμπρότερον ἡ φήμη παραγέγονε. Διόπερ καὶ ἡμεῖς σφόδρα καλλωπιζόμεθα ἐπὶ τῇ διαθέσει σου τῆς εὐλαβείας, καὶ μακαρίζοντές σε οὐ διαλιμπάνομεν, καὶ σου δεόμεθα συνεχῶς ἐπιστέλλειν ἡμῖν περὶ τῆς ὑγιείας τῆς σῆς. Εἰ γὰρ καὶ ἐν ἐρημίᾳ καθήμεθα, καὶ πόρρω ὑμῶν ἀπῳκίσμεθα, ἀλλ' ὅμως τῇ τῆς ἀγάπης ἁλύσει συνδεδέμεθά σοι, ἣν ἐξ ἀρχῆς διάθεσιν περὶ τὴν σὴν τιμιότητα ἐπεδειξάμεθα, ταύτην, μᾶλλον δὲ καὶ πολλῷ πλείονα καὶ θερμοτέραν νῦν ἔχοντες. Οὐδὲ γὰρ ὑμᾶς οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε τῆς ὁδοῦ τὸ μῆκος ῥαθυμοτέρους εἰς τοῦτο πεποίηκεν, ἀλλὰ καὶ σπουδαιοτέρους. Ταῦτ' οὖν εἰδὼς, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, καὶ λογισάμενος ἡλίκην ἡμῖν χαριῇ χάριν συνεχέστερον ἐπιστέλλων, γράφε τὰ περὶ τῆς ὑγιείας τῆς σῆς, καὶ προθυμουμένως διηνεκῶς ἐν ταῖς ἁγίαις σου μεμνημένος εὐχαῖς·

γ. μόνον

ἵνα

ἵνα καὶ ἐκ τοσούτου καθήμενοι διαστήματος πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν συμμαχίαν.

ρϞϛ. ΡΩΜΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Καὶ τοῦτο σὸν, καὶ τῆς μεγάλης σου καὶ ὑψηλῆς καὶ φιλοσόφου γνώμης, τὸ μηδὲ ἐν χειμῶνι τοσούτων πραγμάτων ἐπιλαθέσθαι τῆς ἡμετέρας ἀγάπης, ἀλλὰ μένειν ἀκίνητον καὶ ἀκμάζουσαν διατηρῆσαι τὴν πρὸς ἡμᾶς φιλίαν θερμοτάτην. τοῦτο γὰρ ἔγνων μὲν καὶ παρὰ τῶν ἐκεῖθεν ἀφικνουμένων σαφῶς, ᾔδειν δὲ καὶ πρὶν ἢ παρὰ ἑτέρων μαθεῖν. οἶδα γάρ σου τὸ στερρὸν καὶ ἀπερίτρεπτον τῆς διανοίας, τὸ πεπηγὸς καὶ ἀκίνητον τῆς γνώμης. διὸ καὶ πολλὰς ἔχω χάριτας τῇ θεοσεβείᾳ τῇ σῇ, καὶ παρακαλῶ σου τὴν εὐλάβειαν, καὶ ἐν μεγίστης αὐτῷ χάριτος μέρει, τὸ συνεχῶς ἡμῖν ἐπιστέλλειν, ἡνίκα ἂν ἐξῇ. οἶσθα γὰρ, ὅσην δεχόμεθα παράκλησιν καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, ὅταν γράμματα δεξώμεθα τὰ περὶ τῆς ὑγιείας τῆς σῆς *εὐαγγελιζόμενα. σφόδρα γὰρ ἐπιθυμοῦμεν καὶ ἐρρῶσθαι καὶ ὑγιαίνειν τὴν σὴν θεοσέβειαν, ἐπειδήπερ ἡ ὑγίεια ἡ σὴ πολλοῖς στηριγμὸς καὶ λιμὴν καὶ βακτηρία τυγχάνει, καὶ μυρίων κατορθωμάτων ὑπόθεσις.

χ. γνώμην

* ἡμᾶς

ρϞζ. ΡΩΜΥΛΩ ΚΑΙ ΒΥΖΩ ΜΟΝΑΖΟΥΣΙ.

χ. Ρωμύλῳ καὶ Βύρ

Ἐγὼ μὲν ἐβουλόμην ὑμᾶς καὶ ἐν τῷ παρόντι παραγενομένους ἰδεῖν. ἀκούων γὰρ ὑμῶν τὴν εὐλάβειαν, σφοδρὸς ὑμῶν γέγονα ἐραστὴς, τοῖς τῆς ἀγάπης ὀφθαλμοῖς ὑμᾶς φανταζόμενος. ἐπεὶ δὲ τοῦτο τέως οὐκ ἔνι καὶ διὰ τὸ τῆς ὁδοῦ μῆκος, καὶ διὰ τὴν τοῦ χειμῶνος ὥραν, καὶ διὰ τὸν τῶν Ἰσαύρων φόβον, διὰ τῶν γραμμάτων ἐσπούδασα ὑμῶν συγγενέσθαι τῇ τιμιότητι, δήλην ὑμῖν ποιῶν τὴν διάθεσιν, ἣν ἔχομεν περὶ τὴν εὐλάβειαν τὴν ὑμετέραν. ἔνι γὰρ καὶ τοὺς πόρρωθεν ὄντας καὶ μὴ ὁραθέντας φιλεῖν. τοιαύτη γὰρ τῆς ἀγάπης ἡ δύναμις· οὐ διείργεται ὁδοῦ μήκει, οὐδὲ μαραίνεται χρόνου πλήθει, οὐδὲ νικᾶται πειρασμῶν ἐπαγωγαῖς· ἀλλὰ ταῦτα πάντα νικῶσα, ἀνωτέρα πάντων γίνεται, καὶ πρὸς ὕψος ἄφατον αἴρεται. διὰ δὴ τοῦτο καὶ ἡμεῖς, ἐπειδὴ σφόδρα περὶ ὑμᾶς διακείμεθα, οὐδενὶ τούτων γεγόναμεν ῥᾳθυμότεροι, ἀλλὰ καὶ γράφομεν καὶ παρακαλοῦμεν ὑμᾶς τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας δηλοῦν ἡμῖν. οὕτω γὰρ καὶ ἐν ἐρημίᾳ διατρίβοντες πολλὴν καρπωσόμεθα τὴν παράκλησιν, ὅταν ἀκούωμεν ὑμᾶς οὕτω βιοῦντας, καὶ τὴν στενὴν ταύτην καὶ τεθλιμμένην ὁδεύοντας ὁδὸν, ὑγιαίνοντας καὶ ἐρρωμένους.

χ. ὄντ' ἄν

ρϞη. ΣΑΛΟΥΣΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

χ. ἱμμεβεῖν

Οὐχ ὡς ἔτυχεν ἤλγησα ἀκούσας, ὅτι καὶ σὺ καὶ Θεόφιλος ὁ πρεσβύτερος ἀνεπέσετε. ἔγνων γὰρ ὅτι ὁ μὲν ὑμῶν πέντε ὁμιλίας εἶπεν ἕως ὀκτωβρίου μηνὸς, ὁ δὲ οὐδεμίαν· καὶ τῆς ἐρημίας μοι τῆς ἐνταῦθα τοῦτο γέγονε χαλεπώτερον. βουλήθητι τοίνυν, εἰ μὲν ψεῦδος τοῦτο, δηλῶσαί μοι· εἰ δὲ ἀληθὲς, διορθώσασθαι καὶ ἀλλήλους διεγεῖραι. ἐπεὶ σφόδρα με ἔχετε λυπῆσαι, καίτοι μεθ' ὑπερβολῆς σφόδρα ἀγαπῶντα ὑμᾶς· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ παρὰ τοῦ Θεοῦ πολὺ καθ' ἑαυτῶν ἐπισπᾶσθε τὸ κρίμα ἀργίᾳ τοσαύτῃ συζῶντες καὶ ὄκνῳ, καὶ τὰ παρ' ἑαυτῶν οὐκ εἰσφέροντες. ποίας γὰρ ἂν τύχοιτε συγγνώμης, ἑτέρων διωκομένων, ἐξοριζομένων, ἐλαυνομένων, ὑμεῖς

μηδὲ τὴν ἀπὸ τῆς παρουσίας ὑμῶν ἢ τῆς διδασκαλίας εἰσφέροντες τῷ χειμαζομένῳ λαῷ σπουδήν.

ρϟθ. ΣΕΒΑΣΤΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ καὶ τῷ σώματι κεχωρίσμεθά σου τῆς κοσμιότητος, ἀλλὰ τῇ ἀγάπῃ σοι συνδεδέμεθα, καὶ ὅπουπερ ἂν ὦμεν, περιφέρομέν σου τὴν διάθεσιν ἐπὶ μνήμης, κἂν εἰς αὐτὰ τῆς οἰκουμένης ἀπενεχθῶμεν τὰ τέρματα. ὅτι δὲ καὶ αὐτὸς ἄλυτον ἔχεις τὴν μνήμην ἡμῶν, οὐδὲν οἶμαι δεῖν ἀμφιβάλλειν. οἶδα γάρ σου τὸ γνήσιον τῆς διαθέσεως, τῆς ἀγάπης τὸ στερρὸν, τὸ ἀπερίτρεπτον τῆς γνώμης. διὸ καὶ παρακαλοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς διαγγελίζεσθαι. σφόδρα γὰρ ἡμῖν περισπούδαστον περὶ ταύτης μανθάνειν, καὶ πολλὴν καὶ ἐν ἐρημίᾳ διατρίβοντες ἀπὸ τῶν τοιούτων γραμμάτων καρπωσόμεθα τὴν παράκλησιν.

σ. ΣΕΒΗΡΙΝΗ ΚΑΙ ΡΩΜΙΛΗ.

Εἰ μὴ σφόδρα τὴν γνησίαν ὑμῶν ἀγάπην ᾔδειν καὶ τὴν σπουδὴν, ἣν ἀεὶ περὶ ἡμᾶς ἐπιδείκνυσθε, κἂν ῥᾳθυμίαν πολλὴν ἐνεκάλεσα τῆς μακρᾶς ἕνεκεν ταύτης σιγῆς, ἣν ἐσιγήσατε· καὶ ταῦτα πολλὰ καὶ συνεχῆ παρ' ἡμῶν δεξάμεναι γράμματα. ἀλλ' ἐπειδὴ οἶδα ὅτι καὶ σιωπῶσαι καὶ γράφουσαι, ὁμοίως περὶ ἡμᾶς διάκεισθε, τούτου χάριν ἐγκαλεῖν οὐκ ἂν αἱροίμην τῆς σιγῆς ἕνεκεν, εἰ καὶ σφόδρα ἐπιθυμῶ πυκνὰ παρ' ὑμῶν δέχεσθαι γράμματα περὶ τῆς ὑγιείας ὑμῶν δηλοῦντα. οὐδὲ γὰρ ἔχοιτ' ἂν καταφυγεῖν εἰς τὸ μὴ συνεχῶς ἐπιτυγχάνειν γραμματοφόρου. ὁ γὰρ ποθεινότατος καὶ γλυκύτατος ἀγαπητὸς ἡμῶν Σαλούστιος ὃν οἶδ' ὅτι πρὸς τοῦτο ὑμῖν διακονήσασθαι ἠδύνατο. ἀλλ' ὅμως οὐδὲ οὕτως ὑμῖν ἐγκαλῶ, διὰ τὸ σφόδρα θαρρεῖν ὑμῶν περὶ τῆς ἀγάπης. αὐτὸς μέντοι, ἵνα κἂν δόξῃ, συνεχῶς ἐπιστέλλων οὐ παύσομαι. οἶδα γὰρ ὑμῶν τὸ γνήσιον καὶ θερμὸν τῆς διαθέσεως.

σα. ΣΕΥΗΡΑ.

Ἐγώ σου τὴν εὐγένειαν εἶδον μὲν οὐδέποτε τοῖς σωματικοῖς ὀφθαλμοῖς, τοῖς δὲ τῆς ἀγάπης πάντων μάλιστα ἐθεασάμην, ἐπειδήπερ κἂν πολὺ τὸ μέσον ᾖ τῆ[illegible]ασημ..., ταύτην [δὲ] οὐδέποτε διείργει τὴν θεωρίαν. ὁ γὰρ κύριός μου ὁ ποθεινότατος Λιβάνιος ὑπογράφων ἡμῖν τόν τε ζῆλον τῆς σῆς εὐγενείας τόν τε ὑπὲρ τῆς ὀρθῆς πίστεως, καὶ τὴν σπουδὴν, σφόδρα ἡμᾶς ἀνεπτέρωσε. διὸ καὶ μηδέποτέ σε ἑωρακότες ἐπεπηδήσαμεν πρῶτοι τοῖς πρὸς τὴν σὴν εὐλάβειαν γράμμασι, παρακαλοῦντες καὶ αὐτὴν ἡμῖν ἐπιστέλλειν, ἵνα κἂν δόξῃ. εἰ γὰρ ἔλθοι παρὰ τῆς σῆς ἐμμελείας ἐπιστολὴ ἀπαγγέλλουσα ἡμῖν τὰ περὶ τῆς ὑγιείας σου καὶ τοῦ οἴκου σου παντὸς, μεγίστην καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες ἐντεῦθεν καρπωσόμεθα τὴν παράκλησιν. ἀγάπης γὰρ οὐδὲν ἴσον.

σβ. ΣΕΒΗΡΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἡμεῖς μὲν, καίτοι χωρίον ἐρημότατον οἰκοῦντες, καὶ ἐπεστάλκαμεν πολλάκις πρὸς τὴν σὴν ἐμμέλειαν, καὶ τοὺς ἐκεῖθεν ἀφικνουμένους οὐ παυόμεθα συνεχῶς ἐρωτῶντες περὶ τῆς ὑγιείας τῆς σῆς. αὐτὸς δὲ οὐκ οἶδα ἀνθ' ὅτου μανικὸς ἡμῶν οὕτως ἐραστὴς ὢν, καὶ πολλὴν δυσκο-

λίαν

λίαν ἔχων τὴν ἐνταῦθα διακομιζόντων τὰ γράμματα, σιγᾷς οὕτω μακρὰν σιγήν. ἀλλ' ἡμεῖς τὸ θερμόν σου, τὸ γνήσιον, τὸ εἰλικρινὲς τῆς διαθέσεως, ὃ ἀεὶ περὶ ἡμᾶς ἐπεδείξω, ἐννοοῦντες, καὶ ἐν τῇ σιγῇ τῇ μακρᾷ μεγίστην καρπούμεθα παράκλησιν. πλὴν ἀλλὰ βουλόμεθα καὶ γραμμάτων συνεχῶς ἀπολαύειν τῶν σῶν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς ἡμῖν ἀπαγγελλόντων, καὶ ἃ παρ' ἑτέρων μανθάνομεν, ταῦτα παρὰ τῆς γλώττης τῆς σῆς καὶ τῆς χειρὸς ἐβουλόμεθα μανθάνειν. ποίει δὴ τοῦτο νῦν γοῦν, δέσποτά μου τιμιώτατε. οἶσθα γὰρ ἡλίκα ἡμῖν χαριῇ· ὡς ἡμεῖς καὶ γράφοντες, καὶ μὴ γράφοντες οὐ παυόμεθα μεμνημένοι, καὶ τὴν ἀγάπην, ἣν ἀεὶ περὶ τὴν σὴν ἐπεδειξάμεθα εὐλάβειαν, διατηροῦντες, ὅπουπερ ἂν ὦμεν. ἡμῖν γὰρ αὐτοῖς τὰ μέγιστα χαριούμεθα τοῦτο ποιοῦντες.

σγ'. ΣΤΟΥΔΙΩ ΕΠΑΡΧΩ ΤΗΣ ΠΟΛΕΩΣ.

Οἶδα μὲν ὅτι συνετὸς ὢν καὶ φιλοσοφεῖν εἰδὼς, καὶ περὶ τῶν γραμμάτων τῶν ἡμετέρων πράως οἴσεις τοῦ μακαρίου ἀδελφοῦ τῆς μεγαλοπρεπείας σου τὴν ἀποδημίαν. οὐ γὰρ ἂν αὐτὴν καλέσαιμι θάνατον. ἐπεὶ δὲ καὶ ἡμᾶς ἀναγκαῖον καὶ τὰ παρ' ἑαυτῶν εἰσενεγκεῖν, παρακαλῶ σου τὴν θαυμασιότητα, δέσποτα μεγαλοπρεπέστατε*, καὶ ἐν τῷ καιρῷ τούτῳ δεῖξαι σαυτὸν, οὐχ ὥστε μὴ ἀλγεῖν (τοῦτο γὰρ ἀμήχανον, ἄνθρωπον ὄντα καὶ σαρκὶ συμπεπλεγμένον, καὶ τοιοῦτον ἐπιζητοῦντα ἀδελφόν) ἀλλ' ὥστε μέτρον ἐπιθεῖναι τῇ λύπῃ. οἶσθα γὰρ τῶν ἀνθρωπίνων τὸ ἐπίκηρον, καὶ ὅτι ποταμίων ῥευμάτων μιμεῖται φύσιν τὰ πράγματα, καὶ ὡς ἐκείνους μόνους χρὴ μακαρίζειν τοὺς μετὰ χρηστῆς ἐλπίδος καταλύοντας τὸν παρόντα βίον. οὐ γὰρ ἐπὶ θάνατον ἔρχονται, ἀλλ' ἀπὸ τῶν ἀγώνων ἐπὶ τὰ βραβεῖα, ἀπὸ τῶν παλαισμάτων ἐπὶ τοὺς στεφάνους, ἀπὸ τῆς τεταραγμένης θαλάσσης ἐπὶ λιμένα ἀκύμαντον. ταῦτ' οὖν ἐννοῶν παρακάλει σαυτόν· ἐπεὶ καὶ ἡμεῖς οὐχ ὡς ἔτυχεν ἀλγοῦντες, μεγίστην τῆς ἀλγηδόνος ἔχομεν παραμυθίαν, τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἣν καὶ αὐτῷ σοι μεγίστην οἶμαι φέρειν παράκλησιν. εἰ μὲν γὰρ πονηρός τις ἦν ὁ ἀπελθὼν, καὶ κακίας γέμων, ἔδει θρηνεῖν καὶ ὀλοφύρεσθαι τούτου χάριν. ἐπειδὴ δὲ τοιοῦτος καὶ οὕτω βεβιωκὼς, ὡς ἅπασα οἶδεν ἡ πόλις, μετ' ἐπιεικείας, μετὰ χρηστότητος, τὸ δίκαιον ἀεὶ τιμήσας, παρρησίᾳ τῇ προσηκούσῃ χρησάμενος, ἐλευθερίᾳ, ἀνδρείᾳ, οὐδὲν τὰ παρόντα ἡγησάμενος, ἀλλὰ ἀνώτερος τῆς βιωτικῆς γενόμενος φροντίδος, ἀγάλλεσθαι χρὴ, ἐκείνῳ τε συνήδεσθαι, τῇ τε θαυμασιότητι τῇ σῇ, ὅτι τοιοῦτον" προέπεμψας ἀδελφὸν, ἐν ἀσύλῳ λοιπὸν θησαυρῷ, ἅπερ ἔχων ἀπῆλθεν, ἔχοντα τὰ ἀγαθά. μὴ τοίνυν ἀνάξιόν τι σαυτοῦ λογίσῃ, δέσποτά μου θαυμασιώτατε, καταικλώμενος τῷ πένθει· ἀλλὰ δεῖξον σαυτὸν καὶ ἐν τῷ παρόντι καιρῷ, καὶ δηλῶσαι ἡμῖν παρακληθῆναι ὅτι γέγονέ σοί τι πλέον καὶ ἀπὸ τῶν γραμμάτων τῶν ἡμετέρων, ἵνα καὶ ἡμεῖς ἐκ τοσούτου καθήμενοι διαστήματος καλλωπιζώμεθα, ἀπὸ ψιλῆς ἐπιστολῆς πολὺ τῆς ἀθυμίας ταύτης ὑποτεμνέσθαι δυνηθέντες.

* ἐνδοξότατε
κ. προπέμψας.

σδ'. ΣΥΜΕΩΝΙ ΚΑΙ ΜΑΡΙ ΠΡΕΣΒΥΤΕΡΟΙΣ [καὶ] μονάζουσιν ἐν τῇ χώρᾳ ἀπαμέων.

Εἰ καὶ πολλῷ διειργόμεθα τῷ τῆς ὁδοῦ διαστήματι, καὶ ἐν χαλεπωτάτῃ καθήμεθα ἐρημίᾳ, ἀλλ' ὅμως μαθόντες ὑμῶν τῆς ψυχῆς τὴν ἀρετὴν, καὶ τὴν πολλὴν φιλοσοφίαν, δι' ἧς" τοὺς αὐτόθι πάντας καταλάμπετε, σφοδροὶ γεγόναμεν ὑμῶν ἐρασταί. καὶ ἐπειδὴ τῆς κατ' ὄψιν ὑμῶν συντυχίας τέως ἀπολαῦσαι οὐκ ἔνι, διά τε τὴν τοῦ χειμῶνος ὥραν, διά τε τῆς ὁδοῦ τὸ μῆκος, διὰ γραμμάτων συγγενέσθαι ἐσπουδάσαμεν ὑμῖν, παρακαλοῦντες ὑμῶν τὴν

κ. τοῖς αὐτόθι πᾶσι.

ἀλάβωμαι εὔχεσθαί τε ἐκτενῶς ὑπὲρ τῆς λύσεως τῶν τὴν οἰκουμένην κατειληφότων κακῶν, καὶ πάντας εἰς τοῦτο διεγείρειν μετὰ πολλῆς τῆς προθυμίας, ἡμῖν τε, ἡνίκα ἂν ἐξῇ, συνεχέστερον ἐπιστέλλειν περὶ τῆς ὑγιείας τῆς ὑμετέρας· ἵνα καὶ πόρρωθεν ὑμῶν ὄντες, καὶ πρὸς αὐτὰς τῆς οἰκουμένης τὰς ἐσχατιὰς ἀπῳκισμένοι, πολλὴν καὶ ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν, συνεχέστερον τὰ περὶ τῆς ῥώσεως ὑμῶν μανθάνοντες. σφόδρα δὲ ἡμᾶς εὔφρανεν ὁ ποθεινότατος καὶ γλυκύτατος Ἰωάννης ὁ πρεσβύτερος, ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ ἑλόμενος οἴκοθεν διαναστῆναι, καὶ ἅψασθαι τῆς ἐπὶ τὴν Φοινίκην ἀποδημίας. παρακαλῶ τοίνυν, ἐννοήσαντες τοῦ κατορθώματος ἡλίκον τὸ μέγεθος, εἴ τινας εὕροιτε γνησίους ἄνδρας δυναμένους αὐτῷ συμπρᾶξαι πρὸς τὸ τῶν κατορθωμάτων τούτων τὸ μέγεθος, πολλῇ τῇ προθυμίᾳ συναποστεῖλαι αὐτῷ παρακλήθητε, ἐννοοῦντες ἡλίκον ἐντεῦθεν καρπώσεσθε τὸν μισθόν.

σε. ΣΥΜΜΑΧΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

γρ. Συμμάχῳ

Οὐδὲν καινόν, οὐδὲ ἀπεικὸς τεθλιμμένην ὁδεύοντα ὁδὸν στενοχωρεῖσθαι. τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ φύσις· πόνων γέμει καὶ ἱδρώτων, ἐπιβουλῶν καὶ κινδύνων· ἀλλ' ὁδός ἐστι· τὰ δὲ ἐντεῦθεν, στέφανοι, βραβεῖα, τὰ ἀπόρρητα ἀγαθὰ καὶ τέλος οὐκ ἔχοντα. τούτοις τοίνυν σαυτὸν παρακάλει. καὶ γὰρ καὶ ἡ ἄνεσις καὶ ἡ θλίψις τοῦ παρόντος παροδεύεται βίου, καὶ αὐτῷ τῷ βίῳ συγκαταλύεται. μηδὲν οὖν μηδὲ ἐκείνων φυσάτω, μηδὲ τούτων ταπεινούτω καὶ συστελλέτω. ὁ γὰρ ἄριστος κυβερνήτης οὔτε ἐν γαλήνῃ χαυνοῦται, οὔτε ἐν χειμῶνι ταράττεται. ταῦτ' οὖν εἰδὼς παρακάλει σαυτόν, παραμυθίαν ἐντεῦθεν καρποῦ τὴν μεγίστην, καὶ γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. εἰ γὰρ καὶ πολλῷ τῷ μήκει τῆς ὁδοῦ διειργόμεθα, καὶ πολὺν σου τῆς ἐμμελείας ἀπελείφθημεν χρόνον, ἀλλ' οὐ τῆς ἀγάπης, ἀλλ' ἄληστον ἀεὶ αὐτὴν περιφέρομεν καὶ ἀκμάζουσαν, ὅπουπερ ἂν ὦμεν, ἐπείπερ τοιαύτη τοῦ φιλεῖν γνησίως ἡ φύσις.

γρ. ἀλλ' ἡ ὁδὸς πιών

γρ. μένει

σϛ. ΤΙΜΟΘΕΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἡμεῖς μέν σοι καὶ πρώην ἐπεστάλκαμεν, καὶ τῷ κυρίῳ μου τῷ τιμιωτάτῳ πρεσβυτέρῳ Μαρκιανῷ· αὐτὸς δὲ οὔτε παρ' ἐκείνου γράμματα ἡμῖν πέμπεσθαι παρεσκεύασας, οὔτε αὐτὸς ἡμῖν ἐπέσταλκας. ἀλλ' ὅμως ἡμεῖς ἑαυτῶν μιμούμενοι οὐ παυόμεθα διηνεκῶς ὑμῶν μεμνημένοι, καὶ ἐπιστέλλοντες, ἡνίκα ἂν ἐξῇ· ὃ δὴ καὶ νῦν πεποιήκαμεν, χάριτας ὑμῖν ὁμολογοῦντες μυρίας ὑπὲρ τῆς σπουδῆς, ἧς ἐπιδείκνυσθε, καὶ τῶν κινδύνων, οὓς ὑπομένετε, καὶ μακαρίζοντες ὑμᾶς. οὐ γὰρ μικροὺς ἐντεῦθεν ὑμῖν προαποτίθεσθε στεφάνους, πρὸς ὀλίγον μὲν θλιβόμενοι, διηνεκεῖς δὲ ἀμοιβὰς ἐν τοῖς οὐρανοῖς παρασκευάζοντες ὑμῖν, καὶ πολλῷ μείζους τῶν ἱδρώτων τούτων. οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

γρ. τιμιωτάτῳ

σζ. ΤΡΑΓΚΥΛΛΙΝΩ ΕΠΙΣΚΟΠΩ.

Τὸν κύριόν μου τὸν τιμιώτατον ἐπίσκοπον Σέλευκον οἴκοθεν μὲν ὁ περὶ ἡμᾶς ἀνέστησε πόθος· ἐντεῦθεν δὲ ὁ τῆς σῆς ἀγάπης ἔρως οὕτως αὐτὸν καὶ χειμῶνος καταπολμῆσαι καὶ δυσκολίας ὁδοῦ, καὶ ἀρρωστίας χαλεπωτάτης ἀνέπεισεν. ἐπαινέσας τοίνυν αὐτόν, δέσποτά

μου τιμιώτατε, τοῦ φίλτρου τῆς σπουδῆς, ἀπόδος αὐτῷ τὴν ἀμοιβὴν τῆς μακρᾶς ταύτης ταλαιπωρίας, τὴν εἰωθυῖαν περὶ αὐτὸν ἀγάπην καὶ νῦν ἐπιδειξάμενος. ἐπεὶ καὶ ἡμεῖς ὡς εἰς λιμένα αὐτὸν ἀκύμαντον [εἰς] τὰς σὰς παρεπέμψαμεν χεῖρας, εἰδότες σου τὴν πολλὴν φιλοφροσύνην, καὶ τὴν γνησίαν ἀγάπην, τὴν θερμὴν, καὶ ἀκλινῆ, καὶ ἀπερίτρεπτον. 5 κἂν ἀφικνῆταί τις ἐκεῖθεν, καὶ ῥᾴδιον γένηται, καὶ ἐπιστεῖλαι ἡμῖν παρακλήθητι τὰ περὶ τῆς ῥώσεώς σου. Εὐψύχιος γὰρ εἰς τὸ παρὸν οὐκ ἀπαντήσει. διὸ οὐδὲ μαθεῖν τι δεδυνήμεθα, ὧν ἔφης ἐκεῖθεν ἔρρειν περὶ ὧν ἡμῖν ἐπιστέλλων, διὰ τὸ μηδαμοῦ τὸν ἄνθρωπον φαίνεσθαι. ταῦτ' οὖν εἰδὼς, ἐκεῖνά τε, ἅπερ δι' ἐκείνου περὶ ὧν ἐδήλωσας, καὶ εἴ τι πλέον ἡμᾶς γνῶναι ἀναγκαῖον, νῦν γοῦν γνωρίσαι ἡμῖν παρακλήθητι· καὶ τὰ περὶ τῆς ὑγιείας" σημᾶναι τῆς 10 σῆς, τῆς σφόδρα ἡμῖν περισπουδάστου, καὶ ὑπὲρ ἧς ἀεὶ μεριμνῶντες, ἀεὶ μανθάνειν ἐπιθυμοῦμεν.

γ. σήμαινε

γ. Τραγκυλλι-νῷ.

ση. "ΤΡΑΥΛΙΚΙΑΝΩ.

15 ΤΑ μὲν ἄλλα πάντα εἴκει τῷ χρόνῳ καὶ παραχωρεῖ παλαιούμενα καὶ γηράσκοντα, καὶ σώματα λύεται, καὶ οἰκοδομήματα κάμνει, καὶ λειμῶνες, καὶ παράδεισοι, καὶ τὰ ἀπὸ τῆς γῆς ἅπαντα· μόνη δὲ ἡ ἀγάπη τὴν ἐντεῦθεν διέφυγε βλάβην, καὶ οὐ μόνον οὐ μαραίνεται χρόνου πλήθει, ἀλλ' οὐδὲ αὐτῷ διακόπτεται τῷ θανάτῳ. διὰ δὲ τοῦτο καὶ ἡμεῖς, εἰ καὶ μακρὸν ἀπελείφθημεν χρόνον τῆς ἐμμελείας τῆς σῆς, ἀλλ' ἀκμάζουσαν αὐτὴν" διατηροῦμεν· καὶ γλώττῃ μὲν 20 νῦν, γνώμῃ δὲ ἀεὶ καὶ συνεχῶς ἐπεστάλκαμέν σου τῇ εὐλαβείᾳ. ἐπεὶ δὲ ἡμῖν περισπούδαστον μανθάνειν, οἷα τὰ τῆς ὑγιείας ὁρμεῖ τῆς σῆς (οἴδαμεν γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα) εἰ δυνατὸν γένοιτο, καὶ ῥᾳδίως ἐπιτύχοις τινὸς τοῦ διακομίζοντος ἡμῖν τὰ γράμματα, τὰ σαυτῷ πρέποντα ποιῶν, δῆλον τοῦτο ποιῆσαι ἡμῖν παρακλήθητι. τὰ γὰρ καθ' ἡμᾶς, τά τε ἐν Ἀρμενίᾳ, τά τε ἐν Θρᾴκῃ, διηγήσεταί σου τῇ γνησίᾳ καὶ θερμῇ ἀγάπῃ ὁ τὰ γράμματα ἐγχειρίζων.

γ. διαπαντὸς [illegible] γ. [illegible] διὸ καὶ συνεχῶς

25

σθ. ΥΠΑΤΙΩ.

ΟΥ" παύομαι μακαρίζων σου τὴν τιμιότητα, τῆς ὑπομονῆς, τῆς ἀνδρείας, τῆς καρτερίας τῆς πολλῆς, ἣν ἐπεδείξω καὶ ἐπιδείκνυσαι ἐν 30 τοῖς πειρασμοῖς. καὶ τοῦτο καὶ διὰ τῆς προτέρας ἐπιστολῆς ἐδήλωσα, ὅτι διπλοῦς καὶ τριπλοῦς σοι ὁ μισθὸς ὑπὲρ τούτων ἁπάντων κεῖται, ὑπέρ τε ὧν αὐτὸς τοσαύτην στερρότητα ἐπιδείκνυσαι, καὶ ἑτέρους εἰς τὸν αὐτὸν ἄγεις ζῆλον, ἐν γήρᾳ οὕτω βαθεῖ τοσαύτην προθυμίαν ἐπιδεικνύμενος ὑπὲρ τοῦ διωκομένου λαοῦ. καὶ ἐβουλόμην μὲν συνεχῶς ἐπιστέλλειν σου τῇ τι- 35 μιότητι. ἐπειδὴ δὲ τοῦτο οὐκ εὔκολον διά τε τὴν τοῦ χειμῶνος ὥραν, καὶ διὰ τὸν τῶν λῃστῶν φόβον, καὶ τὴν τοῦ χωρίου ἐρημίαν, ἐν ᾧ καθήμεθα· ἡνίκα ἂν δόξῃ, καὶ προσαγορεύομέν σου τὴν εὐλάβειαν, καὶ αἰτοῦμεν συνεχῶς ἡμῖν ἐπιστέλλειν, καὶ τὰ περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελίζεσθαι. σφόδρα γὰρ ἐπιθυμοῦμεν τὰ περὶ ταύτης μανθάνειν. μακαρίζομεν δὲ καὶ τοὺς τιμιωτάτους διακόνους Εὐσέβιον καὶ Λαμπρότατον τοὺς κοινωνήσαντάς σοι τῶν διωγμῶν. 40 ἴστε γὰρ ἡλίκοι στέφανοι τούτων ὑμῖν ἀπόκεινται, καὶ ὅσος ὁ μισθὸς, καὶ ὅση ἡ" ἀντίδοσις. ταῦτ' οὖν εἰδότες μένετε ἑδραῖοι, ἀμετακίνητοι. τῆς τε γὰρ ὑπομονῆς δαψιλῆ τὸν μισθὸν ὑμῖν ὁ Θεὸς ἀποδώσει, καὶ τὰ παρόντα ταχέως λύσει δεινά. γράφετε δὲ ἡμῖν συνεχῶς τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας" ἡμῖν εὐαγγελιζόμενοι, περὶ ἧς σφόδρα περισπούδαστον ἡμῖν μανθάνειν.

γ. παύσομαι

γ. ἀποκεῖσον-ται

γ. ἡμᾶς

σι'. "ΥΜΗΤΙΩ ΑΡΧΙΑΤΡΩ.

Οὐ παυσόμεθά σε παρὰ πᾶσι θαυμάζοντες, καὶ ὡς ἄνδρα χρηστὸν, καὶ ὡς ἰατρὸν ἄριστον, καὶ ὡς φιλεῖν εἰδότα γνησίως. ὅταν γὰρ ἡμῖν ἐνταῦθα περὶ τῆς ἀῤῥωστίας ἡμῶν γίνωνται λόγοι, ἐξ ἀνάγκης καὶ αὐτὸς ἐπεισέρχῃ τοῖς διηγήμασι τούτοις· καὶ τῆς πολλῆς σου καὶ ἐπιστήμης καὶ εὐνοίας πεῖραν λαβόντες, οὐ δυνάμεθα σιγῇ τὰς εὐεργεσίας κατασχεῖν, ἀλλ' εἰς ἅπαντας ἀνακηρύττομεν, ὑμῖν αὐτοῖς τὰ μέγιστα χαριζόμενοι. τοσοῦτον γὰρ ἡμῖν φίλτρον ἀνέθηκας, ὅτι, καίτοιγε ὑγιαίνοντες, πολλοῦ ἂν ἐπριάμεθα ἐνταῦθά σε ἑλκῦσαι, ὥστε σε μόνον ἰδεῖν. ἀλλ' ἐπειδὴ τοῦτο ἐργῶδες καὶ διὰ τὴν τῆς ὁδοῦ δυσκολίαν, καὶ διὰ τὸν τῶν Ἰσαύρων φόβον, τοῦτο μὲν οὐκ ἐπιχειροῦμεν τέως· ἀξιοῦμεν δὲ συνεχῶς ἐπιστέλλειν. δυνήσῃ γὰρ ἡμῖν τὴν ἐκ τῆς παρουσίας ἡδονὴν χαρίζεσθαι τῇ συνεχείᾳ τῶν γραμμάτων, τὰ μέγιστά σου τῶν τρόπων τὰ χρίμματα "ἀναχρωννύς.

σια'. "ΥΜΗΤΙΩ ΑΡΧΙΑΤΡΩ.

Εἰ καὶ μὴ συνεχῶς ἐπεστάλκαμεν τῇ τιμιότητί σου, ἀλλὰ συνεχῶς σε ἐπὶ μνήμης φέρομεν, πεῖραν σου τῆς σφοδροτάτης, τῆς σπουδαίας, τῆς γνησίας φιλίας πολλὴν ἐν ὀλίγαις ἡμέραις λαβόντες. διὰ τοῦτο * τὸν κύριόν μου τὸν τιμιώτατον ἐπίσκοπον Σελευκείας ὡς εἰς λιμένα, τὰς σὰς παραπέμπομεν χεῖρας. καὶ γὰρ ὑπὸ βηχὸς πολεμεῖται χαλεπωτάτης, ἣν ἡ τοῦ ἔτους ὥρα σφοδροτέραν ἐπιτείνει καὶ χαλεπωτέραν ποιεῖ. καταμαθὼν τοίνυν, δέσποτά μου τιμιώτατε, τοῦ νοσήματος τὴν φύσιν, ἐξαρπάσαι αὐτὸν τοῦ κλυδωνίου "πειράθητι, τῇ τῆς ἀῤῥωστίας βλάβῃ τὴν ἀπὸ τῆς ἐπιστήμης τῆς σῆς ἐπιτειχίσας δύναμιν, δι' ἧς πολλοὺς πολλάκις κινδυνεύσαντας ὑπὸ τῶν τοιούτων κυμάτων ὑποβρυχίους γενέσθαι τοῦ ναυαγίου ταχέως ἀπήλλαξας.

σιβ'. ΥΠΑΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Οἶδας καὶ αὐτὸς, κύριέ μου τιμιώτατε, ὅσον ὑμῖν φέρει μισθὸν τὰ διὰ τὸν Θεὸν παθήματα, ἡλίκα βραβεῖα, οἵους στεφάνους. μηδὲν οὖν σε θορυβείτω τῶν γινομένων· ἐπεὶ τοὺς ταῦτα ποιοῦντας κακῶς θρηνεῖν δεῖ. ἐκεῖνοι γάρ εἰσι τὴν μυρίων κατὰ τῆς ἑαυτῶν κεφαλῆς ἐπισωρεύοντες κόλασιν. αὐτὸς τοίνυν, καθώς σοι πρέπον ἐστὶ, τῇ προσηκούσῃ κεχρημένος ἀνδρείᾳ, ἀράχνης ἀτελέστερα διάσπα τὰ ἐκείνων μηχανήματα καὶ τὰς ἐπιβουλὰς, καὶ γράφε συνεχῶς ἡμῖν περὶ τῆς ὑγιείας τῆς σῆς εὐαγγελιζόμενος. πολλὴν γὰρ δεξόμεθα παράκλησιν καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, τοιαῦτα παρὰ τῆς τιμιότητός σου δεχόμενοι γράμματα.

σιγ'. ΦΑΥΣΤΙΝΩ.

Ἀφικόμεθα εἰς τὴν Κυκουσὸν ὑγιαίνοντες (ἐντεῦθεν γὰρ προοιμιάσομαι, ὅθεν καὶ αὐτὸς ἐπιθυμεῖς ἀρχομένης ἀκοῦσαι τῆς ἐπιστολῆς) καὶ εὑρήκαμεν χωρίον θορύβων καθαρὸν, καὶ πολλῆς μὲν ἀπραγμοσύνης, πολλῆς δὲ γέμον ἡσυχίας, καὶ οὐδένα τὸν ἐνοχλοῦντα, οὐδὲ ἀπελαύνοντα ἔχον. καὶ τί θαυμαστὸν εἰ ἐν τῇ πόλει τοῦτο, ὅπου γε καὶ τὴν ἐρημοτάτην ὁδὸν καὶ ἐπισφαλῆ καὶ ὕποπτον, τὴν ἐκεῖθεν ἐνταῦθα φέρουσαν,

ἀδεῶς

ἀδεῶς καὶ ἀπραγμόνως διήλθομεν, πλείονος ἀπολαύσαντες ἀσφαλείας, ἢ ἐν ταῖς εὐνομουμέναις τῶν πόλεων. τούτων τοίνυν ἡμῖν τῶν εὐαγγελίων δίδου τὸν μισθόν, συνεχῶς ἡμῖν ἐπιστέλλων περὶ τῆς ὑγιείας τῆς σῆς. καὶ γὰρ ἐν ἡσυχίᾳ πολλῇ διάγοντες ἐνταῦθα, διηνεκῶς ἀναπλάττομέν σου τῆς διανοίας τὸ εὐγενές, τὸ ἐλευθέριον, τὸ φιλικόν, τὸ πεπαῤῥησιασμένον, ἅπαντα τῶν ἀρετῶν σου τὸν λειμῶνα. καὶ ἐντρυφῶμεν τῇ μνήμῃ, ὅπουπερ ἂν ἀπίωμεν, πανταχοῦ σε περιφέροντες, καὶ μεθ' ὑπερβολῆς ἐκκαιόμενοι τῷ φίλτρῳ τῷ περὶ σέ. διὸ καὶ ἐπιθυμοῦμεν καὶ ἐνταῦθά σε παραγενόμενον ἰδεῖν. ἐπειδὴ δὲ τοῦτο ἐργῶδες, ἐπὶ τὸν δεύτερον ἐρχόμεθα πλοῦν, καὶ τὴν διὰ τῶν γραμμάτων αἰτοῦμεν παράκλησιν. καὶ γὰρ μεγίστη παραψυχὴ ἡμῖν ἔσται, τὸ συνεχῶς δέχεσθαι ἐπιστολὰς, εὐαγγελιζομένας ἡμῖν περὶ τῆς ὑγιείας τῆς σῆς.

σιδ. ΦΙΛΙΠΠΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐθαύμασα πῶς ἐν οὕτω χρόνῳ μακρῷ ἡμῖν οὐκ ἐπέσταλκας· ἀλλ' ἀγάπην μὲν περὶ ἡμᾶς ἐπιδείκνυσαι καὶ ἀπόντας πολλήν, γραμμάτων δὲ ἡμῖν οὐ μετέδωκας τῶν σῶν. νῦν γοῦν ἡμῖν γράψαι μὴ κατοκνήσῃς, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλῶν· ὡς ἡμεῖς γε, καὶ μὴ γράφοντός σου, τὰ σὰ περιεργαζόμεθα, καὶ ἔγνωμεν ὅτι καὶ τῆς στολῆς ἐξεβλήθητε, τὴν ὑμῖν πρέπουσαν παῤῥησίαν ἐπιδειξάμενοι. τοῦτο ὑμῖν μισθός, τοῦτο πραγματεία οὐράνιος, τοῦτο στέφανος ἀκήρατος, τοῦτο βραβείων πλῆθος. ταῦτ' οὖν ἅπαντα λογιζόμενοι, γενναίως φέρετε τὰ συμπίπτοντα. ἱκανὸς γὰρ ὁ Θεὸς καὶ τοὺς πειρασμοὺς λῦσαι τούτους, καὶ ταχίστην ποιῆσαι γαλήνην, καὶ τῆς ὑπομονῆς ὑμῖν ταύτης πολὺν ἐν τῷ παρόντι βίῳ, καὶ ἐν τῷ μέλλοντι ἀποδοῦναι τὸν μισθόν.

σιε. ΦΙΡΜΙΩ.

Εἰ καὶ τὴν συνουσίαν σου μεγάλα ἡμᾶς τὸ ἀῤῥωστεῖν σε ἐζημίωσεν, εἰς δὲ τὴν ἀγάπην οὐδὲν μικρὸν παρέβλαψεν. ἤρκεσε γὰρ ἡμῖν καὶ τὸ ἅπαξ σοι συγγενέσθαι εἰς τὸ γενέσθαι σου σφοδροὺς ἐραστάς. τούτου δὲ αἴτιος αὐτός, οὕτως ἐκ προοιμίων σφοδρὸν καὶ μανικὸν περὶ ἡμᾶς ἐπιδειξάμενος ἔρωτα, καὶ οὐκ ἀφεὶς δεηθῆναι τῆς ἀπὸ τοῦ χρόνου πείρας, ἀλλ' ὁμοῦ τε φανείς, καὶ ἑλών, καὶ μετ' ἀκριβείας σεαυτῷ προσδήσας ἡμᾶς. διὰ δὴ τοῦτο καὶ ἡμεῖς γράφομεν, καὶ ἅπερ ἐπιθυμεῖς ἀκοῦσαι, δηλοῦμεν. τίνα δὲ ταῦτά ἐστιν; ὑγιαίνομεν, ἀδεῶς τὴν ὁδὸν διηνύσαμεν, ἐντρυφῶμεν ἡσυχίᾳ καὶ ἀπραγμοσύνῃ πολλῇ, πολλῆς παρὰ πάντων ἀπολαυόμεν εὐνοίας, ἄφατον καρπούμεθα παραμυθίαν· οὐδεὶς ὁ ἐλαύνων ἐνταῦθα, οὐδὲ ἐνοχλῶν. καὶ τί θαυμάζεις, εἰ ἐν τῇ πόλει; ὅπουγε καὶ τὴν ὁδὸν μετὰ πολλῆς ἠνύσαμεν τῆς ἀδείας; δήλου δὴ καὶ αὐτὸς ἡμῖν τὰ σά, ἵνα ὥσπερ σε τούτοις ἥσαμεν τοῖς διηγήμασιν, οὕτω καὶ αὐτοὶ πολλῆς ἀπολαύσωμεν τῆς εὐφροσύνης, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς μανθάνοντες. οἶσθα γὰρ ἡλίκην ἐντίθησι τὴν ἡδονὴν τοῖς φιλεῖν ἐπισταμένοις γνησίως, τὸ χρηστόν τι περὶ τῶν ἀγαπωμένων μανθάνειν.

σις. ΧΑΛΚΙΔΙΑ.

Οἶδα τὴν ἀγάπην, ἣν ἔχεις περὶ ἡμᾶς ἄνωθεν καὶ ἐξ ἀρχῆς, καὶ ὅτι ἀκμάζουσαν αὐτὴν διατηρεῖς, καὶ ὅτι αὐτῇ καὶ προσθήκας ἐργάζῃ· καὶ οὐ μόνον οὐδὲν αὐτὴν εἴασας ἀμαυροτέραν γενέσθαι ἀπὸ τοῦ χωρισμοῦ καὶ τοῦ τοσούτου χρόνου, ἀλλὰ καὶ μᾶλλον αὐτὴν ἀνάπτεις. οἶδα ὅτι καὶ μετὰ πολλῆς δέχῃ τῆς εὐφροσύνης τὰ παρ' ἡμῶν γράμματα, καὶ ὅτι καὶ γράφουσα καὶ σιγῶσα ὁμοίως περὶ ἡμᾶς διάκεισαι, πολλὴν

λὴν τοῦ πράγματος ἐν πολλῷ τῷ χρόνῳ τὴν πεῖραν εἰληφώς. διὸ δὴ παρακαλοῦμεν τὴν τιμιότητά σου καὶ περὶ ἡμῶν οὕτω διακεῖσθαι. πολλὰ γὰρ ἐνέχυρά σου τῆς γνησίας ἀγάπης ἔχομεν, πολλὰ ὑπομνήματα. διὸ καὶ ἐν τῇ ψυχῇ σε διηνεκῶς περιφέρομεν, ἐγκολάψαντες ἡμῶν τῇ διανοίᾳ, καὶ τὴν μνήμην σου ἄλυτον ἔχομεν, κἂν μὴ διηνεκῶς γράφωμεν, διὰ τὴν ἀπορίαν τῶν γραμματηφόρων ἐγκοπτόμενοι. ταῦτ' οὖν εἰδυῖα, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη, γράφε καὶ αὐτὴ συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. ἡμεῖς γὰρ, κἂν μὴ δεξώμεθα γράμματα, τοὺς ἐκεῖθεν ἐρχομένους συνεχῶς ἐρωτῶμεν τοῦτο· βουλόμεθα δὲ καὶ παρὰ τῆς κοσμιότητος τῆς σῆς συνεχῶς δέχεσθαι ἐπιστολὰς εὐαγγελιζομένας ἡμᾶς τὰ περὶ τῆς ῥώσεως τῆς σῆς.

γρ. φιλίας

σιζ. ΧΑΛΚΙΔΙΑ ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑ.

Οἶδα ὅτι σφόδρα ὑμᾶς διετάραξε τῶν ἐπαλλήλων πειρασμῶν ἡ συνέχεια τῶν ἐπενεχθέντων τῷ κυρίῳ μου τῷ τιμιωτάτῳ καὶ εὐλαβεστάτῳ πρεσβυτέρῳ. ἀλλὰ μηδὲν ὑμᾶς τοῦτο θορυβείτω. ὁ γὰρ διὰ τὸν Θεὸν ταῦτα πάσχων, ὅσῳπερ ἄν τι χαλεπώτερον πάθῃ, μειζόνων ἀπολαύει στεφάνων. ἱκανὴν τοίνυν ἔχουσαι ταύτην τὴν παράκλησιν, φέρετε γενναίως καὶ εὐχαρίστως τὰ συμπεπτωκότα, δοξάζουσαι τὸν Θεὸν ἐφ' ἅπασι τοῖς συμβαίνουσιν. οὕτω γὰρ καὶ ὑμεῖς κοινωνοὶ γενήσεσθε τῶν ἀποκειμένων αὐτῷ μισθῶν καὶ στεφάνων, ὑπὲρ ὧν γενναίως καὶ πρᾴως ἠνέγκατε τὰ συμβάντα. ἴστε γὰρ ὅτι ὅδε ὁ παρὼν βίος, καὶ τὰ χρηστὰ αὐτοῦ καὶ τὰ λυπηρὰ παροδεύεται· καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ ὅτι στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. παρακληθεῖσαι οὖν καὶ διὰ τούτων, καὶ διὰ τῆς παρουσίας αὐτοῦ, ἅπαν ἀθυμίας διασκεδάσατε νέφος, χαίρουσαι, εὐφραινόμεναι ἐπὶ τοῖς τούτου παθήμασι. καὶ γὰρ ἄφατος αὐτῷ ἐντεῦθεν κεῖται ὁ καρπὸς καὶ ἀκήρατος.

σιη. ΧΑΛΚΙΔΙΑ.

Ἐγὼ μὲν σφόδρα ἐπιθυμῶ σὺν ὑμῖν εἶναι τὸν δεσπότην μου τὸν τιμιώτατον πρεσβύτερον. εἰ δὲ τὸ παραμένεσθαι αὐτόθι τοῦτο ὤφθη λυσιτελές, προτιμῶ τῆς ἐνταῦθα αὐτοῦ παρουσίας τὴν ἄδειαν αὐτοῦ καὶ τὸ τῆς ἐπικειμένης ἀπαλλαγῆναι ταραχῆς. μὴ τοίνυν νομίσῃς αὐτὸν κωλύεσθαι παρ' ἡμῶν, εἰ βούλοιτο ἀποδημεῖν. ἡμεῖς γὰρ ἕως τοῦ νῦν διὰ τοῦτο αὐτὸν ἐπέχομεν, καὶ οὐ σφόδρα τῆς τοῦ πράγματος φύσεως ἀπαιτούσης αὐτοῦ τὴν παρουσίαν, καὶ δεδοικότες μήποτε εἰς τὰς τῶν Ἰσαύρων ἐμπέσῃ χεῖρας. εἰ δὲ οὕτως ἀναγκαῖον τὸ αὐτόθι παραμένεσθαι, καὶ παρακαλοῦμεν καὶ προτρεπόμεθα ἅψασθαι τῆς ἀποδημίας. καὶ γὰρ τῷ σώματι κεχωρισμένοι ὦμεν, ἀλλὰ τῇ τῆς ἀγάπης ἀλύσει μένομεν πρὸς αὐτὸν συνδεδεμένοι. μηδέν σε θορυβείτω, παρακαλῶ, τῶν συμπιπτόντων χαλεπῶν. ὅσῳ γὰρ πλείους αἱ περιστάσεις, τοσούτῳ σοι μείζων ἡ πραγματεία, καὶ πλείων ὁ μισθὸς καὶ ἡ ἀντίδοσις παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ἂν εὐχαρίστως φέρῃς καὶ γενναίως τὰ συμβαίνοντα. οὕτω γὰρ καὶ ταῦτα εὐκαταγώνιστα ἔσται, καὶ ὁ ἐκ τῆς τούτων ὑπομονῆς σοι τικτόμενος καρπὸς ἐν τοῖς οὐρανοῖς δαψιλὴς ἔσται, καὶ πολὺ μείζων τῶν παθημάτων.

ἴσ. ἡμῖν

γρ. τῇ τῆς ἀγάπης ἀλύσει

σιθ. ΧΑΛΚΙΔΙΑ.

Οὐχ ὡς ἔτυχεν ἠλγήσαμεν, μαθόντες ἐν τοσαύτῃ σε ἀῤῥωστίᾳ εἶναι. οἶδα γὰρ ὅπως ἀντεχόμεθά σου τῆς ὑγιείας, κυρία μου κοσμιωτάτη καὶ εὐλαβεστάτη. ἵν' οὖν μὴ κατατεινώμεθα τῇ φροντίδι, διά τινος τῶν ἐντεῦθεν ἀφικνουμένων τοῦτο αὐτὸ δηλῶσαι ἡμῖν σπούδασον, εἴ σοι τέλειον τὰ τῆς ἀῤῥωστίας ἀνῄρηται, καὶ πρὸς καθαρὰν ἐπανῆλθες ὑγείαν. οὐδὲ γὰρ τὴν τυχοῦσαν καρπούμεθα εὐφροσύνην καὶ ἐν ἐρημίᾳ τοσαύτῃ καθήμενοι, ὅταν ὑπὲρ τῶν ἀγαπώντων ἡμᾶς γνησίως περὶ τῆς ὑγιείας καὶ εὐθυμίας μανθάνωμεν. εἰδυῖα τοίνυν ἡλίκα ἡμῖν χαρίζῃ τοιαύτην πέμπουσα ἐπιστολήν, μὴ μελλήσῃς, μηδὲ ὑπερθῇ, ἀλλ' εὐθέως τοῦτο ποιῆσαι παρακλήθητι· ἵν', ὥσπερ νῦν ὑπὸ τῆς "εὐθυμίας συνέχεας ἡμᾶς, τὴν ἀῤῥωστίαν εἰποῦσα, οὕτω τὴν ὑγείαν ἀπαγγείλασα τὴν σήν, πολλῆς ἡμᾶς "ἐμπλησθῆναι τῆς ἡδονῆς.

ἀθυμίας

ἐμπλήσεις

σκ. ΧΑΛΚΙΔΙΑ.

Ὁ Θεός σοι τὸν μισθὸν δῴη καὶ ἐνταῦθα, καὶ ἐν τῷ μέλλοντι αἰῶνι, τῆς περὶ ἡμᾶς αἰδοῦς καὶ τιμῆς καὶ γνησίας ἀγάπης. οὐδὲ γὰρ νῦν μόνον, ἀλλὰ καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς οἶδα σαφῶς, ὅπως περὶ ἡμᾶς διατεθῆναι ἐσπούδακας. διὰ τοῦτο καὶ ἐκ τοσούτου καθήμενος διαστήματος, καὶ πολλῷ τῷ τῆς ὁδοῦ εἰργόμενος μέσῳ, καὶ ἐν πολλαῖς ὢν ἐνταῦθα θλίψεσι, διά τε τὴν ἐρημίαν τοῦ χωρίου τούτου, διά τε τοὺς συνεχεῖς κινδύνους καὶ τὰς ἐπαλλήλους τῶν λῃστῶν ἐφόδους, διά τε τὴν τῶν ἰατρῶν σπάνιν, οὐδενὶ τούτων κωλύομαι μεμνῆσθαί σου διηνεκῶς τῆς ἐμμελείας, ἀλλὰ τὴν ἀγάπην, ἣν ἐξ ἀρχῆς καὶ περὶ σέ, καὶ περὶ τὸν οἶκόν σου ἔσχηκα, ταύτην ἀκμάζουσαν διατηρῶ καὶ νῦν, οὐδὲν οὐδὲ ἀπὸ τοῦ χρόνου, οὐδὲ ἀπὸ τοῦ μήκους τῆς ὁδοῦ μαραίνεσθαι αὐτὴν ἀφιείς. τοιοῦτον γάρ ἐστι τὸ ἀγαπᾶν γνησίως. καὶ σὲ παρακαλῶ κατὰ τὴν σύνεσίν σου καὶ τὴν εὐλάβειαν φέρειν τὰ συμπίπτοντα ἅπαντα γενναίως. οἶδα γὰρ ὅτι ἐκ πρώτης ἡλικίας ἄχρι τοῦ νῦν, διὰ ποικίλων καὶ παντοδαπῶν ἐλθοῦσα ὥδευσας πειρασμῶν, καὶ δύνασαι μετ' εὐκολίας τὸν τῆς ὑπομονῆς ἆθλον ἀγωνίζεσθαι, ὥσπερ οὖν καὶ ἠγώνισαι πολλάκις, καὶ λαμπροὺς ὑπὲρ τούτων σεαυτῇ παρέθου τοὺς στεφάνους. εἰ δὲ μείζων ἐστὶ τῶν παρελθόντων, ἀλλὰ καὶ ὁ στέφανος πλείων. μηδὲν οὖν σε ταραττέτω τῶν ἐπαγομένων δεινῶν· ἀλλ' ὅσῳπερ ἂν αὔξηται τὰ κύματα, καὶ μεῖζον γίνηται τὸ κλυδώνιον, τοσούτῳ μείζονα ἀνάμενε τὴν ἐμπορείαν, καὶ πολλῷ πλείονα τὰ ἔπαθλα τῶν ἱδρώτων, καὶ μείζονα καὶ λαμπρότερα. Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς. ὅλως γὰρ τὰ παρόντα, καὶ τὰ χρηστὰ καὶ λυπηρὰ τοῦ βίου τούτου, καὶ ἑκάτερα ὁμοίως παροδεύεται, καὶ οὐδὲν αὐτῶν πάγιον, οὐδὲ πεπηγός, ἀλλὰ μιμεῖται "τὴν φύσιν, ὁμοῦ τε φαινόμενα καὶ παρατρέχοντα. καθάπερ οὖν ὁδῖται καὶ ὁδοιπόροι, ἄν τε διὰ λειμώνων ὁδεύωσιν, ἄν τε διὰ φαράγγων, οὐδεμίαν οὔτε ἐντεῦθεν καρποῦνται τὴν ἡδονήν, οὔτε ἐκεῖθεν ὑπομένουσι λύπην (ὁδῖται γάρ εἰσιν, οὐχὶ πολῖται, ἑκάτερα παρατρέχοντες, καὶ πρὸς τὴν πατρίδα τὴν ἑαυτῶν ἐπειγόμενοι) οὕτω γὰρ παρακαλῶ καὶ ὑμᾶς, μήτε πρὸς τὰ φαιδρὰ τοῦ παρόντος κεχηνέναι βίου, μήτε ὑπὸ τῶν λυπηρῶν καταβαπτίζεσθαι· ἀλλ' ἓν μόνον σκοπεῖν, ὅπως εἰς τὴν κοινὴν ἁπάντων ἡμῶν πατρίδα μετὰ πολλῆς παραγένησθε τῆς παῤῥησίας, ἐπειδήπερ τοῦτο ἐστι τὸ μόνον καὶ πεπηγὸς καὶ ἀθάνατον ἀγαθόν· τὰ δὲ ἄλλα πάντα, ἄνθος χόρτου, καὶ καπνός, καὶ εἴ τι τούτων εὐτελέστερον.

Ῥωμ. η. ιη.

ἡ μιμεῖται τῶν … ῥευμάτων

σκα. ΧΑΛ-

σκα΄. ΧΑΛΚΙΔΙΑ ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑ.

Οὐδὲν ὑμῖν ἀπολογίας δεῖ πρὸς τὸ μὴ παραγενέσθαι. ἐμοὶ γὰρ ἀπὸ τῆς γνώμης παραγεγόνατε, καὶ οὐδὲν ἔλαττον ἔχετε παρ' ἡμῖν τῶν ἀφικομένων ἐνταῦθα. διὸ καὶ χάριν ὑμῖν ἔχω πολλήν, τὴν γνησίαν ὑμῶν εἰδὼς διάθεσιν, καὶ ὑπὲρ τῆς ἀπουσίας πολλὴν ἔχω συγγνώμην, διά τε τὴν τοῦ σώματος ἀρρωστίαν καὶ τὴν τοῦ ἔτους ὥραν καὶ τὸν τῶν λῃστῶν φόβον. γράφετε δὴ μὴ κατοκνεῖτε συνεχῶς ἡμῖν, τὰ περὶ τῆς ὑγιείας ὑμῶν εὐαγγελιζόμεναι. καὶ γὰρ καὶ πόῤῥω καθήμενοι μεριμνῶμεν τὰ ὑμέτερα· κἂν μάθωμεν, ὅτι θορύβων ἐκτός ἐστε καὶ ταραχῆς, καὶ τὰ περὶ τῆς ῥώσεως ὑμῶν, οὐ τὴν τυχοῦσαν καρπούμεθα εὐφροσύνην. ταῦτ' οὖν εἰδυῖαι συνεχῶς, ἡμᾶς εὐαγγελίζεσθε ταῦτα, ἅπερ ἐπιθυμοῦμεν μανθάνειν, ἵνα καὶ ἐν ἐρημίᾳ διατρίβοντες πολλὴν ἐντεῦθεν καρπωσώμεθα τὴν παράκλησιν.

σκβ΄. ΧΑΛΚΙΔΙΑ ΚΑΙ ΑΣΥΓΚΡΙΤΙΑ.

Μηδὲν ὑμᾶς ταραττέτω τῶν συμβαινόντων, μηδὲ τὰ ἐπάλληλα τῶν πραγμάτων κύματα θορυβείτω ὑμῶν τὴν διάνοιαν. τοιαύτη γὰρ ἡ στενὴ καὶ τεθλιμμένη ὁδός, πολλὴν ἔχουσα τὴν δυσκολίαν, πολλοὺς τοὺς ἱδρῶτας καὶ τοὺς πόνους. ἀλλὰ ταῦτα μὲν παροδεύεται, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ. κἂν γὰρ στενὴ ἡ ὁδός, ἀλλ' ὁδός ἐστι· τὰ δὲ ἐκ τοῦ ταῦτα φέρειν πράως καὶ γενναίως, βραβεῖα διηνεκῆ καὶ ἀθάνατα, καὶ πολλῷ μείζονα τῶν ἱδρώτων. ἐννοοῦσαι τοίνυν καὶ τὸ ἐπίκηρον καὶ τὸ πρόσκαιρον τῆς θλίψεως, καὶ τὸ διηνεκὲς καὶ ἀθάνατον τῶν ἀμοιβῶν, φέρετε πάντα γενναίως, μηδενὶ τῶν συμπιπτόντων δυσχερῶν ταραττόμεναι. ἓν γάρ ἐστι λυπηρόν, ἁμαρτία μόνον· τὰ δὲ ἄλλα πάντα, ἐξορίαι, δημεύσεις, ἀπαγωγαί, ἐπιβουλαί, καὶ ὅσα τοιαῦτα, σκιά τίς ἐστι καὶ καπνὸς καὶ ἀράχνη, καὶ εἴ τι τούτων εὐτελέστερον. ἅτε οὖν καὶ κατὰ τὸν ἔμπροσθεν χρόνον πολλοὺς μελετήσασαι φέρειν πειρασμούς, καὶ νῦν τὴν ἁρμόττουσαν ὑμῖν ἐπιδείκνυσθε ὑπομονήν. αὕτη γὰρ ἐν ἀσφαλείᾳ καὶ ἀδείᾳ καὶ γαλήνῃ πολλῇ καταστῆσαι ὑμᾶς δυνήσεται, καὶ δοκιμωτέρας ποιῆσαι. καὶ γράφετε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς ὑμετέρας, ἂν τινας εὕρητε δι' ἰδίαν χρείαν παραγινομένους ἐνταῦθα. ἴστε γὰρ ὅπως αὐτῆς ἀντεχόμεθα, καὶ πῶς βουλόμεθα πυκνότερον περὶ ταύτης μανθάνειν.

γρ. [illegible]
γρ. [illegible]
γρ. τινας

σκγ΄. ΧΡΩΜΑΤΙΩ ΕΠΙΣΚΟΠΩ ΑΚΥΛΙΑΣ.

Ἤχησε καὶ μέχρις ἡμῶν ἡ μεγαλόφωνος τῆς θερμῆς σου καὶ γνησίας ἀγάπης σάλπιγξ, μέγα τι καὶ διωλύγιον ἐκ τοσούτου πνεύσασα τοῦ διαστήματος, καὶ πρὸς αὐτὰ ἀφικομένη τῆς γῆς τὰ πέρατα. καὶ τῶν παρόντων οὐκ ἔλαττον ἴσμεν ἡμεῖς οἱ τοσοῦτον ἀπῳκισμένοι μῆκος ὁδοῦ τὴν σφοδροτάτην σου καὶ πυρὸς γέμουσαν ἀγάπην, τὴν εἰλικρινῆ καὶ ἐλευθερίας πολλῆς καὶ παρρησίας ἐμπεπλησμένην γλῶτταν, τὴν ἔνστασιν τὴν ἀδάμαντα μιμουμένην. διὸ καὶ σφόδρα ἐπιθυμοῦμεν καὶ τῆς κατὰ πρόσωπον ἀπολαῦσαί σου συντυχίας. ἀλλ' ἐπειδὴ καὶ τούτου ἡμᾶς ἡ ἐρημία αὕτη παρείλετο, ἐν ᾗ νῦν ἐσμεν πεπεδημένοι, εὑρόντες τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον, καθὼς ἔνι, τὴν ἐπιθυμίαν πληροῦμεν τὴν ἑαυτῶν, γράφοντες, καὶ προσαγορεύοντες, χάριτας ὁμολογοῦντες ὑμῖν πολλὰς ὑπὲρ τῆς σπουδῆς, ἣν διὰ παντὸς τοῦ μακροῦ τούτου χρόνου μετὰ πολλῆς ἐπεδείξασθε τῆς εὐτονίας· καὶ παρακαλοῦμεν, ἡνίκα ἂν ἐνῇ, καὶ τούτου δὲ χωρὶς διὰ τῶν ἐμπιπτόντων γραμματοφόρων, εἴ γέ τινες εὑρεθεῖεν οἱ πρὸς τὴν ἐρημίαν ταύτην ἀφικνούμενοι, τὰ περὶ τῆς

ὑγιείας

ὑγιείας ἡμῖν ἐπιστέλλειν τῆς ὑμετέρας. οἶσθα γὰρ ὅσην ἐντεῦθεν καρπωσόμεθα τὴν ἡδονήν, τῶν οὕτω θερμῶς περὶ ἡμᾶς διακειμένων τὴν ὑγίειαν πυκνότερον εὐαγγελιζόμενοι.

σκη´. ΧΡΩΜΑΤΙΩ ΕΠΙΣΚΟΠΩ ΑΚΥΛΗΙΑΣ.

Τῆς θερμῆς σου καὶ γνησίας ἀγάπης σάλπιγξ μέγα τι καὶ διαπρύσιον ἐκ τοσούτου πνεύσασα τοῦ διαστήματος, καὶ πρὸς αὐτὰ ἀφικομένη τῆς γῆς τὰ πέρατα. καὶ τῶν παρόντων οὐκ ἔλαττον ἴσμεν ἡμεῖς οἱ τοσοῦτον ἀπῳκισμένοι μῆκος ὁδοῦ, τὴν σφοδροτάτην σου καὶ πυρὸς γέμουσαν ἀγάπην, τὴν εἰλικρινῆ καὶ ἐλευθερίας πολλῆς καὶ παρρησίας ἐμπεπλησμένην γλῶτταν, τὴν ἔνστασιν τὴν ἀδάμαντα μιμουμένην. διὸ καὶ σφόδρα ἐπιθυμοῦμεν καὶ τῆς κατὰ πρόσωπον ἀπολαῦσαί σου συντυχίας. ἀλλ' ἐπεὶ καὶ τοῦτο ἡμῖν ἡ ἐρημία αὕτη περιείλετο, ἐν ᾗ νῦν ἐσμὲν πεπεδημένοι, εὑρόντες τὸν κύριόν μου τὸν τιμιώτατον καὶ εὐλαβέστατον πρεσβύτερον, καθὼς ἔνι, τὴν ἐπιθυμίαν πληροῦμεν τὴν ἑαυτῶν, γράφοντες καὶ προσαγορεύοντες, χάριτας ὁμολογοῦντες ὑμῖν πᾶσι τῆς σπουδῆς, ἣν διὰ παντὸς τοῦ μακροῦ χρόνου μετὰ πολλῆς ἐπεδείξασθε τῆς εὐνοίας. καὶ παρακαλοῦμεν, ἡνίκα ἂν ἐπανίῃ, καὶ τούτου δὲ χωρὶς διὰ τῶν ἐμπιπτόντων γραμματοφόρων, εἴ γέ τινες εὑρεθεῖεν οἱ πρὸς τὴν ἐρημίαν ταύτην ἀφικνούμενοι, τὰ περὶ τῆς ὑγιείας ἡμῖν ἐπιστέλλειν τῆς ὑμετέρας. οἶσθα γὰρ ὅσην ἐντεῦθεν καρπωσόμεθα τὴν ἡδονήν, τῶν οὕτω θερμῶς περὶ ἡμᾶς διακειμένων τὴν ὑγίειαν πυκνότερον εὐαγγελιζόμενοι.

ΚΩΝΣΤΑΝΤΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΕΠΙΣΤΟΛΑΙ τινές.

α. ΠΡΟΣ ΤΗΝ ΜΗΤΕΡΑ.

Τοῦτο μήτηρ φιλόστοργος καὶ φιλόπαις, τὸ, ἡνίκα ἂν δέῃ τι τῶν δεόντων, παραινεῖν τῷ παιδὶ καὶ ἐλαύνειν αὐτὸν οἴκοθεν καὶ πρᾴως φέρειν τὸν χωρισμόν, καὶ χαρίζεσθαι αὐτῷ πολλὰς εἰδέναι τῆς ἀποδημίας. καταλύσασα αὐτὴν τῆς φύσεως τὴν τυραννίδα, κελεύσασα ἡμᾶς ἔρημον ἀνταλλάξασθαι πόλεως, καὶ φόβον Ἰσαυρικὸν ἀδείας, καὶ τὸν χωρισμὸν ἡμῶν τῆς συνουσίας τῆς μεθ' ὑμῶν, ὥστε μηδὲν ἀναγκασθῆναι ποιῆσαι τῶν μὴ προσηκόντων. διὰ ταῦτά σοι πολλὰς χάριτας ἴσμεν, οὐχ ὅτι ἔτεκες, ἀλλ' ὅτι οὕτως ἀνέθρεψας, κἂν τούτῳ γινομένη μήτηρ, οἵαν γίνεσθαι χρή. ὡς αἵ γε τῷ πόθῳ καταμαλακιζόμεναι, καὶ περὶ τοῦ συμφέροντος τῶν παίδων τὴν πρόνοιαν αὐτῶν ἐπιζητοῦσαι, οὐ μητέρες,

ἀλλὰ παιδοκτόνοι δικαίως ἂν κληθεῖεν. ἀλλ' ὥσπερ ἐνταῦθα ἀνδρεία γέγονας καὶ σιδήρου στερροτέρα, ἄφατοι παρὰ τοῦ φιλανθρώπου Θεοῦ διὰ τῆς γνώμης ταύτης προαποθέμεναί σοι μισθοί· οὕτω παρακαλοῦμεν, καί σου δεόμεθα καὶ ἐν τοῖς ἄλλοις ἅπασι τὴν αὐτὴν ἐπιδείξασθαι φιλοσοφίαν, καὶ εἰδέναι, ὅτι μία μόνον ἐστὶ συμφορά, ἁμαρτία μόνον, τὰ δὲ ἄλλα πάντα μῦθος, δυναστεῖαι, καὶ δόξαι, καὶ τιμαὶ αἱ παρὰ ἀνθρώπων, καὶ ἡ πρὸς τὸν οὐρανὸν ἄγουσα ὁδὸς αὕτη μάλιστα ἡ διὰ τῶν θλίψεών ἐστι. Διὰ γὰρ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν, φησιν, εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ πάντες δὲ οἱ ἅγιοι, οἵ τε ἐν τῇ παλαιᾷ, οἵ τε ἐν τῇ καινῇ, ταύτην ὥδευσαν τὴν ὁδόν, ἐπιβουλευόμενοι, συνεχῶς ἐλαυνόμενοι, φυγάδες τε μετανάσται γινόμενοι, ἀπόλιδες, ἄοικοι, θανάτους ἀώρους ὑπομένοντες καὶ περὶ ὧν μάλιστα οὐδαμῶς ἐχρῆν. τί γὰρ ὀδυνηρότερον, εἰπέ μοι, ἢ χαλεπώτερον τοῦ παρὰ δεξιᾶς ἀδελφικῆς κατενεχθῆναι, καὶ ἄωρον καὶ βίαιον ὑπομεῖναι τελευτὴν μετὰ στεφάνους καὶ εὐδοκίμησιν τοσαύτην; τί δὲ ὀδυνηρότερον, καὶ μόνον, καὶ ἐν ἐσχάτῳ δοθέντα γήρᾳ κελευσθῆναι σφάττεσθαι ὑπὸ πατρικῆς χειρός, καὶ τὸν γεννησάμενον διάκονον γενέσθαι τῆς τοιαύτης σφαγῆς; μὴ γάρ μοι τοῦτο λέγε, ὅτι μετὰ ταῦτα ἀπέλαβεν αὐτὸν * *. οὐδὲν τούτων εἰδὼς ὁ δίκαιος ἐκεῖνος, ἀλλ' ὅτι πάντως αὐτὸν ἀναιρήσει, οὕτω καὶ ἀνήγαγεν εἰς τὸ ὄρος, καὶ τὸ θυσιαστήριον ᾠκοδόμησε, καὶ τὰ ξύλα ἐπέθηκε, καὶ τὴν μάχαιραν ἥρπασε, καὶ τὸ ξίφος διήλασε. καὶ γὰρ διήλασε, τό γε εἰς τὴν αὐτοῦ γνώμην ἧκον. διὸ καὶ πανταχοῦ τῆς οἰκουμένης ᾄδεται. ἂν δὲ τὸν ἔκγονον εἴπω τὸν ἐκείνου, καὶ αὐτὸν ὄψει ὑπὸ ἀδελφικῆς βασκανίας πάλιν φυγάδα καὶ ἄπολιν γινόμενον, καὶ δοῦλον, καὶ ἐν ἀλλοτρίᾳ θητεύοντα, καὶ τὸν περὶ τῶν ἐσχάτων δεδοικότα φόβον· ἂν δὲ τὸν Ἰωσὴφ τὸν πραθέντα, τὸν δουλεύσαντα, τὸν δεθέντα ἔτη τοσαῦτα, τὸν μυρία παθόντα δεινά· ἂν δὲ τὸν Μωϋσέα, τὸν τοσαῦτα παρὰ τῶν Ἰουδαίων παθόντα κακά. τὰ γὰρ τῶν * * οὐδὲ παραστῆσαι ἔνι τῷ λόγῳ. ταῦτ' οὖν ἅπαντα συναγαγοῦσα, καὶ λογιζομένη τῆς ὑπομονῆς τὸν μισθόν, θυσίαν ἀνένεγκε τῷ Θεῷ, τὸ γενναίως ἐνεγκεῖν τὰ συμπίπτοντα, καὶ διὰ πάντων αὐτὸν δοξάζειν· ἐπεὶ καὶ ὁ Ἰὼβ ἀπὸ τῶν τοιούτων ἐστεφανώθη ῥημάτων. ἀνάμενε δὴ καὶ τὴν ἐπὶ τὸ χρηστότερον μεταβολήν, καὶ μὴ διαλίπῃς τὸν Θεὸν ὑπὲρ τούτου παρακαλοῦσα, καὶ γράψαι ἡμῖν σπούδασον, ὅτι γέγονέ τι πλέον ἀπὸ τῶν ἡμετέρων γραμμάτων εἰς εὐθυμίας σοι λόγον, εἴ γε μὴ βούλει τελείαν ἡμῶν τὴν εὐφροσύνην. ἡμεῖς γὰρ ἐνταῦθα πολλῆς ἀπολαύομεν ἡδονῆς, ἐντρυφῶντες τῇ συνουσίᾳ τοῦ ἁγιωτάτου ἐπισκόπου, καὶ τῇ ἡσυχίᾳ τοῦ χωρίου τούτου" τῇ πολλῇ ἀπραγμοσύνῃ. καὶ γὰρ ὁ τῶν Ἰσαύρων πέπαυται φόβος, τοῦ χειμῶνος αὐτοὺς συνελαύνοντος εἰς τὴν αὐτῶν. μὴ δὴ τοσαύτην θολώσῃς ἡμῖν ἡδονήν. εἰ γὰρ ἔλθοι γράμματα παρὰ τῆς σῆς τιμιότητος δηλοῦντα ἡμῖν, ὅτι ὡς σοι πρέπον ἐστί, καὶ ἀξίως τῆς ὑψηλῆς σου γνώμης τὰ συμπίπτοντα φέρεις, καὶ ἐντεῦθεν πολλὴν καρπωσόμεθα εὐθυμίας προσθήκην. οὐχ ὡς ἔτυχε γὰρ ἡμᾶς ἀνεκτήσατο ἡ ἐπωφελὴς συνουσία τοῦ ἁγιωτάτου ἐπισκόπου, ὡς ἄλλους ἀντ' ἄλλων σχεδὸν ἐργάσασθαι, καὶ μὴ συγχωρῆσαι μηδὲ αἴσθησιν τῆς ξένης λαβεῖν· τοσαύτη ἡμᾶς περιστοιχίζεται ἀγαθῶν εὐφροσύνη, καὶ πλοῦτος ἡμᾶς περιέρρει πνευματικός, καὶ τὸν Θεὸν διὰ ταῦτα διηνεκῶς δοξάζοντες οὐ παυόμεθα.

Πράξ. ιδ. κβ.

Ἴσ. λείπ. καὶ

β. ΠΡΟΣ ΤΗΝ ΑΔΕΛΦΗΝ ΑΥΤΟΥ.

Συνάγει μὲν ἡμᾶς εἰς ἀγάπην καὶ φύσεως νόμος, καὶ τὸ λῦσαι τὰς αὐτὰς ὠδῖνας. ἡμεῖς δὲ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ ἑτέρωθεν, καὶ ὅθεν μάλιστα χρή, καὶ αἰδούμεθα καὶ φιλοῦμέν σου τὴν τιμιότητα, ὅτι σοι τῶν παρόντων λόγος οὐδείς· ὅτι τὸν καπνὸν ἤλασας, καὶ τὴν κόνιν ἔσβεσας, καὶ τὸν πηλὸν κατεπάτησας, καὶ κοῦφόν σοι γέγονε τὸ πλέον πρὸς τὴν ὁδὸν

τὴν

τὴν εἰς τὸν οὐρανὸν φέρουσαν, καὶ οὔτε ἀνδρὸς μέριμνα, οὔτε παιδοτροφίας φροντὶς, οὔτε οἰκίας ἐπιμέλεια, οὔτε ὁ ἐντεῦθεν τικτόμενος θόρυβος ἴσχυσεν ὑποσκελίσαι σοι τὸν δρόμον, καὶ βραδύτερον ἐργάσασθαι· ἀλλ' αὐτοῖς δὴ τούτοις τοῖς δοκοῦσιν εἶναι κωλύμασιν εἰς πλεῖον τάχος πλησίως κέχρησαι, καὶ οὐδὲ ἡ τοῦ γυναικὸς ταπεινοῦσα ἄνδρας (Πενία γάρ, φησιν, ἄνδρα ταπεινοῖ) ἴσχυσέ σε κατενεγκεῖν, ἀλλὰ καὶ ὑψηλοτέραν εἰργάσατο. τοιοῦτον γὰρ ἀρετὴ, οὐδενὶ τῶν ἀραχνίων τούτων ἐμποδίζεται, ἀλλὰ διασπάσασα αὐτὰ εὐκολώτερον ἢ τὰς ἀράχνας ταύτας, κέρδος ἐντεῦθεν συνάγει πολύ. ταῦτα οὐχ ἁπλῶς ἐπεστάλκαμέν σου τῇ τιμιότητι, ἀλλ' ἐπειδὴ στοχαζόμεθα καὶ τῇ ἀποδημίᾳ τῇ ἡμετέρᾳ, τῷ τε θορύβῳ τῶν αὐτόθι πραγμάτων σφόδρα σε διαταράττεσθαι καὶ ἀλύειν, τούτου χάριν γεγράφαμέν σου τῇ εὐλαβείᾳ, ἵνα ἐννοήσασα ὅτι ὁδὸς στενὴ μὲν ἡ τῆς ἀρετῆς, πλατεῖα δὲ ἡ τῆς κακίας, μήτε τοὺς μετὰ ἁμαρτημάτων εὐημεροῦντας ζηλώσῃς, ἀλλὰ δακρύσῃς μειζόνως (ἐφόδιον γὰρ αὐτοῖς τῆς τιμωρίας ἡ εὐημερία γίνεται) μήτε τοὺς τὴν στενὴν ὀδυνωμένους ταλανίσῃς, ἀλλὰ καὶ μακαρίσῃς μειζόνως, αἳ μετ' ἀρετῆς ὀδυνῶσι. καὶ γὰρ καὶ τούτοις ἐφόδιον καὶ προσθήκη τιμῶν καὶ στεφάνων μετὰ τῆς ἀρετῆς καὶ ἡ στενοχωρία γίνεται τῶν παρόντων. ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος οὐ διὰ τοῦτο μόνον ἀποτηγανίζεται, ὅτι ὠμὸς καὶ ἀπάνθρωπος ἦν, ἀλλ' ὅτι καὶ ἐν πλούτῳ πολλῷ μεῖζον καὶ δαψιλῆ παρατιθέμενος τράπεζαν· ὁ δὲ Λάζαρος διὰ τοῦτο ἐστεφανοῦτο, ὅτι μετὰ πολλῆς τῆς καρτερίας τὸν χαλεπὸν τῶν ἑλκῶν ἤνεγκε πόλεμον, τὴν πενίαν, τὴν ἐρημίαν τῶν προστησομένων, τὸ ἀπερρίφθαι, τὸ καταφρονεῖσθαι, τὸ προκεῖσθαι τράπεζα ταῖς τῶν κυνῶν γλώσσαις. ταῦτα γὰρ πάντα εἰ καὶ παρὰ τῶν ἡμετέρων ἐπίστασαι γραμμάτων, ἀλλ' ἀναγκαῖον εἶναι νομίσαντες καὶ παρ' ἡμῶν σε ἀναμιμνήσκεσθαι, ἐπεστάλκαμεν, ὥστε μὴ τῇ τυραννίδι τῆς ἀθυμίας θολοῦσθαι. εἰ γὰρ καὶ μὴ βουλόμεθα πάντα ἐνθεῖναι τοῖς γράμμασιν, οἶδα σαφῶς ὅσα ὑμᾶς περιέστηκε λυπηρὰ, καὶ διὰ τοῦτο προσέθηκα τὴν ἐπιστολήν. ἵν' οὖν καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες πολλῆς ἀπολαύσωμεν τῆς ἡδονῆς, πέμψον ἡμῖν γράμματα δηλοῦντα ἡμῖν, ὅτι ἴσχυσεν ἡμῶν αὕτη ἡ παραίνεσις ὡς ἐβουλόμεθα καὶ ἐπεθυμοῦμεν. οὕτω γὰρ καὶ πόῤῥω καθήμενοι πολλὴν ἐντεῦθεν καρπωσόμεθα τὴν εὐφροσύνην. ἡμεῖς γὰρ καίτοι τοσαῦτα πεπονθότες οὐδενὸς αἰσθανόμεθα, τόν τε μισθὸν ἐννοοῦντες, ὧν ἐπάθομεν, καὶ ταχίστην ἐπὶ τὸ βέλτιον μεταβολὴν τὰ πράγματα προσδοκῶντες λήψεσθαι, ὡς καὶ αὐτὰ τὰ προοίμια δείκνυσι. ταῦτ' οὖν καὶ αὐτὴ λογιζομένη, μηδὲν καταμαλακισθῇς πρὸς τοὺς τῆς ὑπομονῆς ἱδρῶτας, ἀλλὰ τῶν τε ἄλλων σου παιδίων ἐπιμελοῦ (πλείων γάρ σοι νῦν ὁ μισθὸς) καὶ τὴν καλὴν Ἐπιφάνιον κατὰ τὸν Θεὸν δοκοῦν ἀνατρέφειν σπούδαζε. οἶσθα γὰρ ὅσος παιδοτροφίας μισθός. οὕτως ὁ Ἀβραὰμ ηὐδοκίμησε μετὰ τῶν ἄλλων, καὶ ἐντεῦθεν ὁ Ἰὼβ ἐστεφανοῦτο, καὶ τοῖς γονεῦσι τοῦτο συνεχῶς ὁ μακάριος Παῦλος ἐπιτάττει λέγων· Ἐκτρέφετε τὰ τέκνα ὑμῶν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. ἔχεις σχολὴν ἱκανὴν ἀπαλλαγεῖν σε τῶν περιττῶν καὶ ἀκαίρων φροντίδων καὶ τῆς ἀνοήτου λύπης· σχολὴν πολλὴν φέρουσαν κέρδος, μεγάλῳ τῷ τῆς ἀρετῆς δυναμένην βρύειν καρπῷ, εἴ γε βουληθείης ἔργον τοῦτο ποιήσασθαι. περὶ γὰρ τῆς δεσποίνης μου τῆς μητρὸς, οὐδὲν οἶμαι δεῖν οὐδὲ ἐπιστέλλειν· [illegible] σοι συνοῖδα μετὰ τῶν ἄλλων καὶ τοῦτο τὸ κατόρθωμα, καὶ τὸν ἄφατον ἐντεῦθεν καρπὸν, καὶ ὅτι παιδίσκην ἅπασαν ὑπερηκόντισας ἐν τῇ περὶ αὐτὴν θεραπείᾳ. ἀλλ' ὅμως ἐπειδὴ πρέπον ἐν ἐμοὶ καὶ περὶ τούτου διαλεχθῆναι, ἄκουσον τοῦ μακαρίου Παύλου λέγοντος, Τιμᾶν τοὺς γονέας, καὶ προστεθέντος, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίαις. ἂν οὕτω σαυτὴν ἄγῃς, πολλοὺς μὲν σαυτῇ προαποθήσῃ τοὺς στεφάνους, πολλὴν δὲ ἡμῖν ἐργάσῃ τὴν ἡδονήν· καὶ οὐδὲ πεπονθέναι τι τούτων ἡγησόμεθα, ὧν πεπόνθαμεν, καὶ διὰ τοῦτο· ἀλλὰ τῷ ὄγκῳ τῆς εὐφροσύνης τῶν σῶν ἀγαθῶν πτερούμενοι καὶ εἰς τὰ οἴκαδε εἶναι καὶ μεθ' ὑμῶν διάγειν καὶ κατὰ ῥοῦν ἡμῖν ἅπαντα φέρεσθαι ἡγησόμεθα.

Παροιμ. ι δ.

Ἐφ. ς. δ.

Ἐφ. ς. β.

ς'. ΠΡΟΣ ΟΥΑΛΕΡΙΟΝ ΚΑΙ ΔΙΟΦΑΝΤΟΝ πρεσβυτέρους.

Μάλιστα μὲν καὶ μὴ γράψαντι γράψαι ἐχρῆν. τοιοῦτος γὰρ τῆς ἀγάπης ὁ νόμος· οὐκ ἀνέχεται ἐλαττοῦσθαι, ἀλλ' ἀεὶ φιλονεικεῖν κἂν τοὺς ἀγαπωμένους τῇ περιουσίᾳ τοῦ φίλτρου. καὶ γράψαντα δὲ καὶ ἅπαξ καὶ δὶς οὐδὲ οὕτως ἠξιώσατε τῶν ὑμετέρων γραμμάτων, ἀλλ' ἐσιγήσατε σιγὴν οὕτω μακρὰν πρὸς ἄνθρωπον ἐπιθυμοῦντα δέχεσθαι ὑφάδας γραμμάτων. καὶ ταῦτα οὐκ ἐγκαλῶν λέγω (οὐχ οὕτως ἀγνοῶ μου τὰ μέτρα) ἀλλ' ἀθυμῶν καὶ ὀδυνώμενος. ὅσῳ γὰρ μετὰ πολλῆς τῆς ὑπερβολῆς ἐπιθυμῶ τῶν γραμμάτων, τοσούτῳ καὶ πλείονα τὴν ὀδύνην ἀποστερούμενος αὐτῶν ὑπομένω. μικρᾶς οἴεσθε παρακλήσεως ἡμᾶς δεῖσθαι μηδὲ ἐκπεπτωκότας, χρόνον τοσούτων γνησίων οὐ δυνάμενος βλέπειν, ἐρημίαν οἰκοῦντα πάσης ἐρημίας χαλεπωτέραν Ἰσαύρων, φόβῳ πολιορκούμενον μετὰ τῶν ἐμῶν, καὶ τὰ κοινὰ καθ' ἑκάστην ἡμέραν ἀκούοντα κακὰ πανταχοῦ τῆς οἰκουμένης βαστάζοντα, καὶ καθ' ἑκάστην ἡμέραν μετὰ προσθήκης αὐξανόμενα, καὶ χαλεπά τινα ὠδίνοντα; ἀνάγκα; εἴθε μοι δυνατὸν ἦν παραστῆσαι τῷ λόγῳ τῆς ἀθυμίας τὴν τυραννίδα, τότε ἂν καὶ μὴ λεγόντων ἡμῶν αὐτοὶ ἂν μετέγνωτε ἐπὶ τῇ σιγῇ. λυπεῖ δέ με πρὸς τούτοις τὸ μήτε εἰς γραμματοφόρων οὐδὲν ἔχοντας καταφυγὴν τοῦτο ποιῆσαι· ὅπερ σημεῖόν ἐστιν. ἀλλ' ἐγὼ μὲν οὐκ ἂν εἴποιμι δυσχερές, ὑμῖν δὲ καταλιμπάνω εἰδέναι, εἰ μὴ πολλῆς ταῦτα ὀλιγωρίας καὶ τῆς καθ' ἡμῶν ὑπεροψίας. ἀλλ' οὐδέν μοι τούτου μέλει. κἂν καταφρονῆτε, κἂν ὑπερορᾶτε τῆς ἡμετέρας σμικρότητος· ἓν ἐπιζητῶ μόνον, ὅπως ἂν διακένηθε, τὰ γράμματα τῆς θεοσεβείας ὑμῶν τὰ πολλὴν ἔχοντα παράκλησιν. καὶ γὰρ εἷς καὶ δεύτερος πολλάκις ἀφίκοντο πρὸς ἡμᾶς, καὶ νῦν ὁ κύριός μου ὁ τιμιώτατος ἀδελφὸς Λιβάνιος, καὶ οὐκ ἠξιώσατε ἡμᾶς τῶν ὑμετέρων γραμμάτων. μὴ δὴ προσθῆτε, παρακαλῶ, τῇ ἀθυμίᾳ μου ἀθυμίαν ἑτέραν. εἰ γὰρ μηδὲ μετὰ τὴν ἐπιστολὴν ταύτην βουληθείητε ἡμῖν ἐπιστεῖλαι, ἢ ὄκνῳ, ἢ ῥᾳθυμίᾳ ἐνδόντες, ἡμεῖς οὐ παυσόμεθα καὶ γράφοντες, καὶ μετὰ τοῦ γράφειν καὶ ὀλοφυρόμενοι καὶ θρηνοῦντες διὰ τὴν σιγὴν τὴν ὑμετέραν. τοῦτο γὰρ ἐσμὲν κύριοι. οὐ μικρὸν δὲ καὶ τοῦτο ἡμῖν εἰς παράκλησιν, μᾶλλον δὲ τοῦτο χωρίς, ἡ μεγίστη ἡμῶν παραμυθία, τὸ μέχρι τῆς ἐρημίας αὐτῆς καὶ τῶν περάτων τῆς γῆς (πρὸς γὰρ αὐτὰ τὰ πέρατα σχεδόν ἐσμεν νῦν) φήμην ὑμῶν διαδίδοσθαι λαμπρὰν κομίζουσαν ὑμῶν τὰ κατορθώματα. πάντες γὰρ ὑμᾶς ἀνακηρύττουσι, θαυμάζουσι, στεφανοῦσι, μακαρίζουσι τῆς ἀνδρείας, τῆς στερρότητος, ἣν διὰ τῶν ἔργων ἐπεδείξασθε, τὸ γραφικὸν ἐκεῖνο πληροῦντες, Ἕως θανάτου ἀγώνισαι περὶ τῆς ἀληθείας, καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ. ἰδοὺ τοίνυν, τοσούτων κυμάτων ἐπενεχθέντων, τοσαύτης ζάλης διαναστάσης, οὔτε θορυβῆσαί τις ὑμᾶς ἴσχυσεν, οὔτε εἰς ὁτιοῦν παραβλάψαι, ἀλλὰ καὶ μειζόνων ὑμῖν ἐγκωμίων ἄκοντες γεγόνασιν, οἱ κακῶς ὑμᾶς ποιῆσαι βουλόμενοι, αἴτιοι. διὰ ταῦτα χαίρετε, παρακαλῶ, καὶ εὐφραίνεσθε, καὶ τὸν Θεὸν ἱκετεύοντες μὴ διαλίπητε, τὸν τοιοῦτα καὶ μετασκευάζοντα· ποιήσει γὰρ ταχέως ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα, ἢ νοοῦμεν, διὰ τὴν οἰκείαν ἀγαθότητα.

ἴσ. φιλνικ. κἂν τοῖς ἀγα.

ἴσ. ὑμῖν

ἴσ. τίς

ἴσ. τίνι

Σειρ. δ'. λα.

Ἐφ. γ'. κ'.

η'. ΠΡΟΣ ΚΑΣΤΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ.

Πῶς διαλάμπει σαφῶς καὶ λαθεῖν οὐ δύναται ψυχὴ θερμὴν ἀγάπην ἔχουσα; ὅπως ἐπὶ τῆς σῆς γέγονε τιμιότητος. οὐδὲ γὰρ εἰδὼς ὅτι ἐπεστάλκαμέν σου τῇ εὐλαβείᾳ, καίτοι γε ἐπεστάλκαμεν, ὅμως αὐτὸς τὰ παρὰ σαυτοῦ πεποίηκας. γράψατε ἡμῖν, καὶ τὴν

διάθεσιν

διάθεσίν σου τὴν γνησίαν καὶ ἐν τούτῳ ἐπιδειξάμενος, καὶ πολλῆς ἡμᾶς ἐμπλήσας τῆς εὐφροσύνης καὶ τῆς παρακλήσεως. ἵν' οὖν συνεχῶς ταύτης ἀπολαύωμεν τῆς ἡδονῆς, καὶ εὐφραινώμεθα, συνεχῶς τοῦτο ποιεῖν παρακέκλησο, ἡνίκα ἂν δόξῃ. οἴδαμεν γὰρ ὅτι τὸ πρᾶγμα δύσκολόν τι μὴ ῥᾳδίως τινὰς ἐνταῦθα παραγίνεσθαι. καὶ γὰρ τὸ τῆς οἰκουμένης ἐρημότατον χωρίον τοῦτό ἐστιν. ἀλλ' ὅμως τοῖς ἀγαπῶσι καὶ τὰ δύσκολα εὔκολα γίνεται. εἰ γὰρ βουληθείης περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, τοὺς ἐκεῖθεν κατὰ χρείας ἰδίας ἀφικνουμένους εὑρήσεις, καὶ ὅλως οὐδὲν ἐπιλείψει τῷ ζητοῦντι καθόδου. ταῦτ' οὖν εἰδὼς, δέσποτά μου τιμιώτατε, συνεχεῖς ἡμῖν πέμπε ἐπιστολάς. τό τε γὰρ πρᾶγμα δυσκολίαν οὐδεμίαν ἔχει, οὔτε πόνον· ἡ δὲ ἐξ αὐτοῦ εὐφροσύνη πλεονάζεσθαι ἡμᾶς ποιεῖ, καὶ πολλῆς παραμυθίας ὑπόθεσις γίνεται.

ε. ΠΡΟΣ ΚΥΡΙΑΚΟΝ ΠΡΕΣΒΥΤΕΡΟΝ.

ΚΑὶ ἐν τούτῳ ἐθαύμασά σου τὴν ἀγάπην τὴν θερμὴν καὶ γνησίαν καὶ ἀκλινῆ, δι' ἧς ἔδειξας, ὅτι οὐ παρόντων ἡμῶν, ἀλλὰ καὶ ἀπόντων, πολλὴν ποιῇ λόγον. αὐτὸς μὲν γὰρ ἔφης μηδὲ ἐπεσταλκέναι ἡμᾶς τῇ τιμιότητί σου, καὶ οὐκ ἐγένετο τοῦτο ἱκανὸν ἐμποιῆσαί σοι σιγήν, ἀλλὰ καίτοι νομίσας ἡμᾶς σεσιγηκέναι, πρὸς ἐπιστολὰς ἔπεμψας πρὸς ἡμᾶς· ἡμεῖς δὲ καὶ ἅπαξ καὶ δὶς καὶ τρεῖς καὶ πολλάκις ἐπεστάλκαμεν. καὶ ἀμφότερα ἐδείχθη καλῶς, ἥ τε ἀγάπη ἡ σὴ μὴ δεηθεῖσα τῶν γραμμάτων ἡμῶν, ἥ τε εὐγνωμοσύνη ἡ ἡμετέρα. ἐπεὶ οὖν οἶσθα ὅπως διακείμεθα περὶ τὴν τιμιότητά σου, ὅτι τῷ κεφαλαίῳ τῶν ἀγαθῶν βρύεις, τῷ συνδέσμῳ τῆς τελειότητος, ἐπιδαψιλεύου ταύτην ἡμῖν τὴν εὐφροσύνην. ὅσας γὰρ ἂν λάβωμεν ἐπιστολάς, κἂν πολλαὶ ὦσι τὸν ἀριθμόν, οὐ λαμβανόμεθα κόρον, διὰ τὸ σφόδρα διακεῖσθαί σου περὶ τὴν τιμιότητα.

ΧΡΥΣΟΣΤΟΜῼ ΕΠΙΓΡΑΦΟΜΕΝΑ.

ΝΟΘΕΥΟΜΕΝΑ ΔΕ, ΩΣ ΟΙΜΑΙ,

ἐπιμὶξ καὶ ὡς ἔτυχε τιθέντα.

ΠΕΡΙ ΨΕΥΔΟΠΡΟΦΗΤΩΝ ΚΑΙ ΨΕΥΔΟΔΙΔΑΣΚΑλων, καὶ ἀθέων αἱρετικῶν, καὶ σημείων τῆς συντελείας. ἐρρέθη δὲ, μέλλοντος αὐτοῦ ἐκδημεῖν ἀπὸ τοῦ σώματος.

Λογ. α.

Ὀδυνηρὸς ὁ λόγος, καθότι καὶ ἔσχατος ὡς μηδὲ δήλωται, ἀλλὰ καὶ πολλῆς χαρᾶς γέμων. ὀδυνηρὸς μὲν, ὅτι οὐκ ἔτι λαλήσω πρὸς ὑμᾶς· πολλῆς δὲ χαρᾶς γέμων, ὅτι ἐφέστηκέ μου ὁ καιρὸς ὡς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, καὶ (καθὼς εἶπεν ὁ Χριστὸς) Οὐκέτι λαλήσω πρὸς ὑμᾶς. ἔτι δὲ λαλήσω ἐν ὀδύνῃ καρδίας, περὶ τῶν ψευδοχρίστων, καὶ ψευδοδιδασκάλων, καὶ ἀθέων αἱρετικῶν· περὶ ὧν ὁ ἀπόστολος ἔλεγε, Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι· περὶ ὧν πολλάκις ὑμᾶς μεμνήσαι. πολλοὺς γὰρ λόγους ἐποιησάμην, χάριτι Χριστοῦ, ὡς καὶ ἐπίστασθε φιλόθεοι· καὶ σχεδὸν ἐν ἑκάστῳ λόγῳ περὶ τούτων ὑπεμνήσαμεν, εἰ ἄρα μέμνησθε τῶν προειρημένων. οἶδα δὲ ὅτι μέμνησθε, καὶ μάλιστα οἱ φιλόπονοι καὶ φιλόβιβλοι καὶ φιλόχριστοι. ὁ γὰρ φιλόβιβλος δικαίως ἂν κληθείη φιλόχριστος, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ δεσπότου τοῦ Χριστοῦ· ὅτι ὁ ἀγαπῶν με, ἐν τῷ νόμῳ μου μελετήσει ἡμέρας καὶ νυκτός· δηλονότι ἐν τῷ εὐαγγελίῳ, καὶ ἐν ταῖς λοιπαῖς ἁγίων γραφαῖς. ἀνεξάλειπτον ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ τὴν τοῦ Θεοῦ μνήμην, ἀπεκδεχόμενος ἐκ τῶν οὐρανῶν, καὶ ἀεὶ τηρεῖ τὴν ὥραν τῆς αὐτοῦ παρουσίας, πάντοτε ἐν χερσὶν αὐτοῦ κατέχων τὰς ἱερὰς βίβλους· καὶ οὐκ ἐπιλήσεται ἐκείνων τῶν φοβερῶν βιβλίων, περὶ ὧν γέγραπται, ὅτι Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν. ὁρᾷς πόσον κέρδος ἐστὶ τοῦ ἐρευνᾷν τὰς θείας γραφάς, ὡς καὶ πολλάκις ἠκούσατε. τί δέ ἐστιν ὃ λέγομεν ὑμῖν; ὅτι οὐδὲν ἔλειπεν, οὐδὲ παρεσιώπησε τῶν συμφερόντων ὑμῖν ἡ θεία γραφή, ἀλλὰ πανταχοῦ κράζει διά τε προφητῶν, καὶ ἀποστόλων, καὶ αὐτοῦ τοῦ δεσπότου τῶν ὅλων, προδιαφωνοῦσα καὶ προασφαλιζομένη, ὡς μήτηρ φιλότεκνος τὰ ἴδια τέκνα φιλοῦσα προμαρτύρεται, καὶ ὑπομιμνήσκει, περὶ τῶν παρῳχηκότων, καὶ περὶ τῶν ἐνεστώτων, καὶ περὶ τῶν μελλόντων, μηδὲν παραδραμοῦσα (ὡς προείρηται) τῶν ἡμῖν συμφερόντων· καὶ οὐ τοῦτο ἐν κρυπτῷ λαλοῦσα,

Ex Ms. Cæsareo.

Ioan. ιδ. λ.

β. Τιμ. γ. ιγ.

Δαν. ζ. ι.

λαλοῦσα, οὐδὲ μὴ προφωνοῦσα, ἀλλὰ πανταχοῦ πόνῳ καὶ δυνάμει κράζουσα διά τε νόμου, καὶ προφητῶν, καὶ ἀποστόλων, καὶ αὐτοῦ τοῦ δεσπότου τῶν ὅλων. διὰ μὲν γὰρ Ησαΐου

Ησ. νη. α.
τοῦ προφήτου λέγει· Αναβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ, καὶ ὡς σάλπιγξ ὕψωσον τὴν φωνήν σου.

Ησ. μ. θ.
καὶ πάλιν λέγει, Επ' ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών· καὶ προϊὼν λέγει,

Ψαλ. ξη. δ.
Υψώσατε, μὴ φοβεῖσθε. καὶ Δαβὶδ λέγει· Εκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου. Ιωάννης ὁ θεολόγος ἐν τῇ καθολικῇ λέγει, Βλέπετε ἑαυτούς. Παῦλος δὲ τί; Βλέπετε πῶς

β. Ιωαν. η.
Εφ. ε. ιε.
ἀκριβῶς περιπατεῖτε. ὁ δὲ κύριος· Εγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν.

Ιωαν. ιη. κ.
Ιωαν. ζ. λζ.
καὶ ἀλλαχοῦ ὁ εὐαγγελιστὴς περὶ αὐτοῦ, ὅτι Εστήκει ὁ Ιησοῦς, καὶ ἔκραξε λέγων· Εάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. ὁρᾷς πόσος ἀγών, πόση σπουδή, πῶς παῤῥησίᾳ ἡ γραφὴ κράζει, καὶ οὐδεὶς ὁ συνιών;

Φιλιπ. γ. β.
Εφ. ε. ιε.
καὶ πάλιν ὁ μακάριος Παῦλος· Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν· βλέπετε πῶς περιπατεῖτε,

β. Ιωαν. ζ. η.
ὅτι αἱ ἡμέραι πονηραί εἰσι· καὶ ὁ Ιωάννης· Βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσητε ἃ εἰργάσασθε· ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον. καὶ πολλά ἐστι τοιαῦτα ἐν ταῖς γραφαῖς παλαιᾶς τε καὶ καινῆς διαθήκης, βοῶντα καὶ διυπνίζοντα ἡμᾶς ἐκ τῆς ῥαθυμίας ἡμῶν·

Ησ. ς. ι.
ἡμεῖς δὲ τὸ ἐναντίον ποιοῦμεν, καθὼς λέγει Ησαΐας ὁ προφήτης, Οτι τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν. ὢ πόσων καὶ πηλίκων γραμμάτων ἀκούοντες οὐ συνιοῦμεν; ὅθεν καὶ ἀναπολόγητοι ἐσόμεθα ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως, ὅταν ἔλθῃ φωτίζων τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερῶν τὰς βουλὰς τῶν καρδιῶν, ὅταν εἰς τὸ κριτήριον καθίσῃ, καὶ βίβλοι ἀνοιχθῶσιν, ἃς νῦν ἀκούοντες χλευάζομεν, καὶ οὐ προσδεχόμεθα. ἕκαστος γὰρ

Ησ. ξγ. ιθ.
τῇ ἰδίᾳ ὁδῷ ἐπλανήθημεν, καταλιπόντες τὴν εὐθεῖαν ὁδόν, Καὶ ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρχες ἡμῶν, Κύριε, ὥς φησιν ὁ προφήτης. καὶ ἀληθῶς εἰς ἡμᾶς ἐπληρώθη ἡ προφητεία Δαβὶδ λέγουσα,

Ψαλ. ρε. λδ.
α. Κορ. ι. ια.
Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. διὰ τοῦτο ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ, διὰ τὰς ἁμαρτίας ἡμῶν, Καὶ εἰς ἡμᾶς κατήντησε τὰ τέλη τῶν αἰώνων, ὡς γέγραπται, καὶ οἱ ποιμένες λύκοι, καὶ τὰ πρόβατα συντετριμμένα, καὶ ὁ λιμὸς ἐπὶ θύραις, οὐ λιμὸς ἄρτου, οὐ δίψα ὕδατος, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Θεοῦ. μηδεὶς οὖν τῶν ἐλπιζόντων ἐπὶ Κύριον ἀπογινωσκέτω. μὴ οὖν ἀθυμεῖτε, προορῶντες

Παροιμ. ι. γ.
Αμως. η. ια.
πάντες τὸν εἰπόντα, ὅτι μεθ' ὑμῶν εἰμι· θαρσεῖτε οὖν. Οὐ γὰρ λιμοκτονήσει Κύριος ψυχὴν δικαίου. περὶ τούτου λιμοῦ λέγει Κύριος διὰ τοῦ προφήτου· Καὶ ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, ἐπάξω λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Θεοῦ· καὶ περιδραμοῦνται ἀπὸ τῶν ἀνατολῶν ἕως δυσμῶν ζητοῦντες τὸν λόγον τοῦ Κυρίου, καὶ οὐ μὴ εὕρωσιν. ὁρᾷς ὅτι οὐ περὶ ἄρτου ἔλεγεν; ὢ λιμοῦ δεινοῦ καὶ ψυχοφθόρου, βλαβεροῦ, τῆς αἰωνίου κολάσεως προξένου. οὗτος ὁ λιμός ἐστιν ὁ χορηγὸς παντὸς πονηροῦ πράγματος· οὗτος ὁ λιμός ἐστιν ὁ αἴτιος παντὸς κακοῦ· τοῦτον τὸν λιμὸν προθεωρήσας

Ψαλ. κζ. α.
ὁ προφήτης Δαβὶδ ἐρχόμενον, παρεκάλει τὸν Θεὸν λέγων· Ο Θεός μου, μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ.

Ψαλ. λβ. ιθ.
Ψαλ. λς. κ.
Ψαλ. ρι. δ.
καὶ περὶ τῶν σπουδαίων πιστῶν προεφήτευσε λέγων· Ρύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν, καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. καὶ ἀλλαχοῦ λέγει· Καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται. καὶ πάλιν· Ελεήμων καὶ οἰκτίρμων ὁ Κύριος· τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. ταῦτα προέφη Δαβὶδ περὶ τῶν ἐρευνώντων τὰς γραφάς, ὅτι οὐ πεινάσουσιν. ἐρευνήσωμεν τὰς γραφάς, ἀδελφοί, ἵνα μὴ πεινάσωμεν, ἐλθόντος τοῦ ψυχοφθόρου λιμοῦ· ἐρευνήσωμεν, ἵνα μὴ πλανηθῶμεν καὶ περιφερώμεθα παντὶ ἀνέμῳ. διό φησιν ὁ Κύ-

Ματθ. κβ. κθ.
ριος πρὸς τοὺς ἀμελοῦντας· Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς. ἀληθῶς γὰρ οἱ τοιοῦτοι πλανῶνται. πόθεν ὁ ψυχοκτόνος ἐπῆλθε λιμός; οὐχὶ ἐκ τοῦ μὴ ἐρευνᾶν τὰς γραφάς; ὢ πόσων ἀγαθῶν ἑαυτοὺς ὑστερήσαμεν, καταλιπόντες τὰς θείας γραφάς; δεσποτικὸν γὰρ τὸ πρόσταγμα, ἐρεύνησον· ἐπιμελῶς ἐρεύνησον καὶ ζήτησον, καὶ εὑρήσεις πολὺν καὶ ἀνείκαστον πλοῦ-

τον, καὶ θησαυρὸν κεκρυμμένον ἐν τῷ ἀγρῷ. ἀγρὸν νοήσεις τὴν θείαν γραφήν. ἐρεύνησον,
καὶ εὑρήσεις· καὶ εὑρὼν, πάντα, ὅσα ἔχεις, πώλησον, καὶ ἀγόρασον τὸν ἀγρὸν ἐκεῖνον, τὴν καλὴν
γνῶσιν τῶν ἁγίων γραφῶν, ἐν αἷς κέκρυπται ὁ υἱὸς, ἡ ἀληθινὴ σοφία τοῦ πατρὸς, ὃν εὑρὼν μα-
κάριός ἐστι, καθὼς γέγραπται, ὅτι Μακάριος ἄνθρωπος ὁ εὑρὼν σοφίαν. ἐρεύνησον, ἀγαπητὲ· (Παροιμ. γ. ιγ.)
5 κἂν πλούσιος τυγχάνῃς, εἴτε πένης, εἴτε δοῦλος, εἴτε ἐλεύθερος, εἴτε ἄρσεν, εἴτε θῆλυ, ἐρευνᾶτε
τὰς γραφάς. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. περὶ γὰρ συντελείας ὁ λόγος, καὶ ψευ-
δοπροφητῶν καὶ ψευδοδιδασκάλων, καὶ περὶ ἀθέων αἱρετικῶν οὓς χειμάρρου δίκην ἐπικλυσάντων
πανταχοῦ, καὶ πλανώντων πολλούς. καὶ πόθεν τοῦτο συμβέβηκε, δῆλον· ἐκ τῆς ἀγνωσίας καὶ
ἀπειρίας τῶν προεσταμένων. ὅπου γὰρ ἀπειρία ποιμένων, ἐκεῖ παρρησία λύκων, καὶ προβά-
10 των ἀπώλεια. τί οὖν; εἴπω πρῶτον περὶ τῆς συντελείας ἡμῶν, ἢ τῶν ἀθέων αἱρετικῶν
στηλιτεύσω τὰ βέβηλα δόγματα; εἰ ἦν καιρὸς, εἶχον ἂν θριαμβεῦσαι καὶ δημοσιεῦσαι
αὐτῶν τὰ βέβηλα δόγματα. ἀλλὰ μέγας ἐστὶν ἀγὼν, καὶ πολὺς ὁ λόγος, τὰ τούτων γυμνά-
σαι καὶ θριαμβεῦσαι ἀκάθαρτα δόγματα. πλὴν πρὸς τὸ παρὸν ἀναγκαῖόν ἐστι παραστῆ-
σαι ἐκ τῶν ἁγίων γραφῶν τούτους ὡς ἐχθροὺς τοῦ Χριστοῦ, καὶ λύκους τῆς αὐτοῦ ποίμνης παν-
15 ταχοῦ ἐλαυνομένους, καὶ ἐκβαλλομένους ἔξω τῶν τοῦ Χριστοῦ προβάτων. διὸ καὶ λύκοι δι-
καίως ἐκλήθησαν ὑπὸ τῶν προφητῶν, καὶ αὐτοῦ τοῦ δεσπότου τῶν ὅλων, καὶ τῶν μακαρίων
ἀποστόλων· καὶ οὐ μόνον λύκοι, ἀλλὰ καὶ λοιμοὶ, καὶ ἀσεβεῖς, καὶ ἀντίδικοι, καὶ ἐχθροὶ, καὶ ἐπί-
βουλοι, καὶ βλάσφημοι, καὶ ὑποκριταὶ, καὶ κλέπται, καὶ λῃσταὶ, καὶ βδελυκτοὶ, καὶ ψευδο-
προφῆται, καὶ ψευδοδιδάσκαλοι, καὶ ὁδηγοὶ τυφλοὶ, καὶ πλάνηται, καὶ πονηροὶ, καὶ ἀντί-
20 χριστοι, καὶ σκάνδαλα, καὶ υἱοὶ τοῦ πονηροῦ, καὶ ζιζάνια, καὶ ἄθεοι, καὶ πνευματομάχοι οἱ
βλασφημήσαντες τὸ πνεῦμα τὸ ἅγιον, οἷς οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλ-
λοντι· δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται. πρὸς δὲ τούτοις, καὶ τέκνα τοῦ δια- (β. Πετ. β β.)
βόλου· καθὼς ἔφησεν αὐτοῖς ὁ Κύριος, Ὅτι ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ. διὸ καὶ πά- (Ιω. η. μδ.)
λιν ὁ θεολόγος· Φανερὰ τὰ τέκνα τοῦ διαβόλου. δεῖ οὖν πρῶτον περὶ τούτων ἀσφαλισθῶμεν, (α. Ιω. γ. ι.)
25 καὶ τότε περὶ τῆς συντελείας λαλῆσαι, καὶ καταπαῦσαι τὸν λόγον. ἐπεὶ οὖν εἰς ἡμᾶς
τὰ τέλη τοῦ αἰῶνος ἔφθασεν (ὡς λέγει ὁ ἀπόστολος) καὶ ἐπέστησαν οἱ χαλεποὶ καιροὶ, καὶ ἡ (α. Κορ. ι. ια.)
ἀνομία ἐπληθύνθη, καὶ ἡ ἀγάπη τῶν πολλῶν ἐψύγη, καὶ οἱ πλανῶντες πολλοὶ, καὶ οἱ πλα-
νώμενοι πλείονες· φέρε, ἀναπτύξωμεν τὰς ἱερὰς βίβλους, ἐν αἷς εὑρόντες τὴν ὁδὸν τῆς ἀ-
ληθείας, βαδίσωμεν, ἀνατρέχοντες ἐπὶ τὰ ἅγια ὄρη, προφήτας λέγω καὶ ἀποστόλους, ὅπως
30 μὴ πλανηθῶμεν καὶ περιφερώμεθα παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώ- (Εφ. δ. ιδ.)
πων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης. μὴ καταμείνωμεν, ἀλλὰ συνανέλ-
θωμεν τοῖς ἁγίοις μαθηταῖς ἐπὶ τὸ ὄρος τὸ μακάριον, καὶ ἀκούσωμεν τοῦ ἡμετέρου καλοῦ
ποιμένος λέγοντος, Βλέπετε μὴ πλανηθῆτε, Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. πανταχοῦ (Λουκ. κα η. Ματθ. κδ δ.)
τὸ βλέπετε. καὶ Ἰωάννης τὰ ὅμοια λέγει· Βλέπετε ἑαυτοὺς, ἵνα μὴ ἀπολέσητε ἃ εἰργά- (β. Ιωαν. ζ η.)
35 σασθε. καὶ ὁ Παῦλος λέγει, Βλέπετε τοὺς κύνας· Βλέπετε πῶς περιπατεῖτε. τὸ δὲ, βλέ- (Φιλιπ. γ. β. Εφ. ε. ιε.)
πετε, οὐδὲν ἕτερόν ἐστιν, εἰ μὴ πρὸς ἡμετέραν ἀσφάλειαν εἰρημένον περὶ τῶν πλανών-
των τὸν κόσμον, καὶ τῶν λύκων ὑποκρυπτόντων, καὶ ἀπατώντων τοὺς ἀμελεστέρους. πάνυ
δὲ ἀναγκαῖον· πανταχοῦ εἴρηται ἐν ταῖς γραφαῖς τὸ, βλέπετε, καὶ ὁρᾶτε, καὶ γρηγορεῖτε,
καὶ προσέχετε, οὐ μόνον ἑαυτοῖς, ἀλλὰ καὶ παντὶ τῷ ποιμνίῳ. οὐδὲν παρεσιώπησε τῶν
40 χρησίμων ἡμῖν ἡ θεία γραφή. ἐμοὶ δὲ δάκρυον ἐπέρχεται, ὅταν ἀκούσω ἀπὸ τῆς ἡμετέρας
ἐκκλησίας τινῶν λεγόντων, μὴ εἰρῆσθαι ταῦτα ἐν ταῖς θείαις γραφαῖς· καὶ τοῦτο οὐ μόνον
παρὰ λαϊκῶν, ἀλλὰ καὶ παρὰ τῶν δοκούντων εἶναι ποιμένων, καὶ τόπους ἐπεχόντων ἀποστόλων
καὶ προφητῶν, ἀλλ' οὐ τρόπους· πρὸς οὓς εὔκαιρον εἰπεῖν, οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοὶ, οἱ ἀ-
μαθεῖς καὶ ἀστήρικτοι, οἱ ἱματίων καλλωπισταὶ, καὶ οὐχὶ βιβλίων, οἱ καταλιπόντες τὸν λόγον
τοῦ

τοῦ Θεοῦ, καὶ τῇ γαστρὶ διακονοῦντες, ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, καὶ τὸ γάλα καὶ τὸ ἔριον καὶ τὰ κρέα τῆς ποίμνης καταχρώμενοι, περὶ δὲ τῶν προβάτων οὐ φροντίζοντες· περὶ ὧν λόγον ὑφέξετε ἐν τῇ μεγάλῃ ἡμέρᾳ. πῶς ἐκφεύξετε τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἐγὼ δὲ ὑπαρθεὶς τῷ λόγῳ, εἰς μέσον ὑπαρθήσω περισσοτέρας μαρτυρίας, ἀποδεικνύων ἀπὸ τῶν θείων γραφῶν, εὐαγγελίων τε καὶ προφητῶν καὶ ἀποστόλων, Χριστοῦ χορηγοῦντος, ὅπως ἐμφραγῇ στόμα λαλούντων ἄδικα, τῶν δὲ ποθούντων ἀσφάλεια. ἀρξώμεθα δὲ λέγειν πόθεν, ἢ ἐκ τοῦ εἰπόντος, [Αποκ. κα. ς.] Ἐγώ εἰμι ἡ ἀρχὴ καὶ τὸ τέλος; ἐπίστασθαι. ὡς δὲ ἕκαστος τῶν νῦν ἐάσας, ἀποθέμενος πᾶσαν βιωτικὴν μέριμναν. [Λουκ. κα. η.] εἶπεν ὁ Κύριος· Βλέπετε μὴ πλανηθῆτε. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, [Ματθ. ..] λέγοντες, ὅτι ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. καὶ πάλιν, Προσέχετε ἑαυτοῖς ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε, φησί· τουτέστιν, ἐκ τῶν λόγων, ἐκ τῆς ψευδοπροφητείας, ἐκ τῆς ὑποκρίσεως αὐτῶν, ἐκ τῆς κακοδοξίας αὐτῶν, ἐκ τῆς βλασφημίας αὐτῶν ἐπιγνώσεσθε αὐτούς. οὐ γὰρ δύναται δένδρον σαπρὸν ποιεῖν καρποὺς καλούς. πᾶν δένδρον γὰρ ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὕτω καὶ ὑμεῖς τοὺς τοιούτους ἐκ τῶν καρπῶν τῶν ἰδίων ἐπιγνώσεσθε. καὶ ἐπιγνόντες, μὴ παραλαμβάνετε αὐτοὺς εἰς οἰκίαν, καὶ χαίρειν αὐτοῖς μὴ λέγετε, μὴ ὑποκύψαντες, μὴ ἀξιώσητε λόγου, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν αὐτῶν τῶν χοίρων, ἀλλὰ προσέχετε ἀπὸ τῆς ζύμης αὐτῶν, ἤγουν τῆς αἱρέσεως. μηδεὶς δὲ ἐξ ὑμῶν ἀποκακήσῃ, ἢ περιέργως ἀκούσηται· Θεὸς γὰρ ὁ λαλῶν. ἀκούσατε τοῦ ποιμένος τὰς φωνὰς τοῦ ἀρχιποιμένος· ἀκούσατε πῶς ἀποκαλύπτει καὶ θριαμβεύει τοὺς κρυφίους λύκους· ἀκούσατε, καὶ προσέχετε καὶ ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ· βλέπετε τοὺς κλέπτας. [Ιωαν. ι α.] Ὁ γὰρ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης καὶ λῃστής. καὶ πάλιν περὶ αὐτῶν λέγει· [Ματθ. ιβ λ.] Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι. καὶ πάλιν πρὸς αὐτοὺς ἔλεγεν· [Ιωαν. η. δ] Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ. [Ματθ. κγ. ιδ.] Οὐαὶ ὑμῖν, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων. αὐτοὶ γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. [Ιωαν. ι κς.] καὶ ἀλλαχοῦ πάλιν· Ὑμεῖς οὐκ ἐστὲ ἐκ τῶν προβάτων τῶν ἐμῶν. ὁρᾷς πῶς πανταχοῦ ὁ δεσπότης στηλιτεύει καὶ θριαμβεύει τοὺς ἀσεβεῖς, ὅπως ἡμεῖς μὴ πλανηθῶμεν; ὢ τῆς ἀφάτου φιλανθρωπίας, ὢ τῆς ἀφράστου συγκαταβάσεως, ὢ τῆς ἀνεκφράστου ἀγαθότητος. τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων τούτων; τί ἀντιλογησόμεθα τῷ ἀρχιποιμένι; ὢ ποιμένες καὶ συμποιμένες (ἰδοὺ γὰρ ὀλίγα ἐκ τῶν πολλῶν) πῶς πανταχοῦ ἀσφαλιζόμενος ὁ δεσπότης διὰ τῶν ἀχράντων εὐαγγελίων βοᾷ, βλέπετε, γρηγορεῖτε, προσέχετε, σπουδάσατε, ἀγωνίσασθε; καὶ οὐ μόνον διὰ τῶν εὐαγγελίων βοᾷ, ἀλλὰ καὶ διὰ τῶν θεοφόρων προφητῶν, καὶ τῶν θεολόγων μαθητῶν τὰ ὅμοια φθέγγεται. ἐν πᾶσι γὰρ λαλεῖ ὡς βούλεται, καὶ μαρτυρεῖ μοι Παῦλος λέγων· [β. Κορ. ιγ. γ.] Τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. δεῦρο τοίνυν, παραγάγωμεν εἰς μέσον τοὺς θεολόγους, καὶ ἀκούσωμεν ἐξ αὐτῶν τί περὶ τῶν ἀθέων αἱρετικῶν ἀπαγγέλλουσιν ἡμῖν. Εἰπέ, μακάριε Πέτρε, ὃν ἐμακάρισεν ὁ Κύριος καὶ Θεὸς ἡμῶν Ἰησοῦς Χριστός· εἰπὲ καὶ ἡμῖν περὶ τῶν πλανώντων καὶ μελλόντων ἀπατᾶν τὴν τοῦ Χριστοῦ ποίμνην, ἣν σοι παρέδωκε καὶ ἐπίστευσεν ὁ ἀρχιποίμην καὶ ἐπίσκοπος τῶν ψυχῶν ἡμῶν. Εἰπὲ ὅσα σοι τὸ πνεῦμα τὸ ἅγιον ἐχορήγησε, καὶ στήριξόν σου τὴν ποίμνην, δεῖξον ἡμῖν τοὺς κρυφίους λύκους, καθὼς καὶ ὁ καθηγητής σου Χριστὸς ὁ Κύριος. [β. Πετ. γ. γ.] Πέτρος εἶπε, Τοῦτο πρῶτον γινώσκετε, ὅτι ἐλεύσονται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐν ἐμπαιγμῷ οἱ ἐμπαῖκται, κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι. [β. Πετ. β α. ιε.] καὶ πάλιν λέγει· Καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι· καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν

αὐτῶν ταῖς ἀσελγείαις, οἷς τὸ κρῖμα οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάζει· κατάρας τέκνα, καταλιπόντες τὴν εὐθεῖαν ὁδόν. Ταῦτα Πέτρος ἐφθέγξατο, Πέτρος ὁ μακάριος ἀληθῶς, Πέτρος τῆς πίστεως ἡ πέτρα, ἐφ' ἣν ᾠκοδόμησεν ὁ Χριστὸς τὴν ἐκκλησίαν· Πέτρος ὁ τὰς κλεῖς τῶν οὐρανῶν κατέχων, Πέτρος ὁ κατὰ κυμάτων πεζεύσας, ὁ θερμὸς ἐραστὴς τοῦ δεσπότου Χριστοῦ· ὁ τὸν Σίμωνα τὸν μάγον ἐν τῇ Ῥώμῃ ῥίψας, ὡς κορυφαῖος καὶ προστάτης τὸν πρῶτον λῃστὴν καὶ κλέπτην, καὶ μαθητὴν τοῦ διαβόλου ἐν ταῖς αἱρέσεσιν. Ἰωάννης εἶπε, Φανερά ἐστι τὰ τέκνα τοῦ διαβόλου. ὁρᾷς πῶς ἐν πᾶσιν αὐτοῖς ὁ Χριστὸς λαλεῖ. καὶ γὰρ ἐν τοῖς εὐαγγελίοις τὰ ὅμοια εἶπε πρὸς αὐτούς, ὅτι Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ. οἶδα πολλοὺς λέγοντας, ὅτι καὶ αὐτὸς ὁ Θεὸς ἔπλασε· χωρὶς γὰρ Θεοῦ, λέγοντες, ἐγένετο οὐδέν· μὴ νοοῦντες μήτε ἃ λέγουσι, μηδὲ περὶ τίνων διαβεβαιοῦνται). ὅτι μὲν ἔκτισεν ὁ Θεός, σύμφημι κἀγώ· ἀλλ' ἔκτισεν ἐπ' ἔργοις ἀγαθοῖς, ἵνα ἐν αὐτοῖς ἐξακολουθήσωμεν, καὶ γενώμεθα τέκνα Θεοῦ διὰ τῆς ὀρθῆς πίστεως. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Ἰωάννης εἶπε, Καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασι· καὶ πάλιν, Βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσητε ἃ εἰργάσασθε· ὅτι πολλοὶ πλάνοι εἰς τὸν κόσμον ἐξῆλθον. Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἀπὸ τοῦ Θεοῦ ἐστιν· ὅτι πολλοὶ ψευδοπροφῆται εἰς τὸν κόσμον εἰσεληλύθασι. καὶ πάλιν λέγει· Εἴ τις ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει μεθ' ἑαυτοῦ, μὴ παραλαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε. ὁ γὰρ λέγων αὐτῷ χαίρειν, κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς. καὶ πάλιν· Πᾶς ὁ παραβαίνων, καὶ μὴ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, Θεὸν οὐκ ἔχει. Ταῦτα ἡμῖν Ἰωάννης παραινεῖ, Ἰωάννης ὁ υἱὸς τῆς βροντῆς, ὁ ὑπὲρ πάντας ἁγίους ἠγαπημένος, ὁ στηρίξας τὴν ἀπὸ περάτων τῆς οἰκουμένης ἐκκλησίαν, καὶ ἐμφράξας τὰ τῶν αἱρετικῶν στόματα. Ἰάκωβος εἶπεν· Ὃς ἐὰν δοκῇ φίλος αὐτῶν εἶναι, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. ἀκούσατε πάντες οἱ τοῖς αἱρετικοῖς συνεσθίοντες, ὀδυνηρὰν ἀπόφασιν· ὅτι τοῦ Χριστοῦ ἐχθροί ἐστε. οὐδὲ γὰρ ὁ τοῖς ἐχθροῖς τοῦ βασιλέως συμφιλιάζων, δύναται τοῦ βασιλέως φίλος εἶναι· ἀλλ' οὐδὲ ζωῆς ἀξιοῦται, ἀλλὰ σὺν τοῖς ἐχθροῖς ἀπόλλυται, ἢ καὶ τὰ χείρονα ὑπομένει. Ἰούδας Ἰακώβου εἶπε, Παρεισέδυσάν τινες ἄνθρωποι οἱ ἔκπαλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν, καὶ τὸν μόνον δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. καὶ πάλιν λέγει· Ἐπ' ἐσχάτων τῶν χρόνων ἔσονται ἐμπαῖκται, καὶ κατὰ τὰς ἰδίας αὐτῶν ἐπιθυμίας πορευόμενοι τῶν ἀσεβειῶν. οὗτοί εἰσιν οἱ ἀφόβως ἑαυτοὺς ποιμαίνοντες· νεφέλαι ἄνυδροι, παντὶ ἀνέμῳ περιφερόμεναι· ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται. Ταῦτά τε καὶ πλείονα τούτων παραινεῖ Ἰούδας ὁ καλὸς ἥρως· λοιπὸν Παῦλον τὸ σκεῦος τῆς ἐκλογῆς. Εἰπὲ ἡμῖν κατὰ τὴν χάριν τὴν δοθεῖσάν σοι παρὰ Θεοῦ, εἰπὲ ἡμῖν περὶ τοῦ ἐνεστῶτος πονηροῦ αἰῶνος· φανέρωσον τοὺς κρυφίους λύκους, θριάμβευσον καὶ στηλίτευσον τοὺς κλέπτας καὶ λῃστὰς τῆς ἁγίας ποίμνης τοῦ Θεοῦ. Παῦλος εἶπεν· Ἐγὼ οἶδα ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου τοῦ Χριστοῦ. ὁρᾷς ἀποστόλων ἅμα καὶ προφητῶν φωνάς· ὁρᾷς πανταχοῦ τοὺς θεολόγους συμφωνοῦντας τῷ διδασκάλῳ περὶ τῶν ἀθέων αἱρετικῶν, κύνας αὐτοὺς καὶ λύκους προσαγορεύοντας, καθὼς καὶ ἀλλαχοῦ φησιν ὁ Παῦλος· Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας· Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης· Βλέπετε ἀκριβῶς πῶς περιπατεῖτε, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. τίς ἕξει ἀπολογίαν ἀμελήσας, ἀκούων ταύτας καὶ τοιαύτας παραγγελίας; καὶ ἀλλαχοῦ πάλιν· Μὴ παραδέχεσθε αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν. καὶ πάλιν λέγει, Πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. καὶ ἀλλαχοῦ· Τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν. ἀκούσατε πάλιν

οἱ

Marginalia: α. Ιωαν. γ. ι. — Ιωαν. η μδ. — αὐτοὶ — α. Ιωαν. β. ιη. — β. Ιωαν. η. ζ. — α. Ιωαν. δ. α. — β. Ιωαν. ι. — β. Ιωαν. θ. — Ιακ. δ. δ. — Ιυδ. δ. — Ιυδ. ιη. — Ιυδ. ιβ ιγ. — ὁ καλὸς ἀ- ... Ἰακώ- ... [illegible] ... Παῦλον — Πραξ. κ. κθ. — Φιλιπ. γ. β. — Κολ. β η. — Εφ. ε ιε ις. — Τιτ. γ. ι. — β. Τιμ. γ. ιγ. — Τιτ. α. ιε.

καὶ τούτων ἀγάπας τῆς ὀργῆς τοῖς ἐπηρεασμένοις ὑπ' αὐτούς. πῶς οἱ τούτοις συμμιαινόμενοι ἐν
βρώσει, ἢ ἐν πόσει, τολμᾶτε προσελθεῖν τοῖς θείοις μυστηρίοις; ἢ οὐκ ἀκούετε τοῦ μακαρί-
α. Κορ. ι. καὶ ου Παύλου βοῶντος, Ὅτι οὐ δύνασθε πίνειν ποτήριον Χριστοῦ, καὶ τραπέζης Κυρίου μετέχειν, καὶ
ποιοῦντες τοὺς δαιμονίοις τραπέζας; βλέπετε, ἀδελφοί μου, βλέπετε· καὶ πάλιν βλέπετε,
καὶ ἀφορίσθητε, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε. ἆρα δυσωπήσομεν ὑμᾶς ἐν τούτοις; ἆρα πεί- 5
σομεν ὑμᾶς, ἢ εἰς κενὸν κοπιῶμεν, καὶ εἰς ἀέρα λαλοῦμεν; πλὴν διὰ τοὺς θέλοντας ἀ-
κούειν καὶ λέγειν καὶ ποιεῖν, οὐκ ἀποκνήσω, οὐκ ἀποσιωπήσομαι τῶν ῥημάτων Παύλου, ἀλλὰ
β. Κορ. ϛ. ιδ. πάλιν τὰ αὐτοῦ ἐρῶ· ἀκούσατε. Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. τίς γὰρ κοινωνία
φωτὶ πρὸς σκότος; ποῦ εἰσι νῦν οἱ θρασύστομοι καὶ κενοὶ θεολόγοι, οἱ λέγοντες μὴ εἰ-
ρῆσθαι ταῦτα ἐν ταῖς θείαις γραφαῖς· ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ 10
τὰ ἐπίγεια φρονοῦντες; ταῦτα ὁ Παῦλος παρακαλεῖ, καὶ διδάσκει, καὶ παραινεῖ, Παῦλος τὸ σκεῦ-
ος τῆς ἐκλογῆς, τὸ ἑρκίον τῆς ἐκκλησίας, ὁ πολύαθλος καὶ γενναῖος Παῦλος, ἡ θεόφθογγος λύρα, ὁ
χριστοκήρυξ, ὁ συγγραφεὺς τῶν δογμάτων, ἡ σάλπιγξ τοῦ λόγου, ὁ ῥήτωρ τῆς εὐσεβείας, ἡ τῶν ἐθνῶν σαγή-
νη. καὶ οἱ μετὰ μακάριοι θεολόγοι ταῦτα καὶ πλείονα τούτων περὶ τῶν ἀθέων ἀπίστων ἐφθέγξαντο· οἱ
δὲ προφῆται προηγούμενοι ἔκπαλαι τὰ ὅμοια ἐφθέγξαντο. ἀναγκαῖον γὰρ καὶ τούτους εἰς 15
Ψαλ. ε. ι. μέσον παραγαγεῖν. Εἶπε γὰρ ὁ προφήτης Δαβίδ· Οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀ-
Ψαλ. ρλη. κ. λήθεια. καὶ πάλιν λέγει· Κύριε, τοὺς μισοῦντάς σε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετη-
Παροιμ. α. ι. κόμην· τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. καὶ ὁ σοφὸς Σολομὼν εἶ-
ιο. πεν ὅτι δυσαρεστοῦντες ὑποκρινόντων εὐσέβειαν. καὶ πάλιν λέγει· Υἱέ, μή σε πλανήσωσιν
ἄνδρες ἀσεβεῖς, μηδὲ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν. Εἶπεν Ἡσαΐας ὁ προφήτης, μᾶλλον δὲ 20
Ησ. α. β. ὁ Κύριος διὰ τοῦ προφήτου· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. πάλιν Ἡσαΐας
Ησ. μη. κβ. λέγει· Οὐκ ἔστι χαίρειν, οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει Κύριος. ἆρα ἀρκεῖ ταῦτα, ἢ παρα-
γάγω εἰς μέσον καὶ πάντας τοὺς προφήτας ὅμοια λέγοντας; ἀλλὰ ἀρκεῖ ταῦτα πρὸς τοὺς ἀ-
κούειν θέλοντας. ὁ γὰρ τοῖς εἰρημένοις μὴ προσέχων, οὐδὲ τοῖς πλείοσι πεισθήσεται. ἀλλ' ἔτι
μικρὸν ἐνδιατρίψωμεν τοῖς τοῦ προφήτου Δαβὶδ ῥήμασι, καὶ ἴδωμεν πῶς στηλιτεύει καὶ θρι- 25
Ψαλ. ε. ι. αμβεύει τοὺς κεκρυμμένους αὐτοῦ δόλους, καὶ λέγει· Οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ
καρδία αὐτῶν ματαία· καὶ τὰ ἑξῆς. ὅρα δὲ τὴν τοῦ προφήτου σύνεσιν, πῶς δημοσιεύει καὶ
τὰ ἑξῆς, καὶ ἀποκαλύπτει καὶ θριαμβεύει τοὺς κακοδόξους, ἵνα μὴ ἡμεῖς πλανηθῶμεν. ἀκού-
σατε οἱ ὀρθόδοξοι, καὶ τοῖς αἱρετικοῖς μὴ συγκαταβαίνετε. ἀκούσατε ποιμένες, καὶ φρίξατε, καὶ
μὴ σιγήσατε, ἀλλὰ κηρύξατε τὸν λόγον· μὴ δότε θήραν τοῖς λύκοις· μιμήσασθε τοὺς μα- 30
καρίους ἀποστόλους. πῶς ἐν τῇ Ῥώμῃ, τοῦ τερατευομένου Σίμωνος βλασφημοῦντος, καὶ
λέγοντος ἑαυτὸν εἶναι τὴν δύναμιν τοῦ Θεοῦ, οὔτι κἂν πρὸς ὥραν ἐσιώπησαν, ἢ ἀνεβάλλετο,
ἀλλ' ἐλέγξας, καὶ ψεύστην αὐτὸν ἀποδείξας καὶ λῃστὴν καὶ ἄθεον, ῥίψας αὐτὸν τῇ ἀπωλείᾳ πα-
ρέδωκεν; ὁμοίως δὲ καὶ τοὺς τούτου υἱούς, μᾶλλον δὲ καὶ τοῦ διαβόλου, Μοντανὸν τὸν μιαρὸν καὶ ἀ-
κάθαρτον καὶ ἄθεον, μετὰ τῶν δύο μοιχαλίδων, σπουδῇ πολλῇ ὁ ἅγιος ἀπόστολος Παῦλος ἐλέγ- 35
ξας, καὶ ἄθεον ἀποδείξας, καὶ ψευδόχριστον καὶ ψευδοπροφήτην, ἐφίμωσε καὶ ἐνέφραξε τὸ
μιαρὸν αὐτοῦ στόμα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, μὴ μακροθυμήσας, μηδὲ ἀναβαλλόμενος
ἐπὶ τούτου βλασφημίᾳ. οὕτως οὖν ποιεῖτε καὶ ὑμεῖς ποιμένες, καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις
τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε, ὥσπερ οἱ ἀπόστολοι καὶ ὁ θεοπάτωρ Δαβὶδ
περὶ αὐτῶν πολλοὺς μόχθους κατεβάλλετο, καὶ πολλοὺς ἀγῶνας, ἐλέγχων καὶ ἐπιτιμῶν, καὶ 40
Ψαλ. ϟγ. γ. στηλιτεύων αὐτούς, καὶ τῷ Θεῷ ἐντυγχάνων, κατὰ τὸ λέγοντα, Ἕως πότε ἁμαρτωλοί, Κύριε, ἕ-
Ψαλ. ρη. ιβ. ως πότε ἁμαρτωλοὶ καυχήσονται; Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου· Δὸς αὐτοῖς, Κύ-
Ψαλ. κζ. δ. ριε, κατὰ τὰ ἔργα αὐτῶν. Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις· ὅτι ἃ σὺ
Ψαλ. ογ. κ. Ψαλ. ι. γ. κατηρτίσω, αὐτοὶ καθεῖλον. καὶ πάλιν παρακαλεῖ ὁ Δαβίδ, καὶ δέησιν προσάγων τῷ δι-

αὐτη,

δεσπότῃ, ὅπως αὐτὸς δι' αὐτοῦ κατελθὼν ποιήσῃ τὸ αἴτημα αὐτοῦ, ἐβόα λέγων· Κύριε, κλῖνον οὐρανούς, καὶ κατάβηθι, καὶ μὴ χρονίσῃς· Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε. καὶ ὁ φιλάνθρωπος Θεός, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ ἐγγὺς πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ, οὐ παρήκουσεν, οὐδὲ ὑπερεῖδε τὴν δέησιν τῶν ἁγίων, ἀλλ' ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ πάντα ᾠκονόμησε πρὸς σωτηρίαν τοῦ γένους ἡμῶν, καὶ πάντα ὑπέδειξε ποιῶν καὶ διδάσκων. εἶτα θέλων δεῖξαι ἵνα θέλων οἱ μέλλοντες προΐστασθαι τῶν ἐκκλησιῶν, οὕτως ἐκδιώκωσι τοὺς αἱρετικούς, ἐποίησε φραγέλλιον ἐκ σχοινίων, καὶ εἰσελθὼν πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, καὶ ἀπώσατο, καὶ ἐξεδίωξε λέγων· Ὁ οἶκός μου, οἶκος προσευχῆς ἐστιν· ὑμεῖς δὲ αὐτὸν σπήλαιον λῃστῶν ποιεῖτε. ἀκούσατε οἱ πατέρες οἱ προϊστάμενοι τῶν ἐκκλησιῶν. ὑμῖν γὰρ ὑπέδειξε τὸ καλόν, ἵνα ἐξακολουθήσωμεν τοῖς ἔργοις αὐτοῦ προσέχοντες ἀκριβῶς πανταχόθεν, καὶ τοὺς λύκους ἐκδιώκοντες, καὶ τὴν ποίμνην φυλάττοντες. εἶτα ἐκβαλὼν ἔξω πάντας, δῆλον ὅτι τοὺς τὰ ἐναντία φρονοῦσι λέγων· ἰδού, Ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ὁρᾷς πῶς οἱ λόγοι ἔργον ἐγένοντο. οἱ γὰρ ἐχθροὶ καὶ ἐπίβουλοι τῆς ἐκκλησίας, ἤγουν οἱ αἱρετικοί, καθ' ἑκάστην γενεὰν τῇ ἀπωλείᾳ παραδίδονται, κατὰ τὸν τοῦ Κυρίου λόγον, ὃν εἴρηκεν, ὅτι πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου, ἐκριζωθήσεται. καὶ γέγονεν. αὐτὸς γὰρ τοῦτο πρῶτον ἐποίησε καὶ ὑπέδειξε· μετὰ δὲ τὴν αὐτοῦ εἰς οὐρανοὺς ἀνάληψιν, οἱ μακάριοι ἀπόστολοι παρετάξαντο κατ' αὐτῶν. μετὰ δὲ τούτους τὰ θεῖα τούτων διδάγματα, καὶ οἱ τῆς ἐκκλησίας διδάσκαλοι, καὶ αἱ κατὰ καιρὸν γενόμεναι ἅγιαι σύνοδοι τούτους ἀμετανοήτως ἔχοντας ἐκριζώσαντες, τῇ ἀπωλείᾳ παρέδωκαν, κατὰ τὸ γεγραμμένον, Ὅτι ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. οὐχὶ πάντες ἐξέλιπον καὶ ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν; ποῦ γάρ εἰσιν οἱ ποτὲ τὴν ἐκκλησίαν πολεμήσαντες βασιλεῖς καὶ ἄρχοντες, ἀρχιερεῖς καὶ ἱερεῖς, σοφοὶ καὶ δυνάσται; οὐχὶ διεσκορπίσθησαν, καὶ διελύθησαν, καὶ ἀπώλοντο, καὶ εἰς οὐδὲν ἐγένοντο; ποῦ δὲ γαυρίαμα καὶ ἡ θρασύτης τῶν Ἰουδαίων; ποῦ Σίμων ὁ μάγος, καὶ πρῶτος ἐν αἱρέσει, ὁ μαθητὴς τοῦ διαβόλου, καὶ πρόδρομος τοῦ ἀντιχρίστου· καὶ τὸ κακὸν τοῦτο γέννημα, καὶ τῆς τούτου μανίας καὶ ἀσελγείας διάδοχος Μοντανός, ὁ τῶν κακῶν ἔξαρχος, μετὰ τῶν δύο μοιχαλίδων, καὶ τὰ τούτων λεγόμενα μυσαρὰ μυστήρια, τὰ βαθείας σιωπῆς ἄξια, τὰ βδελυκτὰ καὶ ἀκάθαρτα, περὶ ὧν καὶ ὁ ἀπόστολος ἔλεγε, Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν; ποῦ Μαρκίων; ποῦ Οὐάλης; ποῦ Μετώνης; ποῦ Βασιλείδης; ποῦ Νέρων; ποῦ Ἰουλιανός; ποῦ Ἄρειος; ποῦ Εὐνόμιος; ποῦ Νεστόριος; ποῦ ἅπαντες οἱ ἀντιπαρατασσόμενοι τῇ ἐκκλησίᾳ, περὶ ὧν ἐβόα ἡ ἐκκλησία, καὶ ἔλεγεν, Ὅτι ἐκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με; οὐχὶ πάντες ἐξέλιπον διὰ τὴν ἀνομίαν αὐτῶν, διεσκορπίσθησαν διὰ τὴν βλασφημίαν αὐτῶν, καὶ ἐξεδιώχθησαν ὥσπερ λύκοι; εὗρον γὰρ τοὺς ἀνταγωνιστάς, καὶ γενναίους πολεμιστὰς καὶ ὄντως ποιμένας, τοὺς προϊσταμένους τότε τῶν ἐκκλησιῶν, τοὺς μακαρίους ἄνδρας. ἀλλὰ πολὺ τὸ διάστημα καὶ διάφορον ὁρῶ τῶν τότε ποιμένων παρὰ τῶν νῦν. ἐκεῖνοι πολεμισταί, οὗτοι φυγάδες· ἐκεῖνοι ἀγωνισταί, οὗτοι σπαταλισταί· ἐκεῖνοι βιβλίων καλλωπισταὶ καὶ δογμάτων, οὗτοι ἱματίων καὶ γελώτων· οὗτοι ὡς μισθωτοὶ ἀφιᾶσι τὰ πρόβατα, καὶ φεύγουσιν, ἐκεῖνοι τὴν ψυχὴν αὐτῶν ἔθηκαν ὑπὲρ τῶν προβάτων, μιμησάμενοι τὸν ποιμένα τὸν καλόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ὢ τῶν μακαρίων ἐκείνων ἀνδρῶν, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς· οὓς ἔφριξαν δαίμονες, καὶ ἐτρόμαξαν αἱρετικοί. ἐφράγη στόμα λαλούντων ἄδικα. φθέγξομαι τοίνυν κἀγὼ παραπλήσιον τοῦ Δαβίδ, ὃς ἀποδυρόμενος ἔλεγε· Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε; εἴπω δὲ κἀγὼ ἐν δάκρυσι· ποῦ ἐστιν ὁ μακάριος χορὸς ἐκεῖνος τῶν ἐπισκόπων καὶ διδασκάλων, οἵτινες ἔλαμψαν ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες; τί δὲ κωλύει καὶ εἰς μέσον τούτους ἀγαγεῖν, ἐκ τῶν πολλῶν ὀλίγους; καὶ γὰρ τὸ μνημονεῦσαι αὐτοὺς ἁγιασμός ἐστι

Ψαλ. ρμγ. ε. — Ψαλ. οη. η. — Ματθ. κα. ιγ. — Ματθ. κγ. λη. — Ματθ. ιε. ιγ. — Ψαλ. ε. ς. — Εφ. ε. ιβ. — Ψαλ. κα. ιζ. — Ψαλ. πη. μη.

ψυχῆς. ποῦ Εὐόδιος ἡ εὐωδία τῆς ἐκκλησίας, καὶ τῶν ἁγίων ἀποστόλων διάδοχος; ποῦ Ἰγνάτιος τὸ τοῦ Θεοῦ οἰκητήριον; ποῦ ὁ Διονύσιος τὸ πετεινὸν τοῦ οὐρανοῦ; ποῦ Ἱππόλυτος γλυκύτατος καὶ εὐνούστατος; ποῦ Βασίλειος ὁ μέγας, καὶ μικροῦ δεῖν τῶν ἀποστόλων ἰσόῤῥοπος; ποῦ ὁ Ἀθανάσιος ὁ ἅγιος, ὁ πλεονέκτης τῶν ἀρετῶν; ποῦ Γρηγόριος ὁ δεύτερος θεολόγος, καὶ ἀήττητος τοῦ Χριστοῦ στρατιώτης, καὶ ὁ τούτου συνώνυμος; ποῦ Ἐφραὶμ ὁ πολύς, ἡ παραμυθία τῶν ἀθυμούντων, ἡ παιδαγωγία τῶν νέων, ἡ χειραγωγία τῶν μετανοούντων, ἡ κατὰ τῶν αἱρετικῶν ῥομφαία, τὸ δοχεῖον τοῦ πνεύματος, τὸ σκεῦος τῶν ἀρετῶν; ὁρᾷς πόσον τὸ μέσον, καὶ πόση διαφορὰ ἐκείνων τῶν μακαρίων καὶ ἁγίων ἀνδρῶν παρὰ τοὺς νῦν; ἔχω καὶ ἄλλους πολλοὺς διδασκάλους· ἀλλὰ ἀρκεῖ πρὸς τὸ παρὸν τέως. ἐκεῖνοι τὴν ψυχὴν ἔθηκαν ὑπὲρ τῶν προβάτων· οὗτοι δὲ ἀφέντες τὰ πρόβατα ἔφυγον. ἐκεῖνοι δυνατοὶ καὶ ἐν λόγῳ καὶ ἔργῳ· οὗτοι ἐν χρήμασι καὶ κτήμασι καὶ ἵππων, καὶ ἡμιόνων, καὶ ἀργυρῶν, καὶ ποιμνίων, καὶ μαγείρων, καὶ λαμπρᾶς τραπέζης. πολὺς ὁ λόγος περὶ αὐτῶν καθέστηκεν ἡμέρας καὶ νύκτα· περὶ δὲ τῆς λογικῆς ποίμνης λόγος οὐδείς, περὶ ἧς λόγον ἀπαιτηθήσονται ἐν τῇ μεγάλῃ ἡμέρᾳ κρίσεως. εἶτα ἐάν τις ἐρωτήσῃ αὐτοὺς περὶ βιβλίων, ἀποκρίνονται λέγοντες, πτωχός εἰμι, καὶ οὐκ εὐπορῶ βιβλίον κτήσασθαι. εἶτα προσέρχονται οὐχ ὡς πτωχοί, ἀλλὰ ἱμάτια φοροῦντες πολυτελῆ καὶ ἐκστίλβας, καὶ ἐγχειρίδια ἕως τῶν δακτύλων· βαλάντια ἁδρά, καὶ τράχηλοι ὡς παρασίτων ταύρων· μαθητῶν πλῆθος ἐπισυρόμενοι, μᾶλλον δὲ καὶ μαγείρων· τὰ μὲν αἰσχρόν ἐστι καὶ λέγειν. ἐκ γὰρ τοῦ περιττοῦ πλούτου συνεισάκτους ἐκτήσαντο προφάσει ἀνδραπόδων. ὢ τῆς βαθείας αἰσχύνης· ὢ τῆς κακῆς εὐνοίας· ὢ τῆς πικρᾶς φιλαργυρίας· ὢ τῆς ἀπληρώτου γαστρός. λοιπὸν ἐκεῖθεν σκάνδαλα, ψιθυρισμός, ὀνειδισμοί, λοιδορίαι, θόρυβοι. εἶτα ἐγκαλούμενοι ἀποκρίνονται, οὐκ ἀδικῶ τινα· ἐξουσίαν ἔχω τῶν ἐμῶν. εἶτα ἐάν τις τῶν ἀθέων αἱρετικῶν παραφθαρῇ λαλῶν διεστραμμένα, ὅτι ὁ ἀντιλέγων οὐδείς· πάντες πτωχοί, πάντες σιωπηροί, πάντες φυγάδες. ὢ τῆς ἀνοίας· ὢ τῆς κακῆς ῥίζης πάντων τῶν κακῶν

Ματθ. ιθ. κδ.

τῆς φιλαργυρίας. ἐκ τοῦ πλουτεῖν βούλεσθε σωθῆναι; ἀλλ' Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. τρυφῶντες καὶ μετεωριζόμενοι βούλεσθε νικᾶν τὰς αἱρέσεις; ἀλλ' οὐαὶ ὑμῖν οἱ τρυφῶντες καὶ μετεωριζόμενοι. πῶς ἄλλοις ὑποδείξετε τὴν καλὴν πτωχείαν τοῦ Χριστοῦ τοῦ δι' ἡμᾶς

Ματθ. ι. θ.

πτωχεύσαντος, τοῦ ἐντελλομένου τοῖς μαθηταῖς αὐτοῦ, Μὴ ἔχειν χαλκὸν εἰς τὰς ζώνας; ἢ

Ματθ. ε. γ.
Λουκ. ς. κδ.
Ματθ. ς. ιθ.

πῶς πλανᾶσθε, μὴ νοοῦντες τὰς γραφάς. οὐκ ἀκούετε τοῦ Κυρίου λέγοντος, Ὅτι μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι; καὶ πάλιν, Οὐαὶ ὑμῖν τοῖς πλουσίοις. καὶ πάλιν, Μὴ θησαυρίζετε θησαυροὺς ἐπὶ τῆς γῆς. ὁ πλοῦτος ὑμῶν ἐπληθύνθη, καὶ ὁ λόγος ὑμῶν ἐξέλιπεν· τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονε, περὶ ὧν λόγον δώσετε τῷ ἀρχιποίμενι Χριστῷ. οὐ γὰρ ὅτι ἕκαστος ὑμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ· ὑμεῖς δὲ καὶ ὑπὲρ αὐτῶν, καὶ ὑπὲρ τῶν προβάτων· ἀρχιερεῖς, ἱερεῖς καὶ διάκονοι, ἕκαστος καθὼς ἐπιστεύθη. ἀλλ' ὁρᾶτε μὴ πλανηθῆτε τῶν ταλάντων. προσέχετε ἀπὸ ἑαυτοῖς καὶ παντὶ τῷ λαῷ, τῷ ποιμνίῳ. βλέπετε μὴ ἀπολείψῃ πρόβατον ἐκ τῆς ποίμνης. τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πρόβατον ἐὰν ἀπολείψῃ, γινόμενοι θηριάλωτον ἐξ ὑμετέρας ἀμελείας, πάντα τὸν βίον ὑμῶν κατέλυσε. τὸ γὰρ αἷμα αὐτοῦ ἐκ τῆς ὑμετέρας καρδίας ἀπαιτήσει ὁ Θεός. ἀνανήψατε λοιπόν, κηρύξατε τὸν λόγον, ἀποῤῥίψατε πᾶσαν βιωτικὴν μέριμναν· βλέπετε ἀκριβῶς πῶς περιπατεῖτε· βλέπετε, λέγω, καὶ λέγων οὐ παύομαι πάλιν, τό, βλέπετε, καὶ βλέπετε, καὶ βλέπετε. βλέπετε τοὺς κύνας, βλέπετε τοὺς λύκους, βλέπετε τοὺς κλέπτας· βλέπετε ὅτι πολλοὶ πλάνοι ἐξῆλθον εἰς τὸν κόσμον. ἀγρυπνεῖτε καὶ νήφετε οἱ τὸ διακονικὸν χάρισμα καταπιστευθέντες, ὁ γρηγορεῖτε, καὶ τὴν ὥραν τὴν φοβερὰν τηρεῖτε, ὅταν ἔρχηται συνᾶραι λόγον μεθ' ὑμῶν, οἷς ἐπίστευσε τὰ τάλαντα. ταῦτα τοίνυν κατὰ νοῦν ἔχετε, ἀγαπητοί· ποι-

μαίνατε

μαίνετε δὲ ἐν ὑμῖν ποίμνιον τοῦ Χριστοῦ, ὡς λέγει ὁ ἀπόστολος, μὴ ἀναγκαστῶς, ἀλλ᾽ ἑκου- α Πετ. ε. β.
σίως· μηδὲ αἰσχροκερδῶς, ἀλλὰ προθύμως· μηδὲ ὡς κατακυριεύοντες αὐτοῦ, ἀλλὰ μᾶλ-
λον τύποι γινόμενοι τοῦ ποιμνίου. καὶ φανερωθέντος τοῦ ἀρχιποιμένος, κομίσεσθε τὸν ἀμα-
ράντινον τῆς δόξης στέφανον. πάλιν οὖν τὰ ὅμοια λέγω· ἀκούσατε ἱερεῖς Κυρίου, βασιλεῖς
5 τῆς γῆς, νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων· ἐνωτίσασθε πάντες οἱ κατοι-
κοῦντες τὴν οἰκουμένην, οἱ μικροὶ καὶ μεγάλοι, εἴτε ἄρσεν, εἴτε θῆλυ, ἐπὶ δὲ αὐτὸ πλού-
σιος καὶ πένης· προσέχετε τοῖς λεγομένοις, παρακαλῶ. βούλομαι γὰρ ἀποδεῖξαι καὶ πλη-
ροφορῆσαι ὑμᾶς ἐκ τῶν θείων γραφῶν, ὅτι οὐ πάντες οἱ λεγόμενοι χριστιανοὶ, χριστιανοί
εἰσιν· ἀλλὰ μᾶλλον δὲ ὄνομα καλούμενοι χριστιανοὶ, φρεναπατοῦντες ἐπιλήψει τῆς προσ-
10 ηγορίας. τῷ μὲν λόγῳ πολλοὶ χριστιανοὶ, τῷ δὲ ἔργῳ ὀλίγοι καὶ σπάνιοι· τῷ σχήματι ὡς
χριστιανοὶ, καὶ ὡς Χριστοῦ μαθηταὶ, τῷ δὲ ἔργῳ προδόται· τῷ λόγῳ εὐσεβεῖς, τῷ δὲ ἔργῳ ἀ-
σεβεῖς, τοῖς δὲ ἔργοις ἐθνικοὶ, καθὼς εἶπεν ὁ προφήτης Δαβίδ· Καὶ ἐμίγησαν ἐν τοῖς ἔ- Ψαλ. ρε. λδ.
θνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν· καὶ ἀληθῶς ἐπληρώθη ἡ προφητεία ἐν ἡμῖν. οὗτοι ποταποὶ
χριστιανοὶ, οἱ Ἰουδαϊκοῖς καὶ ἑλληνικοῖς προσέχοντες μύθοις, καὶ γενεαλογίαις, καὶ μαντείαις, καὶ
15 ἀστρολογίαις, καὶ φαρμακείαις, καὶ φυλακτηρίοις, καὶ ὀρνέων φωναῖς, καὶ ἐν πηγαῖς λυχναπτοῦντες
καὶ ἀπολυόμενοι, καὶ παρατηρήσεις ἡμερῶν καὶ ἐνιαυτῶν, καὶ κληδονισμοὺς, καὶ ὀνείρατα, καὶ συναντήματα
παρατηρούμενοι, καὶ εἰδωλόθυτον ἐσθίοντες, καὶ αἷμα πνικτὸν καὶ θηριαλώτων, καὶ ὀρνεοπάτακτα,
καὶ πολλὰ ἕτερα τοιαῦτα; καὶ πῶς χριστιανοὶ εὑρεθήσονται οἱ τὰ τοιαῦτα πράσσοντες; ποίᾳ δὲ
παρρησίᾳ τολμῶσιν ἑαυτοὺς ὀνομάζειν χριστιανούς; καὶ πῶς τολμῶσιν εἰσελθεῖν τοῖς θείοις μυστη-
20 ρίοις, οἱ χείρονες τῶν ἑλλήνων ὑπάρχοντες; πάλιν ἀκούσατε, ποταποὶ χριστιανοὶ, οἱ τὰ τῶν ἐθνῶν σχή-
ματα ποιοῦντες, ἀφανισμοὺς προσώπων, ἢ ἐπιφωνήσεις, ἢ ὀρχήσεις, ἢ κρότους χειρῶν, ἢ στολισμὸν
γυναικῶν ἐν ἀνδράσι; τοῖς ταῦτα πράττουσιν οὐδὲν ὄφελος τοῦ καλεῖσθαι αὐτοὺς χριστιανούς.
ὥσπερ ἡ κόρη ἡ παρθένος, ἕως ὅτου φυλάττει τὴν παρθενίαν αὐτῆς, εὐλόγως καὶ ἀξίως παρθένος καλεῖ-
ται καὶ ἔστιν· ἐπὰν δὲ ἀπατηθῇ ὑπό τινος, καὶ φθαρῇ, καὶ τὴν παρθενίαν ἀπολέσῃ, οὐκ ἔτι ἔσται παρ-
25 θένος· οὕτω καὶ ὁ καλούμενος χριστιανὸς, ἐὰν τὰς συνθήκας παραβῇ, καὶ τὰς ἐπαγγελίας κα-
ταπατήσῃ, καὶ τὸν λόγον τοῦ ἁγίου εὐαγγελίου ἀθετήσῃ, καὶ τὰ τῶν ἐθνῶν πράττῃ, οὐδὲν ὄ-
φελος τοιοῦτον καλεῖσθαι χριστιανὸν, καθὼς προείρηται. Συνίετε πάντες, ἀγαπητοὶ, ὅτι δι᾽
ὀλίγων ῥημάτων ἁπάντων ἐκείνων ἀπεταξάμεθα λέγοντες, ἀποτάσσομαι τῷ Σατανᾷ, καὶ
πᾶσι τοῖς ἔργοις αὐτοῦ. εἶπες, πᾶσιν. ἐννόησον τί εἶπες· βλέπε τί συνέθου, οὐκ ἀγγέλῳ,
30 οὐ βασιλεῖ ἐπιγείῳ, οὐκ ἄρχοντι αἰῶνος τούτου, ἀλλὰ τῷ βασιλεῖ τῶν βασιλευόντων, καὶ ἄρ-
χοντι τῶν ἀρχόντων· αὐτῷ συνέθου καὶ ὡμολόγησας καὶ συνετάξω ἐπὶ πολλῶν μαρτύρων.
λοιπὸν ἐν τῇ χειρὶ αὐτοῦ σὺ καὶ οἱ λόγοι σου· λοιπὸν προσδέχου αὐτὸν ἐρχόμενον ἐκ τῶν οὐρα-
νῶν. ὅρα οὖν, ἀδελφὲ, καὶ φύλαξον τοῦ λοιποῦ ἀπὸ τῶν ἐθνικῶν πραγμάτων. ἀκούσατε
τοῦ ἀποστόλου λέγοντος, Τοῦτ᾽ οὖν λέγω, καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περι- Εφ. δ. ιζ. κ.
35 πατεῖν καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ δια-
νοίᾳ· ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν. προσέχετε τοῖς λεγομένοις, ἀγαπητοὶ, καὶ μὴ
συναναμίγνυσθε τοῖς τὰ τοιαῦτα πράττουσι. πολλοὶ γάρ εἰσι τῆς ἀπωλείας μαθηταὶ, καὶ
ἔτι πληθυνθήσονται. βλέπετε ὅτι αἱ ἡμέραι πονηραί εἰσι, καὶ ὁ ἱερεὺς τοῖς ἰδίοις ὑπηρέταις
προσχείζεται· καὶ μὴ θαυμάσῃς ἐὰν οἱ ποιμένες λύκοι γίνωνται. πρὸς γὰρ ἐπισκόπους καὶ
40 πρεσβυτέρους διαλεγόμεθα, ὥσπερ καὶ ὁ Παῦλος ἔλεγεν· Εἰσὶν ἐξ ὑμῶν αὐτῶν ἄνδρες λα- Πραξ. κ. λ.
λοῦντες διεστραμμένα. ὥστε μηδεὶς πλανάτω ὑμᾶς, ἔχων ἔξωθεν ἀγγελικὸν σχῆμα, καὶ ἔσω-
θεν δὲ διαβολικόν. διὰ τοῦτο καὶ ὁ Κύριος ἔλεγε· Βλέπετε μή τις ὑμᾶς πλανήσῃ. Ματθ. κδ. δ.
πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· κἀγὼ δὲ τὰ ὅμοια ἐρῶ· βλέπετε μή τις
ὑμᾶς πλανήσῃ, μήτε ἀπὸ τῶν ἔξωθεν, μήτε ἀπὸ τῶν ἔσωθεν, μὴ ἐπίσκοπος, ἢ πρεσβύτε-

ρος, ἢ διάκονος, ἢ ἀναγνώστης, ἢ ἄρχων, ἢ πλούσιος, ἢ πένης. Εἴ τις ἂν εἴη λαλῶν διεστραμμένα, ἀνάθεμα ἔστω. Εἴ τινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· εἴ τινες ἔχουσι μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· ὑμεῖς, ἀγαπητοὶ, μὴ πλανηθῆτε, ἀλλ' ὃν παρελάβετε τὸν Κύριον ἡμῶν Ιησοῦν Χριστὸν, ἐν αὐτῷ περιπατεῖτε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. καὶ περὶ μὲν τούτων ἐνταῦθα ἀποδώσομεν λόγον, μικρὸν δὲ διαλεχθεὶς περὶ σημείου τῆς συντελείας. φρίκη μοι ἐπέρχεται, καὶ ἐξίσταμαι. πάντα μὲν τὰ τοῦ Θεοῦ, θαυμαστὰ, μεγάλα, καὶ φοβερὰ καὶ ἔνδοξα· τὸ δὲ τῆς συντελείας καὶ τῆς δευτέρας αὐτοῦ παρουσίας μυστήριον, ὑπερ νοῦν καὶ λόγον καὶ ἔννοιαν ὑπερβαίνει πᾶσαν διήγησιν, καὶ καταπλήττει πᾶσαν ἀκοήν. μέγας δὲ ἀγὼν καὶ πολὺς πόθος τῶν μαθητῶν, ἀκούειν παρὰ τοῦ διδασκάλου σημεῖα περὶ τῆς συντελείας. ὡς γὰρ πολλάκις ἠκούσατε τοῦ εὐαγγελίου λέγοντος, ὅτι καθημένου τοῦ υἱοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες κατ' ἰδίαν· Εἰπὲ ἡμῖν τί τὸ σημεῖον τῆς σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος. ὁρᾷς τὸ συνετὸν καὶ σοφὸν τῶν ἁγίων μαθητῶν· ὅταν μέγα τι ἐβούλοντο ἐρωτῆσαι, πάντες ὁμοῦ προσήρχοντο, ἀλλὰ κατ' ἰδίαν, καὶ φασιν, Εἰπὲ ἡμῖν, δέσποτα, τὸν καιρὸν, εἰπὲ ἡμῖν, καρδιογνῶστα, εἰπὲ ἡμῖν ὁ γινώσκων τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα, εἰπὲ ἡμῖν ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, ὁ ποιητὴς τῶν ἁπάντων, ὁ πατὴρ τοῦ μέλλοντος αἰῶνος, εἰπὲ ἡμῖν, ὅταν μέλλῃς ἔρχεσθαι τοῦ κρῖναι ζῶντας καὶ νεκροὺς πάσης τῆς οἰκουμένης, ὅταν καταργήσῃς πᾶσαν ἐξουσίαν καὶ δύναμιν, ὅταν καμφθῇ πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· εἰπὲ ἡμῖν τί τὸ σημεῖον τῆς σῆς παρουσίας, ὅπως καὶ ἡμεῖς διδάξωμεν πάντα τὰ ἔθνη τὴν ἔνδοξόν σου παρουσίαν. ὁ δὲ Κύριος εἶπεν αὐτοῖς, Βλέπετε μὴ πλανηθῆτε. πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ὅτι ἐγώ εἰμι ὁ Χριστός. βλέπετε μή τις ὑμᾶς πλανήσῃ· ὅτι ὁ καιρὸς ἐγγύς ἐστι, νῦν δὲ ἐνέστηκε, καὶ πάντες θεωροῦμεν. ὁρᾷς πόσην σπουδὴν ὁ δεσπότης περὶ τῶν ψευδοπροφητῶν καὶ ψευδοδιδασκάλων, τοῦ ἀπογυμνῶσαι καὶ δεῖξαι πᾶσι τὸν κεκρυμμένον ἐν αὐτοῖς δόλον. διὸ καὶ πρῶτον σημεῖον ἐν τῇ ἐπερωτήσει τῶν μαθητῶν τοῦτο; προσήγαγεν, ὡς λύκους τῆς ποίμνης, καὶ τοῦ ἀντιχρίστου προδρόμους· εἶτα προσέθηκε τὰ ἀκολουθοῦντα, πολέμους καὶ ἀκαταστασίας, ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλείαν ἐπὶ βασιλείαν, ἅπερ ὁρῶντες οὐ συνίεμεν, βλέποντες κατὰ τόπους πολέμους, καὶ φόβητρα, σημεῖα ἀπ' οὐρανοῦ, καὶ τὰ λοιπὰ ἅπερ εἴρηκε. τότε, φησὶ, σκανδαλισθήσονται πολλοὶ, καὶ ἀλλήλους παραδώσουσι. καὶ τοῦ νῦν οὐκ ἔστι προδοσία; πάντες σχεδὸν προδόται γεγόνασι, καὶ μισοῦσιν ἀλλήλους· καὶ τοῦτο πεπλήρωται καθὼς ὁρῶμεν. οὐχὶ πάντες κατ' ἀλλήλων γεγόνασιν; ἔθνος ἐπὶ ἔθνος, καὶ βασιλεῖς ἐπὶ βασιλεῖς, ἄρχοντες κατ' ἀρχόντων, ἐπίσκοποι κατ' ἐπισκόπων, πρεσβύτεροι κατὰ πρεσβυτέρων; διὰ γὰρ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται τῶν πολλῶν ἡ ἀγάπη; διὰ τοῦτο προεῖπεν ὁ δεσπότης· Ἐρευνᾶτε τὰς γραφὰς, καὶ οὐ μὴ πλανηθῆτε. ἕτερον δὲ σημεῖον προσέθηκε λέγων· Καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι· καὶ τότε ἥξει τὸ τέλος. καὶ βλέπετε πάντως ὅτι οὐκ ἔστι τόπος ὑπ' οὐρανὸν, ἢ ἔθνος, ἔνθα οὐκ ἐκηρύχθη τὸ εὐαγγέλιον. λοιπὸν οὖν προσδέχου τὸ τέλος, προσδέχου ἰδεῖν τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸν υἱὸν τῆς ἀπωλείας. τότε γὰρ γενήσεται θλίψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου. καὶ πάλιν λέγει· Ἐγερθήσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται, καὶ δώσουσι σημεῖα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατὸν, καὶ τοὺς ἐκλεκτούς. ὅρα πῶς ἄνω καὶ κάτω τοὺς ψευδοπροφήτας καὶ ψευδοδιδασκάλους καὶ ψευδαποστόλους τοῦ ἀντιχρίστου, υἱοῦ τῆς ἀπωλείας· οἵτινες διὰ τῶν ἀκαθάρτων πνευμάτων προχειριζόμενοι, πρόδρομοι γίνονται τοῦ ἀντιχρίστου καὶ τοῦ ἀντικειμένου, καὶ διὰ τῶν ἰδίων δογμάτων ἀπατήσουσι λαὸν ἐπιτήδειον πρὸς ὑποδοχὴν τοῦ υἱοῦ τῆς ἀπωλείας. διὰ τοῦτο ἡ θεία γραφὴ ἄνω καὶ κάτω κράζει, ὅτι πολλοὶ πλα-

Ματθ. κδ. γ.

Ιω. ε. λθ.

Ματθ. κδ. δ.

ἴσ. ἀλλ' ὡς παρε- | ἴσ. ἀποδώσομεν τὸν | ἴσ. διαλεχθεὶς | ἴσ. ὑπερ- | ἴσ. ἐπὶ | ἴσ. πυς σημ- | ἴσ. γενήσεται | ἴσ. προφῆται

νοι ἐξῆλθον εἰς τὸν κόσμον. διὰ τοῦτο καὶ ὁ δεσπότης ἐπήγαγε δὲ, Ἰδοὺ προείρηκα ὑμῖν· ἐὰν (Ματθ. κδ. κε.)
πλανήσωσί τινα ἐξ ὑμῶν, ἀσύγγνωστός ἐστιν· ἰδοὺ προείρηκα ὑμῖν· βλέπετε μὴ πλανη-
θῆτε· μὴ ἄλλον ψευδόχριστον δέξασθε ἀντ' ἐμοῦ τοῦ ἀληθινοῦ. Πολλοὶ γὰρ ἐλεύσονται
ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ὅτι ἐγώ εἰμι ὁ Χριστὸς, καὶ πολλοὺς πλανήσουσι. καὶ ὁ καιρὸς
5 ἐγγύς ἐστι· μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. ὁρᾶτε πόσος ὁ λόγος ἐν ταῖς θείαις γραφαῖς λέ-
γων περὶ τῶν τοιούτων. διὰ τοῦτο πολλάκις ὑμᾶς ὑπέμνησα διὰ τῶν ἀθέων αἱρετι-
κῶν, καὶ τὰ νῦν παρακαλῶ δὲ μὴ συγκαταβαίνειν αὐτοῖς ἔν τινι πράγματι, μήτε ἐν βρώ-
μασι, μήτε ἐν πράγμασιν, ἢ ἐν φιλίᾳ, ἢ ἐν χρήσει οἵᾳ δήποτε, ἢ ἀγάπῃ, ἢ εἰρήνῃ. ὁ γὰρ
ἐν τούτοις ἀπατώμενος καὶ συγκαταβαίνων αὐτοῖς, ἀλλότριον ἑαυτὸν καθίστησι τῆς ἁγίας καθο-
10 λικῆς ἐκκλησίας. ὁ δὲ ἀληθινὸς καὶ ἄδολος μαθητὴς τοῦ Χριστοῦ, μετὰ παρρησίας κράζει·
Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω· καὶ τὰ τοῦ Δαβὶδ ψάλλει (Γαλ. α. θ.)
λέγων, Κύριε, τοὺς μισοῦντάς σε ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην. φρίξατε καὶ (Ψαλ. ρλη. κ.)
ἐξομάξατε καὶ τὰς ἀγάπας μετ' αὐτῶν ποιοῦντες, καὶ διορθώσατε, ἵνα μὴ συναπόλησθε τῶν
ἀσεβειῶν αὐτῶν. ἁρμόζει δὲ καὶ ἐνταῦθα δὲ, Ἰδοὺ προείρηκα ὑμῖν. ἀλλ' ἐπὶ δὲ προκεί-
15 μενον ἐπανέλθωμεν, τὸ περὶ τῆς συντελείας ἀναπληροῦντες· καὶ ἵνα συντόμως εἴπω,
τὰ προειρημένα σημεῖα ἐπληρώθησαν· χρὴ ἕτοιμοι εἶναι καὶ παρεσκευασμένοι, καὶ μὴ πολυ-
πραγμονεῖν πλέον τῶν γεγραμμένων. πολλοὶ ἀμαθεῖς καὶ ἀστήρικτοι γεγόνασιν, καὶ στρε-
βλοῦντες τὰς θείας γραφάς· ὅρα δὲ σὺ μὴ πιστεύσῃς αὐτοῖς· ἀλλ' ὥσπερ ἔλαβες τὸν Κύ-
ριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὕτω κράτει. πολλὴ κακία, πολλοὶ χυδιώτης, πολλὴ πονηρία ἐκ-
20 κέχυται ἐπὶ τῆς γῆς, πολλὰ σκάνδαλα· βλέπε δὲ σὺ μὴ ἀπατηθῇς. μὴ ἐκκλίνῃς εἰς τὰ
δεξιὰ, μήτε εἰς τὰ ἀριστερὰ, ἀλλ' ὁδῷ βασιλικῇ βάδιζε. ἔχεις πολλοὺς πιστοὺς, ἀγα-
πητὲ, εἰ καὶ μὴ ἐπὶ γῆς, ἀλλ' ἐν οὐρανῷ, μεθ' ὧν πάντοτε συνεῖναι σπούδασον. ἔχεις ἐκεῖ
πανηγύρεις ἀγγέλων, ἔχεις πατριάρχας, ἔχεις προφήτας, ἔχεις ἀποστόλους καὶ εὐ-
αγγελιστὰς, καὶ τοὺς ἐν τῷ μοναδικῷ βίῳ διαπρέψαντας, πλῆθος πολὺ, ὧν τὰ ὀ-
25 νόματα ἐν βίβλῳ ζωῆς. τούτους πόθησον, τούτους μίμησαι, τούτων μὴ χωρίζου, τού-
των τὴν μνήμην ἔχε ἀεὶ ἐν τῇ καρδίᾳ σου, νύκτα καὶ ἡμέραν, πάντοτε τὰς ἱερὰς βί-
βλους τούτων κατέχων, καὶ τοὺς βίους αὐτῶν ἀναγινώσκων, ὅπως εὕρῃς πολλὴν ὠφέλειαν. γίνου
ἔμπειρος λόγου δικαιοσύνης, ἵνα δυνηθῇς τοὺς ἀντιλέγοντας ἐλέγχειν, καὶ τοὺς μυθολόγους ἐπι-
τιμᾶν, καὶ τοὺς αἱρετικοὺς ἐπιστομίζειν, καὶ τοὺς παραπίπτοντας νουθετεῖν καὶ ἐπιστρέφειν. ἐρευ-
30 νᾶτε τὰς γραφάς· ἵνα ἐὰν ἴδητε ἀκαταστασίας καὶ σύγχυσιν, μὴ καταπέσητε, ἀλλ' ἐπὶ
τὴν θείων γραφῶν καταφύγητε. ὁρᾶτε δὲ ὑμεῖς μὴ γυμνωθῆτε, μηδὲ σαλευθῆτε ἀπὸ τοῦ
τόπου ἐν ᾧ ἑστήκατε· ὅταν ἴδητε πολλοὺς ἀσυνετοῦντας, μὴ ξενίζεσθε. δεῖ γὰρ ταῦτα γε-
νέσθαι. ὅταν ἴδητε πολλοὺς ψευδοπροφήτας, ὑπομνήσθητε τοῦ δεσπότου λέγοντος, Ὅτι (Ματθ. κδ. κδ.)
ἐγερθήσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται. ὅταν ἴδητε πλανολόγους, ὑπομνήσθητε τοῦ
35 προφήτου λέγοντος, Οὐαὶ τοῖς γράφουσι τὴν πονηρίαν. ὅταν ἴδῃς τοὺς εὐλαβεῖς καὶ σοφοὺς (Ησ. ι. α.)
ἐξουθενημένους, τοὺς δὲ ἐναγεῖς καὶ ἀλαζόνας καὶ προδότας καὶ πόρνους προχειριζομένους, ὑ-
πομνήσθητι τοῦ ἀποστόλου λέγοντος, Ὅτι πονηροὶ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ (Β. Τιμ. γ. ιγ.)
χεῖρον, πλανῶντες καὶ πλανώμενοι. ὅταν ἴδῃς τὴν ἁγίαν γραφὴν βδελυχθεῖσαν ὑπὸ
τῶν δοκούντων εἶναι χριστιανῶν, καὶ τοὺς λαλοῦντας λόγον τοῦ Θεοῦ μισηθέντας· ὑπομνή-
40 σθητι τοῦ Κυρίου εἰπόντος, Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίση- (Ιωαν. ιε. ιη. κ.)
κεν· εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. ὅταν ἴδῃς ἄλλους ἐπισυντρέχοντας πρὸς τοὺς
μυθολόγους καὶ φυλακτογράφους καὶ γενεαλογίας καὶ μαντείας καὶ διδασκαλίας δαιμόνων, καὶ ἐ-
περωτήσεις ἀνθρώπων ἀκαθάρτων· μὴ θορυβηθῇς, μηδὲ καταπέσῃς. κἂν ἐκ τῶν δοκού-
των εἶναι ποιμένων ἴδῃς τοιαῦτα πράσσοντας, μὴ ἀπογνώσῃς, ἀλλὰ δακρύσας ὑπομνή-

α Τιμ. δ. α. περὶ τοῦ ἀποστόλου λέγοντος, Ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέ-
β Τιμ. δ. γ. χοντες πνεύμασι πλάνοις, καὶ διδασκαλίαις δαιμόνων ἀκαθάρτων. καὶ πάλιν λέγει, Ὅτι ἔσται
καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἰδίας ἐπιθυμίας ἐπι-
σωρεύσουσιν ἑαυτοῖς διδασκάλους, κνηθόμενοι τὴν ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν
ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. ὅταν ἴδητε ἄριστα πολυτελῆ, καὶ δεῖπνα,
καὶ τρυφήν, καὶ ἀπάτην, καὶ θορύβους, καὶ ἀτάκτους φωνάς, ὑπομνήσθητε τοῦ Κυρίου λέγον-
Λουκ. ϛ. κε. τος, Οὐαὶ οἱ πεπλησμένοι, ὅτι πεινάσετε. ὅταν ἴδητε παίζοντας, ἢ χοραυλοῦντας, ἢ κιθα-
ρίζοντας, καὶ τὰ ᾄσματα τῶν δαιμόνων καταλέγοντας, στενάξατε καὶ κλαύσατε, καὶ δακρύσαν-
Ψαλ. πα. ε. τες ὑπομνήσθητε τοῦ Δαβὶδ λέγοντος, Ὅτι οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει δια-
Ησ. ε. ια. πορεύονται· καὶ τοῦ προφήτου Ἡσαΐου εἰπόντος, Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ, καὶ τὸ σίκερα δι-
ώκοντες, οἱ μένοντες τὸ ὀψέ. μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου τὸν οἶνον πίνουσι· τὰ δὲ ἔργα
Κυρίου οὐ βλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. καὶ ἁπλῶς πᾶν σκάνδα-
Ματθ. ιη. ζ. λον θεωροῦντες γινόμενον, ὑπομνήσθητε τοῦ δεσπότου λέγοντος, Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν
Λουκ. ιζ. α. σκανδάλων. ἀνένδεκτον δέ ἐστι μὴ ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δὲ δι' οὗ ἔρχεται. ἀλλὰ τί
φασιν οἱ βαρυκάρδιοι, οἱ ζητοῦντες τὸ ψεῦδος; οὐκ ἔστι κακὸν τὸ μετεωρίζεσθαι· καὶ λέ-
γοντες, τί γὰρ βλάπτει ἡ κιθάρα, ἢ τὰ λοιπὰ μουσικὰ ὄργανα; ὢ τῆς ἐσχάτης ἀνοίας· ὢ τῆς
πονηρᾶς ἐπινοίας τοῦ διαβόλου. γενεὰ πονηρὰ καὶ μοιχαλίς, ταῦτα Κυρίῳ ἀνταποδίδοτε;
ὁ ἄχραντος δεσπότης πανταχοῦ ἐνετείλατο μηδὲ ὅλως μετεωρίζεσθαι χριστιανόν· καὶ σὺ
λέγεις, τί βλάπτει ταῦτα; οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν· οὐαὶ οἱ τιθέν-
τες τὸ σκότος φῶς. εἰπάτωσαν γὰρ ἡμῖν οἱ ἀπαίδευτοι, ἐκ ποίας γραφῆς παραστῆσαι δύ-
νανται, ὅτι χρὴ τὸν χριστιανὸν ποιεῖν ταῦτα τὰ σχήματα. ποία βίβλος τῶν ἁγίων, ποῖα εὐαγ-
γέλια ἐδίδαξεν οὕτως ἀσχημονεῖν τοὺς χριστιανούς; ἰδοὺ ἡ καθολικὴ ἐκκλησία ἀπὸ ἀνατολῶν
ἡλίου μέχρι δυσμῶν, ἀπὸ περάτων τῆς οἰκουμένης, κράζει καὶ διδάσκει καὶ παραινεῖ διά τε
νόμου, καὶ προφητῶν, καὶ ἀποστόλων, καὶ αὐτοῦ τοῦ δεσπότου· καὶ οὐδαμῶς τι εὗρεν, ὅτι ἐπετράπη
χριστιανὸν ποιεῖν ταῦτα τὰ σχήματα. πόσοι βασιλεῖς, καὶ δυνάσται, καὶ σοφοί, καὶ εὐγενεῖς, καὶ ἔνδοξοι,
καὶ νομικοί, καὶ δοῦλοι, καὶ ἐλεύθεροι, καὶ πτωχοί, καὶ πλούσιοι, καὶ πρεσβύτεροι, καὶ νέοι; τίς ἐκ τούτων
δύναται ἀποδεῖξαι, ἢ παραστῆσαι, ὅτι ἐπετράπη χριστιανοῖς κιθαρίζειν, ἢ ὀρχεῖσθαι, ἢ ἄλλο τι
τοιούτων ποιεῖν, ὧν εἰρήκαμεν, ὅτι οὐδεὶς δύναται παραστῆσαι; μηδεὶς πλανάτω ὑμᾶς. οὐκ
ἔστι ταῦτα χριστιανῶν· ταῦτα ἀλλότριά ἐστι τῆς καθολικῆς ἐκκλησίας, ταῦτα πάντα τὰ ἔθνη
τοῦ κόσμου ἐπιζητεῖ. μηδείς, ἀδελφοί, πλανάτω ὑμᾶς· ὅσοι ἐν τούτῳ ἐνάγεσθε, τῆς χάρι-
τος ἐξεπέσατε· Χριστὸς οὐδὲν ὑμᾶς ὠφελήσει. ἐπανέλθωμεν δὲ πάλιν ἐπὶ τὴν προφή-
την καὶ καλὴν ὁμολογίαν, εἰς ἣν ἐκλήθημεν, καὶ ὡμολογήσαμεν ἐνώπιον πολλῶν μαρτύ-
ρων, ἐπὶ ἀγγέλων καὶ ἀνθρώπων, καὶ τοῦ κτίστου τῶν ὅλων. αὐτὸς γὰρ καὶ τὸ γραμματεῖον τῆς
ὁμολογίας ἡμῶν κατέχει ἐν τοῖς οὐρανοῖς· ὃ καὶ ἐπιφέρων ἔρχεται ἀποδοῦναι ἑκάστῳ καθὼς
ἔπραξε καὶ ἐφύλαξε τὴν ὁμολογίαν. ἑκάστου γὰρ ἡμῶν γεγραμμέναι εἰσὶ καὶ αἱ συνθῆ-
και, καὶ ὁμολογίαι, καὶ ἡ τοῦ διαβόλου ἀποταγή, καὶ ἡ πρὸς τὸν Χριστὸν συνταξις, καὶ τὰ ἔργα
ἡμῶν, καὶ αἱ πράξεις, καὶ οἱ λόγοι, καὶ τὰ ἐνθυμήματα, καὶ οἱ μετεωρισμοί, καὶ τὰ γέλοια· καὶ
πάντα γεγραμμένα ἔχων ἔρχεται. τί βούλει λοιπόν; ψεύσασθαι αὐτόν; ἀλλ' οὐκ ἔστι δυ-
νατόν, ἐπειδὴ ἐν τῇ χειρὶ αὐτοῦ σὺ καὶ οἱ λόγοι σου. ἀλλὰ βούλει κρύπτεσθαι; οὐκ ἔστι δυνα-
τόν, ἐπειδὴ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ.
Εβρ. δ. ιγ. Πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. ποῦ λοιπὸν κρύπτεσθαι
καὶ φυγῆς ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ; ἐὰν εἰς τὸν οὐρανὸν ἀναβῇς, αὐτὸς ἐκεῖ ἐστιν· ἐ-
Ψαλ. ρλδ. ϛ. ὰν καταβῇς εἰς τὴν ἄβυσσον, ἐκεῖ πάρεστι. γέγραπται γάρ, Ὅτι πάντα, ὅσα ἠθέ-
λησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις

ταῖς

ταῖς ἀβύσσοις. τί οὖν ποιήσομεν, ἀδελφοί; στενὰ ἡμῖν πάντοθεν· λαθεῖν οὐκ ἔνι· αὐτὸς
γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας ἡμῶν, ὁ ἐξετάζων καρδίας καὶ νεφρούς. φυγεῖν οὐκ ἔ-
στιν. οὐ γάρ ἐστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν αὐτοῦ. κρυβῆναι ἀδύνατον. κατέχει γὰρ τὸν γῦ- Ἡσ. μ. κβ.
ρον τῆς γῆς, καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ, ὡσεὶ ἀκρίδας. ἀντιστῆναι οὐκ ἔνι λοιπόν, καθὼς
5 γέγραπται· Ὅτι σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; αὐτὸς γὰρ δεσπόζει τῶν ἐπουρανίων Ψαλ. οε. ζ.
καὶ τῶν ἐπιγείων καὶ καταχθονίων, ὁ μέλλων καταργεῖν πᾶσαν ἐξουσίαν καὶ δύναμιν. ἀπο-
λογία οὐκ ἔνι, οὐδὲ ἀφορμή, οὔτε ἔννοια. διὰ τοῦτο ἀπὸ περάτων ἕως περάτων τῆς οἰκου-
μένης ἡ θεία γραφὴ βοᾷ καὶ παραινεῖ καὶ ἐλέγχει καὶ νουθετεῖ καὶ μαρτύρεται. διό φησιν ὁ δε-
σπότης ἡμῶν, ὁ δεσπότης Ἰησοῦς Χριστός· Ὁ ἀθετῶν ἐμέ, καὶ μὴ λαμβάνων τὰ ῥήματά μου, Ἰωαν. ιβ. μη. μζ.
10 ἐγὼ οὐ κρίνω αὐτόν· ὁ λόγος, ὃν ἐλάλησα, κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. καὶ πάλιν λέγει·
Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι πε- Ἰωαν. ιε. κβ.
ρὶ τῆς ἁμαρτίας αὐτῶν. ἠκούσατε ὅτι οὐδεὶς ἔχει πρόφασιν. οὕτως, ἀδελφοί, στενὰ ἡμῖν
πάντοθεν. ἀλλὰ πάντως ἀποκρίνεταί τις πρὸς αὐτὸν λέγων, ὅτι ἱκανῶς καθὸν διεγράψατο
ἡμῖν διὰ τοῦ λόγου, καὶ τὰ σκυθρωπὰ ὑπέδειξας, καὶ τὰς κολάσεις ὑπέμνησας, καὶ
15 τὰς τιμωρίας διεγράψω· καὶ φοβερῶς κατέπληξας, καὶ ἐφόβησας. καὶ οἶδα ἀληθῶς,
ὅτι οὕτως ἐστὶν ἀληθῶς, ὡς εἴρηκας· καὶ οἶδα ὅτι ἕκαστος ὑπὲρ αὐτοῦ λόγον δώσει τῷ Θεῷ,
καὶ ἕκαστος θερίσει ὃ ἔσπειρε, καὶ ἕκαστος τὸ ἴδιον φορτίον βαστάσει. ἀλλ᾽ ὡς ταῦτα ἐπήγγειλας,
καὶ εἰς μέσον ἤγαγες, καὶ κατέπληξας, καὶ ἐφόβησας, ὑπόδειξον ἡμῖν καὶ τῆς σωτηρίας
τὸν τρόπον, δὸς καὶ τῆς πληγῆς τὴν ἴασιν· καὶ ὥσπερ εἶπας τὰ καταπληκτικὰ καὶ σκυ-
20 θρωπὰ καὶ λυπηρά, εἰπὲ καὶ τὰ χαροποιά. ἰδοὺ σωθῆναι θέλω. τί ποιήσω; πῶς
σωθῶ; ποίῳ τρόπῳ γένωμαι; πρὸς τίνα καταφεύξομαι; πολλὰ γὰρ ἥμαρτον καὶ ἐν λό-
γοις, καὶ ἐν ἔργοις, κατὰ διάνοιαν, καὶ ἐν νυκτί, καὶ ἐν ἡμέρᾳ, καὶ κατὰ πᾶσαν ὥραν. τί οὖν ποιήσω;
πῶς σωθῶ; ἐγώ σοι λέγω πρὸς τίνα καταφύγῃς. ὁ μακάριος Δαβὶδ ὑπέδειξε πρὸς
ὃν δεῖ καταφυγεῖν, εἰπών· Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις. τοῦτον ὑπέδειξε καὶ Ψαλ. με. α.
25 Ἰωάννης ὁ μείζων πάντων τῶν προφητῶν, λέγων· Ἴδε, ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁ- Ἰωαν. α. κθ.
μαρτίαν τοῦ κόσμου. τοῦτον ἀπήγγειλεν ὁ ἄγγελος, λέγων· Αὐτὸς γὰρ σώσει τὸν λα- Ματθ. α. κα.
ὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. καὶ πάλιν ὁ προφήτης Δαβίδ· Κύριε, πρὸς Ψαλ. ρμβ. ια.
σὲ κατέφυγον. πρὸς τοῦτον κατάφυγε καὶ σύ, ἀγαπητέ, τὸν εἰπόντα, Οὐκ ἦλ- Ματθ. θ. ιγ.
θον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· τὸν εἰπόντα, Οὐ χρεί- Λουκ. ε. λα.
30 αν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες· τὸν εἰπόντα, Μετανοεῖτε,
ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν· τὸν λέγοντα, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πε- Ματθ. γ. β. Ματθ. ια. κη.
φορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· τὸν εἰπόντα, Ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀ- Ματθ. θ. ϛ.
φιέναι ἁμαρτίας· τὸν λέγοντα, Ὅτι τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλω ἔξω· τὸν εἰ- Ἰωαν. ϛ. λζ.
πόντα διὰ τοῦ προφήτου, Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτω- Ἰεζεκ. λγ. ια.
35 λοῦ, ὡς τὸ ἐπιστρέφειν καὶ ζῆν αὐτόν· τὸν εἰπόντα, Ὅτι ποιήσει τὴν ἐκδίκησιν τῶν βοώντων Λουκ. ιη. ζ.
πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας· τὸν εἰπόντα, Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ με- Λουκ. ιε. ζ.
τανοοῦντι· πρὸς τοῦτον κατάφυγε μετανοῶν καὶ δακρύων. μετανόησον, ἀγαπητέ, καὶ μὴ
διακριθῇς· μετανόησον, καὶ μὴ ἀθυμήσῃς· μὴ ἀπογνώσῃς ἑαυτὸν ἔχοντα σωτήρια. ἐν
οὐρανῷ χαρὰ γίνεται, σοῦ μετανοοῦντος, καὶ σὺ ἀθυμεῖς; ἄγγελοι σκιρτῶσι, καὶ σὺ νυστάζεις; διὰ
40 σὲ παραγέγονεν ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ σὺ τὸ τραῦμα κρύπτεις; ἐκεῖνος βοᾷ, Ἐπιστράφητε
πρός με υἱοὶ τῶν ἀνθρώπων· δεῦτε πάντες πρός με, λέγει· καὶ σὺ οὐ σπουδάζεις, ἀλλ᾽ ἀ-
μελεῖς; καὶ ἐκεῖνος κράζει· Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν· Ματθ. θ. ιγ.
θάρσει οὖν, ἁμαρτωλέ, καὶ μὴ ἀθυμήσῃς. σὲ γὰρ ἦλθε καλέσαι ὁ ποιμὴν ὁ καλός· διὰ σὲ
ἔκλινεν οὐρανούς, καὶ κατέβη, λέγων· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες, καὶ τὰ ἑξῆς. ὅρα Ματθ. ια. κη.

μὴ

μὴ χαυνωθῇς ἐπὶ τῷ λόγῳ. ἄκουσον τὴν αὐτοῦ ἄφατον φιλανθρωπίαν. οὐ γὰρ μόνον τὴν κλῆσιν ψιλὴν εἴρηκεν, ἀλλὰ προσέθηκε τό, εἰς μετάνοιαν. οὐκ ἦλθον, φησί, καλέσαι δικαίους, ἀλλ᾽ ἁμαρτωλοὺς εἰς μετάνοιαν· οὐκ εἰς γελοῖα, ἀλλ᾽ εἰς δάκρυ· οὐκ εἰς ἀργολογίαν, ἀλλ᾽ εἰς δοξολογίαν· οὐκ εἰς ἄριστα, καὶ δεῖπνα, καὶ μέθην, ἀλλ᾽ εἰς νηστείαν καὶ ἀγρυπνίαν· οὐκ εἰς χορεύματα, καὶ κιθαρισμούς, καὶ τὰ λέγματα, ἀλλ᾽ εἰς πένθος, καὶ θλῖψιν, καὶ στενοχωρίαν. λέγει γάρ, Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. ἄρξαι οὖν, ἀδελφέ, τοῦ μετανοεῖν· βάλε ἀρχὴν μόνον, καὶ ὁ Θεὸς τῶν μετανοούντων συνεργεῖ σοι, καὶ ἐνισχύει σε, καὶ εὑρήσεις χαρὰν πολλήν, καὶ γλυκήσεται ἐν σοὶ ὑπὲρ μέλι καὶ κηρίον. πολλαὶ ὁδοὶ βίου, καθὼς γέγραπται, καὶ πολλοὶ τρόποι τῆς σωτηρίας. οἷ τρόπῳ θέλεται σωθῆναι μόνῳ σωθήσεται. ἐὰν ἔχῃς, ἐλέησον· εἰ δὲ οὐκ ἔχεις, οὐ ζητεῖ ὁ Θεὸς ὃ οὐκ ἔχεις. οὐκ ἔχεις ἄρτον; ἀλλ᾽ ἔχεις ἱμάτιον. κλῖνον τὰ γόνατα, τύψον τὸ στῆθος, κατάγαγε δάκρυα, στέναξον, πένθησον, ἔκτεινον τὰς χεῖράς σου εἰς τὸν οὐρανόν, ἆρον τὸ ὄμμα πρὸς τὸν δεσπότην, νήστευσον, ἀγρύπνησον. ταῦτα ἔχει πᾶς ἄνθρωπος, καὶ ἀρνήσασθαι οὐ δύναται· ταῦτα σπούδασον προσαγαγεῖν τῷ Θεῷ πάντοτε. ἀλλὰ καὶ ταῦτα μετὰ σκοποῦ καὶ διακρίσεως δεῖ ποιεῖν, ἵνα μὴ εἰς κενὸν τρέχῃς, καὶ μάτην κοπιᾷς. ταύτας οὖν τὰς ἀρετὰς προσφέρων τῷ Θεῷ, τὴν μετάνοιάν σου τήρησον ἀκριβῶς· καὶ ἐρεύνησον ἑαυτόν, μήποτε ἔχῃς ἔχθραν μετά τινος, καὶ ὁ μόχθος σου πᾶς εἰς κενὸν γένοιτο. ἀλλὰ (καθὼς εἶπεν ὁ ἀπόστολος) Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργαζώμεθα, καὶ τηροῦντες τὴν τοῦ Κυρίου ἐντολὴν τὴν λέγουσαν, Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν. ἐὰν οὖν προσέρχησθε τῷ Θεῷ ἐν ὅλῃ καρδίᾳ, καὶ οὐχὶ χλευάζοντες καὶ μετεωριζόμενοι, τηρεῖτε αὐτοῦ τὴν ἐντολήν. ἐὰν βούλῃ ἀφαιρεθῆναί σοι τὰ ἴδια παραπτώματα, ἄφες καὶ σὺ τοῦ πλησίον σου τὰ παραπτώματα. ἐὰν δὲ σὺ οὐκ ἀφίῃς, οὐδὲ ὁ πατὴρ ἡμῶν ὁ οὐράνιος ἀφήσει τὰ παραπτώματα ἡμῶν. οἴδαμεν πάντες ὅτι οὐ ψεύδεται. ἀψευδὴς γάρ ἐστι καὶ πιστὸς ἐν πᾶσι τοῖς λόγοις. γίνου οὖν ἕτοιμος καθ᾽ ἑκάστην ἡμέραν πρὸς τὸν ἀπαιτοῦντά σε τὴν ψυχήν. μὴ σήμερον μετανοήσῃς, καὶ αὔριον ἐπιλάθῃς· μὴ σήμερον κλαύσῃς, καὶ αὔριον χορεύσῃς· μὴ σήμερον νηστεύσῃς, καὶ αὔριον μεθύων περιέλθῃς, περιφερόμενος καὶ ἐμπαιζόμενος ὑπὸ πολλῶν· καὶ μὴ σήμερον ἀγρυπνήσῃς, καὶ αὔριον ἀναπέσῃς· ἀλλὰ γνησίως μετανόησον, ἵνα καὶ στεφανωθῇς. καὶ ὅτε μνημονεύσῃς τὴν ἀρετήν, μὴ περιφύγῃς τὸν κόπον, ἵνα μὴ στερηθῇς τῶν στεφάνων· μίσησον πᾶσαν χαρὰν τοῦ κόσμου τούτου, καὶ τὴν δόξαν αὐτοῦ· καὶ εἰπὲ μετὰ τοῦ ἁγίου Δαβίδ, Ἀδικίαν ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα, καὶ ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου. σπούδασον πάντοτε ἕτοιμος εἶναι, ἵνα ἐλθὼν ὁ ἀπαιτῶν σε τὴν ψυχήν, εὕρῃ σε ἕτοιμον ἐν τῇ μετανοίᾳ· κἀγὼ ἐγγυῶμαί σε, ὅτι οὐ μή σε χωρίσῃ ἀπὸ τῶν σωζομένων. τήρησον ἀεὶ τὴν τοῦ Κυρίου ἐντολήν, τό, Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. καὶ πάλιν λέγει, Γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε, ὁ Χριστὸς ἔρχεται. ἄκουσον καὶ τοῦ ἀποστόλου βοῶντος, Ἀδιαλείπτως προσεύχεσθε· τουτέστι, πάντοτε, καὶ ἐν παντὶ καιρῷ, καὶ ἐν νυκτί, καὶ ἐν ἡμέρᾳ, καὶ ἐν ἑσπέρᾳ, καὶ πρωΐ, καὶ μεσημβρίᾳ, καὶ κατὰ πᾶσαν ὥραν, καὶ ἐργαζόμενος, καὶ ὁδεύων, καὶ ποιμαίνων, καὶ ἀροτριῶν, καὶ κοιμώμενος, καὶ ἀνιστάμενος. μὴ ἀναμείνῃς κυριακήν, ἢ ἑορτήν, ἢ τόπου διαφοράν. οὐ γὰρ ἐν τόπῳ περιγράφεται τὸ θεῖον. ἐν γὰρ τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. διὰ τοῦτο ὁ προφήτης Δαβὶδ καθ᾽ ἑκάστην ἡμέραν καὶ νύκτα προσευχόμενος, οὐκ ἀνέμενεν ἡμέραν, ἢ τόπου διαφοράν, ἀλλὰ δακρύων ἔλεγε παρακαλῶν τῇ ἑαυτοῦ ψυχῇ· Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. καὶ σύ, ἀγαπητέ, μὴ ἀναμείνῃς ὥραν ἢ ἡμέραν, ἢ τόπου διαφοράν· ἀλλὰ (καθὼς εἴρηται) ἐν παντὶ τόπῳ, καὶ ἐν τῷ οἴκῳ σου ὢν προσεύ-

χου,

Ματθ. ε. δ.

Φιλιπ. β. ιβ.

Ματθ. ς. ιδ.

Ψαλ. ριθ. ρκζ.

Ματθ. κς. μα.

Ματθ. κδ. μδ. α. Θεσ. ε. ιζ.

Ψαλ. ρβ. κβ.

χου, καὶ ἐν τῇ ἐκκλησίᾳ γινόμενος προσεύχου· καὶ ὅπου δ᾽ ἂν τυγχάνῃς, προσεύχου, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης. εἴτε ἄρσεν, εἴτε θῆλυ, εἴτε μεγάλοι, ἀκούσατε τὸ γεγραμμένον· εἴτε νεανίσκοι καὶ παρθένοι, βασιλεῖς καὶ πάντες κριταὶ γῆς. ὁ καιρὸς συνεσταλμένος ἐστίν, ἵνα καὶ οἱ ἄρχοντες ὦσιν. ἀρνησώμεθα τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας· σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. μνήσθητέ μου πάντες ἀδελφοί μου, καὶ κρατεῖτε τὰς παραδόσεις, ἃς ἐδιδάχθητε καὶ παρελάβετε παρὰ τῶν μακαρίων ἀνδρῶν, προφητῶν καὶ ἀποστόλων, καὶ ὁσίων πατέρων, καὶ τοῦ δεσπότου τῶν ὅλων. ὑπόδειγμα δὲ τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας, ἔχετε τοὺς προφήτας· τῆς ὑπομονῆς, τὸν Ἰώβ· τῆς σωφροσύνης, τὸν Ἰωσήφ· τῆς διακρίσεως, τὸν Δανιήλ· τῆς ἀγάπης, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν· τῆς μετανοίας, τὸν θεοπάτορα Δαβὶδ ἔχετε. οὗτος γὰρ τύπος μετανοίας ἡμῖν γέγονε, παραινῶν ἡμῖν, καὶ παρακαλῶν· Δεῦτε, τέκνα, ἀκούσατέ μου, κἀγὼ ὑμῖν ὑποδείξω τὸν τρόπον τῆς σωτηρίας. ἐπεὶ κἀγώ ποτε ἐσκανδαλίσθην· ἀλλὰ διὰ τῆς μετανοίας ἀνέστην, καὶ γινώσκω τὴν τοῦ δεσπότου φιλανθρωπίαν· οἶδα πῶς τοὺς μετανοοῦντας, ἐν ταῖς χερσὶν ὑποδέχεται. ἀδύνατον γάρ ἐστι τὸν ἐμὸν δεσπότην ψεύσασθαι. ἤκουσα γὰρ αὐτοῦ λέγοντος, Ὅτι τὰ ἐκπορευόμενα ἐκ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, ζῶ ἐγώ, ὅτι οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. ἠκούσατε, καθ᾽ ἑαυτοῦ ὤμοσεν ὁ φιλάνθρωπος. διὰ τοῦτο προτρεπόμενοι πάντας· δεῦτε, τέκνα, ἀκούσατέ μου. καὶ ὡς καιρὸν ἔχομεν, ἐξυπνίσωμεν πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. προετοιμάσωμεν ἑαυτούς, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς. αὐτὸς οἰκτειρήσει ἡμᾶς, καὶ εὐλογήσει ἡμᾶς, ἐπιφανεῖ τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεήσει ἡμᾶς. αὐτὸς γάρ ἐστιν ὁ Θεὸς τῶν μετανοούντων, αὐτὸς προσδέχεται ἡμᾶς μετανοοῦντας· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας, αὐτὸς τηρήσει ἡμᾶς καὶ τὰς καρδίας ἡμῶν, καὶ ἀξίους ἡμᾶς ποιήσει τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ψαλ. λγ. ια.

Ψαλ. πη. λδ.

ἰ. ἐξυπνίσω- ἢ ἐξευπνίσ- ωμεν

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΜΟΝΑΧΟΥΣ ΩΦΕΛΕΙΑΣ ΠΑΣΗΣ καὶ νήψεως μεστή.

Λόγ. β.

Φησὶν ὁ θεῖος ἀπόστολος· Ἀδιαλείπτως προσεύχεσθε, χωρὶς ὀργῆς καὶ διαλογισμῶν. καὶ καλῶς εἶπεν ὁ ἅγιος, χωρὶς διαλογισμῶν· πᾶς γὰρ διαλογισμὸς χωρίζων τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ, εἰ καὶ δοκεῖ ἀγαθὸς εἶναι, ἀλλ᾽ ὅλος διάβολός ἐστιν, ἵνα μὴ εἴπω τοῦ διαβόλου ἐστίν. ὅλος γὰρ ὁ ἀγὼν τοῦ διαβόλου τοῦτό ἐστιν, ἵνα ἀποχωρίσῃ καὶ ἀποβουκολήσῃ τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ, καὶ εἰς τὰς κοσμικὰς περισύρῃ φροντίδας καὶ ἡδονάς· καὶ ἐντολὰς καὶ εὐποιΐας ὑπαγορεύει ἔσωθεν ἐν τῇ καρδίᾳ, καὶ ἄλλας τινὰς εὐλόγους, ἢ μᾶλλον ἀλόγους ἐννοίας, αἷς οὐ προσέχειν ὅλως προσήκει. ὅλος γὰρ ὁ ἀγὼν τῆς ψυχῆς ἐστι, τὸ μὴ χωρίζειν τὸν νοῦν ἀπὸ τοῦ Θεοῦ, μηδὲ συνδυάζειν καὶ συμφέρεσθαι τοῖς ἀκαθάρτοις λογισμοῖς, μηδὲ προσέχειν, οἷς εἰκονογραφεῖ ἐν τῇ καρδίᾳ ὁ παντομίμητος καὶ παλαιὸς ζωγράφος διάβολος. ποτὲ μὲν τύπους, ποτὲ δὲ σχήματα, καὶ χρώματα, καὶ πρόσωπα μετὰ ταῦτα πάντα ὁ διάβολος ἀπομορφοῦται· καὶ ὁ ἄθλιος ἄνθρωπος ἐν ἑνὶ τόπῳ ἑστώς, νομίζει

ἀλλαχοῦ

Ex Ms. Caesareo emend. ex alio Ms.

α. Τιμ. β.

γ. συνδιάζειν

ἀλλαχοῦ που [ποτε] εἶ, ἀπατώμενος, καὶ δοκεῖς βλέπειν τινάς, καὶ προσώποις λαλεῖν, καὶ διαπλάττεσθαι πράγματα, ἅπερ πλάνης ἐστὶ διαβολικῆς. χρὴ οὖν ἀσφαλίζεσθαι καὶ ἡνιοχεῖν τὸν νοῦν, καὶ χαλιναγωγεῖν αὐτόν, καὶ πάντα λογισμὸν καὶ πᾶσαν τοῦ πονηροῦ ἐνέργειαν κολάζειν διὰ τῆς ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ὅπου τὸ σῶμα ἵσταται, ἐκεῖ καὶ ὁ νοῦς ἔστω, ἵνα μέσον τοῦ Θεοῦ καὶ τῆς καρδίας μηδὲν ἕτερον εὑρίσκηται ὡς μεσότοιχον, ἢ ὡς φραγμὸς ἐπισκοτῶν τὴν καρδίαν, καὶ χωρίζων ἀπὸ τοῦ Θεοῦ. ἐὰν δὲ καί ποτε ἁρπάζῃ τὸν νοῦν, οὐ χρὴ τοῖς λογισμοῖς ἐγχρονίζειν· ἵνα μὴ ἡ συγκατάθεσις τῶν λογισμῶν εἰς πρᾶξιν αὐτῷ λογισθῇ ἐνώπιον Κυρίου ἐν ἡμέρᾳ κρίσεως, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων. (Ρωμ.) σχολάσατε τοίνυν διαπαντός, καὶ παραμείνατε τῷ Κυρίῳ Θεῷ ἡμῶν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς· καὶ μηδὲν ἕτερον ζητήσατε, ἢ μόνον ἔλεος παρὰ Κυρίου τῆς δόξης. ζητοῦντες δὲ ἔλεος, ἐν ταπεινῇ καὶ ἐλεεινῇ καρδίᾳ ζητεῖτε, καὶ βοᾶτε ἀπὸ πρωῒ ἕως ἑσπέρας, εἰ δυνατόν, καὶ ὅλην τὴν νύκτα, τό, Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἐλέησον ἡμᾶς· καὶ βιάσασθε τὸν νοῦν ὑμῶν εἰς τοῦτο τὸ ἔργον ἕως θανάτου. πολλῆς γὰρ βίας χρῄζει τὸ ἔργον τοῦτο, (Ματθ.) Ὅτι στενή ἐστιν ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδός, ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ οἱ βιαζόμενοι εἰσέρχονται ἐν αὐτῇ. βιαστῶν γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. παρακαλῶ οὖν ὑμᾶς, μὴ χωρίζετε τὰς καρδίας ὑμῶν ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ προσμένετε καὶ φυλάττετε αὐτὴν μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε, ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ Κυρίου ἔσω ἐν τῇ καρδίᾳ· καὶ μηδὲν ἕτερον ἐννοῆτε, ἢ ἵνα μεγαλυνθῇ ὁ Χριστὸς ἐν ὑμῖν. παρακαλῶ οὖν ὑμᾶς, τὸν κανόνα ταύτης τῆς προσευχῆς μηδέποτε καταπαύσατε, ἀλλ᾽ εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε ὁδεύετε, εἴτε τι ἄλλο ποιεῖτε, ἀδιαλείπτως κράζετε· Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ Θεοῦ, ἐλέησον ἡμᾶς· ἵνα αὕτη ἡ μνήμη τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐρεθίσῃ πρὸς πόλεμον τὸν ἐχθρόν. πάντα γὰρ διὰ τῆς μνήμης ἔχει εὑρεῖν ἡ βιαζομένη ψυχή, εἴτε ἀγαθά, εἴτε πονηρά. πρότερον δὲ τὰ κακὰ ἔχει ἰδεῖν ἔσω ἐν τῇ καρδίᾳ, καὶ τότε τὰ καλά. ἡ γὰρ μνήμη ἔχει αὐτὸν ταπεινῶσαι, ἡ μνήμη ἔχει ἐλέγξαι τὴν ἐν ἡμῖν οἰκοῦσαν ἁμαρτίαν, καὶ ἡ μνήμη ἔχει αὐτὴν δαπανῆσαι· ἡ μνήμη ἔχει κινῆσαι πᾶσαν δύναμιν τοῦ ἐχθροῦ ἐν τῇ καρδίᾳ, καὶ ἡ μνήμη ἔχει αὐτὴν νικῆσαι καὶ ἐκριζῶσαι κατὰ μέρος. κατερχόμενον γὰρ τὸ μέρος τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τὸν βυθὸν τῆς καρδίας, τὸν μὲν δράκοντα τὸν κρατοῦντα τὰς νομὰς ταπεινοῖ· τὴν δὲ ψυχὴν σώζει καὶ ζωοποιεῖ. ἀδιαλείπτως τοίνυν παραμείνατε ἐν τῇ καρδίᾳ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ κράζοντες, ἵνα καταπίῃ ἡ καρδία τὸν Κύριον, καὶ ὁ Κύριος τὴν καρδίαν, καὶ γένηται τὰ δύο εἰς ἕν. τὸ δὲ ἔργον τοῦτο οὐκ ἔστι μιᾶς ἡμέρας, ἢ δύο, ἀλλὰ χρόνου πολλοῦ καὶ καιροῦ, καὶ ἀγῶνος καὶ πόνου χρεία, ἕως οὗ ἐκβληθῇ ὁ ἐχθρός, καὶ ἐνοικήσῃ ὁ Χριστός. (Ἐφ. ς. ιβ.) Οὐκ ἔστι γὰρ ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας, ὥς φησιν ὁ ἀπόστολος. οὕτω δεῖ τὸν εὐχόμενον εὔχεσθαι, ὡς ὅλην αὐτοῦ συναγαγόντα καὶ συντείνοντα τὴν διάνοιαν, καλεῖν τὸν Θεὸν μετὰ ὀδυνωμένης ψυχῆς· καὶ μηδὲ μακροὺς ἀποτείνοντα λόγους, μηδὲ εἰς μῆκος τὴν ἱκετηρίαν ἐκτείνειν, ἀλλὰ ὀλίγα καὶ ψιλὰ λέγειν ῥήματα. οὐ γὰρ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ᾽ ἐν τῇ νήψει τῆς διανοίας κεῖται τὸ ἀκουσθῆναι. καὶ τοῦτο ἀπὸ τῶν κατὰ τὴν τοῦ Σαμουὴλ μητέρα τὴν Ἄνναν ἐστὶν ἰδεῖν. δεῖ τοίνυν τὸν εὐχόμενον μὴ μακροὺς ἀποτείνειν λόγους, καὶ συνεχῶς εὔχεσθαι εὐχὰς ὁ Χριστὸς διὰ Παύλου ἐκέλευσεν, ἐξ ὀλίγων διαλειμμάτων. ἂν γὰρ εἰς μῆκος ἐκτείνῃς τὸν λόγον, ὀλιγωρήσας πολλάκις, πολλὴν ἔδωκας τῷ διαβόλῳ τὴν ἄδειαν προσελθεῖν καὶ ὑποσκελίσαι σε, καὶ τὴν διάνοιαν ἀπαγαγεῖν τῶν λεγομένων. ἂν δὲ συνεχεῖς καὶ πυκνὰς ποιῇς τὰς εὐχάς, τόν τε καιρὸν ἅπαντα τῇ πυκνότητι διαλαμβάνῃς, δυνήσῃ τὰς εὐχὰς μετὰ πολλῆς ποιεῖν τῆς νήψεως. βούλει μαθεῖν ἀ-

γρυπνίαν,

γρυπνίαν, προσευχὴν, καὶ νῆψιν, καὶ προσεδρίαν; ἄπιθι πρὸς τὴν Ἄνναν· μάθε τί ἐποίη-
σεν ἐκείνη. Ἀνέστησαν, φησι, πάντες ἀπὸ τῆς τραπέζης· καὶ εὐθέως ἐκείνη οὐ πρὸς ὕπνον ἐ- (α. Βασ. α θ.)
τρέπετο, οὐ πρὸς ἀνάπαυσιν. ὅθεν μοι δοκεῖ καὶ ἐπὶ τῆς τραπέζης καθημένη, κούφη τις οὖσα,
καὶ μὴ βαρεῖσθαι σιτίοις τισίν. οὐ γὰρ ἂν τοσαῦτα ἠφίει δάκρυα. καὶ οὐκ ἐπὶ λαμπρᾶς καὶ
μεγάλην ἀφῆκε φωνὴν, διὰ τοῦτο, ἀλλ' ἐπὶ μεγάλα ἔνδον κατὰ τὴν καρδίαν ἐβόα. Ἡ
φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησι, καὶ εἰσήκουσεν αὐτῆς ὁ Θεός. οὐδὲ γὰρ οὕτω φωνῆς
χρεία, ὡς διανοίας, ὥσπερ οὐδὲ ἐκτάσεως χειρῶν, ὡς συντεταμένης ψυχῆς· οὐδὲ σχήμα-
τος, ἀλλὰ φρονήματος. κἂν γὰρ ἔξω ἐκκλησίας ἧς, κράζε καὶ λέγε, Κύριε Ἰησοῦ Χριστὲ
ἐλέησόν με, εἰ καὶ μὴ κινῶν τὰ χείλη, ἀλλὰ τῇ διανοίᾳ βοῶν. καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός. οὐ
ζητεῖται τόπος, ἀλλὰ τρόπος. κἂν γὰρ ὅπουπερ ἂν ἧς, εὔχου. ναὸς εἶ, μὴ ζήτει τόπον. θάλασσα
ἦν ἔμπροσθεν, ὄπισθεν Αἰγύπτιοι, καὶ μέσον ὁ Μωϋσῆς μηδὲν λαλῶν· καὶ λέγει πρὸς αὐτὸν
ὁ Θεός, Τί βοᾷς πρὸς μέ; καὶ σὺ τοίνυν ὅταν πειρασμὸς ἐπιτεθῇ σοι, ἐπὶ τὸν Θεὸν κατά- (Ἐξοδ. ιδ. ιε.)
φυγε, τὸν δεσπότην Ἰησοῦν κάλεσον. μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ἀπέλθῃς εἰς τόπον; ὁ
Θεὸς ἀεὶ ἐγγύς ἐστιν. ἔτι σοῦ λαλοῦντος ἐρεῖ, ἰδοὺ πάρειμι. οὐδέπω πληροῖς τὴν εὐχὴν, καὶ
αὐτὸς τὴν αἴτησιν δίδωσιν. ἐὰν γὰρ τὴν διάνοιαν ἔχῃς καθαρεύουσαν τῶν ἀτόπων παθῶν, κἂν
ἐν ἀγορᾷ ἧς, κἂν ἐν ὁδῷ, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πανδοχείῳ, κἂν ὅπουπερ ἂν ἧς, δυνήσῃ
τὸν Θεὸν καλέσας ἐπιτυχεῖν τῆς αἰτήσεως. πολλάκις, φησὶν, ᾔτησα, καὶ οὐκ ἔλαβον. πάν-
τως ὅτι κακῶς ᾔτησας, ἢ ἀπίστως, ἢ μετεώρως, ἢ τὰ μὴ συμφέροντά σοι· εἰ δὲ καὶ συμφέ-
ροντα πολλάκις ᾔτησας, ἀλλ' οὐ παρέμεινας. γέγραπται γάρ· Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσα- (Λυκ. κα. ιθ.)
σθε τὰς ψυχὰς ὑμῶν· καὶ, Ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται. ἐὰν γὰρ οὐκ αἰ- (Ματθ. ι. κβ.)
τήσῃς μετὰ καμάτου καὶ προσμονῆς πολλῆς, οὐ λαμβάνεις. δεῖ γὰρ πρότερον ποθῆ-
σαι, ποθήσαντα δὲ ζητῆσαι ἐξ ἀληθείας ἐν πίστει καὶ ὑπομονῇ τὰ ἑκάστῳ συμφέ-
ροντα, ἐν μηδενὶ κρινόμενος ὑπὸ τοῦ συνειδότος, ὡς ἀμελῶς ἢ ῥαθύμως αἰτῶν· καὶ
τότε λαμβάνεις, ὅτε θέλει ὁ Θεός. κρεῖττον γάρ σου οἶδε τὰ συμφέροντά σου. καὶ ἴσως διὰ
τοῦτο ἀναβάλλεται, τὴν πρὸς αὐτὸν προσεδρίαν σου σοφιζόμενος, ἵνα γνῷς τί ἐστι δῶρον Θε-
οῦ, καὶ φυλάξῃς τὸ δοθὲν μετὰ φόβου. πᾶν γὰρ ὃ μετὰ καμάτου πολλοῦ κτᾶταί τις, σπουδά-
ζει τοῦτο φυλάσσειν, ἵνα μὴ ἀπολέσας αὐτὸ, ἀπολέσῃ καὶ τὸν πολὺν αὐτοῦ κάματον, καὶ
τὴν χάριν τοῦ Κυρίου ἀθετήσας ἀνάξιος γένηται τῆς αἰωνίου ζωῆς. τί γὰρ ὠφέλησε τὸν Σο-
λομῶντα ταχέως λαμβάνοντα τῆς σοφίας τὴν χάριν, καὶ ἀπολέσαντα αὐτήν; μὴ οὖν ὀλι-
γοψύχει, ἐὰν μὴ ταχέως λάβῃς τὸ αἴτημά σου. εἰ γὰρ ᾔδει ὁ ἀγαθὸς δεσπότης, ὅτι ταχέ-
ως λαμβάνων τὴν χάριν οὐκ ἀπόλλῃς αὐτὴν, ἕτοιμος ἦν καὶ πρὸ τῆς αἰτήσεως παρασχεῖν
σοι. νῦν δὲ κηδόμενός σου, τοῦτο ποιεῖ. εἰ γὰρ ὁ λαβὼν δοῦλος τὸ τάλαντον, καὶ σῶον αὐτὸ φυ-
λάξας, διότι μὴ προσειργάσατο, κατεκρίθη· πολλῷ μᾶλλον ὁ ἀπολέσας αὐτὸ κατακριθή-
σεται. πρόσεχε σεαυτῷ, καὶ πανταχόθεν σεαυτὸν περισκέπτου. ἀκοίμητον ἔχε πρὸς τὴν
σωτηρίαν φυλακὴν καὶ τοῦ νοὸς ὄμμα· ἐν μέσῳ παγίδων διαβαίνεις· κεκρυμμένοι βρόχοι πα-
ρὰ τοῦ ἐχθροῦ πανταχόθεν καταπεπήγασι. πάντα οὖν περισκόπει, ἵνα σώζῃ ὥσπερ δορκὰς
ἐκ βρόχων. ἐκείνη γὰρ ἀνάλωτός ἐστι τοῖς βρόχοις, διὰ τὴν τῆς ὁράσεως ὀξύτητα· ὅθεν
καὶ ἐπώνυμός ἐστι τῆς ὀξυδορκίας. ἐκεῖνο μέντοι γε γινώσκειν χρὴ, ὅτι οὔτε ἄλλης τινὸς ἐντολῆς
τήρησιν, οὔτε αὐτὴν τὴν πρὸς τὸν Θεὸν ἀγάπην, οὔτε τὴν πρὸς τὸν πλησίον δυνάμεθα
(ἴσ. τῇ δια-νοίᾳ) κατορθῶσαι, ἄλλοτε περὶ ἄλλα τῆς διανοίας ἀποπλανώμενοι· ἀλλὰ καὶ ἡ ἄσκησις τῆς κατὰ
τὸ εὐαγγέλιον τοῦ Χριστοῦ πρὸς Θεὸν εὐαρεστήσεως ἐν τῇ ἀναχωρήσει τῶν μεριμνῶν τοῦ κό-
(ἴσ. αἰσθητῶν) σμου, καὶ τῇ παντελεῖ ἀλλοτριώσει τῶν νοητῶν περισπασμῶν κατορθοῦται. οὕτω καὶ τοῖς
μαθηταῖς ὁ Κύριος, μετὰ τὴν εἰλικρινῆ καὶ ἀμετεώριστον διάθεσιν, ἐμαρτύρει λέγων· Ὑμεῖς (Ἰωαν. ιε ιθ.)
οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου. καὶ ἀπὸ τοῦ ἐναντίου τὴν τοῦ Θεοῦ ἐπίγνωσιν τὸν κόσμον ἀ-

δυνάτον

[Ιωαν. ιζ. κε.] δύναται εἶναι δέξασθαι, μηδὲ τὸ ἅγιον χωρῆσαι πνεῦμα δεδυνήμεθα. Πάτερ γάρ, φησι, [Ιωαν. ιδ. ιζ.] δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, καί, Τὸ πνεῦμα δὲ τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν. λυθῆναι οὖν δεῖ τῶν δεσμῶν τῆς προσπαθείας τοῦ βίου τούς γε ἀληθινῶς τῷ Θεῷ ἀκολουθῆσαι μέλλοντας. τοῦτο δὲ διὰ παντελοῦς ἀναχωρήσεως καὶ λήθης τῶν παλαιῶν ἐθῶν κατορθοῦται. τοῦτο δὲ ποιήσαντας πάσῃ φυλακῇ τηρεῖν προσήκει τὴν ἑαυτῶν καρδίαν, μήποτε τὴν περὶ Θεοῦ ἔννοιαν ἐκβαλεῖν, ἢ τὴν μνήμην τῶν θαυμασίων αὐτοῦ φαντασίαις τῶν ματαίων καταρρυπαίνειν· ἀλλὰ διὰ τῆς διηνεκοῦς καὶ καθαρᾶς μνήμης ἐντετυπωμένην ἔχειν ταῖς ψυχαῖς ἡμῶν, ὥσπερ σφραγῖδα ἀνεξάλειπτον, τὴν ὁσίαν τοῦ Θεοῦ ἔννοιαν. οὕτω γὰρ περιγίνεται ἡμῖν ἡ πρὸς Θεὸν ἀγάπη, ἅμα τε διεγείρουσα πρὸς τὴν ἐργασίαν τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ ὑπ' αὐτῶν πάλιν αὐτὴ συντηρουμένη, πρὸς τὸ διαρκὲς καὶ ἀδιάπτωτον. [Ιωαν. ιδ. ιε.] καὶ τοῦτο δείκνυσιν ὁ Κύριος, ποτὲ μὲν λέγων, Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου [Ιωαν. ιε. ι.] τηρήσατε· ποτὲ δέ, Ἐὰν τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου. καὶ ἔτι δυσωπητικώτερον· Καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. ὁ δὲ παραφθείρων ἐν τῇ ἐργασίᾳ τὴν ἀκρίβειαν τῆς ἐντολῆς, δῆλός ἐστι περὶ τὴν μνήμην τοῦ Θεοῦ ἀσθενῶν. συντελεῖ δὲ καὶ τὸ ἀμετεώριστον τῇ ψυχῇ, καὶ τὸ ἰδιάζειν κατὰ τὴν οἴκησιν. τὸ γὰρ ἀναμεμιγμένην ἔχειν τὴν ζωήν, βλαβερόν. οὐκοῦν ἵνα μὴ δι' ὤτων, ἢ δι' ὀφθαλμῶν ἐρεθισμοὺς δεχώμεθα, καὶ ἵνα δυνηθῶμεν ἐπιμένειν τῇ προσευχῇ, ἀπιδιασώμεν πρότερον κατὰ τὴν οἴκησιν. οὕτω γὰρ καὶ τοῦ προλαβόντος ἔθους περιγενώμεθα, ἐν ᾧ ἀλλοτρίως [Ματθ. ιε. κδ.] ἐζήσαμεν τῶν ἐντολῶν τοῦ Θεοῦ. καὶ τό, Εἴ τις ἔρχεται πρός με, ἀπαρνησάσθω ἑαυτόν, πότε ἄν τις ἐν τούτῳ πληρῶσαι δυνηθείη; χρὴ γὰρ ἡμᾶς ἀπαρνησαμένους ἑαυτούς, καὶ ἄραντας τὸν σταυρὸν τοῦ Χριστοῦ, οὕτως ἀκολουθεῖν αὐτῷ. ἄρνησις δέ ἐστιν ἑαυτοῦ, ἡ παντελὴς τῶν παρεληλυθότων λήθη, καὶ ἡ τῶν θελημάτων αὐτοῦ ἀναχώρησις. ἐὰν δέ τι ὑπολιπώμεθα ἑαυτοῖς μνήμης γήϊνον ἐν οὐσίᾳ τινὶ φθαρτῇ, ἐνταῦθα τοῦ νοῦ ὄντος ἔν τινι βορβόρῳ κατορυχθέντος, ἀνάγκη τὴν ψυχὴν ἀθέατον εἶναι Θεῷ, καὶ πρὸς ἐπιθυμίαν τῶν οὐρανίων καλῶν, καὶ τῶν ἀποκειμένων ἡμῖν ἀγαθῶν ἐν ἐπαγγελίαις, ἀκίνητον. ὅλως δέ, μηδὲ περὶ τῶν ἀναγκαίων αὐτῶν μεριμνᾶν συγκεχώρηται, οἷον, τροφῆς καὶ ἐνδύματος, ὥστε, οἷον ἀκάνθαις, συνέχεσθαι πονηραῖς ταῖς ἐννοίαις τοῦ κόσμου, τῆς παρὰ τοῦ γεωργοῦ τῶν ψυχῶν ἡμῶν ἐγκαταβαλλομένης σπορᾶς τὴν καρποφορίαν ἐμποδιζούσαις; τοῦ Κυρίου ἡμῶν Ἰησοῦ [Ματθ. ιγ. κβ.] Χριστοῦ εἰπόντος· Οὗτοι δέ εἰσιν οἱ εἰς τὰς ἀκάνθας πεσόντες, οἱ ὑπὸ μεριμνῶν, καὶ πλούτου, καὶ ἡδονῶν τοῦ βίου συμπνίγονται, καὶ οὐ τελεσφοροῦσιν. οὔτε γὰρ ἁμαρτίαις καιρόν τινα δώσομεν, οὔτε τῷ ἐχθρῷ τόπον ἐν ταῖς καρδίαις ἡμῶν καταλείψομεν, διὰ τῆς συνεχοῦς μνήμης ἔνοικον ἔχοντες τὸν Θεόν. καὶ ἡ προσοχὴ δὲ τῆς διανοίας, καὶ ὁ τοῦ μετεωρίζεσθαι ἐθισμός, εὐκόλως ἂν διὰ τῆς ὀρθῆς ἀγωγῆς τοῖς τοιούτοις παιδίοις ἐγγίνοιτο, εἰ παρὰ τῶν ἐπιστατούντων συνεχῶς ἀνακρίνοιντο, ποῦ ἔχουσι τὴν ἔννοιαν, καὶ τί στρέφουσιν ἐν τοῖς λογισμοῖς. τὸ γὰρ ἁπλοῦν τῆς ἡλικίας καὶ ἄδολον, καὶ πρὸς τὸ ψεῦδος ἀνεπιτήδειον, ἐξαγορεύει μὲν εὐκόλως τὰ ἀπόρρητα τῆς ψυχῆς· ὑπὸ δὲ τοῦ μὴ συνεχῶς ἐγκαταλαμβάνεσθαι τοῖς ἀπηγορευμένοις, ὁ τοιοῦτος φεύγει ἂν τὰς τῶν ἀτόπων ἐννοίας, τὴν ἐκ τῶν ἐλέγχων αἰσχύνην φοβούμενος.

[margin: ἴσ. ἀπ' ... οἷον αὐτ.] [margin: ἴσ. τοῦ μὴ]

* * * * *

[Γεν. α. κϛ.] Καὶ εἶπεν ὁ Θεός, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. τὸν ἔσω ἄνθρωπον λέγων. ἀλλ' ἐρεῖς σύ, οὐ λέγει ἡμῖν περὶ λογισμῶν· τὸν ἄνθρωπον εἶπε κατ' εἰκόνα Θεοῦ, ὁ δὲ λογισμὸς πῶς ἄνθρωπος; ἄκουε τοῦ ἀποστόλου λέγοντος· Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθεί- [β. Κορ. δ. ιϛ.] ρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. δύο λοιπὸν γνωρίζω ἀνθρώπους, ἕνα τὸν φαινόμενον, καὶ ἕνα τὸν ὑποκεκρυμμένον ἐν τῷ φαινομένῳ. ἔσω τοίνυν ἔχομεν ἄνθρωπον καὶ διπλοῖ τινές ἐσμεν· καὶ τότε ἀληθῶς λέγομεν, ὅτι ἔνδον ἐσμὲν ἄνθρωποι, τὸ δὲ ἔξω οὐ,

τὸ

τὸ τέλειον ἐν τῷ λογιστικῷ τῆς ψυχῆς ἔχοντες. ὥστε τὸ μὲν σῶμα ὄργανόν ἐστι τῆς τοῦ ἀνθρώ-
που ψυχῆς· ἄνθρωπος δὲ κυρίως, τὸ κατ' αὐτὴν τὴν ψυχήν. καὶ τὸ, ἀρχέτωσαν, τοίνυν
"ἄρχει σώματι, ἢ λογισμῷ; ἐν ψυχῇ τὸ ἀρχικὸν, ἢ ἐν σαρκί; ἀλλ' ἐν τίνι τὸ ἀρχικὸν, ἢ ἐν
τῇ τοῦ λογισμοῦ περιουσίᾳ; ὅσῳ γὰρ λείπεται τῇ δυνάμει τοῦ σώματος ὁ ἄνθρωπος, τοσού-
5 τῳ περίεστι τῇ τοῦ λογισμοῦ κατασκευῇ. οὐχὶ ποιήσωμεν κατ' εἰκόνα ἡμετέραν εἶπε, καὶ θυ-
μούσθωσαν. οὐ γὰρ τὰ πάθη πρὸς τὴν τοῦ Θεοῦ εἰκόνα παρελήφθη, ἀλλ' ὁ λογισμὸς,
τῶν παθῶν δεσπότης. ἐδόθη σοι ἀρχὴ τῶν ἀλόγων, ὥστε τοῦ ἀλόγου πάθους κρατεῖν. εἰ
δὲ τῶν θηρίων ἄρχεις, διατί καὶ τῶν ἔνδον θηρίων οὐκ ἄρχεις; εἰ τῶν ἔξω ἄρχεις, διατί
τὰ ἔνδον ἀβασίλευτα καταλιμπάνεις; ἄρχων τοίνυν ἐκτίθης· μὴ μόνοι λογισμοὺς ἔχε με-
10 τεώρους, μηδὲ κοῦφος ἔσο καὶ ἄστατος τῇ διανοίᾳ. ἄτοπον γὰρ, εἰ τὰ πετόμενα μὲν ἔξω
καταβάλλεις, σεαυτὸν δὲ κούφως οὕτω καὶ μετεώρως "ὑπεραιρόμενον καταβάλλεσθαι. μὴ
δὲ τυφωθῇς ὑπαρθεὶς ὑπὲρ ὃ εἶ, καὶ μείζω φρονήσῃς τῆς ἀνθρωπίνης φύσεως· μηδὲ
ἐπαινούμενος φυσιωθῇς, μηδὲ δόξαν ἐπιζήτει, μηδὲ μέγα τι σεαυτὸν εἶναι νομίσῃς· ἐπεὶ ἔσῃ
ὡς πλοῖον ἀστήρικτον, ὧδε κἀκεῖσε περιφερόμενον. ἄρχε τῶν ἐν σοὶ λογισμῶν, ἵνα γένῃ
15 πάντων κύριος. ἡ γὰρ διδομένη ἡμῖν ἀρχὴ τῶν ζώων ῥυθμίζειν ἡμᾶς ὀφείλει πρὸς τὸ ἑ-
αυτῶν ἡμᾶς ἄρχειν. ὥσπερ οὐδὲν ὄφελος οἰκίας, οὐ πόλεως, οὐ θυρῶν, ἐὰν μὴ ὦσιν οἱ φυ-
λάσσοντες, καὶ εἰδότες πότε μὲν κλείειν, πότε δὲ ἀνοίγειν· οὕτως οὐδὲ μοναχῷ τῶν ἄλλων κατορ-
θωμάτων ὄφελος, ἂν μὴ λογισμὸς ᾖ θυρωρὸς τῶν αὐτοῦ βουλευμάτων, τὴν κλεῖσιν καὶ τὴν
ἄνοιξιν τῆς καρδίας μετ' ἀκριβείας καὶ πολλῆς ἐπιστήμης ἐπιτετραμμένος, καὶ εἰδὼς τίνα μὲν
20 ἐκφέρειν δεῖ, τίνα δὲ εἰσάγειν. κἄν τις λογισμὸς ἐκβιάσηται, ἀποπνίγειν αὐτὸν ἔνδον χρὴ, καὶ
μὴ ἐᾷν εἰς λόγους ἐκφέρεσθαι, ἀλλὰ ταύτην ἀναξηραίνειν τὴν ῥίζαν, καὶ ἀσφαλῆ τὴν
θύραν ἔχειν καὶ ἀκριβῆ τὴν φυλακὴν, καὶ τὰ πονηρὰ βουλεύματα μὴ ἐᾷν τίκτεσθαι, καὶ τικ-
τόμενα ἀποπνίγειν. διὸ καὶ ὁ Θεὸς ἔνδον αὐτοὺς τοὺς πονηροὺς λογισμοὺς ἀναιρεῖ λέγων· Ὁ
ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, καὶ τὰ ἑξῆς. ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς
25 βλαστῆσαι, οὐδὲ λαβεῖν ἀρχήν; οὐκ ἐπιθυμίαν, οὐκ ὀργήν; λέγει γάρ· Ὁ ὀργιζόμενος τῷ
ἀδελφῷ αὐτοῦ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. ἔστωσαν αἱ θύραι κεκλεισμέναι,
φησὶ, καὶ οἱ πονηροὶ λογισμοὶ ταχέως χαρωθήσονται. ἐκ θυμοῦ γὰρ καὶ ἐπιθυμίας πολὺ ἁ-
μάρτημα γίνεται τῇ ψυχῇ. διατοῦτο καὶ ὁ Δαβὶδ εὔχεται πρὸς τὸν Θεὸν λέγων, Μὴ ἐκκλί-
νῃς τὴν καρδίαν μου. οὐχ ὅτι ὁ Θεὸς ἐκκλίνει αὐτὴν (μὴ γένοιτο) ἀλλ' ὃ λέγει τοιοῦτόν ἐστι,
30 μὴ ἀφῇς ἐκκλιθῆναι, ἢ περιτραπῆναι εἰς πονηρὰς ἐννοίας. ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς κα-
κίας καὶ τῆς πονηρίας. ὥσπερ γὰρ ὀφθαλμῷ περιαγομένῳ συνεχῶς, καὶ νῦν μὲν πρὸς τὰ πλά-
για περιφερομένῳ, νῦν δὲ πρὸς τὰ ἄνω καὶ κάτω πυκνὰ στρεφομένῳ, ἰδεῖν ἐναργῶς τὸ ὑπο-
κείμενον οὐχ οἷόν τε, ἀλλὰ χρὴ "προσερείδεσθαι τὴν γνώμην τῷ ὁρατῷ" ἀμέλει ἀληθῆ ποιεῖ-
σθαι τὴν θέαν· οὕτω καὶ νοῦν ἀνθρώπου ὑπὸ μυρίων φροντίδων περιελκόμενον, ἀμήχανον
35 ἐναργῶς ἐνατενίσαι τῇ ἀληθείᾳ, καὶ ἕτοιμον εἶναι ὑποδέξασθαι τῇ καρδίᾳ τὰς ἐκ τῆς θεί-
ας διδασκαλίας ἐγγινομένας διατυπώσεις, ἐκ πονηρᾶς συνηθείας προκαταλαβόντων "αὐτὴν
διδαγμάτων. ἄλλως γὰρ ἐγγραφῆναι ἐν τῇ ψυχῇ τὰ θεῖα οὐκ ἔστι, μὴ τὰς ἐξ ἔθους προ-
λήψεις αὐτῆς ἐξελόντα. νοῦς γὰρ μὴ σκεδαννύμενος ἐπὶ τὰ ἔξω, μηδὲ ὑπὸ τῶν αἰσθητη-
ρίων ἐπὶ τὸν κόσμον διαχεόμενος, ἐπάνεισι μὲν πρὸς ἑαυτὸν, δι' ἑαυτοῦ δὲ πρὸς τὴν περὶ Θεοῦ
40 ἔννοιαν ἀναβαίνει· κἀκείνῳ τῷ κάλλει περιλαμπόμενός τε καὶ ἐλλαμπόμενος, καὶ αὐτῆς τῆς
φύσεως λήθην λαμβάνει, μήτε πρὸς τροφῆς φροντίδα, μήτε περιβολαίων μέριμναν τὴν
ψυχὴν καθελκόμενος· ἀλλὰ σχολὴν ἀπὸ τῶν γηίνων φροντίδων ἄγων, τὴν πᾶσαν ἑαυτοῦ σπου-
δὴν ἐπὶ τὴν κτῆσιν τῶν αἰωνίων ἀγαθῶν ἐπιτίθησιν· ὧν γένοιτο ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ
Ἰησοῦ τῷ Κυρίῳ.

Ματθ. ε κη. καὶ κϐ.

Ψαλ. ρμ δ.

Λογ. γ.

ΣΥΓΚΡΙΣΙΣ ΒΑΣΙΛΙΚΗΣ ΔΥΝΑΣΤΕΙΑΣ ΚΑΙ ΠΛΟΥΤΟΥ καὶ ὑπεροχῆς, πρὸς μοναχὸν συζῶντα τῇ ἀληθεστάτῃ καὶ κατὰ Χριστὸν φιλοσοφίᾳ.

Ex ed. t. Basil. 1527. emend. ex Ms. Palatino.

Ὁρῶν ἐγὼ τοὺς πολλοὺς τῶν ἀνθρώπων τὰ δοκοῦντα εἶναι καλὰ μᾶλλον ἀγαπῶντάς τε καὶ θαυμάζοντας, ἢ τὰ φύσει χρηστὰ καὶ ὡς ἀληθῶς ἀγαθά· ἀναγκαῖον εἶναι νομίζω περὶ ἑκατέρων βραχεῖς ποιήσασθαι λόγους, καὶ παραθεῖναι νῦν ἀλλήλοις τά τε κατερρᾳθυμημένα παρὰ πολλοῖς, τά τε πολλῆς τυγχάνοντα σπουδῆς, ἵνα μαθόντες τὴν διαφορὰν ἑκατέρων, τὰ μὲν ὡς ἄξια σπουδῆς καὶ σωτηρίας περὶ πολλοῦ ποιησώμεθα, τῶν δὲ καταφρονεῖν παιδευθῶμεν ὡς οὐδενὸς ἀξίων. οὐκοῦν παρὰ πολλοῖς ἀγαπητὰ μὲν πλοῦτος, καὶ δυναστεία, καὶ ἀρχὴ, καὶ δόξα, καὶ μακαρίζουσιν οἱ πολλοὶ τοὺς τῶν ἐθνῶν ἄρχοντας, καὶ φερομένους ἐπὶ λαμπρῶν ὀχημάτων, καὶ κηρύκων βοῆς ἀπολαύοντας καὶ δορυφορίας πολλῆς· καταπεφρόνηται δὲ τῶν φιλοσοφούντων ὁ βίος, καὶ τῶν μονήρη δίαιταν ᾑρημένων. κἀκεῖνοι μὲν φανέντες, πρὸς ἑαυτοὺς ἐπιστρέφουσι τὸν δῆμον· οὗτοι δὲ φανέντες, οὐδενὸς ὀφθαλμοὺς ἢ κομιδῇ γε ὀλίγων πρὸς ἑαυτοὺς ἕλκουσι. καὶ τούτων μὲν οὐδεὶς ἂν ἐπιθυμήσειε γενέσθαι ὅμοιος, ἐκείνων δὲ ἅπαντες· καίτοι δυναστείαν μὲν κτήσασθαι, καὶ ἀρχὴν ἐθνῶν λαβεῖν, χαλεπόν τε καὶ τοῖς πολλοῖς ἀδύνατον, καὶ πολλῶν ἂν δεηθείη χρημάτων ὁ τῆς ἀρχῆς ἐραστής· τὸ δὲ μονήρη βίον ἑλέσθαι, καὶ τῇ τοῦ Θεοῦ λατρείᾳ συζῆν, πᾶσιν ὁμοίως εὔπορόν τε καὶ ῥᾴδιον. καὶ τῆς μὲν ἀρχῆς ἡ κτῆσις τῷ βίῳ τούτῳ συνδιαφθείρεται, μᾶλλον δὲ καὶ ζῶντας ἀπολιμπάνει τοὺς ἑαυτῆς ἐραστάς· ἤδη δέ τινας καὶ εἰς κίνδυνον μέγαν ἢ ἀδοξίαν κατέστησεν· ὁ δὲ μονήρης βίος νῦν τε πολλῶν ἀγαθῶν ἀναπίμπλησι τοὺς δικαίους, καὶ μετὰ τὴν τοῦ βίου τελευτὴν λαμπροὺς καὶ χαίροντας ἐπὶ τὸ δικαστήριον ἄγει τοῦ Θεοῦ καὶ σωτῆρος, ὅτε τῶν ἀρξάντων οἱ πλείους μεγάλην ὀφθήσονται διδόντες τῶν βεβιωμένων τὴν δίκην. φέρε δὴ παραθέντες ἀλλήλοις τά τε τῆς φιλοσοφίας ἀγαθά, τά τε δοκοῦντα εἶναι χρηστὰ τῆς ἐν τῷ παρόντι βίῳ δυναστείας καὶ δόξης, καταμάθωμεν τὴν διαφορὰν ἑκατέρων τῶν ἀγαθῶν· παράλληλα γὰρ *ἔσται φανερώτερα. μᾶλλον δὲ, εἰ δοκεῖ, τὴν κορυφὴν τῶν ἀγαθῶν, τὴν βασιλείαν λέγω, τῇ φιλοσοφίᾳ παραθέντες, θεωρήσωμεν ἑκατέρας κτήσεως τοὺς καρποὺς, καταμαθόντες ἀκριβῶς, τίνων μὲν ὁ βασιλεὺς, τίνων δὲ ὁ φιλόσοφος ἄρχει. οὐκοῦν ὁ μὲν βασιλεὺς πόλεσι καὶ χώραις καὶ πολλοῖς ἐφέστηκεν ἔθνεσι, καὶ στρατηγοῖς, καὶ ὑπάρχοις, καὶ στρατοπέδοις, καὶ δήμοις, καὶ βουλαῖς, τοῖς ἑαυτοῦ νεύμασιν ἄγων· ὁ δὲ Θεῷ δεδωκὼς ἑαυτὸν, καὶ τὸν μονήρη βίον ᾑρημένος, θυμοῦ, καὶ φθόνου, καὶ φιλαργυρίας, καὶ ἡδονῆς, καὶ τῶν ἄλλων ἄρχει κακῶν, σκοπῶν ἀεὶ καὶ φροντίζων, ὅπως ἂν μὴ συγχωρήσειε τῇ ψυχῇ ὑπὸ τοῖς αἰσχροῖς γενέσθαι πάθεσι, μηδὲ δουλωθῆναι τὸν λογισμὸν τυραννίδι πικρᾷ· ἀλλ' ἀνωτέρω πάντων ἀεὶ τὴν διάνοιαν ἔχει, τὸν τοῦ Θεοῦ φόβον ἐπιστήσας τοῖς πάθεσι. τοιαύτην μὲν οὖν ὁ βασιλεὺς, τοιαύτην δὲ ὁ μοναχὸς ἀρχὴν καὶ δυναστείαν κέκτηται· ὥστε δικαιότερον ἄν τις τοῦτον βασιλέα καλέσειεν, ἢ τὸν ἁλουργίδι καὶ στεφάνῳ λαμπόμενον καὶ καθήμενον ἐπὶ θρόνου χρυσοῦ. βασιλεὺς γὰρ ὡς ἀληθῶς, ὁ θυμοῦ καὶ φθόνου καὶ ἡδονῆς κρατῶν, καὶ πάντα ὑπὸ τοὺς νόμους ἄγων τοῦ Θεοῦ, καὶ τὸν νοῦν ἐλεύθερον τηρῶν, καὶ οὐκ ἐῶν ἐνδυναστεῦσαι τῇ ψυχῇ τὴν δεσποτείαν τῶν ἡδονῶν. τὸν τοιοῦτον ἡδέως ἂν ἴδοιμι καὶ δήμων καὶ γῆς καὶ θαλάσσης ἄρχοντα καὶ πόλεων καὶ δήμων καὶ στρατοπέδων. ὁ γὰρ τοῖς πάθεσι τῆς ψυχῆς τὸν λογισμὸν ἐπιστήσας, ῥᾳδίως ἂν ἐπισταίη καὶ ἀνθρώποις μετὰ τῶν θείων νόμων, ὥστε αὐτὸν ἐν πατρὸς τάξει τοῖς ἀρχομένοις εἶναι, μετὰ πάσης ἡμερότητος ὁμιλοῦντα ταῖς πόλεσιν· ὁ δὲ ἀνθρώπων μὲν ἄρχειν δοκῶν, θυμῷ δὲ καὶ φιλαρχίᾳ καὶ ἡδοναῖς δουλεύων,

λίθων, περὶ τὸν μὲν καταγέλαστος εἶναι δόξειεν ἂν τοῖς ἀρχομένοις, ὅτι στέφανον μὲν φορεῖ λιθο-
κόλλητον, καὶ χρυσοῦν, σωφροσύνῃ δὲ οὐκ ἐστεφάνωται, καὶ ἁλουργίδι μὲν ὅλον τὸ σῶμα κατα-
λάμπεται, τὴν δὲ ψυχὴν ἀκόσμητον ἔχει. ἔπειτα δὲ οὐδ' ὅπως μεταχειρίσαιτο τὴν ἀρχὴν ἐ-
πίσταται. ὁ γὰρ ἑαυτοῦ μὴ δυνηθεὶς ἄρχειν, πῶς ἂν ἑτέρους δυνηθείη κατευθύνειν τοῖς νό-
5 μοις. Εἰ δὲ βούλει καὶ τὸν πόλεμον ἑκατέρων ἰδεῖν, εὑρήσεις τὸν μὲν δαίμοσι μαχόμενον, καὶ
κρατοῦντα τε νικῶντας, καὶ ὑπὸ τοῦ Χριστοῦ στεφανούμενον (μετὰ γὰρ τῆς θείας ῥοπῆς ἐπὶ τὸν πό-
λεμον ἔρχεται). οὐρανίοις πεφραγμένος ὅπλοις, ὥστε ἀνάγκη τούτου γενέσθαι τὸ κράτος) τὸν δὲ
βασιλέα βαρβάροις μαχόμενον. ὅσῳ δὲ τῶν ἀνθρώπων οἱ δαίμονες φοβερώτεροι, τοσού-
τῳ λαμπρότερος ὁ τούτων κρατῶν τοῦ νικῶντος ἐκείνους. Εἰ δὲ καὶ τὴν αἰτίαν ἑκατέρου πο-
10 λέμου καταμαθεῖν βουληθείης, παρὰ πολὺ οὐχ εὑρήσεις τὸ ἴσον. ὁ μὲν γὰρ ὑπὲρ εὐσεβείας καὶ τῆς
τοῦ Θεοῦ λατρείας πολεμεῖ τοῖς δαίμοσιν, ἢ πόλεις, ἢ κώμας ἐκ τῆς πλάνης ἐξαρπάσαι
ποθῶν· ὁ δὲ μάχεται βαρβάροις ὑπὲρ τόπων, ἢ ὅρων, ἢ χρημάτων ἁρπαγέντων, ἢ πλεονε-
ξίας τε ἔρωτος, ἀρχῆς ἀδίκου παρακαλούσης ἐπὶ τὴν μάχην· ἔνθα δὴ πολλοὶ πολλάκις
βασιλεῖς τῶν μειζόνων ἐπιθυμήσαντες, καὶ τὰ προσόντα ἀπώλεσαν. ἡ μὲν οὖν ἀρχὴ καὶ οἱ
15 πόλεμοι τοσοῦτον ἀλλήλων διαφέροντα ἔδειξαν, τόν τε βασιλέα, καὶ τὸν ἐσπουδακότα τῇ
τοῦ Θεοῦ λατρείᾳ συζῆν· γνοίη δ' ἄν τις καὶ ἐντεῦθεν αὐτοὺς ἀκριβῶς, τὸν βίον ἑκατέρου καὶ τὰς
πράξεις τὰς περὶ ἡμέραν σκοπῶν. εὕροι γὰρ ἂν ὡς ἀληθῶς τὸν μὲν ὁμιλοῦντα προφήταις,
καὶ τῇ Παύλου σοφίᾳ τὴν ψυχὴν κοσμοῦντα, μεταπηδῶντα συνεχῶς ἀπὸ μὲν Μωϋσέως
πρὸς Ἡσαΐαν, ἀπὸ δὲ τούτου πρὸς Ἰωάννην, ἀπὸ δὲ τούτου πρὸς ἑτέρους· τὸν βασιλέα δὲ συνε-
20 χῶς ὁμιλοῦντα ταξιάρχοις τε ὑπάρχοις καὶ δορυφόροις. οἷς δὲ τις ὁμιλεῖ συνεχῶς, τούτοις
ἀφομοιοῦται τὸ ἦθος. οὐκοῦν ὁ μὲν μονάζων πρὸς τὰ τῶν ἀποστόλων καὶ προφητῶν ἤθη ἐκτυποῦ-
ται τὴν γνώμην· ὁ δὲ βασιλεὺς πρὸς τὰ τῶν στρατηγῶν καὶ δορυφόρων καὶ ὑπασπιστῶν, ἀνθρώ-
πων οἴνῳ δουλευόντων, καὶ ἡδοναῖς χαριζομένων, καὶ τὸ πλεῖον τῆς ἡμέρας διατελούντων ἐν πότῳ,
οὐδὲν χεῖρον, ἢ καλὸν διὰ τὸν οἶνον ἐπισταμένων. οὕτως ἄρα καὶ διὰ τοῦτο τὸν μονήρη βίον προσή-
25 κει μακαρίζειν μᾶλλον, ἢ τὸν ἐν δυναστείᾳ καὶ βασιλείᾳ καὶ σκήπτροις. εἰ δὲ καὶ τὸν νυκτὸς τὸν
χρόνον ἐξετάζειν βουληθείημεν, τὸν μοναχὸν μὲν ὀψόμεθα τῇ τοῦ Θεοῦ λατρείᾳ καὶ ταῖς εὐχαῖς
κοσμούμενον, πολὺ πρότερον ᾄδοντα τῶν ὀρνίθων, ἀγγέλοις συμπολιτευόμενον, Θεῷ λαλοῦντα,
τῶν οὐρανίων ἀγαθῶν ἀπολαύοντα· τὸν δὲ πολλοῖς ἔθνεσιν ἐφεστηκότα καὶ δήμοις καὶ στρατο-
πέδοις, καὶ πολλῆς μὲν γῆς, πολλῆς δὲ ἄρχοντα θαλάττης, ἐπὶ τῆς κλίνης διατεταμένον καὶ
30 ῥέγχοντα. καὶ ἐκεῖνος μὲν γὰρ τοσούτοις τρέφεται σιτίοις, ὅσα οὐκ ἂν ἀπαιτήσειε τὸν μονα-
χὸν ὕπνον βαθύν· τὸν δὲ ἡ τρυφὴ κατακοιμίζει, καὶ ὁ πότος μέχρις ἡμέρας αὐτῆς ἐν τῇ κλί-
νῃ κατέχων. ἔτι τοίνυν τῷ μὲν μοναχῷ καὶ ἀμπεχόνη καὶ τράπεζα μετρία, καὶ σύσσιτοι τῆς
αὐτῆς ἀρετῆς ἀθληταί· τὸν βασιλέα δὲ, λίθοις τε ἀνάγκη καὶ χρυσῷ κοσμεῖσθαι,
τράπεζάν τε παρατίθεσθαι λαμπράν, καὶ χρῆσθαι συσσίτοις, εἰ μὲν ἄφρων εἴ-
35 η, τῆς ἑαυτοῦ κακίας ἀξίοις· εἰ δὲ νοῦν ἔχοι καὶ σωφρονοίη, χρηστοῖς ἴσως καὶ δικαίοις,
πολὺ δὲ λειπομένοις τῆς ἐκείνων ἀρετῆς. οὕτω κἂν φιλοσοφῇ βασιλεὺς, οὐδὲ κατὰ μικρὸν
ἐγγὺς ἐλθεῖν τῆς τοῦ μονάζοντος καλοκαγαθίας δυνήσεται. καὶ γὰρ ἐν ὁδοιπορίαις βαρὺς
ἐστι τοῖς ὑπηκόοις, καὶ πόλιν οἰκῶν, καὶ εἰρήνης ἀπολαύων, καὶ πολέμων ἀπηλλαγμένος,
φόρους τε εἰσπραττόμενος, καὶ στρατεύματα συγκροτῶν, καὶ αἰχμαλώτους ἄγων, καὶ νι-
40 κῶν, καὶ ἡττώμενος, τῶν οἰκείων κακῶν ἀναπίμπλησι τοὺς ἀρχομένους. καὶ νικῶν ἀφόρητος
γίγνεται, κομπαζόμενός τε τοῖς τροπαίοις καὶ μέγα φρονῶν, καὶ τοῖς στρατιώταις παρέχων ἄδειαν
ἁρπάζειν, συλᾶν, τοὺς ὁδοιπόρους ἀδικεῖν, τὰς πόλεις ἐν τῇ καθέδρᾳ πολιορκεῖν, τὰς τῶν
πενήτων πορθεῖν οἰκίας, τοὺς ὑποδεξαμένους εἰσπράττεσθαι καθ' ἑκάστην ἡμέραν, ἃ
μηδεὶς ἐπιτρέπει νόμος, ἐπὶ προφάσει τινὸς ἔθους ἀρχαίου, παρανόμου τε καὶ ἀδίκου. καὶ

τὶν μὲν ἔβλαψεν οὐδὲν ὁ βασιλεὺς τοῖς τοιούτοις κακοῖς, τὴν πενίαν δὲ ἐκάκωσεν, ὥσπερ ὡς ἀληθῶς αἱρούμενος τοὺς ἀπόρους. οὐ μὴν ὅγε μοναχὸς οὕτως· ἀλλ᾽ ἅμα τε ὤφθη, καὶ πλουσίων καὶ πενήτων χάριν ἴνα κομίζων ἦλθε καὶ τούτοις κἀκείνοις ὁμοίως, εἴδους μὲν ἑνὶ διαίτης χρώμενος, ὕδωρ δὲ πίνων ἥδιον ἢ θαυμαστὸν οἶνον, ὑπὲρ ἑαυτοῦ μὲν οὐδεμίαν, οὔτε μικρὰν, οὔτε μείζω χάριν παρὰ τῶν πλουσίων αἰτῶν, ὑπὲρ δὲ τῶν ἐν ἐνδείᾳ πολλάς τε καὶ συνεχεῖς ἀμφοτέροις λυσιτελούσας τοῖς τε παρέχουσι καὶ τοῖς κομίζεσθαι μέλλουσιν. οὕτω κοινός ἐστιν ἰατρὸς καὶ πλουσίων καὶ πενήτων ὁμοίως, τοὺς μὲν ἁμαρτημάτων ἐλευθερῶν διὰ τῆς ἀγαθῆς νουθεσίας, τοῖς δὲ λύων τὴν ἔνδειαν. βασιλεὺς δὲ τάς τε εἰσφορὰς κουφοτέρας εἶναι κελεύων, τοὺς πλουσίους μᾶλλον, ἢ τὴν πενίαν ὠφέλησε, καὶ τὰ ἐναντία ποιῶν, τοὺς μικρὰ κεκτημένους ἔβλαψε. τὸν μὲν γὰρ πλούσιον ὀλίγα ἂν βλάψειεν ἡ χαλεπότης τῶν εἰσφορῶν, τὰς δὲ τῶν πενήτων οἰκίας ὥσπερ χειμάρρους παρασύρει, οἰμωγῆς πιμπλῶσα τὰς κώμας· καὶ ὑπὸ γήρως ἐλεεινοὺς τοῖς εἰσπραττομένοις τοὺς φόρους, ὑπὸ χρείας γυναικῶν, οὐκ ὀρφανία παίδων, ἀλλὰ κωμάζουσι πάντα τὸν χρόνον, κοινοί τινες πολέμιοι τῆς χώρας. ἅπερ οὐκ ἐξήνεγκεν ἡ γῆ, ταῦτα τοὺς γεωργοὺς εἰσπραττόμενοι. φέρε δὴ κἀκεῖνο ἐξετάσωμεν, τί μὲν ὁ μοναχὸς, τί δὲ ὁ βασιλεὺς τοῖς ὑπηκόοις χαρίζεται. οὐκοῦν ὁ μὲν χρυσὸν, ὁ δὲ πνεύματος χάριν· καὶ ὁ μὲν ἔλυσε πενίαν ὅταν ᾖ χρηστός, ὁ δὲ ψυχὰς τυραννουμένας ὑπὸ δαιμόνων ἠλευθέρωσε προσευχαῖς. κἂν συμβῇ τινα τοιαύταις χειμάζεσθαι συμφοραῖς, τὸν βασιλέα μὲν ὥσπερ τὰ ἄψυχα παρέρχεται, ἐπὶ δὲ τὴν τῶν μοναχῶν οἰκίαν καταφεύγει, ὥσπερ ὁ λύκον ὑποφεύγων, καταφεύγων δὲ ἐπ᾽ ἄνδρα θηρευτὴν ξίφος ἐν τῇ χειρὶ φέροντα. ὅπερ γὰρ τῷ θηρευτῇ τὸ ξίφος, τοῦτο αἱ προσευχαὶ τῷ μονάζοντι. οὐ γὰρ οὕτω φοβερὸν τοῖς λύκοις τὸ ξίφος, ὡς τοῖς δαίμοσιν αἱ προσευχαὶ τῶν δικαίων. οὐ τοίνυν μόνον ἡμεῖς πρὸς τοὺς ἁγίους μοναχοὺς ἐν ταῖς χρείαις καταφεύγομεν, ἀλλὰ καὶ οἱ βασιλεῖς αὐτοὶ πρὸς τούτους καταφεύγουσιν ἐν καιροῖς φοβεροῖς, ὥσπερ οἱ πτωχεύοντες ἐν λιμῷ πρὸς τὰς τῶν πλουσίων οἰκίας. εἰπὲ γάρ μοι, οὐκ Ἀχαὰβ ὁ τῶν Ἰουδαίων βασιλεὺς, ἐν λιμῷ καὶ σιτοδείᾳ τὴν ἐλπίδα τῆς σωτηρίας εἶχεν ἐν ταῖς Ἡλίου προσευχαῖς; οὐκ Ὀζίας τὴν αὐτὴν ἔχων ἀρχὴν καὶ δυναστείαν, νοσῶν καὶ μέλλων τελευτᾶν, ἐφεστηκότα τὸν θάνατον ὁρῶν, ἐπὶ τὸν αὐτὸν προφήτην κατέφυγεν, ὡς θανάτου δυνατώτερον, καὶ ζωῆς χορηγόν; καὶ μὴν καὶ πολέμου καταῤῥαγέντος τοῖς Ἰουδαίοις ποτὲ καὶ τῆς Παλαιστίνης ἐκ βάθρων αὐτῶν ἀνασπασθῆναι κινδυνευούσης, οἱ τῶν Ἰουδαίων βασιλεῖς ἀφέντες τὴν στρατιὰν, καὶ πεζοὺς, καὶ τοξότας, καὶ ἱππέας, καὶ στρατηγοὺς, καὶ ταξιάρχους, ἐπὶ τὰς Ἐλισσαίου προσευχὰς κατέφυγον. ἡγοῦντο γὰρ αὐτοῖς ἀντὶ πολλῶν μυριάδων ἔσεσθαι τὸν θεράποντα τοῦ Θεοῦ. τὸ δὴ αὐτὸ τοῦτο καὶ Ἐζεκίας ἐποίησε. τοῦ γὰρ Περσικοῦ πολέμου συστάντος, καὶ τῆς πόλεως περὶ τῶν ἐδαφῶν αὐτῶν ἀγωνιώσης καὶ εἰς κίνδυνον μέγιστον περιενηνεγμένης, καὶ τῶν ἐπὶ τῷ τείχει τρεμόντων καὶ δεδοικότων, καὶ στενομένων, καθάπερ ἐν προσδοκίᾳ βροντῆς ἢ σεισμοῦ πάντα κινοῦντος, τὰς Ἡσαΐου προσευχὰς ὁ βασιλεὺς ἀντέστησε ταῖς πολλαῖς τῶν Περσῶν μυριάσι, καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος. ἅμα τε γὰρ ὁ προφήτης τὰς χεῖρας ἦρεν εἰς τὸν οὐρανὸν, καὶ τοῖς ἐξ οὐρανοῦ βέλεσιν ὁ Θεὸς τὸν Περσικὸν κατέλυσε πόλεμον, παιδεύων τοὺς βασιλεῖς, κοινοὺς τῆς γῆς ἡγεῖσθαι σωτῆρας τοὺς ἑαυτοῦ θεράποντας, ὅπως ἂν παιδευθεῖεν καὶ παρακαλούμενοι παρὰ τῶν δικαίων ἐπὶ πᾶσαν πρᾶξιν ἀγαθὴν καὶ φιλάνθρωπον αἰδεῖσθαι τὰς συμβουλίας καὶ πείθεσθαι ταῖς ἀγαθαῖς νουθεσίαις. οὐ μὴν ἐκ τούτων μόνον ἐστὶ τὸ διάφορον ἰδεῖν ἀμφοτέρων, ἀλλὰ κἂν ἐκπεσεῖν συμβῇ καὶ τοῦτον κἀκεῖνον, καὶ τὸν μὲν τῆς ἀρετῆς, τὸν δὲ τῆς βασιλείας στερηθῆναι, ὁ μὲν ῥᾳδίως ἂν ἑαυτὸν λύοιτο, καὶ ταχέως διὰ προσευχῆς καὶ δακρύων καὶ πένθους καὶ θεραπείας πτωχῶν τὰς ἁμαρτίας ἀποτριψάμενος, πάλιν ῥᾳδίως ἐπὶ τὴν προτέραν ἀρχὴν ἀνατρέχει· βασιλεὺς δὲ ἐκπεσὼν, πολλῶν μὲν ἂν δεη-

θείη

θείη συμμάχων, πολλῶν δὲ ὁπλιτῶν καὶ ἱππέων καὶ ἵππων καὶ χρημάτων καὶ κινδύνων· καὶ ὁ
μὲν ὅλως ἐν ἑτέροις ἔχει τὴν ἐλπίδα τῆς σωτηρίας, ὁ δὲ τῇ βουλήσει καὶ τῇ σπουδῇ καὶ τῇ
μεταβολῇ τῆς γνώμης ἑτοιμοτάτην ἔχει τὴν σωτηρίαν εὐθέως. Ἡ βασιλεία γάρ, φησι, τῶν (Λουκ. ιζ κα.)
οὐρανῶν ἐντὸς ὑμῶν ἐστι. καὶ μὴν ὁ θάνατος, τῷ μὲν βασιλεῖ φοβερός· τῷ φιλοσοφοῦντι
5 δὲ ἄλυπος. τὸν γὰρ ὑπερορῶντα πλούτου καὶ ἡδονῆς καὶ τρυφῆς, ὧν ἕνεκα ζῆν ἐπιθυμοῦσιν οἱ
πολλοί, καὶ τὴν ἐνθένδε μετάστασιν ἀνάγκη ῥᾳδίως φέρειν. Εἰ δὲ καὶ σφαγῆναι τοῦτον
συμβαίη κἀκεῖνον, ὁ μὲν ὑπὲρ εὐσεβείας "αἱρήσεται κινδύνους, ἀθάνατον ζωὴν καὶ οὐράνιον
διὰ θανάτου πραγματευόμενος*· βασιλεὺς δὲ τύραννον ἕξει σφαγέα καὶ τῆς ἀρχῆς ἐρα-
στήν, ἐλεεινὸν θέαμα καὶ δεινὸν μετὰ τὴν σφαγὴν γινόμενος· μοναχὸν δὲ ἴδοι ὑπὲρ εὐσεβείας
10 ἐσφαγμένον ἡδὺ καὶ σωτήριον θέαμα. καὶ ὁ μὲν τοὺς ἐραστὰς τῶν οἰκείων ἀγαθῶν μιμητὰς
ἕξει, καὶ μαθητὰς πολλοὺς εὐχομένους αὐτῷ φανῆναι παραπλησίους· ὁ δὲ πολλοὺς ἂν ἐν
προσευχαῖς ἀναλώσειε λόγους, διὸ μόνου τοῦ Θεοῦ μηδένα φανῆναι τῆς βασιλείας ἐραστήν.
καὶ τὸν μὲν οὐδεὶς ἂν ἀποκτεῖναι τολμήσειεν, εἰς τὸν Θεὸν ἀσεβεῖν ἡγούμενος, εἰ τὸν τοιοῦτον
ἀνέλοι· τῷ δὲ πολλοὶ σφαγεῖς ἐφεστήκασιν ἐρασταὶ τυραννίδος. διόπερ ὁ μὲν φρουρεῖται στρα-
15 τιώταις, ὁ δὲ πόλεις τειχίζει ταῖς εὐχαῖς οὐδένα δεδοικώς· ὁ δὲ βασιλεὺς ἀεὶ φόβῳ συζῇ καὶ
προσδοκίᾳ σφαγῆς. καὶ ὁ μὲν γὰρ ἐπικίνδυνον ἔχει πλεονεξίαν, ὁ δὲ ἀσφαλῆ σωτηρίαν.
περὶ μὲν οὖν τῶν ἐν τῷ παρόντι βίῳ πραγμάτων ἱκανῶς εἰρῆσθαί μοι δοκεῖ. Εἰ δὲ καὶ τὸν
ἀγῶνα τὸν μέλλοντα βουληθείημεν ἐξετάζειν, τὸν μὲν ὀψόμεθα λαμπρὸν καὶ περίβλεπτον
ἁρπαζόμενον ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, κατὰ τὸν ἡγεμόνα καὶ παι-
20 δευτὴν τοῦ σωτηρίου τούτου βίου καὶ πάσης ἀρετῆς· ὁ δὲ βασιλεύς, ἐὰν μὲν δικαίως φανείη
καὶ φιλανθρώπως διοικήσας τὴν ἀρχὴν (πολὺ δὲ τοῦτο σπάνιον) ἐλάττονος ἔσται σωτηρίας τε
καὶ τιμῆς. οὐ γάρ ἐστιν ἴσον, οὐκ ἔστι, βασιλεύς τι χρηστός, καὶ μοναχὸς ἄκρως τῇ τοῦ Θεοῦ λατρείᾳ
συζῶν. Εἰ δὲ φανείη πονηρὸς καὶ σκαιός, πολλῶν κακῶν ἐμπεπληκὼς τὴν γῆν, τίς ἂν εἰπεῖν
δυνηθείη τὰς συμφορὰς αἷς ὀφθήσεται συνεχόμενος, πυρὶ καιόμενος, μαστιγούμενος, στρε-
25 βλούμενος, τοιαῦτα πάσχων, ἅπερ οὔτε λόγῳ ῥητά, οὐδὲ ἔργῳ φορητά ἐστι; Ταῦτα πάντα δεῖ
λογιζομένους καὶ μανθάνοντας, μὴ τοὺς πλουτοῦντας θαυμάζειν. ὁ γὰρ τούτων δεσπότης πέ-
φηνεν οὐδὲ κατὰ μικρὸν ἐγγὺς ἐλθεῖν δυνάμενος τῆς τοῦ μοναχοῦ ἀρετῆς. ὅταν οὖν ἴδῃς
πλούσιον ἐσθῆτι κεκοσμημένον, χρυσῷ καλλωπιζόμενον, ἐπ' ὀχημάτων φερόμενον, ἐξόδους
ἐξιόντα λαμπράς, μὴ μακαρίσῃς τὸν ἄνθρωπον· πρόσκαιρος γὰρ ὁ πλοῦτος, καὶ τὸ δοκοῦν εἶναι
30 καλὸν τῷ βίῳ τούτῳ συνδιαφθείρεται. μοναχὸν δὲ ἰδὼν βαδίζοντα μόνον ταπεινὸν καὶ πρᾷον καὶ
ἡσύχιον καὶ ἥμερον, ζήλωσον τὸν ἄνδρα, φάνηθι μιμητὴς τῆς ἐκείνου φιλοσοφίας, εὖξαι γε-
νέσθαι τῷ δικαίῳ παραπλήσιος. Αἰτεῖτε γάρ, φησι, καὶ δοθήσεται ὑμῖν. Ταῦτα γὰρ ὡς ἀ- (Ματθ. ζ. ζ.)
ληθῶς καλὰ καὶ σωτήρια καὶ μόνιμα διὰ τὴν τοῦ Χριστοῦ φιλανθρωπίαν καὶ πρόνοιαν, ᾧ
ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

35

ΕΙΣ ΤΟΝ ΤΕΛΩΝΗΝ ΚΑΙ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ.

Λογ. δ.

ΟἹ πόρρωθεν τοὺς λειμῶνας θεασάμενοι, ποικίλην μὲν βλέπουσι τῶν (Ex Ms. Regio Lut. emend. ex alio Ms.)
ἀνθέων τὴν τερπνότητα· τότε δὲ αὐτῶν τὸ τερπνὸν γινώσκουσιν, ὅταν
40 πλησίον γενόμενοι, τὰ ἄνθη ταῖς χερσὶν αὐτῶν ψηλαφήσωσι. τοιαύ-
την μοι νόει, ἀγαπητέ, τὴν τῆς ἐκκλησίας κατάστασιν, ἐπειδή, καθά-
περ ἄνθη ἀμάραντα, πρόκειται τοῖς βουλομένοις τὰ τῶν θεοπνεύστων
γραφῶν ἀναγνώσματα. ἴδοι γὰρ ἄν τις ἐν τοῖς πνευματικοῖς πα-
ραδείσοις προφήτας χορεύοντας, ταξιαρχοῦντας ἀποστόλους, πρεσβεύοντας μάρτυρας,

[Margin: [illegible]]

συμμαχοῦντας ἀγγέλους, διδασκάλους ἀγωνιζομένους τὸν τῆς εὐσεβείας ἀγῶνα, ἄφθονον τὴν τοῦ πνεύματος χάριν, αἵματι δεσποτικῷ λογικὰ σφραγιζόμενα ποίμνια, καὶ τὸ μεῖζον τῶν εἰρημένων, τὴν τῶν ἀγαθῶν κορυφήν, τὴν τῶν ἐλπίδων βεβαίωσιν, τῆς τρυφῆς τὸ κεφάλαιον, τὴν τῆς χαρᾶς πλουτότητα· λέγω δὴ τὰ τοῦ Χριστοῦ εὐαγγέλια, ἐν οἷς ἀπόκειται τῆς ἡμετέρας ζωῆς τελείωσις. δεῦρο οὖν, θεωρήσωμεν τὸν δεσπότην Χριστὸν πᾶσιν ἀπόλαυσιν τοῖς ἑαυτοῦ χαριζόμενον δούλοις· ἐν οἷς βλέπομεν φυγαδευόμενα πάθη, ὑποφρίττουσαν θάλασσαν, ἀνέμους ἡσυχάζοντας, ἐπιτιμώμενον θάνατον, σκυλευόμενον ᾅδην, ἐξορκιζομένους τοὺς δαίμονας, ἐπιστρέφοντας ἁμαρτωλοὺς πρὸς τὸν ἴδιον δεσπότην. ταῦτα γὰρ ὁ Χριστὸς ἐν τοῖς θείοις εὐαγγελίοις παρατέθεικε τὰ χαρίσματα· ἐν οἷς τοὺς δικαίους δείκνυσιν ὑπὲρ τὸν ἥλιον λάμποντας, μέλη παρειμένων νευρούμενα, κλινηφόρους παραλύτους τρέχοντας, τελώνας λαμβάνοντας εὐαγγελιστῶν ἀξιώματα, λέπραν ὡς κόνιν ἀνασπωμένην θελήματι, πυρετὸν ὑποφεύγοντα τῇ φωνῇ τοῦ δεσπότου, νεκροὺς ζωὴν εὐκόλως λαμβάνοντας, τάφους ἀπολύοντας πρὸς ζωὴν οὓς ἐκράτουν, φαρισαίου ταπεινούμενον ὕψος, τελώνου ὑψουμένην ταπείνωσιν. τοῖς γὰρ τούτοις κορεσθεῖσι καλοῖς " εὐκόλως λοιπὸν καὶ ἡ διὰ τῶν ψιχίων δεξίωσις. πέπεισμαι δέ, ὡς μετὰ συγγνώμης συνήθως καὶ αὖθις τῶν ἡμετέρων ἐπακούσητε λόγων, τῇ πλησμονῇ τῶν " προκειμένων ἀγαθῶν τὰ τῶν ψυχῶν ταμεῖα πληρώσαντες. οὐκοῦν ἐπειδὴ καὶ ὑμεῖς σὺν εὐμενείᾳ Θεοῦ τῆς πενιχρᾶς τραπέζης ἀνέχεσθε, κἀγὼ πάλιν τῷ τῆς ὑμετέρας ἀγάπης ἔρωτι καταθαρρήσας, τῷ διδασκαλικῷ ζυγῷ τὸν τῆς ψυχῆς αὐχένα ὑπέθηκα. φέρε τοίνυν τὸ ἔναγχος ἀνεγνωσμένον προθήσω ὑμῖν. πᾶσι γὰρ ὑμῖν τοῖς πλουσίοις ὁ πτωχὸς ἑστιάτωρ ἐλήλυθα, τὸ τοῦ λόγου συμπόσιον συγκιρνῶν. Ἄνθρωποι, φησί, δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. Φαρισαῖος ὁ κομπώδης, ὁ τῆς δικαιοσύνης ἐργάτης· Φαρισαῖος, ὁ θερίσας ἄωρον τῶν κατορθωμάτων τὸ λήϊον, ὁ πλέον ἀλαζονείᾳ πλουτῶν, ἢ τοῖς χρήμασιν, ὁ διὰ κενῷ φυσήματι τινάξας τὸν τῶν ἀρετῶν καρπόν, τῆς ὑπερηφανίας ὁ κλήτωρ, ὁ τῆς φύσεως ἁπάσης κατήγορος, ὁ ἀφιλάνθρωπος ἔλεγχος, ὁ ἀσυγγνώμων ὀνειδιστής, ἡ τρικυμία τῆς τοῦ τελώνου ἀρχῆς. καί μοι μηδεὶς τὸν λόγον ὡς φιλολοίδορον δεχέσθω· ἀλλ' αὐτῶν ἐπακούσας τῶν τοῦ φαρισαίου ῥημάτων, γνωριζέτω ἀληθῆ τὰ λεγόμενα. Ὁ Θεός, φησιν, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμί, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων. πάντων ἑαυτὸν κρίνεις δικαιότερον; οὐκ εἰμί, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων. τί ποιεῖς, Φαρισαῖε; μὴ τῷ κοινῷ τῆς φύσεως ὀνόματι προσέσχες. ἀπρεπῶς γέγονε καὶ ὁ φιλάνθρωπος, ἄνθρωπος. κἂν ἐκεῖνον ἐννοήσας, τῶν ἀλαζονικῶν ῥημάτων κατάβηθι. Εἰπὲ καί, ὥς τινες τῶν ἀνθρώπων, καὶ μή, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί. πάντες ἅρπαγες, πλὴν σοῦ, Φαρισαῖε; πάντες ἄδικοι, σὺ δὲ μόνος τυγχάνεις δίκαιος; πάντες μοιχοί, σοὶ δὲ μόνῳ τὸ τῆς σωφροσύνης ὑπάρχει κατόρθωμα; οὐκ εἰμί, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί· ἢ καὶ ὡς οὗτος ὁ τελώνης. νῦν ἤρξατο πτεροφυεῖν ἡ τοῦ ἀνθρώπου διάνοια· νῦν τινάσσει τῆς ψυχῆς πρὸς οὐρανὸν τὸ πτερόν. τί κατασπᾷς αὐτὸν τῇ τῶν ῥημάτων βαρύτητι, κωλύων ἀναπτῆναι τὴν ἐξομολόγησιν πρὸς τὸν φιλάνθρωπον; τί κατεπεμβαίνεις τῷ κειμένῳ; τί ἐπιστοιβάζεις ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα; τί κατηγορεῖς τοῦ ἀνενδότως τύπτοντος τὴν συνείδησιν; ἢ καὶ ὡς οὗτος ὁ τελώνης. τί γὰρ εἶδες, ἄνθρωπε, τὸν τελώνην ποιοῦντα; ληστεύοντα; τοὺς ἀλλοτρίους πόνους συλῶντα; τὰ ἀλλότρια ληϊζόμενον; θερίζοντα, ἅπερ οὐκ ἔσπειρε; συνάγοντα ὅθεν οὐ διεσκόρπισεν; ἁπλοῦντα τοῖς ὁδοιπόροις τὸ δίκτυον; οὐδὲν τοιοῦτον τεθέασαι, ὦ Φαρισαῖε· ἀλλ' ὁρᾷς σχῆμα ἐλεεινόν, οἴκτου καὶ βοηθείας ἄξιον. κεῖται γὰρ ἐπὶ πρόσωπον, βασανίζει τὸ στῆθος, ὡς τῶν κακῶν ἐργαστήριον, ἐπᾶραι τοὺς ὀφθαλμοὺς πρὸς οὐρανὸν οὐ τολμᾷ. τάχα καὶ παρ' αὐτῶν τῶν ἀστέρων κατηγορίαν ἐκδέχεται, ἢ μᾶλλον νομίζει τῶν πλημμελημάτων τὸ πλῆθος γεγράφθαι

Marginalia: Λουκ. ιη. ι. — ἴσ. εὐκόλ. — γρ. σιτίων ψυχικῶν — * *

γεγράφθαι ἐν τῷ στερεώματι· πόρρωθεν ἑαυτὸν ὡσεὶ δικασθεὶς τοῦ ἱεροῦ ἀπέστησε· τὸ ἐλέησον κέκραγεν, ὡς ἤδη καταδικαζόμενος. οὐκ ἀνέγνως τὸ γεγραμμένον, Ὅτι μὴ ἐπὶ παντὶ ὀργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ; ἄπορός ἐστι, πανταχόθεν ἐκύκλωσαν αὐτὸν οἱ λογισμοί. ἀντὶ τοῦ πλήθους τῶν κατηγόρων, ἐχρήσατο τῇ δεξιᾷ ἡ συνείδησις κατὰ τοῦ στήθους μαστίζουσα· καθ' ἑαυτοῦ ἑαυτὸν ἀπειργάσατο δήμιον. οὐκ ἐπικάμπτει σε τρέμων; οὐκ ἐρεθίζει σε πρὸς συμπάθειαν σοῦ κάτω νεύων τὸ πρόσωπον; οὐ μαλάττει σου τὴν ἀπάνθρωπον γνώμην, μὴ τολμῶν εἰς οὐρανὸν ἀναβλέψαι; ὅτε μὲν γὰρ ἐτελώνει, ἐχρῆν σε τὰς τοιαύτας κατ' αὐτοῦ ἀναβοῆσαι φωνάς. πρέπον γὰρ αὐτῷ τότε οὐ μόνον παρὰ σοῦ, ἀλλὰ καὶ παρὰ παντὸς ὀνειδίζεσθαι. ὅτε μέντοι τῶν οἰκείων κατέγνω κακῶν, ὅτε θεωρήσας τὰ τραύματα τῆς ψυχῆς, ἔδραμε πρὸς τὸν ἰατρὸν τὸν ἀμισθὶ θεραπεύοντα, ὅτε τῶν πλημμελημάτων μνημονεύσας τῷ ἀμνησικάκῳ δεσπότῃ προσέφυγε, τότε περιττῶς αὐτῷ κατεπεμβαίνεις, ὦ Φαρισαῖε; οὕτως ὡς σοῦ ὁ τελώνης. μὴ γὰρ οὐκ εἰσὶν ἄλλοι τελῶναι μήπω τὸν γλυκὺν τῆς μετανοίας ἀγαπήσαντες θρίων; εἰ πόθος σοι πολὺς κατηγορεῖν ἁμαρτωλῶν, ἐπ' ἐκείνους στρέψον τὴν σὴν γλῶτταν, τοὺς ἔτι τοῖς δικτύοις τῆς πλεονεξίας ἐνειλημμένους· πρὸς τοῦτον μέντοι περιττή σου ἡ δυσφημία. οὐ μόνον γὰρ τὸν ἄνθρωπον βλάψαι οὐ δύνασαι, ἀλλὰ καὶ πλέον τὸν δεσπότην ἐρεθίζεις, ὥστε συντομωτέραν ποιήσασθαι περὶ αὐτὸν τὴν συγχώρησιν. ὁ δὲ τελώνης, φησί, μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι. τὴν τοῦ Μανασσῆ πάντως καὶ αὐτὸς φωνὴν ἀπεφθέγγετο· Οὐκ εἰμὶ ἄξιος ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἀδικιῶν μου. πολλὰ γὰρ ἦν τότε ἐν τῇ ψυχῇ τοῦ τελώνου συνειλεγμένα κακά, ἐπιθυμία χρημάτων ἀκόρεστος, πόθος ἀδικίας μὴ δεχόμενος πέρας, ἁρπαγὴ τέλος οὐκ ἔχουσα· κοινὸν τῇ φύσει τῶν ἀνθρώπων τελώνης κακόν, νόμος ἄδικος, ἅρπαξ ἀκατηγόρητος, ἄφοβος κλέπτης, λῃστὴς ἀνέγκλητος, δύσφρακτος βλάβη, λύκος τῶν λογικῶν προβάτων, θηρίον ἀνθρωπόμορφον. μετὰ τοσούτων ἀνῆλθεν ὁ τελώνης εἰς τὸ ἱερὸν κακῶν. ὅτε γὰρ πάντα ταῦτα εἰργάσατο τὰ δεινά, καὶ βαρὺ κατεσκεύασε τὸ τῶν πλημμελημάτων φορτίον τῇ ψυχῇ, ὅτε λοιπὸν τὸν αὐχένα κατέκλασε, τότε ἐζήτει τοῦ βάρους ἐλαφρυνθῆναι· καὶ οὐκ εἶχε τὸ πῶς τὸ φορτίον ἀποτινάξεται. εἶτα ταχεῖαν ἔσχεν ἔννοιαν, εὗρεν εἶδος ἐλευθερίας. ἐμνημόνευσε γὰρ τῆς φωνῆς τοῦ δεσπότου πρὸς τοὺς ἁμαρτωλοὺς ἐκβοώσης, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ταύτης τῆς φωνῆς μνημονεύσας, μετὰ τοῦ φόρτου τῶν κακῶν ἐπὶ τὸ ἱερὸν τοῦ Θεοῦ παρεγένετο. ἀγωνιάσας δὲ λοιπόν, καὶ μηκέτι φέρειν δυνάμενος, εὐθὺς ἐπὶ πρόσωπον ἔπεσε, καὶ πρὸς τὸν δεσπότην τό, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ἔλεγεν. ἔρημος, φησί, πάσης εὐεργεσίας τυγχάνω, τοῖς ἐμαυτοῦ κεκλόνημαι δεινοῖς, ὑπὲρ ἀριθμὸν ψάμμου θαλάσσης ἐπληθύνθησαν αἱ ἀνομίαι μου, γεγόνασιν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου. ὁρῶ παρὰ τῶν πρὸ ἐμοῦ ἠδικημένων ἤδη τὸ σὸν δικαστήριον καταβοώμενον· πρὸ τῶν θρόνων σου, δέσποτα, βίβλους ἀνεῳγμένας τεθεῖσθαι ἀκήκοα, ἐν αἷς πάντες καὶ οἱ στεναγμοὶ τῶν ὁδοιπόρων ἐγράφησαν. οὐκ ἔστιν εἶδος ἀδικίας, ὃ τὴν σὴν ἀδέκαστον διαπέφευγε γνῶσιν· ἀπολογίας μοι καιρὸς οὐ πρόσεστι, φυγῆς μοι τόπος οὐ καταλέλειπται. πρὸς οὐρανὸν οὐ τολμῶ ἀναβλέψαι, δέδοικα καὶ τὴν γῆν ὡς ἰδοῦσαν τὰς πράξεις μου. τοῦ γὰρ σφόδρα ἁμαρτωλοῦ κατηγορεῖ καὶ τὰ ἄψυχα. διὸ πρὸς σὲ τὸν πάντων δεσπότην δραμὼν, ταύτην μόνον εὗρον εἰς βοήθειαν τὴν ἱκεσίαν. ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. πολὺς ὁ κολοφὼν τῶν κακῶν μου· ἀλλὰ τί πρὸς τὸ πέλαγος τῆς σῆς ἀγαθότητος; τὸ ἐμὲ σωθῆναι παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλὰ παρὰ σοί, δέσποτα, πάντα δυνατά. εἰ μὲν γὰρ διὰ δικαίους ἐπὶ γῆς παραγέγονας, περιττὸς ὁ τελώνιον βδελυξάμενος τῷ ναῷ σου προσέδραμον.

γράμματι

Σειρ. ι. ς.

γ. θλίξαι.

γ. ἰόμμος

γ. γεγόνασι
γ. ἐπληθύνθησαν

Ματθ. ια κη.

ἔδραμον. εἰ δὲ καὶ τὴν ἁμαρτωλῶν ποιούμενος λόγον, μᾶλλον δὲ δι' αὐτοὺς τῇ κτίσει ἐνεδήμησας, μὴ διαλύσῃς μου τὰς ἐπὶ σοὶ δυσελπίστους ἐλπίδας· ἀλλὰ τὴν συντετριμμένην μου καρδίαν θεράπευσον, νενεκρωμένον με τοῖς παραπτώμασι ζωοποίησον. ἥψατό σου πόρνη, καὶ τὸν ῥύπον τῶν παθῶν ἀπενίψατο· ἐχρήσω τῆς πιστῆς γυναικὸς τὸ κράσπεδον, καὶ λίμνας αἱμάτων ἐξήρανας· ἐπλησίασας παραλύτῳ κειμένῳ, καὶ τῆς κλίνης ἐργάτην ἀνέδειξας· εἶδες [γρ. illegible] προσαιτῶν τυφλόν, καὶ τὴν ὄψιν ἀπέδωκας τὴν εὐπρέπειαν· ἐχαρίσω μὲν γὰρ τὸ λεῖπον τοῦ σώματος, πηλῷ τὸ ἐκ πηλοῦ διορθωσάμενος σκεῦος· ἀνέῳξας δὲ τῷ φωτὶ τὴν εἴσοδον, δείξας τῷ ἀνθρώπῳ τὸ τῆς κτίσεως κάλλος· εἶδες δακρύουσαν γυναῖκα, καὶ πρὸ καιροῦ τῆς ἀναστάσεως τὸν ᾅδην μαστίξας, ἐξήγαγες ἐκεῖθεν τὸν Λάζαρον, ὥσπερ ἐκ στόματος λέοντος ἁρπάσας τοῦ θανάτου τὸν ἄνθρωπον· ἐλεεινῶς σοι προσπίπτοντα θεασάμενος ἄνδρα τῷ τῆς ἀπαιδίας ναυαγίῳ δεινῶς βυθιζόμενον, ἐπεκάμφθης εὐθὺς ταῖς ἱκεσίαις, καὶ κέκληκας τὸ κοράσιον. σοῦ δὲ φωνήσαντος, ἀνέστη μὲν ἡ κόρη, ὁ δὲ θάνατος πέφευγεν. ἐβόησε πρὸς σὲ καὶ Χαναναία γυνὴ τὸ οἰκεῖον θυγάτριον βλέπουσα ὑπὸ δαίμονος σπαραττόμενον, καὶ βοήσασα τό, ἐλέησον, τῶν ἐλπίδων οὐκ ἀπέτυχε. τὴν γὰρ πίστιν αὐτῆς ἀποδεξάμενος, τοῦ προβάτου τὸν λύκον ἐδίωξας, τὸν λυσσώδη ἀπήλασας ἔνοικον· τῷ κορασίῳ χαρισάμενος νῆψιν, τῆς μητρὸς τὸν θρῆνον κατέπαυσας. μικροῖς ἄρτοις πλῆθος ἐν ἐρήμῳ διέθρεψας. λιμώττω κἀγὼ δικαιοσύνης λιμόν, μικρὸν τῆς σῆς φιλανθρωπίας ψιχίον ἐπιζητῶ· ὡς ἕνα κἀμὲ τῶν μνημονευθέντων ἐλέησον. κατέστιγμαι τὴν ψυχήν, ὡς πρὸ τῆς μετανοίας ἡ πόρνη· βδελυκτός εἰμι πᾶσιν, ὡς πρὸ τῆς θεραπείας ἡ αἱμόρρους νομιζομένη ἀκάθαρτος· παρειμένος εἰμὶ τὴν ψυχήν, τοῦ σώματος τοῦ παραλύτου μειζόνως· πεπήρωμαι τοὺς τῆς [γρ. πεπήρ… illegible] ψυχῆς ὀφθαλμούς, καθὼς ὁ ἐκ γενετῆς τυφλὸς τοῦ σώματος· νενέκρωμαι τοῖς παραπτώμασι συγκεκλεισμένην ἔχων ἐν τῷ σώματι τὴν ψυχήν, καθὼς εἶχεν ὁ τάφος τὸν Λάζαρον· τὰ πολλῶν χρεῶν ἐπιφέρομαι δεινά· ἀλλ' ὁ πάντας ἐλεήσας, κἀμὲ προσπίπτοντα οἰκτείρησον. ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. τί οὖν ὁ φιλάνθρωπος δικαστής, ὁ φιλότιμος ἀγωνοθέτης τῶν τρεχόντων τὸν τῆς μετανοίας δρόμον; καὶ τοῦ Φαρισαίου μεγαλαυχοῦντος ἠνείχετο, καὶ τοῦ τελώνου μετανοοῦντος ἐτέρπετο. ἐπεὶ δὲ ὁ μὲν τοῖς ῥήμασιν, ὥσπερ ἀνέμοις σφοδροῖς, τῆς ψυχῆς τὸν καρπὸν ἀπετίναξεν, ὁ δὲ συντρίψας ἑαυτὸν οὐκ ἐξεδέχετο ἄλλον κατήγορον, ἑκατέρῳ τὸ πρὸς ἀξίαν ἀπένειμε. τὸν μὲν γὰρ τελώνην ἑαυτοῦ γεγενημένον κατήγορον, ἐλεύθερον ἀφῆκε τῆς κατακρίσεως· τὸν δὲ Φαρισαῖον εἰς μέσον προθέντα τὰ κατορθώματα, πενέστερον τοῦ τελώνου ἀπέφηνεν. ἀμφοτέροις ὁ τρόπος, τῷ μέν, ὑπόθεσις πενίας εἰς πλοῦτον· τῷ δέ, ἐκ πλούτου εἰς πενίαν ὀλίσθημα. τί γάρ φησιν ὁ δεσπότης; Ἀμὴν λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος. ὢ πόσον κακὸν τῆς ὑπερηφανίας τὸ νόσημα; κατάκομος ἀνῆλθεν ὁ Φαρισαῖος, ὥσπερ ἄνθεσι, τοῖς κατορθώμασι στεφανούμενος· συνώδευε τούτῳ ὁ τελώνης πάσης ἀπολογίας γυμνός. ἀλλ' ὁ μὲν εὐκαίρως ἑαυτὸν ταπεινώσας, ὑψώθη· ὁ δὲ πρὸς ἄκαιρον ὕψος ἀκοντίσας ἑαυτόν, κατατέλασεν ὑπέμεινε γύμνωσιν. οὐκ ἦν βέλτιον ὑφειμέναις χρήσασθαι ταῖς φωναῖς; οὐκ ἦν κρεῖττον τῆς προφητικῆς ἀκοῦσαι φωνῆς λεγούσης, Ταπεινώθητε ἐνώπιον Κυρίου, καὶ ὑψώσει ὑμᾶς; οὐκ ἦν μᾶλλον συμφέρον κρατῆσαι τῆς γλώσσης, καὶ φυλάξαι τὸν πλοῦτον, ὃν πόνοις πολλοῖς ἐκτήσατο; ἃς γὰρ ἐν χρόνῳ συνήγαγεν ἀρετάς, ταύτας ἐν ἀκαρεῖ ῥοπῇ τῇ φωνῇ διεσκόρπισεν. οὐκ ἤκουσε τάχα ὁ Φαρισαῖος τὸ γεγραμμένον, Ὅτι ἀκάθαρτος ἐναντίον Κυρίου πᾶς ὑψηλοκάρδιος· οὐκ ἐδιδάχθη τὸ καλῶς εἰρημένον, Ὃ ποιεῖ ἡ δεξιά σου, μὴ γνώτω ἡ ἀριστερά σου. τάχα δὲ ἔγνω ἀμφότερα, ἀλλ' ἡ ἰσχὺς τῆς κενοδοξίας ἐνίκησεν. ἡμεῖς οὖν τοῦ τελώνου τὴν ταπείνωσιν κτησώμεθα, καὶ τῶν ἁμαρτημάτων τὸ βάρος ἀποθώμεθα· ὑπερη-

Παροιμ. ιϛ. ε.

Ματθ. ϛ. γ.

φανίαν

φαυλίαν δὲ μισήσωμεν, δι᾽ ἧς ὁ Φαρισαῖος τὸν πλοῦτον τῆς ἀρετῆς ἀπώλεσεν. Ὑπερηφάνοις γὰρ ὁ Κύριος ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. γ. λδ.

ΕΙΣ ΤΗΝ ΕΞΟΡΙΑΝ ΤΟΥ ΑΔΑΜ· *ΚΑΙ ΠΕΡΙ πονηρῶν γυναικῶν.

Λόγ. ε.

* καὶ περὶ νηστείας

Ex Ms. Regio Lut. emend. ex Ms. Bavar.

Πρόκειται ἡμῖν, ἀγαπητοί, πνευματικὴ τράπεζα ἐκ τῶν θείων γραφῶν πληρουμένη, πλήρης ἀγαθῶν, οὐκ ἐδεσμάτων ἀπολλυμένων, ἀλλὰ τρυφὴν παρέχουσα τῆς ἀληθείας διδάγματα· οὐκ ἄρτον φέρουσα πρόσκαιρον, ἀλλὰ νοημάτων ἀΰλων τὰς ψυχὰς ἐκτρέφουσα, οὐκ οἶνον μέθην ἐργαζόμενον, ἀλλὰ ζέσιν πνεύματος τὴν καρδίαν ἀναφλέγουσα· οὐ κρεῶν ἀπολλυμένων, ἀλλὰ χάριτας στάζουσα ἡδονὴν ἐπουράνιον· οὐ κιθάρας, ἢ αὐλοὺς ἀναπέμπουσα, ἀλλὰ ψαλμοὺς καὶ ὕμνους θεοτερπεῖς μελῳδοῦσα· οὐ πορνικοῖς ὀρχήμασι τοῖς αἰσθητοῖς ὀφθαλμοῖς τὴν διάνοιαν ἐκλύουσα, ἀλλὰ καρδίας τοὺς ὀφθαλμοὺς πρὸς πόθον τῆς βασιλείας διεγείρουσα· οὐ μίμων καὶ κακοηθῶν ἀνδρῶν ἄγουσα θόρυβον, ἀλλὰ προφητικὰς σάλπιγγας, τὰ ὦτα τῆς διανοίας ἡμῶν πρὸς διδασκαλίαν ψυχωφελῆ χειραγωγοῦσα· οὐ τὸν ἔξω ἄνθρωπον εἰς μειρακιώδεις καὶ γέλωτας, καὶ ἀκολασίας ἐμβάλλουσα βέλεσιν, ἀλλὰ τὸν ἔνδον πρὸς θεῖον γνῶσιν ἀναπλοῦσα ἔρωτα· καὶ τῶν βιωτικῶν ἁπάντων ἀπηλλαγμένην τήν τε αἴσθησιν καὶ σύγκρασιν, πρὸς μόνην τὴν τῆς βασιλείας ὁδὸν ἀναβιβάζει τὴν ἀείζωον. καὶ τὰ μὲν τῆς αἰσθητῆς τραπέζης, κἂν βρωμάτων τις πλειοτέρων μεταλάβῃ, τὴν κοιλίαν ἀλγεῖ, καὶ τὰ ἐντὸς πλησθέντα βλάβην οὐ τὴν τυχοῦσαν κατεργάζεται· ἐπὶ δὲ τῆς πνευματικῆς τοὐναντίον. ἐὰν γὰρ αὐτὴν ἀπλήστως ἐντρυφήσῃς, δυνήσῃ κατορθῶσαι καὶ πρᾶξιν θεάρεστον καὶ βίον ἐνάρετον· καὶ ὅσῳ πλείονα τρυφᾷς, τοσούτῳ πρὸς πλείονα πόθον σαυτὸν ἐπεγείρεις. πάλιν οὖν ἐπὶ τῆς προτέρας τραπέζης, ἐὰν οἴνου εἰς κόρον μεταλάβῃς, καὶ τῶν ποδῶν τὸ βάδισμα κωλύει, καὶ τοῖς ὀφθαλμοῖς τὰ μὴ προσήκοντα θεωρεῖς, καὶ τῇ γλώσσῃ τὰ μὴ βουλόμενα λαλεῖς, καὶ συχνοὺς ἐρυγμοὺς ἐκ κατωτάτου στήθους ἀναφέρεις, καὶ τοῖς φίλοις καταγέλαστος δείκνυσαι, καὶ τοῖς δούλοις εὐκαταφρόνητος, ὡς ἐν οἴνῳ τὰς φρένας ἀπολέσας. ἐπὶ δὲ τῆς δευτέρας τραπέζης, ἐὰν ἀπλήστως ἀντλήσῃς αὐτῆς τὰ νοήματα, ὀρθῶς τὰς τρίβους πορεύσῃ πρὸς τὰς ἐντολάς, ἃς παρέλαβες ἐκ τοῦ Κυρίου, καὶ τοῖς ὀφθαλμοῖς τῆς διανοίας τὰ ἄϋλα κατοπτεύσεις, καὶ ἐκ τοῦ βάθους τῆς καρδίας σου λόγους ἀγαθοὺς ἐξερεύξῃ κατὰ τὸν προφήτην τὸν λέγοντα, Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, καὶ τοῖς φίλοις κατακεκοσμημένος ὀφθήσῃ, καὶ τοῖς οἰκέταις εὐγενὴς καὶ προσηνὴς καὶ πρᾶος ἀναδειχθήσῃ. ἴδωμεν οὖν τῆς πνευματικῆς τραπέζης τὰ κέρδη· ἀναπτύξωμεν αὐτῆς τῶν νοημάτων τὴν εὐπρέπειαν· χαρυκεύσωμεν αὐτῆς εἰς κόρον τὸ γλυκὺ τὸ ἄδολον, τὸ ἀποστάζον ἐξ αὐτῆς, ἀκούσωμεν αὐτῆς τῶν ὕμνων καὶ τῶν ᾠδῶν· ἧς ὁ ὕμνος δαίμονας τρέπει, καὶ αἱ ᾠδαὶ τὸν ἄρχοντα τοῦ σκότους ἀποστρέφουσι· Σαλπίσωμεν ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν. νηστεία παρήχθη ἡ συνέμφορος τῶν ἀγγέλων, νηστεία παρήχθη ἡ τῶν προφητῶν μήτηρ, νηστεία παρήχθη ἡ τῶν ἀποστόλων φίλη, νηστεία παρήχθη ἡ τῶν μαρτύρων καλλονή, νηστεία παρήχθη ἡ τῶν ὁσίων καύχησις, νηστεία παρήχθη ἡ τῶν μοναζόντων συνέμφορος. νηστεία παρήχθη, ἣν καὶ αὐτὸς ὁ Κύριος * ἐν σαρκὶ πρώην ἐφύλαξεν. αὐτῆς τοὺς ὅρους, καί, εἰ θέλεις, ἀγαπητέ, ἄκουσον αὐτῆς τὰς ἀριστείας. νηστείαν Ἀδὰμ μὴ φυλάξας, ἐξόριστος γέγονε τοῦ παραδείσου, καὶ τὴν ἄκανθοφόρον ἐργάζεσθαι ἐκελεύσθη· νηστείαν μὴ φυλάξαντες οἱ ἐπὶ τοῦ Νῶε ἄνθρωποι,

Ψαλ. μδ. α.

Ψαλ. π. γ.

* ἐν σαρκὶ μενούσῃ

θρωποι, τῆς θεϊκῆς ἀγανακτήσεως ἐν πείρα γεγόνασι, καὶ κατακλυσμοῦ παγκοσμίου δίκην
ὑπέστησαν. νηστείαν παρ᾽ ὀλίγον Νῶε καταλιπὼν, θρίαμβος καὶ γυμνὸς τοῖς υἱοῖς αὐτοῦ
προέκειται· νηστείαν μὴ φυλάξας Ησαῦ, τῶν πρωτοτοκίων τὴν τιμὴν ἀπώλεσε, καὶ τῆς
πατρικῆς εὐχῆς ἀλλότριος γέγονε· νηστείαν μὴ τιμήσαντες υἱοὶ Ισραὴλ, τῆς ἐπουρανίου
τρυφῆς καὶ τῆς χάριτος τῆς θεϊκῆς ἐξέπεσον. ἔμαθες τοὺς μὴ τιμήσαντας αὐτὴν οἷα
σκληρὰ καθέστηκε; γνώρισον καὶ τοὺς φυλάξαντας αὐτὴν οἵας τιμῆς καὶ χάριτος ἄξι-
οι. νηστείαν κολπωσάμενος Μωϋσῆς νόμον ἐδέξατο, καὶ δημαγωγὸς τοῦ Ισραὴλ ἄξιος
ἀνεδείχθη· νηστείαν κολπωσάμενος Ηλιοὺ δι᾽ ἅρματος πυρίνου εἰς οὐρανοὺς ἀνελή-
φθη, δι᾽ οὗ καὶ ἡ πολύτιμος μηλωτὴ ὑπὲρ βασιλικὴν πορφυρίδα τιμιωτέρα ἀνε-
δείχθη· νηστείαν ἐν λάκκῳ Δανιὴλ κτησάμενος, τὰ ἄγρια θηρία φιμώσας, ἀλώ-
βητος τῆς τούτων βορρᾶς γέγονε· νηστείαν οἱ τρεῖς παῖδες ἀγκαλισάμενοι, τὴν κά-
μινον τὴν ἐξαφθεῖσαν ἑπταπλασίως κατέσβεσαν, καὶ τὸ πῦρ ἐποίησαν ὡς πνεῦμα δρόσου δια-
συρίζον· νηστείαν ἀσπασάμενος Ιωάννης, μείζων ἐν προφήταις ἀνηγορεύθη, καὶ τὸν Κύριον
τῆς δόξης κατηξιώθη βαπτίσαι ἐν τῷ Ιορδάνῃ. καὶ τί προφήτας καὶ δικαίους εἰς μέσον πα-
ράγω; νηστείαν καὶ ὁ Κύριος ἀσπασάμενος, τὸν ἐχθρὸν κατέβαλε, καὶ ἡμᾶς θεωρητὰς αὐτοῦ γε-
νέσθαι κατηξίωσε. διὸ ταύτην ὑποδεξώμεθα, τὸ τίμιον δῶρον, τὸ ἅγιον κειμήλιον, τὸ τῆς
ἀληθείας ἴνδαλμα, τῆς εὐσεβείας τὸ κεφάλαιον, τὴν τῆς πνευματικῆς διδασκαλίας συν-
ήγορον, τῶν παθῶν τὴν νέκρωσιν, τῆς ἁμαρτίας τὴν ἀναίρεσιν, τῆς κακίας τὴν ἀντίπαλον,
τῆς παρθενίας τὸ ὁμόδοξον, τῶν δαιμόνων τὴν ἀφανίστριαν, τοῦ διαβόλου τὴν ἐπιτίμησιν,
τῶν εἰδώλων τὴν καθαίρεσιν, τῶν ἐκκλησιῶν τὴν εὐπρέπειαν, τῶν βασιλέων τὸ κράτος,
τῶν ἱερέων τὸ ἐγκαλλώπισμα, τῶν ἀνδρῶν τὴν φρόνησιν, τῶν γυναικῶν τὴν σωφροσύνην,
τῶν νηπίων τὴν παιδαγώγησιν, τῶν δούλων τὴν ἄνεσιν, τῶν πτωχῶν τὴν παραμυθίαν.
τίς νηστείαν ἀσπασάμενος, οὐκ ἐδοξάσθη; τίς ταύτην φυλάξας, οὐκ ἐμεγαλύνθη; τίς
τοὺς θεσμοὺς αὐτῆς συντηρήσας, οὐκ ἐμακαρίσθη; τίς ταύτην κτησάμενος, οὐκ ἐνίκησε
πειρασμούς; τίς ἀκούσας ταύτης τὰς ὑποσχέσεις, οὐχὶ παρὰ ἀνθρώποις μόνον ἐτιμήθη,
ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ ἀγανακτήσεως καὶ ὀργῆς οὐκ ἐξηρπάγη; οὐχὶ Αχαὰβ ταύτην ὁπλισάμε-

γ. Βασ. κβ'. λη'.

νος, τῆς ἀπειλῆς τῆς ὀργῆς ἐρρύσθη; καὶ ὁ τοῖς ὀρνέοις εἰς βρῶσιν δοθεὶς καὶ τοῖς θηρίοις (Καὶ ἐπὶ τοῦ
αἵματος αὐτοῦ, φησιν, αἱ πόρναι λούσονται) δι᾽ αὐτῆς ἀπηλλάγη τοῦ θανατικοῦ κινδύνου, καὶ ὑ-
πὲρ προφήτην δυνατωτέρα ἐδείχθη; οὐχὶ ταύτην οἱ Νινευῖται φυλάξαντες, ἄνθρωποι
καὶ τὰ κτήνη, τῆς τελειωμένου ἀπωλείας ἀνηρπάγησαν, καὶ τοῦ προφήτου Ιωνᾶ τὸ ῥῆμα ἀνενέργητον
ἐγένετο; οὐχὶ ταύτην τηρήσαντες οἱ προφῆται, θεωριῶν καὶ ὀπτασιῶν Θεοῦ παντοκράτο-
ρος μέτοχοι γεγόνασι, καὶ τὰ μέλλοντα ὡς ἐνεστῶτα προεθεώρησαν καὶ ἐθέασαν; οὐχὶ καὶ οἱ
ἀπόστολοι ταύτην ὁπλισάμενοι, πανταχοῦ κύκλῳ τῆς γῆς διέδραμον ὁ φθόγγος αὐτῶν, καὶ

Ψαλ. ιη'. δ'.

εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν; οὐχὶ καὶ οἱ μάρτυρες αὐτὴν ἐνστερνισάμε-
νοι, ναοὺς καὶ βωμοὺς καὶ κνίσσας τῶν εἰδώλων κατέβαλον, καὶ τὸν θυμὸν τῶν τυράννων εἰς οὐ-
δὲν ἐλογίσαντο; οὐχὶ οἱ ὅσιοι αὐτὴν ποθήσαντες, κατέλιπον τὸν κόσμον καὶ τὰ τοῦ κόσμου πάν-

Εβρ. ια'. λη'.

τα, καὶ ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, κατὰ τὸν ἀπόστολον Παῦλον,
οἰκήσαντες, αὐτοπροσώπως τὸν διάβολον κατέβαλον, καὶ τὰ τούτου στρατεύματα; ταύτην καὶ
ἡμεῖς φυλάξωμεν, τῶν ψυχῶν τὴν γαλήνην, τῶν σωμάτων τὸ ἰατρεῖον, τῶν λογισμῶν τὴν
εἰρήνην, τῶν ἐπιθυμιῶν τὴν νέκρωσιν, τὴν τὸν ἀλλότριον ἁρπάζειν πλοῦτον κωλύουσαν,
τὴν ὀρφανοὺς μὴ καταδεχομένην ἀδικῆσαι, τὴν χήραις μὴ ἐπάγουσαν πένθος ζημίας, τὴν
μερίμναις μὴ ἀσχολεῖσθαι ἡμᾶς συγχωροῦσαν βιωτικαῖς, τὴν βασιλείας αἰωνίου μετό-
χους ἡμᾶς ποιοῦσαν, τὴν ἀγγέλοις ὁμοδιαίτους τοὺς βροτοὺς ἐργαζομένην, τὴν τὸν τοῦ Κυ-
ρίου νόμον ἡμέρας καὶ νυκτὸς μελετᾶν διακελευομένην. φησὶ γὰρ προφητεύων Ζαχαρίας

περὶ ταύτης, καὶ τρανώτερον τὴν δόξαν αὐτῆς ἀνακηρύττων διαπρυσίως βοᾷ· Τάδε λέγει Κύριος παντοκράτωρ· νηστεία ἡ τετάρτη, καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ ἑβδόμη ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν, καὶ εἰς εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθάς. (Ζαχ. η. ιθ.) Εἴδετε πάντως, πῶς διαιροῦσι τῶν ἑορτῶν τὴν ὑπόθεσιν ἡ νηστεία; ἐμάθετε πῶς τρανώτερον αὐτῆς καταγγέλλει τὰς ἀριστείας καὶ τὰ κλέη; γνωρίζετε πῶς υἱοὶ αὐτῇ πρὸς τὸν πόθον τὸν πατρικὸν τοὺς εἰσδεχομένους αὐτήν; βούλεσθε σαφεστέραν αὐτῆς τὴν ὑπόθεσιν μαθεῖν; διανοίξατε τὰ ὦτα τῆς διανοίας ὑμῶν, καὶ δέξασθε τοῖς λογισμοῖς ὑμῶν τὰ πνευματικὰ ᾄσματα, τὰ βρύοντα ἐκ τῆς πηγῆς τῆς ἀθανασίας ἀείρρυτα νάματα. τί λέγεις, προφῆτα; ποῖον Ἰσραὴλ παρεισάγεις; τὸν σαρκικὸν, ἢ τὸν νοῒ ὁρῶντα Θεόν; τὸν ἐβδελυγμένον διὰ τὰς ἀκαθάρτους θυσίας, ἢ τὸν ἐπεισαχθέντα διὰ τῆς τῶν ἀποστόλων διδασκαλίας; τὸν αἵμασι κριῶν καὶ ταύρων θυσιάζοντα, ἢ τὸν ἀναιμάκτως Θεὸν θύοντα τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου; τὸν ποθήσαντα ἀντὶ Θεοῦ τοῖς γλυπτοῖς, ἢ τὸν ἀπὸ τῶν βωμῶν καὶ θυσιῶν καὶ ξοάνων ἐξαρπαχθέντα, καὶ εἰς υἱοθεσίαν πνευματικὴν ἀνακραθέντα; δῆλον ὅτι [τὸν νέον] τὸν περιούσιον * λαὸν, τὸν ἐν ὕδατι καὶ πυρὶ ἀνακαθαιρόμενον. καὶ γὰρ διὰ Ἡσαΐου τοῦ προφήτου ἀναφανδὸν βοᾷ· Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. (Ησ. α. ιδ.) προσέχετε. τὸν ἀρτιφανῆ λαὸν προσκαλεῖται διὰ τοῦ προφήτου τῆς νηστείας τὸ δῶρον κατορθώσασθαι. οὐ γὰρ τοῦ Θεοῦ ἀποβαλλομένου αὐτῶν τὴν νηστείαν καὶ τὴν δέησιν καὶ τὰς νεομηνίας καὶ τὰ σάββατα, ἀλλ' ὅτι πλήρεις ὄντες διὰ τῶν πράξεων αὐτῶν τῶν πονηρῶν κατέλιπον τὸν Θεὸν, καὶ τὸν ἐκλεκτὸν λαὸν τὴν τὴν περιουσίαν τοῦ υἱοῦ αὐτοῦ τοῦ μονογενοῦς προκαταγγειλάντων αὐτοὶ ἀδίκως ἀνεῖλον, ὃν μὲν ξυλίνῳ πρίονι, ὃν δὲ ἐν λάκκῳ βορβόρου κατήγαγον. καὶ τί προφήτας λέγω; αὐτοὶ γὰρ τὸν ἑαυτῶν δεσπότην ὡς κατάδικον ἐσταύρωσαν καὶ ἀνεῖλον, λέγοντες· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν *. (Ματθ. κα. λη.) βλέπεις τὴν ἀλλοτρίωσιν, ἣν ἠλλοτρίωσαν ἑαυτοὺς διὰ τῶν ἔργων τῶν ἀτόπων; οὐ γὰρ αὐτοὺς ὁ Κύριος * ἀπώσατο, ἀλλ' αὐτοὶ ἑαυτοὺς ξένους τῆς προγονικῆς παρρησίας ἀπειργάσαντο. ταῦτα οἱ υἱοὶ Ἰσραὴλ ἐμελέτησαν· οὕτως ὁ ἐκλεκτὸς τοῦ Κυρίου λαὸς ἐφρυάξατο κατὰ τὸν θεοπάτορα Δαβὶδ τὸν βοῶντα, Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενὰ, καὶ τὰ ἑξῆς. (Ψαλ. β. α.) ὁρᾶτε πιστοὶ τῆς νηστείας τὴν χάριν; βλέπετε αὐτῆς τὰ βραβεῖα, ἃ προξενεῖ τοῖς ἀτρέπτῳ γνώμῃ αὐτὴν κεκτημένοις; κατανοεῖτε τοὺς περιφρονοῦντας αὐτῆς τὰς νομοθεσίας, οἷα σκληρὰ καὶ τραχέα δείκνυται; ῥομφαία ἐστιλβωμένη ἐστὶν ἐν προθύροις τῆς τοῦ Θεοῦ βασιλείας ἱσταμένη, καὶ ἐκθαμβοῦσα τοὺς μὴ μετ' ἐπιεικείας καὶ πραότητος αὐτὴν εἰσδεχομένους. πάλιν δὲ ἐναντία δίδωσι προσηνῶς πᾶσι τοῖς μετὰ καθαροῦ συνειδότος αὐτὴν προσλαμβανομένοις, πρὸς ἄλυπον βίον καὶ χαρὰν ἄληκτον καὶ ἄμοχθον καὶ τρυφὴν αἰώνιον χειραγωγοῦσα, μυρίων ἀγαθῶν ἀντιχορηγοῦσα. καὶ εἰ θέλεις, ἐκ τῶν πολλῶν ὀλίγα συλλέξαντες εἴπωμεν. τίς νηστείαν κτησάμενος μεριμνῶν βιωτικῶν ἐσχόλασέ ποτε; τίς αὐτὴν ἀγκαλισάμενος οὐκ ὀρθῶς τὰς ὁδοὺς τοῦ Κυρίου διώδευσε; τίς ταύτην φυλάξας, οὐ ῥᾳδίως τὸν πλοῦν τῶν γηΐνων ἐπέρασε; τίς αὐτὴν ἐσχηκὼς, ὀρφανὸν ἢ χήραν ἠδίκησε; τίς αὐτὴν μαθητεύσας, ἡδονὰς τοῦ ἀέρος οὐχ ὑπερῆλθε γαληνῶς; τίς ταύτην ἀσπασάμενος, οὐχ ὀπτασιῶν καὶ θεωριῶν Κυρίου κατηξιώθη; τίς αὐτῇ γλυκανθεὶς, διέλιπε μελετῶν τὸν νόμον Κυρίου ἡμέρας καὶ νυκτός; ὁρᾶτε αὐτῆς τὴν παρρησίαν; ὁρᾶτε καὶ τὴν ἀξίαν; ὁρᾶτε καὶ τὴν τιμὴν, ἣν περιβέβληται; πῶς ἐξ ἀρχῆς κόσμου δεσπόζει τῶν εὐσεβῶν; πῶς τὰ μέτρα αὐτῆς ἀπὸ καταβολῆς κόσμου τετήρηται; πῶς δοξάζει τοὺς τιμῶντας αὐτὴν, καὶ τοὺς μὴ φυλάσσοντας ἐξουθενεῖ; καὶ καθὼς ἀνωτέρω [τοῦ λόγου] εἴρηται, τὸν πρῶτον ἄνθρωπον μὴ φυλάξαντα τὴν νηστείαν ἐν ἐπιτιμίοις καὶ ἐσχάτῃ πτωχείᾳ καθεστῶτα, καὶ πόρρω τοῦ παραδείσου γεγονότα διὰ τὴν ταύτης καταφρόνησιν;

Ἀκούσωμεν

Ἀκούσωμεν ἐξ ἀρχῆς τῆς ἱστορίας, ἣν ὁ προφήτης Μωϋσῆς ταῖς μετέπειτα γενεαῖς ἐξηγήσατο, μᾶλλον δὲ ὁ δεσπότης τοῦ Μωϋσέως, ὡς πατὴρ φιλόστοργος, ἡμῖν ἀπεκάλυψεν. ἀγαπητοὶ προσέχετε, παρακαλῶ, τοῖς λεγομένοις. καὶ γὰρ τὴν διήγησιν ταύτην ἐν ἐπιτόμῳ βούλομαι διεξελθεῖν. (Γεν. α. α.) Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνεῦμα Θεοῦ ἐπιφέρετο ἐπάνω τοῦ ὕδατος. καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν. εἶδες, ἀγαπητέ, τὴν γραφήν, πῶς ἡμῖν σαφεστέραν τὴν λύσιν χαρίζεται; καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν. πρὸ τοῦ γὰρ ἐλθεῖν τὸ φῶς ἐν τῷ κόσμῳ, ἐγίνωσκε τὴν οὐσίαν αὐτοῦ, ὅτι καλὸν ἦν· ἀλλὰ τὰς ἡμετέρας διανοίας ἐγείρων πρὸς τὴν τοῦ κατασκευαζομένου δύναμιν καὶ δυναστείαν. εἰ μὴ γὰρ ἦν καλόν, οὐκ ἂν αὐτὸς ἐποίησε, καὶ τὸ σκότος ἀπ' αὐτοῦ διεχώρισεν. εἰ μὴ ποθεινὸν ἦν, οὐκ ἂν ἐκάλεσεν αὐτὸ φῶς. καὶ τὸ σκότος ἐκάλεσε νύκτα, ἵνα ἐν τῷ φωτὶ αὐτοῦ πορευσώμεθα, καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ ἀδολεσχήσωμεν. ἠδύνατο γὰρ ὁ Θεὸς ἑνὶ λόγῳ καὶ μιᾷ ῥοπῇ πάντα, ἃ ἐποίησεν ἐν ταῖς ἓξ ἡμέραις, ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ παραστῆσαι. ἀλλ' οὐκ ἔδωκε χώραν τοῖς μετέπειτα γενομένοις, Ἕλλησι λέγω καὶ τοῖς σοφοῖς, οἳ ἐμωράνθησαν ἐν τῇ σοφίᾳ αὐτῶν. τὸν γὰρ νόμον αὐτοῦ οὐκ ἐφύλαξαν. διὸ καὶ ἡ σοφία αὐτῶν εἰς ἀσυνεσίαν κατεγνώσθη. τὰ γὰρ ἐν ἓξ ἡμέραις δημιουργηθέντα οὐκ ὤκνησαν τὴν κτίσιν μυθολογοῦντες εἰπεῖν αὐτομάτως γενέσθαι, καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν, ἥλιον καὶ σελήνην, καὶ πάντα τὰ ὁρώμενα. εἰ ἐν μιᾷ ὥρᾳ ταῦτα ἡ σοφία τοῦ Θεοῦ ἐποίησε, τί οὐκ ἂν πρόφασιν ἀναισχυντίας προβαλέσθαι εἶχον; ἀλλ' αὐτὸς ὡς προνοητὴς ἐκώλυσεν αὐτῶν τὰς ἀδίκους γλώσσας καὶ ἰοβόλους τὰς κατὰ τοῦ ποιητοῦ ἐπαιρομένας, καὶ τὴν κτίσιν λατρευσάσας παρὰ τὸν κτίσαντα. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, τὸν εἱρμὸν τῆς διηγήσεως ἐπὶ τὸ πρόσω φέροντες. (Γεν. α. γ.) Εἶπεν ὁ Θεός, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα μία. καὶ εἶπεν ὁ Θεός, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα, οὐρανόν. εἶδες ἔργον διανοίας βροτῶν ἐκπλῆττον, ὅτι ἄνευ στύλων, ἄνευ μοχλῶν τὸ δημιούργημα τοῦτο συνέστηκε μέχρι συντελείας αἰῶνος; ὡς θαυμαστὰ τὰ ἔργα Κυρίου, καὶ τίς ἱκανὸς ἐξιχνιάσαι αὐτά; Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα δευτέρα· (Γεν. α. η.) καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηράν, γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν. ταῦτα τῷ ῥήματι τοῦ προστάσσοντος ἄρδην παρέστατο· οὐδὲν ὑπῆρχε τὸ κωλῦον, οὐδὲν τὸ παρεμποδίζον. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα τρίτη. ὁρᾷς τὴν γραφὴν διηνεκῶς διανοίγουσαν ἡμῖν τὴν διάνοιαν πρὸς τελειότητα. ποῦ εἰσιν οἱ λέγοντες, οὗτος ὁ καρπὸς πικρός, αὕτη ἡ βοτάνη δηλητήριον ἐπάγεται; τοῦτο τὸ ὄρνεον σαρκοβόρον τί ἡμῖν καλὸν παρέξει; ἄλλο κράξαν θάνατον ἀπειλεῖ, ἕτερον φωνῆσαν χαλεπὰ σημαίνει, ἄλλο πέτασαν συμφορὰν ἡμῖν παρεισάγει. πολλῶν γὰρ ἤκουσα ταῦτα φιλονεικούντων καὶ ληρωδούντων, οὐκ ἔστι τοῦτο παραγραφὴ χριστιανῶν. ἃ γὰρ ὁ Θεὸς ἰδὼν εἶπε καλὰ λίαν, σὺ αὐτὰ μὴ ἐνύβριζε. (Γεν. α. ιδ.) Καὶ εἶπεν ὁ Θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, καὶ εἰς δᾳδουχίαν τῆς νυκτός. καὶ ἐποίησεν ὁ Θεὸς τὸν φωστῆρα τὸν μέγαν, ἤγουν τὸν ἥλιον, εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς.

τί

τί πρῶτον θαυμάσομεν ὦ ἄνθρωποι; τοῦ ἡλίου τὸ ὕψος τὸ ἀνείκαστον, τὸ μέγεθος, τὴν σφοδρότητα, τοῦ φωτὸς τὸ ἀμέτρητον, ἢ τῆς θέρμης τὸ ἀκατάσχετον; πῶς ἐκ μιᾶς θρυαλλίδος καὶ ἐκ μιᾶς οὐσίας ταῦτα πάντα κατηγλάϊσται, καὶ δρόμον ἀνύοντος καταπλήττοντα ἰδιῶ καὶ ἔννοιαν; πῶς ἐν μιᾷ ἡμέρᾳ ἀπὸ ἀνατολῆς φαινόμενος, καὶ πρὸς δύσιν ἐρχόμενος, τόπος οὐδεὶς ἀποκρύβεται τῆς θέρμης αὐτοῦ; πῶς τῶν Περσῶν τὰ τέκνα ὦ θρησκεύοντες αὐτὸν ὡς Θεὸν, οἱ τὸν κτίστην καταλιπόντες, τῷ κτίσματι αὐτοῦ τὴν τιμὴν προσάγουσιν; οὐχὶ αὐτὸς ὁ ἥλιος ἀενάως καθ' ἡμέραν τὸν αὐτοῦ δρόμον διαπλεῖ μετὰ φόβου μεγίστου καὶ εὐταξίας; καὶ ποτὲ μὲν νέφεσι καλυπτόμενος, ποτὲ δὲ νότου πνεύσαντος τὰς ἀκτῖνας σμικρυνόντος ὑπὸ ὑμῶν ὁ ἥλιος, εἰς ὃν ὑμεῖς πεποιθότες τὴν λατρείαν προσάγετε; πάντα καλὰ λίαν τοῦ Κυρίου τὰ ἔργα, καὶ φοβερὰ, καὶ ἐξαίσια· ἀλλὰ πρὸς ὑπηρεσίαν ἡμῶν καθεστήκασιν, οὐχὶ δεσποτείαν. πῶς δὲ καὶ ἡ σελήνη εἰς δαδουχίαν τῆς νυκτὸς τῷ προστάγματι τοῦ ποιητοῦ παρήχθη; καὶ ποτὲ μὲν αὔξησιν εἰσδέχεται, ποτὲ δὲ μείωσιν ὑπομένει· καὶ ποτὲ μὲν λάμπουσα μαρμαρυγὰς φωτὸς ἐπαφίησι, ποτὲ δὲ λήγουσα αὐτῆς τὰ μέτρα ἀπαρασάλευτα φυλάττει μετὰ τῶν ἀστέρων τῶν πολυαρίθμητων χορῶν. ἀλλὰ πρὸς τὴν ἀκολουθίαν τοῦ λόγου ἥξωμεν.

Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα τετάρτη. καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχὴν ζῶσαν κατὰ γένος, καὶ πετεινὰ πετόμενα κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. (Γεν. α. ιθ.) καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα. κατάμαθε ἀκριβῶς τὸ ῥῆμα τοῦ παντοκράτορος· πόσα γένη ἰχθύων τὰ ἐν τῇ θαλάσσῃ παρέστησε, καὶ πόσον δῆμον πετεινῶν ἐν τῷ ἀέρι παρεσκεύασε, τὰ μικρὰ, τὰ μείζονα· καὶ θαύμασον αὐτοῦ τῆς σοφίας τὴν ὑπερβολὴν, πῶς ἑνὶ λόγῳ τὰ πάντα παρήχθη. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα πέμπτη. καὶ εἶπεν ὁ Θεός· (Γεν. α. κδ.) ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα, καὶ ἑρπετὰ, καὶ θηρία, καὶ πᾶν κτῆνος κατὰ γένος καὶ καθ' ὁμοιότητα. ὢ τῆς μεγίστης σοφίας· ὢ τῆς ἀνεκδιηγήτου ἀγαθότητος. πάντα τὰ κτήνη καὶ τὰ θηρία ἐν ῥιπῇ ὀφθαλμοῦ ἐποίησε, λέοντας, καὶ δράκοντας, καὶ ἄρκους, καὶ βοῦν, καὶ ἵππον, καὶ ὅσα τοῖς ἀνθρώποις πρὸς ὑπηρεσίαν περισπούδαστα καὶ ἀγώγιμα. ὁρᾷς τοῦ δημιουργοῦ τὴν σύνεσιν; πάντα ἐποίησεν ἐν ἓξ ἡμέραις, φῶς, οὐρανὸν, γῆν, θάλασσαν, ἥλιον, σελήνην, ἄστρα, ὄρη, βουνοὺς καὶ πεδιάδας, θηρία καὶ κτήνη, ἰχθύας, κήτη, τὰ ἐν τῇ θαλάσσῃ, τὰ ἐν τῇ χέρσῳ. ὅθεν τιμιωτέραν βουλὴν καὶ ἔργον μέγιστον θέλων κατεργάσασθαι ὁ πατὴρ τῶν φώτων, ὁ ὢν, καὶ ὁ ἦν, ὁ νοῦς, ὁ ἄναρχος, ὁ ἀγέννητος πρὸς τὸν μονογενῆ, ὁ γεννήσας πρὸς τὸν ἐξ αὐτοῦ γεννηθέντα ἀρρεύστως, τὸν υἱὸν, τὸν λόγον, τὴν σοφίαν τὴν ἀκατάληπτον, θεοπρεπῆ καὶ μυστικὴν βουλὴν ἐπεισάγει λέγων· Ποιήσωμεν ἄνθρωπον (Γεν. α. κϛ.) κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. (Γεν. β. ζ.) καὶ ἵνα μὴ δείξῃ τὸ πνεῦμα τὸ ἅγιον ἀλλότριον τῆς δημιουργίας, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. εἶδες ἐξαίρετον πλάσμα τῆς τοῦ Θεοῦ δημιουργίας; εἶδες βασιλέα τῆς κτίσεως καθεστῶτα τὸν Ἀδάμ; εἶδες τιμὴν ὑπερβάλλουσαν, τὸν ἐν τῇ χειρὶ δημιουργηθέντα; μάθε αὐτοῦ καὶ τὰ χαρίσματα, ἃ παρέσχεν αὐτῷ ὁ Θεὸς μετὰ τῆς πλάσεως. Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, (Γεν. β. η.) καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε. καὶ ἐξανέτειλεν ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι καλὸν καὶ πονηρόν. βαβαὶ τῆς τιμῆς τοῦ Θεοῦ τῆς εἰς ἡμᾶς γινομένης· βαβαὶ τῆς φιλανθρωπίας, ἧς ἐπεδείξατο τῷ γένει τῶν ἀνθρώπων· βαβαὶ τῶν ἀρρήτων ἀγαθῶν, ὧν μετέσχηκεν ὁ Ἀδάμ. οὐ γὰρ ἠρκέσθη ἡ ἄφατος αὐτοῦ κηδεμονία. ἐκ τοῦ μὴ ὄντος αὐτὸν ἐποίησεν· ἐκ χοὸς βασιλέα τῆς κτίσεως ἐχειροτόνησεν· ἀπὸ γῆς ὑπέρτιμον ἀγγέ-

λοις ἀνέδειξεν· ἐκ τῆς ἀψύχου ἔμψυχον ἴνδαλμα ἐπεισήγαγε. ποίαν ἀρετὴν ἐπεδείξα-
το ὁ Ἀδάμ, ὅτι τοιαύτην ἀμοιβὴν αὐτῷ ἐχαρίσατο; ποίους ἀγῶνας καὶ ἱδρῶτας ὑπέ-
μεινεν, ὅτι τοιούτων στεφάνων ἐπέτυχε; ποίαν δοξολογίαν ἀνήνεγκε τῷ ποιήσαντι, ὅτι μέσον τοῦ
παραδείσου οἰκιστὴν αὐτὸν ἀνέδειξε; ποῖον ἔργον ἔνδοξον ἀπετέλεσεν, ὅτι ἄμοχθον βίον ἐπε-
τέλει; ποίαν δουλείαν ἀρεστὴν κατειργάσατο, ὅτι τοιαύτης ἀπήλαυσε δωρεᾶς; ἀλλ' ὅμως 5
ὁ φιλάνθρωπος τοιούτοις ἐκόσμησε χαρίσμασι τὸ πλάσμα· ὅθεν καὶ πρὸς τελειοτέραν
Γεν. β. κα. χαρὰν καὶ ἀγαλλίασιν, καὶ ἄλλην ἐργασίαν ἐπεδείξατο. Ἐπέβαλε γάρ, φησιν, ὁ Θεὸς ἔκστασιν
ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε. καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνέπλασε γυναῖκα. ὄν-
τως θαυμαστὰ τὰ ἔργα Κυρίου· ὄντως ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. οὐ γὰρ ἠρκέσθη τὸν Ἀδὰμ
ἀπὸ χοὸς γενέσθαι ἄνθρωπον, καὶ ἐν παραδείσῳ τῆς τρυφῆς ἀπολαύειν κελεύσας· ἀλλὰ 10
καὶ βοηθὸν αὐτῷ ἐποίησε. πόσην χαρὰν ἦν τότε εἰληφὼς ὁ Ἀδάμ, ὅτε ἐθεάσατο ἀπὸ τοῦ
ὕπνου παρακαθεζομένην αὐτῷ τὴν γυναῖκα; πόσης εὐφροσύνης αὐτοῦ ἡ ψυχὴ ἐνεπιμπλᾶ-
το, κοινωνὸν θεωρῶν τὴν γυναῖκα, καὶ ὁμότροπον καὶ ὁμόδοξον αὐτὴν καθεστῶσαν; πόσης θυμη-
δίας καὶ προφητείας ἠξιώθη ἐν τῷ θεάσασθαι τὸν Ἀδὰμ [Εὔαν] τοῖς αἰσθητοῖς ὀφθαλμοῖς αὐτοῦ
μορφὴν ἰδίαν καὶ χαρακτῆρα ἄντικρυς παρακειμένην; ὅθεν ἐν ἀδηλίᾳ τῆς ψυχῆς προεφήτευσεν 15
Γεν. β. κγ. ἀναφανδὸν τὴν ἀλήθειαν. φησὶ γάρ· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. αὕτη
κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἰδίου ἀνδρὸς ἐλήφθη. εἶδες προφήτην τηλαυγέστατον προλέγοντα
τὰ μετέπειτα γενησόμενα; εἶδες πνεύματος ἁγίου κοινωνίας * καὶ χάριτος, ἧς ἠξιώθη ὁ Ἀδάμ;
εἶδες ἐξαίρετον λόγον τὸν μετὰ πολλὰς γενεάς, καὶ ἕως τῶν ἐσχάτων βεβαιούμενον; ἀλλ' οὐκ
ἤνεγκε τὴν μεγίστην παρρησίαν καὶ πνεύματος χορηγίαν ὁ σκολιώτατος δράκων· οὐκ ἔφερε 20
τοῖς ὀφθαλμοῖς αὐτοῦ θεωρεῖν τὴν τιμὴν καὶ τὴν χάριν τοῦ πλάσματος, ἣν εἰλήφει παρὰ
τοῦ δημιουργοῦ· ἀλλ' ἅπερ ἐμελέτησε, ταῦτα καὶ κατειργάσατο. εὑρὼν γὰρ ὄργανον τῆς ἑ-
αυτοῦ σκαιωρίας καὶ κακοβουλίας, τὸν ὄφιν, συνεργὸν ποιεῖ τῆς αὐτοῦ κακίας. καὶ οὐκ ἐτόλμη-
σε πρὸς τὸν Ἀδὰμ εἰσελθεῖν, ἀλλὰ πρὸς τὸ σαθρότερον καὶ ἁπαλώτερον καὶ τῷ φρονή-
ματι, καὶ τῇ πράξει. καὶ μηδεὶς τὴν δημιουργίαν τοῦ Θεοῦ μέμψοιτο. ὥσπερ γὰρ τὸν Ἀδὰμ 25
ἐποίησεν ὁ Θεός, οὕτω καὶ τὴν Εὔαν ᾠκοδόμησε, τοῦ αὐτοῦ κεράματος, τοῦ αὐτοῦ φυράμα-
τος, τῆς αὐτῆς τάξεως, τῆς αὐτῆς ἕξεως. ἀλλ' ἡ βουλὴ τοῦ ἀντικειμένου ἐποίησε σαθρὸν καὶ
τὸ σῶμα καὶ τὴν φρένα τῆς Εὔας. ὁ γὰρ ἐκ γῆς χοϊκὸς γενόμενος ἀθάνατος, καὶ τὴν ἀξίαν τῆς
διαπλάσεως εἰληφὼς παρὰ τοῦ παντοκράτορος, καὶ ὁ τῆς ἀνθρωπίνης ἐπωνυμίας διὰ
δεσποτικῆς ἀξίας προσλαβὼν τὸ ὄνομα, καὶ ὁ μὴ ὢν ἄξιος προσηγορίας, ἀκούσας ταύτην, 30
καὶ τὴν πρᾶξιν εἰληφώς, εἰς θεότητος ἀξίαν τὸν νοῦν ἑαυτοῦ ἀνεπτέρωσε, καὶ κατὰ τοῦ πλάστου
αὐτοῦ πτέρναν ὁ ἄθλιος ἐπῆρε. καὶ ὅπως, ἄκουε. ὁ γὰρ κακόβουλος ὄφις προσελθὼν τῇ
Γεν. γ. β. γυναικί, φησι· Τί ὅτι ἐνετείλατο ὑμῖν ὁ Θεὸς ἐκ τοῦ καρποῦ τοῦ γινώσκειν καλὸν καὶ πονη-
ρὸν μὴ φαγεῖν; ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ
ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. βλέπεις, ἀκροατά, τοῦ ἐχθροῦ τὴν ἐπίνοιαν; 35
βλέπεις τοῦ πλάνου τὰ σκάνδαλα; ὁρᾷς οἷος πολύπλοκος ὤν, οἵων ῥημάτων ἐδελέασε τὴν
Εὔαν; ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἐκ τοῦ ἀπηγορευμένου ξύλου, διανοιχθήσονται ὑμῶν οἱ ὀ-
φθαλμοί, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν; ὢ τῆς κακοβουλίας τοῦ πλάνου· ὢ
τῆς ἀτιμίας, ἧς προσάγει διὰ δολίων ῥημάτων τὴν γυναῖκα· ὢ τῆς ἐνέδρας, δι' ἧς κα-
ταβάλλει εἰς ᾅδου πυθμένα τὸν εἰς ὕψος ἀναχθέντα τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ. καὶ οὐ 40
γυμνὸς προσέρχεται τῇ Εὔᾳ ὁ δόλιος, ὡς ἦν αὐτοῦ ἡ ἀξία· ἀλλ' ἐν ἐνδύματι τοῦ ὄφεως
προσομιλεῖ τῇ γυναικὶ πρὸς τὸ δελεάσαι αὐτήν, καὶ ἀκουπαθῆσαι τούτοις τοῖς ῥήμασιν
εὐπειθῶς. εἰ γὰρ ἦλθεν ὡς ἦν μεμορφωμένος, εὐθέως ἡ Εὔα ἀπεπήδα, καὶ πρὸς τὸν * ἄν-
δρα ἀπέτρεχεν. ἀλλὰ τὴν τοῦ ὄφεως μορφὴν ἐνδυσάμενος ὁ πανοῦργος, τοιούτους λόγους
πρὸς

πρὸς αὐτὴν ἐπικτήσατο. προσελθοῦσα ἅψαι τοῦ ξύλου, οὗ ἐνετείλατο ὑμῖν ὁ Θεὸς μὴ
φαγεῖν. πρόσεχε εἰς αὐτό. ὡραῖον εἰς ὅρασιν τοῖς ὀφθαλμοῖς σου πρόκειται, καὶ καλὸν
εἰς βρῶσιν τῷ στόματί σου γενήσεται. ἰδοὺ νῦν φοβερὰ τοῖς θηρίοις καὶ τοῖς πετεινοῖς καθέ-
στηκας· φοβερωτέρα μετὰ τὴν γεῦσιν αὐτοῖς ὀφθήσῃ. ἀρτίως μορφὴν ἀνθρωπίνην σε πε-
ρικειμένην θεωροῦσι· νυνὶ δὲ γευσαμένη τοῦ ξύλου, θεότητος μόρφωσιν περιβαλήσῃ, καὶ ἔσῃ
γινώσκουσα καλὸν καὶ πονηρόν. οὐδὲν ἀπὸ τῶν ὀφθαλμῶν ὑμῶν ἀποκρυβήσεται, οὐδὲ ἐκ
τῆς ἀκοῆς ὑμῶν τι λήθη παραδράμῃ· ἀλλὰ πάντα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα ἐν ὑμῖν γενή-
σεται εὔδηλα καὶ φανερά. εἶτα δελεάζεται τοῦ πλάνου τοῖς λόγοις ἡ γυνή. ἄρχεται τὴν
ἐπαγγελίαν τοῦ ὄφεως ἐν τοῖς στέρνοις ἐγγράφειν, καὶ κατὰ τοῦ πλάστου ἐπαίρειν πτέρναν. εἶτα
πρόσεισι τῷ ἀνδρὶ τοιαῦτα ἀπαγγέλλουσα τὰ πικρότερα χολῆς ῥήματα, καί φησι· τί ὅτι
ἐνετείλατο ἡμῖν ὁ Θεὸς τοῦ μὴ φαγεῖν τοῦ ξύλου τούτου; ᾗ δ' ἂν ἡμέρᾳ φαγώμεθα, διανοι-
χθήσονται ἡμῶν οἱ ὀφθαλμοί; καὶ ἐσόμεθα ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν. ὢ συμβου-
λίας κακίστης· ὢ λόγοι χολῆς πικρότεροι. οὐχ ἑώρακε τοῖς ὀφθαλμοῖς αὐτῆς τὸ ἀληθινὸν
φῶς; οὐχ ὑπήκουσε τοῖς ὠσὶν αὐτῆς τῆς ζωῆς τὴν ἀκρόασιν; οὐκ ἐγεύσατο τῷ στόματι
τὴν γλυκύτητα τοῦ φιλανθρώπου; οὐκ ἐψηλάφησε ταῖς χερσὶν αὐτῆς τοῦ φωτὸς τὴν
πύλην; παρὰ τῆς συναφείας, ξένον τὸν ἄνδρα τοῦ Θεοῦ ἐποίησε· παρὰ τῆς ἐνοικήσεως, πένη-
τα τὸν βασιλέα καθίστησι· παρὰ τῆς τεκνογονίας, τοῖς τέκνοις τὴν κατάραν ἐπικτήσατο· παρὰ τοῦ
τίκτειν υἱοὺς καὶ θυγατέρας, ἐξορίαν τοῖς ἐκγόνοις ἐπεισήγαγε· παρὰ τῆς συμβιώσεως τοῦ ἀνδρός,
ξένον τοῦ παραδείσου αὐτὸν ἐποίησεν. ὢ τῆς κακίας· ὢ τῆς ἀφροσύνης· ὢ τῆς ἀπάτης. πείθει τὸν
ἄνδρα τοῖς λόγοις αὐτῆς, καὶ λαβοῦσα ἐκ τοῦ καρποῦ προσφέρει τῷ ἀπατηθέντι. κατάγει
εἰς ᾅδου πυθμένα τὸν ὑψηλὸν θηρίοις καὶ πετεινοῖς φαινόμενον· καταβάλλει τὴν φρέ-
να τὴν πάντως τῶν ὑπὸ τῶν οὐρανῶν ἀκεραιοτέραν· σβεννύει τὸ φῶς τῶν ὀφθαλμῶν τῶν
καθ' ἑκάστην τὸν Θεὸν ὁρώντων· ἐμφαίνει δειλίαν ταῖς φρεσὶ τοῦ συνεχῶς Θεῷ ἐντυγχάνον-
τος· παραλύει τὰς χεῖρας τὰς εὐλογησάσας τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τῆς γῆς, καὶ
τούτοις τὴν ἐπωνυμίαν ἐπιθησάσας. γέγονεν ὁ βασιλεὺς πένης, ὁ πλούσιος προσαίτης, ὁ φιλι-
κὴν συντυχίαν τῷ Θεῷ διαλεγόμενος, ὡς κλέπτης ὑπὸ δένδρον κρυπτόμενος· ὁ ἄρ-
χων, οἰκέτης· ὁ καθαρὸς τῇ καρδίᾳ, ῥερυπωμένος ὅλος· ὁ τῇ ψυχῇ ὑπέρλαμπρος σκοτει-
νὸς καθίσταται· τὸν ὡς ἥλιον λάμποντα, ἐζοφωμένον ἅμα, τὸν φοβερὸν τοῖς δαίμοσιν, ὡς
παίγνιον προκείμενον, τὸν ἐλεύθερον πλασθέντα, ὡς δοῦλον κρυπτόμενον, τὸν ἔνδοξον καὶ ἔντι-
μον, ὡς ἄδοξον καὶ δυσειδῆ κατακείμενον. δεῦρο, φιλακροάμονες, ἀνακεφαλαιώσαντες τὴν ἱ-
στορίαν ταύτην, ἴδωμεν τῆς γραφῆς τὴν ἄβυσσον, τὸν εἱρμὸν τῆς διηγήσεως ἐμφαίνοντες.
Καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν εἰς βρῶσιν, καὶ ὅτι ἀρεστόν ἐστι τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν
ἐστι τοῦ κατανοῆσαι. καὶ λαβοῦσα ἡ γυνὴ τοῦ καρποῦ αὐτοῦ ἔφαγε, καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ
αὐτῆς, καὶ ἔφαγον οἱ δύο. ὁρᾷς τὴν φωνὴν θάνατον προξενοῦσαν; ὁρᾷς τὴν φωνὴν εἰς ᾅδην
ἐκπέμπουσαν; ὁρᾷς γεῦσιν παραδείσου ποιοῦσαν ξένον τὸν μεταλαμβάνοντα; καὶ μηδεὶς τῶν
ἀκεραιότερον ἐχόντων τὸν νοῦν τῷ ξύλῳ τὴν μέμψιν προσαγάγοιτο, ἀλλὰ τῷ μεταλαβόντι.
ὥσπερ γάρ τις βασιλεὺς στρατιώτῃ αὐτοῦ παραγγείλας μὴ εἰσελθεῖν τινα τῶν ἀρχόντων ἔν-
δοθεν τοῦ βασιλικοῦ κοιτῶνος, εἰ μὴ αὐτὸς προστάξῃ τοῦτο, καὶ μυστήριον αὐτῷ διαγγείλας μη-
δένα τῶν ἔξωθεν αὐτοῦ μαθεῖν πλὴν αὐτοῦ μόνου, ἐκείνου δὲ ἐξελθόντος, κατάδηλον ποιή-
σῃ τοῦτον τὸν λόγον, οἷς ἂν θέλῃ καὶ βούληται· εἰπέ μοι, ὁ τοιοῦτος οὐχ ὑποίσει δίκην, ὅτι
βασιλικοῦ κατεφρόνησε κράτους; τοιοῦτο καὶ ἐπὶ τοῦ Ἀδὰμ ἐκαινουργήθη. πάντα δέδωκεν
αὐτῷ ὁ Θεὸς εἰς βρῶσιν καὶ ἀπόλαυσιν, τὰ φυτά, τοὺς καρπούς, τὰ ὕδατα, τοῦ παραδείσου
τὴν τερπνότητα, τὸν ἥλιον, τὴν σελήνην καὶ τοὺς ἀστέρας· ἑνὸς δὲ μόνου ξύλου δέδωκε φυ-
λάττειν, ὑπόδειγμα δεσποτικὸν εἰκονίζων καὶ ἐντολὴν πρὸς ὑπακοὴν τοῦ πλάστου. αὐ-

Marginalia: γ. ἰ. ἰ (line 5); Χωρὶς λα-λήμης, (line 26); Χιλιάχῳ (line 30); Γεν. γ. ς. (line 32)

τὰς δὲ μήτε τύπον τῶν χαρισμάτων ἐντὸς γενόμενος, μήτε τῆς ἀξίας τὴν παραβολὴν τιμήσας, μήτε τοῦ κράτους αὐτοῦ τὴν ἐλευθερίαν φυλάξας, τῷ παρανόμῳ καὶ ἐχθρῷ τῆς ἀληθείας ἐπακροασάμενος, καὶ ἥψατο τὴν παρακοήν· καὶ γέγονεν ὁ ἀθάνατος θνητός, ὁ ἄρχων τοῦ παραδείσου γυμνὸς τῆς τούτου οἰκήσεως, ὁ τρέφων τῆς ἀληθείας ἐνδύων τῶν δαιμόνων ἐπίχαρμα· γέγονεν ὁ πνεύματος ἁγίου ἐμπεπλησμένος πνεύματος πονηρίας πεπληρωμένος, 5 ὁ προφητείας ὄντως ἠγλαϊσμένος μηδὲ ἑαυτὸν γνωρίζων ὁποῖος ἦν, ἀπὸ τῆς παθείσης τῆς παρακοῆς λοιπὸν τῆς ψυχοφθόρου. θεασάμενοι δὲ ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ὅτι γυμνοὶ ὑπάρχοι, διὰ τῆς παραβάσεως ἐγνώρισαν τὴν γύμνωσιν αὐτῶν. ὅτε τὴν θεοκόσμητον στολὴν τῆς ἀθανασίας ἦσαν ἠμφιεσμένοι, τὴν ἑαυτῶν γύμνωσιν οὐχ ἑώρων· ὅτε δὲ ἦλθεν ἡ παράβασις, καὶ ἐπληρώθη τὸ ἔργον τῆς παρακοῆς, τότε ἐθεάσαντο τὴν ἀσχημοσύνην αὐτῶν. Εἶτα 10

Γεν. γ. η. ἤκουσαν, φησί, τῆς φωνῆς Κυρίου περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ. περιῃρέθη τῆς παρρησίας ἡ πρόφασις. ἦλθεν ἡ παράβασις, καὶ κρύπτονται ἀπὸ τοῦ πάντων [illegible]τορος. τοιοῦτοι εἰσὶν οἱ ἐν ἁμαρτίαις περιβεβλημένοι. ὅταν γάρ τις πορνεύσῃ, ἢ μοιχεύσῃ, καὶ ἐξέλθῃ ἐκ τῆς θύρας τῆς πόρνης, καὶ ἀπαντήσῃ κἂν ἄνδρα, κἂν γυναῖκα (συντυχίας ἰδίας αὐτῷ διηγουμένους, 15 ὁ ποιήσας τὴν ἁμαρτίαν νομίζει, ὅτι ἡ συντυχία δι᾽ αὐτὸν καθέστηκε, καὶ ἐρυθριᾷ καὶ ἐντρέπεται), τῆς ἁμαρτίας αὐτὸν ἔνδοθεν διελεγχούσης. τοῦτο πέπονθε καὶ ὁ Ἀδὰμ καὶ ἡ Εὔα. πολλάκις γὰρ τοῦ Κυρίου περιπατοῦντος ἐν τῷ παραδείσῳ, οὐδέποτε αὐτὸν ᾐδέσθησαν, ἢ ἐνετράπησαν· ἀλλ᾽ ὅτε ἀπετελέσθη τὸ ἔργον τῆς ἁμαρτίας καὶ τῆς παρακοῆς, τότε κρύπτονται ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ ἐφορῶντος, κερδαίνειν τι προσδοκῶντες. ἀλλὰ ματαίαν αὐτοῖς καθέστηκεν ἡ φρόνησις αὕτη. 20 διὸ ὡς μὴ ἔχοντες παρρησίαν ἢ ἀπολογίαν πρὸς τὸν κρυφιογνώστην, αὐτὸς ὁ ἐτάζων καρδίας καὶ νεφροὺς φησὶ πρὸς τὸν Ἀδάμ·

Γεν. γ. θ. Ἀδάμ, ποῦ εἶ; πρόφασιν ἀπολογίας αὐτοῖς χαριζόμενος. ποῦ εἶ; ἰδοὺ καὶ τοῦ ξύλου ἔφαγες, καὶ τῆς ἐπιθυμίας οὐκ ἐπέτυχες· ἰδοὺ καὶ τὴν παράβασιν ἐποίησας, καὶ τῆς θεώσεως ἐξέπεσας. Ἀδάμ, ποῦ εἶ; ὁ δέ, Τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ, καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. ὁρᾷς τῆς ἁμαρτίας τὴν 25 ἐντροπήν; ὁρᾷς τῆς παραβάσεως τὴν αἰσχύνην; ὁρᾷς τὸ δικαστήριον τὸ ἔνδοθεν γεγενημένον τῷ Ἀδὰμ καὶ κατηγοροῦν τὴν αὐτοῦ ἐκ τοῦ Θεοῦ ἀλλοτρίωσιν; καὶ εἶπεν ὁ Θεός· τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες; ἀφῆκας ἐμὲ τὸν πλάσαντα, καὶ τῷ ἐχθρῷ προσῆλθες; εἴασας ἐμὲ τὸν δημιουργήσαντα, καὶ τῷ πλάνῳ συγκατέθου; ἐγώ σοι ἐνετειλάμην τοῦ μὴ φαγεῖν, καὶ σὺ τῷ 30 διαβόλῳ σύμβουλος γέγονας; Καὶ εἶπεν ὁ Ἀδάμ· ἡ γυνή, ἣν ἔδωκας μετ᾽ ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. ὢ πρόφασις εὔλογον μὴ ἔχουσα· ὢ ἀπολογίας μὴ ὠφελούσας τὸν λαλοῦντα· ὢ λέξεως πικρᾶς μὴ διασωζούσης τὸν ἐγκαλοῦντα. τὴν γυναῖκά σοι ἔδωκα βοηθόν, οὐκ αὐθεντοῦσαν· συνεργόν, οὐ δέσποιναν· ὁμόγνωμον, οὐ διδάκτειραν· σύζυγον, οὐκ ἄρχουσαν· ὑποχείριον, οὐχ ὑψηλοτέραν· συγκύπτουσάν σοι, οὐ 35 κατακρατοῦσάν σου. ὅθεν, ὡς τῷ ἐχθρῷ ἀκροασάμενος, καὶ ἐμοῦ παρακούσας, δέχου τελείαν τὴν ἐπιτίμησιν, ἣν οὐ παρασαλεύσουσι μακροὶ αἰῶνες, ἣν οὐδεὶς ὑπερβήσεται τούτου ἰδὼν ὅρους, ἣν ὁ σῶμα φορῶν καὶ ἐλθὼν εἰς τὸν κόσμον οὐ περάσει τοῦτο τὸ πέλαγος. ὅρα Ἀδάμ·

Γεν. γ. ιζ. Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις αὐτὴν φαγῇ πάσας τὰς ἡμέρας 40 τῆς ζωῆς σου. ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ. ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ὢ τῆς κατάρας ταύτης τοῖς ὁρατοῖς καὶ ἀοράτοις τρέμειν ποιησάσης· ὢ τῆς λέξεως, ἣν οἱ ἄπειροι αἰῶνες οὐ παρεσάλευσαν· ὢ τῆς ἐπιτιμήσεως, δι᾽ ἧς ὁ πολυχρόνιος κόσμος αὐ-

τὴν

τὴν οὐκ ἐπαλαίωσεν· ὢ τοῦ ῥήματος, ὃ βασιλεῖς καὶ ἄρχοντες, πλούσιοι δὲ πένητες φρίττουσι καὶ δεδοίκασι. Καὶ ἐξέβαλε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ καὶ τὴν γυναῖκα αὐτοῦ ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. καὶ ἔταξε Κύριος τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν φυλάσσειν τὸν Ἐδὲμ παράδεισον, ἀδιάβατον ταύτης τηροῦσαν τὴν εἴσοδον, ἵνα μή τις τὴν σάρκα φορῶν καὶ τὴν παχύτητα τοῦ σώματος περικείμενος διέλθῃ ταύτην τὴν πύλην. καὶ τὸ δεσποτικὸν ῥῆμα γέγονεν αἰώνιον ἔργον, καὶ ἡ ἀπόφασις αὕτη θάνατον εἰς τὸν κόσμον εἰσήγαγε. καὶ βασιλεῖς ταύτην τὴν φωνὴν δεδοίκασι, καὶ ἄρχοντες τρέμουσι τὸ ῥῆμα τοῦτο· καὶ πλούσιοι τὴν ἀπόφασιν ταύτην ἐγκεῖνται, καὶ πτωχοί, ὡς χρέος, τοῦτο ἐκδέχονται· δὲ πάντες βροτοί, ὡς τῆς φύσεως μετοχοί, τὸν θάνατον ἐκδέχονται. τί γὰρ ἔπραττεν ὁ Ἀδὰμ ἔξω τοῦ παραδείσου καθήμενος; ἦν σκάπτων μετὰ κλαυθμοῦ, ἐργαζόμενος μετὰ στεναγμοῦ, ἱδρῶτι περιρρεόμενος πολλῷ, ἀχθοφορῶν, τοῦ ἡλίου τὸν καύσωνα μὴ φέρων, πηγνύμενος τῷ τῆς νυκτὸς παγετῷ· καὶ κλαίων οὐκ ἐπαύετο, ἐννοῶν οἵας τρυφῆς ἐστερήθη. στεναγμοῖς ἐκέχρητο ἐκ κατωτάτου στήθους, λόγοις ὀδυνηροῖς ἐξηραίνετο τὸ στόμα αὐτοῦ. δὲ πρὸς τὴν Ἐδὲμ τοὺς ὀφθαλμοὺς ἀναπετάζων, τὴν κάραν κινῶν ὧδε κἀκεῖσε, γοερῶς ἀπωδύρετο, καὶ ἐν κλαυθμῷ ἀπαραμυθήτῳ ἔκραζε φωνῇ μεγάλῃ· ὢ πόσων ἀγαθῶν τῶν σῶν ἠλλοτριώμαι, πανόλβιε παράδεισε; ὢ πόσης εὐφροσύνης ἐνεπίμπλατό μου ἡ ψυχὴ θεωροῦντός σου τὸ κάλλος; ὢ πόσης ἀγαλλιάσεως ἀπήλαυον ἔνδοθεν σου καθήμενος; πῶς ηὐφραινόμην ἐκ τῆς ὀσμῆς τῶν ἀνθέων σου; πῶς παρέκειτό μοι ἡ τράπεζα ἡ ἄμοχθος; πῶς ἀνέβλυζέ μοι ὁ κρατὴρ ὁ ἀείζωος; πῶς ἐνέδυνέ μου τὸ πνεῦμα ἡ τῶν ἀγγέλων πολιτεία; πῶς περιέλαμπέ με τὸ φῶς τὸ ὑπέρλαμπρον; πάντα τὰ ποιήματα ὡς βασιλεῖ τὴν τιμήν μοι προσέφερον· πᾶσι τοῖς θηρίοις φοβερὸς καθιστάμην· πᾶσι τοῖς πετεινοῖς, οἷς ἤθελον, προσέταττον· πᾶσα ἡ κτίσις ὡς δεσπότην προσέβλεπεν. ἀπηλλοτριώμαι τούτων, ὡς παραβάτης· ἐξωρίσθην τῆς τρυφῆς σου, ὡς ἀνδράποδον ἐδιώχθην τῆς χώρας σου, ὡς παράνομος ἀπηλάθην τῆς κατοικίας σου, ὡς δραπέτης. τί κλαύσω πρῶτον; τὴν στέρησιν τοῦ κάλλους σου; τὴν χαρὰν τὴν ἄληκτον; τὴν ἀμέριμνον ζωήν; τὴν ἀκήρατον δόξαν; τῶν ἀγγέλων τὴν ἀλλοτρίωσιν; τὴν τῶν ἀρχαγγέλων στέρησιν; τῆς βασιλείας τὸ κλέος; τῶν δένδρων σου τὴν εὐπρέπειαν; τοῦ φωτός σου τὴν λαμπαδουχίαν; τὴν μαρμαρυγὴν τὴν ἀκήρατον; τὴν γύμνωσιν, ἣν περίκειμαι; τῆς ἀσχημοσύνης τὰ λείψανα; τὸν ὀνειδισμὸν τῶν ἀγγέλων; τῶν θηρίων τὴν ἀνυποταξίαν; * τοῦ Θεοῦ τὴν φιλανθρωπίαν; τοῦ πνεύματος τὴν ἀλλοτρίωσιν; * ποῖον κοπετὸν κόψομαι; ποῖον κλαυθμὸν θρηνήσω; ποίαν ταπείνωσιν ἀσπάσομαι, καὶ ποίαν τραγῳδίαν ἄρξομαι; ποίαν ὀδύνην καταπαύσω; τὴν ἀρτίως παρεσῶσαν; τὴν μετὰ ταῦτα; τὴν ἐν τοῖς καταχθονίοις; τὴν ἐν ἱδρῶτι τοῦ προσώπου; τῶν ἀκανθῶν τὴν βλάστησιν; τῆς γῆς τὴν ἐπιτίμησιν; * οὐ φέρω τῆς λύπης τὰ λείψανα· οὐ φέρω τοὺς στεναγμούς· οὐ φέρω ἀπέναντι τῆς τρυφῆς σου καθήμενος βλέπειν σε. ξένος γὰρ γέγονα τῆς σῆς διατριβῆς· ξένος τῆς σῆς κατοικίας· ἀλλότριος τῆς ἀιδίου ἀπολαύσεως· ξένον ἐμαυτὸν κατέστησα τοῦ Θεοῦ μου ἑκουσίᾳ βουλῇ. ξένος ἀπὸ τοῦ νῦν γενήσομαι τῆς σῆς θέας· οὐκέτι σου τὴν τρυφὴν θεωρῶ· οὐκέτι τῆς μακαριότητός σου ἡδυνθῶ· οὐκέτι σου τῆς θέας ἀπολαύσω· οὐκέτι τῆς μαρμαρυγῆς σου ἐλλαμφθῶ· οὐκέτι τῆς σκηνώσεώς σου ἐντὸς γενήσομαι. πάντα στεναγμοὶ γέγονε· πάντα μοι παρῆλθον ὡς σκιά· πάντα διέβη ὡς ὄναρ· πάντα ἠφανίσθησαν ὡς ἀνύπαρκτα ἀπὸ τῶν ὀφθαλμῶν μου. Εἰ δύνασαι, κἂν σὺ παρακάλεσαι τὸν πλάστην, ὅπως μὴ χωρισθῶ τῆς συναυλίας σου· κατάκαμψον τὰ δένδρα σου, δὲ προσπεσοῦ τὸν εὔσπλαγχνον· τῷ ἤχῳ σου τῶν φύλλων ἀνάκραξον ἐν ἰσχύι. πανόλβιος γέγονας κελεύσματι τοῦ ποιητοῦ· μυρίπνοος πέφυκας προστάγματι τοῦ δεσπότου. παρρησίαν γὰρ ἔχεις ὡς οἶκος τοῦ Θεοῦ ἡμῶν. ἆρον, ὥσπερ ὀφθαλμούς, τῶν καρπῶν σου τὰ εἴ-

Γεν. γ. κδ.

δη, καὶ ὥσπερ στόμα εὔλαλον, τὴν τῶν φυτῶν εὐωδίαν· ἵνα μείνῃς διεζευγμένος τῷ σε ἀγαπήσαντι. ἰδοὺ νῦν τὸ στόμα μου κράζειν ἐκοπίασεν· ἰδοὺ καὶ ἡ γλῶσσά μου λαλεῖν ἀπεπαύσατο· ἰδοὺ καὶ ὁ λάρυγξ μου σιγῇ καταδέδεται. ὡς παράβουλος κατακέκριμαι, ὡς ἄθλιος γεγύμνωμαι, ὡς ἄτιμος ἐκβέβλημαι, ὡς γήινος τῇ γῇ παρεδόθην. ὅθεν ἐξῆλθον, ἀναλύω· οὐκέτι σου θεωρῶ τοῦ κάλλους τὴν ὡραιότητα. Εἶτα στραφεὶς πρὸς τὴν γυναῖκα ὀνειδισμοῖς ἐκέχρητο, καὶ ἐν πικρίᾳ ψυχῆς ἀνέκραζε· τί μου τὴν ἀθανασίαν ἐτρύγησας, γύναι; τί με ὑψηλὸν ἐποίησας ταπεινόν; τί με πτωχὸν ἐποίησας ὡς προσαίτην; τί με βασιλέα τῆς κτίσεως δοῦλον κατέστησας; τί τοὺς ὀφθαλμούς μου τοὺς φωτεινοὺς ἐτύφλωσας; τί τὴν στολήν, ἣν οὐκ ἐξύφανας, ἐξέδυσας; τί με ὑψηλὸν τῇ γνώμῃ καὶ τῇ καρδίᾳ ἐποίησας ὑπόγειον; τί τὴν ἀθανασίαν μου ἐθέρισας; τί τὴν τιμήν μου ἐφθόνησας; τί τὸ κάλλος μου τὸ ἀρχέτυπον ἠμαύρωσας; τί ζωὴ προσαγορευθεῖσα θάνατός μοι γέγονας; τί τῶν ἀγγέλων ἀπαλλοτριώσασα, τοῖς δαίμοσι συγκατεσκήνωσας; τί τῆς βασιλείας στερήσασα, εἰς ἄκραν πτωχείαν κατέστησας; τί τὰ ὦτά μου τὰ τῆς φωνῆς τοῦ Θεοῦ ἀκούοντα διηνεκῶς ἀπέφραξας, ὡς ἀσπὶς βύουσα, ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων; οὐ φέρω τὴν ἐπιτίμησιν. περὶ τῆς συναφείας τὴν λύσιν ἐπιζητῶ· περὶ τῆς κατασκηνώσεως τὴν ἀναχώρησιν μελετῶ· περὶ τῆς συμπλοκῆς τὸν χωρισμὸν μετίεμαι· περὶ τοῦ διαζευχθῆναι ἀποστῆναι ἀπὸ σοῦ δυσωπῶ*. [ἄπιθι ἀπ' ἐμοῦ, γύναι. πότε τὴν γῆν ἐργάσομαι ζυγῷ; πότε τριβόλους ἀνατελεῖ μοι;] πότε σῖτον ὥριμον θερίσω; πότε ποιήσας ἄλευρον ἄρτον κατασκευάσω; πότε καθίσας ἀμερίμνως τοῦτον ἑστιάσομαι; πότε ἀνωδύνως ὑπνώσω; πότε τοῦ σώματός μου ἀφελῶ τῆς συκῆς τὰ φύλλα; πότε τὴν ἀσχημοσύνην τῆς σαρκός μου καλύψω; πότε τοῖς ποσί μου ὑποδήσομαι πρὸς τὸ μὴ κατακεντηθῆναι τὴν ἔνθεν ἀνατείλασάν μοι ἄκανθαν; πότε σκέπασμα ποιήσω πρὸς τὸ ἀποτίσαι τὸν ἱδρῶτα τοῦ προσώπου μου, ὅν μοι προεξένησας ἐξ ἀφροσύνης, γύναι; σὺ ἀνεργὸς μὲν οὖσα οὐχ ὁρᾷς τὴν συμφοράν. ὅταν δὲ τέξῃς τέκνον, τότε τῆς ἀποφάσεως ἡ δίκη καὶ ἐπὶ σοὶ ἀνατελεῖ. ὅτε δὲ ἔγγονον ἀπὸ τῆς κοιλίας σου μέλλει ἐξέρχεσθαι, τότε μνησθήσῃ τῶν ῥημάτων μου. ὅτε ἐν ὀδύνῃ τοὺς πόνους ὑπομένεις, τότε τῆς ἀποφάσεως ὁ καιρός σοι ἐξανθήσει. ὅτε σε καταλαμβάνουσιν ὠδῖναι, τοῦ Θεοῦ τῆς κατάρας μνημονεύσεις. Ταῦτα καὶ τὰ τούτοις ὅμοια ὁ Ἀδὰμ πρὸς τὴν ὁμόζυγον ἐν πικρίᾳ ψυχῆς προσεφώνει. τούτοις τοῖς λόγοις καταπλήττων τὴν Εὔαν καθ' ἑκάστην ἡμέραν, ἀπαραμύθητον τὴν ᾠδὴν ἐτραγῴδει. τοῦτον τῶν θλίψεων ὁ πρωτόπλαστος κεκτημένος, τὴν θεήλατον ὀργὴν πολυμόχθως ἐξεπλήρου. ἠκούσατε, ὦ τέκνα, τοῦ Ἀδὰμ τὴν διάπλασιν; ἐγνώκατε αὐτοῦ τῆς τιμῆς τὴν ἀξίαν; ἐμάθετε αὐτοῦ τὰ χαρίσματα τὰ ἐκ Θεοῦ αὐτῷ δοθέντα; ἐθεάσασθε καὶ τῆς παραβάσεως τὴν ἔξωσιν; ἐκλαύσαμεν μετ' αὐτοῦ τὴν ἀπαραμύθητον τραγῳδίαν, ἐβλέψατε αὐτὸν ἀπέναντι τοῦ παραδείσου στυγνὸν καὶ κατηφῆ γεγονότα. στήσωμεν μέχρι τούτου τὸν λόγον, ἢ διηγησόμεθα, ἅπερ ἡμῖν ἡ Εὔα κληρονομίαν ἐχθίστην κατέλιπε ταῖς μετέπειτα γενεαῖς; ἀναγκαῖον μηκῦναι τὸν λόγον πρὸς τὸ ὑποδεῖξαι πᾶσι τὴν ἐκ τῆς κατάρας θεόθεν γενομένην ἀγανάκτησιν, πῶς εὔδηλος ἡμῖν ἡ δίκη γέγονε, καὶ τοὺς ὅρους αὐτῆς μέχρις αἰῶνος συντηρεῖ, καὶ τὸ τοῦ Θεοῦ ἀψευδὲς στόμα τὸ ἀποφηνάμενον αὐτῇ, Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου, βεβαιοτέραν τὴν λέξιν φανερουμένην ταῖς γενεαῖς ταύταις. καθάπερ γὰρ θυγάτηρ μητρὸς μορφὴν εἰκονίζει, εἴτε δι' ὀφθαλμοῦ, εἴτε διὰ προσώπου, εἴτε διὰ ἡλικίας, τοιοῦτον καὶ νῦν μέχρις αἰῶνος εἰσῆλθε κοσμικὴ δίκη, καὶ ἕως τῆς συντελείας αὐτῆς τὰ μέτρα οὐ παρασαλευθήσονται. Ἀλλὰ τὸν νοῦν ὑμῶν ἄνω πετάσαντες, πρὸς τὴν τῆς διηγήσεως ἐξέτασιν ἐμφιλοχωρήσατε· καὶ τὰ τῆς ἀληθείας διηγήματα ἐν ταῖς διανοίαις ὑμῶν περιθέντες, ἀσμένως ταῦτα ἀκούσατε. οὐ γὰρ περὶ σωφρόνων καὶ δικαίων γυναικῶν ἡμῖν τὸ θέατρον τοῦ λόγου ἀνεκάθηρεν, ἀλλὰ περὶ πονηρῶν καὶ ἀκολάστων καὶ βεβήλων ὁ λό-

Ψαλ. νζ. δ.

* *

Γεν. γ. ιϛ.

γος τὴν διήγησιν αἰνίσσηται. ποίαν τάξιν αὐτῶν ὁ λόγος παραστήσει; τῶν παρθένων, τῶν ἀνδρῶν κοίτην ἀγνοούντων; τῶν ἐν γάμῳ συνελθόντων, καὶ τεκνολογίαις μητέρας ἀναδειχθείσας; ἢ τῶν καταλιμπανομένων ἐν χηρείαις, καὶ Θεοῦ φόβον μὴ κατορθωσάντων; ἀλλὰ πάντως τὴν πρώτην ἡλικίαν δίκαιον καὶ ὅσιόν ἐστιν ἐξετάσαι, καὶ οὕτω τὰς μετέπειτα ἀξίας παρεισελθεῖν. φέρε δὴ τῶν νεανίδων τὸ τάγμα μέσον παρεισάξωμεν, τῶν δοκουσῶν εἶναι παρθένοις, καὶ ἐγκαυχωμένας τῇ ἁγνείᾳ αὐτῶν, τὸν λόγον παραστήσωμεν. τί αὐτῶν πρῶτον εἴπω; τὰ σχήματα; τὸ ἦθος; τὴν συνεσιν; πῶς ἀγρεύουσι τοὺς νέους τοῖς δικτύοις αὐτῶν καὶ τοῖς δελεάσμασι, μάλιστα τοὺς εὐπρεπείᾳ καὶ κάλλει νεωτέρους, ἔν τε ... καὶ ... τὰ λοιπά, κάλλει τῶν νεωτέρων, μάλιστα ὄντων αὐτῶν θερμῶν πρὸς τὴν ἐκκαυσιν τοῦ ἔρωτος βασταζουσαν; ἄνθρωποι γάρ εἰσι. ἀλλὰ ἐπιβλέψωμεν, ἀδελφοί, πρὸς τὴν κρίσιν ... ἀδέκαστον καὶ τὰ ἀποκείμενα ἀγαθά, εἰ καὶ νέοι καὶ εὔδρομοί ἐσμεν πρὸς τὴν ἁμαρτίαν, καὶ ἐν τούτοις τοῖς αἰσχροῖς πράγμασι τῶν ἀκολάστων γυναικῶν τούτων οὐ δικαζώμεθα. ἄκουσον δὲ τὰς ἐπινοίας τῶν τοιούτων γυναικῶν. πολλάκις γὰρ ἐν τοῖς κουβουκλείοις αὐτῶν διερχόμεναι, τόπον ἐκ τόπου διακατέχουσι, ποδὸς τῷ βαδίσματι κτύπον ἀποτελοῦσι, μειδιάσμασιν ἀσχημόνοις θορύβων καὶ κρότων τὰς ἀκοὰς τῶν νεωτέρων διηχοῦσι, καὶ μάλιστα τῶν εὐπροθυμούντων εἰς τὴν ἁμαρτίαν. ἀλλ᾽ ὅμως πάντως ὅτι ἀπατῶνται ὡς ἄνθρωποι. καὶ πάλιν ἐκ θυρίδος εἰς θυρίδα ἀναπετάσασαι τὰς χεῖρας, πάντως ὥσπερ λέαιναι ἢ δράκαιναι, μέχρι στέρνων, ἀναισχύντως αὐτὰς ἐπιδιδόασι νεύμασι σατανικοῖς ἐπιτηδεύουσαι τοξεύσει τῶν ἀκολάστων τὰς ὄψεις, χρυσίον ἐπὶ τὸ στῆθος καὶ τῶν ὠτίων καὶ τοῖς μετώποις φέρουσαι, ζωστρίοις ἐστιλβωμένοις διαζώννυνται, ἐκπαραβιαζόμεναι πάντως αἱ ταπειναί, μὴ πατοῦσαι εἰς τὴν γῆν· δακτύλια ἐν ταῖς χερσὶν ἑαυτῶν περιβεβλημέναι ἐκ μαργαριτῶν καὶ ὑακίνθων. τὴν τῆς εἰκόνος μορφὴν ἀλλοιοῦσαι, καὶ τῷ προσώπῳ περιποιούμεναι, ψευδόμεναι τὸ φυσικὸν κάλλος. ψιμυθίῳ καὶ ἑτέρῳ ἐρυθρῷ τὰς παρειὰς περιχρίουσαι· καὶ τῷ τραχήλῳ στίλβουσαι, καθάπερ ἄψυχος στήλη, ὥραν καθ᾽ ὥραν, καὶ ἡμέραν ἐξ ἡμέρας τὰς τρίχας περιπλεκούσας, καὶ μέχρι τοῦ μετώπου διαστοιβαζούσας, καὶ ἐν τοῖς ὑψηλοῖς ἐπισκιαζομένας, καὶ τὰς ὀφρύας ἐν μέλανι χρισάσας διὰ κακούθην πράξεως. καὶ ταῦτα πάντα ποιοῦσιν αἱ ταπειναὶ ἀπατώμεναι. καὶ λοιπόν, ὡς προείρηται, ὅσας ἐν παρρησίᾳ οὐ δύναιντο δελεάσαι αὗται αἱ ἀκόλαστοι γυναῖκες, κρυφίως ἑαυτῶν τὰ τόξα καὶ τὰ βέλη ἐπιτείνουσι, καθάπερ ἡ Εὔα τὸν Ἀδὰμ ἀποκρύφως ἐδελέασε. πολλὰς γὰρ αὐτῶν ἀκήκοα διά τινα μαλακὰς σανίδας περιβλεπούσας καὶ θεωρούσας τοὺς ἐπὶ τῆς πλατείας περιπατοῦντας, καὶ μάλιστα εὐμορφοτέρους ὄντας καὶ εὐειδεῖς, μικρούς τε καὶ μεγάλους· καὶ τῶν μὲν τὴν ὁδὸν καταγελώσας, τοὺς δὲ τὴν ἡλικίαν σμικρυνούσας, τῶν δὲ τὰς τρίχας καὶ τὴν στολὴν ἐμπαιζούσας, καὶ δικαζομένας, ὅτι, φασίν, ὁ δεῖνα καλλίων ἐστί, καὶ εὐμήκης, φασίν, ὥσπερ κυπάρισσος. ἄλλη πάλιν, οὐχί· ἀλλ᾽ ὁ ἄλλος ὁ δεῖνα εἰ καὶ τὴν ἡλικίαν μικρὸς ἐστιν, ἀλλ᾽ ἐντιμότερός ἐστι καὶ εὐμορφώτερος, καὶ αἱ τρίχες αὐτοῦ ὡς ὁ χρυσός. καὶ ἰδοὺ λοιπὸν ἴδετε αὐτὰς ἐν τούτῳ καθεζομένας, καὶ μετεωρισθείσας, καὶ διασκοπουμένας, καὶ ἀπατώσας ἡμέραν καθ᾽ ἡμέραν τοὺς συναρπαζομένους ἀνθρώπους, καὶ μάλιστα τοὺς νεωτέρους, τοὺς θερμοὺς καὶ ἀνιέρους. ἐγκύψατε ἐν τοῖς τάφοις, θυγατέρες Σιὼν καὶ τῆς ἁγίας κολυμβήθρας τέκνα, καὶ θεάσασθε τὴν μορφὴν τῆς εἰκόνος ἣν καλλωπίζεσθε, καὶ τὰς ἀνωφελεῖς καὶ ἀχρείους φαντασίας ὑμῶν καὶ τὰ σχήματα, πῶς πάντα κόνις, πῶς πάντα ὁ πικρότατος θάνατος μαραίνει, πῶς πάντα τέφρα, πῶς δυσωδίας πεπλησμένα· καὶ μή μου τὸ τῶν γυναικῶν σύστημα καταβοάτω ὡς αὐτὰς κατηγορήσαντος. ἐγὼ γὰρ ἔμπροσθεν τοῦ λόγου εἶπον, ὅτι οὐ περὶ συνετῶν ὁ λόγος τοὺς γέγονεν, ἀλλὰ περὶ πονηρῶν, ἀσυνέτων καὶ ἀφρόνων. πολλάκις γὰρ ἐγὼ εἶδον γυναῖκας σώφρονας καὶ ἀγαθάς, καὶ ἐν σωφροσύνῃ περιπατούσας· καὶ ὁ ἀπόστολος ἐμνημόνευσεν ἐν βίβλῳ ζωῆς. ἀλλὰ φέρε καὶ τῶν ἄλλων ταγμάτων τὸν

δῆμον

δῆμον αἰτωρήσωμεν. τριῶν γὰρ ταγμάτων εἰκόνας τῇ ὑμῶν μεγαλειότητι ἀπηγγειλάμεθα φράσαι· παρθένων, τῶν ἐν συζυγίαις, καὶ τῶν ἐν χηρείᾳ ἐξεταζομένων. ἐπεὶ τὰς παρθένους ὀλίγων ἐκ τῶν πολλῶν τῇ ἀγάπῃ τῇ ἡμετέρᾳ παρεθήσομεν. πόσας γὰρ γυναῖκας εἶδον τοῖς ἑαυτῶν συζύγοις θάνατον αἰφνίδιον προσενεγκούσας; πόσας ἐπείσαμεν τοῖς ἑαυτῶν συνεύνοις μὴ δυναμένας θανάτῳ ἀπαλλάξαι, στένοντας καὶ τρέμοντας, τὴν ζωὴν ἑαυτῶν διὰ κακοηθείας ἀφορμὴν ἐκτετηκότας· καὶ οὐδὲ ὡς τὰ ζῶα τῆς τιμῆς αὐτοῖς προσάγουσι· ἀλλὰ κἂν πλουσία ὑπάρχῃ, ἐγκαυχωμένη ἐν τῷ πλούτῳ αὐτῆς ἡμέρας καὶ νυκτὸς ζῆν ἐν εἰρήνῃ τὸν ὁμόζυγον οὐκ ἐᾷ. κἂν πένης ᾖ, διερχομένη ἀπὸ τόπου εἰς τόπον, καὶ ἐξ οἰκίας εἰς οἰκίαν, μάχας διεγείρει, θυμοὺς ἀναρριπίζει, τείχας λεσικόμους καθ' ἑκάστην προσφέρει, οὐκ ἐῶσα τῷ ἀνδρὶ αὐτῆς, οὔτε μετὰ γείτονος, οὔτε μετὰ γνωρίμου εἰρήνην ἔχειν· ἀλλὰ πάντας ὑβρίζει, πάντας δικάζεται, πάντας ἐπιτρέχει, πάντας θορυβοῦσα, καὶ ἐν ἀγοραῖς αὐτομολοῦσα ἀναισχύντως, καὶ ἐν δικαστηρίοις εὑρισκομένη, καὶ ἐν βαλανείοις πολυλογοῦσα, καὶ ἐν ἐκκλησίαις συντυχίας ἀχρείους προσφέρουσα, καὶ τοιαῦτα φλυαροῦσα· ἐγὼ τοῦ βίου μου ἡ αὔξησις, ἐγὼ τῶν δούλων ἡ παιδαγωγία, ἐγὼ τῶν ὀρφανῶν ἡ μεριμνήτρια. μάτην ὁ σύζυγός μου τὰ πρεσβεῖα φέρει. οὐδενὸς πράγματος φροντιστής μου ὑπάρχει· οὐ γινώσκει τί ἐν τῷ οἴκῳ μου ἐπιπλέω, εἰ μὴ τὸν ἄρτον ὃν ἐσθίει ἐπὶ τῆς τραπέζης, καὶ τὸ πόμα ὅπερ πίνει μὴ γινώσκων. ὢ ἀναισχυντίας προδήλου. δικαίως ἡ σοφία βοᾷ· Μὴ πρόσεχε φαύλῃ γυναικί. μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων αὐτῆς, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. ἐὰν δὲ καὶ γράμματα ᾖ μεμαθηκυῖα, διπλοῦν τὸ κακόν. πόσαι γυναῖκες ἀπέκτειναν τοὺς ὁμοζύγους διὰ γραμμάτων; προσέρχονται γὰρ ταῖς ἐκκλησίαις προφάσει προσευχῆς, καὶ ὀμνύουσι κατὰ τοῦ σώματος τοῦ ἀχράντου καὶ τοῦ αἵματος τοῦ υἱοῦ τοῦ Θεοῦ, εἶτα καὶ κατὰ τῆς αὐτοῦ μητρὸς, ἢ καὶ κατά τινος ἁγίου· πολλαὶ γὰρ καὶ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου, τοῦ μὴ ἀθετῆσαι τὰς μυσαρὰς αὐτῶν πράξεις, ἀλλὰ τὰς συνθήκας αὐτῶν βεβαίως κατέχειν καὶ ἀδιαλύτους. ὢ πανωλεθρία· τὸ φοβερὸν ὄνομα τοῦ Θεοῦ συνεργὸν ποιεῖς τῆς μοιχείας, ἄφρον καὶ ἄνους; τὴν παρθένον καὶ θεοτόκον Μαριὰμ, τὴν ἀμίαντον, συνεργάτιν καθιστᾷς τοῦ πονηροῦ σου βουλεύματος; θηρίον ἀνήμερον καὶ κόραξ ἐσθίων σάρκας ἀθῴους, τῶν ἁγίων τοὺς οἴκους λῃστήριον καὶ αἱμάτων χύσιν ἐνόχους ἀποτελεῖς; ἀλλ' ὁ ναὸς Κυρίου ὁ ἄμωμος καὶ καθαρὸς οὐ μολύνεται· σὺ δὲ τῆς ἀφροσύνης σου τοὺς καρποὺς τεύξῃ ἐν καιρῷ ἐπιτηδείῳ, κατὰ τὸν βοῶντα ἀπόστολον· Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστι. βούλεσθε καὶ ἕτερα λέξωμεν πρὸς τὴν αὐτὴν γνώμην; αὕτη γὰρ κἂν γείτονας ἔχῃ σώφρονας, ἡμέραν ἐξ ἡμέρας αὐτὰς σκοπεύει, ἐπιτηρεῖ, κἂν τινας τῶν γνωρίμων καὶ τῶν συγγόνων θεάσηται εἰσερχομένας εἰς τὰς οἰκίας αὐτῶν, αὐτὰς τὰ ἑαυτῆς κακὰ προσαναφωνοῦσα, μοιχαλίδας καὶ μαινάδας ἀποκαλεῖ, τὰς ἐλευθέρας καὶ τῷ σώματι καὶ τῷ πνεύματι. βλέπε μοι τὴν Αἰγυπτίαν τὴν καταπλέξασαν τὸν Ἰωσὴφ, καὶ τὸν ἄνδρα αὐτῆς εἰς θυμὸν καὶ μάχας ἐγείρουσαν, τελευταῖον δὲ καὶ θανατῶσαι ἠπείλει τὸν δίκαιον, εἰ μὴ ὁ ἀκοίμητος ὀφθαλμὸς προέφθασε καὶ ἐξείλατο αὐτὸν ἐκ τοῦ πικροῦ θανάτου. ἰδὲ μοι καὶ τὴν Ἡρῳδιάδα τὴν τὸν Βαπτιστὴν Ἰωάννην ἀποκτείνασαν. τί δὲ καὶ ἡ Δαλιδά; οὐχὶ τὸν ὡραιότατον καὶ δυνατὸν Σαμψὼν διὰ μοιχείαν ξυρίσασα καὶ δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε καὶ ἐθανάτωσε; διὸ Κύριος ὁ Θεὸς ἐκσπάσαι ὑμᾶς ἐκ τῆς πλάνης ταύτης καὶ τῆς αἰσχύνης καὶ τοῦ ὀνειδισμοῦ, καὶ ἐν σωφροσύνῃ διάγειν ὑμᾶς, καὶ καθαρῷ συνειδότι πρὸς τοὺς συζύγους καὶ τέκνα καὶ τοὺς δούλους καὶ τοὺς πλησίον εὐπροσηνεῖς καὶ ἱλαρὰς κατεργάσαιτο· ὅπως καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἀξιωθῆτε συμμέτοχοι γενέσθαι. ἀλλ' ἐπειδὴ καὶ τρίτον τάγμα ἐπηγγειλάμεθα λέγειν, τὸ τῆς χηροσύνης, τοῦτο καὶ ποιήσομεν, καὶ μικροῖς καὶ ταύτας λόγοις ἐπιστηρίσομεν.

Παροιμ. ι. γ.

α. Κορ. γ. ιζ.

χῆραι

χήραν γυναῖκα κατὰ τὸν ἀπόστολον, τοιαύτην χρὴ εἶναι· τεκνοτρόφον, τῶν ἁγίων τὰς μνήμας κοινωνεῖν, ξένοις τὴν διακονίαν ἐκτελεῖν, καὶ μὴ ἐπιτρέχειν ἐν ἐπιτηδεύμασι τῶν ἑαυτῆς λογισμῶν. φησὶ γὰρ περιβεβλημένη μετὰ θάνατον τοῦ ἀνδρὸς αὐτῆς χιτῶνα χηρωσύνης, καὶ κατωνευμένη πᾶσι τοῖς ἤθεσι δεικνυμένη, ἄγγελον θεῖον τῇ πράξει ὑπάρχει· καὶ κατ' οἴκους διερχομένη, ῥήματα τὰ μὴ πρέποντα προβάλλει λέγουσα· πτωχὴ ὑπάρχω χήρα καὶ ἀπερίστατος· πλοῦτος πολὺς ὑπῆρχέ μοι ἔν τε ἀγροῖς, ἐν οἴκοις, καὶ ἀνδραπόδοις καὶ ἱματισμοῖς, καὶ ὁ σύζυγός μου ἀμύητος ὢν τέχνης κοσμικῆς, αὐτὰ κατηνάλωσε. προῖκας πολυτελεῖς εἶχον ὅσα αὐτὸν ἐλάλουν, οὐχ ὑπήκουεν· ἀλλὰ τοῦ ἰδίου φρονήματος, κἂν μὴ θέλουσα, συνήγορος ὑπάρχουσα. οὐδὲν μοι κατέλιπε. καὶ ὃν ζῶντα ἠσπάζετο καὶ ἠγκαλίζετο, τοῦτον μετὰ θάνατον θρίαμβον τοῖς φίλοις καὶ τοῖς γονεῦσιν ἐποίησε. πόσους γὰρ ἑώρακα δούλους, δεσπότας διὰ φιληδονίαν κακοήθων τοιούτων γυναικῶν γενομένους· καὶ τοὺς ἐλευθέρου τοὺς παῖδας μετὰ φόβου καὶ τρόμου παρεστῶτας αὐτοῖς· καὶ τὰς χεῖρας αὐτῶν ἐν τοῖς στέρνοις αὐτῶν δεδεμένας ἔχοντας, κἂν μὴ θέλοντας, καὶ τοὺς ἀργυρωνήτους, σηρικοφόρους, καὶ χρυσοφόρους, καὶ χρυσοζώνους ὑπάρχοντας; ἠκούσατε φιλόχριστοι τοῦ λόγου τὴν ἐξήγησιν; ἐγνωρίσατε τὴν ὑπόθεσιν τῆς ἱστορίας, διηγησαμένην τῶν γυναικῶν τῶν ἀκολάστων καὶ ἀφρόνων τὰ τρόπαια. τούτους τοὺς τρόπους ἡ Εὔα ἐδίδαξε, καὶ ἡ ταύτης ἐπιτίμησις καὶ τῆς παρακοῆς ἡ λῦσις. ἀλλὰ τῶν σωφρόνων, καὶ ἐνδόξων γυναικῶν μνημονεύσαντες ὀλίγον, τὸν λόγον καταπαύσωμεν. ἰδέ μοι γυναῖκα σώφρονα τὴν Σαραφθίαν, τὴν τὸν προφήτην Ἠλίου θρέψασαν ἐν καιρῷ λιμοῦ. ἰδέ μοι τὴν Σωμανῖτιν, ἥτις ἐφιλοξένησε τὸν Ἐλισαιὲ ἐν τῷ οἴκῳ αὐτῆς, εἰς ὃν καὶ τὸν υἱὸν αὐτῆς ἀνέστησεν. ἰδέ μοι τὴν Ἄνναν τὴν τῆς στειρώσεως δεσμὰ διαλύσασαν, καὶ τέξασαν τὸν Σαμουὴλ διὰ προσευχῆς καὶ δεήσεως. ἰδέ μοι τὴν Σάρραν καὶ τὴν Ῥεβέκκαν τὴν καθαρὰν καὶ ἀμόλυντον αὐτῶν συνοίκησιν, ἥνπερ ἐπεδείξατο τῷ πατριάρχῃ. ἰδέ μοι τὴν Σωσάνναν τὴν διὰ σωφροσύνης κατακρίνασαν ἀδίκους πρεσβυτέρους τῷ θανάτῳ. ταύτας τὰς γυναῖκας ζηλώσατε· τῆς μὲν, τὸ ἀμίαντον· τῆς δὲ, τὴν προσευχήν· ἄλλης τὸ φιλόξενον, ἑτέρας τὴν σωφροσύνην, ἄλλης τὸ εὐάρεστον· ἵνα καὶ τῆς βασιλείας τοῦ Θεοῦ ἀξιωθῶμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Τιμ. ε. ι.

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ "ΥΠΕΡΑΓΙΑΣ θεοτόκου.

Λογ. ϛ.

χ. παναγίας

Ex Ms. Regio Lut. emend. ex 3. codd. Caesareis.

ΒΑσιλικῶν * μυστηρίων ἑορτὴν ἑορτάσωμεν σήμερον, "ἡ σύμπασα ἡ κτίσις" ἀγάλλεται συναχθεῖσα. οὐρανὸς δι' ἀστέρων ἐχοραγώγει τοὺς εἰς τὴν πανήγυριν σπεύδοντας· γῆ διὰ τῶν ποιμένων εἰς τὴν προσκύνησιν ἔτρεχεν· Ἡσαΐας ἔργῳ προφητείας τῷ βήματι ἐβάδιζεν, ἵνα ὑποδείξῃ τῇ πανηγύρει τὴν παρθένον· Ἱερεμίας παραιτούμενος, ἀλλ' ὅμως ἐβάδιζεν, ᾄδων τὸν δεσπότην ὑποδεικνύων αὐτῆς τῆς πανηγύρεως, λέγων· Οὗτος ὁ Θεὸς ἡμῶν· Ζαχαρίας χαρὰν φέρων τοῖς πανηγυρισταῖς κατέτρεχε, δεσποτικῆς παρουσίας ἐμφανίζων τὸ πρόσταγμα· Χαῖρε, λέγων, θύγατερ Σιών· ἰδοὺ γὰρ ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾷος, ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Μαρία καὶ Ἰωσήφ, "ὡς ἐν προθήκῃ πολύτιμον μαργαρίτην προέθηκαν· οἱ μάγοι ἰδόντες καὶ "θαμβηθέντες ἐπὶ τῷ κάλλει τῆς φύσεως, τοῦτον τῷ Ἡρώδῃ ὡς ἄξιον "βασιλέα ἐμήνυσαν. ὁ δὲ ἀκούσας, καὶ "δόλῳ κρύψας θανατηφόρον προσκύνησιν, τοῦ ἰδεῖν τὸν μαργαρίτην ἐσπούδασεν· ἀλλ' ἐπειδὴ ἀνάξιος ἦν, τοῦ ποθουμένου ἀπέτυχε. καὶ καθὼς

Ζαχ. θ. θ.

*ἄλλοι, χ. εἰς τὴν χ. συναχθεῖσα εὐφραίνεται. χ. ὡς περισσῶς δήλων ... χ. ... βασιλείας χ. δόλον κρύψας ...

ὡς ἐμπαιχθείς, ἐσκέπτετο τὴν πρᾶξιν. ἄγγελοι δὲ ἀσωμάτων φύσεων ἐν τῇ πανηγύρει χο-
Λουκ. β ιδ. ρεύοντες ἔλεγον· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ὢ τοῦ ξένου καὶ παραδόξου θαύ-
ματος. πᾶσαι γλῶτται νικᾷ τῆς ἑορτῆς ἡ ὑπόθεσις, τοῦ εἰπεῖν τὰ τῆς Μαρίας ἐγκώ-
Λουκ. α. κη. μια, πρὸς ἣν ἀποσταλεὶς ὁ ἄγγελος ἐβόα· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. ἡ δὲ θαυ-
μάσασα, πλαγίῳ τῷ ὀφθαλμῷ τὸν λέγοντα ἐπεσκόπευσε. καὶ ἐπὶ μὲν τῇ θέᾳ τῆς ὄψε-
ως ἐξενίζετο· τοὺς δὲ λόγους ἐν τῇ ἑαυτῆς διανοίᾳ ἐστάθμιζε, ποταπὸς εἴη ὁ ἀσπασμὸς
οὗτος, λέγουσα· ὦ ξένε, ξένῃ φωνῇ ξενίζεις φθεγγόμενος. ἢ ἀγνοεῖς τὴν τῶν προσηγορευθέντων
συνήθειαν, ἢ δοκιμάζεις με, εἰ εὐάλωτος τυγχάνω. τὸ μὲν, χαῖρε, πάντων τῶν προσα-
γορευόντων κοινόν· τὸ δὲ, κεχαριτωμένη, ξένον, μάλιστα ταῖς ἐπαγγελλομέναις θεοσέβειαν ἐν
σεμνότητι βίου. ὅθεν αὐστηρῷ τῷ προσώπῳ καὶ ὀργίλῳ τῷ βλέμματι ἐπαπειλησαμένη,
ἐδίωξε τὸν εἰπόντα· ἄπιθι, ἄπιθι ἄνθρωπε, ἐκ προθύρων ἐμῶν. ἐκ προοιμίων ἐλή-
λυθας, οὐκ ἀρέσκεις μοι νομίζων. συλαγωγῆσαί με θέλεις, ὡς Εὔαν τὴν ἐκ γένους
μητέρα. οὐ νικήσεις κάλλος ἐμῆς ὄψεως, οὐ συνείδησιν, ἣν ἔχω πρὸς πένητα μνηστῆρα ἐ-
μόν. πρὸ τοῦ ἐλθεῖν ὁ γέρων, τοῦ οἴκου μου ἀπόδραθι. κατάλιπε τὰ ἐνταῦθα, μὴ αἰτιά-
σηταί σε ὁ πρεσβύτης· ζηλότυπος γάρ ἐστιν. ἀναχωρεῖν συμφέρει σοι. ἐὰν γὰρ ἴδῃ σε λα-
λοῦντα, καὶ ἐπαγγελλόμενόν μοι τὰ τοιαῦτα, καὶ τῇ ἀνθρωπίνῃ φύσει ἀχώρητα, καὶ σταυρὸν
προξενήσεις θλῖψιν, καὶ ἐμοὶ πένθος καὶ δάκρυα. ὁ δὲ, τὸ, χαῖρε κεχαριτωμένη, ἀπαραιτήτως
ἐφθέγγετο. θεωρήσασα δὲ ἡ παρθένος τὴν ἐπιμονὴν τοῦ παρόντος, παρεφήπλωσε τὴν ἀκο-
ήν, ἀκριβέστερον βουλομένη μαθεῖν τοῦ εἰπόντος τὴν σπουδήν· καὶ τὸ, χαῖρε κεχαριτωμένη,
ἀκούσασα, μετὰ ταῦτα ἐξεδέχετο. ὁ δὲ ἐπάγει, Ὁ Κύριος μετὰ σοῦ. μόνον δὲ ἤκουσεν ἡ παρθέ-
νος τὸ, ὁ Κύριος μετὰ σοῦ, ἐσώτερον ἐκάλει τὸ τάχος τὸν εἰπόντα. τὸν Κύριον, φησίν, ἐνήνοχας
μετὰ σαυτοῦ, ἐσώτερον εἴσελθε, καὶ δι᾽ ὃ παραγέγονας, τὸ τάχος διήγησαι. καὶ ὁ ἄγγελος· Ἰδοὺ συλ-
λήψῃ ἐν γαστρί, καὶ τέξεις υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· οὗτος ἔσται μέγας,
Θεὸς ἰσχυρός, ἄρχων εἰρήνης, ἐξουσιαστής, πατὴρ τοῦ μέλλοντος αἰῶνος. καὶ ἡ παρθένος· οὔπω
τῶν γάμοι, οὔπω ὁ νυμφών· καὶ ἤδη ὁ τοκετός; οὐκ ἔχεις, τί πρᾶξεις. εἰ χρῄζεις τινὸς ὡς
ξένος, λαβὼν πορεύου, καὶ μὴ ἀκαίρως ὃ οὐκ οἶδας προφήτευε. ὅμως εἰ καὶ συλλήψομαι
υἱόν, πάντως ἐκ τοῦ Ἰωσήφ. καὶ ὁ ἄγγελος, μὴ ἀπατῶ. οὗτος ἔσται μέγας. καὶ ἡ παρθένος·
ποῖος μέγας; ὁ μνήστωρ μου πένης ὑπάρχει, κἀγὼ λίαν πτωχή· κτήματα οὐχ ὑπάρχει
μοι· χρημάτων ὑστερούμεθα· τῷ γένει οὐκ εὔσημοι, καὶ μετὰ ταῦτα εἰς ἀπογραφὴν ἑλκό-
μεθα. πάντως ὁ συντελεστὴς συντελέσει τὰ δίδραχμα· καὶ λέγεις, ἔσται μέγας; παῦσαι,
παῦσαι τοιαῦτα ὑπισχνούμενος. καὶ ὁ ἄγγελος· οὐ πιστεύεις τῷ ἥττονι; τὸ μεῖζον, κἂν μὴ θέ-
λῃς, κατάδεξαι· υἱὸς ὑψίστου κληθήσεται. καὶ ἡ παρθένος· ἄρτι * τοῦ οἴκου μου ἔξελθε, μὴ
ἀκούσῃ ὁ Ἰωσήφ, καὶ ἀναγγείλῃ τοῖς ἱερεῦσι, καὶ ὁ στερισκόμενος συζυγίας ἐκ παρθένων ἀποτέμῃ
τὸν τράχηλόν σου, ἐπεὶ ἦλθές μοι λαλεῖν καὶ ἐν παραθύροις κέλλης ἐμῆς. ἐξ οὐρανοῦ νυμφίον
ἐπαγγέλλῃ μοι φέρειν; καὶ ποία φύσις ἐν οὐρανῷ ἐπιθυμητική γάμου ἐστί; πάντα τὰ ἐπουράνια
πνεύματα, ἀσώματα ὑπάρχει. πῶς οὖν τὰ ἀσώματα μιγήσεται σώμασι; καὶ ὁ ἄγγελος·
ἐκ σώματος καὶ ἀσωμάτου υἱὸς ὑψίστου κληθήσεται. καὶ ἡ παρθένος· πόθεν οὖν ἕξει πατέρα,
ὡς λέγεις, ὁ ἐξ ἐμοῦ μέλλων τίκτεσθαι; καὶ ὁ ἄγγελος· τοῦτο γάρ ἐστι, παρθένε, τὸ λίαν παρά-
δοξον, ὅτι ἄνδρα οὐ γνώσῃ, καὶ τέξῃ ὃν λέγω σοι, καὶ ὀρφανὸς ὁ παῖς οὐχ εὑρεθήσεται. καὶ
ἐκ μήτρας σῆς ἐξελεύσεται, καὶ τὰ πυλώνια οὐ παραθλίψει, καὶ τὸ εἶναι παρθένος οὐκ ἀπο-
λέσεις, καὶ θηλάσεις τὸ ἐκ σοῦ γεννώμενον, καὶ ἐν ἀγκάλαις βαστάσεις τὸ βρέφος, καὶ ἐπὶ τῶν
Λουκ. α λβ. χερουβὶμ αὐτὸν καθεζόμενον βλέψῃ. τούτῳ ἐκ σοῦ γεννωμένῳ δώσει Κύριος ὁ Θεὸς τὸν θρό-
νον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασι-
λείας αὐτοῦ οὐκ ἔσται τέλος. καὶ ἡ παρθένος· ὡς οὐ θέλεις, λαλῶν πέπεικας. τὸ σὸν στόμα

σὺ κατηγορεῖ, καὶ τὰ χείλη σου γεγόνασί σοι ἔλεγχος. πρὸ βραχέος γὰρ ἔλεγες, υἱὸς ὑψίστου κληθήσεται ὁ γεννώμενος· καὶ ἄρτι λέγεις, υἱὸς Δαβίδ; τίς ὁ λόγος οὗτος; ὅταν θέλῃς, τὴν ἐμὴν διάνοιαν εἰς οὐρανοὺς ἀνάγεις· ὅταν δὲ βούλῃ πάλιν, εἰς τὴν γῆν κατάγεις. ποίῳ πιστεύσω ῥήματι; τῷ πρώτῳ, ἢ τῷ δευτέρῳ; λέγεις γάρ, δώσει Κύριος αὐτῷ τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. οὐδεὶς βασιλέων ὑπῆρξεν ἀθάνατος, οὐδεὶς δὲ τὸ κοινὸν τέλος ἐξέφυγε. πάντας μετήεισι θάνατος, ὡς δεσπότης· πάντας λογοθετοῦσιν οἱ σκώληκες. οὐδεὶς βασιλέων τὸν τοῦ ᾅδου πυλῶνα διέφυγε. πάντας κρατεῖ, πάντας ἐν τάφοις φρουρεῖ. οὐδεὶς ἐκείνου ὑπερήλλατο δίκτυα, οὐδεὶς τὰς ἐκείνου παγίδας ἐξέφυγεν· οὐ Σαοὺλ ὁ πρῶτος ἐγκαινίσας τὸ τῆς βασιλείας διάδημα· οὐ Δαβὶδ ὁ ὑποκέρατος φανερωθείς* · οὐ Σαμουὴλ ὁ τῶν βασιλέων πατήρ, ὁ δι' ἐλαίου γνωρίζων τὸν ἄξιον, καὶ ἀποθούμενος τὸν ἀνάξιον· οὐχ ὁ Σολομὼν ὁ σοφώτατος, ὁ δίχα μαχαίρας ἐλέγξας τῆς πόρνης τὰ ψεύσματα· οὐκ Ἐζεκίας, ὁ δάκρυσιν ἀνατρέψας θανάτου ἀπόκρισιν. καὶ πῶς ὁ ἐμὸς υἱὸς βασιλεύσει εἰς τοὺς αἰῶνας; καὶ ὁ ἄγγελος· οὐ τοῦτο γάρ ἐστι, Μαρία, τὸ ξένον μυστήριον, ὅτι πάντες ἀπέθανον, καὶ ὁ σὸς υἱὸς νικήσει τὸν θάνατον, νεκροὺς ἐγερεῖ, καὶ θανόντας ἀναστήσει, μνημεῖα ἀνοίξει, ταρτάρου κλεῖθρα συντρίψει, καὶ πολλὰ σώματα τῶν κεκοιμημένων ἀναστήσει. ἐκ γὰρ ἀθανάτου ὁ ἀθάνατος γεννηθεὶς θανατώσει τὸν θάνατον διὰ τοῦ οἰκείου θανάτου. διὸ μηκέτι ἀπιστήσῃς, ἵνα μὴ ὑπὸ ἔγκλημα γένῃ. περὶ οὗ γὰρ λέγω σοι, ἤδη εἰς τὴν σὴν κοιλίαν διὰ τῆς σῆς ἀκοῆς εἰσεπήδηκε, τῆς σῆς γαστρὸς ἐπιτελῶν τὰ ἐγκαίνια. καὶ ἡ παρθένος· ἵνα τούτοις συνθῶμαι, τὸ πρῶτόν με πληροφόρησον, πῶς καὶ υἱὸς ὑψίστου, καὶ υἱὸς Δαβὶδ ὁ ἐξ ἐμοῦ μέλλων, ὡς λέγεις, τίκτεσθαι καὶ ὑπάρχειν ἀπάτωρ; καὶ πῶς τοὺς δύο πατέρας ἐκήρυξας; καὶ ὁ ἄγγελος· πρῶτον μάνθανε, καὶ οὕτως ἀντίλεγε. ὅταν σοι εἴπω, υἱὸς ὑψίστου, τὸν πρὸ αἰώνων ἀπαθῶς γεννηθέντα ἐκ τοῦ πατρὸς ἐμήνυσα· καὶ ὅταν σοι εἴπω, υἱὸς Δαβίδ, διὰ τὸ σὲ εἶναι ἐκ πατρὸς Δαβὶδ εἴρηκα. λαβοῦσα οὖν τὴν πληροφορίαν, τοὺς λόγους μου φύλαττε. καὶ γὰρ ἐγὼ δοῦλός εἰμι ἐκείνου, ὃν μέλλεις τίκτειν. ταῦτα εἰπὼν ὁ ἄγγελος τῇ παρθένῳ κατέλειψεν αὐτήν. καὶ παρ' ἑαυτῆς διελογίζετο λέγουσα, ἀναγγελῶ τῷ Ἰωσήφ, ἢ κρύψω μᾶλλον τὸ μυστήριον; εἰ ἐψεύσατο ὁ ἐλθὼν τέως, καθ' ἑαυτῆς ἐρεθίζω τὴν γλῶτταν τοῦ γέροντος. καὶ ὡς ταῦτα ἐσκέπτετο ἡ παρθένος, ἡ κοιλία ὀγκουμένη προέκοπτε, καὶ τὸ βρέφος ἔνδον ἐχόρευε. Μαρία δὲ περὶ τούτου ἐσκέπτετο, καὶ μυρία παραπετάσματα τῇ γαστρὶ ἐπιβάλλουσα, τὸν Ἰωσὴφ λανθάνειν ἠβούλετο. ἀλλ' οὐκ ἠδύνατο κρύψαι πόλιν ἐπάνω ὄρους κειμένην. τὸν Ἰωσὴφ ἔνυξεν ἡ δεῖξις τῆς κοιλίας, καὶ λοξῷ τῷ ὀφθαλμῷ τῆς παρθένου τὴν κοιλίαν ἐστάθμιζε. καὶ ὑβρίζειν ἤθελε, καὶ σιωπᾶν ἠναγκάζετο· ὑβρίζειν ἤθελεν, ὡς πεπρακυῖαν τὰ τῆς παρθενίας κειμήλια· καὶ ὁ πρῶτος βίος διεκώλυε. λοιπὸν τὴν ἰδίαν ψυχὴν ταῖς θλίψεσιν ἐβασάνιζεν, οἴμοι λέγων, τί ποιήσω ἐγώ; ἡ ὄψις παρθένου, ἡ κατάστασις παρθένου, οἱ ὀφθαλμοὶ παρθένου, ὁ γέλως παρθένου· καὶ ἡ κοιλία οὐ παρθένου, ἀλλὰ μηδὲ ὁ λόγος παρθένου. οἴμοι, οἴμοι· οὐ φέρω λοιπὸν ὁρᾶν. δημηγορήσω λοιπὸν τὸ πρᾶγμα, ἐλέγξω τὴν Μαρίαν. ἡ γὰρ αἰσχύνη κοινή. βοήσω μετὰ κραυγῆς· μήπως τοῦ ἀσπόρου παιδὸς κληθῶ πατήρ. οὐδεὶς τῆς κόρης κατήγορος, ἐπειδὴ οὐκ ἔχει ὁ κυοφορούμενος τὸν παιδοσπορήσαντα. τάχα μοι καὶ τὸ σιωπᾶν καὶ τὸ λαλεῖν ἐστιν ἐπικίνδυνον. τί οὖν ποιήσω; καλέσας ἐρωτήσω, ἢ περὶ ἐρωτήσεως δείξω; ἀλλ' ἡ γραφὴ μαρτυρεῖ. ἐλέγξω μᾶλλον. μὴ οὐκ ἐποίησε; καλέσας οὖν αὐτὴν αὐστηρῷ τῷ προσώπῳ, κριτὴς τοῦ ἐν κοιλίᾳ κειμένου ἐκαθέζετο. λέγε μοι, φησί, μετ' ἀκριβείας τὸ γεγονός σοι· μὴ κρύψῃς με τὸ συμβάν σοι. οὐδεὶς ὁ παρὼν τῶν λόγων ἀκροατής. οἶδα φυλάττειν μυστήρια. οὐδεὶς μανθάνει τὸ πρᾶγμα· μόνον με πληροφόρησον. πόθεν τοῦτο ὑπάρχει τὸ ὁρώμενον ἐν σοί; τὸν τούτου πατέρα ὑπόδειξόν μοι, καὶ

ἐλευθερώ

ἐλευθερώσει τοῦ πλάσματος. συγγνώμης γὰρ ἀξιωθήσῃ, ὡς ἐν ἐπιθυμίᾳ νικηθεῖσα γυνή. καὶ ἡ παρθένος πρὸς αὐτὸν ἀπεκρίνατο· Εἰ πατέρα τούτου ζητεῖς, εὕρησις οὐδέποτε. εἰ δὲ καὶ ὀρφανὸν νομίσεις, καὶ τούτου ἀπέτυχες. καὶ ὁ Ἰωσήφ· οὐδὲν ψεύσασθαι, Μαρία, δεδύνησαι. πῶς γὰρ δύναται ὀρφανὸν μὴ εἶναι, καὶ πατέρα μὴ ἔχειν; καὶ ἡ παρθένος· Εἰ δὲ ζητεῖς τίς, Ἰωσήφ (ἀγνοεῖς γάρ) ἐὰν εἴπω σοι τὸ ἀληθές, οὐ πιστεύομαι. κοιλίαν βλέπεις, καὶ τὸν κρυπτόμενον Κύριον οὐχ ὁρᾷς. γαστέρα καταμωμεῖς, καὶ οὐ λογίζῃ τὸν ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐκ πατρὸς γεννηθέντα, καὶ ἐν ἐμοὶ αὐλιζόμενον. Εἰ εἴπω σοι, ὅτι εἶπέ μοι ὁ ἄγγελος, ἐρεῖς, ὅτι ἑαυτῇ μαρτυρεῖς, καὶ ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. καὶ ὁ Ἰωσήφ· φέρε τοὺς ἀκηκοότας, δὸς τοὺς παρεστῶτας, ἄγαγε ἀληθεύοντας μάρτυρας. καὶ ἡ παρθένος ἔφη· Εἰ ταῦτα ζητεῖς, εὕρησις οὐδέποτε. εἷς γὰρ δι᾽ ἑνὸς πρὸς μίαν ἀπεσταλμένος διὰ μόνης καταμόνας ἐλάλησεν. οὐδεὶς παρῆν, ἐπεὶ οὐδεὶς ἔμελλεν εἶναι τοῦ τικτομένου πατήρ. ὡς δὲ ἠπιστεῖτο ἡ παρθένος, ἀποσιωπήσασα λοιπὸν εἰς ἕτερον λογισμὸν ἦλθε Μαρία, λέγουσα· ἡ γαστήρ με προδίδωσιν, ὁ παῖς μου κατηγορεῖ ἐν κοιλίᾳ ἀγαλλόμενος. τί οὖν καθ᾽ ἑαυτῆς ἐπὶ πλεῖον ἐρεθίζω τὸν Ἰωσήφ; πνίξω τῇ σιωπῇ τὰ χείλη μου, καὶ πρὸς τὸν ἄγγελον ἀοράτως δικάσομαι. ποῦ τὰ νῦν ὑπάρχεις ὁ δὲ χαῖρε κεχαριτωμένη φθεγξάμενος; ἐν ποίοις τόποις αὐλίζῃ, εἰπέ, ἵνα ἐκεῖ παραγένωμαι, καὶ κρεμασθῶ τῷ τραχήλῳ σου, μέχρις ἐλθὼν πληροφορήσεις τὸν Ἰωσήφ, τίνος υἱὸς ὁ ἐμῆς κοιλίας κατώδια σκιρτοβατῶν. οὐ φέρω τὸν πρεσβύτην ὑποβλέποντα, γογγύζοντα· καὶ σὺ ποίῳ τόπῳ χρονίζεις, ἀγνοῶ. ἐλθέ, καὶ ὑπὲρ ἐμοῦ δικαιολόγησαι. ταῦτα τῆς Μαρίας λεγούσης, τὸ τάχος ὁ ἄγγελος πρὸς τὸν Ἰωσὴφ παραγίνεται, καὶ πληροφορήσας τὸ ἐκβαλεῖν τὴν παρθένον ἐκώλυε, μὴ φοβηθῇς, λέγων τῷ Ἰωσήφ, παραλαβεῖν Μαρίαν τὴν γυναῖκά σου. οὐ γάμου κοινωνίαν, ἀλλὰ θείων μυστηρίων οἰκονομίαν σοι λέγω. ἀλλὰ πατὴρ οὐχ ὑπάρχεις. ἐν γῇ πατέρα μὴ ζητήσῃς, μήτε ἐν οὐρανοῖς μητέρα. πάσης ὀρφανίας ἡ φύσις ἀπήλλακται. μόνος γὰρ ἐκ μόνου καταμόνας πρὸ αἰώνων ὑπάρχει· νῦν μόνος ἐκ μόνης, ὡς οἶδε μόνος. μὴ ὀλιγοψυχήσῃς τὴν Μαρίαν, μὴ λυπήσῃς δὲ ἐκ Μαρίας· μὴ ζητήσῃς δὲ πῶς, μήποτέ σε ἀδικήσῃ τὸ βρέφος· μὴ περιεργάσῃ τὴν θήκην, μήποτε ζημιωθῇς τὴν ἐνθήκην. ἀμόλυντον δὲ σκεῦος, ἄσυλον δὲ κειμήλιον, ἀθόλωτος ὁ ἀλάβαστρος, ἄσπορος ὁ τόκος, ἀνύμφευτος ἡ κόρη, ἀθάλαμευτος ἡ παρθένος, ἀλατόμητος ἡ πέτρα, κεκλεισμένος ὁ κῆπος, ἡ πηγὴ ἐσφραγισμένη, ἄσπορος ἡ χώρα, ἀφύτευτον δὲ κλῆμα, ἀνεπινόητος ὁ τόκος. Εἰ δὲ ἀπιστεῖς μοι τῷ λέγοντι, τὸν καιρὸν τῆς κυήσεως ἔκδεξαι. καὶ ἐὰν δακρύσῃ ἢ στενάξῃ ἡ Μαρία, ὡς αἱ λοιπαὶ γυναῖκες, ἄνθρωπός ἐστι, καὶ οὐ Θεός, ὁ ἐκ Μαρίας γεννώμενος. καὶ ὁ Ἰωσὴφ εἶπεν· Εἰ ταῦτα οὕτως ἔχει, καθὼς προέφης, ὦ ἀρχάγγελε, ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; καὶ ὁ ἄγγελος εἶπεν· Εἰ θέλεις μαθεῖν, τὸ τάχος διδάχθητι. ἐπεὶ Κύριος εἶπε πρὸς τὸν γεννώμενον, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. β α.
Ψαλ. β. ζ.

ΕΙΣ ΤΗΝ ΞΗΡΑΝΘΕΙΣΑΝ ΣΥΚΗΝ.*

Λογ. ζ.

Ex Ms. Regio Lut. emend. ex Ms. Bauar.

Ὀφθαλμὸς μὲν ὁρῶν ἢ δένδρον ἀνθοφόρον, ἢ πηγὴν ὑδροτόκον, ὑπ᾽ αὐτῆς τῆς θέας ἕλκεται, καὶ τὸν τῆς καρδίας νοῦν μεταστρέφει ἐκεῖ. ὁμοίως δὲ καὶ οὐς ἀκούων διὰ λόγων πράξεις καὶ ἱστορίας, πρὸς ἐκείνας τρέχον τὴν διάνοιαν ἀνατείνει, ὡς εἶναι τὸν τοιοῦτον τῷ μὲν σώματι ἐν τῷδε τῷ τόπῳ, τῇ δὲ διανοίᾳ, ἔνθα ὁ λόγος τῆς ἱστορίας διαγράφει τὸ πρᾶγμα. τοιοῦτόν τι καὶ νῦν ἐμοὶ συμβέβηκεν, ὦ ἀγαπητοί, ἀκούοντι τοῦ εὐαγγελίου

* ἐρρέθη … ἀγία μονή … ἡ Σ…

ἀγγελίου διηγουμένου τὰ ἐν Βηθανίᾳ ὑπὸ τοῦ Χριστοῦ τὰ κατὰ τὴν συκῆν γεγονότα πράγματα. ὧδε μὲν εἰμὶ τῷ σώματι, τῇ δὲ διανοίᾳ ἐμαυτὸν ἐκεῖ εἶναι φαντάζομαι, καὶ οἴομαι νῦν ἀκολουθεῖν τῷ δεσπότῃ Ἰησοῦ, καὶ ὁρᾶν τὴν συκῆν παρὰ μὲν τοῦ δεσποτικοῦ προστάγματος ἀνθηρὰν καὶ κατάκομον, μετὰ δὲ τὸ κυριακὸν πρόσταγμα συγηρὰν καὶ κατάξηρον.
5 Πρωΐας γάρ, φησιν, ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν ἐπείνασε, καὶ ἰδὼν συκῆν, ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ, εἰ μὴ φύλλα μόνον. καὶ λέγει αὐτῇ, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· καὶ εὐθέως ἐξηράνθη. τοῦτο γὰρ ὑμῖν ἀρτίως ἀνεγνώσθη, καὶ ἐκπλήττει με τὸ θαῦμα, μερμερίζει μου ἡ διάνοια. ὅταν γὰρ βουληθῶ τὸ τῆς ἱστορίας διηγήσασθαι πρᾶγμα, εὐθέως μετὰ τῆς ἱστορίας τὰ θαύματα πρὸς ἑαυτὰ ἐπισπᾶται. καὶ
10 ὥσπερ ὁπόταν τις ἴδῃ στάμνον χρυσῆν ἔχουσαν ἔνδον λίθοις τιμίοις φέροντας ἐν αὐτῇ ἐγγεγραμμένα μυστήρια, θέλει μὲν ὁρᾶν τὴν στάμνον διὰ τὴν τοῦ εἴδους " στιλπνότητα, ἀνθέλκεται δὲ ὑπὸ τῶν ἔνδοθεν λίθων (αὐτοὶ μὲν γὰρ καὶ τὸ τῶν λίθων περιαθρῆσαι κάλλος, καὶ τὰ ἐν αὐτοῖς ἐγγεγραμμένα μυστήρια γνῶναι) ὡσαύτως κἀγώ, ὁρῶν μὲν τὴν τοῦ γράμματος ἱστορίαν λαμπρὰν καὶ περιεκτικὴν τυγχάνουσαν, ἐκεῖ κατέχομαι τῷ νοΐ· ἀνθέλκομαι δὲ πά-
15 λιν ὑπὸ τῆς τοῦ πνεύματος θεωρίας μείζονά μοι τῆς ἱστορίας ἐπαγγελλομένης δεικνύειν τὰ θαύματα. πρωΐας γάρ, φησιν, ἐπανάγων ὁ Ἰησοῦς εἰς τὴν πόλιν, ἐπείνασεν. ὢ ἀνεκφράστου καὶ ἀνεκδιηγήτου μυστηρίου. ἐπείνασεν, ὁ τρέφων τὴν οἰκουμένην, ὁ ἐκ πέντε ἄρτων πέντε χιλιάδας εἰς κόρον ἐκθρέψας; ἐπείνασεν, ὁ ἐννοίᾳ μόνῃ τὸ ὕδωρ εἰς οἶνον μεταβαλών; ἐπείνασεν, ὁ ἐκ πηλοῦ ζῶντας ὀφθαλμοὺς ἐργασάμενος; ἐπείνασεν, ὁ ἐπὶ τῆς " ἅλμης τῶν
20 κυμάτων περιπατήσας, καὶ τοὺς πόδας εἰς ὕδωρ μὴ βάψας; ἐπείνασεν, ὁ ψυχὰς ἐκ τῶν σκηνωμάτων αὐτῶν ἐκσπάσας, καὶ πάλιν εἰσοικίσας λόγῳ; ἐπείνασε; καὶ πῶς λέγει Ἡσαΐας, Ὁ Θεὸς ὁ προαιώνιος οὐ πεινάσει, οὐδὲ κοπιάσει; Χριστὸς δέ, ὅτι Θεός, πάντη πρόδηλον τοῖς πιστεύουσι τῇ γραφῇ λεγούσῃ· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. πῶς οὖν ἐπείνασεν ὁ Θεός; ἀλλ' ἐπείνασεν ἡ τοῦ δούλου μορφή· διέθρεψε δὲ πεν-
25 τακισχιλίους ἡ ἐν αὐτῷ τοῦ δεσπότου βουλή. ἦλθεν ἐπὶ τὴν συκῆν ὁ ὁρώμενος ἄνθρωπος, ἦν δὲ πάλιν πανταχοῦ ἡ ἐν αὐτῷ νοουμένη θεότης. εἶδε συκῆν ἄκαρπον ὡς ἄνθρωπος, ἐξήρανεν αὐτὴν ὡς Θεὸς εἰπών, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. καὶ τὸ ἔργον ἠκολούθει τῷ ῥήματι, καὶ εὐθέως ἡ συκῆ ἐξηραίνετο. τὸ ῥῆμα ἀνθρώπινον, τὸ δὲ ἔργον θεϊκόν. ἀλλὰ πολυζήτητος ἡμῖν, ἀγαπητοί, ἡ θεωρία ἡ κατὰ τὴν συκῆν, παρὰ πολλοῖς μὲν ἑρμη-
30 νευομένη, ὡς ἐμοί γε δοκεῖ, οὐκ ἠκριβωμένως. πλὴν τὰς τούτων ὑποδιάξωμεν λύσεις, καὶ τὰς ἡμῖν πεπονημένας προκομίσωμεν. δυσλήπτως ὁ ἐν τῇ ἱστορίᾳ τοῦ γράμματος κείμενος νοῦς, πολλῷ τῷ βάθει ἔχων κεκρυμμένην τὴν τοῦ μυστηρίου στιλβότητα. τί γὰρ αἴτιον ἦν τῷ λόγῳ ξηραίνεσθαι τὴν συκῆν, καὶ μὴ λόγῳ ταύτην καρποφορεῖν; ὁ γὰρ ῥήματι ξηράνας αὐτήν, ἠδύνατο καὶ ῥήματι ἔγκαρπον αὐτὴν ἀναδεῖξαι. τί δὲ καὶ ἥμαρτεν ἡ
35 συκῆ, εἴποι τις ἄν, ὁπότε οὐκ ἦν αὐτῆς ὁ καιρός, Μάρκου τοῦ εὐαγγελιστοῦ λέγοντος, χειμῶνα εἶναι κατ' ἐκεῖνον τὸν καιρόν; καὶ εἰ μὴ τι ἦν μυστήριον " ἀνθρώπων ἐν αὐτῇ τελούμενον, εὑρεθήσεται ὁ Κύριος κατὰ μὲν ἕνα τρόπον ἐπαινετός, κατὰ δὲ ἕτερον μεμπτέος· ἐπαινετὸς μὲν γάρ, ὅτι λόγῳ αὐτὴν ἐξήρανε, μεμπτέος δέ, ὅτι ἀδίκως αὐτὴν κατηράσατο. ἀλλὰ δεῖ νοεῖν, ἀγαπητοί, τίνος ἔφερεν εἰκόνα ἡ συκῆ. οὐ γὰρ ἦν τὸ ὑπὸ Χριστοῦ γινόμενον πρᾶγμα, ὃ οὐκ
40 εἶχε μυστήριον ὑπὲρ ἀνθρώπων τελούμενον. ὅλως οὐδὲν ἦν παρ' αὐτοῦ γινόμενον ἔργον, ὃ μὴ σφόδρα ὠφέλιμον*, οὐδέν, ὃ μὴ πρὸς τὴν τῶν οὐρανίων παραδοχήν*. ταύτην τὴν συκῆν οἱ πολλοὶ τῶν ἑρμηνέων εἰρήκασι, τὴν τῶν Ἰουδαίων συναγωγὴν προεικασμένην εἶναι, ἐφ' ἣν ἦλθε, φησιν, ὁ Κύριος ζητῶν ἐν αὐτῇ καρπὸν πίστεως, καὶ οὐχ εὗρεν, εἰ μὴ μόνον λόγοις

Margin: Ματθ. κα. ιθ. — γαλβότητα — ἠϊάχης — Ησ. μ. η. — Ιωαν. α. α. — Μαρκ. ια. ιγ. — ὑπὲρ ἀνθρ. — *ὤν, *εἰσει τὴν τῶν

προφητῶν καὶ νόμοις καθάπερ φύλλοις κομῶσαν· διὸ καὶ ἐξήρανεν αὐτὴν λέγων, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. ἐγὼ δὲ τῇ ἑρμηνείᾳ ταύτῃ πειρῶμαι ἀντιλέγειν, ἀγαπητοί. οὐ γὰρ ἔχει οὕτως ἡ ἀκρίβεια τοῦ νοήματος, πῶς ἂν κατηράσατο ὁ Κύριος, ὁ λέγων, Εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε; πῶς δὲ καὶ τὴν συναγωγὴν κατηράσατο ἂν καὶ ἐξήρανεν, ὁ λέγων, Οὐκ ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἀπολέσαι, ἀλλὰ ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός; εἰ δέ τις ἔτι ἀντιλέγει καὶ φιλονεικεῖ, λέγων τὴν τῶν Ἰουδαίων συναγωγὴν παρεικασμένην εἶναι τῇ συκῇ ἀκριβῶς, λεγέτω, πῶς ἡ ἀπὸ ῥιζῶν ξηρανθεῖσα συναγωγή, τοιοῦτον ἔγκαρπον ἐβλάστησε κλάδον, τὸν γλυκύτατον Παῦλον. πολλοὺς δὲ καὶ ἄλλους ἐπιστρέψαντας ἔγνωμεν ἐκ τῆς τῶν Ἰουδαίων συναγωγῆς. οὐ γὰρ οὐχὶ καὶ Στέφανος ὁ λιθασθεὶς ὑπὸ τῶν Ἰουδαίων ἐξ ἐκείνης τῆς συναγωγῆς ἐτύγχανεν, Ἀκύλας καὶ Πρίσκιλλα, καὶ πολλοὶ ἄλλοι, ὧν τὸν κατάλογον τῶν ὀνομάτων νῦν διὰ τὸ πλῆθος τῶν λέξεων παραιτούμεθα λέγειν; ὅτι δὲ οὐ παντελῶς ἀπώσατο ὁ Θεὸς τὸν λαὸν τῶν Ἰουδαίων, μαρτυρείτω μοι Παῦλος λέγων· Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο. καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ γένους Ἀβραάμ, φυλῆς Βενιαμίν. οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ· ἀλλὰ γὰρ καὶ σωτηρίαν τῷ λαῷ ἐκείνῳ ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐπαγγέλλεται ἐν τῷ λέγειν· Ὅταν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. εἰ γὰρ καὶ ἐχθροὶ γεγόνασιν Ἰουδαῖοι τοῦ Θεοῦ, δι' ἡμᾶς γεγόνασιν, ἵνα τῇ ἐκείνων ἀπειθείᾳ ἐλεηθῶμεν, ὡς μαρτυρεῖ μοι Παῦλος λέγων· Κατὰ μὲν τὸ εὐαγγέλιον, φησίν, ἐχθροὶ δι' ἡμᾶς, κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας. ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις ἁγία. ζητητέος τοίνυν, ἀγαπητοί, ὁ περὶ τῆς συκῆς λόγος, τίνος ἔφερεν εἰκόνα. ἀλλ' εἰπὲ σὺ ὁ Ἀδὰμ μιμητὴς ὁ ἐν τῷ παραδείσῳ γυμνωθείς, ποίου δένδρου φύλλα λαβὼν καὶ συῤῥάψας ἑαυτῷ περιβόλαιον ὕφανας, ὄψει πῶς δικαίως ταύτην ἐξήρανεν. οὐ γὰρ οὐχὶ φύλλα συκῆς λαβὼν τὴν ἑαυτοῦ αἰσχύνην ἐκάλυπτεν; ἦλθεν οὖν ὁ Κύριος, καὶ τὴν ἔτι ἐν σοὶ ἀνθοῦσαν συκῆν, τὰ τῆς αἰσχύνης καλύμματα τῷ λόγῳ ἐξήρανεν. ἦρέ σου τὴν πενίαν, καὶ ἔδωκέ σοι τὸν πλοῦτον· ἦρέ σου τῆς αἰσχύνης καλύμματα, καὶ ἔδωκέ σοι χιονοφεγγῆ στολὴν ἐξ ὕδατος καὶ πνεύματος ὑφανθεῖσαν. ἐξήρανε τὰ φύλλα τῆς συκῆς, καὶ ἔδωκέ σοι τὰ σῦλα τῆς ψυχῆς. ποῖα σῦλα; ἃ ὁ ὄφις ἐσυλαγώγησεν ἐν τῷ παραδείσῳ, τὴν ἰσάγγελον ζωήν, τὴν τοῦ παραδείσου τρυφήν, τὴν τῆς ἀφθαρσίας στολήν. ἀλλ' ἐπανέλθωμεν πρὸς τὸ κεφάλαιον. πρωῒ γάρ, φησιν, ἐπανελθὼν ὁ Ἰησοῦς, ἐπείνασε. πρωῒ, μετὰ τὸ τὴν νύκτα τῆς πλάνης παραδραμεῖν, καὶ τὸν ὄρθρον Χριστὸν τὸ τῆς ἀναστάσεως φέγγος αὐγάσαι τῷ κόσμῳ. ὄρθρος γὰρ ὁ Χριστός, καθάπερ φησὶν ὁ προφήτης, Ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν. πρωῒ γὰρ ἐπανάγων ὁ Ἰησοῦς. πρωῒ, μετὰ τὸ τὸν σκοτεινόμορφον θάνατον τῷ φωτὶ τῆς δόξης ἀφανισθῆναι, καὶ τὰς χρυσοειδεῖς ἀκτῖνας ἐν ταῖς τῶν ἐσκοτισμένων ἀνθρώπων καρδίαις ἐκλάμψαι. πρωῒ, μετὰ τὸ τὰς θερμὰς ἀκτῖνας τῆς θεότητος ἐκπετάσαι, καὶ τὰς νενεκρωμένας ὑπὸ τοῦ διαβόλου ψυχὰς ἐκθερμᾶναι. οὐκ ἔστι γάρ, ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ. τῇ γὰρ ψυχροτάτῃ ἁμαρτίᾳ ὁ διάβολος τὰς τῶν ἀνθρώπων καρδίας ἐνέκρωσεν. ὅθεν ὁ προφήτης ἐπεύχεται λέγων· Πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου. κρυμῷ γὰρ ἀσεβείας πᾶσα ἡ ἀνθρωπότης ἐδέδετο. διὸ πάντες οἱ προφῆται ηὔχοντο πρὸς τὸν Θεὸν λέγοντες· Ἐπίστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ, τουτέστιν, ὥσπερ νότος θερμὸς ἐπιπνεύσας παγωθέντα ὕδατα εἰς τὴν προτέραν φύσιν τοῦ ὕδατος ἐπανάγει, ὡσαύτως καὶ ἡμᾶς τοὺς ἐν τῇ ἁμαρτίᾳ τοῦ διαβόλου νεκρωθέντας, ὡς νότος θερμὸς ἐπιπνεύσας ἐπὶ τὴν ἀρχαίαν φύσιν τῆς ἀφθαρσίας ἀνακαινίζει. ταύτην τὴν θερμὴν ἐπίπνευσιν τοῦ νότου ἡ καλὴ νύμφη Χριστοῦ ἐκκλησία προσκαλεῖται ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων λέγουσα·

Margin: Ῥωμ. ιβ. ιδ. — Λουκ. ιθ. ι. — Ῥωμ. ια. α. — Ῥωμ. ια. κϛ. — Ῥωμ. ια. κη. — Ὡσ. ϛ. γ. — Ψαλ. κε. β. — Ψαλ. ρκε. δ.

Ἐξεγείρου,

Ἐξεγείρου, βορρᾶ, καὶ ἔρχου, νότε. διαπνευσάτωσαν ἀρώματα. [Ασμ. δ. ις.] πρωῒ, φησιν, ἐπανάγων ὁ Ἰησοῦς. καλὸν δὲ τὸ ἐπανάγων, ἵνα σημαίνῃ, ὅτι τὸν ἐκ τοῦ παραδείσου ἐκπεσόντα Ἀδὰμ πάλιν ἐλθὼν ὁ Κύριος ἐπανάγων ἐπὶ τὴν πόλιν. νῦν ἀκούσας, μὴ κάτω περιβλέπου, ἀλλὰ πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἀνάβλεπε, πρὸς τὴν οὐράνιον χώραν· καὶ γὰρ τὸ πολίτευμα ἡμῶν ἐν οὐρανοῖς ὑπάρχει. πρωῒ ὁ Ἰησοῦς ἐπανάγων ἐπὶ τὴν πόλιν, ἐπείνασεν. ἐπείνασεν, οὐ τὴν τροφὴν τῶν ἀνθρώπων, ἀλλὰ τὴν ζωὴν τῶν ἀνθρώπων. Ἐμὸν γάρ ἐστι βρῶμα, ἵνα [Ἰωαν. δ. λδ.] ποιῶ τὸ θέλημα τοῦ πατρός μου· ἵνα πιστεύσωσιν εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. ὁ γὰρ πιστεύων εἰς αὐτὸν, καθώς εἶπεν αὐτὸς, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. πρωῒ ἐπανάγων ὁ Ἰησοῦς ἐπὶ τὴν πόλιν ἐπείνασε, καὶ ἰδὼν συκῆν ἦλθεν ἐπ' αὐτήν. εἰ γὰρ παρέδραμε τὴν συκῆν, εἶχεν ἂν ἐν τῇ συκῇ τὴν καλιὰν αὐτοῦ ὁ ὄφις θάνατον. ἀλλ' ἦλθεν ἐπὶ τὴν συκῆν, καὶ ταύτην ἐξήρανεν. ὑπὸ τὴν συκῆν ὄντα τὸν Ναθαναὴλ εἶδεν ὁ Κύριος. Πρὸ τοῦ γάρ σε Φίλιππον [Ἰωαν. α. μη.] φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. ταύτην τὴν συκῆν προϊδὼν ὁ προφήτης μέλλουσαν ἄκαρπον γενέσθαι, ἔλεγεν· Ἀναβήσομαι εἰς λαὸν παροικίας μου, διότι συκῆ οὐ καρποφορήσει. [Αμβακ. γ. ιζ.] ἐπὶ τοιαύτην συκῆν ἀνέβη ὁ Ζακχαῖος ἰδεῖν τὸν Κύριον, πρὸς ὃν ἔλεγε, Σπεύσας κατάβηθι. [Λουκ. ιθ. ε.] χαριέντως δὲ ὁ εὐαγγελιστὴς λέγει συκομορέαν τὴν ἐπὶ τοῦ Ζακχαίου, ἵνα σημάνῃ ὅτι ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς τῇ μωρίᾳ συμπλέκεται, ὅθεν τίκτεται ὁ κάκιστος μόρος. ἦλθεν ἐπὶ τὴν συκῆν ὁ Κύριος. αὕτη ἡ συκῆ εἰκόνα ἔφερε τῆς πλατείας καὶ εὐρυχώρου ὁδοῦ. πλατύφυλλον γάρ ἐστι τὸ φύλλον τῆς συκῆς, καὶ χλημῶδές ἐστιν ἡ ἁμαρτία διὰ τῆς πλατείας καὶ εὐρυχώρου ὁδοῦ ἀπάγουσα εἰς τὴν ἀπώλειαν. γλυκύτατός ἐστιν ὁ καρπὸς τῆς συκῆς καὶ γλίσχρος. γλυκεῖα ἐστὶν ἡ ἡδονὴ, εἰς ὄλεθρον ἁμαρτίας τοὺς ἰλίζοντας αὐτῇ καταρρήγνυσα. φεῦγε αὐτῆς τὴν γεῦσιν, ὦ ἀγαπητέ. γλυκεῖα γάρ ἐστιν ἐν τῇ γεύσει, πικρὰ δὲ μετὰ τὴν πρᾶξιν. Μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, [Παροιμ. ε. γ.] ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. πόρνη ἐστὶν ἡ ἡδονή. γλυκεῖα σοι ὁμιλεῖ κατὰ τὰς ἀρχὰς, λαθραίως παρεμβάλλουσα ἐν τῇ ὁμιλίᾳ τὸ πικρὸν τοῦ θανάτου. τοιοῦτος ἦν καὶ ὁ ὄφις, γλυκὺς ἐν τῷ λόγῳ, πικρὸς δὲ ἐν τῷ ἄθλῳ· γλυκὺ μὲν τὸ βρῶμα, πικρὸν δὲ τὸ πτῶμα. φεῦγε οὖν, ἀγαπητὲ, τὴν πόρνην, τὴν γλυκεῖα σοι ὁμιλοῦσαν, καὶ πικρὰ τραύματα ἐμφέρουσαν. φεῦγε τὴν ἡδονὴν, ὡς Ἠλίας τὴν Ἰεζάβελ. ἦλθεν οὖν ὁ Κύριος ἀπὸ τῶν οὐρανῶν· ἐπείνασε τὴν ζωὴν τῶν ἀνθρώπων εὑρέσθαι· εὗρε τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδὸν τοῦ βίου ἑστῶσαν· ἦλθεν ἐπ' αὐτὴν, εὗρεν αὐτὴν φύλλοις κομῶσαν, τουτέστι, δόγμασιν ἁμαρτίας αὐτὴν ἀνθοῦσαν, μὴ ἔχουσαν δὲ αὐτὴν καρπὸν θανάτου. διὰ τί; ἐπειδὴ οὐκ ἦν καιρός. τοῦτο γὰρ προστέθεικεν ὁ εὐαγγελιστής. Οὐ γὰρ εἶχε, φησι, καρπόν· οὐ γὰρ ἦν καιρός. πῶς γὰρ ἠδύνατο ἔτι θάνατον καρποφορῆσαι, Χριστοῦ παραγινομένου καὶ ἀνάστασιν τῷ κόσμῳ κηρύττοντος; οὐκ ἔτι ἦν αὐτῆς καιρὸς καρποφορεῖν θάνατον. Ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, τουτέστι, τοῦ νόμου. οἶδε γὰρ ἡ γραφὴ τὸν νόμον λέγειν Μωϋσέα, καὶ τοὺς προφήτας, οὕτως ἑτέρω. Καὶ εἶπεν ὁ Κύριος πρὸς αὐτὴν, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα· τουτέστι, πρὸ τῆς ἐμῆς παρουσίας ἐκαρποφόρησας θάνατον. [Ῥωμ. ε. ιδ.] ἰδοὺ ἐγὼ παραγέγονα, αὕτη ἡ ἀνάστασις ἐμοῦ παραγινομένου, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. καὶ εὐθέως ἐξηράνθη ἡ συκῆ, καὶ ἐπληρώθη τὸ γεγραμμένον· Κατεπόθη ὁ θάνατος εἰς νῖκος. ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; [α. Κορ. ιε. νδ.] τί δὲ ἔτι χρῆμα λέγειν ἐστὶ ὁ εὐαγγελιστὴς ἐν ἐκείνῳ τῷ καιρῷ, ἔνθα ἡ συκῆ τοῖς φύλλοις ἐκόμα; ἢ πάντως ἐπειγόμενος, ἔτι τῆς ἁμαρτίας ἀνθούσης, ἵνα τὸ διαβολικὸν χρῆμα ἐπικείμενον πάσῃ ἀνθρωπότητι ἐπιδείξῃ. πρὸ γὰρ τῆς τοῦ εἰρηνάρχου παρουσίας ποικίλοις πνεύμασι τῶν ἀνθρώπων ἐκλονεῖτο τὸ γένος, πρὸς εἰδωλολατρείας καὶ αἱμομιξίας καὶ κώμους καὶ λαγνείας ἐλαυ-

νόμενον· ἐλθὼν δὲ ὁ Κύριος ἡμῶν κατέστειλε τὰς τῶν ἐναντίων πνευμάτων ἀπειλὰς ταράττούσας τὴν τοῦ βίου τῶν παθῶν ἁλμυροφόρον θάλασσαν, καὶ τὰ ἀφροφόρα τῶν ἡδονῶν κατέσβεσε κύματα, καὶ ἐξήρανε τὴν συκῆν, τὴν τοῦ σταυροῦ πίστιν ἀνθήσας, καὶ ζωὴν πᾶσιν ἀστράψας. σταυροῦ γὰρ ῥίζαι εἰς γῆν ἐπήχθησαν, οὗ τὰ φύλλα κέρατα, καὶ τὸ ἄνθος ἀμάραντοι, καὶ ὁ καρπὸς ἀθάνατος· ὡς καὶ ὁ Δαβὶδ μέμνηται ξύλου λέγων, καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται. τούτου τοῦ ξύλου μέμνηται καὶ ἡ σοφία λέγουσα· ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς. τοῦτο τὸ ξύλον προφητικοῖς ὀφθαλμοῖς θεωρῶν ὁ Ἱερεμίας μέλλον κατὰ Χριστοῦ πλέκεσθαι, εἰς πρόσωπον τῶν Ἰουδαίων ἀνεφθέγξατο λέγων αὐτοῖς· δεῦτε, καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἐκ γῆς ζώντων. ξύλον ὁ σταυρὸς, ἄρτος δὲ σῶμα τοῦ Χριστοῦ. λαβὼν γὰρ ἄρτον ὁ Κύριος εἶπε, Τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν. ἐπὶ τοῦτο τὸ σημεῖον τοῦ σταυροῦ ἀναβὰς ὁ Κύριος ἡμῶν, καὶ τὰς χεῖρας ἐκπετάσας, τὰς ἐν τῷ ἀέρι πετομένας δυνάμεις ἐξελάσας, ἀνεμπόδιστον ἡμῖν τὴν εἰς οὐρανοὺς πορείαν εὐτρεπίζει, καὶ μακρὰν ἡμῖν τὴν πίστιν ἀπὸ γῆς εἰς οὐρανὸν διατείνας. καὶ τὸ παράδοξον ἐὰν ἀκούσητε, ἀγαπητοὶ, ἔστι τὸ δένδρον τοῦ σταυροῦ, καὶ ἐφηπλώθη ἐν αὐτῷ ἡ ἀληθινὴ ἄμπελος ἡ λέγουσα, Ἐγώ εἰμι ἡ ἄμπελος ἀληθινή. καὶ ἐγένετο μὲν τῷ διαβόλῳ ἀναδενδρὰς θανατηφόρος, ἡμῖν δὲ ἀναδενδρὰς ζωηφόρος, τὸν καύσωνα τῶν ἁμαρτημάτων ἡμῶν ἀναστέλλουσα, καὶ σκιὰν ἡμῖν ἀναπαύσεως διαρρευμένην. ὁ καθίσας ὑπὸ τὴν σκιὰν αὐτοῦ, λέγει τὸ τοῦ Σολομῶντος λόγιον· Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ γλυκὺς ὁ καρπὸς αὐτοῦ ἐν τῷ λάρυγγί μου. ἐν ταύτῃ τῇ σκιᾷ θαρρήσας ὁ μακάριος Δαβὶδ ἔλεγε, Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ. ἕως πότε, φησίν; ἕως οὗ παρέλθῃ ἡ ἀνομία. ὢ θαυμαστοῦ πράγματος καὶ μυστηρίου καινοῦ. ἡ πηγὴ ἐπὶ τὸ δένδρον ἐπέκειτο, καὶ ὁ σταυρὸς ὑπ' αὐτῆς ἐποτίζετο. νυγεὶς γὰρ λόγχῃ τὴν πλευρὰν αὐτοῦ αἷμα καὶ ὕδωρ ἐξέπεμψε, τῷ μὲν αἵματι τὸν σταυρὸν πορφυρίζων, τῷ δὲ ὕδατι ἀρδεύων αὐτοῦ τὰς ῥίζας, ἵνα καρποὺς ἀθανάτους τοῖς πιστοῖς ἀναθάλλοι. ὢ δένδρον μακάριον, ὃ βασιλεῖς τιμῶσι, καὶ ἔπαρχοι καὶ τοπάρχαι σέβονται, ἄνδρες τε καὶ γυναῖκες, καὶ πᾶσα φύσις καὶ κτίσις ἀνθρώπων φυλακτήριον κέκτηται, ὃ δαίμονες φρίττουσι, καὶ διάβολος τρέμει, οἱ ἄγγελοι ὑμνοῦσι, καὶ οἱ οὐρανοὶ εὐλογοῦσι, καὶ ἐκκλησίαι σεμνύνουσι τὸν ἐπ' αὐτῷ σταυρωθέντα Χριστόν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. η. Ψαλ. 46. ζ.

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΕΝΝΕΝΗΚΟΣΤΟΥ ΚΑΙ ΔΕΥτέρου ψαλμοῦ, τὸ, Επῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, καὶ περὶ τοῦ ἐν θαλάσσῃ περιπατοῦντος τοῦ σωτῆρος, καὶ εἰς τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, καὶ εἰς τοὺς περιπλάσους κατὰ τῆς παραβάσεως.

Ex Ms. Regio Lut.

ΕΚ τῶν ἀρτίως ἡμῖν παραναγνωσθέντων ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου τὰς ἀφορμὰς λαβόντες ἐν τῇ τῆς θαλάσσης τρικυμίᾳ, καὶ τῇ τοῦ Κυρίου θαυματουργίᾳ, καὶ τῇ τῶν ἀποστόλων ὀλιγοψυχίᾳ, εὔκαιρον λέγει ἡμᾶς τὰ τοῦ προφήτου· Επῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν· θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης. τίνες οἱ μετεωρισμοὶ τῆς θαλάσσης; ἡ τοῦ Κυρίου θαυματουργία, ὅτι νεύματι μόνῳ τὴν τραχυνομένην θάλασσαν γαληνιάσαι παρεσκεύασε. τίνες δὲ οἱ ἐπάραντες φωνὰς ἐν τῇ θαλάσσῃ ποταμοὶ, ἀλλ' ἢ οἱ μαθηταὶ

Ψαλ. 46. γ.

ταὶ τοῦ Κυρίου πάντως; ποταμοὶ γάρ, οἱ ἀπόστολοι, ὡς ἐκ τῆς ἀενάου πηγῆς Χριστοῦ προ-
ελθόντες κατὰ τὸ φάσκον ῥητόν, Ο πιστεύων εἰς ἐμέ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕ- *Ιωα. ζ λη.*
δατος ζῶντος. καὶ ὁ μὲν Κύριος θαυματουργῶν οὐκ ἐπαύετο· οἱ δὲ ἀπόστολοι τῆς δικαιοσύ-
νης οὐκ ἀφίσταντο, ἐν τῇ θαλάσσῃ κυμαινόμενοι. τὸν Κύριον γὰρ τετάρτῃ φυλακῇ τῆς νυκτὸς
5 διαβαδίζοντα τὰ νῶτα τῆς θαλάσσης κατανοήσαντες, ἔδοξαν φάντασμα εἶναι. ποῖον φάντασ-
μα; ἡ δούλη τὸν δεσπότην ἐγνώρισε, καὶ οἱ μαθηταὶ τὸν δεσπότην οὐκ ἐγνώρισαν; ἔχοντες
αὐτοῦ τοιαύτας ἀποδείξεις θαυμάτων, ἀμφέβαλλον. κατανοήσαντες αὐτὸν τὰ νῶτα τῆς θαλάσ-
σης χοροβατοῦντα; οὐχὶ αὐτὸς ἦν ὁ διὰ τῆς Μωσαϊκῆς βακτηρίας τὸν βύθιον κόλπον γυμ-
νώσας, καὶ τοὺς υἱοὺς Ἰσραὴλ κεκονιαμένῳ ποδὶ παροδεῦσαι κατασκευάσας; ἔδοξαν φάντασ-
10 μα εἶναι, καὶ ἐφοβήθησαν. οὕτως ἐφοβήθησαν φόβῳ, οὗ οὐκ ἦν φόβος. ἐφοβήθησαν γάρ, τὸν
λιμένα τῆς ζωῆς κατανοήσαντες πλησιάσαντα. πάντων δὲ φοβηθέντων ὁ Πέτρος πλησιάσας,
ἔφη πρὸς τὸν Κύριον· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με ἐλθεῖν πρὸς σὲ ἐπὶ τὰ ὕδατα. ὁ δὲ Κύριος *Ματθ. ιδ. κη.*
πρὸς αὐτόν, ἐλθέ. εἶτα πρὸς τοὺς μαθητάς, Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. οὐ φαν-
τάζω, ἀλλ' ἀληθεύω. ἐγὼ γὰρ ἡ ἀλήθεια ἐνηνθρώπησα, ἵνα τοὺς φαντάζοντας καταρ-
15 γήσω. ἐγώ εἰμι, μὴ φοβεῖσθε. τί δονεῖσθε τῇ τῶν ἀνέμων ἐμπνεύσει; οὐ περὶ ἐμοῦ ἔλεγε
τὸ φάσκον ῥητόν, Ο ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ; καὶ νῦν τοὺς ἀνέμους ἐξέβαλον, οὐχ *Ψαλ. ρλδ. η.*
ἵνα ταράξω ὑμᾶς, ἀλλ' ἵνα στηρίξω. ταῦτα τοῦ Κυρίου λέγοντος, πάλιν ὁ Πέτρος προπη-
δήσας, ὡς θερμὸς τῇ πίστει, ἀπεκρίνατο λέγων· Κύριε, εἰ σὺ εἶ ὁ Χριστὸς ὁ τοῖς ῥήμασι γνω-
ριζόμενος, καὶ τοῖς πράγμασιν ἀμφιβαλλόμενος (οὐδαμοῦ γάρ σε κατενοήσαμεν τὴν θά-
20 λασσαν πεζεύοντα) εἰ σὺ εἶ ὁ Χριστός, κέλευσόν με ἐλθεῖν πρὸς σὲ ἐπὶ τὰ ὕδατα. ὁ δὲ
Κύριος πρὸς αὐτόν· ἐλθέ, ἐὰν ἔχῃς πίστιν βαστάζουσάν σε. οὐδὲν εἰρωνείᾳ χαρίζομαι. εἰ
μὴ πιστεύεις, οὐ βαδίζεις. τοῦ δὲ Πέτρου καταπηδήσαντος πρὸς τὴν τοῦ Κυρίου ἐπαγγελίαν,
ἤρξατο χοροβατεῖν τὴν θάλασσαν, ἔχων τὴν πίστιν ἀκλυδώνιστον. ὡς δὲ περιέβη μικρόν,
ἐπειδὴ ἀνθρώπινος ἦν ἕξει, ὑπὸ τῆς δουλείας, ὡς ἄνθρωπος κλονούμενος, ἐδίστασεν, ἐνεγω-
25 νώθη, καὶ πρὸς ἑαυτὸν ἤρξατο λέγειν· ἄπιστον τὸ φαινόμενον. τὴν θάλασσαν πεζεύω, ἡ ὑ-
γρὰ κόνιν ἐκβάλλει. ἐν τούτῳ τοῦ Πέτρου διστάζοντος ἡ σύνδουλος θάλασσα, ὡς ἐπὶ ἀπίστου
δούλου, ἤρξατο κυματοῦσθαι, καὶ παιδεύειν τὸν σύνδουλον, καὶ καταποντίζειν τὸν ἄπιστον. ὅθεν ὁ
Πέτρος κατανοήσας, ὅτι ἡ μὲν πίστις τὴν βάσιν παρεῖχεν, ἡ δὲ ἀπιστία κλυδώνιον ἔφερεν, ἔ-
κραζε λέγων· Ἐπιστάτα, σῶσον, ἀπόλλυμαι. τί λέγεις, ὦ Πέτρε; ὅτε κινδυνεύεις, τότε γνω-
30 ρίζεις τὸν δεσπότην; τί οὖν ὁ Χριστός; οὐ καταλιμπάνω σε τῷ βυθῷ, ἐκτείνω τὴν χεῖρα.
τὰ γὰρ πάντα ἐν τῇ χειρὶ βαστάζω. ἐκτείνας δὲ τὴν χεῖρα, φησίν, ὁ Κύριος ἐπελάβετο αὐ-
τοῦ, καὶ λέγει αὐτῷ, ὀλιγόπιστε, εἰς τί ἐδίστασας; πολλὴ τῶν ἀποστόλων ἡ διχόνοια. περὶ
τῆς ἀναστάσεως ἐκλονοῦντο· μετὰ τὴν ἀνάστασιν δὲ βέβαιοι καρπωσάμενοι, ἀπαρασάλευ-
τοι τῇ πίστει γεγόνασι. ὅτι δὲ περὶ τῆς ἀναστάσεως ἐκλονοῦντο πολλαῖς ἀμφιλογίαις, ἤκουες
35 ἀρτίως, πῶς ὀψίας γενομένης προσῆλθον οἱ ἀπόστολοι τῷ Κυρίῳ λέγοντες, Ἀπόλυσον *Ματθ. ιδ. ιε.*
τὸν ὄχλον, ὅτι ἔρημός ἐστιν ὁ τόπος, ὅπως ἀπελθόντες εἰς τὰς κύκλῳ κώμας, ἀγοράσωσιν ἑ-
αυτοῖς βρώματα. ὅρα μοι καὶ ἐνταῦθα, πῶς ἄπιστον τὸ διανόημα. τῷ σωτῆρι προσῆλ-
θον λέγοντες, ἀπόλυσον τὸν ὄχλον, ὅτι ἔρημός ἐστιν ὁ τόπος. ὁ δὲ Κύριος πρὸς αὐτούς· ἀπο-
λύσω τὸν ὄχλον; τί μοι ἀδοξίαν προσάπτετε; τί καταψηφίζεσθε τοῦ διδασκάλου; ἀπολύ-
40 σω τοὺς ὄχλους, ἵνα ἀγοράσωσι βρώματα; καὶ τί ἐροῦσιν οἱ πιπράσκοντες αὐτοῖς τοὺς ἄρ-
τους; ὅτι ἐμοῦ παρόντος οὗτοι ἄρτους ἀγοράσουσιν. εἰ μὴ ἦν μὲν ἄρτος, καλῶς τὸ ἀπολύειν
ἐπετρέπετε· νῦν δὲ ἄρτος ὑπάρχων, πῶς ἀπολύσω πεινῶντας τοὺς προσμένοντάς μοι;
οἱ ὄχλοι προσμένουσι, κἀγὼ τοὺς προσμένοντας ἀπελάσω; ποῖος ποιμὴν προβάτων
ποιεῖ τοῦτο; ἐγὼ τῷ Δανιὴλ ἐν τῷ λεοντείῳ λάκκῳ τὸν Ἀμβακοὺμ φακοφόρον παρέπεμψα·

Marginal notes (left): [line 15] ἤ, τί φοβεῖσθε τῶν ἀνέμων ἐμπνεύσεις · [line 24] * * · [line 32] ἤ, πολλοὶ οἱ ἀπόστολοι τῇ διχονοίᾳ περὶ τῆς ἀναστάσεως ἐκλονοῦντο· μετὰ δὲ τὴν

ἐγὼ τοῖς υἱοῖς Ἰσραὴλ ἐπὶ ἔτη τεσσαράκοντα οὐρανόθεν τὸ μάννα ἐχορήγησα τοῖς ἀχαρίστοις, καὶ τοὺς εὐχαρίστους λιμαγχονήσω; οὐ μὴν, οὐδαμῶς. "δότε ὑμεῖς αὐτοῖς φαγεῖν." οἱ δὲ ἀπόστολοί φασι, δώσωμεν αὐτοῖς ἡμεῖς φαγεῖν; πόθεν δώσωμεν" τοῖς ἐπιταχθεῖσι μηδὲν αἴρειν εἰς ὁδόν; πλὴν πέντε ἄρτων καὶ δύο ἰχθύων οὐκ ἔχομέν τι πλέον. καὶ τί εἰσι ταῦτα εἰς πεντακισχιλίους ἄνδρας ἄνευ γυναικῶν καὶ παιδίων; ὁ δὲ Κύριός φησι πρὸς αὐτούς· πόθεν δώσετε; ἔχετε τὸ

Ματθ. ιζ κ.

γαζοφυλάκιον τῆς πίστεως. οὐκ εἶπον ὑμῖν, ὅτι ἐὰν ἔχητε πίστιν, ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ γενήσεται; ὄρη μεθίστανται, καὶ ἄρτοι οὐ πληθύνονται; δότε αὐτοῖς ὑμεῖς φαγεῖν. τῶν δὲ παραιτουμένων, καὶ πρὸς τὴν δόσιν ἰλιγγιώντων, ὁ Κύριος πρὸς αὐτούς· ἀνακλίνατε τοὺς ὄχλους· ἐγὼ τῇ διανοίᾳ στέλλομαι. οὐ παραιτοῦμαι τοῖς δούλοις ὑπηρετεῖν. ἀρχαῖον γάρ μου τοῦτο τὸ ἐπιτήδευμα. ἐγὼ τῷ Ἀδὰμ ὑπηρέτησα ἐν τῷ παραδείσῳ. ὃ ἐκεῖ μετῆλθον, καὶ ὧδε οὐ παραιτοῦμαι. ἔστι δὲ πάντως εἰπεῖν τινα, καὶ πότε ὁ Θεὸς τὸν Ἀδὰμ διακονίαν μετῆλθεν. ἄκουε συνετῶς. καλὸν γὰρ ἀποδοῦναι τῆς ἐκ τῆς ἡμέρας τῆς τελευταίας τοῦ Θεοῦ δημιουργίας, ἐν ᾗ τὴν ἐπαγγελίαν ἐποιησάμεθα. διὰ τοῦτο γὰρ καὶ τῷ Ἀδὰμ μόνῳ ὁ δημιουργὸς ὑπηρέτησεν, ὁμοῦ καὶ δημιουργὸν, καὶ κοινωνὸν αὐτὸν λαμβάνων τῶν ἑαυτοῦ κτισμάτων. ἴστε πάντες σαφῶς, πῶς ἐν τῷ παραδείσῳ ὁ δημιουργὸς καθίσας τὸν Ἀδὰμ ἐπὶ ὑψηλοῦ τόπου, προσήγαγεν αὐτῷ ἕκαστον τῶν ζώων. ὁ δεσπότης ἐξ ἀρχῆς οὐ παρῃτήσατο δούλῳ ὑπηρετεῖν, τῷ ἰδίῳ κτίσματι· ἐξ ὧν καὶ ἐν τῷ παραναγνωσθέντι εὐαγγελίῳ οὐ παρῃτήσατο ὑπηρετῆσαι τοῖς δούλοις, ἀνέκλινεν αὐτοὺς ἐπὶ χόρτου, καὶ λαβὼν τοὺς ἄρτους ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς προσφέρειν, τρέφων, πληθύνων, θαυματουργῶν, τὰ δέοντα χορηγῶν. ἐξ ὧν καὶ ἐν τῷ παραδείσῳ τῆς ἀρχαίας δημιουργίας φέρων τὴν ἀγαθότητα, καθίσας τὸν Ἀδὰμ ἐπὶ ὑψηλοῦ τόπου, παρῆγεν ἓν ἕκαστον τῶν ζώων ὁ δημιουργὸς, ἵνα εἴ τι βούληται ὁ Ἀδὰμ, τοῦτο αὐτὸ καλέσῃ, κοινωνὸν αὐτὸν λαμβάνων τῶν ἑαυτοῦ κτισμάτων· ὅπερ ἡ γραφὴ παρέστησε

Γεν. β. ιθ.

λέγουσα, Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ κτήνη, καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσαι αὐτά. μάθωσιν, ὅτι διά σε παρήχθησαν. τὴν ἐμὴν δέχου οἰκονομίαν. μή τι τοσοῦτον ἐπὶ ἀγγέλου, ἢ ἐπὶ ἄλλης κτίσεως, οἷον ἐπὶ τοῦ ἀνθρώπου; ἐπειδὴ αὐτὸν μόνον ἰδίαις χερσὶν ἔπλασεν, αὐτῷ μόνῳ ὑπηρέτησεν ὁ δημιουργὸς, τοῦτο μὲν, τῇ τῶν ζώων παραγωγῇ, τοῦτο δὲ, ἐν τῇ τῶν ἐνδυμάτων καλλονῇ. ἐξ ὧν καὶ ἐν τῇ ἐνανθρωπήσει μιμούμενος τοῖς ἑαυτοῦ μαθηταῖς, ἤρξατο νίπτειν αὐτῶν τοὺς πόδας, τῆς ἀρχαίας δημιουργίας τὴν ἔμφασιν παριστῶν. τοῦ δὲ Πέτρου ἀπὸ εὐλαβείας παραιτου-

Ιωαν. ιγ. η.

μένου τὴν τῶν ποδῶν νίψιν, ὁ Κύριος πρὸς αὐτόν, Ἐὰν μὴ σου νίψω τοὺς πόδας, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. ἐγώ εἰμι ὁ τῷ Ἀδὰμ ὑπηρετήσας, τοῦτο μὲν, τὰ ζῶα παραγαγὼν, τοῦτο δὲ, τὴν πλευρὰν αὐτοῦ οἰκοδομῶν εἰς γυναῖκα, ἐξ αὐτοῦ τὸ αὐτοῦ, καὶ περὶ αὐτοῦ τὸ ἐμὸν δι' ἑαυτοῦ αὐτῷ προσάγων. ἐξ ὧν δείκνυσι, φίλε, ὅτι μόνος ὁ ἄνθρωπος ἐν κτίσμασιν ἀσύγκριτον καὶ

Γεν. α. κς.

ἐξαίρετον ἔργον τοῦ Θεοῦ· ἐξ ὧν καὶ περὶ αὐτοῦ μόνου γέγραπται, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. πολλὴ χάρις Θεοῦ περὶ τὸν ἄνθρωπον. καὶ ὁ μὲν δημιουργὸς τοσαύτης δόξης τὸν Ἀδὰμ ἠξίωσεν, οἵας ἄλλη κτίσις καθάπαξ οὐ μετέχει· ὁ δὲ Ἀδὰμ ὀλιγωρήσας, ἐξωλίσθησεν εἰς τὸν τοῦ ᾅδου πυθμένα, ἀντὶ βασιλείας πτωχείαν ἐπισπασάμενος, ὡς γενέσθαι τὸν δεσπότην δοῦλον, τὸν πανταρχὴν προσαιτὴν, τὸν εὐπρέπειαν ἠμφιεσμένον, μήτε ῥάβδου εὐποροῦντα, τὸν φιλικῇ συντυχίᾳ καθ' ἑκάστην τῷ Θεῷ συνδιατρίβοντα, ὡς κλέπτην, ὑπὸ δένδρον κρυπτόμενον, τὸν δεξάμενον τὸν παράδεισον ἐνδιαίτημα, ἐξόριστον τοῦ παραδείσου γενόμενον, καὶ κατ' ἀντικρὺ τοῦ παραδείσου παροικιζόμενον· ἵνα βλέπων τὴν ζημίαν τοῦ παραδείσου, μὴ παύσηται μεμφόμενος τὴν ματαίαν συμβουλίαν. τί γὰρ ἕτερον ἔπραττεν ὁ Ἀδὰμ, ἔξω τοῦ παραδείσου τὴν κατοίκησιν ἔχων, σκάπτων,

κάμνων,

καμίνῳ, μεταλλεύων, βωλοστροφῶν, ἱδρῶτι πανταχόθεν κατακλυζόμενος, ἢ ὀνειδίζει μεγάλῳ στόματι τὴν γαμετὴν, φάσκων οὕτως· ἴδε σου τῆς συμβουλίας τὰ κέρδη· ἵνα σὺ τῷ ὄφει προσπαίξῃς, ἐγὼ τῆς τοῦ Θεοῦ δωρεᾶς ἠλλοτριώμην; οὐχ ὑπ' ἐμοῦ μοι λέγουσα, γύναι, ἐὰν γεύσῃ τοῦ ἀπηγορευμένου καρποῦ, γενήσῃ μακάριος; οὐ Θεόν με ποιεῖν ἐπηγγείλω μετὰ τὴν βρῶσιν τοῦ ἀπηγορευμένου καρποῦ; πῶς οὖν ὁ Θεὸς σκαφεὺς ἀνεδείχθην, ὁ μακάριος τρισάθλιος εὑρέθην; σὺ ἐσφάλης, κἀγὼ μαστίζομαι. τὴν πληρεστέραν ἀπώλεσα, καὶ βοηθὸν οὐχ εὗρον. οἴμοι, γύναι Εὔα, θανάτου μήτηρ, παραβάσεως γεννήτρια, παραδείσου ἐκβλήτρια, δρακοντείων συρισμάτων ἀγαπήτρια, διαβολικῶν μηχανημάτων ἐπιτήδειον ὄργανον. ἄπιθι, γύναι· τί μου τὴν ἀθανασίαν ἐθέρισας; τί μου τὴν βασιλικὴν στολὴν ἐσύλησας; ἣν οὐχ ὕφανας, διέρρηξας. τί με φύλλα συκῆς ῥάπτειν ἐδίδαξας; τί μοι καρπὸν παγιδευτικὸν προσήνεγκας, γύναι γαστρίμαργε, λέγουσα, δέξαι, φάγε τοῦ φθονηθέντος σοι καρποῦ; ᾗ δ' ἂν γὰρ ἡμέρᾳ φάγῃ, διανοιχθήσονταί σου οἱ ὀφθαλμοὶ, καὶ ἔσῃ ὡς Θεὸς γινώσκων καλὸν καὶ πονηρόν. τί ἔπραξας, γύναι; ἐτυφλώθην, οὐ βλέπω. τὸ κακὸν ἐποίησα, τὸ καλὸν ἀπεπήδησεν. * ὥσπερ ἡ ἀκτὶς μοχθῶ, οὐχ ὡς Θεὸς αὐθεντῶ. ἄπιθι, γύναι, οὐκ οἶδα τίς εἶ. περὶ τοῦ συναφθῆναι τὴν λύσιν ζητῶ. οὐ φέρω τὸν κόπον. σὺ ἀμέριμνος μὲν οὖσα, οὐκ αἰσθάνῃ τῆς ὀδύνης. ὅτε τόκῳ πλησιάσεις, τότε τῆς ἀποφάσεως ὑπομνησθήσῃ. ἄπιθι, ἀφορήτων μοι κακῶν ἐγένου πρόξενος, γύναι, τὴν γῆν προσετάχθην ἐργάσασθαι, ἐν ἱδρῶτι τοῦ προσώπου τὸν ἄρτον ἐσθίειν· ἀκάνθας καὶ τριβόλους ἡ γῆ ἀνατέλλειν μοι προσετάχθη. ταύτην θεόθεν τὴν ἀπόφασιν ἔλαβον. τί ποιήσω; πότε δικέλλας χαλκεύσω; πότε ἄροτρον κατασκευάσω; πότε ταύρους ζυγῷ πείθεσθαι διδάξω; πότε πλάκας ἐγερῶ; πότε σπέρμα ῥίψω; πότε στάχυν προσμενῶ; πότε δρέπανον ὀξυνῶ; * πότε δράγμα θερίσω; πότε ἅμαξαν γεμίσω; πότε ἅλωνα καθαρίσω; πότε τοικλίνην χαράξω; πότε ἄλευρον συμπήξω; πότε ζύμην ἐγκρύψω; πότε ἄρτον σχηματίσω; πότε ὀπτῆρας ἐκκαύσω; οὐ φέρω τὴν ὀδύνην. μετὰ πόσων μόχθων καὶ ἱδρώτων ἐσθίω τὸν ἄρτον; ἴδε πόσων κακῶν γέγονάς μοι πρόξενος, γύναι, ζωὴ προσαγορευθεῖσα, καὶ θάνατος εὑρεθεῖσα; ὄντως θανάτου πρόξενος ἡ γυνὴ, ἔκτοτε, καὶ νῦν. καὶ μή μου τούτου λεγομένου περὶ γυναικὸς καταστασιαζέτω τὸ τῶν γυναικῶν σύστημα, ἀποδυσωπῶ με τὸ ἔγκλημα, εἰ θέλωσιν ὑποδέξασθαι. μὴ ἐμοὶ ὀργιζέσθωσαν, ἀλλὰ τῷ χριστοφόρῳ Παύλῳ. εἰ τολμῶσιν ὑβρίζειν, ἐκεῖνον ὑβριζέτωσαν. ἡμεῖς ὡς ἐκείνου μαθηταὶ τὰ ἐκείνου παρεγγυῶμεν ῥήματα, οὐχ ἡμέτερα κατηγοροῦμεν. ἀκουσάτωσαν Παύλου δι' ἡμῶν βοῶντος, Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν, καὶ ὑμᾶς ἀπατήσῃ. ὁρᾷς ὅτι οὐχ ὁ ἀνὴρ ἐσκελίσθη, ἀλλ' ἡ γυνὴ ἠπατήθη; τίς ἡ ἀπατηθεῖσα; τίς ἡ τῷ ὄφει προσπαίξασα; ἡ ὀφιόστομος καὶ ἰοβόλος γυνή. τίς προσέπεξε τῷ ὄφει; ἡ διεμπτήγματα μελετῶσα. οὐδεὶς ἦν ἐν τῷ παραδείσῳ, πλὴν αὐτῆς καὶ τοῦ ἀνδρὸς αὐτῆς· καὶ μήτε τὴν μόνωσιν, μήτε ἄλλο τι φοβηθεῖσα, περιήρχετο πλαζομένη, ῥεμβομένη, ποῦ παράκοιτον εὕροι, περὶ τῆς συναφῆς τοῦ γάμου τὴν μοιχοπορνείαν μελετῶσα. εἰ προσῆν τῷ ἀνδρὶ, οὐκ ἂν ἐπλησίαζεν ὁ ὄφις τῷ ὄφει. ἔξω τοῦ ἀνδρὸς αὐτὴν εὗρε, καὶ ἐδελέασε. γυνὴ γὰρ ὁμοτίμῳ ἀνδρὶ ἀεὶ συνοῦσα, διὰ παντὸς φθορὰν οὐχ ὑπομένει, ἥπερ οὐ δέχεται, μοιχείαν οὐκ εἰσπράττεται. χωρισθέντος δὲ τοῦ ἀνδρὸς, κἂν μετ' ἀγγέλων ᾖ συνδιατρίβουσα, εὐεπηρέαστος γίνεται. πόθεν ἀλλαχοῦ αἱ τὰς μυσαρὰς πράξεις ἐπιτηδεύουσιν αἱ τῶν νομίμων ἀνδρῶν χωριζόμεναι γυναῖκες, εἰ μὴ ἐν τοῖς μαρτυρίοις, προφάσει τῆς ἱκεσίας, τοῖς γαμαλύπαις συνταττόμεναι, καὶ αὐτῶν τῶν μαρτύρων καταφρονοῦσαι; πολλάκις γὰρ καὶ κατὰ τῶν μαρτύρων ὀμνύουσι μὴ ἀθετῆσαι τὰς ἀθεμίτους πράξεις. ὦ πόσων κακῶν Εὔα διδάκτρια, τῶν ἀγαθῶν ἀφαιρέτρια; καὶ πᾶσαι μὲν γυναῖκες

[margin: ἢ ἀπειλ... [illegible]] [margin: ἢ ἐσκελ.] [margin: ἢ προσπαίξ.] [margin: ἢ ἐπαιξε] [margin: ἢ διεμπαίγ.] [margin: *] [margin: 2. Κορ. ια. 2.]

γυναῖκες αἱ σωφροσύνην ἐρῶσαι περισαλεύονται ἀνδρεία (πολλὴ γὰρ διαφορὰ καὶ ἐν γυναιξὶν, ὡς καὶ ἐν ἀνδράσι, ὡς καὶ ἐν ἀγγέλοις) καὶ ὅσαι γυναῖκες σωφροσύνην ἐρῶσι, τῇ παρθένῳ ἀκολουθοῦσι, τὴν Σωσάνην ποθοῦσι, τὴν Σάρραν ἀσπάζονται, τὴν Ῥεβέκκαν περιπτύσσονται· ὅσαι δὲ σωφροσύνης ἐκτὸς εἰσιν, ὡς ἡ Εὔα, πλανῶνται, ὡς ἡ Αἰγυπτία συκοφαντοῦσιν, ὡς ἡ Δαλιδὰ ξυρῶσιν, ὡς Ἰεζάβελ τοὺς ἐνθέους φονεύουσι. "καθολικὸς ὁ λόγος, οὐ μερικὸν τὸ αἴνιγμα· μὴ πάλιν τινὲς τῶν ἀθέων προσφάτως τὰς λέξεις δεξάμενοι, ἄρξωνται τὰς ἀκοὰς δάκνεσθαι εἰς "διανοίας ἡμᾶς εὐτρεπίζοντες. ἡμῖν τούτων λόγος οὐδείς· ἀποστολικὸς ὁ λόγος. διὰ τὴν Εὔαν τὸ αἴνιγμα. ἐξ ὧν καὶ τῇ ἐκκλησιαστικῇ εἰσόδῳ τὰ αὐτὰ ἀνακεφαλαιούμεθα, μάρτυρα τῶν λεγομένων τὸν θεσπέσιον Παῦλον παραγαγόντες τὸν εἰρηκότα, Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν, γυναῖκα Ἀδὰμ, τοῦ σφάλματος τὴν αἰτίαν". καὶ πάλιν ὁ αὐτὸς ἀπόστολος, Ἀδὰμ, φησιν, οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ Εὔα ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης, οὐ μετὰ ἀκολασίας. εἶπε, σωθήσεται διὰ τῆς τεκνοποιΐας, οὐχ ὡς ἡ Εὔα τὸν Κάϊν ἔτεκεν, ἀλλ' ὡς ἡ παρθένος τὸν Χριστὸν ἐκυοφόρησεν· ᾧ ἡ δόξα καὶ τὸ κράτος ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

β. Κορ. ια. β. — *α. Τιμ. β. ιδ.*

Λογ. θ. Ψαλ. οε. ιβ.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΟ, ΕΥΞΑΣΘΕ, ΚΑΙ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Ex Ms. Regio Lut. emend. ex Ms. Celsreo.

Οἱ μὲν τοῦ κόσμου τούτου διδάσκαλοι πρὸς τὴν τῶν "γραμμάτων γνῶσιν τοὺς παῖδας "ἀνάγουσιν· οἱ δὲ τῆς ἐκκλησίας διδάσκαλοι πρὸς τὴν τῶν κατορθωμάτων τελείωσιν τοὺς μαθητὰς ἐκδιδάσκουσι. καὶ ἔστιν, ἀγαπητοὶ, καταμαθεῖν ἀκριβῶς ἐκ τῶν ἀρτίως ἡμῖν ὑπομνησθέντων ἐν τῷ ψαλμῷ τὴν τῶν εἰρημένων ἀκρίβειαν τὴν ἀληθῆ. τί γὰρ νῦν ἔλεγεν ὁ τοῦ πνεύματος προφήτης, ὁ μεγαλογράφος Δαβίδ; Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. οἷα ὡς ἡ μακαρία Ἰουδὴθ, τοῦ Βαβυλωνίου ποτὲ Ὀλοφέρνου μετὰ τοῦ ἰδίου στρατοπέδου τὴν Ἱερουσαλὴμ περικυκλώσαντος, καὶ πάσας τὰς ἐν τῇ πόλει εἰσαγούσας ὑδροφόρους πηγὰς διατεμόντος, λιμῷ δὲ ὕδατος ὀλλυμένους τοὺς Ἑβραίους "ἑτοίμους εἶναι ἑαυτούς τε καὶ τὴν πόλιν παραδιδόναι τῷ τὴν ἀνάγκην αὐτοῖς ἐπιθέντι· παρελθοῦσα δὲ ἡ μακαρία ἐκείνη ἀνδρείῳ φρονήματι καὶ πιστῷ βουλήματι διεκώλυε τῆς πόλεως τὴν παράδοσιν γίνεσθαι. ἑαυτὴν δὲ διαναστήσασα πρὸς τὸ τηλικοῦτον στρατόπεδον μάχεσθαι καὶ πολεμῆσαι, καὶ ἐκδικῆσαι τὸ ἴδιον γένος, καὶ τὴν πόλιν περισώσασθαι βουλομένη, Θεῷ πιστεύσασα, τῇ τοῦ σώματος ῥώμῃ ἑαυτὴν πρὸς τὸν τῶν ὑπεναντίων πόλεμον ἐπιδοῦσα ἔλεγε τοῖς ἱερεῦσι καὶ πᾶσι τοῖς πιστοῖς ἀνθρώποις· Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. ἣ καὶ ἐξελθοῦσα τῆς πόλεως, ἑσπέρας ἤδη καταλαβούσης, μετὰ μιᾶς θεραπαινίδος, ἐπισιτία τε λαβοῦσα μεμετρημένα τῇ πίστει (οὐ γὰρ ἐβούλετο τοῖς Ἑλληνικοῖς ἀπογεύσασθαι βρώμασιν Ἰουδαία τυγχάνουσα, καὶ ὑπὸ τοῦ νόμου κωλυομένη) γενομένη δὲ παρὰ τῷ Ὀλοφέρνῃ, ὡς πρόσφυξ, ἐν στολῇ καθαρᾷ καὶ κόσμῳ γυναικείῳ εὐπρεπεῖ, ἐξανδραποδίσασα τὸν ἀλλόφυλον τῇ ἐπιθυμίᾳ τῇ πρὸς γυναῖκα, ἑαυτὴν μὲν διεφύλαττεν ἄχραντον· τὴν γὰρ σωφροσύνην οὐκ ἐμιαίνετο. νυκτὸς γὰρ τοῦ στρατοπέδου καθεύδοντος, καὶ τοῦ Ὀλοφέρνου οἴνῳ πολλῷ κεκαρωμένου, λαβοῦσα θαρσῶς τὴν δίστομον αὐτοῦ μάχαιραν ἀπεκεφάλισεν αὐτόν· "δῆλον, Θεοῦ ἐνδυναμοῦντος τὴν δεξι-

Ψαλ. οε. ιβ. — *Ιουδ. η. ιε.*

ἀν

ἀὺ τῆς τεκνίδος. ἐν αὐτῇ δὲ τῇ νυκτί, ἐν ᾗ ἀνδραγάθησε, νικηφόρος ἐπὶ τὴν πόλιν ἀνα-
δραμοῦσα, καὶ τὴν κεφαλὴν αὐτοῦ διὰ τοῦ τείχους χαλάσασα, θρίαμβον αὐτὸν πᾶσι τοῖς ἀλ-
λοφύλοις ἐδείκνυεν· ὡς τῇ ἐπαύριον θεωρήσαντας τοὺς ἀλλοφύλους τὸν ἑαυτῶν στρατοπε-
δάρχην ὑπὸ μιᾶς γυναικὸς ἀναιρεθέντα, δειλίᾳ πολλῇ καὶ φόβῳ πολλῷ πιασθέντας φεύ-
5 γειν ἀπὸ προσώπου τῶν Ἑβραίων, καὶ πληρωθῆναι τὸ γεγραμμένον, Πῶς διώξεται εἷς χιλίους, καὶ
δύο μετακινήσουσι μυριάδας; εὑρίσκεται γὰρ ὁ μὲν ἀνδρειότατος Σαμψὼν μόνος χιλίους διώ-
ξας, ἡ δὲ ἀνδρειοτάτη Ἰουδὴθ μετὰ τῆς ἰδίας θεραπαινίδος τὰς μυριάδας τῶν ἀλλοφύλων με-
τακινήσασα. ὁρᾷς πόσον ἐστὶν ἀγαθὸν τὸ εὔξασθαι, καὶ ἀποδοῦναι Κυρίῳ τῷ Θεῷ ἡμῶν; Ἐ-
ζεκίας δὲ ὁ βασιλεὺς πιστὸς ἀνὴρ ὑπάρχων, καὶ πίστει μᾶλλον καὶ εὐχῇ, ἢ ὅπλοις [ὃς] καὶ στρατιω-
10 τικῇ δυνάμει ὑπερειδόμενος, παρ' ἐλπίδα ἐποίει τὰ τῶν πολεμίων νικήματα. ἀμέλει
γοῦν τοῦ Σεναχηρὶμ μετὰ πολλοῦ ὄγκου βαρβάρων ἐπελθόντος, καὶ τὴν Ἱερουσαλὴμ περι-
δονήσαντος, καὶ ὀνειδίζοντος Θεὸν καὶ τοὺς πιστεύοντας εἰς αὐτὸν ἀνθρώπους, ὕβρεις δὲ ἐγγράφους
πέμψαντος τῷ Ἐζεκίᾳ κατὰ Θεοῦ καὶ αὐτοῦ, δεξάμενος τὸ βιβλίον ὁ Ἐζεκίας, καὶ ἀναγνοὺς ἐνώ-
πιον τοῦ Θεοῦ, ηὔξατο καὶ ἀπέδωκε Κυρίῳ τῷ Θεῷ ἡμῶν. ὅθεν παραχρῆμα τοῦ περιέχοντος
15 αὐτὸν κινδύνου ἠλευθεροῦτο. οὕτως ἀθρόως καὶ θαυμαστῶς τὴν παρὰ Θεοῦ βοήθειαν ἐ-
λάμβανεν. εἷς γὰρ ἄγγελος ἀπ' οὐρανῶν ἐν τῇ νυκτὶ ξιφήρης καταδραμὼν, ἑκατὸν ὀγδοη-
κονταπέντε χιλιάδας τῶν ἀλλοφύλων ἀνῄρει, μηδενὸς αὐτῶν ἰσχύοντος πρὸς τὴν τῆς δε-
ξιᾶς αὐτοῦ ὁρμὴν ἀντισχεῖν, ἵνα παιδευθῶσι τὰ τῶν ἀλλοφύλων γένη κατὰ Θεοῦ γλῶσσαν
βλάσφημον μὴ ὀξύνειν. τοσοῦτον ἀγαθόν ἐστιν, ἀγαπητοί, τὸ εὔξασθαι, καὶ ἀποδοῦναι Κυ-
20 ρίῳ τῷ Θεῷ ἡμῶν. Δαβὶδ δὲ ὁ σοφώτατος, ἐπὶ Σαοὺλ τοῦ βασιλέως Ἰσραήλ, τῶν ἀλλο-
φύλων ἐπιστρατοπεδευσάντων κατὰ τοῦ Ἰσραηλιτῶν γένους, καὶ ἕνα προβεβλημένων πρὸς μονο-
μαχίαν ἄνδρα τῇ τοῦ σώματος ῥώμῃ γίγαντα, τῇ τῆς φρονήσεως γνώμῃ ὑπὲρ γίγαν-
τα, μεγάλα λαλοῦντα, καὶ μεγάλα ἐπαγγελλόμενον (τούτῳ δὲ ἦν ὄνομα Γολιάθ·
οὗ τὸ μέγεθος Ἑβραίων παῖδες θεωρήσαντες, δειλίᾳ καὶ φόβῳ πιεσθέντες πολλῷ συν-
25 είχοντο, τὴν τοῦ πολέμου συμβολὴν ἀποφεύγοντες) γνοὺς δὲ ὁ ἀγχίνους Δαβὶδ,
ὅτι οὐδὲν ἰσχύει πρὸς νίκην ὁλκὴ σώματος, οὔτε ὅπλων καὶ ἵππων παράταξις (Οὐ σώζε-
ται γὰρ βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ.
ψευδὴς ἵππος εἰς σωτηρίαν· ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται) λαβὼν πέντε λί-
θους, σύμβολον τῆς παρὰ Θεοῦ δεδομένης αὐτῷ πενταπτύχου, ὁ μικρὸς, ὁ νεώτερος, ὁ παρὰ
30 τοῖς ἰδίοις καὶ τοῖς ἀλλοφύλοις ἐξουδενωμένος, μιᾷ λίθου βολῇ κατὰ τοῦ μετώπου τύψας, ἐπὶ σώ-
ματος ἔφερε τὸν ὑπερήφανον γίγαντα. ὃ ἐστιν, ἀγαπητοί, ζητήσεως ἄξιον, πῶς κατὰ τοῦ
μετώπου λαβὼν ὁ Γολιὰθ, οὐκ εἰς τὰ ὀπίσω ἐπέπτετο, ἀλλ' ἐπὶ πρόσωπον ἐρρήγνυτο. ἢ
δῆλον, ὅτι διὰ τοῦ νοεῖν ἡμᾶς, ὅτι ἄγγελος ἦν ἑστὼς ὄπισθεν τοῦ θεομάχου, ἐπὶ πρόσωπον αὐτὸν
ἀκοντίζων. οὕτως ἀγαθόν ἐστι τὸ εὔξασθαι καὶ ἀποδοῦναι Κυρίῳ τῷ Θεῷ ἡμῶν. Μωϋσῆς δὲ ὁ
35 μακάριος τὸν τῶν Ἑβραίων λαὸν ἐκ τῆς Αἰγύπτου μεταναστήσας, καὶ ἐλθὼν παρὰ τὰ ῥεῖθρα
τῆς ἐρυθρᾶς θαλάσσης, καὶ τῶν Αἰγυπτίων μετὰ ὄχλου ἰσχυροῦ καὶ πολυαρίθμου ἐπιδρα-
μόντων, τῶν δὲ Ἑβραίων μὴ δυναμένων μήτε τῷ πολέμῳ ἀντιστῆναι, μήτε διὰ τῆς φυ-
γῆς τὴν ἑαυτῶν σωτηρίαν περιποιήσασθαι (ἔμπροσθεν γὰρ αὐτοῖς θάλασσα ἥπλωτο φυ-
γεῖν κωλύουσα, καὶ ὄπισθεν ὁ τῶν Αἰγυπτίων σκοτεινὸς λαὸς ξιφήρης αὐτοῖς ἐπεσείετο) καὶ ὅσον
40 περιχαρεῖς ἦσαν οἱ Ἑβραῖοι ἐπὶ τῇ τῶν πεπραγμένων ἐννοίᾳ, τοσοῦτον ἀθρόως θεωρήσαν-
τες τὸν Φαραὼ σὺν τοῖς Αἰγυπτίοις, τῷ φόβῳ συνείχοντο, καὶ ἠλαύνοντο χύδην ταῖς φροντίσιν,
ὅπερ ἐλαύνεται θάλασσα σφοδρῶν πνευσάντων ἀνέμων εἰς αὐτήν· ὡς καὶ ἀποτολμή-
σαντας διὰ τὴν ὑπερβολὴν τοῦ φόβου λέγειν πρὸς τὸν Μωϋσέα· ὁρᾷς ὅσον καὶ ἐπ' αὐτὴν
ἥκει τὰ πράγματα τὴν τελευτήν, καὶ ὥσπερ εἰς τὰς ψυχὰς ἡμῶν ἤλασε) ὁ φόβος; ἤδη
γὰρ

Δευτ. λβ. λ.

Ψαλ. λβ. ις.

γὰρ ἡμᾶς ἀπολῦσαι ὀρνέων θοίνην γενέσθαι. Σιωπῶντες ὡς εἰς ἐσχάτην ἥκαμεν, καὶ ὅτι
πάντα πάντοθεν ἄπορα ἐστὶ τὰ καθ' ἡμᾶς. τί μέλλεις, Μωϋσῆ; βέλτιον ἦν ἐν Αἰγύπτῳ τεθ-
νάναι ἡμᾶς, ἢ ἐνταῦθα ἐξελθόντας ἰδεῖν τὰ νήπια ἡμῶν καὶ τὰς γυναῖκας καὶ ἡμᾶς αὐτοὺς ὀρ-
νέων καὶ χερσαίων θοίνην καὶ ἁρπάγματα γινομένους. τούτοις γὰρ μάλιστα πιστεύσας ὁ Φα-
ραὼ ὀδύνης γέμει, καὶ ὡς ἐν χερσὶν ἔχων τὸ κῦρος, αὐθαδιάζεται, καὶ πρὸς αὐτὸν τὸν Θεὸν θρα-
συνόμενος. τότε Μωϋσῆς πρὸς αὐτοὺς τί φησι; Μὴ φοβεῖσθε, μηδὲ δειλιᾶτε. εὔξασθε καὶ ἀ-
πόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν, καὶ ὄψεσθε τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν ὑμῖν διδομένην. Κύ-
ριος πολεμήσει ὑπὲρ ἡμῶν, ὑμεῖς δὲ σιωπήσεσθε. τῆς δὲ τοιαύτης εὐχῆς πρὸς Θεὸν ἀναδοθεί-
σης, εὐθὺς ἡ ὑγρὰ θάλασσα εἰς ξηρὰν μετεστρέφετο, καὶ ἀνεμποδίστως αὐτοῖς καθυπούρ-
γει. καὶ ἦν ἰδεῖν, ἀγαπητοί, θαυμαστὸν θέαμα, τὴν ποτὲ ἀφρομορφομυροῦσαν θά-
λασσαν τότε σχιζομένην, καὶ τεῖχος δίυγρον, κυανόχροον, μαιόχροον, ἀρραγὲς ἑκατέρω-
θεν τῷ Ἰσραὴλ περιφρασσόμενον. καὶ ἐπὶ τοσοῦτον ἀπῃωρεῖτο κρεμαμένη τὸ ὕδωρ, ἕως τοῦ
Ἰσραὴλ (ὡς ὅτι ἄνθρωπος ἠρέμα καὶ βάδην πορευόμενος) τὸ τῆς θαλάσσης ὑπήρχετο
πλάτος. καὶ αὐτοὶ μὲν ὥσπερ διὰ χλοηφόρου πεδίου ἔδραμον χαίροντες, οἱ δὲ ἐχθροὶ αὐτῶν
Αἰγύπτιοι ὡσεὶ μόλυβδος ὑποβρύχιοι ἐποντίζοντο. οὕτως ἐστὶν ἀγαθὸν τὸ εὔξασθαι καὶ ἀπο-
δοῦναι Κυρίῳ τῷ Θεῷ ἡμῶν. ἢ γὰρ οὐχὶ καὶ ἐν τῇ ἐρήμῳ ὕδατος καὶ ἄρτου ἐνδεεῖς γινόμε-
νοι; πῶς γὰρ οὐκ ἔμελλον ἐν τῇ ἐρήμῳ ὑστερεῖσθαι ἄρτου καὶ ὕδατος, ὅπου γε οὐκ ἄρουρα,
οὐκ ἄμπελος, οὐ δένδρον, οὐ βοτάνη, οὐ σπόρος, οὐ θέρος; ἀλλ' εὐχὴ ἁγία καὶ οὐρανὸν αὐτοῖς μαν-
νοδότην ἐποίει, καὶ ἀέρα κρεοδότην, καὶ πέτραν ἀκροτομοπηγόβρυτα νάματα βλαστάνειν ἡτοί-
μαζεν. ὑπὸ γὰρ τῶν τελείων τούτων στοιχείων ὑπηρετοῦντο, οὐρανοῦ, ἀέρος, καὶ πέτρας.
οὐρανὸς μὲν γὰρ αὐτοῖς χιονόχροον τὸ ὕδωρ ἐκόχλαζε, καὶ ἀὴρ σεσιτευμένην αὐτοῖς τὴν
ὀρτυγομήτραν ἀκαμάτως προσέφερε. καὶ ἐπιλείψει με διηγούμενον καὶ ὁ τῆς
ἡμέρας χρόνος τὰ τῶν πατέρων, προφητῶν τε καὶ βασιλέων δι' εὐχῆς παρ' ἐλπί-
δα γεγενημένα νικήματα, τὰς ἐν νόσοις καὶ κινδύνοις καὶ τοῖς ἄλλοις χαλεπωτέροις
πράγμασι δι' εὐχῆς γεγενημένας ἀγαθὰς καὶ ζωοφόρους ἐκβάσεις. τοσοῦτον γὰρ ἐστὶ τὸ
εὔξασθαι καὶ ἀποδοῦναι Κυρίῳ τῷ Θεῷ ἡμῶν. εἴ τις ὑμῶν ἔν τινι πράγματι παρὰ
ἀνθρώποις ἀπηλπισμένῳ ἐνέχεται, ἢ ὑπὸ ἀνάγκης τινὸς ἢ κινδύνου πεπίεσται, μνη-
μονευσάτω ταύτης τῆς γραφῆς, εὐξάσθω καὶ ἀποδότω Κυρίῳ τῷ Θεῷ ἡμῶν, καὶ εὑρή-
σει τῆς ἀγαθῆς διδασκαλίας τὸ ζωοφόρον καὶ μακάριον τέλος. εἰ δέ τις βούλεται, ἀγα-
πητοί, καὶ ἄλλως ἐκλαβεῖν τὸ ῥητὸν τῆς γραφῆς, καὶ λέγειν, ὅτι τὸ εὔξασθαί ἐστι τὸ ἐπαγ-
γείλασθαι, καὶ οὕτως ἔσται ὁ λόγος ὠφέλιμος. πολλαχοῦ γὰρ παρὰ τῇ γραφῇ εὕρομεν τὸ
εὔξασθαι ἀντὶ τοῦ, ἐπαγγείλασθαι· ὥς φησιν ἡ σοφία, Καλόν ἐστι τὸ μὴ εὔξασθαί σε, ἢ εὐ-
ξάμενον μὴ ἀποδοῦναι· τουτέστι, τὸ μὴ ἐπαγγείλασθαι Θεῷ μᾶλλον, ἢ ἐπαγγειλάμενον
ψεύσασθαι. διὸ παραγγέλλει, Καὶ μὴ ψεύσῃ λόγον ἐν καιρῷ προσευχῆς σου. ηὔξω τὴν
θυγατέρα σου ἢ τὸν υἱόν σου ἀπὸ νόσου βαρείας ὑγιαίνοντα ἀπολαμβάνοντα, Θεῷ ἀφιερῶσαι;
μὴ ψεύσῃ λόγον ἐν καιρῷ προσευχῆς σου. ἀλλ' ὡς ἡ μακαρία Ἄννα στεῖρα οὖσα τὸ πρίν, εὐ-
ξαμένη, ὃ ἂν γεννήσει, Θεῷ ἀφιερῶσαι, καὶ τοῦτο ποιήσασα, αὐτὴ μὲν γέγονεν εὐλογίας αἰ-
ωνίου κληρονόμος· ὁ δὲ αὐτῆς υἱὸς Σαμουήλ, πρῶτος καὶ ἐκλελεγμένος ἐν προφήταις λε-
λόγισται, καὶ τοσοῦτον παρὰ Θεῷ ἐπετίμητο, ὡς μετὰ Μωϋσῆν αὐτὸν καὶ Ἀαρὼν συγκαταριθ-
μηθῆναι. Μωϋσῆς γὰρ καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις
τὸ ὄνομα αὐτοῦ. πρῶτον ἀγαθόν ἐστι τὸ εὔξασθαι, τουτέστι, τὸ ἐπαγγείλασθαι· ταχέως ἀπο-
δοῦναι μετὰ ἱλαρᾶς καὶ ἀγαθῆς προαιρέσεως. Ἀγαθὸν γὰρ καὶ ἱλαρὸν δότην ἀγαπᾷ ὁ
Θεός. οὕτως Ἄβελ Θεῷ εὐηρέστησεν, ἐπειδὴ ἐξ ἱλαρᾶς καρδίας καὶ ἀγαθῆς προαιρέσεως τὰ
δῶρα τῷ Θεῷ προσεκόμισε· Κάϊν δὲ ἀπήρεσε Θεῷ, ἐπειδὴ οὐκ ἐξ ἱλαρᾶς καρδίας, ἀλλ'

Marginal references: Ἐξοδ. ιδ'. ιγ. — Ἐκκλησ. ε. δ. — Ψαλ. ϟη. ς. — β. Κορ. θ. ζ.

ὡς

ὡς ἐκ λύπης καὶ ἀνάγκης τὰ δῶρα τῷ Θεῷ προσέφερεν, ἐπὶ τῇ τοῦ ἀδελφοῦ εὐδοξίᾳ λυπηθείς. δεινὸν δὲ τὸν σπινθῆρα τοῦ φθόνου ἐν τῇ καρδίᾳ ἀνακινήσας πρὸς ἀδελφοκτονίαν ἐξεγείρετο, ἀνθ᾽ ὧν ἔδει μιμησάμενον αὐτὸν τὴν τοῦ ἀδελφοῦ φιλόθεον γνώμην, ἰσόρροπον τῷ ἀδελφῷ τὴν τιμὴν παρὰ τῷ Κυρίῳ κομίσασθαι. νῦν δὲ μήτε πρὸς τὸ ὁμόφυλον καὶ συγγενὲς ἀπιδών, μήτε τὸν Θεὸν ἐφορῶντα τῆς ἑαυτοῦ ἀθεμίτου πράξεως ψηφισάμενος, λόγοις ἀπατηλοῖς τὸν νεανίαν ἐπὶ τὸ πεδίον ἑλκύσας, τὸ φαιδρὸν ποίημα Θεοῦ τῷ φόνῳ διέλυσεν. οὗτος πρῶτος ἀδελφοκτονίαν εἰργάσατο, πρῶτος τὴν γῆν αἵματι ἐμίανε, πρῶτος πύλας θανάτου ἀνέῳξεν. οὔπω γὰρ ἦν θάνατος γευσάμενος ἄνθρωπον, εἰ μὴ Κάϊν διὰ τοῦ φθόνου τὸν φόνον ἐκίνησε. τί γάρ σε ἔβλαπτε, Κάϊν, ἡ τοῦ Ἄβελ ζωή; ἢ τί σε ὠφέλησεν ἐκείνου ὁ θάνατος; ἢ γὰρ οὐχὶ μᾶλλον καὶ ἔβλαψεν; ἰδοὺ γάρ, ἀστάτως τῷ ἰῷ, καὶ τρόμῳ, τὸ ζῆν ἐξετέλεσας. ὦ φθόνε ὑποκρίσεως ἀδελφέ, δόλου δημιουργέ, φόνου ἀφορμή, δρακόντιον σπέρμα, θανατόπνοον ἄνθος. τί μιαρώτερον φθόνου; ἀλλ᾽ οὐδέν. τί δὲ καὶ ἐκίνησε θάνατον; ἀλλ᾽ οὐδὲν ἕτερον, εἰ μὴ φθόνος, καθὼς μαρτυρεῖ μοι ἡ γραφὴ λέγουσα· Ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων· φθόνῳ δὲ τοῦ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. ἐμοὶ δοκεῖ, ἀγαπητοί, τὸν φθόνον ἐξεύρεμα εἶναι τοῦ δράκοντος· καὶ ἀμήχανον ἐστὶν ἔχειν τινὰ φθόνον, ἐὰν μὴ ὁ ὄφις προσερπύσας ἐπὶ λαθραίως, καὶ ἐκ τῆς αὐτοῦ καρδίας ἐμέσας τὸν ἰὸν εἰς τὴν τοῦ δεχομένου καρδίαν ἐμβάλλῃ τὸν φθόνον. οὕτω γὰρ εἰς τὴν αὐτὴν τοῦ ὄφεως τάξιν καὶ δύναμιν ὁ φθονερὸς ἀπολήγει. εἶδες τὸν φθονερόν; εἶδες τὸν ὄφιν; λαλεῖ σοι ὡς φίλος τὰ ἴδια, καὶ μανθάνει παρὰ σοῦ τὰ σὰ ὡς ἐχθρός σου. προσέρχεται ὁ ὄφις τῇ Εὔᾳ ὡς φίλος, γλυκέσι ῥήμασιν αὐτὴν μαγεύων, πικροῖς δὲ νοήμασιν αὐτὴν παγιδεύων· ἐπὶ στόματος φέρων τὸ μέλι, ἐν τῇ καρδίᾳ κρύπτων τὸ ξίφος· τὴν κεφαλὴν ἀλλαχοῦ ἀποκλίνων, καὶ τὴν κέρκον ἀλλαχοῦ σοι λοξεύων. προσέρχεται τῷ Ἄβελ ὁ Κάϊν ὡς φίλος· λαλεῖ εἰρηνικά, καὶ νοεῖ πολεμικά· ὁ δόλος ἐπὶ στόματος αὐτοῦ ἐφέρετο, καὶ ὁ φθόνος ἐν τῇ καρδίᾳ αὐτοῦ ἐσκιάζετο. προσέρχεταί σοι ὁ φθονερός· λαλεῖ σοι τὰ ἴδια, λόγοις ἀπατηλοῖς καὶ γέλωτι χλιαρῷ προσδιαλεγόμενός σοι τὸ πρόσωπόν σου φαιδρύνει· τὴν διάνοιάν σου ἀνοίγει, ἵνα τὴν ἐγκεκρυμμένην ἐν θήκην τῆς διανοίας σου ἐκκενώσῃ. μανθάνει τὰ μυστήριά σου λέγων, καὶ προσφέρει τὰ κρυπτά σου ἐπὶ πάντων. κἂν κολακεύῃς αὐτόν, οὐκ ἔτι ἀνέχεται, οὐκ ἔτι γελᾷ, οὐκ ἔτι μειδιάσματι τὸ πρόσωπον αὐτοῦ ὑποχαλᾷ, ἀλλ᾽ ἕστηκεν αὐστηρῶς κατηγορῶν, καὶ μὴ κινούμενος, ἕως οὗ ἐπίδῃ τὴν ἀσχημοσύνην σου, καὶ τότε γελάσει. ἐὰν ἐν συμποσίῳ τι κατὰ σοῦ λαλῆται, ἐκεῖνος τὰ ὦτα ἀνοίγει, εὐθύς· ἐὰν τι λαλῆται ὑπὲρ σοῦ, ἐκεῖνος ἄλλους λόγους ἐμβαλὼν ῥαίνει τὴν διάνοιαν τῶν ἀκουόντων, ἵνα μὴ τὰ σὰ λαλούμενα καὶ ἀπόντι σοι δόξαν προσφέρωσι. τί πονηρότερον φθονεροῦ; ἀλλ᾽ οὐδέν. ἐν ποίοις θηρίοις συναριθμηθήσεται ὁ τοιοῦτος; ἐὰν λέοντι ἢ παρδάλει αὐτὸν συνεικάσῃς, εὑρήσεις ἐν τῷ φθονερῷ τὸ πονηρόν. πᾶν γὰρ ζῶον ἀγαπᾷ τὸ ὅμοιον ἑαυτοῦ· ὁ δὲ φθονερὸς τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, καὶ τοῦτον φονεύει. οἱ κόρακες τὸν Ἡλίαν ἐν τῷ ὄρει διέτρεφον, καὶ οἱ ἀδελφοὶ τὸν Ἰωσὴφ διὰ φθόνον πιπράσκοντες ἔπρασαν. ὁ ὄφις διὰ φθόνον τὴν Εὔαν ἠπάτησε, καὶ Κάϊν τὸν Ἄβελ διὰ φθόνον ἐφόνευσε. τὸ κῆτος τὸν Ἰωνᾶν ἐν τῇ θαλάσσῃ ἐξένισε, Σαοὺλ δὲ διὰ φθόνον ἐδίωκε τὸν Δαβίδ. οἱ λέοντες τὸν Δανιὴλ ἐνετράπησαν, οἱ δὲ Ἰουδαῖοι τὸν Χριστὸν διὰ φθόνον ἐσταύρωσαν. αἱ ἀσπίδες κολακευόμεναι ἡμεροῦνται, οἱ δὲ φθονεροὶ εὐεργετούμενοι πλέον ἐξάπτονται. ἀλλ᾽ ἵνα μὴ δόξωμεν, ἀγαπητοί, ἐπὶ πολὺ ἐρεσχελεῖν καὶ ἔξω βαίνειν τῶν ἀρτίως ἀναγνωσθέντων, ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον. εὔξασθε καὶ ὑμεῖς οἱ φθονούμενοι, ἵνα μὴ ὑπὸ τῶν φθονούντων πάθητέ τι τῶν ἀνηκέστων, μήτε τῷ αὐτῷ νοσήματι περιπέσητε. Ὁ γὰρ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. εὔξασθε καὶ ὑμεῖς οἱ φθονοῦντες, ἵνα

Σοφ. α. ιγ.

α. Κορ. ι. ιβ.

τὸν

τὸν ἰὸν τοῦ δράκοντος ἐξεμέσαντες, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως τὸν οὐράνιον ἄρτον ὑποδέξησθε. εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. πολλὰ ἰσχύει, ἀγαπητοί, εὐχή, τὰ παρὰ ἀνθρώποις ἀδύνατα, δυνατὰ καθιστῶσα. ηὔξατο Μωϋσῆς, καὶ τὴν θάλασσαν ἐξήρανε, καὶ τοὺς Ἑβραίους ὡς διὰ χλοηφόρου πεδίου διήγαγεν. ηὔξατο Ἰησοῦς ὁ τοῦ Ναυή, καὶ τὰ Ἰορδάνια ῥεύματα ἐνεπόδισε, καὶ ἐπληρώθη τὸ γεγραμμένον, Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; ηὔξατο Ἠλίας ὁ ἁρματηλάτης, καὶ ὀμβροτόκους νεφέλας ἐχαλίνωσε, καὶ ταύτας πάλιν δι' εὐχῆς ἀνέῳξεν. ηὔξατο ὁ αὐτὸς Ἠλίας, καὶ τῇ πενιχρᾷ χήρᾳ τὸ ἄλευρον καὶ τὸ ἔλαιον καθ' ἑκάστην ἡμέραν πίστει μεμετρημένον ἐδίδου. ηὔξατο ὁ τούτου μαθητὴς Ἐλισσαῖος, καὶ ἡ Σωμανῖτις στεῖρα οὖσα τὸ πρίν, παρ' ἐλπίδας ἐγέννα. ηὔξατο Δανιήλ, καὶ τὸν Βὴλ κατέστρεψε, καὶ τὸν δράκοντα ἀπέκτεινε, καὶ τοὺς λέοντας ἀναβλέπειν εἰς οὐρανὸν ἐπαιδαγώγησεν. ηὔξαντο οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ, καὶ ἡ παφλάζουσα φλὸξ τῆς καμίνου ἐσβέννυτο. ηὔξατο Ἐζεκίας, καὶ τὴν ἑαυτοῦ ἀρρωστίαν ἰασάμενος θάνατον ἔλυσε, καὶ πεντεκαιδεκαετῆ χρόνον ζωῆς ἀπελάμβανεν. ηὔξατο Ἰωνᾶς, καὶ τὸ κῆτος ἡμέρωσε, καὶ ἐν τριημέρῳ φιλοξενεῖν αὐτὸν ἐδίδαξεν, ἵνα δειχθῇ ὅτι τοῖς ἁγίοις καὶ ἐν βυθοῖς θαλάσσης ξενία εὑρίσκεται. ηὔξατο ὁ εὐσεβέστατος Τωβίας τυφλὸς ὑπάρχων, καὶ ἐκ χειρὸς ἀγγέλου τὸ φέγγος ἐλάμβανεν. ηὔξατο Σάρρα ἡ τοῦ Ραγουὴλ ἐν Ἐκβατάνοις, καὶ τὸν ἀνδροκτόνον δαίμονα ἐφυγάδευσεν. ηὔξατο Σίλας καὶ Παῦλος ἐν τῇ φυλακῇ ὑπάρχοντες, καὶ ἡ γῆ ἐστόμαξεν, αἱ θύραι τῆς φυλακῆς ἀνεῴχθησαν, αἱ σιδηραῖ ἁλύσεις τῶν δεσμῶν ἀπέπεσον, καὶ πάντες οἱ δεσμῶν ἔνοχοι ἐλεύθεροι ἀνεδείκνυντο. ηὔξατο Πέτρος, καὶ τὴν Ταβιθὰν ἐκ νεκρῶν ἐξανέστησεν. ηὔξατο ὁ αὐτὸς Πέτρος ἐν Ῥώμῃ, καὶ πετώμενον Σίμωνα ἐξ ἀέρος κατήνεγκε, καὶ ἐμπαίζειν αὐτὸν τοῖς Ῥωμαίοις οὐ συνεχώρησεν οὐκέτι. εὐχὴ νεκροὺς ἀνεγείρει, δαίμονας φυγαδεύει, νόσους ἰᾶται, θανάτους ἐκλύει. ὢ εὐχή, ζωῆς χορηγή, ὑγείας ἐνθήκη, ἐλπιδοφόρον ἄνθος. εὔξασθε οὖν καὶ ὑμεῖς, ἀγαπητοί, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ι. Ψαλ. πγ. δ. *Ex Ms. Regio Lut. emend. ex alio Ms.*

ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΤΡΥΓΟΝΑ*.

Η Τρυγὼν ἡ φιλέρημος, ὅτι ἐν ὕλαις συγκοιταζομένη καλεῖ τὸν ὁμόζυγον, γεραιῖς κολακείαις τὰς κοιλάδας δονήσασα, καὶ τὸν ἑαυτῆς ἄρρενα παρ' ὕδασι νεμόμενον θέλξασα, καὶ τοῦτον πετάσασα παραινεῖ ταχεῖαν τὴν πτῆσιν ποιήσασθαι· ὁμοφώνῳ δὲ γνώμῃ ἐπὶ τῶν στερεμνίων πρέμνων τὴν καλιὰν αὐτῶν πήξασαι καὶ ἀφόβως ἐπῳάζουσαι, τοὺς νεοττοὺς ἑαυτῶν ἐκεῖθεν πετάζουσι. φασί τινες τὴν τρυγόνα φίλανδρον εἶναι καὶ φίλαγνον· ὥστε κἂν συμβῇ τὸν ταύτης ἄρρενα ὑπὸ ἀετοῦ αἰχμαλωτισθῆναι, ἢ ὑπὸ ἰξευτοῦ θηρευθῆναι, ταύτην ἑτέρῳ ἀνδρὶ μὴ ἐπιμίγνυσθαι, ἀλλ' αὐτὸν ποθεῖν, αὐτὸν ἀναμένειν, καὶ τῇ τούτου μνήμῃ συναποθνήσκειν. ἀκούσατε γυναῖκες, οἵα σωφροσύνη ἐν ὀρνέοις εὑρίσκεται. ὅσαι τοίνυν τὴν μορφὴν τῆς τρυγόνος ἐν ὄψει φέρετε, τὴν ταύτης σωφροσύνην μιμήσασθε. τοιαύτη ἐστὶν ἡ πολύσημος ἐκκλησία. τοῦ γὰρ ἀνδρὸς αὐτῆς Χριστοῦ σταυρωθέντος καὶ εἰς οὐρανοὺς ἀνελθόντος, ἑτέρῳ ἀνδρὶ οὐκ ἐπιμίγνυται· ἀλλ' αὐτὸν ποθεῖ, αὐτὸν ἀναμένει, καὶ τῇ τούτου μνήμῃ συναποθνήσκει. ἀλλ' ἵνα μὴ δόξωμεν, ἀγαπητοί, ἔξωθεν εἶναι τῶν γραφῶν μνημονεύσαντες τρυγόνος, φέρε αὐτῶν τῶν γραφῶν μνημονεύσωμεν. μαρτυρεῖ ὁ Δαβὶδ ὁ μακάριος, καὶ κελαδεῖ λέγων· Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. καὶ ποῖον λέγει στρουθίον; ἢ πάντως τὸν ἄνθρωπον. Ἡ γὰρ ψυχὴ ἡμῶν, ὡς στρουθίον, ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. ὁ δὲ

γε Κύριος βουλόμενος δεῖξαι τοῖς ἑαυτοῦ μαθηταῖς, πόσων ἄλλων ἐν ἀγιωσύνῃ διαφέρουσι,
λέγει πρὸς αὐτούς· Μὴ φοβεῖσθε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς. διὰ τοῦτο καὶ ὁ Σολο-
μῶν ἐβόα λέγων· Ἵνα σώζῃ, ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. καὶ πάλιν
ἡ θεία φωνή, Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπιος, ὃν λαβὼν ἄνθρωπος ἔσπει-
5 ρεν ἐν τῷ ἰδίῳ ἀγρῷ, ὃ μικρότερον μέν ἐστι πάντων τῶν σπερμάτων· ὅταν δὲ αὐξηθῇ, γίνεται μεῖ-
ζον πάντων τῶν λαχάνων, ὥστε ἐλθεῖν πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ κατασκηνοῦν ἐν τοῖς
κλάδοις αὐτοῦ. καὶ γὰρ ἐνταῦθα τὰ πολυαρίθμητα γένη τῶν ἀνθρώπων ὀρνέοις παρείκασε.
καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. τρυ-
γόνι παρείκασε τὴν πάνσεμνον ἐκκλησίαν διὰ τὰ ποικίλα τῆς σοφίας χαρίσματα. ὅτι δὲ
10 πεποίκιλται ἡ ἐκκλησία, ἔστι τοῦ Δαβὶδ ἀκοῦσαι λέγοντος· Πᾶσα ἡ δόξα τῆς θυγατρὸς
τοῦ βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. καὶ γὰρ στρουθίον
εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς· τουτέστιν, ὑπὸ τοὺς
στερεμνίους κλάδους τοῦ σταυροῦ ἐκτρέφουσα τὰ νεοφώτιστα τέκνα. ταύτης δὲ τῆς τρυγόνος
μέμνηται καὶ Ἱερεμίας λέγων· Τρυγὼν καὶ χελιδὼν ἀγροῦ, στρουθία καὶ τέττιγες ἔγνωσαν καιρὸν εἰσ-
15 όδου αὐτῶν, τρυγόνα λέγων τὴν πάνσεμνον ἐκκλησίαν, χελιδόνα τὸν φιλέρημον Ἰω-
άννην, τέττιγα τὸν εὔλαλον Παῦλον, τὸν τῆς ἐκκλησίας αὐλόν. περὶ ταύτης τῆς τρυγόνος
ἐντέλλεται ὁ Κύριος τῷ Ἀβραάμ· Λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ
αἶγα τριετίζουσαν, καὶ περιστεράν, καὶ τρυγόνα. ταύτης τῆς τρυγόνος μέμνηται καὶ ἐν τοῖς ᾄσμα-
σι τῶν ᾀσμάτων ἡ γραφὴ λέγουσα· Φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν. ἡ φωνὴ τῆς
20 τρυγόνος ταύτης, τὸ οὐράνιον ἔαρ ὁ Χριστὸς οὐρανόθεν παραγίνεσθαι ἡμῖν σημαίνει. ἡ φωνὴ
τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν σήμερον. ἀλλ' ἀκούσωμεν τὴν φωνὴν τῆς τρυγόνος ταύ-
της, ποῖα μέλη κελαδεῖ. Μέλαινά εἰμι καὶ καλή. θυγατέρες Ἱερουσαλήμ, μὴ ἐμβλέψη-
τέ * με, ὅτι ἐγὼ μεμελανωμένη εἰμί, ὅτι παρέβλεψέ με ὁ ἥλιος. μέλαινά εἰμι καὶ καλή·
μέλαινα, διὰ τὸ ἐν τῷ παραπτώματι πένθος· καλή, διὰ τὸ ἐν τῷ βαπτίσματι φέγγος. μέλαι-
25 νά εἰμι καὶ καλή, θυγατέρες Ἱερουσαλήμ. θυγατέρας λέγει τῆς Ἱερουσαλήμ, τὰς ἁγίας τῶν
πατέρων ψυχάς. μέλαινά εἰμι καὶ καλή, ἡ ἐξ ἐθνῶν ἐκκλησία. μὴ βλέψητε ὑμεῖς αἱ
ἅγιαι ψυχαί, μὴ ἐμβλέψητε εἰς ἐμέ, ὅτι ἐγώ εἰμι μεμελανωμένη, ὅτι παρέβλεψέ με ὁ
ἥλιος τῆς δικαιοσύνης διὰ τὴν προτέραν μου πλάνην. ποῖος ἥλιος παρέβλεψεν αὐτήν;
οὐ πάντως περὶ οὗ λέγει ἐν τῷ Ἐκκλησιαστῇ, Ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τό-
30 πον αὐτοῦ ἕλκει; ἀνατελεῖ γὰρ ἡμῖν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ἐκ Μαρίας, τὸ κατὰ
σάρκα, ἀνατολὴ ὄνομα αὐτῷ. ἔδυνε πάλιν, ὅτε ἐπὶ τοῦ σταυροῦ καὶ εἰς τὰ καταχθόνια κα-
τῆλθεν. ἀνατέλλει ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει. ὅτε εἰς οὐρανοὺς
ἀνῆλθε, τότε ἡμᾶς εἵλκυσεν. Ὅταν γὰρ ὑψωθῶ, τότε πάντας ἑλκύσω πρὸς ἐμαυτόν.
περὶ τούτου τοῦ ἡλίου τῆς δικαιοσύνης καὶ Ἡσαΐας φθέγγεται λέγων· Ἐν ταῖς ἡμέραις ἐκείναις
35 ἀνατελεῖ ὁ ἥλιος τῆς δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. ἐλθόντος γὰρ τοῦ ἡλίου τῆς
δικαιοσύνης Χριστοῦ, ἡ αἱμορροοῦσα ἁψαμένη τοῦ πτερυγίου τοῦ ἱματίου αὐτοῦ τὰς πηγὰς τῶν
αἱμάτων ἐξήρανε. μέλαινά εἰμι καὶ καλή, θυγατέρες Ἱερουσαλήμ. εἴ τις ἐστὶν ἐνθάδε
ἑστηκυῖα ψυχὴ ἁμαρτίαις μεμελανωμένη, μὴ φοβείσθω· μόνον μετανοείτω, καὶ λεγέτω, μέ-
λαινά εἰμι καὶ καλή. εἰ καὶ πρὸς ἐσχάτην ἀναπνοὴν τυγχάνεις, εἰ καὶ πρὸς ἑσπέραν
40 ὥρα ἐστί, μὴ φοβείσθω· μετανοείτω μετὰ κλαυθμοῦ. τὸ γάρ, Ἑσπέρας αὐλισθήσεται κλαυ-
θμός, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. μίμησαι Ἐζεκίαν τὸν βασιλέα, ὃς ἀρρωστίᾳ ὑποπε-
σὼν κατέκειτο ἐπὶ κλίνης. ἀκούσας δὲ Ἡσαΐου λέγοντος πρὸς αὐτόν, Τάξαι περὶ τοῦ οἴκου σου
(μέλλεις γὰρ σὺ τελευτᾶν, καὶ οὐ ζήσῃ) στραφεὶς πρὸς τὸν τοῖχον, δάκρυσι μετανοίας τὴν κλί-
νην ἐδρόσιζε, τὸν ἥλιον ἐνεπόδιζε καὶ πεντεκαιδεκαετῆ ζωῆς χρόνον παραχρῆμα ἐλάμβα-

Ματθ. ι λα. — Παροιμ. ς. ε. — Λουκ. ιγ. ιθ. — Ψαλμ. μδ ιι. — Ιερ. η. ζ. — Γεν. ιε. θ. — Ασμ. β. ιβ. — Ασμ. α δ. — Εκκλησ. α. ε. — Ιωαν. ιβ. λβ. — Ψαλμ. κθ. ε. — Ησ. λη α.

νεν. Εἴ τίς ἐστιν ἐνταῦθα κατηχούμενος, μεταμοείτω, προστρεχέσθω τῷ Θεῷ, τῷ ὕδατι βαπτιζέσθω, τῷ βλέμματι φωτιζέσθω. Εἴ τίς ἐστιν ἐνθάδε πιστὸς ἁμαρτήσας, τῷ ὕδατι τῶν δακρύων τὸ σῶμα λουέτω, καὶ τῷ ἐλαίῳ τῆς εὐποιΐας τὴν ψυχὴν λαμπρυνέτω. ἐὰν οὕτω σεαυτὸν καλλωπίσῃς, ἐὰν τοῖς κατορθώμασιν αὐτὴν ὡραΐσῃς, ἐρᾷ σου ὁ Θεὸς λόγος, ἅπτεταί σου τῆς διανοίας, πρὸς πόθον Θεοῦ ἐξέλκει. λέγεις καὶ σύ, Οἴμοι τετρωμένη ἀγάπης ἐγώ. καθάπερ γὰρ βέλει τῇ ἀγάπῃ τιτρώσκονται αἱ τῶν ἁγίων ψυχαί. θέλεις ἀκοῦσαι αὐτοῦ τοῦ βέλους λαλοῦντος; ἀνάγνωθι τὸν Ησαΐαν, καὶ ἐν αὐτῷ εὑρήσεις πῶς λαλεῖ τὸ βέλος. Καὶ ἔθηκέ με ὡς βέλος ἐκλεκτόν, ὁ Θεὸς λόγος λέγει, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με. τούτῳ τῷ βέλει τρωθεὶς Ιερεμίας ἔλεγε πρὸς αὐτόν· Εγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα. τούτῳ τῷ βέλει τὴν διάνοιαν τρωθεὶς Δαβὶδ ἔλεγε πρὸς αὐτόν· Εκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. τούτῳ τῷ βέλει τρωθεὶς ὁ Παῦλος καὶ συνδεθεὶς Χριστῷ ἔλεγε, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; τούτῳ τῷ βέλει τρωθεῖσα ἡ πάνσεμνος ἐκκλησία ἔλεγεν, Οἴμοι τετρωμένη ἀγάπης ἐγώ, στεναγμὸς ἐν μέσῳ τῆς καρδίας βλυστάνων φιλόχριστα νάματα. ὢ στεναγμὸς τὸν οὐράνιον νυμφίον Χριστὸν πρὸς ἑαυτὴν ἐπισπωμένη. διὰ τοῦτο αὐτὴ λέγει· Φιλησάτω με ἀπὸ φιλήματος στόματος αὐτοῦ. μεμνήστευμαι τῷ οὐρανίῳ νυμφίῳ διὰ νόμου καὶ τῶν προφητῶν, ἐγὼ ἡ ἐκκλησία ἡ ἐξ ἐθνῶν μεμνηστευμένη. οὐκ ἔτι βούλομαι διὰ Μωϋσέως, ἢ διὰ Ησαΐου, ἢ διὰ Ιερεμίου, καὶ τῶν λοιπῶν προφητῶν, ἀλλ' αὐτὸς ἐλθέτω. βούλομαι στόμα πρὸς στόμα λαλῆσαι αὐτῷ. αὐτὸς ἡκέτω, φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. ἀκούει Ιερεμίου λέγοντος περὶ αὐτοῦ, Βαθεῖα ἡ καρδία αὐτοῦ παρὰ πάντας, καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; αὐτὸν ποθῶ, αὐτὸν ἱκετεύω· φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. ἀκούω τοῦ Αμὼς λέγοντος· Ιδοὺ ἄνθρωπος ἑστὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. αὐτὸν ζητῶ, ἡκέτω, φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. καὶ ὥσπερ γυνὴ φίλανδρος, ἀπόντος τοῦ ἀνδρός, παρακύψασα διὰ θυρίδων αὐτὸν περιβλέπεται, αὐτὸν περισκοπεῖ, καὶ κατὰ τὴν γῆν, καὶ κατὰ τὴν θάλασσαν κἂν ἴδῃ πλοῖον ἐρχόμενον, ἐκεῖνον ἑαυτῆς ἄνδρα φαντάζεται· κἂν ἴδῃ ὁδοιπόρους ἐρχομένους πόρρωθεν, ἐκεῖνον τὸν ἑαυτῆς ἄνδρα λογίζεται εἶναι· πολλάκις γὰρ αὐτοῖς συναντήσασα ἐπερωτᾷ περὶ τοῦ ἰδίου ἀνδρός, εἴπατέ μοι, ποῦ αὐτὸν εἰάσατε, ἐν ποίᾳ πόλει ἢ κώμῃ, τί λέγοντα, ἢ τί ποιοῦντα, ἢ πότε ἐρχόμενον; τὸν αὐτὸν τρόπον καὶ ἡ πάνσεμνος ἐκκλησία φιλήματι ἁγίῳ καὶ ἀγάπῃ συνεχομένη, πάντας τοὺς προφήτας ἐπερωτᾷ λέγουσα· ἴδετε αὐτόν; ἆρα ἔρχεται; ἆρα οὐκ ἔρχεται; ἆρα ἐν οὐρανῷ ἐστιν; ἆρα τὰ ἀπλάνητα πρόβατα τὰ ἐνενηκονταεννέα ἐν οὐρανῷ νέμει, καὶ οὐκ ἔρχεται πρὸς τὸ πεπλανημένον πρόβατον; Εἴπατέ μοι ποῦ ποιμαίνει; ποῦ κοιτάζει ὃν ἠγάπησεν ἡ ψυχή μου; ἐπερωτώμενοι δὲ οἱ προφῆται, δι' ἑνὸς φθέγγονται Ησαΐου καὶ λέγουσιν· Εἴδομεν αὐτόν· ἀλλ' εἰ ἐκεῖνον ἐκδέχῃ, Εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν οὔτε τὸ εἶδος αὐτοῦ, οὔτε τὸ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἀποκρίνεται ἡ πάνσεμνος νύμφη ἐκκλησία, ἐκεῖνός ἐστιν, αὐτὸν ποθῶ, αὐτὸν ζητῶ, ἱκετεύω, φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ. ἀποκρίνεται πρὸς αὐτὴν Ησαΐας· Εἰ αὐτός ἐστιν, ἔρχεται, καὶ μετὰ ἰσχύος πολλῆς ἔρχεται. Κύριος, Κύριος ἔρχεται, καὶ ὁ βραχίων αὐτοῦ μετὰ κυρείας. ἰδοὺ ὁ μισθὸς αὐτοῦ, καὶ τὸ ἔργον αὐτοῦ ἐναντίον αὐτοῦ· καὶ ἐν τῇ χειρὶ αὐτοῦ συνάξει ἄρνας, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλέσει. ἀκούει αὐτή, ὅτι ἀκριβῶς τὰ περὶ αὐτοῦ διηγεῖται Ησαΐας, καὶ λέγει αὐτὸν ποιμένα· Ως ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ συνάξει ἄρνας, καὶ τὰς ἐν γαστρὶ ἐχούσας παρακαλέσει, καὶ λέγει αὐτῷ· ποῦ ποιμαίνει; ποῦ κοιτάζει ὃν ἠγάπησεν ἡ ψυχή μου; πέμπει αὐτὴν Ησαΐας πρὸς Ιωάννην, καὶ λέγει αὐτῇ Ιωάννης, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ετοιμάσατε

τὴν

Marginal references: Αμ. β. ε. — Ησ μθ. β. — Ιερ. ιζ. ιϛ. — Ψαλ. ξβ. η. — Ρωμ. η. λε. — Ασμ. α. α. — Ιερ. ιζ. θ. — Αμως ζ. ζ. — Ησ. μ. ια.

τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. ἀπέρχεται εἰς τὴν ἔρημον πρὸς Ἰωάννην, κατ' αὐτόν, ἐπερωτᾷ, εἰπέ μοι, εἰ σὺ εἶ ὁ Χριστός; ἀποκρίνεται Ἰωάννης, οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός· ὀπίσω μου ἔρχεται, ἰσχυρότερός μου ἐστίν· οὗ οὐκ εἰμὶ ἄξιος τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ λῦσαι. ἔτι βραδύνοντος αὐτοῦ, ἔλεγεν αὐτή· οἴμοι τετρωμένη ἀγάπης ἐγώ. πάλιν πρὸς αὐτὴν Ἰωάννης· μὴ στέναζε, παῦσαι, μόνον ἐπίμεινον ὀλίγον. θεωρεῖ Ἰωάννης προσερχόμενον τὸν Κύριον, καὶ λέγει αὐτῇ· παῦσαι, μηκέτι στέναζε. πόρρωθεν ὑποδεικνύει τὸν δάκτυλον ἐκτείνας, καὶ λέγει· ἴδε, ὃν ζητεῖς, Ἴδε, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. ἀκούσασα αὕτη ἀμνὸν παρὰ Ἰωάννου, καὶ ποιμένα παρὰ Ἡσαΐου, ἀμφιβάλλει λέγουσα ἐν ἑαυτῇ· τίνι ἄρα πιστεύσω; ἆρα τούτῳ πιστεύσω, ἢ Ἡσαΐᾳ; θεωρεῖ ὁ δεσπότης, ὅτι ἀμφέβαλλε· κράζει καὶ λέγει, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. λύει αὐτῆς τὴν ἀμφιβολίαν ἐκ τοῦ ῥήματος. προσέρχεται ἐκείνη τῷ νυμφίῳ, περιπλέκεται αὐτόν, καὶ φιλεῖ αὐτόν. καὶ πληροῦται τὸ ἐν τῷ Δαβὶδ γεγραμμένον, Ἔλεος καὶ ἀλήθεια συνηντήσαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. ἵνα δὲ ἐντελέστερον μάθωμεν ὅτι νύμφη τῷ νυμφίῳ συνήφθη, γάμος ἐγένετο πνευματικός, καὶ αὐλὸς ἐπιθαλάμιος. ᾄδει αὐτὸν ὁ Ἰωάννης καὶ λέγει· Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ ἑστὼς καὶ ἀκούων τῆς φωνῆς αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. χρεία δὲ ὡς ἐν γάμῳ καὶ δῶρα γράφεσθαι τῇ νύμφῃ· ἔδει χάρτην ζητηθῆναι, καὶ γραφέα, καὶ κάλαμον. ὁ χάρτης παρὰ Ἡσαΐου εὑρίσκεται. ἐπιζητεῖ τὸν γραφέα τὸ πνεῦμα τὸ ἅγιον καὶ λέγει, Λάβε μοι τόμον καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου. ἐζητεῖτο ὁ κάλαμος, εὑρέθη παρὰ τῷ Δαβίδ. λέγει γὰρ περὶ αὐτοῦ, Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ταύτην τὴν ἐκκλησίαν ὁ Δαβὶδ νυμφοστολεῖ· αὐτὸς αὐτὴν καλλωπίζει, αὐτὸς αὐτὴν νουθετεῖ, καὶ διδάσκει ὡς νυμφοστόλος, ἤ, ὡς ἔθος ἐστὶ λέγειν τοῖς ἀνθρώποις, παράνυμφος. παραγγέλλει τῇ νύμφῃ, βλέπε τέκνον· Ἄκουσον, θύγατερ· καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. μὴ νομίσῃς ὅτι ἐπίγειος αὐτοῦ ἴση αὐτοῦ εἶ. ἄκουσον, θύγατερ, καὶ ἴδε· καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου· καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ὅτι αὐτός ἐστιν ὁ Κύριός σου, καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις. ἐὰν μὲν ἀκούσῃς, θύγατερ, τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς. ἔδει λοιπὸν γραφῆναι καὶ τὰ παρ' ἑκάστου αὐτῶν διδόμενα. δούλους καὶ παιδίσκας. παρὰ μὲν τοῦ Χριστοῦ, δούλους· παρὰ δὲ τῆς νύμφης, παιδίσκας. τοὺς δούλους δίδωσιν ὁ Χριστός. ἔρχονται Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ. ἀπαιτοῦσι καὶ τὰς παρὰ τῆς νύμφης παιδίσκας. ὁ Δαβὶδ ὑπαγορεύει· Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. γίνεται ὁ γάμος· ἔρχεται ὁ Κύριος μυστικῶς ἐν Κανᾷ τῆς Γαλιλαίας. Κανᾶ δὲ ἑρμηνεύεται κτίσις Θεοῦ. κτίσις δὲ τοῦ Θεοῦ ὁ πᾶς κόσμος. ὧδε τοὺς γάμους τελεῖ τοὺς πνευματικούς. ἔρχεται ἐν Κανᾷ τῆς Γαλιλαίας καὶ παραγίνεται ἐκεῖ πᾶς ὁ τῶν ἁγίων χορός. κατὰ τὴν οἰκείαν δύναμιν προσφέρουσι τῷ νυμφίῳ τὰ δῶρα· ἕκαστος κατὰ τὴν οἰκείαν δύναμιν ὡς ἐν γάμῳ, Ἀβραὰμ τὸν μόσχον, ἡ τούτου γυνὴ Σάρρα τοὺς ἐγκρυφίας, Ἰσαὰκ τὰ ξύλα, Ἰακὼβ τοὺς ἐρίφους, Ἰωσὴφ σιτοδοτεῖ, Μωϋσῆς λαμπαδουχεῖ, Ἡσαΐας ᾄδει, καὶ Δαβὶδ χορεύει· καὶ ἐπειδὴ ἔδει καὶ γυναῖκας ἁγίας παρεῖναι εἰς τὸν τοιοῦτον γάμον, κἀκείνας ᾄδειν· ἔρχεται Ἐσθήρ, Ἰουδὴθ στολίζεται, καλλωπίζεται· καὶ Μαρία ἡ τοῦ Μωϋσέως ἀδελφή, λαμβάνει τὸ τύμπανον καὶ λέγει· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. καὶ ἐπειδὴ ἔδει ὡς ἐν γάμῳ τοιούτῳ καὶ ἐγγράφεσθαι ἐπαίνους, Παῦλος ἐπαινῶν τὸν γάμον λέγει· Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. ὅτι δὲ περὶ Χριστοῦ λέγει καὶ

Ἐφεσ. ε. λα.

καὶ τῆς ἐκκλησίας αὐτὸς ἑαυτὸν ἑρμηνεύσαντα. Τί γάρ, φησι, γέγραπται; Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. ὅπου ἐκεῖνος ἑρμηνεύει, ἡμεῖς μὴ ἀμφιβάλλωμεν. ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ πατρί, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιβ. Ματ. ιη. ιη. Ματ. ιη. ιβ. Ματ. ιη. ιθ. Ματ. ιη. κα.

ΕΙΣ ΤΟ, ΟΣΑ ΕΑΝ ΔΗΣΗΤΕ ΕΠΙ ΤΗΣ ΓΗΣ, ἔσται δεδεμένα καὶ ἐν τῷ οὐρανῷ· καὶ περὶ τῆς παραβολῆς τῶν ἑκατὸν προβάτων· καὶ εἰς τὸ ῥητὸν τοῦ εὐαγγελιστοῦ, Ἐὰν δύο συμφωνήσωσι, καὶ τὰ ἑξῆς· καὶ εἰς τό, Ποσάκις ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ;

Ex Ms. Regio Lut.

Μίαν ἔχουσα ἡ πηγὴ τοῦ ὕδατος τὴν φύσιν, πολλοῖς καὶ διαφόροις ἐμψύχοις τὸ ἴαμα τῆς δίψης χαρίζεται. καὶ γὰρ μηδὲ βουκόλια, καὶ ποιμνίων ἀγέλαι πρὸς αὐτὴν κατατρέχουσαι, ποτὸν λαμβάνουσι; καὶ τετραπόδων συνόδους καὶ κυκλοφόρων θηρίων ποικιλόμορφα γένη πρὸς αὐτὴν ἐπειγόμενα, ἐκεῖθεν ὑδρεύονται, καὶ πετεινῶν πολυάριθμα πλήθη πρὸς αὐτὴν καθιπτάμενα καὶ τὸ ὕδωρ ἀντλοῦντα, τοῦ δίψους τὸν καύσωνα ἐκεῖθεν ἐκλύουσι. καὶ οὐ μόνον ἡ πηγὴ τὴν τῶν ἀλόγων χρείαν πληροῖ, ἀλλὰ γὰρ καὶ λογικῶν ἀνθρώπων τὴν τοῦ τόπου πλουσίαν χάριν ἐκ λαγόνων βλαστάνει· καὶ πᾶσα φύσις ἑρπετῶν καὶ πετεινῶν καὶ τετραπόδων καὶ λογικῶν ἀνθρώπων ἐκ μιᾶς πηγῆς ἀντλοῦντα τὸ ὕδωρ χορτάζεται. τοιαύτη ἐστὶν ἡ τῶν θείων γραφῶν διδασκαλία, ἀγαπητοί. μία τυγχάνουσα, ἐπειδὴ γὰρ καὶ ἐκ μιᾶς τῆς τοῦ Θεοῦ σοφίας τὴν ἀπόρροιαν ἔχει, πολλὰς δὴ καὶ διαφόρους τῶν ἀνθρώπων καρδίας σοφίζει. καὶ ἐκεῖθεν οἱ διδάσκαλοι σοφίζονται, οἱ μαθηταὶ ῥυθμίζονται, αἱ ἐκκλησίαι μυρίζονται, οἱ διψῶντες ποτίζονται, οἱ ἐσκοτισμένοι φωτίζονται. ὅτι δὲ ταῦτα οὕτως ἔχει, ἐκ τοῦ ἀρτίως ἡμῖν ἀναγνωσθέντος εὐαγγελίου ῥᾴδιόν ἐστι τὸ πρᾶγμα μαθεῖν. τί γὰρ ἔλεγεν ὁ Κύριος; Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ ἐν τῷ οὐρανῷ. μία ἐστὶν ἡ φωνή, καὶ πολυτρόπως πρὸς τὴν ἑκάστου χρείαν καὶ ὠφέλειαν μεριζομένη· μία ἐστὶν ἡ φωνή, καὶ ἀρτίζει γέρουσι καὶ νεωτέροις, καὶ γυναιξὶ καὶ παρθένοις, καὶ ἀνδράσι, καὶ μαθηταῖς καὶ διδασκάλοις. ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. σοὶ δέδωκε τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν. σαυτὸν ἔδησας τῇ σειρᾷ τῆς φιλαργυρίας, σαυτὸν λῦσον τῇ ἐντολῇ τῆς φιλοπτωχίας· σαυτὸν ἔδησας τῷ οἴστρῳ τῶν ἡδονῶν, σαυτὸν λῦσον τῇ σωφροσύνῃ· σαυτὸν ἔδησας τῇ Εὐνομίου κακοπιστίᾳ, σαυτὸν λῦσον τῇ τῆς ὀρθοδοξίας εὐσεβείᾳ. οἱ διδάσκαλοι, δήσατε τὰ Εὐνομίου, καὶ Ἀρείου, καὶ Μαραθωνίου μαθήματα, καὶ λύσατε ἡμῖν τὰ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐν εὐαγγελίοις νοήματα· δήσατε τοὺς κατὰ τῶν πιστῶν στρατευομένους δαίμονας ταῖς πρὸς Θεὸν ὑμῶν ἱκεσίαις, καὶ λύσατε τοὺς ἐξ ἐθνῶν ἐπιστρέφοντας ἐν τῷ βαπτίσματι, τὰς σειρὰς τῶν ἁμαρτημάτων αὐτῶν διαρρήσσοντες· δήσατε ἀφορισμῷ τοὺς μετὰ τὸ βάπτισμα ἁμαρτήσαντας, καὶ λύσατε αὐτοὺς πάλιν μετανοοῦντας, ὡς ἀδελφοὺς αὐτοὺς προσδεχόμενοι. ἀληθὴς γάρ ἐστιν ὁ λόγος· Ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. τοῦτο γὰρ καὶ οἱ ἀπόστολοι ἐποίουν. ἔδησέ ποτε Παῦλος τὸν ἐν Κορίνθῳ πορνεύσαντα, καὶ πάλιν ἔλυσεν αὐτὸν ἐκ καρδίας μετανοήσαντα. ἔδησε καὶ Πέτρος τὸν μετὰ τὸ βάπτισμα βουληθέντα διὰ χρημάτων κτήσασθαι τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ πάλιν ἔλυσεν αὐτὸν ἐκ καρδίας αὐτῷ προσπεσόντα. λοιπὸν δὲ πολλοὺς καὶ ἀμετανόητα ἁμαρτήσαντας ἔδησαν, ἄλλους δὲ μετανοήσαν-

[…] ιη. ιη.

τας

τὰς ἔλυσεν. ἔδησε Πέτρος Ἀνανίαν σὺν Σαπφείρῃ πειράζοντα τὸ πνεῦμα Κυρίου, καὶ
ἔλυσε τῆς Ταβιθᾶ τὰς ὠδῖνας τοῦ θανάτου, ἐκ νεκρῶν αὐτὴν ἀναστήσας. ἔλυσε Κορνήλιον
τὸν ἑκατόνταρχον πιστεύσαντα, καὶ ἔδησε Σίμωνα τὸν Μάγον ἐν Ῥώμῃ ταῖς μαγείαις ἐμ-
παίζοντα. ἔδησε καὶ Παῦλος Ἐλύμαν τὸν μάγον διὰ λόγου αὐτὸν τυφλώσας, καὶ ἔλυσε τὴν
5 παιδίσκην τοῦ πυθωνίου δαίμονος αὐτὴν διαζεύξας. ἔδησεν ἑαυτὸν Ἰούδας τῷ σχοινίῳ τῆς προ-
δοσίας, καὶ ἔλυσε τὴν ἑαυτοῦ ἄρνησιν Πέτρος διὰ τῆς μετανοίας. ἔδησε καὶ Παῦλος ἑαυτὸν διώ-
κων τὴν ἐκκλησίαν, ἀλλὰ πάλιν ἔλυσεν ἑαυτὸν ἐπιγνωκὼς ἐν τῇ ὁδῷ τὴν ὁδὸν τῆς ἀληθεί-
ας. πολλοὶ δὲ καὶ τῶν προφητῶν ἔδησαν, καὶ ἔλυσαν. ἔδησεν Ἡλίας ὁ Θεσβίτης τὰς ὀμβροτόκους
νεφέλας, μὴ διδοὺς τὸν ὑετὸν τοῖς ἀσεβέσι, καὶ ἔλυσεν αὐτὰς πάλιν, τοῦ βασιλέως αὐτῷ Ἀχαὰβ
10 προσπεσόντος. ἔλυσε καὶ ὁ τούτου μαθητὴς Ἐλισσαῖος Νεεμὰν τὸν Σύρον τῆς λέπρας αὐτὸν
διαζεύξας, καὶ ἔδησε τὸν Γιεζὶν διὰ χρήματα ψευσάμενον, τὴν λέπραν αὐτῷ περια-
ψάμενος. ἔλυσε Δανιὴλ τοῦ Ναβουχοδονόσορ τὸ ἐνύπνιον, καὶ ἔδησε χεῖρας ξιφήρεις Χαλ-
δαίων κατ' αὐτῶν ὁπλισαμένας· καὶ ἔλυσε τὸν ναὸν τῶν εἰδώλων, τὸν Βὴλ καταστρέψας
καὶ τὸν δράκοντα κτείνας, καὶ ἔδησε στόματα λεόντων αἱμοβόρων. ἔδησαν καὶ οἱ τρεῖς παῖδες τοῦ
15 πυρὸς τὴν δύναμιν μὴ καέντες ὑπ' αὐτοῦ, καὶ ἔλυσαν τοῦ βασιλέως τὸ δόγμα τὴν εἰκό-
να αὐτοῦ μὴ προσκυνήσαντες. ὑπὲρ δὲ τούτους πάντας ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔδη-
σε καὶ ἔλυσεν. ἔλυσε τὴν μεταξὺ ἡμῶν καὶ τοῦ Θεοῦ γενομένην ἔχθραν, καὶ ἔδησε τὸν ἀρχέ-
κακον ὄφιν, δι' ὃν ἡ ἔχθρα γεγένηται. ἔδησε πάντας τοὺς κατὰ τῶν ἀνθρώπων στρατευομένους δαί-
μονας, καὶ ἔλυσε πάντας τοὺς ὑπ' αὐτῶν ὀχλουμένους ἀνθρώπους. ἔδησε τὴν καθ' ἡμῶν
20 στρεφομένην φλογίνην ῥομφαίαν, καὶ ἔλυσε τὸν ἐπὶ τοῦ σταυροῦ δεδεμένον λῃστὴν, εἰς τρυ-
φὴν παραδείσου αὐτὸν εἰσοικίσας. ἔδησε τὸν ἀδελφοκτόνον Καῒν τρόμοις αὐτὸν συνειλήσας,
καὶ ἔλυσε τοῦ παραλυτικοῦ τοὺς τρόμους τὰ μέλη αὐτοῦ διορθώσας. ἔλυσε τὸν Ἰσαὰκ ὑπὸ τοῦ
Ἀβραὰμ συμποδισθέντα, καὶ ἔδησεν ἀντ' αὐτοῦ κριὸν ἐν φυτῷ σαβὲκ κατεχόμενον. ἔδησε
τὸν Ἰούδαν ἀργύρια φιλήσαντα, καὶ ἔλυσε τὸν ἀρχιτελώνην Ζακχαῖον τὰ χρήματα αὐτοῦ
25 τοῖς πένησι διαδώσαντα. ἔδησε τοὺς Ἰουδαϊκοὺς χοίρους τοῖς δαίμοσιν ἐπιτρέψας, καὶ ἔλυσε
τὴν δεδεμένην ὄνον καὶ τὸν πῶλον, τοὺς μαθητὰς αὐτοῦ πέμψας. ἔδησε τὴν πικροφόρον συ-
κῆν, τὰς ῥίζας αὐτῆς ξηράνας, καὶ ἔλυσε τὴν συγκύπτουσαν γυναῖκα, εἰρηκὼς αὐτῇ, Θάρ-
σει, θύγατερ· λέλυσαι ἀπὸ τῆς ἀσθενείας σου. ἔλυσε Πέτρον δεδεμένον ἁλύσεσι. καὶ ἔδησε τὸν
φονοκτόνον Ἡρώδην τὰ μέλη αὐτοῦ τοῖς σκώληξιν ἐνειλήσας. ἐστερέωσε τὴν ἐπὶ τῆς στερεᾶς
30 πέτρας θεμελιωθεῖσαν ὀρθόδοξον ἐκκλησίαν, καὶ συνέλυσε τὴν ἐπὶ τῆς ἀστάτου ψάμμου οἰ-
κοδομηθεῖσαν ἑτεροδόξων σκηνήν. ἔδησαν καὶ Ἰουδαῖοι Χριστόν. ἀλλ' ἔλυσεν αὐτῶν Χρι-
στὸς τὸν ναὸν, κατέστρεψεν αὐτῶν τὴν Ἱερουσαλὴμ, περιέλυσεν αὐτῶν τὰ νόμιμα· ἠκύρωσεν
αὐτῶν τὰς περιτομὰς, διέλυσεν αὐτῶν τὰς συναγωγὰς· ἀφήρπασεν αὐτῶν τὸν νόμον καὶ
τοὺς προφήτας, καὶ αὐτοὺς ἀχύρου δίκην ἀνὰ πᾶσαν πόλιν καὶ χώραν ἐλίκμησεν. ἔδησε καὶ ὁ
35 διάβολος τὸν Κύριον, ἐπὶ τὸν σταυρὸν αὐτὸν ἀνακομίσας· ἀλλ' ἀνέρρηξεν αὐτοῦ Χριστὸς τὴν
ἀχόρταστον κοιλίαν, συνέλυσεν αὐτοῦ τοὺς σαρκοφάγους ὀδόντας. τῇ στερεμνίῳ αὐτοῦ πέτρᾳ συγ-
κλάσας περιέλυσεν αὐτοῦ τὰ νεῦρα, συνέτριψεν αὐτοῦ τὴν στολὴν, κατέστειλεν αὐτοῦ τὴν
κόμην, θρῆνον καὶ πένθος σκοτεινὸν ἐπέρριψεν αὐτῷ αἰώνιον, ἀνθ' ὧν τὸν ἐν χαρᾷ ἑστῶτα ἄν-
θρωπον εἰς πένθος ἁμαρτημάτων κατήγαγεν. ἐξέσβεσεν αὐτοῦ τοὺς ἀναιδεῖς ὀφθαλμοὺς,
40 κατήσχυνεν αὐτοῦ τὸ ἄτιμον πρόσωπον, ζιβύναις ὀξέσιν ἐλογχοβόλησεν αὐτὸν, τριστόμῳ
ῥομφαίᾳ κατεκέντησεν αὐτὸν, διεσκόρπισε τὰς ἐλπίδας αὐτοῦ, ἐξηρεύνησε τὰς κεκρυμμένας
δόξας αὐτοῦ νοσσιὰς, καὶ ἐλίκμησε πάντῃ ἀνέμῳ τὰς ἀποθήκας αὐτοῦ. ἠδάφισε τὰ ἀνελεῆ τῶν
δαιμόνων αὐτοῦ τέκνα καὶ ἔκγονα, κατέκαυσε πυρὶ ἀσβέστῳ τὰ χειροποίητα αὐτοῦ ξόανα, ἐβα-
ράθρωσε τὴν στρωμνὴν αὐτοῦ, διέρρηξε τὰ σκοτεινὰ αὐτοῦ ταμεῖα, ἀνεπέτασε τὰς πύλας

Ματθ. θ. β.

τοῦ ᾅδου καὶ πάντας τοὺς ὑπ' αὐτοῦ δεθέντας λύσας καὶ μεθ' ἑαυτοῦ λαβών, εἰς οὐρανοὺς πρὸς
τὸν πατέρα ὡς γίγας ἀνέδραμε, καθά φησιν ὁ προφήτης· Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν (Ψαλ. ιη. ς.)
τὴν ὁδὸν αὐτοῦ. ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, καὶ τὸ κατάντημα αὐτοῦ ἕως ἄκρου
τοῦ οὐρανοῦ, καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ. ἀγαλλιάσεται ὡς γίγας δρα-
μεῖν ὁδὸν αὐτοῦ. ἠγαλλιάσατο, ὡς ἀρτίως ἠκούετο ἐν τῷ εὐαγγελίῳ, διὰ τὴν εὕρεσιν τοῦ 5
ἀπολωλότος ἑνὸς προβάτου. εἴασε γὰρ τὰ ἐνενήκοντα ἐννέα πρόβατα μὴ πεπλανημένα,
τουτέστι, τὰς ἀγγελικὰς δυνάμεις ἐπὶ τὰ ὄρη, τουτέστιν, ἐπὶ τοῖς οὐρανοῖς, καὶ ἦλθεν ἐπὶ τὸ πε-
πλανημένον πρόβατον τὸ βοῶν καὶ λέγον· Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν (Ψαλ. ριη. ροϛ.)
δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. τῆς γὰρ τοιαύτης φωνῆς ἀκούσας τοῦ πεπλανημένου
προβάτου, ἔκλινεν οὐρανούς, καὶ κατέβη, καὶ ἦλθε ζητῆσαι τὸ πεπλανημένον πρόβατον, καὶ εὑρὼν 10
ἠγαλλιάσατο. ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν. ἔδραμε γὰρ ἀπ' οὐρανῶν ἐπὶ γῆν ὁδὸν ἀ-
γαλλιῶν, εἶτα ἀπὸ γῆς ἐπὶ τὰ ὑποχθόνια ἔδραμεν. εἶτα ἐκεῖ πάσας τὰς ὑπὸ τοῦ διαβόλου
κατεχομένας ψυχὰς λύσας, εἰς γῆν κατέδραμε, καὶ πάλιν ἀπὸ γῆς εἰς οὐρανοὺς πρὸς τὸν πα-
τέρα, ὡς γίγας ἐνήλατο. καὶ οὐκ ἔστιν, ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ. θέρμην ἀ-
κούων Χριστοῦ, νόει αὐτὸν ἥλιον δικαιοσύνης. καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐ- 15
τοῦ. τίς γὰρ τῷ ψυχροτάτῳ θανάτῳ νεκρωθεὶς, ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ τοῦ πνεύ-
ματος, καὶ οὐχὶ πάντες ἐκ νεκρῶν ἀναστήσονται; Σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄ- (α. Κορ. ιε. νβ.)
φθαρτοι. εἶτα τὸ ἑξῆς τί, ἀγαπητοί; εἰ καὶ ὀλίγα ἀπὸ πολλῶν εἰρηκότες, εἰς τό, ὅσα ἐὰν
δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λε-
λυμένα ἐν τῷ οὐρανῷ, εἰς τὸν ἑξῆς στίχον τὸν νοῦν ἡμῶν ἐπιρρίψωμεν. Ἀμὴν λέγω ὑ- 20 (Ματθ. ιη. ιθ.)
μῖν, ὅτι ἐὰν δύο συμφωνήσωσιν ἐπὶ τὸ αὐτὸ περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, δο-
θήσεται αὐτοῖς. Ἀβραὰμ συμφωνήσας μετὰ Σάρρας τῆς γυναικὸς αὐτοῦ, ὁ μὲν εἰς τὰς βόας
δραμών, ἡ δὲ τοὺς ἄρτους ἐπισπεύσασα, πρᾶγμα παράδοξον ἐπὶ γήρως ἐδέξαντο, τόκον
λαγόνων καρπωσάμενοι παῖδα. Ἰακὼβ ὁ πατριάρχης ὁμονοήσας μετὰ τῆς μητρὸς αὐτοῦ εὐ-
λογίας αἰωνίου δέδεκται καρπόν. Μωϋσῆς καὶ Ἀαρὼν συμφωνήσαντες, ὅλην Αἴγυπτον ἐξ- 25
επόρθησαν, τὸ τῶν Ἑβραίων ἐλευθερώσαντες γένος. Ἰησοῦς καὶ Χαλὲβ ὁμονοήσαντες μόνοι
τὴν τῆς ἐπαγγελίας ἐκληρονόμησαν γῆν. Δεβόρρα μετὰ Βαρὰκ συμφωνήσασα τὸν ὠμό-
τατον ἐνίκησαν τύραννον. Ἰουδὴθ μετὰ τῆς ἰδίας θεραπαινίδος ὁμονοήσασα τὸν ἀλλόφυλον
ἐνίκησεν Ὀλοφέρνην. Τωβίας μετὰ τοῦ ἀγγέλου ὁμονοήσας τὸν ἀνδροκτόνον δαίμονα τῆς ἰ-
δίας γαμετῆς συνέδησε, καὶ τοῦ πατρὸς αὐτοῦ ὀφθαλμοὺς κεκλεισμένους ἀνέῳξεν. Ἐζεκίας καὶ 30
Ἡσαΐας ὁμοφώνως εὐξάμενοι, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀλλοφύλων κατέστρωσαν.
Παῦλος καὶ Σίλας ὁμοφώνως ἐν τῷ δεσμωτηρίῳ εὐξάμενοι, τὰ θεμέλια τῆς φυλακῆς σει-
σθῆναι ἐποίησαν. ἔστι δὲ καὶ ἄλλως νοῆσαι τὸ γράμμα, ἐὰν δύο συμφωνήσωσιν ἐπὶ τὸ αὐτὸ περὶ
παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, δοθήσεται αὐτοῖς. ἐὰν τὰ δύο ταῦτα πολλοὺς δι-
στασιάζοντα καὶ φιλονεικοῦντα συμφωνήσωσι, τουτέστι, σὰρξ καὶ πνεῦμα, καθ' ὅτι ἡ σὰρξ 35
ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ἐὰν συμφωνήσωσι τὰ δύο ταῦτα,
ἵνα τὸ μὲν κυριεύῃ, τὸ δὲ δουλεύῃ· τὸ δὲ μὲν σωφρονῇ, τὸ δὲ μὴ ἀντιλέγῃ, τότε ὁ Κύριος ἔσται ἀνὰ
μέσον ψυχῆς καὶ σαρκός· καὶ περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, δοθήσεται αὐτοῖς. πολλοὶ
γὰρ τοῦτο ἀσκήσαντες εἰσηκούσθησαν, ὡς Ἠλίας ἐν τῷ ὄρει, καὶ Δανιὴλ ἐν τῷ λάκκῳ, καὶ
Ἰωνᾶς ἐν τῷ κήτει, καὶ Ἐζεκίας ἐν τῇ κλίνῃ τῆς ἀρρωστίας αὐτοῦ, καὶ Πέτρος ἐν Ἰόππῃ, καὶ Κορνή- 40
λιος ἐν Καισαρείᾳ. πολλαὶ δὲ καὶ μόναι γυναῖκες εὐξάμεναι εἰσηκούσθησαν, ὡς Σάρρα τοῦ
Ραγουὴλ ἐν Ἐκβατάνοις, καὶ Ἰουδὴθ ἐν τῷ ὑπερῴῳ, καὶ Σωσάννα ἐν τῇ κρίσει τῶν παρανόμων. Τότε (Ματθ. ιη. κα.)
προσελθών, φησιν, ὁ Πέτρος εἶπε τῷ Κυρίῳ, ποσάκις ἀφήσω τῷ ἀδελφῷ μου εἰς ἐμὲ ἁμαρ-
τήσαντι; ἕως ἑπτάκις; ὁ δὲ Κύριος τί φησι πρὸς αὐτόν; Οὐ μόνον, λέγω σοι, ἕως ἑπτάκις,
ἀλλ'

ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. ἐπειδὴ γὰρ ἤκουσε τοῦ Κυρίου εἰρηκότος, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ, ἐπεργάζεται τὴν ἐπαγγελίαν τοῦ Κυρίου, βουλόμενος ἅμα μαθεῖν, καὶ πόση ἐστὶν ἡ τοιαύτη τοῦ Κυρίου φιλάνθρωπος χάρις. Εἶπες ἡμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα καὶ ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα καὶ ἐν τῷ οὐρανῷ. ποσάκις οὖν ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; ὁ δὲ Κύριος σκοπήσας τὸ πρόθυμον αὐτοῦ τῆς περὶ τὸν πλησίον φιλανθρωπίας, εἶπε πρὸς αὐτόν· οὐ μόνον, λέγω σοι, ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. σὺ μὲν γὰρ ὡς ἄνθρωπος πένης, πενίας ᾔτησας· ἐγὼ δὲ ὡς Θεὸς μεγαλόδωρος, πλουσίως τὴν χάριν δεδώρημαι· οὐ μόνον ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. ἀλλὰ μυστήριον ἔχει ὁ λόγος ἀπόκρυφον. ἐὰν μὴ ὁ γεωργὸς τὴν δίκελλαν εἰς τὴν γῆν βαθύνῃ, τοὺς καρποὺς ἐν τῷ μέλλοντι καιρῷ οὐχ εὑρίσκει ἐπιτηδείους· οὕτω καὶ ἡμεῖς, ἐὰν μὴ τὴν νοῦν ἡμῶν βαθύνωμεν εἰς τὸ γράμμα, τὸν κεκρυμμένον τοῦ πνεύματος θησαυρὸν οὐχ εὑρίσκομεν. ποσάκις ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; καὶ τί γὰρ οὐκ εἶπεν, ἕως ὀκτάκις, ἢ ἑξάκις, ἢ δεκάκις, ἀλλ' ἕως ἑπτάκις; ἐπειδὴ ὁ Θεὸς ἐποίησε τὰ σύμπαντα ἐν ἓξ ἡμέραις, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ. μυστήριον ἐπερωτᾷ ὁ Πέτρος τὸν Κύριον, βουλόμενος μαθεῖν ἐκκλησιαστικοὺς κανόνας· δηλονότι, ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς αὐτοῦ, ἐν δὲ τῇ τελευταίᾳ ἡμέρᾳ τῆς ζωῆς αὐτοῦ, δηλονότι, εἰ ἐν τῇ ἑβδόμῃ μετανοήσῃ, ἀφήσω αὐτῷ; ὁ δὲ Κύριος ἐπιστρέψει λέγων· οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀφήσεις αὐτῷ τὰ ἁμαρτήματα, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἱ ἔνι συγχωρήσεις αὐτῷ, μακροτέρῳ ὑπάρχοντι παρὰ τοῦτον τὸν αἰῶνα ἑβδομηκοντάκις ἑπτά. ἀληθὴς γάρ ἐστιν ὁ εἰπών σοι· ὅτι ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. ἀλλ' ἔτι βαθύτερον ἐπεργασώμεθα τὸ νόημα. ποσάκις ἐὰν ἁμαρτῇ εἰς ἐμὲ ὁ ἀδελφός μου, οὐκ εἰς σὲ τὸν Θεόν, ἀλλ' εἰς ἐμέ, ἀφήσω αὐτῷ; ὁ δὲ Κύριος πρὸς αὐτόν, οὐ μόνον τὰ εἰς ἐμὲ ἕως ἑπτάκις ἁμαρτήματα συγχωρήσεις, ἀλλὰ γὰρ καὶ ἑβδομηκοντάκις ἑπτά. ἀληθὲς γάρ ἐστιν ὃ εἶπον, Ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ κατὰ τοῦ ἁγίου πνεύματος βλασφημία οὐκ ἀφεθήσεται οὐδὲ ἐν τῷ νῦν αἰῶνι τούτῳ, οὐδὲ ἐν τῷ μέλλοντι. χάρις δὲ τῷ Θεῷ, ὅτι ἡμεῖς ταύτην τὴν ἁμαρτίαν οὐ φοβούμεθα. οὐ γὰρ βλασφημοῦμεν τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ προσκυνοῦμεν καὶ δοξολογοῦμεν. ἀλλ' ἔτι ξέσωμεν τὸν λόγον. καὶ γὰρ χρυσὸς χωνευόμενος, στιλβότερος γίνεται· οὕτω καὶ γραφὴ ξεομένη τελειοτέρα εὑρίσκεται. ποσάκις ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; ἐπειδὴ ᾔδει ὅτι ὁ νόμος συγχωρεῖ τοῖς ἀνθρώποις τὰ παραπτώματα ἐν τῇ ἑβδομάδι τοῦ αἰῶνος τούτου· οὐ γὰρ εἶχε τὴν ὀγδόην ἡμέραν τῆς ἀναστάσεως. οὔπω γὰρ ἦν παραγενόμενος ὁ Χριστός, ὁ ἔχων τὴν ἀναστάσιμον ἡμέραν. ὅθεν καὶ Δαβὶδ ἐπειδὴ ὑπὸ νόμον ὑπῆρχεν, ἑπτάκις αἰνεῖ τὸν Θεὸν ἐν τῇ ἡμέρᾳ. λέγει γάρ, Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σοι· οὐκ ὀκτάκις. οὔπω γὰρ ἦλθέ μοι Χριστός, ἡ ὀγδόη τῆς ἀναστάσεως ἡμέρα. ἔτι εἰμὶ ὑπὸ νόμον, ὑπὸ νόμον δουλεύσω σοι· ἔτι τῆς παιδίσκης εἰμὶ υἱός, τῆς συναγωγῆς· οὔπω γὰρ ἐκ τῆς ἐλευθέρας γεγέννημαι· διὸ λέγει, Ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. τῶν γὰρ ἐν τῇ χάριτι ἀναγεννηθέντων χριστιανῶν ἡ μήτηρ ἐλευθέρα ἐστί, καθὰ λέγει ὁ ἀπόστολος· Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. ποσάκις οὖν ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; οἱονεὶ ἔλεγε, κελεύεις συγχωρῆσαι τὰ πλημμελήματα τοῖς ἀδελφοῖς μου, ὡς ὁ νόμος; (τοῦτο γάρ ἐστιν, ἕως ἑπτάκις) ἢ πλεῖόν τι; ὁ δὲ Κύριος ὑπερπλεονάζει τὴν χάριν λέγων· οὐ μόνον ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. ὅσον γὰρ ὁ λόγος τοῦ νόμου ὑπερέχει, τοσοῦτον καὶ ἡ χάρις τοῦ νόμου. οὐ γὰρ ὁ λόγος Θεὸς ἐκ τοῦ νόμου,

ἀλλ'

Ματθ. ιβ. λα.

Ψαλ. ριη ρξδ.

Ψαλ. ρις. ς.

Γαλ. δ. κς.

ἀλλ' ὁ νόμος ἐκ τοῦ λόγου. καὶ ἔστι μαθεῖν, ἀγαπητοί, τὴν ὠφέλειαν ἐκ τοῦ λόγου· ἵνα μάθῃς πόσῳ μείζων ὁ λόγος τοῦ νόμου. ὁ νόμος δέκα λόγους δίδωσι τοῖς Ἰουδαίοις, καὶ οὐδὲν ὠφέλησεν· ἡμῖν δὲ ὁ Θεὸς ἕνα λόγον δεδωκώς, τοὺς πάντας δι' αὐτοῦ αἱρέσωσεν. ἀλλ' ἔτι σκάλλομεν τὸ γράμμα τῷ πνεύματι. ὁ γὰρ θησαυρὸν ἀνοίξας οὐ μόνον χρυσὸν καὶ ἄργυρον λαβὼν ἀπέρχεται, ἀλλὰ γὰρ καὶ λίθους τιμίους καὶ τοὺς διαφόρους ἐπιζητεῖ. ποσάκις ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; μυστήριόν ἐστιν, ἀγαπητοί, ἀποκεκρυμμένον ἐν τῷ γράμματι, καὶ πολλοὺς λέληθε. σὺ δέ μοι ἀκριβῶς πρόσεχε τῷ νοήματι. λεπτὸν γάρ ἐστι σφόδρα, πετεινοῦ ὀξύτερον, ῥαδίως δυνάμενον τὸ ὄμμα τῆς διανοίας παραδραμεῖν, καὶ τοὺς σφόδρα ὀξυδορκοῦντας. ποσάκις ἐὰν εἰς ἐμὲ ἁμαρτήσῃ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἑπτάκις; ζητήσεως γὰρ ἄξιον, διὰ τί εἶπεν ἕως ἑπτάκις ὁ Πέτρος, καὶ ὁ Κύριος ἡμῶν ἀπεκρίνατο ἕως ἑβδομηκοντάκις ἑπτά. ἀλλ' ὁ Πέτρος προσεῖχε τὸ τοῦ φόνου ἔγκλημα, ὅτι βαρύτατον καὶ δεινόν ἐστι· καὶ βούλεται μαθεῖν ἐν μυστηρίῳ κανόνας ἐκκλησιαστικούς, εἰ ἄρα καλεῖν αὐτῷ ὁ Κύριος συγχωρεῖν ἐν τῷ βαπτίσματι τὸ τοῦ φόνου ἔγκλημα. προσεσχηκὼς γὰρ ὅτι ὁ Κάϊν τὸν ἀδελφὸν αὐτοῦ δόλῳ ἐφόνευσε, καὶ ἑπτὰ ἐγκλήμασιν ὑπέπεσε. πρῶτος γὰρ ἐφόνευσεν ἐν ἀνθρώποις, πρῶτος ὑπεκρίνετο, πρῶτος ἐψεύσατο, πρῶτος αἵματι τὴν γῆν ἐμίανε, πρῶτος πύλας θανάτου ἀνέῳξεν. οὔπω γὰρ ἦν θάνατος γευσάμενος ἀνθρώπου, εἰ μὴ Κάϊν διὰ φθόνου ἐκίνησε. προσεσχηκὼς οὖν Πέτρος ὅτι τοῦ Κάϊν ὁ φόνος ἑπτὰ ἐγκλήμασιν ὑπόκειται, προσέρχεται τῷ Κυρίῳ μυστηριωδῶς ἐπερωτῶν, ποσάκις ἐὰν ἁμαρτήσῃ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; τουτέστι, κελεύεις ἐν τῷ βαπτίσματι τὰ τοῦ ἀδελφοκτόνου Κάϊν ἐγκλήματα ἀφήσω αὐτῷ; ὁ δὲ Κύριος τί φησι πρὸς αὐτόν; οὐ μόνον τὸ τοῦ Κάϊν ἑπτάκις ἐν τῷ βαπτίσματι ἄφεσις, ἀλλὰ καὶ τὸ τοῦ Λάμεχ τὸ ἕως ἑβδομηκοντάκις ἑπτά, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιβ.
Ιωαν. ζ. κ.
Ιωαν. ζ. κδ.

ΕΙΣ ΤΟ ΛΕΓΕΙΝ ΤΟΥΣ ΙΟΥΔΑΙΟΥΣ, ΔΑΙΜΟΝΙΟΝ ἔχεις, καὶ εἰς τό, Μὴ κρίνετε κατ' ὄψιν.

Ex Ms. Regio Lut.

Ὥσπερ ἡ φαεσφόρος σελήνη τὰ τῆς νυκτὸς ἀμαυρὰ λευκαίνουσα, τοῖς τε κατὰ γῆν καὶ θάλατταν πλωτῆρσί τε καὶ ὁδοιπόροις τὸ κάλλος διαδαδουχοῦσα, ἀνεμποδίστως ἑκάστῳ τὴν πορείαν κατεργάζεται· ὡσαύτως καὶ ὁ τῆς ἐκκλησίας διδάσκαλος δίκην σελήνης τὰς τῆς θεογνωσίας λαμπηδόνας διὰ λόγου αὐγάζων, τοῖς τε ἐν τῷ πελάγει τοῦ βίου τούτου τὴν ἁλμυρίδα τῆς ἡδονῆς παρατρέχοντας, καὶ τοὺς τὴν χερσοφόρον ὁδὸν βαίνοντας, ἐπὶ τὴν ἀλήθειαν Χριστὸν παραπέμπει. οἶδε δὲ καὶ ἡ θεία γραφὴ τοὺς τῆς ἐκκλησίας διδασκάλους καὶ ἐν σεμνῇ πολιτείᾳ βιοῦντας, ἐν εἰκόνι σελήνης καὶ ἀστέρων ὀνομάζειν, ὥς φησιν ὁ προφήτης Δαβίδ· Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. (Ψαλ. η δ.) σαφέστερον δέ ἐστιν ἐκ τῶν τοῦ ἀποστόλου ῥημάτων ἰδεῖν τὴν διαφορὰν τῶν ἁγίων ἐπὶ τάξει ἡλίου καὶ σελήνης καὶ ἀστέρων ὀνομαζομένην. Ἄλλη δόξα, φησίν, ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ. (α. Κορ. ιε μα.) δεῦρο τοίνυν καὶ ἡμεῖς δίκην ἀστέρος βραχυτάτου ὑπολάμψαντες, τὰς ἀστραπὰς τῶν εὐαγγελικῶν νοημάτων σαφῶς ὑμῖν ἀποδείξωμεν. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, φησί, τῷ Κυρίῳ· δαιμόνιον ἔχεις. (Ιωαν. ζ. κ.) ὁ δέ, Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε, ὦ Ἰουδαῖοι. ἐμὲ λέγετε δαιμόνιον ἔχειν· συγκρίνατε τὰ ἔργα τὰ ἐμὰ τοῖς ὑμετέροις, καὶ ἐν τῷ γνώμονι τῆς συνειδήσεως ὑμῶν διερευνήσαντες, εἴπατε, τίς ἄρα ἔχει δαιμόνιον, ἐγώ, ἢ ὑμεῖς; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ

τὴν

τὴν δικαίαν κρίσιν κρίνατε. ὑμεῖς διὰ θαλάσσης ἐρυθρᾶς, καὶ διὰ χλοηφόρου πεδίου διελθόν-
τες, καὶ ἐν τῇ ἐρήμῳ ἐν ἀφθόρῳ γλυκάσματος μεταποιούμενον ἐδέξασθε ὕδωρ ἐκ πέτρας,
καὶ ἐκ μέσου ἀέρος ὀρτυγομήτραι προσαπέστελλουσαν, καὶ μετὰ τὴν τοσούτων καὶ πλειόνων ἄλ-
λων ἀγαθῶν περιοχήν, Μωϋσέως εἰς τὸ ὄρος ἀναδραμόντος, μοσχοποιήσαντες, τῷ λεγεῶνι
5 τῶν δαιμόνων προσεκυνήσατε· ἐγὼ δὲ ἐλθὼν τὸν λεγεῶνα τῶν δαιμόνων ἀπὸ τῆς ἀνθρωπό-
τητος ἀπήλασα. τίς οὖν ἔχει δαιμόνιον, ἐγώ, ἢ ὑμεῖς, εἴπατε; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ
τὴν δικαίαν κρίσιν κρίνατε. ὑμεῖς τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας τοῖς δαιμονίοις θύετε, ἐ-
γὼ δὲ τὸν υἱὸν τῆς χήρας καὶ τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου τεθνεῶτας ἀνέστησα. τὸν μὲν
λάρνακι κατακείμενον ἀφῇ χειρός, τὴν ἰαματικὴν δύναμιν πρὸς τὸν ἔνδοθεν κείμενον ἐκ-
10 πέμψας, ὑγίασα· τὴν δέ, ῥήματι ἐκ θανάτου, ὡς ἐξ ὕπνου, ἤγειρα. τίς οὖν ἔχει δαιμόνιον;
ἐγώ, ἢ ὑμεῖς; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. ὑμεῖς πλαστοῖς
ῥήμασι τῆς Ἰεζάβελ τὸν Ναβουθὲ ἀποκτείναντες, τὸν τῆς εὐφροσύνης γεννήτορα τὸν
ἀμπελῶνα ἀνασκάψαντες, λαχανηφόρον ἄρουραν ἐποιήσατε, ἀσθενούντων βρώματα,
ὡς φησιν ὁ ἀπόστολος. Ὁ γὰρ ἀσθενῶν λάχανα ἐσθίει. ἐγὼ δὲ τοὺς δίκην λαχάνων χαμα- Ῥωμ. ιδ. β.
15 λούς, τοὺς ὑπὸ τῆς ἀρρωστίας καταπεσόντας, ἐν ῥιπῇ ὀφθαλμοῦ ὑγιάσας καὶ ἰσχυροποιήσας,
ἄρτου οὐρανίου βρώσιν μετέδωκα, καὶ πάλιν εἰς τὴν αὐτὴν τάξιν ἐγεώργησα, λέγων· Ἐγώ Ἰωάν. ιε. ε.
εἰμι ἡ ἄμπελος, καὶ ὑμεῖς τὰ κλήματα. τίς οὖν ἔχει δαιμόνιον, ἐγώ, ἢ ὑμεῖς, εἴπατε; μὴ
κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. ὑμεῖς τὸν Ἡσαΐαν ξυλίνῳ πρίονι πρίσαντες,
διηνύσατε· ἐγὼ δὲ τὴν διαλυθεῖσαν τῷ θανάτῳ ἀνθρωπότητα, τῇ μετουσίᾳ τοῦ ξύλου τοῦ σταυροῦ
20 συναρμόσας ἀνέστησα. τίς οὖν ἔχει δαιμόνιον, ἐγώ, ἢ ὑμεῖς, εἴπατε; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ
τὴν δικαίαν κρίσιν κρίνατε. ὑμεῖς Ἰερεμίαν τὸν προφήτην εἰς λάκκον βορβόρῳ βαλόντες ἀπε-
πνίξατε· ἐγὼ τὸν ἐν τῷ βορβόρῳ τῶν ἡδονῶν ὑμῶν ἀποθανόντα προφητικὸν λόγον ἀπέσπασα,
καὶ ἐν ταῖς ψυχαῖς τῶν ὑπηκόων μοι ἐνίδρυσα. τίς οὖν ἔχει δαιμόνιον; ἐγώ, ἢ ὑμεῖς, εἴπατε. μὴ
κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. ὑμεῖς Ζαχαρίαν τὸν μέγαν μεταξὺ τοῦ
25 ναοῦ καὶ τοῦ θυσιαστηρίου ἀπεκτείνατε (Ζαχαρίας δὲ ἑρμηνεύεται, μνῆμα Θεοῦ) ἐγὼ δὲ ἐλ-
θών, τουτέστι τὸν Ζαχαρίαν, τὴν μνήμην τοῦ Θεοῦ, τὸν μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου
ὑφ' ὑμῶν ἀποκτανθέντα, τουτέστι, μεταξὺ σώματος καὶ ψυχῆς (ναὸς γὰρ ψυχῆς σῶμα, ὡς
καὶ θυσιαστήριον Θεοῦ ψυχή, ἐν ᾗ προσφορὰ τῆς λογικῆς λατρείας καὶ θυμιάματα τῶν
προσευχῶν ἀναπέμπεται) ταύτην τὴν μνήμην τοῦ Θεοῦ ζωοποιήσας, ἐν ταῖς καρδίαις
30 τῶν ἀνθρώπων ἐνῴκισα, πρὸς τὸ πάντας τοὺς δεξαμένους ἱερατεύειν Θεῷ. τίς οὖν ἔχει
δαιμόνιον; ἐγώ, ἢ ὑμεῖς, εἴπατε. μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε.
μέμνηνται δὲ καὶ οἱ μαθηταὶ τοῦ Κυρίου τοῦ ῥήματος τούτου. ὅτε γὰρ ὑπὸ τῶν γραμ-
ματέων καὶ Φαρισαίων ἐνεκαλοῦντο μὴ διδάσκειν ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ (Οὐ παραγ- Πράξ. ε. κη.
γελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἰδοὺ ἐπληρώσατε τὴν
35 Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν;) τότε ἀποκρίνονται, ὑπομιμνήσκοντες ἅμα τὸ κρίνειν ἀδί-
κως, καὶ λέγοντες· Εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν μᾶλλον, ἢ τοῦ Θεοῦ, κρίνατε. ὅρα δὲ τὸν προ- Πράξ. δ. ιθ.
φήτην, ἀγαπητέ, ἐν τῷ ἀρτίως ἡμῖν ὑποψαλέντι ψαλμῷ φανερῶς τὰ λέγοντα περὶ
τῆς τοῦ Κυρίου ἐνσάρκου παρουσίας, καὶ τοῦ μὴ κρίνειν ἀδίκως. Ὁ Θεὸς ἔστη, φησίν, ἐν συνα- Ψαλ. πα. α.
γωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. καὶ τίς ἂν εἴη ὁ Θεὸς ὁ σταθεὶς ἐν συναγωγῇ θεῶν,
40 ἢ πάντως ὁ Χριστός, ὁ σταθεὶς ἐν τῇ συναγωγῇ τῶν Ἰουδαίων, τῶν ποτε ὄντων θεῶν; πρὸς οὓς
ἀπεκρίθη, Ἐγὼ εἶπα, θεοί ἐστε. ὅσον γὰρ ἐπὶ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ, θεοὺς αὐτοὺς
ὠνόμασεν· ὅτι δὲ ἐν τῇ ἑαυτῶν κακίᾳ, ὡς ἄνθρωποι ἀπέθνησκον, καὶ ὡς εἷς τῶν ἀρχόντων
ἔπιπτον· ἀρχόντων δέ, οὐ τῶν ἐπιγείων, τῶν ἀνθρώπων, ἀλλ' ἐκ τῶν οὐρανίων ἁψίδων κατα-
πεσόντων, περὶ ὧν λέγει καὶ Παῦλος· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς Ἐφεσ. ς. ιβ.

τὰς

τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευμα-
τικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. Ὁ Θεὸς οὖν ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς
διακρινεῖ. θεοὺς ἀπὸ τῶν ποτὲ θεῶν διακρινεῖ Ἰουδαίων. καί φησι πρὸς αὐτοὺς τὸ πνεῦμα τὸ ἅ-

Ψαλμ. πα. β.

γιον· Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; καὶ ὁ Κύριός φησι· Μὴ
κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. εἶτα πάλιν τὸ πνεῦμα τὸ ἅγιον· Κρίνατε ὀρ- 5

Ησ. α. ιζ.

φανῷ καὶ πτωχῷ. ἴδε μοι πῶς περὶ Χριστοῦ πάντα εἰσηγεῖται, πάντα διδάσκει, βουλόμενος
ἀνάψαι τὴν περὶ αὐτοῦ γνωμένην ἀδικίαν. κρίνετε γάρ, φησιν, ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ
πένητα δικαιώσατε. ἀλλ' ἴσως ἐρεῖ τις τῶν ἀκεραίων καὶ ἀπορεῖν ἡμᾶς δοκείη, τὸ, ὅτι ὀρφανὸς
ἀκήκοεν ὁ Κύριος. τὸ μὲν γὰρ πτωχὸν, ῥᾴδιόν ἐστι καταμαθεῖν ἐκ τοῦ ἀποστόλου ῥήματος· Ὃς δι'

β. Κορ. η. θ.

ἡμᾶς ἐπτώχευσε πλούσιος ὤν. ἀλλὰ πῶς ἂν εἴη ὀρφανός; ἢ πάντως ὁ μήτε πατέρα ἔχων, 10
μήτε μητέρα. ἄκουε δὲ τοῦ ἀποστόλου λέγοντος περὶ τοῦ Χριστοῦ· Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλό-

Εβρ. ζ. γ.

γητος. ἀπάτωρ ἐπὶ τῆς γῆς κατὰ τὴν ἀνθρωπότητα ὁ Κύριος, καὶ ἀμήτωρ ἐν οὐρανοῖς κατὰ τὴν θεότητα.

α. Κορ. θ. ιθ.

κρίνατε ὀρφανῷ καὶ πτωχῷ, τῷ δι' ἡμᾶς πτωχεύσαντι. Τοῖς πᾶσι γὰρ τὰ πάντα γέγονε πλεῖον τοῦ

Ματθ. ια. κθ.

ἀποστόλου, ἵνα τοὺς πάντας κερδήσῃ. ταπεινὸν καὶ πένητα δικαιώσατε. Μάθετε ἀπ' ἐμοῦ ὅτι
πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. ἀλλὰ τί φησιν; οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν σκότει 15
διαπορεύονται. οὐκ ἔγνωσαν τὸν Θεὸν λόγον σάρκα γενόμενον δι' ἡμᾶς. ὁ λόγος γὰρ σὰρξ ἐγένετο,
οὐ τραπεὶς, ἀλλὰ καθὸ ἐσκήνωσεν ἐν ἡμῖν. οὐκ ἔγνωσαν τὴν ἀΐδιον τῆς θεότητος μορφὴν ἐν τῇ
τοῦ δούλου εἰκόνι· οὐκ ἔγνωσαν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν.
ἀλλ' οὐδὲ συνῆκαν. οὐ συνῆκαν γὰρ τῶν θαυματουργημάτων αὐτοῦ τὴν δύναμιν, ὅσων εἶ-
χε συμβόλων εἰκόνας· οὐ συνῆκαν τὸν ἐν τῷ ἀγρῷ κεκρυμμένον θησαυρὸν, τουτέστι, τὴν 20
ἐν σαρκὶ ἀποκεκρυμμένην θεότητα, καὶ ἐν οὐρανοῖς σὺν πατρὶ αὐλιζόμενον· οὐ συνῆκαν τὰ
ἐπὶ τοῦ Λαζάρου γενόμενα· οὐ συνῆκαν τὸν λίθον τὸν ἀποκυλισθέντα τοῦ μνήματος, ὅτι τὴν
ἠλιθίαν καρδίαν τῶν ἀνθρώπων ἀποκινεῖσθαι ἔλεγεν· οὐ συνῆκαν αὐτὸ τὸ μνῆμα, καὶ τὸν
ἔνδοθεν ἀποκείμενον Λάζαρον τετραήμερον, τίνος ἦν τύπος, ὅτι ἐν εἰκόνι σώματος ὁ τά-
φος ἦν περιέχων ἔνδοθεν τὸν νοῦν ἐναποθανόντα καὶ νεκρωθέντα. οὕτως γὰρ τάφος ἦν τὸ σῶ- 25

Ματθ. κγ. κζ.

μα ἡμῶν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας, καθώς φησιν ἐν τῷ εὐαγγελίῳ· Τάφοι κεκονιαμέ-
νοι. οὕτως ἦμεν τάφοι μεμεστωμένοι νεκρῶν ἁμαρτημάτων, ἔχοντες ἔνδοθεν τὸν νοῦν τεθανα-
τωμένον ταῖς ἡδοναῖς, τὸν τετραήμερον καὶ ἤδη ὄζοντα, τὸν ἐκ τεσσάρων γενικῶν ἀρετῶν συνε-
στῶτα νοῦν, φρονήσεως, δικαιοσύνης, ἀνδρείας, σωφροσύνης. ὁμοίως καὶ τὸ σῶμα ἐκ τεσσά-
ρων στοιχείων συνέστηκε, θερμοῦ, ψυχροῦ, ὑγροῦ τε καὶ ξηροῦ. οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν. 30

Ιωαν. α. ε.

Χριστὸν γὰρ μὴ δεξάμενοι τὸ φῶς, ἐν σκότει διαπορεύονται. Καὶ τὸ φῶς γὰρ ἐν τῇ σκο-

Ψαλμ. πα. ε.

τίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε. Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς· οὐ

Γεν. γ. ιθ.

τὴν πατουμένην, ἀλλὰ περὶ ἧς λέγει, Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. θεμέλιος γὰρ
σώματος ἡ ψυχή· ἧς ἐξελθούσης, καθάπερ θεμελίου ὑποχωρήσαντος, ὁ οἶκος τοῦ σκήνους ἡ-

ἰσ. πτῶμα γίνεται

μῶν καταπίπτει. σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς, τουτέστι, μετακινηθήτωσαν καὶ 35
μεταστήτωσαν αἱ ψυχαὶ ἀπὸ τῆς εἰδωλολατρείας εἰς τὴν θεογνωσίαν. Εἶτα, Ἀνάστα ὁ

Ψαλμ. πα. η.

Θεὸς, φησὶ, κρῖνον τὴν γῆν. ἀνάστα ὁ σταυρωθεὶς, ἀνάστα ὁ τὰς ἁμαρτίας ἡμῶν ἐν εἰκόνι
ἀκανθῶν ἐπὶ τῆς ἰδίας κεφαλῆς ἀναδησάμενος, ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν. τὴν γῆν
εἶπεν, οὐ τὸν οὐρανόν. μὴ φοβηθῇς, ἀγαπητέ. εἰ ἀναγεγέννησαι ἐξ ὕδατος καὶ πνεύματος,

Γαλ. γ. κζ.

οὐράνιος εἶ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οἷος ὁ χοϊκὸς, τοιοῦτοι 40

α. Κορ. ιε. μη.

καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν
γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι· σὺ ὁ Χριστὸς, ᾧ δέδωκεν ὁ πατὴρ ἐξουσί-

Ιωαν. ε. κβ.

αν πάντων, ἐξουσίαν πάντα κρίνειν. Καὶ γὰρ ὁ πατὴρ κρίνει οὐδένα. πᾶσαν γὰρ τὴν κρί-
σιν δέδωκε τῷ υἱῷ, ἵνα τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. σὺ κατακληρονομήσεις

ἐν πᾶσι τοῖς ἔθνεσι. σοὶ γὰρ εἶπεν ὁ πατήρ, Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. Τῷ Θεῷ οὖν δῶμεν δόξαν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. β. η.

ΕΙΣ ΤΗΝ ΑΡΝΗΣΙΝ ΠΕΤΡΟΥ, ΚΑΙ ΕΙΣ ΤΟΝ ΣΤΑΥΡΟΝ· καὶ πῶς ὁ Ἰωσὴφ τύπος ἐγένετο τοῦ Χριστοῦ.

Λογ. ιγ.

Ex Ms. Regio Lat.

Ἀναγκαῖον ἐν τῷ παρόντι καιρῷ καὶ τὸ χρέος τοῦ Ἰωσὴφ ἀποτίσαι, καὶ τὸ κλῆτος τοῦ σταυροῦ μηνῦσαι. σήμερον καὶ Ἰωσὴφ στεφανοῦται, καὶ σταυρὸς φυτουργεῖται· σήμερον δὲ Πέτρος ἀρνεῖται, καὶ ὁ λῃστὴς εὐωχεῖται· σήμερον καὶ ὁ νόμος πληροῦται, καὶ ὁ προφητευθεὶς Χριστὸς δοξολογεῖται· σήμερον κυρίως πληροῦται τὸ φάσκον ῥητὸν περὶ τοῦ Κυριακοῦ θανάτου, Ἐν τῇ παγίδι αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. καὶ τίς ὁ ἁμαρτωλός; ὁ τῆς ἁμαρτίας εὑρετὴς διάβολος. καὶ τίς ἡ ὑπ' αὐτοῦ κατασκευασθεῖσα παγίς; ὁ σταυρός, καὶ οὐδὲν ἕτερον. αὐτὸς γὰρ ἠρέθισε παῖδας Ἰουδαίων πλέξασθαι τὸν σταυρόν, δόξας σοφίζεσθαι τὸν ἀσόφιστον, καὶ τῷ θανάτῳ περιβάλλειν τὸν ἐν νεκροῖς ἐλεύθερον, μὴ συνιδὼν ὁ δηλότελες, ὅτι ὁ σταυρὸς τὸ κέντρον τῆς ἁμαρτίας ἀμβλυνεῖ, καὶ τὴν κεφαλὴν τῆς ἀλαζονείας αὐτοῦ συνθλάσει, καὶ τὸ στόμα τῆς βλασφημίας αὐτοῦ ἐμφράξει, καὶ τὰς πτέρυγας τῆς αἰτήσεως αὐτοῦ ἐκτιλεῖ, καὶ ἐρήμους καὶ ἀπόρους ἐρήμοις ἀποδεικνύει. σήμερον δὲ τοῦ προφήτου Δαβὶδ πληροῦται τὸ λόγιον, μαρτύριον ἐν τῷ Ἰωσήφ, τουτέστιν, ὁ Κύριος ἐν τῷ Ἰωσὴφ προανεζωγράφετο, ἃ ἔμελλεν ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐφίστασθαι. πολλὰ γὰρ ἐν τῷ Ἰωσὴφ παραπλήσια τοῦ δεσπότου εὑρίσκεται. ἴδωμεν τί λέγω. ὁ Ἰωσὴφ ἐπεβουλεύετο ὑπὸ τῶν ἰδίων συγγενῶν, ὁ Ἰωσὴφ ἀπέδυ τὸν ποικίλον χιτῶνα· ὁ Κύριος, ὃν εἶχε τὸν ἄνωθεν ὑφαντόν, λαβόντες οἱ στρατιῶται διενείμαντο. Διεμερίσαντο γάρ, φησι, τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. ὁ Ἰωσὴφ πρὸς τὸν πατέρα διεβλήθη· ὁμοίως δὲ τὸν Κύριον πρὸς τὸν πατέρα ἐσυκοφάντησαν, οἱ μὲν Ἰουδαῖοι τὸν υἱὸν τοῦ τέκτονος αὐτὸν λέγοντες· πάλιν δὲ οἱ τῶν Ἰουδαίων παράσιτοι, αἱρετικῶν παῖδες, ἑτερούσιον αὐτὸν δογματίζουσιν. ὁ Ἰωσὴφ τοῖς Ἰσμαηλίταις ἐπράθη, ὁ Κύριος ὑπὸ Ἰούδα τοῖς Φαρισαίοις· ὁ Ἰωσὴφ εἰς κενὸν λάκκον ἐμβληθεὶς ἀνῆλθεν ἀτραυμάτιστος, ὁ Κύριος εἰς καινὸν μνημεῖον ταφείς, ἀνέστη τριήμερος. τί δὲ μακρολογῶ; ὁ Ἰωσὴφ τὴν Αἰγυπτίαν ἐστηλίτευσεν, ὁ Κύριος τὴν συναγωγὴν ἐδημοσίευσεν· ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς ἀνεγνωρίσθη, ὁ Κύριος μετὰ τὴν ἀνάστασιν τοῖς μαθηταῖς ἐνεφανίσθη· ὁ Ἰωσὴφ φυλακισθεὶς σὺν δυσὶν εὐνούχοις τὰ ὀνείρατα αὐτοῖς ἐμήνυσε, καὶ ὁ εἷς μὲν αὐτῶν ὀρνεόβρωτος ἐγένετο, ὁ δὲ ἕτερος εἰς τὴν ἰδίαν πατρίδα ἀποκατασταθήσεται· ὁ Κύριος μετὰ δύο λῃστῶν σταυρωθείς, τὸν μὲν ἄπιστον βρώμασι γέεννης παρέπεμψε, τὸν δὲ πιστὸν ἀρχιπολίτην τοῦ παραδείσου κατέστησεν· ὁ δὲ Κύριος τετράπωλον ἅρμα τῶν εὐαγγελιστῶν τῷ πατρὶ ἐγνώρισεν· ὁ Ἰωσὴφ θηριότροφος ἐμηνύθη, δὲ ὡς βασιλεὺς ἐκηρύχθη· ὁ Κύριος ὡς ἄνθρωπος ἐσταυρώθη, καὶ ὡς Θεὸς ἐδοξάσθη. ἄκουε δὲ καὶ ἑτέραν προφητείαν συντείνουσαν εἰς τὸν σταυρόν· Ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσας αἰχμαλωσίαν, καὶ δέδωκας δόματα τοῖς ἀνθρώποις. τί τὸ ὕψος; τίς ὁ ἀναβάς; τίς ἡ αἰχμαλωσία; τί τὰ δόματα ἐν ἀνθρώποις; ὕψος, ὁ τίμιος σταυρὸς διὰ τὸ ἀκατάληπτον μυστήριον· ὁ ἀναβάς, ὁ δεσπότης Χριστός. Ὁ γὰρ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβάς. τί δέ ἐστιν, ᾐχμαλώτευσας αἰχμαλωσίαν; τουτέστι, τοὺς προκατεχομένους ὑπὸ τῆς ἁμαρτίας ἐλθὼν ὁ Κύριος διὰ τῆς χάριτος ἀνεπλάσατο, δοὺς δόματα τοῖς ἀνθρώποις. ποῖα δόματα; τῶν ἁμαρτιῶν τὴν ἄφεσιν, τῆς υἱοθεσίας τὸ χάρισμα, τῆς βασιλείας τὴν κληρονομίαν, τῆς ἀθανασίας τὸ μήνυμα,

Ψαλ. θ. ιε. — Ψαλ. κα. ιθ. — Ψαλ. ξζ. ιθ. — Ἐφεσ. δ. ι.

μήνυμα, καὶ τῆς ἐκ δεξιῶν καθέδρας τὸ ἐνέχυρον. καὶ τίς ὁ τούτου μάρτυς; αὐτὸς ὁ Κύριος
Ἰωαν. ιβ. λβ. λέγων· Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· τουτέστιν, ὅταν σταυρωθῶ, τότε πάν-
τες εἰς ἐμὲ πιστεύσουσιν. ἤκουες ἀρτίως ἄλλην ἐνεργεστέραν μαρτυρίαν συντείνουσαν εἰς
Ἡσ. νγ. ζ. τὸν σταυρόν, Ἠσαΐου προφήτου βοῶντος καὶ λέγοντος· Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤ-
χθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος. τί τὸ πρόβατον; τίς ὁ ἀμνός; τίς ἡ
σφαγή; τίς ἡ κούρευσις; τίνες αἱ σφαγισταὶ καὶ κουρευταί; πρόβατον καὶ ἀμνός, ὁ δεσπότης
Χριστὸς τυπικῶς· πρόβατον διὰ τὸν πόκον τοῦ βαπτίσματος, ἀμνὸς διὰ τὴν ἔνσαρκον θυ-
σίαν. σφαγή, ἡ τῆς πλευρᾶς τὴν πλευρὰν ἰώμενος. τίνες οἱ σφαγισταὶ, καὶ κουρευταί;
Σαδδουκαῖοι καὶ Φαρισαῖοι. πρότερον γὰρ περιεκούρευσαν τῇ βλασφημίᾳ, εἶθ' οὕτως ἐ-
φόνευσαν τῇ βασκανίᾳ. ὥσπερ γὰρ ἐν τοῖς προβάσι, ἄνθρωπος ὁ κουρευόμενος, καὶ ἀνώδυ-
νος μένει, καὶ ὡραιόμορφος εὑρίσκεται· οὕτω καὶ ὁ Χριστὸς τὴν πληγὴν δεχόμενος ὡς κου-
ρὰν ἐδέξατο, ὀδύνην μὴ ὑπομείνας, καὶ τὴν εὐμορφίαν τῆς ἀναστάσεως μηνύσας. πε-
Ψαλ. μδ. γ. ρὶ αὐτοῦ γέγραπται, Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. συνῳδὰ δὲ καὶ τοῦ
Ἱερ. ια. ιθ. Ἠσαΐου Ἱερεμίας ἐφθέγξατο εἰπών, Ἐγὼ ὡς ἀρνίον ἄκακον ἦλθον τοῦ θύεσθαι. ἀρνὸς ἀ-
ναγκαίως προσηγορεύθη, ὡς μὴ στασιάσας περὶ τὸ πάθος, ὡς μὴ λακτίσας περὶ τὴν σφα-
γήν. ἀλλ' εἰ καὶ ὡς Ἰουδαῖοι ἔσφαξαν, ἡμεῖς δὲ ὠψωνιάσαμεν· κἀκείνων μὲν τὸ ἔγκλημα,
ἡμῶν δὲ τὸ κατόρθωμα· ἐκείνων ἦν τὸ ῥάπισμα, ἡμῶν δὲ ἡ ἐλευθερία· ἐκείνων ἡ τιμωρία,
καὶ ἡμῶν δὲ ἡ εὐλογία. τὸ φῶς παραγίνεται, ὁ Χριστὸς μνημονεύεται. σήμερον πληροῦ-
Ψαλ. ξη. κβ. ται καὶ τὸ τοῦ Δαβὶδ προφητικὸν λόγιον ἁρμόζον εἰς τὸν παρόντα σταυρόν· Ἔδωκαν εἰς
τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. φέρε οὖν ἐν μνήμῃ, ἀ-
γαπητέ, ὡς ὁ Κύριος κρεμασθεὶς ἐν τῷ σταυρῷ ἐβόησε λέγων, Διψῶ· καὶ εὐθέως εἰσδραμὼν
εἷς πληρώσας σπόγγον ὄξους καὶ χολῆς, προσήνεγκε τῷ Κυρίῳ. καὶ τί δήποτε ὁ Κύριος τὴν
δίψαν ἐβάλλετο, ὁ τὴν ἀκρότομον πέτραν λιμνάσθαι παρασκευάσας; ἐπειδὴ ἦν γεγραμ-
μένον, ἔδει καὶ πληρωθῆναι, Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπό-
Δευτ. λβ. λβ. τισάν με ὄξος. τοιαῦτα τῆς Ἰουδαϊκῆς ἀμπέλου τὰ ὑπολήνια. Ἐκ γὰρ ἀμπέλου Σο-
δόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας. ἐκείνων γὰρ τὰ ὑπολή-
νια, ὄξος καὶ πικρία· ὁ δὲ ἡμέτερος τρυγητός, γλυκύτης καὶ ἀθανασία. διὸ καὶ προτρεπόμενος
Ψαλ. λγ. η. ὁ προφήτης ἔλεγε, Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. τί οὖν λοιπὸν τὸ ζητούμενον; ὁ
Ματθ. κϛ. λα. δὲ Κύριος προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, εἶπε πρὸς αὐτοὺς κατὰ πρόσωπον· Ἐν τῇ
νυκτὶ ταύτῃ σκανδαλισθήσεσθε ἐν ἐμοί. γέγραπται γάρ, πατάξω τὸν ποιμένα, καὶ διασκορ-
πισθήσονται τὰ πρόβατα τῆς ποίμνης. ὁρᾷς πῶς μεμαρτυρημένα εἰσί; πῶς πάντα βέ-
βαια; πῶς οὐδὲν ἀργόν; πῶς οὐδὲν ἄπρακτον; πάντες σκανδαλισθήσεσθε ἐν ἐμοί. γέ-
γραπται γάρ, πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. ὢ
τῆς ἀκριβείας τοῦ ἁγίου πνεύματος. εἰ γὰρ καὶ ὁ προφήτης ἐβόησεν, ἀλλ' ὅμως τὸ πνεῦμα
ὑπηγόρευσε τὸ πρᾶγμα. οὐκ εἶπε, πατάξω τὸν ποιμένα, καὶ ἀπόλωνται τὰ πρόβα-
τα· ἀλλ' εἶπε, καὶ διασκορπισθήσονται, τουτέστι, πρὸς ὀλίγον σκανδαλισθήσονται, μετ' οὐ πο-
λὺ δὲ τῆς πίστεως κρατήσουσι. ποιμένα τὸν Κύριον καλοῦνται, ἐπειδὴ αὐτὸς ὁ ποιμὴν ὁ καλὸς
ὁ καταλιπὼν τὰ ἐνενηκονταεννέα πρόβατα, καὶ ἐλθὼν ἐπὶ τὸ πεπλανημένον· τουτέστιν, ὁ κα-
ταλιπὼν τὰς ἐπουρανίους δυνάμεις, καὶ ἐλθὼν ἐπὶ τὸν πεπλανημένον Ἀδάμ. πρόβατα δὲ καὶ
οἱ ἀπόστολοι προσηγορεύθησαν, ὡς πειθόμενα τῇ σωτηρικῇ βακτηρίᾳ καὶ χλοαζόμενα τὸ
Κυριακὸν σῶμα, καὶ μανδρευόμενα εἰς τὰ πεδία τῆς τῶν οὐρανῶν βασιλείας. ὥσπερ γὰρ
ἐν τῷ παρόντι χωρήσαντος λύκου εἰς αὐλὴν καὶ πρόβατον ἁρπάσαντος, τὰ λοιπὰ πρόβατα
διασκορπίζονται, ἀποπηδῶσι, καὶ φεύγουσιν· ἐὰν δὲ μόνον ἀκούσωσι τοῦ ποιμένος συρίζοντος,
πάλιν τρέχουσι καὶ ἀλλήλοις συνάπτονται· οὕτω καὶ οἱ μαθηταὶ τοῦ Κυρίου, ὡς λύκον τὸν σταυ-
ρὸν

ρον θεωρήσαντες, ἀπέφυγον, ἀπεπήδησαν· μόνον δὲ ἤκουσαν τοῦ δεσπότου τὴν ἀνάστασιν, εὐθέως προσέδραμον, καὶ ἐγνώρισαν, καὶ τῆς μάνδρας τῶν οὐρανῶν οὐκ ἠλλοτριώθησαν. ταῦτα οὖν τοῦ Κυρίου λέγοντος πρὸς τοὺς ἑαυτοῦ μαθητὰς, ὅτι πάντες σκανδαλισθήσεσθε τῇ νυκτὶ ταύτῃ ἐν ἐμοὶ, ὁ Πέτρος ἀλληγορήσας, ὡς θέλει αὐτὸν παραθέσθαι, καὶ τῶν λοιπῶν 5 μαθητῶν φιλοδεσποτικώτερος εὑρεθῆναι, μᾶλλον δὲ ταληθέστερον εἰπεῖν, δημοσιεῦσαι τὴν ἑαυτοῦ ἄρνησιν, πρὸς τὸν δεσπότην ἔφη· τί λέγεις, δέσποτα; πάντες σκανδαλισθῶμεν ἐπὶ σοί; καὶ μετὰ πάντων κἀμὲ συνηρίθμησας; οὕτω μοι θαρρεῖς τῇ στερρότητι; κἀγὼ ἀπαρνήσομαί σε, ὁ ἐν τῇ θαλάσσῃ περιπατήσας; ὁ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως ἀξιωθείς; ὁ ἀγέλην δαιμόνων φυγαδεύων; ὁ πᾶν πάθος θεραπεύων; οὐχὶ ἐγώ σε πρὸ πάντων ἐγνώ- 10 ρισα καὶ ἀνεβόησα, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος; διὸ καὶ ἀποδεξάμενός μου τὴν μαρτυρίαν, ἐμακάρισας, καὶ πέτραν τῆς ἐκκλησίας προσηγόρευσας λέγων· Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐγὼ οὖν σε ἀπαρνήσομαι, ὁ κορυφαῖος τῶν ἀποστόλων; ὁ στύλος τῆς ἐκκλησίας; διὸ καὶ θαρρῶν ἐμαυτῷ βοῶ, κἂν πάντες σκανδαλισθήσωνται, ἐγὼ οὐ σκανδαλισθήσομαι. ὁ δὲ 15 Κύριος πρὸς αὐτόν· τί λέγεις, καὶ ἀντιλέγεις, Πέτρε; τοῖς ῥήμασιν ἀντιτάσσῃ Θεοῦ; ψευδολογοῦντά με εὗρες; οὐ παρεκάλεσας στηριχθῆναι, ἀλλ' ἐπαγγέλλῃ μὴ σαλευθῆναι; οὐχὶ ἡ αὐτή σου θερμότης πολλῷ πρότερον ἐσκεύασε χείρω; ταύτην σου τὴν προπέτειαν καὶ ἐπὶ τῆς θαλάσσης βαδίζων ἐνεδείξω, εἰ μὴ θᾶττον ἐγὼ τὴν χεῖρα ἐξέτεινα. οὐχὶ καὶ ἐν τῷ ὄρει τῆς μεταμορφώσεως ἤλεγξας ἐν ἐμοὶ, τρεῖς σκηνὰς χαλκεύειν βουλόμενος, καὶ τοῖς φίλοις συντάττων ἐμὲ 20 τὸν δεσπότην; οὐ παρεκάλεις μὴ ἀνελθεῖν με εἰς Ἱεροσόλυμα, μὴ φέρων τὴν ἀπειλὴν τῶν Ἰουδαίων; ἐγὼ μὲν, Πέτρε, ἤθελόν σε δημοσιεῦσαι· σὺ δὲ παρεγράψω τὸν προγνωστικὸν τῆς θεότητός μου ὀφθαλμόν. ἰδὲ, σοὶ λέγω ἃ μέλλεις διαπράττεσθαι, ὅπως ἐκ τῶν καθ' ἑαυτὸν γνῷς ὅστις εἶ. Ἀμὴν, ἀμὴν λέγω σοι, πρὶν ἀλέκτορα φωνῆσαι, τρὶς ἀπαρνήσεις με. ὁ δὲ Πέτρος πάλιν κλαπεὶς τὴν διάνοιαν, μὴ συνειδὼς τὸ τρεπτὸν τῆς ἀνθρωπίνης ἕξεως, ἀπε- 25 κρίνατο πρὸς τὸν Κύριον λέγων· τί με φοβεῖς; οἶδα θανάτου καταφρονεῖν, καὶ οὐ μή σε ἀπαρνήσομαι. ὁ δὲ Κύριος πρὸς τὸν Πέτρον· καλῶς μὲν οὖν συντάξω, ἀλλ' οὐ μετ' οὐ πολὺ γνώσῃ. ὁ γὰρ καιρὸς ἐπὶ θύραις, ὅπως φανερωθῇ καὶ ἡ σὴ σύνταξις, καὶ ἐμὴ πρόληψις. τί οὖν τὸ πέρας τοῦ λόγου; ἡ ἑσπέρα γὰρ ἐπίκειται. τοῦ γὰρ Κυρίου κρατηθέντος, καὶ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως ἀχθέντος, καὶ πάντων τῶν μαθητῶν σκορπισθέντων, ὁ Πέτρος 30 μόνος ἠκολούθει εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, ὡς δεῖν μέλλειν ποιεῖν τὰ συνταχθέντα. τοῦ δὲ Κυρίου ἐνδοτέρω ἀσφαλισθέντος, ὁ Πέτρος ἐν τῇ αὐλῇ τῇ ἐξωτέρᾳ ἐκαθέζετο, θαρσαλέος, ἀκαμπὴς, ὡς δὴ τὸ νῖκος ἀπενεγκάμενος. τί οὖν; ἐπὶ πολὺ καθεζομένου αὐτοῦ, μήτε ξίφος θεασάμενος ὀξυνόμενον, μήτε στρατιώτας προσκειμένους, μὴ δὲ μείζοσιν ἐπαγγελλομένην, μήτε ἐξορίαν ἐπιγραφομένην, μικρὰ δὲ παιδίσκη θυρωροῦντος, εὐτελὴς προσελ- 35 θοῦσα τῷ Πέτρῳ λέγει· τί ποιεῖς ἐνταῦθα, ἄνθρωπε; ποῦ ἡ δύναμις τοῦ διδασκάλου σου; ἰδοὺ συγκέκλεισαι ἔνδον, ἰδὲ μέλλει σταυρῷ παραδίδοσθαι. ὁ Πέτρος ἀποπτύσας τῆς μνήμης τὴν παρρησίαν, ἀπεκρίνατο λέγων· τί με παρενοχλίζεις, κοράσιον; οὐκ οἶδα τὸν ἄνθρωπον. ὢ τῶν πραγμάτων. ὁ λέγων, κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, ἄρτι ἀπαρνεῖ; ταύτης οὖν τῆς ἀρνήσεως πρώτης γενομένης, θορυβηθεὶς ὁ Πέτρος, ὡς ἀπὸ πυρὸς, τῆς αὐ- 40 λῆς ἐξεπήδησεν, ἔξω τοῦ πυλῶνος τρέχων. καὶ τί; πάλιν ἑτέρα παιδίσκη συνιώτησιν αὐτῷ. ὢ τῶν πραγμάτων. οὐδαμοῦ στρατιώτης, οὐδαμοῦ ξίφος, ἀλλ' εὐτελὲς κοράσιον συνιώτησε τῷ Πέτρῳ, ἀντέβαλε πρὸς αὐτὸν λέγουσα, τί θορυβῇ, ἄνθρωπε; ποῦ ἀπέδρας; τί ἀγωνιᾷς; οὐχὶ πάντοτέ σε ἐθεώρουν μετὰ τοῦ Γαλιλαίου περιπατοῦντα; πῶς οὖν ἐξελθὼν τοῦ πυλῶνος τρέχεις; ὁ δὲ Πέτρος λοιπὸν οὐκ ἔτι ἀπεκρίνατο, ἀλλὰ μεθ' ὅρκου λέγει· οὐκ οἶδα

Matth. 15. 16.

τὸν ἄνθρωπον. εἶδες Θεοῦ παῤῥησίαν, καὶ ἀνθρώπου ὄλισθον; εἶτα τῆς δευτέρας ἀρνήσεως πληρωθείσης, ἡ τρίτη ἄρνησις παρείχετο οὕτω. μετὰ μικρὸν προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ. καὶ γὰρ καὶ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. ὁ δὲ Πέτρος ἤρξατο καταναθεματίζειν καὶ ὀμνύειν, ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. ποῦ ἡ ἀδιάσκηπτος τοῦ Πέτρου ἐπαγγελία; ὁ πρότερον εἰρηκώς, σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὧδε λέγεις, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον; τάχα ὁ Πέτρος ἄκων περὶ τὴν λέξιν ταύτην ἐγρηγόρησεν. οὐκ εἶπεν, οὐκ οἶδα τὸν Θεὸν λόγον, ἀλλ᾽ εἶπεν, οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον. περὶ τὸ ὁρώμενον προσέκοψεν, οὐχὶ περὶ τὸ νοούμενον. διὸ καὶ ὁ Κύριος προειδὼς ἔλεγε. πᾶς ὅστις εἴπῃ βλασφημίαν εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. τί οὖν ὁ Πέτρος; οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον· καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν, ὁ ἀπαραίγραφος τοῦ Πέτρου κατήγορος, ὁ προαναφωνητὴς τῆς δεσποτικῆς ἀποφάσεως συνήγορος, ὁ τῆς ἀρνήσεως δημοσιευτής, καὶ τῆς προγνώσεως ἐμφανιστής, καὶ τῶν μετανοητικῶν δακρύων ὑπομνηματιστής. καὶ ταῦτα μὲν ἀρκούντως εἰρήσθω.

Τὸν δὲ τῆς ἐλεημοσύνης λόγον γυμνάσωμεν, ἀναπαύοντες τὴν ὑμετέραν ἀγάπην, καὶ λέγοντες ὡς ἐν τῷ εὐαγγελίῳ εἴρηται, Ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας· ἵν᾽, ὅταν ἐκλείπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. (Λουκ. ιϛ. θ.) καλῶς εἶπεν, αἰωνίους. ἐνταῦθα μὲν γάρ, κἂν λαμπρὰν ἔχῃς οἰκίαν, ἀπόλλυται πάντως φθειρομένη τῷ χρόνῳ· μᾶλλον δέ, καὶ πρὸ τῆς κατὰ χρόνον φθορᾶς θάνατος ἐμπεσὼν ἐκβάλλει σε τῆς λαμπρᾶς ταύτης οἰκήσεως· πολλάκις δὲ καὶ πρὸ τοῦ θανάτου, πραγμάτων τινῶν δυσκολίαι, καὶ συκοφαντῶν ἔφοδοι, καὶ ἐπιβουλαὶ ἐκπεσεῖν αὐτῆς παρεσκεύασαν. ἐκεῖ δὲ οὐδὲν τούτων ἔστιν ὑποπτεῦσαι, οὐ φθοράν, οὐ θάνατον, οὐ κατάπτωσιν, οὐ συκοφαντῶν ἐπήρειαν, οὐκ ἄλλο οὐδέν, ἀλλ᾽ ἀκίνητος καὶ ἀθάνατός ἐστιν ἡ οἴκησις. διὰ τοῦτο αἰωνίους αὐτὰς ἐκάλεσεν. ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας. ὁρᾷς πόση φιλανθρωπία τοῦ δεσπότου; πόση χρηστότης καὶ ἐπιείκεια; οὐ γὰρ ἁπλῶς ταύτην ἔθηκε τὴν προσθήκην, ἀλλ᾽ ἐπειδὴ πολλοῖς πλουσίοις πλοῦτος συνείλεκται ἐξ ἁρπαγῆς καὶ πλεονεξίας. κακῶς μέν, φησιν, οὐκ ἐχρῆν οὕτω συλλέξαι χρήματα, ἀλλ᾽ ἐπειδὴ συνέλεξας, ἀπόστηθι τῆς ἁρπαγῆς καὶ τῆς πλεονεξίας, καὶ χρῆσαι εἰς δέον τοῖς χρήμασιν. οὐ λέγω ἵνα ἁρπάζων ἐλεῇς, ἀλλ᾽ ἵνα τῆς πλεονεξίας ἀποστάς, πρὸς ἐλεημοσύνην καὶ φιλανθρωπίαν ἀποχρήσῃ τῷ πλούτῳ. εἰ γάρ τις μὴ παύσῃ τὸ τῆς ἁρπαγῆς, οὐδὲ ἐλεημοσύνην ἐργάσηται· ἀλλὰ κἂν μυρία καταβάλλῃ χρήματα εἰς τὰς τῶν δεομένων χεῖρας, τὰ ἑτέρων ἁρπάζων καὶ πλεονεκτῶν, τοῖς ἀνδροφόνοις ἐξ ἴσου λελόγισται τῷ Θεῷ. διὸ χρὴ πλεονεξίας ἀποστάντα πρότερον, οὕτω τοὺς δεομένους ἐλεεῖν. πολλὴ γὰρ τῆς ἐλεημοσύνης ἡ δύναμις. ἀλλὰ μηδεὶς τὴν συνέχειαν τῆς ὑπομνήσεως κατηγορίαν ἡγείσθω τῶν ἀκουόντων. καὶ γὰρ ἐν τοῖς ἀγῶσιν ἐκείνους τῶν δρομαίων διεγείρουσιν οἱ θεαταί, οὓς ἂν εἴδωσιν ἐγγὺς τοῦ βραβείου γινομένους, καὶ πολλὰς τῆς νίκης ἐλπίδας ἔχοντας. καὶ ἐγὼ τοίνυν ἐπειδὴ μετὰ πολλῆς ἀεὶ προθυμίας ὁρῶ τοὺς περὶ ἐλεημοσύνης δεχομένους λόγους ὑμᾶς, διὰ τοῦτο καὶ αὐτὸς συνεχέστερον τὴν ὑπὲρ τούτων κινῶ παραίνεσιν. οἱ ἰατροὶ τῶν ψυχῶν ἡμῶν εἰσιν οἱ πένητες, εὐεργέται, καὶ προστάται. οὐ γὰρ τοσοῦτον δίδως, ὅσον λαμβάνεις. δίδως ἀργύριον, καὶ λαμβάνεις βασιλείαν οὐρανῶν· λύεις πενίαν, καὶ καταλλάττεις σεαυτὸν τῷ δεσπότῃ. ὁρᾷς ὅτι οὐκ ἴση ἡ ἀντίδοσις. ταῦτα ἐπὶ γῆς, ἐκεῖνα ἐν οὐρανῷ· ταῦτα ἀπόλλυται, ἐκεῖνα μένει· ταῦτα φθείρεται, ἐκεῖνα πάσης ἐστὶν ἀνώτερα ἀπωλείας. διὰ τοῦτο καὶ πρὸ τῶν θυρῶν τῶν εὐκτηρίων ἔστησαν τοὺς πένητας οἱ ἡμέτεροι πατέρες, ἵνα καὶ τὸν νωθρότατον καὶ ἀπανθρωπότατον αὕτη τῶν πενήτων ἡ ὄψις πρὸς ὑπόμνησιν ἐγείρῃ τῆς ἐλεημοσύνης. ὅταν γὰρ εἰσίῃ χορὸς γερόντων συγκεκυφότων, ῥάκια περιβεβλημένων, αὐχμῷ ῥυπώντων, βακτηρίας ἐχόντων, μόλις στηρίζεσθαι δυναμένων, πολλάκις δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐκκεκομμένων, καὶ τῷ σώματι ἀναπήρων,

πηρῶν, τίς οὕτω λίθινος, τίς οὕτως ἀδάμας, ὡς καὶ τῆς ἡλικίας, καὶ τῆς ἀσθενείας, καὶ τῆς πηρώ-
σεως, καὶ τῆς πενίας, καὶ τῆς εὐτελείας, καὶ πάντων ἁπλῶς πρὸς συμπάθειαν ἐπικλώντων αὐ-
τὸν, ἀντιστῆναι, καὶ μεῖναι πρὸς ἅπαντα ταῦτα ἀνενδότως; διὰ τοῦτο πρὸ τῶν θυρῶν ἡ-
μῶν ἑστήκασι παντὸς τοῦ λόγου δυνατώτερον διὰ τῆς ὄψεως ἐπισπώμενοι πρὸς φιλαν-
5 θρωπίαν τοὺς εἰσιόντας. καθάπερ γὰρ κρήνας εἶναι ἐν ταῖς αὐλαῖς τῶν εὐκτηρίων οἴκων νε-
νόμισται, ἵνα οἱ μέλλοντες εὔχεσθαι τῷ Θεῷ πρότερον ἀπονιψάμενοι τὰς χεῖρας, οὕτω
τὰς εὐχὰς εἰς αὐλὰς ἀνατείνωσιν· οὕτω καὶ τοὺς πένητας ἀντὶ πηγῶν καὶ κρηνῶν ἔστησαν οἱ
πατέρες πρὸ τῶν θυρῶν, ἵν', ὥσπερ ὕδατι τὰς χεῖρας ἀπονίπτομεν, οὕτω φιλανθρωπίᾳ τὴν
ψυχὴν ἀποσμήχοντες πρότερον, οὕτως εὐχώμεθα. οὐδὲ γὰρ ὕδατος φύσις οὕτως ἀπονίπτει
10 κηλῖδας σώματος, ὡς ἐλεημοσύνης δύναμις ἀποσμήχει ῥύπον ψυχῆς. ὥσπερ οὖν οὐ τολ-
μᾷς ἀνίπτοις χερσὶν εἰσελθὼν εὔξασθαι, καίτοι ἔλαττον τὸ ἔγκλημα ἐκεῖνο, οὕτω μηδὲ χωρὶς
ἐλεημοσύνης ἐπ' εὐχὴν ἔλθῃς ποτέ. καίτοι καθαρὰς πολλάκις ἔχοντες τὰς χεῖρας, ἂν μὴ
πρότερον αὐτὰς ἀποπλυνώμεθα ὕδατι, οὐκ ἀνατείνομεν εἰς εὐχήν· τοσοῦτόν ἐστιν ἡ συνή-
θεια. τοῦτο τοίνυν καὶ ἐπὶ τῆς ἐλεημοσύνης ποιῶμεν, κἂν μηδὲν ἑαυτοῖς ὦμεν συνειδότες,
15 διὰ τῆς ἐλεημοσύνης. πολλὰ ἀπὸ τῆς ἀγορᾶς ἐπεσπάσω δεινά· ἐχθρὸς παρώξυνε, δι-
καστὴς ἠνάγκασέ τι ποιῆσαι τῶν οὐ προσηκόντων πραγμάτων. ῥήματα πολλάκις ἐξέβα-
λες ἄτοπα· φίλος ἐδυσώπησεν ἐργάσασθαί τι τῶν ἁμαρτίαν ἐχόντων, ἕτερα προσετρίψω
πολλά, οἷα εἰκὸς ἄνθρωπον ὄντα προστρίβεσθαι ἐν ἀγορᾷ στρεφόμενον, δικαστηρίοις προσ-
εδρεύοντα, τὰ τῆς πόλεως πράττοντα πράγματα. ὑπὲρ τούτων ἁπάντων εἰσέρχῃ
20 τὸν Θεὸν αἰτήσων συγγνώμην, καὶ ἀπολογησόμενος. κατάβαλε τοίνυν ἀργύριον εἰς τὰς
τῶν πενήτων χεῖρας, καὶ ἀπόσμηξον τὰς κηλῖδας ἐκείνας· ἵν' οὕτω μετὰ παρρησίας καλέσῃς
τὸν δυνάμενόν σοι ἀφεῖναι ταῦτα τὰ ἁμαρτήματα. ἂν ἐν συνηθείᾳ καταστήσῃς σεαυτὸν
μηδέποτε χωρὶς ἐλεημοσύνης τῶν ἱερῶν τούτων προθύρων ἐπιβαίνειν, οὐδέποτε οὔτε ἑκὼν,
οὔτε ἄκων, ὑστερήσεις τῆς καλῆς ταύτης ἐργασίας. τοιοῦτον γὰρ ἡ συνήθεια. καὶ ὥσπερ
25 οὐδ', ἂν ὁπουοῦν γένοιτο, χερσὶν ἀνίπτοις ὑπομένεις εὔξασθαι, ἐπειδὴ κατέστης εἰς συνήθειαν
ἅπαξ, οὕτω καὶ ἐπὶ τῆς ἐλεημοσύνης ἂν τοῦτον σαυτῷ θήσῃς τὸν νόμον, καὶ ἑκὼν καὶ ἄκων
καθ' ἑκάστην αὐτὸν ἐκπληρώσεις ἡμέραν, ὑπὸ τῆς συνηθείας ἑλκόμενος. πῦρ ἐστιν ἡ εὐ-
χὴ, μάλιστα ὅταν ἀπὸ νηφούσης καὶ διεγηγερμένης ἀναπέμπηται ψυχῆς. ἀλλὰ τὸ πῦρ τοῦτο καὶ
ἐλαίου δεῖται, ἵνα αὐτὸ τῶν οὐρανίων ἁψίδων ἅψηται. ἔλαιον δὲ τοῦ πυρὸς τούτου οὐδὲν ἕτερόν ἐστιν,
30 ἀλλ' ἡ ἐλεημοσύνη. ἐπίχεε τοίνυν τὸ ἔλαιον δαψιλῶς, ἵνα εὐφραινόμενος ἐπὶ τῷ κατορθώμα-
τι, μετὰ παρρησίας πλείονος καὶ προθυμίας μείζονος τὰς εὐχὰς ἐπιτελῇς. ὥσπερ γὰρ οἱ μηδὲν
ἑαυτοῖς συνειδότες ἀγαθὸν, οὐδὲ εὔξασθαι μετὰ παρρησίας δύναιντ' ἄν· οὕτως οἱ κατορθώσαν-
τες, καὶ μετὰ τὴν δικαιοσύνην ἐκείνην ἐπὶ τὴν εὐχὴν ἐρχόμενοι, τῇ μνήμῃ τοῦ κατορθώματος
εὐφραινόμενοι, μετὰ πλείονος τῆς προθυμίας ποιοῦνται τὴν ἱκετηρίαν. ἵν' οὖν κατὰ τοῦτο δυ-
35 νατωτέρα ὑμῖν ἡ εὐχὴ γίνηται, γρηγορούσης ὑμῖν τῆς διανοίας ἐν ταῖς δεήσεσιν ἀπὸ τῆς τῶν
κατορθωμάτων μνήμης μετὰ τῆς ἐλεημοσύνης ἐπὶ τὰς εὐχὰς ἐρχώμεθα, καὶ μνημονεύσωμεν
μετ' ἀκριβείας ἅπαντα τὰ εἰρημένα· καὶ πρό γε τῶν ἄλλων ἁπάντων, ἐκείνην τὴν εἰ-
κόνα τηρεῖτε διηνεκῶς, καθ' ἣν εἶπον τοὺς πένητας πρὸ τῶν θυρῶν ἑστάναι τῶν εὐκτηρίων οἴ-
κων, ταύτην ἐπὶ τῆς ψυχῆς ἀναπληροῦντας τὴν χρείαν, ἣν ἐπὶ τοῦ σώματος ἡ κρήνη. ἂν
40 γὰρ τούτου μὲν διηνεκῶς μεμνημένοι, συνεχῶς ἀπονιπτώμεθα τὸν λογισμὸν, καθαρὰς μὲν δυνη-
σόμεθα τὰς εὐχὰς ἐπιτελεῖν, πολλὴν δὲ ἐπισπάσασθαι παρὰ τοῦ Θεοῦ τὴν παρρησίαν, καὶ τῆς
βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ
μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιδ.
Λουκ. ια. λζ.
Ex Ms. Regio Lut.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ.

Ὥσπερ πατὴρ φιλότεκνος προσομιλεῖν τοῖς ἑαυτοῦ φιλτάτοις ὑπὸ τῆς οἰκείας ἀγάπης ἑλκόμενος, καὶ ὄντων νηπίων μὴ δυναμένων ἀκούειν τελείων ῥημάτων διὰ τὸ νηπιῶδες τῆς ἕξεως, ὁ πατὴρ ὑπαλλάξας τὴν φωνὴν, καὶ τὸ τραχὺ τῆς εὐγλωττίας ἀποθέμενος, ψελλίζειν αὐτοῖς ἄρχεται, ἐκ τοῦ λέγειν καὶ ἀκούειν πρὸς μείζονα ῥημάτων κατάληψιν τοὺς φιλτάτους ἑαυτοῦ ἐνάγων· τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος ἡμῶν διὰ πολλὴν τὴν περὶ τὸ ἴδιον πλάσμα ἀγάπην Θεὸς λόγος ὑπάρχων, ἀνθρώπινον λόγον ἀναλαβὼν ἐλήλυθε πρὸς ἡμᾶς, ἵνα ἐκ τοῦ ὁμιλεῖν αὐτὸν καὶ συνδιατρίβειν, οὐράνιον ἀποκάλυψιν ἐπιδείξας, ἐπὶ τὴν οὐράνιον κλίμακα, τουτέστι, τῆς ἐλπίδος, ἡμᾶς ὁδηγήσῃ. καλεῖται γοῦν εἰς ἀριστεῖον ὑπὸ Φαρισαίου, ὡς ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελίου κηρύσσοντος, καὶ οὐκ ἀποστρέφεται τὸν καλοῦντα. οὐ γὰρ ἦλθε τὸ ἀξίωμα τῆς θεότητος αὐτοῦ δεῖξαι, ἀλλὰ τὴν πεπλανημένην ἀνθρωπότητα ἐκ τῶν καταχθονίων ῥύσασθαι. καλεῖται εἰς ἀριστεῖον ὑπὸ Φαρισαίου, καὶ οὐ παραιτεῖται, ἵνα καὶ πλουσίους παιδεύσῃ μὴ ὑπερορᾶν τραπέζας πενήτων, καὶ δικαίους διδάξῃ μὴ διαπτύειν τραπέζας ἁμαρτωλῶν. πολλοὶ γὰρ παρ' ἑαυτοῖς εἶναι δοκοῦντες δίκαιοι, καταπτύουσι τραπέζας ἁμαρτωλῶν, καὶ οἱ πλούσιοι τῶν πενήτων. βουλόμενος γὰρ ὁ Κύριος πάντας εἶναι φιλτάτους, φιλαδέλφους, ἀγαπητικοὺς, ταπεινόφρονας, πρῶτος ἄρχεται τοῦ ἔργου, ἵνα ἐκ τοῦ ποιῆσαι διδάξῃ. διὸ λέγει, Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. σὺ οὖν ὁ ἐν εὐλαβείᾳ ἀσκούμενος, ὁπόταν κληθῇς ὑπό τινος ἁμαρτωλοῦ, μὴ παραιτήσῃ. κἂν ὀνειδίζῃ ὑπό τινος λέγοντος, διὰ τί μετὰ ἁμαρτωλῶν ἐσθίεις καὶ πίνεις; ἀνταποκρίθητι λέγων· Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. δίκαιος γάρ εἰμι, οὐχ ἵνα δικαίους σώσω, ἀλλὰ ἁμαρτωλοὺς ἐπιστρέψω. καλεῖται εἰς ἀριστεῖον ὁ Κύριος, καὶ οὐ παραιτεῖται· ὁ ἐκ πέντε ἄρτων πέντε χιλιάδας εἰς κόρον διαθρέψας ἐν τῇ ἐρήμῳ, ὁ τὴν ἀπόρευτον καταξηράνας θάλασσαν, καὶ καθάπερ διὰ χλοηφόρου πεδίου τῆς θαλάσσης τὸν Ἰσραὴλ διαγαγὼν, ὁ οὐρανόθεν αὐτοῖς τὸ μάννα ἐπομβρήσας, καὶ ὅλην τὴν ἡμέραν ἐκ τῆς λαμπρότητος τοῦ μάννα χιόνας· καλεῖται εἰς ἄριστον ὁ Κύριος, καὶ οὐ παραιτεῖται, ἐν τοῖς ἀρίστοις τὰ ἄριστα τῶν μαθητῶν τοὺς καλοῦντας αὐτὸν ἐκδιδάσκων. ἀπέρχεται γὰρ εἰς ἄριστον, οὐχ ἵνα τοῦ Φαρισαίου βρωμάτων ἐμφορηθῇ, ἀλλ' ἵνα ὁ Φαρισαῖος τῶν τοῦ Κυρίου διδαγμάτων ἐμπλησθῇ. καλεῖται εἰς ἄριστον, καὶ ἔρχεται εἰς οἶκον τοῦ Φαρισαίου, καλύπτων τὴν θεότητα ἀνθρωπότητι, ἵνα μὴ ἄφνω θεασάμενος τὴν ἐξαστράπτουσαν αἴγλην τῆς θεότητος φύγῃ ἐκ τοῦ οἴκου ὁ καλέσας τὸν δεσπότην. Εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον, ὁ οὐράνιος βασιλεὺς πρὸς τὸν αἰχμάλωτον, καὶ καλύπτει τὸ βασιλικὸν ἀξίωμα τῷ δέρματι τῷ καταφράκτῳ τῆς σαρκός· ἵνα μὴ θεωρήσας τὸν οὐράνιον βασιλέα ἐκμάξῃ ὁ αἰχμάλωτος, καὶ εἰς γῆν καταδύσῃ. Εἰσέρχεται εἰς τὸν τοῦ Φαρισαίου οἶκον ὁ ἥλιος τῆς δικαιοσύνης τὰς χρυσαυγαζούσας τῶν ἀκτίνων λαμπηδόνας καλύπτων τῇ νεφέλῃ τοῦ σώματος, ἵνα μὴ θεωρήσας ὁ ἄνθρωπος ἀπολέσῃ τὴν ὅρασιν. Εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου ὁ οὐράνιος ποιμὴν ἐάσας ἐπὶ τῶν ὀρέων τὰ ἐνενηκονταεννέα πρόβατα, ἔρχεται ἐπὶ τὸ ἀπολωλὸς, εἰσέρχεται εἰς τὴν μάνδραν αὐτοῦ καλύπτων τὴν ποιμενίαν ἐν τῷ ἀρνείῳ τοῦ σώματος. οὐ βακτηρίαν ἐπιφέρεται, οὐ ῥάβδον ἀπειλοῦσαν τὴν προτέραν πληγὴν, ἵνα μὴ δειλιάσῃ καὶ πτοηθὲν τὸ πρόβατον πάλιν ἀποδράσῃ τοῦ ἰδίου ποιμνίου· ἀλλ' εἰσέρχεται εἰς τὸν οἶκον τοῦ Φαρισαίου, οὐχ ὡς Θεὸς, οὐχ ὡς βασιλεὺς, οὐχ ὡς ἥλιος δικαιοσύνης, ἀλλ' ὡς ἄνθρωπος πρὸς ἄνθρωπον,

Ματθ. κ. κζ.
Ματθ. θ. ιϛ.

θρωπον, ὡς ἀρνίον πρὸς ἀρνίον, συνδιαιτᾶται αὐτῷ, συνέμεται, συγκαθίζεται, εἰσέρχεται, συναναπίπτει τῷ ἤδη πεπτωκότι ὑπὸ τὴν ἁμαρτίαν, ἵνα ἐν τῷ συναναπεσεῖν αὐτῷ τὸν ἤδη πεπτωκότα συναναγείρῃ. καὶ εἰσελθὼν οὐκ ἐβαπτίσθη κατὰ τὸ ἔθος τῶν Φαρισαίων. τοῦτο δὲ ἐποίει κατὰ δύο τρόπους, ἵνα δώσῃ ἀφορμὴν τῷ προβάτῳ λαλεῖν πρὸς τὸν ποιμένα· ἔτι δὲ καὶ δόγμα Ἰουδαϊκὸν καταλύσῃ, καὶ βεβαιώσῃ πνευματικόν. Εἶδε γάρ, φησιν, ὁ Φαρισαῖος, καὶ ἐθαύμασεν, ὅτι οὐ πρῶτον ἐβαπτίσθη, οὐκ ἐπαινῶν τὸν διδάσκαλον, ἀλλὰ ἀπορῶν τὸ γινόμενον, οὐκ ἐπαινῶν, ἀλλὰ κρίνων. καὶ νῦν ἴδετε, ἀγαπητοί, τὸν ζωοπλάστην ὑπὸ τοῦ πλάσματος κρινόμενον, καὶ τὸν κεραμέα ὑπὸ τοῦ πηλοῦ διορθούμενον. τοῦτο ἔπασχεν ὁ Φαρισαῖος μὴ θεωρῶν τοῖς κρυπτοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν ἔνδοθεν τῶν ἀγγέλων ταξίαρχον. εἰ γὰρ ἐθεάσατο τοῦτον, προσέπεσεν ἂν τοῖς γόνασι, καὶ τοῖς δάκρυσιν ἔπλυνεν αὐτοῦ τοὺς πόδας, καὶ ἔλεγεν, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ἔλεγε γὰρ ἄν, σὺ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγών, τῷ σῷ λόγῳ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τῷ σῷ αἱ δυνάμεις αὐτῶν συνέστησαν. σὺ συνάγεις ὡς εἰς ἀσκὸν ὕδατα θαλάσσης, τιθεὶς ἐν θησαυροῖς ἀβύσσους, ἀπὸ σοῦ φοβεῖται πᾶσα ἡ οἰκουμένη. ἀλλ' οὐδὲν τούτων οὔτε ἐννοήσας, οὔτε εἰρηκώς, ἔκρινε τὸν δεσπότην· ὁ δὲ Κύριος πρόφασιν δεδωκώς, ὥσπερ ἐκείνῃ τῇ Σαμαρείτιδι ἐκ τοῦ αἰτῆσαι παρ' αὐτῆς ὕδωρ, ἔδωκε καιρὸν τοῦ αἰτῆσαι παρ' αὐτοῦ τὸ οὐράνιον ὕδωρ· ἄρχεται οὖν ὁ Κύριος ἠρέμα ἐπιστρέφειν τὸ πρόβατον, καὶ ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν αὐτὸν χειραγωγεῖν. Ἄρτι γὰρ ὑμεῖς οἱ Φαρισαῖοι πλύνετε τὸ ἔξω τοῦ ποτηρίου καὶ τοῦ πίνακος· τὸ δὲ ἔσωθεν γέμει ἁρπαγῆς καὶ δόλου· τουτέστιν, ὑμεῖς νῦν τὸ μὲν σῶμα καλλωπίζετε, τὰς δὲ ψυχὰς κακίζετε. πῶς δὲ καὶ τέρψῃ, χρυσοῦν ἂν ᾖ ποτήριον, ὅταν ἔνδον ἔχῃ θανατηφόρον ποτόν; οὐχὶ τοιαῦται αἱ πόρναι; τὰς ὄψεις αὐτῶν τοῖς χρώμασιν αἰθίζουσαι, τὰς ψυχὰς ἀφανίζουσιν. οὐ γὰρ οὐχὶ τὰς ὄψεις αὐτῶν φοίνικι ἐρυθραίνουσαι, εἴδωλοι τῆς μαγούσης αὐτὰς ὑποδέχεσθαι φλεγμὸν οἰκείοις δακτύλοις ἐργάζονται; δέον αὐτὰς τῷ αἵματι τοῦ Ἰησοῦ τὰς καρδίας ῥαντίζειν, μᾶλλον δὲ ῥοδίζειν, καὶ τῷ πνεύματι τὰς καρδίας αὐτῶν λευκαίνειν· ἵνα τὸ ἄνθος τῆς ψυχῆς ἀσπράτιον καθάπερ ῥόδον ἐν κρίνῳ μεμιγμένον ὑπάρχῃ. νῦν δὲ τὰς ὄψεις αὐτῶν ἐκφλογίζουσιν, ἵνα τὰς τῶν νέων καρδίας πρὸς μανίαν ἐκκαύσωσι. νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος πλύνετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας· ὡσανεὶ ἔλεγε· διατί τὸ μὲν σῶμα ὕδατι λούετε, τὰ δὲ πταίσματα ἐν τῷ πνεύματι οὐ λούετε; τολμῶ γὰρ εἰπεῖν, ἀγαπητοί, οὐδὲν ὠφελεῖται ἄνθρωπος, κἂν τὸ σῶμα πλύνῃ, ἐὰν μὴ πνεῦμα ἔχῃ συνεργόν, καὶ σύνδρομον τὴν ἐλεημοσύνην. ὥσπερ γὰρ ποτήριον καὶ ἔξωθεν πλυθὲν καὶ ἔσωθεν, μὴ ἔχον δὲ ποτόν, οὐκ ἂν ἰάσηται τοῦ διψῶντος τὴν ἐπιθυμίαν, ὁμοίως δὲ καὶ πινάκιον· οὕτω καὶ ἄνθρωπος, κἂν ἔσωθεν ᾖ πεπλυμμένος καὶ ἔξωθεν, οὐ τέρψει τὸν Κύριον, ἐὰν μὴ θρέψῃ τὸν σύνδουλον. διὸ ἐπιφέρει ὁ Κύριος, καὶ λέγει· Πλὴν τὰ ἐνόντα, λέγει, δότε ἐλεημοσύνην, καὶ ἰδοὺ πάντα καθαρὰ ἔσται ὑμῖν. πλὴν τὰ ἐνόντα λέγει. οὐ γὰρ τῇ τῶν πολυχρύσων προσκομιδῇ τέρπεται, ὅσον τῇ τῶν ἀδόλων ἀνυποκρίτῳ προσφορᾷ. μὴ ζητήσῃς σὺ ὁ πένης, ὅτι οὐκ ἔχεις χρυσὸν καὶ ἄργυρον, τόσας δὲ ὀκλάδας· ῥῖψον εἰς τὸ γαζοφυλάκιον ὃ ἔχεις, καὶ δύο λεπτὰ δίκαιον. μνήσθητι τῆς χήρας ἐκείνης, ὅτι ἐδικαιώθη ὑπὲρ τοὺς πολυχρύσους. ὁ γὰρ Θεὸς χρήματα οὐκ οἶδε σταθμίζειν, ἀλλὰ συνείδησιν δοκιμάζει. ἡ ἐλεημοσύνη ἀσέλγειαν ψυχῶν ἀποσμήχει, καὶ μισθοὺς ἀγαθῶν θησαυρίζει· ἡ ἐλεημοσύνη ψυχῆς ζωτικὴ χορηγία, ἡ ἐλεημοσύνη τὰς ψυχὰς ἐκλευκαίνει, ἡ ἐλεημοσύνη, ψυχῆς παρρησία, καλὴ στρατηγία. ῥίψατε χρυσόν, καὶ λάβετε Κύριον· δότε ἀργύριον, καὶ λάβετε τὸ ἅγιον· σκορπίσατε χαλκόν, καὶ συνεξελεύσεται αὐτῷ ὁ ἰὸς τῆς ἁμαρτίας· δροσίσατε τὴν κάμινον, καὶ δότε ἱμάτια, ἵνα λάβητε ἰάματα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ια. λθ.

l. ὀκλαδίας

Λογ. ιε.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ.

Ex Ms. Regio Lut.

Στεφάνῳ χρυσοκόμοις ἄνθεσι πεπλεγμένῳ τὰς τῶν φιληκόων κεφαλὰς δοξάσαι βουλόμενοι, ἐκ τῶν ἀκηράτων λειμώνων Χριστοῦ δακτύλοις, ἄνθη περικαλλῆ τρυγήσαντες, ἀγγέλους ἡμῖν συνεργεῖν πνεύματι θείῳ παρεσταλθέντας. ἄξιος γάρ ἐστιν ὁ τοῦ Θεοῦ λαὸς, μᾶλλον δὲ ναὸς, τοιούτῳ στεφάνῳ δεδοξάσθαι· ὅσοι μάλιστα ἄσπιλον καὶ ἀμόλυντον τὸν ναὸν τοῦ Θεοῦ ἐφυλάξατε, πορφυρέοις στόμασι "καὶ τῷ ἐμφύτῳ μαργαρίτῃ τὰς ἐν τῷ σκότει ψυχὰς" περιλάμψαντες τούτοις τὸ φέγγος τῆς εὐσεβείας ἀστράψαι. χαλάσατε αὖθις χεῖρας ἀγάπης, καὶ καθάπερ ἐκ βάθους τῆς ἀγνωσίας ἐπὶ τὸ θαυμαστὸν φῶς τῆς ἐλπίδος "ἑαυτοὺς ἀνάξατε." ὅσοι δὲ ἐξ ἀπροσεξίας ταῖς ἡδυπαθείαις τὸν ναὸν τοῦ Θεοῦ διεφθείρατε, μὴ εἰς τέλος ἑαυτοὺς ἀπελπίσατε, ἀλλὰ διὰ τῆς μετανοίας τοῦτον πάλιν ἀνακαινίσατε. ὥσπερ γὰρ ἀνὴρ φρόνιμος, τὸν ἐξ ἀμελείας ἑαυτοῦ οἶκον σαθρωθέντα καὶ διαφθαρέντα, σπουδαίως ἐπανορθωσάμενος ἀνακτίζει, "ὡς δοκεῖν αὐτὸν ἀπολιμπάνεσθαι τὸν ἐξ ἀρχῆς ἀνοικοδομηθέντα οἶκον· ὡσαύτως καὶ ὁ ἔνοικος τῆς ψυχῆς ἡμῶν νοῦς τὴν ταῖς ἁμαρτίαις ὀλισθήσασαν καὶ πεπαλαιωμένην" ψυχήν. μετάνοια γὰρ τὴν πεπαλαιωμένην ψυχὴν ἀνιστᾷ, τὴν ἀπαλλοτριωθεῖσαν Θεοῦ πάλιν φίλην καθίστησι· μετάνοια τὴν ἐπισυμβᾶσαν τῇ ψυχῇ σκοτομήνιαν ἀποσοβεῖ, καὶ τὴν νέκρωσιν ἀπελαύνει· μετάνοια τὴν κατηραμένην ψυχὴν ἀνεγείρει, τὴν χωλεύσασαν ἀνορθοῖ, τὴν συντετριμμένην ἰᾶται, τὴν τετραυματισμένην ὑγιάζει. δράμωμεν πρὸς τὴν μετάνοιαν, τὴν τῆς βασιλείας πρόξενον, τὴν τῶν ἁμαρτιῶν ἐξαλειπτήριον, τὴν τῆς σωτηρίας μητέρα. μετάνοια, διαβόλου διωγμός, δαιμόνων σκελισμός. ὦ μετάνοια, δι' ἣν Ἰωνᾶς ὁ προφήτης ἔφυγεν ἐκ προσώπου τοῦ Θεοῦ, ὡρισμένην ψῆφον Θεοῦ θανατικὴν ἀνατρέψασα, καὶ τὸν κήρυκα τοῦ θανάτου ψεύστην ἀναδείξασα. σὺ γὰρ ὑπαντήσασα τῇ τοῦ Θεοῦ βουλῇ κατὰ τῶν Νινευϊτῶν ἀποφάσει, αὐτὴν μὲν ἐνεπόδισας, τοῖς δὲ Νινευΐταις πηγὰς ζωῆς ἀφθόνως ἐξώμβρισας. μετάνοια μετὰ δακρύων προσπεσοῦσα Θεῷ, Ἐζεκίᾳ τῷ βασιλεῖ ἀντὶ θανάτου ζωὴν ἐχαρίσατο. ὦ μετάνοια ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνατρέχουσα, καὶ ἀγγελικὰς δυνάμεις ὑπερβαίνουσα, καὶ τῷ θείῳ πνεύματι Κυρίου προσεγγίζουσα θρόνῳ, καὶ Θεῷ συνόμιλος γινομένη· καὶ καθάπερ ἐξ οἰκείων θησαυρῶν, τῶν τοῦ Θεοῦ θησαυρῶν τὸ ζῆν λαμβάνουσα, καὶ τοῖς ἔχουσί σε μετὰ παρρησίας δωρουμένη. ὦ μετάνοια τῶν παθῶν ἰατρέ, ἡ τὰς ἀπειλὰς πραΰνουσα, καὶ τὸ πῦρ κατασβεννύουσα τοῦ θυμοῦ, καὶ τὰς ὀργὰς κοιμίζουσα, καὶ φιλίας λαμπάδας ἀσβέστους πρυτανεύουσα. ὦ μετάνοια ἐν καρδίᾳ ἀνθρώπου τικτομένη, καὶ παραχρῆμα εἰς οὐρανοὺς αὐλιζομένη. σὲ εὑρηκὼς ὁ μακάριος Δαβίδ, τὴν ἐπὶ τοῖς δυσὶν ἁμαρτήμασι, φόνου λέγω καὶ μοιχείας, αἰωνίας τιμωρίας ἐξέφυγε δίκην. ὦ μετάνοια, τὰ δεσμὰ τῶν ἁμαρτημάτων διαλύουσα, καὶ ἐσφαλισμένας ψυχὰς διασώζουσα. μετάνοια ἐκ μέσης καρδίας στεναγμὸν ἀναπέμπουσα Θεὸν δυσωπεῖ· μετάνοια δάκρυον θερμὸν ἀπὸ ὀφθαλμῶν δροσίζουσα, τὰς ἐσπιλωμένας ψυχὰς τῷ βαπτίσματι ἐκλαμπρύνει. ὦ μετάνοια, ἐκ θνητοῦ ἀνθρώπου γινόμενος φάρμακον ἀθανασίας περιεκτικόν. σὲ ἔχουσα ψυχὴ λέγει· Μέλαινά εἰμι, καλὴ δέ· μέλαινα, διὰ τὸ τῆς ἁμαρτίας πένθος σκυθρωπόν, καλὴ διὰ τὸ ἐκ τῆς μετανοίας φέγγος ἀγαθόν. ὦ μετάνοια Πέτρου συνήγορε, καὶ Παύλου ὑπέρμαχε καὶ συνέκδικε. σὲ ἑλὼν εὐθὺ ὁ χριστοκτόνος Φαρισαῖος, χριστοφόρος Γαλιλαῖος γέγονε. μετάνοια τὴν κατερραγμένην ψυχὴν μεταπλάττουσα, τὴν ἀκανθοφόρον καρδίαν εὐθὺς μεταβάλλει. Φασί τινες τὸν ἀετὸν γηράσαντα, εἰς ὕψος μετάρσιον ἐπαρθέντα, εἰς διαυγεστάτην πηγὴν

Ἄσμ. α. δ.

ἑαυτόν

Ἴσ. καὶ τῷ ἐμφύτῳ μαργ. … Ἴσ. περιλάμψαντι … Ἴσ. αὐτοὺς … Ἴσ. ἐπὶ … αὐτοῦ ἀπ… τὸ ἐξ ἀρχῆς ἀνοικοδο… Ἴσ. ψυχὴν ἀνορθοῖ … μετανοία.

ἑαυτὸν χαλάσαντα ἀνακαινίζεσθαι. τοιαύτη ἐστὶν ἡ μετάνοια. τὴν γὰρ ἔχουσαν αὐτὴν
καρδίαν εἰς ὕψος μετάρσιον ἐπάρασα, τῇ πηγῇ τῶν δακρύων τὴν μὲν παλαιότητα τῶν ἁ-
μαρτημάτων ἀποσμήχει, τὴν δὲ καινότητα τοῦ πνεύματος ἐπενδύει. διὸ καὶ τὸ πνεῦμα πρὸς
τὴν ἐν μετανοίᾳ οὖσαν ψυχὴν λέγει τό, Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. ταύτην εἰ- Ψαλ. ρβ. ε.
5 δὼς ὁ μέγας τῶν ψυχῶν ἡμῶν ἰατρὸς πασῶν τῶν ἀρετῶν εἶναι ἐνεργεστέραν, συμβουλεύει λέγων·
Μετανοεῖτε. ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. προσέλθετε τῇ μετανοίᾳ θαρσαλέως.
Ἐμβλέψατε εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε, τίς ἐπίστευσε τῷ Κυρίῳ, καὶ κατῃσχύνθη, ἢ τίς Σειρ. β. ι.
ἐνέμεινεν ἐν τῷ φόβῳ αὐτοῦ, καὶ ἐγκατελείφθη, ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν·
διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, καὶ ἀφίησιν ἁμαρτίας, καὶ σώζει ἐν καιρῷ θλίψεως. καί,
10 μὴ αἰσχυνθῇς, τέκνον, ὁμολογῆσαι τὰς ἁμαρτίας σου. ἔστι γὰρ αἰσχύνη ἡ ἐπάγουσα ἁμαρτί-
αν, καὶ ἔστιν αἰσχύνη ἡ δόξα καὶ χάρις. ἡ ἐνταῦθα μετανοοῦσα ψυχὴ λαμβάνει τὴν ἄφεσιν τῶν
ἁμαρτημάτων. Ἐν γὰρ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί τῷ Κυρίῳ; στέναζον ἐπὶ ταῖς ἁμαρτί- Ψαλ. ς. ς.
αις σου, ἵνα σωθῇς. Ὅταν γάρ, φησιν, ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ. Λέγε σύ, φη- Ησ. λ. ιε.
σι, τὰς ἁμαρτίας σου, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Ησ. μγ. κς.
15 σε. λέγε τὰς ἁμαρτίας σου. Ἁμαρτίας νεότητός μου, καὶ ἀγνοίας μου μὴ μνησθῇς. Ψαλ. κδ. ζ.
κατὰ τὸ ἔλεός σου μνήσθητί μου σύ, ἕνεκεν τῆς χρηστότητός σου, Κύριε. πρόσεχε ὅτι ὁ βίος
οὗτος ἐστὶν ὡς σκιὰ παρατρέχουσα. ποῦ εἰσιν αἱ ἀπολαύσεις τῶν παρελθόντων χρόνων;
ποῦ ἡ μέριμνα ἡ κενή; ποῦ αἱ θλίψεις; ποῦ αἱ ἀνέσεις; οὐχ ὡς ὁμίχλη ὑπὸ λαίλαπος
εἰσιν " ἠνεμωμέναι; τὰ πάντα παρέδραμον. μὴ μόνον βλέπωμεν εἰς τὸν ἑστῶτα βίον,
20 ἀλλὰ καὶ εἰς τὸν μέλλοντα. Μιμνήσκου, φησί, τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα Σειρ. ζ. λη.
οὐχ ἁμαρτήσεις. ἐννόει τὴν ἡμέραν καὶ τὴν ὥραν τῆς ἐξόδου, οἷος θέλεις εἶναι ἐπὶ κλίνης βεβλη-
μένος καὶ ἀδύνατος, μὴ ἔχων ἑαυτῷ τινὰ βοηθῆσαι. ὅρα τοὺς κύκλῳ σου παρεστῶτας φίλους, γεί-
τονας, συγγενεῖς, ἀδελφούς, οἰκέτας· πάντες ὁμοθυμαδὸν ὀλοφυρόμενοι, δακρύοντες, " ἀπαρό-
ρητοι, ὀδυρόμενοι διὰ σέ· ὁμοίως δὲ τὰ τέκνα ἑκατέρωθεν ἑστηκότα, καὶ τὴν τοῦ πατρὸς φωνὴν συν-
25 ήθως ἐπιζητοῦντα, κλαυθμυρίζοντα, καὶ μὴ ἀκούοντά σου. ἡ γυνὴ πάλιν κατώδυνος, τὸν θά-
νατον γλιχομένη πρὸ σοῦ διὰ σέ· ἀγγέλους φοβεροὺς τὸ ταμεῖον τῆς ψυχῆς σου ἀπαιτοῦντας. ἐὰν
μὲν ἢ τιμῆς ἄξια πεποιηκυῖα ἡ ψυχή, ὑπὸ τῶν ἀγγέλων δορυφορηθήσεται· ἐὰν δὲ ἢ ἀνίλεως πρὸς
τοὺς ὁμοφύλους πένητας ἀνατραφεῖσα, ἀνίλεως κατακριθήσεται. Ἡ γὰρ κρίσις, φησίν, ἀνίλε- Ιακωβ. β. ιγ.
ως τῷ μὴ ποιήσαντι ἔλεος. εἴσελθε εἰς τὸ ταμεῖον τῆς ψυχῆς σου· γενοῦ θεατὴς τῶν ὑπὸ σοῦ πε-
30 πραγμένων· ἀντίβαλε τὰ καλά σου τοῖς φαύλοις. καὶ ἐὰν ἴδῃς ὅτι ὑπερβάλλῃ τὰ φαῦλα,
χῶσον αὐτὰ ταῖς εὐποιΐαις, ὡς μέλλων αὐτοπρόσωπα θεωρεῖν σου τὰ ἁμαρτήματα. ὅρα μοι τὸν
σκώληκα τὸν ἀκοίμητον, καὶ τὸ χάος τὸ ἀφεγγές, τὸ πῦρ τὸ ἄσβεστον, τὸ φοβερόν, τὸ ὑπὸ ὕδα-
τος μὴ σβεννύμενον, ὑπὸ δὲ μετανοίας νικώμενον. ὦ μετάνοια, τὸ πῦρ τὸ ἄσβεστον καὶ αἰώνιον
κατασβεννύουσα, καὶ τὸν σκώληκα τὸν ἀκοίμητον ἐδαφίζουσα, καὶ τὸ χάος τὸ ἀφεγγὲς ἐξομαλίζου-
35 σα καὶ φωτίζουσα. ὦ μετάνοια, τεῖχος ψυχῆς ἀρραγές, πόλις πεπυργωμένη, ἐν ᾗ πατὴρ καὶ υἱὸς καὶ
ἅγιον πνεῦμα βασιλεύει. ὦ μετάνοια, ἡ τὸ κέντρον τοῦ θανάτου λύσασα, καὶ τὸν διάβολον ὑπὸ πό-
δας φέρουσα, καὶ τὸν δράκοντα " ἀναιροῦσα, καὶ τὸν Χριστὸν ἀνυμνοῦσα, καὶ ζωὴν ἐξανθοῦ-
σα. ὦ μετάνοια, ἡ ἐν τῷ πένθει χαρὰν ἀναθάλλουσα, καὶ ἐν τοῖς δάκρυσιν ἀγαλλομένη, καὶ
διὰ δακρύων τὰ αἰώνια " δάκρυα φέρουσα. ὦ μετάνοια, ἡ ἐν δάκρυσι σπείρουσα, καὶ ἐν
40 ἀγαλλιάσει θερίζουσα. ὦ μετάνοια, ἡ ἐν τῷ σάκκῳ τὴν ἐξαστράπτουσαν στολὴν Χριστοῦ
μνηστευομένη. ὦ μετάνοια, ἡ τὸν τρόπον τοῦ Κάϊν ἐκ τῆς καρδίας ἐλαύνουσα, καὶ τὸν τόνον καὶ
χαρὰν τῆς ἀγνείας ἐμβάλλουσα. ὦ μετάνοια, ἡ τὴν δυσωδίαν τῶν ἁμαρτημάτων ἀπο-
σμήχουσα, καὶ τὴν εὐωδίαν τῶν κατορθωμάτων στολίζουσα. ὦ μετάνοια εἰρήνης σύνοικε,
φιλίας ὁμόσκηνε, ἀγάπης ὁμόζυγε, ἐλπιδόπνοον ἄνθος. σὲ τὸν νεμόμενοι ἀργυρέχεωοι

ἄνδρες

χρήματα

ἄνδρες πορφύρεα σκῆπτρα τῆς τριάδος ἐρεύγονται. ἀλλ' ἵνα μὴ μηκύναντες τὸν λόγον δόξωμεν ἐρεσχελεῖν, ἐνταῦθα τὸ βαλάντιον τῶν λόγων ἡμῶν σφραγίσαντες, ἐπὶ τὸν θεόκτιστον λειμῶνα ὑμᾶς παραπέμψωμεν, ἐν ᾧ εἰσι τὰ καλλίπνοα δένδρα τῶν δογμάτων στελέχη, ἃ ὁ Θεὸς διὰ τῶν πατέρων εἰς ὀροφὴν τῆς ἐκκλησίας ὑμῖν κατεφύτευσε διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιϛ.

ΠΡΟΣ ΙΟΥΔΑΙΟΥΣ ΚΑΙ ΕΛΛΗΝΑΣ ΚΑΙ αἱρετικούς.

Ex Ms. Regio Luc. emend. ex Ms. Caesareo.

Οἱ νεοσσοὶ τῶν χελιδόνων καθέζονται ἐν τῇ καλιᾷ προσδεχόμενοι τὴν τῶν γονέων παρουσίαν φερόντων αὐτοῖς τὴν τροφήν· ἐπὰν δὲ ἴδωσιν αὐτοὺς ἐρχομένους, κρύφῳ τῷ πτερῷ τῆς διανοίας πτεροῦνται. ὁμοίως δὲ κἀγὼ μέλλων ἐγγίζειν τῇ καλιᾷ ταύτῃ τῇ πνευματικῇ προαναφωνῶ δοξάζω τὸν Θεόν, ὅτι τοιαῦτά μοι τέκνα δίδωκε φιλόστοργα. ἀλλὰ μὴν ἐπὶ τῶν χελιδόνων, ἀπὸ στόματος εἰς στόμα δίδοται ἡ τροφή, ἐπὶ δὲ ὑμῶν οὐκ ἔστιν οὕτως· ἀλλ' ἀπὸ στόματος εἰς ἀκοήν. ἐκεῖνα γὰρ εἰς φθορὰν προχωροῦσι, ταῦτα δὲ εἰς ἀφθαρσίαν· ἐκεῖνα σώματα τρέφει, ταῦτα δὲ ψυχὴν πιαίνει. ταῦτα δέ μοι πάντα οὐχ ἁπλῶς οὔτε εἰκῇ εἴρηται. ἀλλ' ἐπειδὴ τοῦ εὐαγγελίου τοῦ σήμερον * ἀναγνωσθέντος ἡ περιοχὴ εἰς ταύτην ἡμᾶς τὴν διδασκαλίαν χειραγωγεῖ, ἀναγκαῖον ὑμᾶς παιδεῦσαι. Ἐκλήθη, φησίν, ὁ Ἰησοῦς εἰς γάμον. ἀλλὰ συντείνατε ἑαυτούς, παρακαλῶ, προσέχετε τοῖς λεγομένοις. ἐπειδή τινες προφασίζονται γάμον, ἄλλοι τέκνα, ἄλλοι στρατείαν, ἄλλοι ἐμπορείαν, ἄλλοι τέχνην, ἄλλοι δουλείαν, ἄλλοι πλοῦτον, ἄλλοι πενίαν, καὶ ἄλλα τινὰ ὅσα ἐστί· βούλομαι οὖν ὑμῖν δεῖξαι, ὅτι οὔτε πλοῦτος ἐμποδίζει, οὔτε πενία, οὔτε στρατεία, οὔτε ἐμπορεία, οὔτε γάμος, οὔτε τέκνα, οὔτε δουλεία, οὔτε τέχνη, οὔτε τι τῶν τοιούτων οὐδέν. ἐκλήθη ὁ Ἰησοῦς εἰς γάμον. ἀπῆλθεν, ἢ οὐκ ἀπῆλθεν; δῆλον ὅτι ἀπῆλθεν. εἰ οὖν ἀπῆλθε, πῶς ὁ γάμος κακός; μὴ ἔχεις ἀπολογίαν; ἐγὼ δὲ οὐ μόνον λέγω, ὅτι ἀπῆλθεν, ἀλλὰ καὶ δῶρα προσήνεγκε· τὸ γὰρ ὕδωρ εἰς οἶνον μετέβαλε. μὴ τοίνυν προφασίζου τὸν γάμον. ὁ δεσπότης σου παρεγένετο εἰς γάμον, καὶ ἐδόξασε τὸν γάμον, καὶ σὺ ἐνυβρίζεις τὸν γάμον, καὶ λέγεις ὅτι ἐμπόδισμά ἐστιν ὁ γάμος; οὐδὲν ἐμπόδισμα πρὸς εὐσέβειαν. βούλει μαθεῖν, ὅτι οὐδὲν παραβλάπτει ἔχειν γυναῖκα καὶ τέκνα; Μωϋσῆς οὐχὶ γυναῖκα καὶ τέκνα εἶχεν; Ἠλίας οὐχὶ παρθένος ἦν; οὐχὶ Μωϋσῆς μάννα κατήγαγεν ἐκ τοῦ οὐρανοῦ; οὐχὶ Ἠλίας πῦρ κατήγαγεν ἐκ τοῦ οὐρανοῦ; οὐχὶ Μωϋσῆς ὀρτυγομήτραν ἐξεπέτασεν; οὐχὶ Ἠλίας τῷ λόγῳ τὸν οὐρανὸν ἔκλεισεν; οὐχὶ Μωϋσῇ ὁ Θεὸς ὡμίλει; οὐχὶ καὶ Ἠλίᾳ Θεὸς ὡμίλει; οὐχὶ Μωϋσῆς θάλασσαν ἔσχισε καὶ διήγαγε τὸν λαόν; οὐχὶ Ἠλίας ἐν ἅρματι πυρίνῳ ἀνελήφθη; μή τι παρέβλαψε τοῦτον ἡ παρθενία; μή τι παρενεπόδισε τοῦτον ἡ γυνὴ καὶ τὰ τέκνα; εἶδες Ἠλίαν τὸν τοῦ ἀέρος ἡνίοχον· εἶδες Μωϋσῆν τὸν τῆς θαλάσσης ὁδοιπόρον· βλέπε καὶ Πέτρον, τὸν στύλον τῆς ἐκκλησίας, ὅτι καὶ αὐτὸς γυναῖκα εἶχεν. οὐ γέγραπται, ὅτι Πέτρος γυναῖκα εἶχε· πόθεν οὖν δῆλον ὅτι γυναῖκα εἶχεν; ἐγὼ λέγω. Εἰσῆλθε, φησίν, ὁ Ἰησοῦς πρὸς τὴν πενθερὰν Πέτρου· καὶ ἦν ἐκεῖνη ἀρρωστοῦσα, καὶ ἥψατο αὐτῆς, καὶ ἔφυγεν ὁ πυρετὸς αὐτῆς, καὶ διηκόνει. ὁρᾷς ὅτι καὶ Πέτρος γυναῖκα εἶχεν; ὅπου γὰρ πενθερά, εὔδηλον ὅτι καὶ γυνή. ὁρᾷς ὅτι καὶ Πέτρος γυναῖκα εἶχε, μή τι διαβάλλῃς τὸν γάμον. ταῦτα δὲ λέγω, ἵνα μή τις προφασίσηται μήτε γυναῖκα, μήτε τέκνα, μήτε στρατείαν, μήτε ἐμπορείαν, μήτε τέχνην, μήτε δουλείαν, μήτε πλοῦτον, μήτε πενίαν. ταῦτα προφάσεις, ταῦτα σκέψεις, αὗται ἐπιβολαὶ τοῦ διαβόλου. στρατείαν προφασίζῃ, καὶ λέγεις, ὅτι στρατιώτης εἰμί, καὶ οὐ δύναμαι εὐλαβὴς εἶναι;

ὁ ἑκατόνταρχος

ὁ ἑκατόνταρχος; οὐχὶ στρατιώτης ὤν; καὶ λέγει τῷ Ἰησοῦ, Ὅτι οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ
τὴν στέγην εἰσέλθῃς· ἀλλ' εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ θαυμάσας ὁ Ἰησοῦς λέ-
γει· Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὅτι οὔτε ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. μήτι ἐνε-
πόδισεν αὐτῷ ἡ στρατεία; ἀλλὰ τί εἶ; χαλκοτέχνης εἶ; καὶ Παῦλος, καὶ σκυλευτὴς τῆς ἐκ-
5 κλησιῶν ὤν, καὶ μετὰ ταῦτα γέγονε κήρυξ καὶ ἀπόστολος. ἀλλὰ τί εἶ; πλούσιος; καὶ Ἀβραὰμ,
καὶ αὐτὸς γυναῖκα εἶχε καὶ τέκνα, Καὶ ἐπίστευσέ, φησιν, Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐ-
τῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ ἐκλήθη. μήτι ἐνεπόδισεν αὐτῷ ὁ πλοῦτος καὶ ἡ γυνὴ,
ἢ τὰ τέκνα; μὴ ἔχεις ἀπολογίαν; ἰδοὺ ἅπερ προφασίζῃ τρία οὗτος ἔχει, καὶ γυναῖκα καὶ τέ-
κνα καὶ πλοῦτον. ἀλλὰ τί εἶ; δοῦλος; καὶ Ὀνήσιμος. καὶ γράφων Παῦλος Φιλήμονι ἔλε-
10 γεν· Ὀνήσιμον τόν ποτέ ἄχρηστον, νυνὶ δὲ καὶ ἐμοὶ καὶ σοὶ εὔχρηστον. ἀλλὰ τί εἶ; βασιλεύς;
καὶ Δαβίδ· καὶ εἰσῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης, καὶ ἤλεγξεν αὐτὸν περὶ τῆς ἁμαρ-
τίας, ἥνπερ ἐποίησε. μήτι ἐτυράννησεν ὁ βασιλεύς; μήτι ἀπεφθέγξατο κατὰ τοῦ προφήτου;
οὐχὶ καὶ ἐν τῇ βασιλείᾳ τὴν δουλείαν ὡμολόγει, καί φησιν, Ἡμάρτον τῷ Κυρίῳ; καὶ ὁ προ-
φήτης ἰδὼν τὴν μετάνοιαν αὐτοῦ, λέγει αὐτῷ· Ὁ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. ὀξεῖα ἡ
15 μετάνοια, ὀξυτέρα ἡ συγχώρησις. μὴ γὰρ προσέσχεν ἑαυτῷ ὁ βασιλεὺς, καὶ εἶπεν, ὅτι βασι-
λεύς εἰμι, πορφύραν περιβέβλημαι, καὶ διάδημα περίκειμαι, καὶ ἔχω τόξα καὶ βέλη καὶ ἀ-
σπίδας καὶ κεραίας καὶ στρατιώτας ὑπασπιστάς· καὶ τοῦτον τὸν πένητα φοβοῦμαι, καὶ οὐ φονεύω
αὐτὸν, ἀλλὰ ἀνέχομαι αὐτοῦ; ἀλλ' οὐδὲν τούτων εἶπεν. ἀλλ' εἰ καὶ βασιλεὺς ὤν, ᾔδει ὅτι
ἥμαρτε, καὶ διὰ τοῦτο μετενόησεν, ἐπειδὴ ᾔδει ὅτι χαλεπὸν ἁμάρτημα ἐποίησε. μήτι ἐνε-
20 πόδισεν αὐτῷ ἡ βασιλεία; ἀλλὰ τί εἶ; παῖς; καὶ ὁ Δανιὴλ λέοντας ἐφίμωσε, καὶ δράκοντα
διέρρηξε, τὸν Βὴλ κατέστρεψε, καὶ τοὺς πρεσβυτέρους κατέκρινε, τὴν δὲ Σωσάνναν ἔσωσε· καὶ
τὸ ἀτελὲς τῆς νεότητος οὐδὲν ἐνεπόδισε τὴν τοσαύτην ἀρετήν. ἀλλὰ τί εἶ; φιλάδελ-
φος; καὶ Ἰωσήφ· καὶ πόσην φιλοσοφίαν ἐπεδείξατο, καὶ σωφροσύνην ἐπὶ τῆς Αἰ-
γυπτίας; τὸν χιτῶνα αὐτοῦ ἔσχισε, τὴν δὲ πίστιν αὐτοῦ οὐ διέρρηξε· τὴν ἀναισχυντίαν αὐτῆς ἐ-
25 νίκησε, τὴν δὲ ἐπιθυμίαν αὐτῆς οὐκ ἐπλήρωσεν. ἀλλὰ τί εἶ; * πόρνη; καὶ ἡ Ῥαὰβ, ἥτις ἔ-
κρυψε τοὺς κατασκόπους, καὶ μετὰ τὸ παραλαβεῖν τοὺς υἱοὺς Ἰσραὴλ τὴν γῆν τῆς ἐπαγγελίας
ἐσώθη καὶ αὐτὴ καὶ ὁ οἶκος αὐτῆς καὶ τὸ γένος αὐτῆς. ἀλλὰ τί εἶ; πένης; καὶ ὁ Λάζα-
ρος, καὶ ἐν τῇ πενίᾳ πόσην φιλοσοφίαν ἐπεδείξατο καὶ ὑπομονὴν, καὶ οὐκ ἐδυσανάτησεν ἐν
τοσαύτῃ ἀνάγκῃ ὤν; ἀλλὰ τί εἶ; φιλογύναιος; καὶ Σαμψών. εἰ γὰρ καὶ παρεδόθη ὑπὸ
30 γυναικὸς, ἀλλὰ τὴν ἐκδικίαν παρέσχεν αὐτῷ ὁ Θεὸς, καὶ ἐξεδικήθη ὑπὸ τῶν ἀλλοφύλων.
ἀλλὰ τί εἶ; φιλότεκνος; καὶ Ἰακώβ. ὁρᾷς πόσοι ἐσώθησαν; ἔχεις πίστιν, πάντα ἔχεις. οὐκ
ἔχεις πίστιν, βασιλεὺς δὲ εἶ, οὐδέν σε ὠφελεῖ ἡ βασιλεία. ἀλλὰ τῆς ὑποθέσεως οὐκ ἐπι-
λέλησμαι. ἐκλήθη οὖν ὁ Ἰησοῦς εἰς γάμον. Παραγινομένου δὲ αὐτοῦ οὐκ εἶχον οἶνον. λέ-
γει αὐτῷ ἡ μήτηρ αὐτοῦ, οἶνον οὐκ ἔχουσι. λέγει αὐτῇ ὁ Ἰησοῦς, ὕπαγε γύναι· οὔπω γὰρ ἥκει
35 ἡ ὥρα μου. καὶ ταῦτα εἰπὼν ὁ Ἰησοῦς λέγει, γεμίσατε τὰς ὑδρίας ὕδατος. καὶ ἐγέμισαν τὰς
ὑδρίας ὕδατος, καὶ ἐποίησε τὸ ὕδωρ οἶνον. διὰ τί δὲ εἶπε, γεμίσατε τὰς ὑδρίας ὕδατος; ἆρα
ὁ λόγῳ τὸν οὐρανὸν ποιήσας, καὶ τὴν γῆν θεμελιώσας, καὶ πάντα τὰ ἐν αὐτοῖς, οὗ τὸ βλέμμα ξη-
ραίνει ἀβύσσους, ὃν φρίσσει καὶ τρέμει πᾶσα ἡ κτίσις ἐπουρανίων τε καὶ ἐπιγείων * οὐκ ἐδύ-
νατο τὰς ὑδρίας λόγῳ γεμίσαι, ἀλλὰ λέγει, ἀντλήσατε ὕδωρ; διὰ τί, ἐγὼ λέγω. ἵνα, ἐὰν
40 ἀρνήσωνται, αἱ χεῖρες αὐτῶν αἱ ἀντλήσασαι, καὶ οἱ ὦμοι αὐτῶν οἱ βαστάσαντες τὸ ὕδωρ ἐλέγ-
ξωσιν αὐτούς· ἐπεὶ καὶ ἐπὶ τῷ Λαζάρῳ τὸ αὐτὸ ἐποίησε. πρὸ τοῦ παραγενέσθαι ἐπὶ τὸν
τόπον λέγει τοῖς μαθηταῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. ἔπειτα ὡς ἦλθον αἱ ἀδελ-
φαὶ τοῦ Λαζάρου, καὶ λέγουσιν αὐτῷ, ὅτι Λάζαρος ἀπέθανε, λέγει αὐταῖς· Ποῦ τεθεί-
κατε αὐτόν; αἱ δέ φασιν, ἐλθὲ καὶ ἴδε. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. πρὸ μικροῦ

Ιωαν β. γ.

Ιωαν. ια. ια.

Ιωαν. ια. λδ.

ἔλεγες τοῖς μαθηταῖς ὅτι Λάζαρος ἀπέθανε, καὶ νῦν λέγεις ποῦ τεθείκατε αὐτόν; τὸν θάνατον προδηλοῖς τοῖς μαθηταῖς σου, καὶ τὸν τόπον οὐκ οἶδας; ᾔδει, ἀλλὰ διὰ τοὺς Ἰουδαίους ἔλεγεν, ἐπειδὴ ἀγνώμονες ἦσαν. ὥστε τὸ εἰπεῖν, ποῦ τεθείκατε αὐτόν, οὐκ ἀγνοίας ἦν· ἐπεὶ καὶ

Γεν. γ. θ. ἐν τῷ παραδείσῳ ἔλεγε τῷ Ἀδάμ, Ἀδάμ, ποῦ εἶ; ἆρα οὖν οὐκ ᾔδει ποῦ ἦν; ἀλλ᾽ ἐπειδὴ ἔλεγεν αὐτοῖς ὁ διάβολος, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἐκ τοῦ ξύλου τούτου, ἔσεσθε ὡς θεοί, ὑπελάμβανον ἐκεῖνοι ὅτι μέλλουσι γίνεσθαι θεοί. καὶ διὰ τοῦτο ἔλεγεν αὐτῷ ὁ Θεός, Ἀδάμ ποῦ εἶ, ἀφ᾽ οὗ ἔφασκες, καὶ ἔμεινας ἄνθρωπος; διὰ τοῦτο ἔλεγεν αὐτῷ ὁ Θεός, Ἀδάμ ποῦ

Ιωαν. ια. λθ. εἶ; οὕτω καὶ ἐπὶ τοῦ Λαζάρου ἐποίησεν. ἐπιστὰς τῷ μνήματι λέγει τοῖς Ἰουδαίοις· Ἄρατε τὸν λίθον ἐκ τοῦ μνήματος· καὶ ἦραν. λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ Λαζάρου· Κύριε, ἤδη ὄζει. ἦν γὰρ τεταρταῖος. καὶ κράξας φωνῇ μεγάλῃ λέγει, Λάζαρε, δεῦρο ἔξω. καὶ ἐξῆλθε κειρίαις δεδεμένος. ἆρα οὖν ὁ μετατιθεὶς ἐν καρδίαις θαλασσῶν οὐκ ἠδύνατο λόγῳ τὸν λίθον κινῆσαι; ὁ τὰ κέντρα τοῦ θανάτου κατακλάσας, ὁ τὰς θύρας τοῦ ᾅδου συντρίψας, οὐκ ἠδύνατο καὶ τὰς κειρίας διαρρῆξαι; καὶ λέγει αὐτοῖς, Λύσατε αὐτόν. διὰ τί; ἵνα, ἐὰν ἀρνήσωνται, αἱ χεῖρες αὐτῶν καὶ οἱ ὀφθαλμοὶ ἐλέγξωσιν αὐτούς, διὰ τοῦτο εἶπε, λύσατε αὐτόν. καὶ ἐν τῷ γάμῳ τὸ αὐτὸ ἐποίησεν, ὅτι εἶπεν αὐτοῖς, γεμίσατε τὰς ὑδρίας ὕδατος, καὶ ἐγέμισαν τὰς ὑδρίας, καὶ ἐποίησε τὸ ὕδωρ οἶνον. διὰ τοῦτο οὖν πανταχόθεν ἠσφαλίζετο αὐτοῖς. ἀεὶ γὰρ ἀγνώμονες ἐγένοντο οἱ Ἰουδαῖοι καὶ ἀχάριστοι. θέλετε μαθεῖν πόσα παρέσχεν αὐτοῖς ὁ Θεός, καὶ ἀμνήμονες ἐγένοντο; μάθετε· ἀλλὰ σιωπήσατέ μοι ἑαυτούς, παρακαλῶ, προσέχετε τοῖς λεγομένοις. βούλομαι γὰρ ὑμῖν δεῖξαι ὅτι ἀπ᾽ ἀρχῆς ἀγνώμονες ἦσαν οἱ Ἰουδαῖοι. ἑβδομήκοντα καὶ πέντε ψυχαὶ κατέβησαν ἐν Αἰγύπτῳ, καὶ ἐγένοντο ἑξακόσιαι χιλιάδες. ἐτελεύτησεν Ἰωσήφ, καὶ ἀνέστη αὐτοῖς ἕτερος βασιλεύς, ὃς οὐκ ἐμνήσθη τοῦ Ἰωσήφ· ἔθλιβε δὲ τοὺς υἱοὺς Ἰσραὴλ σφόδρα. ἐβόησαν οὖν πρὸς τὸν Θεὸν λέγοντες, Κύριε, σὺ ὤμοσας τοῖς πατράσιν ἡμῶν, ὅτι δώσω τῷ σπέρματι ὑμῶν γῆν ῥέουσαν γάλα καὶ μέλι· καὶ νῦν, Κύριε, μνήσθητι τῆς διαθήκης, ἧς ἔθου τοῖς πατράσιν ἡμῶν, καὶ ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς Φαραὼ βασιλέως Αἰγύπτου, καὶ ἐκ δουλείας τῶν Αἰγυπτίων. ἤκουσεν οὖν ὁ Θεὸς τῆς φωνῆς αὐτῶν, καὶ ἔπεμψε τὸν Μωϋσῆν πρὸς αὐτούς*. ἀλλὰ σιωπήσατέ μοι ἑαυτούς, παρακαλῶ. λέγει τῷ Μωϋσῇ ὁ Θεός· Λάβε ἀρνίον ἄμωμον ἐνιαύσιον πρωτότοκον, καὶ θῦσον, καὶ τὸ αἷμα αὐτοῦ χρίσει ἕκαστος εἰς τὴν θύραν· ἵν᾽, ὅταν ἔλθῃ ὁ ἄγγελος ἔχων ἐσπασμένην τὴν ῥομφαίαν, καὶ ἴδῃ ὅτι τὸ αἷμα κέχρισται εἰς τὸν οἶκον ἐκεῖνον, ἀναχωρῇ· ἐὰν δὲ ἴδῃ ὅτι οὐκ ἔνι, εἰσέρχηται καὶ πάντας ἐξολοθρεύσῃ. ἐποίησεν οὖν ὁ Μωϋσῆς οὕτω, καὶ ἔδωκε τῷ λαῷ, καὶ λαβόντες ἐκεῖνοι, ἕκαστος ἔχρισε τὰς θύρας αὐτῶν. καὶ ἤρχετο ὁ ἄγγελος ἔχων ἐσπασμένην τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἔβλεπε τὸ αἷμα ἐν ταῖς θύραις, καὶ ἀνεχώρει. ὅπου δὲ οὐκ ἔβλεπεν, εἰσήρχετο, καὶ πάντας ἀνεῖλε. ταῦτα δὲ πάντα οὐκ ἁπλῶς ἐγίνετο. ἀλλ᾽ ἐπειδὴ ἐμέλλομεν δι᾽ αἵματος καὶ ξύλου σώζεσθαι, διὰ τοῦτο εἶπεν ὁ Θεός, ὅτι χρίσει ἕκαστος τὸ αἷμα εἰς τὰς θύρας. διὰ τί οὐκ εἶπε, χρίσον τὸ αἷμα εἰς τὸν τοῖχον; ὅτι οὐκ ἠμέλλομεν σώζεσθαι, εἰ μὴ διὰ ξύλου. "ἐξέβαλεν οὖν αὐτοὺς ὁ Μωϋσῆς ἐκ τῆς Αἰγύπτου, καὶ" ἀνήνεγκεν αὐτοὺς εἰς τὴν ἔρημον, καὶ λέγουσι τῷ Μωϋσῇ·

Εξοδ. ιδ. ια. Διὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, "ἀνήνεγκεν ἡμᾶς εἰς τὴν ἔρημον θανατῶσαι; οὐ καλῶς ἡμῖν ἦν ἐν Αἰγύπτῳ, ὅτι ἐτρώγαμεν τοὺς σικύας καὶ πέπονας καὶ τὰ κρόμμυα καὶ τὰ σκόροδα; εἶδες ἀγνωμοσύνην; αὐτοὶ ἔλεγον τῷ Θεῷ, αὐτοὶ ἠξίουν, ὅτι ἐξάγαγε ἡμᾶς ἐκ γῆς Αἰγύπτου· καὶ ἐλθόντες εἰς τὴν ἔρημον ἠχαρίστουν. εἶδες ἀγνωμοσύνην αὐτῶν. ἀλλὰ μάθετε τὸ μεῖζον καὶ ἐξαίρετον πρᾶγμα. τεσσαράκοντα ἔτη ἐποίησαν ἐν τῇ ἐρήμῳ. θρὶξ αὐτῶν οὐκ ηὔξησεν, οὔτε ὄνυξ· ἱμάτιον αὐτῶν οὐκ ἐρρυπώθη· ὑπόδημα αὐτῶν οὐκ ἀπετρίβη· οὐκ ἔκαμον, οὐκ ἔσκαψαν· βόας οὐκ ἔζευξαν, ἄροτρον οὐκ εἵλκυσαν, αὔλακας οὐκ ἀνέτεμον, ἀκάνθας οὐκ ἀνέσπασαν, σπέρματα οὐ κατεβάλλοντο, καὶ ὄμβροι οὐκ ἀνέμειναν,

ἡλίου

* τοῦ ἐξάξαι αὐτούς.

ἡλίου θερμὰς ἀκτῖνας οὐ προσεδόκησαν, καιρὸν θερισμοῦ οὐ προσεδέξαντο, δρεπάνην οὐκ ἠκόνησαν· οὔτε ἐθέρισαν, οὐκ ἔδησαν στάχυας καὶ ἐβάστασαν, οὔτε ἐκεῖ ἦγον εἰς ἅλωνα καὶ ἐμόχθησαν, οὔτε ἠλόησαν οὔτε ἐκάθαραν, οὔτε ἔφυρασαν ἄλευρα, οὔτε ὤπτησαν καὶ ἐποίησαν ἄρτους, ἀλλ' οὐδὲ τῶν τοιούτων οὐδέν· ἀλλὰ ἄρτον ἀγεώργητον ἔτρωγον· αὐτοσχεδία τράπεζα παρετίθετο αὐτοῖς· τῇ ἀπαθείᾳ τῶν ἀγγέλων ἐμιμοῦντο· ἡ φύσις τῆς οἰκείας ἀσθενείας ἐπελάθετο. καὶ μετὰ τοσαύτας εὐεργεσίας ἔλεγον τῷ Ἀαρών· Δὸς ἡμῖν θεούς, οἵτινες προπορεύσονται ἡμῶν· [Ἐξοδ. λβ. α.] Μωϋσῆς γὰρ οὗτος, ὅστις ἐξήγαγεν ἡμᾶς ἐκ τῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. καὶ ἐποίησαν βίαν μεγάλην τῷ Ἀαρών. ἐκεῖνος ἰδὼν ὅτι σκληροκάρδιοι ἦσαν καὶ ἀπερίτμητοι, λέγει αὐτοῖς· περιέλετε τὰ χρυσάφια ὑμῶν, καὶ βάλετε ἐν πυρί· καὶ εἴ τι ἀνέβη, τοῦτο Θεός. καὶ ἀνέβη τὸ βουκέφαλον. ἐνταῦθά μοι τὸν αἱρετικὸν τὸν ἀγνώμονα, τὸν παράσιτον Ἰουδαίων τὸν λέγοντα, ὅτι ἐγέννησε Θεός, καὶ ῥεῦσιν ὑπέμεινεν. ἐφθαρμένε, ἄθλιε, καὶ ταλαίπωρε, ταῦτα ἐπὶ Θεοῦ ὑπολαμβάνεις; ἀλλ' ἡμεῖς οὐχ οὕτω (μὴ γένοιτο) ἀλλ' ὅτι ἐγέννησε πατὴρ υἱόν, μόνος μόνον, Θεὸς Θεόν, τέλειος τέλειον. ταῦτα γὰρ φρονήματα χριστιανῶν. ἐπειδὴ οὖν δοκεῖς τὰ ἄνω περιεργάζεσθαι, τὰ σαυτοῦ, εἰ δοκεῖς εἰδέναι, εἰπέ μοι· πῶς, βληθέντων τῶν χρυσαφίων εἰς τὸ πῦρ, ἀνέβη τὸ βουκέφαλον; χαλκότυπος οὐκ εἰργάσατο, χωνευτὴς οὐκ ἦν· πῶς ἀνέβη τὸ βουκέφαλον, τολμᾷς εἰπεῖν; εἰ τὰ κάτω οὐκ οἶδας, πῶς τὰ ἄνω περιεργάζῃ; ὁ τὰ ἴδια μὴ ἐπιστάμενος, πῶς τὰ ἀλλότρια περιεργάζῃ; καὶ παράγουσιν ἡμῖν εὐαγγελικὴν φωνὴν αὐτοῦ τοῦ υἱοῦ λέγοντος τοῖς μαθηταῖς· Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς ἐστε τὰ κλήματα, ὁ πατήρ μου γεωργός ἐστιν. [Ἰωαν. ιε. α.] ὁρᾷς, φησίν, ὅτι εἰργάσατο τὸν υἱόν. ἐὰν γὰρ μὴ ἐργάσηται γεωργὸς ἄμπελον, οὐ δύναται χρήσιμος εἶναι· καὶ νομίζουσιν, ὅτι μέγα τι καὶ ἐνάρετον λέγουσιν. ἀλλὰ σιωπήσατέ μοι ἑαυτούς, παρακαλῶ. εἶπον πρὸς τοὺς ἀγνώμονας Ἰουδαίους· ἄφες, εἴπω καὶ πρὸς τοὺς ἀναισχύντους αἱρετικούς. δύνασαί μοι εἰπεῖν, ἀγνῶμον καὶ ἀναίσχυντε αἱρετικέ, ὅτι ὁ γεωργὸς οὐ τρέφεται ἀπὸ τῆς ἀμπέλου; ἀπὸ τοῦ ὅπλου σου χρῶμαί σε. ὥσπερ οὖν ἐστι γεωργὸς ἐργαζόμενος ἄμπελον, οὕτω καὶ ὁ πατὴρ εἰργάσατο τὸν ἴδιον υἱόν. ἴδωμεν οὖν, τίς ἐκ τίνος τρέφεται, ἡ ἄμπελος ἐκ τοῦ γεωργοῦ, ἢ ὁ γεωργὸς ἐκ τῆς ἀμπέλου. κατὰ σὲ ὁ πατὴρ ἀπὸ τοῦ υἱοῦ ἔχει τὸ εἶναι. οὐκ ἔνι γὰρ γεωργὸς μὴ τρεφόμενος ἐκ τῶν ἔργων αὐτοῦ. τί οὖν; ὁ υἱὸς τρέφει τὸν πατέρα; οὐχί, μὴ γένοιτο. ταῦτα γὰρ ἐσχάτης ἀνοίας. ἄμεινον λέγειν, ὥσπερ γεωργὸς χαίρει ἐπ' ἀμπέλῳ, οὕτω καὶ ὁ πατὴρ χαίρει ἐπὶ τὸν υἱόν. οὐ γὰρ εἶπεν, ὅτι ὁ πατήρ μου ὁ ἐργασάμενός με· ἀλλ', ὁ πατήρ μου ὁ γεωργός. ἔχαιρε γὰρ ἐπὶ τῷ υἱῷ. οὐκ ἤκουσας αὐτοῦ λέγοντος, Ὅτι οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, ὅτε ἔστηκεν εἰς τὰ Ἰορδάνια ῥεῖθρα; [Ματθ. γ. ιζ.] μὴ εἶπεν, ὅτι οὗτός ἐστιν ὁ υἱός μου, ὃν ἔκτισα, ἢ ὃν ἐποίησα, ἀλλ' εἶπεν, ἐν ᾧ ηὐδόκησα. μὴ καὶ ταύτην φωνὴν παραγράφεις; καὶ πάλιν λέγει, καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα τὸ ἐμὸν θέλημα ποιήσω, ἀλλὰ τοῦ πέμψαντός με πατρός. [Ἰωαν. ϛ. λ.] τίσιν ἔλεγε; πάντως τοῖς Ἰουδαίοις, ἐπειδὴ ἔλεγον αὐτῷ, οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός, καὶ ὡς ἀντιθέῳ αὐτῷ προσεῖχον, διὰ τοῦτο εἶπεν, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ. καὶ ἐπειδὴ ἀντίθεον αὐτὸν ἔλεγον, διὰ τοῦτο ἔλεγεν αὐτοῖς, ὅτι οὐκ ἦλθον τὸ ἐμὸν θέλημα ποιῆσαι, ἀλλὰ τοῦ πέμψαντός με πατρός. ἐπειδὴ ἐδόκουν τὸν πατέρα τιμᾶν, αὐτὸν δὲ ἠρνοῦντο, διὰ τοῦτο συγκατέβαινε τῇ ἀσθενείᾳ αὐτῶν. ἐπεὶ πῶς ἀπεστάλη ὁ πανταχοῦ ὤν, ὁ πάντα πληρῶν; ὁρᾷς οὖν ὅτι διὰ τοὺς Ἰουδαίους εἶπεν, ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ. μή τι δι' ἑαυτὸν εἶπε; μὴ ἔχεις ἀπολογίαν; ἀλλὰ καὶ ἐπάγουσιν ἡμῖν ἄλλην μαρτυρίαν τοῦ ἀποστόλου λέγοντος, Εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. [α. Κορ. η. ϛ.] λέγεις, ὅτι ἄλλος Θεὸς κατὰ τὸν πατέρα οὐκ ἔστι. κἀγώ σοι λέγω, ὅτι ἄλλος Κύριος κατὰ τὸν υἱὸν τοιοῦτος οὐκ ἔστι. τί οὖν φιλονεικοῦμεν; οὐχί· μὴ γένοιτο. ἴδωμεν οὖν τίσι διελέγετο ὁ Παῦλος, καὶ διὰ τίνας τοῦτο εἴρηται. ἀλλὰ προσέχετέ

μου

μὲν μετὰ ἀκριβείας τῶν λόγων. ἐπειδὴ ἕλληνες πολυθεΐαν ἐσέβοντο, καὶ Ἰουδαῖοι δὲ μοναρχίαν, ἵνα δὲ καὶ τὴν πολυθεΐαν ἀνέλῃ καὶ τὴν μοναρχίαν, διὰ τοῦτο ἔλεγεν· Εἴτε γάρ εἰσι θεοὶ πολλοὶ καὶ κύριοι πολλοί, εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ γῆς· ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατήρ. καὶ εἰπὼν τό, εἷς, ἀνεῖλε τὴν πολυθεΐαν. ὅπου γὰρ εἷς, οὐκ εἰσὶ πολλοί. καὶ εἰπὼν πατέρα, ἀνεῖλε τὴν μοναρχίαν. ὅπου γὰρ πατήρ, δῆλον ὅτι καὶ υἱός. διὰ τοῦτο γοῦν εἶπεν, εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα. ὁρᾷς ὅτι πρὸς ἕλληνας καὶ Ἰουδαίους ἀπεδιδύσκετο ὁ Παῦλος. διὰ τοῦτο εἶπεν, εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα, ἐπειδὴ τὰ πάντα διὰ τοῦ υἱοῦ γεγόνασιν ὁρατά, καὶ τὰ ἀόρατα. καὶ ἄκουε Ἰωάννου λέγοντος· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. ὁρᾷς ὅτι οὗτός ἐστιν ὁ τῶν ἁπάντων δημιουργός. μὴ τολμᾷς μοι δεῖξαι ὅτι ὁ υἱὸς σὺν τοῖς πᾶσιν ἀριθμεῖται; ἀλλ' ἀγνώμονες, ἕως πότε περιέρχεσθε τὰς γραφὰς ἀνθολογοῦντες, ἵνα που τὸν υἱὸν εἴπητε κτίσμα καὶ ποίημα; θέλετε μαθεῖν; ἐὰν ἀκούσωσι περὶ τοῦ υἱοῦ ὑψηλὸν ῥῆμα, καὶ θεοπρεπῆ, μαίνονται· νομίζουσιν ὅτι κοπρίαν τις βάλλει εἰς τὸ στόμα αὐτῶν. βούλομαι ὑμῖν ὑπόδειγμα εἰπεῖν. ὥσπερ ἄν τις ἀρρωστίᾳ καὶ πυρετοῖς πολλοῖς φλέγηται, ὀλίγοι δὲ αὐτοῦ ἐν μέσῳ ἐλθόντες προστάττουσιν οἱ ἰατροὶ μέλιτος περιχρίεσθαι τὸ στόμα αὐτοῦ· ποιοῦσι δὲ οὕτω καθὼς προστάττουσιν οἱ ἰατροί. ἐπιμιγνυμένου δὲ τοῦ ἀρρωστοῦντος ὑπὸ τῶν ὑπηρετῶν, νομίζει ὁ ἀρρωστῶν, ὅτι πικρόν ἐστι τὸ μέλι· καὶ λοιπὸν λέγουσιν οἱ παρεστῶτες, μέλι ἐστί, κύριε, καλόν ἐστι, παρατρεπόμενοι τὸν ἀρρωστοῦντα. πικρὸν δὲ φαίνεται τὸ μέλι εἰς τὸ στόμα τοῦ ἀσθενοῦντος, οὐχ ὅτι πικρόν ἐστι τὸ μέλι. τί γὰρ γλυκύτερον μέλιτος; οὐκοῦν οὐ παρὰ τὴν φύσιν τοῦ μέλιτος, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τοῦ μὴ ὑποδεχομένου. οὕτω καὶ ἐπὶ τούτων γίνεται. ἐὰν ἀκούσωσιν ὁμοούσιον, νομίζουσι πικρίαν νοσήζεσθαι, καὶ οὐ παρὰ τὸν λόγον τοῦ λέγοντος, ἀλλὰ παρὰ τὴν ἀσθενῆ ἀκοὴν τῶν μὴ ὑποδεχομένων. ὁ πατὴρ υἱὸν καλεῖ, οἱ ἀπόστολοι ὁμοίως, καὶ οὗτοι κτίσμα καὶ ποίημα. πῶς κτίσμα; τὸ γεννᾶν καὶ τὸ κτίζειν τὸ αὐτό ἐστιν. εἰ πᾶς ὁ γεννῶν κτίζει, καὶ πᾶς ὁ κτίζων γεννᾷ, εὑρίσκεται πάντα τὰ κτίσματα ἔγγονα τυγχάνοντα τοῦ Θεοῦ. ἐπειδὴ γὰρ πάντα διὰ τοῦ υἱοῦ γεγόνασιν, οὐκοῦν κτίσας αὐτὰ καὶ ἐγέννησεν. ὁρᾷς ὅτι ἔγγονα τυγχάνουσι τοῦ Θεοῦ, καθὼς σὺ λέγεις. ἕως πότε ἀγνώμονες, εἴπατέ μοι, κατὰ τίνα τρόπον τιμᾶται ὁ υἱός; ἐπειδὴ υἱὸς λέγεται; καὶ σύ. ἀλλὰ τί; ἐπειδὴ Θεός; καὶ σύ. ἀλλ' ἔχεις μοι εἰπεῖν, ἐκεῖνος πράγματι, σὺ δὲ ὀνόματι. εἰ πράγματι, οὐκοῦν υἱός. ὁρᾷς, ὅτι τὸ στόμα σου ἐλέγχει σε, μήτι κτίσμα, μήτι ποίημα. ἐκεῖνος γὰρ φύσει υἱός ἐστι, σὺ δὲ προσηγορίᾳ· ἐκεῖνος ἐξ ἀϊδίου πατρὸς ἐγεννήθη, σὺ δὲ ἐξ ὑποκειμένης ὕλης ἐποιήθης. ταῦτα δέ μοι εἴρηται πρὸς Ἰουδαίους καὶ ἕλληνας καὶ αἱρετικούς. ἀλλ' ἡμεῖς δοξάσωμεν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωαν. α. α.

ΠΕΡΙ ΠΙΣΤΕΩΣ.

Λογ. ιζ.

Ex Ms. Regio Lut.

Ἰατρῷ ἔοικεν ὁ τῆς ἐκκλησίας διδάσκαλος, πολλῶν καὶ ποικίλων παθῶν αὐτὴν κεκτημένων, καὶ ἑκάστῳ τῶν ἀρρωστούντων κατὰ τὴν τοῦ πάθους χρείαν διδόντι τὸ μάλαγμα. οἷον, ἦλθόν τινες ἐν τῷ ἰατρείῳ τῆς ἐκκλησίας ὑπὸ τοῦ οἰδαίνοντος πάθους τῆς ὑπερηφανίας ἁλισκόμενοι· λαβόντες τὸ ἔμπλαστρον τῆς ταπεινοφροσύνης, τὸ οἰδαῖνον πάθος τῆς ὑπερηφανίας ἰάσαντο. ἄλλοι προσέδραμον ὑπὸ ὀργῆς ἐκφλεγόμενοι· χαλασθέντες καὶ οὗτοι ὑπὸ τῆς τῆς ψυχῆς * * τὴν ἀρρωστίαν κατέσβεσαν. ἕτεροι δὲ ὑπὸ τῶν τῆς σαρκὸς παθῶν πρὸς λαγνείαν οἰστρηλατούμενοι προσέδραμον· καὶ οὗτοι λαβόν-

τες

τις τὸ ἔμπλαστρον τῆς σωφροσύνης, τῇ ἁγνείᾳ ἑαυτὸν περιέσφιγξαι. δεῦτε τοίνυν, ἀγα-
πητοί, ἐπειδήπερ ὁ παραλαβὼν διδάσκαλος, τὰς τῶν ἀρρωστούντων ψυχὰς τῇ τριπλόκῳ
πίστει ἐθεράπευσε, καὶ ἡμεῖς τοῖς ἐκείνου ἴχνεσιν ἀκολουθήσωμεν. οἶμαι δὲ καὶ πολλοὺς τῶν ἐν-
θάδε ἑστώτων βούλεσθαι ἀκούειν περὶ πίστεως, οὐχ ὅτι αὐτοὶ χρήζουσιν (ὑγιαίνουσι γὰρ) ἀλλὰ
5 βουλόμενοι δι' αὐτῆς τοὺς ἀρρωστοῦντας θεραπεῦσαι. πολλοὶ γάρ εἰσιν ὑγιαίνοντες μὲν αὐτοί,
οὐ δυνάμενοι δὲ τοὺς κακῶς ἔχοντας θεραπεῦσαι δι' ἑαυτῶν. διό, ἀγαπητοί, καίτοι πρόθεσιν
ἔχων τὸ ἀρτίως ἐν τῷ εὐαγγελίῳ ὑπαναγνωσθὲν ὑμῖν γράμμα ζωτεῖψαι, "καὶ αὐτῷ τῷ
πνεύματι τοὺς διψῶντας ποτίσαι, τοῦτο μὲν ὑπερτίθεμαι· ποιῶ δὲ ἐκεῖνο ὅπερ ἐπηγγειλάμην.
δεῖ γὰρ μαθητὰς ὄντας ἡμᾶς τοῦ ἀποστόλου, τοῖς πᾶσι τὰ πάντα γίνεσθαι, ἵνα τοὺς πάντας
10 κερδήσωμεν. παρακαλῶ δέ, κἂν σφαλλώμεθα ἐν ταῖς λέξεσι, συγγνώμην ἡμῖν ἀπονεῖ-
μασθαι. οἱ γὰρ ἐξ αὐτοσχεδίου λέγοντες, πολλάκις σφάλλονται, τοῦ νοῦ μὴ ἐπαρκοῦντος καὶ
τὴν γραφὴν θεωρῆσαι, καὶ τὸν λόγον κοσμῆσαι. καὶ αὐτοὶ δὲ ὑμεῖς τὸν ἔνδοθεν ὑμῶν ἄνθρω-
πον τῆς καρδίας παρασκευάσατε ἐνθάδε καθαρώτατον, ἵνα ἕκαστος ὑμῶν μὴ μόνον τῶν λεγομέ-
νων ἀκούῃ, ἀλλὰ καὶ βλέπῃ, καὶ ἑκάστου πράγματος μανθάνῃ τὴν δύναμιν. πρῶτον οὖν
15 ἐστὶ πίστις ἡ πρὸς Θεόν, πρᾶγμα ἀκατάληπτον, ἀψηλάφητον, ἀθεώρητον, ἀκατηγόρητον,
σιωπῇ τιμώμενον καὶ προσκυνούμενον. πίστις ἀπὸ πατρὸς μὲν ἄρχεται, ἐπὶ υἱὸν δὲ ἔρχεται,
εἰς δὲ τὸ πνεῦμα πληροῦται. πίστις ἕδρα ψυχῆς, θεμέλιος ζωῆς, ἀθάνατος ῥίζα. πίστεως
δὲ ῥίζα ζῶσα, ὁ πατήρ· κλάδος ἀμάραντος, ὁ υἱός· καρπὸς ἀθάνατος, τὸ πνεῦμα τὸ ἅγιον·
τριὰς ἁπλῆ, ἀσύνθετος, ἀνέκφραστος, ἀδιήγητος, ἀδιαίρετος κατὰ συμφωνίαν, κατὰ δύναμιν,
20 κατ' ἐνέργειαν, κατὰ θεότητα, κατὰ μέγεθος, ἐν ὑποστάσεσι καὶ ὀνόμασι διῃρημένη, ἐν πράγ-
μασι καὶ δυνάμεσιν ἡνωμένη· τριὰς πρὸ αἰώνων ὑπάρχουσα, οὐκ ἀπ' ἀρχῆς ἀρξα-
μένη τοῦ εἶναι, ἀλλὰ ἄναρχος, ἄχρονος, ἀγήρατος, ἀθάνατος, ἀτελεύτητος, οὐκ αὔξουσα, ἢ
λήγουσα, οὐ γηράσκουσα, ἀλλὰ ἀκατάλυτος οὖσα· ὡσαύτως τυγχάνουσα τριάς, οὐ νῦν
εὑρεθεῖσα τὸ προσκυνεῖσθαι, ἀλλ' ἀπὸ αἰώνων ὑπὸ ἀγγέλων ἐν οὐρανοῖς προσκυνουμένη,
25 ὑπὸ πατέρων ἐπὶ γῆς δοξαζομένη, ὑπὸ προφητῶν τιμωμένη, ὑπὸ ἀποστόλων κηρυττο-
μένη, ὑπὸ ἐκκλησίας μέχρι νῦν μεγαλυνομένη. καὶ ἀρξώμεθα, ἀγαπητοί, ἀπὸ τῶν οὐρα-
νῶν· ἀρξώμεθα δεικνύειν τὴν τῆς τριάδος μίαν κυριότητα, καὶ προσκύνησιν καὶ μεγαλότη-
τα. τρεῖς οἱ ὑπέρτατοι ἄγγελοι, καὶ δυνάμεις, χερουβεὶμ καὶ σεραφείμ, τό, ἅγιος, ἅγιος,
ἅγιος, ἀκαταπαύστῳ στόματι μελῳδοῦντα, εἰς μίαν κυριότητα κορυφοῦσι τὴν δόξαν. τρεῖς
30 ἀγγέλους Ἀβραὰμ ὁ πατριάρχης τυγχάνων ὑπὸ τὴν δρῦν τὴν Μαμβρῆ ἐν τῇ σκηνῇ
θεωρήσας, μίαν κυριότητα, ἰσότητα τριάδι τῶν ἀγγέλων ἀπένειμε. τρεῖς δὲ ἄγγελοι, καὶ δρῦς καὶ
σκηνὴ καὶ Ἀβραάμ, καὶ σταυρὸς καὶ ἐκκλησία καὶ σπέρμα ἀνθρώπων. αὐτὸς Ἀβραὰμ ἰδοὺ
τριῶν ἡμερῶν ἐπορεύθη ἐπὶ" τοῦ τὸν υἱὸν αὐτοῦ Ἰσαὰκ εἰς ὁλοκάρπωσιν τῷ Θεῷ ἀνενέγκαι·
τριήμερος δὲ ὁδὸς καὶ Ἰσαὰκ ὁλοκαρπούμενος, τριήμερον διὰ σταυροῦ τὸ πάθος τοῦ μονογε-
35 νοῦς. ὅτι δὲ τοῦ Χριστοῦ μυστήριον Ἀβραὰμ ἐν τῷ Ἰσαὰκ ἐθεώρει, ὁ Κύριος μαρτυρεῖ λέγων· Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν· καὶ εἶδε, καὶ ἐχάρη.
τριῶν ἡμερῶν καὶ Μωϋσῆς πορεύεται ἐπὶ" τῷ θῦσαι τῷ Θεῷ. λέγει οὖν τῷ Φαραώ, Ὁδὸν
τριῶν ἡμερῶν πορευσόμεθα ἐπὶ τὸ θῦσαι Κυρίῳ τῷ Θεῷ ἡμῶν. τρία μέτρα σεμιδάλεως καὶ
Σάρρα λαβοῦσα, τοὺς ἐγκρυφίας ἐποίησε. τρία μέτρα δὲ σεμιδάλεως, καὶ Σάρρα, καὶ ἐγκρυ-
40 φίαι, τρίπλοκος πίστις, καὶ ἐκκλησία ἐν τῷ κρυπτῷ τῆς καρδίας τῶν ἀνθρώπων φυλατ-
τομένη. τρεῖς ῥάβδους Ἰακὼβ λαβὼν ἐν τῷ ὕδατι ἐμβαλών, τὰ πρόβατα τοῦ Λάβαν ἐπό-
τισε· τρεῖς ῥάβδοι καὶ ὕδωρ καὶ πρόβατα ποτιζόμενα, τριὰς καὶ βάπτισμα καὶ λαὸς φωτιζόμε-
νος. τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας Ἰωνᾶς ἐν τῷ κήτει πεποίηκε. τρεῖς δὲ ἡμέραι καὶ νύκτες, Ἰω-
νᾶς, καὶ τὸ κῆτος, τοῦ μονογενοῦς ἐν τῷ ᾅδῃ. καὶ ὅτι ταῦτα οὕτως ἔχει, λεγέτω· Ὃν τρόπον

Ἰωαν. η. λς.
Ἐξοδ. γ. ιη.
Ματθ. ιβ. μ.

Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους πεποίηκε τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτω δεῖ καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς ποιῆσαι τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. τρεῖς ἡμέρας καὶ Νινευΐται νηστεύσαντες ἔζησαν. τρεῖς ἡμέραι, καὶ νηστεία, καὶ Νινευΐται ζῶντες, τριὰς φωτοφόρος καὶ ἀποχὴ κακῶν καὶ κόσμου ζωή. τρίτον Ἠλίας ὁ προφήτης ἐπὶ τὰς σχίδακας καὶ τὰ μέλη τοῦ βοὸς τὸ ὕδωρ ἐπιχέων, πῦρ οὐρανόθεν ἐπ᾽ αὐτὰ κατήγαγε. τριττὸν δὲ ὕδωρ καὶ σχίδακες καὶ μέλη βοὸς καὶ πῦρ οὐράνιον, τρίπλοκον βάπτισμα καὶ σταυρὸς καὶ μέλη Χριστοῦ καὶ οὐράνιον φέγγος. τρίτον τῆς ἡμέρας καὶ Δανιὴλ τὰς θυρίδας τοῦ οἴκου αὐτοῦ ἀνοίγων κατὰ ἀνατολὰς προσευχόμενος, τοῦ αἰτήματος ἔτυχε, διδάσκοντος τοῦ μυστηρίου. διὰ δὲ ἡμᾶς τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς ἀνοίγοντας, πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι κατὰ ἀνατολὰς ἐντυγχάνειν. τρεῖς παῖδες ἄφθοροι ἐν τῇ καμίνῳ τοῦ πυρὸς ἐμβληθέντες, αὐτοὶ μὲν οὐδὲν ἔπαθον, τοὺς δὲ Χαλδαίους ἐνεπύρισαν. τρεῖς παῖδες ἄφθοροι καὶ κάμινος καὶ Χαλδαῖοι, τριὰς ἄφθαρτος καὶ κρίσις καὶ δαίμονες ἀπολλύμενοι. τρεῖς ἀρετὰς ὁ μακάριος Παῦλος τῇ ἐκκλησίᾳ παραδίδωσι λέγων· Πίστις, ἐλπὶς, ἀγάπη· πίστις εἰς τὸν πατέρα, ἐλπὶς εἰς τὸν υἱὸν, καὶ τὸ πλήρωμα τοῦ νόμου ἀγάπη. Ὁ γὰρ καρπὸς τοῦ πνεύματός ἐστιν ἡ ἀγάπη. τρεῖς καὶ αὐτὸς ὁ Παῦλος παρεκάλει τὸν Κύριον λέγων· Ὑπὲρ τούτου τρεῖς τὸν Κύριον παρεκάλεσα. δι᾽ ὃ παρέστησε σοφίας ἀνδρὸς ἐν ἀτελεστάτῳ ῥήματι συνειλημμένην. οὐκ εἶπε, τρίτον τὸν Κύριον παρεκάλεσα, ἀλλὰ τρίς. πατὴρ, υἱὸς, καὶ τὸ ἅγιον πνεῦμα, τρεῖς ὑποστάσεις, μία δὲ κυριότης. Καὶ τρὶς, φησὶν, ἐρραβδίσθην· τουτέστι, τρεῖς μὲν ὑποστάσεις ὡμολόγησα· εἰσάπαξ δὲ τὴν πίστιν τῆς τριάδος τῷ λίθῳ τῆς ὁμολογίας πρὸς μίαν συμφωνίαν τὴν ψυχήν μου ἐστήλωσα. Καὶ τρὶς, φησὶν, ἐναυάγησα· τουτέστι, τὸν φόρτον τῶν Ἰουδαϊκῶν ἁμαρτημάτων ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐν τῇ πηγῇ τοῦ βαπτίσματος κατεπόντισα. τρία σάτα ἀλεύρου, καὶ ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιωθεῖσα· γυνὴ λαβοῦσα, καὶ μικρὰν ζύμην ἐγκρύψασα, ὅλον τὸ φύραμα ἐζύμωσε. τρία δὲ σάτα ἀλεύρου, καὶ μικρὰ ζύμη, καὶ γυνὴ ζυμοῦσα, ἡ σοφία ἐστὶ διὰ τοῦ σώματος τοῦ Χριστοῦ πᾶσαν τὴν ἀνθρωπότητα εἰς τὴν τῆς τριάδος πίστιν μεταστρέφουσα. τοιούτοις πᾶσι τοῖς μυστηρίοις οἱονεὶ σφραγῖδα ἐπιθεὶς ὁ Κύριος ἡμῶν, ἐν τρισὶ καταδύσεσι τοῦ σώματος εἰς βάπτισμα τοῖς ἑαυτοῦ μαθηταῖς παραδέδωκε, λέγων, Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. μίαν ἀποδεικνύειν ἑτοίμως ἀποδείξομεν· μιᾶς δὲ ἐνεργείας πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἀποδεικνυμένης, ἀνάγκη πᾶσα καὶ μίαν οὐσίαν πιστεύειν. ὧν γὰρ ἡ ἐνέργεια μία. ἀρξώμεθα τοίνυν λέγειν περὶ κοσμοποιΐας, περὶ υἱοθεσίας, περὶ ἐλευθερίας, περὶ οὐρανοῦ καὶ γῆς συστάσεως, καὶ ἁπαξαπλῶς περὶ παντὸς ἔργου καὶ τῶν ἄλλων τῆς ζωῆς ἡμῶν χρειῶν ἀφορμὰς ὑπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐπιτελουμένας. ἀρξώμεθα ἀπὸ τῶν πρώτων, καὶ ἔλθωμεν ἐπὶ τὰ δεύτερα, εἶθ᾽ οὕτω καθεξῆς τὸν λόγον ἡμῶν περισώσωμεν. τὸν οὐρανὸν ἐποίησεν ὁ πατὴρ οὐκ ἄνευ λόγου καὶ πνεύματος. Τῷ γὰρ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. πάλιν τὴν οἰκουμένην ἐπλήρωσεν ὁ πατὴρ, ὡς γέγραπται· Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ ἐκπληρῶ, λέγει Κύριος. ἐπλήρωσε καὶ ὁ υἱός. Πάντα γὰρ δι᾽ αὐτοῦ ἐγένετο, καὶ ἄνευ αὐτοῦ ἐγένετο οὐδέν. ἄκουε τῆς σοφίας λεγούσης περὶ τοῦ πνεύματος· Πνεῦμα Κυρίου ἐπλήρωσε τὴν οἰκουμένην. τί δέ; τὸ μέγιστον τῶν κτισμάτων, ὁ ἄνθρωπος, οὐχ ὑπὸ πατρὸς μόνου γεγένηται, ἀλλὰ συνεργοῦντος τοῦ υἱοῦ, συμπληροῦντος τοῦ ἁγίου πνεύματος. Ποιήσωμεν γὰρ, φησὶν, ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. ποιήσωμεν, οὐ ποιήσομαι ἐγὼ, οὐ ποιήσῃς δὲ σὺ, οὐ ποιήσῃ ἐκεῖνος, ἀλλὰ, ποιήσωμεν. εἰ γὰρ εἶπε, ποίησον σὺ, ἐδείκνυε τὸν ὑπουργόν· τὸ δὲ ὁμότιμον διδάξας λέγει, ποιήσωμεν ἄνθρωπον. κοινὴ ἡ γνώμη, κοινὴ ἡ πρᾶξις, κοινὸν καὶ τὸ πλάσμα. ὅτι δὲ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα πεποίηκε τὸν ἄνθρωπον,

α. Κορ. ιγ. ιγ.
Ἐφ. ε. θ.
β. Κορ. ιβ. η.
β. Κορ. ια. κε.
Ματθ. κη. ιθ.
Ψαλ. λβ. ς.
Ἱερ. κγ. κδ.
Ἰωαν. α. γ.
Γεν. α. κς.

ἄνθρωπον, Δαβὶδ μοι μαρτυρεῖ λέγων πρὸς τὸν Θεόν· Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλα- *Ψαλ. ριη΄.*
σάν με. οὐ σύ με μόνος πεποίηκας· οὐχ ἡ χείρ σου μόνη πεποίηκέ με, ἥτις ἐστὶν ὁ μονογενής
σου· αἱ χεῖρές σου ἐποίησάν με, τουτέστιν, ὁ λόγος καὶ τὸ πνεῦμα. ὥσπερ ἔλεγεν· ἡ μὲν τοῦ λόγου
σοφία ἔπλασέ με, ἡ δὲ τοῦ πνεύματος σύνεσις ἐποίησέ με, σου συμπληροῦντος. ὡσαύ-
5 τως καὶ Ἰὼβ λέγει πρὸς τὸν Θεόν, Αἱ χεῖρές σου ἔπλασάν με, καὶ ἐποίησάν με. καὶ γὰρ *Ιωβ. ι. η.*
οἱ οὐρανοὶ καὶ ἡ δύναμις τῶν οὐρανῶν δι᾽ αὐτοῦ γεγένηνται, Δαβὶδ μὲν λέγοντος, Τῷ λόγῳ *Ψαλ. λβ. ς.*
Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν·
ἐν δὲ τῷ προφήτῃ Ὠσηέ, Οὐ αἱ χεῖρες ἔκτισαν τὴν στρατιὰν τοῦ οὐρανοῦ. καὶ γὰρ ἐνταῦθα διὰ
πνεύματος καὶ λόγου σημαίνει τὴν τῶν οὐρανῶν στρατιὰν ἐκτίσθαι. ποιήσωμεν ἄνθρωπον
10 κατ᾽ εἰκόνα ἡμετέραν· οὐ κατ᾽ εἰκόνας ἡμετέρας, ἀλλά, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰ-
κόνα ἡμετέραν. τὸ μέν, ποιήσωμεν, πληθυντικῶς, τὸ δέ, κατ᾽ εἰκόνα ἡμετέραν, ἑνικῶς. καὶ
ἵνα μή τις ὑπολάβῃ ὅτι κατὰ τὴν τοῦ πατρὸς εἰκόνα μόνην γεγένηται ὁ ἄνθρωπος, ἐπήνεγ-
κε τό, ἡμετέραν. καὶ διὰ τοῦτο, ἐπειδὴ ἐκείνη ἡ εἰκὼν ἡ πρωτόγονος τοῦ Ἀδὰμ τῇ παραβά-
σει ἐκθραυθεῖσα ἐδεήθη ἀνακαινισμοῦ καὶ καθάρσεως, οὐκ ἐν ὀνόματι πατρὸς μόνου ἐν τῷ βα-
15 πτίσματι ἀνακαινίζεται, ἀλλὰ καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ἐπειδὴ καὶ ἐξ ἀρχῆς οὕτως ἐγένε-
το. ἀμέλει γοῦν σφραγίζει ὁ πατὴρ ἐν τῷ βαπτίσματι, καθὼς Παῦλος λέγει· Ὁ δὲ κα- *β. Κορ. α. κβ.*
τεργασάμενος ἡμᾶς εἰς τοῦτο αὐτὸ Θεός, καὶ χρίσας ἡμᾶς καὶ σφραγισάμενος ἡμᾶς. σφρα-
γίζει δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον. Μὴ λυπεῖτε γὰρ τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε *Εφεσ. δ. λ.*
εἰς ἡμέραν ἀπολυτρώσεως. σφραγιζόμενοι ὑπὸ πατρὸς καὶ πνεύματος τὰς καρδίας ἡ-
20 μῶν, οὐκ εἰς δύο εἰκόνας μεταμορφούμεθα, ἀλλ᾽ εἰς μίαν τὴν τοῦ υἱοῦ αὐτοῦ. ἐκ δὲ τού-
των συνάγεται, τό, εἰς μίαν, εἶναι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. σφραγιζόμενοι τὰς
καρδίας ἡμῶν, σύμμορφοι τοῦ υἱοῦ γινόμεθα, καὶ εἰκὼν Θεοῦ, ὡς βοᾷ Παῦλος λέγων· Ἀνὴρ *α. Κορ. ια. ζ.*
μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. πολὺ μᾶλ-
λον τὸ πνεῦμα τὸ ἅγιον εἰκών ἐστι τοῦ Θεοῦ. μέγας ἐστὶ καὶ υἱός, ἀπέραντόν ἐστι καὶ τὸ πνεῦμα
25 τὸ ἅγιον. Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἰσχὺς αὐτοῦ (Χριστὸς γὰρ Θεοῦ δύναμις) καὶ τῆς *Ψαλ. ρμς. ε.*
συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός· τουτέστι, τὸ πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, πνεῦμά ἐστι σοφί-
ας καὶ συνέσεως. καὶ εἰρήνη ὁ πατήρ. Ἰδοὺ ἐκκλίνω πρὸς αὐτούς, ὡς ποταμὸς εἰρήνης. εἰ- *Ησ. ξς. ιβ.*
ρήνη γὰρ ὁ υἱός, ὡς Παῦλος λέγει· Αὐτός ἐστιν εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. *Εφ. β. ιδ.*
εἰρήνη καὶ τὸ πνεῦμα τὸ ἅγιον. Ὁ δὲ καρπὸς τοῦ πνεύματος, φησιν, ἀγάπη, εἰρήνη. πηγὴ *Εφ. ε. θ.*
30 ὁ πατήρ, Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· πηγὴ καὶ ὁ υἱός· Ἐμὲ γὰρ ἐγκατέλιπον πηγὴν ὕδατος *Ψαλ. λε. ι.* *Ιερ. β. ιγ.*
ζῶντος. εἰ μὴ ἦν δὲ πηγὴ καὶ τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἂν ἔλεγεν ὁ Παῦλος, Καὶ πάντες *α. Κορ. ιβ. ιγ.*
ἐν τῷ αὐτῷ πνεύματι ἐβαπτίσθημεν. ἐντελέστερον δέ ἐστιν ἐκ τῶν τοῦ Κυρίου ῥημάτων καταμα-
θεῖν, ὅτι περ πηγῇ τὸ πνεῦμα τὸ ἅγιον παρείκασται. ἐλθὼν γὰρ ὁ Ἰησοῦς ἔκραζε λέγων· Εἴ τις *Ιωαν. ζ. λζ.*
διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω ὕδωρ· καί, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς
35 κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. τοῦτο δὲ ἔλεγε περὶ τοῦ πνεύματος, οὗ ἤμελλον λαμ-
βάνειν οἱ πιστεύοντες εἰς αὐτόν. φῶς ὁ πατήρ, Ὅτι ὁ Θεὸς φῶς ἐστι. φῶς καὶ ὁ υἱός, Ἐγὼ *α. Ιωαν. α. ε.*
γάρ εἰμι τὸ φῶς τοῦ κόσμου. φῶς καὶ τὸ πνεῦμα. οὐκ ἂν ἔλεγε γὰρ ὁ Παῦλος, Τὸ πνεῦμα *Ιωαν. θ. ε.* *α. Θεσ. ε. ιθ.*
μὴ σβέννυτε. ἀλλ᾽ ἐπειδὴ ὡς βεβιασμένον τοῦτο παρά τισι τυγχάνει, ὁ Δαβὶδ ἰδικῶς λεγέτω·
Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, τὸ πνεῦμα τὸ ἅγιον. ἐλευθεροῖ ὁ πατὴρ τὸν δεδουλωμένον *Ψαλ. λε. ι.*
40 τῇ ἁμαρτίᾳ· ἐλευθεροῖ ὁ υἱός. ἔλεγε γὰρ πρὸς τοὺς Ἰουδαίους, Ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθε- *Ιωαν. η. λς.*
ρώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. ἐλευθεροῖ καὶ τὸ πνεῦμα· Οὗ γὰρ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευ- *β. Κορ. γ. ιζ.*
θερία. ὁ νόμος τοῦ πνεύματος ἐλευθεροῖ· Ὁ δὲ νόμος τοῦ πνεύματος ἠλευθέρωσέ σε ἀπὸ τῆς δουλείας *Ρωμ. η. β. κα.*
τῆς φθορᾶς. ἀγαθὸς ὁ πατήρ, ἀγαθὸς καὶ ὁ υἱός· Εἰ, φησιν, ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀ- *Ματθ. κ. ιε.*
γαθός εἰμι. ἀγαθὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον· Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. *Ψαλ. ρμβ. ι.*

ὅπου θέλει ἐστὶν ὁ πατὴρ (οὐκ ἔχει γὰρ ᾧ ὑποτέτακται) ὅπου θέλει ἐστὶ καὶ ὁ υἱὸς (ἐλεύθερος
γάρ ἐστιν) ὅπου θέλει ἐστὶ καὶ τὸ πνεῦμα. Τὸ γὰρ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν
αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει. πάντα περιέχει ὁ πατήρ, πάν-
τα περιέχει καὶ ὁ υἱός, πάντα περιέχει καὶ τὸ πνεῦμα τὸ ἅγιον. Δαβὶδ γὰρ λέγει, Ποῦ πορευ-
θῶ ἀπὸ τοῦ πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; παντοδύναμος ὁ πατήρ,
καθὼς λέγει Ἰὼβ· Οἶδα, Κύριε, ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. παντοδύ-
ναμος ὁ υἱός, ὡς λέγει τῷ δυσαπιστοῦντι ἐν τῷ εὐαγγελίῳ. Τῷ πιστεύοντι, φησί, πάντα δυνα-
τά. παντοδύναμον καὶ τὸ πνεῦμα τὸ ἅγιον. Ἔστι γάρ, φησιν, αὕτη ἡ τοῦ Θεοῦ δύναμις τὸ πνεῦ-
μα τὸ ἅγιον, πνεῦμα νοερόν, ἅγιον, πολυμερές, λεπτόν, εὐκίνητον, τρανόν, σαφές, ἀμόλυν-
τον, ὀξύ, ἀκώλυτον, εὐεργετικόν, φιλάνθρωπον, βέβαιον, ἀσφαλές, ἀμέριμνον, παντοδύ-
ναμον, καὶ πανεπίσκοπον. οὐ μόνον δὲ πανεπίσκοπον τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ γὰρ καὶ ἀν-
θρώπους ποιεῖ· ὡς μαρτυρεῖ μοι Παῦλος ἐν ταῖς πράξεσι λέγων, Προσέχετε ἑαυτοῖς καὶ
παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ἔθετο ὑμᾶς ἐπισκόπους τὸ πνεῦμα τὸ ἅγιον. ἀπέστειλε προφήτας ὁ
πατήρ, ἀπέστειλε προφήτας ὁ υἱός, ἀπέστειλε καὶ τὸ πνεῦμα τὸ ἅγιον· ὡς εἷς τῶν προφη-
τῶν Ἡσαΐας ἀναφθέγγεται, λέγων· Καὶ νῦν Κύριος, Κύριος ἀπέσταλκέ με, καὶ τὸ πνεῦμα
αὐτοῦ. ὑπὸ τοῦ υἱοῦ ἐξεπέμφθησαν ἀπόστολοι. Ἰδοὺ γὰρ ὑμᾶς ἀποστέλλω, ὡς πρόβατα ἐν
μέσῳ λύκων. ἐξεπέμφθησαν καὶ ὑπὸ πνεύματος ἁγίου, ὥς φησιν ἐν ταῖς πράξεσιν· Οἱ
μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου κατῆλθον εἰς Σελεύκειαν. προσε-
καλέσατο ὁ πατὴρ τοὺς ἀποστόλους, προσεκαλέσατο καὶ ὁ υἱὸς τοὺς ἀποστόλους, ὁμοίως καὶ τὸ
πνεῦμα τὸ ἅγιον προσεκαλέσατο αὐτούς. Λειτουργούντων αὐτῶν τῷ Κυρίῳ ‘ποιῶν;’ τῶν ἀπο-
στόλων· Εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Παῦλον εἰς τὸ ἔργον ὃ
προσκέκλημαι αὐτούς. ἀφορίσατε ὑμεῖς, ἀφορίσατέ μοι τὸν Βαρνάβαν καὶ τὸν Παῦλον. λέγω
ὡς δεσπότης, ὑπακούσατε ὡς δοῦλοι. νηστευόντων δὲ αὐτῶν καὶ λειτουργούντων τῷ Κυρίῳ. πρόσ-
εχε, καὶ τῶν λειτουργούντων. ποῦ εἰσιν οἱ λέγοντες λειτουργικὸν τὸ πνεῦμα τὸ ἅγιον; εἰ λει-
τουργικόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον, ἕν ἐστι τῶν ἀγγέλων καὶ τῶν ἁγίων ἀποστόλων. Ὁ ποιῶν γὰρ τοὺς
ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. ἀλλ' οὐ λειτουργικὸν τὸ ἅ-
γιον πνεῦμα, ἀλλὰ λειτουργούμενον. λειτουργούντων δὲ αὐτῶν, φησιν, εἶπε τὸ πνεῦμα τὸ
ἅγιον, ἀφορίσατε δή μοι. ἀλλὰ δεσπότου φωνή. ἀφορίσατέ μοι τὸν Βαρνάβαν καὶ τὸν
Παῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. νῦν ὑμεῖς ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν
Βαρνάβαν· ἐγὼ γὰρ ἤδη ἀφώρισα αὐτοὺς ἐκ κοιλίας μητρὸς αὐτῶν. καὶ ἐπειδὴ ὑπὸ πνεύ-
ματος ἁγίου ἐκλήθη Παῦλος, ὑπὸ δὲ τῶν ἀποστόλων ἀφωρίσθη εἰς τὸ εὐαγγέλιον, [κα-
θὼς] ἐν πρώτῃ ἐπιστολῇ λέγει· Δοῦλος, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον
Θεοῦ. ἀλλὰ νῦν ἐξευρον, ἀγαπητοί, οἱ τῇ βλασφημίᾳ σχολάζοντες, ἀνθ' ὧν ἔδει σχολά-
ζειν τῇ θείᾳ γραφῇ, καὶ γινώσκειν τὸν Κύριον καὶ τὸ λεγόμενον, Ὅτι σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ
εἰμι ὁ Θεός, νῦν ἄλλο ἐπερώτημα βλασφημίας εὗρον, καὶ ἐπερωτῶσιν ἡμᾶς λέγοντες· ὅτι
θρόνον ἔχει ὁ πατήρ; καὶ λέγομεν, ναί, Ὁ Θεὸς ἐπὶ θρόνου ἁγίου αὐτοῦ. ἔχει θρόνον καὶ
ὁ υἱός; λέγομεν ναί. γέγραπται γὰρ ἐπὶ τοῦ υἱοῦ, Ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰ-
ῶνος. ἀλλὰ θρόνον ὅταν ἀκούσῃς Θεοῦ, θεοπρεπῶς νοητέον θρόνον, τουτέστιν, ἐξουσίαν, βα-
σιλείαν, κυριότητα. ἡμῖν γὰρ ἡ γραφή, ὡς ἀνθρώποις λαλεῖ. ποῦ γέγραπται γάρ, καὶ τὸ
πνεῦμα τὸ ἅγιον ἔχει θρόνον, ἵνα ἐκ τοῦ θρόνου νοήσαντες τὸ ὁμότιμον, τὴν κυριότητα ἀπο-
δῶμεν; μάλιστα μὲν πρὸς τοιαύτην ἐπερώτησιν οὐκ ἔδει ἡμᾶς ἀποκρίνεσθαι τοῖς τοιούτοις.
εἰ γὰρ οἱ δοῦλοι οἱ ἐκ γῆς γενόμενοι, ἀπόστολοι λέγω δή, ἐπὶ θρόνοις ἠξιώθησαν καθίσαι·
Ἰδοὺ ὑμεῖς οἱ δώδεκα καθίσεσθε ἐπὶ θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· πολλῷ
μᾶλλον τὸ πνεῦμα τὸ ἅγιον. πρὸς ἐπὶ τούτοις ἐπερωτῶσι, ποῦ τοῦ πνεύματος ἡ δόξα; δοξάζει
ὁ πατήρ,

Marginalia: Ιωαν. γ. η. — Ψαλ. ρλη. ζ. — Ιωβ. μβ β. — Μαρκ. θ. κγ. — Πραξ. κ. κη. — Ἰσ. ἐπιπ... — Ησ. μη ιϛ. — Ματθ ι κϛ. — Πραξ ιγ. δ. — Πραξ ιγ. β. — Ψαλ. ρλγ. δ. — Ρωμ α. α. — Ψαλ μϛ ι. — Ψαλ. μζ. η. — Ματθ ιθ κη.

ὁ πατὴρ, δοξάζεται ὁ υἱός. περὶ τὸ πνεῦμα τὸ ἅγιον, ζητοῦσιν οἱ ἄπιστοι; λεγέτωσαν οἱ ἄπι-
στοι, καὶ Ἡσαΐας μαρτυρείτω, Εἶδον τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ (περὶ τοῦ πνεύματος λέ- *Ησ. ϛ. α.*
γων, ὡς μετ' οὐ πολὺ ἀποδειχθήσεται) καὶ ἐπηρμένου. καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. καὶ
σεραφεὶμ εἱστήκεσαν κύκλῳ αὐτοῦ. ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ἐκέκραγον,
5 ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαὼθ, πλήρης οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου. πρόσεχε ἐν-
ταῦθα, καὶ τὸν θρόνον θεωρεῖ, καὶ τὴν δόξαν. Καὶ εἶπε Κύριος πρὸς με, τίνα ἀποστελῶ, καὶ
τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον τῶν Ἰουδαίων, καὶ ἐρεῖ αὐτοῖς· ἀκοῇ ἀκούσετε, καὶ μὴ συνή-
σετε; ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τὰ
ἑξῆς. ἔρχεται Παῦλος μετὰ πολλὰ ἔτη περιόδους τῆς προφητείας, γενόμενος ἐν Ῥώμῃ, δια-
10 λέγεται πρὸς Ἰουδαίους συμβιβάζων αὐτοὺς εἰς τὴν τοῦ μονογενοῦς πίστιν. οἱ δὲ ἀπεστρέφοντο, καὶ
ἠπίστουν. τότε μέμνηται ταύτης τῆς προφητείας, ὅτι περ ἐπεπλήρωτο. καὶ τί πρὸς
αὐτούς; Καλῶς εἶπε περὶ ὑμῶν τὸ πνεῦμα τὸ ἅγιον διὰ Ἡσαΐου τοῦ προφή- *Πραξ. κη. κε.*
του, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνήσετε, καὶ τὰ ἑξῆς. ἰδοὺ ὃν τὸν Κύριον σαβαὼθ ὁ Ἡσαΐας
λέγει ἐπὶ θρόνου ὑψηλοῦ καθήμενον, καὶ ὑπὸ ἀγγέλων δοξαζόμενον, ὁ Παῦλος λέγει τὸ
15 πνεῦμα τὸ ἅγιον εἶναι. τίς ἔτι μέλλει ἀμφιβάλλειν, ὅτι περ καὶ Κύριος καὶ Θεὸς καὶ πνεῦ-
μα λατρευτόν ἐστιν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων; Ἀμήν.

ΠΕΡΙ ΕΛΠΙΔΟΣ.

Λογ. ιη.

Ex Ms. Regio Lut.

20 Ἅπαντες μὲν ἄνθρωποι φύσει εὐμήχανοι, διὰ τὸ φύσει τοῦ λογισμοῦ
διακριτικόν τε καὶ νουνεχές. ἕκαστος γὰρ τούτων πρὸς γεωργίαν καὶ ὁ-
δοιπορίαν καὶ τέχνην τινὰ ἐλπίδι τινὶ ἑαυτὸν παραδίδωσιν. ἅπαν-
τας γὰρ καμάτους καὶ ἱδρῶτας, κινδύνους τε καὶ θλίψεις προθυμίᾳ ὑπο-
φέρουσι διὰ τὴν τῶν μελλόντων ἀγαθῶν προσδοκίαν. καὶ ὁ μὲν γεωρ-
25 γὸς ἐν τῇ συνολκῇ τῶν νεύρων καὶ μελῶν κυρτώσας τὰ νῶτα, ἄμφω δὲ
τὰς χεῖρας ὁπλίσας δρεπάνῳ καὶ ἀρότρῳ, τοὺς ἐκ τοῦ χειμῶνος κρυμοὺς, καὶ τοὺς ἐκ τῆς βώλου
καὶ τῶν ἐγκειμένων ἀκανθῶν αἰκισμοὺς προθύμως ὑποφέρει, τῇ μελλούσῃ τῶν καρπῶν προσ-
δοκίᾳ τοὺς πόνους παραμυθούμενος. ὁ δέ γε ὁδοιπόρος ἐν ταῖς δυσβάτοις καὶ προσαντέσιν ὁ-
δοῖς ἐπιβὰς, ἀντιτυπούσαις τοῦ στερεοῦ ἐδάφους τοὺς ταρσοὺς μαστιζόμενος, ἱδρώτων πολυ-
30 χύτους σταγόνας ἐκ κορυφῆς μέχρις ὀνύχων [κοχλάδων] ἀναζέων, καύσωνάς τε καὶ ὑδάτων
λιμοὺς, καὶ τροφῶν ἔνδειαν γενναίως ὑπομένει, διὰ τὸ ἐκ τῆς ὁδοιπορίας αὐτῷ ἐλπιζόμενον
κέρδος. ἰατροὶ δὲ ἐν τῇ ἐκτομῇ τῶν οἰδαινόντων τραυμάτων, τὴν δυσωδίαν ἐπιφέρουσι, γα-
στέρων δὲ κενώσεις, καὶ χαιώων χυμῶν ἐκχύσεις ἐκ χειρὸς δεχόμενοι, οὐκ ἀναίνονται διὰ τὴν
τῶν ἀσθενούντων ὑγίειαν, καὶ διὰ τὴν οἰκείαν εὐπορίαν τὴν ἐκ τῶν θεραπευομένων αὖθις
35 ἐλπιζομένην. οἱ δὲ πελάγιοι πλωτῆρες γῆν λείποντες, καὶ τὰ τῆς θαλάττης ἁλμυρὰ καὶ
κυανέα νῶτα τέμνοντες, παλιντρόπων πνευμάτων βίας καὶ ταραχὰς ἀνηκέστους ὑπομένουσι, σχοι-
νίων δὲ πολυπλόκων διατάσεις, ἱστίων δὲ καὶ αὐχένων τελσμοὺς φοβεροὺς, κυμάτων δὲ ἀγρίων
ὀρυγμαδώδεις κατόψεσι δεχόμενοι φοβεροὺς διὰ τὴν ἐκ τοῦ πλόος αὖθις ἐλπιζομένην
σωτηρίαν καὶ εὐπορίαν. ἅπαντες δὲ οὗτοι καὶ οἱ τούτων πλείονες καμάτους τε καὶ κινδύνους
40 ὑπομένουσι διὰ τὴν πρὸς ὀλίγον φαινομένην ἐλπίδα· πολλῷ μᾶλλον τὸ φιλόθεον
γένος τῶν χριστιανῶν, ἀνδρῶν δὴ λέγω καὶ γυναικῶν (οὐ γὰρ μόνον τὸ ἄρρεν ἐστράται
παρὰ τῷ Θεῷ, ἀλλὰ καὶ τὸ θῆλυ) οὐ τῇ τοῦ σώματος ῥώμῃ, ἀλλὰ τῇ τῆς φρονήσεως
ἀνδρείᾳ διωγμούς τε καὶ λιμοὺς, νηστείας τε καὶ ἀγρυπνίας καὶ χαμευνίας, καὶ τῶν ἄλ-
λων ἀνεκδιηγήτων θλίψεων ἄμφω προθύμως ὑποφέροντες διὰ τὴν ἀκήρατον καὶ

μακαρίαν ἐν οὐρανοῖς ἐλπίδα. ἕκαστος οὖν στηκέτω, τῷ ἰδίῳ ἔργῳ, καὶ τῇ ἐλπίδι τοιούτῳ. ὁ γεωργὸς τῆς πνευματικῆς ἀρούρας ἐμβαλέτω τῆς διδασκαλίας τὸ ἄροτρον εἰς τὸ βαθύτατον τῆς διανοίας χωρίον· εἶτα μετὰ τῶν προκαταβληθέντων τῶν αἱρετικῶν σπερμάτων, τὸ βλάστημα ἔξελε τῶν Ἰουδαϊκῶν καὶ ἑλληνικῶν σοφισμάτων· ἵνα ἐκκαθάρας τὴν ψυχὴν, ἐπισπείρῃς τὰ τῆς πίστεως ἅγια σπέρματα, τὰ τῆς ἐλπίδος ἀγαλλιάματα, τὰ τῆς ἀγάπης γλυκάσματα. οὐ γὰρ μόνον τῷ Ἱερεμίᾳ ἔδωκεν ἐξουσίαν τοῦ κατασκάπτειν τὰ χείρονα, καὶ καταφυτεύειν τὰ κρείττονα, ἀλλὰ καὶ σοὶ, ἐν τῷ λέγειν· Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου· ἰδοὺ κατέστησά σε σήμερον ἐπὶ ἔθνη καὶ βασιλείας, ἐκριζοῦν καὶ κατασκάπτειν, καὶ ἀπολλύειν, καὶ ἀνοικοδομεῖν, καὶ καταφυτεύειν. ἐκρίζου τοίνυν τὰ ἄγρια τῆς λαγνείας κινήματα, καὶ καταφύτευε τὰ ἅγια τῆς ἁγνείας μιμήματα· κατάσκαπτε τοῦ πονηροῦ φυτείαν, καὶ καταφύτευε τὴν τοῦ Χριστοῦ πολιτείαν· ἀπόλλυε τὰ φαῦλα τῶν διδαγμάτων, στήλιτευε δὲ τὰ σπουδαῖα τῶν νοημάτων. ὁ οἰκοδόμος κατάσπα τὰ κακῶς οἰκοδομηθέντα ὑπὸ τῆς τοῦ διαβόλου μηχανῆς ἐν ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἰνδάλματα, καὶ οἰκοδόμει ναὸν τοῦ Θεοῦ, τιθεὶς θεμέλιον γὰρ Χριστὸν τὸν ἀκρογωνιαῖον, ἐφ᾽ ὃν οἰκοδομεῖται τὰ τῆς δικαιοσύνης καλλιεργήματα. ταῦτα πράττων, κἂν θλίβῃ, ὑπόμενε· κἂν διώκῃ, μὴ ἀπόκαμνε· κἂν λιμώττῃς, μὴ ἀπόφευγε· ἀλλὰ πάντα ὑπόμενε προθύμως διὰ τὴν ἐλπιζομένην ἐν τρυφῇ τοῦ παραδείσου ἀνάκλησιν. ὁδοιπόρει εἶτα κατὰ τὸν λέγοντα, Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσι τὰ διαβήματά μου· φεῦγε τὴν πλατεῖαν καὶ εὐρύχωρον ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν ἀπώλειαν. λάμβανε τὴν βακτηρίαν τοῦ πνεύματος δύο πράξεις ἐπιτελοῦσαν, τόν τε ἐγκαθήμενον ἐν τῇ ὁδῷ σκολιὸν δράκοντα ἀποκτείνουσαν, καί σέ ποτε ἐν τοῖς πειρασμοῖς ἐκλυόμενον καὶ καταπίπτοντα διαβαστάζουσαν. φέρε * τὸν πειρασμὸν προσφερόμενον. κἂν διψῇς, ἐπὶ τὴν ἀθάνατον πίστιν τὸν Χριστὸν ἀνάτρεχε. κἂν πεινῇς, τὸν ἄρτον τὸν ζῶντα ἐπιζήτει, ἵνα μὴ ἀποκάμῃς, μηδὲ ἐνδῶς χαυνούμενος ταῖς ἡδοναῖς, ἀλλ᾽ ἐνδυναμοῦ ἀποβλέπων τὸ τέλος τῆς ὁδοῦ, ἐλπίζων τὴν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἰσάγγελον ζωήν. ὁ ἰατρὸς τῶν ψυχῶν ἔκτεμε τῇ μαχαίρᾳ τοῦ πνεύματος τὰ οἰδαίνοντα καὶ ἡλκωμένα πάθη τῆς ὑπερηφανίας, ἀπόπλυνε τὸν βόρβορον τῶν ἡδονῶν τῷ ὕδατι τῆς διδασκαλίας, θεράπευε τὰς ἐκ τῆς ἁμαρτίας ἐπιτεθείσας πληγὰς ταῖς ψυχαῖς τῶν ἀνθρώπων, οἴνῳ καὶ ἐλαίῳ χρώμενος κατὰ τὸν Κύριον. οἴνῳ στύφε πρὸς τὸ μηκέτι χαυνούμενον ἐνδιδόναι ταῖς ἐπιθυμίαις· ἐλαίῳ δὲ λύων τοὺς πόνους τῆς ψυχῆς, [καὶ] τῶν προημαρτημένων πλημμελημάτων τὴν συγχώρησιν ταχεῖαν αὐτοῖς ὑπισχνούμενος. μὴ πρὸς τὰ χρηματικὰ κέρδη ἀποβλέπων παρίδῃς τὸν πένητα, μηδὲ πάλιν διὰ τὸν κατάπλυτον πλοῦτον παρίδῃς τὸν πλούσιον, ἀλλὰ πένητα καὶ πλούσιον ὁμοῦ παρακάλει σωφρονεῖν. μηδένα ἀπέλπιζε, μηδὲ τὸν ἄγαν ἁμαρτωλὸν, ἵνα μὴ τέλεον εἰς τὸν βυθὸν τῆς ἁμαρτίας αὐτοὺς ῥίψωμεν· ἀλλὰ δίδου χεῖρα τῷ πεπτωκότι λέγων· Οὐκ ἦλθεν ὁ Κύριος σῶσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς· ἵνα πρόθυμοι γενόμενοι, ἐκκλίνωσι ἀπὸ τοῦ κακοῦ ποιήσωσι τὸ ἀγαθὸν καὶ σωθῶσι. πάντα πράττε διὰ τὴν τῶν ἀσθενούντων ὑγίειαν, τρεφόμενος τῇ ἐλπίδι τῶν σωζομένων, καὶ τῇ παρὰ Θεῷ ἐλπιζομένῃ ἀγαλλιάσει. ὡς ἀθλητὴς, νομίμως ἄθλησον. Οὐδεὶς γὰρ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Οὐκ ἔστιν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους * τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. τοὺς ἀσκητικοὺς πόνους στέργε, τοὺς διαβολικοὺς βρόχους φεῦγε. ἴδε Παῦλον καὶ τρέχοντα καὶ πυκτεύοντα καὶ παλαίοντα. Οὕτω τρέχω, φησὶν, ἵνα καταλάβω· οὕτω πυκτεύω, οὐχ ὡς ἀέρα δέρων· ἀλλ᾽ ὑπωπιάζω μου τὸ σῶμα, μήπως ἐγὼ ὁ κηρύξας, αὐτὸς ἀδόκιμος ἔσωμαι. τρέχε τοίνυν ἵνα καταλάβῃς, πύκτευε καὶ πάλαιε, ἵνα νικήσῃς τὸν ἐχθρόν. ἀλείφου τῷ τῆς

Ἱερ. α. ι.

Ψαλ. ιϛ. ε.

β. Τιμ. β. ε.

Εφ. ϛ. ιβ.

α. Κορ. θ. κϛ.

εὐσεβείας ἐλαίῳ. ἔχεις παλαίσματα καταλειφθέντα σοι ὑπὸ τῶν ἁγίων πατέρων. λάμ-
ψατε τὴν ἀνεξικακίαν τοῦ Μωϋσέως, τοῦ Ἰωσὴφ τὴν σωφροσύνην, τοῦ Δαβὶδ τὴν πρᾳό-
τητα, τοῦ Ἠλία τὴν παρθενίαν, τοῦ Ἐλισσαίου τὴν νηστείαν, τοῦ Ἠσαΐου τὴν ἀκτημοσύ-
νην, Παύλου καὶ Πέτρου τὴν πίστιν, Χριστοῦ τὴν ἀγάπην· ἵνα ἐν πᾶσι καλῶς ἀγωνισάμενος, τὰ
νίκης τὰ βραβεῖα ἐκ χειρὸς Θεοῦ ὑποδέξῃ. ποιμὴν εἶ τῶν λογικῶν προβάτων τοῦ Χριστοῦ;
τὰ πρόβατα μάνδρευε, τὰ πεπλανημένα ἐπίστρεφε, τὰ συντετριμμένα ἐπίδεε, τὰ λυ-
κόδηκτα ἴω, τοὺς λύκους ἀπόστρεφε, τοὺς κύνας τοὺς ὑπὲρ τοῦ ποιμνίου. οὐ γὰρ ὑπνοῦντας,
ἀλλ' ὑλακτοῦντας καὶ λαθροφοροῦντας εἰς τοῦ δεσπότου τὸ ποίμνιον. τούτους ἀπέλαυνε.
τὴν ἐκ τῆς Μαρίας ἀνθηρὴν βλαστήσασαν χλόην ὑποδέχου, τὴν ἀθάνατον πηγὴν τοῦ
βαπτίσματος σήμαινε, τὸ ἐσπιλωμένον πρόβατον τῷ ὕδατι τῶν δακρύων ἀπόσμηχε· πάν-
τα πόνον καὶ κάματον ὑπόμενε, ἵνα, φανερωθέντος τοῦ ἀρχιποιμένος Χριστοῦ, δέξῃ τὸν ἀ-
μαράντινον τῆς δόξης στέφανον. πρόβατον εἶ; πείθου τῷ ποιμένι σου, τὴν μάνδραν μὴ
φεῦγε, τὴν πίστιν δὲ στέργε, τὴν ῥάβδον τοῦ ποιμένος μὴ ἐκκλίνῃς. οὐ γὰρ παίει σε, ἵνα
ἀποκτείνῃ, ἀλλ' ἵνα ἀπὸ τῆς πλάνης σε ἐπιστρέψῃ. τὸ ἐκ τῆς Ἰεσσαὶ ῥάβδου βλαστῆσαν
ἄνθος νέμου ἀδιακρίτως, τὴν ἐκ τῆς ἀκροτόμου πέτρας κοχλαδὸν βλαστάνουσαν πηγὴν ἀ-
θάνατον ποτίζου· μὴ ἐντεῦθεν εἰς τὴν μάνδραν τῆς τρυφῆς ** μὴ συνάγε πλοῦτον, μᾶλ-
λον δὲ τὸν πλοῦτον μὴ ἀγάπα· χρημάτων φροντίδα φεῦγε· τὰ δήγματα μὴ συνέχε· τὰ
χρήματα μὴ συνάγε, δι' ὧν φύεται τὰ ἐγκλήματα, ἀλλὰ σπεῖρε πλουσίως τὴν τροφὴν
τοῖς πένησιν, ἐλπίζων λαβεῖν καὶ πέπειρον τὸ δράγμα θερίσαι τῆς ψυχῆς. ὁ πένης μὴ ὀλι-
γοψύχει, μὴ ἀπολέγου τὴν ζωήν, μὴ βλασφημήσῃς· ἀλλ' εὐχαρίστει, ὑπόμεινον τὸ ὀλι-
γοχρόνιον τῆς πενίας ἴστριον, ἐπίβλεπε εἰς τὸν γνώμονά σου Λάζαρον, καὶ ἐλπίδι ἐνδυ-
ναμοῦ. τεύξῃ γὰρ καὶ αὐτὸς τῶν Ἀβραμιαίων τῆς ἀναπαύσεως κόλπων· ἔνθα καὶ αὐτοὺς
ἡμᾶς ὁ πάντων δεσπότης Θεὸς ἀξιώσειεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ
κράτος, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΑΓΑΠΗΣ.

Λόγ. ιθ.

Ex Ms. Regio Lut.

Ἄρτι μὲν οὐδεὶς περὶ ἀγάπης κατ' ἀξίαν εἰπεῖν ἱκανός, διὰ τὸ μὴ
εἶναι αὐτὴν ἐπίγειον, ἀλλ' ἐπουράνιον. οἶμαι δὲ καὶ τὴν τῶν ἀγγέλων
γλῶτταν ἀπορεῖν πρὸς τὴν ταύτης ἀκριβεστάτην ζήτησιν, ἐπειδή-
περ ἐξ αὐτῆς τῆς τοῦ Θεοῦ μεγαλονοίας ἀπαύστως προέρχεται.
ἆρα οὖν ἐπειδήπερ ὑπ' ἀγγέλων, οὔτε ἀνθρώπων γλῶσσα ἱκανὴ
πρὸς τὴν ταύτης ἀκριβεστάτην ἐξήγησιν, ἀποκνήσομεν καὶ ἡμεῖς;
ἀλλὰ μηδαμῶς· ἐπειδὴ παρὰ Θεοῦ καὶ τῶν πολυαργύρων παμμεγέθεις προσφοραὶ
οὐ προσδεκτοί· ἀλλὰ καὶ τῶν ἀνυποκρίτων μετὰ γνώμης ἱλαρᾶς, κἂν σφόδρα βραχύτατα
τυγχάνωσιν, ὡς καὶ τῆς χήρας ἐκείνης τῆς βαλούσης τὰ δύο λεπτὰ εἰς τὸ γαζοφυλάκιον
προεκρίθη ἡ προσφορὰ τῶν τὸν πολύχρυσον θεμένων. καὶ ἡμεῖς τὴν ἐλπίδα ἐπὶ τὸν
Κύριον θέμενοι ἀρωγὸν καὶ διορθωτὴν τῶν λεγομένων, προθύμῳ καρδίᾳ τὰ δύο δηνάρια
τῆς ἀγάπης εἰς τὸ γαζοφυλάκιον τῆς διανοίας ἡμῶν βαλώμεθα. ταῦτα γὰρ οἶμαι ἐ-
κεῖνα τὰ δύο δηνάρια, τὰς δύο ἐντολάς, ἐν αἷς ὁ νόμος ὅλος κρέμαται καὶ οἱ προφῆται. εἴρη-
ται γὰρ παρὰ Κυρίου ἐν εὐαγγελίοις, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ καρδίᾳ σου, καὶ
τὸν πλησίον σου ὡς ἑαυτόν. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὁ νόμος καὶ οἱ προφῆται. ἀγά-
πη πρὸς Θεόν, καὶ ἀγάπη πρὸς τὸν πλησίον, δύο ἐντολαὶ ἀλλήλων ἐχόμεναι. ὁ ἔχων μίαν
τούτων, τὴν δὲ ἄλλην οὐκ ἔχων, οὐδὲ τὴν, ἣν δοκεῖ ἔχειν, κέκτηται. ὡς γὰρ ψυχὴ αὐτοῦ σώ-

Ματθ. κβ. μ.

ματος οὐ καλεῖται ἄνθρωπος, οὐδ' αὖ πάλιν σῶμα ἄνευ ψυχῆς· οὕτως οὐδὲ ἀγάπη πρὸς Θεὸν, ἐὰν μὴ ἔχῃ ἀκόλουθον καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην, οὐ τυγχάνει ἀγάπη· οὐδ' αὖ πάλιν ἡ πρὸς τὸν πλησίον ἀγάπη, ἐὰν μὴ ἔχῃ τὴν πρὸς τὸν Θεὸν, οὐ καλεῖται ἀγάπη. διὸ ἀναγκαῖόν ἐστιν εὑρεῖν τελείαν ἀγάπην. Ἕλληνες ταύτην ἀγνοοῦσι, κἂν δοκῶσιν εἰς ἀλλήλους ἔχειν ἀγάπην· τὸν Θεὸν γὰρ ἀγνοοῦντες, ταύτης ξένοι τυγχάνουσιν. Ἰουδαῖοι κἂν πρὸς ἀλλήλους ἔχωσιν ἀγάπην, μισήσαντες τὸν Κύριον τοῦ νόμου λέγοντος, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης καρδίας σου, ἀντὶ δὲ τῆς ἀγαπήσεως μῖσος ἐγκολπωσάμενοι, τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν, καθά φησιν ἐν τῷ προφήτῃ· Καὶ ἔθεντο μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. [Ψαλ. ρη δ.] ταύτην τὴν ἀγάπην οὔτε οἱ λέγοντες τὸν υἱὸν τοῦ Θεοῦ κτίσμα, ἢ ποίημα, κέκτηνται, κἂν ἔχωσιν εἰς ἀλλήλους ἀγάπην. πῶς γὰρ ὁ ἀγαπῶν τὸν Θεὸν, τοῦτον λέγει κτίστην ἢ ποιητὴν τοῦ Χριστοῦ, καὶ οὐχὶ προαιωνίου γεννήτορα; ἢ πῶς τὸν υἱὸν λέγει ἀγαπᾷν, ὁ φάσκων εἶναι τοῦτον κτίσμα, ἢ ποίημα; κἂν τὸν πατέρα λέγῃ ἀγαπᾷν, τὸν υἱὸν μὴ ἀγαπῶν, ἐστέρηται τῆς πρὸς τὸν πατέρα ἀγάπης, ὥς φησιν ὁ ἀπόστολος· Ὁ μὴ ἔχων τὸν υἱὸν, οὐδὲ τὸν πατέρα ἔχει. [α. Ιωαν. β. κγ.] ταύτην τὴν ἀγάπην οἱ τὸ πνεῦμα κτίσμα, ἢ ποίημα λέγοντες οὐκ ἔχουσι, κἂν δοκῶσι πατέρα ὁμολογεῖν καὶ ἀγαπᾷν. εἴ τις γὰρ πνεῦμα οὐκ ἔχει Χριστοῦ, οὗτος οὐκ ἔστιν αὐτοῦ. ὅσοι τοίνυν ὀρθοδόξως φρονοῦσι περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, καὶ τὴν εἰς ἀλλήλους φυλάττουσιν ἀγάπην, οὗτοι κέκτηνται τὸ τέλειον τῆς ἀγάπης. ἀγάπη πατέρα ὁμολογεῖ, υἱὸν προσκυνεῖ, καὶ τὸ πνεῦμα τὸ ἅγιον δοξολογεῖ· ἀγάπη τὴν συμφωνίαν τῆς τριάδος οὐ διαιρεῖ. ὦ ἀγάπη, ἀγγέλων σύμβιος, πατέρων συντροφος, προφητῶν σύσκηνος, μαρτύρων συναθλος, ἀποστόλων σύγχορος, ἐκκλησίας σύνδεσμος. ἀγάπη πόλεμον οὐκ οἶδεν, ἐχθρὸν οὐκ ἔχει, εἰρήνην βραβεύει. ἀγάπη φονικοὺς θυμοὺς πραΰνει, λογικοὺς λαοὺς σεμνύνει. ἀγάπη, ἡ ἐν τῷ κόσμῳ μὴ χωροῦσα, καὶ ἐν ταπεινῇ καρδίᾳ κατοικοῦσα. ἀγάπη μέλιτος καὶ γάλακτος γλυκυτέρα, οὐ μόνον ἐν τῷ στόματι τὸ γλυκὺ ἔχουσα, * * ἀλλὰ καὶ ἐν τῷ βάθει τῆς καρδίας κεκτῆσθαι. ἀγάπη πάντων ἁρμόζει· δι' ἧς συνέστηκε μὲν τὰ ἐπίγεια, αὔξει δὲ τὰ ἐπουράνια. [Ισ.] ἀγάπη, δι' ἣν ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν ἀπέστειλεν εἰς τὸν κόσμον. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν εἰς τὸν κόσμον ὑπὲρ ἡμῶν. [Ιωαν. γ. 15.] ἀγάπη τὰς ἐκ κινδύνων καὶ κατὰ γῆν καὶ θάλασσαν ὑπομένειν ἐδίδαξεν· ἀγάπη μάρτυρας τελεῖοι, μακαρίοι, στεφανοῖ. ἀγάπη τὸν πλησίον, ὡς ἑαυτὸν, ὁρᾷ, καὶ τὰ ἴδια πᾶσι κοινὰ ἡγεῖται. ἀγάπη τὴν ἔνδειαν τοῦ πλησίον ἰδίαν τίθεται. ἀγάπη κοινὴν τράπεζαν πᾶσι ἱστᾷ, πλουσίῳ τε καὶ πένητι, σοφῷ τε καὶ ἰδιώτῃ. ἀγάπη τῶν πεπικρασμένων ψυχὴν γλυκαίνει, τὴν τεθλιμμένην θεραπεύει, τὴν τεταπεινωμένην ἀναθάλλει. ἀγάπη ἄσβεστον λαμπάδα τῆς παρθενίας περιφέρει, καὶ τοὺς ἰδίους περιεργάζεται ζητοῦσα. ἀγάπη τὰς τῆς βασιλείας θύρας ἀνοίγει, καὶ τὴν παρθενίαν στεφανηφόρον εἰσάγει, καὶ τοὺς ἐν σεμνῷ γάμῳ βιοῦντας εἰσελθεῖν οὐ κωλύει. ἀγάπη τὴν ἐλεημοσύνην φιλεῖ, καὶ τῷ αὐτῆς γεωργῷ στεφάνους χρυσαυγεῖς ἑτοιμάζει. ἀγάπη ὑπερηφανίαν οὐκ οἶδε, ταπεινοὺς δὲ δοξάζει. ἀγάπη κακολογίαν φεύγει, καὶ εὐλογίαν δὲ στέργει. ἀγάπη ἄνδρας καὶ γυναῖκας γάμῳ συναφθέντας ὁμονοεῖν συμβουλεύει, χωρίζεσθαι δὲ ἀπ' ἀλλήλων οὔποτε θέλει. ἀγάπη τοὺς πατέρας φιλεῖν τὰ τέκνα προτρέπεται, καὶ τὰ τέκνα δουλεύειν ὡς δεσπόταις τοῖς γονεῦσιν. ἀγάπη τοὺς δεσπότας ἐλεήμονας εἶναι παρακαλεῖ πρὸς τοὺς οἰκέτας, καὶ τοὺς οἰκέτας ὑπουργεῖν τοῖς δεσπόταις ἀδόλως παραινεῖ. ἀγάπη τὸν φόβον ἔξω τίθεται, καὶ τὴν πρὸς τὸν Θεὸν παρρησίαν ἐνστερίζεται. Ἡ γὰρ τελεία ἀγάπη, φησὶν, ἔξω βάλλει τὸν φόβον. [α. Ιωαν. δ. ιη.] ἀγάπη τὸν στέφανον τοῦτον τῶν πατέρων ἔπλεξεν ἡμῖν, καὶ τὸ στέλεχος τῆς ἐλπίδος γλυκὺ καὶ καρποφόρον ἵδρυσεν ἡμῖν. ἀγάπη τὸ ποίμνιον εἰς τὴν μάνδραν τῆς ἐκκλησίας εἰσάγει, καὶ τὴν χλοηφόρον τοῦ παραδείσου νέμεται τρυφήν. [χ.] ἀ-

γάπη

ἀγάπη τὴν πάντων ἡμῶν ἀκοὴν εἰς μίαν φιληκοΐαν ἐδεξαμένη, ἐρρύθμισε, καὶ τὴν ἡμετέραν γλῶσσαν ἐπλάτυνεν. ἀγάπη τὸ σῶμα παιδεύει, τὸ πνεῦμα θερμαίνει, τὴν ψυχὴν λευκαίνει. ἀγάπη τοὺς τῶν ἀσκητῶν πόνους σεμνύνει, καὶ τοὺς τοῦ υἱοῦ κόλπους τούτοις ἀγωνισταῖς ἀνοίγει· εἰς οὓς καὶ ἡμᾶς ὁ πάντων δεσπότης ἀξιώσειε, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΤΙ ΕΠΙΠΛΑΣΤΟΝ ΣΧΗΜΑ ΦΕΥΓΕΙΝ ΧΡΗ.

Λογ. κ.

Ex Ms. Regio Lut.

Πάλιν ἀνάγκη μεταχειρίσασθαι ἡμᾶς τὴν εὐαγγελικὴν σάλπιγγα, καὶ τὴν τοῦ Κυρίου παραίνεσιν πρὸς ὑμᾶς ἐκφᾶναι. Προσέχετε γάρ, φησιν, ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. (Ματθ. ζ. 15.) ἐλέγχεται γάρ, φησιν, ἐπίπλαστον σχῆμα πανταχοῦ διὰ τῶν καθ' ἑκάστην πραττομένων. ἀπὸ γὰρ τῆς προαιρέσεως αἱ πράξεις· τὸ σεμνὸν σχῆμα τὴν προαίρεσιν οὐκ ἀλλάττει. μάταιος οὖν παρὰ τοῖς σοφοῖς ὁ δολερὸς τοῖς δυναμένοις αὐτὸν θεάσασθαι διὰ τῶν καρπῶν καὶ καταμαθεῖν, ὅστις ὢν ὁποῖος φαίνεται. τί οὖν κρύπτεις ἐν ἀλλοτρίῳ σχήματι σαυτόν; τί κατακρύπτεις τῇ δορᾷ τοῦ προβάτου τὸν λύκον; ἐκφαίνει γάρ σε μικρὸν ὕστερον ἡ ἀλήθεια· καὶ φεύγων ἀλήθειαν ἁλώσῃ διὰ τῆς ἀληθείας. τί προβάλλῃ λόγους χρηστότητος; τὸ πικρὸν ἦθος κατακαλύπτων, οὐ λήθῃς πικρὸς ὤν, κἂν πάνυ γλυκὺς εἶναι προσποιήσῃ. τί φιλίας ὑποδύῃ σχῆμα, πολέμιος ὤν; οὐκ ἐν σκότει ζῶμεν· ἐκφαίνεται τὰ κρυπτά, καὶ διελέγχεται τὸ μῖσος, ὅπερ ἔκρυπτες. τί προσποιῇ τὴν φιλίαν; τί κολακεύεις μὴ φιλῶν; μισητόν σε καὶ τὸ τῆς κολακείας γενήσεται βλάβην, ὡς παρὰ ἐχθροῦ, φέρων, οὐκ ὠφέλειαν, ὡς παρὰ φίλου. ἐπαινεῖς γὰρ καὶ τὰ φαῦλα κολακείας ἕνεκα. οὐχ οὕτω δὲ ἀναίσθητος ὁ κολακευόμενος. μισῆσαι γὰρ ὀφείλει τὸν ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπαινοῦντα. τί δικαίου χαρακτῆρα καὶ σώφρονος ἐπιμορφάζεις ἐν ἀδικήμασιν ὤν, καὶ κολακείαις διαπλέων; τί καλύπτεις ὑπερηφανίαν σχήματι, καὶ ῥήματι ταπεινώσεως καὶ εὐλαβείας ὑποκρίνῃ τὸν φθόνον; Οὐκ ἔστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτόν, ὃ οὐ γνωσθήσεται. (Ματθ. ι. 26.) μῶμος πονηρὸς ἀνθρώπου, ψεῦδος. φύγωμεν τὴν ἐπὶ τῷ ψεύδει διαβολήν. μὴ ποιήσῃς ἄπιστον τῷ φίλῳ σεαυτόν, ἵνα μή, καὶ ὅτε λαλεῖς ἀλήθειαν, οὐκέτι πιστεύσῃ. ὁ γὰρ ἐν ἑνὶ εὑρεθεὶς ψεύστης, οὐκ ἔτι ἐστὶν ἄξιος πιστευθῆναι, οὐδὲ ἂν ἀληθεύσῃ ποτέ. Ὥστε τὸ λαλεῖν δίκαια, φησι, καὶ ἀληθεύειν ἀρεστὸν Θεῷ μᾶλλον, ἢ θυσιῶν αἷμα. (Παροιμ. κα. 3.) δῶρον δεκτὸν Θεῷ προσοίσεις πίστιν καὶ ἀλήθειαν. εὔκολον δὲ καὶ αὐτό σοι τὸ τὰ ὄντα λαλεῖν, καὶ μὴ τὰ μὴ ὄντα τεχνάζεσθαι. οὐ γὰρ κάμνεις βιαζόμενος τὸ ψεῦδος εἰς ἀλήθειαν, οὐδὲ ἀγωνιάσεις μηδὲν λέγων ἐναντίον σεαυτῷ· ὅτι μὴ σύμφωνος ὁ ψευδὴς λόγος πρὸς ἑαυτόν. οὐκ αἰσχυνθήσῃ ψευσάμενος ἄλλοις, σὺ τὴν ἀλήθειαν φυλάττων. ὅρκου πιστότερον τὸν λόγον οἱ φίλοι ἡγήσονται, καὶ πάσης ἐνόρκου μαρτυρίας ἰσχυρότερον τὸ ῥῆμα τὸ σόν. δικαίαν καὶ ἀναμφισβήτητον καταδέξεταί σου μαρτυρίαν, ὁπότε μαρτυρήσῃς παρελθών, δόξαν μὲν σεαυτῷ καλλίστην ἐπὶ τὴν ἀλήθειαν, σωτηρίαν δὲ κινδυνεύουσι, καὶ ἀδικουμένοις ὠφέλειαν ἐν δικαστηρίῳ προξενῶν. Χείλη ἀληθινά, φησι, κατορθοῖ μαρτυρίαν ἀληθῆ· ὁ δὲ μάρτυς τῶν ἀδίκων, δόλιος. (Παροιμ. ιβ. 17.) ὄψεταί σε δικαστὴς ἀσμένως ἀπαλλάττων τῆς περὶ τὴν δίκην ζητήσεως. ἀλλὰ γὰρ ἴδωμεν τὸ ἐπαινετὸν παρὰ Κυρίου τῆς ταπεινοφροσύνης κατόρθωμα, εἰ δυνηθῶμεν κατορθῶσαι. πολλοὶ μὲν οὖν κατορθώσαντές τι ἀγαθόν, ἑαυτοὺς σμικρύνειν βούλονται παρὰ τὴν ἀλήθειαν, ψεύδεσθαι καθ' ἑαυτῶν βουλόμενοι μᾶλλον. ἐγὼ δέ σοι λέγω, πρὸς τὴν ἀλήθειαν ταπεινοφρόνησον ἄνθρωπε· εἰς ἀκοὰς Θεοῦ λάλει περὶ σεαυτοῦ

αυτοῦ

Γεν. ιη. κζ. αὐτὸν ταπεινά, ὡς ὁ Ἀβραὰμ ἔλεγεν· Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός· ὡς Παῦλος ἔλεγεν,
α. Κορ. ιε. θ. Ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος,
διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. πάλιν δὲ ἀληθεύων ἐπήγαγε, Χάριτι
δὲ Θεοῦ εἰμι ὅ εἰμι. τούτων δὲ οὕτω πρὸς ἡμετέραν διδασκαλίαν προκει-
μένων, πανταχόθεν φύγωμεν τὸ ἐπίπλαστον σχῆμα. τί προσωπεῖα ἑαυτοῖς περιτιθέα- 5
μεν μὴ ὄντες τοιοῦτοι, οἵους ἑαυτοὺς ἐπιδεικνύομεν, τοὺς μὲν χιτῶνας μέχρι τῆς γῆς ἕλκοντες
ἐν σχήματι ἁγίων, τὸν δὲ τρόπον ἡγεμονευόμενοι· τῷ λόγῳ καὶ τῇ στολῇ ἅγιοι, τῇ δὲ γνώμῃ καὶ
τοῖς ἔργοις ἀπάνθρωποι; στολισμὸς οὐκ εἰσάγει εἰς βασιλείαν οὐρανῶν, ἀλλὰ ἔργα δι-
α. Βασ. ιϛ. ζ. καιοσύνης. Οὐχ οὕτως ὄψεται ἄνθρωπος, ὡς ὄψεται Θεός. ἄνθρωπος μὲν εἰς πρόσω-
Ψαλ. ζ. ι. πον ὄψεται, ὁ δὲ Θεὸς εἰς καρδίαν. Ἐτάζων γάρ, φησι, καρδίας καὶ νεφροὺς ὁ Θεός. ** καὶ 10
διὰ τὸ ἐρχόμενον συναγαγεῖν τοὺς λογισμοὺς τῶν ἀνθρώπων. πάντα γὰρ γυμνὰ καὶ τε-
Ψαλ. ιη. ζ. τραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. οὐκ ἔνι ἀποκρυβῆναι τῆς θέρμης αὐτοῦ. ἥξει καιρός,
ὅτε τὸ προσωπεῖον τοῦτο ῥίψας γυμνὸς εὑρεθήσῃ, καὶ τότε ἔσῃ ᾐσχυμμένος ὀφθῆναι τῷ προ-
σώπῳ τοῦ Θεοῦ, ὡς ὁ Ἀδὰμ ἐκπεσών. ἐκεῖ γὰρ οὐκ ἔτι σχῆμα ζητεῖται, ἀλλὰ ἔργα. ὧ-
δε μὲν γὰρ πολλάκις πλασάμενοι καὶ διαφεύγομεν τὸν ἔλεγχον, καὶ διὰ τοῦ σεμνοῦ σχήμα- 15
τος φαινόμεθα ὡς δίκαιοι, καὶ πολλάκις μακαριζόμεθα· ἐκεῖ δὲ οὐκ ἔτι ἔνι ψεύσασθαι. ἐκεῖ
τὰ ἔργα ζητεῖται, οὐκέτι τὸ σεμνὸν σχῆμα. μᾶλλον δὲ μείζονα τὴν κόλασιν καὶ τὸ κατάκριμα
ἕξομεν, τὸ μὲν σχῆμα τὸ σεμνὸν φορέσαντες, τὰ δὲ ἔργα τοῦ σχήματος μὴ ποιήσαντες. ἄκουε τοῦ
Ματθ. κγ. ε. σωτῆρος περὶ Ἰουδαίων μὲν λέγοντος, πρὸς ἡμᾶς δὲ διδασκαλίαν προτείνοντος· Πλατύ-
νουσι γάρ, φησι, τὰ κράσπεδα, καὶ ἐν ταῖς πλατείαις προσεύχονται, ὅπως φανῶσι τοῖς ἀν- 20
θρώποις δίκαιοι· οὗτοι δὲ λήψονται περισσότερον κρίμα. ἐπιθυμεῖς τὸ σεμνὸν σχῆμα, καὶ τὸ
ὄνομα τοῦ χριστιανισμοῦ ἐπεπόθησας; μὴ ἕως τούτου ἀπομείνῃς, ἀλλ᾽ ὡς ὡμολόγησας Θεῷ,
ἀπόδος τὴν ἐπαγγελίαν τῇ τῶν ἔργων ἐπιδείξει. τί προπετὴς εἰς τὴν ἐπαγγελίαν, μὴ
ἔργοις βεβαιῶν αὐτήν; χρὴ οὖν καὶ εὔχεσθαι μετὰ ἀσφαλείας, καὶ ἀποδιδόναι τὸ χρέος τῆς
Ψαλ. οϛ ια. εὐχῆς μετὰ ἀκριβείας. Εὔξασθε γάρ, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἁγνῇ πολιτείᾳ ὀφθῆ- 25
ζι αὐτῷ, τουτέστι, σώματι καὶ πνεύματι καὶ ψυχῇ. μή τι ὑφέλῃς τῆς ἐπαγγελίας, ἵνα μὴ πάθῃς
τὰ Ἀνανίου καὶ Σαπφείρας. ἐκεῖνοι γὰρ νοσφισάμενοι ἐκ τῆς τοῦ ἐπαγγελθέντος κτήματος
τιμῆς, θανάτῳ κατεδικάσθησαν. καὶ ἡμᾶς χρὴ ταῦτα φοβεῖσθαι. δεῖ γὰρ εἰδέναι, καὶ
μὴ ἀγνοεῖν, ὅτι ἃ ἐπαγγελλόμεθα τῷ Θεῷ, οὐκέτι λοιπὸν ἡμῖν ἐστιν, ἀλλὰ Θεῷ διαφέρει.
Θεοῦ κειμήλιόν ἐστιν ἡ ἡμετέρα ἐπαγγελία· καὶ ἐὰν ἀπὸ τούτων σύρωμεν, οὐκ ἔτι τὰ ἡμέτερα 30
ἐσμὲν λαμβάνοντες, ἀλλ᾽ ὡς τὰ τοῦ Θεοῦ ἱεροσυλοῦντες κειμήλια, καὶ οὕτως ὡς ἱερόσυλοι
κριθησόμεθα. ἡ δὲ ἐπαγγελία οὐ μόνον χρημάτων ἐστίν, ἀλλὰ καὶ μέχρι λόγου καὶ προαιρέσεως.
Ματθ. ιβ. λϛ. Ὑπὲρ παντός, φησι, λόγου ἀργοῦ ἀποδώσεις λόγον ἐν ἡμέρᾳ κρίσεως. τὸ γὰρ θεῖον καὶ μέγα
μυστήριον οὐκ ἐπὶ χρήμασιν ἔχει τὴν ὑπόστασιν, ἀλλ᾽ ἐπὶ προαιρέσει τελείᾳ, καὶ τῇ κατὰ
Θεὸν πίστει. πάντες γὰρ ἐπηγγειλάμεθα, καὶ πάντες ἐπαγγελίας ἐσμὲν χρεῶσται. ὥστε ἀνάγκη 35
ἀποδιδόναι, τὴν μὲν παρθένον, τὴν παρθενίαν, ὁποίαν καὶ ἐπηγγείλατο· τὸν δὲ ἐγκρατῆ, τὴν
ἐγκράτειαν· τὸν δὲ ἐν γάμῳ, τὴν σωφροσύνην καὶ τὴν πρὸς ἀλλήλους ἀγάπην. ἥτις
γὰρ παρθενεύειν, ἢ ἐγκρατεύεσθαι διὰ χρείας ἐπαγγέλλεται, ψεύσηται δὲ τὴν ἐπαγγελίαν, καὶ
α. Τιμ. ε. ιβ. εἰς γάμον μετενεχθῇ, κρίμα ἔχει ὅτι τὴν πρώτην πίστιν ἠθέτησεν. εἰκότως δὲ καὶ ὁ πρεσβύ-
τερος ὀφείλει ἀποδοῦναι τὴν ἱερωσύνην ἐνάρετον, καὶ ὁ διάκονος τὴν διακονίαν ἀμώ- 40
μητον, μὴ κλοποφορῶν τὰ τῆς διακονίας· ἵνα μὴ κατακριθῇ, ὡς ὁ Ἰούδας, πωλῶν. πολλῆς
οὖν ἀκριβείας ἐνταῦθα χρεία, μή πού τις ψεύσηται Θεόν, μὴ ἀποδιδοὺς σῶαν τὴν ἐπαγ-
γελίαν· μᾶλλον δὲ τὴν παρακαταθήκην, ὥσπερ καὶ ἕκαστος ἡμῶν ἐπηγγειλάμεθα, οὐκ ἔτι
ἡμέτερόν ἐστιν, ἀλλ᾽ οὕτως ὀφείλομεν λογίζεσθαι, ὅτι παραθήκην παρὰ Θεοῦ ἐλάβομεν· ἴσ. παραθήκην

καὶ

καὶ ἵνα μετὰ προσοχῆς φυλάξαντες ἀνόσφιστον τὸ ἐπάγγελμα παραστήσωμεν τῷ φοβερῷ βήματι Χριστοῦ· ἵνα μὴ ὡς ἀγνώμονας ἡμᾶς ἡ ἀπόφασις καταλάβῃ, κατὰ τὸ παράδειγμα Ἀνανίου. Οὐκοῦν ἐν τούτῳ πολλῆς ἀσφαλείας χρεία· μὴ ἔν τινι πταῖσαι, μήτε ὑφελέσθαι τῆς ἐπαγγελίας, ἀλλὰ μετὰ ἀκριβείας ἀποδοῦναι τὴν ἐπαγγελίαν σπουδάσωμεν. μηδὲ ἕως τοῦ ῥήματος νομίσωμεν εἶναι τὸν χριστιανισμόν, μηδὲ τούτῳ προκόμενοι ἐναπομείνωμεν, ἀλλὰ τῇ διὰ τῶν ἔργων βεβαιώσει ἀληθείας καὶ δικαιοσύνης οἰκεῖοι διαμείναντες, τῆς ἑπομένης τῇ δικαιοσύνῃ νίκης τευξόμεθα παρὰ Χριστοῦ, ᾧ ἡ δόξα, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΟΤΙ ΘΕΟΠΡΕΠΕΣ ΕΡΓΟΝ Η ΚΑΤΑ ΘΕΟΝ ἀγάπη ἐστί.

Λογ. κα΄.

Ex Ms. Regio Lut.

Ἀγάπην τὴν οὐρανοκλίμακα λόγος οὐδεὶς κατ' ἀξίαν ὑμνῆσαι δύναται· ἀγάπη τοῦ πρὸς Θεὸν σύνδεσμός ἐστιν, ἀγάπη τὰ ἐπίγεια συνάπτει πρὸς τὰ οὐράνια· περὶ ἧς γλῶττα οὐκ ἐπαρκέσει, οὔτε νοῦς ἐξευρήσει ἐπαξίως δοξάσαι. τὸ δὲ ἔργον αὐτὸ δείκνυσι τὴν τιμὴν ὑπὲρ τῆς ἀρίστης πολιτείας τὴν ἀγάπην. τῇ γὰρ δημιουργίᾳ τοῦ Θεοῦ αὕτη πλείονα περιβάλλει εὐπρέπειαν· αὕτη τὴν πολλῶν εἰς ἑνότητα παιδαγωγός, ἡ πρὸς ὁμοιότητα τοῦ ἑνὸς καὶ τοῦ ἁγίου κάλλους τὰ πλήθη τῶν ἀνθρώπων ἐξεικονίζουσα ἀγγέλοις καὶ ἀνθρώπους. μία γὰρ οὖσα μορφὴ πᾶσαν λογικὴν φύσιν μορφοῖ εἰς τὴν τοῦ Θεοῦ ὁμοιότητα· οὐ τοῖς ἀποτελουμένοις ἀπ' αὐτῆς, ἀλλὰ τοῖς ὑπ' αὐτῆς ἡρμοσμένοις καὶ συγκεκραμένοις ἐπαναπαύεται. πλείους μὲν ὄντες εἰς μίαν τὴν πολύτροπον κοινωνήσαντες συμφωνίαν, κάλλιστόν τι καὶ τερπνὸν ἐφ' ἑαυτοῖς ἁρμονίαν ἐκφαίνουσιν· οὕτω τὰ διὰ τοῦ ἁγίου πνεύματος πολλὰ καὶ διάφορα ἐνεργήματα, πρὸς μίαν καὶ ἀγαθὴν ὁμοφροσύνην συναγόμενα, θεοειδέστατον καὶ θεοπρεπέστατον κάλλος ἐκφαίνει, τιμιώτατον Θεῷ καὶ τῆς ἁγίας εὐφροσύνης ἄξιον τῆς παρὰ τοῦ δημιουργοῦ. διὰ τὴν ἀγάπην τὴν πρὸς ἀνθρώπους καταβέβηκεν ὁ Θεὸς ἐπὶ τῆς γῆς, καὶ μετὰ τῶν ἀνθρώπων συναναστρέφει, οὐκ ἐν ἀποκρύφῳ καὶ ἀφωρισμένῳ, καθάπερ πρότερον, αἰνίγματι προσκιαζόμενος, ἀλλ' ὁμοιότροπος ἀνθρώποις εἰς ὁμοιότητα καὶ συνδιατελεῖν ἡμετέραν κατελθών· ἵνα εἰς τὴν υἱοῦ πνεύματος οἰκειότητα πάντας προσαγόμενος, ὥσπερ ἐν σῶμα καὶ ἐν πνεῦμα κατασκευάσῃ. ὑπηρέτις οὖσα τοῦ Κυρίου, καὶ τοῦ πνεύματος ὑπουργὸς ἡ θεία ἀγάπη, τὰ διεστῶτα συνάγει, τὰ ἀπηλλοτριωμένα οἰκειοῖ. ὢ Χριστοῦ θαυμάσιον ἔργον, ἡ ἀγάπη· ὢ κόσμου σωτηρίας μυστήριον. δι' ἀγάπην ἀποστέλλει ὁ πατὴρ καὶ Θεὸς εἰς τὸν κόσμον τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ. Ὁ Χριστὸς γάρ, φησιν, ἠγάπησε τὴν ἐκκλησίαν, καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς. ἀγάπη τὸ ὑπὲρ τοῦ πλησίον πόνους ἡδέως φέρειν, δι' ἀγάπην δουλεύειν ἀλλήλοις κελευόμεθα. Διὰ γὰρ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. ἀγάπη τὰς ἰδίας ἑνὸς ἑκάστου κτήσεις, κοινὰς ἁπάντων ἐργάζεται. ἀγάπη δείκνυσί σοι τὸν πλησίον, ὡς ἑαυτόν· καὶ φέρει ἀλλότρια τίμια τά, ὡς καὶ τὰ ἑαυτοῦ. ὀλίγα μὲν ὀργισθήσῃ, πλεῖστα δὲ μακροθυμήσεις. δι' ἀγάπην αὐξάνεται ἡ ποίμνη τοῦ Χριστοῦ· ἀγάπη φονικοὺς παραλύει θυμούς, ὅπλα πολεμίων ἀμβλύνει, καὶ λήθην πολεμίων ἐντίθησιν ἁπάντων, καὶ τὴν εἰρηνικὴν πολιτείαν Χριστοῦ τῷ κόσμῳ εἰσάγει. Οὐ λήψεται γὰρ ἔθνος ἐπὶ ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. Διὰ τοῦτο ἀνατελεῖ, φησιν, ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. λαμπρὸς δὲ καὶ ὁ τύπος τῆς εἰρηνικῆς πολιτείας. ὢ τῆς μακαρίας εἰρήνης ἀρχηγὸς ἀγάπη, ἡ τὴν ἔχθραν καὶ πόλεμον ἐν ἀνθρώποις ἀπελαύνουσα δαίμονα, δι' ἧς στένει μὲν ὁ διάβολος ἐπὶ ἀνθρώποις εἰρηνικοῖς· συνήδονται δὲ ἄγγελοι τῇ ἑαυτῶν

Ἐφεσ. ε. κε.

Γαλ. ε. ιγ.

Ἡσ. β. δ.
Ψαλ. οα. ζ.

αὐτῶν εἰρήνης εἰκόνα ἐν ἀνθρώποις ὁρῶντες. φαιδροὶ πρὸς ἀλλήλους ἡμεῖς ἐσμεν, καὶ
πάσης εὐθυμίας μεῖζον ἀδελφὸς ὀφθεὶς ἀδελφῷ. "Παρακαλεῖται γοῦν ἐπὶ ταῖς θλίψεσι, (ἴσ. πτη... λείπει)
(α. Κορ. ζ. ε) φησὶν ὁ Παῦλος, ἐπὶ τῇ παρουσίᾳ Τίτου. ὅτε δὲ οὐ πάρεστιν, οὐκ ἔχει ἄνεσιν τῷ πνεύματι.
ἀγάπη Θεοῦ, καὶ ἀδελφῶν ἀγάπη, δύο ἀχώριστα. Καὶ ταύτην, φησὶν ὁ Ἰωάννης,
ἐντολὴν ἔχομεν παρὰ τοῦ Θεοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν 5
αὐτοῦ. τοῦτο γὰρ εἶπε καὶ τῷ Πέτρῳ· Εἰ ἀγαπᾷς με, βόσκε τὰ πρόβατά μου, τουτέστι,
(Ἰωαν. κα. ιε.) δεῖξον τὴν πρὸς τὸν ποιμένα ἀγάπην, τῶν προβάτων διὰ σπουδῆς προνοούμε-
νος. ποῖον οὕτω τεῖχος ἀρραγὲς, ἁρμονίαις λίθων εὐμεγεθῶν ὀχυρωμένον καὶ πολεμίων
ἀποτρέπον ἐφόδους, οἷον ἁγίων σύστημα ἡρμοσμένον τοῖς τῆς ἀγάπης δεσμοῖς, καὶ
τὰς τοῦ διαβόλου πείρας; τίς δὲ φυτῶν εὐπρέπεια τοιαύτη κατὰ στίχον πεφυτευμένων, 10
ἢ στρατιᾶς εὐάρμοστος σύνταξις ἐν κόσμῳ καὶ τάξει εὐπρεπεῖ προϊοῦσα; ταῦτα
γὰρ παρέχει τέρψιν· τερπνότερον δὲ καὶ ἡδύτερον πάντων, τῶν ἐν ἀγάπῃ συνηρμοσμέ-
νων ἀλλήλοις ἡ κατὰ τὴν φυσικὴν ἁρμονίαν εὐπρέπεια. αὕτη γὰρ ἐν ὀφθαλμοῖς Κυ-
ρίου σεμνὴ καὶ ἔντιμος φαίνεται. ἄκουε τοῦ Δαβὶδ, μᾶλλον δὲ τῆς χάριτος τοῦ ἁγίου πνεύ-
(Ψαλ. ρλβ. α.) ματος· Ἰδοὺ τί, φησι, τί καλὸν, ἢ τί τερπνόν; οὐδὲν ἕτερον, οὐδὲν ἄλλο τῶν ἐπὶ τῆς γῆς, ἀλλ' 15
ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό· ὡς μύρον ἐκκενωθὲν ἐπὶ κεφαλήν. ἄγγελοι τοὺς ἡμε-
τέρους χοροὺς περιχορεύουσι, καὶ εὐφραίνονται ἐφ' ἡμῖν, ὅτι τὴν αὐτῶν διαγωγὴν μιμού-
(Λυκ. ιε. ζ.) μεθα. Εἰ γὰρ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ ἐν οὐρανῷ γίνεται, κατὰ τὸν τοῦ Κυ-
ρίου λόγον, πολλῷ μᾶλλον ἐπὶ τοσούτῳ πλήθει σωζομένων. ἡ γὰρ τοῦ μέλλοντος αἰῶνος εὐφρο-
σύνη ἀπεντεῦθεν φαίνεται, τῷ μὲν διαβόλῳ πένθος, δαιμόνων λικμητήριον. ὅτε χοροὺς 20 *
συνεστήκαμεν ἀλλήλοις, ἐν μιᾷ ψυχῇ καὶ μιᾷ γνώμῃ πρὸς ὑμνῳδίαν Θεοῦ τὴν παναρ-
μόνιον τῶν χερουβεὶμ καὶ μεγαλόδοξον μιμούμεθα μελῳδίαν. ὥσπερ γὰρ ἐκεῖνα ἐκ διαδο-
χῆς εἰς τοῦ ἑνὸς παραλαμβάνοντα, τὸν τρισάγιον ᾄδουσιν ὕμνον· οὕτω καὶ ἡμεῖς εἰς τὸν ἐκεί-
νων τύπον δύο χοροὺς συστησάμενοι, καὶ ἀντιφωνοῦντες ἀλλήλοις, τὴν πνευματικὴν ᾄδο-
μεν μελῳδίαν. θαῦμα τοῖς ἔξωθεν, ἐπιθυμητὸν τοῖς ὁρῶσι, καὶ πόθος τοῖς ἀκούουσιν ἐγγίνε- 25
ται, καὶ θεία ἐνεργὴς αἴσθησις ἐν ἡμῖν εὑρίσκεται· δι' ἧς αἰσθανόμεθα ἐκριζουμένων ἐξ ἡμῶν
πάντων τῶν κακοτροπείας καὶ διαιρέσεως αἰτιῶν. πάντες δὲ ἡμᾶς δοξάσουσι τὸν Θεὸν, πο-
(Φιλιπ. β. β.) λιτείαν ἐπὶ γῆς ὁρῶντες οὐράνιον. διὰ τοῦτο πάντας ἡμᾶς ἓν φρονεῖν καὶ τὸ αὐτὸ λέγειν ὁ Παῦ-
λος ἐδίδασκε· διὰ τοῦτο Χριστὸς ἀποστέλλων σὺν δύο πέμπει τοὺς ἀποστόλους, μέχρι καὶ
γυναικῶν εἰσηγεῖται τὴν ὁμοφροσύνην· ἵνα μηδὲ τὸν τῶν παρθένων σύλλογον ἄμοιρον 30
(Φιλιπ. δ. β.) ταύτης τῆς ἀγγελικῆς μιμήσεως καταστήσῃ. διὰ τοῦτο λέγει, Εὐοδίαν παρακαλῶ καὶ
Συντύχην τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ. ἀλλήλους ὑπερέχοντας ἡγεῖσθαι κελεύει, πρὸς τὸ
μὴ διαλύεσθαι τῇ φιλοτιμίᾳ, μᾶλλον δὲ τῇ κενοδοξίᾳ· ἀλλὰ τὴν τιμὴν παραχωροῦν-
τες τῷ πλησίον ἑνοῦσθαι καὶ συγκεῖσθαι. σεμνὰ μὲν οὖν τὰ καθ' ἡμᾶς, καὶ ὡς ἀληθῶς
ἐπικόσμια τὰ τῆς ἱερᾶς καὶ θείας ἀγάπης· ἴδωμεν δὲ καὶ τὰς ἐν τῷ νόμῳ διδασκαλίας. καὶ 35
γὰρ αὗται συμφερόντως διδάσκουσιν. οὐχ ὑπερόψει, φησὶ, τὸν ἐνδεῆ, μεταδώσεις δὲ θλι-
βομένῳ. ἀπολαύσει τῶν παρὰ σοὶ καρπῶν ὁ πένης· καὶ τοῦ θερισμοῦ τὰ λείψανα καὶ τοῦ τρυ-
γητοῦ πρὸς τροφὴν ἕξει ὁ πένης· ἑβδόμῳ δὲ ἔτει καὶ ὁ δοῦλος εἰς ἐλευθερίαν ἀφεθήσεται.
πεντηκοστῷ δὲ ἔτει ἅπαν χρέος λυθήσεται, καὶ οἱ πεπρακότες τὰς κτήσεις ἐπαναλήψονται
(Δευτ. κδ. ε.) μὴ ἀποδώσαντες τὸ τίμημα. τόκον οὐκ ἀπαιτήσεις, οὐκ ἐνεχυράσεις μύλον, οὐδὲ ἐπι- 40
μύλιον, οὐδὲ τοῦ πένητος ἐνεχυράσεις ἱμάτιον, οὐδὲ μὴν ἐπεισελεύσῃ βιαίως λαβεῖν ἐνέ-
χυρον. οὐκ ἐγκαταλείψεις ὑποζύγιον τοῦ πλησίον σου, οὐδ' ἂν ἐχθρὸς τυγχάνῃ· ἐπανά-
ξεις δὲ αὐτῷ καὶ ζῷον πλανώμενον, ὑπηρέτης ὡς φίλῳ γινόμενος, καὶ διαλύων τὴν ἔχθραν
ἐμπεσούσης προφάσεως. ταῦτα δὲ πάντα τὰ παραγγέλματα δι' οὐδὲν ἕτερον, ἀλλὰ

διὰ

διὰ τὴν ἱερὰν καὶ πολυπόθητον τοῦ Θεοῦ ἀγάπην. καὶ γὰρ εἰς τοῦτο καὶ εὐαγγελικὰ παραγγέλματα κατατρέχει. μετὰ γὰρ τὸ πολλὰ εἰπεῖν πληρωτικὰ τοῦ νόμου, ἐπήγαγε· Καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ἐν ἅπασι τὴν ἔχθραν καταλύων, καὶ τὴν ἀγάπην φυτεύων. χρέως ἔστω παρ' ἡμῖν τὸ ἀγαπᾷν ἀλλήλους μηδέποτε πληρούμενον. φησὶ γὰρ ὁ Παῦλος, Μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾷν. ὥσπερ γὰρ τὰς τροφὰς καθ' ἑκάστην ἐπιζητοῦμεν τὴν ἡμέραν, καὶ οὐχὶ ἡ προλαβοῦσα χορτασία ἀποστήσει ἡμᾶς τοῦ μὴ καθ' ἑκάστην ἐπιζητεῖν τροφάς, ἀλλὰ οὕτω ἀπὸ τῆς φύσεως ἀπαιτούμενοι ὡς χρέως ὀφείλομεν· οὕτω καὶ ἐπὶ τῆς ἀγάπης τὸν αὐτὸν τύπον φυλάξωμεν. Οὐ πλησθήσεται, φησὶν, ὀφθαλμὸς τοῦ ὁρᾷν, καὶ οὖς τοῦ ἀκούειν. γλυκὺ τοῖς ὀφθαλμοῖς τὸ φῶς, καὶ οὐδεὶς ἔκαμεν ὁρῶν τῷ ὀφθαλμῷ, καὶ οὐδεὶς ἔκαμεν ἀκούων τοῖς ὠσίν· οὕτω καὶ τὸ τῆς ἀγάπης ἐράσμιον ἔργον ἀόκνως ἐπιτελεῖν ὀφείλομεν, καὶ οὐδέποτε κορέννυσθαι. ὕδωρ γὰρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. Μένει γὰρ, φησὶ, τὰ τρία ταῦτα, πίστις, ἐλπὶς, ἀγάπη. ὥσπερ γὰρ ἦν ἀπ' ἀρχῆς, οὕτω καὶ εἰς αἰῶνα φυλαχθήσεται· ἧ ἐξακολουθοῦντας ἡμᾶς γένοιτο τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. μδ. — Ρωμ. ιγ. η. — Εκκλησ. α. η. — α. Κορ. ιγ. ιγ.

ΕΙΣ ΤΟ, ΕΙ ΥΙΟΣ ΕΙ ΤΟΥ ΘΕΟΥ, ΒΑΛΕ ΣΕΑΥΤΟΝ κάτω· καὶ ὅτι παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ τὰ ἑξῆς.

Λογ. κγ. — Ματθ. δ. ε.

Ἥλιος μὲν ὑπὲρ γῆς παρακύψας, καὶ πρὸς ἡμᾶς ἐξ ἑῴας ἱππεύων, μετελθεῖν ἐσήμηνε νύκτα, τοὺς ὑπνοῦντας ἐγείρει, καὶ παραδίδωσιν ἔργοις· θεογνωσίας δὲ φέγγος ἐξυπνίζει ψυχὴν, λογισμοὺς περιλάμπει, καὶ πρὸς ἀρετὰς διανίστησι· καὶ ταύτην μᾶλλον ἡμῖν, ἢ τὸν ἥλιον ἐπιλάμπειν εὐκταῖον. ἥλιον γὰρ καὶ μὴ βλέπων τις ζήσεται (ζῇ γοῦν ὁ πηρὸς ἀκοῇ γινώσκων τὸν ἥλιον) ἀνήλιοι δὲ θεογνωσίᾳ ψυχαὶ νεκραὶ, κἂν ὑποπλεύωνται ζῆν· περὶ ὧν καὶ ὁ δεσπότης φησίν· Ἄφετε τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. ἀλλ' ὁ τῆς νεκρώσεως παλαίσας γεννήτορι, ἑκατέρας ἐξείλετο τὸν βίον νεκρώσεως. διπλῆ γὰρ περὶ ἡμᾶς ἡ νεκρότης· ἡ μὲν φύσει προσγινομένη θνητῇ, ἡ δὲ γνώσεως ἀποβολῇ φυομένη (ἀγνωσία γὰρ Θεοῦ νεκρωτικῆς ἀναισθησίας ὁμοίωμα) ὧν ἀμφοτέρων ἐργάτης ὁ διάβολος· ὃν καταῤῥάξας Χριστὸς ἦρεν ἐξ ἀμφοτέρων τὴν φύσιν νεκρότητος, τὴν μὲν ψυχὴν δόγμασι ζωοποιοῖς ἀνορθώσας, ἀναστάσει δὲ τὸ θνητὸν ἀνακτήσας. τοῦ γὰρ ὠθοῦντος πεσόντος, τὸ ὠθούμενον στήσεται, καὶ ὁ τῆς πάλης τῷ βίῳ καταλέλειπται πίναξ, ὅπως ἡ φύσις εἰς ἐκεῖνον ὁρῶσα ῥωννύηται. ποῦ δὲ ὁ πίναξ; εἰς τὴν ἔρημον βλέψον. ἐκεῖ γὰρ αὐτὸν ἡ χάρις ἀνέστησεν εἰκόνι τυραννοκτόνῳ, καὶ κατ' ἐρήμους φοβοῦσα τὸν τύραννον. σκάμμα μὲν ὁρῶμεν τὴν ἔρημον, χεῖρα δὲ τὸν διάβολον πλάττουσαν τοῦ Κυρίου τὴν πεῖναν, παλαίσματα δὲ τρία, τὰς τρεῖς ἀποκρίσεις. νόμος γὰρ πάλης, τὴν πάλην τριαστεύεσθαι. καὶ τὸ τῆς πάλης ἀριθμήσομεν τρίπλοκον. Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ, ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Συνέβαλεν ἐνταῦθα ὁ διάβολος τῷ δεσπότῃ. ὁ Χριστὸς δὲ πρὸς αὐτόν· Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. ἐξέδυ τὴν βλάβην ὁ δεσπότης. Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω. δεύτερα δὲ ταῦτα τοῦ δαίμονος σκάμματα. Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. ἔλυσεν ἡ λέξις τὸ κράτημα. Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. ἀρχὴ τοῦτο τοῦ τρίτου παλαίσματος, ἐν ᾧ καθάπερ τις ἀθλητὴς ὁ δεσπότης ὡς ἀντίπαλον δύσειεν ἔξω τοῦ σκάμματος τὸν διάβολον ἔῤῥιψεν. Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται

Ex Ms. Regio Lut. emend. ex Ms. Ducai. — Ματθ. η. κβ. — Ματθ. δ. δ.

γέγραπται· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ἰδὼν τὴν πάλην, παλαίειν διδάχθητι· γυμνοῦ τῆς πάλης ἐκ θεατοῦ μαθητής. ἡ πρώτη τοῦ Κυρίου πρὸς τὸν διάβολον πάλη, τὸ κατὰ τὴν ἡδονὴν διδάσκει σε πάλαισμα. πείνη γὰρ ἦν ἡ τῶν ἀγώνων ἀρχή· πείνη, τὸ τυραννικὸν ἐπιθύμημα, πείνη, τῶν ἡδονῶν τὸ κεφάλαιον. ἐπιθυμία γὰρ τροφῆς, ἀχαλίνωτος ἔρως. ὁρᾷ γὰρ ἡ γαστὴρ ἡδονὴν ἀπαραίτητον, καὶ ταύτην πολλοὶ θεραπεῦσαι 5 μὴ σχόντες, εἰς τὴν τῆς προνοίας ἐξώκειλαν ἄρνησιν, ὡς οὐκ ὄντος Θεοῦ φροντιστοῦ τῶν πεινώντων. πρὸς τοῦτο καὶ τὸν Χριστὸν ὁ διάβολος ὠθεῖ, ὡς ἄνθρωπον τῇ πείνῃ κεντούμενον ὑποπτεύσας σαλεῦσαι. τὴν γὰρ τῆς θεότητος οὐκ ᾔδει συνάφειαν. οὐ γὰρ ἂν ὡς ἀγνώστῳ προσῆλθε θεότητι. ὁ τὴν οἰκείαν μὴ πρότερον ἐπιστάμενος φύσιν, οὐδ᾽ ἂν γνωρίσας Θεὸν περὶ τροφῆς διελέχθη. ἀλλ᾽ ὡς ἄνθρωπον βλέπων, ὡς πρὸς ἄνθρωπον φθέγγεται, εἰ υἱὸς εἶ 10 τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. υἱοθεσίας δοκιμαστὴς μὴ ζητούμενος, τροφῆς φροντιστὴς βλαβερωτέρας λιμοῦ, τὴν ἐκ ξύλου τὸ πρότερον θεοποιΐαν ὑπέθετο, νῦν ὑπὸ τὴν ὄρεξιν, δεικνύων τὴν ἔρημον πλήρη λίθων οὐκ ἔχουσαν, ἵνα ὁ τῆς πείνης τόπος τὴν τῆς τροφῆς ἀπόγνωσιν αὐξήσας, σάλον τινὰ παρεμβάλῃ τῇ ψυχῇ δυσπιστίας, καὶ τὴν υἱότητα λύσῃ. ἀλλ᾽ ἐπὶ τὸ πέρας ἤδη ἀποβλέψωμεν, καὶ τὰς τῶν φωνῶν παγίδας κατίδωμεν. εἰ 15 υἱὸς εἶ, φησί, τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι ἄρτοι γένωνται. υἱός, φησί, πρώην ἐκαλοῦ βα-

Ματθ. γ. ιζ.

πτιζόμενος, καὶ λεγούσης τῆς φωνῆς ἠκροῶ μὲν, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. ἔλαβον δὲ τὴν προσηγορίαν, τὴν εἴρωνα, τὴν ἄφημον χλεύην, τὴν ψιλὴν ἔργου τιμήν· σοὶ δὲ τάχα καθ᾽ ἡδονὴν τὸ ῥηθὲν ἦν, καὶ πιστεύεις, ὡς ἀληθῶς ἀγαπώμενος, καὶ θαρρεῖς, ὡς ἐν οὐρανῷ τεταγμένος, καὶ χαίρεις, ὡς Θεῷ περισπούδαστος. ποῖος πατὴρ πεινῶντος 20 τοῦ παιδὸς οὐ φροντίζει; τίς οὐ τρέφει παρ᾽ αὐτῆς τὸν πρόσφυγα; σὺ δὲ τεσσαράκοντα ἡμέρας νῆστις κατέτηξας, καὶ πεινῶντός σου πατὴρ οὐ φροντίζει; καὶ λιμὸν περιορᾷ πολυήμερον; ποῖος φιλόπαις πατήρ, ὃς ἄρτον οὐ χαρίζεται τέκνῳ; καλὸς υἱὸς ἐν λιμῷ παρὰ πατρὸς μὴ τρεφόμενος; δεῖξον τὴν ἀγάπην, χαρισάμενος ἄρτον· θρέψῃ τὸν υἱὸν ἐν ἐρήμῳ πεινῶντα. δύναται λίθους μεταβαλεῖν εἰς ἄρτους· αἴτησαι τοῦτο πεινῶν. κἂν παρά- 25 σχῃ τὴν χάριν, ὡς υἱὸς καλλωπίζου· πρὶν δὲ ταῦτα λάβῃς, μὴ χλευάζου τῇ κλήσει. ὢ τιμῆς ἀπανθρώπου φιλανθρωπίας, ὢ συμπαθείας ἀνθρωποκτόνου, ὢ κηδεμονίας ὀλεθρίου, καὶ δηλητηρίου γλυκάζοντος. εἰς ἀπιστίαν ὁ λῃστὴς ἐρεθίζει, καὶ πρὸς αἴτησιν ἐγκαλεῖται βρωμάτων· οὐχ ἵνα θρέψῃ πεινῶντα, ἀλλ᾽ ἵνα δελεάσας πρὸς αἴτησιν, αὐ-

* * τὸν μὲν ὡς ἄπιστον συγκρούσῃ πρὸς τὸν Θεόν, ἐπὶ δὲ πρὸς τὸν Θεὸν ψευσάμενον, οὗτός ἐστιν 30 ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. τί οὖν ὁ δεσπότης Χριστός; οὐκ ἐκκαλύπτει τὸν κεκρυμμένον Θεόν, ἵνα μὴ φυγαδεύσῃ τὴν θήραν· ἀλλ᾽ ὡς ἄνθρωπος ψιλὸς ἀνταποφθέγγεται. Γέγραπται γάρ, φησιν, οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. οὐ ξενίζει με, φησί, τῶν βρωμάτων ἡ ἀπορία, οὐ ταράττει τὸ πεινῆν ἐν ἐρήμῳ, οὐκ αἰτῶ τὴν ἐκ λίθων ἀρτοποιΐαν. πολλαὶ γὰρ αἱ τῆς θείας κηδεμονί- 35 ας ὁδοί, καὶ πολύτροποι προστασίαι. δέδωκε μὲν γὰρ ἀνθρώποις τὴν ἐκ βρωμάτων τροφήν, καὶ τῆς σαρκὸς τὸ συγκρότημα βρῶμα· γράμμα δέ με προσεδίδαξε θεῖον ὑπὲρ τῆς φύσεως ὅρους τὸν Θεὸν ὑπερβαίνειν. μέμνημαι θείας φωνῆς κεκραγυίας ἀνθρώποις, μὴ δεδιέναι πεινῆν, ὅταν φροντίζῃ Θεός. μὴ οὖν φείδου πεινῶντος, καὶ τὴν ἔρημον εἰς ἀπόγνωσιν δεικνύοντος· κηδέσθω Θεός, κἂν μὴ παρέσονται ἄρτοι. ἔστι γὰρ καὶ ἄνευ τροφῆς ζωοποιὸς ὁ 40 Θεός, καὶ ζήσεται σὰρξ ἄνευ βρώματος, καὶ ζῆν αὐτῇ προστάττει Θεός. οὕτω γέγραπται, φησί, καὶ πιστεύω θείοις τεθαρρηκὼς ῥήμασι, καὶ τὴν ἐκ τῆς τροφῆς μόνης οὐκ ἀναμένω ζωήν. δι᾽ ὧν προσέκρουσεν ὁ Ἀδάμ, ὁ Χριστὸς καταλλάττει. ἐπεὶ γὰρ ἐξ ἀπιστίας Ἀδὰμ καὶ βρώματος ἐξέπεσεν (ἀπιστήσας γὰρ τῷ Θεῷ, καὶ φαγὼν κατεκρίθη) ἐλθὼν ὁ Χριστός, ἀναστήσας τὴν

φύσιν,

φύσιν, ἐξ ἐγκρατείας καὶ πίστεως ἄρχεται. τὸ γὰρ οὖν αὐτῷ προσωλυπὸν ὑφίσταται πολέμιον ὁ διάβολος. περὶ τοῦ τόκου γάρ, φησι, διὰ τῆς ὑποψίας μοιχείαν τῷ τόκῳ" ἐπεβούλευσεν. ἐκπεσὼν τῆς ἐλπίδος, διὰ Ἡρώδου παιδίον τὸ "θηρεύειν διήμαρτεν· ἡττηθεὶς διὰ μάγων, δι' ἐμαυτοῦ νῦν πολεμήσω. ὦ φιλονείκου τυφλοῦ· βρέφους ὄντος ἡττήθη, καὶ ἀνδρωθέντι συμβάλλει; προσῆλθε, καὶ ἀνδρωθέντος, ὦ διάβολε, γεῦσαι, μάθε τούτου τὴν ἰσχὺν ἐκ δευτέρου. ἤδη μὲν γὰρ πεινῶντι προσελθὼν κατερράγη (τὸν δὲ τοῦ πτώματος ἀκηκόατε τρόπον) ἀνακτήσασθαι δὲ προσδοκήσας τὴν ἧτταν, διπλασιάζει τὸ τόλμημα. ὡς γὰρ ἐψεύσθη τοῦ προτέρου τεχνήματος, καὶ πεινῶντι προσελθὼν οὐκ ἠπάτησε, δεύτερον εἰσφέρει κακούργημα. ἄπρακτός μοι, φησιν, ἡ παλαιὰ μηχανή· τὴν ῥίψασαν τὸν Ἀδὰμ ἀποτάσσομαι τέχνην· τὸ τῆς τροφῆς ἀποτίθεμαι δέλεαρ. ἔοικε γὰρ οὗτος ἡδονῶν βασιλεύειν. ὁ γὰρ ἡδονῆς τροφῆς μὴ χαυνούμενος, οὐ ζητεῖ ἄρτον "ἐν πολυημέρῳ· μὴ πειθόμενος πείνῃ, τῆς ἐκ σαρκὸς ἀπαράδεκτος μάχης. βεβούλευμαι δὲ ἄλλου παλαίσματος τέχνασμα. ἔχω τι γλυκύτερον ἀγκίστρου, γλυκυθήρατον δόξαν. ἡδὺς τῆς κενοδοξίας ὁ βρόχος· οὐκ ἡδὺς δὲ μόνον, ἀλλὰ καὶ δίπλοκος. τῇ κενοδοξίᾳ γὰρ τὸ τῆς ἀπονοίας συμπαρυφίσταται πάθος. ὁ γὰρ δόξης ἐρασθεὶς, πρὸς κομπωδίαν γοργός· τούτῳ δὲ καὶ πάρεστι τοῦ πάθους ἡ πρόφασις. ἴσως φρονεῖ τι πλέον ὡς νηστευτὴς πολυήμερος. ἀγκαλίζω πρὸς κόμπον, προσελθὼν ὡς δικαίῳ φεισώσω ῥήσει ψαλμῶν, ὡς ἐπ' αὐτῷ προρρηθείσῃ, ἐρωτήσει δολερᾷ δελεάσω. ἔστω δέ μοι κρημνὸς τῆς ἐρωτήσεως τόπος. πρὸς τὸ πτερύγιον συλλαβὼν ἀνελκύσω, καὶ τοῦ ὕψους λαβόμενος προτείνω, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω. γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. πάντως ἢ δέξεται τὴν ῥῆσιν, ἢ φεύξεται. εἰ μὲν οὖν δέξεται, σπουδάζων, ὡς δίκαιος, πρὸς τὴν τοῦ πτώματος συγκαταθεῖται πεῖραν. ῥίψει μὲν αὐτὸς ἐκ τοῦ ὕψους τὸ σῶμα· ἐγὼ δὲ, ἂν μὲν πεσὼν ἀποθάνῃ, καταγελάσω νεκροῦ· ζήσαντα δὲ τοῖς τῆς κενοδοξίας ἐτραυμάτισα πάθει, πείσας πρὸς ἔνδειξιν ἐμὴν ἑαυτὸν καταρρίψαι. εἰ δὲ δὴ παραιτούμενον ἴδοιμι, προσκρούσω πρὸς τὸν Θεὸν, ὡς τὸν Ἰὼβ, διαβάλλων δωρεὰν υἱότητος οὕτω· ῥῆσιν αὐτοῦ" παρὰ σοῦ γεγραμμένην ἀγνοῶν, ἐπαγγελίαν εἶπον τῆς σωτηρίας τῆς σῆς, καὶ ῥίψαι πρὸς βάθος οὐ τετόλμηκε· δῆλον ὅτι μὴ θαρρῶν οἷς ὑπ[illegible]γου. πῶς οὖν τὸν οὕτως ἄπιστον, υἱὸν προσηγόρευσας; οὐκ ἔλαθε δὲ τὸν δεσπότην τὸ βούλευμα, καὶ δίδωσιν ἑαυτὸν εἰς παρέλκυσιν, ὡς ἄνθρωπος ἀνθρώπῳ συνεφεπόμενος. ὁ δὲ ἀναβάντι προτείνει τὸ βούλευμα, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω. ἀποκρινώμεθα τῷ διαβόλῳ προτείνοντι· Εἰ τοῦτο κρίνεις ἀνδρὸς πατέρα τὸν Θεὸν κεκτημένου, τὸ μένειν βλαβερῶς ἀβλαβῆ, ἔχεις, ὧν προτείνεις, ἀπόδειξιν. αὕτη γὰρ τοῦτο τῆς υἱότητός ἐστιν, ὦ διάβολε, δεῖξις, ὅτι συμπαρεστῶτά σοι πρὸς τὸν κρημνὸν οὐκ ὠθεῖς, ὃν ἐκ πολλοῦ καταρρίψαι σπουδάζεις. ἀλλ' ἔστιν οὐδὲν ἕτερον, ἢ τοῦτο, ὅτι παρακαλῶν, ἄκων οὐ πίπτεις, φησί; κἂν ἑκὼν κατενέχθητι· βάλε σεαυτὸν κάτω. γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου." ἐπειδὴ καὶ ταῦτα δείκνυσιν, ὡς Θεὸν "οὐκ ἐγνώριζεν. εἰ γὰρ Θεὸν ὁ ἀντίπαλος ἔγνω, οὐκ ἂν τὴν ἐξ ὕψους αὐτῷ προέτεινεν ἔκπτωσιν. ἤδει γὰρ, ὡς οὔτε ὕψους ὁ Θεὸς κολοβώτερος, οὔτε ἐλλιπέστερος πλάτους· ἀλλ' ὑψηλοῖς συνυψούμενος συμπληροῦται πλάτεσιν. ἤδει προσκομμάτων τὸ θεῖον ἐλεύθερον. ἀνθρώπινον γὰρ ποδῶν, οὐ Θεοῦ, τὸ προσκόπτειν. ὅτι μὲν οὖν οὐχ ὡς Θεῷ διελέγετο, μάρτυρες τοῦ διαβόλου τὰ ῥήματα. ἀκούσωμεν δὲ καὶ τῶν ῥημάτων τὸν νοῦν. πρὸ μικροῦ, φησιν, ἔφης, γέγραπται, οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' "ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ, καὶ τὴν ζωὴν εἰς τὸ θεῖον ἀνεφήμισας πίστιν· ἀλλ' ἐπειδὴ ῥῆσίς ἐστιν ἑτέρα Θεοῦ λέγουσα, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου, δεῖξον ὡς ῥήματι πιστεύεις Θεοῦ, καὶ καθῆς σεαυτόν,

ἀβλαβῶς" ἐκπεσόμενος. χρήσαι τῷ κρημνῷ τούτῳ δικαστῇ τῆς υἱότητος, χρήσαι τῷ πτώ-
ματι τῆς θείας κηδεμονίας ἐλέγχῳ. ἂν γὰρ ἐντεῦθεν πεσὼν ἐξαναστῇς ἀβλαβής, ἀληθὴς
ἡ ῥηθεῖσά σοι τῆς υἱότητος κλῆσις. τοῦτο γάρ σοι προϋπέσχετο Θεός, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ
ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. ἐξ ὄζοντος σκυθίοις μύρον
προσβάλλῃ, διάβολε, ἱστορίαν παλαιὰν ἀνανεώσας. λέων τις ἐπὶ Σαμψὼν ᾑρέθη, ὃς
κηρίον μέλιτος ἐπὶ στόματος ἔχων, ἔρριπτο δυσώδης· καὶ σὺ λεοντῶδες γραφικὸν στάζεις διὰ
στόματος μέλι, καὶ κείμενος εὑρίσκῃ, τῇ τοῦ δεσπότου καταπεσὼν ἀποκρίσει. Γέγραπται γάρ,
φησιν, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. οὔτε ῥίπτειν ἑαυτὸν ἠρνήσατο, οὔτε μὴν συγκα-
τέθετο. ῥίψαι μὲν γὰρ ἑαυτὸν ἀρνησάμενος, ἔδωκεν ἂν τῷ διαβόλῳ λαβήν, ὡς οὐ θαρρῶν
τῷ Θεῷ, τῇ δὲ τοῦ πτώματος προστάσει" συνθέμενος, κομπώδης ἂν ἔδοξεν, καὶ πρὸς ἔνδειξιν
εὔκολος. "οὐ συγκατάθεσιν, οὐκ ἄρνησιν ἔχουσαν, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου,
"τοῦτο πρὸς τὸν διάβολον λέγων, ἐμὲ τὸν σὸν οὐκ ἐκπειράσεις δεσπότην. οὐ γὰρ ἂν τοῦτο
μαθών, ὡς ἂν θεράποντι μετὰ ταῦτα προσελθὼν ὑπισχνοῖτο, Ταῦτα πάντα σοι δώσω, ἐὰν
πεσὼν προσκυνήσῃς" μοι. δέχομαι μὲν τὸν ψαλμόν, ὡς ἀληθεῖς, τὰς φωνάς, προστασίαν
ὑπισχνουμένῳ καταπιστεύω Θεῷ. ἀγγέλους γὰρ ἀνθρώπων ἐντελλομένους οἶδα· ἀλλ' οὐχ ὅ-
ταν εἰς κρημνοὺς κυβιστῶσιν, οὐχ ὅταν θανατῶσιν ἑκόντες, οὐχ ὅταν αὐτοὶ χρείας πειράζωσι.
τοῦτο οὖν δεύτερον πεσὼν ὁ διάβολος, εἰς τρίτην διανίσταται πεῖραν. ἀλλὰ τῆς τρίτης
ὁ λόγος ὀφειλέτης ἐκβαίνει, καὶ πᾶσιν "ὑμῖν ἄπεισι τὸ χρέος χειρόγραφον. γλυκὺ γὰρ τὸ χει-
ρόγραφον τοῦτο, καὶ μόνῳ τῷ διαβόλῳ πικρόν. ἐκ γὰρ τῶν αὐτοῦ πτωμάτων τὴν ἀπόδοσιν
ἔχει. δύο μὲν οὖν πέπεισμαι τοῦ τῆς ὑποσχέσεως χειρογράφου καταβολὰς εἶναι. εἰς λω-
πάδα δέ μοι περίεστι τὸ χρέος, τοῦ παντὸς οἶμαι δ' ἂν δυσφορώτερον. τὰ λοιπὰ γὰρ τοῦ χρέους,
τὸ τρίτον τοῦ διαβόλου πανούργημα· τὸ τρίτον τῇ τάξει, τῷ μεγέθει δὲ πρῶτον· τῷ τῆς πλά-
νης ἀριθμῷ τελευταῖον, τῇ δὲ τῆς τέχνης κακουργίᾳ πρωτεῖον. τὰ μὲν γὰρ πρῶτα φορη-
τὸς πονηρευόμενος ἦν. τὴν ἐκ Θεοῦ γὰρ φανερῶς ἀποστασίαν οὐκ ᾔτει· ἀλλὰ τῇ θείᾳ κατα-
χρώμενος μνήμῃ, καὶ τὸ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, πρὸς αὐτὸν ὀνομάζων, εὐσεβεῖ προσώπῳ τὴν
"θεομάχου ἐσχημάτισε τέχνην. ἐν τῇ τρίτῃ δὲ πείρᾳ, γυμνὴ τῆς πονηρίας ἡ λύσσα, ἀσκέ-
παστον δὲ κακὸν παρακύπτον. προσκύνησιν γὰρ τὸν προσκυνούμενον ᾔτει, ἀφ' ὧν ἤκουσε,
φαντασθεὶς τὴν προσκύνησιν. ἐπειδὴ γὰρ εἶδε μετὰ πίστεως πανταχοῦ τὸν δεσπότην φθεγ-
γόμενον, καὶ τὸν Θεὸν μὴ πειράζειν εἰπόντα, ἐνόμισε τὸν δεσπότην εἰς πίστιν εὐάγωγον, καὶ
περὶ τὴν ταύτης μὴ πολυπραγμονεῖν βάσανον. καὶ δὴ μετ' ἐνδόξου προσέρχεται σχήμα-
τος, ὡς ἐκπλήξων τῇ θέᾳ. Παραλαμβάνει γὰρ αὐτὸν ὁ διάβολος, φησιν, εἰς ὄρος ὑψη-
λὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου, καὶ τὴν δόξαν αὐτῶν. σκιογρα-
φήσας γὰρ "ἀέριον καὶ καταψευσάμενος τὰς τοῦ ἀέρος μορφώσεις, καὶ συνθεὶς κοσμογρα-
φίαν ἀσώματον, καὶ πλαστογραφείσης βασιλείας τε χρωσάμενος κάλλη, ἤλπιζε τῷ τῆς φαν-
τασίας λαμπρῷ τὸν τοῦ δεσπότου πρὸς πίστιν εὐλαβὲς ὑπαχθήσεσθαι. νῦν δὲ καθ' ἑαυτοῦ
φιλονεικῶν οὐκ αἰσθάνεται, καὶ πρὸς τοσαύτην ἐπειγόμενος πτῶσιν. ἵνα μὴ πέσῃ, τὰς τοῦ
κόσμου δωρεὰς "ὑπισχνοῦ; ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. ὁ Παύ-
λῳ μὴ πιστεύων, ὅτι εἰδωλολάτρης ὁ πλεονέκτης, ἀκουέτω τοῦ τῶν εἰδώλων πατρὸς ὁμο-
λογοῦντος τὰ Παύλου· τῷ προσκυνοῦντί με, φησι, τὰ ἀλλότρια δώσω. οὐκοῦν πρόσ-
φυξ διαβόλου, τῶν ἀλλοτρίων ὁ κλήτωρ. αὐτὸς γὰρ τῶν ἀλλοτρίων ὑπισχνεῖται τὴν δόσιν, ζη-
μιῶν τοῖς χαρίσμασι, καὶ δι' ὧν δίδωσι κλέπτων. ἔστι αὐτῷ καὶ τῆς πρὸς τὸν δεσπότην φιλο-
τιμίας ὁ νοῦς, ὑποκλέψαι πρὸς πτῶμα δωρεῶν ὑποσχέσει. ἡδονῇ, φησιν, οὐκ ἔστι βρωμάτων
ἀχαλίνωτος, κενοδοξίας ἀγαργάλιστος πάθη. τὰ δύο "ὅμως διέκλασε τὰ μαχιμώτατα βέ-
λη· ἄλλο μοι βέλος ἰσχυρὸν ζητητέον. φιλαρχίας ἐν ἅπασιν ὄρεξις, εὕρεσις κέρδους ἀπο-

κτή

κτῆ παρ' οὐδένι· πλεονεξία πλοῦτος, ὡς εἴρηται, τραυματίαι. ταύτην ἐκβαλὼν μὲν τῆς
φαρέτρας ἐκπέμψω. ἀλλὰ ποῦ τοξεύων λάβω; τίς συνεργήσει μοι τόπος; εἴθε μοι
πρὸς ὄρος ὑψηλὸν συνανῆλθεν· ἐπιτήδειον ὑψηλότης εἰς θέαν. ἔδειξα ἂν ἐξ ὕψους τῶν
χωρῶν τὰς εὐφορίας· ἤγαγον ἂν ὑπ' ὄψιν θησαυροὺς βασιλέων· παρέστησα ἂν εἰς θέαν
5 τὴν ἔνδοξον τοῦ βίου λαμπρότητα, τὰ μὲν ὄντως δεικνὺς, τὰ δὲ τέχνῃ φαντάζων. ἀνθρώ-
που δὲ φύσις εὐσαγήνευτος λήμμασιν. ἂν ἴδῃ τῆς γῆς τὰ φαιδρὰ, προσδραμοῦσα τῇ κινήσει
ἁρπάζει τὸν δεικνύμενον πλοῦτον, τῶν τοσούτων ἐρασθήσεται κτήσεων· ἀληθῆ τὴν σκιὰν
ὑποπτεύσει, πιστεύσει τοῖς δεικνυμένοις εὐθύς. πανταχοῦ γὰρ ἐπιδέδεκται πίστιν. εἶ-
πον, ἄρτον αἴτησαι, καὶ παρεπέμψατο τοῦτο, πιστεύων ὡς τρέφοντι καὶ χωρὶς ἄρτου Θεῷ.
10 εἶπον, ῥίψαι κάτω τὸ σῶμα, καὶ τὸ ῥητὸν διεκρούσατο, μὴ δεῖν λέγων τὸν Θεὸν ἐκπειρά-
ζειν. μετ' ἐνδόξου τοίνυν αὐτῷ προσελεύσομαι σχήματος. πιστεύσει γὰρ ἀπατη-
θεὶς ἐμοὶ, ὡς Θεῷ πειρασθεὶς παραιτεῖν, καὶ πολυπραγμῶν οὐκ ὢν πιστεύσει· αὐτὸς
δὲ καταπλήξας οἰχήσομαι. ταύτην εἰδὼς ὁ Χριστὸς τὴν ἔννοιαν, εἰς ὄρος ὑψηλὸν συνανῄει
καὶ τῆς τέχνης ὁ διάβολος ἤρξατο, ποικίλην τοῖς ὄμμασι προστιθεὶς φαντασίαν. ὁ δεσπότης
15 δὲ τὴν τέχνην οὐκ ἤλεγχεν, ἀλλ' ὡς τὸν δόλον οὐκ εἰδὼς ἐθεώρει. ὁ δὲ κεκρατηκέναι τῇ τῆς
φαντασίας ὑπωπτεύετο τέχνῃ, καὶ τῷ κάλλει τῶν φαινομένων εἰλῆφθαι· καὶ ὡς δοξαστὴς λοι-
πὸν ὑπερκοσμίους παντοκρατορικὰς τερατεύεται ῥήσεις· Ταῦτα πάντα σοι δώσω, ἐὰν πε-
σὼν προσκυνήσῃς μοι. οὐχ ὁρᾷς, φησὶν, ἄνθρωπε, τοῦ κόσμου τὸ μέγεθος; οὐ θεωρεῖς τὸ τού-
του πολύκτητον; οὐ φρίττεις τὰς μυριοπλασίους ταύτας ἐν αὐτῷ βασιλείας; τούτων ὁ δε-
20 σπότης ἐγώ· δόγματα ταῦτα παρ' ἐμοὶ τοῖς ἀνθρώποις κατ' ἐμὴν ἕκαστον διανέμεται κρί-
σιν. σὺ δὲ πάντων παρ' ἐμοὶ προτιμότερος, καὶ μόνος δίκαιος τῶν ἐν γῇ βασιλεύειν. παρά-
λαβε δὲ παρ' ἐμοῦ τὸ παγκόσμιον κράτος, καὶ προσκύνησιν ἀντὶ τούτων ἀπόδος. ταῦτα πάν-
τα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. ἐξ ἡμισείας προεφήτευσας ἄκων, διάβολε. πα-
ραδώσεις σὺ μὲν τὸν κόσμον, ὃν κακῶς ἐδουλώσω, ἀλλ' οὐ προσκύνησιν ἔχων, ἀλλὰ μαστιγού-
25 μενος. μὴ γὰρ οἴει τῷ Ἀδὰμ διαλέγεσθαι; καὶ γὰρ τὸν Ἀδὰμ ἐδελέασεν ἐπάρσει, ὡς ἔσται Θε-
ὸς, καὶ πείσας κατήνεγκεν. ὑπισχνεῖται καὶ νῦν παντοκρατορίαν Χριστῷ, τῇ τῆς ἐλπίδος
ὑψηλῇ παρασπάσειν ἐλπίζων. ἀλλ' ἀξίας ἀποκρίσεως ἤκουσεν· Ὕπαγε ὀπίσω μου, Σατανᾶ·
γέγραπται γὰρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. ὕπαγε Σατα-
νᾶ. καλῶς ἐνταῦθα τὸ τοῦ Σατανᾶ προστίθησιν ὄνομα· καθάπερ [γὰρ] τις δεσπότης ὑ-
30 ποκρυπτόμενον δοῦλον καλῶν ἐξ ὀνόματος, δεικνὺς ὡς οὐκ ἔλαθεν. ὕπαγε· ἀπειλητικὸν οἶ-
μαι τὸ τοῦ ῥήματος πρᾶον, ὥσπερ ἐμβριμωμένου πρὸς αὐτὸν τοῦ δεσπότου. ἔχαμες τὴν ὑπό-
κρισιν κρύπτων, καὶ τὸν σχηματισμὸν ἀπεγύμνωσας; ἀπέγνως τὴν νίκην, καὶ κολακεύεις με
δώροις; ἤδη μοι πραγματεύῃ τὴν πρᾶσιν; ἤδη τὰ διὰ τοῦ προδότου πορεύῃ μοι σύμφω- * *
να. ἀωρὶ ἐμελέτησας, ὦ διάβολε, πρᾶσιν, μεῖνόν σου τὴν συνθήκην τὴν Ἰούδα. ὕπαγε
35 νῦν, τὸν σταυρὸν ἀναμένω· ὕπαγε νῦν, οὐκ ἀγοράσεις με. νῦν ὕπαγε, τήρησόν σου τῷ προ-
δότῃ τὰ δῶρα. νῦν δέ σοι τοσοῦτόν φημι, Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ
λατρεύσεις. μὴ σὺ μείζων τοῦ Θεοῦ τῶν ἀνθρώπων. αὐτῷ γὰρ μόνῳ χρεωστοῦσι. Τό-
τε, φησὶν, ἀφίησιν αὐτὸν ὁ διάβολος. μεγάλη τῆς πάλης τῆς ἐσχάτης ἡ νίκη. καθάπερ
γάρ τις ἀθλητὴς γενναῖος, πρὸς ὕψος τὸν ἀντίπαλον ἄρας, ἐκ μετεώρου καταρρήγνυσι πτώ-
40 ματος· οὕτως ὁ δεσπότης Χριστὸς εἰς ὄρος τὸν διάβολον ἄρας, καὶ μετεωρίσας ἀερίοις ἐλπί-
σιν, ἀφ' ὑψηλῆς ἐλπίδος κατέρραξε· καὶ τὸ τῆς νίκης θαῦμα τοὺς ἀγγέλους ἐκπλῆξαν, πρὸς
τὴν τοῦ νικητοῦ δορυφορίαν συνήγαγεν. Ἰδοὺ γὰρ, φησὶν, ἄγγελοι προσῆλθον καὶ διηκόνουν
αὐτῷ. ἰσάγγελοι δὴ καὶ ἡμεῖς παρασχώμεθα τῷ δεσπότῃ τὴν δουλείαν· ἀρίσωμεν οὐρανοῖς,
διακονίαν ἐν γῇ πληροῦντες ἀγγελικήν, ταῖς ἀπλήστοις τὴν ψυχὴν ἀποθῶμεν ἀγκάλαις,

τὸν τῆς πεσούσης φύσεως ἀνορθωτὴν ἀγαπήσωμεν, τὸν τοῦ κοινοῦ δυσμενοῦς ἐκνευρωτὴν ἀσπασώμεθα, δεδοξασμένοι τὴν νίκην δορυφορήσωμεν μνήμῃ, ἐπεμβαίνωμεν διαβόλῳ πεσόντι, καὶ τὴν ἀναίσχυντον κεφαλὴν καταπατοῦντες παμφώνοις ἐμβοήσωμεν στόμασι· Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λόγ. κγ.

ΕΙΣ ΠΡΟΔΟΣΙΑΝ ΤΟΥ ΙΟΥΔΑ, ΚΑΙ ΕΙΣ ΤΟ πάθος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ ἁγίᾳ πέμπτῃ.

Ex Ms. Regio Lut.

Στυγνὴν τὴν ἐκκλησίαν ὁρῶ, σκυθρωπάζουσαν μορφὴν τὴν τοῦ οἰκείου υἱοῦ προδοσίαν σημαίνουσαν. δεινὸν γὰρ τὸ μελετηθέν, καὶ φόνος τὸ κατασκευασθέν, καὶ κριτὴς ὁ ταῦτα πάσχων νεκρῶν καὶ ζώντων οὐράνιος. τὸ δὲ πάντων δεινότερον, ἄφνω ἐχθρὸς καὶ ἐπίβουλος, ὁ πρὸ μικροῦ μαθητὴς καὶ ὑπήκοος· ἀθέως θηρίον τὸ πρόβατον, ἀποστάτης φωτὸς ὁ ἀπόστολος, περάτης δεσπότου ὁ δοῦλος ἀσύμφωνος, τῶν ἕνδεκα μαθητῶν ὁ δωδέκατος. καὶ τί μὴ λέγω τὸ ὄνομα, ἵνα μὴ πᾶσιν ἐπάγω τὴν ὕβριν τοῖς ἀποστόλοις, ἀποκρύπτων τὸν αἴτιον; Πορευθείς, φησιν, εἷς τῶν δώδεκα. (Ματθ. κϛ. ιδ.) τίς; ὁ λεγόμενος Ἰούδας. καὶ ἄλλο, ἵνα μὴ ὁ ἀναίτιος ἀποκρύψῃ τὸν αἴτιον. εὑρίσκομεν γὰρ τῶν ἀποστόλων καὶ ἕτερον τῷ αὐτῷ κεκλημένον ὀνόματι. Ἰούδας ὁ Ἰσκαριώτης, φησίν. Εἷς πορευθεὶς τῶν δώδεκα. οὐκ ἔτι οὖν εἷς· εἶχε γὰρ μεθ' ἑαυτοῦ τὸν διάβολον συνεργόν. τότε πορευθεὶς πρὸς τοὺς ἀρχιερεῖς εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Εἰπέ μοι ἐν τούτῳ, Ἰούδα, τὸν τοῦ κόσμου δεσπότην καὶ ἑαυτοῦ διδάσκαλον εἰς πρᾶσιν προβαλλόμενος, τὴν ἀξίαν τοῦ μαθητοῦ ἐν ποίᾳ καταλιμπάνεις τιμῇ; τί δέ σε κατηνάγκαζε προδότην τοῦ ἑαυτοῦ βασιλέως στρατεύεσθαι; τίνα περιτίμησιν εἶδες τῶν λοιπῶν συμμαθητῶν κατὰ σοῦ γινομένων, ὅτι ταύτην τὴν ἄτοπον βουλὴν ἐμελέτησας; ὃς οἶδας περὶ σὲ καὶ τοὺς ἕνδεκα ἀποστόλους τοῦ δεσπότου βοήσαντος, Εἴ τις θέλει ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος, καὶ πάντων διάκονος. (Μαρκ. θ. λε.) ἆρα οὖν ταῦτα προεῖπε, τὴν σὴν βουλὴν ἀναστέλλων; καὶ διακονεῖν σε τοῖς πρώτοις ἠρέθισεν, ἵνα μὴ "σὺ ὡς ἔσχατος ἀδίκῳ πόνῳ κινηθεὶς" κατασκευάσῃς τὸν δόλον; εἰ μὲν ὑπὸ ἦρχες χρημάτων ἐκτὸς τοῖς Ἰουδαίοις τὴν προδοσίαν δωρούμενος, ἂν ὑπέλαβεν ἄν θρωπος, ὅτι ἀδικόν τι ὑπέστης, πρὸς τὴν τοῦ ἀδικήσαντος ἐχώρησας ἄμυναν· τὸ δὲ λέγειν σε προφανῶς, τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν, δηλοῖ τὴν σὴν δολιότητα. Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια· καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. τί πράττεις, Ἰούδα, τριάκοντα συμφωνήσας ἀργύρια ὑπὲρ τῆς τοῦ ἀτιμήτου πράσεως μαργαρίτου; ἐξαρίθμησον πρῶτον, ἅπερ μόνῳ τῷ λόγῳ ἐδημιούργησεν ἄστρα, καὶ τότε λόγῳ [τὸν λόγον] παραδοῦναι μελέτησον. ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ. αὐτὸς τοὺς χρόνους καὶ τοὺς αἰῶνας ἐποίησε, καὶ κατ' ἐκείνου ἐζήτει καιρὸν τῆς ἑαυτοῦ προδοσίας ἁρμόδιον. (Ματθ. κϛ. κ.) Ὀψίας δὲ γενομένης, ἀνέκειτο μετὰ τῶν δώδεκα μαθητῶν, καὶ ἐσθιόντων αὐτῶν εἶπεν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, εἷς ἐξ ὑμῶν παραδώσει με· ὁ κατ' ἐμοῦ καὶ ὑμῶν εἰσελθὼν, καὶ μαθὼν ἃ φυλάξαι οὐκ ἴσχυσε. καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν, μήτι ἐγώ εἰμι, Κύριε; πάντας ἐκίνει τὸ ῥηθὲν εἰς ἀκριβῆ τοῦ συνειδότος εὐθύνησιν, οἷς καθαρὰ τὰ τῆς καρδίας κρύφια. ἀπεκρίθη λέγων ὁ Ἰησοῦς· τί πάντες ἑαυτοὺς τὸ τοῦ προδότου συκοφαντεῖτε ἐγχείρημα; (Ματθ. κϛ. κγ.) Ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. ἄκων ὑποδεικνύει ἑαυτὸν περὶ τοῦ * * δράματος λέγειν. κἂν μὴ θέλω, τὸ ὄνομα κρατεῖται τέως ὑπ' ἐμοῦ, ἕως ἂν εἴπῃ ἐφ' ὑμῶν τὰ ὑπ' αὐτοῦ κατ' ἐμοῦ μελετώμενα. ἀποκριθεὶς δέ, φησιν, ὁ Ἰούδας, ὁ παραδιδοὺς αὐτόν,

ἢ ὀίστρ. ἢ ...

τόν, εἶπε· μήτι ἐγώ εἰμι, ῥαββί; λέγει αὐτῷ, σὺ εἶπας. ἠλευθέρωσας τοὺς ἕνδεκα, τὴν παρὰ σοῦ παρασπονδουμένων τούτους ἀθώους ποιήσας. δέχου καὶ ἄλλην κατάκρισιν, ὧν μέλλεις πράττειν φιλαργυρίᾳ. Ἐσθιόντων δὲ αὐτῶν, φησί, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ, καὶ εἶπε· λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. καὶ λαβὼν τὸ ποτήριον, εὐχαριστήσας ἔδωκε λέγων, λάβετε, πίετε ἐξ αὐτοῦ πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. λάβετε ἐξ αὐτοῦ πάντες. καὶ σύ, φησίν, ὁ προδότης τῆς αἰωνίου μετάσχου ζωῆς. καὶ ἐὰν μὲν ἐμμείνῃς ἐν αὐτῇ, τὰ πρὸς Ἰουδαίους συγκεχώρηταί σοι σύμφωνα· ἐὰν δὲ τὸ ἑαυτοῦ [μὴ] ἀνατρέψῃς ὁρμήν, ἴσθι εἰδὼς ὁποῖον δεσπότην πιπράσκεις φιλάνθρωπον. ὁ δὲ τῆς δεσποτικῆς εὐσπλαγχνίας μὴ ἀναγόμενος, πρὸς Ἰουδαίους δραμὼν ἄγει εἰς ἔργον τὸ μελετηθὲν κατηπείγετο. Καὶ ἰδού, φησίν, Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων· ὃν ἐὰν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν· τοῖς ἐμοῖς προσέχετε χείλεσιν· ἄλλως γὰρ ὁ λόγος παραδοθῆναι οὐ δύναται. Καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπεν αὐτῷ· χαῖρε, ῥαββί, καὶ κατεφίλησεν αὐτόν. ὢ φιλήματος, οἰκουμενικῆς εἰρήνης ἀναίρεσις, μᾶλλον δέ, φιλαληθῶς εἰπεῖν, τοῦ κοσμικοῦ πολέμου κατάλυσις· καὶ εἰ μὴ τούτῳ ἀκολουθῶν τῷ σκοπῷ ὁ Ἰούδας τὴν προδοσίαν ἐτόλμησεν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, ἑταῖρε, ἐφ' ᾧ πάρει; ἐμοὶ τὸ φίλημα δέδωκας, τοὺς παρεστῶτας τὰ σύμφωνα πληροῦσι. τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν, καὶ ἐκράτησαν αὐτόν. ἀπῆλθεν ὁ προδότης τῶν ἀποστόλων ἀλλότριος, καὶ ὁ τῆς ζωῆς ἀρχηγὸς τοῖς Ἰουδαίοις προσηνέχθη εἰς θάνατον· κατεσκευάσθη σταυρός, καὶ τάφος οἰκοδομεῖται εἰς ζωήν· οἱ νεκροὶ ἐπανέρχονται, καὶ εἰς ᾅδην Ἰούδας πορεύεται· σταυροῦται μετὰ λῃστῶν ὁ σωτήρ, καὶ πάντας καλεῖ πρὸς παράδεισον. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ματθ. κϛ΄ κϛ΄. Ματθ. κϛ΄ μζ΄. Ματθ. κϛ΄ ν΄.

ΕΙΣ ΤΗΝ ΕΝΑΝΘΡΩΠΗΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ Ἰησοῦ Χριστοῦ.

Λογ. κδ΄. Ex Ms. Regio Lut.

Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην, ὁ μελῳδὸς ἐμαρτυρήσατο Δαβίδ. οὐκ ἐξ οἰκείας φύσεως ἐμαρτύρατο, ἀλλ' ἐξ ἁγίου πνεύματος τοῦ Θεοῦ ἐκελάδησεν· οὐχ ἁπλῶς ἐμνημόνευσεν, ἀλλὰ καὶ σοφῶς ὁ Δαβὶδ ἐλιτάνευσεν· οὐκ ἀπὸ χειλέων μόνον ἐμέμνητο, ἀλλὰ καὶ ἡ καρδία ἐδίδαξεν· οὐκ ἐν νυκτὶ ἢ ἡμέρᾳ ἐπελανθάνετο ὁ Δαβίδ, ἀλλὰ καὶ ταῦτα αὐτῶν κατὰ πᾶσαν ὥραν ἐμέμνητο. καὶ ἵνα μάθῃς ὅτι ἀλήθειαν καὶ οὐ ψεῦδος διαγράφομεν, ἀπ' αὐτῆς τῆς ἐγγράφου ἱστορίας τὰς μαρτυρίας τοῦ ἁγίου πνεύματος τευγήσωμεν. Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην, εἶπεν ὁ Δαβίδ. καὶ θέλεις γνῶναι ἀληθῶς, ὅτι καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἐμέμνητο ὁ Δαβὶδ τοῦ Θεοῦ, καὶ μνημονεύων ηὐφραίνετο; μετὰ πολλῆς φιληκοΐας πρόσεχε τὰ λεγόμενα. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Μεσονύκτιον ἐξεγειρόμην τοῦ ἐξομολογήσασθαί σοι, Κύριε. Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. Ἑσπέρας, καὶ πρωΐ, καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ. Ὁ Θεός, ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω. καὶ πάλιν, Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. ὁρᾷς ὅτι οὐκ ἔστιν ὥρα ἀργή, ἐν ᾗ ἐπελανθάνετο; οὐκ ἑωθινή, ἢ νυκτερινή. Εἴγε θέλεις μαθεῖν ἀληθῶς, ὅτι οὐχ ἁπλῶς ἐμνημόνευσε τοῦ Θεοῦ ὁ Δαβίδ, ἀλλὰ μετὰ συνοχῆς καρδίας, ἄκουε· Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας. καὶ ἵνα πασῶν τῶν ὡ-

ρῶν

Ψαλ. οϛ΄ γ΄. Ψαλ. ριη΄ νε΄. Ψαλ. ριη΄ ξβ΄. Ψαλ. ξβ΄ ζ΄. Ψαλ. ιδ΄ ιθ΄. Ψαλ. ξβ΄ α΄. Ψαλ. ϟα΄ β΄. Ψαλ. ρκθ΄ α΄.

ρῶν πέρας ἐπάγει ὁ Δαβίδ, εἶτα λέγει, Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε; ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν. ἰδοὺ ὡς ὅλην τὴν ἡμέραν μελετῶν τὰ λόγια Κυρίου, καὶ μεμνημένος τοῦ Θεοῦ παρ' ἕκαστα, ποίας ἀπέλαβε χάριτος ἀξίωμα· ἆρα ἐπὶ γῆς τὰς ἀμοιβὰς ἐκαρπώσατο; οἶμαι καὶ * αὐτὸν διαπρέποντα καὶ βασιλεύοντα [ἐπιγείως]· ὧδε τοὺς ἐχθροὺς ὑποτάττοντα, κἀκεῖ τοῖς ἀγγέλοις ἐπιτάττοντα· ὧδε τῆς ἐπιγείου βασιλείας τὴν πορφύραν φορέσαντα, καὶ ἐκεῖ τῆς ἐν οὐρανῷ βασιλείας τὴν δόξαν ἀπαστράψαντα· ὧδε τῆς εὐφωνίας τὰς φωνὰς καταλάμψαντα [τοῦ ἁγίου πνεύματος], κἀκεῖ τῆς πολυαρέτου σοφίας τὰς μαρμαρυγὰς καταυγάσαντα. καὶ ταῦτα μὲν μερικῶς ὑπογράφομεν. τούτων δὲ πάντων τὸ κρεῖττον ἐκληρώσατο. ὡς γὰρ εἶδε τὸ πνεῦμα τὸ ἅγιον συνεχῶς τὸν Θεὸν παρὰ τοῦ Δαβὶδ ὑμνούμενον ἐπὶ γῆς, λοιπὸν εἰς οὐρανοὺς * [τὸ ἅγιον πνεῦμα] ἐχώρησεν εἰς πρεσβείαν λέγον· Κύριε, ἐφ' ἑκάστης ὁ Δαβὶδ μνημονεύει σου, καὶ μνημονεύων εὐφραίνεται· καὶ αὐτὸς αὐτοῦ μνήσθητι, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ λέγει· μνήσθητι, Κύριε, τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. λοιπὸν ἀποκρίνεται ὁ φιλάνθρωπος Θεός· ἐπειδὴ συνεχῶς καὶ συνετῶς μνημονεύει μου ὁ Δαβὶδ, κἀγὼ ἐπὶ πάντων κηρύξω τὴν ἐμὴν πρὸς ἐκεῖνον διάθεσιν. ἀγάπην παρ' ἁγίοις καὶ ἀγγέλοις καὶ δυνάμεσιν αὐτῷ μεγαλύνω [ἐπὶ τῆς γῆς]. τί λέγων; Ηὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἄνδρα κατὰ τὴν καρδίαν μου, καὶ πρωτότοκον, θήσομαι αὐτὸν ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. τοῦτο δὲ εἰπὼν ἑαυτὸν ἐδογμάτισεν ὁ Δαβίδ. ὁρᾷς ὅτι μέγα κέρδος γίνεται τῷ ἀνθρώπῳ τὸ μνημονεύειν τοῦ Θεοῦ; ἐμνήσθην τοῦ Θεοῦ, εἶπεν ὁ Δαβὶδ, καὶ ηὐφράνθη ἡ καρδία μου. αἱ μὲν γὰρ ἄλλαι εὐφρασίαι διὰ τοῦ στόματος εἰσέρχονται, καὶ διὰ τοῦ ἀφεδρῶνος μεθοδεύονται· ἡ δὲ τοῦ Θεοῦ εὐφρασία, ὡς πηγὴ μελίρρυτα ῥήματα τὴν καρδίαν εὐφραίνει, ὥστε λέγειν τὸν ψαλμῳδόν, Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου; ὑπὲρ μέλι τῷ στόματί μου. ὁ γὰρ τοῦ Θεοῦ μνημονεύων πάντα τὰ ἀγαθὰ τῆς εὐφροσύνης ἔχει ἐν τῇ καρδίᾳ φωλεύοντα. ἐκεῖ πηγὴ βρύουσα ἀγαθά, ἐκεῖ μέλι καὶ κηρίον καὶ λύχνος ἁπτόμενος· ἐκεῖ θησαυρὸς κρυπτόμενος τῆς ἁγίας τριάδος. λοιπὸν ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ ἅγιον πνεῦμα ἔρχονται, καὶ μονὴν παρ' αὐτῷ λαμβάνουσι, καὶ λοιπὸν οὐκ ἔτι γίνεται ἄνθρωπος κατηχούμενος, ἀλλ' ἄγγελος θεοφορούμενος. ἐπειδὴ οὖν τοιαύτης χάριτος κατηξίωται ὁ ἄνθρωπος, καὶ τοιαύτης εὐφρασίας ἀπολαύσας ηὐφραίνετο ὁ Δαβίδ, καὶ ἡμεῖς τῆς τοῦ Θεοῦ εὐφρασίας ἀπολαύοντες συνεχῶς μνημονεύσωμεν τοῦ Θεοῦ, ἵνα τῶν αὐτοῦ ἀγαθῶν ἀπολαύσωμεν· φέρε οὖν τῆς παρουσίας τοῦ σωτῆρος τὰς ἀρετὰς μεταλλεύσωμεν, καὶ τὴν ἐπίγειον αὐτοῦ παρουσίαν ὡς στήλην πολυάρετον ἀνυμνήσωμεν· ἐπειδὴ ἤκουσα παρὰ τῆς γλώττης τῶν παρανόμων Ἰουδαίων βλασφημίας τικτόμενα, καὶ ἐπειδὴ ἀπιστοῦσι τὰς γραφάς, ἃς ἀναξίως ἀναγινώσκουσι, καὶ οὐ γινώσκουσι τὸ μυστήριον. τὸ γὰρ ὅτι ἐκ παρθένου ἐτέχθη ὁ Κύριος, ἐν αὐτῷ σκανδαλίζονταί, φησιν, οἱ ἄθλιοι καὶ παμπόνηροι. ὢ τῆς ἀνοίας, ὢ τῶν παρὰ φύσιν παρανόμων. ποία γραφὴ, ἢ ποῖος προφήτης οὐ σαλπίζει τοῦ Κυρίου ταύτας τὰς χάριτας; πρῶτος τὴν παρθένον ὁ Σολομῶν ἐμακάρισεν, ὁ τῆς μεγάλης σοφίας ἡνίοχος, λέγων· Μακαρία ἡ στεῖρα ἡ ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι. στεῖραν γὰρ λέγει περὶ τοῦ ἐπισκηνῶσαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ περὶ τοῦ ἀνθῆσαι τὸν ἥλιον. οὐκ ἔγνω κοίτην ἐν παραπτώματι, ὅτι μετὰ ἀνδρὸς οὐχ ὡμίλησεν. ὅτε δὲ ἤκουσε περὶ τῆς ἀμιάντου στείρας Ἡσαΐας ὁ τίμιος· εὐθὺς τοῦ σοφοῦ τὸ ῥητὸν ἐπαρρησιάσωσε, καὶ τῷ αὐτῷ ἐμελῴδησε· σύ, φησιν, εἶπας στεῖραν ἀμίαντον, κἀγὼ λέγω, Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα· ἕως γὰρ νῦν οὐκ ἔτεκες· ἀπὸ τοῦ νῦν εὐφράνθητι, ὅτι ὃν οὐ χωροῦσιν οἱ οὐρανοί, δέξασθαι * κατηξίωσαι. ὡς δὲ οἱ δύο μάρτυρες ταῦτα ἐκήρυττον, ἐζήτουν καὶ ἄλλον ἕτερον μίξαι εἰς τὸ μυστήριον, ἵνα ἐπὶ τριῶν μαρτύρων σταθῇ ἀσφαλὲς τὸ ζητούμενον. ὡς δὲ ταῦτα διενοοῦντο, ἐκάθευρεν εὗρον Δαβὶδ τῆς μελῳδίας τὸν ῥήτορα, καὶ ὑπομιμνήσκουσιν αὐτὸν τῆς οἰκονομίας

[Left margin notes:] α. Βασ. ιϛ. ιδ. — Ψαλ. πη. κθ. — Ψαλ. ριη. ϛϛ. — Σοφ. γ. ιγ. — Ησ. νδ. α.

τὰ μέλλοντα. ὡς δὲ ἤκουσε τὸ μυστήριον, σάλπιγγος φωνὴν ἀντεφώνησεν· ἰδοὺ ἐχάρημεν περὶ
τῆς σείρας εἰρήκατε. διὰ τί οὐκ εἰρήκατε περὶ τῆς ἐνδόξου κυήσεως; εὐθέως νοήσας Ἡ-
σαΐας τὸ φρόνιμον, ἀντιβάλλει τοῖς ῥήμασιν· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται　　Ἡσ. ζ. ιδ.
υἱόν. καὶ ὁ Σολομὼν ἐδευτέρωσεν, Ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν. ταῦτα ἀκούσας Δα-　　Σοφ. γ. ιε.
5 βὶδ ἔφησε πρὸς αὐτούς· ἰδοὺ εἰρήκατε ὅτι τέξεται· ἐν ποίῳ τόπῳ; ἐν πόλει, ἢ ἐν ἐρήμῳ,
ἢ ἐν χώρᾳ; λέγουσι πρὸς αὐτόν· σὺ περὶ τοῦ τόπου καὶ τῆς πόλεως ἑρμήνευσον. περισσοτέ-
ρας γὰρ χάριτος ἠξίωσαι. τότε Δαβὶδ, τοῦ πνεύματος εἰπόντος αὐτῷ τὴν ἐνέργειαν, με-
γαλοφώνῳ κραυγῇ ἐστηλίτευσε τὸ μυστήριον· ὑμεῖς, φησιν, ἐν κρυφῇ διηγεῖσθε· ἐγὼ ὑψη-
λῇ τῇ φωνῇ ἀνυμνήσω τὴν κύησιν. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν　　Ψαλ. ρλα. ς.
10 ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. καὶ συνεὶς ἐπὶ τούτοις τοῖς δόγμασιν, ὅτι βαθὺ τὸ αἴνιγμα, ἐζω-
γράφησεν· ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ,
τουτέστιν, ἐν Βηθλεέμ. Ἐφραθὰ γὰρ ὀνομάζεται. ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, ὅτι ἔγ-
κυός ἐστιν. ἐκεῖ γὰρ ἐξῆλθεν ἡ ἀκοὴ, ὅτι ἔγκυός ἐστιν ἡ παρθένος. τότε δὲ εὕρομεν αὐτὴν ἐν
τοῖς πεδίοις τοῦ δρυμοῦ, εἰς τὸ σπήλαιον, ὅπου τὸ φῶς ἐφημέρωσεν. ὧδε ἠκούσαμεν αὐτὴν
15 ἔγκυον, ὧδε περὶ ἀνδρὸς ἄπειρον ἐδεξάμεθα. ἐκεῖ μητέρα τοῦ Κυρίου εὑρήκαμεν. ἰδοὺ ἐκ
τῶν σῶν τέκνων σοι παρεστήσαμεν μάρτυρας τὴν δόξαν τῆς παρθένου κηρύττοντας· οὐχ ὅτι μόνον
τούτους εὑρήκαμεν (ἅπαντες γὰρ αὐτὸν τὸν προφῆται ἑωρακότες ἐλπίζουσι) ἀλλ' ἐπὶ
πλειόνων μαρτύρων ἵστασθαι τὸ δίκαιον. ἐγὼ δὲ ἐπὶ τῶν πλειόνων οὐ πρακτεύω· ἀλλὰ δός μοι ἕνα　　* *
πιστότατον μάρτυρα λέγοντα ψεύδεσθαι τὸ μυστήριον, ἢ ἐξ ἀνδρὸς ἀποκυῆσαι τὴν παρ-
20 θένον· ἢ τοῦτο ἀπόδειξον, ἐπιστρέψας ὡς θεοτόκον προσκυνήσον· ἢ δεῖξον τὸν σωτῆ-
ρα ἐν τάφῳ καὶ σορῷ κατεχόμενον, ἢ ἐγώ σοι δεικνύω ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμενον.
οὐ γὰρ ἐξ ἀλλοφύλων, ἀλλ' ἐκ τῶν σῶν γονέων προσφέρω τὸν μάρτυρα λέγοντα· Εἶπεν ὁ Κύριος　　Ψαλ. ρθ. α.
τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·
περὶ τῶν Ἰουδαίων λέγει. οὐ γὰρ ἄλλος ἐστὶν ἐχθρὸς, εἰ μὴ ὁ σταυρὸν ἀρνούμενος. ἀλλ'
25 ἐγὼ ἐάσας τὴν θεομάχον συναγωγὴν πρὸς τὴν θεόπνευστον ἐκκλησίαν συνέρωμαι. ἐ-
άν σοι εἴπῃ Ἰουδαῖος, εἰπὲ πῶς ἐγέννησεν ἡ παρθένος δίχα ἀνδρὸς, εἰπὲ αὐτῷ καὶ σύ· πῶς
ἔτεκε τὴν Εὔαν ὁ Ἀδὰμ δίχα γυναικός; πῶς ἔτεκεν ἡ παρθένος δίχα σπορᾶς; πῶς ἐξεβλά-
στησεν ἡ γῆ δίχα σπέρματος; πῶς ἐγέννησεν ἡ παρθένος; πῶς ἔβρυσεν ἡ παρθένος τὸ ὕδωρ ἡ ἀ-　　Δατ. π. ιε.
κρότομος; πῶς ἔτεκεν ἡ παρθένος; εἰπὲ πῶς τοῦ Ἀαρὼν ἡ ῥάβδος ἐβλάστησε; πῶς ἔτεκεν ἡ
30 παρθένος; εἰπὲ πῶς οὐρανόθεν τὸ μάννα; πῶς ἐπληθύνετο ἡ ὑδρία; πῶς ἐκ τῆς ῥίζης Ἰεσ-
σαὶ ἐβλάστησε τὸ ἄνθος; πῶς Ἐλισσαίου τὸ ἔλαιον ἔβρυσεν εἰς τοὺς κεράμους; πῶς ἐγέννησεν
ἡ παρθένος; εἰπὲ πῶς ἐπὶ Γεδεὼν ὁ πόκος ἀπέλυσε δρόσον; εἰπὲ πῶς ἐπὶ τοῦ Σαμψὼν
τὸ ὀστέον ἔβρυσε τὸ ὕδωρ; εἰπὲ πῶς ἐφύλαξεν ἡ κάμινος τοὺς παῖδας; εἰπὲ πῶς ἐπὶ
Μανωὲ ἀνήφθη ἡ πέτρα δίχα ὕλης; εἰπὲ πῶς ἐκαίετο ἡ βάτος, καὶ οὐ κατεκαίετο; εἰπὲ
35 πῶς οὐ κατεφλέχθη Ἠλίας ἐν τῷ ἅρματι τῷ πυρίνῳ; εἰπὲ πῶς ὁ Μωϋσῆς εἰσ-
ῆλθεν εἰς τὸν γνόφον, καὶ πάλιν ἐξῆλθε; πῶς ἐγέννησεν ἡ παρθένος; πῶς Ἡσαΐας
τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου ἐθεάσατο; εἰπὲ πῶς Δανιὴλ ἐφα-
νέρωσε τὸ κεκρυμμένον ἐνύπνιον τῷ Ναβουχοδονόσωρ; πῶς Ἰεζεκιὴλ ἐφ' ἅρματος χερουβὶμ
καθήμενον εἶδε τὸν ἀόρατον; πῶς ἔτεκεν ἡ παρθένος; πῶς Ἱερεμίας ἐκ μήτρας ἡγιάσθη
40 προφήτης; εἰπὲ πῶς τὰ νεκρὰ τοῦ προφήτου ὀστᾶ τὸν νεκρὸν ἤγειραν τότε; εἰπὲ πῶς ἡ
ἐρυθρὰ ἐπετρώθη ῥάβδῳ; εἰπὲ πῶς ὁ Ἰορδάνης ἀνεπόδισε τὸ ῥεῦμα; εἰπὲ πῶς τὰ δένδρα
τοὺς καρποὺς ἐγκυμονοῦσι; εἰπὲ πῶς ἡ ἄμπελος φέρει τὸν βότρυν; εἰπὲ πῶς ἐγέννησεν ἡ νὺξ
τὴν ἡμέραν; πῶς ἐγέννησεν ἡ παρθένος; εἰπὲ πῶς ὁ φωστὴρ τοῦ ἡλίου θερμαίνει τὸν κόσμον;
εἰπὲ πῶς ὁ οὐρανὸς τοὺς ἀστέρας ἐκφαίνει; καὶ ἐπὶ τούτων εἰσὶ μυστήρια ἄρρητα, κεκρυμ-
μένα

* * μένα καὶ ἀκατάληπτα ἐν οὐρανοῖς. εἰ ταῦτά μοι ἑρμηνεύσῃς ὁ τῶν Ἰουδαίων ἐκσκέπτωρ,
εἴδω ὅτι καταλαμβάνεις καὶ τὴν κύησιν τῆς παρθένου. ἀλλὰ σὺ μὲν ὅτειος εἶ κἀκείνων καὶ
τούτων τῶν μυστηρίων· ἡμεῖς δὲ καὶ ταῦτα φιλοσοφοῦμεν, κἀκεῖνα πιστεύομεν. ἑρμήνευσον τοὺς
προφήτας, καὶ βλέπε τῆς παρουσίας τοὺς ῥήτορας. στεφανούσθω τὸ κήρυγμα. ὅσα ἐποίησε,
καὶ ἔπαθε, ταῦτα οἱ προλαβόντες πρὸ τοσούτων γενεῶν ἐζωγράφησαν. πρῶτος ἱκετεύει 5
(Ψαλ. ρμγ. ε.) Δαβὶδ· Κύριε, κλῖνον οὐρανούς, καὶ κατάβηθι. καὶ ἐπιτυχὼν τῆς αἰτήσεως εὐαγγελίζεται καὶ
(Ψαλ. ιζ. ια.) λέγει· Ἔκλινεν οὐρανούς, καὶ κατέβη. καὶ ἐπειδὴ ὡς παιδίον εἶχε φανῆναι, λέγει Ἡσαΐας, Παι-
(Ησ. θ. ς.) δίον ἐγεννήθη ἡμῖν. ὅτι δὲ ἤμελλεν αἴρειν αὐτὸν ἡ μήτηρ αὐτοῦ καὶ φεύγειν εἰς Αἴγυπτον, Ἰδοὺ ὁ Κύ-
(Ησ. ιθ. α.) ριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύ-
πτου. νεφέλην κούφην εἰκότως ὁ λόγος τὴν παρθένον ἐκάλεσεν, ὅτι ἀνθρωποποιοῦ σπέρ- 10
(Ιερ. ιβ. ε.) ματος βάρος οὐκ ἐδέξατο. ὅτι δὲ ἤμελλεν ἐν Ἰορδάνῃ βαπτίζεσθαι, λέγει Ἱερεμίας· Πῶς
ποιήσῃς ἐν φρυάγματι τοῦ Ἰορδάνου; καὶ τί κατ' εἶδος ἀριθμοῦμεν; φέρε δὴ ὅλας ὁμοῦ τὰς
(Μαλ. γ. α.) προφητείας εἰς ἕνα φωστῆρα "συνεχόμενος." περὶ τῆς ἑρμηνείας Γαβριὴλ" λέγει, Ἰδοὺ
ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.
(Ψαλ. πδ. ια.) καὶ περὶ τῆς τοῦ Χριστοῦ ἀπαντήσεως καὶ τοῦ Βαπτιστοῦ Δαβὶδ λέγει, Ἔλεος καὶ ἀλήθεια συνηντή- 15
(Ψαλ. πδ. ια.) σαν· καὶ περὶ τοῦ ἀσπασμοῦ τῆς Ἐλισάβετ πρὸς τὴν ἁγίαν καὶ ἁγνὴν θεοτόκον, Δικαιο-
σύνη καὶ εἰρήνη κατεφίλησαν. καὶ πάλιν περὶ τοῦ Ἰωάννου καὶ περὶ τοῦ Κυρίου λέγει· Ἀλή-
θεια ἐκ τῆς γῆς ἀνέτειλεν, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψε. καὶ περὶ τῶν ἀποστόλων λέγει·
(Ψαλ. ς. ζ.) Ἐγὼ εἶπα, θεοί ἐστε. καὶ περὶ τῆς μαρτυρίας τῆς ἄνωθεν Δαβὶδ λέγει· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον
(Ψαλ. ρζ. κ.) γεγέννηκά σε. καὶ περὶ τῶν νοσούντων λέγει· Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς. καὶ 20
(Ησ. νγ. δ.) περὶ τῶν ἁμαρτωλῶν λέγει· Αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει· καὶ περὶ τῶν ἐγερθέντων νε-
(Ησ. κς. ιθ.) κρῶν, Ἀναστήσονται οἱ νεκροί· καὶ περὶ τῶν κατεχομένων ψυχῶν, Καὶ οἱ ἐν σκότει καθή-
(Ησ. θ. β.) μενοι, φῶς ἀνέτειλεν ὑμῖν. καὶ περὶ τοῦ Καϊάφα καὶ Ἡρώδου λέγει· Ἄρχοντες λαῶν συνή-
(Ψαλ. μς. θ.) χθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ. καὶ περὶ τοῦ Ἰούδα, Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ'
(Ψαλ. μ. ι.) ἐμὲ πτερνισμόν· καὶ περὶ τῆς συναγωγῆς τῶν Ἰουδαίων καὶ ἀρχιερέων, Ἥξει Κύριος εἰς κρί- 25
(Ησ. γ. ιγ.) σιν μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ· καὶ περὶ τοῦ σταυροῦ, Δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν
(Ιερ. ια. ιθ.) ἄρτον αὐτοῦ· καὶ περὶ τοῦ λῃστοῦ τοῦ ἐκ δεξιῶν, Δεξιὰ Κυρίου ἐποίησε δύναμιν· καὶ περὶ τοῦ
(Ψαλ. ριζ. ις.) τάφου, Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ· καὶ περὶ τοῦ στεφάνου τοῦ ἐξ ἀκανθῶν, Ἡ ἄμπε-
(Ψαλ. πζ. ς.) λός μου ἀντὶ βοτρύων ἀκάνθας ἐβλάστησε· καὶ περὶ τοῦ πειρασθῆναι ὑπὸ τοῦ πονη-
(Ψαλ. νδ ιβ.) ροῦ, Ἐχθρὸς ὠνείδισε τὸν Κύριον· καὶ περὶ τοῦ κληθῆναι υἱὸν ἀνθρώπου, Καὶ ἐπὶ υἱὸν ὃν ἐ- 30
(Ψαλ. οθ ις.) κραταίωσας ἑαυτῷ· καὶ περὶ τῆς ταφῆς αὐτοῦ, Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς
(Ησ νγ. θ.) αὐτοῦ· καὶ περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου, Ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς, Κύριε; καὶ περὶ
(Ψαλ. μγ κγ.) τῆς ἀναλήψεως αὐτοῦ, Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ· καὶ περὶ τῆς ἄνω καθέδρας, Κάθου
(Ψαλ. μς ς.) (Ψαλ. ρθ α.) ἐκ δεξιῶν μου. καὶ τί πολλὰ λέγω; ὅλας γὰρ τὰς προφητείας οὐδὲ οἱ ῥήτορες
ἐξαγγέλλουσι τὰς περὶ τῆς χάριτος τοῦ Χριστοῦ ᾀδομένας. θέλεις γνῶναι "καλῆς ἱστορίας ἀ- 35 (ἴσ. παλαιᾶς)
σφάλειαν; ὅτι [περὶ] τὴν καινὴν διαθήκην ἡ παλαιὰ ἐζωγράφησε, καὶ τὰ ὧδε οἰκονομού-
μενα, ἐκεῖ * σκιογραφούμενα; βλέπε μοι αὐτὸν ἐκεῖ εἰς τὴν σκηνὴν τοῦ Ἀβραὰμ μετὰ (* ἴσ. ὧ)
δύο ἀγγέλων παραγενόμενον, καὶ ὧδε μετὰ δώδεκα μαθητῶν εἰς τὸν οἶκον Ζακχαίου εἰσερ-
χόμενον· βλέπε μοι αὐτὸν ἐκεῖ δύο ἀδελφοὺς εἰς ἱερωσύνην καλέσαντα, καὶ ὧδε δύο ἀδελ-
φοὺς εἰς ἀποστολὴν ἐκλεξάμενον. Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Πέτρος καὶ 40
Ἀνδρέας ἐν τοῖς ἀποστόλοις αὐτοῦ. βλέπε μοι αὐτὸν ἐκεῖ τὸν υἱὸν τῆς χήρας διὰ Ἠλίου
ἐγείραντα, καὶ ὧδε τῆς χήρας τὸν μονογενῆ δι' ἑαυτοῦ ἐγείραντα· ἐκεῖ δι' Ἐλισσαίου τὸν Νεεμὰν
καθαρισθέντα, καὶ ὧδε δι' ἑαυτοῦ τὸν λεπρὸν" ἀπολύοντα· ἐκεῖ τὴν Μαριὰμ ἀδελφὴν (ἴσ. ἐπιλ...)
τῶν ἁγίων προφητῶν ἐμβιβάζουσαν, καὶ ὧδε τὴν αὐτὴν προσηγορίαν ἀδελφῆς τῶν ἁγίων
ἀποστόλων

ἴσ. συνέχ... ἴσ. περὶ τ... στολῆς τ... ἴσ. λέγ... Μαλαχίας

ἀποστόλων ἐπονομάσαντα· ἐκεῖ ἐκ τῶν προφητῶν τέσσαρας μεγαλυνόμενα, καὶ ὧδε τὸν ἀριθμὸν τέσσαρας εὐαγγελιστὰς σεμνύνοντα. ἐκεῖ δώδεκα προφήτας ἑτέρους ἐτύπωσε, καὶ ὧδε δώδεκα τὸν ἀριθμὸν ἀποστόλους ἐκάλεσεν. ἐκεῖ τοῖς μεγάλοις προφήταις ὑπουργοὺς ἀνέδειξε, καὶ ὧδε τοῖς ἀποστόλοις ἑβδομήκοντα ** Θαδδαῖος ἐτύγχανε. τοίνυν ὁ θεραπεύσας τὸν Αὔγαρον. ἐκεῖ Ἰησοῦς ὁ τοῦ Ναυὴ τοὺς βασιλεῖς τῆς Παλαιστίνης ἐπαίδευσεν, * * ὧδε Ἰησοῦς ὁ ἀληθινὸς Θεὸς τοὺς βασιλεῖς τῆς οἰκουμένης ἐδόξασεν. ἐκεῖ δώδεκα πηγαὶ ἐν Ἐλεὶμ βρύουσιν, ὧδε δώδεκα μαθηταὶ ἐκ τοῦ ἡλίου τῆς δικαιοσύνης βάπτισμα πηγάζουσιν. ἐκεῖ ἑβδομήκοντα στελέχη φοινίκων ἀνεμετρήθησαν, ὧδε ἑβδομήκοντα μαθηταὶ τῶν ἀποστόλων ἐβλάστησαν. ἐκεῖ τὸ πικρανθὲν ὕδωρ ξύλον ἐγλύκανε, καὶ ὧδε τὸ πικρότατον τῶν ἁμαρτιῶν εἰς γλυκεῖαν χαρισμάτων πηγὴν τοῦ σταυροῦ τὸ ξύλον μετέβαλεν. ἐκεῖ ἡ σκηνὴ τοῦ μαρτυρίου ἡγιάσθη, ὧδε ἡ σκηνὴ τοῦ παστοφορίου ἐδοξάσθη. ἐκεῖ Δαβὶδ ἐμελῴδησε τοὺς ὕμνους, καὶ ὧδε Παῦλος ἐκελάδησε τὰς διδασκαλίας· ἐκεῖ Ἠλίας ἐκ τῶν προφητῶν ἀνεδείχθη παρθένος, καὶ ὧδε ὁμοίως Ἰωάννης ἐκ τῶν ἀποστόλων παρθένος. ἐκεῖ Ἠλίας ἐν τῷ ἅρματι ἐκάθισε τῷ πυρίνῳ, καὶ ὧδε Ἰωάννης ἐπὶ τὸ στῆθος ἀνέπεσε τοῦ Κυρίου. Ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν. ἐκεῖ τρεῖς ἀνεδείχθησαν μεγάλοι, ἔχοντες τοῦ σωτῆρος τὸ ὄνομα, τῆς ἐνδόξου τριάδος δηλοῦντες τὸν χαρακτῆρα. οἱ τρεῖς ἅγιοι δυνατοί (οὐ γὰρ ἁπλῶς ἦσαν τῶν τυχόντων, οὐδὲ τῶν ἀγνώστων) Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ ὁ μέγας ἐν ἱερεῦσιν· ἔπειτα οἱ τρεῖς ἀξιόπιστοι μάρτυρες τὸν ὑπογραμμὸν σεμνύνουσι τῆς ἁγίας τριάδος. ἕλκεται δέ μου ἀληθῶς ἡ διάνοια καὶ εἰς ἑτέραν ἐκπηδῆσαι, εἰς σωτήριον πίστιν. οὐ γὰρ ἀφίσταμαι τοῦ προφήτου λέγοντος, Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην, ὃν ἡ πολυάρετος σοφία ἐν τοῖς ᾄσμασιν ἀνακηρύττει. Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε, διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματα. ἆρα τίς ἐστιν ὁ βορρᾶς, ἢ ὁ νότος; ἢ τίς ἐστιν ὁ κῆπος; ἢ τίνα τὰ ἐν τῷ κήπῳ φυτά; ἢ τίνα τὰ ἀρώματα τὰ ῥέοντα; ἐγὼ τοῦτο εἶναι οἶμαι, ὡς ἑρμηνεύει ἡ γραφή, βορρᾶν εἶναι τὴν ἁγίαν παρθένον· νότον, τὸν σωτῆρα τοῦ κόσμου· φυτά, τοὺς ἁγίους μάρτυρας, καὶ ἀποστόλους· πηγὴν ἀρδεύουσαν τὸν κῆπον, τὸ βάπτισμα τοῦ σωτῆρος· φύλακα τοῦ κήπου, τοῦ σταυροῦ τὴν σφραγῖδα· ἀρώματα εἶναι, τὰ ἰάματα καὶ τὰ χαρίσματα τοῦ σωτῆρος. τοῦτο οὖν ἐστιν, ἐξεγείρου βορρᾶ, τουτέστιν, ἡ παρθένος ἐκ τῆς Γαλιλαίας· καὶ ἔρχου νότε, δεῦρο, Χριστέ, ἐκ τοῦ οὐρανοῦ ἀπὸ μεσημβρίας, καὶ ἐμπνεύσον εἰς τὴν ἁγίαν παρθένον· διάπνευσον εἰς τὸν κόσμον, καὶ ἐξέγειρον τοὺς ἁγίους μάρτυρας, καὶ ἀποστόλους, καὶ ῥευσάτωσαν τὰ ἀρώματα ἐπὶ τοὺς ἀσθενεῖς καὶ πεπλανημένους. ταῦτα τὰ ἀρώματα εἰς διαφόρους πέπονται χάριτας, καὶ γίνεται τοῖς ἀσθενοῦσιν ὑγείας τεκμήριον, τοῖς πεπλανημένοις ἐπιστροφῆς ἔλεγχος, τοῖς ἁμαρτωλοῖς μετανοίας συνήγορος, τοῖς δικαίοις εὐρωστίας βοήθημα. πῶς οὖν ἐπαξίως ὀνομάσωμεν τῶν ἰαμάτων τὰ ἰάματα; τὴν ζωοποιὸν ἐλπίδα; τὴν ἐπίγειον ζωήν; τὴν οὐράνιον σωτηρίαν; πῶς ἐμβρίζετο ἡ γῆ, ὅτε ταῦτα ἔρρεον τὰ ἀρώματα; πῶς δὲ πάλιν ἡ γῆ ἔφερε τὰ ἴδια θυμιάματα; καὶ τῷ δεσπότῃ μετὰ φόβου προσφέρουσα ἔλεγε· σύ, φησι, δέσποτα, παρέχεις τὰ οὐράνια ἀρώματα, κἀγὼ τὰ ἐπίγεια τῶν θυμιαμάτων προσφέρω τῇ σῇ θεότητι. σύ, δέσποτα, μυρίζεις μου τὰ κάτω τοῖς ἁγίοις σου καὶ πολυαγράντοις ἴχνεσι, κἀγὼ μύρα σκιρτῶσα προσφέρω σοι. εἶτα ἐπ' ἀμφοτέροις τούτοις τοῖς ἅπασιν εὐφραινομένη ἡ γῆ πρὸς τὴν σύνδουλον ἅπασαν κτίσιν ἐβόα· δεῦτε, συνάχθητε πάντες οἱ ἔγγονοί μου, καὶ ἴδετε ἐπὶ γῆς τὸν ἐν οὐρανοῖς δοξαζόμενον· δεῦτε, βλέπετε ἐν ἀγκάλαις γυναικὸς βασταζόμενον, τὸν ἐπὶ τῶν χερουβὶμ καθεζόμενον· δεῦτε, ἴδετε γαλακτοτροφούμενον, τὸν ἐποχετεύοντα γάλα ταῖς θηλείαις· δεῦτε, ἴδετε ἐν γαστρὶ παρθένου χωρούμενον, τὸν ἐν οὐρανοῖς μὴ χωρούμενον· δεῦτε, ἴδετε παρὰ μητρὸς τροφὴν λαμβάνοντα, τὸν τὰ πάντα διατρέφοντα· δεῦτε, ἴδετε διδασκάλοις παραδιδόμενον, τὸν διδασκάλους παιδεύοντα· δεῦτε, ἴδετε ὑπὸ ἀνθρώπων πειραζόμενον, τὸν ὑπὸ ἀγγέλων δοξαζόμενον·

Ἑβρ. ιβ. κθ.

Ασμ. δ. ιϛ.

μένον· δεῦτε, ἴδετε εἰς τὸν οἶκον Ζακχαίου εἰσερχόμενον, τὸν ὑπεράνω τῶν οὐρανῶν καθεζόμενον· δεῦτε,
βλέπετε μετὰ τῆς Χαναναίας διαλεγόμενον τὸν ὑπὸ τῆς χερουβικῆς λειτουργίας αἰνούμενον·
δεῦτε, ἴδετε ὑπὸ γυναικὸς ἁμαρτωλοῦ συνερχόμενον τὸν ἐν δεξιᾷ τοῦ πατρὸς καθεζόμε-
νον· δεῦτε, ἴδετε τὸν ὑπὸ τῆς ἀσθενούσης γυναικὸς τοῖς κρασπέδοις ψαυόμενον, τὸν ὑπὸ
τῆς ἀσωμάτου φύσεως τῶν δυνάμεων προσκυνούμενον· δεῦτε, ἴδετε γεννηθέντα ὡς ἄνθρω-
πον, τὸν ὑπάρχοντα τῶν αἰώνων ποιητήν· δεῦτε, ἴδετε νηπιάζοντα τὸν πρὸ καταβολῆς κό-
σμου ὑπάρχοντα· δεῦτε, ἴδετε ὑπὸ ἀρχιερέων πειραζόμενον, τὸν ὑπὸ ἀγγέλων δορυ-
φορούμενον· δεῦτε, ὅλα τὰ κτίσματα τὸν κτίσαντα βλέποντα· καὶ ὡς ἔστιν ἡ ζωὴ ἐπὶ γῆς,
πάντες ζήσατε· δεῦτε, πάντες θεοφορήθητε· δεῦτε, μικροὶ μετὰ τῶν μεγάλων συνέλθετε,
οἱ πένητες μετὰ τῶν πλουσίων, οἱ δοῦλοι μετὰ τῶν κυρίων, οἱ ἁμαρτωλοὶ μετὰ τῶν δικαίων,
τὰ ἑρπετὰ καὶ τὰ τετράποδα μετὰ τῶν πετεινῶν, καὶ βλέπετε τὸν τὴν ζωὴν χαρισάμενον. οἱ
καιροὶ τοῦ χειμῶνος καὶ τοῦ φθινοπώρου ἀλλάγητε, καὶ παρὰ φύσιν καρποφορήσατε, καὶ τὰς ἐπι-
καρπίας ἑαυτῶν προσκομίσατε τῷ ἐγκυμονήσαντι ὑμᾶς εἰς καρπούς. πάντα ποιήσα-
τε, καὶ μυρίσατε τὴν θεότητα. ἢ τὰ ὑμέτερα προσαγάγετε θυμιάματα, ἢ παρ' ἐκείνου τρυ-
γήσατε τὰ ἀρώματα. ὡς δὲ ἐν πᾶσι τούτοις παρεωράθη τοῖς ἐγγόνοις ἡ γῆ, ἰδοὺ πάντα, καθὼς
εἶπε, συνέτρεχον, καὶ οἱ ἔρημοι τόποι ἐβλάστησαν, καὶ πολλὴν εὐωδίαν ἐδείξαντο· ἵνα τὴν
προφητείαν Ἡσαΐου τελέσωσι τὴν μελῳδήσασαν· Ἀγαλλιάσθω ἡ ἔρημος, καὶ ἀνθείτω ὡς *Ησ. λε. α.*
κρίνον, καὶ ὑλοχορτήσει καὶ εὐωδιάσει τὰ ἔρημα τοῦ Ἰορδάνου. τούτων οὕτω πραττομένων κα-
λῶς, λοιπὸν καὶ ἡ θάλασσα αὐτὴ ἐπεθύμησε τῆς εὐωδίας ἀπολαύειν, καὶ ἤρξατο δημοσιεύειν
ἑαυτὴν, καὶ τῇ γῇ λέγουσα ἀντέβαλλεν· καί μοι λοιπὸν τὸν Κύριον παραχώρησον. μὴ γὰρ μόνον
σός ἐστιν ὁ δεσπότης, ὅτι ὅλης αὐτοῦ παρεδέξω τῆς θεότητος τὴν χάριν, παρακάλεσον αὐτὸν ἐλθεῖν
πρὸς μέ· μήποτε ἐγὼ ἐρχομένη πρὸς αὐτὸν, ὅλον σου ἐξαφανίσω τὸ πρόσωπον. εἰ μὴ γὰρ
ἐπέγνων αὐτὸν, καὶ ἐδεδοίκειν τὸν ἐμὲ σφραγίσαντα καὶ πεδήσαντα ἀλύτοις δεσμοῖς, πάλαι ἂν
ἐλθοῦσα ἔκαμψά σου τὰ πέρατα. ἢ οὐκ ἔγνως, ὅτι προτιμοτέρα καὶ πρεσβυτέρα σου κε-
χώρηκα; πρὸ τοῦ γάρ σε φανῆναι, ἐγὼ ἐν ταῖς ἀβύσσοις ἐχόρευον. ἀπόδος μοι τὸν δεσπό-
την τὸν ἴδιον, καθὼς ὁ προφήτης εἶπεν, Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐ- *Ψαλ. ϟδ. ε.*
τήν· καὶ τότε ἐπήγαγε, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. σὺ οὖν ὕστερον ἐπλάσθης.
ἐξηραμμένη, μήτηρ κονιορτοῦ, ἀκόρεστε, καὶ τάφε νεκρῶν αἱμάτων, δολίων καὶ ἁμαρτημάτων οἶκος,
ἡ τυραννὶς τὴν πρεσβυτίδα σου, καὶ μόνη κατέχεις τὸν Κύριον; ἀπόδος μοι λοιπὸν αὐτὸν, ἵνα
πληρωθῇ τὸ εἰρημένον, Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου· ἀπόδος μοι τὸν ἴδιον πλαστουργὸν, ἵνα καὶ *Ψαλ. οϛ. ιθ.*
τοὺς ἐμοὺς κόλπους πληρώσῃ ἐν χάριτι. καὶ οὕτω συνεχομένη παρὰ τῆς θαλάσσης ἡ γῆ,
τῷ αὐτοῦ νεύματι, κοσμοφυσῶσα ἐπόμπευε λέγουσα· μὴ γάρ σου χείρων ὑπάρχω, ἐρε-
θισμένη, καὶ κεραυνωμένη, καὶ ἀστατοῦσα, καὶ συρίζουσα, ἐπικερρύντε, καὶ χολερὰς πόας ἡνίο-
χε, καὶ ἀχρησίμευτε βίου, ἁλμυρονάματε, καὶ δυσοδόχυτε, πορείαις δυσεπίβατε, καταιγίδος
σύμφυλε, τετραχυμμένη τοῖς λαίλαψιν· εἰ οἶδα, ὡς σὺ ἔφης, προτιμοτέρα [εἶ,] ἐν σοὶ
πρῶτον ἂν ἐσκήνωσεν ὁ δεσπότης. νῦν δὲ ἐκ τούτου φαίνεταί μου τὸ ἀξίωμα, ὅτι σου ὑπάρ-
χω ὑπερέχουσα, ὅτι ἐν ἐμοὶ πρῶτον τὰς ἀκτῖνας ἀπέλυσε τῆς θεότητος. τοσοῦτόν σου προτι-
μοτέρα καθέστηκα, ὅσον ἐγὼ μήτηρ ἀνθρώπων, καὶ σὺ ἑρπετῶν· ἐγὼ τῆς ἁγίας παρθένου μήτηρ
εἰμὶ, ἥτις τὸν δεσπότην ἠξιώθησε· σὺ δὲ τοῦ πονηροῦ δράκοντος, ὅστις ἐμπαίζει τὰ ζῶά σου.
ἐγώ εἰμι μήτηρ προφητῶν, καὶ ἀποστόλων, καὶ ἁγίων ἀνδρῶν· σὺ δὲ ἀγρίων καὶ πονηρῶν μή-
τηρ ἑρπετῶν, καὶ δυσαπλοοιώτων φθορά. ἐγὼ παράδεισος καὶ ἐπικάρπιος ἔχουσα ἄνθη καὶ ἀρώ-
ματα· σὺ δὲ ἀνέμους καὶ λιμένας καὶ ἀταξίας. εἰ ἦν ἐν ἐμοὶ τοῦ κατέχειν τὸν Κύριον, οὐκ ἂν πα-
ραγενέσθαι αὐτὸν πρὸς σὲ παρεχώρησα. ὡς δὲ, τῶν τηνικαῦτα ἀντιπραττόντων τῶν στοιχείων τοῖς
νεύμασι, ὁ πάντα πληρῶν, καὶ πάντα οἰκονομῶν Κύριος πρὸς αὐτὴν τὴν θάλασσαν παραγί-

νεται,

νεται, τοῖς ἁγίοις ἴχνεσι δοξάσαι καὶ τιμῆσαι τῶν ὑδάτων τὴν ἤπειρον βουλόμενος, λοιπὸν ἡ θάλασσα τοὺς κόλπους ἁπλώσασα μετὰ πολλῆς χαρᾶς τὸν Κύριον ὑπεδέξατο λέγουσα· δεῦτε πάντα τὰ ζῶα τὰ μικρὰ μετὰ τῶν μεγάλων, συνέλθετε τὰ ἐν τοῖς βάθεσιν, ἐπαναπλεύσατε τὸν ἐξ ἀρχῆς ὑμᾶς ἐνθερνιάσαντα, καὶ τὸ ζῆν ὑμῖν χαρισάμενον. πάντα τὰ ἐναντία τοῦ χειμῶνος φιμώθητε πνεύματα, καὶ τοῦ παρόντος φρίξατε τὴν θεότητα. πᾶσαι αἱ καταιγίδες, λαίλαπες, ἡσυχάσατε τῆς δυναστείας τὸ μέγεθος· πάντες οἱ ἄνεμοι καὶ χειμῶνες συστάλητε, καὶ πάντα τὰ κύματα ἠρεμήσατε, καὶ γαληνιάσατε, καὶ τὸν Κύριον τῆς ζωῆς καὶ τοῦ θανάτου μετὰ χαρᾶς ὑποδέξασθε. τίς ἀναγγελεῖ μοι σήμερον, ὅτι πελαγοβάτην ἔχω ἐπιβάτην τὸν Κύριον; μεγαλυνθείην ἀπὸ τοῦ σήμερον, ὅτι χερουβικὴ ἐγενόμην καθέδρα, καὶ σεραφικὰς στιβάδας ἀνέλαβον· ὅτι τὸν ἐκεῖ καθεζόμενον ὧδε ἔχω βαδίζοντα· τὸν ἐπὶ πτερύγων ἀνέμων ἱστάμενον, ἐν τοῖς νώτοις ἔχω στελλόμενον· τὸν ἐπάνω τοσούτων ὑψηλῶν καὶ μετεώρων στερεωμάτων ὑψούμενον, ἐπὶ τῆς ἐμῆς ἀγκάλης τοῦ χώρας τοῦτον ἔχω πεζεύοντα. νῦν οὐκ ἔτι προσαγορεύομαι θάλασσα, ἀλλὰ κολυμβήθρα οὐράνιος· νῦν ἐγενόμην λύχνος, σφόδρα ἀστράπτουσα οὐράνιος. νῦν ἐγενόμην πηγὴ ἰάματα βρύουσα· νῦν ἐγενόμην ἥλιος, ἀκτῖνας αὐγάζουσα· νῦν ἐγενόμην οὐρανὸς μαρμαρυγὰς ἀποβάλλων, οὐ τὰ τῆς φύσεως ὑποβάλλουσα, ἀλλὰ ἰάματα τῆς χάριτος βρύουσα. ὡς δὲ πᾶσα ἡ κτίσις ἠγάλλετο, ὁμοῦ καὶ γῆ καὶ τὰ ὑπ' οὐρανὸν ἐφαιδρύνοντο χάριτι. οἱ γὰρ πεπλανημένοι ἐπέστρεφον, οἱ ἁμαρτωλοὶ μετενόουν, οἱ ἀσεβεῖς εὐσέβουν, οἱ νοσοῦντες ὑγείας μετελάμβανον, οἱ νεκροὶ εἰς ζωὴν ἠργάζοντο, οἱ ζῶντες εἰς θεότητος πρόσωπον. ὡς δὲ οἱ δαίμονες ἐδιώκοντο, καὶ ἡ νόσος ἐμαραίνετο, καὶ ὁ θάνατος κατηργεῖτο, λοιπὸν καὶ οἱ ἐν τῷ ᾅδῃ ὑπὸ τοῦ ἐχθροῦ κατεχόμενοι ἀκοὴν περὶ αὐτοῦ δεξάμενοι, ἰδεῖν τὴν δόξαν ἐσπούδαζον, καὶ λυθῆναι τῶν δεσμῶν ἱκέτευον. ὡς δὲ εἶδεν ὁ τῆς ἀπωλείας προαγέτης καὶ ἄρχων τοῦ σκότους τὰ ὧδε αὐτὸν κατορθώσαντα, καὶ ἕτοιμον πορθῆσαι τὰ τοῦ ᾅδου βασίλεια, πρὸς τοὺς ἐκεῖ φρουροῦντας ὁ πονηρὸς ηὐτομόλησε δαίμονας λέγων· ὅτι ὑποκάτω τῆς γῆς ἔρχεται ὁ ὑποκάτω τοῦ οὐρανοῦ σωφρονήσας, τὰ πέρατα ἔρχεται σκυλεῦσαι, καὶ αἰχμαλωτεῦσαι ἡμῶν τὰ ταμιεῖα τὰ ἄδηλα. ἀποκριθέντες δὲ λέγουσι πρὸς αὐτὸν οἱ ἀλάστορες· καὶ τίς ἐστι σου ἰσχυρότερος; οὐκ ἔλεγες, οὐκ ἔστι μου δυνατώτερος ὁ ἐμοὶ ἀντιπαταλόμενος; νῦν ἐδειλίασας περὶ ἐκείνου λοφούμενος; πῶς πείρασον πολεμῆσαι; θάρσησον, καὶ εὑρήσεις αὐτὸν κατὰ πάντα ἡττώμενον. ὁ δέ, ἐπείρασα, φησί, καὶ ἐδοκίμασα, καὶ πάντοθεν μου τὰς δυναστείας ἐκράτησεν· εἰς τὴν ἔρημον αὐτὸν ἐπολέμησα, καὶ ἔρημόν με πάντοθεν ἀπέδειξεν· ὅτε πρὸς τοὺς μαθητὰς αὐτοῦ ἴσχυσα. τὴν αὐτὴν γὰρ δόξαν κἀκείνοις ὑστέρησεν. οἱ δὲ πρὸς αὐτόν· πῶς εἰσῆλθε ἔσωθεν, καὶ τὰς χαλκᾶς πύλας ἀπόκλεισον, καὶ τοὺς σιδηροῦς μοχλοὺς καθειρξώμεθα, καὶ τὰ βέλη ἡμῶν εὐτρεπίσωμεν. ταῦτα καὶ τὰ τοιαῦτα κραζόντων τῶν πονηρῶν, ἰδοὺ δὴ καὶ ὁ Κύριος μετὰ πυροφόρων στρατιῶν παραγίνεται· Ἀνοίξατέ μοι πύλας οἱ τῶν δαιμόνων ἄρχοντες· εἰσελεύσεται γὰρ ὁ βασιλεὺς τῆς δόξης. οἱ δὲ ἔνδοθεν ὑπάρχοντες ἐτόλμων, καὶ ἀπεκρίνοντες, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατὸς ἐν πολέμῳ. ὁ δὲ στρατηγὸς τῶν δαιμόνων ἔλεγεν αὐτοῖς ἔνδοθεν· οὐκ εἶπον ὑμῖν ὅτι κραταιός ἐστι καὶ δυνατὸς ἐν πολέμῳ, καὶ ἰσχυρὸς ἐν ἰσχύϊ; οἱ δὲ ἄγγελοι ἐπεσπούδαζον· ἄρατε πύλας, πρὶν αὐτὰς συντρίψωμεν, καὶ τοὺς μοχλοὺς κατεάξωμεν· μετ' εἰρήνης ἀνοίξατε, πρὶν μετ' ὀργῆς εἰσέλθωμεν. ἄρατε πύλας οἱ ἄρχοντες τοῦ ᾅδου, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. οἱ δὲ φόβῳ συνεχόμενοι ὡς ἀμφεβαλλον ῥήμασι, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; αὐτοὶ ἀπεκρίναντο, Κύριός ἐστι τῶν δυνάμεων, τῶν ἄνω καὶ τῶν κάτω δεσπότης. καὶ ὡς ἐστασίαζον μὴ ἀνοίγοντες ἔσω παιδευόμενοι, νεύματι τῆς θεότητος εὐθέως αἱ πύλαι συνετρίβησαν, καὶ οἱ μοχλοὶ κατεάγησαν, καὶ ἐπληρώθη τῆς προφητείας τὸ κήρυγμα τὸ παρὰ τοσούτων γενεῶν

Ψαλ. κγ. ζ.
Ψαλ. κγ. η.

Ψαλ. ρϛ. ιϛ. σαλπιζόμενον, ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Εἶτα
ἐν ἀπορίᾳ γενόμενοι οἱ τῆς λοιδορίας ἐργάται, εἶπαν οἱ αἰώνιοι, ἔχοντες τὰ βέλη καὶ τὰς
ῥομφαίας, ἐφορμήσωμεν αὐτῷ. ὁ δὲ τὰς πύλας συγκλάσας, κἀκείνους συνέτριψε, καὶ ἐ-
πλήρωσε τὰς δύο κηρυττούσας προφητείας· Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα
Ψαλ. οε. γ. αὐτῷ. Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον. ὡς δὲ εἶδον 5
οἱ κατάκλειστοι τὸ φῶς τῆς ἀϊδίου ζωῆς, ἀνεβόησαν λέγοντες· Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ
Ψαλ. οε. δ. ὀρέων αἰωνίων. ὄρεα ἐκάλεσε τὰ τοῦ ᾅδου στερεώματα. ἐταράχθησαν πάντες οἱ ἀσύνετοι
τῇ καρδίᾳ, τουτέστιν, ἐξέστησαν οἱ διαβολικοὶ ἄρχοντες· Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον
οὐδέν. ἀπενεκρώθησαν γὰρ ὑπὸ τοῦ Κυρίου, καὶ ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν ἀπώλεσαν,
καὶ οὐχ εὗρον οὐδέν. Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς 10
ἵπποις. ἵππους λέγει τὰς ψυχὰς τῶν κατεχομένων, καὶ ἐπιβάτας τοὺς πονηροὺς δαίμονας,
δαίμονας τοὺς ἀνελεημόνως παιδεύοντας τὰς τῶν ἀνθρώπων ψυχάς. ἐνύσταξαν καὶ ἀπε-
νεκρώθησαν. τότε ὡς εἶδον τῶν ψυχῶν τὴν σωτηρίαν, καὶ τὴν ἰδίαν ἀπώλειαν, τὴν αὐτῶν
ἐλευθερίαν, καὶ τὴν ἑαυτῶν δουλείαν, αὐτοὺς ἀπολυομένους, καὶ ἑαυτοὺς ἀλύτοις δεσμοῖς
κατεχομένους, ἀνεβόησαν μετ᾽ ἰσχυρᾶς κραυγῆς· σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι κατὰ 15
πρόσωπον; [μαστιγοῦντας ψυχὰς] ἐκ τοῦ οὐρανοῦ ἠκόντισας κρίσιν ἐφ᾽ ἡμᾶς δικαίαν. οὐ γὰρ
Ἰωβ. β. ιγ. ἐκρινόμεθα δικαίως. διὰ τοῦτο κρινόμεθα, διὰ τοῦτο φειδοῦς οὐ τυγχάνομεν. Ἀνίλεως γὰρ ἡ
κρίσις τῷ μὴ ποιήσαντι ἔλεον. κατέκλεισε αὐτοὺς εἰς τὰ ταμεῖα τοῦ ᾅδου, ὑπὸ ὀσμῆς δρα-
κόντων κολαζομένους, δήσας αὐτοὺς δεσμοῖς ἀλύτοις. λαβὼν δὲ τὰς ψυχὰς πάσας συνῆξεν
Ἱερ. ιζ. ια. ὁ Κύριος, καὶ τὴν προφητείαν Ἱερεμίου ἐπλήρωσε· Συνήγαγε πέρδιξ ἃ οὐκ ἔτεκεν. ἃς γὰρ 20
ὁ ἐχθρὸς κατήγαγεν εἰς τὸν ᾅδην, ταύτας ὁ Κύριος συνήγαγεν· ἃς ἐκεῖ ἔτεκεν ὁ διάβο-
λος, μᾶλλον διεσκόρπισε, ταύτας συνήγαγεν ὁ Χριστός. ἀνάστητε, εἶπεν ὁ Κύριος, καὶ ἀνα-
Ἱερ. ϛ. δ. βῶμεν εἰς τὸν οὐρανόν. τοῦτο δὲ ὅλον γέγονε πλήρωσιν τῆς προφητείας τὸ αἴνιγμα, Ἀνάστητε,
καὶ ἀναβῶμεν εἰς τὸ ὄρος, τουτέστιν, εἰς τὴν οὐράνιον Ἱερουσαλήμ. αἱ κάτω πύλαι ἠνοί-
γησαν, μᾶλλον δὲ συνετρίβησαν· ἀνάγκη λοιπὸν ἀνοιγῆναι καὶ τὰς ἄνω πύλας τῶν οὐρανῶν. 25
καὶ γὰρ καὶ οἱ ἄνω πυλωροὶ ἀγνοοῦντες ἐκώλυον. ὡς γὰρ κατῆλθεν, οὐκ ἔγνωσαν· διὰ
τοῦτο ἀνερχόμενον αὐτὸν οὐκ ἐγνώρισαν, καὶ τέως πρακτεύειν ἐπεχείρουν (εἶχε γὰρ μεθ᾽ ἑαυτοῦ
τὰς ψυχὰς ὁ Κύριος, ἃς ἐλυτρώσατο, καὶ τὸν λῃστήν, μᾶλλον δὲ μαθητήν) λέγοντες· τίς
ἐστιν ὁ μετὰ τοσαύτης παρατάξεως ἐρχόμενος; οἱ δὲ προαγαγόντες ἄγγελοι ἐσήμαινον τῆς
θεότητος τὸ ἀξίωμα· οἱ δὲ οὐκ ἐπείθοντο, ἀγνοίᾳ τυχόμενοι. καὶ εἰ ὁ Κύριός ἐστιν ἀνερχό- 30
μενος, πῶς οὐκ ἔγνωμεν αὐτὸν κατερχόμενον; μὴ γὰρ καὶ ἄλλοτε οὐ κατέβη, καὶ τὴν κιβωτὸν
διετάξατο ἐπὶ τοῦ Νῶε; ἐπὶ τοῦ Ἀβραὰμ εἰς τὴν σκηνὴν παρεγένετο, ἐπὶ τοῦ Ἰακὼβ ἐν
τῇ κλίμακι, ἐπὶ τοῦ Ἰὼβ διὰ λαίλαπος καὶ νέφους ὡμίλησεν, ἐπὶ τοῦ Μωϋσέως εἰς τὸ ὄρος
Σινᾶ, ἐπὶ Ἰησοῦ εἰς Ἱεριχῶ, ἐπὶ Ἠλίᾳ εἰς τὸ σπήλαιον· καὶ οὐκ ἔστι γενεά, ὅπου οὐ κατέ-
βη, καὶ οὐκ ἔλαθεν ἡμᾶς. καὶ νῦν, ὡς λέγεται, εἰ ὁ Κύριος πάρεστιν ἀνερχόμενος, πῶς οὐκ ἐ- 35
γνωμεν αὐτὸν κατερχόμενον; ἀπεκρίθησαν οἱ προάγοντες· αὐτός ἐστιν ὁ τότε κατερχόμενος,
ἵνα μὴ γνωρισθῇ ἀνερχόμενος· δουλικὴν εἰκόνα ἐφόρησεν, ἵνα μὴ γνῶτε δεσποτικὴν με-
γαλοπρέπειαν. καὶ μάθετε δεσποτικὸν μυστήριον, καὶ σόφισμα Κυριακόν, καὶ κωλύσητε φι-
λανθρωπίας πρόθεσιν; εἰ γὰρ ἐγνώκατε αὐτὸν ἐν ταπεινώσει πολλῇ κατερχόμενον χάριν
τοῦ πλάσματος, ἐκωλύετε τὴν κατάβασιν καὶ ἀπεστερεῖτε τῆς σωτηρίας τὸν ἄνθρωπον, καὶ 40
δίχα τῆς ἄνω βασιλείας λοφούμενον. νῦν ἀνοίξατε, γονυπετήσατε. Εἶτα ἀποκρίνονται
καὶ αὐτοί· εἰ μὴ φωνῆς αὐτοῦ θείας ἀκούσωμεν, οὐκ ἂν τὰς θύρας ἀνοίξομεν. οὐδεὶς γὰρ
Ψαλ. ριζ. ιθ. διαβαίνει ἔνθεν ἀκάθαρτος. Αὕτη γάρ, φησιν, ἡ πύλη τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται
ἐν αὐτῇ. τότε ὁ Κύριος φωνῇ τιμίᾳ ἐλάλησεν, ἐγώ εἰμι ὁ ζητούμενος, Ἀνοίξατέ μοι πύλας
δικαιοσύνης.

δικαιοσύνης. εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ, τουτέστιν, ἃ ἔπραξα καὶ πέπονθα, ὅσα ἐποίησα καλὰ, καὶ ἀπείληφα κακά. ἀπαγγελῶ τῶν δικαίων τὰ τεκμήρια, τῶν ἰάσεων τὰ χαρίσματα, τῶν πράξεων τὰ κατορθώματα. ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ. τότε γνόντες τοῦ ἀγγέλου τὴν φωνὴν δεσποτικὴν τὰς πύλας κατέχοντες μετὰ φόβου εἰς προσκύνησιν ἐξήλθοσαν· οὐκ οἴδαμέν σε, δέσποτα, κατερχόμενον, προσκυνοῦμέν σε ἀνερχόμενον. εἶτα αὐτὸς προερχόμενος ἀναντιῤῥήτως, καὶ οἱ ἀκόλουθοι. οἱ δὲ ὄπισθεν εἰσερχομένους ἐκώλυον λέγοντες· αὕται αἱ πύλαι τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐταῖς. μὴ καὶ ἄδικοι; ὧδε μοιχοὶ καὶ τελῶναι καὶ ἅρπαγες. ἵνα τί τοῦτο προστέθειται παρὰ τῆς σῆς ἁγιότητος; ταύτας τὰς πύλας σὺ ἐκύρωσας, σὺ πυλωρεῖς ἡμᾶς κατέστησας, σὺ νόμον ἡμῖν ἐδογμάτισας· ὅτι αὕται αἱ πύλαι τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐταῖς. οὐχὶ λέλεκται περὶ σοῦ, ὅτι πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται; εἶπας γὰρ, μόνοι δίκαιοι εἰσελεύσονται· μὴ καὶ ἄδικοι; ὧδε μοιχοὶ καὶ τελῶναι προσάγονται, ὧδε μάγοι καὶ λῃσταὶ καὶ ἅρπαγες εἰσέρχονται. καὶ πρῶτον δικαίους εἰσάγαγε, καὶ κατόπιν ἁμαρτωλοὺς χειραγώγησον. ἐᾶσθε ὅτι πάντας τούτους εἰσάγεις· δῆλον ὅτι μετενόησαν. τοῦτον δὲ τὸν λῃστὴν διὰ τί πρὸ πάντων εἰσάγεις εἰς τὰ ἄνω βασίλεια; ποῦ μετέγνω; πότε μετενόησεν; οὐ μίαν ἡμέραν ἐν τῇ ζωῇ αὐτοῦ διεπράξατο, οὔτε τι καλὸν πέπραχε πώποτε· ἀλλ' οὐδὲ ὥραν μίαν ἐχώρησεν εἰς μετάνοιαν. ἰδοὺ τὰ ἁμαρτήματα αὐτοῦ ἐγγράφως κατέχομεν, ἃ μετὰ ἐν μετανοίᾳ οὐκ ἐξήλειψε, καὶ πραγέτην αὐτὸν εἰς τὸν παράδεισον ἀπὸ πάντων τῶν δικαίων εἰσφέρεις; ὁ δὲ σωτήρ· ζητεῖτε αὐτοῦ, φησὶ, τὴν ἁμαρτίαν, ἣν ἐγὼ πρὸ πάντων ἐξήλειψα; ἀρνήσει αὐτοῦ τὴν ἁμαρτημάτων τὸ ἔγγραφον, ὅτι ἡ πίστις αὐτοῦ ἀπήλειψεν αὐτό. λυέσθω τῶν ἀδικημάτων αὐτοῦ ἡ συγγραφὴ τῇ καλῇ ὁμολογίᾳ. οὐ μετενόησε πρὸ καιροῦ, ἀλλὰ συνῆκεν εἰς τὸν καιρόν· πρὸ τοῦ θανάτου δίχα πίστεως ὑπῆρχε γυμνὸς, ἐν τῷ θανάτῳ ἡ πίστις αὐτοῦ τῆς θαλάσσης τῶν πλημμυρημάτων ἐνίκησεν· ἐν καιρῷ ἀνέσεως οὐκ ἔγνω, ἀλλ' ἐν καιρῷ ἀνάγκης ἐπέγνω τὸ δίκαιον. ὅτε οἱ μαθηταί μου ἀπέφυγόν με, οὗτος προσέφυγέ μοι· ὅτε Πέτρος ἔλεγεν, οὐκ οἶδα τὸν ἄνθρωπον, τότε οὗτος βασιλέα οὐρανῶν ὡμολόγησεν· ὅτε ἱερεῖς ἐθανάτουν με, τότε οὗτος ζωῆς ἐκάλεσε Κύριον· ἐμοὶ τὸ ἔργον τῆς μετανοίας τετέλεσται, τοῦ τὴν πρόθεσιν βλέποντος καὶ τὸ πρόθυμον· ἐμοὶ τῆς ὑπομονῆς τὸ δικαίωμα πέπρακται, τοῦ εἰς τὸ ἀγαθὸν τὴν καρδίαν κλίναντος. διὰ τὴν παράβασιν Ἀδὰμ τὸν παράδεισον ἀπέκλεισεν, οὗτος ἐν τῇ ὁμολογίᾳ ἀνοίγει τὸν ὑπὸ τῆς φλογίνης ῥομφαίας πυλῶνα φρουρούμενον. μὴ ζητήσατε αὐτοῦ τὴν ἁμαρτίαν, ἣν οὐχ εὑρήσετε. διὰ τοῦτο Δαβὶδ πρὸ τοσούτων γενεῶν προεφήτευσε, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ. λοιπὸν ὁ σωτὴρ ἀνῆλθε νικήσας πᾶσαν ἐξουσίαν καὶ δύναμιν, καὶ πᾶσαι αἱ στρατιαὶ τῶν ἀγγέλων ἀπήντησαν, καὶ ὡς δεσπότῃ προσεκύνησαν, καὶ πᾶσα χερουβικὴ τάξις καὶ σεραφικὴ λειτουργία προσεκύνησεν αὐτῷ καὶ τῷ πατρὶ τῷ γεννήσαντι. καὶ ὅσα τε πατὴρ προσελάβετο καὶ τῆς ἐκ δεξιῶν καθέδρας ἐκάθισεν ὁ μήποτε γυμνώσας τοὺς πατρικοὺς κόλπους. εἰ γὰρ καὶ κατῆλθεν ἐπὶ γῆς διὰ φιλανθρωπίαν, ἀλλ' οὖν τοῦ θρόνου οὐδαμῶς κατελείφθη· εἰ καὶ γέγονεν ἄνθρωπος τέλειος οἰκονομικῶς, οὐδαμῶς ἔκστασιν ὑπέμεινε τῆς οἰκείας φυσικῆς θεότητος. οὐ γὰρ ἐκ προκοπῆς ἀνθρώπου γέγονε Θεὸς ὁ Χριστὸς (μὴ γένοιτο) ἀλλὰ Θεὸς ὢν γέγονεν ἄνθρωπος, ἵνα τὸν ἄνθρωπον σώσῃ. διὸ οὐκ ἄνθρωπον ἀποθεωθέντα κηρύττομεν, ἀλλὰ Θεὸν ἐνανθρωπήσαντα ὁμολογοῦμεν. καθὼς ὁ μακάριος ἔφησε Παῦλος· διὸ πᾶσα ἀρχὴ καὶ ἐξουσία ὑπετάγησαν αὐτῷ, ὡς ὄντι πρὸ πάσης κτίσεως, μᾶλλον δὲ ποιητὴν τῆς κτίσεως, καὶ συνδεσπόζοντα καὶ συμβασιλεύοντα τῷ ἀχράντῳ αὐτοῦ πατρὶ, καὶ τῷ ζωοποιῷ πνεύματι εἰς τοὺς αἰῶνας, Ἀμήν. αὐτὸς γάρ ἐστιν ὁ μέλλων κρίναι τὴν οἰκουμένην, καὶ τὴν ὑπ' οὐρανὸν πᾶσαν, καὶ ἀποδοῦναι ἑκάστῳ καθ' ἃ ἔπραξε.

Ψαλ. ριη. — Ψαλ. θ. λθ.

ἐπέταξε. τίς οὖν τῆς φιλανθρωπίας λαλήσει τὸν ἔλεον, ἢ τῆς δυναστείας αὐτοῦ τὸ μέγεθος; τίς αὐτοῦ τῆς ἀγαθότητος ἐκφράσει τὴν σύνεσιν, ἢ τῆς δυνάμεως τὴν μεγαλειότητα; τίς τῆς εὐσπλαγχνίας αὐτοῦ τοὺς οἰκτιρμοὺς διηγήσεται, ἢ ἐξιχνιάσει τῆς ὑπερβολῆς τὸ ἀξίωμα; ὅτι μὴ καταλιπὼν τὰ ἄνω, δι' ἡμᾶς ἐπὶ γῆς κατῆλθεν· ὅτι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας λαθὼν, εἰς ἄχραντον παρθένου μήτραν ἐχώρησεν· ἀγγέλων καὶ ἀρχαγγέλων ἔλαθε χορούς, καὶ ὕλης μορφὴν ἐνεδύσατο, ἵνα σώσῃ τὸν κατ' εἰκόνα ἄνθρωπον φθορᾶς καὶ θανάτου. καὶ ἀπέθανε τῇ σαρκὶ, ἵνα ἡμᾶς τῆς ἀθανάτου φύσεως αὐτοῦ κοινωνοὺς ἀπεργάσηται. καὶ τί ἀνταποδώσομεν αὐτῷ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; ποίας εὐχαριστίας, ἢ ἱκεσίας; οὐδ' ἂν πάντα ἡμῶν τὰ μέλη φωνὰς ἀναλάβωσι, καὶ αἱ τρίχες ἡμῶν λαλιὰς ἐξάγωσι, καὶ πᾶν τὸ ὄργανον ἡμῶν μελῳδίας πληρωθῇ, ἐπαξίως ἀνυμνῆσαι δυνηθῶμεν τὴν αὐτοῦ πρὸς ἡμᾶς ἀνομολόγου συγκαταβάσεως εὐσπλαγχνίαν καὶ μεγαλειότητα. ἀλλ' ὅσον χωροῦμεν, ἀνυμνοῦμεν τὸν μόνον ὑπεράγιον, προφητικὴν πρόρρησιν ἐκπληροῦντες, τὸ, Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην. διὰ ταύτης γὰρ τῆς περιόδου δηλοῦται τὰ τοῦ σωτῆρος μεγαλεῖα καὶ παράδοξα θαύματα, ἵνα καθ' ἑκάστην μνημονεύων εὐφραινώμεθα· εἴγε ἀξίως τῇ μνήμῃ ἐχωρήσαμεν, καθὼς ἔπρεπεν. ἀλλ' εἴτε προφάσει, εἴτε ἀληθείᾳ Θεὸς καταγγελθῇ· διὸ μετὰ τοῦ προφήτου λέγωμεν, Ἐμνήσθην τοῦ Θεοῦ, καὶ ηὐφράνθην. ὁ δὲ Θεὸς τῶν δυνάμεων, ὁ φιλανθρωπίαν καὶ πολλὴν ἀγαθότητα ἐνδειξάμενος, ἡμῶν τὴν ἀσθένειαν καὶ τὰς εὐχὰς προσδεχόμενος χάριτι, καὶ εἰς κρείττονα ἀγαθὴν προνοίαν ἀγαγὼν, αὐτὸς ἡμῶν τῇ ῥήσει τὴν ψυχὴν ἀκηλίδωτον, τὸ σῶμα ἄσπιλον, τὸ πνεῦμα ἀρρύπωτον, τὴν ζωὴν ἀνεπηρέαστον φυλάξειε, τὴν πίστιν ἀσύλωτον, τὴν φιλαδελφίαν ἀνύβριστον, τὴν παρθενίαν ἀμώμητον, τὴν φιλίαν ἀθρύλλητον, τὴν ἀγάπην ἀνυπόκριτον, τὴν ἀρετὴν ἀκλυδώνιστον, τὴν δικαιοσύνην ἀνεμπόδιστον, τὴν πίστιν καρπουμένην. τὰς πύλας ἡμῖν τοῦ παραδείσου ἀναπετάσειε, καὶ φλογίνην ῥομφαίαν κατασβέσειε, καὶ τὴν θύραν τῆς βασιλείας ἀνοίξειε, καὶ τὴν ἀκήρατον ἀπόλαυσιν εὐτρεπίσειε, καὶ ἐκ δεξιῶν στήσειε, καὶ τῇ δεξιᾷ στεφανώσειε τῇ φιλανθρωπίᾳ τῆς αὐτοῦ ἀγαθότητος· ὅτι αὐτῷ πρέπει δόξα, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κε.
Ματθ. β. ιη.

ΕΙΣ ΤΗΝ ΡΑΧΗΛ ΚΑΙ ΕΙΣ ΤΑ ΝΗΠΙΑ.

Ex Ms. Regio Lut.

Ὥσπερ οἱ τοὺς ἡδίστους καρποὺς τῶν ἀκροδρύων λαμβάνοντες, ὁμοῦ τοῖς κλάδοις καὶ τοῖς δένδρεσι τοὺς ἐπαίνους διδόασι· τὸν αὐτὸν δὴ τρόπον καὶ ἡμεῖς, ἀγαπητοὶ, τοὺς καρποὺς τῶν λόγων παρὰ τοῦ προλαβόντος διδασκάλου λαβόντες, ὁμοῦ τῷ αὐτῷ καὶ τοῖς πατράσι τὸ γέρας διδῶμεν. ὥσπερ γὰρ ἐκ τῆς τῶν δένδρων πιότητος ἡ γλυκεῖα πιότης τοῖς καρποῖς παραπέμπεται· οὕτω καὶ τῷ προῃρημένῳ ἀνδρὶ ἐκ τῆς τοῦ πνεύματος χάριτος τὸ γλυκὺ τοῦ λόγου ἀναπέμπεται. καρπωσώμεθα τοίνυν τῶν λόγων τοὺς ἡδίστους καρποὺς, καθάπερ φοίνικας γλυκεροὺς ἐκ τῆς δικαίας ῥίζης τῶν πατέρων τὸ γλύκασμα κεκτημένους· καὶ τὸ μὲν γλυκὺ τοῦ λόγου τῇ διανοίᾳ ἡμῶν παραπέμψωμεν, τὸ δὲ ἡδὺ τῆς εὐχαριστίας τοῖς πατράσιν ἡμῶν ἀπονείμωμεν. τὸ γὰρ τῶν πατέρων γέρας ἐκ τῆς τῶν υἱῶν εὐκοσμίας συνέστηκε· μᾶλλον δὲ οἱ τῶν υἱῶν στέφανοι ἐκ τῆς τῶν πατέρων εὐδοξίας καλλωπίζονται. ἀλλ' ἐπειδὴ ἀπὸ τοῦ ἀναγνώσματος τοῦ στεναγμοῦ τῆς Ῥαχὴλ, καθάπερ ὑπὸ κέντρου, νυττόμενος πρὸς αὐτὴν ἀποστρέφομαι· λέγε μοι, ὦ Ῥαχὴλ, λέγε τὸν ἐν τῷ στεναγμῷ σου κρυπτόμενον πόνον. οὕτω γὰρ τὸ σκάφος τῆς διανοίας σου, τὸ ὑπὸ τῆς λύπης βαρυνόμενον, κουφισθήσεται. προσφερομένων δὲ τῶν λόγων ἐκ τῆς καρδίας σου σημαινόντων

τὸν

τῶν πόνων, συνεξέρχεται τοῖς ῥήμασι καὶ τὸ βαρὺ τῆς λύπης. λέγε μοι τοίνυν, Ῥαχὴλ, τί
κλαίεις; ὁρῶ γὰρ σου τὰ δάκρυα περὶ τὰς παρειὰς ποταμηδὸν ἐπιῤῥέοντα, καὶ τὸ πνεῦμα πι-
κρῶς περὶ τὴν καρδίαν εἰλούμενον, καὶ διὰ τῶν μυκτήρων ἀτάκτως φερόμενον. τί λύεις
σου τὰς κόμας, καὶ ταύτας προσφέρεις, ἃς δεῖ σε κρύπτειν; τί τῶν αἰδεσίμων γυναικῶν τὸ
5 σεμνὸν μυστήριον ἐκπομπεύεις νικωμένη ὑπὸ τῆς ἄγαν μανίας; οἴμοι, οἴμοι Ῥαχήλ· λα-
λήσω λοιπὸν ἐν πικρίᾳ ψυχῆς συνεχομένη· καὶ τί εἴπω; βούλομαι ἐκ καρδίας προσφέρειν
τὸν λόγον, καὶ πάλιν ἀναποδίζω, τὴν αἰτίαν τῶν κακῶν τῆς μεγίστης συμφορᾶς οὐχ εὑρίσκου-
σα. ὢ βασιλέως Ἡρώδου τοῦ διδάσκοντός με μὴ φονεύειν, καὶ ἔργῳ τὸν ἑαυτοῦ νόμον ἀκυροῦν-
τος· ὃν ἐνόμιζον βασιλέα εἶναι τῆς εὐταξίας, τοῦτον ἡγεμόνα τῆς ἀταξίας ὁρῶ νῦν, ἀτάκτως
10 καὶ ἀνόμως ἐργαζόμενον. ὢ μεγίστης ἀνοίας. ὁ ἕνα φόνον ποιήσας ὑπεύθυνος θανάτου γίνεται,
καὶ Ἡρώδης τοσούτους φόνους ποιήσας, βασιλεὺς ὀνομάζεται; καὶ οἱ μὲν γεωργοὶ ἐξ οἰκείων θη-
σαυρῶν τὸν σπόρον προσφέροντες ἐν ταῖς λαγόσι τῆς γῆς καθαρὸν τὸν σῖτον ῥαίνουσιν· ὁ-
πόταν δὲ βλαστήσαντες οἱ ἀστάχυες λαμπρὰν τὴν ὥραν τοῦ σπόρου σημαίνωσιν, τότε δὴ τὰς
χεῖρας ἐκτείνοντες ὀξείᾳ δρεπάνῃ τὰ λήϊα τέμνουσιν. Ἡρώδης δὲ τὰ τῆς ἐμῆς κοιλίας γεν-
15 νήματα μήπω τὰ ἄνθη τῆς ἡλικίας κυπριάσαντα, μήπω τῶν ἐαρινῶν τῶν ἀγρείων ἰού-
λων περὶ τὰς παρειὰς ἀνατείλαντα, ὀξείᾳ μαχαίρᾳ τῶν ἐμῶν λαγόνων τὴν χλόην ἀπε-
θέρισεν. οἴμοι, οἴμοι, τὴν κοιλίαν μου ἐγὼ ἀλγῶ, καὶ τὰ αἰσθητήρια τῆς καρδίας μου με-
μάσσηται· ἡ ψυχή μου σπαράττεται τῇ καρδίᾳ, οὐ σιωπήσω. διὰ γὰρ τὴν ἄγαμον νύμφην
Μαριὰμ ταῦτα ὑπομένω, διὰ τὸν ἐν φάτνῃ κρυπτόμενον λόγον. μήπω τοὺς ἐμοὺς βό-
20 τρυας, τῶν αἰσθήσεων τὰς ῥῶγας περκάζοντας ἤδη ἀφανισμένους ὁρῶ. οἴμοι, οἴμοι, ὥσπερ * *
ἐνναμηνιαίῳ χρόνῳ μετὰ πόνων βαστάσασα ἡ φύσις ὡραίους ποιήσασα ἔτεκε, τούτους ἀω-
ροὺς μιᾷ πληγῇ μαχαίρης σφαγέντας ὁρῶ. οἴμοι, ὦ παρθένε Μαριὰμ ὁμοῦ τε καὶ μήτηρ,
ἡ ἄνδρα οὐ γινώσκουσα, καὶ υἱὸν γεννήσασα, σὺ τῶν πόνων τῶν μητέρων οὐκ οἶδας. εἰ γὰρ
ᾔδεις, ἔκλαυσας ἄν. ἀπόνως ἐβάστασας, ἀπόνως ἐκύησας, ἀπόνως τὸν οὐράνιον λόγον ἐν τῷ
25 οἴκῳ τῆς μήτρας σου ἐξένισας, ἀπόνως δὲ οὐράνιον ἄνθος τῇ οἰκουμένῃ ἐβλάστησας. ἀλλὰ δεῦ-
ρο λοιπὸν, καὶ μηκέτι θρήνει, ἀλλὰ παῦσαι τοῦ πένθους, Ῥαχήλ. Ἡρώδης τοὺς νηπί-
ους ἐπὶ γῆς ἀπέκτεινεν, ἀλλὰ τούτους Θεὸς ἐν οὐρανῷ ἀνατρέφει· Ἡρώδης τοὺς παῖδας
τοῦ προσκαίρου φωτὸς ἐστέρησεν, ἀλλὰ τούτους ἐν οὐρανῷ τοῦ ἰδίου φωτὸς ἐμπλήσει. οὐχ ὁ-
ρᾷς αὐτοὺς ἐπὶ γῆς ἀλλομένους, ἀλλὰ τότε ὄψει, καὶ χαρήσῃ ὁρῶσα τούτους ὡς ἄρνας σκιρτῶν-
30 τας ἐν παραδείσῳ. νῦν λυπῇ οὐχ ὁρῶσα τούτους ἐπὶ τραπέζης χεῖρας ἐκτείνοντας, ἀλλὰ τό-
τε ὄψει, καὶ χαρήσῃ ὁρῶσα τούτους μετ' ἀγγέλων εὐωχουμένους τὸν οὐράνιον ἄρτον. νῦν λυπῇ
οὐχ ὁρῶσα τούτους κελαδοῦντας, ἀλλὰ τότε ὄψει, καὶ χαρήσῃ, τούτων τῶν νηπίων τὸν χορὸν,
δίκην χελιδόνων ἐαρινῶν, ἐν τῷ παραδείσῳ Χριστὸν ὑμνοῦντα. ἐπεὶ γὰρ ὁ προφήτης
ἔλεγεν, Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, προέλαβεν ὁ τῶν νηπίων χορὸς Ψαλ. η ζ.
35 ὕμνους ἐπινικίους Χριστῷ ἑτοιμάζων, τὸν τοῦ προφήτου λόγον πληρῶν, τὸ, ἐκ στόματος νη-
πίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ἀλλὰ ταῦτα μὲν, ἀγαπητοὶ, πρὸς ψυχῆς τέρψιν
εἰρήκαμεν· λοιπὸν γὰρ ἐπὶ τὴν ἀτραπὸν τοῦ εὐαγγελίου τρεπώμεθα. Ἀκούσας γάρ, φησιν, Ματθ. β γ.
Ἡρώδης ἐταράχθη. τί ἀκούσας; ὅτι ὁ βασιλεὺς τῶν Ἰουδαίων ἐγεννήθη. ὅρα μοι, ἀγαπη-
τὲ, τὸν διάβολον ἐν τῷ Ἡρώδῃ ταραττόμενον, καὶ τοῦτον λίαν. ὁρᾷ τὸν ποιμένα γεννηθέντα ὁ
40 λύκος, καὶ τοῦτον κρυπτόμενον ἐν φάτνῃ, καὶ τὴν ἰσχυρὰν βακτηρίαν τοῦ πνεύματος ἐν ταῖς
χερσὶ κατέχοντα, καὶ ταῦτα ὁρῶν ταράττεται λίαν. ὁρᾷ ὁ δράκων τὸ δέλεαρ τοῦ σώματος,
καὶ τὸν νήπιον καθάπερ σκώληκα ἕρποντα (Ἐγὼ γάρ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος) καὶ κε- Ψαλμ. κα. ς.
χηνὼς ἐπέρχεται, καὶ θεωρεῖ ἔνδον τὸν οὐράνιον λόγον ἐν τῇ σαρκὶ, καθάπερ ἄγκιστρον, κρυπτόμενον,
καὶ τοῦτον θεωρῶν ταράττεται λίαν. ὁρᾷ τὸν κόκκον τοῦ σινάπεως ἐπὶ τῆς γῆς ἐληλυθότα, καὶ

κλάδους ἐκπέμποντα ἐλπίδος, καὶ μέλλοντα τὸ τῶν ἀνθρώπων γένος ὑπὸ τὰ φύλλα τῆς σωτηρίας σκεπάζεσθαι, καὶ ταῦτα ὁρῶν ὁ μισόκαλος δαίμων ταράττεται λίαν. ὁρᾷ τὴν σοφίαν ἐπὶ γῆς ἐληλυθυῖαν, καὶ λαβοῦσαν τὴν μικρὰν ζύμην τοῦ σώματος, καὶ μιγνύουσαν εἰς τὰ τρία μέρη τοῦ ἀλεύρου, εἰς ψυχὴν, καὶ σῶμα, καὶ πνεῦμα, καὶ μέλλουσαν πᾶσαν τὴν ἀνθρωπότητα εἰς μίαν πίστεως σωτηρίαν ζυμοῦν, καὶ ταῦτα θεωρήσας ταράττεται λίαν. ὁρᾷ τὸν λεγεῶνα τοῦ δαίμονος ἀπὸ τῆς ἀνθρωπότητος ἐκβαλλόμενον, καὶ εἰς ἄβυσσον ἐκπεμπόμενον, καὶ ταῦτα ὁρῶν ταράττεται λίαν. ὁρᾷ τὰ κλεῖθρα τοῦ ᾅδου συντριβόμενα, καὶ τὸν Ἀδὰμ πάλιν εἰς παράδεισον ἀνακοντιζόμενον, καὶ ταράττεται λίαν. ὁρᾷ πάλιν Εὔαν διὰ Μαρίας σωζομένην, καὶ τὸν ὄφιν, ἐν ᾧ μάλιστα ἐθάρρει, κτεινόμενον, καὶ ταῦτα ὁρῶν ταράττεται λίαν. ὁρᾷ τὸ ξύλον τῆς ζωῆς φυτευόμενον, καὶ ταῦτα ὁρῶν ταράττεται λίαν. καὶ ἐπιλείψει με, ἀγαπητοὶ, διηγουμένῳ ὁ χρόνος τὴν ταραχὴν τοῦ διαβόλου. λοιπὸν μηδὲν δυνάμενος κατὰ τοῦ Κυρίου ὁ διάβολος, ἐπὶ τοὺς νηπίους καὶ ἀτελεῖς τῶν βρεφῶν παῖδας κατατρέχει. καὶ τίνας κατασφάζει; ἀπὸ διετοῦς καὶ κατωτέρω. τοὺς δὲ τὴν τριάδα τῶν ἐτῶν ζήσαντας οὐ κατασφάζει. νήπιοι γάρ εἰσι τὴν δυάδα ὁμολογοῦντες, καὶ τῇ τριάδι μὴ πιστεύσαντες. ὅθεν αὕτη ἡ Ῥαχὴλ, ἡ ἐξ ἐθνῶν ἐκκλησία, τούτους πενθεῖ, ὥστε τὴν φωνὴν αὐτῆς ἀκουσθῆναι ἐν Ῥαμᾷ, τουτέστιν, ἐν ὑψηλῷ. οὕτω γὰρ ἑρμηνεύεται Ῥαμὰ, ὑψηλὴ, ἡ ἄνω Ἱερουσαλὴμ παρὰ τῷ ὑψίστῳ Θεῷ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, κράτος σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κϛ.

ΕΙΣ ΤΟΝ ΗΡΩΔΗΝ ΚΑΙ ΕΙΣ ΤΑ ΝΗΠΙΑ.

Ex Ms. Regio Lut.

Ἤθελον μὲν ἀεὶ καὶ πάντοτε τὸν πνευματικὸν ἀφηγεῖσθαι λόγον, πειθόμενος Παύλῳ τῷ λέγοντι, Πνευματικοῖς πνευματικὰ συγκρίνοντες. (α. Κορ. β. ιγ.) μάλιστα χρεώστης ἀπεφάνθην τῆς προτέρας κυριωνύμου κυριακῆς. οὐκ οἶδ' ὅπως τοῦτο συμβαίνει περὶ ἐμὲ, τοῦ ἀεὶ χρέους μὴ ἀπαλλάττεσθαι τὴν ἐμὴν πενίαν, ὑμῶν τῶν ἀπλήστων ἐν τοῖς πνευματικοῖς δανειστῶν μεθοδευόντων σὺν τόκῳ τὸ ὄφλημα. ἀλλ' ὅμως οὐκ ἀποδύρομαι, ὦ φίλοι, ἀλλὰ πλέον ἀγάλλομαι. πλουσίου γὰρ δεσπότου εὔελπις δοῦλός εἰμι. διὸ συγγνώμην οὐκ αἰτῶ, ἀλλ' ἔνδειξιν παρακαλῶ. ἔχω γὰρ τὸν λογοδότην Θεὸν, τὸν λέγοντα, Ἄνοιξον τὸ στόμα σου, καὶ πληρώσω αὐτό, (Ψαλ. π. ια.) οὐ διὰ τὴν τοῦ λαλοῦντος ἀξίαν, ἀλλὰ διὰ τὴν τῶν ἀκουόντων εὐσεβῆ φιληκοΐαν. ἤκουες γοῦν τοῦ εὐαγγελιστοῦ Ματθαίου λέγοντος· (Ματθ. β. ιϛ.) Ἰδὼν δὲ ὁ βασιλεὺς Ἡρώδης, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ὄντας ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων. ταῦτα ἐν τῇ κατὰ σάρκα γεννήσει τοῦ Χριστοῦ. ἄκουε δὲ πῶς ἐκ πολλῶν τῶν χρόνων προελέγετο. ὅπως, φησὶ, πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ προφήτου λέγοντος· Κραυγὴ ἐν Ῥαμᾷ ἠκούσθη, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς. ὁρᾷς πρὸ πόσων γενεῶν κατηγγέλλετο ἡ τοῦ Ἡρώδου ἐπ' ἐσχάτων τῶν ἡμερῶν μανία; Ἀποστείλας γάρ, φησιν, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς. ὢ τῆς Ἡρώδου μανίας, μᾶλλον δὲ τῆς τοῦ διαβόλου κακίας. αὐτοῦ γὰρ ἦν καὶ τοῦτο τὸ ἔργον· αὐτὸς ὥπλισε τὸν Ἡρώδην κατὰ τῶν νηπίων. ἀλλ' ὅμως καθ' ἑαυτοῦ τὸ ξίφος τῆς βρεφοκτονίας ἤγειρε. πολλὰ γὰρ ὁ Ἡρώδης μηχανησάμενος οὐκ ἀνεῖλεν Ἰησοῦν, ὃν ἐζήτει. ἡ δὲ τοῦ Ἡρώδου ἀποτυχία, τοῦ διαβόλου ταλαιπωρία. Ἰδὼν, φησιν, (Ματθ. β. ιϛ.) ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς. ὢ Ἡρώδη, τί προπετῶς θυμοῦσαι;

σαι; τί ὁπλίζῃ κατὰ τῶν νηπίων; ὑπὸ τῶν μάγων ἐνεπαίχθης, καὶ τὰ βρέφη φονοκτονεῖς; μὴ γὰρ τὰ βρέφη τοὺς μάγους ὡδήγησαν; ἀστὴρ αὐτοῖς ἐμήνυσε τὸν τεχθέντα δεσπότην. τὸν ἀστέρα οὖν μὴ δυνάμενος τοξεῦσαι, τὰ βρέφη φονοκτονεῖς; ἢ διὰ τοῦτο τῆς βασιλείας ἐπελάβου, ἵνα κατὰ θηλαζόντων τὴν ἰσχὺν ἐπιδείξῃ; νηπίοις πολεμεῖς, Ἡρώδη; μητέρας ἀτεκνοῖς; μαζοὺς ξηραίνεις; ἀγκάλας γυμνοῖς; σπλάγχνα πιτρᾷς; γυναιξὶν ὠδινούσαις θρήνους πληθύνεις; ἀπὸ διετοῦς καὶ κατωτέρω ἀναιρεῖς τὰ βρέφη; ἔχεις γὰρ ποῦ ἐμπήρῃς τὸ ξίφος. τοῦτο οὐκ ἔστι φονοκτονῆσαι, ἀλλὰ τυροτομῆσαι. ἐπίδειξον τοῖς παισὶ τὸ ξίφος· ἐὰν φοβηθέντα δειλιάσωσι, φόνευε, κατάσφαξε· ἐὰν δὲ ἱλαρυνόμενα προσδράμωσι τῷ ξίφει, τί προσφέρεις τὸ ξίφος τοῖς προσγελῶσι τῷ ξίφει; νομίζεις, Ἡρώδη, μετελθεῖν τὸν σωτῆρα καὶ φονοκτονῆσαι τοῦτον; ἐπεὶ δὲ ὅλως προῄρησαι, ἔκπεμψον δόγμα, τοὺς μάγους μετακάλεσαι, τὸν ἀστέρα παράστειλον, τὸν Γαβριὴλ φυλάκισον, τοὺς προφήτας ἀνάκρινον, μητέρα παρθένον ζήτησον. ἐὰν τούτων ἐπιλάβῃ, τότε δυνήσῃ καὶ τὸν Χριστὸν εὑρέσθαι. οὐ δοξολογεῖς, ἀλλὰ ζητεῖς τὸν ἀοράτως τεχθέντα; θεομαχεῖς, βασιλεῦ; τὸν βασιλέα τυγχάνοντα πολυπραγμονεῖς; κρατῆσαι θέλεις τὸν κρατοῦντά σε; ὀλέσαι θέλεις τὸν θέλοντά σε σῶσαι; συγεῖν πλημουργεῖς τὸν παρεστῶτά σοι, καὶ διὰ τὴν πονηρίαν σου ὀφθῆναί σοι μὴ βουλόμενον; τοῦτ' ἔστιν, Ἡρώδη, ὃ ἐκ πολλῶν τῶν χρόνων βοήσας, Ζητήσουσί με κακοί, καὶ οὐχ εὑρήσουσιν. ὡς νηπίου καταφρονεῖς τούτου; πολὺ τοῦ Ἀβραὰμ παλαιότερός ἐστι κατὰ τὴν θεότητα· οὐ μόνον δὲ τοῦ Ἀβραὰμ παλαιότερος, ἀλλὰ καὶ τοῦ Ἀδὰμ δημιουργός. οὐ δειλίας ἠμφίεσαι, ἀλλ' οἰκονομίαν μετέρχεται. τί οὖν προπετῶς, Ἡρώδη, θυμοῦσαι; ἀχαρίστου θυμοῦ τὸ κέρδος, κόλασις. τί τὰ ὅμοια Φαραὼ διαπράττῃ; ἐκεῖνος ἐν Αἰγύπτῳ τὰ ἄρρενα τῶν Ἑβραίων ποταμορριφεῖσθαι προσέταξε, καὶ σὺ ἐν Βηθλεὲμ τὰ ἄρρενα τῶν Ἰουδαίων βρέφη φονοκτονεῖσθαι προστάττεις. ὢ ὠμόθυμος θυμός· ὢ ἰσοτάλαντος ἀσπλαγχνία· ὢ ὁμοδίαιτος πονηρία. μᾶλλον δὲ ἤδη τἀληθέστερον εἰπεῖν, ὅτι ὁ Ἡρώδης τοῦ Φαραὼ πολὺ θηριωδέστερος. ὡσαύτως δὲ καὶ οἱ δορυφόροι τοῦ Ἡρώδου τῶν ὑπασπιστῶν τοῦ Φαραὼ πολὺ χαλεπώτεροι. ὁ Φαραὼ, εἰ καὶ ἐν Αἰγύπτῳ τὰ ἄρρενα τῶν Ἰουδαίων βρέφη φονοκτονεῖσθαι προσέταξεν, ἀλλ' ὅμως ὡς ἀλλοεθνὴς ἐπεχείρει τοῦτο, δεδιὼς μὴ κατισχύσῃ τοῦτο τὸ τῶν Ἰσραηλιτῶν γένος, καὶ πορθήσῃ τοὺς Αἰγυπτίους. φειδοῖ τῶν Αἰγυπτίων τοὺς Ἰσραηλιτῶν παῖδας κατασφάζει· διὰ φόβον πολεμεῖ, οὐ διὰ φθόνον ἀναιρεῖ. οὕτω γὰρ ὁ Φαραὼ τοῦ Ἡρώδου φιλανθρωπότερος ἦν, ὅτι καὶ ὃν ἐθέσπισε νόμον ἀνέλυσε, καὶ διαλύτης ἐγένετο τοῦ ἰδίου θεσπίσματος. μόνον γὰρ εὗρε τὸν Μωϋσῆν ἐν θίβῃ τῷ ποταμῷ φερόμενον, ἀνείλατο τοῦτον διὰ τῆς θυγατρὸς αὐτοῦ, καὶ οὐ μόνον οὐκ ἐφόνευσεν, ἀλλὰ καὶ εἰς υἱὸν ἀνέθρεψε, φειδοῖ τοῦ βρέφους τὸν νόμον καταλύσας. τί λέγεις, Ἡρώδη; Φαραὼ τὸν Μωϋσέα διασώζει, καὶ σὺ τὸν δεσπότην Χριστὸν μετελθεῖν προῄρησαι; ἐκεῖνος τὸν μέλλοντα τὴν Αἴγυπτον μαστίζειν περιποιεῖται, καὶ σὺ τὸν σώζοντα τὴν οἰκουμένην φονεύειν θέλεις; οὕτω πάλιν καὶ τῶν δορυφόρων τοῦ Ἡρώδου οἱ ὑπασπισταὶ τοῦ Φαραὼ αἰδεσιμώτεροι. αἱ γὰρ μαῖαι ἅμα τῷ τοκετῷ τῶν βρεφῶν βροχῆσαι προσταχθεῖσαι τὰ ἄρρενα τῶν Ἑβραίων, οὐ μετῆλθον τοῦτο φιλόθεοι τυγχάνουσαι, καὶ ταῦτα Αἰγύπτιαι οὖσαι τῷ γένει. ἠλίασετο γὰρ αὐτῶν ἤδονα σπλάγχνα, ἐπιστάμεναι τί πάσχουσι μητέρες ἀρρένων βρεφῶν βιαίῳ θανάτῳ στερούμεναι. διὸ εἵλαντο μᾶλλον τῷ προσκαίρῳ προσκροῦσαι βασιλεῖ, ἢ τῷ μείζονι βασιλεῖ καὶ Θεῷ ἀντιτάξασθαι. ὁ δὲ Ἡρώδης οὐ πρὸς ἄλλο ἔθνος τὴν κακίαν ἐπεδείξατο, ἀλλὰ πρὸς τοὺς ὁμοφύλους τὴν μανίαν ἐτεκτήνατο. καὶ Φαραὼ μὲν τῇ Αἰγύπτῳ μόνῃ τὸν τοιοῦτον θυμὸν ἐγύμνωσε, καὶ οὐ περαιτέρω· Ἡρώδης δὲ οὐ μόνον ἐν Βηθλεέμ, ἀλλὰ καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς κρεοκοπεῖσθαι τὰ βρέφη προσέταξεν. ὢ τοῦ ἀδίκου δόγματος ἐκείνου, τοῦ ἀθέως ἐπισκηψαμένου τότε κατὰ πόλιν καὶ κώμας καὶ ἀγροὺς καὶ ῥύμας. οὐκ ἦν ποῦ κρύψωσιν αἱ μητέρες τὰ τέκνα. ἔξω γὰρ τῶν μητρικῶν ἀγκα-

λῶν

λαυ μένειν οὐκ ἠνείχοντο. Εἰ δέ ποτε μήτηρ ἠβουλήθη κρύψαι τὸ ἴδιον τέκνον, ἐκείνῳ κλαυθμῷ ἑαυτὸν προεδίδου, τῇ πρὸς τὸν μαζὸν φιλίᾳ τὸν θάνατον ἐφελκόμενον. ὥσπερ γὰρ ἰχθὺς ἔξω τοῦ ὕδατος ζῆν οὐκ ἀνέχεται· οὕτω καὶ βρέφος μητρικῶν μαζῶν στερούμενον οὐκ εἰς μακρὰν τὴν διαφθορὰν δέχεται. ὢ τῆς καθολικῆς θρηνῳδίας ἐκείνης. οὐχ εὑρίσκω πῶς διαγράψω τῶν μητρικῶν ὀδυρμῶν τὰ σχήματα. Εἰ βαρβάρων ἔφοδος ἐγεγόνει, κουφότερον ἂν αἱ μητέρες τὴν ὀδύνην ἔφερον. συμφορὰ γὰρ μεριζομένη μετριώτερον οἶδε δάκνειν τὸν πάσχοντα. οὐκ ἦν βαρβάρων ἔφοδος, ἀλλ᾽ ἐμφύλιος πόλεμος. βία ἦν ἐντυχίαν μὴ ἔχουσα, παρανομία ἦν νόμον ἔχουσα συνήγορον. αἱ μητέρες ἐβόων, καὶ ὁ ἀκούων οὐκ ἦν· τὰ βρέφη ἀντεθρήνουν, καὶ ὁ ἐλεῶν οὐ παρῆν. οἱ μαζοὶ τῶν γυναικῶν τὴν γῆν κατέρρεον, καὶ ὁ Ἡρώδης μᾶλλον ὡς λίθος ἐπεπήγει. ὠμότεροι τοῦ βασιλέως οἱ δορυφόροι, ἄλλην ἄλλως τὰ βρέφη μετήρχοντο, τὰ μὲν αὐτῶν πρὸς τοὺς τοίχους προσαράττοντες, τὰ δὲ ἐπὶ τῶν πετρῶν ἐδαφίζοντες, τὰ δὲ καὶ μακρόπνικτα καταλιμπάνοντες. ἐθορύβει γὰρ αὐτοὺς τοῦ τοιούτου δράματος ὁ ἐργοδιώκτης διάβολος. ἐπὶ τούτοις οὖν καὶ τοῖς παραπλησίοις αἱ μητέρες ἠσθένουν, καὶ τῷ πάθει μεθύουσαι τῆς εὐπρεπείας οὐκ ἐφρόντιζον. τοὺς χιτῶνας διερρήγνυον, τοὺς πλοκάμους τῷ ἀέρι διερρίπτουν, τοὺς ὀφειλομένους κρύπτεσθαι μαζοὺς ἐδημοσίευον, τὸ στῆθος λίθοις κατήρασσον, τὰς παρειὰς ὡς δήμιοι κατέξεον, τὸν οὐρανὸν ὡς σιωπῶντα κριτὴν ἐμαρτύραντο. ἐντυχίαν ἐποιοῦντο πρὸς τὸν τῶν ὅλων κριτὴν καὶ δεσπότην, λέγοντες· τίς ἡ τοσαύτη τοῦ βασιλέως ὠμότης, δέσποτα; ἐν τοῖς σοῖς ἐκεῖνος πλάσμασι διαπράττεται; σὺ ἐδημιούργησας, ἐκεῖνος κατασφάττων οὐ παύεται· σὺ ἐχαρίσω, ἐκεῖνος ζημιοῖ. διὰ τί δὲ καὶ ἄρρενας ἐτίκομεν, εἰ οὕτω τῶν ἀρρένων πικρὸς ὁ θάνατος; εἰ σὸν τὸ πρόσταγμα, καὶ ἡμᾶς αὐτὰς συναποθανεῖν κέλευσον· εἰ δὲ τοῦ παρανόμου βασιλέως τὸ ἐγχείρημα καὶ πρόσταγμα, τί θᾶττον αὐτὸν οὐ μετέρχῃ; ἀλλ᾽ εἰκὸς μὲν τὰς μητέρας ὑπὸ τοῦ πάθους δακνομένας ταῦτα βοᾶν, μὴ εἰδυίας τὸ συμφέρον τοῖς αὐτῶν νεοττοῖς. τί δὲ μακαριώτερον διὰ τὸν δεσπότην Χριστὸν ἐπιβουλευομένων; τί μακαριώτεροι τούτων τῶν παίδων, ὅτι οὐ δι᾽ ἑαυτῶν ἐσφάζοντο μόνον, ἀλλὰ καὶ ὡς αὐτὸς ὁ Χριστὸς ἐφονεύετο; ὄντως εὔκαιρον εἰπεῖν πρὸς τὰς μητέρας τὸ τοῦ Κυρίου ῥητόν, Μὴ κλαίετε μητέρες, μὴ κλαίετε· πρὸς ὀλίγον τοὺς ὑμετέρους κόλπους ἐζημίωσαν, ἀλλὰ τοὺς Ἀβρααμιαίους κόλπους ἐκληρονόμησαν· μὴ κλαίετε μητέρες, μὴ κλαίετε· μηδὲ κωλύετε τὰ νήπια ἔρχεσθαι πρός με. τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Λουκ. κγ. κη. — *Ματθ. ιθ. ιδ.*

Λογ. κζ΄.

ΕΙΣ ΜΑΡΘΑΝ ΚΑΙ ΜΑΡΙΑΝ, ΚΑΙ ΛΑΖΑΡΟΝ, ΚΑΙ Ἠλίαν τὸν προφήτην.

Ex Ms. Regio Lut.

ΟΣοι τῆς δεσποτικῆς ἀναστάσεως ἔρωτα φέρετε, τῆς ἀρτίως ἀναγνωσθείσης μαρτυρίας τὸ φιλόχριστον μύρον γνησίως ὑποδέξασθε. ἤδη γὰρ Μαρία μυρίζει, καὶ ἡ ἐκκλησία εὐωδιάζεται· ἤδη τὸ ἀλάβαστρον κενοῦται, καὶ τὸ θυσιαστήριον θυμηδίας πληροῦται· Μαρία μυρίζει, Μάρθα διακονεῖ, καὶ ὁ ἐκ νεκρῶν τῷ Κυρίῳ συνανάκειται. ἔντιμον γὰρ τὸ τῶν ἀνδρῶν γένος, ὅτι ἀνὴρ κατ᾽ εἰκόνα Θεοῦ ἐγένετο, ἡ δὲ γυνὴ ἐκ τῆς εἰκόνος τοῦ ἀνδρός, τὸν μὲν ἄνδρα δοξάζουσα, τὸν δὲ Χριστὸν οὐ χαρακτηρίζουσα. καὶ τίς τούτων μάρτυς, ἵνα μὴ μέμψιν καρπωσώμεθα; ἄκουε τοῦ Παύλου βοῶντος· Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει τὴν κεφαλὴν κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστι. γυνὴ δὲ δόξα τοῦ ἰδίου ἀνδρός· οὐ γὰρ τῶν ἀλλοτρίων· οὐ διὰ τὴν ἀρχαίαν

α. Κορινθ. ια. ζ.

ματαιοσυμβουλίαν, ἀλλὰ διὰ τὴν τελευταίαν γνησίαν τεκνογονίαν. αὕτη γὰρ τὴν γυ-
ναῖκα τῆς κατάρας ἀπήλλαξεν ἡ γνησία τεκνογονία. καὶ τίς τούτων μάρτυς; ὁ αὐτὸς ἀπό-
στολος βοῶν, Ὁ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε· σωθήσε- α. Τιμ. β. ιδ.
ται δὲ πάλιν διὰ τεκνογονίας. ὁρᾷς ὅτι διὰ τῆς τεκνογονίας σώζεται ἡ γυνή; οὐχ ὅτι Εὔα τὸν
5 Κάϊν ἐξέβρασεν, ἀλλ᾽ ὅτι ἡ ἔνδοξος παρθένος τὸν Ἰησοῦν ἐκυοφόρησε. Μαρία τοίνυν μυρί-
ζει, Μάρθα διακονεῖ, καὶ ὁ Λάζαρος τῷ Κυρίῳ συνανάκειται, καθὼς ἀρτίως ἠκούσατε.
Μαρία τὴν ἐκκλησίαν εἰκονογραφεῖ· ἀνεκλιπὲς γὰρ τῆς ἐκκλησίας τὸ μύρον. Μάρ-
θα δὲ τὴν συναγωγὴν ὑποδεικνύει· ὀλιγόπιστος γὰρ, καὶ τῶν ἐπιγείων φίλη. Λάζαρος
δὲ σκῆπτρον τῆς ἀναστάσεως βαστάζει, ὡς ἠκούσατε ἀρτίως τοῦ εὐαγγελιστοῦ βοῶντος, Ἦλθεν Ἰωαν. ιβ. α.
10 ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. ἐποίησαν οὖν αὐτῷ δεῖπνον
ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων αὐτῷ. ἡ οὖν Μαρία λα-
βοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶν
αὐτῆς ἐξέμαξεν· ἡ δὲ οἰκία ὅλη ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. εἶδες γυναικὸς ἐργασίαν,
καὶ πῶς τὴν ἐκκλησίαν προεικονογράφησεν; ἡ Μαρία τὰς πολλὰς τῶν γυναικῶν ἀπε-
15 σόβησεν ἐκ τῆς κακεργασίας αὐτῶν, καὶ ἐδίδαξε λίτραν μύρου βαστάζειν, καὶ μὴ κεφαλὴν
Βαπτιστοῦ ἀποτέμνειν· τὸν Κύριον μυρίζειν, καὶ μὴ τῷ Ἰούδᾳ συγκλέπτειν· τὰς τρίχας ἐκ-
λύειν, καὶ μὴ τὰς ἁμαρτίας συσφίγγειν· ἀδελφὴν Λαζάρου προσαγορεύεσθαι, καὶ μὴ θυ-
γατέρα τοῦ διαβόλου φημίζεσθαι. ταῦτά μοι διὰ τὴν συναγωγὴν Ἰουδαίων εἴρηται,
τὴν τὸν Κύριον μὴ μυρίσασαν, ἀλλ᾽ ὄξος καὶ χολὴν ποτίσασαν, τὴν αἱμάτων φίλην, τὴν
20 ἀεὶ ἐναντίως τοῦ δεσπότου Χριστοῦ διαπραττομένην, τὴν σπουδάζουσαν τὸν Λάζαρον
θανατῶσαι, ὃν ἤγειρεν ἐκ νεκρῶν. καὶ τίς ἄρα πιστικώτερος; ὁ Κύριος ἐγείρων, ἢ ἐκεῖνοι ἀ-
ποκτείνοντες; ὡς ἀρτίως ἠκούσατε τοῦ εὐαγγελιστοῦ λέγοντος, Ἔγνω ὄχλος πολὺς τῶν Ἰουδαί- Ἰωαν. ιβ. θ.
ων, ὅτι ἐκεῖ ἐστιν Ἰησοῦς· καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ᾽ ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν
ἤγειρεν ἐκ νεκρῶν· ὅτι πολλοὶ δι᾽ αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. εἶ-
25 δες τὴν τῶν Ἰουδαίων συναγωγὴν, πῶς ἀδελφοκτόνος, προφητοκτόνος, ὥστε εἰς κυριοκτονίαν
ἐλάσαι· ἢ καὶ αὐτὸς ὁ Κύριος αὐτοπροσώπως, ὡς φιλοφόνῳ καὶ λῃστρικῇ ἔλεγεν· Ἱερουσαλὴμ, Ματθ. κγ. λζ.
Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐ-
τὴν, ἕως πότε φονεύσῃ, καὶ οὐκ ἐπιστρέφεις; μέθῃ μεθύεις μὴ οἰνοποτοῦσα, ἡ αἱμάτων φίλη;
καὶ ἵνα μάθῃς, ὅτι οὐ κόμπος τὰ ῥήματα, ἄκουε τοῦ Κυρίου λέγοντος διὰ τοῦ προφήτου·
30 Ἀκούσατε ταῦτα πάντα οἱ ἡγούμενοι οἴκου Ἰακὼβ, καὶ οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, Μιχ. γ. θ.
οἱ βδελυσσόμενοι κρίμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκοδομοῦν-
τες Σιὼν ἐν αἵμασι, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. καὶ πάλιν, Ἐὰν ἐκτείνητε τὰς χεῖρας Ἡσ. α. ιε.
ὑμῶν πρὸς μὲ, ἀποστρέψω τὸ πρόσωπόν μου ἀφ᾽ ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν
δέησιν, οὐκ εἰσακούσομαι. αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. τί οὖν ὁ εὐαγγελι-
35 στής; πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν. ὁ εἰς Βηθανίαν ἐλθὼν Κύριος,
αὐτὸς καὶ ὧδε πάρεστιν. ὧδε γὰρ κυρίως Βηθανία ὁ παρὼν οἶκος ὀνομάζεται· ἐπεὶ Βηθανία οἶ-
κος εἰρήνης λέγεται, οἶκος δὲ εἰρήνης ὁ παρὼν τοῦ Κυρίου οἶκος, εἰς ὃν ἡμεῖς οἰκήτορες καθ᾽
ἑκάστην ἡμέραν πρὸς τὸν οἰκοδεσπότην βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰ- Λουκ. β. ιδ.
ρήνη, ἐν ἀνθρώποις εὐδοκία. ὁ εἰς Βηθανίαν ἐλθὼν, αὐτὸς καὶ ὧδε παραγίνεται· παραγίνε-
40 ται δὲ οὐχ ὡς μὴ παρὼν, ἀλλ᾽ ὡς ὢν, καὶ παρὼν, καὶ ἐρχόμενος. ταύτην τὴν τοῦ Κυρίου ἔλευσιν
καὶ ὁ προφήτης προθεωρήσας ἔλεγεν, Ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, ὁ βραχίων αὐτοῦ μετὰ Ἡσ. μ. ι.
κυρείας. ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται. ἀληθὴς ὁ λόγος, μετὰ ἰσχύος ὁ Κύριος ἔρχεται.
πῶς μετὰ ἰσχύος; ὡς τὸν ᾅδην σκυλεύσας, ὡς τὸν Λάζαρον τῆς ἀναστάσεως γεύσας, ὡς μυ-
ρίας εὐεργεσίας τὸν κόσμον ἐμπλήσας. ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται. τίς γὰρ ἰσχυρότερος

τοῦ εἰπόντος, Λάζαρε, δεῦρο ἔξω; ἰδοὺ Κύριος μετ' ἰσχύος ἔρχεται· ἔρχεται ὁ μὴ ἀπιών. ἤκουσας γάρ, ἐξέλθωμεν εἰς ἀπάντησιν τοῦ παρόντος καὶ ἐρχομένου, οὐ μὴν βαδίζοντες τῇ τῶν ποδῶν μεταστάσει, ἀλλὰ τὰς ψυχὰς καθαίροντες τῇ τῶν τρόπων βελτιώσει. ἐξέλθωμεν εἰς ἀπάντησιν τοῦ παρόντος· εὐχαριστοῦντες ποιήσωμεν ὃ ἐποίησεν ἡ ἀδελφὴ Μωϋσέως· δραστικωτέρας ἐκείνης φωνὰς βάλωμεν, ἐπεὶ καὶ χαλεπώτερος τοῦ Φαραὼ ὁ τῇ λίμνῃ τοῦ ὕδατος καταποντισθεὶς διάβολος. ἀσπασώμεθα οὖν τὰ τῆς νίκης σύμβολα, οὐ τύμπανα χειροκρατούμενα, ἀλλὰ καὶ βάϊα φοινίκων βλαστήματα. βοήσωμεν μετὰ τῶν ὁμοπίστων ἀδελφῶν, ἅπερ ἀρτίως ἠκούσαμεν, Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ βασιλεὺς τοῦ Ἰσραήλ. ταύτην τὴν βασιλικὴν τοῦ Κυρίου ἔλευσιν Ἡσαΐας ὁ προφήτης προθεωρήσας ἔλεγε, καθὼς προεῖπον, Ἰδοὺ Κύριος μετ' ἰσχύος ἔρχεται, ὡς νεκροὺς ἐγείρας· καὶ οὐχ ἁπλῶς νεκρούς, ἀλλὰ σεσηπότας, διαρρυέντας, ἰχωροστατήσαντας, τειχορυήσαντας, τεταρταῖον τὸν Λάζαρον ἐκ τῶν τάφων ἀναστήσας, ὡς ἤκουες τοῦ εὐαγγελιστοῦ λέγοντος, πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. τί τοιοῦτον Μωϋσῆς ἐποίησεν, οἷον ὁ δεσπότης ἡμῶν Χριστός; Μωϋσῆς μὲν ἐθανάτωσεν· οὐ γὰρ ἐζωοποίησεν. αἰσχυνέσθωσαν λοιπὸν Ἰουδαίων παῖδες, τὸν Μωϋσῆν ἐγκωμιάζοντες, καὶ τὸν δεσπότην Χριστὸν λοιδοροῦντες. ἀλλ' εὐθέως Ἰουδαῖος παρεκπηδᾷ λέγων· καὶ παρ' ἡμῖν οὐκ ἀνέστη νεκρός; οὐκ ἤγειρεν Ἠλίας ὁ προφήτης τὸν τῆς Σαρεφθίας χήρας υἱόν; ἄνθρωπος δὲ ὁ Ἠλίας. πῶς οὖν ἐπὶ τοῦ διδασκάλου ὑμῶν μεγαλοφρονεῖτε, θεοδυναμίαν αὐτῷ μαρτυροῦντες, δι' ὃν ἤγειρε Λάζαρον ἐκ νεκρῶν; τί λέγεις, ὦ Ἰουδαῖε; συγκρίνεις τὸν Ἠλίαν, καὶ τὸν δεσπότην Χριστόν; ἄλλο παιδεία δουλική, καὶ ἄλλο ἐξουσία θεϊκή. εἰ μὴ γὰρ ἔγνως πρῶτον τὸν τρόπον τῆς νεκρεγερσίας, οὐ μὴ συνίδῃς τὸν λόγον τῆς θεϊκῆς ἐξουσίας. ἄκουε συνετῶς. ὁ ἐπὶ τοῦ Ἠλίου νεκρός, ὁ υἱὸς τῆς Σαρεφθίας χήρας, εἰ καὶ θανάτῳ παρεδόθη, ἀλλ' ὅμως οὐ διὰ τὴν φυσικὴν ἔκλειψιν, ἀλλὰ διὰ παιδείαν καὶ θλῖψιν τοῦ Ἠλίου, πρὸς τὸ καμφθῆναι τὸν Ἠλίαν ἐκ τῆς σκληροκαρδίας εἰς συμπάθειαν. ὀργισθεὶς γάρ ποτε ὁ Ἠλίας, καθὼς ἴστε σαφῶς, τῷ οἴκῳ Ἀχαάβ, καὶ τῷ Ἰσραηλιτικῷ λαῷ διὰ τὴν παρανομίαν τῆς Ἰεζάβελ, μεθ' ὅρκου ἀπεφήνατο λέγων, Ζῇ Κύριος ὁ Θεός, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος, ἢ ὑετὸς ἐπὶ γῆς, εἰ μὴ διὰ στόματός μου. ταύτῃ τῇ ἀνύδρῳ ἀποφάσει τοῦ Ἠλίου ὁ τῶν ὅλων Θεὸς οὐκ ἠρέσθη, πληροῖ δὲ τὴν τοῦ δούλου ἀπόφασιν. ἤθελε γὰρ αὐτὸν τὸν δήσαντα τὰς νεφέλας τῇ στερώσει τῶν πλουσίων ὑετῶν, θᾶττον λυθῆναι τὴν συμφορὰν τῆς ἀνυδρίας. ὁ δὲ Ἠλίας οὐ προσέθετο τῇ διαλλαγῇ. ἄλλως γὰρ ὁ Θεὸς σπλαγχνίζεται, καὶ ἄλλως ἄνθρωπος σκληρύνεται. ὁ Κύριος οὖν ἐπὶ τῇ σκληρίᾳ τοῦ δούλου ἤθελε παρακαλέσαι τὸν δοῦλον, ἵνα δωρήσηται τῇ γῇ ὑετὸν διὰ τοῦ λόγου. ἀνοίκειον γὰρ τῷ Θεῷ ἦν ἄνθρωπον παρακαλέσαι· διὸ καὶ ὡς Θεὸς ἄλλην μετῆλθε πραγματείαν. ποίαν ταύτην; ἄκουε συνετῶς. τῆς ἀβροχίας τοίνυν ἐπιτεινομένης, ἐπὶ ἔτη τρία καὶ μῆνας ἓξ οὐκ ὠγκώθη πρὸς ὄμβρων τόκον νεφέλη. ἤρξατο οὖν ὁ Ἠλίας ὀλιγωρεῖν τῇ δίψῃ, ἀλλ' ὅμως ἐκαρτέρει βαστάζων τὴν ἔνδειαν, ἐκ φιλονεικίας τοῦτο ποιῶν. ἤθελε γὰρ καὶ αὐτὸς ἐκτριβῆναι, ἢ διαλλαγῆναι τῷ οἴκῳ Ἀχαάβ. τί οὖν ὁ Κύριος; σοφίζεται τὸν ἴδιον δοῦλον, οὐ παρακαλῶν, ἀλλὰ λέγων· Ἀνάστηθι ἐντεῦθεν, καὶ πορεύθητι εἰς τὸν χειμάρρουν Χορρὰθ τοῦ ἐπὶ προσώπου τοῦ Ἰορδάνου, καὶ πίεσαι ὕδωρ ἐκ τοῦ χειμάρρου, καὶ τοῖς κόραξιν ἐντελοῦμαι [τοῦ] διατρέφειν σε ἐκεῖ. ταῦτα δὲ ἔφη ὁ Κύριος, οὐχ ἵνα θρέψῃ τὸν Ἠλίαν, ἀλλ' ἵνα ὑβρίσῃ· οὐχ ἵνα τιμήσῃ, ἀλλ' ἵνα διὰ τῆς ἐφυβρίστου τροφῆς εἰς συμπάθειαν αὐτὸν ἑλκύσῃ. ἀνοίκειον γὰρ ἦν τὸν προφήτην διὰ κοράκων τραφῆναι, καὶ κρεοφόρον αὐτῷ τράπεζαν παρατεθῆναι τῷ ἐξ ἀρχῆς ἀσκητικοὺς πόνους διατιμῶντι. ἴσχυε γὰρ ὁ Κύριος ἢ διὰ περιστερῶν θρέψαι τὸν δίκαιον, ἢ διὰ

Ματθ κα. θ.

Ησ μ. ι.

γ. Βασ ιζ. α.

* *

γ. Βασ ιζ. γ.

τῆς

τῆς τοῦ μάννα δόσεως, καθ' ὁμοιότητα τῶν υἱῶν Ἰσραήλ, ἀλλ' ὁ παραπλησίως τοῦ Δανιὴλ φα-
κοφορεῖν ἄνδρα τὸν Ἀμβακοὺμ παραστῆσαι. ἴσχυεν ὁ Κύριος τὸν Ἠλίαν σεμνῶς διαθρέψαι,
ἐπειδὴ καὶ ἐν ἄλλῃ καθόδῳ σεμνῶς αὐτὸν διέθρεψεν. ἡνίκα γὰρ ἄλλοτε Ἠλίας φεύγων τὴν
Ἰεζάβελ ἔρημον κατέλαβε, καὶ ἐν τῇ ἐρήμῳ ἐκαθεύδησεν πολλῷ τῷ λιμῷ καὶ τῇ δίψῃ, ὅτι
5 πολλὴ ἡ τῆς φυγῆς ὁδὸς, τίθησιν οὖν ὁ Κύριος πρὸς κεφαλὴν αὐτοῦ ἄρτον καὶ ὕδωρ, καὶ αὖθις
νύττει τὴν πλευρὰν αὐτοῦ, καὶ οὐκ ἄλλο μέρος. διὰ τί; ἄκουε συνετῶς. τὴν πλευρὰν αὐτοῦ
νύττει, ἐπειδὴ ἀπειλὴν πλευρᾶς ἔφυγε. καὶ πρὸς αὐτὸν ὁ Κύριος· Ἠλία, ἀνάστηθι, καὶ φά- γ. Βασ. ιθ. ζ.
γε, καὶ πίε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. ἀναστὰς δὲ ὁ Ἠλίας καὶ φαγὼν, καὶ πιὼν ἐπορεύθη ἐν τῇ
ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας, οὐχ ὡς πεινῶν,
10 ἀλλ' ὡς ἐμπεπλησμένος. τοιαύτη γὰρ ἡ θεοδώρητος βρῶσις. ὁ ἐκεῖσε τοίνυν γνησίως δια-
θρέψας, ἴσχυσε καὶ ἐν τῷ παρόντι οὐρανόθεν αὐτὸν διαθρέψαι· ἀλλὰ παραίτησιν αὐτῷ ἀνοί-
κειον τράπεζαν, ὅπως διὰ τῆς ἐφυβρίστου τροφῆς καμφθῇ πρὸς συμπάθειαν καὶ οἶκτον. ὁ
δὲ ἔμενεν ἀκαμπής. δέον γὰρ τὸν Ἠλίαν ἀκούσαντα τοῦ Κυρίου λέγοντος, Πίεσαι ἐκ τοῦ χει- γ. Βασ. ιζ. γ.
μάρρου, καὶ τοῖς κόραξιν ἐντελοῦμαι τοῦ διατρέφειν σε ἐκεῖ, προσπεσεῖν, ἱκετεῦσαι, καὶ εἰ-
15 πεῖν, Μηδαμῶς, Κύριε· οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου πᾶν κοινὸν καὶ ἀκάθαρτον. "κό- Πραξ. ι. ιδ.
ραξί μοι παριστᾷς τοὺς ἐπιβούλους τοῦ Νῶε; κρεοφορεῖν τράπεζαν εὐτρεπίζεις, ὡς ἐθνικῷ καὶ
ἀλλοφύλῳ, ἀσκητικοῖς ἔθεσιν ἐξ ἀρχῆς" πρὸς ἐναπαέντα; ἔδει ταῦτα παρακλητικῶς τὸν
Ἠλίαν προσενέγκαι τὰ ῥήματα· ἀλλ' οὐδὲν τούτων ὁ Ἠλίας. ἤδει γὰρ, ὅτι ἐὰν αἰτιάσηται
τὴν ἀνοίκειον τράπεζαν, ἐρεῖ πρὸς αὐτὸν ὁ Κύριος, τί λέγεις, ὦ Ἠλία; οὐ καταδέχῃ πιεῖν
20 ῥυπαρὸν ὕδωρ, ὑετὸν μὴ ἐάσας κατελθεῖν; ἐπυράκτωσας γὰρ τὴν γῆν τοῦ Ἰσραήλ. οὐκ
ἔστιν εὑρεῖν σταγόνα ὕδατος ἐν φρέατι, οὔτε ἐν πηγῇ νοτίδα. ὃ οὖν ἐποίησας, κατάδεξαι. οὐ
προσδέχῃ κρεοφορεῖν κοράκων τροφήν; οὐκ ἔστιν εὑρεῖν ἄρτον, οὐδὲ στάχυν, οὐδὲ χλοηφό-
ρον λάχανον, μήποτε ὄμβρου, μήτε δρόσου πεσούσης ἐπὶ τῆς γῆς τῇ σῇ τοῦ στόματος" κλῃ-
θρώσει. οὐδέν ἐστιν εὑρεῖν, εἰ μὴ κρέα μόνα, καὶ ταῦτα νεκριμαῖα, τῶν ζώων τελευτησάντων
25 τῇ ἐκλείψει τῆς τροφῆς. τί οὖν οὐ προσδέχῃ τὴν τράπεζαν τῶν σῶν καμάτων; ὅπως οὖν
μηδὲν τούτων ἀκούσῃ ὁ Ἠλίας, κατεδέξατο τὴν ἀνοίκειον τράπεζαν. εἵλετο γὰρ μᾶλλον
ἀνομβρίαν βαστάσαι πολυχρόνιον, ἢ τὸν ὀμβροφορεῖν δέξασθαι λόγον. τί οὖν ὁ πάνσοφος
Κύριος; ὡς εἶδεν αὐτὸν προσμένοντα τῇ σκληρίᾳ, ἄλλην πραγματείαν μετέρχεται ἰσχυ-
ροτέραν τῆς προτέρας. ποίαν ταύτην; ξηραίνει τὸν ποταμὸν, συστέλλει τοὺς κόρακας, βάλλει
30 φωνὴν πρὸς αὐτόν· Πορεύου εἰς Σάρεπτα τῆς Σιδωνίας. ἰδοὺ ἐντελοῦμαι γυναικὶ χήρᾳ
τοῦ διατρέφειν σε ἐκεῖ. ὁρᾷς πῶς ἐσπούδαζεν εἰς συμπάθειαν αὐτὸν κλῖναι ὁ Κύριος; οὐ γὰρ
ἀπέστελλεν αὐτὸν εἰς οἶκον ἀρχοντικὸν, ἢ εἰς βασιλικὸν, ἢ εἰς εὔπορόν τινα γυναῖκα, ἀλλὰ
πρὸς χήραν ἐνδεομένην· ὅπως κἂν οὕτω καμφθῇ πρὸς συμπάθειαν. ὁ δὲ καὶ οὕτως ἀκαμ-
πὴς ἔμενε. δέον γὰρ αὐτὸν ἀκούσαντα τοῦ Κυρίου λέγοντος, πορεύθητι εἰς Σάρεπτα τῆς Σι-
35 δωνίας· ἰδοὺ ἐντελοῦμαι γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε ἐκεῖ, προσπεσεῖν, βοῆσαι, ἱκε-
τεῦσαι, καὶ εἰπεῖν, μὴ καταγάγῃς με εἰς ταπείνωσιν, ὦ δέσποτα· Σιδωνίοις με παραπέμ-
πεις, καὶ γυναικὶ χήρᾳ παρενοχλεῖν με προστάττεις, ἧς ὁ ἄρτος δακρύων πεπληρωμένος, ἡ τρά-
πεζα στεναγμῶν ἀνάμεστος, ἡ κλίνη κατάρας προσκεφάλαιον ἔχουσα; ἀλλ' οὐδὲν τούτων ὁ
Ἠλίας. ἔγνω γὰρ ὅτι ἐὰν παραιτήσηται τῆς χήρας τὴν τράπεζαν, ἐρεῖ πρὸς αὐτὸν ὁ Κύ-
40 ριος· τί λέγεις, ὦ Ἠλία; παραιτῇ τῆς χήρας τὴν τράπεζαν, ὁ πᾶσαν τὴν γῆν Ἰσραὴλ
στειρεύειν παρασκευάσας, χήραν αὐτὴν ἐργασάμενος, στεῖραν, καὶ ἄτεκνον, καρποὺς μὴ τίκτου-
σαν, καὶ σὺ παραιτῇ τῆς χήρας τὴν τράπεζαν; ὅπως οὖν μηδὲν τούτων ἀκούσῃ ὁ Ἠλίας, εὐ-
θέως ἐστείλατο τὴν ἐπὶ Σιδωνίοις ἀποδημίαν, " ἐν εὐφροσύνῃ, ἢ ὀδύνῃ πορευόμενος. ἄ-
κουσον δὲ πρὸς ταῦτα. ξενωθεὶς ὁ Ἠλίας ὑπὸ τῆς χήρας εὗρεν ἀδαπάνητον τράπεζαν,

γνησίαν,

γνησίαν, ἁρμόδιαν, ἀσκητικὴν, ὕδωρ, καὶ ἔλαιον, καὶ ἄλευρον, καὶ δύο ξυλάρια. τί γὰρ
οὕτω; δύο ξυλάρια μόνα εἶχεν ἡ χήρα, ναί. πῶς; ἄκουσον, καὶ ἐρῶ σοι. αὕτη ἡ μνη-
μονευθεῖσα χήρα εἰκόνα τῆς ἐκκλησίας ἔφερε. διὸ πρὸς αὐτὴν ἀποστέλλεται ὁ
προφήτης. εἰσελθὼν τοιγαροῦν ὁ προφήτης εἰς τὸν οἶκον τῆς χήρας, εὗρεν ὡς
ἀληθῶς τῆς ἐκκλησίας ἡμῶν τὴν ἐνθήκην. εὗρεν ὕδωρ, καὶ ἔλαιον, καὶ ἄλευρον, καὶ δύο 5
ξυλάρια. ὕδωρ, τὸ βάπτισμα· ἔλαιον, τὸ χρίσμα· ἄλευρον, ὁ ἄρτος· δύο ξυλάρια, τοῦ

γ. Βασ. ιζ. ι.

σταυροῦ τὸ κατόρθωμα. ἰδοὺ δὲ καὶ πρὸς τὴν χήραν βοήσας ὁ Ηλίας· Ο καμψάκης τοῦ ἐ-
λαίου οὐκ ἐλαττονήσει, καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει. ἀνέκλειπτος γὰρ ἡ χάρις τῆς ὀρ-
θοδόξου πίστεως. εὑρὼν τοιγαροῦν ὁ Ηλίας τὴν ἀδάπανον τράπεζαν τῆς χήρας, ηὐφράν-
θη, ἠγαλλιάσατο, λέγων πρὸς ἑαυτόν· ὧδε διάξω τοῦ λοιποῦ, ὧδε χρονοτριβήσω, ὧδε τὸν 10
ἅπαντά μου χρόνον διατρίβω. ἁρμόδιαν γὰρ τὴν τράπεζαν εὗρον· οὐδείς μοι λόγος τῷ
οἴκῳ Αχαὰβ, καὶ τῷ λαῷ Ισραὴλ, καὶ τῇ μανίᾳ τῆς Ιεζάβελ· ἐξέπεσαν κληρονομίαν, τὴν
ἀβροχίαν. ἐγὼ γὰρ τὴν ἐνταῦθα οὐδ᾽ ὅλως χωρίζομαι. ταῦτα λέγων ὁ Ηλίας πρὸς
ἑαυτὸν εὐφραντικῶς λογιζόμενος, μὴ συνειδὼς ὡς ἄνθρωπος, ὅτι ἐν τῇ εὐφρασίᾳ τὴν
ὀδύνην ἔμελλεν εὑρίσκειν. ἴστε γὰρ πάντες, πῶς ἡ χήρα δύο παῖδας ἔχουσα γνησίους καὶ ὁμοκοι- 15
λίους, ὄρθρου τῆς κλίνης διεγερθεῖσα, θεωρεῖ τὸν ἕνα αὐτῆς υἱὸν θανάτῳ παραδοθέντα. οἶδε

ισ. ὑ

πέφυκε χήραν ἐπιτηδεύειν ἐπὶ τέκνῳ ἄρρενι τελείῳ τελευτῶντι, οὐδεὶς ὑμῶν ἀγνοεῖ. ἐνδο-
ξοτέραν γὰρ ἡγεῖται τὴν τοῦ τέκνου ζωὴν ὑπὲρ πάντα τὸν πλοῦτον τοῦ κόσμου. οὐ γὰρ
προσετέθη κατὰ τὸ εἰωθὸς τῷ νεκρῷ ἡ γυνὴ, οὔτε ἐκήδευσεν, οὔτε πρὸς τὴν ἔξοδον ἠσχολή-
θη· ἀλλὰ καταλιποῦσα αὐτῆς τὸν νεκρὸν, τοῦ Ηλία καθήψατο, κρατοῦσα, περιάγουσα, 20

Ι. Βασ. ιζ. ιη.

ὀχλοποιοῦσα, κράζουσα ἐπὶ πάντων, Τί ἐμοὶ καὶ σοι, ἄνθρωπε τοῦ Θεοῦ; ἦλθες πρὸς μὲ
τοῦ ἀναμνῆσαι τὰς ἁμαρτίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου; τουτέστι, σὺ αὐτὸν ἐθανάτωσας.
εἶδες πῶς ἡ εὐφροσύνη τοῦ Ηλία εἰς ὀδύνην μετῆλθεν; ὡς φονεὺς κατείχετο. οὕτω γὰρ
ἔλεγεν ἡ χήρα, τί ἐμοὶ καὶ σοι, ἄνθρωπε τοῦ Θεοῦ; εἰσῆλθες πρὸς μὲ τοῦ ἀναμνῆσαι τὰς
ἁμαρτίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου; σὺ αὐτὸν ἐθανάτωσας· ἡ σὴ εἴσοδος παρεσκεύασε τοῦ- 25
το. μὴ εὗρες τὸν παῖδά μου ἀσθενοῦντα; μὴ ἠρρώστησεν ἡμέραν μίαν; ἡ σὴ εἴσοδος τὸν θάνα-
τον τοῦ υἱοῦ μου παρέσχε. τί μοι ἄλευρον ἐχαρίσω, τοῦ ἐσθίοντος μὴ παρόντος; δός μοι τὸν υἱόν
μου. σὺ αὐτὸν ἐθανάτωσας κληρονομῆσαι τὸν οἶκόν μου βουλόμενος. δέξαι σὺ τὸ ἄλευρον,
καὶ δός μοι τὸν υἱόν μου. ἐμὲ σιτεύεις, καὶ τὸ τέκνον μου φονεύεις; μετὰ ἰδίων λιμώξω, καὶ μὴ μετὰ ξέ-
νων πλουτήσω. τί ἐμοὶ καὶ σοι, ὦ ἄνθρωπε τοῦ Θεοῦ; εἰσῆλθες πρὸς μὲ τοῦ ἀναμνῆσαι τὰς 30
ἁμαρτίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου; σὺ τὸν υἱόν μου ἐθανάτωσας, σκληρός μοι τις φαίνῃ·
οὐκ ἔστιν ἡ εἴσοδός σου εὐθεῖα. τί διεπράξω, ἀπάγγειλόν μοι. μὴ ἔφυγες τὸν Θεόν σου;
μὴ τὰ τοῦ Ιωνᾶ διεπράξω πράγματα; τραχύς μοι τις φαίνῃ. πῦρ πνέεις, φόνον ὀργᾷς,

ισ. ιγ

ἀβροχίαν βαστάζεις, πεντηκοντάρχας κατακαίεις. ἐγνώσθη μοι γὰρ οὕτω τὰ κατὰ σέ. οὐκ
ἀρκεῖ σοι ὅτι τοὺς ὁμοφύλους σου ἔπνιξας, ἀλλὰ καὶ ὧδε παραγένομενος τὰ ὅμοια διαπράξασθαι; 35
πολλοὺς ἔπαιξας, ἐμὲ δὲ οὐ παίξεις. δός μοι τὸν υἱόν μου. τί οὖν ὁ Ηλίας; συνεκάμφθη

χ. πα

εὐθέως. ἔγνω γὰρ τοῦ Κυρίου τὸ σόφισμα. διὸ μέγα στενάξας ὡς ἡττηθεὶς, ἐβόησε λέγων· Οἴ-

ισ. πι

μοι, Κύριε, ὁ μάρτυς τῆς χήρας, μεθ᾽ ἧς ἐγὼ οἰκῶ μετ᾽ αὐτῆς, σὺ ἐκάκωσας τοῦ θανατῶσαι
τὸν υἱὸν αὐτῆς· σὸν τὸ ἔργον. ἐπέγνω γὰρ, δέσποτα. ἰδοὺ ὑπὸ χήρας βιάζομαι. ἀεὶ γὰρ
σκληροτάταις γυναιξὶ παραπέμπεις με. τὴν Ιεζάβελ ἔφυγα, καὶ εἰς ταύτην περιέπε- 40
σα. πολλοὺς πειρασμοὺς ὑπέμεινα, ταύτης δὲ τὴν γλῶτταν βαστάσαι οὐ δύναμαι. σὺ ὦ
ὁ εἰρηκώς μοι, δέσποτα, πορεύθητι εἰς Σάρεπτα τῆς Σιδωνίας. ἰδοὺ ἐντελοῦμαι γυναι-
κὶ χήρᾳ τοῦ διατρέφειν σε ἐκεῖ· καὶ ἰδοὺ διαστρέφει· οὐ γὰρ διατρέφει. ὡς φονεὺς κατέχο-
μαι, καὶ καλῶς κατέχομαι· ἄνθρωπος γὰρ ἰδοὺ ὁ παῖς ἐν τῇ εἰσόδῳ μου. πῶς οὖν ἀθρό-

ως

ὡς θανάτῳ παρεδόθη, οὐκ οἶδα. λύτρωσαί με, Κύριε, τῆς ὀχλήσεως ταύτης. θάτερον
μοι περιέστησεν, αἰσχύνην μοι περιέθηκε, θλῖψιν μοι πολλὴν ἐπήγαγε. δὸς τὴν ψυχήν,
καὶ παρέχω τὴν βροχήν· πληροφόρησον τὴν χήραν, καὶ ἀποδώσω τὴν χώραν· δὸς τοῦ παι-
δὸς τὴν παλαιβίωσιν, καὶ κινῶ τὴν γλῶτταν πρὸς ὀμβροδοσίαν. ταῦτα μέν τοι διὰ τὴν
προῤῥηθεῖσαν τοῦ Λαζάρου νεκρεγερσίαν, καὶ τὴν τῶν Ἰουδαίων ἀντιλογίαν, ὅτι ἄλλως δεσπό-
της αὐθεντεῖ, καὶ ἄλλως δοῦλος ἐγχειρεῖ. Ἠλίας ἤγειρε νεκρόν, ἀλλ' ὅμως οὐκ ηὐθέντησεν. ὠ-
δυνήθη γὰρ πολλά, καὶ ἐθλίβη, καὶ γνώσει περιέπεσε· διὸ ἐβόησεν ἐν προσευχῇ λέγων, οἴ-
μοι. ὅπου δὲ τό, οἴμοι, ἐκεῖ ὀδύνη ψυχῆς. οὕτω γὰρ καὶ ἀλλαχοῦ εὑρήσεις τὸν προφήτην ὀδυρό-
μενον καὶ λέγοντα· Οἴμοι, ὅτι κατελείφθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ, καὶ ὡς ἐπι- Μιχ. ζ. α.
φυλλίδα ἐν τρυγητῷ. καὶ πάλιν ἕτερος προφήτης, Οἴμοι, οἴμοι εἰς ἡμέραν, ὅτι ἐγγὺς ἡ ἡ- Ἰωὴλ. α. ιε.
μέρα Κυρίου, καὶ αὐτὴ ὡς ταλαιπωρία. καὶ πάλιν ἄλλος, Οἴμοι ὅτι ἀπόλωλεν ἀπὸ τῆς
γῆς. πανταχοῦ ὀδύνη τὸ οἴμοι. οὕτω καὶ Ἠλίας ἐνταῦθα· οἴμοι, Κύριε, ὁ μάρτυς τῆς χήρας,
σὺ ἐκάκωσας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς. καὶ ἐνεφύσησε τῷ παιδαρίῳ τρίτον. ὅρα οὖν
ἐνταῦθα, πῶς ἐν τῷ νόμῳ τῆς χάριτος τὸ μυστήριον εἰκονογραφεῖται. τὸ γάρ, ἐνεφύ-
σησε τρίτον, τῆς ἀδιαιρέτου τριάδος τὴν εἴσοδον παριστῶν. Καὶ ἐπεκαλέσατο τὸν Θεόν, καὶ
εἶπεν· ἐπιστραφήτω δή, Κύριε, ἡ ψυχὴ τοῦ παιδαρίου εἰς αὐτόν. καὶ ἐγένετο οὕτω. τί
λέγεις, ὦ Ἰουδαῖε; μήτι τοιοῦτον ὁ Κύριος, οἷος Ἠλίας; μήτι τοιοῦτος Ἠλίας, οἷος ὁ Κύριος; μὴ
ἔκλινεν ὁ Κύριος γόνυ; μὴ ἐπλάτυνε τὴν προσευχήν; (αὐτῷ γὰρ πᾶσα προσευχὴ ἀ-
ναπέμπεται) φωνὴν ἀφῆκε μόνον, Λάζαρε, δεῦρο ἔξω, ὡς δεσπότης δοῦλον καλῶν. τί
οὖν; ἐξῆλθεν ὡς δοῦλος ὑπακούσας δεσπότῃ; ἐξῆλθεν, οὐκ ἐβράδυνεν, οὐκ ἀνέμεινεν
ὁ ᾅδης, οὐκ ἐστασίασεν ὁ θάνατος, οὐκ ἀνεβάλοντο αἱ κάτω δυνάμεις· ἀλλὰ μᾶλλον κα-
τεπλάγησαν. ὁ γὰρ ᾅδης ἔχων τὸν Λάζαρον ἤδη τεσσάρας ἡμέρας ἐν τοῖς ἰδίοις χωρίοις
πανταχόθεν διαλυθέντα, ὡς ἀγόμφωτον σκάφος, λοιπὸν ἀμέριμνος ἦν. αἱ κάτω δυνά-
μεις οὐκ εἶχον ἔννοιαν, ὡς Λάζαρος τῶν καταχθονίων ἀνασπασθήσεται λοιπόν. ὡς δὲ ἀθρόον
ἡ δεσποτικὴ φωνὴ ἐν τῷ τάφῳ κατελθοῦσα σὺν φωτισμῷ πολλῷ, ἤρξατο θᾶττον τὰς μὲν
τρίχας τοῦ Λαζάρου ἀντιφυτεύειν τῇ κεφαλῇ, τὸν μυελὸν ἐνθηκιάζειν τῇ κοιλότητι τῶν κα-
λάμων, τῶν δὲ φλεβῶν τὴν μέτωσιν πρὸς ζωτικὸν κατευθύνειν αἷμα, κατεπλάγησαν αἱ κά-
τω δυνάμεις πρὸς ἀλλήλας βοῶσαι· τίς ἐστιν ὁ καλῶν; τίς ἐστιν ὁ αὐθεντῶν; τίς ὁ ἀναπλάτ-
των διαλελυμένον χοῦν; τίς ὁ ἐξυπνίζων νεκρὸν ὡς ἐξ ὕπνου; τίς ὁ ἀδαμαντίνας πύλας
διαῤῥήσσων; τίς ὁ βοῶν, Λάζαρε, δεῦρο ἔξω; ἡ φωνὴ μὲν ἀνθρωπόφθογγος, καὶ ἡ δύναμις
θεοδύναμος. τίς ὁ καλῶν; οὐκ ἔστιν ἄνθρωπος. τὸ μὲν σχῆμα ἀνθρώπου, ἡ δὲ φωνὴ Θεοῦ.
προπέμψωμεν Λάζαρον, ὀξέως αὐτὸν ἀναφορήσωμεν, μὴ κατέλθῃ ὧδε ὁ καλῶν αὐτόν,
μὴ βραδύνοντος τούτου ὧδε κατέλθῃ ὁ καλῶν. ἤρξαντο σαλεύεσθαι οἱ νεκροὶ καὶ κινεῖσθαι. ἵ-
να ζημιωθῶμεν, φησί, καὶ μὴ ἅπαντας ἀπολέσωμεν. οὕτως ὁ Λάζαρος ἐξεπήδησεν ἐκ
τῶν κόλπων τοῦ ᾅδου αἰνῶν καὶ εὐλογῶν καὶ δοξάζων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. ἐνταῦθα
τὸν λόγον σφραγίσωμεν, τὰ βάϊα τῶν φοινίκων ἀναλεξάμενοι εἰς ἀπάντησιν τοῦ Κυρίου
ἐξέλθωμεν βοῶντες, καὶ λέγοντες, Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.

ΕΙΣ ΤΟ, ΕΞΕΛΘΟΝΤΕΣ ΟΙ ΦΑΡΙΣΑΙΟΙ ΣΥΜΒΟΥλιον ἔλαβον.

Matth. 16. 18.

Ex Ms. Regio Lut.

Ὡς οἱ τοῦ Ἠλία μαθηταὶ τυγχάνετε, τοῦ τὴν πενιχρὰν τράπεζαν τῆς χήρας μὴ ἐξουθενήσαντος, παρ' ἡμῖν αὐλίσθητε. τοιαύτη γὰρ καὶ παρ' ἡμῖν λόγων μετρία ἡτοίμασται τράπεζα, ἕνα ἄρτον ἔχουσα ἐπ' αὐτῆς οὐχ ὃν ὁ μύλος ἐλέπτυνε, καὶ χεῖρες ἐμάλαξαν, καὶ πῦρ ἐτελείωσεν, ἀλλ' ὃν παρθένος ἄρουρα ἄνευ ἀρότρου καὶ σπέρματος ὠδίνησε, καὶ σταυρὸς ὠρίμησε, καὶ πατὴρ ἐτελείωσε, καὶ δώδεκα κόφινοι τῶν ἀποστόλων ἐτρύγησαν. τοῦτον τὸν ἄρτον Μαρία μὲν ἐγέννησεν, ἡ ἐκκλησία δὲ ὑπεδέξατο, καὶ καθ' ἑκάστην ἡμέραν ὑφ' ἡμῶν ἐσθίεται, καὶ ἀδαπάνητος μένει. τοῦτον ἡμῖν τὸν ἄρτον ἐπὶ τῆς μετρίας μου τραπέζης ἐπιθεὶς, ἐβουλόμην τῇ σιωπῇ τὸ τῆς γλώττης μου ὄργανον περισφίγξαι· ἀλλ' ἡ τῶν θεομάχων Ἰουδαίων κατὰ τοῦ σωτῆρος ἡμῶν ῥαπτομένη ἐπίβουλος ἐνέδρα, καὶ τοὺς λίθους λαλεῖν ἀναγκάζει. τί γὰρ ἠκούσαμεν ἀρτίως ἀναγινωσκομένου; Καὶ ἐξελθόντες, φησὶν, οἱ Φαρισαῖοι, συμβούλιον ἔλαβον κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. *(Ματθ. ιβ. ιδ.)* καὶ τίς ἡ αἰτία, δι' ἣν βουλεύονται ἀπολέσαι τὸν Κύριον; ὅτι ἐν ἡμέρᾳ σαββάτων ἄνθρωπον ἐθεράπευσε, καὶ τὴν ἀργὴν καὶ ξηρὰν χεῖρα ἐν ἡμέρᾳ ἀργίας πρὸς ἔργον ἐξέτεινεν. ὢ ἀναισθησία Ἰουδαίων τῶν μὴ νοούντων, ὅτι ἔδει τὴν ἐν τῷ παραδείσῳ δεξιὰν χεῖρα τοῦ Ἀδὰμ, ἁψαμένην τοῦ ξύλου, καὶ ξηρανθεῖσαν τῇ παραβάσει, ταύτην πάλιν ὑπὸ τοῦ ἰδίου κεραμέως ἀναπλασθῆναι· ἢ ὅτι ἔδει τὴν ὑπὸ τοῦ διαβόλου διὰ τὴν τῶν ἀθέων εἰδώλων αἱμοχυσίαν δεξιὰν ἁπλωθεῖσαν, διὰ τοῦ ἰδίου δημιουργοῦ πάλιν λαμπρὰν πρὸς οὐρανὸν ἐκταθῆναι. ἀλλὰ λυποῦνται ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου καὶ σωτηρίᾳ ψυχῆς· καὶ τὴν μὲν ἀργίαν τοῦ σαββάτου ἐκδιδάσκουσι, τὴν δὲ θαυματουργίαν τοῦ Ἰησοῦ ἀγνοοῦσι. διὰ τί γὰρ, ὦ Φαρισαῖοι, οὐκ ἐλυπήθητε, ἡνίκα ταῦτα οὐκ ἐμελετήσατε κατὰ τοῦ Μανασσῆ, ὅτε τὸν Ἡσαΐαν συνέπριζεν, ὅτε τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ἐθυσίαζε τοῖς δαιμονίοις, καὶ τοὺς οἴκους τοῦ Θεοῦ τεμένη τῶν εἰδώλων καθίδρυσε; διὰ τί τοιαύτην βουλὴν οὐκ ἠγάγετε κατὰ τοῦ Ἡρώδου, ὅτε τοὺς νηπίους ἀδίκως ἀπέσφαξε, καὶ μητέρας ἠτέκνωσεν; ὅτε ἦν ἰδεῖν δίκην ἀσταχύων ἀώρων τοὺς νηπίους κατακειμένους ἐν μιᾷ τομῇ σιδήρου, μήπω τὸν κόκκον τῆς καρδίας στερεὸν ἔχοντας, μήτε μὴν τοὺς ἀνθέρικας τῶν τριχῶν ἡβήσαντας, ἀλλ' ἐν αὐτῇ τῇ ἁπαλωτάτῃ τοῦ γάλακτος τροφῇ τυγχάνοντας, βιαίῳ θυμῷ χαλάζης ὑπὸ Ἡρώδου φονευομένους; ὅτε οἰμωγαὶ καὶ κοπετοὶ ἀνδρογυνῶν ἐν ταῖς τῆς πόλεως πλατείαις καὶ ῥύμαις ἠκούοντο, ἐκ πατέρων λυσιφρένων, καὶ μητέρων λεσικόμων δεινῶς ὀλοφυρομένων ἐπὶ τῇ τῶν ἀώρων τέκνων ἀδίκῳ σφαγῇ; ὅτε τοῖς τῶν νηπίων αἵμασιν ἡ Βηθλεὲμ ἐφοινίσσετο, καὶ ἀώρων βοτρύων γλεῦκος ἄωρον τοῖς τῶν γονέων θερμοῖς δάκρυσι συνεκιρνᾶτο; ὅτε ὄψις πατέρων ὀλολυγμῷ διεστρέφετο, καὶ μητέρων σπλάγχνα τοῖς πόνοις εἰλίσσετο, καὶ γαλακτοφόροι πηγαὶ μαζῶν παρὰ καιρὸν ἐξηραίνοντο; ὅτε ἐν τοῖς τῶν μητέρων στέρνοις τὸ πνεῦμα στενοχώρως εἰλούμενον, περὶ τοὺς μυκτῆρας ἀτάκτως ἐφέρετο; ὅτε πατέρων καὶ μητέρων ὀφθαλμοὶ πηγὰς ὑδάτων ἐμιμοῦντο, καὶ ἀργυροειδεῖς σταγόνας δακρύων κοχλαζόντων ἀπὸ παρειῶν ἐπὶ ἔδαφος ἔρριπτον; ὅτε τείχωμα γυναικῶν τοῖς αὐτῶν ὄνυξιν ὑπὸ πολλῆς ἀνοίας τῷ σπαραγμῷ κατεξαίνετο, καὶ οὓς ἔδει κρύπτειν πλοκάμους, τούτους τῇ μέθῃ τῆς λύπης ἐπόμπευον; ἀλλὰ τοὐναντίον φρονοῦντες, τοὐναντίον καὶ ποιεῖτε· καὶ τοὺς μὲν φονεῖς καὶ ὑπευθύνους θανάτου ἀφίετε, τοὺς δὲ ἀθώους καὶ δικαίους κολάζετε, τοῦ νόμου λέγοντος, Ἀθῶον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. *(Ἐξοδ. κγ. ζ.)* ὢ τάξις ἄτακτος, καὶ νόμος ἄνομος, παρὰ διαβόλου πεμπόμενος, παρὰ δαιμόνων γραφόμενος, ὑπὸ τῶν Ἰουδαίων μέχρι τοῦ νῦν φυλαττόμενος. ποῖος ἐστὶ νόμος, ὁ τοὺς μὲν φονεῖς περισώζεσθαι, τοῦτον δὲ τὸν τοῖς φονευθεῖσι τὴν ζωὴν χαριζόμενον ἀπόλλυσθαι; τὸν γὰρ Βαραββᾶν ἐπὶ στάσει καὶ φόνῳ εὑρηθέντα ἠξίωσαν Πιλάτον ἀπολυθῆναι, τὸν δὲ Ἰησοῦν τὸν τοὺς ὑπὸ τοῦ διαβόλου

φονευθέντας

φοβηθέντες τὸν ζωοποιήσαντα ἠξίωσαν σταυρωθῆναι. καὶ ἐξελθόντες, φησὶν, οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ὢ γνώμης ἀγνώμονος, καὶ βουλῆς ἀβουλίας μεμεστωμένης. ἡ πηγὴ τῶν ἀγαθῶν ποταμηδὸν αὐτοῖς τὰς εὐεργεσίας ἔβλυζεν, οἱ δὲ καὶ ἀντλοῦντες τὴν χάριν, φονοκτόνους βουλὰς ἐν καρδίαις ἐρεύγοντο. οἱ τὰ τραύματα αὐτῶν ἔχοντες, ἰώμενοι τῶν ὀδυνῶν ἀπηλλάττοντο· ἐκεῖνοι δὲ ἐν μὲν τῷ σώματι μὴ ἔχοντες τραύματα, ὑπὸ τοῦ φθόνου κεντούμενοι ὠδύνωντο. οἱ πεινῶντες αὐτῶν ἐπ' ἐρημίαις, εἰς κόρον ἐτρέφοντο· κἀκεῖνοι ἐν εὐθηνίᾳ πίστεως ὑπὸ ἀπιστίας ἐφθείροντο. τὸ ὕδωρ εἰς οἶνον μετεβάλλετο· κἀκεῖνοι τοῦ οἴνου μὴ γευσάμενοι, τῷ φθόνῳ μεθύοντες περιεφέροντο. εἶδον τῆς αἱμοῤῥοούσης σταλείσας τὰς τοῦ αἵματος ῥύσεις· κἀκεῖνοι τῇ βασκανίᾳ τηκόμενοι κατέσταζον. οἱ δαιμονιῶντες αὐτῶν, τῶν δαιμόνων ἐλευθερούμενοι ἐσωφρόνουν· κἀκεῖνοι ὑπὸ τοῦ φθόνου κινούμενοι χειρόνως τῶν δαιμονώντων ἐμαίνοντο. οἱ τυφλοὶ αὐτῶν ὀφθαλμοὺς μὴ ἔχοντες ἐφωτίζοντο· κἀκεῖνοι ὀφθαλμοὺς ἔχοντες ἐσκοτίζοντο. τῶν κωφῶν, ὡς ἀρτίως ἠκούομεν, ὁ ἕλιξ τῆς ἀκοῆς ἠνοίγετο. κἀκείνων ἡ καρδία ἑλικοειδεῖς βουλὰς φόνου περιέστρεφεν. ἡ θάλασσα τὰ ἑαυτῆς κύματα καταστείλασα, πρὸς ἐπίβασιν ἑαυτὴν τοῦ δεσπότου ἡτοίμασε· κἀκείνων ἡ καρδία κύματα λογισμῶν θανατηφόρα διὰ στόματος ἔφριξε. βαρύτατοι ἄνεμοι τὴν βίαν τοῦ πνεύματος θύελλαι εἰς πραεῖαν αὔραν ἐγαληνίαζον· κἀκεῖνοι τῇ ζάλῃ τοῦ φθόνου κλονούμενοι, σταυρὸν χάλκευμα ἐσύριζον. ὦ φθόνε ῥίζα θανάτου, ἡ πολύπλοκος νόσος καρδίας, ὀξύτατε ἧλε. ποῖος γὰρ ἧλος ὀξύτατος οὕτω κεντᾷ, ὡς ὁ φθόνος τὴν ἔχουσαν αὐτὸν καρδίαν τιτρώσκει; ποία δὲ νόσος οὕτω τὸ τῆς ὄψεως κάλλος ἀφανίζει, ὡς ὁ φθόνος τὸ τῆς ψυχῆς καλλίπνοον ἄνθος, τὴν ἀγάπην, μαραίνει; τὸ πῦρ ὕδωρ σβέννυσι, τὸν δὲ φθόνον μυρίαι πηγαὶ διδασκάλων οὐ παύουσι. μία ἀκόνη τὸν ἰὸν τοῦ σιδήρου ἀποσμήχει, οἱ δὲ πέντε λίθοι τοῦ Δαβὶδ τὸν φθόνον ἐκ τοῦ Σαοὺλ πλέον ἐξήγειραν. λέγεται μὲν ἡ σαύρα χλωρά· ἀλλ' οὐκ ἔστι τῶν φθονερῶν χλωροτέρα. ὥσπερ γὰρ σκώληξ τὴν καρδίαν τοῦ δένδρου κατὰ μέρος ἐκτρώγων ξηραίνει, ὡσαύτως ὁ φθόνος τὴν καρδίαν τοῦ ἔχοντος αὐτὸν κατὰ μέρος ἐκβιβρώσκων μαραίνει. καὶ ἴσα ἂν εἴπωμεν, ἀγαπητὲ, περὶ τοῦ φθόνου; οὔπω ἠρξάμεθα λέγειν αὐτοῦ τὴν κακίαν. κἂν γλῶσσαι ῥητόρων, κἂν λόγοι φιλοσόφων, κἂν ῥήσεις διδασκάλων, ἐξειπεῖν οὐκ ἰσχύουσι. πλήρωμα τοῦ νόμου ἐστὶν ἡ ἀγάπη τοῦ λόγου, καὶ πλήρωμα φόνου ἐστὶν ἡ κακία τοῦ φθόνου. ὦ φθόνε, πλοῖον πειρατῶδες, ταρτάρινον, ναυαγιοφόρον. σοῦ ναύκληρός ἐστιν ὁ διάβολος, κυβερνήτης ὁ ὄφις, καὶ Κάϊν πρωρεύς. τὴν γὰρ ἐνθήκην σοι τῶν κακῶν ὁ διάβολος ἔδωκεν, ὁ δὲ ὄφις κυβερνήσας τὸν Ἀδὰμ εἰς ναυάγιον θανάτου κατήνεγκε· Κάϊν δὲ πρωρεὺς, ἐπειδὴ διὰ σὲ, φθόνε, πρῶτος αὐτὸς τὸν φόνον εἰργάσατο. σοὶ ἱστός ἐστιν ἀπ' ἀρχῆς ἐν παραδείσῳ ἡ τοῦ ξύλου παρακοὴ, σὰ σχοινία εἰσὶν αἱ σειραὶ τῶν ἁμαρτιῶν, σοὶ ἐπιβάται εἰσὶν οἱ φθονεροὶ, ναῦται οἱ δαίμονες, κῶπαι οἱ δόλοι, ἀντλία ἡ ὑπόκρισις, παραχαρῖται οἱ φθονεροί. ὦ πλοῖον μυριοφόρον κακῶν. ἐὰν ζητήσῃς ὑπόκρισιν, ἐκεῖ εὑρίσκεται· ἐὰν δόλον, ἐκεῖ γυμνάζεται. φθόνος ἐκεῖ πολιτεύεται, ἔχθραι, μάχαι, ἀπάτη, φιλονεικία, λοιδορία, κακολογία, βλασφημία, καὶ ὅσα ἂν εἴπωμεν, καὶ ὅσα ἂν παραλείπωμεν, ταῦτα πάντα τὸ ταρτάρινον πλοῖον τοῦ φθόνου βαστάζει. τοῦτο τὸ πλοῖον τοῦ φθόνου κατακλυσμὸς μὲν βυθίσαι οὐκ ἴσχυσεν, Ἰησοῦς δὲ αὐτὸ ἐν τῇ δυνάμει τοῦ πνεύματος, ἐν τῇ πηγῇ τοῦ βαπτίσματος κατεπόντισεν. εἶχε τοῦτο τὸ πλοῖον καὶ ἀγκύρας σιδηρᾶς, ἀλλ' εἰς τοὺς ἥλους τοῦ Χριστοῦ ἐχωνεύθησαν. εἶχε τοῦτο τὸ πλοῖον καὶ ἱστίον, ἀλλ' ὁ διάβολος λαβὼν αὐτὸ σταυρὸν ἐπελέκισεν. εἶχε τοῦτο τὸ πλοῖον καὶ σχοινία, ἀλλὰ ταῦτα λαβὼν Ἰούδας ἀπήγξατο. εἰς τοῦτο τὸ πλοῖον ἐμβάντες οἱ Ἰουδαῖοι, τῇ πέτρᾳ προσκρούσαντες περὶ τὴν πίστιν ἐναυάγησαν. διὰ τοῦτο μέχρι τοῦ νῦν οἱ Ἰουδαῖοι ἐν τῷ βυθῷ τῆς ἀγνωσίας ἐνήχονται. πλὴν ὅσοι αὐτῶν ἂν ἰσχύσωσι τῆς χριστοφόρου ὁλκάδος κρατῆσαι, διασώζονται· οἱ δὲ ἄλλοι ἁλμυρῷ θανάτῳ

ἀπιστίας ἀπόλλυνται. καὶ εἴθε κἂν ἐν τῷ βυθῷ ὑπάρχοντες πρὸς Ἰωνᾶν εἰς τὸ κῆτος ἀπέτρεχον. ἴσως γὰρ ἂν παρ' αὐτοῦ μαθόντες τὴν ἐν Χριστῷ εὐσέβειαν, ζῶντες μετὰ τοῦτο, ὑπὸ τοῦ κήτους ἐν Νινευὶ ἐξερρίπτοντο. νῦν δὲ τοὺς ὀφθαλμοὺς τῆς καρδίας καμμύσαντες, οὔτε τὸν λαμπροφόρον τῆς εὐσεβείας ἐν μέσῃ τῇ γῇ ἰσῶσι, καὶ τὴν πίστιν ἀστράπτοντα ὁρῶντες, πρὸς αὐτὸν καταφεύγουσιν· οὔτε πρὸς τὸν τῆς μετανοίας κήρυκα Ἰωάννην καταφεύγοντες ζῶσι. Καὶ ἐξελθόντες, φησίν, οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ ἐξελθόντες, φησίν, οἱ Φαρισαῖοι. πόθεν; οὐκ ἐκ τοῦ φθόνου, ἀλλ' ἐκ τοῦ νόμου. εἰ μὴ γὰρ ἐξῆλθον ἐκ τοῦ νόμου, οὐκ ἂν τὸν τοῦ νόμου νομοθέτην ἐνύβριζον. καὶ ἐξελθόντες οἱ Φαρι-

Ἐξοδ. κγ. ζ. σαῖοι. πόθεν; ἐκ τοῦ νόμου τοῦ λέγοντος, Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι. πόθεν; ἐκ τῆς ἐντολῆς τοῦ Θεοῦ τῆς φωτιζούσης τοὺς ὀφθαλμοὺς τῆς καρδίας. Ἡ γὰρ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς.

Ψαλ. ιη. θ. Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι. πόθεν; ἐκ τῆς ἐντολῆς, ἐκ τοῦ νόμου, ἐκ τῆς ζωῆς. οἱ γὰρ ἀλλὰ θάνατον μετιόντες, αὐτοὶ προσῶται τὸ τῆς ζωῆς ἀπολείπουσι φέγγος. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον. καὶ οὐκ εἶπεν ὁ γράψας παρὰ τίνος, τὸν ἡμέτερον νοῦν ἀνακινῶν πρὸς τὴν ζήτησιν. Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον. παρὰ τίνος; ἢ δῆλον ὅτι παρὰ τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου διαβόλου. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. τὸ, ὅπως, ποίῳ τρόπῳ; ἆρα πέτρᾳ; ἆρα μαχαίρᾳ; ἆρα πυρὶ, ἢ ὕδατι; ὁ δὲ σύμβουλος αὐτῶν διάβολος, ἀναπολήσας τὸ ξύλον τὸ ἐξ ἀρχῆς, δι' οὗ τὸν Ἀδὰμ ἐθανάτωσεν, εἰς αὐτὸ πάλιν καταφεύγει, καὶ συμβουλεύει ξύλῳ σταυρῶσαι τὸν Ἰησοῦν. ἠγνόει δὲ ὅτι ἔμελλεν ἐκεῖνο τὸ ξύλον καὶ τὴν ἀρχαίαν τοῦ ξύλου παράβασιν παραλύειν, καὶ τὴν ζωὴν τοῖς ἀνθρώποις ἀνατέλλειν. καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ὢ συμβουλία κακίστη διὰ φθόνου συνερραμμένη, καὶ διὰ φθόνου ἐλεγχομένη· ὢ ματαία βουλή· ἀγνοοῦσι γὰρ, ὅτι Θεὸς οὐκ ἀπόλλυται. τὸν μὲν γὰρ ὀστράκινον λύχνον τοῦ σώματος διαλύουσι, τὴν δὲ ἄσβεστον αὐτοῦ λαμπάδα τῆς θεότητος σβέσαι οὐ δύνανται. ἐξελθόντες δὲ οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσιν. ὢ θαυμαστοῦ πράγματος, καὶ μυστηρίου καινοῦ. ἦλθεν ὁ Ἰησοῦς ἀναζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός· καὶ οὗτοι τὸν τῶν ἀπολωλότων εὑρετὴν ἀπολέσαι ζητοῦσι. διὰ ποίαν αἰτίαν, εἴπατε ἡμῖν, ὦ Ἰουδαῖοι, κατ' αὐτοῦ τοιαῦτα βουλεύεσθε; ἀλλ' ἐκεῖνοι μὲν αἰσχύνονται λέγειν· ἡμεῖς τὴν αὐτῶν αἰσχύνην πανταχῇ στηλιτεύσωμεν. διὰ τί γὰρ, φησι, νεκροὺς ἐγείρει; καὶ διὰ τί ἀσθενοῦντας ἰᾶται; διὰ τί καλὰ λαλεῖ; διὰ τί καλὰ πράττει; διὰ τί καλὰ διδάσκει; διὰ ταῦτα πάντα τὰ ἐγκλήματα βουλεύονται αὐτὸν ἀπολέσαι. ὅταν ἐξέρχωνται νήπιοι παῖδες βαΐα λαμβάνοντες, διὰ τῶν βαΐων τὴν νίκην αὐτοῦ προαναφωνοῦντες, καὶ ἐν τῇ εὐφημίᾳ αὐτοῦ λέγοντες,

Ματθ. κα. θ. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, ἐκεῖνοι ἀπὸ τῶν σιβυνῶν σφαττόμενοι ὑπὸ τοῦ φθόνου κεντοῦνται. οἱ γὰρ ἔπαινοι τῶν φθονουμένων βέλη εἰσὶ τῶν φθονούντων. καὶ προσέρχονται τῷ Ἰησοῦ,

Ματθ. κα. ις. καὶ λέγουσιν αὐτῷ, Οὐκ ἀκούεις, τί οὗτοι λέγουσι; καὶ οὐκ ἐγίνωσκον ὅτι προφητικῶς ἐπληροῦτο

Ψαλ. η. γ. τὸ γεγραμμένον, τὸ, Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ὅτε Ἰεζάβελ κατὰ τοῦ Ναβουθὲ τὰ πλαστὰ ἐποίει γράμματα, ἡδέως ἀνείχεσθε· ὅτε Πιλάτος γράφει ἐπὶ τοῦ πι-

Ιωαν. ιθ. κα. τλου τὰ χρηστὰ γράμματα, ἀγανακτεῖτε, καὶ κωλύετε γράφεσθαι. τί γὰρ λέγουσι; Μὴ γράφε, ὅτι ὁ βασιλεὺς τῶν Ἰουδαίων. μὴ γράφε, αἰτίᾳ τοῦ, τὴν ἀλήθειαν, τοῦ, μηδεὶς ὠφελείσθω, μηδεὶς ἄρτιος ἔστω πρὸς εὐσέβειαν. πάντως οὐχ οὕτως ἠγανακτεῖτε κατὰ τῶν τὰ δράματα τῶν ὀρχηστῶν γραφόντων, οὐδ' ἂν ἔτι καὶ νῦν οἱ πολλοὶ τὰ τῶν δαιμόνων ἀκούωσι ᾄσματα. καὶ περὶ μὲν ἐκείνων οὐκ ἀλγοῦσι, περὶ δὲ τῶν θείων διδαγμάτων ὅτι γράφονται πονοῦσι. καὶ ἆρα οὐκ ἔστι παντὸς κακοῦ ὑπέρτερον, τὸ ταῖς μὲν μωρολογίας Φιλιστίω-

νος γράφεσθαι, τὰς δὲ δοξολογίας Ἰησοῦ μὴ γράφεσθαι, δι' ὧν εἰς οὐρανὸν ὁδηγούμεθα; εἰ δὲ καὶ ἦν τις ἄρα διδασκάλων, ἰδιώτης τῷ λόγῳ, ὅμως δὲ τὰ τοῦ Θεοῦ λέγων, οὐ μὴν ἄρα βέλτιον ταῦτα γράφεσθαι ὑπὲρ τὰς τῶν Ἑλλήνων δαιμονιώδεις μυθολογίας; συμφέρει γὰρ τοῖς νεωτέροις ἐν ταῖς ῥήσεσι τῶν θεολόγων διδασκάλων, κἂν ἰδιωτικοὶ τυγχάνωσιν, ἐμμελετῶντας παιδεύεσθαι, ἄμεμπτον ἔχοντας φρόνημα, καὶ μὴ ἐν ταῖς τῶν δαιμόνων διδασκαλίαις ἐνασχολουμένους εἰς ἀκολασίαν ἐκμαίνεσθαι. μὴ γράφε. διὰ τί, μὴ γράφε; τί γὰρ ὑμᾶς βλάπτει; ποίων δὲ ὑμῶν χρημάτων ἀποστερεῖ ἡ τῆς ἀληθείας γραφή; ἄλλος τῇ προθυμίᾳ τῶν γραφομένων οὐκ ἤλγει τὴν χεῖρα, κἀκεῖνοι τὰ στήθη ἔτυπτον. ἀλλ' εἰ καὶ Φαρισαῖοι ταῦτα ἔλεγον πρὸς Πιλᾶτον, καὶ ἐκώλυον αὐτὸν γράφειν τὰ τῆς ἀληθείας γράμματα· ὁ δὲ εἰ καὶ ἐθνικὸς ὑπάρχων ἔλεγε πρὸς αὐτούς, Ὃ γέγραφα, γέγραφα. ἁρμόζει καὶ ἡμῖν αὕτη ἡ διδασκαλία· ἵνα ὅταν οἱ αἱρετικοὶ ἡμῖν συμβουλεύωσι μεθίστασθαι ἀπὸ τῆς δόξης, λέγωμεν πρὸς αὐτούς· ὅπερ γεγράφαμεν, γεγράφαμεν. Καὶ ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον, ὅπως αὐτὸν ἀπολέσωσι. γνοὺς δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν. γνοὺς, οὐκ ἀπὸ ἄλλου μαθών, ἀλλ' ἀφ' ἑαυτοῦ ἐγνωκώς. καρδιογνώστης γάρ ἐστι, καὶ ἔστι, καθὼς καὶ Ἰωάννης ὁ εὐαγγελιστὴς λέγει· Οὐ γὰρ χρείαν εἶχε, φησίν, ἵνα τις εἴπῃ αὐτῷ περὶ τοῦ ἀνθρώπου. γνοὺς δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν, οὐ τὸν θάνατον φοβούμενος, ἀλλὰ τὸν καιρὸν τοῦ σταυροῦ ἐκδεχόμενος. ἔδει γὰρ αὐτὸν πρότερον νεκροὺς ἀνεγεῖραι, ἀσθενοῦντας ἰάσασθαι, πεινῶντας πολλοὺς ἐμπλῆσαι, πολλοὺς εἰς τὴν πίστιν ἐφελκύσαι, καὶ τότε ἐλθεῖν ἐπὶ τὸν ἀοίδιμον θάνατον, μᾶλλον δὲ θάλαμον. ἔδει πρότερον αὐτὸν στῆσαι τὸ ξύλον τὸ τοῦ μυστηρίου τοῦ σταυροῦ, καὶ τότε θερμῷ τῷ πνεύματι ἐπὶ τοὺς ἐν τῷ ᾅδῃ κατακειμένους καταδραμεῖν. γνοὺς δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν. ὅπου δόλος [οὐ] φαίνεται, φεύγει· ὅπου φθόνος τεκταίνεται, ἀναχωρεῖ· ὅπου ἀγάπη πλέκεται, καὶ ὁ πατήρ, καὶ ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα αὐλίζεται. πλέξωμεν τοίνυν, ἀγαπητοί, τὴν τελεοπλεκῆ ἀγάπην, μὴ γλώσσαις ἀπατηλαῖς, ἀλλὰ παλάμαις ἐργαστικαῖς· ἵνα ᾖ μεθ' ἡμῶν ὁ Ἐμμανουήλ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωαν. ιθ. κβ. — Ιωαν. β. κε.

ΕΙΣ ΤΗΝ ΠΟΡΝΗΝ ΚΑΙ ΕΙΣ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ.

Λογ. κθ.
Μαρκ. ιδ γ.
Ex Ms. Regio Lut.

Σήμερον ὁ Φαρισαῖος εἰς ἄριστον τὸν δεσπότην ἐκάλεσε, τιμὴν ὕβρει κεράσας· ἡ δὲ πόρνη αὐτὸν τῇ πίστει εἱστίασεν. Οὕτως γὰρ αὐτοῦ ἐν τῇ οἰκίᾳ τοῦ Σίμωνος, ἰδοὺ γυνὴ πόρνη. μανικὸν σχῆμα, γυνὴ πόρνη ἐν τῇ πόλει, ὁ ἐντοίχιος πόλεμος, τὸ ἀσιδήρωτον βέλος, ὁ τῶν νέων ἰξός, ἡ τῆς ἐπιθυμίας ἀκόνη, ὁ τῶν παθῶν ἐξυπνιασμός, ἡ καπηλεία τοῦ σώματος, ἡ ἀνωφελὴς ἐμπορεία, ἡ ἐπιζήμιος πραγματεία, ἡ καὶ τῇ πωλούσῃ καὶ τῷ ἀγοράζοντι θάνατον προξενοῦσα, τὸ τῆς νεότητος δίκτυον, ἡ ἀσκέπαστος παγίς· ὀφθαλμὸς γὰρ πόρνης παγὶς ἁμαρτωλῶν· ἡ τῆς ἀκολασίας ἐνθήκη, ἡ ἑαυτὴν πωλοῦσα, καὶ τοὺς ἀγοράζοντας δουλαγωγοῦσα, ἡ πολυκέφαλος λέαινα, ἡ δυσωδία τῆς πόλεως, ὁ λοιμὸς ὁ κατὰ πασῶν ἕρπων αἰσθήσεως, τὸ τῶν ὀφθαλμῶν ἄγκιστρον, ὁ περιφερόμενος θάνατος, ἡ ἀγορὰ τῆς ζημίας, ἡ ἐπιθυμία τῆς ἀπωλείας, ἡ τοῦ θανάτου ὀσμή, ἡ πολύσηπτος γάγγραινα. ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ὁ λοιμὸς τῶν οἰκητόρων, ἡ τυραννὶς τῶν γάμων, ἡ ἀνατροπὴ τῆς σεμνότητος, ἡ τῶν ἀνδρογύνων μάχη, ἡ κακοδαίμων τράπεζα, ἡ τῶν βαλαντίων κένωσις, ἡ τῶν χρημάτων ἐκροή, ἡ τῶν κτημάτων ἀπώλεια, ἡ τῶν κληρονόμων λιμός, ἣν λιμοβόται πατοῦντες τὴν ἑαυτῶν γύμνωσιν ὠρχήσαντο. ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός. ἀλλ' ἡ ἁμαρτωλὸς ἐκείνη τῇ δικαιοσύνῃ προσέδραμε, καὶ ὡς ἐν πυρὶ ἀκάνθας τὰς ἁμαρτίας ἀνήλωσε· ὁ δρυμὸς παράδεισος γέγονεν, ἡ λέαινα ἀρνίον, ἡ δυσω-

διὰ μύρων, ἡ ἀπώλεια θησαυρὸς, ἡ κορώνη περιστερὰ, ἡ πόρνη παρθένος, ἀδελφὴ Χριστοῦ,
νύμφη τοῦ λόγου. στᾶσα γὰρ ὄπισθεν τοῦ Ἰησοῦ ἡ τῆς αἱμορροούσης μαθήτρια, δάκρυσι τοὺς πό-
δας ἔβρεξε, καὶ ταῖς θριξὶν ἐξέμαξε, καὶ τοῖς χείλεσι κατεφίλει τὰ ἴχνη, καὶ μύρῳ πολυτίμῳ
ἤλειφεν. ὅλα τὰ ὅπλα τῆς ἁμαρτίας τῷ βασιλεῖ προσήνεγκεν, εἰρήνην αἰτοῦσα· καὶ τὴν
πανοπλίαν τῶν κακῶν τοῖς ποσὶ τοῦ δεσπότου προσήγαγε. καὶ ἐπειδὴ πάλαι ἠναγκασμένοις 5
δάκρυσι πολλοὺς εἰς πάθος ἐξέλυσεν, ἀληθινοῖς νῦν δάκρυσι τὸν δεσπότην δυσωπήσασα,
ἑαυτὴν ἀπέλυσε· καὶ ἡ τὰς τρίχας κακομηχάνως πλέξασα, καὶ ἀσέμνως πυργώσασα ταῖς
θριξὶν, ὡς ὀθόνῃ, τοῦ Χριστοῦ τοὺς πόδας ἐξέμαξεν, οὐ τὸν δεσπότην λαμπρύνουσα, ἀλλ' ἑ-
αυτὴν ἁγιάζουσα. ἐξωμολογεῖτο γὰρ διὰ τῶν τριχῶν, ὅσους δι' αὐτῶν ἀγκιστρεύσασα εἰς
θάνατον ἠλίθωσε· τὸ μύρῳ ἤλειφε πολυτίμῳ. διὰ τί; ἐπειδὴ πάλαι μυριζομένη πολλοὺς 10
ἐβορβόρωσεν. ὁμοίως δὲ τοῖς ἀρώμασι κακῶς χρησαμένη, εἰς κύνας ῥιπτάδας τοὺς ἐραστὰς
μετεσκεύαζε. νῦν δὲ τῷ μύρῳ καλῶς χρησαμένη, καὶ τῷ ἀληθινῷ τὸ μύρον προσκομίσασα,
τὰ σατανικὰ μυρίσματα ἀπενίψατο. εἶτα ὡς ὁ Κύριος αὐτὴν προσεδέξατο ταῦτα
προσφέρουσαν, ὁ Σίμων ἐψιθύριζε, δεσποτικῆς ἀγαθότητος λογοθέτης γενόμενος. λέγει αὐ-
τῷ ὁ δεσπότης· Σίμων, ὁ ἐπὶ τιμῇ καλέσας με, καὶ ἀτιμάσας με, ὡς οὐ προσεδόκησα· δύο 15
χρεωφειλέται ἦσαν δανειστῇ τινι, σὺ, καὶ αὕτη, ἐμοῦ οὐ χρεώσται, οὔτι ὀφειλέται, ἀλλὰ χρεω-
φειλέται, διπλοῖ ὑπεύθυνοι τυγχάνοντες, ὅτι καὶ τὸ φυσικὸν δάνειον, καὶ τοῦ νόμου τὸ κε-
φάλαιον λαβόντες, εἰς ἀμφότερα τῷ εὐεργέτῃ παρεπέσατε. ὁ εἷς ὤφειλε δηνάρια πεν-
τακόσια, σὺ ὁ Φαρισαῖος, ὁ βαρύτερα καὶ πλείονα ἔχων τὰ ψυχικὰ ἁμαρτήματα· ἐπειδὴ Οἱ
τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ὁ δὲ ἕτερος πεντή- 20
κοντα, ὁ ὑπεύθυνος τῆς πόρνης τρόπος. μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι διὰ κατορθω-
μάτων καλῶν πράξεων, ἀμφοτέροις ἐχαρίσατο πίστιν λαβὼν, καὶ σχίσας τὸ χειρόγραφον·
εἰπὲ, τίς αὐτῶν πλεῖον ἀγαπήσει; εἶτα ὁ Φαρισαῖος, ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχα-
ρίσατο. καὶ δικαστὴς ἑαυτοῦ ὁ ὑπεύθυνος ἐγίνετο, καὶ τὸν δεσπότην ἐπαινέτην εὕρισκε λέγοντα·
ὀρθῶς ἔκρινας. ἄκουε λοιπόν· βλέπεις ταύτην τὴν γυναῖκα τὴν ὀλιγώτερά σοι χρεωστήσα- 25
σαν, καὶ πλείονα ξένια καὶ δῶρα προσκομίσασαν; βλέπεις ταύτην τὴν γυναῖκα τὴν πολλῶν
ἀπώλειαν γενομένην; τὸν ἔμψυχον τάφον; τὸν περιφερόμενον θάνατον; εἰσῆλθόν σου εἰς
τὸν οἶκον· ὕδωρ, τὸ εὔωνον καὶ πᾶσι προκείμενον, ἐπὶ τοὺς πόδας μου οὐκ ἤνεγκας· αὕτη δὲ
πηγὰς δακρύων ἐξ ὀμμάτων τοῖς ποσί μου προσήνεγκε. φίλημά μοι οὐκ ἔδωκας· αὕτη
δὲ τὰ χείλη αὐτῆς τοῖς ἐμοῖς ποσὶν ὑπέστρωσεν. ἐλαίῳ τὴν κεφαλήν μου, ὡς ἐλεηθεὶς παρ' 30
ἐμοῦ, οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ τὸ σῶμα, τῇ δὲ πίστει τὴν θεότητά μου ἐμύρισεν. οὗ χάριν
λέγω σοι, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί· ἵνα πληρωθῇ τὸ ἐν ψαλμοῖς εἰρημένον,
Ἀφῆκας τὰς ἀνομίας τοῦ λαοῦ σου· καὶ τὸ ὑπὸ Ἰωάννου κηρυχθὲν, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ
αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λουκ. ζ. μ. — Ματθ. κα. λα. — Ψαλ. πδ. β. — Ἰωάν. α. κθ.

35

Λογ. λ.

ΕΙΣ ΤΗΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ Χριστοῦ.

Ex Ms. Regio Lut.

Τὸ τῆς ἁμαρτίας κατὰ τῆς ἁμαρτίας ἀπέστραπται τέχνημα. τέχνη μὲν
γὰρ τῆς ἁμαρτίας σταυρὸς, καὶ τὸ σῶμα θανάτῳ παρέβαλεν ἀναμάρ- 40
τητον. γέγονε δὲ ὁ σταυρὸς τῇ σταυρωθείσῃ σαρκὶ τῆς εἰς οὐρανὸν ἀνόδου μη-
χάνημα, καὶ τὸ περὶ τῆς ἁμαρτίας ῥηθὲν μεταβέβληται. πρότερον
μὲν γὰρ ὁ Παῦλος ἐκήρυττεν, Ἡ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ
τῆς ἐντολῆς ἐξηπάτησέ με, καὶ δι' αὐτῆς ἀπέκτεινε· νῦν δὲ τὸ τῆς δικαιο-

Ῥωμ. ζ. η.

σύνης

σιωπῆς τὸ ῥῆμα μηχανήματι τρέπον. ἡ γὰρ δικαιοσύνη ἀφορμὴν λαβοῦσα διὰ τῆς ἁμαρτίας ἐξ-
ηπάτησεν αὐτὴν καὶ ἀπέκτεινε. ὑπὸ τοῦ Παῦλον ἐκπλήξαν, εἰς ἐκείνην τὴν φωνὴν ἐνεκίνησε,
Μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον. ἀνάστασις γὰρ ἐν τῷ σταυρῷ κεκρυμμένη, δύναμις δὲ [α. Τιμ. γ. ις.]
ἀθανάτου ζωῆς, ἀθανασίαν ἀνθήσασαν τικτόμενος ἐξ ᾅδου τοῖς ἀνθρώποις ὁ βασιλεύς.
ἀληθῶς μυστήριον παμμέγα. πῶς δὲ μὴ γνωστὸν τὸ μυστήριον; Ἐφανερώθη, φησὶν, ἐν σαρκί.
καὶ πῶς ἡ φανέρωσις; ἐδικαιώθη ἐν πνεύματι. ποῖον τὸ τῆς δικαιοσύνης τεκμήριον; ὤφθη
ἀγγέλοις. ἔγνωσαν ἄγγελοι, φησὶ, τὴν τοῦ φανέντος ἀξίαν· προσῆλθον καὶ διηκόνουν αὐτῷ.
ἀξιόπιστοι μὲν, Παῦλε, τῆς δικαιοσύνης οἱ θεαταὶ, καὶ τὴν τοῦ Χριστοῦ σεμνύνουσι δύνα-
μιν· δεῖξον μοι ἐν ἀνθρώποις τῆς ἰσχύος τῆς ἐκείνου σημεῖον. Ἐκηρύχθη, φησὶν, ἐν ἔθνεσιν, ἔδρα-
με λόγος περὶ αὐτοῦ θεολόγος, καὶ ταῦτα παρὰ πάντων ἐμποδιζόμενος· ἐπλατύνθη κωλυό-
μενον κήρυγμα. τί οὖν εἰ μέχρις ἀκοῆς τὸ κηρυττόμενόν ἐστι, καὶ κηρυχθὲν ἔθνεσι γέγονε τοῖς
ἀκούουσι λῆρος; ἐκηρύχθη, φησὶ, καὶ ἐπιστεύθη ἐν κόσμῳ. εἶτα τὸ τούτου πιστευθέντος δυ-
νάμεις ἀκώλυτοι, Ἀνελήφθη, φησὶν, ἐν δόξῃ. ἐκηρύχθη ἡ τῆς ἐκκλησίας ἰσχὺς, μᾶλλον δὲ
πάσης ὁμοῦ τῆς οἰκουμένης ἐπίστασις. κοινὴ γὰρ τῆς τῶν ἀνθρώπων φύσεως βοήθεια, ἡ σή-
μερον ἀνθρωπότητος ἀναληφθεῖσα. τὰ γὰρ τῶν κολάσεων μετ' αὐτὴν μετεώπεσε. καί
μοι σκόπει τὰς παλαιὰς τῶν ἀνθρώπων ἐκ Θεοῦ τιμωρίας, καὶ τῆς ἀναλήψεως εὑρήσεις δη-
μοφελές. δι' ἑνὸς ἁμαρτήματος ἐρρίπτετο προσκρούσας Ἀδάμ· μακρῷ σώματος τρόμῳ
κατεκέκλειτο Καΐν· ἔβρεξε πῦρ οὐρανὸς, ὡς σπιδῶνα τῆς γῆς, καυτηριάζων τὰ Σόδομα· με-
τεπλάττετο πρὸς στήλην γυνὴ δρόμου παραχαράξασα νόμον. αἱ δὲ εἰς δήμους ὁποῖαι
διαφοραί; ἄκουσον τῆς γραφῆς, ὡς θρηνῳδίαν διηγουμένης. Ἐπείρασάν, φησι, τὸν Θε- [α. Κορ. ι. θ. ι. η.]
ὸν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. Ἐγόγγυσαν, φησι, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. Ἐ-
πόρνευσαν, φησι, καὶ ἔπεσαν ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες. Ἔδωκε, φησι, Κύριος [β. Βασ. κδ. ιε.]
θάνατον ἐπὶ Ἰσραὴλ ἀπὸ πρωΐθεν, καὶ ἕως ὥρας ἀρίστου, καὶ ἀπέθανον ἑβδομήκοντα χιλιά-
δες ἀνδρῶν. τί δὲ σοι τὰς τοῦ Θεοῦ πρὸς βασιλείας τότε διηγούμενον παρατάσεις; Τάδε [β. Βασ. κδ. ιβ.]
λέγει Κύριος, φησιν· αἴτησαι σεαυτῷ τρία ἔτη λιμὸν ἐπὶ τὴν γῆν, ἢ τρεῖς μῆνας τοὺς ἐχθρούς
σου καταδιώκειν σε, ἢ τρεῖς ἡμέρας θάνατον ἐν τῇ γῇ σου. τραγῳδοῦσι καὶ γραφαὶ ἑλλήνων
τὴν τῶν παλαιῶν χρόνων κακοπραγίαν, κατακλυσμῶν ἀμετρίαν, ὑπερβολὴν ἐκπυρώ-
σεως, πολυετῶν λιμῶν, σεισμῶν ὀλέθρους πανδήμους, αἱμάτων ἐμφυλίους ἐκχύσεις, κύματα
πολέμων ἐπαλλήλων. οὐκ ἦν τότε τῶν ἐξ οὐρανοῦ καὶ γῆς παραταξέων, οὐκ ἕλλησιν, οὐ
βαρβάροις, οὐκ Ἰουδαίοις εἰρήνη. ἔμενε γὰρ τὸν εἰρηνοποιοῦντα ἄνω καὶ τὰ
κάτω μεσίτην· περὶ οὗ Παῦλός φησιν· Αὐτός ἐστιν εἰρήνη ἡμῶν, ὁ καταλύσας τὴν ἔχθραν [Εφ. β. ιδ.]
ἐν τῇ σαρκὶ αὐτοῦ. πόσοι νῦν Σοδομιτῶν ἀσελγέστεροι; καὶ πῦρ ἐπ' αὐτοὺς ὁ ἀὴρ, ὡς τὸ πρὶν,
οὐκ ἐκχέει. ἐδέξατο γὰρ τὸν τῆς εἰρήνης περιόντα μεσίτην καὶ τῶν ἀνθρώπων προ-
ημέρωσιν γένει. πόσοι τῆς ἐπὶ τοῦ Νῶε γενεᾶς μοχθηρότεροι; καὶ κατακλυσμῷ τούτους οὐκ ἐκ-
πλύνει οὐρανός. πόσοι τῆς Καΐν θηριωδέστεροι γνώμης; καὶ τοῖς τοῦ Καΐν αὐτοὺς οὐ τιμωρεῖ-
ται ὁ Θεός. ὅταν γὰρ παροξυνθῇ παρ' ἡμῶν, πρὸς τὴν σύνθρονον ἰδὼν ἀπαρχὴν,
διαλλάττεται· ὅταν τοῖς κάτω θυμωθῇ παροδοῦσι, τὴν ἄμωμον ἀνθρωπότητα βλέπων ἐκ
δεξιῶν δυσωπεῖται· ὅταν κινήσῃ τὴν ὀργὴν τὸ κάτω πονηρευόμενον γένος, ἄνω πραΰνει τὸν
θυμὸν ὁ τοῦ γένους συγγενὴς συγκαθήμενος. τοῦτό σοι Παῦλος γυμνῶν, Χριστός, φησὶν, ἐστιν ἐν [Ρωμ. η. λδ.]
δεξιᾷ τοῦ Θεοῦ, καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, οὐχ ὡς χρώμενος δικαζομένου φωναῖς (εἰς βασι-
λείαν γὰρ ἀνῆλθεν ὁ Χριστὸς) οὐκ ἱκετείαν, ἀλλ' αὐτὴν τῆς ἀπαρχῆς τὴν ἀνάληψιν εἰς ἐν-
τυχίαν ἐχρημάτισε Παῦλος τὰς διαλλαγὰς ἐκδικοῦσαν. ὦ τῆς φρικτῆς σήμερον θεωρίας
τοῖς δαίμοσι. φρικτὴν γὰρ αὐτοῖς θεωρίαν ἑώρων, ἀνθρώπου κατὰ τὸ φαινόμενον φύσιν, ὁδοι-
πόρον ἀέρος, ὑψηλοτέραν αὐτῶν ἀναβαίνουσαν, ἀνωτέραν οὐρανοῦ γενομένην. ἀλλ' ἐκεῖνοι

μὲν

Πραξ. α. ια. μετ᾽ ἔστενον, ἄγγελοι δὲ τοῖς μαθηταῖς περιστάντες παρεχώρουν ἐπεβόων· Οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς οὐρανόν. τὸ τῆς ἀναλήψεως πιστοῦται μυστήριον. ἔμενον γὰρ οἱ μαθηταὶ πρὸς οὐρανὸν κεχηνότες καὶ συντεταμένοι τῷ βλέμματι τῆς σαρκὸς ἐξ ... μικρὸν ὑψηλοτέρας τῶν ὀφθαλμῶν γινομένης, ἐστίοντο λογισμοῖς ἀπορίας. οὐδαμοῦ, φησι, τὸ θεωρούμενον σῶμα· τάχα σχήματος ἁπλῶς ἡ ἀνάληψις; τάχα φαντασίας θέα; τάχα πλάνην ὑπεμείναμεν βλέμματος; ἢ πλάνην μὲν ἡμεῖς οὐχ ὑπέστημεν, εἰς ἀέρα δὲ διελύθη τάχα τὸ σῶμα, καὶ φύσιν οὐκ ἔχει λοιπὸν τοῖς ἐπὶ γῆς ὁρατήν; μετὰ τοιαύτης ὁρῶντες εἰς οὐρανὸν ἀπορίας ἤκουσαν τῶν ἀγγέλων

Πραξ. α. ια. ἐξαίφνης· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; τί βούλεται, φησιν, ὑμῖν ἡ περίεργος ὄψις; τί τὸ βλέμμα τοῖς οὐρανοῖς ἐπικέχηνε; ζητεῖτε πάντως ἐν τοῖς οὐρανοῖς. εἰσφέρει τὸν Ἰησοῦν ἡ νεφέλη. Εἰ πάλιν τις αὐτὸν ἀσώματον οἴεται, ὡς περὶ βεβαίων ἀμφοτέρων θαρρεῖτε. κἂν γὰρ νῦν εἰς οὐρανὸν ἀνελήφθη, καὶ πάλιν ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. ἀλλ᾽ ἐπὶ πολὺ τῆς γλώττης ἡ νευρὰ μὴ κινείσθω, χαλινώσωμεν τὴν τῶν λόγων αὐτὴν καὶ ῥητορικὴν κιθαρῳδίαν· δῶμεν δὲ ταῖς λοιπαῖς κιθάραις ἀκρόασιν· κροτείτω τὴν ἀνάληψιν εὐφημία πολύστομος· ᾀδέτω σήμερον

α. Τιμ. γ. ις. κοινῇ πάντων ἀνθρώπων τὸ γένος, Μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον· Ὤφθη ἀγγέλοις, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λα. ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ ΤΟΥ ΣΩΤΗΡΟΣ.

Ex Ms. Regio Lut.

Δεῦτε φίλοι, σήμερον τῶν εὐαγγελικῶν ἀόκνως ἐφαψώμεθα θησαυρῶν, ἵν᾽ ἐκεῖθεν συνήθως ἀρυσώμεθα πλοῦτον ἀφθόνως * μεριζόμενον, καὶ οὐδαμῶς οὐδέποτε δαπανώμενον. δεῦτε τῷ πανσόφῳ, καλῶς ὁδηγοῦντι, δὲ πάλιν ἀκολουθήσωμεν Λουκᾷ, ἵν᾽ ἴδωμεν τὸν Χριστὸν εἰς ὄρος ὑψηλὸν ἀναβαίνοντα, καὶ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τῆς θείας μεταμορφώσεως λαμβάνοντα μάρτυρας. Παραλαβὼν

Λουκ. θ. κη. γάρ, φησι, τοὺς περὶ Πέτρον, εἰς ὄρος ὑψηλὸν ἀνῆλθεν ὁ δεσπότης. ὄρος ὑψηλὸν, ἐν ᾧ Μωϋσῆς καὶ Ἠλίας διελέγοντο τῷ Χριστῷ· ὄρος ὑψηλὸν, ἐν ᾧ νόμος καὶ προφῆται συνωμίλουν τῇ χάριτι· ὄρος ὑψηλὸν, ἐν ᾧ Μωϋσῆς ὁ τοῦ πάσχα τὸν ἀμνὸν σφαγιάσας, καὶ τῷ αἵματι τὰς φλιὰς τῶν Ἑβραίων ῥαντίσας· ὄρος ὑψηλὸν, ἐν ᾧ Ἠλίας πῦρ ἐκεῖνος τὸν βωμὸν μελίσας, τὴν δι᾽ ὕδατος θυσίαν ἐν πυρὶ δαπανήσας· ὄρος ὑψηλὸν, ἐν ᾧ Μωϋσῆς ὁ ἀνοίξας καὶ κλείσας τῆς ἐρυθρᾶς θαλάσσης τὰ συστήματα· ὄρος ὑψηλὸν, ἵνα μάθωσιν οἱ περὶ Πέτρον καὶ Ἰάκωβον,

Φιλιπ. β. ι. ὅτι αὐτός ἐστιν, ᾧ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. τρεῖς γὰρ μόνους παραλαβών, οὐ πάντας παραλαβών, οὐ πάντας καταλιπών, οὐ φθονήσας τοῖς ἄλλοις τῆς δόξης, οὐκ εὐτελεστέρους κρίνας (δίκαιος γὰρ ὤν, δικαίως τὰ πάντα διέταττε) ἀναλογιζόμενος πάντας, καὶ τῆς πρὸς ἀλλήλους ἀγάπης οὐ μεριζομένους ἕνωσιν. ἀλλ᾽ ἐπειδὴ ἀνάξιος ἦν τῆς θείας ὄψεως καὶ τῆς φοβερᾶς ἐκείνης ὀπτασίας ὁ μέλλων γενέσθαι προδότης Ἰούδας, τούτου χάριν καὶ τοὺς ἄλλους καταλιμπάνει, ἵνα κἀκεῖνος μὴ μόνῳ καταλειφθέντι πρόφασιν ἀπολογίας ὕστερον ἀποκαλύψῃ, καὶ τῆς μεταμορφώσεως τοὺς τρεῖς αὐτάρκεις κατὰ τὸν νόμον ἐπισπάσηται μάρτυρας, ἐν αὐτοῖς κατὰ ψυχὴν καὶ τοὺς λοιποὺς περιφέροντας. αὐτὸς γάρ φησι, Φύλαξαι αὐτούς, πάτερ δίκαιε, ἵνα καὶ αὐτοὶ ἓν ὦσι, καθὼς καὶ ἡμεῖς ἕν ἐσμεν. ὁρᾷ γὰρ ὁ Ἰούδας

Ιωαν. ιζ. κα. παρὰ τὸ ὄρος Ἀνδρέαν, Θωμᾶν, Φίλιππον, καὶ τοὺς λοιποὺς διατρίβοντας μετ᾽ αὐτοῦ, καὶ οὐδὲ γογγύζοντας, οὐκ ἀγανακτοῦντας, οὐ λοιδοροῦντας, ἀλλὰ χαίροντας, καὶ κοινῇ τὴν ἄνωθεν χά-

ειν

εἰν ἑαυτοῖς καὶ τοῖς ἀποῦσι ψηφίζοντας, ἀναπολόγητος παντελῶς ὑπῆρχει, εἰς οὐδὲν οὐ-
δέποτε τῶν θαυμάτων παροραθείς. ἀλλὰ καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὴν τοῦ μύρου ἀναιτίως
βασκαίνων, καὶ τὸν διδάσκαλον τοῖς ἐχθροῖς τολμηρῶς προδιδών. καὶ τί φησι; Καὶ μετε-
μορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες αὐτῷ. ἀλλ' ὁ
5 Πέτρος, ὡς ἀεὶ περὶ πάντα θερμός, ὄμμασι διανοίας, οἷς οὐκ οἶδέ ποτε, θεωρήσας συλλα-
λοῦντας αὐτῷ, οὐ πολὺ μετεωρίσας τὸ θαῦμα, οὐ τὸ παράδοξον μετρήσας τῆς θείας ἐλλάμ-
ψεως, καλὸν ἐκάλει τὸν ἔρημον τόπον. σκηνοποιὸς ἐξ ἁλιέως προέκοπτε, τῷ σωτῆρι βο-
ῶν· Ποιήσωμεν ὧδε τρεῖς σκηνάς, μίαν σοι, καὶ μίαν Ἠλίᾳ, καὶ μίαν Μωϋσῇ, οὐκ εἰδὼς ὃ
λέγει. ἀλλ' ὦ τῶν μαθητῶν κορυφαῖε καὶ πρωτοστάτα Πέτρε; τί ταπειναῖς ἐννοίαις περι-
10 πετεύεσθαι θέλεις, καὶ λογισμοῖς ἀνθρωπίνοις καθυβρίζεις τὰ θεῖα, καὶ πρὸς ἐγείρειν ἐν ἐρή-
μῳ λέγεις; ὁμότιμον τοῖς δούλοις ὁρίζεις τὸν δεσπότην; καὶ τῷ Χριστῷ μίαν σκηνήν, καὶ τοῖς
δυσὶν ἐξ ἴσης οἰκοδομὴν ἐπείγῃ; μὴ γὰρ ἐξ ἁγίου πνεύματος, ὡς οὗτος, συνελήφθη Μωϋ-
σῆς; μὴ γὰρ παρθένος ἔτεκε τὸν Ἠλίαν, ὡς τοῦτον ἡ παναγία παρθένος Μαρία; μὴ γὰρ ἔμ-
βρυον ἐκ μήτρας ἐπέγνω Μωϋσέα, καθάπερ τοῦτον ὁ πρόδρομος; μὴ γὰρ οὐρανὸς ἐμή-
15 νυσεν Ἠλίου τὴν γέννησιν; ἢ μάγοι προσεκύνησαν Μωϋσέως τὰ σπάργανα; μὴ γὰρ Μωϋσῆς
καὶ Ἠλίας εἰργάσαντο τοσαῦτα θαύματα; ἢ σπηλαίῳ ἀνθρωπίνῳ ἀπήλασαν πνεύμα-
τα; Μωϋσῆς γὰρ ὠργίσθη ποτέ, καὶ ῥάβδῳ πατάξας διῆλθε τὸ πέλαγος· ὁ δὲ σὸς διδάσκαλος
Ἰησοῦς ἐν θαλάσσῃ πεζεύσας σὺν τῷ Πέτρῳ βατὸν ἐποίησε τὸν βυθόν. ὁ Ἠλίας ἱκετεύσας
ἐπλήθυνε τῆς χήρας τὸ ἄλευρον, καὶ τὸν ταύτης υἱὸν ἀνέστησεν ἐκ νεκρῶν· ὁ δὲ σὸς μαθη-
20 τὴν ἐξ ἁλιέων λαβών, ἐπ' ὀλίγοις ἄρτοις χιλιάδας ἐκόρεσε, καὶ τὸν ᾅδην ἐσκύλευσε,
καὶ ἀνήρπασε τοὺς ἀπ' αἰῶνος καθεύδοντας. μὴ τοίνυν λέγε, Πέτρε, ποιήσωμεν ὧδε τρεῖς
σκηνάς· μηδέ, καλὸν ἡμᾶς τὸ ὧδε εἶναι, μηδὲ ἀνθρώπινον, μηδὲ ταπεινόν, μηδὲ γήϊνον,
μηδὲ χαμερπές. τὰ ἄνω φρόνει, τὰ ἄνω ζήτει, ὡς ὁ Παῦλος ἐμύησε, μὴ τὰ ἐπὶ
γῆς. πῶς γὰρ ἡμᾶς καλὸν τὸ ὧδε εἶναι, ὅπου ὁ ὄφις ὑβρίσας τὸν πρωτόπλαστον καὶ ἔβλα-
25 ψε, καὶ τὸν παράδεισον ἔκλεισεν; ὅπου τὸν ἄρτον ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίειν ἠκούσαμεν;
ὅπου στένειν καὶ τρέμειν ἐπὶ τῆς γῆς διὰ παρακοὴν ἐμάθομεν; ὅπου πάντα σκιά; ὅπου
πάντα παρελεύσεται ῥοπῇ; πῶς οὖν ἡμᾶς ὧδε εἶναι καλόν; εἰ ἐνταῦθα Χριστὸς καταλιμ-
πάνει ἡμᾶς, τίνος χάριν ἐκοινώνησεν αἵματος καὶ σαρκός; εἰ ἐνταῦθα Χριστὸς καταλιμπά-
νει ἡμᾶς, τίνος χάριν συγκατέβη τῷ πεσόντι, καὶ τὸν κείμενον ἤγειρεν; εἰ καλὸν εἶναι ἐπὶ τῆς
30 γῆς, εἰς μάτην ἐκλήθης τῶν οὐρανῶν κλειδοῦχος. ποῦ γὰρ λοιπὸν χρήσιμοι τῶν οὐρανῶν
αἱ κλεῖς; ἐπεὶ τὸ ὄρος τοῦτο ποθεῖς, ἀποτάττου λοιπὸν οὐρανοῖς· εἰ σκηνὰς ἐγεῖραι θέλεις,
παραίτησαι τὸ εἶναι τῆς ἐκκλησίας θεμέλιος. μετεμορφώθη γὰρ Χριστός, οὐχ ἁπλῶς,
ἀλλ' ἵνα ἡμῖν ἀποδείξῃ τὴν μέλλουσαν τῆς φύσεως μεταμόρφωσιν, καὶ τὴν ἐσομένην ἐπὶ τῶν νεφε-
λῶν ἐν φωνῇ ἀρχαγγέλων δευτέραν σωτήριον ἔλευσιν. αὐτὸς γάρ ἐστιν ὁ τὸ φῶς ὡς ἱμάτιον
35 περιβαλλόμενος, κριτὴς ὑπάρχων ζώντων καὶ νεκρῶν· ὅθεν Μωϋσῆν καὶ Ἠλίαν εἰς μέσον
παρήγαγε, τῶν ἀρχαίων ὄψεων παραστῆσαι τὰ σήμαντρα. καὶ τί φησιν ὁ μέγας γραφεύς;
Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς· καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν
λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. ἔτι, φησί, τοῦ Πέτρου
λαλοῦντος ἀντέλεξεν ὁ πατήρ· τί, Πέτρε, καλὸν εἶναι λέγεις, μὴ εἰδὼς ὃ λέγεις; οὔπω πε-
40 παιδαγώγησαι, οὔπω τὴν ἀσφαλῆ γνῶσιν τῆς υἱότητος ἔμαθες, ὁ λέγων, σὺ εἶ ὁ Χριστὸς ὁ
υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. τοσαῦτα θαύματα κατεῖδες, Βαριωνᾶ, καὶ ἔτι Σίμων ὑπάρ-
χεις; οὐρανῶν σε κλειδοῦχον κατέστησε, καὶ τῆς ναυτιλίας ἔτι τὸ ἱμάτιον οὐκ ἀπέθου; ἰδοὺ τὸ
τρίτον ἀνθίστασαι τῇ τοῦ σωτῆρος βουλῇ, μὴ εἰδὼς ὃ λέγεις. εἶπε γάρ σοι, δεῖ με παθεῖν, καὶ λέ-
γεις, Οὐ μὴ ἔσται σοι τοῦτο. εἶπε πάλιν, Πάντες σκανδαλισθήσεσθε, καὶ λέγεις, Εἰ πάντες,

Λουκ. θ. λς.

Λυκ. λδ. λε.

Ματθ. ιζ. ε.

Ματθ. ις κβ. καὶ κς. λα.

ἐγώ

ἐγὼ δὲ οὐ σκανδαλισθήσομαι. ἰδοὺ καὶ νῦν ἐγεῖραι θέλεις τῷ Χριστῷ, τῷ ἅμα ἐμοὶ θεμελιώσαντι τὴν γῆν, τῷ ἅμα ἐμοὶ συστήσαντι τὴν θάλασσαν, καὶ στερέωμα πήξαντι, αἰθέρα πυρώσαντι, καὶ πάντα σὺν ἐμοὶ πρὸ αἰώνων δημιουργήσαντι, σκηνὴν τῷ ἐξ ἐμοῦ, σκηνὴν τῷ ἐν ἐμοὶ καὶ μεθ' ὑμῶν, σκηνὴν τῷ ἀπάτορι Ἀδὰμ, σκηνὴν τῷ ἀμήτορι Θεῷ, σκηνὴν τῷ λαβόντι σκηνὴν, ἣν ἠρετήσατο, γαστέρα παρθενικήν. ἄκουσον ἐπειδὴ σὺ τρεῖς σκηνὰς ἐγεῖραι βούλει, μὴ εἰδὼς ὅπερ λέγεις, ἐγὼ νεφέλη φωτεινὴ γενομένη, σκηνὴν καὶ τοὺς παρόντας φυλάξας, ἐκ τῶν ὑψίστων βοῶ, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. οὐ Μωϋσῆς καὶ Ἠλίας, ἀλλ' οὗτος· οὐκ ἄλλος, καὶ ἄλλος, ἀλλ' οὗτος, εἷς, καὶ ὁ αὐτὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. Μωϋσῆν ἐδικαίωσα, ἀλλ' ἐν τούτῳ ηὐδόκησα· Ἠλίαν ἀπέλαβον, ἀλλὰ τοῦτον ἀπέστειλα ἐκ παρθένου εἰς αὐτὸν τὸν οὐρανόν. (Ιωαν. γ. ιγ.) Οὐδεὶς γάρ, φησιν, ἀνέβη εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. ἐκεῖ τοίνυν κατῆλθεν ἐπὶ τῆς γῆς, ἐκ δὲ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· εἰ μὴ, μείνας ὃ ἦν, γέγονεν ὅπερ ἐσμὲν, εἰ μὴ σταυρὸν καθ' ἡμᾶς, δι' ἡμᾶς ὑπομείνας, καὶ τῷ οἰκείῳ αἵματι τὸν κόσμον ἠγόρασεν. ἀργεῖ οἰκονομία, καὶ λύει τὰ παλαιὰ τῶν προφητῶν ἀβέβαια ῥήματα. ἀλλὰ παῦσαι, Πέτρε, καὶ μὴ τὰ τῶν ἀνθρώπων φρόνει, ἀλλὰ τὰ τοῦ Θεοῦ. οὗτος γάρ ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. διττῇ γὰρ τῇ περὶ αὐτὸν κέχρημαι φωνῇ, ἐπὶ μὲν ὑμῶν ἐν τῷ ὄρει τούτῳ, ἐπὶ δὲ Ἰωάννου ἐν τῷ Ἰορδάνῃ ποταμῷ· ἣν ὁ πάλαι προφήτης ἀληθεύσει βοήσας, (Ματθ. ιζ. Ψαλ. πη. ιγ.) Θαβὼρ καὶ Ἑρμονιὴλ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. ποίῳ ὀνόματι; οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. ἐχαρίσατο γὰρ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. ἀλλ' ἐρεῖς πάντως, ἀγαπητὲ, τί ἐστι, Θαβὼρ καὶ Ἑρμονιὴλ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται; μάνθανε τοίνυν συνετῶς. τὸ Θαβὼρ, τοῦτό ἐστι τὸ ὄρος, ἔνθα θελήσας μετεμορφώθη Χριστὸς, καὶ υἱὸς παρὰ πατρὸς ἐμαρτυρήθη, ὡς ἀρτίως ἠκούσατε. τὸ δὲ Ἑρμονιὴλ ὄρος ἐστὶ μικρὸν ἐκ γῆς Ἰορδάνου, ὅθεν ἀνελήφθη Ἠλίας, καὶ οὗ πλησίον ἐν τοῖς ῥείθροις τοῦ Ἰορδάνου βουληθεὶς ἐβαπτίσθη Χριστὸς, καὶ υἱὸς παρὰ πατρὸς ἐμαρτυρήθη. ἐν τούτοις τοῖς δυσὶν ὄρεσιν ὁ ἀγέννητος πατὴρ βεβαιοῖ τὴν υἱότητα, καὶ τότε καὶ νῦν ἐκ δευτέρου βοᾷ, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. ὁ γὰρ αὐτοῦ ἀκούων, καὶ ἐμοῦ ἀκούει· καὶ ὃς ἂν ἐπαισχυνθῇ αὐτὸν, καὶ τοὺς αὐτοῦ λόγους, κἀγὼ αὐτὸν ἐπαισχυνθήσομαι ἐν τῇ δόξῃ μου καὶ τῶν ἁγίων ἀγγέλων. αὐτοῦ ἀκούετε, ἁπλάστως, ἀκάκως, ἀπεριγράπτως πίστει ζητοῦντες, ἀλλ' οὐ γλώττῃ μετροῦντες· πίστει παραβαίνοντες, ἀλλ' οὐ λόγοις τὸν λόγον σταθμίζοντες. ἄρτι γὰρ Παῦλος ὁ ῥήτωρ χαλινῶν τὴν περιεργίαν, καὶ πάντα διδάσκων ἀνενδοιάστως, βοᾷ· (Ρωμ. ια. λγ.) Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λβ.

ΕΙΣ ΤΑ ΒΑΙΑ.

Ex Ms. Regio Lut. emend. ex Ms. Cantabrig.

ἬΔη τῆς πνευματικῆς πανηγύρεως προλάμπει τὰ χαρίσματα· ἤδη τῆς πανευφήμου ἑορτῆς προστείχει τὰ [σήμαντρα· ἤδη τοῦ αὐλοῦ νυμφίου προστρέχουσι τὰ] μηνύματα· ἤδη τῆς καθολικῆς ἀναστάσεως ἀρραβῶνα δεξάμενος Λάζαρος τῷ Κυρίῳ ἀνάκειται· ἤδη τῆς δωρεᾶς τὸ μύρον τοὺς [τῷ βαπτίσματι] περιτρέχοντας εὐωδιάζει· ἤδη τοῦ βασιλέως οἱ πιστοὶ φύλακες τὴν μεγάλην πόλιν ταύτην κατέλαβον· ἤδη ὁ πιστὸς λαὸς εἰς ἀπάντησιν τῷ Κυρίῳ προσδραμὼν βοᾷ λέγων· (Ματθ. κα. θ.) Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, καθὼς ἀρτίως ἠκούσατε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ· εὐλογημένος ὁ ἐρχόμενος, ὁ ἀεὶ ἐρχόμενος, καὶ ὢν μεθ' ἡμῶν, καὶ ἔξω

τῶν

τῶν πιστῶν μηδαμῶς γινόμενος. οὕτως ὁ ὄχλος ἐκεῖνος βασιλικὴν ἐγνώρισε δύναμιν καὶ εἴσοδον. ὥσπερ γὰρ ἐν τοῖς πάλαι κοσμικοῦ βασιλέως ἐπιστρατεύσαντος τυράννῳ, καὶ μετὰ νίκης ὑποστρέφοντος, πάντες οἱ πολῖται αὐτοῦ πρὸ τῆς πόλεως συναντῶσιν, αἴνους βαστάζοντες, ἐπαίνους πλέκοντες, ἐγκωμίοις τὴν νίκην ἀμειβόμενοι (ἀλλ' ἦν αὐτοῖς πρὸς ταῦτα οὐκ ἔνδοξος ἔρως, ἀλλ' ἐπινίκιος ὕμνος καὶ πόθος) τὸ αὐτὸ εἴποι καὶ ἐπὶ τοῦ δεσπότου Χριστοῦ, ὡς ἐπὶ βασιλέως ἐπανιόντος, ἅπαν τὸ πλῆθος καὶ ἐκ τῶν λόγων, καὶ ἐκ τῶν βαΐων ἐμήνυον, ὅτι νικητὴς ὁ παραγινόμενος, μᾶλλον δὲ ὅτι Θεὸς ὁ γνωριζόμενος. Θεῷ γὰρ μόνῳ ἁρμόζουσαι αἱ φωναὶ αἱ τότε βληθεῖσαι, καὶ τοῖς συνετοῖς θεῖα μυστήρια παραγυμνοῦσαι, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, τουτέστι, σῶσον δὴ ὁ ἐν τοῖς ὑψίστοις. οὕτω γὰρ ἑρμηνεύεται τῇ Ἑβραΐδι φωνῇ τό, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, ὡς ἄνω σωτηρία, καὶ κάτω φιλανθρωπία. ὦ ὄχλου θεογνωσία ἀγγελικῆς διακονίας μετεσχηκότος. γῆν πατοῦντες, καὶ οὐρανὸν χωροβατοῦντες, σῶμα περικείμενοι, καὶ τὰ τῶν ἀσωμάτων μετερχόμενοι· Ἰουδαῖοι τὴν προσηγορίαν, καὶ χριστιανοὶ τὴν ἐργασίαν· κοσμικοὶ τὴν διαγωγήν, καὶ ἀποστολικοὶ τὴν ὁμολογίαν. ἄνωθεν καὶ οὗτοι, ὡς Πέτρος, τὴν ἀποκάλυψιν ἐδέξαντο. ὥσπερ γὰρ ὁ κορυφαῖος τῶν ἀποστόλων οὐκ ἐξ οἰκείας μελέτης, ἀλλ' ἐκ θείας ἀποκαλύψεως ἔλεγε πρὸς τὸν Κύριον, Σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ὁ Κύριος δεικνύων, ὅτι οὐκ ἐξ οἰκείων λογισμῶν, ἀλλ' ἐκ τοῦ πατρὸς ἔλαβε τὴν ἀποκάλυψιν, μακαρίζων αὐτὸν ἔλεγε· Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· τὸν αὐτὸν τρόπον καὶ ὁ ὄχλος ἄνωθεν τὴν ἀποκάλυψιν δεξάμενος ἀνεβόα πρὸς τὸν Κύριον λέγων· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ. ἔστι δὲ πάντως εἰκὸς εἰπεῖν, τίς καὶ πόθεν ἡμῖν ἡ ἀπόδειξις, ὅτι ὁ Ἰουδαϊκὸς οὗτος ὄχλος ἄνωθεν ἔλαβε τὴν ἀποκάλυψιν. πόθεν οὖν ὑμῖν ὑποδείξω; ἐξ αὐτῶν τῶν τοῦ Κυρίου ῥημάτων· Ἰδόντες γάρ, φησιν, οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ, καὶ λέγοντας, ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ἠγανάκτησαν καὶ εἶπον τῷ Ἰησοῦ· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς, ναί· οὐδέποτε ἀνέγνωτε, ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον; καὶ οὐκ ἐκ μόνων δὲ τῶν τοῦ Κυρίου ῥημάτων, ἀλλὰ καὶ ἐκ τῆς παραδόξου τῶν ὄχλων συστροφῆς, καὶ ἀπαντήσεως, καὶ τῶν ἔργων ὧν ἐποίουν, οὐ μόνον κράζοντες, ἀλλὰ καὶ τοὺς κλάδους τῶν ἐλαιῶν, καὶ τὰ βαΐα τῶν φοινίκων κόπτοντες, καὶ ταῖς χερσὶ φέροντες, καὶ τὰ ἱμάτια αὐτῶν ὑποστρωννύοντες, καὶ σωτῆρα καὶ βασιλέα καὶ Κύριον προσαγορεύοντες. ὅθεν παντί που δῆλον, ὅτι ἄνωθεν ἐδέξαντο τὴν ἀποκάλυψιν. Εἰ μὴ γὰρ ἄνωθεν ἐδέξαντο, πόθεν ἐγνώριζεν ὁ ὄχλος βασιλέα τὸν Κύριον; οὐκ ἐφόρει διάδημα βασιλέως κοσμικοῦ, οὔτε περιεβέβλητο ἁλουργίδα, οὐκ ἐπεφέρετο πλῆθος στρατοῦ, οὐ περιέτρεχον αὐτῷ ἵπποι, καὶ ἅρματα καὶ ἀσπίδες χρυσοκόλλητοι, οὐκ ἐπωχεῖτο ἅρματι πορφυροστρώτῳ βασιλικῷ· πώλῳ δὲ ἐπεκάθητο ἀλλοτρίῳ μικρῷ, δώδεκα μαθητὰς μόνους ἐπαγόμενος. πόθεν οὖν ἔγνω ὁ ὄχλος αὐτὸν βασιλέα τυγχάνειν, εἰ μὴ ἄνωθεν ἔλαβε τὴν ἀποκάλυψιν; διὸ οὐκ ἐζήτουν ἐπὶ τοῦ Κυρίου διάδημα κοσμικόν· ἔγνωσαν γὰρ αὐτὸν ἀνάρχως βασιλεύοντα. οὐκ ἐζήτουν ἁλουργίδα· ἐθεώρουν γὰρ αὐτὸν ἀναβαλλόμενον φῶς, ὡς ἱμάτιον. οὐ περιεβλέποντο πλῆθος στρατιωτῶν, πεισθέντες τῷ εἰρηκότι προφήτῃ· Μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ, καὶ χίλιαι χιλιάδες [ἀρχαγγέλων] παρειστήκεισαν αὐτῷ. οὐκ ἐπεζήτουν ἵππους καὶ ἅρματα· ἐγνώρισαν γὰρ ὅτι αὐτός ἐστιν ὁ τὸν Ἠλίαν ἐν ἅρματι πυρίνῳ ἀναλαβών· καὶ τοὺς εὐαγγελιστάς, καθάπερ ἵππους παρακολουθοῦντας αὐτῷ γινώσκοντες, πεισθέντες τῷ εἰρηκότι προφήτῃ· Ζαχαρίας δὲ οὗτός ἐστιν ὁ εἰπών, ὅτι Ὀπίσω αὐτοῦ ἵπποι λευκοί, καὶ πυρροί, καὶ ποικίλοι, καὶ ψαροί. λευκὸς ἵππος Ματθαῖος, ὡς τὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου σαφέστερον ἐκθέμενος. ψαρὸς ἵππος ὁ Μάρκος, ὃς διαληθέστερον τὸ εὐαγγέλιον ἔγραψε. ποικίλος ἵππος ὁ Λουκᾶς,

Ματθ. ις. ιζ.

Ματθ. κα. ιϛ.

Ζαχ. ϛ. β.

χοῦς, ὡς εὐγλωττοτέρως καὶ ποικίλως τὰ κατὰ τὸν Κύριον ἐκθέμενος. "πυῤῥὸς ἵππος Ἰωάννης," ὁ
τὴν θεότητα τοῦ Χριστοῦ, καθάπερ ἀστραπὴ πυρὸς τοῖς ἀποστόλοις ἐκλάμψας· Ἐν ἀρχῇ ἦν
ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. [ἵππους δὲ ταχυδρόμους εἰς πᾶ-
σαν τὴν γῆν τὸ εὐαγγέλιον κομίσαντας, καὶ ὁ προφήτης Ἀμβακοὺμ τοὺς ἀποστόλους ὠνόμασε
(Ἀμϐ. γ. ιδ.) λέγων· Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου· θάλασσαν τροπικῶς τὸν ἅπαντα
κόσμον καλέσας. οὐκ ἐζήτουν ἐπὶ τοῦ Κυρίου ὄχημα λιθοκόλλητον, πορφυρόστρωτον, βα-
σιλικοῖς ὅπλοις διηθυσμένον· ᾔδεισαν γὰρ τὰ χερουβὶμ, καὶ τὰ σεραφὶμ τὰ ἑξαπτέρυγας λαμ-
(Ψαλ. οθ β.) πάδας, ὄχημα κεντούμενα, πειθέντες τῷ εἰρηκότι· Ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐμ-
φάνηθι.] Θεόθεν τοίνυν ὁ Ἱεροσολυμικὸς ἐκεῖνος πιστὸς ὄχλος τὴν ἀποκάλυψιν δεξάμε-
νος, οὐκ ἐσκανδαλίσθη ὑπὸ τοῦ εὐτελοῦς πώλου, ἀλλ' ἐνεδυναμώθη ὑπὸ τῆς δεσπο-
τικῆς παρουσίας. διὸ ὡς μόνον εἶδον τὸν Κύριον ἐπιβάντα τῷ πώλῳ, εὐθέως προφητικαῖς
προῤῥήσεσι νυχθέντες, ἀναλαβόντες τὰ βαΐα τῶν φοινίκων, ἔλεγον πρὸς ἀλλήλους οἱ ὄχλοι·
τί ἀναμένομεν, καὶ οὐκ ἐξερχόμεθα εἰς ἀπάντησιν τοῦ νοητοῦ φοίνικος, κρατοῦντες τὰ βαΐα
τῶν φοινίκων; ὁ καρπὸς αὐτοῦ γλυκάσματος καὶ ἀθανασίας πλήρης· τὰ φύλλα αὐτοῦ τῆς οἰ-
κουμένης ἰάματα· τὸ στέλεχος αὐτοῦ, [τουτέστι, τὸ ξύλον τοῦ σταυροῦ,] τοῦ κόσμου παντὸς σω-
τηρία, καὶ τρόπαιον τῆς κατὰ τοῦ διαβόλου νίκης. ἠκούσαμεν τῆς ἐξ ἡμῶν ἐκκλησίας ἐν τοῖς
(Ἀσμ. ζ. η.) ᾄσμασι τῶν ᾀσμάτων βοώσης· Ἀναβήσομαι ἐπὶ τοῦ φοίνικος, κρατήσω τῶν κλάδων αὐτοῦ·
παραλάβωμεν τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, καὶ ὡς φοίνικα νοητὸν, καὶ ὡς βασιλέα κραταιὸν ἀ-
πασώμεθα. Ταῦτα τῶν ὄχλων λεγόντων καὶ διαπεπλομένων, καὶ τὸν Κύριον εὐφημούντων,
οἱ ἀρχιερεῖς καὶ Φαρισαῖοι δριμυχθέντες σφόδρα ἐπετίμων τοῖς ὄχλοις λέγοντες· τί ποιεῖτε;
τί ματαιολογεῖτε παραπετέσατοι; ὡς Θεῷ τῷ υἱῷ τοῦ τέκτονος προσέρχεσθε τὰ βαΐα κρα-
τοῦντες; Κύριον ὀνομάζετε τὸν μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν κλῖναι; βασιλικὰς φωνὰς πε-
ριβάλλετε τῷ ἐπὶ πώλῳ ὄνου καθεζομένῳ; οὐχὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ παρ' ἡμῖν εἰ-
σι; παύσασθε παραπετέσατοι, εἰ δὲ μήγε, κολασθήσεσθε. διὰ τοῦτο γὰρ ἀπεστάλημεν, ὅ-
πως τοὺς ἐν ὑμῖν παραπετασάτους σημειωσώμεθα, δίκας τῇ τόλμῃ ἀποτίνοντας. Ταῦτα ἀ-
κούσαντες οἱ ὄχλοι τῶν ἀρχιερέων λεγόντων, οὐ κινοῦνται μὲν πρὸς στάσιν, ἀποκρίνον-
ται δὲ πρὸς αὐτοὺς τῆς χάριτος ἐνεργούσης· μέμφεσθε ἡμῖν, Φαρισαῖοι, καὶ κόλασιν ἡμῖν ἀ-
πειλεῖτε ὡς βλασφημίαν προϊεμένοις; τίνες κολάσεως ἄξιοι; ὑμεῖς οἱ τὰς γραφὰς ἀναγι-
νώσκοντες, καὶ μὴ νοοῦντες, ἢ ἡμεῖς οἱ ἀκούοντες καὶ κρατοῦντες; σφαλλόμεθα βαΐα τῶν φοινί-
κων τῷ Κυρίῳ προσφέροντες; οὐκ αὐτός ἐστιν ὁ τῆς δικαιοσύνης φοῖνιξ; οὗ περὶ αὐτοῦ κέ-
κραγεν ὁ προφήτης*, Δίκαιος ὡς φοῖνιξ ἀνθήσει; οὐκ αὐτὸς ἤνθησε τῶν τυφλῶν τὴν
(Ψαλ. ϟα. ιϐ.) ἀνάβλεψιν; οὐ χωλοῖς τὸν δρόμον ἀκώλυτον ἐχαρίσατο; οὐ τὸν παράλυτον τὴν βαστάσα-
σαν κλίνην βαστάσαι ἐποίησεν; οὐ τὸν τεταρταῖον Λάζαρον ἐξήγειρεν ἐκ θανάτου; οὐ διὰ τοῦτο
βούλεσθε τὸν Λάζαρον πάλιν ἀποκτεῖναι; οὐχ ὑμεῖς τὸν λίθον ἀπεκυλίσατε, καὶ τῇ ἀπιστίᾳ,
ὡς λίθοι σκληρύνεσθε; οὐχ ὑμῖν ἐπέτρεψε λῦσαι τὰς κειρίας, ἵνα μὴ ὡς ἐπὶ τοῦ ἐκ γενετῆς
τυφλοῦ, ἄλλον ἐξ ἄλλου τάφου παραστήσαντα ψευδολογήσητε; ἀεὶ ὑμεῖς τοῖς καλοῖς βα-
σκαίνετε, ὦ Φαρισαῖοι, καὶ τῷ πλήθει πιστεύοντι ἐμποδίζετε. διὰ τοῦτο πάλιν τὸν Λάζαρον
ἐβουλεύσασθε φονοκτονῆσαι, ἵνα τοῦ ὄχλου τὴν πίστιν ἐκκόψητε. Εἰ γὰρ φονεύσητε τὸν Λά-
ζαρον, τί; οὐ δύναται πάλιν αὐτὸν ἀναστῆσαι; ἴδωμεν τίς κοπωθήσεται, ὑμεῖς φονεύοντες, ἢ
ἐκεῖνος ἐγείρων; ὑμεῖς ἔργῳ καὶ κόπῳ φονεύετε, αὐτὸς λόγῳ ἀνίστησι. τίς μᾶλλον κοποῦται;
οὐχ ὁ λόγος τοῦ ἐνεργοῦντος κουφότερος; σφαλλόμεθα, ὦ Φαρισαῖοι, ὅτι ὡς βασιλεῖ προσ-
ήλθομεν τῷ Κυρίῳ; τὸν πῶλον θεωροῦντες μᾶλλον ἐνεδυναμώθημεν. διὸ καὶ βασιλέα
κραταιὸν γνωρίζομεν, καὶ ἔχομεν τὴν γραφὴν παραπόδας· ἵνα μάθητε συνετῶς ὅτι οὐχ
ἡμεῖς σφαλλόμεθα, ἀλλ' ὑμεῖς πλανᾶσθε. ἔχετε τὸν προφήτην Ζαχαρίαν· τούτου τὸν λό-

γεις ἀναπτύξατε· φοβήθητε αὐτοῦ τὸ δρέπανον τῆς ἐκδικήσεως. ἐκ πολλῶν γὰρ τῶν χρό-
νων τὴν Ἰουδαίαν εὐαγγελιζόμενος ἐκέκραγε, Χαῖρε σφόδρα, θύγατερ Σιών· ἰδοὺ ὁ βασι- *Ζαχ. θ. θ.*
λεύς σου ἔρχεταί σοι πραῢς καὶ ἥσυχος, καθήμενος ἐπὶ πῶλον ὄνου, υἱὸν ὑποζυγίου. μὴ σφαλλό-
μεθα τὴν γραφὴν ἀναγινώσκοντες, καὶ τὸν βασιλέα γνωρίζοντες, καὶ ἑαυτοὺς εὐεργετοῦντες, καὶ
5 τοὺς ἀμφιβάλλοντας ἐπιστρέφοντες; τὸν προφήτην κατέχετε, καὶ τὸν προφητευθέντα νοεῖν
οὐ θέλετε; ἀποστήσατε τοιγαροῦν, ὦ Φαρισαῖοι. ὅσον ἡμῖν ἐπίκεισθε, τοσοῦτο μᾶλλον τὸν
πόθον ἡμῶν διεγείρετε καὶ τὸν ζῆλον. διὸ οὐ παυσώμεθα βοῶντες, ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐ-
λογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. γνωρίζομεν τὸ ὄνομα, ὦ Φαρισαῖοι. τοῦτο τὸ
ὄνομα τῆς Αἰγύπτου ἡμᾶς ἠλευθέρωσε, καὶ τὴν θάλασσαν ἡμῖν βατὴν πεποίηκε, καὶ τὴν ἔ-
10 ρημον ἐπόλισε, καὶ εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι ἐνῴκισε· τὴν προφήτου βοὴν περιεσκεύασε·
Γνώτωσαν, ὅτι ὄνομά σοι, Κύριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν. ὅτι μὲν ὁ ὄχλος εὐπειθής,
οἱ δὲ ἀρχιερεῖς ἀπειθεῖς, ἄκουε τοῦ εὐαγγελιστοῦ· Καὶ συνεβουλεύσαντο οἱ ἀρχιερεῖς, ἵνα καὶ *Ιωαν. ιβ. ι.*
τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον ἀπὸ τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς
τὸν Ἰησοῦν. εἶδες τῶν ἀρχιερέων τὴν μανίαν; ἵνα ἐκκόψωσι τὴν πίστιν τοῦ πλήθους, ἐζήτουν
15 καὶ τὸν Λάζαρον ἀποκτεῖναι λέγοντες πρὸς ἑαυτούς· ὅτι ἐὰν τὸν Ἰησοῦν μόνον ἀποκτείνωμεν,
καταλείψωμεν δὲ τὸν Λάζαρον ζῶντα, οὐδὲν ὠφελοῦμεν. τοῦτον γὰρ ὁρῶντες εἰς ἐκεῖ-
νον πιστεύουσιν. ὅπως οὖν μὴ καὶ μετὰ θάνατον πρόσκομμα ἡμῖν γένηται, τοῦ πιστεύειν τινὰς εἰς
τὸν Ἰησοῦν, ἀποκτείνωμεν τὸν Λάζαρον, ἵνα παντελῶς τὴν μνήμην αὐτοῦ ἐξαλείψωμεν.
ταῦτα δὲ καὶ ἕτερα ἔλεγον οἱ ἀρχιερεῖς, ὡς ἀληθῶς ποῖοι ματαιόφρονες, μὴ συνιέντες ὅτι ὁ
20 Κύριος μέλλων τὸν ἑκούσιον θάνατον καταδέχεσθαι ὑπὲρ τῆς τοῦ κόσμου ἀθανασίας, οὐκ ἔμελ-
λε τὸν Λάζαρον μόνον καὶ τὴν τούτου ἔγερσιν τῷ κόσμῳ εἰς μνήμην καταλιμπάνειν, ἀλλὰ καὶ
τὸν ἀκαταμάχητον σταυρόν· ὃν οὔτε δυνήσονται οὔτε πορθῆσαι, οὔτε κρύψαι, οὔτε ματαιῶ-
σαι, διὰ πάσης τῆς οἰκουμένης δεικνύντα τῆς ἐνεργείας αὐτοῦ τὴν δύναμιν. ποῖος γὰρ οἶ-
κός ἐστιν ὁ μὴ ἔχων τὸ σημεῖον τοῦ σταυροῦ, τρόπαιον κατὰ δαιμόνων, καὶ φυλακτήριον ψυχῶν
25 ὑπάρχοι; [ποῖον πλοῖον τὸ μὴ πηδαλιουχούμενον ὑπὸ τοῦ σταυροῦ; ποία πόλις ἡ μὴ ἔ-
χουσα τὸν σταυρὸν φρούριον; ποῖος βασιλεὺς ὁ μὴ ἀναδεσμούμενος τὸν σταυρόν; ποία παρθέ-
νος ἡ μὴ ἔχουσα βακτηρίαν τὸν σταυρόν; ποία ἐκκλησία ἡ μὴ τῷ σταυρῷ τετειχισμένη; σταυ-
ρὸς ἐν νυκτὶ φωτίζει, καὶ ἐν ἡμέρᾳ λαμπαδουχεῖ· χειμῶνα συμφορῶν ἔαρ καλεῖν καὶ θέρος ἐ-
πίσταται· συζυγίαν συσφίγγει· φιλίαν αὔξει· δι' ἁπάντων τῶν ἀγαθῶν ἄρχει.] τί οὖν ὁ
30 εὐαγγελιστής; [καλὸν γὰρ καὶ τὴν κεφαλὴν τῆς πάσης διακοπῆς ψηλαφῆσαι. ἤκουες ἀρ-
τίως τοῦ εὐαγγελιστοῦ λέγοντος,] Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου
ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. καὶ ποία αὕτη ἡ πρὸ ἓξ ἡμερῶν ἡμέρα; ποία αὕτη; ἡ πα- *Ιωαν. ιβ. α.*
ροῦσα ἡμέρα ἡ τὸν πρόδρομον Ἰωάννην χαρακτηρίζουσα. ὥσπερ γὰρ Ἰωάννης προέδραμε
τοῦ Κυρίου, οὕτω καὶ αὕτη προέδραμε τῆς ἀναστάσεως. καὶ ὥσπερ ὁ Ἰωάννης δακτυλοδεικτῶν τὸν
35 Κύριον ἔλεγεν· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· οὕτω καὶ αὕτη δακ- *Ιωαν. α. κθ.*
τυλοδεικτοῦσα τὴν μέλλουσαν κυριακὴν, ἐκέκραγε λέγουσα· ἰδὲ ἡ μήτηρ τῶν μελλόντων ἀ-
ναγεννᾶσθαι. πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα. ἀκούσατε τὴν ἡμέραν. οὐ γὰρ ἁπλῶς κεῖται τὸ,
πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα· ἀλλ' ἵνα μάθῃς καθαρεῦσαι ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ
πνεύματος. προκαθάρσιον γάρ ἐστιν αὕτη ἡ ἡμέρα, ἵνα ἑαυτὸν καθαρεύσῃς ἀπὸ πά-
40 σης κηλῖδος, ἵνα λύσῃς ἔχθραν, καὶ παύσῃς ὀργὴν, ἵνα σβέσῃς διαβολὴν, ἵνα συσφίγξῃς
ἀγάπην, ἵνα πλατύνῃς φιλοπτωχείαν· ἵνα μὴ μόνος σὺ ἑορτάσῃς, ἀλλὰ καὶ ὁ ἐνδεόμενος
συνεορτάσῃ σοι. ἐὰν γὰρ μὴ μεταδῷς τῷ χρείαν ἔχοντι, ἐκεῖνος δὲ στενάζῃ, καὶ σὺ ἑορτάζῃς,
σκόπει μὴ γένοιτο ἐπὶ σοῦ ἡ τοῦ πλουσίου ἐκείνου αὐτὰ πόδοσις, ὅστις εὐφραινόμενος καθ' ἡμέ-
ραν λαμπρῶς τὸν Λάζαρον ἐκ τῶν ψιχίων οὐ μετέδωκε· μετάδος οὖν τῆς τραπέζης τῷ χρείαν

ἔχοντι, καὶ εὐποιήσοι τοὺς δεομένους, ὅπως καὶ σὺ διὰ παντὸς ἑορτάσῃς, καὶ ὁ πένης συνευωχηθῇ. [ἐὰν γὰρ σὺ μὴ εὐποιήσῃς εἰς τὸν ὁμόδοξόν σου πένητα, τὸν χρείαν παραμυθίας ἔχοντα, ἐκεῖνος δὲ ἀπὸ ἀνάγκης παρὰ σοῦ μὴ εὐεργετηθεὶς, προσέλθῃ αἱρετικῷ, κἀκεῖνος αὐτὸν παραμυθήσηται, γέγονεν ἐκεῖνός σου φιλανθρωπότερος. πᾶς γὰρ αἱρετικὸς καθυλακτεῖ τοῦ ποιμένος.] τί οὖν ὁ εὐαγγελιστής; πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν ὅπου ἦν Λάζαρος, ὃν ἤγειρεν ἐκ νεκρῶν. ὢ τῆς τοῦ Κυρίου σοφίας. ἤγειρε τὸν Λάζαρον, ἵνα ἐρεθίσῃ τὸν διάβολον. ἄκουε διὰ βραχέων. ὡς εἶδεν ὁ διάβολος τοῦ Κυρίου βοήσαντος, Λάζαρε δεῦρο ἔξω, καὶ πάντα τὰ καταχθόνια διαλυθέντα, καὶ τὰς κάτω δυνάμεις μὴ ὑπομενούσας κρατεῖν, καὶ ὅτι ὡς βασιλικοῦ προστάγματος καταπεμφθέντος, μᾶλλον δὲ ὡς θεϊκοῦ βουλήματος ἐνεργοῦντος, αἱ μὲν τρίχες Λαζάρου ἄνωθεν ἐρριζοῦντο, τῶν δὲ νεύρων αἱ διαλύσεις συνεσφίγγοντο, τῶν δὲ σαρκῶν αἱ μειώσεις ἀνεπληροῦντο, τῶν δὲ ὀστέων ὁ χωρισμὸς συνηρμόζετο, τῶν δὲ ἰχώρων τὰ ῥεῖθρα συνεστέλλετο, τὸ δὲ πνεῦμα τὸ ζωτικὸν ὑπεισήρχετο, ἡ δὲ δέσποινα ψυχὴ τὴν προτέραν καὶ ἀρχαίαν μονὴν περιελάμβανεν· ὡς εἶδε ταῦτα καὶ τὰ παραπλήσια γινόμενα, θορυβηθεὶς καὶ ἐναγώνιος γενόμενος ἐπέτασε ταῖς αὐτοῦ δυνάμεσι λέγων, ἀντιτάξασθε, κραταιώθητε, τὴν ἐμὴν βασιλείαν μὴ προδῶτε. "ὢ τί πέπονθα; καταλύεται τὸ κράτος τοῦ θανάτου, ὅπερ διὰ τῆς ἁμαρτίας ἐκτησάμην· ὅνπερ εἶχον τέσσαρας ἡμέρας κρατῶν, νῦν ἀποδιδῶ βίᾳ μεγάλῃ· συμφορᾷ περιπέπτωκα· ἠρξάμην ἐξεμεῖν οὓς κατέπιον. οὐ διὰ τὸν Λάζαρον μόνον κλαίω, ἀλλὰ φοβοῦμαι μὴ καὶ τοὺς ἄλλους, οὓς κατέχω ἀπὸ Ἀδὰμ μέχρι τοῦ νῦν, ἀπολέσω· σπουδῆς μοι χρεία, καὶ πολλῆς ἰσχύος· εἰ μὴ προκαταλάβω τὸν τῷ λόγῳ συλῶντά με, πάσης μου τῆς ὑπάρξεως" κενὸν ἀποδείξει. εὗρον τί πράξω, ἔγνων τί ποιήσω· ἔχω τοὺς Ἰουδαίους συνδρόμους· μισθοῦμαι τὸν Ἰούδαν· ἀεί μοι τὰ καλῶς" ὑπουργεῖ· φιλάργυρος γὰρ ὤν, προσελθούσης γυναικὸς τὸ μύρον τριακοσίων δηναρίων διετιμήσατο, κόπους παρέχων αὐτῇ· καὶ τὸ μὲν μύρον διετιμήσατο τριακοσίων δηναρίων· τὸν δὲ δεσπότην τοῦ μύρου τριάκοντα δηναρίων ἐπώλησε. πολλῆς μοι οὖν σπουδῆς χρεία σταυρὸν κατασκευάσαι. αὐτὸς μὲν τὸν Λάζαρον ἔλαβεν, ἐγὼ δὲ" αὐτὸν ὧδε καθελκύσω, καὶ τοῖς νεκροῖς συναριθμήσω, ἵνα μάθῃ καὶ τοῦ μείζονος μὴ στρατεύεσθαι. αἱ δὲ κάτω δυνάμεις πρὸς αὐτόν· ὅλον τὸν Ἰησοῦν ὧδε καταπαῦσαι βούλει; βλέπε μὴ καθ' ἑαυτοῦ κάμνῃς. ἔχεις αὐτοῦ πεῖραν. ἐπάλαισας αὐτὸν ἐν τῇ ἐρήμῳ· οὐχὶ τρίτον προσῆλθες, καὶ τελείως ἔπεσας; ἐὰν δὲ κατέλθῃ, τί μέλλεις πράττειν; ταῦτα βουλευσάμενος καὶ τὰ παραπλήσια τούτων ὁ διάβολος, τοὺς Ἰουδαίους εἰς μείζονα φθόνον διήγειρε, καὶ ἠρέθισε θανατῶσαι τὸν Λάζαρον ἐκ νεκρῶν ἀναστήσαντα, καὶ σταυρὸν τῷ Κυρίῳ" κατασκευάσαι, ἵνα γένηται ἡ κατάρα εὐλογία, καὶ τὸ ξύλον τοῦ σταυροῦ τοῖς πᾶσι σωτηρία. διὰ γὰρ τῆς τοῦ Λαζάρου ἀναστάσεως ὁ μὲν διάβολος ἐταράχθη· οἱ δὲ Φαρισαῖοι συνεχύθησαν· ἡ Μάρθα ἐπληροφορήθη· ἡ Μαρία ἐδοξάσθη· ἡ ἀνάστασις" προανεδείχθη· οἱ μαθηταὶ κραταιότεροι ἐγένοντο, καὶ πολλοὶ τῶν Ἰουδαίων πιστευσάντων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὑπήντησαν αὐτῷ μετὰ κλάδων καὶ βαΐων κράζοντες καὶ λέγοντες· ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ· αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λγ.

ΕΙΣ ΜΕΤΑΜΟΡΦΩΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ηκυες

Ex Ms. Regio Lut.

Ἠκούσατε τοῦ δεσπότου Χριστοῦ ἀρτίως λέγοντος· Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστώτων, οἳ οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ. (Ματθ. ιϛ. κζ.) εἶδες ὅτι μία δόξα πατρὸς καὶ υἱοῦ; περὶ βραχέων ἔλεγε, Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ· (Ματθ. ιϛ. κη.) ἐνταῦθα, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ, ὡς εἶναι τὴν Χριστοῦ βασιλείαν. τίς τοίνυν διαιρεῖ τὰ ἀδιαίρετα; τίς ζυγοστατεῖ τὰ ἀζυγοστάτιστα; τίς πολυπραγμονεῖ τὸν πατρῷον κόλπον; τίς μεμηνὼς μερίζει νοῦν καὶ λόγον καὶ πνεῦμα; ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστώτων, οἳ οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ. τινὲς δὲ τῶν πάλαι ἑρμηνευσάντων, οὐκ οἶδα τί σκοπήσαντες, ταῦτα τὰ ῥήματα τοῦ Κυρίου εἰς τὴν δευτέραν ἔνδοξον αὐτοῦ παρουσίαν ἐξέδωκαν. ὅθεν καὶ ἐβεβαίωσαν τὸν εὐαγγελιστὴν Ἰωάννην θανάτου μὴ μετεσχηκέναι, ἀλλὰ περιμένειν τὴν τοῦ Κυρίου ἔνδοξον παρουσίαν, διὰ τὸ εἰπεῖν τὸν Κύριον, Εἰσί τινες τῶν ὧδε ἑστώτων, οἵτινες οὐ μὴ γεύσονται θανάτου, ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ. εἰ δὲ οὕτω τὸ νόημα, δεῖ μὴ φαντάζειν, ἀλλ' ἀληθεύειν, καὶ μάλιστα νῦν ζητεῖν. ἐνταῦθα οὖν, οὐ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας τῆς ἐνδόξου λέγει, ἀλλὰ περὶ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως. καὶ γὰρ ἐν τῷ ὄρει μεταμορφωθεὶς μικρόν πως ὁ δεσπότης Χριστὸς ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. ἀλλ' εὐθὺς ἐροῦσιν οἱ θηριωδικὴν περιφέροντες γλῶτταν· καὶ εἰ ἀθέατός ἐστιν ἡ θεϊκὴ τοῦ Θεοῦ λόγου δόξα, πῶς ἐπέδειξεν αὐτὴν τοῖς ἀποστόλοις; ἡ γὰρ ὁρατὴ οὐκ ἀθέατος. ἄκουε συνετῶς ἐνταῦθα. ὁ δεσπότης Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐπέδειξε τῆς ἀθεάτου βασιλείας τὴν δόξαν, καὶ οὐκ ἐπέδειξε, τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενος. πληροφορῶν γὰρ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἠδύναντο οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες· φειδόμενος δὲ αὐτῶν, καὶ οὐχὶ φθονῶν, οὐκ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν πᾶσαν θεϊκὴν αὐτοῦ δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὴν ζωὴν ἀπολέσωσι. καὶ τούτου μάρτυς ὁ τῶν ὅλων Θεός, λέγων πρὸς Μωϋσῆν ποθοῦντα αὐτὸν θεάσασθαι, καθά φησι τὸ θεῖον λόγιον· Τότε Μωϋσῆς, φησίν, ἀποκριθεὶς πρὸς τὸν Θεὸν ἔφη· εἰ εὗρον χάριν ἐνώπιόν σου, ἐμφάνισόν μοι σεαυτόν, ὅπως ἴδω σε γνωστῶς πρόσωπον πρὸς πρόσωπον. τί οὖν ὁ Θεὸς πρὸς αὐτόν; σφάλλῃ, Μωϋσῆ, ταῦτα ζητῶν. οὐ φθονῶ σοι τῆς ὁράσεως, φείδομαι σου τῆς σωτηρίας. (Ἐξοδ. λγ. α.) οὐδεὶς ἀνθρώπων Θεὸν ἰδὼν ζήσεται. ἐνταῦθα οὖν καὶ ἔδειξε, καὶ οὐκ ἐπέδειξε, τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενος. καὶ ὅτι οὐ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας, ἀλλὰ περὶ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως εἶπε, καὶ οὐ περὶ Ἰωάννου, ἀλλὰ καὶ περὶ Πέτρου καὶ Ἰακώβου (οὐ γὰρ μοναδικῶς, ἀλλὰ πληθυντικῶς ἐξεφώνησεν, Εἰσί τινες τῶν ὧδε ἑστώτων. οὐκ εἶπε, τις, ἀλλά, τινες) ἄκουε τῶν ἑξῆς. δεῖ γὰρ ὑπομνῆσαι, οὐ διδάξαι. Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, (Ματθ. ιζ. α.) καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκά, ὡς τὸ φῶς· καὶ ἰδοὺ φωνὴ λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε. ὁρᾷς ὅτι οὐ περὶ τῆς δευτέρας αὐτοῦ ἐνδόξου παρουσίας, ἀλλὰ περὶ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως εἶπε; τί οὖν ὁ Κύριος; ἀκολουθίᾳ προβῶμεν, ὅπως ταῖς ὑμετέραις εὐχαῖς τῶν προκειμένων μὴ ἐκπέσωμεν. καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην. ἀλλ' ἔστιν εἰπεῖν τινα· καὶ διὰ τί τοὺς δώδεκα μαθητὰς αὐτοῦ ὁ δεσπότης Χριστὸς οὐ παρέλαβε μεθ' ἑαυτοῦ, καὶ ἀνήνεγκεν εἰς τὸ ὄρος, ἀλλὰ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην; διὰ τί; ὅτι οὐκ ἦν ἄξιος ὁ Ἰούδας τοῖς τῆς προδοσίας

ὀφθαλμοῖς θεάσασθαι τὴν τοσαύτην τοῦ Κυρίου δόξαν. ἀλλ' εὐθέως ἐροῦσί τινες, καὶ εἰ τοῦτο ἦν τὸ αἴτιον, διὰ τί τὸν Ἰούδαν οὐ κατέλιπε μόνον κάτω, καὶ τοὺς ἕνδεκα σὺν αὐτῷ ἀνήνεγκεν, εἰ τοῦτο ἦν τὸ αἴτιον, φησί; ἀλλ' οὐκ ἐσμὲν σοφώτεροι τοῦ δεσπότου Χριστοῦ. εἰ γὰρ συνέβη τὸν Ἰούδαν καταλειφθῆναι μόνον κάτω, τοὺς δὲ λοιποὺς ἕνδεκα ἀνελθόντας ἐν τῷ ὄρει τῆς αὐτῆς θέας ἀπολαῦσαι, εἰκὸς λέγειν τινάς, ὅτι τούτου χάριν ὁ Ἰούδας ὡς παραποιηθεὶς ἐπὶ τὴν προδοσίαν καὶ κυριοπρασίαν ἔφθασεν. ἵνα οὖν μηδὲν τοιοῦτον παρ' ἡμῶν λεχθῇ, μήτε παρ' ἐκείνου προφασισθῇ, τούτου χάριν ἔννατον αὐτὸν καταλιμπάνει κάτω· ἵνα οἱ μὲν τρεῖς, ἅτε πληροφορηθέντες, δοξασθῶσιν, οἱ δὲ ἐννέα ἀκοῇ πιστεύσαντες μακαρισθῶσιν. ὅθεν καὶ ὁ Κύριος τοὺς ἀκοῇ πιστεύσαντας μακαρίζων ἔλεγε· Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. ἄλλως δέ, τοὺς τρεῖς μόνους ἀνήνεγκε, Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, ἵνα πληρωθῇ τὸ φάσκον· Ἐπὶ δύο ἢ καὶ τριῶν μαρτύρων πᾶν ῥῆμα σταθήσεται· τριῶν μέν, Πέτρου Ἰακώβου καὶ Ἰωάννου, τῆς ἀδιασπάστου τῆς εὐσεβείας τριπλόκου σειρᾶς· δύο δέ, Μωϋσέως καὶ Ἠλίου, τῶν ἀκλινῶν τοῦ νόμου στύλων. ἤκουες γὰρ ἀρτίως τοῦ εὐαγγελιστοῦ λέγοντος, Καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες αὐτῷ. τίνος οὖν χάριν Μωϋσῆ καὶ Ἠλίαν ἐν τῷ ὄρει μετέστησε, καὶ τοσαύτη ἡ μεταμόρφωσις γέγονε; νεφέλη ἐπισκιάζουσα φωτεινή, καὶ ἡ πατρῴα φωνὴ βροντῶσα; τίνος οὖν χάριν; ἐπειδήπερ οἱ ἀπόστολοι ἐδόκουν τὸν δεσπότην Χριστόν, ὡς ψιλὸν ἄνθρωπον λαλεῖν, οὐχὶ δὲ ὡς Θεὸν ἐν σαρκί. ὅθεν καὶ νομίζοντες αὐτὸν λιτὸν ἄνθρωπον ὑπάρχειν διὰ τὰ οἰκονομικὰ δάκρυα, καὶ τὴν δειλίαν, καὶ τὰς προσευχάς, καὶ τὴν παραίτησιν, συχνῶς οἱ ἀπόστολοι ἀνεπλήττοντο. ἵνα οὖν τῆς τοιαύτης αὐτοὺς ὑπονοίας ἐκκόψῃ, ἀνενέγκας αὐτοὺς ἐν τῷ ὄρει, καὶ μικρὸν παρανοίξας τὴν θύραν τῆς ἔνδον θεοπτήσεως, ἐδείκνυε σαφῶς, πόση τις παρ' αὐτῷ κέκρυπται δόξα. ἄλλως δέ, καὶ ἐπληροφόρει τοὺς ἀποστόλους, ὅτι αὐτός ἐστιν ὁ τῶν ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων δεσπότης. ἄνωθεν μὲν τὸν Ἠλίαν ἴξευε, κάτωθεν δὲ τὸν Μωϋσέα ἠγκίστρευεν, ἐκ τῶν ἐπιγείων δὲ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην παρέστησεν. ἀπὸ γὰρ τῶν ἄκρων τὸ πᾶν γνωρίζεται. ὅθεν ὁ Πέτρος θεασάμενος τὴν τοσαύτην δόξαν, Μωϋσέα τε καὶ Ἠλίαν δουλικῶς παρεστῶτας, οὐκ ἔτι ἐπιπλήττει· προσκυνεῖ δὲ καὶ παρακαλεῖ λέγων, καθὼς ἀρτίως ἤκουες, Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ μὴ ἀναβαίνειν εἰς Ἱεροσόλυμα. ἐκεῖ Πιλᾶτος καὶ Καϊάφας θάνατον πνέοντες· ἐνταῦθα Μωϋσῆς καὶ Ἠλίας ἀνάστασιν μηνύοντες. Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καί, Εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, μίαν σοι, καὶ Μωϋσῇ μίαν, καὶ Ἠλίᾳ μίαν. ἀλλ' ὦ μακάριε Πέτρε, τί τῷ φόβῳ κατεχόμενος, καὶ τῇ δειλίᾳ κλονούμενος, ἀλλοκτίστους σκηνὰς λυγοδοπλέκειν ἐπείγῃ, τὸν δεσπότην τοῖς δούλοις ἐντάττων; ὃν νεφέλη δορυφορεῖ, τοῦτον καλύβη χωρῆσαι οὐ δύναται. πλήρης γὰρ ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ, τοῦ πατρός, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Ἰωάν. κ. λ.

Ματθ. ιζ. α.

ΕΙΣ ΤΟΝ ΧΡΗΜΑΤΙΣΜΟΝ ΖΑΧΑΡΙΟΥ, ΚΑΙ εἰς τὴν σύλληψιν τῆς Ἐλισάβετ.

Λογ. [illegible]

Ex Ms. Regio Luc. Μηνὸς Σεπτεμβρίου κγ. Ψαλμ. [illegible] Ψαλμ. [illegible]

Οὐδὲν τοῖς δεσποτικοῖς ἀνυπότακτον ὅροις. πάντα γὰρ εἴκει καὶ δουλεύει τῷ θείῳ προστάγματι. Πρόσταγμα γάρ, φησιν, ἔθετο, καὶ οὐ παρελεύσεται. ὁ γὰρ λόγῳ τὴν ἀρχὴν τὸ πᾶν συστησάμενος, καὶ αὖθις δύναται μεταποιῆσαι τὰ ποιήματα λόγῳ. εἶπέ ποτε τὴν ἄνυδρον πέτραν γενέσθαι καταρρυτον· ἡ δὲ ποταμοὺς ὕδατος εὐθέως ἐρεύγεται. Ἐπάταξε γὰρ πέτραν, καὶ ἐρρύησαν ὕδατα, καὶ ποταμοὶ κατεκλύσθησαν, καὶ ἡ ξηρὰ πέτρα τὸ πρὶν καὶ ἄγευστος ὕδατος, πηγὴ ποταμῶν καὶ μήτηρ ὑδάτων ἐγίνετο. οὐδὲν γὰρ

ἀργὸν

γεωργὸν ἢ ἄγονον, ὧν ἐπιτάττει Θεός. ὁ τότε τοίνυν τὴν ἄγονον πέτραν μεταβαλὼν εἰς λίμνην, καὶ νῦν τὴν στεῖραν Ἐλισάβετ παιδογόνον ἐκέλευσεν ἀναδειχθῆναι μητέρα, καὶ τὴν ἄκαρπον κατάκαρπον ἔδειξε, καὶ τὴν τῷ γήρᾳ βεβαρημένην, ὡς νεόγαμον κόρην. ὅτε πρὸς τάφον ἠπείγετο, τότε πρὸς τοκετὸν εὐτρεπίζετο· ὅτε τὸ σῶμα τὸ γῆρας ἐμάραινε, τότε τὴν μήτραν
5 ὁ Θεὸς ἀνενέωσε· καὶ ὅπερ διὰ τὸν χρόνον ἀπέβαλε, διὰ τὸν πλάστην ἀνέλαβε· καὶ ὅπερ ἡ νεότης ἀπώλεσε, τὸ γῆρας ἀπῃτεῖτο. ὅτε γείτων ἐγένετο τοῦ θανάτου, τότε παιδὸς ὠνομάζετο μήτηρ, καὶ μετὰ τῆς μάμμης ὑπερβαίνουσα χρόνους, εἰς μητρικὴν ἐπιστρέφεται φροντίδα· καὶ βρέφος ἐπὶ τῆς ἀγκάλης ἐβάσταζεν ἡ βακτηρίας διὰ τὸ γῆρας πρὸς ἐπίβασιν χρῄζουσα, καὶ πρωτότοκον ἡ γραῦς ἐψηλάφα παιδίον, καὶ στεῖρα παραδόξως ἐγέννησεν, ἵνα παρθένος τίκ-
10 τουσα παρὰ φύσιν πιστευθῇ. ἀμφότερα καινὰ καὶ παράδοξα, στεῖρα, καὶ παρθένος ἀπροσδόκητοι μητέρες. τούτου δὲ τοῦ παραδόξου τοκετοῦ μηνυτὴς τῷ γέροντι Ζαχαρίᾳ ὁ ἀρχάγγελος ἐπέμφθη Γαβριήλ· καὶ στὰς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου ὤφθη αὐτῷ. Καὶ ἐταράχθη, φησὶ, Ζαχαρίας ἰδὼν, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. εἶδε γὰρ, ὅπερ οὐκ εἶδέ ποτε, πῦρ φθεγγόμενον, ἀσώματον ἄνθρωπον, ἀψηλάφητον σχῆμα, ἀσυνείκαστον θέαν, ὄψιν ἀσύγκρι-
15 τον, ἀεροβάτην δρομέα ἀνθρωπόμορφον· καὶ ἰδὼν, ἐταράχθη. ἰδὼν δὲ αὐτὸν ταραττόμενον ὁ ἄγγελος, χρησταῖς ἐπαγγελίαις φυγαδεύει τὸν φόβον· μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην· καὶ ἔσται χαρά σοι, καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. μὴ φοβοῦ, Ζαχαρία· οὐ φόβου ἐπισείων ἐλήλυθα, ἀλλὰ χαρᾶς σοι μηνυτὴς παραγέγονα. ποίας χαρᾶς;
20 ἡ γυνή σου Ἐλισάβετ γεννήσει σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. οὗτος ὡς ἑωσφόρος ἐπιφαύσει τῷ κόσμῳ, καὶ τὸ σκότος τῆς ἀγνωσίας διώξει, τὸν τῆς δικαιοσύνης ἐπικαλούμενος ἥλιον. Ὁ ὀπίσω γάρ μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος. καὶ, Αὐτὸς προελεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἡλίου. τὸ πνεῦμα τοῦ Ἡλίου κατῴκησε καὶ εἰς τὸν Ἰωάννην. Πνεύματα γὰρ προφητῶν προφή-
25 ταις ὑποτάσσεται. καὶ σχεδὸν ἐν πᾶσιν εὑρίσκομεν ὅμοιον τῷ Ἡλίᾳ τὸν Ἰωάννην. ἐκεῖνος ἐν ὄρεσι διῃτᾶτο, καὶ οὗτος ἐν τῇ ἐρήμῳ διέτριβεν· ἐκεῖνον κόρακες ἔτρεφον, καὶ οὗτος ἀκρίδας βοτανῶν ἤσθιεν· ἐκεῖνος μηλωτὴν περιεβάλλετο, καὶ οὗτος τρίχας καμήλων· ἐκεῖνος αὐστηρὸς ἦν καὶ ἐλεγκτικὸς, καὶ οὗτος ὁμοίως· ἐκεῖνος τὸν Ἀχαὰβ ἤλεγχε τὸν βασιλέα τῶν Ἰουδαίων, καὶ Ἰεζάβελ τὴν γυναῖκα αὐτοῦ (Σὺ εἶ, φησὶν, ὁ διαστρέφων τὸν Ἰσραὴλ, καὶ ὁ οἶκος
30 τοῦ πατρός σου) καὶ Ἰωάννης τὸν Ἡρώδην καὶ Ἡρωδιάδα. Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. Καὶ αὐτὸς προπορεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἡλίου ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα. τί ἐστιν, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα; οἱ πατέρες τῶν Ἰουδαίων, ὁ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, καὶ οἱ δώδεκα πατριάρχαι, καὶ πάντες οἱ δίκαιοι ὁρῶντες φιλαμαρτήμονα τὸν λαὸν, καὶ ἑτοίμως ἐκπορνεύοντα εἰς ἀλλοτρίους θεοὺς, ἀ-
35 πεστρέφοντο αὐτοὺς ὡς τοιούτους· ἀφ' οὗ δὲ Ἰωάννης ἐκήρυξε τὸ βάπτισμα τῆς μετανοίας, πολλοὶ ἐπεστράφησαν πρὸς τὸν Θεόν. ὁρῶντες οἱ πατέρες αὐτῶν ἐπιστρέφοντας αὐτοὺς πρὸς τὸν Θεὸν, καὶ αὐτοὶ ἐπέστρεψαν τὰς καρδίας αὐτῶν πρὸς αὐτούς. καὶ τοῦτό ἐστι τὸ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον, περιούσιον· περὶ οὗ Δαβὶδ ὁ προφήτης προεκήρυττε λέγων, Αὕτη ἡ γενεὰ ζητούντων τὸ πρόσωπον τοῦ
40 Θεοῦ Ἰακώβ. ἔτι τὸν γέροντα Ζαχαρίαν ἡ κίνησις τοῦ παιδὸς ἡ παράδοξος ἐκπλήττει· ἔτι πρὸς τὸν ὑπέρωρον τοκετὸν δυσχεραίνει, μὴ λογισάμενος συνετῶς, ὅτι ὁ κεραμεὺς τῆς γαστρὸς δύναται τὴν πεπαλαιωμένην ἀνακαινίσαι μήτραν. διὸ καὶ πρὸς τὸν τῆς ἀπιστίας ἐξεκυλίσθη κρημνόν. τοῦ γὰρ ἀγγέλου λέγοντος, Ἰδοὺ ἡ γυνή σου Ἐλισάβετ τέξεταί σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην, ὁ Ζαχαρίας ἀπομάχεται τῷ λόγῳ, καὶ φησι· κατὰ τί γνώ-

Λουκ. α. ια.
Λουκ. γ. ιϛ.
Λουκ. α. ιζ.
α. Κορ. ιδ. λβ.
γ. Βασ. ιη. ιη.
Μαρκ. ϛ. ιη.
Λουκ. α. ιζ.
Ψαλ. κγ. ϛ.

σομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. πόθεν μοι, φησί, τὸ ἀσφαλὲς ὑπάρξει; ποῖόν μοι τῆς ἐπαγγελίας δύνασαι παραστῆσαι τεκμήριον; δεῖξόν μοι καὶ νῦν ῥάβδον, ὡς ἐπὶ Ἀαρὼν τοῦ ἀρχιερέως, αὐθήσασαν, καὶ τότε σοι πιστεύσω, ὅτι καὶ γῆρας δύναται καρποφορῆσαι παιδίον. ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. τὰ ῥήματά σου χρηστά, τὸ δὲ ἐπάγγελμα δύσπιστον. παῖδά μοι προξενεῖς, μετ' ἐλπίδας ἐλπίδα; ὁ τῆς ἀκμῆς μου παρελήλυθε χρόνος, τὸν τῆς νεότητος ἀκάρπως κατηνάλωσα βίον· ὅτε ὡς ξύλον ἐγενόμην ξηρόν, τότε καρποφορεῖν ἀναγκάζεις με; κυρτοβατῶν τὴν ἀγορὰν περιέρχομαι, οὐκ ἔτι πρὸς οὐρανὸν ἀναβλέπειν ἰσχύω, πρὸς τὴν συγγενίδα γῆν κατασύρει με τὸ γῆρας. γῆ γάρ εἰμι, καὶ εἰς γῆν ἀπελεύσομαι. μόλις τὸ βῆμα τῶν ποδῶν μεταφέρω· οὐκ ἀρκοῦσιν οἱ δύο μοι πρὸς ἐπίβασιν πόδες· ἀντὶ τρίτου ποδὸς βακτηρίαν βαστάζω. χειραγωγοῦ γὰρ μέχρι νῦν οὐκ εὐπόρησα τέκνου. τάφος εἰμὶ κινούμενος, καὶ νεκρὸς ὁδοιπόρος. πῶς οὖν ἀπὸ τοῦ νῦν ἐμὲ τέκνον ὀνομάσει πατέρα; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. ὅτε τῷ τάφῳ τὸ γῆράς με προσάγει, τότε νυμφικῆς ἐπιβήσομαι κοίτης; καὶ παῖδα φυτουργήσω, τοῦ τῆς νεότητός μοι δεδυκότος ἡλίου; κἀγὼ διὰ τὸν χρόνον ἐξίτηλος, καὶ τῆς Ἐλισάβετ ἡ μήτρα νενέκρωται. κατὰ τί οὖν γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. *Λυκ. α ιθ.* καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σέ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι. βούλομαι τί ποιῆσαι, καὶ πῶς ἐρωτᾷς; θαυματουργῆσαι προῄρημαι, καὶ τὸν τρόπον ζητεῖς; ὅλως δὲ περιεργάζῃ τῶν ἐμῶν ἔργων τὴν ἀρχήν; μὴ ἀδυνατεῖ παρὰ τῷ Θεῷ ῥῆμα; εἰπέ μοι, πόθεν ὁ Ἰσαὰκ ἐτέχθη, οὐχ Ἀβραὰμ αὐτὸν ἐγέννησεν ὁ πρεσβύτης, καὶ Σάῤῥαν τὴν στεῖραν ἐκάλεσε μητέρα; εἰς τὴν αὐτὴν ἐμπεσὼν προσδοκίαν, διὰ τί τοὺς ἐμοὺς, ὡς ἐκεῖνος, οὐ παρεδέξω λόγους; διὸ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου. δήσω σου τὴν γλῶσσαν, τὴν πρὸς ἄτακτον κινηθεῖσαν ἀπόκρισιν. ἐν ᾧ τὴν ἁμαρτίαν ἐγέννησας ὀργάνῳ, ἐν αὐτῷ καὶ παιδεύθητι. δι' ὧν γάρ τις ἁμαρτάνει, διὰ τούτων καὶ κολάζεται. διὸ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου. τοῖς ῥήμασί μου λαλῶν οὐκ ἐπίστευσας, σιωπῶν τοὺς λόγους ἀνάμεινον, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. *Λυκ. ιη. κζ.* Τὰ γὰρ παρὰ ἀνθρώποις ἀδύνατα, παρὰ τῷ Θεῷ δυνατά· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λογ. λε.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ θεολόγον.

Ex Ms. Palat. 110. Μηνὸς Δεκεμβ. κζ.

ΣΥνεκάλεσεν ἡμᾶς, ἀγαπητοί, ἐπὶ τὸ αὐτὸ ὁ ἁγιώτατος Ἰωάννης ὁ θεολόγος καὶ φίλος Χριστοῦ, οὐχ ὅτι ἡδυπνόων ῥόδων κάλυκας ἡμῖν ἀναπτύξας, ἀλλὰ πνευματικῶν πατέρων τὰς ἀρετὰς ἡμῖν ἐξανθήσας. τούτων ἡ εὐωδία ἡ εὐσεβής ἐστιν ὁμολογία, καὶ τῶν ψυχῶν ἡμῶν σωτηρία. ποῖον, εἰπέ μοι, ῥόδον οὕτω τοῖς φύλλοις κεκόσμηται, ὡς ὁ ἁγιώτατος Ἰωάννης τῷ θεοπρεπεῖ τῶν ἁγίων στεφάνῳ δεδόξασται; τὸ μὲν γὰρ ῥόδον τὴν χρυσαυγοῦσαν εὐωδίαν ἔσωθεν ἀποστίλβει· ὁ δὲ ἁγιώτατος Ἰωάννης τὴν ἀρωματίζουσαν πολιτείαν τοῦ πανσόφου ποιμένος ἡμῶν καὶ διδασκάλου ἐξ αὐτῆς τῆς τοῦ

θείου

θεϊκῆς κορυφῆς κατὰ χειρὸς ἐκλάμπει. ὦ Ἰωάννη, δι' ἐνιαυτοῦ μὲν τοῖς παρεπιδημοῦσι μνημο-
νευόμενε, καθ' ἡμέραν δὲ τοῖς Ἐφεσίοις συμπολιτευόμενε. ὦ Ἰωάννη, ὡς πρυτάνις ὑψηλὸς ἐ-
πὶ τόδε τὸ ἱερὸν ὄρος περιλάμπεις, οὐ χρήματα τοῖς πολίταις σὺ δωρούμενος, ἀλλ' ἰάματα τοῖς
αἰτοῦσί σε χαριζόμενος. ὦ Ἰωάννη, τὴν μονομάχον δράκαιναν Ἄρτεμιν τῷ ὅπλῳ τοῦ σταυ-
5 ροῦ κατήραξας, καὶ τὴν μονόγαμον νύμφην Χριστοῦ, τὴν ἐκκλησίαν, τῇ δυνάμει τοῦ σταυ-
ροῦ κραταιῶς ἀνώρθωσας. ὦ Ἰωάννη, τὸν πατέρα σου Ζεβεδαῖον ἐπὶ τὸ πλοῖον κατέλιπες, καὶ
τὸν δεσπότην σου Ναζωραῖον ἐπὶ τὸ στῆθος ἠγάπησας. ὡς δύο ὄρη, τοὺς δύο μαστοὺς ἐθεώρεις,
ὧν ἀνὰ μέσον ἡδέως ἀναπαυσάμενος, τὸν ἐν μέσῳ δύο ζώων γινωσκόμενον ἐθεολόγησας· Ἐν Αμϐ. γ. β.
ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. καί μοι τὸ παράδοξον Ιωαν. α. α.
10 τοῦ ἀποστόλου θεώρησον. γῆν βρύει ὁ μὴ ταφεὶς εἰς γῆν, καὶ τὸ βρύον μάννα ἐστὶν ἰαματικόν,
καὶ τὸ κενούμενον οὐκ ἐκκενοῦται τῷ χρόνῳ. ἆρα τίς ἡ αἰτία, τίς ἡ ἐνέργεια, οὐκ ἄν τις εὕ-
ροι εἴπερ. ἀμετάβλητα γὰρ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τὰ χαρίσματα, καὶ ἀνέκλειπτα
τῶν ἁγίων τὰ ἐνεργήματα. ὦ Ἰωάννη, τὸ ὅπλον τῶν ἀσεβῶν, ἡ ὄντως εὐσεβὴς ὁμολογία,
καὶ πάντων αὖθις ἀποφυγή, ἡ πρὸς Θεὸν καταφυγή. ὃ γάρ ἐστι λιμὴν τοῖς χειμαζομένοις, * *
15 τοῦτο ὁ Θεὸς τοῖς καταπονουμένοις. σήμερον ἡμῖν ὁ ἁγιώτατος Ἰωάννης, τῆς οἰκείας ἀρετῆς
τὸ κάλλος ἐκλάμπων (αὐτὸς γὰρ ἡμῖν ἐστὶν ἀναγνῶσαι) ὥσπερ ἀπὸ βασιλικῆς εἰκόνος
τῆς βίβλου τῆς ἀρχαίας ἐκλάμπων τὴν οἰκείαν εὐσέβειαν. Ἰωάννης, ἡ κοινὴ τῆς πίστεως ἀρ-
χή, ἡ εὐθαλὴς ῥίζα, ἡ ἀνέκλειπτος πηγή, ὁ ἐν πᾶσι ἔθνεσιν οὐ κατ' ἐκεῖνο μόνον χαιρετοῦ τό-
μος, ἀλλ' εἰς ἀεὶ ὁ πιστευθεὶς τὸ σεμνὸν τῆς εὐσεβείας ἐπάγγελμα, τὸ πρῶτον τῆς πίστεως
20 ἀκροθίνιον, ὁ πᾶσι τῆς εὐσεβείας τὰ ἴχνη ἁπλώσας, ὁ ζηλοῦν ἡμᾶς τὰ κάλλιστα τῆς ἀγάπης
χαρίσματα παιδεύσας. βλέπομεν γὰρ τὸν θάλαμον τῆς παρθενίας, καὶ περιπτυσσόμεθα
τὴν πηγὴν τῶν ἰαμάτων. ἀναπτύξωμεν δὲ καὶ τὸν περὶ τοῦ φωτὸς λόγον. φῶς ὁ πατήρ, φῶς
ὁ υἱός, φῶς τὸ πνεῦμα τὸ ἅγιον. φῶς ὁ πατήρ, ἐπειδὴ Θεὸς ἀληθινός· φῶς ὁ υἱός, ἐπειδὴ ἐκ τοῦ
πατρὸς ἐξέλαμψε· φῶς τὸ πνεῦμα τὸ ἅγιον, ἐπειδὴ ἐκ τοῦ πατρὸς ἐκπορεύεται, καὶ διὰ τὸ
25 Θεὸς ἀληθινός. ὁ ἀπόστολος μαρτυρήσει μοι λέγων, Ὅτι Θεὸς φῶς ἐστι· καί, Ἦλθεν Ἰωάννης, ἵνα α. Ιωαν. α. ε.
μαρτυρήσῃ περὶ τοῦ φωτός, Καὶ ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμε- Ιωαν α. ζ.
νον εἰς τὸν κόσμον, τουτέστιν, ἐρχόμενον εἰς τὴν ἀλήθειαν. καὶ ὁ υἱός, Ἐγώ εἰμι τὸ φῶς τὸ Ιωαν. α. θ.
ἀληθινόν· καί, Ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί. ὅτι δὲ ὁ υἱὸς φῶς ἐστι καὶ ἥλιος τῆς δικαι- Ιωαν η ιβ. Ιωαν. ι. λη.
οσύνης, καὶ ὁ προφήτης βοᾷ· Φωτίζου, φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ σοι τὸ φῶς, καὶ ἡ Ησ ξ. α.
30 δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. καὶ περὶ τοῦ ἁγίου πνεύματος ἐν ψαλμοῖς ᾄδεται, ὅτι Πα- Ψαλ λε. ι.
ρὰ σοὶ πηγὴ ζωῆς. ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, τουτέστιν, ἐν τῷ υἱῷ ὀψόμεθα τὸ πνεῦμα τὸ
ἅγιον, φῶς δι' οὗ ἐφωτίσθημεν, καὶ ἕως σήμερον φωτιζόμεθα τὰς καρδίας ἡμῶν. φῶς ὁ πα-
τήρ, ἐπειδὴ ὁ Θεὸς ἀληθινός· φῶς ὁ υἱός, ἐπειδὴ ἐκείνου τοῦ φωτὸς ἀπαύγασμά ἐστι· φῶς τὸ
πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον. Οὐδεὶς γὰρ οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ α. Κορ. β ια.
35 πνεῦμα τὸ ἐν αὐτῷ. φῶς οὖν τὸ πνεῦμα τὸ ἅγιον τὸ ἀληθινόν, ὃ ἐν τῷ ἀληθινῷ φωτὶ θεωρεῖ-
ται καὶ νοεῖται. μενέτω οὖν ἡμῖν, ἀδελφοί, ἡ πίστις ἀρραγής, ἀχώριστος τριάς. καὶ γὰρ ὁ μα-
κάριος Σολομὼν λέγει, Ὅτι τὸ ἔντριτον σπαρτίον οὐ διαρραγήσεται. ὁ γὰρ Θεὸς ἁγιάζει, Εκκλησ. δ. ιϛ.
φωτίζει, ζωοποιεῖ, ἐλευθεροῖ, καὶ τὰ πλείονα τούτων. καὶ ὁ υἱὸς ὡσαύτως· πάντα γάρ, ὅσα
ὁ πατήρ, ποιεῖ. καὶ τὸ πνεῦμα τὸ ἅγιον ὡσαύτως ἁγιάζει, φωτίζει, ζωοποιεῖ, ἐλευ-
40 θεροῖ. ἠλευθερώθημεν γὰρ καὶ ἡγιάσθημεν καὶ ἐφωτίσθημεν καὶ ἀνεζήσαμεν, βα-
πτισθέντες εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. Ἀμήν.

Λόγ. λϛ΄.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ ΑΠΟΣΤΟΛΟΝ καὶ εὐαγγελιστὴν τὸν θεολόγον.

Ἐν Ms. Palatino. Μηνὸς Δεκεμβ. κζ΄.

Πάλιν ὁ ἡμέτερος Ἰωάννης, ὦ Ἐφέσιοι, μᾶλλον δὲ πάσης τῆς οἰκουμένης διδάσκαλος τὴν πνευματικὴν σαγήνην ἐξήπλωσε, καὶ πάντας ἡμᾶς ἐκ διαφόρων τόπων συνήγαγεν· οὐχ ἵνα αὐτὸν στεφάνοις ῥόδων τιμήσωμεν, ἀλλ' ἵνα αὐτὸν ἀγαθοῖς ἔργοις καὶ δικαίοις σεμνώσωμεν. πάλιν τὰς πνευματικὰς αὐτοῦ πηγὰς ἐπετάσατο, οὐχ ἵνα ἀγροὺς διψῶντας ποτίσῃ, ἀλλ' ἵνα λαοὺς κοπιῶντας στηρίξῃ. πάλιν εἰς τὸ ἱερὸν ἀναβέβηκεν ὁ δεύτερος μετὰ Πέτρον, οὐχ ἵνα ἕνα χωλὸν θεραπεύσας ἐξάλλεσθαι ποιήσῃ, ἀλλ' ἵνα πάντας ἡμᾶς τῇ εὐσεβείᾳ ἐπιρρώσας, εἰς οὐρανοὺς τὸ πολίτευμα ἔχειν παρασκευάσῃ. οὐκ ἔτι ἐπὶ τὸ Κυριακὸν στῆθος ἀνάκειται, ἀλλ' εἰς ἕνα ἕκαστον ἡμῶν ἀνακλίνας, ἅπαντας ἡμᾶς ἰσοτίμους δεξάμενος, κέρδος ἴδιον τῷ Θεῷ προσενήνοχε, καὶ οὕτω κέκραγε λέγων· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. παιδία, ποῖα; ἃ ἡ χάρις ἐβλάστησε, καὶ τῆς τῶν οὐρανῶν βασιλείας κληρονόμους ἀπέδειξεν. ὅσους ποτὲ ἐσυλαγώγει ἡ Ἄρτεμις, τούτων πλείονας συνάγει ὁ ἀπόστολος. ἐκείνη κύνας τρέφουσα, θηρεύουσα, τὴν πλάνην κατέσπειρεν· Ἰωάννης πτωχοὺς οἰκονομῶν καὶ λαοὺς συγκροτῶν, τὴν θεογνωσίαν ἐπέσπειρεν. ἐκείνη πομπαῖς εἰδώλων τὸν ἀέρα ἐσκότισεν· Ἰωάννης μνήμαις ἁγίων τὴν Ἀσίαν ἐφώτισεν. Αἴγυπτος μνημονεύει τὰ Μωϋσέως θαύματα, Ἔφεσος ἐξαγγέλλει τὰς Ἰωάννου εὐεργεσίας. Μωϋσῆς δέκα πληγαῖς τὴν Αἴγυπτον ἐμαστίγωσεν· Ἰωάννης δὲ τῷ θεοπνεύστῳ εὐαγγελίῳ Ἔφεσον κατεκόσμησε, μᾶλλον δὲ καὶ πάντας ἠλέησε. Μωϋσῆς διὰ ῥάβδου τὴν θάλασσαν ἔσχισεν, Ἰωάννης διὰ σταυροῦ τὴν Ἄρτεμιν κατέστρεψε. τῆς θαλάσσης σχισθείσης Φαραὼ καὶ τὰ ἅρματα αὐτοῦ κατεποντίσθησαν, τῆς Ἀρτέμιδος καταπεσούσης οἱ ἱερεῖς αὐτῆς καὶ τὰ βδελύγματα συνετρίβησαν. ἐκδιηγεῖται ὁ Δαβὶδ καὶ λέγει, Ἡ θάλασσα εἶδε, καὶ ἔφυγε· σήμερον ἡ ἐκκλησία τὸν αὐτὸν τρόπον βοᾷ καὶ λέγει, ἡ Ἄρτεμις εἶδε καὶ ἔπεσεν· εἶδε τὸν θεολόγον καὶ θεοκήρυκα, εἶδε τὸν θεοφόρον, καὶ ἔπεσεν ἡ ἁμαρτωλός, ἡ ἀλιτήριος, εἰς τὸ ἔδαφος. εἶδεν ὃν ἠγάπα ὁ Ἰησοῦς, καὶ μένειν οὐκ ἴσχυσε. τί σοί ἐστιν, Ἄρτεμις, ὅτι ἔπεσες; εἶδον τὸν υἱὸν τῆς βροντῆς, καὶ κατερράγη μου τὸ ἱερὸν τῆς μεσιτείας· εἶδον τὸν θεϊκὸν φίλον, καὶ διελύθην· εἶδον τὸν ἐπὶ τὸ θεϊκὸν στῆθος ἀνακλιθέντα, καὶ κατηνέχθην ἐπὶ τὸ εἰδωλικόν μου στῆθος. θαυμαστὸς ὁ Ἠλίας, ἀγαπητοί, ὅτι τὸν Βαὰλ κατέστρεψε· θαυμασιώτερος ὁ Ἰωάννης, ὅτι τὴν Ἄρτεμιν ἐξώλεσεν. Ἠλίας τετρακοσίους καὶ πεντήκοντα ἀπέκτεινε· Ἰωάννης τὸν ὑπὸ τοῦ κίονος φονευθέντα ἱερέα ζωοποιήσας ἐν Χριστῷ ἀνέστησεν. ὢ τοῦ θαύματος, στῦλος λίθινος τὸν ἰσόλιθον ἐθανάτωσεν ἱερέα, ὃν διὰ τῆς χάριτος ἐξανέστησεν ὁ Ἰωάννης. ἄραντες γὰρ αὐτοῦ, φησί, τὸ σῶμα βαστάζοντες ἤνεγκαν, θέντες πρὸς τὴν θύραν τοῦ Ἰωάννου· καὶ ὃν οὐκ ἤθελε ζῶντα θεωρῆσαι, τοῦτον ἀποθανὼν ἐπεζήτει, ζωὴν καὶ πίστιν αἰτούμενος. οὕτω ποτὲ καὶ οἱ παμπόνηροι Ἰουδαῖοι ἐποίησαν. ζῶντα τὸν Χριστὸν ἀπηρνήσαντο, καὶ ἀποθανόντα υἱὸν Θεοῦ ὡμολόγησαν. ἀπηρνήσαντο αὐτὸν ἐπὶ τοῦ τυφλοῦ εἰπόντες, Ἡμεῖς τοῦ Μωϋσέως ἐσμὲν μαθηταί· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. ἀνέβλεψεν ὁ τυφλός, καὶ ἐσκοτίσθη ὁ ἀσύνετος λαός. υἱὸν Θεοῦ ὡμολόγησαν ἐπὶ τοῦ σταυροῦ, ὅτε κλίνας τὴν κεφαλὴν ἀφῆκε τὸ πνεῦμα, καὶ λόγχῃ τὴν ἀοίδιμον αὐτοῦ ἐξεκέντησαν πλευράν, καὶ ἐξῆλθε πλῆθος αἵματος καὶ ὕδατος· ἔκραζον δὲ μεγάλῃ τῇ φωνῇ Ἰουδαίων παῖδες, καὶ ἔλεγον, ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος. Ἰωάννης, ὁ ζῶν, ὁ κήρυξ τῆς θεογνωσίας, ὁ πνεύματος ἁγίου χάριν λαβών, ὁ ῥήτωρ τῆς ἐκκλησίας, ὁ φωστὴρ τῆς εὐσεβείας, ὁ ὀφθαλμὸς τῆς Ἀσίας, τὴν μὲν δαίμονα Ἄρτεμιν κατέστρεψε· τὸν δὲ Θεὸν λόγον

Ἠσ. η. ιη.

Ψαλ. ριγ. γ.

Ἰωάν. θ. κη.

ἐν

ἐν ὅλῳ τῷ κόσμῳ μεγαλοφώνως ἐκήρυξεν· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς Ἰωαν. α. α.
τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. ἐρωτήσωμεν τὸν ἁλιέα τῶν ἰχθύων, καὶ συγγραφέα τῶν ἁγίων
εὐαγγελίων, τίς αὐτὸν τοῦτο ἐδίδαξε; ποῖος πατὴρ τοῦτο συνεβούλευσεν ἀποφθέγξασθαι; εἰς
ποίαν βίβλον ἐγκύψας εὗρε καὶ ἐξεφώνησεν; ἀλλ' οὔτε τίς ἐδίδαξεν αὐτόν, οὔτε εἰς βίβλον
5 ἐγκύψας εὗρε καὶ ἐξεφώνησεν· ἀλλ' εἰς τὸ δεσποτικὸν στῆθος τοῦ σωτῆρος ἀνέπεσε, καὶ εἰς τὸ
βάθος τῆς σοφίας καὶ τῆς γνώσεως τοῦ νοῦ φωτισθεὶς ἐβόησεν, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος
ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. τί πλέον τῶν γεγραμμένων ἔχω εἰπεῖν; ἤκου-
σας ὅτι ἐν ἀρχῇ ἦν, τουτέστιν, ἐν πατρί, καὶ σὺν πατρί, καὶ Θεὸς ἦν ἐκ τοῦ Θεοῦ καὶ πα-
τρὸς ἀρρήτως καὶ ἀπαθῶς γεγεννημένος πρὸ αἰώνων· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν
10 αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΜΕΤΑΜΟΡΦΩΣΙΝ. Λογ. λζ.

Ἥλιος ἀνίσχων τὰς οἰκείας ἀκτῖνας εἰς πάντα κόσμον ἐκτείνει· καὶ τοῦ δε- Ex Ms. Palatino.
15 σπότου Χριστοῦ ἡ κατὰ σάρκα γενέθλιος ἀνατολή, τοὺς αὐτοῦ μαθητάς,
ὥσπερ τινὰς ἀκτῖνας, εἰς τὴν οἰκουμένην ἅπασαν ἐξέπεμψε. διὰ τοῦτο
καὶ τήμερον φωστήρων δίκην τὸ ἱερὸν τοῦτο λαμπρύνουσι σύστημα Πέ-
τρος, καὶ Ἰάκωβος, καὶ Ἰωάννης, οἱ τῶν ἀπίστων σαγηνευταί, καὶ τῶν πε-
πλανημένων πρὸς τὴν εἰς θεογνωσίαν ἁλιεῖς, οἱ ἀντὶ μὲν καλάμου,
20 τῷ σταυρῷ χρώμενοι, ἀντὶ δὲ ἱμονιᾶς, τῇ πολυπλόκῳ ὁμολογίᾳ τοὺς λογικοὺς ἀνασπῶντες
ἰχθύας ἐκ τοῦ βυθοῦ τῆς κακίας· οἱ τῶν ἀνεκλαλήτων μυστηρίων τῷ διδασκάλῳ κοινωνοῦν-
τες, καὶ τῶν ἀρρήτων καὶ ἀθεάτων πραγμάτων αὐτόπται καὶ αὐτήκοοι γενόμενοι. Πέτρος ὁ
διὰ τὴν πίστιν πέτρα κληθείς, καὶ ἐφ' ἑαυτῷ τῆς ἐκκλησίας ἀνέχων τὴν οἰκοδομήν. Σὺ Ματθ. ιϛ. ιη.
γὰρ εἶ, φησί, Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι
25 ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἀλλ' ἀΐδωμεν, εἰ δοκεῖ, διὰ τίνα καὶ ποίαν αἰτίαν τούτου τετύ-
χηκε τοῦ ἐπάθλου ὁ κορυφαῖος. ἠρώτα ποτὲ τοὺς μαθητὰς ὁ σωτὴρ τίνα ἄρα περὶ αὐτοῦ ἔ-
χοιεν δόξαν. τῶν δὲ ἄλλων πρὸς σιγώντων, προπηδήσας ὁ γενναῖος τοῦτο φησίν. οὐκ εἶ-
πε, σὺ ἐγένου, σὺ ἐκτίσθης· ἀλλά, σὺ εἶ, κατὰ τὸν προφήτην τὸν λέγοντα, Σὺ δὲ ὁ αὐτὸς εἶ, Ψαλ. ρα. κη.
καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι· καὶ διὰ ταύτην τὴν ὁμολογίαν λαμβάνει τῶν οὐρανῶν τὰς
30 κλεῖς. Ὅσα γάρ, φησιν, ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν Ματθ. ιϛ. ιθ.
λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. ὢ παραδόξου καὶ φύσιν ὑπερβαίνον-
τος ἀξιώματος. ἐπὶ γῆς βαδίζων νόμους ταῖς οὐρανίοις ἐξέπεμπε δυνάμεσι, καὶ τούτους ἐ-
κεῖναι ἐφύλαττον. καὶ κάτω μὲν ἐκεῖνος τὰ δοκοῦντα ὑπηγόρευεν, ἄνωθεν δὲ Θεὸς τὴν ψῆ-
φον τῶν λεγομένων ἐβεβαίου. ἐμακάριζέ ποτε Ἰωσὴφ ἐκεῖνος, τὰ σιτοδοχεῖα πιστευθεὶς
35 τοῦ Φαραώ. πῶς οὐ ζηλωτὸς καὶ τρισμακάριος ὁ Πέτρος, τοὺς θησαυροὺς πιστευόμενος
αὐτῶν τῶν οὐρανῶν; ἀλλ' οὐχ ὅτι τοῦ δεσμεύειν ἔλαβε τὴν ἐξουσίαν τοσοῦτον μακαρίζω, οὐδ'
ὅτι καὶ σκιαὶ τῶν ἱματίων αὐτοῦ προσκύπτουσαι νόσους ἤλαυνον, οὐδ' ὅτι τὴν Ταβιθὰ ἐκ νε-
κρῶν ἀνέστησεν ἐκπλήττομαι (ταῦτα γὰρ τοῦ ἐνεργοῦντος πνεύματός ἐστιν ἐκ τοῦ πλείστου τὰ
χαρίσματα) ἐγὼ δὲ Πέτρον μακαρίζω ἐκεῖνον τῆς ἀληθοῦς ἕνεκεν ὁμολογίας τῆς ἀπὸ πάν-
40 των πρὸς πρῶτον ἐπιβεβηκότα. σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. καὶ "τὸ φαι-
νόμενον ὁμολογεῖ, σὺ εἶ ὁ Χριστός." τοῦτο τῆς μετὰ πατρὸς συνυπάρξεως τὸ μήνυμα. ἴδω- * *
μεν δέ, εἰ δοκεῖ, καὶ τοῦ τρισμακαρίου Ἰωάννου τὰ ἐξαίροντα πλεονεκτήματα· οὐκ ἀφ' ὧν
τῆς ἐνθέου πενίας ἐκοινώνει τῷ Πέτρῳ ("οὐ μὴν γὰρ τῷ λέγοντι, Ἀργύριον καὶ χρυσίον οὐχ Πραξ. γ. ϛ.
ὑπάρχει μοι, καὶ τῇ σιωπῇ τὴν συγκατάθεσιν ἐμήνυσεν) ἀλλ' ὅτι εἰς τὰ στέρνα τὰ δεσπο-

τικὰ

τικὰ πεσών, ἐκεῖθεν ἐχάλκευσε τὴν ἱερὰν ἐκείνην καὶ μεγαλόφωνον σάλπιγγα, δι' ἧς, ἃ μὴ
εἶπεν οὐρανός, μὴ ἐνενόησαν ἄγγελοι, μὴ τῶν λοιπῶν εὐαγγελιστῶν τις κατέλαβε, μόνος
τολμηρᾷ καὶ πιστῇ ἐφανέρωσε γλώσσῃ· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, (Ἰω. α. α)
καὶ Θεὸς ἦν ὁ λόγος. τίνος οὖν ἕνεκα, καὶ διὰ ποίαν αἰτίαν, πρότερος ὢν τῶν λοιπῶν εὐαγγελι-
στῶν, ἔσχατος ἔγραψε τὸ εὐαγγέλιον, ἀναγκαῖον καὶ τοῦτο ζητῆσαι. Ματθαῖος τῇ τῶν Ἑβραί- 5
ων γλώσσῃ τὰ εὐαγγελικὰ συνέταξε θαύματα. Μάρκος τοῦ Πέτρου μαθητὴς γενόμε-
νος, τὰ διὰ τοῦ δεσπότου Χριστοῦ συμβεβηκότα γέγραφε, λέγω δὴ τὴν ἄμικτον γέννησιν,
τὴν ἄμεμπτον ἀναστροφήν, τὰ παράδοξα σημεῖα, τὸν Ἰουδαϊκὸν φθόνον, τὸ σωτήριον πάθος,
τὸν ζωοποιὸν ἡμῖν θάνατον, τὴν ἐπ' ἀφθαρσίᾳ ἀνάστασιν, τὴν πρὸς τὸν πατρικὸν κόλπον
ἀνάληψιν. ὁμοίως δὲ καὶ Λουκᾶς, Παύλου τυγχάνων μαθητής, τὴν αὐτὴν τοῖς πρὸ 10
αὐτοῦ ἔτεμεν ὁδόν. Ἰωάννης τοίνυν μόνος, ὡς ἁλιεύς τις ἐξ ἀπόπλου καθήμενος, καὶ ἑτέρων
ἁλιευόντων θεατὴς γενόμενος, ὡς εἶδεν αὐτοῖς τῆς γνώσεως τὸ κεφάλαιον παραλειφθέν,
μεταχειρίζεται τὸν ἁλιευτικὸν τοῦ εὐαγγελίου κάλαμον, καὶ ἐξ αὐτοῦ τὸν ζητούμενον ἰχθὺν θη-
ρεύει, καὶ τοῦτον ἀπαρτὰς τοῖς πιστοῖς παρέσκει βοῶν, Ἐν ἀρχῇ ἦν ὁ λόγος. οὐκ ἀφ' οὗ
Μαρία, φησίν, ἡ νομισθεῖσα μήτηρ, ἀρχὴν ἔλαβεν ὁ Χριστός· οὐκ ἀφ' οὗ Ἰωσὴφ πατὴρ 15
αὐτοῦ ἐχρημάτισε, τὴν ὕπαρξιν ἔσχεν· οὐδ' ἀφ' οὗ Μωϋσῆς, οὐδ' ἀφ' οὗ Ἀβραάμ, ὁ περὶ νό-
μου πάντων πατήρ· ἀλλ', Ἐν ἀρχῇ ἦν ὁ λόγος. ἀρχῆς δὲ οὐδὲν ἀρχαιότερον, ἀρχῆς οὐ-
δὲν πρεσβύτερον. πᾶν ποίημα ἄρχεται, καὶ ἔστιν ὑπὸ ἀρχήν. πάντων δὲ ἀρχὴ υἱός, καὶ
πάντων ἐστὶν ὡς ποιητής, ἀρχή. πᾶν τῇ ἀρχῇ παραλαμβανόμενον, νεώτερον· μόνη δὲ τὰ (ἰσ. τῷ λόγῳ)
πρεσβεῖα τῆς ἀϊδιότητος κατέχει ἡ ἀρχή. ἀλλ' ἴδωμεν δίκαιον [ὁ λόγος] Ἰάκωβον. εἰ 20
γὰρ καὶ τὴν τοῦ δικαίου ἐπίκλησιν ἐξαίρετον ὁ ἄλλος Ἰάκωβος ἔλαχεν, ὁ χρηματίζων Δίκαιος,
ἀλλ' οὐ φθονήσει τοῦ τοιούτου γέρως τῷ συναποστόλῳ. πολλοὺς τοίνυν καὶ ὁ υἱὸς Ζεβεδαίου
πλουτεῖ τοῖς τοῦ εὐαγγελίου κατορθώμασιν. ἀρκεῖ δὲ πρὸς τὸ παρὸν εἰς ἐγκωμίου λόγον, τὸ
ὑπὲρ τοῦ δεσποτικοῦ φίλτρου ἡδέως τὴν κεφαλὴν ἀποτμηθῆναι. τοῦτον γὰρ Ἡρώ-
δης, ὡς ὁ Λουκᾶς ἐν ταῖς πράξεσιν ἱστορεῖ, ἀναιρεῖ. οὗτοι τῆς εὐσεβείας οἱ ἀθληταί, οὗτοι 25 (Πραξ. ιβ. β.)
τοῦ εὐαγγελικοῦ κηρύγματος οἱ διάκονοι. ἀλλ' ἕνα μὲν ἐξ Ὀλυμπιακῶν ἐπανελθόντα στεφανί-
την δῆμοι καὶ πόλεις ἰδεῖν συντρέχουσι, καὶ ταῦτα φύλλοις δάφνης ἐστεφανωμένον· ἡμεῖς δέ, οὐχ ἕνα,
ἀλλὰ τρεῖς ἀγωνιστάς, ὑπὲρ τριάδος ἀγωνιστάς, ὑπὲρ τριάδος ἀθλήσαντας καὶ στεφανωθέν-
* * τας, πρὸς ἡμᾶς παραγενομένους ἐλεάσονι συνδρομῇ τεθεάμεθα. καίτοι τῶν ἀμετρίων καταπολ-
μᾷ πᾶσα γλῶσσα, ἑνὸς τούτων τοὺς ἐπαίνους διεξιέναι πειρωμένη, καὶ ἰλιγγιᾷ ἡ διάνοια, θάλασ- 30
σαν ἀρετῶν κοτύλῃ ἐκμετρεῖν βιαζομένη. ἀλλ' ὅμως ἐπεχειρήσαμεν, τῆς εὐγνωμοσύνης ἐπι-
δεικνύμενοι τοῖς πατράσι τὸν καρπόν. πρὸ δύο ἡμερῶν γενεθλιακὴ τοῦ παμβασιλέως Χρι-
στοῦ πανήγυρις διηνύσθη· εἰκότως τοιγαροῦν οἱ λαμπροὶ ἀγῶνες οὗτοι εἰς τιμὴν τῆς
δεσποτικῆς γεννήσεως ὑπὸ τῶν πενταθλῶν ἀγωνιστῶν ἐξετελέσθησαν. τοῦτο καὶ ἐπὶ τῶν
ἔξωθεν συμβαίνειν εἴωθε. τὰς γὰρ βασιλικὰς γεννήσεις ἐν ταῖς πόλεσιν οἱ ἄρχοντες τιμῶ- 35
σιν· ἀλλ' ἐκεῖ μέν, ὁ νενικηκὼς σκιᾶς καὶ προσκαίρου χαρᾶς ἐτρύγησεν ἡδονήν· ἐνταῦθα δὲ
ἀθάνατα τοῖς στεφανίταις τὰ βραβεῖα, αἰωνίζοντες οἱ στέφανοι, ἡ μετ' ἀγγέλων χαρά, ἡ
μετὰ τῶν ἁγίων ἐν τῇ ἀναστάσει λαμπρότης. ταῦτα τούτοις ἀπόκειται τοῖς ἀγωνίσμασι
τὰ προνόμια· ὧν ταῖς πρεσβείαις καὶ ἡμεῖς διαφυλαχθείημεν, καὶ ὁ καλὸς οὗτος ποιμὴν
εἰς πολλὰς δεκάδας ἡμῖν ἐνιαυτῶν χαρισθείη ἐν Χριστῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. 40
Ἀμήν.

ΕΙΣ ΤΟ, ΕΞΕΛΟΥ ΜΕ, ΚΥΡΙΕ, ΕΞ ΑΝΘΡΩΠΟΥ πονηροῦ.

Λογ. λη.
Ψαλ. ρλθ. α.
Ex Ms. Palatino.

Θαυμάζω τί δήποτε ὁ προφήτης οὐκ ηὔξατο ῥυσθῆναι ἀπὸ δαιμόνων, ἢ λεόντων, ἢ δρακόντων, ἀλλ' ἐξ ἀνθρώπου πονηροῦ. δῆλον οὖν ὅτι χείρονές εἰσιν οἱ πονηροὶ ἄνθρωποι τῶν λεόντων. οἱ μὲν γὰρ λέοντες τὸν Δανιὴλ ἐνετράπησαν, Ἰουδαῖοι δὲ τὸν Κύριον ἐσταύρωσαν. οἱ κόρακες τὸν Ἠλίαν ἐν τῷ ὄρει διέτρεφον, τὸν δὲ Ἰωσὴφ οἱ ἀδελφοὶ πιπράσκοντες ἔτρωγον, ὃν καὶ δεόμενον ὑπερεῖδον. ἐδέετο γὰρ αὐτῶν ὁ παῖς τοῦ μὴ πραθῆναι τοῖς ἀλλοφύλοις. οἱ δὲ τῇ ὑπερβολῇ τῆς ὠμότητος τὴν ἱκεσίαν αὐτοῦ ὑπερεῖδον, καὶ οὔτε νεαρὰν ἡλικίαν ἠλέησαν, οὔτε σπλάγχνα ἀδελφικὰ ᾐδέσθησαν, οὐχ ὅτι ἀφορμὰς" αὐτοῖς εἰσέφερε, καὶ μία σχεδὸν χώρα ἐβλάστησεν· ἀλλὰ τῇ ὑπερβολῇ τῆς ὠμότητος τὸν εὐγενέστατον καὶ ἀδελφὸν ὡς δοῦλον ἐπίπρασκον. Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ. μέλισσαι ἄγριαι τὸν Ἰωάννην ἐν τῇ ἐρήμῳ ἔτρεφον, Ἡρωδίας δὲ αὐτὸν ἐν ἀρίστῳ ἀπέτεμε. δράκοντες καὶ κεράσται καὶ ἀσπίδες τὸν ἄνδρα ᾐσχύνοντο, γυναῖον δὲ πονηρὸν τὸν προφήτην οὐκ ἔφριξε. Δανιὴλ ἐν Βαβυλῶνι τὸν δράκοντα ἔκτεινε· Δαβὶδ δὲ τοῦ Σαοὺλ τὸν φθόνον νικῆσαι οὐκ ἴσχυσεν. ὁ ὄφις τὴν Εὔαν μόνον ἠπάτησεν· ὁ δὲ Κάϊν τὸν ἀδελφὸν αὐτοῦ δόλῳ ἐφόνευσεν. ὁ κύων κἂν μαστιζόμενος τῷ δεσπότῃ ὑποσαίνεται· Ἰούδας δὲ καὶ τρεφόμενος τὸν δεσπότην παρέδωκεν. ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ· οὐκ ἀπὸ θηρίων. τὰ μὲν γὰρ θηρία προφανῆ τὴν πονηρίαν κέκτηνται, οἱ δέ γε πονηροὶ ἄνθρωποι κρύπτουσι τὴν πονηρίαν τῷ σχήματι τῆς ἐπιεικείας. καὶ ὥσπερ οἱ τὰ δηλητήρια φάρμακα διδόντες, "μέλιτι πολλάκις περιχρίουσι τὴν πικρίαν τῇ γλυκύτητι, οὕτω καὶ οἱ πονηροὶ ἄνθρωποι τὸ μὲν γλυκὺ τῶν λόγων ἐν τῷ στόματι φέρουσι, τὸ δὲ πικρὸν τῶν τρόπων ἐν καρδίᾳ κατέχουσι· τὸ μέλι ἐν τῇ γλώττῃ βαστάζουσι, καὶ τὸ ξίφος ἐν τῇ γνώμῃ χαλκεύουσιν, ἄλλοι ἔξωθεν φαινόμενοι, καὶ ἄλλοι ἔνδοθεν κρυπτόμενοι· οὕτως οὖν χαλεπώτερός ἐστιν ὁ πονηρὸς ἄνθρωπος τοῦ θηρίου. καὶ πῶς, ἄκουε· τὸ μὲν θηρίον οὐκ ἔχον φρόνησιν, οὐχ εὑρίσκει κακὰ κατὰ τοῦ ἀνθρώπου (οὐδὲ γὰρ λογίζεται, οὐδὲ γὰρ τὴν ὑπαγορεύουσαν αὐτῷ φρόνησιν" καὶ τὸν δόλον) ὁ δέ γε πονηρὸς ἄνθρωπος κεκτημένος τὴν φρόνησιν, καὶ χρῆται αὐτῇ πρὸς τὴν πονηρίαν, καὶ ὅταν δὲ βούληται, τέρατα διὰ τῆς φρονήσεως ἐξευρίσκει. ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, οὐκ ἀπ' ἀγγέλου πονηροῦ. εἰσὶ γὰρ καὶ ἄγγελοι πονηροί· ὡς ὅταν λέγῃ Δαβίδ· Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ. χείρων δὲ ὁ πονηρὸς ἄνθρωπος τοῦ ἀγγέλου τοῦ πονηροῦ. ὁ μὲν γὰρ πονηρὸς ἄγγελος τὰ προστεταγμένα φυλάττει· ὁ δὲ πονηρὸς ἄνθρωπος τὰ προστεταγμένα παραχαράττει. τί πονηρότερον τοῦ διαβόλου; ἀλλ' ὅμως φθονήσας τῷ Ἰὼβ, οὐκ ἐτόλμησεν αὐτῷ προσελθεῖν δίχα προστάγματος θεϊκοῦ. ὁ δὲ πονηρὸς ἄνθρωπος ἀκούων τὸ, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, οὐ μόνον οὐκ ἀγαπᾷ τοὺς ἐχθρούς, ἀλλά γε καὶ τοὺς εὐεργετοῦντας μισεῖ, καὶ τούτους φονεύει, ὡς καὶ ὁ Σαοὺλ ἐποίει τῷ Δαβίδ. ὁ μὲν γὰρ τὸν ἀντίδικον αὐτοῦ Γολιὰθ σφενδονίσας ἀπέκτεινε, καὶ τοῦ φόβου ἀπήλλαξεν· ὁ δὲ τὴν δολοφονίαν κατ' αὐτοῦ ἀνέπνει. τὸν δαίμονα αὐτοῦ πάλιν τῇ ψαλμῳδίᾳ αὐτοῦ ἀπήλαυνεν, ὁ δὲ τὸ ξίφος κατ' αὐτοῦ ἀκονήσας ἠκόντιζε. τοιοῦτος γάρ ἐστιν ὁ πονηρός. ὅσον εὐεργετεῖται, τοσοῦτον μᾶλλον πρὸς φθόνον ἐκκαίεται. ὕλη γὰρ φθόνου ἰσχὺς" τῷ εὐεργετουμένῳ πονηρῷ ἀνθρώπῳ τυγχάνει. ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ· οὐκ ἀπὸ δαιμόνων. οἱ μὲν γὰρ δαίμονες τῷ σημείῳ τοῦ σταυροῦ ἀπελαύνονται, ὁ δέ γε πονηρὸς

ἄνθρωπος

ἴ. ὁ αὐτὸς ἦν ἴσως

ἴ. μέλιτος

ἴ. ἔχει καὶ

Ψαλ. οζ. νδ.

ἴσ. τοῦ εὐεργετημένου.

ἄνθρωπος αὐτῷ τῷ Κυρίῳ ἀντιπαρατάττεται. ὁ μέντοι Παῦλος ῥήματι τοὺς δαίμονας ἐξεδίω-
κεν, Ἀλεξάνδρου δὲ τοῦ χαλκέως τὴν πονηρίαν νικῆσαι οὐκ ἴσχυσε. Φησὶ γάρ, Ἀλέξανδρος (β. Τιμ. δ. ιδ.)
ὁ χαλκεὺς πολλά κακά μοι ἐνεδείξατο· ἀποδώῃ αὐτῷ ὁ Κύριος. Ἐξελοῦ με, Κύριε, ἐξ ἀν-
θρώπου πονηροῦ. οὐκ ἐξ ἀνθρώπου ἀγαθοῦ. Ὁ μὲν γὰρ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγα- (Ματθ. ιβ. λε.)
θοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὰ ἀγαθά· ὁ δέ γε πονηρὸς ἄνθρωπος ἐκ τοῦ πο- 5
νηροῦ θησαυροῦ προφέρει τὰ πονηρά· καὶ ὥσπερ ἀπό τινος ῥίζης, τῆς καρδίας ἕκαστος αὐ-
τῶν προφέρει τὰ βλαστήματα, ὁ ἀγαθὸς τὴν ἀγαθότητα, καὶ ὁ πονηρὸς τὴν πονηρίαν. καὶ
ὥσπερ τῆς πικρᾶς ῥίζης καὶ οἱ κλάδοι καὶ τὰ φύλλα καὶ τὰ ἄνθη καὶ ὁ καρπός ἐστι πικρός· οὕτω καὶ
τοῦ πονηροῦ ἀνθρώπου τὸ βάδισμα καὶ τὸ βλέμμα καὶ τὸ ῥῆμα καὶ αἱ χεῖρες πονηραί εἰσι.
περὶ γὰρ ποδῶν, ὡς ὅταν λέγῃ ἡ σοφία· Ἔκκλινον δὲ ἀπ' αὐτῶν καὶ παράλλαξον· οἱ γὰρ 10
πόδες αὐτῶν ἐπὶ πονηρίαν τρέχουσι. περὶ δὲ χειρῶν, ὡς ὅταν εὐχόμενος λέγῃ ὁ προφήτης· (Παροιμ. δ. ιε.)
Ῥῦσαί με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος. περὶ δὲ (Ψαλ. ο. δ.)
ὀφθαλμοῦ πονηροῦ, ὡς ὅταν ὁ Κύριος βοᾷ, Εἰ ὁ ὀφθαλμός σου ἐστὶ πονηρός, ὅτι ἐγὼ ἀγα-
θός εἰμι; ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ. ὁ τοιοῦτος δόλους πλέκει, ὑποκρίσεις (Ματθ. κ. ιε.)
μελετᾷ, τὸν φθόνον ἐν καρδίᾳ χαλκεύει. ἐξ ἀνθρώπου πονηροῦ, οὐκ ἐξ ἀνθρώπου δικαί- 15
ου. Δίκαιος μὲν γὰρ οἰκτείρει ψυχὰς κτηνῶν, καθὼς γέγραπται· ἄδικοι δὲ καὶ τὰς τῶν ἀν-
θρώπων ἀφαιροῦνται. δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν, ὡς ὁ Μωϋσῆς εἰς τὸ ὄρος ἀναδρα- (Παροιμ. ιβ. ι.)
μὼν τὰ πρόβατα Ἰωθὸρ διψῶντα ἐπότισεν· ὁ δὲ ἄδικος Φαραὼ τὰ πρωτότοκα τῶν Ἑβραί-
ων εἰς τὸν ποταμὸν ἔπνιγε. καὶ ὁ μὲν δι' ὕδατος πρόβατα ἐπότιζεν· ὁ δὲ δι' ὕδατος ἀνθρώ-
πους ἀπέκτεινε. χρὴ οὖν φεύγειν τὴν πονηρίαν καὶ τὴν ἀδικίαν, ὡς ἡ δύναμις· μὴ μόνον 20 (ἰσ. ?)
δὲ φεύγειν, ἀλλὰ καὶ τοὺς ἀδικουμένους ἐκ χειρὸς τῶν ἀδικούντων ῥύεσθαι, ὡς ὁ Ἀβραὰμ ἐρ-
ρύσατο τὸν Λὼτ αἰχμαλωτισθέντα ἐκ χειρὸς τῶν ἀλλοφύλων· ὡς αὐτὸς ὁ Λὼτ τοὺς ἀγ-
γέλους ἐρρύσατο ἐκ τῆς τῶν Σοδομιτῶν παρανομίας. εἰ γὰρ καὶ ἡ φύσις τῶν ἀγγέλων
* * ἀνεπίδεκτος, ἀλλ' ἡ τμάτων ἀνθρώπων περίχειρος. ὡς ὁ Μωϋσῆς τὸν τῶν Ἑβραίων λαὸν
ἐρρύσατο ἐκ χειρὸς τῶν Αἰγυπτίων· ὡς ὁ Δαβὶδ τὸν Σαοὺλ ἐρρύσατο ἐκ τῆς βίας τοῦ 25
δαίμονος· ὡς τοὺς τρεῖς παῖδας ἐκ τῆς καμίνου τῆς καιομένης ὁ συγκαταβὰς αὐτοῖς ἄγγελος·
ὡς τὸν Δανιὴλ ἐκ τοῦ λάκκου τῶν λεόντων ἡ πίστις· ὡς τὸν Ἰωνᾶν ἐκ τῆς κοιλίας τοῦ κή-
τους ἡ μετάνοια· ὡς τὸν Ἱερεμίαν ἐκ λάκκου βορβόρου Ἀβιμέλεχ ὁ εὐνοῦχος· ὡς Δανιὴλ ἐν
Βαβυλῶνι ἐκ τῆς κρίσεως τῶν παρανόμων τὴν Σωσάνναν· ὡς ὁ Κύριος πᾶσαν τὴν ἀνθρω-
πότητα ἐκ χειρὸς τοῦ διαβόλου· ὡς οἱ ἀπόστολοι τοὺς ἐχομένους ἀπὸ πνευμάτων καὶ νόσων. 30
ἀλλ' οὐ μόνον ὁ λόγος ἄνδρας νομοθετεῖ τοῦτο ποιεῖν, ἀλλὰ καὶ γυναῖκας διδάσκει. πολλαὶ γὰρ
γυναῖκες ἐρρύσαντο πολλοὺς ἐκ θανάτου καὶ κινδύνων, ὡς Σάρρα τὸν Ἀβραὰμ ἐρρύσατο ἐκ
χειρὸς Ἀβιμέλεχ, ἀδελφὸν αὐτῆς εἶναι σοφισαμένη· ὡς Ῥεβέκκα τὸν υἱὸν αὐτῆς Ἰακὼβ ἐκ χει-
ρὸς τοῦ ἀδελφοῦ αὐτοῦ Ἠσαῦ, τὴν φυγὴν αὐτῷ συμβουλεύουσα· ὡς Ῥαχὴλ τὸν πατέρα ἐκ
τῆς εἰδωλολατρείας ἐρρύσατο, ἄψυχα εἴδωλα κλέψασα (ἔκλεψε γὰρ οὐ δι' ἄλλο, ἢ ἵνα 35
τῆς εἰδωλολατρείας ῥύσηται τὸν πατέρα) ὡς Ῥαὰβ ἡ πόρνη τοὺς κατασκόπους ἐρρύσατο ἐκ
χειρὸς τῶν ἀλλοφύλων, εἰς τὴν λινοκαλάμην αὐτοὺς κατακρύψασα· ὡς Μελχὸλ τὸν Δα-
βὶδ ἐκ χειρὸς Σαούλ, τὸ μυστήριον αὐτῷ ἀπαγγείλασα· ὡς Ἀβιγαὶλ τὸν Νάβαλ ἐκ θα-
νάτου, τῷ Δαβὶδ προσαπαντήσασα· ὡς ἡ τοῦ Μωϋσέως μήτηρ ἐκ χειρὸς Φαραὼ τὸ νήπιον εἰς
θίβιν ἐμβάλλουσα· ὡς Μάρθα καὶ Μαρία τὸν ἀδελφὸν αὐτῶν Λάζαρον ἐξ ᾅδου, τῷ 40
Κυρίῳ προσκλαύσασαι· ὡς αἱ χῆραι τὴν Ταβιθὰν ἐκ θανάτου ἐρρύσαντο, δυσωπήσασαι
Πέτρον· ὡς ἡ πίστις τὴν Αἱμορροοῦσαν, καὶ νηστεία τοὺς Νινευΐτας. ἐξελοῦ με, Κύριε, ἐξ ἀν-
θρώπου πονηροῦ, καὶ ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. ἴδωμεν ἀπὸ τίνων ὁ προφήτης εὔχεται
ἰδικῶς ῥυσθῆναι. καὶ γὰρ ἄνθρωπος πονηρὸς ὁ Δωήκ, καὶ ἀνὴρ ἄδικος ὁ Σαούλ. ὁ γοῦν

Δαβὶδ

Δαβὶδ ἀπὸ προσώπου Σαοὺλ ἦν φεύγων εἰς Νομβᾶ τὴν πόλιν τῶν ἱερέων, κἀκεῖ ὁ Ἀβιμέλεχ
ὁ ἱερεὺς ἔδωκεν αὐτῷ τὸ δόρυ τοῦ Γολιὰθ τοῦ ἀλλοφύλου καὶ ἐπισιτισμόν. τότε Δωὴκ ὁ Ἰδου-
μαῖος, ὁ ἐπὶ τῶν ἡμιόνων τοῦ Σαούλ, παρὼν καὶ ὁρῶν τὰ γινόμενα, ἀπελθὼν διέβαλε τὸν Δα-
βὶδ καὶ Ἀβιμέλεχ τὸν ἱερέα λέγων· Χθὲς ἦλθεν εἰς Νομβᾶ τὴν πόλιν, κἀκεῖ Δαβίδ, καὶ (α Βασ. κβ. ι.)
Ἀβιμέλεχ ὁ ἱερεὺς ἔδωκεν αὐτῷ ἐπισιτισμόν, καὶ τὸ δόρυ Γολιὰθ τοῦ ἀλλοφύλου. τότε Σαοὺλ
θυμωθεὶς καὶ ὅλος τῆς ὀργῆς γενόμενος, λέγει τοῖς παρεστηκόσιν αὐτῷ στρατιώταις· σφάξα-
τε πάντας ἐν τῇ Νομβᾶ τῇ πόλει ἱερεῖς. οἱ δὲ οὐκ ἐτόλμησαν χεῖρας ἐπενεγκεῖν ἐπὶ τοὺς ἱε-
ρεῖς, φόβῳ Θεοῦ χαλινωθέντες τὰς χεῖρας, πρὸ δὲ τῶν χειρῶν τὰς γνώμας. τότε πρὸς τὸν Δω-
ὴκ ὁ Σαοὺλ ἀποστρέφων φησί· σὺ ἀπόλυσον τοὺς ἱερεῖς Κυρίου θανάτωσον, καὶ μὴ φείσῃ, μὴ
10 πρεσβυτέρου, μὴ νεωτέρου, μὴ γυναικός, μὴ παρθένου, μὴ νηπίου, μὴ θηλάζοντος. ἕως ὄνου
καὶ προβάτου καὶ μόσχου πάντας ἀπόκτεινον εἰς ἐξάλειψιν. τότε ἀποστρέψας ὁ Δωήκ, καὶ δι-
ελὼν τὸν ὑπ' αὐτοῦ ἀρχόμενον λαὸν τριχῇ, καὶ τοὺς μὲν τὴν πόλιν κυκλῶσαι παρεσκεύασεν
ἐπὶ τὸ μηδένα φεύγειν, καὶ τὴν σωτηρίαν ποιήσασθαι, τοὺς δὲ εἰς τὴν πόλιν πῦρ βάλλειν πα-
ρεκέλευσεν· αὐτὸς δέ, καθάπερ λέων πρόθυμος εἰς βορράν, ὥρμησε κατ' αὐτῶν ἐν τῇ πό-
15 λει, καθάπερ κατὰ μεμανδρευμένων προβάτων, καὶ ἔσφαξε τῇ ἡμέρᾳ ἐκείνῃ τριακοσί-
ους πεντήκοντα ἱερεῖς αἴροντας ἐφούδ, καὶ οὐκ ἐφείσατο οὐ πρεσβυτέρου, οὐ νεωτέρου, οὐ παρ-
θένου, οὐ γυναικός, οὐ νηπίου θηλάζοντος, καὶ ἀπὸ προβάτου καὶ μόσχου καὶ ὄνου· καὶ τὴν πό-
λιν ἐνέπρησε πυρί. τότε Δαβὶδ θεωρήσας τοῦτο, φεύγων ἔλεγεν· Ἐξελοῦ με, Κύριε,
ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. ἦν γὰρ ἀληθῶς ἰδεῖν ὠμότατα
20 πράγματα, τὰ τῶν νέων αἵματα καὶ τῶν νηπίων συμπεφυρμένα, καὶ νηπίων στομάτων ἄκρα τοῖς
τῶν μητέρων μαστοῖς προσηρτημένα, καὶ ἄωρον κρέαν πρὸ καιροῦ τεμνομένην, καὶ στάχυας * *
πρὸ καιροῦ θεριζομένους, καὶ βότρυας μήπω περκάσαντας, θυμῷ χαλάζης φονευομένους,
" γυναικείων πλοκάμων, ὧν ἔδει κρύπτεσθαι, τὸ σεμνὸν μυστήριον πομπευόν. τοῦ γὰρ λι-
νέου ἐπὶ τῆς κεφαλῆς χιτωνίσκου περιρριπτομένου, γυμνὸν τὸ κρανίον τῆς κόμης διεδείκνυτο,
25 καὶ στέρνα γυμνούμενα, τὰ καὶ ὄψιν ἡλίου ἰδεῖν αἰσχυνόμενα, καὶ παιδευόμενα, ἃ καὶ αὐτὴ ἡ φύσις κα-
λύπτειν ἐδίδασκε. καὶ τίς ἂν τὴν τότε γενομένην ἀνάγκην εἰς τὸ ἀκριβὲς ἐξισχύσειεν; ἐπεὶ οὖν τοιαῦτα
ὁ πονηρὸς ἄνθρωπος καὶ ὁ ἄδικος ἀνὴρ διαπράττονται, μὴ παυσώμεθα πάντοτε ἐκτενῶς
δέεσθαι τῷ Θεῷ καὶ λέγειν· ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου
ῥῦσαί με. μὴ μόνον δὲ στόματι ταῦτα προσευχώμεθα, ἀλλὰ καὶ δι' ἔργων ἀγαθῶν ἑαυτοὺς ἀ-
30 ξίους πρὸς τὸ εἰσακούεσθαι τὴν δέησιν ἡμῶν εὐτρεπίσωμεν. οὕτω γὰρ παρακαλοῦντες
τὸν Θεὸν εἰσακουσθησόμεθα, καὶ οὐ μόνον ἐξ ἀνθρώπου πονηροῦ καὶ ἀπὸ ἀνδρὸς ἀδίκου ἐξελεῖ-
ται καὶ ῥύσεται ἡμᾶς, ἀλλὰ καὶ ἐκ τῶν ἀοράτων ἐχθρῶν ἡμῶν λυτρώσεται ἡμᾶς, καὶ σὺν τοῖς
ἐπιγείοις ἀγαθοῖς καὶ τῶν αἰωνίων αὐτοῦ ἀξιώσει ἀγαθῶν. ἐξαιρέτως δὲ τὴν εἰς ἀλλήλους
ἀγάπην ἄδολον καὶ εἰλικρινῆ φυλάξωμεν, καὶ οἰκεῖον κέρδος τὴν εἰς τὸν πλησίον γενομέ-
35 νην προκοπὴν λογισώμεθα. ἐν τούτῳ γὰρ μιμηταὶ Θεοῦ κατὰ τὸ δυνατὸν ἀνθρώποις γινόμεθα.
καὶ γὰρ ὁ Θεὸς ἡμῶν ἀγάπη ἐστί τε καὶ ὀνομάζεται· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, τῷ πατρί,
καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(margin: ἐγυμνοῦτο, σὺν ἰδ. κρ. ἰσχ. μ. γυμνοῦται.)

40

ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΙΑ.

Ex Ms. Palatino. Μηνὸς Ἰανουαρ. ϛ.

Ἡ πηγὴ τῶν εὐαγγελικῶν διδαγμάτων ἀνεῳγμένους ἔχει τοὺς ῥύακας, καὶ εἴ τις διψῶν πίνει ἐξ ἐκείνης τῆς πηγῆς, καὶ ζωοποιεῖται. ζωοποιεῖται δὲ κατὰ πνεῦμα τὸν νόμον τῶν ἐντολῶν, ὑπὲρ εὐφροσύνην οἴνου δεχόμενος. ἀκόρεστος γὰρ ἡ γλυκύτης τῶν πνευματικῶν λογίων. οὐ γὰρ εὐφραίνει κοιλίαν, ἀλλὰ καρδίαν, καὶ λογισμοὺς εὐσεβῶν εἰς φιλοθεΐαν ἄγει. ἤκουες γὰρ ἀρτίως ἐν τῷ εὐαγγελίῳ τοῦ Βαπτιστοῦ Ἰωάννου βοῶντος πρὸς τὸ συνελθὸν πανταχόθεν καὶ βαπτιζόμενον τῶν Ἰουδαίων πλῆθος· Ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστίν. ὁ ὀπίσω μου ἐρχόμενος· ὀπίσω, διὰ τὸν τόκον τῆς γεννήσεως. ὁ δὲ ὀπίσω μου ἐρχόμενος, ἰσχυρότερός μου ἐστίν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι. καὶ ποῖα ὑποδήματα ″βαστὰ ὑπεφέρετο ὁ Κύριος, ὅτι ἔλεγεν, οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι; ἐνταῦθα ὑποδήματα, τὰ τῆς οἰκονομίας μυστήρια λέγει. ὑποδήματα γὰρ ἡ ἐνανθρώπησις τοῦ Κυρίου προσαγορεύεται. καὶ τούτου μάρτυς ὁ Κύριος διὰ τοῦ προφήτου κράζων, Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου. διὰ τοῦτο καὶ ὑποπόδιον ἤκουσεν ἡ τοῦ Κυρίου ἐνανθρώπησις, ὡς ἐπὶ γῆς ὀφθεῖσα, καὶ τὸ τέρμα τῆς γῆς καταλαβοῦσα. ὅπερ καὶ ὁ προφήτης ἐκ τῶν ἑκατέρων τὴν ἐμφάνειαν ποιούμενος ἐκέκραγεν· Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· οὗ τὸ πτύον ἐν χειρὶ αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. ταῦτα τοῦ Ἰωάννου προκηρύξαντος, καὶ τὸν ἰσχυρότερον Κύριον σαλπίζοντος, οἱ ὑπ' αὐτοῦ βαπτιζόμενοι ἀντέβαινον τῷ Ἰωάννῃ λέγοντες· ἔχεις ἰσχυρότερόν σου τινά, ὦ προφῆτα; τί σεαυτὸν συκοφαντεῖς; σὺ τοῦ μεγάλου Ζαχαρίου υἱός, σὺ καὶ ἀνθρώποις ποθητός, καὶ θηρίοις φοβερός· ἔχεις ἰσχυρότερόν σου τινά; τί ἀδολεσχεῖς; οὐκ ἔστι σου ἰσχυρότερος. σὺ καὶ κατ' ἐπαγγελίαν ἐτέχθης, σὺ ὑπὸ Γαβριὴλ ἐμηνύθης, σὺ ἐν τῷ θυσιαστηρίῳ ἐφανερώθης, σὺ τὴν γλῶτταν τοῦ γεννήσαντός σε δεθεῖσαν ὑπὸ τοῦ Γαβριὴλ διέλυσας, σὺ Ἰωάννης κέκλησαι, ὃ χάρις Θεοῦ ἑρμηνεύεται. τί τοίνυν συκοφαντεῖς ἑαυτόν; οὐκ ἔχεις τὸν ἰσχυρότερόν σου. ὁ δὲ Ἰωάννης, ὡς δοῦλος ὑπὲρ τοῦ δεσπότου μαρτυρῶν, νίκην ἀξίαν σφετερίσασθαι μὴ καταδεξάμενος, ἀντιβοᾷ τοῖς ἀντιβαίνουσι ὄχλοις λέγων· ὑμεῖς ὃ οὐκ οἴδατε λέγετε, ἐγὼ ὃ οἶδα μαρτυρῶ. ἰσχυρότερός μου ἔρχεται. ἐγὼ δι' ἐκεῖνον, ἐκεῖνος οὐ δι' ἐμέ· ἐγὼ ἐκ στείρας, ἐκεῖνος ἐκ παρθένου· ἐγὼ στρατιώτης, ἐκεῖνος βασιλεύς· ἐγὼ πρόδρομος, ἐκεῖνος οὐράνιος· ἐγὼ τὸ πνεῦμα δεδανεισμένος, ἐκεῖνος ζωὴν παρέχει πᾶσιν ἀνθρώποις· ἐγὼ μετανοίας κήρυξ, ἐκεῖνος υἱοθεσίας δωτήρ· ἐγὼ βαπτίζω ὑμᾶς ἐν ὕδατι, προκαθαίρων ὑμᾶς ὡς σκεύη ῥερυπωμένα ταῖς ἁμαρτίαις, ἐκεῖνος ἐμβάλλει τὸ μύρον τῆς χάριτος. αὐτὸς βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ καὶ πυρί, οὐ καυστικῷ, ἀλλὰ ἁγιαστικῷ. ἐγὼ νουθεσίας γλῶτταν κινῶ, ἐκεῖνος δικαιοκρισίας πτύον βαστάζων, καὶ τοὺς μὲν δικαίους, ὥσπερ σῖτον ὡραῖον ἐν τῇ ἀποθήκῃ τῶν οὐρανῶν ἀνενέγκει· τοὺς δὲ ἁμαρτωλοὺς καὶ μὴ μετανοήσαντας, ὡς ἄχυρα τῷ ἀσβέστῳ πυρὶ παραδώσει. ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν. ἐκεῖνον προσμείνατε, παρ' ἐκείνου τὸ τέλειον δέξασθε βάπτισμα. ἐγὼ λύχνος ἐν μέρει, ἐκεῖνος ἥλιος πανταχοῦ. ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστί. ταῦτα τοῦ Ἰωάννου προκηρύξαντος καὶ παραπλήσια τούτων, οἱ ὑπ' αὐτοῦ βαπτισθέντες ὄχλοι προσιέμενοι ἀντιβάλλοντες πρὸς ἀλλήλους καὶ λέγοντες,

Ματθ. γ. ια.

ἴσ. [illegible]

Ψαλ. νθ. θ.

Ψαλ. ϟη. ε.

λέγοντες· καρτερήσωμεν καὶ ἴδωμεν τὴν μέλλουσαν διαβαίνειν βασιλείαν ἢ φαντασίαν. ἐφόρτωσεν ὑμῶν τὰς ἀκοὰς Ἰωάννης καταπληκτικοῖς λόγοις· ἰσχυρότερον αὐτοῦ παραγενέσθαι λέγει, πτύον καὶ πῦρ καὶ πνεῦμα φέροντα. ἐν τούτοις τῶν ὄχλων καραδοκούντων κοσμικῆς βασιλείας παρουσίαν, ἐνὶ ὁ τῶν ὅλων δεσπότης καὶ Θεὸς ἴωθει διαβαῖνον. ἰδὲ καὶ ὁ Κύριος τῇ ἐσχάτῃ τῆς ἐνανθρωπήσεως, μόνος, λιτός, μονοχίτων, ὡς εἷς τῶν ὅλων ἀνθρώπων, ἐπὶ τὸν Ἰορδάνην φθάσας προσέκλινε τὴν κεφαλὴν τῷ Ἰωάννῃ θέλων ὑπ' αὐτοῦ βαπτισθῆναι. ταύτην τοίνυν τὴν ταπεινὴν θέαν τῆς τοῦ Χριστοῦ ἐπιστασίας ὁ Βαπτιστὴς Ἰωάννης παρὰ πολλὴν προσδοκίαν θεασάμενος, ἰλιγγίασεν, ἠπόρησεν, καὶ ἐξεπλάγη. τόπος φυγῆς περιεβλέπετο, θέλων δραπετεῦσαι, καὶ οὐχ ηὕρησεν (ἀοράτως γὰρ ὑπὸ κρατούμενος καὶ συνεχόμενος) ἐβόα πρὸς τὸν κρατοῦντα Κύριον λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; τί ποιεῖς, δέσποτα; τί προδίδως με τοῖς ὄχλοις εἰς θάνατον; νῦν ὡς ψευδολόγον ὄχλοι λιθάσουσιν. ἐγὼ μεγάλα περὶ σοῦ ἐκήρυξα, καὶ σὺ ὡς λιτὸς καὶ ξένος παραγέγονας. τί ποιεῖς, δέσποτα; καὶ ἄνω υἱὸς βασιλέως, καὶ κάτω υἱὸς βασιλέως, καὶ οὐδαμῶς σκῆπτρον βασιλικόν; δεῖξόν σου τὴν ἀξίαν. τί μόνος καὶ λιτὸς παραγέγονας; ποῦ σου τὸ τῶν ἀγγέλων στῖφος; ποῦ τὸ τῶν ἀρχαγγέλων τάγμα; ποῦ σου ἡ ἑξαπτέρυγος τῶν χερουβὶμ λειτουργία; ποῦ τὸ πτύον; ποῦ τὸ πῦρ; ποῦ σου τὸ πνεῦμα τὸ ἅγιον; Μωϋσῆν ἐδόξασας, νεφέλην φωτεινὴν περιέστησας, στῦλον πυρὸς πορεύεσθαι αὐτῷ παρεσκεύασας, τὸ πρόσωπον αὐτοῦ ἀγγελικῇ δόξῃ περιέστραψας. τὸν δοῦλον ἐν τοσαύτῃ δόξῃ ἠμφίασας, καὶ σὺ ὁ δεσπότης ἐν ἰδιωτικῷ σχήματι παραγενόμενος τὴν κεφαλήν μοι προσκλίνεις; αἰδοῦσοι, κεφαλὴ πάντων ὑπάρχεις· δεῖξον ὅπερ εἶ. ἔδειξας τὰ ταπεινὰ, δεῖξον καὶ τὰ ὑψηλά. βάπτισον τοὺς προόντας, καὶ πρὸ πάντων ἐμέ. τί βαπτίσαι θέλων; ὁ Ἰορδάνης οὐ δέξεται· ἐγνώρισέ σε τὸν ποιητὴν, ἀνέτρεψε τὰ ῥεῖθρα εἰς τὰ ὀπίσω, οὐ προβαίνει εἰς τὰ ἔμπροσθεν, ἀρνεῖται τὴν τάξιν. τὰ στοιχεῖα γνωρίζουσι, κἀγὼ μὴ γνωρίσω; εἰ θέλεις βαπτισθῆναι, ἑαυτὸν βάπτισον. οὐκ ἐκτείνω τὰς χεῖρας· ἀρνοῦνται τὴν σύνθεσιν, ναρκῶσι, συστέλλονται· οὐκ ἐδιδάχθησαν κρατεῖν, οὐκ ἐπιδέχονται. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; οἶδά σε τίς εἶ, καὶ γινώσκεις ὅτι οἶδά σε. τί με κρύπτεις τὸν εἰδότα σε; ἐν τῇ νηδύϊ τῆς μητρός μου ὑπάρχων κατεσφαλισμένος, καὶ πρὸ καιροῦ τὴν ἔξοδον μὴ εὑρίσκων, μόνον ἐθεασάμην σε φερόμενον ὑπὸ τῆς παρθένου φερούσης· ἐγνώρισά σε, καὶ τί λαλεῖν μὴ εὑρίσκων, τὸ τῆς μητρός μου χρησάμενος στόμα, ἐβόησα δι' αὐτῆς τὰ ἐμὰ λέγων· Πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; ἐκεῖ οὐκ ἐσφάλην, καὶ ὧδε οὐ γινώσκω; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ὁ δὲ Κύριος πρὸς αὐτόν, καθὼς ἀρτίως ἤκουσας, ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ἄφες ἄρτι· οὐκ οἶδας ὃ λέγεις, ἐγὼ οἶδα ὃ πραγματεύομαι. τὴν δόξαν τῆς θεότητός μου ζητεῖς ἀποκαλυφθῆναί σοι; οὐκ ἔχει ὁ καιρός· πάντα καλὰ ἐν καιρῷ αὐτῶν. σὺ ἀληθεύεις, ἀλλ' οὐ πιστεύῃ. ἄπιστον γὰρ τὸ τῶν Ἰουδαίων ἔθνος. οὐ γεννήματα ἐχιδνῶν αὐτοὺς προσηγόρευσας; πῶς οὖν τούτοις ἀνακαλυφθῆναί με θέλεις; οὐ δέχονταί σου τὴν περὶ ἐμοῦ μαρτυρίαν· ὑπονοοῦσί σε διὰ τὸ ὕποπτον, ὡς εἶ πρόδρομον. ἄφες ἄρτι· μείζονα ἁμαρτίαν δέξονται. ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ὁ δὲ Ἰωάννης λέγει πρὸς αὐτόν· πῶς, δέσποτα; καὶ ὁ Κύριος πρὸς αὐτόν· ὥσπερ περιετμήθην ἵνα τὸν νόμον πληρώσω, βαπτίζομαι ἵνα τὴν χάριν κυρώσω. ἐὰν μέρος πληρώσω, καὶ μέρος καταλείψω, κολοβὸν καταλιμπάνω τὴν οἰκονομίαν. δεῖ με πάντα πληρῶσαι, ἵνα μετὰ ταῦτα γράψῃ Παῦλος, Πλήρωμα νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ἄφες, Ἰωάννη, τὴν τοῦ ὕδατος φύσιν ἁγιασθῆναι· δεῖ με πάντα πληρῶσαι. εἰ μὴ ἐγὼ ὑπὸ

[Margin: [illegible]]

[Margin: οὐκ ἐβαπτίσθη ... δι' ...]

[Margin: Λουκ. α. μγ.]

[Margin: * *]

[Margin: Ρωμ. ι. δ.]

σοῦ βαπτισθῆναι, οὐ καταδέξεται βασιλεὺς ὑπὸ ἱερέως πτωχοῦ βαπτισθῆναι. ἄφες ἄρτι· ἄφες ἄνωθεν τὸν πατέρα ἐπιβοῆσαι, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· ἵνα μὴ ἄρχωνται οἱ Ἰουδαῖοι λέγειν υἱὸν τοῦ τέκτονος, ἀλλὰ τοῦ ἐπουρανίου πατρός. ἄφες ἄρτι· μὴ ἀντίβαινε· τοῦ Ἀδάμ. δεύτερος Ἀδὰμ γέγονα, τὸν ἐκείνου ῥύπον τοῦ πλημμελήματος ἐκπλῦναι θέλων. εἰ μὴ ἐγὼ βαπτισθῶ, πῶς ἐκεῖνος καθαρισθήσεται; διὰ γὰρ τοῦτο καὶ τριάκοντα ἐτῶν βαπτίζομαι, τὸν ἐκείνου χρόνον ἐκδεχόμενος· ἵνα τῷ ἐκείνου τὸ ἐμὸν κυρωθῇ. ἄφες ἄρτι, ἵνα πληρωθῇ

Ψαλ. κη. γ. τὸ ῥηθὲν διὰ τοῦ προφήτου· Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. καὶ ἦν ἰδεῖν θεωρίαν φρικώδη. ἥψατο μὲν τῆς κορυφῆς τοῦ δεσπότου συντρόμως ὁ Ἰωάννης· ἄνωθεν δὲ οὐρανῶν ἀνοιχθέντων, κατεσκόπουν ἄγγελοι τὸ γινόμενον· πνεύματος δὲ χάρις ἐν εἴδει περιστερᾶς τῇ τοῦ δεσπότου κεφαλῇ προσφοιτῶσα, τὴν τοῦ Ἰωάννου δεξιὰν παρωθεῖτο. εἱστήκει δὲ τὸ πλῆθος ἀπορούμενον ἐπιπλέον, καὶ τό, τίς ἐστιν οὗτος, πρὸς ἀλλήλους λαλοῦν. εἶτα ὡς ἀποκρινάμενος

Ματθ. γ. ιζ. τοῖς πλήθεσι, τίς ἐστιν οὗτος, πρὸς ἀλλήλους ζητοῦσιν, ἐβόησεν ὁ πατήρ, λέγων· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. βοᾷ τὴν εἰς τὸν υἱὸν ὁ γεννήτωρ φιλοστοργίαν, ἵνα μάθῃς τὴν τοῦ κτίστου περὶ τὸν κόσμον διάθεσιν, ὅτι τοιοῦτον ὑπὲρ τῶν τοιούτων δούλων υἱὸν ἀπέδωκεν, ὑπὲρ μισούντων τὸν ποθούμενον, ὑπὲρ ἁμαρτωλῶν τὸν ἀναμάρτητον, ὑπὲρ ἀδόξων τὸν ἔνδοξον. δοξάσωμεν οὖν τὸν ἐπιφανέντα δεσπότην σὺν τῷ πατρί, καὶ τὸν υἱόν, καὶ τὸ ἅγιον πνεῦμα, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. με.

ΠΕΡΙ ΑΥΧΜΟΥ.

Ex Ms. Palatino.

Ιερ. θ. α. Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων; ἐπιδαψιλευέτω μοι τὸ τοῦ λόγου προοίμιον, ὁ τῶν προφητῶν συμπαθέστατος. ἀλλ' ἐκεῖνος μιᾶς πόλεως τῆς Ἱερουσαλὴμ τὴν ἐρημίαν ὠδύρετο· ἐγὼ δὲ πάσης τῆς περιχώρου ταύτης ὁρῶν τὴν ἐπελθοῦσαν μάστιγα, εἰς θρήνους κινοῦμαι καὶ δάκρυα. ἐκλείσθη γὰρ ὁ οὐρανὸς διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τῷ ἡλιακῷ φλογμῷ αἱ νεφέλαι, ὡσεὶ φρύγιον, συνεφρύγησαν· αἱ τῶν ὑδάτων ἀπεξηράνθησαν πίδακες, καὶ ποταμῶν ἀενάων ἐξέλιπε ῥεύματα· ἡ δὲ γῆ πυρακτωθεῖσα τῷ καύσωνι τὴν συνήθη αὐτῆς δοῦναι καρποὺς ἀπαναίνεται. φεῦ τῶν ἡμετέρων κακῶν. καὶ αὐτὰ γὰρ τὰ ἄλογα ζῷα κινδυνεύει διὰ τὰς ἁμαρτίας ἡμῶν. ἀπεξηράνθη ἡ γῆ, καὶ ὁ χόρτος αὐτῆς, μᾶλλον δὲ οὐκ ἐβλάστησε, καὶ τῷ λιμῷ διαφθείρεται. καὶ βοῦς μὲν ἐλεεινὸν μυκᾶται, καὶ οἷον ἐπιθανάτιον· τὰ δὲ ποίμνια βληχᾶται γοερῷ τῷ βληχήματι, ὡς φλογώδη κρατῆρα, τὸν τῶν ὑδάτων πόσιν προσεκδεχόμενα θεώμενα, καὶ πρὸ καιροῦ τὰ λήϊα ξηραινόμενα· ὡς κατὰ τὴν Ἰωὴλ προφητείαν πεπληρῶσθαι

Ιωηλ α. ιη. νῦν ἐν ἡμῖν· Ἔκλαυσε βουκόλια βοῶν, ὅτι οὐχ ὑπῆρχε νομὴ αὐτοῖς· καὶ ποίμνια τῶν προβάτων ἠφανίσθη, ὅτι ἐξηράνθησαν ἀφέσεις ναμάτων. τοσοῦτον τὰ ἡμέτερα πταίσματα τὴν ἵλεων τοῦ Θεοῦ φύσιν καὶ ἥμερον εἰς δίκαιον θυμὸν παρεκίνησαν. καὶ ἐπειδὴ καθ' ἑκάστην οὐ παυόμεθα τὸ πῦρ τῶν ἁμαρτιῶν ὑφάπτοντες, εἰκότως αὐχμῷ καὶ καύσωνι τιμωρούμεθα. τάχα

Ησ. ν. ια. που καὶ πρὸς ἡμᾶς ὁ προφήτης βοᾷ· Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. τοῖς μὲν οὖν Ἰσραηλίταις διὰ τοῦ προφήτου ἐπήγγελτο ὁ Θεός, εἰ φυ-

Ιωηλ. β. κγ. λάττοιεν τὰς αὐτοῦ ἐντολάς, Ἐπιβρέξω εἰς ὑμᾶς ὑετὸν πρώϊμον καὶ ὄψιμον· καὶ πληθυνθήσονται ὑμῶν αἱ ἅλωνες σίτου, καὶ αἱ ληνοὶ οἴνων. ἡμῖν δὲ ἡ ἐπαγγελία αὕτη εἰς τοὐναντίον με-

Δευτ. κη. κγ. τέστραπται· μᾶλλον δὲ ἡμᾶς ἡ τοῦ Ἱερεμίου κατάρα κατείληφεν. Ἔστω σοί, φησιν, ὁ ὑπὲρ τὴν κεφαλήν σου οὐρανὸς χαλκοῦς, τὴν παντελῆ ξηρασίαν καὶ ἐπίλειψιν τῶν ὑδάτων τῇ ἀπειλῇ τοῦ λόγου σημαίνοντος. ἢ οὐ τοῦτο ἡμῖν ἀκριβῶς πεπλήρωται; ἡ μὲν γῆ χαραδρωθεῖσα αὐχμῷ, καὶ

οἱ

δὲ ἀπολιθωθεῖσα τῶν γεωργῶν τὸν πόνον ἠμάλδυνεν, οὔτε τὴν ἄροσιν παραδεξαμένη, οὔτε τὴν σκάφησιν· τὰ δὲ λήϊα μικρὸν ἐκβλαστήσαντα, καὶ χρηστὰς ἐλπίδας παρασχόντα, πρὸ τοῦ ἐγκυμονῆσαι τὸν ἀστάχυν, ἀπεμαράνθη καὶ ᾤχετο. μόνη δὲ λέλειπται τῶν ἀμπελώνων καὶ φυτῶν ὑπεπάλωσις, τάχα καὶ αὐτὴ τὸν μετ' ὀλίγον ἐσόμενον μαρασμὸν ὑπεμφαίνουσα. τοιοῦτος τῶν ἁμαρτιῶν ὁ καρπὸς, τοιαῦτα τῆς κακίας τὰ ἔργα, ἀνθ' ὧν οὐκ ἐπορεύθημεν ἐν ταῖς ὁδοῖς αὐτοῦ, ἤτοι τοῦ Θεοῦ, ἀλλὰ ταῖς πονηραῖς ἐδουλώθημεν πράξεσιν, ἀλλήλων φθονοῦντες, τῶν ἐλαττόνων καταπαιζόμενοι, ἐπιθυμοῦντες κορεσθῆναι τῶν ἀλλοτρίων, χαίροντες τῇ δυσπραγίᾳ τοῦ γείτονος, ἀλλήλους κατεσθίοντες τῇ συκοφαντίᾳ, ἀτόποις ἐπιθυμίαις δουλαγωγούμενοι, ἵπποι θηλυμανεῖς γεγονότες, ὅ φησιν ἡ γραφὴ, καὶ λύκοι ἅρπαγες, καὶ μνησικακοῦντες ὡς κάμηλοι, οὐκ ἐλεοῦντες τοὺς πένητας, οὐ συμπαθοῦντες τοὺς ταλαιπωροῦντας, ἀμελοῦντες τῶν ἐν τῇ ἐκκλησίᾳ συνάξεων, καταφρονοῦντες τῶν ἁγίων, τὰς μνήμας αὐτῶν μὴ σεβόμενοι, φεύγοντες τὴν ἐξομολόγησιν, ὡς παρὰ φρενίτιδι ὄντες τοὺς θεράποντας. οἱ ἱερεῖς κακὸν ὑπόδειγμα γεγόνασι τῷ λαῷ, ὑβρίζοντες, μνησικακοῦντες, ἐχθραίνοντες, ἐπιβουλεύοντες, εἰς πρόσωπα βλέποντες, οὐκ ἐλέγχοντες καὶ διορθοῦντες τοὺς πταίοντας, ἀλλὰ τῇ σιωπῇ κοινωνοῦντες τῆς ἀδικίας, ὡς ὁ παλαιὸς ἐκεῖνος Ἠλεί. οἱ λαϊκοὶ ἀφέντες τὰ ἑαυτῶν, ἕκαστος περισκοπεῖν τὰ τῶν ἱερέων περιεργάζονται, καὶ δικαστής ἐστιν ἀπαραίτητος. ἆρα οὐκ ἀλήθειαν λέγω; οὐ τούτων ἔμπλεος τῶν κακῶν ἡ πόλις ἡμῶν; καὶ οὐ καθ' ἑκάστην ταῦτα μαρτύρομαι; οὐκ ἐκοπίασα κράζων, τῶν ὅρκων ἀπέχεσθαι; οὐ προέλεγον, οὐ περιόψεται Κύριος ὁρῶν οὕτω καταφρονούμενον τὸ ἱερὸν εὐαγγέλιον; καὶ ταῖς πλεονεκτικαῖς χερσὶν ἀναιδῶς καὶ ἀνυποστόλως κεχρημένον; κόμιζε τοίνυν τοὺς καρποὺς τοῦ ἀγροῦ, τοὺς ἐκ πλεονεξίας κτηθέντας σοι, ὡς οὐδὲ τὰ καταβληθέντα παρέξει σπέρματα· ἀλλ' οὐδὲ τὸν ἀμπελῶνα τρυγήσεις, ὃν πλεονεκτήσας ἀφήρπασας. ἃ γὰρ τοῖς Ἰουδαίοις πάλαι διὰ Μιχαίου ἠπείλησεν ὁ Θεὸς, ταῦτα νῦν πεπλήρωκεν ἐν ἡμῖν. Σὺ σπερεῖς, καὶ μὴ ἀμήσῃς· σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον· καὶ οἶνον οὐ μὴ πίῃς. τί οὖν, εἴποι τις ἴσως. καὶ μὴν οὐ πάντες πλεονέκται, οὐδὲ πάντες ἐπίορκοι. πῶς οὖν ὀλίγων ἁμαρτανόντων κοινῇ πᾶσι κεκέρασται τῆς ὀργῆς τοῦ Θεοῦ τὸ ἀψίνθιον; ἐχρῆν γὰρ μόνοις τοῖς κακοῖς ἐπενεχθῆναι τινὰ κόλασιν. ἀλλ' ὡς ἐφ' ἑνὸς σώματος, εἴπερ ἐν ἑνὶ μορίῳ ῥεύματος ἐπείσρυσις γένηται, τὸ πᾶν σῶμα δεῖται καθάρσεως· οὕτω καὶ ἐφ' ἡμῖν, ἐπειδὴ ἓν σῶμά ἐσμεν, καὶ μέλη πάντες τοῦ Χριστοῦ, ἑνὸς μέρους νενοσηκότος, κοινωνοὶ τῆς ἀλγηδόνος πάντες γινόμεθα. οὕτω ποτὲ τοῦ παιδὸς Σαοὺλ ἁμαρτήσαντος, ἅπαν τὸ στρατόπεδον ἐμαστίζετο, καὶ τοῦ Δαβὶδ παρὰ τὸ δοκοῦν τῷ Θεῷ τὸν λαὸν ἀριθμήσαντος, λοιμὸς ὀλέθριος ἐπεισέφρησε. τοῦτο δὲ καὶ ἡ ἔξωθεν παιδεία φησὶν, ὅτι πολλάκις καὶ σύμπασα πόλις ἑνὸς ἀνδρὸς κακίας ἀπέλαυσε. διὰ τοῦτο τῆς ὀργῆς τοῦ Θεοῦ τὸ ποτήριον κεκέρασται ἡμῖν ἄκρατον. Ποτήριον γὰρ, φησιν, ἐν χειρὶ Κυρίου πλῆρες κεράσματος οἴνου ἀκράτου. ὁρᾷς πῶς ἡ τοῦ ποτηρίου τούτου φύσις παρήλλακται. εἰ γὰρ ἄκρατόν ἐστι, πῶς πλῆρες κεράσματος; τὸ γὰρ κεκερασμένον οὐκ ἄκρατον. ἐνταῦθα δὲ ἀμφότερα λέγεται· καὶ ἄκρατον μὲν, ὡς ἀμιγὲς θείων οἰκτιρμῶν τοῖς ἀδιόρθωτα πταίουσι, διὰ τὸ τῆς κρίσεως δίκαιον· κεκερασμένον δὲ, ὡς ἐκ διαφόρων μαστίγων καὶ τιμωριῶν, αἷς εἴωθε κολάζειν Θεὸς τοὺς μὴ ἐν ἀπεγνωσμένοις γινομένους κακοῖς. ὅνπερ γὰρ τρόπον οἱ τὰς τῶν σωμάτων ἀνακόπτοντες νόσους, καὶ τοῦ δύνασθαι θεραπεύειν τὴν πεῖραν εἰσενηνοχότες, τὰ τῶν τραυμάτων δυσαισθητότερα θερμοῖς ὕδασι καὶ δριμέσι φαρμάκοις ἀποκαθαίρουσι, καὶ τῆς ἐνούσης αὐτοῖς ἀκαθαρσίας τὸ πάθος ἀπολεπτύνουσι τοῖς ἐκ τῆς τέχνης ἐπικουρήμασιν· οὕτω καὶ ὁ τὰ πάντα γινώσκων Θεὸς, τοὺς ἀνηλγήτως ἔχοντας πληγαῖς, ὧν βέλτιον ἂν εἴη παραιτεῖσθαι πρὸ τῆς πείρας τὴν ἔφοδον. τί οὖν εἴποιμεν πρὸς τὰ ὑπερκείμενα; δικαία ἡ κρίσις τοῦ Θεοῦ, μᾶλλον δὲ κατὰ πολὺ τῆς δικαίας ὀργῆς ὁ φιλάνθρωπος δεσπότης τὴν

Ἱερ. ε. η.

Μιχ. ϛ. ιε.

Ἡσιοδ. ἐργ. α.

Ψαλ. οδ. ζ.

τιμωρίαν ἐκούφισεν, οὐχ ὅσον ὧν ἐσμεν ἄξιοι, πεῖραν λαβεῖν, ἀλλ' ὅσον αἴσθησιν λαβεῖν, ὧν ἡμάρ-
τομεν. σκόπει γὰρ τοῦ Θεοῦ τὸ μακρόθυμον. ἡμάρτομεν ἡμεῖς, καὶ τὰ στοιχεῖα κολάζεται·
πταίομεν, καὶ ἡ γῆ τιμωρεῖται· φαῦλον βίον ζῶμεν ἡμεῖς, καὶ μαστίζεται τὰ ἄψυχα· ὑβρίζο-
μεν τὸν πλάστην διὰ τῶν αἰσχρῶν ἡμῶν πράξεων, καὶ δέχεται τὴν πληγὴν τὰ μηδὲν ἁ-
μαρτήσαντα· ὥσπερ ἂν εἴ τις τοῦ παιδὸς σφαλέντος, κατὰ τοῦ δούλου ἐκφέρει τὴν βάσανον. 5
τοιοῦτον ἔχομεν ἀγαθὸν δεσπότην, οὕτως ἡμᾶς νουθετεῖ, ἐπισυνάγων πρὸς τὴν διόρθωσιν· καὶ
τείνει μὲν τὸ τόξον τῆς ἀπειλῆς, ἐπέχει δὲ τὸ βέλος τῆς ὀργῆς. οὐ γὰρ βούλεται τὸν ψυχικὸν
ἡμῶν θάνατον, ἀλλὰ τὴν ἐπιστροφὴν αἰσθομένην καὶ τὴν μετάνοιαν. Γενώμεθα οὖν, ἀ-
δελφοί, ἐν αἰσθήσει τοῦ πρέποντος, ἱλεωσώμεθα τὸν εὔσπλαγχνον Κύριον, μὴ χείρονες ὀφθῶ-
μεν τῶν Νινευϊτῶν. ἐκεῖνοι ἐθνικοὶ ὄντες καὶ ἄπιστοι, ἐπειδὴ παρὰ τοῦ προφήτου τὴν καταστρο- 10
φὴν τῆς πόλεως ἔμαθον, τοσαύτην ἐπεδείξαντο μετάνοιαν, ὡς καὶ τὰ νήπια καὶ τὰ κτήνη
νηστεύειν ἠνάγκασαν, καὶ σποδὸν καὶ σάκκον περιεβάλλοντο, καὶ οὕτω τῆς δικαίας ὀργῆς τοῦ Θεοῦ ἀ-
πηλλάγησαν. δακρύσωμεν οὖν καὶ ἡμεῖς, ἐξομολογησώμεθα ἕκαστος τὰ ἴδια πταίσματα, προ-
ληψώμεθα πρὸς Θεὸν μεσίτας τοὺς ἁγίους, τούς τε ἄλλους, καὶ κατ' ἐξαίρετον τὴν ὑπέραγνον
δέσποιναν, τὴν ταχεῖαν προστασίαν καὶ ἄμαχον. προσπέσωμεν αὐτῇ, μετὰ δακρύων λεγό- 15
μενοι· κυρία δέσποινα, ἡ τὸν Θεὸν λόγον ἐν γαστρί σου χωρήσασα, ἡ τὴν φύσιν ἡμῶν τῷ σῷ τό-
κῳ θεώσασα, ἡ Θεῷ καὶ ἀνθρώποις τῷ τόκῳ σου μεσιτεύσασα, ἐλέησον τὸν λαόν σου καὶ τὴν
κληρονομίαν σου· σπλαγχνίσθητι ἐπὶ ταύτῃ τῇ πόλει σου, τῇ ἐν τῷ σῷ καυχωμένῃ ὀνόματι·
μεσίτευσον ὑπὲρ ἡμῶν τῶν ἀναξίων δούλων σου· δυσώπησον τὸν μονογενῆ σου υἱὸν ἐπὶ τοῖς ἡ-
μετέροις μακροθυμῆσαι πταίσμασι, καὶ λῦσαι τὴν καθ' ἡμῶν ταύτην δικαίαν ὀργήν, καὶ 20
ταῖς νεφέλαις ἐπιτάξαι τὸν ὑετὸν ἐπομβρῆσαι συνήθως, καὶ τὸν αὐχμὸν διαλῦσαι, καὶ τῆς γῆς
δροσίσαι τὸν καύσωνα. ναί, δέσποινα, δέσποινα, ἡ τοῦ κόσμου ἀντίληψις, ἐλέησον, θήλαζον
τὰ νήπια, γέροντας κεκμηκότας, πένητας πεφρυγμένους· μὴ ἐάσῃς ἡμᾶς ἀπολέσθαι ταῖς
ἁμαρτίαις ἡμῶν· ἡμάρτομεν, ἠνομήσαμεν, τὸν καθαρὸν τοῦ βαπτίσματος χιτῶνα κατερρυ-
πώσαμεν, τὰς δεσποτικὰς ἐντολὰς ἠθετήσαμεν. ἀλλὰ κἂν ὀλισθαίνωμεν, οὐκ ἐπετάσα- 25
μεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον, ἀλλ' εἰς τὸν μονογενῆ σου υἱὸν τὸν Κύριον ἡμῶν
Ἰησοῦν Χριστόν, τὸν σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι προσκυνούμενον καὶ συνδοξαζόμενον, νῦν καὶ
ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Λογ. μα.

ΕΙΣ ΤΟΝ ΙΟΡΔΑΝΗΝ ΠΟΤΑΜΟΝ. 30

Ex Ms. Palatino.

Διὰ τί παρὰ πάντας τοὺς ἐπὶ γῆς ποταμοὺς ἐπὶ τοῦ Ἰορδάνου ποταμοῦ
ἐπιτελεῖ Χριστὸς τὸ μυστήριον τοῦ βαπτίσματος; ἀναγκαῖον ἱστορῆ-
σαι τοῦ ποταμοῦ τὴν φύσιν, ἵνα ἐξ αὐτοῦ μάθῃς τὴν τῆς μυσταγω-
γίας ἀκολουθίαν. ὁ Ἰορδάνης παρὰ πάντας τοὺς ποταμοὺς δύο ῥί- 35
ζας ἔχει πηγῶν. οὐ γὰρ ἀπὸ μιᾶς πηγῆς προέρχεται ὁ Ἰορδάνης.
ἔχει δὲ τὴν μὲν μίαν πηγὴν εἰς τὴν Πανειάδα, τὴν δὲ ἄλλην πλη-
σίον τῆς Πανειάδος. καὶ ἡ μὲν μία πηγὴ καλεῖται Ἰόρ, ἡ δὲ ἄλλη Δάν· καὶ κατ' ὀλίγον προερ-
χόμεναι καὶ μεριζόμεναι ἀπ' ἀλλήλων αἱ πηγαί, κατά τινα τόπον συνέρχονται ἀλλήλαις, καὶ
ἕνα ἀποτελοῦσι ποταμόν. ἀπέδωκαν δὲ αὐτῷ οἱ ἀρχαῖοι ὄνομα πρὸς τὰς ῥίζας, Ἰορδάνης. 40
ὁ ἀπὸ τῆς Ἰὸρ καὶ τῆς Δὰν τεχθεὶς ποταμός παρὰ τὰς ἀρχὰς σχιζομένας ἔχοντας ῥίζας καὶ ἐπὶ
τέλει συναπτομένας. παρὰ πάντας πάλιν τοὺς ποταμοὺς ἐστὶν εἰς ζῶσαν θάλασσαν οὐ
τρέχει, καὶ ὕδωρ αὐτὸν θαλάσσης ζῶν οὐ δέχεται· ἀλλὰ δέχεται αὐτὸν ἡ νεκρὰ θάλασσα. ἐστὶ
μόνος παρὰ πάντας τοὺς ποταμοὺς νεκροῖς καὶ ἀργοῖς ὕδασι συνάπτεται. ἔστι δὲ ὁ Ἰορδάνης

Ἰσίχ.

τοῦ

τοῦ ἡμετέρου θνητοῦ γένους τύπος, καὶ ὅπως ἄκουε. ἀπ' ἀρχῆς τὸ γένος τὸ ἡμέτερον δύο εἶχε
ῥίζας, τὸν Ἀδὰμ ἐκ γῆς πλασθέντα, τὴν Εὔαν ἀπὸ πλευρᾶς προελθοῦσαν. καὶ οὐκ ἔστιν
εἷς τόπος καὶ εἷς τρόπος τῆς καταστάσεως. ὁ μὲν γὰρ ἀπὸ γῆς ἐπλάσθη, πηγὴν ἔχων τὴν
γῆν· ἡ δὲ ἀπὸ πλευρᾶς ἐγένετο, ῥίζαν ἔχουσα τὴν πλευράν. ἄλλη ἀρχὴ ἐκείνου, καὶ ἄλλη
5 ταύτης. καὶ ἦσαν ἀπ' ἀλλήλων πως μεριζόμενοι κατὰ τὸν τρόπον τῆς διαπλάσεως. συν-
ῆλθον εἰς συνάφειαν γαμικήν, ἀπετελέσθη δὲ ἐξ ἀμφοτέρων ἓν σῶμα, καὶ οὐκέτι οἱ τικ-
τόμενοι ἢ ἀπὸ πλευρᾶς, ἢ ἀπὸ γῆς, ἀλλ' ἀπὸ συνουσίας ἐτίκτοντο. Ἔσονται γάρ, φησιν, οἱ *Ματθ. ιθ' ε.*
δύο εἰς σάρκα μίαν. τοῦτο γοῦν τὸ ἡμέτερον πλάσμα, δραμὸν εἰς ἀκολουθίαν φύσε-
ως, τέλος εἶχε τὸν θάνατον. ἤρξατο μὲν ἡμῶν τὸ πλάσμα ἀπὸ γῆς, καὶ ἔληγεν εἰς θάνατον· καὶ
10 ἐδέξατο τὸ πλάσμα τοῦτο ἡ νεκρὰ θάλασσα, ὁ βαθύς, ὁ καταχθόνιος, ἡ ἄβυσσος τῶν νεκρῶν.
ὃ γάρ ἐστι νεκρὰ θάλασσα τοῖς ζῶσιν ὕδασι, τοῦτό ἐστιν ὁ ᾅδης τοῖς ἀποθνήσκουσι. διὸ λέγει
Παῦλος· Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς καταβήσεται εἰς τὸν ᾅδην; τουτέστι, Χριστὸν ἐκ *Ῥωμ. ι' ζ.*
νεκρῶν ἀναγαγεῖν; περὶ τοῦτον οὖν τὸν Ἰορδάνην τὸν ἀπὸ ζωσῶν πηγῶν προερχόμενον, καὶ εἰς
νεκρὰν θάλασσαν καταλήγοντα πᾶσα ἡ τοῦ Θεοῦ ἐπετελεῖτο θαυματουργία, ἵνα μηκέτι τὸ
15 ζῶν ὕδωρ τρέχῃ πρὸς θάνατον. τρίτον αὐτὸν τὸν Ἰορδάνην διέκοψεν ὁ Θεός, ὡς μηκέτι
αὐτῷ τὴν ἀκολουθίαν εἶναι εἰς τὴν νεκρὰν θάλασσαν, ἀλλ' ἀνατρέχειν ἐπὶ τὰς ἀρχαίας
ῥίζας τὰς ζώσας. ἐτμήθη ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ· ἐτμήθη καὶ ἐπὶ Ἠλία, ὅτε τῇ μηλωτῇ
αὐτὸν ἔτεμεν· ἐτμήθη ὑπὸ Ἐλισσαίου, ὅτε ὑποστρέφων ἔτεμεν αὐτόν. πρῶτος Ἰησοῦς ὁ
τοῦ Ναυῆ ἔτεμε τὸν Ἰορδάνην· καὶ ὅπως ἔτεμεν, ἄκουε. οὐκ ἔστησε τὰ ῥεῖθρα τῶν πη-
20 γῶν, ἀλλ' ἀπέστρεψε τὸ ὕδωρ εἰς τὰ ὀπίσω, ὡς μαρτυρεῖ ὁ ψαλμῳδὸς λέγων· Τί σοί ἐστι, *Ψαλμ. ριγ' ε.*
θάλασσα, ὅτι ἔφυγες; καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τὰ δὲ ὀπίσω ἦσαν αἱ
πηγαί. ἀναχαιτίζων τοίνυν ὁ σωτὴρ τὸ γένος τὸ ἡμέτερον τὸ τρέχον εἰς θάνατον, ποιεῖ μηκέτι
τρέχειν εἰς θάνατον, ἀλλ' ἐπὶ τὰς ἀρχαίας ῥίζας τὰς ζώσας ἐπανιέναι, οὐκ εἰς τὴν νε-
κρὰν θάλασσαν καταλήγειν. ἀποκαθίσταται τοίνυν ἡ θνητὴ φύσις εἰς τὸ ἀρχαῖον σχῆμα·
25 οὔτε εἷς δὲ φαίνεται τεμὼν τὸν Ἰορδάνην ἄνευ τινὸς συμβόλου. Ἰησοῦς ὁ τοῦ Ναυῆ ἔχων κιβω-
τὸν ἔτεμεν· Ἠλίας ἔχων μηλωτήν· Ἐλισσαῖος ἔχων πάλιν τὴν μηλωτὴν τοῦ διδασκάλου ἔτε-
μεν. ἐπειδὴ γὰρ ἡ θνητὴ φύσις οὐκ ἤρκει καθ' ἑαυτὴν στῆσαι τὰ ῥεῖθρα, εἰσέρχεται Ἰησοῦς
πρῶτος φέρων μὲν τοῦ δεσπότου τὴν προσηγορίαν, ἐπαγόμενος δὲ μεθ' ἑαυτοῦ τὴν κιβωτόν, τὸ
σύμβολον τοῦ δεσποτικοῦ σώματος. καὶ φαίνεται ὁ Ἰορδάνης οὔτε τὸν Ἰησοῦν τιμήσας, τὸν ψιλὸν
30 ἄνθρωπον ἐκεῖνον, λέγω τὸν τοῦ Ναυῆ, οὔτε τοὺς Ἰουδαίους αἰδεσθείς, οὔτε τοὺς ἱερεῖς ἐντραπείς. καὶ
ἵνα δειχθῇ ὅτι οὐ τῷ λαῷ ὑποχωρεῖ, ἀλλὰ τὴν κιβωτὸν αἰδεῖται, λέγει Ἰησοῦς· Ἰδοὺ ἡ κιβωτὸς τοῦ κυ- *Ἰησ. γ' ια.*
ριεύοντος πάσης τῆς γῆς διέρχεται τὸν Ἰορδάνην. καὶ ἔσται, ὅταν εἰσέλθωσιν οἱ πόδες τῶν ἱε-
ρέων τῶν βασταζόντων τὴν κιβωτόν, ὁ Ἰορδάνης ἐκλείψει, οὐ τοὺς ἱερεῖς αἰδούμενος, ἀλλὰ τὴν
κιβωτόν. καὶ πόθεν τοῦτο, ἄκουε. ἐρωτᾷ αὐτὸν ὁ Δαβὶδ λέγων· Τί σοί ἐστι, θάλασσα, ὅτι ἔ- *Ψαλμ. ριγ' ε.*
35 φυγες; καὶ σύ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; πρὸς ταῦτα ἀποκρίνεται ἡ δημιουργία
λέγουσα· Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ. πρόσωπον δὲ Κυρίου ἦν, τὸ σχῆμα
τῆς κιβωτοῦ. ὃ γὰρ ἦν ἡ κιβωτὸς τῷ νόμῳ, καὶ ταῖς πλαξί, καὶ τῇ στάμνῳ, καὶ τῇ ῥάβδῳ, τοῦτο ἦν
τῆς ἀκαταλήπτου θεότητος ἡ σὰρξ ἡ δεσποτική, ὡς ἐν κιβωτῷ φέρουσα τὴν θεότητα. περὶ
ταύτης τῆς ἁγίας κιβωτοῦ ἔλεγεν ὁ μακάριος Δαβίδ· Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυ- *Ψαλμ. ρλα' η.*
40 σίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. καὶ ὅρα τί ποιεῖ· ὅτι ἐξηράνθη ὁ Ἰορδάνης, οὐκ
ἀπολέσας τὰ ῥεῖθρα, ἀλλ' εἰς τὰς ἀρχαίας ῥίζας ἀναποδίσας, ἐπῆρε, φησιν, Ἰησοῦς ἀπὸ τοῦ *Ἰησ. δ' η' θ'.*
Ἰορδάνου δώδεκα λίθους μεγάλους, καὶ ἔστησεν αὐτοὺς πέραν τοῦ ποταμοῦ· ἔθηκε δὲ ἀντ' αὐτῶν
ἄλλους δώδεκα λίθους ἐν τῷ ποταμῷ. τί βούλεται τοῦτο εἶναι τὸ προαιρεθῆναι δώδεκα λί-
θους, καὶ τεθῆναι ἀντ' αὐτῶν ἄλλους δώδεκα; ἐπειδή, ὡς ἔφθην εἰπών, τὴν θνητὴν φύσιν
ἀνεχαίτιζε,

ἀνεχαίτιζε· μᾶλλον δὲ βούλεται δεῖξαι, ὅτι ἀνασπᾷ τὴν ἀνθρωπότητα ἐκ τῶν βυθῶν, καὶ ἀνάγει εἰς τὸν οὐρανόν. τοὺς γὰρ λίθους τοὺς μηδέποτε θεασαμένους ἡλιακὴν ἀκτῖνα, μήτε φωτὸς δεξαμένους ὄψιν, ἥπλωσεν εἰς φῶς, καὶ ἦσαν εἰς γῆν ἐκ βυθοῦ ἀνασπασθέντες. διὰ τί δὲ δώδεκα λίθους ἔλαβεν ἐκεῖθεν; ἐπειδὴ διὰ τῶν δώδεκα ἀποστόλων ἔμελλεν ἀνασπᾶν τὴν ἀνθρωπότητα ἀπὸ τῆς θνητῆς φύσεως. ἔσω δὲ, τοὺς ὄντας κάτω λίθους προείλεν, ἵνα δείξῃ τῷ ἡλίῳ καὶ τῷ φωτὶ, καὶ τοῖς μετὰ ταῦτα ἀνθρώποις ἐναργῆ ὄψει, πῶς διέβησαν τὸν Ἰορδάνην. καὶ γὰρ καὶ τὴν αἰτίαν ἐσήμανεν. Ἐὰν ἐρωτήσῃ σε, φησιν, ὁ υἱός σου, λέγων· τί εἰσιν οἱ λίθοι οὗτοι; εἰπὲ αὐτῷ, ὅτι ἐπὶ ξηρᾶς διέβημεν τὸν Ἰορδάνην, κωλύσαντος τοῦ Θεοῦ τὸ ὕδωρ πρὸ προσώπου ἡμῶν. ἀλλ᾽ ἔσω, οἱ ἀνενεχθέντες λίθοι ἐτέθησαν, ἵνα φανῶσι τοῖς μετὰ ταῦτα· οἱ ἀντιτεθέντες διὰ τί ἀντετέθησαν; ἔλαβεν ἐκ τῶν βυθῶν τοὺς βεβυθισμένους, καὶ ἔδωκε τῷ βυθῷ πάλιν ἐνέχυρα σωτηρίας. οἱ τεθέντες λίθοι ἐνέχυρα, οἱ ληφθέντες ἀσφάλεια. καὶ πολλὴ ἡ περὶ τούτων θεωρία, καὶ διὰ τί ἐτέθησαν λίθοι, καὶ διὰ τί περιηρέθησαν λίθοι. Χριστὸς καὶ λαμβάνει, καὶ δίδωσιν. ἦλθεν εἰς τὸν κόσμον, καὶ ἀνέλαβε τὸ σῶμα τὸ ἡμέτερον, δεδωκὼς ἡμῖν τὴν ἑαυτοῦ δύναμιν. διὰ τῶν ἀποστόλων ἀντιτίθησι τῷ ποταμῷ, δώδεκα λίθους ἐνέχυρον σωτηρίας, καὶ ἀρραβῶνα τῶν μελλόντων. ὁ γὰρ δεδωκώς τινί τι εἰς τί πρᾶγμα, ἐνεχυριάζει αὐτῷ εἰς τὸ μέλλον. ἐπειδὴ οὖν ἔμελλε τοῦτο τὸ ὄνομα πάλιν αὐτῷ τηρεῖσθαι, ὅτε ἔμελλε βαπτίζεσθαι ὑπὸ Ἰωάννου, προλαβὼν ἀπέθετο τὰ ἐνέχυρα τῆς ἐπιφανείας, καὶ ἔστησε τοὺς λίθους, οὓς μὲν ἔλαβεν ἐκεῖθεν, τοὺς πατριάρχας, οὓς ἤγειρε τότε· οὓς δὲ ἀντέθηκε, τοὺς ἀποστόλους, οὓς ἔδωκεν ἀντ᾽ ἐκείνων. Ἀντὶ γὰρ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί. οὕτω διέβη τὸν Ἰορδάνην, καὶ γέγονεν ὁ Ἰορδάνης Ἰησοῦ τῷ τοῦ Ναυῆ ἀρχὴ τῆς κατασχέσεως τῆς γῆς. ἕως ὅτε παρῆλθε τὸν Ἰορδάνην, οὐκ ἐκληρονόμησε τὴν ἐπηγγελμένην γῆν· ἕως ὅτε Χριστὸς παρῆλθε τὸν Ἰορδάνην, οὐκ ἤρξατο κηρύσσειν τὴν βασιλείαν. ἀρχὴ τῆς κατασχέσεως τῆς γῆς ὁ Ἰορδάνης, ἀρχὴ τῆς κατασχέσεως τῆς βασιλείας τῶν οὐρανῶν ὁ Ἰορδάνης. διὰ τοῦτο ὁ προφήτης λέγει· Μνησθήσομαί σου, Κύριε, ἐκ γῆς Ἰορδάνου. μνήμη γάρ ἐστιν ἀνεξάλειπτος. ὁ μὲν Ἰησοῦς οὕτω διαβὰς ἔτεμε τὸν Ἰορδάνην, τὴν κιβωτὸν αὐτῷ δείξας· Ἡλίας δὲ τῇ μηλωτῇ ἔτεμε, δέρματι νεκρῷ, καὶ τὰ ζῶντα ὕδατα τῇ νεκρώσει τῆς μηλωτῆς ὑπήκουσεν. ἐπειδὴ Ἡλίας τῇ μηλωτῇ τὸν Ἰορδάνην· καὶ οὕτω διέβη ἐπὶ τῷ ἀναληφθῆναι εἰς τοὺς οὐρανούς. ὑπέστρεψεν ὁ μακάριος Ἐλισσαῖος λαβὼν τὴν μηλωτὴν τοῦ διδασκάλου, ὡς ἠξίου αὐτὸν λέγων· Τὸ πνεῦμα τὸ ἐπὶ σοὶ γενέσθω διπλοῦν ἐπ᾽ ἐμοί. λέγει αὐτῷ, σκληρῶς ᾔτησας· πλὴν ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι ἀντὶ τοῦ καταξιωθῆναι διπλῆν ἔχειν τοῦ ἁγίου πνεύματος τὴν ἐνέργειαν. εἶτα ἀνελήφθη. ἐμετεωρίσθη ἡ μηλωτὴ, καὶ ἐπέπεσε τῷ μαθητῇ. ἔλαβε τὸ ἐνέχυρον, καὶ ἔφθασεν ἐπὶ τὸν ποταμόν· ἐπείρασε τεμεῖν τὸν Ἰορδάνην, καὶ οὐχ ὑπήκουσε τὸ ὕδωρ. ἀπορίᾳ ληφθεὶς ὁ Ἐλισσαῖος λέγει· Ποῦ ὁ Θεὸς Ἡλία ἀφφώ; καὶ μετὰ τὸ εἰπεῖν, ἐπάταξεν ἐκ δευτέρου τὸ ὕδωρ, καὶ ἐμερίσθη ὁ Ἰορδάνης. διὰ τί δὲ οὐχ ὑπήκουσεν αὐτῷ ἐν πρώτοις τὸ ὕδωρ; ἵνα μὴ νομίσῃ ὅτι διὰ τὴν προτέραν αὐτοῦ ἀξίαν, ἣν εἶχε, διὰ τοῦτο ὑπήκουσεν· ὅτε μέντοι ἐκάλεσε τὸν Θεόν, καὶ λέγει, ποῦ ὁ Θεὸς Ἡλία ἀφφώ; διὰ τί δὲ εἶπε, ποῦ ὁ Θεός; οὐκ ᾔδει ὁ προφήτης, ὅτι ὁ Θεὸς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς καὶ πανταχοῦ ἐστιν; ἀλλ᾽ ἐπειδὴ εἶπεν αὐτῷ ὁ Ἡλίας· Ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτως.

* * * * *

Marginal notes: Ἰησ. δ. ς. ζ. — Ψαλ. μδ. ιη. — δ. Βασ. β. θ. — δ. Βασ. β. ιδ.

ΕΙΣ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΠΟΡΝΗΝ.

ἐλέχθη τῇ ἁγίᾳ καὶ μεγάλῃ τετράδι.

Λογ. μβ. Λουκ. ζ. λϛ.

Ex Aug. Augustino.

Ἅπας μὲν καιρὸς παντὶ βουλομένῳ πρὸς μετάνοιαν ἐπιτήδειος. ἔξεστι γὰρ ἑκάστῳ θελήσαντι καὶ ἐν τῷ ἔαρι βλαστῆσαι τὴν εὐζωΐαν, καὶ ἐν θέρει συνάξαι τῆς σωτηρίας τὰ δράγματα, καὶ ἐν φθινοπώρῳ τὴν βλάβην τὴν τῆς ψυχῆς φθορὰν κατιδεῖν, καὶ ἐν χειμῶνι τὸν χειμῶνα τῶν διομημάτων φυγεῖν, καὶ ἐν πάσῃ ἑσπέρᾳ περιπλῶσαι τὴν ἐπὶ τὸ βέλτιον ὁδόν, καὶ ἐν νυκτὶ τὴν νύκτα τῆς ἁμαρτίας ἐκκλῖναι, καὶ ἐν ἡμέρᾳ πρὸς τὸ φῶς τοῦ καθαροῦ συνειδότος δραμεῖν, καὶ πρὸς τὸν πλάσαντα ἀναδραμεῖν. ὁ δὲ παρὼν ἐστὶ καιρὸς ἐγκρατείᾳ καὶ νηστείᾳ περιπεφραγμένος πρὸς μετάνοιαν ἐπιτηδειότερος, ἀλλ' οὐ πᾶσι. μόνον γὰρ οὐχὶ λέγει ἡ φωνή, εἴ τις προσίεται πρὸς με, κἀγὼ λαβὼν αὐτὸν τῷ κοινῷ προσαγάγω δημιουργῷ. πτερώσωμεν οὖν ἑαυτοὺς τοῖς τῆς πίστεως καὶ τοῖς τῆς μετανοίας πτεροῖς, καὶ θελήσωμεν ἀναπτῆναι πρὸς τὸν ἡμέτερον ποιητήν, καὶ ἡμεῖς, ὡς πρωτότοκοι τῆς ἐκκλησίας υἱοί, καὶ ὑμεῖς, οἱ καθάπερ ἔμβρυα ὡς ἐν ταῖς λαγόσι τῆς ἐκκλησίας περιλοχευόμενοι, καὶ ποθοῦντες τὰς μακαρίους καὶ αἰωνίους ὠδῖνας ἀσπάσασθαι, καὶ γενέσθαι τέκνα τοῦ πολεμήσαντος ὑπὲρ ἡμῶν. ἀναγκαία γὰρ τῆς πίστεως ἡ χάρις καὶ ὑμῖν τοῖς ἀπολαύειν μέλλουσι τῶν αὐτῶν ἀγαθῶν. ἡμεῖς μὲν, ἵνα τὸν χιτῶνα τὸν βασιλικόν, οἱ φορέσαντες ἐμολύναμεν, ἀποσμήξωμεν δάκρυσιν· ὑμεῖς δὲ, ἵνα δυνηθῆτε τοῦτον περιβαλέσθαι, καὶ φυλάξαι κρείττονα ῥύπου παντός. ἄνευ γὰρ πίστεως εἰλικρινοῦς οὐκ ἔστι δυνατὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐπιτυχεῖν. συνηγορεῖ μου τῷ λόγῳ πρὸς ἄλλοις μυρίοις ἐκείνη ἡ πόρνη ἡ τὴν πίστιν, καὶ τὴν μετάνοιαν, καθάπερ δύο λαμπάδας κρατήσασα, καὶ προσδραμοῦσα τῷ οὐρανίῳ νυμφίῳ, καὶ γενομένη νύμφη Χριστοῦ ἐν μιᾷ ἡμέρᾳ. ἀλλ' ἐπειδὴ τῆς μακαρίας πόρνης ἐμνήσθην (λέγω γὰρ αὐτῆς τέως τὸ ἐπίψογον ὄνομα) ἵνα γνῶμεν τίς οὖσα πρότερον, τί γέγονεν ὕστερον, βούλομαι ταύτην εἰς τὴν ἁγίαν ἐκκλησίαν ἀγαγεῖν· ἵνα μάθωμεν καὶ ἡμεῖς παρ' αὐτῆς, πῶς ὀφείλωμεν τῷ Χριστῷ προσελθεῖν, καὶ λαβεῖν τὴν τῶν ἁμαρτημάτων ἀπαλλαγήν. τὰ γὰρ παρ' ἐκείνης γεγενημένα, τῶν ὀφειλόντων ἀεὶ γενέσθαι παρ' ἡμῶν, διδασκαλία σαφής· καὶ ἡ τοῦ σωτῆρος πρὸς ἐκείνην διάλεξις, τῶν ἁμαρτωλῶν ἔσται παράκλησις. τίς γὰρ ἀκούων, ὅτι γυνὴ μυρίαις κηλῖσι κατάστικτος, ἵνα προσφύγῃ μόνον αὐτῷ, καὶ τοῖς ποσὶν αὐτοῦ σταγόνας ἐπιχέῃ δακρύων θερμάς, παρὰ ξενίας χρεοτονίαν ἐδέξατο· τὸν αὐτὸν ἐπιδείξασθαι τρόπον, ὥστε τὸν αὐτὸν τρυγήσαι τὸν καρπόν. τίς γὰρ λογιζόμενος τὴν ἐκείνης μεταβολήν, καὶ τὴν ἀμοιβήν, οὐ τὴν αὐτὴν ἀσκήσει γνώμην, ὡς τὴν ἴσην εὑρήσειν ἀντίδοσιν; τί γάρ ἐστι πόρνη, ἡ διαφθορά, ἡ προφανὴς ὕβρις τῆς φύσεως, ἡ τοῦ θήλεος γένους δημόσιος θρίαμβος, λώβη σωμάτων τε καὶ ψυχῶν, λοιμὸς τέρψει κεχρισμένος, τάφος κεκονιαμένος, ᾅδου ἀκατάσχετον καὶ ἀκόρεστον στόμα, θανάτου κεκαλλωπισμένον προπύλαιον, τερπνὸν δηλητήριον, ἀναίδεια παρρησιαζομένη, αἰσχύνη ἀναίσχυντος, εὐπρόσωπος ὄλεθρος, τῶν ἀσελγῶν μειρακίων δέλεαρ, τῶν νέων ἰξός, κάπηλος τῶν οἰκείων μελῶν, ἀπωλείας βυθός, ναυάγιον ἀγαπώμενον, κοινὴ συμφορά· πάσης ἁμαρτίας, ἴταμον ἐργαστήριον, πάσης παρανομίας διδάσκαλος, τῆς πρὸς τὸν Θεὸν ἔχθρας δημιουργός, ὕλη τῆς γεέννης τοῦ πυρὸς τοῦ αἰωνίου; ἀλλ' ὅμως ἡ τῶν τοιούτων καὶ τηλικούτων κακῶν ὑπάρχουσα ὑπηρέτις, ἐπειδὴ παρὰ συνήθειαν σωφροσύνης ἠράσθη, ταῖς βίβλοις τῶν εὐαγγελίων ἐγγέγραπται. ταύτας ἀναπτύξαντες καταστρυφήσωμεν τῆς κατ' αὐτὴν ἱστορίας, ὥσπερ οὖν κατετρύφησεν αὐτὴ τοῦ Χριστοῦ. Ἠρώτησε δέ τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ

Λουκ. ζ. λϛ.

Φαρισαίου,

φαρισαίου, ἀνεκλίθη. τίς εἶδε βασιλέα παρὰ στρατιώτου καλούμενον; τίς εἶδε δεσπότην παρὰ δούλου τρεφόμενον; τίς εἶδε τοσοῦτον ὕψος εἰς τοσαύτην ταπεινότητα κατερχόμενον; ὢ τῆς ὑπερβαλλούσης ἐκπλήξεως, ὢ τῆς θείας συγκαταβάσεως. οὐκ εἶπε πρὸς τὸν καλέσαντα φαρισαῖον· σὺ καλεῖς ἐπ' ἄριστον ἐμὲ, τὸν καλοῦντα πάντας ἀνθρώπους εἰς τὸν οὐράνιον ἄριστον; σὺ καλεῖς ἐπ' ἄριστον ἐμὲ, τὸν πέντε ἄρτοις δήμους ὁλοκλήρους κορέσαντα; σὺ καλεῖς ἐπ' ἄριστον ἐμὲ, τὸν διδόντα τροφὴν πάσῃ σαρκί; οὐκ εἶπε τούτων οὐδὲν ὁ σωτήρ· ἀλλὰ σιγῇ καθίσας εἰς τὴν οἰκίαν τοῦ φαρισαίου ἀνεκλίθη. ἤδη γὰρ ποῖον ἄριστον ἔμελλεν ἀριστᾶν· ἤδει πῶς ἔμελλε προστρέχειν αὐτῷ ἡ πόρνη, καὶ σώζεσθαι· καὶ τῷ βλέμματι πανταχοῦ περιέπεμπε, τὴν θήραν περισκοπῶν, καὶ μονονουχὶ πρὸς σὲ ἀνακειμένους βοῶν· ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ἔχετε μετ' ὀλίγον καταμαθεῖν· ἐγὼ βρῶσιν ἔχω φαγεῖν, τὴν σωτηρίαν τῆς μελλούσης προσιέναι μοι γυναικός. ἡ ἐμὴ γὰρ τροφὴ, ἡ τῶν ἀνθρώπων ἐπιστροφή· ἡ ἐμὴ τροφὴ, ἡ τῶν ἐμῶν δούλων ζωή· ἡ ἐμὴ εὐωχία, τῶν ἁμαρτωλῶν ἡ μεταμέλεια· ἡ ἐμὴ τέρψις, τῶν κατακρίτων ἡ λύσις· ἡ ἐμὴ ἑστίασις, τῶν αἰχμαλώτων ἡ λύτρωσις. ταῦτα τοῦ σωτῆρος ἐπὶ τῆς στιβάδος λαλοῦντος τῷ βλέμματι καὶ τῷ σχήματι, ἰδοὺ, φησὶ, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός. συνέδραμε τῷ σκοπῷ τοῦ οὐρανίου βασιλέως ἡ ἄγρα· ὁ θηρατὴς εὐτρεπὴς ἀνεκέκλιτο, καὶ τὸ θήραμα πρὸς τὸν θηρατὴν κατηπείγετο. καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός· δύο χαλεπὰ κακίας γνωρίσματα. εἰπὲ ἡμῖν, εὐαγγελιστὰ, τὴν προσηγορίαν αὐτῆς, γράψον τὸ ὄνομα τῆς γυναικὸς, μάθωμεν πῶς ὠνομάζετο. προσηγορίαν εἶχε τὴν ἁμαρτίαν, καὶ τὸ ὄνομα τὸ πονήρευμα. αὕτη ἰδοῦσα, ὅτι ἀνέκειτο ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου ὁ Ἰησοῦς, εἶπεν ἐν ἑαυτῇ· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ βρύων φιλανθρωπίαν, καὶ πηγάζων οἰκτιρμούς· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ λαλῶν, καὶ διδοὺς ἰάσεις, καὶ φθεγγόμενος θεραπείας· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ παρὰ τῶν ἀγγέλων ὑμνούμενος, καὶ τοῖς ἀνθρώποις ἐνδημῶν (?), ὡς εἷς ἐξ αὐτῶν· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ τῷ πατρὶ συνάναρχος, καὶ τῷ φαρισαίῳ ὁμορρόφιος· ἔνδον ἐστὶν ὁ Χριστὸς, ὁ τρέφων ἅπαντας τῇ θεότητι, καὶ τρεφόμενος τῇ ἀνθρωπότητι· ἔνδον ἐστὶν ὁ Χριστὸς, καὶ φαρισαϊκῆς τραπέζης ἀνέχεται, ὁ πᾶσαν τράπεζαν πληρῶν παντὸς ἀγαθοῦ· καὶ ὅλως κατηξίωσεν εἰς τὴν τοῦ φαρισαίου σκηνὴν εἰσελθεῖν, ὅλως ἠνέσχετο συνεστιαθῆναι τῷ ἁμαρτωλῷ ὁ ἀναμάρτητος. χρηστὰς ἔχω περὶ τῶν ἐμῶν κακῶν ἐλπίδας. ὁ γὰρ περὶ τὸν φαρισαῖον τοιοῦτος φανεὶς, πάντως ἔσται καὶ περὶ ἐμὲ χρηστὸς καὶ φιλάνθρωπος. εὗρον, ὡς ἐβουλόμην, τὸ κοινὸν ἱλαστήριον, εὗρον τὸν εὑρίσκοντα τοὺς ζητοῦντας αὐτὸν, εὗρον τὸν ἐπιζητοῦντα τοὺς ποθοῦντας αὐτὸν, εὗρον τὸν ἐπιτρέχοντα τοῖς ἐπιτρέχουσι καὶ προαπαντῶντα τοῖς προσιοῦσιν αὐτῷ, εὗρον συναγωνιζόμενόν μοι καὶ τὸν καιρὸν καὶ τὸν τόπον. εἰσέλθω πρὸς τὴν καθαρὰν πηγὴν ἡ βεβορβορωμένη τῇ ἡδυπαθείᾳ· μὴ διαμείνω ἐρρυπωμένη, τοιαύτης φανείσης πηγῆς· λούσομαι δωρεὰν ἐν αὐτῇ. οὕτω γὰρ βούλεται ἡ πηγή. εἰσέλθω πρὸς τὸ ἀΐδιον φῶς, εἰ καὶ ταῖς ἡμέραις, ὡς νυξὶ κεχρημένη. ἴδω τὸ οὐράνιον φῶς ἐν φωτὶ, εἰσέλθω πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης, ἡ τῆς ἀδικίας τὸν ζόφον ἐπαγομένη. τίς γὰρ φωτὶ προσομιλῶν οὐ μεταλαμβάνει φωτός; εἰσέλθω πρὸς τὸν βασιλέα τῶν οὐρανῶν, τὸν δι' ἐμὲ πρὸς ἐμὲ παραγενόμενον, καὶ τοῦτον καταλαμβάνοντα τὸν οἶκον, καὶ πάλαι τὴν ἐμὴν, ὡς ἔοικε, περιμένοντα πρόσοδον. εἰσέλθω πρὸς τὸν οὐράνιον ἰατρὸν, ἡ παρὰ πάντων ἀπεγνωσμένη· εἰσέλθω πρὸς τὸν οὐράνιον ἰατρὸν, ἡ ἐν ὑγιείᾳ νοσοῦσα. οὕτω γάρ με ἰδὼν, δύναται τοῖς ἐμοῖς πάθεσιν ἐπιθεῖναι φάρμακον, πᾶσαν ὀδύνην κοιμίσαι δυνάμενον. ὑποδείξω τῷ εἰδότι τὰ ἕλκη, καὶ λάβω τὸ φάρμακον. εἰσέλθω πρὸς τὴν μόνην ζωὴν, ἡ διὰ τῆς φαυλοτάτης ζωῆς ἐμαυτὴν ἀποχωρίσασα τῆς ζωῆς· εἰσέλθω πρὸς τὸν φιλάνθρωπον δικαστὴν ἡ κατάκριτος. πρὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως λύσω τὰς εὐθύνας, πρὸ τῆς φοβερᾶς κρίσεως διαφύγω τὴν κρίσιν, πρὸ τοῦ φρικτοῦ βήματος ὑποκλέψω τὰς μάστιγας. πρὶν ἴδω τὸν

Χριστὸν

Χριστὸν δικαστικῶς ἀποφαινόμενον, ἰδοῦ φιλανθρώπως διαλεγόμενον· πρὶν φοβηθῶ κολά-
ζοντα, κολακεύσω μένοντα. οὐ πρώτη τὴν πρὸς αὐτὸν ὁμιλίαν τολμῶ· ἤδη καὶ ἄλλη, ὡς
ἤκουσα, γυνὴ Σαμαρεῖτις, ἐν νόμῳ παράνομος, συνέτυχεν ἐπὶ τῆς πηγῆς τῇ πηγῇ, καὶ ἀ-
πῆλθε θεογνωσίαν ἀντλήσασα. καὶ πάλιν ἑτέρα τις γυνὴ τῶν Χαναναίων γένους, τοῦ κατά-
5 ρατου καὶ δουλικοῦ σπέρματος ἐλεύθερον βλάστημα, ἐν ἀτυχίᾳ εἰσελθοῦσα κατὰ δαίμονος τυ-
ραννοῦντος αὐτῆς τὴν μονογενῆ, ἀνέστρεψε λαβοῦσα τὴν ἐξουσίαν κατὰ τοῦ δαίμονος, καὶ γέγονεν
ἡ μήτηρ τῇ θυγατρὶ ἰατρός, καὶ ὁ δαίμων ὁ ἀπηνὴς οὗτος καὶ βάρβαρος, οὐκ ἐτόλμησεν οὐκ
ἔτι πλησιάσαι τῇ κόρῃ, φοβηθεὶς τῆς τοῦ Χριστοῦ φωνῆς τὸ διάταγμα. μιμήσομαι τοίνυν
κἀγὼ ταύτην, καὶ γνώσομαι παρὰ τὸν πάντα χαριζόμενον καὶ δυνάμενον καὶ ἐλεούμενον· χρήσο-
10 μαι τῇ συνηθείᾳ τῆς ἀναιδείας πρὸς τὸ ἐμοὶ συμφέρον· ἐπιστῆναι τῷ σωτῆρι ἑστιωμένῳ
αὐτόκλητος, καθάπερ πόλιν ὑπὸ πολλῶν εὐωχουμένων ἔχουσα μορφήν· λύσω τὰς κόμας, * *
καὶ θρηνήσω τὴν ἐμαυτῆς ἀθλιότητα· χαλάσω τὰ πολύπλοκα δίκτυα, ἵνα θηράσω τὸν ἔ-
λεον ἀφειδῶς χορηγοῦντα· κλαύσω καλῶς ἅπαξ, ἡ γελάσασα πολλάκις κακῶς· κλαύ-
σω νῦν ἐπὶ τοῦ φιλανθρώπου κριτοῦ, ἵνα μὴ κλαύσω τὸ τελευταῖον ἀνόνητα· θρηνήσω νῦν ὀ-
15 λίγον, ἵνα μὴ θρηνήσω τότε πολλά· κατακλύσω τοῦ Χριστοῦ τοὺς πόδας τοῖς δάκρυσιν, ἵνα μοι
ἀποκλύσῃ τὰς ἐμὰς ἀνομίας τοῖς ῥήμασιν· ἀπομάξω τοῖς πλοκάμοις τὰ δάκρυα, ἵνα
προσγένηταί τις ἐκ τούτου καὶ τούτοις ἁγιασμός· καταφιλήσω τὰ ἄχραντα ἴχνη, ἅπερ καὶ
τὸ πέλαγος κατεφίλησεν, ἵνα τοῖς σώφροσι φιλήμασιν ἀποπλύσω τὸν ἐκ τῶν ἀσελγῶν φι-
λημάτων ἰόν· περιπλέξομαι τὰ θεῖα μέλη, τὰ παρθενικά, τὰ ἐκ παρθένου, ἵνα τοῖς ἐμοῖς μέ-
20 λεσι τοῖς κατακρίτοις ἐξ ἐκείνων τῶν ἁγίων μελῶν ἐποχετεύσω δικαιοσύνης σταγόνα τινά.
ἐπικαμφθήσεται πρὸς ταῦτα ὁ εὔσπλαγχνος· ἐλεήσει προσπίπτουσαν, ὃν ἁμαρτάνουσαν οὐκ ἐκό-
λασεν· ἐλεήσει γονυπετοῦσαν, ὃν ἄτακτα χορεύουσαν εὐεργετῶν διετέλεσεν· ἐλεήσει σωθῆναι βουλο-
μένην, ὃν ἀπολλυμένην εὑρὼν ἔφερε πράως. οὐ φέρει δάκρυα γνήσια παριδεῖν, οὐ δύναται καὶ
περὶ ἐμὲ μὴ φανῆναι, ὅπερ πέφυκεν, εὔσπλαγχνος. μεγάλα δύναται παρ' αὐτῷ ἐκ τοῦ
25 βάθους τῆς ψυχῆς ἀνερχόμενος στεναγμός· μεγάλην παρρησίαν ἔχει πρὸς αὐτὸν ἡ μετάνοια.
λαλήσει πάντως καὶ πρὸς ἐμὲ ἥμερόν τι καὶ γαληνόν, καὶ πρέπον αὐτοῦ τῇ θεότητι. ταῦτα
ἐμελέτησεν ἡ σοφή, ταῦτα ἔπραξεν ἡ πιστή. καὶ τῷ γυναικείῳ περιβολαίῳ στολισαμένη,
παρθενικῶς, ἀλλ' οὐ πορνικῶς, καὶ οὕτω κρύψασα πᾶσαν αὐτῆς τὴν μορφὴν τὴν πρὸ τού-
του πᾶσι προκειμένην, ὡς ἐν θεάτρῳ, καὶ περισκοπήσασα πανταχόθεν ἀσφαλῶς, ἵνα μή τι
30 σχῆμα πορνικὸν συνεισέλθῃ αὐτῇ πρὸς τὸν Κύριον κατηγοροῦν αὐτήν, εἰσέδραμεν εἰς
τὸ τοῦ Φαρισαίου δωμάτιον, καὶ τοῖς δεσποτικοῖς παραστᾶσα ποσίν, ἐπλήρου τὴν προμελετη-
θεῖσαν βουλήν. Κομίσασα γάρ, φησιν, ἀλάβαστρον μύρου, καὶ στᾶσα παρὰ τοὺς πόδας
αὐτοῦ ὀπίσω, κλαίουσα ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι, καὶ ταῖς θριξὶ τῆς κεφα-
λῆς αὐτῆς ἐξέματτε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ, καὶ ἤλειφε τῷ μύρῳ, λαλοῦσα τῇ σιω-
35 πῇ, καὶ βοῶσα τῇ σιγῇ, καὶ φθεγγομένη τῇ ψυχῇ πρὸς τὸν εἰδότα ψυχῶν ὀδυνωμένων ἀκούειν,
καὶ μὴ φθεγγομένων στομάτων, τοιαύτην ἱκεσίαν, ὡς εἰκός, τοῖς δάκρυσι γράφουσα· ἐρρέμφθην
ὡς πρόβατον ἀπολωλός· ἀλλ' ἐπέγνων σε δεσπότην, τὸν ἐμὸν ποιμένα, καὶ Κύριον· ἐγενό-
μην θηριάλωτος βουληθεῖσα, ἀλλ' ἔλαβον αἴσθησιν ἐκφυγεῖν τῶν πικρῶν δηγμάτων τοῦ
λύκου· ἐναυάγησα πολλάκις ἐθέλουσα, ἀλλ' ἐσώθην ἐκ τοῦ ναυαγίου, κρατήσασα τὴν
40 σὴν πρόνοιαν, ὡς ἄγκυραν. ἀλλ' οὐκ ἔχω παρρησίαν (ἀπαρρησίαστος γὰρ ἅπας ἁμαρτωλός),
οὐκ ἔχω δικαιολογίαν οὐδεμίαν (ἀδικαιολόγητος γὰρ ἅπας ἁμαρτωλὸς καὶ παράνομος) οὐκ
ἔχω φωνὴν (ἄφωνος γὰρ ἅπας κατάκριτος) τὸ πονηρὸν συνειδὸς ἐμφράττει μου τὸ στόμα, ὃ
διέφθειρεν ὁ διεφθαρμένος μου βίος. ἄγχει τὴν γλῶτταν ὁ κατήγορος πλοῦτος διαπαντὸς
ἔσωθέν μου βοῶν, ἐναποκλείσον σου τὸν λόγον τοῖς χείλεσι· στόμα ἁμαρτωλῶν πρὸς πρεσβεί-

αν

ἣν ἀπαῤῥησίαστον, καὶ γλῶσσα κατάκριτος πρὸς ἱκεσίαν ἀνάρμοστος, καὶ λόγος κίβδηλος πρὸς
αἴτησιν οὐκ εὐπρόσωπος. σιγῶσα διδάσκω τὰ κατ' ἐμὲ σὲ τὸν ἐπιστάμενον πάντα· τῇ ὄψει
λαλῶ, βοῶ τῇ μορφῇ, τοῖς ὀφθαλμοῖς κηρύττω τὰς ἀνομίας, τοῖς δάκρυσιν ἐξαγορεύω τὰ
πλημμελήματα, τοῖς στεναγμοῖς ἐξαγγέλλω σε τὸν μόνον κρύπτεσθαι μὴ δυνάμενον. ὡς
αἰχμάλωτος μετὰ πάντων τῶν ἐμῶν ὅπλων ὑποπίπτω σοι, τῷ βασιλεῖ τῶν οὐρανῶν· καὶ 5
πάντα μου τὰ μέλη, δι' ὧν ἐστρατευσάμην κατὰ σοῦ, μᾶλλον δὲ καθ' ἑαυτῆς, σοι προσφέρω,
φιλάνθρωπε. ἐλέησον τὴν κεφαλὴν ταύτην, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν
μου· ἐλέησον τὰς τρίχας ταύτας, ἃς ἔπλασας· ἐλέησον τοὺς ὀφθαλμοὺς τούτους, οὓς ἐδημι-
ούργησας· ἐλέησον τὸν πηλὸν τοῦτον, ὃν αὐτός μοι εἰς κάλλος ἐμόρφωσας, ἐγὼ δὲ τῷ κόσμῳ
καταχρησαμένη εἰς ἀκοσμίαν ἄμορφον. ἐλέησον τὴν εἰκόνα τὴν σήν, εἰς ἣν ὁ πόλε- 10 ἴσ. πλίω
μος ἐνέπαιξεν, ὡς ἠθέλησεν· ἐλέησον τὴν στολὴν τὴν σήν, ἣν ὡς ἀδέσποτον ὁ σὸς ἐχθρὸς περιέ-
συρε· δέξαι ὡς λύτρα τὰ δάκρυα, καὶ λῦσον ὡς ἀγαθὸς τὰ ἐγκλήματα· θέλησον μόνον, καὶ λέ-
λυμαι· νεῦσον μόνον, καὶ λελύτρωμαι· πρόσταξον, καὶ τὸ ποθούμενον ἤνυσται. ὃ γὰρ σὺ θέλεις,
πρᾶξις· καὶ ὁ λόγος ὁ σός, ἔργον ἐστί. λάβω τὴν ἐλευθερίαν ἐκ τῶν ἀχράντων ποδῶν σου,
ὡς ἔκλεψεν ἐκ τῶν σῶν κρασπέδων τὴν ἴασιν ἡ αἱμοῤῥοοῦσα· σοῦ τοῦτο κλαπῆναι θελήσαντος, 15
γένωμαι διήγημα τοῖς μετ' ἐμὲ τῆς σῆς φιλανθρωπίας κἀγώ· παράπεμψον ἐμέ, καὶ τὰ
κατ' ἐμὲ ταῖς ὑστέραις γενεαῖς καλὸν ὑπόμνημα τῶν σῶν οἰκτιρμῶν. λεγέτωσαν ἅπαντες
ὅτι πόρνη ποτὲ παράνομος καὶ κατάκριτος, προσελθοῦσα τῷ Ἰησοῦ ἐδικαιώθη παρ' αὐτοῦ· καὶ
καθορῶντες ἅπαντες σὺν ἐμοὶ προσιέτωσαν, καὶ τὰς σὰς ἁρπαζέτωσαν δωρεάς. κριτὰ δί-
καιε καὶ φιλάνθρωπε, καὶ τοῖς κατακρίτοις διὰ πολλὴν φιλανθρωπίαν συναναστρεφόμε- 20
νος, ὧδέ σοι προσῆλθον, ὡς κριτῇ, ὧδέ μοι τὴν συγχώρησιν ὑπαγόρευσον. μὴ θριαμβεύ-
σῃς τὰς ἐμὰς ἁμαρτίας ἐπὶ πάσης τῆς κτίσεως, μὴ δημοσιεύσῃς τὰς ἀνομίας μου ἐν τῷ
μέλλοντι κριτηρίῳ· μὴ πέμψῃς με τῷ αἰωνίῳ πυρί, τῷ ὕλην κεκτημένῳ τὴν τῶν ῥαθύμων
ζωήν. Ἰησοῦ Χριστέ, υἱὲ τῆς παρθένου Μαρίας, καὶ δημιουργὲ τῆς παρθένου, διὰ τὴν παρθέ-
νον, καὶ μητέρα σήν, καὶ πάλιν παρθένον, ἀνάκτησαι διὰ τῆς ἁγίας ἐκείνης ἐμὲ τὴν ἐναγῆ, καὶ 25
ποίησον εὐαγῆ. ἐκ γυναικὸς ἐτέχθης καὶ σύ, ὡς σὺ μόνος ἐπίστασαι, καὶ γινώσκεις τὴν τῶν
ἀνθρώπων ἀσθένειαν. Τοιαῦτα λαλούσης ἐν ἑαυτῇ τῆς πιστῆς γυναικὸς καὶ δεομένης, ἐγ-
γὺς ὢν ὁ σωτὴρ ἐδίδου τῇ ποθούσῃ τοῦ πόθου κατατρυφᾶν, καὶ τοὺς πόδας ἐγχεῖσαι ἐκείνῃ
πρὸς ἀπόλαυσιν ἄπληστον, ἐπὶ τῆς στιβάδος ὤν, καὶ κατατρυφῶν τὸν ἐκείνης κλαυθμόν, καὶ ἴσ. ...ιὼν
εὐωχούμενος τοῖς τῆς μετανοίας δάκρυσι, καὶ πεινῶν τὸ δίψος τῆς διψώσης τὸν ἔλεον. ἐν- 30 κλαυθμῶ
τεῦθεν. Ⓓ Φαρισαῖοι ἠρέμα ἐψιθύριζον πρὸς ἀλλήλους λέγοντες· τί τοῦτο τὸ ξένον καὶ
παράδοξον θέαμα; τίς τὴν πόρνην ταύτην ἐδίδαξε σωφρονεῖν; τίς τὴν ἐκκεχυμένην πρὸς
αἰσχρὰς ἡδονὰς ἔπεισε τοιαῦτα φρονεῖν; οὐχ αὕτη ἐστὶ τὸ τῆς ἡμετέρας πόλεως ἐπίσημον ὄνει-
δος; οὐχ αὕτη ἐστὶν ἡ τῶν ἀεὶ βουλομένων γυνή; οὐχ αὕτη ἐστὶν ἡ τῆς ἁμαρτίας ἑκάστου κατή-
γορος; οὐχ αὕτη ἐστὶν ἡ τῆς σωφροσύνης ἐχθρά, καὶ τῶν νομίμων γάμων τοιχωρύχος; οὐχ αὕ- 35
τη ἐστὶν ἡ μετὰ κολακείας λῃστεύουσα τοὺς ἀνθρώπους; πῶς οὖν ἐκ τοιαύτης τοιαύτη γενή-
σεται; πῶς ἡ φιλογέλως καὶ φιλοτερπνής, φιλόδακρυς ἐφάνη καὶ φιλοπενθής; πῶς ἡ ἄσο-
φος, καὶ παράκαιρος, καὶ τῇ μορφῇ, καὶ τῷ βλέμματι, καὶ τῷ σχήματι, καὶ τοῖς περιέργοις
βαδίσμασι, καὶ πᾶσι τοῖς μέλεσι πάντας μνηστευομένη τῷ θανάτῳ, ἐπὶ τὸ σῶφρον τοῦτο σχῆμα
καὶ πρᾶγμα μετέπεσεν; ὢ τῆς ἀπροσδοκήτου μεταβολῆς, ὢ τῆς ξένης μεταγωγῆς. Ⓔ 40
μὲν οἰκέται τοῖς τοιούτοις λόγοις ἐκέχρηντο· ὁ δὲ καλέσας τὸν Ἰησοῦν Φαρισαῖος βλασφήμους
Λουκ. ζ. λθ. λογισμοὺς τίκτων ἐν τῇ ἰδίᾳ ψυχῇ, ἔλεγεν· Οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ πο-
ταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν. ἁπλῶς, φησι, καὶ ὡς ἔτυχεν, ὡς ὁ
προφήτης λέγει) ἠπατήθην κἀγὼ μετὰ τῶν ἄλλων, τοῦτον ὡς τῶν ἀδήλων ἐξεταστὴν εἰσ-
αγαγών

ἀγαγὼν εἰς τὴν ἐμὴν οἰκίαν. εἰ γὰρ προφήτης ἦν, καὶ σαφῶς ᾔδει τὰ μέλλοντα. τὴν
φανερὰν πᾶσι καὶ κατάδηλον οὐκ εἰδώς, πῶς οὖν ἐπίσταται τὰ πᾶσιν ἀπόρρητα; πῶς ἀνέ-
χεται χειρῶν πορνικῶν; πῶς οὐκ ἀπελαύνει πόῤῥωθεν τὴν οὐδὲν ἔχουσαν τοῦ σώματος ἄ-
πρακτον; πῶς οὐδὲ βδελύσσεται τὴν βδελυρὰν, καὶ πάσης αἰσχρότητος γέμουσαν; κακίζει
5 τὴν πολλὴν φιλανθρωπίαν ὁ Φαρισαῖος, ὡς ἄγνοιαν, καὶ ὑποβάλλει τὴν συγκατάβασιν
τῷ τῆς ἀγνοίας ὀνόματι, νοσῶν αὐτὸς τοῦ γινομένου τὴν ἄγνοιαν. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε
πρὸς αὐτόν· ἔχω σοί τι εἰπεῖν. οἶδα τί λέγεις μὴ λέγων μηδὲν, οἶδα τί φθέγγῃ σιγῶν, οἶδα
τί βοᾷς σιωπῶν, οἶδα τί καὶ αὐτὴ κατὰ διάνοιάν μοι προσδιαλέγεται. οἶδα κἀγὼ πόσους ἐν
τῇ ψυχῇ κατ' ἐμοῦ χαλκεύεις λογισμούς. διηγήσομαί σοι τῶν νοερῶν ἐνθυμημάτων τὰς φω-
10 νὰς, ἐξαγορεύσω τὰ παρὰ σοῦ βλασφημούμενα, δημοσιεύσω τὰ φρονήματα τῶν σῶν ἐννοι-
ῶν, ὡς τοῖς λογισμοῖς τῆς σῆς ψυχῆς ἐγκαθήμενος. οὕτω λέγεις, εἰ ἦν προφήτης, ἐγίνω-
σκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. ταῦτα τὰ ῥήματα
τῆς σῆς διανοίας. πῶς οὖν κατέγνων τῶν ἐν τῷ βυθῷ τῆς σῆς διανοίας κινηθέντων λογισμῶν
τὴν ζάλην, εἰ μὴ Θεὸς ἤμην πάντων δημιουργός; ὡς ὑποπτεύεις αὐτὸς ἐκ τῆς ἀπο-
15 κρίσεως· γνῶθι ὅστις εἰμὶ ἀποκρινόμενός σοι μὴ λαλοῦντι μηδέν. ἐκκαλύπτω τὰ ῥήμα-
τα τῆς σῆς ψυχῆς. εἰ ἤμην προφήτης, ἐγίνωσκον τίς καὶ ποταπὴ ἡ γυνή. καὶ ποῦ χρεία
προφητικῆς ἐλλάμψεως ἐπὶ τῆς γνωριζομένης ὄψεως; οὐκ οἶδα τὴν προεστηκυῖαν ἐπὶ
τῆς ἀγορᾶς; οὐκ οἶδα τὴν πᾶσι κατάδηλον; οὐκ ἐπίσταμαι ταύτην, δι' ἣν ἦλθον πρὸς σέ;
γινώσκω τίς καὶ ποταπὴ ἡ γυνή. οὐδὲν γὰρ λανθάνει τὸν τῆς θεότητος ὀφθαλμὸν, οὐ πλεο-
20 νέκτης, οὐ πονήρευμα. γινώσκω τίς ἐστι ποταπὴ ἡ γυνὴ, καὶ ὅτι ἁμαρτωλός ἐστι· καὶ διὰ τοῦτο
χαίρω κατεχόμενος παρ' αὐτῆς, ἵνα τὴν κεκτῦσαν εὐλαβῶς περισώσω θεοπρεπῶς. οὐ γὰρ
μολύνομαι παρὰ τῶν ταύτης χειρῶν, ἀλλ' ἐγὼ ταύτην καθαρὰν ἀπεργάζομαι. ἥλιον γὰρ
βόρβορος οὐκ ἀμαυροῖ, μαργαρίτην πηλὸς οὐκ ἀλλάσσει, τοῦ ἀναμαρτήτου ἁμαρτία οὐχ
ἅπτεται. οὐχ ἡψάμην πρότερον λεπροῦ, καὶ τὸ πάθος ἀπέφυγε; μὴ λεπρὸς ἐγενόμην, πλη-
25 σιάσας λεπρῷ; οὕτω καὶ νῦν τὰ συνήθη θαυματουργῶν μεταβάλλω ταύτην πρὸς ἁγιό-
τητα, οὐ μεταβάλλομαι πρὸς τὴν αὐτῆς ποιότητα, ἀνεχόμενος τῆς ἀφῆς τῆς μιασούσης χει-
ρός. ἰατρὸς γάρ εἰμι· ἰατρὸς δὲ οὐ τραυμάτων καὶ σηπεδόνων καὶ ἰχώρων, ἀλλὰ τὴν σωτηρί-
αν τοῖς νοσοῦσι κατὰ ψυχὴν πραγματευόμενος. ποιητής εἰμι, καὶ φείδομαι τοῦ ἐμοῦ πλά-
σματος· δεσπότης εἰμὶ, καὶ οὐκ ἀνέχομαι ζημιωθῆναι φιλοδέσποτον δούλην· ποιμήν
30 εἰμι, καὶ πρόβατον ἐμὸν πλανώμενον εὑρὼν εἰκότως εὐφραίνομαι· λιμήν εἰμι, καὶ πάν-
τας τοὺς προσορμίζοντας προσδέχομαι. Σίμων, ἔχω σοί τι εἰπεῖν· δύο χρεωφειλέται
ἦσαν δανειστῇ τινι. τέως μετὰ ταύτης πύκαξαι. τί στρατεύεις κατ' αὐτῆς, ὡς μόνος ἀνελθὼν
εἰς τὴν ἀκρόπολιν τῆς ἀρετῆς; πῶς ὑπεύθυνός μοι καθέστηκας. τί οὖν κατακρίνεις
ταύτην, ὡς μόνος ἀνεύθυνος; δύο χρεωφειλέται, σὺ καὶ αὐτὴ τυγχάνετε· ὁ δὲ δανειστὴς ἐγώ εἰμι.
35 ἐδάνεισά σοι καὶ τῷ γυναίῳ τὴν παροῦσαν ζωήν. ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕ-
τερος πεντήκοντα. αὕτη χρεωστεῖ πεντακόσια δηνάρια (πολλὰ γὰρ ἐξήμαρτε) σὺ χρεω-
στεῖς πεντήκοντα. ὀλίγα γὰρ ἔπταισας. ἀλλ' ὅμως ὑπόκεισαι λογοθεσίᾳ ζωῆς. μὴ ἐχόντων
δὲ αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. ἐχαρισάμην σοι τὰ ἐγκλήματα, χαρί-
ζομαι καὶ ταύτῃ τὰ πλημμελήματα. ἀπήλαυσας πρῶτος τῆς ἐμῆς περιουσίας, ἀπολαυ-
40 σάτω καὶ αὐτὴ τῆς ἐμῆς ἀμνησικακίας. ἤθελές με περὶ μὲν σὲ φανῆναι φιλάνθρωπον,
περὶ δὲ ταύτην ἀπάνθρωπον; ἀλλ' οὐκ ἀνέχομαι λαβεῖν σε διοικητὴν τῆς ἐμῆς ἀγαθότητος. εἰ
σὺ τοιαύτην εἶχες χώραν, αὐτὴ δὲ τὴν σὴν, ἠβούλου αὐτὴν περὶ σοῦ τοιαῦτα λέγειν, ἃ σὺ κατ'
αὐτῆς φρονεῖς; οὐκ ἤκουσας, ὅτι ἃ μὴ βούλει παθεῖν, μὴ θέλῃς ποιεῖν. οὗτος γὰρ ὁ κοινὸς νό-
μος τῆς φύσεως. τίς οὖν, εἰπέ μοι, πλέον ἀγαπήσει αὐτόν; ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν,

ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλέον ἐχαρίσατο. καὶ πρὸς αὐτὸν ὁ σωτήρ· ὀρθῶς ἔκρινας. οὐκοῦν ἔμμενον οἷς ἐδίκασας περὶ τούτου αὐτός. καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι λέγει, βλέπεις ταύτην τὴν γυναῖκα; ἐγὼ οὐκ ἔτι καλῶ πόρνην, τὴν ῥίψασαν μετὰ τοῦ πράγματος καὶ τὸ ὄνομα. βλέπεις ταύτην τὴν γυναῖκα, τὴν αὐτόκλητον ἐπεισελθοῦσαν ἡμῖν, τὴν ἐπιδεικνυμένην ἀναίδειαν ἐπαινουμένην, τὴν αἰσχύνασαν ἀναισχυντίαν ἀγαπωμένην, τὴν ὁδηγὸν τῆς πρὸς ἐμὲ φερούσης ὁδοῦ, τὴν ἡγεμόνα τῆς εὐσεβείας, τὴν διδάσκαλον τῆς μετανοίας, τὴν ἔργῳ τὰ πράγματα διδάξασαν, τὴν ἄπαυστα κλαίουσαν, τὴν παρρησίαν τῶν ἁμαρτωλῶν, τὴν κήρυκα τῆς ἐμῆς εὐσπλαγχνίας, τὴν ἐκκλησίαν τὸν σὸν οἶκον ποιήσασαν, τὴν μόνην μόνῳ προσευχομένην, τὴν ἄνθρωπον μὲν θεωροῦσαν καὶ ὡς Θεὸν ἱκετεύουσαν, μὴ δορυφόρους, μὴ βῆμα δικαστικόν, καὶ ὡς κριτήν με γονυπετοῦσαν· τὸν κείμενον προσκυνοῦσαν; βλέπεις ταύτην τὴν γυναῖκα, τὴν ἀκάματον, τὴν ἐργάτιν τῶν ἀγαθῶν, τὴν διὰ τῶν πλοκάμων αὐτῆς καὶ τῶν δακρύων ὑφαίνουσαν ἑαυτῇ τὴν τῆς ἀθανασίας στολήν, τὴν πρεσβεύουσαν διὰ πάντων αὐτῆς τῶν μελῶν περὶ ἑαυτῆς, τὴν ἄπληστον ἐν οἷς οὐκ ἐχρῆν ἰδεῖν, ἀπληστοτέραν ἐν οἷς τὸ ἄμετρον μακαρίζεται; σκόπησον τὰ γινόμενα παρὰ σοῦ, καὶ θέασαι τὰ γεγενημένα παρ' αὐτῆς, καὶ στεφανώσεις σὺν ἐμοὶ τὴν ἑαυτὴν στεφανώσασαν. ἐὰν μὴ καὶ σὺ θαυμάσῃς τὴν εὐσέβειαν καὶ τὴν ἐργασίαν αὐτῆς, μέμφου τοῖς ἐμοῖς οἰκτιρμοῖς. εἰσῆλθον εἰς τὴν οἰκίαν σου ἐγὼ ὁ Χριστός, ὁ ἄνω τε κάτω καὶ πανταχοῦ τε ἐνταῦθα οὕτως ὡς βλέπεις, καὶ τῇ παρουσίᾳ μου τετίμηκά σε, καὶ τὸν οἶκόν σου· καὶ σὺ ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας. σὺ τὸ εὔκολον, τὸ ῥᾷστον, τὸ εὐπόριστον τοῖς ἐμοῖς ποσὶν οὐκ ἐπέχεας· αὕτη δὲ ἡ παρὰ σοῦ λοιδορουμένη τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, οὓς οὐκ ἔβαψεν ὅλα τῆς θαλάσσης τὰ ὕδατα καὶ τὰ κύματα. βλέπεις ξένην ἀρδείαν τοῖς ἐμοῖς ποσὶν ἐπιρρέουσαν· βλέπεις βροχὴν παράδοξον, οὐκ ἐκ τῶν νεφελῶν φερομένην, ἀλλ' ἐκ τῶν τῆς γυναικὸς ὀμμάτων τικτομένην. ποία πηγὴ τοσούτων εὐπορεῖ ναμάτων, ὅσον αὐτὴ δακρύων; ποία κρήνη βλύζουσα τοσαύτας σταγόνας οὐκ ἐλέγχεται; αὕτη τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας, καὶ ταῖς θριξὶν αὐτῆς ἐξέμαξε, καὶ ξένον λέντιον τὰς τρίχας αὐτῆς κατεσκεύασε, καὶ παράδοξον ἐκμαγεῖον τῶν ἐμῶν ποδῶν τοὺς πλοκάμους αὐτῆς ἐποίησε· φίλημά μοι οὐκ ἔδωκας σύ· τὰ χείλη τὰ σὰ τοῖς ἐμοῖς χείλεσι προσαρμόσαι οὐ κατηξίωσας· αὕτη δέ, ἀφ' οὗ εἰσῆλθεν, οὐ διέλειπε καταφιλοῦσά μου τοὺς πόδας. ὢ τῆς ὁμαλῆς προσεδρίας, ὢ φιλημάτων θείων· ὢ φιλημάτων πνευματικῶν ἀπολογησαμένων ὑπὲρ τῶν προτέρων περιπλοκῶν. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας. τὸ τιμιώτερον μέρος τοῦ σώματος οὐκ ἐτίμησας ἐλαίῳ ψιλῷ· αὕτη δὲ ἐλαίῳ μύρῳ ἤλειψέ μου τοὺς πόδας. τί οὖν σοι δοκεῖ; ἀποστραφῶ τὴν τοιαῦτά μοι φέρουσαν ξένια; ἀποστρέψομαι τὰ φίλα μοι δῶρα; μὴ ἐντραπῶ τοιαύτην καὶ τοσαύτην διάθεσιν; μὴ ἐντραπῶ πίστιν οὐρανοῦ ὑψηλοτέραν; παρίδω τοιαῦτα καὶ τοσαῦτα καλά; παρίδω ἐλεεινοὺς στεναγμούς; ἀλλ' οὐ πέφυκα τοιοῦτος. παρίδω τοὺς τῶν δακρύων κρουνούς; ἀλλ' οὐ δύναμαι. παρίδω τὴν δεδακρυμένην μορφήν; διὰ μόνην φιλανθρωπίαν ἔλαβον τὴν τοῦ δούλου μορφήν. ἀρνήσομαι ἐμαυτὸν διὰ σέ; μισήσω τὴν οὕτω με γνησίως ποθοῦσαν; ἀπελάσω τὴν οὕτω περιπλεκομένην μου τοῖς ποσίν; ἀποδιώξω τὴν ἱκέτιν μὴ τυχοῦσαν ὧν ἤλπισε; πληρώσω τοῦ διαβόλου τὸ βούλημα; χαρίσομαι τῷ πολεμίῳ τὸ θήραμα; πέμψω πάλιν τὴν ἐμὴν περιστερὰν πρὸς τὸν ἱέρακα; μὴ οἰκτείρω τὴν οὐδὲν ἕτερον λέγουσαν, εἰ μὴ μόνον, ἐλέησόν με; μὴ ἐλεήσω τὴν οὕτω φυγοῦσαν τὸν διάβολον, καὶ προσφυγοῦσαν ἐμοί; τί οὖν κατῆλθον ἐκ τῶν οὐρανῶν; τί δὲ τὸ φαινόμενον περιβέβλημαι σῶμα; τί δὲ τῆς σῆς οἰκίας ἐγενόμην ἐντός; τὴν φαινομένην καὶ θηρευθῆναι βουλομένην εἰ ἔμελλον ἀπελαύνειν, διὰ τί τὸν τόπον τῆς θήρας κατέλαβον; ἀλλ' οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. οὗ χάριν λέγω σοι, ἀ-

φέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί, ὅτι ἠγάπησε πολύ. ὁ δὲ ὀλίγον ἀγαπῶν, ὀλίγον ἀ-
γαπηθήσεται). Ταῦτα πρὸς τὸν Φαρισαῖον διαλεχθεὶς ὁ Χριστὸς μετέδωκε τῇ περικεχυμένῃ
βλέμματος καὶ φθέγματος ἡμέρου καὶ προσηνοῦς, καὶ πρὸς τὴν κατακεκρυμμένην καὶ δεομέ-
νην μικρὸν ἑαυτὸν ἐπικλίνας, μετέδωκεν αὐτῇ τὴν ποθουμένην ἀπόφασιν, ἔχουσαν τὴν ἀ-
5 μαρτημάτων ἄφεσιν. ἀφέωνταί σοι αἱ ἁμαρτίαι. δέξαι λοιπόν, ὦ γύναι, τῶν δακρύων ἀπο-
γεγραμμένην τὴν δέησιν· δέξαι τῆς πίστεως τὴν ἀντίδοσιν· δέξαι τῆς εὐπειθίας τὰς ἀμοι-
βάς· δέξαι τῆς εὐσεβείας τὰς δωρεάς· δέξαι τῆς μετανοίας τὸν στέφανον· δέξαι τῶν πικρῶν
στεναγμῶν τὸν γλυκύτατον καρπόν· δέξαι τοῦ σκυθρωποῦ σπόρου τὸ γλυκύτατον θέρος. ἔ-
σπειρας ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θέρισον. ἀφέωνταί σου αἱ ἁμαρτίαι. διερράγησαν αἱ
10 τοῦ κακοῦ βίου σειραί· διελύθησαν αἱ τῆς πονηρίας ἁλύσεις· ἀπηλλάγης τῶν ἐγκλημάτων
καὶ τῶν εὐθυνῶν· ἔφυγες τὴν ἄσβεστον κάμινον τοῦ πυρός· ὀλίγοις δάκρυσι φλόγα τοσαύτην
κατέσβεσας· κατεπάτησας τοῦ πονηροῦ ἐχθροῦ τὴν κεφαλήν· ἐνίκησας περιφανῶς τὸν ἀντί-
παλον. θάρσει, θύγατερ· Θεὸς ὁ δικαιῶν, τίς ὁ κατακρίνων; ἐγὼ ὁ κριτὴς γίνομαι τῆς ἀφέ- Ῥωμ. η. λγ.
σεως ἐγγυητής. τίς ἕτερος τὴν ἐμὴν ἐπίκρισιν ἀνατρέψει; ἐγὼ ὁ δικαστὴς ἀπολύω· τίς ἕ-
15 τερος καταδικάσει; θάρσει, θύγατερ· λέλουσαι ἐξαίφνης πῶς ὑψώθης· πῶς ἦλθες ὡς κατάκρι-
τος, καὶ τῆς κατακρίσεως ἐλευθερωθῆναι κατηξιώθης, καὶ θυγάτηρ γέγονας ἐμοῦ τοῦ βασιλέως τῶν οὐ-
ρανῶν. ἦλθες ὡς τετραυματισμένη φάρμακον λαβεῖν, καὶ βασιλικόν, ὡς βασίλισσα. ἐφόρε-
σας στέφανον. ἀνεγεννήθης διὰ μήτρας, ἀνεπλάσθης διὰ πηλοῦ, ἀνεχωνεύθης διὰ πυρός,
ἐβαπτίσθης διὰ κολυμβήθρας. σὺ σεαυτὴν ἐκ τῶν σῶν δακρύων κολυμβήθραν ἐκέρασας· τὸ
20 ῥῆμά μου βάπτισμά σου γέγονε· ὁ λόγος ὁ ἐμὸς φωτισμὸς τοῦ προσώπου σου. θάρσει, θύγα-
τερ, ἡ πίστις σου σέσωκέ σε. ὡς ἐπίστευσας, ἐπλούτησας· ὡς ἐπόθησας, ἔλαβες· ὡς ἠθέλησας, ἐ-
βασίλευσας. περιέκυψας διὰ τοῦ σώματος, καὶ φωτὸς ὅλη γέγονας ἔμπλεος. ἡ πίστις σου σέ-
σωκέ σε. πίστις γὰρ σωτηρίας ἀρχή· πίστις, ἀθανασίας προοίμιον· πίστις, θεογνωσίας κα-
θαρὸς ὀφθαλμός· πίστις τὰ ἀόρατα καθορᾷ. ἡ πίστις σου σέσωκέ σε. εἴθε καὶ Ἰουδαῖοι τὴν
25 σὴν πίστιν ἐμιμήσαντο, εἴθε καὶ Ἕλληνες τὴν σὴν γνώμην ἐζήλωσαν, εἴθε πάντες ἄνθρω-
ποι μάθοιεν πιστεύειν ὡς σύ. πορεύου εἰς εἰρήνην. ἐπεὶ δὴ ἐβουλήθης, ἕξεις με διαπαν-
τὸς μετὰ σοῦ καὶ σὺν σοί· ἐὰν οὕτω μείνῃς ἁγνή, οὐδέποτε χωρισθήσομαι τῆς σῆς διανοίας·
ἐὰν φυλάξῃς τὴν καθαρότητα ταύτην ἀμόλυντον, ἀεί σοι συμπαραμενῶ· ἐὰν μείνῃς
νύμφη παρθένος, ἔσομαί σοι νυμφίος παρθένος, νυμφίος ἀφθαρσίας φρουρός· ἐὰν μὴ ἀθε-
30 τήσῃς τὰ μεταξὺ ἡμῶν σήμερον συντελεσθέντα προικῷα, οὐκ ἀναχωρήσω τῆς σῆς συνοι-
κεσίας· ἐὰν μὴ πορνεύσῃς εἰς ἐμέ, οὐκ ἐκβάλλω σε τῆς ἐμῆς οἰκειότητος· ἐὰν μὴ ἐπαγά-
γῃς μοι μοιχὸν λογισμόν, ὡς οὐράνιος μνηστὴρ καὶ τὰ οὐράνιά σοι δωρήσομαι· ἐὰν τηρήσῃς ἄτρω-
τον τὸ πρὸς ἐμὲ συνειδός, ἀπολαύσεις τῆς ἐμῆς εὐνοίας διαπαντός. πορεύου εἰς εἰ-
ρήνην· μέμνησο τῆς παρούσης ἡμέρας, ἐν ᾗ τῆς ἐλευθερίας ἀπήλαυσας· μέμνησο τῶν κα-
35 λῶν τούτων δακρύων, δι' ὧν κατέστης εἰς τοσαύτην φαιδρότητα· μέμνησο τῆς μετανοίας
ταύτης, δι' ἧς τὸ τῆς θυγατρὸς εὗρες ἀξίωμα. πορεύου εἰς εἰρήνην. κατηλλάγην σοι
διὰ χρόνου πολλοῦ, περὶ τούτου λυπούμενος πρὸς σὲ διὰ σέ. μὴ λύσῃς τὴν καλὴν εἰ-
ρήνην πράξεσι πονηραῖς· μὴ πάλιν διὰ τῶν σῶν μοι πολεμήσῃς μελῶν· μὴ πάλιν πλέ-
ξῃς, ὡς Σατανᾶς, τὰς κόμας· μὴ κονιάσῃς, ὡς τοῖχον, τὸ πρόσωπόν σου, μὴ τεχνάσῃ κόσμον
40 περίεργον καὶ ὀλέθριον· μὴ περιέλθῃς, ὡς ἐν ἀγορᾷ, τὴν ὄψιν σου τοῖς ἐμπόροις τῶν αἰσχρῶν
ἡδονῶν· μὴ πέμψῃς τοὺς ὀφθαλμούς, ὡς θηρατής, κατὰ τῶν ἑκουσίως ἀγρευομένων· μὴ χρήσῃ
τοῖς χείλεσιν, ὡς βέλεσι, κατὰ τῶν τιτρωσκομένων ἡδέως· μὴ ποιήσῃς τὸ στόμα σου θάνατον· μὴ κα-
ταχρίνῃς τὰς χεῖρας ἀσέμνοις περιπλοκαῖς· μὴ καταδικάσῃς τοὺς πόδας δρόμοις αἰσχροῖς·
μὴ ἀνατρέψῃς τὸν καλόν σου δρόμον δρόμοις κακοῖς· μὴ σκορπίσῃς τῆς ἁγνείας τοὺς μαργα-

ῥίζας, ἃς ἐπιπόνως ἐξέλεξας· μὴ γένῃ πάλιν φθορᾶς ἐργαστήριον· μὴ παλινδρομήσῃς πρὸς τὴν ἀρχαίαν σου ἀπάτην· μὴ τὴν προτέραν ἀναλάβῃς σκηνήν· μὴ οἰκοδομήσῃς κακῶς ἃ κατέλυσας καλῶς· μὴ δέξῃ σύμβουλον τὸν ὄφιν, ἵνα μὴ γυμνωθῇς ὡς ἡ Εὔα· μὴ καταλείπῃς ἡδονῇ τὴν πηγὴν τῆς πίστεως, ἵνα μὴ ῥίψῃ κατὰ σοῦ τὸν ἰὸν ὁ δράκων ὁ πολύμορφος· μὴ κοιμηθῇς τῆς ἡδυπαθείας τὸν ὕπνον, ἵνα μὴ κινήσῃς καθ' ἑαυτῆς τὸν δίκαιον 5 μου θυμόν· μὴ μετὰ τοσοῦτον μύρον, βόρβορον ἐπιχέῃς ἑαυτῇ· μὴ γένῃ πάλιν ὗς· ἅπαξ ἐκαθαρίσθης, ἅπαξ ἐχωνεύθης· μεῖνον σωφροσύνης ἄγαλμα ἱερουργόν, ἵνα μὴ χωνευθῇς τῷ πυρί· πορεύου εἰς εἰρήνην· ἀπάγγελλε τοῖς ἀπολωλόσι, πῶς ἀγαθός εἰμι καὶ φιλάνθρωπος· ἐπιδείκνυε τοῖς ἀγνοοῦσι τὸν ἀποσμήξαντά σου τὸν ῥύπον· γενοῦ λοιπὸν σάλπιγξ ζωῆς. ἕως τῆς παρούσης ἡμέρας τοὺς νέους πρὸς ἀπώλειαν ἤγρευες· ἀπὸ τῆς παρούσης ἡμέρας 10 πάντας αἱ θεράποντας πρὸς σωτηρίαν ἄλιευε· βόα πρὸ τοῦ Παύλου, ὡς πρὸ τοῦ Παύλου σαλπισθεῖσα· Πιστὸς ὁ λόγος, καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς παρεγένετο ἐν

α. Τιμ. α. 9

κόσμῳ ἁμαρτωλοὺς σῶσαι, ὧν πρώτη εἰμὶ ἐγώ. Ταύτης τὴν μετάνοιαν ζηλώσωμεν ἅπαντες, ἵνα τὴν ἴσην παρρησίαν κτησώμεθα· λύσωμεν τὰς ἀδικίας, ὡς ἐκείνη τὰς τρίχας· τοιαῦτα δάκρυα ῥάνωμεν, ἵνα τοιαῦτα φάρμακα λάβωμεν· οὕτω φιλήσωμεν τὸν δεσπότην, ἵνα οὕτω φιληθῶμεν παρ' αὐτοῦ· κρατήσωμεν καὶ ἡμεῖς πίστεως χερσὶ τὸν ἡδέως κρατούμενον, καὶ μηδέποτε καταλείπωμεν αὐτόν, ἕως ἂν αὐτὸς τοῖς πράγμασιν εἴπῃ καὶ πρὸς ἡμᾶς, ἀφέωνται ὑμῶν αἱ ἁμαρτίαι. θαρσεῖτε, τέκνα· ἡ πίστις ὑμῶν σέσωκεν ὑμᾶς· καὶ τὴν πίστιν ἐκείνης ταῖς ἡμετέραις ἐννοίαις ἐγγράψωμεν, δόξαν ἀναπέμποντες τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 20

Λογ. μγ.

ΕΙΣ ΤΗΝ ΤΡΙΗΜΕΡΟΝ ΑΝΑΣΤΑΣΙΝ ΤΟΥ ΚΥρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ex Ms. Augustano.

ΑΝέστη τῇ τρίτῃ ἡμέρᾳ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ζωὴν τῷ κόσμῳ 25 δωρούμενος· καὶ ἰδού τινες τῆς κουστωδίας ἐλθόντες πρὸς τοὺς Ἰουδαίους εἶπον· ἠγέρθη ἀπὸ τῶν νεκρῶν Ἰησοῦς ὁ λεγόμενος Χριστός. καὶ λέγουσιν οἱ ἀγνώμονες Ἰουδαῖοι πρὸς τοὺς στρατιώτας. διατί οὐκ ἐκρατήσατε αὐτόν; λέγουσιν οἱ στρατιῶται, ὑμεῖς κρατήσαντες αὐτὸν ποῖον ἐποιήκατε κέρδος, εἰ μὴ τὴν ζημίαν τῶν ψυχῶν ὑμῶν; ἐκεῖνος γὰρ 30 εἶπεν, Ὅτι δεῖ με ἀποθανεῖν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι, καὶ ταῦτα πεπλήρωκε, μετὰ πολλῆς δόξης ἀναστὰς ἐκ τῶν νεκρῶν. λέγουσιν οἱ ἀχάριστοι Ἰουδαῖοι· ὑμεῖς χρήματα ἐλάβετε παρὰ τῶν μαθητῶν αὐτοῦ, καὶ παρεδώκατε αὐτοῦ τὸ σῶμα. καί φασιν οἱ στρατιῶται· ὑμεῖς τοιαύτην ἀπιστίαν ἔχετε, παράνομοι; ἐκείνῳ οὐκ ἐπιστεύσατε λέγοντι, ὅτι δεῖ με ἀποθανεῖν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι· οὐαὶ δὲ ὑμῖν, οἱ Ἰουδαῖοι, ὅτι νῦν μὲν ἦλθε, καὶ οὐκ ἐπι- 35 στεύσατε αὐτῷ, διὰ τοῦτο ἐλθόντος, ἵνα πληρωθῇ πᾶσα γραφὴ περὶ αὐτοῦ λέγουσα. ὅταν

Ισ. [illegible]

οὖν ἔλθῃ ἐν τῇ δευτέρᾳ αὐτοῦ πάλιν παρουσίᾳ, τί ποιήσετε παράνομοι; πῶς δὲ καὶ κρατῆσαι αὐτὸν ἠδυνάμεθα, νεκροὶ γενόμενοι ἐκ τοῦ φόβου τῆς δόξης αὐτοῦ; ἐν τῷ γὰρ ἀναστῆναι αὐτὸν ἐσείσθη ὁ τόπος ἐκ θεμελίων, καὶ ἀγγέλων αἱ στρατιαὶ ἐκύκλωσαν αὐτοῦ τὸ θεῖον μνῆμα· καὶ προσελθὼν εἷς ἄγγελος ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου· καὶ ἰδοὺ ἐξῆλθεν 40 ὁ Ἰησοῦς, ὡς νυμφίος ἐκ παστοῦ, καὶ ὡς ἀστραπὴ λάμπων. καὶ ἠκούσαμεν τοῦ ἀγγέλου λέγοντος ταῖς γυναιξί, Μὴ φοβεῖσθε ὑμεῖς· ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν. ἐκεῖ αὐτὸν ὄψεσθε· ἰδοὺ οὖν ἐν τῇ Γαλιλαίᾳ ἐστίν. εἰ δυνατοί ἐστε, ἀπελθόντες κρατήσατε αὐτόν. ἰδοὺ οὖν εἴπαμεν ὑμῖν

τὴν

τὴν ἀλήθειαν, ἣν παρὰ τοῦ ἀγγέλου ἠκούσαμεν. οἱ δὲ Ἰουδαῖοι τούτων ἀκούσαντες τῶν ῥη-
μάτων, ὥσπερ νεκροὶ ὑπὸ τοῦ δέους καὶ τῆς ἐκπλήξεως γεγόνασι· καὶ σκεψάμενοι πρὸς ἑαυ-
τοὺς ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, καὶ παρεκάλεσαν αὐτοὺς λέγοντες· Εἴπατε ὅτι
οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτόν, ἡμῶν κοιμωμένων· καὶ ἐὰν ἀκουσθῇ τοῦτο
ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτόν, καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. ὦ παράνομοι Ἰου-
δαῖοι, τὸν κόσμον ὅλον τίς πείθῃ; οὐαὶ ὑμῖν, ἄθλιοι, ὅτι ἐβουλεύσασθε βουλὴν πονηράν· ὅτι τέ-
κνα ἐκλήθητε, καὶ κύνες γεγόνατε. οὐαὶ ὑμῖν, σκληροτράχηλοι καὶ ἀπερίτμητοι, ὅτι λαὸς
Κυρίου ἐκλεκτὸς ὑπάρχοντες, λύκοι γεγόνατε, καὶ τοὺς ὀδόντας ἠκονήσατε κατὰ τοῦ ἀμνοῦ τοῦ
Θεοῦ, καὶ ξένοι τῆς δόξης αὐτοῦ γεγόνατε. οὐαὶ ὑμῖν ἀγνώμονες, ὅτι ἠγαπήσατε τὸν ᾅδην, καὶ
τὸ αἰώνιον πῦρ. ὁ γὰρ ᾅδης μετὰ τὸ ἐξελθεῖν τοὺς ὄντας ἐν τοῖς θησαυροῖς αὐτοῦ, ὑμᾶς ἀντ'
ἐκείνων ἐκδέχεται λέγων· μὴ ἀναπαύσηταί τις τῶν Ἑβραίων, οἵτινες κατὰ τοῦ Χριστοῦ τὰς
χεῖρας ἐξέτειναν, καὶ ἐμὲ αἰχμάλωτον ἐποίησαν; εἰ μὴ γὰρ ἐκεῖνοι ἐβουλεύσαντο πονηρὰ
κατὰ τοῦ Κυρίου, οὐκ ἂν ἐγὼ τοιαῦτα ἔπαθον. ὅταν ὑποδέξωμαι αὐτούς, κατάξω αὐτοὺς
εἰς τὰ κατώτερά μου μέρη, ὅπου ἐστὶν ὁ πατὴρ αὐτῶν ὁ διάβολος κατάκλειστος ἐπὶ τοῦ
πυρὸς τοῦ αἰωνίου, καὶ τοῦ ἀκοιμήτου σκώληκος· ἵνα μάθωσι μὴ ὁπλίζεσθαι κατὰ τοῦ
Κυρίου τῆς δόξης, μηδὲ λαλεῖν κατὰ τοῦ Θεοῦ ἀδικίαν, μηδὲ ἐπαίρειν εἰς τὸ ὕψος τῆς
ὑπερηφανίας τὸ κέρας. οὐαὶ ὑμῖν, ἄθλιοι Ἰουδαῖοι, ὅτι τὸ φῶς ἀφέντες, τὸ σκότος
ἠγαπήσατε. περὶ ὑμῶν γὰρ εἶπεν Ἡσαΐας ὁ προφήτης, Οὐαὶ οἱ τιθέντες τὸ φῶς (Ησ. ε. κ.)
σκότος, καὶ τὸ σκότος φῶς· οἱ λέγοντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. οὐαὶ ὑμῖν, ἄ-
θλιοι Ἰουδαῖοι, ὅταν βλέπητε τὸ ξύλον, ἐφ' οὗ τὸν Κύριον ἐσταυρώσατε, ὑπὸ τοῦ κόσμου
προσκυνούμενον, καὶ ἐν τῇ ἡμέρᾳ τῆς ἀναστάσεως καὶ δευτέρας αὐτοῦ παρουσίας ἐρχόμενον τὸν
Κύριον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, ὑπὸ ἀγγέλων δορυφορούμενον, καὶ ὑμᾶς κατακρίνοντα.
οὐαὶ ὑμῖν, Ἰουδαῖοι, ὅτι ἐβουλεύσασθε βουλὴν πονηράν, θανατῶσαι τὸν ἀθάνατον· αὐτὸς δὲ ζῇ
εἰς τοὺς αἰῶνας, καὶ ὑμεῖς τῇ ἀπιστίᾳ ἀποθάνετε, καὶ οὐδὲ τῷ μακαρίῳ Παύλῳ ἐπείσθητε λέ-
γοντι· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. ἀλλ' (Γαλ. γ. ιγ.)
ἡμεῖς ἐάσαντες τοὺς κακόφρονας καὶ ἀπειθεῖς Ἰουδαίους, ἔλθωμεν πρὸς τὸ φῶς τοῦ ἡλίου τῆς
δικαιοσύνης, καὶ τὴν ἀνάστασιν τοῦ Κυρίου μετ' εὐφροσύνης ὑποδεξώμεθα. ἀνέστη τοίνυν
ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ τῶν νεκρῶν, καὶ ὑπήντησαν αὐτῷ δύο γυναῖκες, τουτέστι,
Μαρία ἡ Μαγδαληνή, καὶ ἡ ἄλλη Μαρία, ἥτις ἐστὶν ἡ μήτηρ τοῦ Ἰησοῦ, καὶ προσεκύνησαν
αὐτῷ. τί οὖν αὐτός; Μὴ φοβεῖσθε, ἀλλ' ὑπάγετε, φησίν, εἴπατε τοῖς ἀδελφοῖς μου καὶ τῷ (Ματθ. κη. ι.)
Πέτρῳ, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται. ἐδέξαντο τοίνυν αὗται αἱ
γυναῖκες πρῶται παρ' αὐτοῦ τὸ χαίρειν, καὶ κηρύξαι τοῖς ἀποστόλοις τὴν αὐτοῦ ἀνάστασιν ἔσπευ-
δον· καὶ ἀπῆλθον εἰς τὰ ἴδια λαβοῦσαι τὴν χαρὰν παρὰ τοῦ δεσπότου τῆς κτίσεως. ἡ δὲ
Μαγδαληνὴ Μαρία πάλιν ἐπὶ τὸ μνῆμα ἦλθε· καὶ μὴ εὑροῦσα αὐτόν, φωνῆς ἤκουσεν ἀγ-
γελικῆς διαπρεπούσης, ἃ καὶ παρὰ τοῦ Κυρίου ἤκουσε, προάγειν αὐτὸν ἐν τῇ Γαλιλαίᾳ· καὶ ὑ-
ποστρέψασα ὁρᾷ τὸν Κύριον λαλοῦντα αὐτῇ. δοκοῦσα δὲ τὸν κηπουρὸν εἶναι αὐτόν, ἐπηρώτα
εἰ ἐπίσταται ποῦ ὁ Κύριος μετετέθη. ὁ δὲ Ἰησοῦς λέγει αὐτῇ· Μαρία, τί κλαίεις; τίνα ζη-
τεῖς; παῦσαι, φησί, τῶν δακρύων, τὴν χαρὰν δεξαμένη. ὅπου χαρά, ἀπέδρα τῶν δακρύων
τὸ στυγνόν· ὅπου χαρά, φεύγει τὸ πένθος ἡ κατήφεια· ὅπου χαρά, λύπη οὐ πάρεστιν· ὅπου χα-
ρά, εὐφροσύνης σύμβολα. ἐγώ εἰμι ὁ υἱὸς τῆς παρθένου, ἐγώ εἰμι Ἰησοῦς ὁ νικητὴς τοῦ ᾅδου,
ἐγώ εἰμι ὁ νικήσας τὸν κόσμον, ἐγώ εἰμι ὁ σκυλεύσας τὸν ᾅδην, ἐγώ εἰμι Ἰησοῦς ὁ τοῖς νε-
κροῖς ἀναβιώσεως ἐλπίδα εὐαγγελισάμενος, ἐγώ εἰμι ὁ σταυρωθεὶς ἑκουσίως ὑπὲρ τῆς τοῦ κό-
σμου σωτηρίας ὑπομείνας, ἐγώ εἰμι Ἰησοῦς, ὁ ἐκ τῶν νεκρῶν τριήμερος ἀναστάς, καθὼς
προεῖπον, καὶ τό, χαῖρε. πρὸς ὑμᾶς φθεγξάμενος. Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ (Ματθ. κδ. λ.)

λόγοι μου οὐ μὴ παρέλθωσιν. ἐγώ εἰμι Ἰησοῦς, ὁ τῶν βαπτιζομένων στολιστής. δι᾽ ἐμὲ Παῦ-
Γαλ. γ. κζ.
λος κέκραγεν· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· ἐγώ εἰμι Ἰησοῦς, ὁ τῶν
φωτισθέντων νυμφαγωγός· ἐγώ εἰμι Ἰησοῦς, ὁ νυμφίος τῆς ἐκκλησίας· ἐγώ εἰμι Ἰησοῦς, ὁ
τῆς εἰρήνης δοτὴρ, καὶ τῆς εὐφροσύνης χορηγός. παύσασθε τῶν δακρύων, καὶ τὴν χαρὰν
ἐνδύσασθε· παύσασθε τοῦ θρήνου, καὶ τοῖς ἀποστόλοις εὐαγγελίσασθε. αὕτη ἡ ἡμέρα, ἐν ᾗ
ἀφεῖλε δάκρυον ἀπὸ παντὸς προσώπου· αὕτη ἡ ἡμέρα νίκης τῆς τοῦ θανάτου, καὶ ζωὴ τοῖς
Ἠσ. ἀφεῖλε
ἐν ᾅδου· αὕτη ἡ ἡμέρα, ἐν ᾗ πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνέστη, καὶ χαρὰν τῷ κόσμῳ παρέχει·
αὕτη ἡ ἡμέρα, ἐν ᾗ τῷ Πέτρῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις δι᾽ ὑμῶν δηλώσω τῆς ἐμῆς ἀναστά-
σεως τὰ εὐαγγέλια. ἀπελθόντες γὰρ εἴπατε τοῖς ἀδελφοῖς μου καὶ τῷ Πέτρῳ, ὅτι ἠγέρθη
ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε. ὁρᾷς εὐ-
σπλαγχνίαν δεσπότου; οὐδενὸς τῶν μαθητῶν ὄνομα εἴρηκεν, εἰ μὴ τοῦ Πέτρου. διὰ τί, ὦ
Κύριε, τούτου μόνου τὸ ὄνομα εἴρηκας; διὰ τί; ἄκουσον διὰ τί ὀνομαστὶ ἐκεῖνον μόνον ἐκά-
Ματθ. κς. λε.
λεσα. ἐπειδὴ οἱ λοιποὶ οὐκ εἰρήκασιν, Ἐὰν δέῃ ἡμᾶς σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνη-
σόμεθα· οὗτος δὲ εἰρηκὼς, ἠρνήσατό με τρὶς, καὶ μεταμεληθεὶς ἔκλαυσε πικρῶς. μέλλει οὖν φοβεῖσθαι
ἐλθεῖν εἰς πρόσωπόν μου, νομίζων μὴ λελύσθαι τὸ ἁμάρτημα. διὰ τοῦτο εἶπον, καὶ τῷ Πέτρῳ, ἵνα
ἀνενδοιάστως μετὰ τῶν λοιπῶν μαθητῶν μου ἔλθῃ. καὶ ὄψεταί με. εἴπατε τῷ Πέτρῳ μηδ᾽ ὅλως
δειλιάσαι. οὐ γὰρ ἠλάττωσά σε τοῦ χοροῦ τῶν ἀποστόλων. εἰ καὶ Ἰωάννην ἀγαπῶ, καὶ τούτῳ, ὡς
ἁγνῷ, παρεθέμην ἐπὶ τοῦ σταυροῦ τὴν ἐμὴν μητέρα· ἀλλὰ καὶ σοὶ δέδωκα τὰς κλεῖς τῆς
Ματθ. ις. ιθ.
βασιλείας τῶν οὐρανῶν. μηδὲν οὖν δειλιάσῃς ἐλθεῖν πρός με. ὃ γὰρ ἐὰν δήσῃς ἐπὶ τῆς
γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς. μὴ φοβηθῇς, Πέτρε· οὐ μετέστησά σε τῆς προκαθεδρίας
τῶν συμμαθητῶν σου. ὃ γὰρ ἐπηγγειλάμην σοι, καὶ πληρώσω. ἐπὶ γὰρ τῇ πεπετρωμένῃ
σου πίστει οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. σὺ ποι-
μανεῖς μου τὰ πρόβατα, σὺ βοσκήσεις μου τὰ ἀρνία, σὺ στήσῃ ἐκ δεξιῶν μου ὡς ταξίαρ-
χης. μὴ φοβηθῇς ὅτι ἠρνήσω με. εἶδον σου τὰ δάκρυα, καὶ ἀφῆκά σου τὸ ἁμάρτημα. καλὸν
ἦν καὶ Ἰούδᾳ τῷ παραδεδωκότι με, εἰ μετενόησε, καὶ μὴ ἀπήγξατο. τῶν γὰρ μετανοούντων
εἰμὶ Θεός. διὰ τοῦτο κατῆλθον ἐπὶ τῆς γῆς, ἵνα μετάνοιαν τῷ κόσμῳ χαρίσωμαι. τελώ-
ναις καὶ πόρναις τοσοῦτον πλῆθος ἁμαρτημάτων ἐχαρισάμην, καὶ σοὶ τὸ ἓν οὐ χαρίσομαι; ἐ-
γὼ τοὺς μετανοοῦντας φιλῶ. μνημόνευσον ὅτι ἐδάκρυσα ἐπὶ Ἰούδᾳ, καὶ οὐκ ἠθέλησα αὐτὸν
ἀπολέσθαι. καλὸν ἦν αὐτῷ, ὅτι τὰ ἀργύρια ἔρριψεν ἐν τῷ ναῷ, εἰ μετενόησε, καὶ οὐκ ἀ-
πήγξατο. ἀλλ᾽ ἐπειδὴ ἀμετανόητος ἔμεινε, διὰ τοῦτο αἰωνίως κολάζεται. σὺ δὲ μὴ φοβη-
θῇς. εἶδον γάρ σου τὰ δάκρυα, καὶ ἀφῆκά σοι τὰ ἁμαρτήματα. τῷ Δαβὶδ δύο κακὰ ἐργασα-
μένῳ, μοιχείαν καὶ φόνον, συνεχώρησα, καὶ εἰς τὴν ἀρχαίαν τάξιν τῆς προφητείας ἀνήγα-
γον· καὶ σοὶ τῷ καταλιπόντι πάντα ὅσα ἐκέκτησο τὸ ἓν ἁμάρτημα οὐ συγχωρήσω; Πέτρε, ἐ-
Λουκ. ιε ζ.
γώ εἰμι ὁ εἰπὼν, Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· ἐγώ εἰμι ὁ εἰ-
Ματθ. ια. κη.
πών· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.
καλὸν ἦν καὶ τῷ Ἰούδᾳ, εἰ πρός με ἐπέστρεψε, καὶ μὴ τῷ σχοινίῳ τῆς ἀγχόνης περιεπλάκη, καὶ
ἑαυτὸν ἀπώλεσε· καὶ τὸ ἐκείνου ἁμάρτημα τῷ σταυρῷ προσήλωσα ἄν. ἑαυτῷ οὖν αἴτιος
γέγονεν. ἀλλ᾽ οὐδὲ κατηρασάμην αὐτόν· μᾶλλον δὲ ὁμοίως τῶν ἄλλων καὶ τοὺς ἐκείνου πόδας
ἔνιψα, καὶ τοῦ ἄρτου αὐτῷ, καὶ τοῦ ποτηρίου μετέδωκα, καὶ οὐδὲν αὐτῷ ἐνεκάλεσα, εἴ πως ἔλ-
θῃ εἰς μετάνοιαν· καὶ οὐκ ἠβουλήθη ἐλθεῖν πρὸς ἐπίγνωσιν τοῦ ἰδίου ἁμαρτήματος. σὺ δὲ
μετανοήσας, μὴ φοβηθῇς ὀφθῆναί μοι μετὰ τῶν συμμαθητῶν σου. τοσοῦτον οὐκ ἠλάττωσά
σε, ὅτι καὶ ἡ σκιά σου μόνη ἔχει τοὺς ἀσθενεῖς ἰᾶσθαι. καὶ σκόπει Θεοῦ φιλανθρωπίαν, καὶ ὅπως
διὰ τῶν γυναικῶν τούτων τοὺς μαθητὰς εὐαγγελίζεται, καὶ τὸ μάλιστα γένος ἀτιμασθὲν, διὰ τὴν
τῆς Εὔας παρακοήν, εἰς τιμὴν ἄγει καὶ χρηστὰς ἐλπίδας. εἴδετε ὅσης ἠξιώθησαν τι-

μῆς

μῆς αἱ γυναῖκες διὰ τὴν προσεδρίαν. μιμησώμεθα τούτων τὸν ζῆλον καὶ ἄνδρες, καὶ γυναῖκες. καὶ ποιήσωμεν κατὰ δύναμιν καὶ ἡμεῖς τὴν τῆς ἀναστάσεως ἡμέραν: καὶ καθάπερ αὗται παρέμενον διανυκτερεύουσαι μέχρι τοῦ καιροῦ τῆς ἀναστάσεως, καὶ ἡμεῖς παραμείνωμεν οὐχὶ μύρα καὶ ἀρώματα αἰσθητὰ βαστάζοντες, ἀλλὰ τὴν ἀπὸ τῶν πράξεων τῶν ἀγαθῶν καὶ τῆς ἀρίστης πολιτείας εὐωδίαν ἐπιφέροντες, εὐχὰς ἐκτενεῖς, ἐξομολόγησιν τῶν ἁμαρτημάτων. καθάπερ γὰρ αὗται μισθὸν τῆς ὑπομονῆς εἰλήφασι τὸ πρὸ τῶν ἄλλων ἁπάντων καταξιωθῆναι θεάσασθαι αὐτὸν μετὰ τὴν ἀνάστασιν, καὶ τοὺς πόδας κατασχεῖν, καὶ προσκυνῆσαι· οὕτω καὶ ἡμῶν ἑκάστῳ ἔξεστιν, εἰ βουληθείημεν, οὐ μόνον πόδας κατασχεῖν, ἀλλὰ καὶ αὐτὸν ὅλον λαβεῖν· μόνον ἐὰν προλαβόντες ἐκκαθαρώμεθα τὴν διάνοιαν παντὸς λογισμοῦ βιωτικοῦ, καὶ τὸν ῥύπον τῶν ἁμαρτημάτων ἀποσμηξάμενοι διὰ τῶν δακρύων, δι' ἐλεημοσύνης, οὕτω μετὰ φόβου καὶ φρίκης κατὰ τὴν ὥραν ἐκείνην μάλιστα τῇ φοβερᾷ τραπέζῃ προσιόντες, πάντα θόρυβον καὶ ταραχὴν ἀπελάσαντες τῆς ἑαυτῶν διανοίας, καὶ εἰρηνεύοντες μετὰ πάντων, οὕτω προσεγγίσωμεν τοῖς θείοις μυστηρίοις. μηδεὶς τοίνυν προσιὼν πονηροὺς ἔνδον ἐχέτω λογισμούς, μηδὲ θλιβόμενος τὸν πλησίον αὐτοῦ. μηδεὶς πονηρός, μηδεὶς πόρνος, μηδεὶς λοίδορος, μηδεὶς μισάδελφος, μηδεὶς φιλάργυρος, μηδεὶς μοιχός, μηδεὶς μέθυσος, μηδεὶς πλεονέκτης, μηδεὶς ἀρσενοκοίτης, μηδεὶς φθονερός, μηδεὶς κλέπτης, μηδεὶς ἐπίβουλος, ἵνα μὴ κρίμα ἑαυτῷ λήψηται. παρακαλῶ τοίνυν πάντας ὑμᾶς πολλὴν τὴν ἀγάπην, πολλὴν τὴν εὐλάβειαν, πολλὴν τὴν κατάνυξιν ἐπιδείξασθαι· ἵνα καὶ τὸν μισθὸν μετὰ δαψιλείας κομίσησθε, καὶ δυνηθῶμεν μὴ μόνον τοὺς πόδας κατασχεῖν, καὶ τὰς χεῖρας, ἀλλὰ καὶ τὴν κεφαλὴν διὰ τῆς ἀπολαύσεως τῶν φρικτῶν ἐκείνων καὶ ἀπορρήτων μυστηρίων· μόνον ἐὰν μετὰ καθαροῦ συνειδότος τῶν ἀχράντων μυστηρίων μεταλαμβάνωμεν. καὶ οὐκ ἐνταῦθα ἁπλῶς καθαρῶς βιώσομεν, ἀλλὰ καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ δυνησόμεθα ἰδεῖν αὐτὸν μετὰ τῆς ἀπορρήτου δόξης ἐκείνης, καὶ τοῦ δήμου τῶν ἀγγέλων ἐρχόμενον, εἰ βουληθείημεν ἥμεροι καὶ φιλάδελφοι εἶναι· καὶ οὐχ ἁπλῶς ὀψόμεθα αὐτόν, ἀλλὰ καὶ ναὸς αὐτοῦ γενησόμεθα, καθὼς εἶπεν ὁ Κύριος· Ὅτι ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός· καὶ οὐ μόνον ἀκουσόμεθα παρ' αὐτοῦ, χαίρετε, καθάπερ ταῖς γυναιξὶν εἶπεν, ἀλλὰ καὶ τὰ τῆς βασιλείας ἄξια ῥήματα· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ὧν γένοιτο πάντας ὑμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λευϊτ. κϛ. ιβ.

Ματθ. κε. λδ.

ΕΙΣ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Λογ. μδ.

Ex Ms. Augustano. Μηνὸς Δεκεμβ. κε.

Ὁ τῆς δικαιοσύνης ἀνέτειλε σήμερον ἥλιος, καὶ τὸν πρὶν ἀνατέλλοντα ἐκάλυψεν· ἐλυτρώθην τοῦ σκότους, καὶ οὐ φέρω τὰς ἀκτῖνας· ἐπεγνώσθη μοι πάλιν τὸ φῶς, καὶ ἀμαυροῦμαι τῷ φόβῳ· τὸν τόκον ἀγάλλομαι, καὶ τὸν τρόπον ταράττομαι· νέαν πηγὴν προϊοῦσαν ὁρῶ, καὶ ἀρχαίαν πληγὴν φεύγουσαν· βρέφος εἶδον τικτόμενον, καὶ οὐρανοὺς κλινομένους εἰς τὴν τούτου προσκύνησιν· μητέρα τίκτουσαν, καὶ μήτραν μὴ ἀνοίγουσαν· παιδίον τὴν ἰδίαν σφραγίζον κύησιν· γεννήτορα ἄνανδρον, καὶ υἱὸν ἀπάτορα· σωτῆρα τικτόμενον, καὶ ἀστέρα κτιζόμενον· σπαργανούμενον νήπιον, καὶ βαστάζων ** τὴν ἄπειρον· φάτνην ἐκτυπουμένην εἰς θρόνον ἐπουράνιον, καὶ κτίσιν ἀπεικάζοντα χερουβικὴν παράστασιν· φωστῆρα φαινόμενον, καὶ τὸ θαῦμα φθεγγόμενον· ἀγγέλους προσαναγγέλλοντας, καὶ ποιμένας προφητεύοντας· μάγους θεολογοῦντας, καὶ ἱερεῖς θεομαχοῦντας· Ἡρώδην πίπτοντα, καὶ θάνατον θρηνούμενον· τὸν Ἀδὰμ λυόμενον, τὴν Εὔαν χαίρουσαν, καὶ τὸν ὄφιν πενθοῦντα·

* *

αἰχμαλώτους

αἰχμαλώτους ἐν ἀφέσει γινομένους, καὶ τυράννους ἐν κολάσει· βρέφος γαλουχούμενον, καὶ τρέφοντα τὴν τρέφουσαν· χερσὶ περιφερόμενον, καὶ φέροντα τὴν φέρουσαν· τὴν κτίσιν ἐπιγνοῦσαν, καὶ τὴν φύσιν ἀγαλλιῶσαν. ὅθεν κἀγὼ δεξάμενος τῷ θαύματι, τρέμων τὸ μυστήριον. θαῤῥήσω τῷ Γαβριήλ, καὶ φυγαδεύω μου τὸν φόβον. τὰ πρὸς Μαρίαν ῥήματα, " ἑρμηνεύοντα θαύματα. ποῖα ταῦτα; καὶ φησί· Χαῖρε κεχαριτωμένη, οὐρανίου στάχυος ἄσπειρος ἄρουρα. χαῖρε κεχαριτωμένη, ἀληθινῆς ἀμπέλου ἀψευδὴς μήτηρ παρθένος. χαῖρε κεχαριτωμένη, ἀτρέπτου θεότητος σταμνὴ ἀδιάπτωτος. χαῖρε κεχαριτωμένη, τῆς ἀχωρήτου φύσεως χωρίον εὐρύχωρον. χαῖρε κεχαριτωμένη, τοῦ χηρεύοντος κόσμου νυμφίε, τόκε ἀμίαντε. χαῖρε κεχαριτωμένη, ἡ τῇ κλίσει ὑφάνασα ἀχειρόπλοκον στέφανον. χαῖρε κεχαριτωμένη, πυρὸς ἅγιον οἰκητήριον. χαῖρε κεχαριτωμένη, ἡ τῆς φυγάδος οἰκουμένης ἐπάνοδος. 10 χαῖρε κεχαριτωμένη, τῆς λιμωττούσης κτίσεως ταμιεῖον ἀδαπάνητον. χαῖρε κεχαριτωμένη, ἡ χάρις ἡ ἀπέραντος τῆς ἁγίας παρθένου. χαῖρε κεχαριτωμένη, πολλῶν ἀρετῶν κεκοσμημένη λαμπαδηφόρε, τὸ ἄσβεστον, καὶ τοῦ ἡλίου λαμπρότερον φῶς. χαῖρε κεχαριτωμένη, τοῦ νοητοῦ ἀγκίστρου τὸ δέλεαρ. χαῖρε κεχαριτωμένη, νοερὰ τῆς δόξης κιβωτέ. χαῖρε κεχαριτωμένη, ἡ στάμνος ἡ χρυσῆ, ἡ τὸ οὐράνιον ἔχουσα μάννα. χαῖρε κεχαριτωμένη, ἡ τὴν γλυ- 15 κεῖαν πόσιν τῆς ἀενάου πηγῆς τοὺς διψῶντας ἐμπλήσασα. χαῖρε κεχαριτωμένη, ἡ νοερὰ θάλασσα, καὶ τὸν οὐράνιον ἔχουσα μαργαρίτην Χριστόν. χαῖρε κεχαριτωμένη, ὁ λαμπρὸς οὐρανός, ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς ἐν ἑαυτῇ ἔχουσα Θεὸν ἀχώρητον καὶ ἀστενοχώρητον. χαῖρε κεχαριτωμένη, στυλοειδὴς νεφέλη, ἡ τὸν Θεὸν ἔχουσα τὸν ἐν τῇ ἐρήμῳ καθοδηγήσαντα τὸν Ἰσραήλ. τί εἴπω, καὶ τί λαλήσω; πῶς μακαρίζω τὴν ὁλόῤῥιζον δόξαν; ὅτι, χωρὶς Θεοῦ 20 μόνου, πάντων ἀνωτέρα ὑπάρχεις. ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη, καὶ τῷ βλέμματι φεύγουσα, τῷ σώματι ἵσταται, σταυροτύπῳ ἱστορίᾳ τυποῦσα τὴν θέαν, ἀμφιβόλοις δὲ ποσὶ παρίσταται τῷ ἀγγέλῳ, μήτε φυγεῖν τολμῶσα, μήτε ἵστασθαι θαῤῥοῦσα. ὁρῶσα τὸν ἀσώματον ἱστάμενον, ὡς ἄνθρωπον, παραμένειν ᾐδεῖτο, τιμῶσα τὴν παρθενίαν· ἐρωτᾶν οὐκ ἐτόλμα

* * τὸν ἀνόμοιον. καὶ ἦν τὸ φόβῳ ἐσώτερον τῆς παρθένου περιελθοῦσα τὸ πρόσωπον, λέγουσα 25 ἐν ἑαυτῇ· ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος; ἢ τίς ὁ ἀσπαζόμενός με; ὑπεραστράπτει ἥλιον, καὶ πηλῷ διαλέγεται· ἐξ οὐρανοῦ κατέδραμε, καὶ κόρην ἀσπάζεται· οὐ περιβέβληται σῶμα, καὶ γυναικὶ παρίσταται, ὡς ποσὶ ταῖς πτέρυξι περιπατῶν ἐπὶ τῆς γῆς. τί ζητεῖ πρὸς τὴν ἐκ γῆς; ἄγγελός μοι φαίνεται, καὶ ὡς ἄνθρωπος φθέγγεται. ἐξ ἀσωμάτων ἁγίων φωνή μοι προσβάλλεται. φωστῆρος φωτεινότερον κεκαλλώπισται πρόσωπον· χιτῶνα προβέβληται· νεανίσκον 30 ὁρῶ σάρκα μὴ περικείμενον, πατοῦντα τὸ ἔδαφος, καὶ ἴχνος μὴ ζωγραφοῦντα· γλῶσσαν μὴ κεκινημένον, καὶ τό, χαῖρέ μοι κεκραγότα· χείλη μὴ σαλεύοντα, καὶ χαίρειν μοι προφητεύοντα. οὐκ οἶδα τί λογίσομαι τὴν ἔμφρικτον ὀπτασίαν. εἰ τὸν πεμφθέντα οὐ νοῶ, πῶς γνώσομαι τὸν πέμψαντα; εἰ ὁ μηνύων φοβερός, ὁ μηνυθεὶς φοβερώτερος· εἰ οὕτως ἀπαστράπτων ἠμαύρωσέ μου τὸν νοῦν, ποίῳ σώματι κρύψω δικαιοσύνης τὸν ἥλιον; εἰ δὲ κτίσμα θροεῖ με, πῶς ἐ- 35 νέγκω τὸν κτίσαντα; εἰ τὸν δοῦλον ἐπτόημαι, τὸν δεσπότην πῶς τέξομαι; εἶπε δὲ αὐτῇ ὁ ἄγγελος· μὴ φοβοῦ, Μαριάμ· " οὐ σκελίζῃ ὥσπερ ἡ Εὔα. ἐξ ἐκείνης ὁ θάνατος, ἐκ δέ σου ζωὴ ἀθάνατος· ἐξ ἐκείνης καρπὸς νεκρώσεως, ἐκ δέ σου καρπὸς ζωοποιός· ἐξ ἐκείνης ἀπάτη, ἐκ δέ σου ἀγάπη· ἐξ ἐκείνης τοῖς ἀνθρώποις ὁ τοῦ Θεοῦ χωρισμός, ἐκ δέ σου Θεοῦ καὶ σαρκὸς συμπλοκὴ ἀδιερμήνευτος· ἐξ ἐκείνης ὁ σκοτεινὸς ὕπνος τοῦ ᾅδου, ἐκ σοῦ φωτεινὸς λύχνος 40 τοῦ κόσμου· ἐξ ἐκείνης κατάρα, ἐκ δέ σου εὐλογία· ἐξ ἐκείνης ἡ ἀπόφασις, ἐκ δέ σου ἡ συγχώρησις· ἐξ ἐκείνης ἡ θλῖψις, ἐκ δέ σου ἡ πίστις· ἐξ ἐκείνης τὰ δάκρυα, ἐκ δέ σου ποταμοὶ ὕδατος ζῶντος· ἐξ ἐκείνης οἱ ἱδρῶτες, ἐκ δέ σου ἡ ἀνάπαυσις· ἐξ ἐκείνης ἡ ἀρχαία πληγή, ἐκ δέ σου τριάδος ζωή· ἐξ ἐκείνης μισαδελφία, ἐκ δέ σου φιλανθρωπία· ἐξ ἐκείνης κατακλυσμός,

Λουκ. α. κη.

ἴσ. ἑρμη... ς' τὰ θαύματα

ἴσ. οὐχ ὑπο σκελίζῃ

κατακλυσμός, ἐκ δὲ σοῦ λουτρὸν ἀθανασίας· ἐξ ἐκείνης ὁ φόνος, ἐκ δὲ σοῦ ἀναγέννησις· ἐξ ἐκείνης ζώντων σφαγαί, ἐκ δὲ σοῦ ἡ νεκρῶν ἔγερσις· ἐξ ἐκείνης δωδεκάφυλοι μισητοὶ, ἐκ δὲ σοῦ δώδεκα ἀπόστολοι ἀγάπῃ συνεζευγμένοι· ἐξ ἐκείνης ὁ θάνατος τὸν κόσμον διατρέχει, εἰς σὲ δὲ προσπελάσαν πέπαυται· ἐξ ἐκείνης τὸ σφάλμα, ἐκ δὲ σοῦ ἡ * *

5 ἀνάστασις. μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ· καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ τὸν ἐν πατρὶ καὶ ἐν ἀρχῇ· καὶ τέξῃ υἱὸν τοῦ Ἀδὰμ ἀρχαιότερον, τέξῃ υἱὸν ἐμοῦ παλαιότερον, τέξῃ υἱὸν οὐρανοῦ ὑψηλότερον, τέξῃ υἱὸν τῶν χερουβὶμ αἰώνιον, τέξῃ υἱὸν τῶν αἰώνων δημιουργόν, τέξῃ υἱὸν συναΐδιον τῷ πατρὶ, τέξῃ υἱὸν συναΐδιον τῷ πνεύματι, τέξῃ υἱὸν, * * –

οὗ τὰ πάντα ὑπάρχει, τέξῃ υἱὸν, ὃν ἡμεῖς μὴ καθορώμενοι· τέξῃ υἱὸν, οὗ ἡ μορφὴ λανθάνει με·

10 τέξῃ υἱὸν, ᾧ παρίσταμαι ἔνδοξος. καὶ ἐπλήρωθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτὴν, καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, ὃν οὐκ ἐφύτευσεν ἀνήρ· ἔτεκε τὸν υἱὸν αὐτῆς, ὃν οὐκ ἐβάστασε πατήρ· ἔτεκε τὸν ἀστέρα, ὃν οὐκ ἔστρεψε σῶμα· ἔτεκε δημιουργὸν γενόμενον ἀνθρωπον· ἔτεκεν ἐν σπηλαίῳ, καὶ ἐν Περσίδι ἐφάνη. Τοῦ γὰρ Χριστοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς

Ματθ. β. α.

15 τῶν Ἰουδαίων; ποῦ ἐστιν ὁ μὴ σπαρεὶς καὶ τεχθείς; ὁ περὶ ἑαυτοῦ τὸν ἑαυτοῦ ἀποστείλας ἀστέρα; ποῦ ἐστιν ὁ διὰ ξένης ἀκτῖνος ἕλκων ἡμᾶς πρὸς φῶς ἀγνοούμενον; ποῦ ἐστιν ὁ ἀμετρήτῳ παλάμῃ τηρίζων τὴν οἰκουμένην; ποῦ ἐστιν ὁ πανταχοῦ φαινόμενος, καὶ ἐν ἀρχῇ κρυπτόμενος; ποῦ ἐστιν ὁ λύσας ἡμᾶς τῆς πλάνης, καὶ ὁδηγῶν πρὸς τὴν χάριν; ποῦ ἐστιν ὁ φανεὶς ὑπὸ τὴν δρῦν εἰς τριάδα ἀγγέλων; ποῦ ἐστι τὴν βάτον μὴ φλέξας, καὶ τὴν μητέρα

20 μὴ φθείρας; ποῦ ἐστιν ὁ ἐκ πατρὸς μὴ ὁρώμενος, καὶ μητρὸς κατεχόμενος; ποῦ ἐστιν ὁ ξηράνας τὴν ἐρυθρὰν θάλασσαν, καὶ γαῖαν ποτιζόμενος; ποῦ ἐστιν ὁ πατάξας τὸν Φαραὼ, καὶ Ἡρώδην κρυπτόμενος; ποῦ ἐστιν ὁ τὸν δράκοντα δήσας, καὶ ἐν σπαργάνοις κείμενος; ποῦ ἐστιν, ὃν οὐκ εἶδον ἀρχάγγελοι, καὶ θεωροῦσιν ἄνθρωποι; Καὶ ἰδοὺ ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἔστη ἐπάνω, οὗ ἦν τὸ παιδίον· καὶ προσκυνήσαντες, προσήνεγκαν αὐτῷ δῶ-

ἐπιγνοὺς μὴ ἀναχωρῆσαι τὸν ἐπιστηρίξαντα

* *

Ματθ. β. θ.

25 ρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν. καὶ χρηματισθέντες μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. τῷ δὲ γεννηθέντι Χριστῷ τῷ Θεῷ ἡμῶν ὑμνοῦμεν, καὶ δοξάζωμεν, ἅμα τῷ αὐτοῦ πατρὶ, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΟ, ΟΤΕ ΑΝΕΒΗ Ο ΚΥΡΙΟΣ ΕΙΣ ΤΟ ΙΕΡΟΝ

30 μεσούσης τῆς ἑορτῆς, καὶ εἰς τὸν Μελχισεδέκ. τῇ μεσοπεντηκοστῇ.

Λογ. μη.

Ἰωαν. η. ιδ.

Ex Ms. Augustano.

Ροαὶ, καὶ μῆλον, καὶ φοίνιξ, καὶ οἱ λοιποὶ τῶν ἀκροδρύων καρποὶ τοῦ σώματος ἡδύνουσι φάρυγγα· θεῖοι δὲ λόγοι ἁγίων διδασκάλων ἀγάπῃ κεκερασμένοι, τῇ ἀκοῇ τῆς διδασκαλίας παραπεμπόμενοι, τὸν τῆς

35 ψυχῆς γλυκαίνουσι λάρυγγα. καὶ ὥσπερ ὁ τῶν καρπῶν τῶν δένδρων τρυγήσας, ἐν τῇ τῶν καρπῶν μεταλήψει ἐπαίνους τοῖς δένδροις ἀποδίδωσιν· ὡσαύτως καὶ ὁ τὰ θεῖα λόγια τῶν διδασκάλων ἐν τῷ καρτάλλῳ τῆς ἀκοῆς ἐντρυγήσας, εἶτα τῷ νῷ παραπέμψας, καὶ τὴν τοῦ λόγου γλυκύτητα γευσάμενος, τῷ διδασκάλῳ ἐπαίνους ἐκπέμπων ἐκ χειλέων λέγει· Ὡς γλυκέα τῷ λάρυγγί

Ψαλ. ριη. ργ.

40 μου τὰ λόγιά σου; ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. καὶ ὁ σοφώτατος δὲ Σολομὼν τοὺς καλοὺς λόγους κηρίοις μέλιτος παρεικάσας φησὶ, Κηρία μέλιτος λόγοι καλοί. ὥσπερ γὰρ ὁ λάρυγξ τὰ βρώματα γευόμενος, οἶδε τὰ καλὰ ἀπὸ τῶν φαύλων διακρίνειν· ὡσαύτως καὶ ὁ νοῦς τῆς ψυχῆς τὰ χρηστὰ ῥήματα οἶδεν ἀπὸ τῶν φαύλων διακρίνειν, ὥσπερ φησὶν ἐν τῷ Ἰώβ· Λάρυγξ μὲν γὰρ σῖτα γεύεται, νοῦς δὲ ῥήματα διακρίνει. καὶ μηδεὶς νομιζέτω ἔχειν μὲν τὸν

Παροιμ. ιϛ. κδ.

Ἰωβ ιϛ. ια.

οἰκοδεσπότην

οἰκοδεσπότην ἐν τῷ ἰδίῳ παραδείσῳ δένδρα διάφορα, φοίνικας λέγω, καὶ μῆλα, καὶ ἐλαίας, τὸν δὲ Κύριον ἐν τῷ ἰδίῳ παραδείσῳ τῆς ἐκκλησίας μὴ ἔχειν διάφορα στελέχη τῶν πατέρων, ἕκαστον κατὰ τὴν οἰκείαν χρηστότητα πρὸς τὴν τῶν εἰσπορευομένων ἀπόλαυσιν ἐκ βάθους τῆς καρδίας τοὺς καρποὺς τῶν λόγων προσφέροντα. ὁ μὲν γάρ τίς ἐστιν αὐτῶν, ὥσπερ ἐλαία εὐθαλής, τοῖς φύλλοις τῆς πίστεως κατάκομος, καὶ τοῖς ἔργοις τῆς εὐλαβείας κατάκαρπος· ἄλλος δέ ἐστιν ὥσπερ φοῖνιξ τοῖς βαΐοις τῆς κατὰ διαβόλου νίκης κατεστεμμένος, καὶ τὸν γλυκύτατον καρπὸν τῆς εὐποιΐας τοῖς πένησι προσβαλλόμενος· περὶ οὗ φησιν ἡ γραφή, Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. [Ψαλ. ϟα. ιβ.] ἕτερος δέ τίς ἐστιν, ὥσπερ μῆλον, δύο τέρψεις παρέχων τοῖς ἀνθρώποις, τήν τε ὄσφρησιν φημὶ, καὶ τὴν γλυκύτητα τῷ φάρυγγι· καὶ τὸν τοιοῦτον ἐγκωμιάζουσα ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων ἡ νύμφη ἐκκλησία τί φησιν; [Ασμ. β. γ.] Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ. καί φησιν, ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγι. τί δὲ ποιήσω, ἀγαπητοί, ἐγὼ, ὁ ὀλίγας μὲν φυλλάδας λογίων καὶ καρπῶν κεκτημένος, μήτε τοὺς καυσουμένους ἀναψύξαι ἰσχύων, μήτε τοὺς πεινῶντας τοῖς καρποῖς τῶν λόγων ἐκθρέψαι δυνάμενος; καλὸν γάρ μοι ἦν μεθ' ὑμῶν μανθάνειν τὰ τῶν ἁγίων πατέρων διδάγματα. ἀλλ' ἐπειδὴ φόβος Θεοῦ καὶ ὁ πόθος ὑμῶν πρὸς τὸ λέγειν ἡμᾶς διεγείρει, δύο ἢ τρεῖς λόγους τοῦ γλυκυτάτου εὐαγγελίου λαβόντες καθάπερ φοίνικας, καὶ ἀπογεύσαντες ὑμᾶς διεγείρωμεν. οὕτω γὰρ προθύμως ἐπὶ τὰ καλλίκαρπα δένδρα τῶν ἁγίων πατέρων ζέοντες τῷ πνεύματι ἐπειχθήσεσθε. ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελιστοῦ λέγοντος, [Ιωαν. ζ. ιδ.] Μεσαζούσης τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκεν. οὐ παρῆλθεν ὁ λόγος τοῦ εὐαγγελίου, ἐπειδὴ ἐνέστηκεν ὁ τῆς ἑορτῆς καιρὸς, πρέπουσα τοῖς παροῦσιν ἡ τοῦ εὐαγγελίου ἀνάγνωσις, ἁρμόζουσα τῇ ἡμέρᾳ ἡ διήγησις. ἀδελφὴ γάρ ἐστι τῆς ἐνεστώσης ἑορτῆς ἡ τοῦ λόγου δύναμις. μεσαζούσης τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν· τελεσθείσης δὲ τῆς ἑορτῆς, οὐκέτι ἀναβαίνει εἰς τὸ ἱερὸν, ἀλλ' εἰς τὸν οὐρανὸν ἀνατρέχει. μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. ἑορτῆς δὲ λέγει, οὐ τῆς παρ' Ἕλλησι καὶ Ἰουδαίοις γινομένης, ἔνθα μέθαι καὶ κῶμοι καὶ ᾄσματα πορνικὰ, καὶ θέλγητρα καλλιφωνίας, καὶ ὀρχήσεις πολύστροφοι, ἀλλ' ἑορτῆς ἁγίας πρεπούσης χριστιανοῖς· ἔνθα οὐ μέθαι καὶ κῶμοι, ἀλλ' εὐχαὶ καὶ ὑμνῳδίαι καὶ ἱκεσίαι· ἔνθα οὐκ ᾄσματα πορνικὰ ἐκλύοντα σώματα, ἀλλ' ᾄσματα θεῖα τὰς ψυχὰς ἐνισχύοντα· ἔνθα οὐκ ὀρχήσεις πολύστροφοι, ἀλλὰ ψυχῶν ἁγίων ἐν ἀγαλλιάσει σκιρτήματα. εἰ δὲ θέλεις ἰδεῖν τοὺς παρ' ἡμῖν ᾄδοντας καὶ ὀρχουμένους καὶ σκιρτῶντας οἷοί εἰσιν, ἴδε μοι τὸν Ἡσαΐαν ᾄδοντα καὶ λέγοντα, [Ησ. ε. α.] Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. βλέπε δὲ καὶ χορὸν ἁγίων γυναικῶν, Μαρίαν τὴν ἀδελφὴν Μωϋσέως, μετὰ καὶ ἄλλων γυναικῶν Ἰσραηλιτῶν, ἐπινικίους ὕμνους τῷ Θεῷ ᾀδούσας καὶ λεγούσας· [Εξοδ. ιε. κα.] Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. οὗ μέμνηται καὶ Δαβὶδ ἐν ὕμνοις λέγων, [Ψαλ. ξζ. κζ.] Ἐν μέσῳ νεανίδων τυμπανιστριῶν ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν. καὶ ὁ αὐτὸς μακάριος Δαβὶδ οὐκ ἐπαισχύνεται ἔμπροσθεν τῆς θεοφόρου κιβωτοῦ ὀρχεῖσθαι, ὡς ἔστιν ἀκοῦσαι λέγοντος· [β Βασ. ς. κβ.] Καὶ παίξομαι, καὶ γελάσομαι, καὶ ὀρχήσομαι ἐνώπιον Κυρίου. τὸ γὰρ βρέφος τῆς Ἐλισάβετ Ἰωάννης, θεωρήσας τὸν θεοφόρον βότρυν ἐν τῇ ἀγάμῳ μήτρᾳ ἐπικρυπτόμενον, ἐν τῇ ληνῷ τῆς γαστρὸς χορεύων ἐσκίρτα. μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. ἱερὸν δέ ἐστι Θεῷ μόνῳ οἰκητήριον. λέγουσι γὰρ καὶ Ἕλληνες, ἔχομεν ἱερὸν, ἀγνοοῦντες ὅτι ἐκεῖνο οὐκ ἔστιν ἱερὸν, ἀλλὰ μιαρόν. ὅπου γὰρ αἱμάτων ἔκχυσις καὶ σπονδῶν, καὶ κνίσσαι εἰδωλικαὶ, καὶ τελεταὶ δαιμόνων, ἐκεῖνο οὐκ ἂν εἴη ἱερὸν, ἀλλὰ μιαρὸν τῶν δαιμόνων. μεσαζούσης δὲ τῆς ἑορτῆς ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν. ἱερὸν δέ ἐστι μόνῳ Θεῷ οἰκητήριον ἀνακείμενον, ἔνθα ἀγάπη καὶ εἰρήνη, ἔνθα πίστις καὶ σωφροσύνη αὐλίζεται. διὰ τοῦτο καὶ τὸν ἱερέα τοῦ Θεοῦ τὸν ἱερουργοῦντα τῷ Θεῷ εἰρηναῖον δεῖ εἶναι καὶ γαληνὸν, ἄκλοπον, ἄδολον, ἀφιλάργυρον, ἵνα

προτέρως

προτέρως Θεὸς ἐν τῇ αὐτοῦ ψυχῇ κατορθώσῃ· εἶθ' οὕτω τὸν ναὸν πρὸς τὴν ἑαυτοῦ εἰκόνα μεταῤῥυθμίσῃ. δύναται ἱερὸν λέγεσθαι καὶ ἑκάστου πιστοῦ ἀνθρώπου ψυχὴ κεκαθαρμένη· Οἰκήσω γὰρ ἐν ὑμῖν, καὶ ἐμπεριπατήσω. [Λευϊτ. κϛ. ιβ.] ἱερὸν δὲ ὡς ἀληθῶς ἅγιον, καὶ ἱερεῖον, καὶ ἱερεὺς, αὐτός ἐστιν ὁ Χριστὸς, Ἐν ᾧ, κατὰ τὸν θεῖον ἀπόστολον, πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικεῖ σωματικῶς· [Κολ. β. θ.] πρὸς ὃν εἴρηκεν ὁ πατὴρ, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. [Ψαλ. ρθ. δ.] νῦν ἐκπεσὼν ἐκ τοῦ ἀδοκήτου εἰς μέγιστον ζήτημα, ἀπορῶ ποῦ κλίνω τὸ ὄμμα τῆς διανοίας· ποῦ μεταπλεύσω τῷ πηδαλίῳ τῆς διδασκαλίας οὐκ οἶδα. εἰ γὰρ ὁ ἀπόστολος εἰς τὸ κεφάλαιον τὸ περὶ τοῦ Μελχισεδὲκ ἐληλυθὼς, ὤκνησε λεπτομερῶς διηγήσασθαι, εἰρηκὼς, Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος, [Ἑβρ. ε. ια.] τί ἂν εἴποιμι ἐγὼ τοσοῦτον ἀπέχων τοῦ ἀποστόλου, ὅσον ἀνθρώπου διάκρισις; καὶ ὥσπερ ὁδοιπόρος μέχρις ἂν τινα πεδινὴν καὶ πεδιάσιμον ὁδὸν ἐπιβαίνῃ, ἡδέως τὴν πορείαν ἀνύει· ἐπειδὰν δὲ ἔλθῃ πρὸς τόπον τινὰ τραχύτατον ἢ προσάντη καὶ δύσβατον, ἔνθα ἐστὶν ὄρος οὐρανόμηκες, στὰς καὶ τὸν κάματον τοῦ ἀναφόρου ἀναλογισάμενος, ἠρέμα βαδίζειν ἄρχεται, ἵνα μὴ τάχιον ἀποκείσῃ· ὡσαύτως καὶ ἡμεῖς· ἕως οὗ εἴχομεν τὸ τοῦ εὐαγγελίου προσηνὲς καὶ πεδιάσιμον, τῷ βήματι τοῦ λόγου ἡδέως ἐπορευόμεθα· ὅταν δὲ ἐληλύθαμεν εἰς οὐρανόμηκες νόημα, ἠρέμα ἐπιβαίνειν τῇ οὐρανίῳ κλίμακι ἑρμηνείας ἀρχόμεθα. τί δέ ἐστι τὸ παρὰ πᾶσι χριστιανοῖς ζητούμενον θεώρημα; τίνος ἕνεκεν, φησὶν, ὁ ἀπόστολος μνημονεύσας Μελχισεδὲκ, εἶπεν αὐτὸν ἀπάτορα καὶ ἀγενεαλόγητον, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχοντα; [Ἑβρ. ζ. γ.] τοῦτο οὐκ ἂν εἴη ἄνθρωπος, ἀλλὰ Θεός. πολλοὶ δὲ μὴ νοήσαντες τὰ περὶ αὐτοῦ εἰρημένα, μείζονα τοῦ Χριστοῦ εἶναι εἰρήκασι, καὶ συνεστήσαντο ἑαυτοῖς αἵρεσιν, καὶ λέγονται ἐκεῖνοι Μελχισεδικιανοί· καὶ φιλονεικοῦντες ἡμῖν καὶ βουλόμενοι δεῖξαι, ὅτι μείζων ἐστὶ τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, προφέρουσιν ἡμῖν μαρτυρίαν τὴν γραφὴν λέγουσαν· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. πῶς γάρ, φησιν, οὐκ ἂν εἴη μείζων ὁ Μελχισεδὲκ, οὗ κατὰ τὴν εἰκόνα καὶ τάξιν ἱερατεύει ὁ Χριστός; ἄλλοι δὲ πλανηθέντες, λέγουσιν αὐτὸν εἶναι τὸ πνεῦμα τὸ ἅγιον. ἡμεῖς δὲ λέγομεν αὐτὸν εἶναι ἄνθρωπον ὁμοιοπαθῆ ἡμῖν, καὶ μήτε μείζονα αὐτὸν εἶναι τοῦ Χριστοῦ· τί δὲ λέγω τοῦ Χριστοῦ; ἀλλ' οὔτε Ἰωάννου τοῦ Βαπτιστοῦ. ἀληθὴς γὰρ ὁ λόγος τοῦ Κυρίου, Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. [Ματθ. ια. ια.] ἀλλ' οὔτε μὴν εἶναι αὐτὸν τὸ ἅγιον πνεῦμα. ὅτι δὲ οὐκ ἔστι μείζων τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, εἰπάτωσαν ἡμῖν ἐκεῖνοι τὸ τοῦτο λέγοντες, ποίου περιβόλου, ἢ ποίου χωρίου αὐτὸν εἶναι λέγουσιν. ἆρα οὐρανίου; ἆρα ἐπιγείου; ἆρα καταχθονίου; ἐὰν οὖν εἴπωσιν ὅτι τῶν ἐπουρανίων ἐστὶν ὁ Μελχισεδὲκ ἢ ἄλλου τινὸς χωρίου, ἀκουσάτωσαν ὅτι καὶ τὸ αὐτοῦ γόνυ κάμπτει τῷ Χριστῷ. λέγει γὰρ ὁ ἀπόστολος, ὅτι Αὐτῷ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ἐπουρανίων, ἐπιγείων, καὶ καταχθονίων. [Φιλιπ. β. ι.] εἰ οὖν κάμπτει γόνυ ὁ Μελχισεδὲκ τῷ Χριστῷ, ἐλάττων εἴη προσκυνῶν Μελχισεδὲκ τοῦ προσκυνουμένου ὑπ' αὐτοῦ Χριστοῦ. τί δὲ τὸν παλαιὸν καὶ τὸν ἑξῆς στίχον εἰρημένον παρὰ τοῦ ἀποστόλου οὐκ ἀκούουσιν, ἵνα μάθωσιν αὐτὸν ἐλάττω εἶναι τοῦ Χριστοῦ; ἐπιφέρει γὰρ λέγων, Ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, [Ἑβρ. ζ. γ.] ὥσπερ καὶ ἡμεῖς κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ Χριστοῦ ἐγενόμεθα. ἀλλ' ἴσως τις τῶν ἀκροατῶν ἐπερωτᾷ καὶ λέγει· τί οὖν ἐστιν ἀπάτορα λέγεσθαι καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον τὸν Μελχισεδέκ; πρὸς ὃν ἐροῦμεν, ὅτι Ἰουδαῖοι μὲν εἰρήκασιν αὐτὸν ἐκ πορνείας γεννηθέντα, καὶ διὰ τοῦτο μὴ γενεαλογεῖσθαι ὑπὸ τῆς γραφῆς. πρὸς οὓς ἐροῦμεν, ὅτι κακῶς εἴπατε. εὑρίσκομεν γὰρ καὶ ἄλλους ἀπὸ πορνείας γεννηθέντας καὶ γενεαλογηθέντας. εὐθὺς Σολομὼν ἐκ τῆς τοῦ Οὐρίου γυναικὸς γεννηθεὶς ἐγενεαλογήθη, καὶ Ἀβιμέλεχ υἱὸς Γεδεὼν, ὃς ἐκ πορνείας γεννηθεὶς ἐγενεαλογήθη. τίνος οὖν ἕνεκεν οὐ γενεαλογεῖται ὁ Μελχισεδέκ; ἀλλ' ἐπειδὴ τύπος ἦν τοῦ Χριστοῦ ὁ Μελχισεδὲκ, καὶ εἰκόνα ἔφερε τοῦ Χριστοῦ, διὰ τοῦτο ἡ γραφὴ παρέλιπε τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀγενεαλόγητον αὐτὸν διηγήσατο,

σατο, ἵνα ἐν ἐκείνῳ, καθάπερ εἰκόνι, τὸν ἀληθῶς ἀπάτορα καὶ ἀμήτορα καὶ ἀγενεαλόγητον τὸν Χριστὸν ἐνοπτρισώμεθα. ἀπάτωρ γὰρ Χριστὸς ἐπὶ γῆς κατὰ σάρκα, ἀμήτωρ ἐν οὐρανοῖς κατὰ πνεῦμα, κατὰ τὴν θεότητα. τοιοῦτός ἐστι καὶ τὸ, Μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. οὐ γὰρ ἐγενεαλόγησε τὸν Μελχισεδὲκ ἡ γραφή, ἀλλὰ παρέλιπεν αὐτοῦ καὶ τὴν γέννησιν καὶ τὴν τελευτήν, ἵνα, καθὼς προείπαμεν, ἐν ἐκείνῳ τοῦτον θεωρήσωμεν τὸν ἀληθινὸν Μελχισεδέκ. βασιλεὺς γὰρ δικαιοσύνης ἑρμηνεύεται ὁ Μελχισεδὲκ, ὅς ἐστι Χριστὸς, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων. οὔτε γὰρ ἀρχὴν ἡμερῶν ὁ Θεὸς λόγος εἶχεν, οὔτε ἔληξέ ποτε ἢ ἐτελεύτησεν. εἰς ἀεὶ γὰρ ὁ Χριστὸς διαμένει. ἀντιλέγουσι γὰρ ἡμῖν οἱ Μελχισεδεκιανοὶ λέγοντες, τί οὖν ἐστιν ὃ λέγει πρὸς αὐτὸν ὁ πατὴρ, σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ; πρὸς οὓς λέγομεν, ὅτι ἐπειδὴ ὁ Μελχισεδὲκ ἀνὴρ δίκαιος γέγονε, καὶ ἀληθῶς εἰκόνα Θεοῦ φέρων ἐν ἑαυτῷ. προφητικῷ τοίνυν πνεύματι κινούμενος, τὴν μέλλουσαν ὑπὸ Χριστοῦ προσφορὰν τῷ Θεῷ προσκομίζεσθαι νοήσας, ἄρτῳ καὶ οἴνῳ τὸν Θεὸν ἐγέραιρε, μιμούμενος τὸν μέλλοντα Χριστόν. ἐπειδὴ οὖν ἐν τῇ τῶν Ἰουδαίων συναγωγῇ ἡ τάξις τοῦ Ἀαρὼν θυσίαν προσέφερεν, οὐκ ἄρτον καὶ οἶνον, ἀλλὰ μόσχους καὶ ἀμνοὺς, καὶ ἐναίμοις θυσίαις ἐδόξαζε τὸν Θεὸν, ὁ Θεὸς πρὸς τὸν μέλλοντα γεννᾶσθαι ἐκ τῆς παρθένου Μαρίας Ἰησοῦν βοᾷ καὶ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, οὐ κατὰ τὴν τάξιν Ἀαρὼν, τοῦ ἐν μόσχοις καὶ ἀρίαις καὶ ἐναίμοις θυσίαις λατρεύοντος, ἀλλὰ σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, ἐν ἄρτῳ καὶ οἴνῳ τὴν τῶν ἐθνῶν προσκομίζων προσφορὰν εἰς τὸ διηνεκές. ἀλλ' ἵνα μὴ δόξωμεν, ἀγαπητοὶ, ἐρεσχελεῖν μηκύνοντες τὸν λόγον, ἐνταῦθα στήσαντες τὸν λόγον, τῇ τῶν πατέρων πηγῇ τῆς διδασκαλίας παραπέμψομεν ὑμᾶς, οἵτινες καὶ τὴν δίψαν τῆς ψυχῆς ὑμῶν καταπαύσωσι, καὶ τὰς καρδίας ὑμῶν εὐφράνωσι, πνεύματος ἁγίου πληρωθέντες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μϛ.

ΕΙΣ ΤΗΝ ΜΕΣΟΠΕΝΤΗΚΟΣΤΗΝ.

Ιωαν. ζ. ιδ.
Ex Ms. Augustano.

Ὅπου δ' ἂν ὁ δεσπότης ὡς πηγὴ ζωῆς σωματικῶς παραγίνεται, πολλοὺς καὶ διαφόρους ἀπορεῖ τοὺς τῆς φιλανθρωπίας κρουνούς. ἀνῆλθεν εἰς ὄρος μετὰ τῶν μαθητῶν, καὶ τὰ τῶν μακαρισμῶν τοῖς ἀκροωμένοις προβάλλεται ῥεῖθρα. κατῆλθεν ἐκεῖθεν, καὶ ταῖς ποικίλαις νόσοις ἐνεχομένοις ὀχετοὺς ἰαμάτων κατέχεεν. ἐπέστη τῇ προβατικῇ κολυμβήθρᾳ, καὶ τὸν παράλυτον τὴν ῥῶσιν ἐπότισεν. εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Πέτρου, καὶ τὴν τούτου πενθερὰν πυρετῷ φλεγομένην ἐδρόσισεν. κατέλαβε τὴν Βηθανίαν, καὶ ζωῆς ποτήριον τὸν τεταρταήμερον Λάζαρον ἐπότισεν. ὑπαντήσας τῷ λεπρῷ, καὶ τὰς τοῦ πάθους φολίδας τῷ σπόγγῳ τῆς φιλανθρωπίας ἀπέσμηξεν. ἐπέστη τῇ συναγωγῇ, καὶ τὸν ξηρὸν τῆς χειρὸς βλαστὸν πρὸς κίνησιν ἐνεργὸν ἐνώτισεν. παρέβαλε τοῖς γάμοις, καὶ παραδοξοποιίας οἶνον τοῖς κληθεῖσιν ἐκέρασε· καὶ ἄλλα μυρία, ἅπερ ἀριθμεῖν δυσχερές. ἀνέβη καὶ σήμερον εἰς τὸ ἱερὸν, καὶ τοὺς τῆς διδασκαλίας τοῖς ἀκροωμένοις ποταμοὺς προεβάλετο. ἠκούσατε γὰρ τῆς εὐαγγελικῆς ἀναγνώσεως, ἣν προσφόρως ἡμῖν καὶ κατὰ τὴν μέσην τῆς ἑορτῆς ἐφ' ὑψηλοῦ βήματος ἑστὼς ὁ εὐαγγελιστὴς μεγαλοφώνως ἀνέκραξε, καθάπερ τινὶ σάλπιγγι τῇ φωνῇ τοῦ Λευίτου χρησάμενος. Ἤδη δὲ, φησὶ, τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκε. γέμον καὶ αὐτὸ φιλανθρωπίας τὸ γράμμα. οὐ γὰρ εἶπε, διωγμῶν ἐνεστώτων, ἤ, λύπης παρούσης, ἤ, ἀθυμίας τοὺς μαθητὰς κατεχούσης, καὶ τοιούτων ἄλλων τινῶν ὑφήγησιν, περὶ ὧν συνεχῶς ἡ τῶν ἀποστόλων ἐκωμῴδησε πρᾶξις· ἀλλὰ τί φησιν; ἤδη τῆς

Ιωαν. ζ. ιδ.

ἑορτῆς

ἑορτῆς μεσούσης. τί μεσούσης τῆς ἑορτῆς, εἰπέ, Ἰωάννη; Ἡρώδης τὰς χεῖρας ἐπέβαλε; συμ-
βούλιον πονηρὸν ὁ τῶν Ἰουδαίων συνεκρότησε δῆμος; πάλιν πρὸς προδοσίαν Ἰούδας; οὐχί, φη-
σιν· ἀλλὰ τί; ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, καὶ ἐδίδασκε. τὰ πρέποντα τῷ Χριστῷ παρα-
τέθεικας τῷ Χριστῷ, τὴν ἁρμόζουσαν αὐτῷ πρᾶξιν προσήνωσας. ἔργον γὰρ λόγου τὸ
5 λαλεῖν, καὶ διδασκάλου τὸ διδάσκειν, καὶ Χριστοῦ τὰ τῆς ὠφελείας τοῖς ἀκροωμένοις προΐ-
εσθαι ῥήματα. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, καὶ ἐδίδασκεν. ὢ τῆς ἀνυπερβλήτου φιλαν-
θρωπίας. ἕως κατὰ μικρὸν ἐλιθάζετο, ἐν ταῖς τῶν λόγων διδασκαλίαις τοὺς λιθά-
ζοντας ἐπλούτιζεν. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, καὶ ἐδίδασκεν. ὅπου τὰ Μωϋσέως ἀνεγινώσκετο
νόμιμα, ἐκεῖ τὰ τῆς χάριτος παρετίθη διδάγματα, οὐ καταργῶν τὸν νόμον, ἀλλὰ πληρωτὴς
10 τοῦ νόμου γινόμενος. αὐτὸς γὰρ καὶ ἐν τοῖς εὐαγγελίοις ἀνέκραξεν, Οὐκ ἦλθον καταλῦσαι — Ματθ. ε. ιζ.
τὸν νόμον, ἀλλὰ πληρῶσαι· καὶ Παῦλος διὰ στόματος ἔχων τὸν δεσπότην φθεγγόμενος,
Τέλος γὰρ νόμου, φησί, Χριστὸς εἰς δικαιοσύνην. ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, ἀνέβη ὁ Ἰησοῦς — Ρωμ. ι δ.
εἰς τὸ ἱερόν, καὶ ἐδίδασκε, πάντας τῆς προσευχῆς ἐκδιδάσκων τὸν τόπον· ἐκεῖσε τὸν τῆς
κατηχήσεως ποιούμενος λόγον ὡς λόγος, ἔνθα καὶ τὸ πονηρευόμενον συνέδριον ἠθροίσαι. ὁ
15 κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερεὺς ἀνέβη εἰς τὸ ἱερόν, καὶ ἐδίδασκε, πολλῶν μὲν ἀκουόντων, οὐ-
δενὸς δὲ τῶν Ἰουδαίων μανθάνοντος. περὶ αὐτῶν γὰρ ὁ προφήτης προαγορεύων ἐβόα,
Ὀφθαλμοὺς ἔχουσι, καὶ οὐ βλέπουσιν· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούουσιν. ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱε- — Ψαλ. ριγ. ιγ.
ρὸν καὶ ἐδίδασκε, τὴν τῶν θεομάχων ἄνοιαν στηλιτεύων. ἀνέβη εἰς τὸ ἱερόν, ἵνα τῆς οὐρανίου
διδασκαλίας ἀναπετάσας τὰ δίκτυα, λογικὴν δὲ ἀνθρώπων ποιήσηται θήραν. ἀνέβη εἰς
20 τὸ ἱερὸν ὁ Ἰησοῦς· ἀνῆλθεν, ἀλλ' Ἰουδαῖοι κατῆλθον τῆς πίστεως. ἤδη δὲ τῆς ἑορτῆς μεσούσης,
ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερόν, καὶ ἐδίδασκεν. ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες· πῶς οὗτος οἶδε
γράμματα, μὴ μεμαθηκώς; ἐθαύμαζον, ἀλλ' οὐκ ἐπίστευον· κατεπλήττοντο τὴν τῆς σο-
φίας ὑπερβολήν, ἀλλ' οὐ μετεγίνωσκον τῇ τῆς κακίας πεπληρωμένοι δεινότητι. ἐθεώρουν
τὸν ἰατρὸν προτιθέντα τὰ φάρμακα, καὶ νοσοῦντες τὴν θεραπείαν οὐ προσεδέχοντο. ἔ-
25 βλεπον τὸν ῥυόμενον, καὶ τὴν αἰχμαλωσίαν ἐφίλουν· ἔχοντες ἐν μέσῳ τῶν ἀγαθῶν τὸν λει-
μῶνα, τὰς ἀκάνθας συνέλεγον· τοῦ λιμένος παρόντος, ἐναυάγουν τῇ δίψει· σοφίας προ-
χεούσης τὰ θεῖα διδάγματα, τῶν φόνων ἀποπλύνασθαι τὸν βρόμον οὐκ ἤθελον· Χριστοῦ
τὰς πτέρυγας τῆς φιλανθρωπίας ἁπλοῦντος, σκέπεσθαι οὐκ ἠνείχοντο τῶν ἐχιδνῶν τὰ γεν-
νήματα. Ποσάκις γάρ, φησιν ἐν τοῖς εὐαγγελίοις, ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν,
30 ὡς ὄρνις τὰ νοσσία ἑαυτῆς, καὶ οὐκ ἠθελήσατε; ἐθαύμαζον οὖν οἱ Ἰουδαῖοι λέγοντες, πῶς οὗτος οἶδε — Ματθ. κγ. λζ.
γράμματα, μὴ μεμαθηκώς; ὦ, τῶν πραγμάτων νόμον ἀγνοεῖς, Ἰουδαῖε· καὶ ἀγνοεῖς τὰ τοῦ νό-
μου παιδεύματα; λέγεις, πῶς οὗτος οἶδε γράμματα, μὴ μεμαθηκώς; εἰπέ μοι, ὦ τῆς
ἀληθείας ἐχθρέ, πῶς ὁ Ἀδάμ, γράμματα μὴ μεμαθηκώς, τοῖς θηρίοις προσφόρους τὰς
ὀνομασίας ἐπέθηκε; τὸν δοῦλον οὐκ ἐρωτᾷς, καὶ τὸν δεσπότην λογοθετεῖς λέγων, πῶς οὗτος
35 οἶδε γράμματα; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμ- — Ιωαν. ζ. ιϛ.
ψαντός με πατρός. καὶ πότε Θεὸς κατὰ μετάβασιν ἀποστέλλεται τόπου; πότε δὲ ὁ τὰ πάντα
πληρῶν ἔνθα πάρεστιν; ἔρχεται πρὸς τοὺς Ἰουδαίους ὁ λόγος, οὐ πρὸς τοὺς εὐσεβεῖς μανθά-
νειν εἰδότας ἡ ῥῆσις. ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με πατρός, ὅς μοι καὶ — Ματθ. γ. ιζ.
τὴν ἐξ οὐρανοῦ μαρτυρίαν ἐπὶ πάντων ὑμῶν προεβάλετο λέγων, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀ-
40 γαπητός. περὶ ἐμοῦ καὶ Ἰωάννης ἀνέκραξεν, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ — Ιωαν. α. κθ.
κόσμου. ἀμνὸς γὰρ ἀληθῶς ὁ Χριστός, ὁ σήμερον ἀνελθὼν εἰς τὸ ἱερόν, καὶ τὴν τῆς ἀληθεί-
ας φωνὴν ὁ Ἰωάννης ἐπ' αὐτῷ προεβάλετο. φωνὴ γὰρ ὤν, δεόντως τὸν λόγον ἐνεκωμία-
σε· λύχνος ὤν, τοῦ ἡλίου τὰς λαμπάδας ἐγνώρισεν· ὡς πρόδρομος, ἐμήνυσε τὸν ἐρχόμενον·
ὡς αὐγή, τὸν ὄρθρον ἐκήρυξεν· ὡς στρατιώτης, τὸ τοῦ βασιλέως ἐδημοσίευσεν ὄνομα. ἴδε ὁ

ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀμνὸς, ὃν ἀμνὰς μὲν παρθένος ἀσπόρως συλλαβοῦσα, ἀφθόρως ἐγέννησεν, ἡ φάτνη δὲ, ὡς χλοηφόρον, παιδίον αὐτὸν ὑπεδέξατο, ἔλουσε δὲ ὁ Ἰορδάνης, ὁ Ἰωάννης ἐβάπτισεν, Ἰούδας τοῖς Ἰουδαίοις ἐπώλησεν, ἔσφαξε Πιλάτος, ὁ τάφος προσέθηκεν, καὶ ἡμεῖς ὠψωνήσαμεν, καὶ τοὺς πτωχοὺς γυμνοὺς ὄντας ἐκ τῆς παραβάσεως τοῦ Ἀδὰμ πάντας ἠμφίασεν. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 5

Λογ. μζ
Ιωαν. δ. ς.

ΕΙΣ ΤΗΝ ΣΑΜΑΡΕΙΤΙΝ. ΤΗ ΗΜΕΡΑ τῆς μεσοπεντηκοστῆς.

Ex Ms. Augustano.

Φέρε τοίνυν σήμερον, ἀγαπητοὶ, καθὼς ἂν ἡ θεία χάρις δίδωσι, τοῖς ἀγγελικοῖς θησαυροῖς ἐγχειρήσωμεν. κοσμεῖ γὰρ τὸ περὶ ταῦτα φιλομαθὲς τὰς ψυχὰς, καὶ τὴν γηΐνην ἐκτείνει πρὸς οὐρανὸν ἕξιν. ἐπεὶ γὰρ φιλομάθεια τὴν θαυμασίαν ἐκείνην Σαμαρεῖτιν ἐξ ὑδροφόρου κατασκευάσειν ἔνθεον. ζητοῦσα γὰρ μαθημάτων θησαυρὸν προσέδραμε· μᾶλλον δὲ οὐχ εὗρεν, ἀλλ' εὕρηται. οὐ γὰρ ἀνέβαινε Χριστὸς ταῖς τῶν δεομένων ἀναζητεῖσθαι σπουδαῖς, ἀλλ' αὐτὸς ἐφ' ἑκάστης ὤδινει βοηθείας. συνείχετο μεριμνῶν παραλύτους, συναλγῶν τοῖς πυρέττουσι, τὰ τῶν τυφλῶν οἰκειούμενος, τὴν ἐπὶ τοῖς λεπροῖς περιφέρων φροντίδα, τρέχων εἰς δαιμονιώντων βοήθειαν, ἐκπλύνων ἐρρυπωμένας ψυχὰς ἁπάντων, ὑδροφορούσαις διδάσκαλος. τότε γὰρ ἐκ τῆς ὁδοιπορίας κεκοπιακὼς παρεκαθέζετο τῷ φρέατι. (Ιωαν. δ. ς.) Ὁ γὰρ Ἰησοῦς, φησὶ, κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη. ἐπάλληλος ἀπληστία φιλανθρωπίας· πρῶτον μὲν, ὅτι κέκμηκε, τῆς Σαμαρείτιδος σπεύδων προετοιμάσαι σωτηρίαν· δεύτερον, ὅτι ἐκαθέζετο, μένων συνθῆναι φθάσασαν· τρίτον, ὅτι τὸν τοῦ ἀρίστου καιρὸν εἰς τὴν ὑπὲρ αὐτῆς προσεδρίαν ἀνήλισκεν. ὥρα ἦν, φησὶν, ὡσεὶ ἕκτη. εἰ γὰρ καὶ Θεὸς ἦν, ἀλλὰ τὸ φαινόμενον τοῖς τῆς φύσεως τέως περιεβέβλητο πάθεσιν, αἰσθανόμενος κόπων, ὑποκείμενος ὕπνῳ, διοχλούμενος πείνῃ, πᾶσαν ἔχων πρὸς ἡμᾶς, πλὴν ἁμαρτίας, συγγένειαν. ἐνίκα δὲ ὅμως ἐν αὐτῷ τῶν σωζομένων ὁ πόθος τὸν τοῦ σώματος κόπον. (Ιε. ιια. πε.) ἐβράδυνε μᾶλλον τοῦ κοπιάσαντος ἡ χρήζουσα, καὶ ὁ μὴ χρήζων περιέμενεν. ἐφλέγετο τῷ τῆς μεσημβρίας αὐχμῷ, καὶ τὴν τῆς σωθησομένης προσεδρίαν ἐκαιροτήρει. ἐκαθέζετο γὰρ, φησὶν, ἐπὶ τῇ πηγῇ, οὐδὲ κατακλινόμενος τὴν θήραν ἀνέμενεν, ἀλλ' ὠδίνων παρασχεῖν σωτηρίαν, ἐν ἑτοίμῳ τῇ Σαμαρείτιδι προητοιμάζετο. ἡ δὲ γέ που τάχα τῆς οἰκίας ἐξῄει κατὰ μικρὸν προϊοῦσα, γυναικικοῖς χρωμένη βαδίσμασιν, ἀειρομένη, τὴν ὑδρίαν ἐπαγομένη πρὸς καρπὸν ὡς ἐν ἀγρῷ θεωρίαν, ἱσταμένη πολλάκις μεταξὺ τοῦ βαδίσματος. ὁ κατάσκοπος ἄοκνος καὶ ἀφανὴς, θηρευτὴς ἐπισήμων, κρύψας δὲ τὸν εὐεργέτην, ὡς ἐνδεὴς ἐμφανίζεται. λέγει γὰρ, φησὶν, ὁ Ἰησοῦς· γύναι, δός μοι πιεῖν. σπείρει τὴν φωνὴν, ὡς κόκκον ῥεμβομένῃ περιστερᾷ. δός μοι πιεῖν. ὑποκρίνεται δίψαν ὁ ἐλθὼν αὐτῇ κεράσαι σωτηρίας ποτήριον· μᾶλλον δὲ, εἴ τις λεπτότερον τὴν φωνὴν μεταληφθείη, ἀληθὲς τοῦ δεσπότου τὸ δίψος. ἐδίψα γὰρ τὴν αὐτῆς σωτηρίαν, καὶ δικαίως πρὸς αὐτὴν ἐβόα, δός μοι πιεῖν. ἔχεις, φησὶν, ἐν ἑαυτῇ κεκρυμμένην εὐγνωμοσύνης πηγήν· ἀπ' ἐκείνης μοι νᾶμα γεμίσασα πότισον. ἀλλ' οὐκ ᾐσθάνετο τῶν αἰνιγμάτων τὸ γνήσιον, ψιλῇ δὲ φωνῇ προσέχουσα, πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; μετὰ ὁδοιπορίας κόπου δίκην τῷ Χριστῷ δογμάτων ἀπαίτησιν· ἀλλ' ἅπαξ ἐληλυθὼς τὰ ὑπὲρ ἡμῶν ἀναδέξασθαι, φορητὰ τὰ συμβαίνοντα. διὰ τοῦτο καὶ τὴν ἐκ Σαμαρείτιδος ἐπιτίμησιν φέρει. ἤδετο γὰρ καπηλῶν τῆς ἀξίας, ἵνα τῆς ἁμαρτωλοῦ εὐτελείας ἀναγάγῃ τὴν ψυχήν. ἁμαρτωλὴ ἧς εὐτέλεια τὴν Σαμαρεῖτιν κατεῖχε, πορνικῷ ἐρρυπαίνετο βίῳ, ἐρα-

στῶν

στὴν ἐξ ἐραστοῦ μετελάμβανε, γάμοι εἶχε τὸν τοῦ ἔρωτος χρόνον, ὕπανδρος ἦν ἐραστῶν
νύμφη, χήρα τις διὰ παντὸς καὶ νεόγαμος· μᾶλλον δὲ οὔτε χήρα καθαρῶς, οὔτε νύμφη. οὔτε
γὰρ θανάτῳ τὸν πρῶτον κεχώριστο, οὔτε γάμοις νομικοῖς τοῖς δευτέροις συνήπτετο. τούτου
μάρτυς πρὸς αὐτὴν ὁ δεσπότης. Καλῶς, φησιν, εἶπας ὅτι ἄνδρα οὐκ ἔχω. πέντε γὰρ ἄν- Ιωαν. δ. ιζ.
5 δρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ. τοῦτο ἀληθὲς εἴρηκας. ἀλλ' ἦν μαργαρίτης
βορβόρῳ φυρόμενος, καὶ τὸν τοιοῦτον οὐκ ἔλαθεν ἔμπορον. τῆς γὰρ ψυχῆς τὰς αὐγὰς ἐδεί-
κνυ τοῖς ῥήμασι. πῶς σύ, φησιν, Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς οὔσης γυναικὸς Σαμαρεί-
τιδος; πῶς σύ; καὶ τό, σύ, θυμουμένης. πῶς ζητεῖς παρ' ἐμοῦ πιεῖν; εἰ μὲν ὡς ταῦτά μοι φρο-
νῶν, ἔσομαί σοι πρὸς τὴν αἴτησιν ἑτοίμως· εἰ δὲ τὰ Ἰουδαίων ποθεῖς, μὴ ζήτει παρ' ἀλλοφύ-
10 λων δεξίωσιν· μὴ δῶρον, ὅπερ ἀποφεύγεις, ἀπαίτει. ἐνόμιζεν ἡ Σαμαρεῖτις διὰ τὴν τῆς
δίψης ἀνάγκην, τὸν Κύριον Σαμαρειτικῇ συγκαλεῦσαι λατρείᾳ. οὐκ ᾔδει δὲ δεσμουμένη
τοῖς ῥήμασιν. ἐδέδετο γὰρ τῇ πρὸς τὸν Κύριον ἀποκρίσει, μᾶλλον δὲ ταῖς παρὰ τοῦ Κυρίου
πρὸς αὐτὴν φωναῖς· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πι-
εῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. ἐπειδὴ μέν, φησι, διασύρεις τὴν δίψαν,
15 καὶ καλεῖς Ἰουδαῖον πρὸς ὑμᾶς ἀκοινώνητον, μάθε πολὺ τῆς ἐπ' ἐμοὶ σφαλλομένην δοκιμασί-
ας. οὐκ οἶδάς μου τὴν ἀληθῆ γενεάν, οὐκ οἶδας τὴν παρ' ἐμοῦ φιλοτιμίαν οὖσαν πολ-
λήν, οὐκ οἶδας οἷα νάματα τῆς πηγῆς παρ' ἐμοί. εἰ γὰρ ᾔδεις, ᾔτησας ἄν. νῦν δὲ ἀγνο-
οῦσαν οὐ μέμφομαι, αἰτησάσῃ δὲ δίδωμι. πρὸς ὄρεξιν δίψης τὴν μὴ διψῶσαν κινεῖ, πρὸς
χρείαν ποτοῦ τὴν ποτίζουσαν στρέφει· τοσοῦτον γοῦν τοῖς λόγοις τὸ γύναιον καὶ τοῦ ὕδατος
20 ποθεῖν ἦλθεν. προσδραμοῦσα γὰρ πρὸς τὸν Κύριον ἔλεγε, Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ
διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. ἡ δὲ πρὶν ποτίζειν ἠξιωμένη, νῦν ἀξιοῖ ποτισθῆναι.
αἱ γὰρ εὐφυεῖς γνῶμαι εὐγεώργητοι τυγχάνουσιν· οἵα τις ἦν ἡ τῆς μακαρίας ταύτης Σα-
μαρείτιδος γνώμη, οἷος ὁ τόπος κεκαθαρμένος ἀκανθῶν ἀπιστίας, οὐκ ἔχων Ἰουδαϊκὴν βασκα-
νίαν. αὕτη γὰρ τὸν Μεσσίαν προσδοκῶσα, καὶ τυχοῦσα τῆς αὐτοῦ θεϊκῆς διδασκαλίας, ἐπί-
25 στευσεν εἰλικρινῶς· καὶ οὐ μόνη τὸ δῶρον κατέσχεν, ἀλλὰ καὶ τοὺς ἑαυτῆς πολίτας ἔπεισε πρὸς
αὐτὸν δραμεῖν, ἀποστολικῶς κηρύξασα· Δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα, ὅσα Ιωαν. δ. κθ.
ἐποίησα. μήτι οὗτός ἐστιν ὁ Χριστός; ὢ γυναικὸς σοφοῦ· ἠπίστατο ὅτι γυνὴ ἀπαράδεκτός
ἐστιν εἰς μαρτυρίαν· διὰ τοῦτο τοὺς ἄνδρας τῆς πόλεως αὐτῆς ἐπισπᾶται μάρτυρας, ἵνα
πολλῶν πρόξενος σωτηρίας γένηται. φησὶν οὖν ὁ εὐαγγελιστής, Ἐκ δὲ τῆς πόλεως ἐκείνης Ιωαν. δ. λθ.
30 πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης,
ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν
μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λό-
γον αὐτοῦ· τῇ τε γυναικὶ ἔλεγον, ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν. ἡμεῖς γὰρ ἀκη-
κόαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός. εἶδες, ἀγαπητέ, τοῦ
35 Χριστοῦ τὴν δίψαν, καὶ πῶς βρῶμα καὶ πόμα τὴν σωτηρίαν εἶχε τῶν πιστευόντων ἐπ' αὐ-
τῷ; Ἐμὸν γάρ, φησι, βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με πατρός, καὶ τελειώ- Ιωαν. δ. λδ.
σω αὐτοῦ τὸ ἔργον. τούτου χάριν διψῶν ποτίζει τὴν Σαμαρεῖτιν ὕδωρ, ἀντλήσασα δὲ αὕτη
ἐπέδωκε δαψιλῶς τοῖς πολίταις αὐτῆς ἀφθόνως τὴν τοῦ Κυρίου δωρεάν. διὰ ταύτης ὁ τοῦ
Ἀβραὰμ δῆμος Σαμαρειτικῆς γνώμης δυσμαθέστερος. τοῖς μὲν γὰρ οὐδὲ τὰ παρὰ τὸν
40 ναὸν ὠφέλει μαθήματα· τῇ δὲ καὶ ἡ παρὰ τὸ φρέαρ διάλεξις ὠφέλει. προσταγάμεθα τοίνυν
τὰ τῆς Σαμαρείτιδος εἰς ἐκείνης καλά, ζῆλον οἰκειωσώμεθα θεῖον, φιλομαθίαν πειθήσωμεν
εὐγνώμονα ἡμεῖς. κἂν ἐν ἐκκλησίᾳ διαλεγώμεθα τὰ θεῖα, νομίσωμεν καὶ πρὸς ἡμᾶς λέ-
γεσθαι τὸ πρὸς ἐκείνην παρὰ τοῦ δεσπότου Χριστοῦ, Τοὺς προσκυνοῦντας τὸν Θεόν, ἐν Ιωαν. δ. κγ.

πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μη. Λουκ. ζ. λς.

ΕΙΣ ΤΗΝ ΓΥΝΑΙΚΑ ΤΗΝ ΑΜΑΡΤΩΛΟΝ ΤΗΝ ΑΛΕΙψασαν τὸν Κύριον μύρῳ, καὶ εἰς τὸν φαρισαῖον. τῇ ἁγίᾳ καὶ μεγάλῃ Δ.

Ex MS. Collegii Novi Oxon.

Ἱκανῶς ἡμᾶς πρώην ἐψυχαγώγησεν ὁ Χριστὸς παρὰ Ζακχαίῳ ἑστιώμενος. ὅπου γὰρ Χριστὸς ἑστιᾶται, καὶ τοῖς ἀνθρώποις συνανακλίνεται, καὶ τόπου καὶ τραπέζης ἀπολαύει τῆς ἡμετέρας, πάντα πρὸς τὸν τῆς εὐφροσύνης μεταπίπτει λόγον. τίς γὰρ τελωνῶν, ἢ πορνῶν, ἢ τῶν τὰ ἄρρητα ἐργασαμένων δεινά, τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν ** συνεσθίοντα τελωνικῶς βλέπων, καὶ τὸν τῶν σταχύων δοτῆρα ἄρτον ἀνθρώπινον μετὰ χάριτος λαμβάνοντα, καὶ τὸν τῶν βοτρύων χορηγὸν τῇ κοινωνίᾳ τοῦ πότου τοὺς λευκοὺς εὐλογοῦντα, μὴ ἑορτὴν καὶ πανήγυριν θέσθαι τὸ πρᾶγμα δικαιώσειεν; αὕτη ἀληθῶς ἑορτή, αὕτη ἀληθῶς ἀγγελικῆς ἑστιάσεως εὐφροσύνη, τὸ τὸν δεσπότην μετὰ δούλων, τὸν Θεὸν μετὰ ἀνθρώπων, τὸν δικαστὴν μετὰ τῶν ὑπευθύνων ὁρᾶν κοινῆς ἀπολαύοντα τραπέζης. διὰ τοῦτο γὰρ ἐπὶ γῆς ἦλθεν, οὐκ ἔρημον καταλιπὼν τὸν οὐρανόν, καὶ ἄνθρωπος γέγονεν, οὐκ ἀποδὺς τὸ εἶναι Θεός, ἵνα καὶ τὴν θάλασσαν πλέων, τοὺς εἰς τὸ βιωτικὸν χειμαζομένους πέλαγος ἐκ τοῦ βυθοῦ ἀνασύρῃ τῆς ἁμαρτίας, καὶ κώμας καὶ πόλεις περιιών, γνωστούς τε καὶ ἀτρίπτους καὶ δρόμους περιτρέχων, τοὺς ἐν ταῖς τριόδοις πλανωμένους, ὡς ἀποίμαντα πρόβατα, ἐπὶ τὴν ἰδίαν ἐπισυναγάγηται ποίμνην. αὐτὸς γάρ ἐστιν ὁ τὸ ἀπολωλὸς πρόβατον ἐπιζητῶν, ὁ τὰ ἐνενήκοντα ἐννέα καταλιπών, καὶ περὶ τὴν τοῦ ἑνὸς παραγινόμενος ζήτησιν. ἐζήτει γὰρ τὸ ἕν, οὔτε τῶν πολλῶν καταφρονῶν, οὔτε τοῦ πλήθους τὸ ἓν προκρίνων· ἀλλὰ τὰ μὲν ἐνενήκοντα ἐννέα κατελίμπανεν (εἶδε γὰρ ἀσφαλῶς αὐτὰ ἐν τῇ μάνδρᾳ αὐλίζεσθαι) τὸ δὲ ἓν περιιὼν ἐζήτει, ἵνα μὴ θοίνη τῷ διαβόλῳ γένηται. πρόβατον γὰρ ἀποίμαντον θηρσὶν ἕτοιμον δεῖπνον· καὶ ψυχὴ ἀσφράγιστος, δαίμοσιν εὐεπιβούλευτος. ὅθεν πρώην τὸν Ζακχαῖον, ὡς πρόβατον ἐκ στόματος λύκου, ἀφήρπασε, καὶ τῇ μάνδρᾳ συνέμιξε, καὶ σφραγῖδος ἠξίωσεν. ὡς γὰρ ποιμὴν πρόβατον ἀποπλανηθὲν θηρεῦσαι θέλων, χλοηθὲς ζῶον ἐᾷ, ἵν' ἀπολύτως νεμόμενον τὸ ἀποπηδῆσαν ἑλκύσῃ ἠρέμα· οὕτω καὶ ὁ τοῦ Θεοῦ λόγος τὴν σάρκα, ἣν ἐκ τῆς παρθένου ἀνέλαβεν, ὡς πρόβατον ἐν νομῇ, ἐν τῇ τραπέζῃ Ζακχαίου ἀφῆκεν, ἵνα τῷ κοινῷ τῆς ἑστιάσεως νόμῳ ἑλκύσας αὐτὸν πρὸς συνουσίαν, λανθανόντως τῇ οἰκείᾳ συζεύξῃ ποίμνῃ. ἀλλὰ τοῦτο μὴ συνιέντες οἱ Φαρισαῖοι ἐγόγγυζον, ὁρῶντες αὐτὸν μετὰ τελωνῶν ἐσθίοντα· ἀλλ' ἐκεῖνοι μέν, ὡς ἀσκὸς παλαιός, διαρρηγνύσθωσαν (οὐ γὰρ δύνανται τὸν νέον τῆς διδασκαλίας οἶνον δέξασθαι) ἡμεῖς δὲ κατόπιν τοῦ φιλανθρώπου βαδίσωμεν ποιμένος. ὁ γὰρ Ζακχαῖον τὸν τελώνην τῶν ἀποστόλων συνάψας ποίμνῃ, αὐτὸς καὶ τὴν πόρνην τὴν ἁμαρτωλόν, τὴν μυρίων κακῶν ἐργάτιν, ἐκ τοῦ φάρυγγος τοῦ διαβόλου, ὡς ἀμνάδα, ἑλκύσας, τῇ ἀνεπηρεάστῳ ἀπέδωκε μάνδρᾳ. ἵνα δὲ γνῶτε καὶ τοῦ Χριστοῦ φιλανθρωπίαν, καὶ τῶν Φαρισαίων τὴν ἀναλογίαν, καὶ τῆς ἁμαρτωλοῦ τὴν παλινῳδίαν, αὐτὰς ὑμῖν τὰς εὐαγγελικὰς παραθήσομαι ῥήσεις. ἐὰν γὰρ τοῦ ** ὕφους τοῦ ἀναγνώσματος ἐπακούσητε, ῥᾳδίως καὶ τῆς ἑρμηνείας τὴν ἔννοιαν ἀναλάβητε. Ἠρώτα δέ, φησί, τις τῶν Φαρισαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὸν οἶκον τοῦ Φαρισαίου, ἀνεκλίθη. ὢ χάριτος ἀφράστου, ὢ φιλανθρωπίας ἀρρήτου· καὶ Φαρισαίῳ συνεστιᾶται; καὶ τελώνας οὐκ ἀποστρέφεται; καὶ πόρνας προσδέχεται; καὶ Σαμαρείτιδι διαλέγεται; καὶ Χαναναίαν λόγου ἀξιοῖ;

καὶ

Margin notes: ἴσ. λείπ. ἐσθίω (line 11); ἴσ. ἀναλγ. (line 38); Λουκ. ζ. λς. (line 40)

καὶ τῇ αἱμοῤῥοούσῃ τὸ κράσπεδον παραχωρεῖ· ναί· ἰατρὸς γάρ ἐστι, πάντων ἐφαπτόμενος τῶν παθῶν, ἵνα πάντας ὠφελήσῃ, πονηροὺς καὶ ἀγαθούς, ἀχαρίστους καὶ εὐγνώμονας. ὅθεν καὶ νῦν ὑπὸ τοῦ Φαρισαίου κληθεὶς, εἰσέρχεται εἰς οἰκίαν τὴν πρὸς μεστὴν κακῶν. ἦν γὰρ Φαρισαῖος, οἶκος πονηρίας ὁρμητήριον, ἁμαρτίας καταγώγιον, ὑπερηφανίας ὑποδοχή. ἀλλὰ καὶ οὕτως αὐτοῦ διακειμένης τῆς οἰκίας, οὐκ ἀπαξιοῖ παραγενέσθαι ὁ Κύριος· καὶ εἰκότως. ὥσπερ γὰρ ἥλιος οὐ καταβλάπτεται, βορβόρῳ τὰς οἰκείας ἀκτῖνας ἐπιβάλλων, ἀλλὰ τὸν ῥύπον καὶ τὴν ὄζουσαν ἀηδίαν ἀπομάσσεται, μηδὲν αὐτ * * * ειζόμενος· οὕτω καὶ ὁ Χριστὸς, ὡς ἥλιος δικαιοσύνης, πάντα ἐναγῆ καὶ βέβηλον τόπον καταλαμβάνει, καὶ τὴν δυσώδη ἁμαρτίαν ταῖς ἀκτῖσιν αὐτοῦ τῆς ἀγαθότητος ἀναλίσκει, οὐχ ὕβριν, οὐ μείωσιν, οὐ μολυσμὸν ὑπομένων κατὰ τὸν τῆς θεότητος λόγον. ὅθεν ἐπειδὴ εὐκόλως τῷ Φαρισαίῳ καλοῦντι, ἠρεμῶν, σιωπῶν, ἀνεξέλεγκτον αὐτοῦ τὸν βίον ἀφεὶς· πρῶτον μὲν ἵνα ἁγιάσῃ τοὺς κληθέντας, τὸν καλέσαντα, τῆς οἰκίας τὸ σύστημα, τῆς πολυτελείας τὰ βρώματα· ἔπειτα δεικνὺς, ὡς οὐ φάσμα ἦν ἡ ἐνανθρώπησις, ἐκ τῆς ἀνακλίσεως, τῆς βρώσεως, τῆς πόσεως, τῆς τῶν σιτίων δαπάνης. ἄλλως δὲ, ἐπειδὴ ἔμελλεν ἡ πόρνη παρεῖναι, καὶ τὸν θερμὸν ἐκεῖνον καὶ διάπυρον τῆς μετανοίας δεικνύναι τρόπον, διὰ τοῦτο καλοῦντι τῷ Φαρισαίῳ ἐπινεύει ταχέως· ἵνα * * γραμματέων καὶ Φαρισαίων τὰ οἰκεῖα ἐκτραγῳδήσασα κακά, διδάξῃ αὐτοὺς, πῶς δεῖ τοὺς ἁμαρτωλοὺς ἐπὶ ταῖς ἁμαρτίαις στενάζοντας ἐξευμενίζεσθαι τὸν Θεόν. Ἰδοὺ γάρ, φησι, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός. [Λουκ. ζ. λζ.] γυνή, ἡ * * τὸ πρῶτον δίκτυον τοῦ διαβόλου, ἡ τῆς πλάνης εἰσαγωγή, ἡ τῆς παραβάσεως διδάσκαλος, ἡ βοηθὸς μὲν γενομένη, πολεμία δὲ ἀναδειχθεῖσα, ἡ γενομένη μὲν φύσει καλή, ἐκ προαιρέσεως δὲ ἀποδειχθεῖσα κακή, ἡ θανάτου πρόξενος, ἡ τὸ κάλλος τοῦ ξύλου δείξασα, καὶ ὅλον τὸν παράδεισον ἀπολέσασα. Καὶ ἰδοὺ γυνή, φησιν, ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός, τὰ τῆς Εὔας φέρουσα βάρη, καὶ πολλοῖς κακοῖς βεβλημένη. ἐρῶ δὲ αὐτῆς τῶν προτέρων κακῶν τὴν δαψίλειαν, ἵνα γνῶτε αὐτῆς τὴν πολυτέλειαν. Ὁ Θεὸς ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ ὀστέον λαβών, καὶ τοῦτο σαρκώσας τὴν Εὔαν εἰργάσατο, ἣν καὶ γυναῖκα καλέσας, ἔδωκε βοηθὸν τῷ Ἀδάμ. ἀλλὰ μετὰ τὸ ἁμαρτεῖν, καὶ παραβῆναι τὸν νόμον, καὶ ἐκβληθῆναι τοῦ παραδείσου, καὶ θάνατον τὸ ἐπιτίμιον λαβεῖν, ἵνα μὴ τῷ θανάτῳ δαπανώμενον ἄρδην τὸ γένος ἀπόληται, γάμον ἐπιστρατεύει τῷ θανάτῳ· ἵν' ὁ μὲν σπείρῃ, ὁ δὲ θερίζῃ· ὁ μὲν τέμνῃ, ὁ δὲ βλαστάνῃ. καὶ ὅτι μετὰ τὸ ὑποβληθῆναι τῷ θανάτῳ, ἡ τοῦ γάμου ἐδόθη χάρις, δῆλον ἐκ τοῦ τὸν Ἀδὰμ μετὰ τὴν ἔξοδον τοῦ παραδείσου συναφθῆναι τῇ Εὔᾳ. γέγραπται γάρ, ὅτι Μετὰ τὸ ἐξελθεῖν ἐκ τοῦ παραδείσου, τότε ἔγνω Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ. [Γεν. δ. α.] πρὸ τῆς ἁμαρτίας οὖν παρθενία ἦν, ἀμόλυντον τηροῦσα τὸν χιτῶνα τῆς φύσεως· μετὰ δὲ τὴν παράβασιν, μετὰ τὴν τοῦ θανάτου ἀπόφασιν, ὁ γάμος ἀντεισήχθη, ἵνα ἀναλοῦντα τὸν θάνατον νικήσῃ βρύων, καὶ τρυγῶντα ἡττήσῃ φύων. ἐπεὶ οὖν ἐπὶ διαδοχῇ τοῦ γένους καὶ ἐπὶ αὐξήσει τῆς φύσεως ὁ τοῦ γάμου ἐδόθη νόμος, τῷ μὲν ἀνθρώπῳ ἡδονὴν ἔσπειρε, τὸ δὲ θῆλυ θωπευτικὸν ἐποίησεν· οὐχ ἵνα ἐπιεικῶς πρὸς μίξεις ἐρεθίζωνται, ἀλλ' ἵνα ἐννόμως πρὸς γάμον συνάπτωνται. ὅθεν ἡ μὲν ἔνθεσμος τοῦ γάμου μίξις, τιμία παρὰ τῷ Θεῷ, ἡ δὲ πρὸς χάριν τῶν ἡδονῶν ἐκτελουμένη, θανάτῳ ὑποβέβληται. Τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. [Ἑβρ. ιγ. δ.] αἱ οὖν χάριν παιδοποιίας ἐννόμως τοῖς ἀνδράσι μιγνύμεναι ἀνέγκλητοί εἰσιν, ὥσπερ ἡ Σάῤῥα, καὶ ἡ Ῥεβέκκα, καὶ ἡ Ῥαχήλ, καὶ εἴ τις ἄλλη ἀπ' αὐτῆς· αἱ δὲ λόγῳ ἡδυπαθείας τοὺς νέους πρὸς ἀκολασίαν διεγείρουσαι, ὡς φθείρουσαι τὸν ναὸν τοῦ Θεοῦ, παραδίδονται φθορᾷ (Εἴ τις γάρ, φησι, φθείρει τὸν ναὸν τοῦ Θεοῦ, φθερεῖ τοῦτον ὁ Θεός) [α. Κορ. γ. ιζ.] ὧν καὶ αὕτη μία ἦν, ἡ μετὰ χεῖρας ἁμαρτωλός. τὴν γὰρ φύσιν καπηλεύσασα, καὶ ταῖς ἔξωθεν βαφαῖς τὰς παρειὰς φοινίζουσα, καὶ τέχνῃ μαζωμένη φαίνεσθαι καλή, τοὺς νέους πρὸς ἀκολασίαν ὑπέσυρεν, * * αὐτοὺς εἰς τὸ τῆς πορνείας ἀπο-

κλείουσα βαρέως θρηνεῖ. ταῦτα λέγω οὐ κωμῳδῶν αὐτὴν, ἐφ' οἷς ἔδρασε πρὶν, ἀλλ' ἐπαινῶν
αὐτὴν, ἀφ' οἵων οἵα γέγονεν ἄφνω. λέγω γὰρ τί ἦν, ἵνα δείξω, τί γέγονε νῦν. λέγω αὐ-
τῆς τῆς ἁμαρτίας τὰ πταίσματα, ἵνα δείξω τῆς μετανοίας τὰ κατορθώματα. ἀλλ' αὕτη ἡ
τῷ σώματι ἀμέμπτως χρησαμένη τὸ πρὶν, τοὺς μὲν διὰ βοστρύχων σαγηνεύουσα, τοὺς δὲ
διὰ δακρύων φαρματτοῦσα, τοὺς δὲ δι' ἀλείμματος γοητεύουσα, πάντας δὲ πανταχόθεν ἐπὶ τὸν
βόρβορον τῆς ἀκολασίας προσκαλουμένη, τὸν αἰσχρὸν αὐτῆς καὶ ἡδυπαθῆ ἔρωτα εἰς θεῖον καὶ
ἐπουράνιον μεταβάλλει φίλτρον. ὡς εἶδε γὰρ Ἰησοῦν, ποτὲ μὲν ἀδεῶς τῇ Σαμαρείτιδι διαλεγόμενον, ποτὲ δὲ τὴν Χαναναίαν προσιέμενον, ἄλλοτε τῆς αἱμορροούσης ἀνακηρύττοντα τὴν
κλοπὴν, καὶ πῆ μὲν τελώναις συνεσθίοντα, πῆ δὲ τῶν Φαρισαίων τοὺς οἴκους καταλαμβάνοντα, ἐλογίσατο εἰ πόρνας, καὶ τελώνας καὶ ἁμαρτωλοὺς προσίεται, μέχρι πότε ἀκαθέκτως οἰστρῶσα τὸ τῆς ἁμαρτίας πέλαγος ἀντλῶ; οὐκ ἔτι εἰμὶ νέα, οὐκ ἔτι εἰμὶ καλή. πάντα γὰρ παρέρχεται,
πάντα μαραίνεται, καὶ ἄνθη, καὶ χροιά, καὶ τῶν προσώπων τὰ κάλλη. τί οὖν πάθω ἐφ' οἷς ἔ-
δρασα; ἤδη γὰρ τὸ τῆς γεέννης πῦρ ἐννοῶ· ἤδη μου τὴν ψυχὴν μετάγνωσις λαμβάνει, ὅτι
ἐπ' ὀλέθρῳ τῶν νέων βιαζομένη φοιτῶσαι κάτω ἐν ταῖς ἀγυιαῖς τῆς πόλεως, ἐν ταῖς ἀγο-
ραῖς, ἐν ἀμφόδοις ἔτρεχον, δίκτυον μὲν τοὺς πόδας ἔχουσα, καὶ σαγήνην τὴν γλῶτταν. ὦ πό-
σους νεανίσκους κατέθελγον, βλοσυρὸν ἀναιδείας βλέμμα περιφέρουσα; ἐπὶ λύμῃ γὰρ τῶν θεα-
τῶν ὡραϊζομένη, πῆ μὲν πολυπλόκοις σειραῖς τὴν κεφαλὴν ἐπύργουν; πῆ δὲ νομάδας πλοκά-
μων ἐκ κορυφῆς εἴων κατὰ μετώπου πλανᾶσθαι; ἄλλοτε δὲ τὰς παρειὰς ἐφοίνιξα, καὶ τοὺς ὀφθαλ-
μοὺς κατέγραφον, καὶ ἄλλοτε δακρύων λιβάδας ἠφίουν, τῇ κολακείᾳ ἐκτραχηλίζουσα τὴν ψυχήν.
τίς οὖν ἐπὶ τούτοις γένωμαι; τίνα ἴασιν εὕρω τῶν ἀπείρων τούτων παθῶν; ἐὰν ἀναθεματίσω τὰ κατ'
ἐμαυτὴν εἴπω, ἀνωφελής μοι γίνεται τῆς ἐξαγορεύσεως ὁ τρόπος. ἀλλὰ καλύψω τὰ
κακά; ἀλλ' οὐ δύναμαι λαθεῖν. τίνα γὰρ λάθω, ἢ λαθεῖν μὴ δυναμένη; ποῦ οὖν φύγω,
πανταχοῦ τὸν δικαστὴν εὑρίσκουσα, τὸν μὴ φαινόμενον μὲν, πανταχοῦ δὲ διελέγχοντα μου τὰ
κακά; μία μοι σωτηρίας ἐπιλέλειπται ἐλπὶς, ἐν μοι ἐφόδιον πρόκειται ζωῆς, τὸ τὸν Ἰησοῦν
ἐπιγνῶναι, καὶ αὐτῷ προσδραμεῖν. ὁ γὰρ τελώνας προσδεχόμενος, οὐκ ἀπαναίνεται πόρνην·
ὁ Φαρισαίοις συνεσθίων, οὐ παραιτεῖται τῆς ἁμαρτωλοῦ τὰ δάκρυα. ἐπεὶ οὖν ἔγνων, ὡς
παρὰ Σίμωνι Φαρισαίῳ κατάγεται ἀνδρὶ λαμπρῷ καὶ ἁμαρτωλῷ, δραμοῦμαι πρὸς αὐτόν.
ἀλλὰ τί αἰτήσω προσελθοῦσα; ὀφθαλμῶν ὑγίειαν; ἀλλὰ πρόσκαιρος ἡ χάρις. νόσου ἀ-
παλλαγήν; ἀλλὰ μικρὸν τὸ κατόρθωμα. ὁ γὰρ αἰώνιος θάνατος τοῦ παρόντος ἐστὶ βαρύ-
τερος. πάντα παρεῖσα τὰ τοῦ σώματος, τὸ τῆς ψυχῆς ἐπιζητήσω ἴαμα. μίαν γὰρ εὑρίσκω
λύσιν τῶν ἐπηρτημένων κακῶν, ἐὰν τὸν δικαστὴν εἴδω, ἐὰν προλάβω τῆς κολάσεως τὸν και-
ρόν. μιμήσομαι Ῥαὰβ τὴν πόρνην. γυναικὸς τὸν ἐνάρετον μεταδιώξω τρόπον. οὐδὲ γὰρ
παρ' ἡμῶν βούλεται Θεὸς, ἢ γνώμης ἐναλλαγήν. ταῦτα εὐσεβῶς ἐπισκεψαμένη, καὶ τὴν
διάνοιαν πρὸς πίστιν ἐπαλείψασα ἐπεισέρχεται τῷ Ἰησοῦ, ὅπου ἀνέκειτο, τὴν προτέραν
ἀναίδειαν εἰς ὑπόθεσιν παρρησίας λαβοῦσα. καὶ λέγει μὲν οὐδέν· οὐ γὰρ ἐτόλμα. ᾔδει γὰρ,
ὡς ὁ τῶν λογισμῶν ἔφορος οὐ δεῖται λόγων. τί γὰρ εἰπεῖν εἶχε τῷ πάντα εἰδότι; ὅτι ἡμάρ-
τει; ὅτι πολλῶν κακῶν ἐργάτις γέγονεν; ὅτι ἐρῶσα καὶ ἐρωμένη τὴν πάνδημον ἡδονὴν ἐθε-
ράπευσε; ταῦτα Θεῷ δῆλα ἦν, οὐ πεπραγμένα μόνον, ἀλλὰ καὶ ἐν τῷ ἀφανεῖ τῆς ψυ-
χῆς βουλευτηρίῳ γινόμενα. εἰ * * * ὡς πάντα οἶδε, καὶ λαθεῖν αὐτὸν δύναται οὐδὲν,
ἢ μὲν τὴν γλῶτταν, λαλεῖ δὲ τοῖς δάκρυσι. στᾶσα γὰρ, φησι, παρὰ τοὺς πόδας αὐτοῦ, κλαί-
ουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν. ἀλλ' εἰ καὶ μὴ γλώσσῃ ἐλάλει, ἀλλὰ
στεναγμοῖς ἀλαλήτοις ἐφθέγγετο, τὸ συντετριμμένον τῆς καρδίας ἀνακαλύπτουσα, τὸ πλῆθος
τῶν ἁμαρτιῶν θριαμβεύουσα, τοὺς ἀτόπους λογισμοὺς, τὰς ἐναγεῖς ἐνθυμήσεις, τὰς βεβή-
λους πράξεις, τὰς παρανόμους ὁμιλίας ἐκπομπεύουσα. οὐδὲν γὰρ ἦν τῶν πεπραγμένων
αὐτῇ

ἴσ. τὸ λαθεῖν ἐμαυτὴν ἐνδέχ... μὴ δυν...

ἴσ. ποιη... τὴν

αὐτὴ καλῶν, ὁ μὴ δάκρυσιν ἐξετραγῴδει. οἶδε γὰρ ὅτι ὧν ὡμολόγει τὴν ἀμνηστίαν ἔλαβεν. Εἶπα γάρ, φησίν, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ· καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. καὶ οὐ μόνον ἀλαλήτως ἐφθέγγετο τοῖς στεναγμοῖς τῆς καρδίας δυσωποῦσα τὸν Κύριον, ἀλλὰ καὶ σχήματι τὸ τῆς μετανοίας διέγραφε κάλλος. ἐδάκρυε

(Ψαλ. λα. ε.)

5 μέν, ὡς πολλὰ γελάσασα, τοῖς καλοῖς δάκρυσι τὸν κακὸν ἐκπλύνουσα γέλωτα, ταῖς δὲ ῥανίσι τῶν ὀφθαλμῶν τὸν τῶν παρειῶν ἐκπλύνουσα ῥύπον, ἵνα ἐν οἷς ἥμαρτεν, ἐν τούτοις καὶ ἀποχορηγήσηται, ἐν οἷς ἠνόμησεν, ἐν τούτοις τὸν νομοθέτην ἐξιλεώσηται. ὥσπερ γὰρ τὴν κοίτην, ἣν ἐκθέσμῳ ἐμίανε συμπλοκῇ, δάκρυσιν ἀπέπλυνεν ὁ Δαβίδ (Λούσω γάρ, φησί, καθ' ἑκάστην νύκτα τὴν κοίτην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω) οὕτω καὶ αὕτη,

(Ψαλ. ς. ς.)

10 δι' ὧν ὀφθαλμῶν πολλοὺς τῶν νέων εἰς ἀκολασίαν ὑπέσυρε, δακρύων ἀφθόνους πηγάς, τὸν δυσέκπλυτον τῆς ἁμαρτίας ἀπέπλυνε ῥύπον, αὕτη ἑαυτῇ λουτρὸν μετανοίας παρεβαλλομένη τὰ δάκρυα. τὰ μὲν γὰρ δάκρυα, ὡς ὕδωρ, αὕτη παρεῖχε, τὴν δὲ ἄφεσιν ἀοράτως παρὰ τοῦ Χριστοῦ ὑπεδέχετο. ἀλλὰ μὴν καὶ τὸν Ἀβραὰμ τάχα οὐ μιμουμένη μόνον, ἀλλὰ νικῶσα, τοὺς πόδας ἀπέπλυνε τοῦ Χριστοῦ. ὁ μὲν γὰρ νιπτῆρα θεὶς ὕδασιν ἀπέπλυνε, καὶ λεντίῳ κατέμαξεν· αὕτη δὲ οὐχ ὕδωρ ἀντλήσασα, ἀλλὰ κρουνοὺς δακρύων ἀφεῖσα, τοὺς πόδας ἀπέ-

15 πλυνε τοῦ Ἰησοῦ. φησαμένη δὲ μὴ δάκρυσιν ἁμαρτωλοῖς ἁγίους ἐνυβρίσῃ πόδας, τὸ τῶν τριχῶν κάλλος, ὡς λέντιον ὑποβάλλουσα, ἀπέμαξε τοὺς πόδας. καὶ ἦν ἰδεῖν ὅλον δι' ὅλου τὸ γύναιον πρὸς θεραπείαν τοῦ Ἰησοῦ κατακείμενον. οἱ μὲν γὰρ ὀφθαλμοὶ ἄνωθεν, ὡς κρῆναι, δακρύων ἔπεμπον ὀχετούς· ἡ δὲ ψυχή, ὥσπερ νιπτήρ, ὑποκειμένη, τὰς ἐκ τῶν ποδῶν ἀποστάζουσας

20 ἐδέχετο ῥανίδας· οἱ δὲ πλόκαμοι ἀπέμασσον, λεντίου πληροῦντες σχῆμα· αἱ δὲ χεῖρες τὸ ἀλάβαστρον τοῦ μύρου κατέχουσαι, τοὺς θείους ἤλειφον πόδας, μύρῳ τὸ μύρον τιμῶσαι. Μύρον γάρ, φησίν, ἐκκενωθὲν ὄνομά σου. εἶδες πῶς ἐνίκησε τὴν ἀχάριστον τῶν Ἰουδαίων γνώμην γυνὴ ἁμαρτωλός, καὶ θείων ἁρμοστὴς νόμων. οἱ μὲν γὰρ λίθοις αὐτὸν ἐδίωκον, ἡ δὲ τοῖς τῆς εὐωδίας ἠύφραινε μύροις. ἀλλ' Ἰουδαῖοι μέν, ὡς ἀχάριστοι, ὡς ἀσύνετοι καὶ ἀγνώμονες, κακοῖς ἠμείβοντο τὸν

(Ἀσμ. α. γ.)

25 εὐεργέτην, λίθοις τὸν ἀκρογωνιαῖον φιλοφρονούμενοι λίθον· ἡ δὲ μύρῳ ἤλειφε τοὺς πόδας τοὺς μέλλοντας δι' αὐτὸν πολυημέριον ἐπὶ τῆς ἱερείας ἵστασθαι τοῦ σταυροῦ. καὶ τί λέγω ὅτι τὸν ἀχάριστον Ἰουδαίων ἐνίκησε δῆμον, ὅπου γε ὅλων τῶν ἁγίων ὑπερηκόντισε τὸν χορόν; ἔλαβε γὰρ χάριν, ἣν οὐχὶ ἔλαβον βασιλεῖς, ἧς οὐκ ἔτυχον δυναστικοί. Βασιλεῖς γὰρ Θαρσεῖς, καὶ νῆσοι δῶρα προσοίσουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. ἔτι δὴ κατὰ τὴν προφητείαν·

(Ψαλ. οα. ι.)

30 Καὶ ἔδωκαν τὰ δῶρα, καὶ πόρρωθεν προσεκύνησαν. ἀλλ' οὐδεὶς αὐτῶν τοὺς πόδας τοῦ Ἰησοῦ ἐφίλησε. πῶς γὰρ ἦλθον μάγοι, λαβόντες ἀστέρα τῆς ἱκεσίας σύμμαχον; ἀλλὰ πόρρωθεν ἐδορυφόρουν, τῆς οἰκείας τάξεως τὸ μέτρον γινώσκοντες. Ὁ οὐρανός γάρ μοι, φησί, θρόνος, ἡ δὲ γῆ τὸ ὑποπόδιον τῶν ποδῶν μου. ἐπαισχυνέσθω τοίνυν ἡ γυνή, ὡς ὅλης τῆς γῆς τὴν τιμὴν ὑποδεξαμένη· ποδῶν ἀχράντων, ὧν τὰ χρυσᾶ ἔθνη καὶ πατριαὶ λείξουσιν, ἥψατο πο-

(Ησ. ξς. α.)

35 δῶν ἀχράντων· ἐμερίσατο πρὸς Ἰωάννην τοῦ Χριστοῦ τὸ σῶμα. ὁ μὲν γὰρ ἐπὶ τοῦ στήθους ἀνέπεσε (πηγὴν γὰρ αὐτόθεν διδασκαλίας ἀπομάσσεσθαι ἤδει) ἡ δὲ τοὺς ὑπὲρ ἡμῶν βαδίζοντας πόδας ὑπειλήφει. ἀλλ' ὁ Χριστὸς μὲν ὁ μὴ τὴν ἁμαρτίαν κρίνων, ἀλλὰ τὴν μετάνοιαν ἐπαινῶν, ὁ μὴ τὰ παρελθόντα κολάζων, ἀλλὰ τὰ μέλλοντα δοκιμάζων, ἀμνησίᾳ παρελθὼν τὰ προλαβόντα αὐτῆς κακά, τιμᾷ τὴν γυναῖκα, καὶ ἐπαινεῖ τὴν μετάνοιαν, δικαιοῖ τὰ

40 δάκρυα, καὶ στεφανοῖ τὴν πρόθεσιν· ὁ δὲ Φαρισαῖος ὁρῶν τὸ θαῦμα, πλήττεται τὴν διάνοιαν, καὶ φθόνῳ βαλλόμενος οὐ παραδέχεται τῆς γυναικὸς τὴν μετάνοιαν· ἀλλὰ καὶ τὴν οὕτω τιμήσασαν τὸν Κύριον ἐπιρραπίζει τῇ λοιδορίᾳ, καὶ τοῦ τιμηθέντος ἐλαττοῖ τὸ ἀξίωμα, ἄγνοιαν αὐτοῦ καταψηφιζόμενος. ἰδὼν γάρ, φησίν, ὁ Φαρισαῖος, ὁ καλέσας αὐτόν, εἶπεν ἐν ἑαυτῷ· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι

ἁμαρτωλός

ἁμαρτωλός ἐστιν. ὦ ἄφρον καὶ ἀσύνετε, καὶ τὰ ὅλα Φαρισαῖε· ταῦτα λέγων, οὐ τῆς γυναικὸς
διελέγχεις τὸν τρόπον, ἀλλὰ τῆς ἰδίας κατηγορεῖς προαιρέσεως, ἀγνοεῖν αὐτὸν λέγων τίς ποτε
ὑπῆρχεν ἡ γυνή. οὐκοῦν οὐχ ὡς Θεὸν πάντα γινώσκοντα τῇ κλήσει ἐτίμησας; οὐκοῦν ὦ
παμπόνηρε κατήγορε καὶ συκοφάντα, καλεῖς μὲν αὐτὸν, ὡς Θεὸν καὶ εὐλογῆσαι δυνάμενον, κατα-
βοᾷς δὲ αὐτοῦ, ὡς ἀνθρώπου καὶ μηδὲν ὑπὲρ ἡμᾶς εἰδότος; οὗτος, φησὶν, εἰ ἦν προφήτης.
καὶ πόσον σου βελτίων, ὦ Φαρισαῖε, ἡ ἐν Σικήμοις γυνὴ, ἡ μὴ προφήτην εἰδυῖα, καὶ ἐκ
πρώτης ὄψεως τὸν σωτῆρα ὁμολογήσασα εὐγνωμόνως; Κύριε γὰρ, φησὶν, ὁρῶ ὅτι προ-
φήτης εἶ σύ. πόσῳ δὲ θαυμασιωτέρα καὶ αὕτη ἡ ἁμαρτωλὸς, ἧς τὴν μὲν ἁμαρτίαν ὁρᾷς, τὴν
δὲ μετάνοιαν οὐ βλέπεις, ἀλλὰ καὶ κατακρίνεις, ἣν ὁ κριτὴς δικαιοῖ, καὶ μέμφῃ καὶ ψέγεις, ἣν ὁ
Θεὸς ἀποδεξάμενος στεφανοῖ, ὅτι ἰδοῦσα παρὰ σοὶ Θεὸν ἐν ἀνθρώπου μορφῇ κατακείμενον,
ἔγνω καὶ ἐτίμησε, καὶ τὰ τῆς ψυχῆς ἐκκαλύψασα τραύματα, ἔλεον ᾔτησε, καὶ τῶν βεβιωμένων
τὴν ἀμνηστίαν; σὺ δὲ τιμήσας τῇ κλήσει, ἀτιμάζεις τῇ λοιδορίᾳ, λέγων· εἰ ἦν προφήτης,
ἐγίνωσκεν ἂν καὶ τίς καὶ ποταπὴ ἡ γυνὴ, ἥτις ἅπτεται αὐτοῦ. ἄθυμε, ἐπειδὴ τὰ σὰ οὐκ ἤλεγξε
κακὰ, ἄγνοιαν αὐτοῦ καταψηφίζῃ; ἐπειδὴ τὴν πολλοῖς κακοῖς βεβαρημένην σου στέγην ὑ-
πῆλθεν, ἀναιρεῖς αὐτοῦ τὴν γνῶσιν; ἐπειδὴ ἠξίωσεν ἀνακλιθῆναι μετὰ σοῦ, καὶ χεῖρα ἐπιβα-
λεῖν τοῖς ἐδέσμασί σου ἐπένευσε καὶ οὐκ ἀπηξίωσεν, ἕνα τὸν τῶν πολλῶν νομίζεις; ἄξιος δὲ ἦσθα
ξενοδοχῆσαι Θεῷ, ἢ τράπεζαν παραθεῖναι τῷ ἑτοιμάζοντι τράπεζαν ἐν ἐρήμῳ; ἀλλὰ φι-
λάνθρωπος ὢν, οὐ παρῃτήσατο καὶ παρὰ τῶν σῶν οἰκετῶν πόμα καὶ σιτίον ὑποδέξασθαι. τί
οὖν αἰτιᾶσαι φιλάνθρωπον δεσπότην, ὦ Φαρισαῖε, τὸν ὁμοίως εἰς πάντας τὸν τῆς χρηστό-
τητος ζυγὸν ταλαντεύοντα; τί δὲ τὸν κώνωπα τῆς γυναικὸς διϋλίζων, τὴν κάμηλον τῶν οἰκεί-
ων κακῶν καταπίνεις; καὶ ἐπὶ σὲ μὲν μακρόθυμον εἶναι τὸν Θεὸν βούλει, ἐπὶ ταύτην δὲ ἀπότομον;
τί ἐπ᾽ ἀλλοτρίοις ἐγκλήμασι προξενεῖς τὸν δικαστὴν, ἐπὶ τοῖς οἰκείοις συγγνώμην αἰτῶν;
τί συνεφωνήσατε σὺ καὶ Ἰούδας πειράσαι τὸν Κύριον; σὺ μὲν γὰρ, ὡς καθαρὸς ἀπὸ ῥύπου,
ἐπὶ τοῖς ἁμαρτήμασι διασύρων τὴν ἄνθρωπον, ἄγνοιαν καταψηφίζῃ Θεοῦ· ὁ δὲ, ὡς φιλό-
πτωχος ἀγανακτεῖ λέγων· Τίς ἡ ἀπώλεια τοῦ μύρου τούτου; ἠδύνατο γὰρ πραθῆναι πολ-
λοῦ, καὶ δοθῆναι πτωχοῖς. ὢ τῆς ἀγνώμονος γνώμης, ὢ τῶν ἀχρείστων τρόπων· ἀπώλειαν τί-
θης, Ἰούδα, τὴν θεραπείαν τοῦ Χριστοῦ, καὶ μάταιον ἀνάλωμα καλεῖς, τὸ εἰς τιμὴν προ-
χωρῆσαν Θεοῦ; πόσον ἐδώκαμεν, ὧν ἐλάβομεν; λογισώμεθα ἀφ᾽ οὗπερ ὁ κόσμος ἐδημιουργήθη,
πόσοι παρὰ τῆς αὐτοῦ φύσεως ἐλέους ῥέουσι ποταμοὶ, καὶ οὐ λογίζεται ὁ Θεὸς ζη-
μίαν τὴν ἀφθονίαν. πόσας ἡ γῆ εὐωδίας βλαστάνει; πόσας ῥόδων καὶ κρίνων; καὶ στύ-
ρακα καὶ νάρδον καὶ στακτὴν, καὶ τἄλλα, ἀφ᾽ ὧν τὸ καλὸν κατασκευάζεται μύρον; καὶ οὐ λογίζε-
ται ὁ Θεὸς ἀπώλειαν· καὶ ἵνα μικρὸν ἀλάβαστρον μύρου τοῖς ποσὶ τοῦ Χριστοῦ ἐπιχυθῇ, γογ-
γύζεις; μὴ οὖν προῖκα αὐτὸ ἔλαβεν, ἵνα γογγύσῃς; ἔλαβε μύρον, καὶ ἔδωκε μετανοίας τρό-
πον· ἔλαβε δάκρυα, καὶ ἔστησε πηγὴν ἁμαρτημάτων. ποία οὖν ἐστιν ἀπώλεια, εἰ ἐσώθη ἡ γυ-
νή, δι᾽ ἣν ὁ παράδεισος ἀπεκλείσθη, δι᾽ ἣν Ἀδὰμ συνεξεβλήθη; ἀλλ᾽ ἐλύπησε τοῦτο Ἰού-
δαν. εἰκότως. καὶ γὰρ τὸν διάβολον ἐλύπησεν αὐτῆς ἡ σωτηρία. εἶδε γὰρ δι᾽ αὐτῆς
λοιπὸν τὸ γένος πρὸς μετάνοιαν μεταβαλλόμενον· καὶ δάκνεται, καὶ ἀνιᾶται, οὐκ ἔχων λοιπὸν
δίκτυον, δι᾽ οὗ θηράσῃ τὸν ἄνθρωπον· ὅθεν καί σε εἰς τὸ γογγύσαι παρώρμησεν. εἰς τί, φη-
σὶν, ἡ ἀπώλεια αὕτη; ἠδύνατο γὰρ πραθῆναι πολλοῦ. ἤδη πράσεις, Ἰούδα; ἤδη προ-
δοσίαν μελετᾷς; κακῶν *** ἀρχή; ἀλλ᾽ ὁ Ἰησοῦς οὐκ ἐλέγχει αὐτοῦ τὴν νόσον, οὐ γυμνοῖ
τὸ φιλάργυρον, ἵνα μὴ τὴν μέλλουσαν προδοσίαν ἀνακρύψηται· Χριστὸς δὲ ἐπὶ πάντων
λέγει, Τί κόπους παρέχετε τῇ γυναικί; τί πρὸς τοῖς προλαβοῦσι κακοῖς κακίζετε τὴν ἄν-
θρωπον; αὐτάρκως ἔκαμε τὸ τῶν γυναικῶν γένος· μηδεὶς ἑαυτῶν τῆς σωτηρίας ἐμποδι-
ζέτω· μηδεὶς σκωπτέτω τὴν λύσασαν μύρῳ τοὺς πόδας, τοὺς παρ᾽ αὐτῆς βαδίζοντας ἐπὶ
γῆς.

Ἰωάν. δ. ιθ.

Μάρκ. ιδ. δ.

γῆς. πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν· λάβετε δὲ κἀμὲ μετὰ τῶν πτωχῶν. δι' ὑμᾶς γὰρ ἐπτώχευσα πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐμῇ πτωχείᾳ πλουτήσητε. ἀναιρεῖτέ με, καὶ οὐκ ἐγκαλῶ· ἐνταφιάζει με αὕτη, καὶ γογγύζετε; βαλοῦσα γὰρ αὕτη τὸ μύρον ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. οὐκ αἰδῇ οὖν, Ἰούδα, ὅτι αὕτη μὲν ἁμαρτωλὸς οὖσα
5 μύροις με τιμᾷ, σὺ δὲ ἀπόστολος ὢν πωλήσει με καθυβρίζεις; καὶ ἡ μὲν γυνὴ τὰ πρὸς τάφον ἑτοιμάζει, ὁ δὲ μαθητὴς τῷ θανάτῳ προδίδωσιν. ἁμαρτωλός ἐστιν ἡ γυνή, οἶδα· ἀλλ' οὐδὲν εἶχέ μοι χαρίσασθαι, ἢ πηγὴν δακρύων· πηγὴ τὴν πηγὴν ἐξευμενίζουσα, ἀκτήμονι διδασκάλῳ ἄλλον ἱλαστήριον προσκομίζουσα. ἀλλὰ καὶ δοκιμάζεις, ἄθυμε, τὸ μύρον τριακοσίων δηναρίων ἄξιον εἶναι λέγων; δοκιμάζεις δέ, οὐχ ἵνα αὐτῆς τὴν μεγαλο-
10 ψυχίαν ἐπαινέσῃς, ὅτι ὅλον τὸν ἐκ κακῶν συναχθέντα πλοῦτον εἰς τιμὴν μύρου κατηνάλωσεν, ἀλλ' ἵνα γογγύζων δείξῃς, ὡς ἀπὸ ἀκταίων περιέπεσας κακῶν, τοσοῦτον ζημιωθείς. ἀλλ' οὐ μέγα, εἰ τριακοσίων δηναρίων στέρησιν δυσχεραίνεις, ὅπου τριάκοντα λαβὼν ἀπέδου τὸν Κύριον. Τί γάρ, φησι, θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ἄθλιε, δοῦλος δεσπότην πωλεῖς; ἀντεστράφθαι ἡ τάξις· καὶ ἐγὼ μὲν σὲ τῆς ἁμαρτίας τῷ οἰκείῳ ὠνοῦμαι αἵματι, σὺ δὲ
15 με τριάκοντα ἀπεμπολεῖς ὀβολῶν; εἰ δὲ ἄνθρωπος Θεὸν πωλεῖ; δεδόσθω δέ, ὅτι πωλεῖ· τίς ὁ ὠνούμενος; πόσου δέ τις ἀγοράσει Θεόν; τί δὲ καὶ εὔωνον ποιεῖς τὸ πρᾶγμα; τριάκοντά τις ὀβολῶν Θεὸν πωλεῖ ἐν ἀνθρώπου μορφῇ; ὡς οἰκέτην; ὡς βάρβαρον; κἂν διακρίνον, πόσου μὲν τὸν ἐνοικοῦντα Θεόν, πόσου δὲ τὸν φαινόμενον ἄνθρωπον. τί μοί, φησι, θέλετε δοῦναι; σὺ τί θέλεις λαβεῖν; ἐκεῖνοι γὰρ οὐδὲν ἔχουσι δοῦναι ἀντάξιον Θεοῦ. καὶ ἔστησαν αὐτῷ, φησι, τριάκοντα
20 ἀργύρια. τριάκοντα ὀβολῶν ἀμισθὶ τοὺς ἰατρὸν πωλεῖ; ἰατρόν, τυφλοὺς ὀμματοῦντα, χωλοὺς πρὸς δρόμον ἐγείροντα; ταῦτα λέγω, ἵνα σου κατηχήσω τὴν διάνοιαν. τί κόπους παρέχετε τῇ γυναικί; ὅτι τὸν ἐν νεκροῖς ἐλεύθερον, καὶ πρὸ τοῦ θανάτου, ὡς νεκρὸν ἐτίμησεν; οὐ διὰ τοῦ μύρου, τῆς ταφῆς καὶ τῆς ἀναστάσεως τὴν χάριν προεσήμανεν; ἀλλὰ σὺ μὲν καρπὸν τῆς προδοσίας τὸ χωρίον ἕξεις· ταύτης δὲ ἡ μνήμη, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον, ἀνεξάλειπτος ἔσται. εἶ-
25 πε, καὶ γέγονε τὸ ἔργον οὕτως· ὅτι τὸ τοῦ Ἀαρών, τὸ τοῦ Ἐλεαζὰρ πέπαυται μύρον, καὶ τὸ κέρας ἤργησε, τὸ δὲ ἀλάβαστρον ταύτης πάλιν τῷ αἰῶνι ἐπεκτείνεται, ἀκατάλυτον ἔχων τῆς μνήμης τὴν εὐωδίαν. ἀλλὰ πρὸς μὲν Ἰούδαν οὕτω, πρὸς δὲ τὸν Φαρισαῖον γογγύζοντα ὁ Χριστὸς οὕτω λέγει· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὢ χάριτος ἀφράστου, ὢ φιλανθρωπίας ἀρρήτου. Θεὸς καὶ ἄνθρωπος κοινολογοῦνται, καὶ προτίθησι πρόβλημα, καὶ κηδόνα φιλανθρωπί-
30 ας, ἐκλύων αὐτοῦ τὴν πονηρίαν. Σίμων γάρ, φησιν, ἔχω σοί τι εἰπεῖν, ὃ μηδενὶ τῶν παλαιῶν εἶπον, οὐ πατριάρχῃ, οὐ προφήτῃ, οὐ νομοθέτῃ. τότε μὲν γὰρ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος ἐξήτουν, τὸ δίκαιον ἀπαιτῶν. ἀλλ' ἐπειδὴ οὐ δύνασθε φέρειν τὸ δίκαιον, χάριν ἀντεισάγω τῷ νόμῳ, ἀλάλητόν σοι μυστήριον ἐρῶ. ὁ δέ φησι, διδάσκαλε, εἰπέ. Δύο χρεωφειλέται ἦσαν ἐνὶ ἀνδρί. ὅρα Θεοῦ σοφίαν. ἀποσιωπᾷ τὴν γυναῖκα, ἵνα μὴ
35 κακουργήσῃ τὴν ἀπόκρισιν. ὁ εἷς, φησιν, ὤφειλε δηνάρια πεντακόσια, καὶ ὁ ἕτερος πεντήκοντα. φοβερὸς τοῦ διηγήματος ὁ τρόπος. γραμματεῖόν ἐστιν ὁ ἡμέτερος βίος, ἀοράτως γράφοι καὶ λογισμούς, καὶ πράξεις, καὶ ὀφθαλμῶν ῥεμβασμούς, καὶ ψυχῆς κινήματα. ἀλλὰ λύει τὸν φόβον ὁ φιλάνθρωπος δικαστής, ὁ τὰ χειρόγραφα διαρρήσσων τῆς ἁμαρτίας, καὶ οὐ μόνον διαρρήσσων, ἀλλὰ καὶ λεαίνων τοῖς ὕδασι τοῦ βαπτίσματος, ἵνα μὴ ἴχνος στοιχείου * *
40 συλλαβεῖς ἀπομεῖναν ὑπόμνημα γένηται τῶν πεπτωχηκότων κακῶν. μὴ ἐχόντων δέ, φησιν, αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. εἶδες φιλάνθρωπον δανειστήν, πῶς δανείζει μέν, οὐκ ἀπολαμβάνει δέ; πῶς δὲ ἀγνωμονούμενος οὐ ταρκᾷ, ἀλλ' ἥπλωται αὐτοῦ τοῖς ἰδίοις ἡ χείρ; Μὴ ἐχόντων, φησίν, αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. ἀφῆκε μὴ ἐχόντων, οὐχί, μὴ θελόντων. ἕτερον γὰρ μὴ ἔχειν, καὶ ἕτερον μὴ θέλειν. οἷόν τι λέγω. Θεὸς

οὐδὲν

ἱλασ-τήριον

Ματθ. κϛ. ιϛ.

ἀείμνηστον

στοιχεῖα συλλαβαῖς

οὐδὲν παρ᾽ ἡμῶν ζητεῖ, ἢ μετάνοιαν· ὅθεν βούλεται ἡμᾶς χαίρειν ἀεὶ καὶ προσέχειν τῇ μετανοίᾳ. ἐὰν οὖν θελόντων ἡμῶν μετανοῆσαι, τὸ πλῆθος τῶν ἁμαρτιῶν ἄπονον τὴν μετάνοιαν ἡμῶν δείξῃ, οὐ παρὰ τὸ μὴ θέλειν, ἀλλὰ παρὰ τὸ μὴ ἔχειν, οὐκ ἐκτιννύομεν τὸ χρέος. διὰ τοῦτο οὖν λέγει, μὴ ἐχόντων αὐτῶν, ἵνα δείξῃ, ὅτι ἰδὼν αὐτοὺς βουλομένους μὲν διὰ μετανοίας ἀποδοῦναι τὸ χρέος, μὴ δυναμένους δὲ διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν, ὡς φιλάνθρωπος αὐτοῖς συνεχώρησεν, οὐκ ἀπὸ πράξεως, ἀλλ᾽ ἀπὸ προαιρέσεως ἐλευθερώσας τοῦ ὀφειλῆς τὸ ὑπόχρεον. μὴ ἐχόντων οὖν αὐτῶν ἀποδοῦναι, μὴ μαστίξας, μὴ στρεβλώσας, μὴ ὕβρει παραδοὺς, ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν αὐτῶν ὀφείλει πλέον ἀγαπῆσαι; ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· ὑπολαμβάνω, ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. βλέπε τοῦ Φαρισαίου τὸ δεινόν· ὡς εἶδεν ἑαυτὸν τῷ λόγῳ ἤδη τῆς ἀληθείας ἀποκλειόμενον, τὸ, ὑπολαμβάνω, τέθηκε, φοβούμενος τελείαν τὴν ἀπόκρισιν δοῦναι. ὁ δὲ Κύριος οὐ τὴν γνώμην αὐτοῦ ἀνέγραψεν, ἀλλὰ τὴν ἀπόκρισιν ἁρπάσας, λέγει αὐτῷ· Ὀρθῶς ἀπεκρίθης. καὶ στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα ἁμαρτωλόν; τὴν σοὶ μὲν ἀπηχθρευμένην, ἐμοὶ δὲ σωζομένην; εἰσῆλθον εἰς τὸν οἶκόν σου (σὸς γὰρ οἶκος, καὶ οὐκ ἐμὸς, ὁ λοιδορίας μεστὸς) ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας, πόδας τοὺς διὰ σὲ κονιαθέντας, τοὺς κόπον ὑπομείναντας, ἵνα κόπων τοὺς κοπιῶντας καὶ πεφορτισμένους ἐλευθερώσω· ἐξ ἡμισείας τὴν τιμὴν προσήνεγκας, τὰ μὲν ἄνω θαυμάσας, τὰ δὲ κάτωθεν μὴ θεραπεύσας. ἀλλὰ σὺ μὲν ὕδωρ εἰς τοὺς πόδας μου οὐκ ἔδωκας, αὕτη δὲ πηγὰς δακρύων ἐκ τῶν βλεφάρων ἀφεῖσα, τῆς ἁμαρτίας αὐτῆς τὸν ῥύπον ἀπέσμηξε. σύ μοι φίλημα οὐκ ἔδωκας, ὡς εἴθε μήτε Ἰούδας ὁ φιλήματι τὴν προδοσίαν ἐργασάμενος· αὕτη δὲ, ἀφ᾽ ἧς εἰσῆλθεν, οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας. Ἔλαιον γὰρ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. πῶς γὰρ εἶχε τὴν κεφαλὴν τιμῆσαι, ὁ ποδῶν ἀμελήσας; αὕτη δὲ καὶ τοὺς πόδας προφητικῶς ἤλειψε μύρῳ. Μύρον γὰρ, φησὶν, ἐκκενωθὲν ὄνομά σοι· ἐκκενωθὲν, οὐκ ἐκχυθέν. ἐπειδὴ γὰρ [τὸ σκεῦος] τὸ σκεῦος τῆς Ἰουδαϊκῆς γνώμης ὑπόσαθρον ἦν, διὰ τοῦτο ἐκ τῆς ἀλαβαστροθήκης ὑμῶν ἐν τοῖς ποσί μου ἐξεκενώθη τὸ μύρον· ἵνα δι᾽ ἐμοῦ εἰς τὰ ἔθνη μετοχετευθῇ τῆς εὐωδίας ἡ χάρις. οὗ χάριν, λέγω σοι, ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι αἱ πολλαί· ὅτι σὺ μὲν ὁμωρόφιόν με δεξάμενος, οὐ φιλήματι ἐτίμησας, οὐδὲ ἀλείμματι ἐθεράπευσας· αὕτη δὲ πολλῶν κακῶν ἀμνηστίαν λαβοῦσα, ἐτίμησέ με, ἐκ δακρύων καὶ μύρων, οἱονεὶ διφυῆ κρατῆρα κερασαμένη. μακαρίσωμεν οὖν τὴν ἄνθρωπον, τὴν τὰ τῆς Εὔας καλύψασαν κακὰ, τὴν ἁμαρτωλὸν, τὴν πόρνην, τὴν πρόξενον τῶν ἀγαθῶν, τὴν δείξασαν μετανοίας τρόπους, καὶ γυμνώσασαν φιλανθρωπίας νόμον, τὴν αὐτὸν τὸν κριτὴν συνήγορον ἑλκύσασαν, τὴν δάκρυσι νικήσασαν τὸν τῆς κρίσεως ὀδυρμόν. ὅσοι οὖν πάρεστε, ζηλώσατε ἅπερ ἠκούσατε, καὶ τῆς πόρνης μὴ τὴν ἡδονὴν, ἀλλὰ τὸν θρίαμβον μιμήσασθε. ἡ ἡδονὴ μὲν γὰρ τὸν θρίαμβον ἐγέννησεν, ὁ θρίαμβος δὲ τὴν λύσιν προεξένησε. λούσατε οὖν ὑμῶν, μὴ ὕδασιν, ἀλλὰ δάκρυσι, τὸ σῶμα· ἀλείψατε μὴ μύροις, ἀλλὰ ἁγνείᾳ τὰ μέλη· ἐνδύσασθε μὴ τὰ ἐκ σηρῶν ὑφάσματα, ἀλλὰ τὸ ἄφθαρτον τῆς σωφροσύνης ἱμάτιον· ἵνα τῆς αὐτῆς τύχητε δόξης, χάριν ἀναπέμποντες τῷ ἀμνῷ τοῦ Θεοῦ, τῷ αἴροντι τὴν ἁμαρτίαν τοῦ κόσμου. αὐτῷ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ προσκύνησις, σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ρμ ε.

Ἀσμ. α ϛ.

ΕΙΣ ΤΟ, ΠΑΤΕΡ, ΕΙ ΔΥΝΑΤΟΝ, ΤΟ ΠΟΤΗΡΙΟΝ τοῦτο παρελθέτω ἀπ' ἐμοῦ. τῇ μεγάλῃ παρασκευῇ.

Λογ. μθ.
Ματθ. κϛ. λθ.

Ex Ms. Oxon. emend. ex Ms. Regio Lut.

Οὐδὲν ἀπεοίκασιν οἱ τῆς ἐκκλησίας διδάσκαλοι μητρὶ φιλοτέκνῳ, πάντα πόνον καὶ κάματον ὑπομενούσῃ διὰ τὴν τῶν φιλτάτων τέκνων ἀνατροφήν. ὡς γὰρ ἐκείνη τὸν μαστὸν περιέχουσα, τὴν τοῦ γάλακτος ἀκάματον τροφὴν τῷ φιλτάτῳ παρέχει· ὡσαύτως καὶ ὁ τῆς ἐκκλησίας διδάσκαλος τὴν θηλὴν τῆς διανοίας προβαλλόμενος τοῖς παισὶ τῆς ἐκκλησίας, πόθῳ ψυχῆς ὑφέλκειν τὸ γάλα τοῦ λόγου παρακαλεῖ. καὶ ὥσπερ ἡ μήτηρ μετὰ τὴν ἐκ τοῦ γάλακτος ἀνατροφῆς διαγωγήν, καὶ τὸν δυσάθρυπτον ἄρτον διαλύει, καὶ τὰ λαχανικὰ βρώματα ἀρτύμασι νοστώσασα, καὶ πυρὶ τελειώσασα, ὑπηρέτης τῆς ζωῆς τῶν οἰκείων τέκνων γίνεται· τὸν αὐτὸν τρόπον καὶ ὁ διδάσκαλος μετὰ τὴν κατήχησιν τῶν θείων λογίων, καὶ οἱονεὶ μετὰ τὴν γαλακτοτροφίαν, καὶ τὸν δυσερμήνευτον ἄρτον τοῦ λόγου τῇ μαχαίρᾳ τοῦ πνεύματος διαλύσας, καὶ τῶν ποικίλων καὶ διαφόρων ἑρμηνειῶν καὶ θείων γραφῶν εἰς μίαν κρᾶσιν διδασκαλίας συναγαγών, νόστιμον τὸν λόγον τοῖς ὑπ' αὐτοῦ τρεφομένοις παισὶ μεταδίδωσι. διὸ δὴ καὶ ἡμεῖς, ἀγαπητοί, ἐν ταῖς προλαβούσαις ἡμέραις τοῖς εὐθυλύτοις λόγοις ὑμᾶς γαλακτοτροφήσαντες, νῦν πρὸς διδαγμάτων θεωρίαν ἄγομεν τοῦ ἁγίου πνεύματος, νόστιμον ὑμῖν τὸν λόγον τῆς διδασκαλίας ἀρτύοντες. ἔστι δὲ ἡμῖν προκείμενος ἐπὶ τῆς τῶν γραφῶν τραπέζης ὁ ἄρτος τοῦ λόγου τοιοῦτος, διατί ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὑπὲρ τῆς πάντων ζωῆς ἐληλυθὼς ἀναδέξασθαι τὸ παθεῖν καὶ θανεῖν, ἐλθὼν ἐπὶ τὸν ἀοίδιμον σταυρὸν λέγει, Πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ. (Ματθ. κϛ. λθ.) πολλοὶ γὰρ μὴ νοήσαντες τὸν σκοπὸν τῆς σοφίας, καὶ τὸν κεκρυμμένον θησαυρὸν ἐν τῷ ῥήματι, μὴ προσεσχηκότες, δειλίας αὐτοῦ καταγγέλλουσιν. ἀλλὰ δεῦρο καὶ ἡμεῖς, ἀγαπητοί, τέως πρὸς αὐτόν, ὥσπερ νήπιοι διαλεχθῶμεν· ἵνα τὰ ὑπ' ἐκείνου ἡμῖν νοήματα, ὡς νηπίοις, διαπορθμεύσωμεν. εἴπωμεν τοίνυν πρὸς αὐτόν, οὐχ ὥσπερ τέλειοι, ἀλλ' ὡς νήπιοι· τίνος ἕνεκεν, Κύριε, ἐλθὼν τοῦ παθεῖν ὑπὲρ ἡμῶν, ἐλθὼν τοῦ σταυρωθῆναι, δειλίας τὴν εὐχὴν λέγων, πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ; εἰ ἑαυτὸν ἐκένωσας μορφὴν δούλου λαβών, μηδενός σε ἀναγκάσαντος, τί νῦν ἄλλον ἀξιοῖς καὶ λέγεις, πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω; καὶ μὴν συνείχου, καὶ ἐσπούδαζες τοῦ πιεῖν τὸ ποτήριον τοῦτο. ἔλεγες γάρ, Βάπτισμα ἔχω βαπτισθῆναι· καὶ πῶς συνέχομαι, ἕως οὗ πίω αὐτό; (Λουκ. ιβ. ν.) καὶ ὁ συνεχόμενος καὶ σπεύδων τοῦ πιεῖν αὐτό, * παραιτῇ καὶ λέγεις, πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω; μὴ γὰρ ἠγνόεις, ὅτι ἤμελλες ὑπὲρ ἡμῶν θάνατον ὑπομένειν; καὶ μὴν σὺ ἔλεγες, Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. (Ματθ. ιϛ. κα.) τί οὖν ἐλθὼν ἐγγὺς τοῦ σταυροῦ παραιτῇ καὶ λέγεις, Εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω; καὶ εἰ τοῦτο ἐβούλου, τί τῷ σῷ μαθητῇ Πέτρῳ κωλύοντί σε ἐπετίμησας; ἔλεγες γάρ, Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου σταυρωθῆναι καὶ ταφῆναι καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. (Ματθ. ιϛ. κϐ.) ἔλεγε δὲ καὶ Πέτρος· Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο. πρὸς ὃν ἀγανακτήσας ἔφης, Ὕπαγε ὀπίσω μου, Σατανᾶ· σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων. εἰ οὖν ἐκείνῳ ἐπετίμησας τότε, ὡς ἀνθρώπινα φθεγγομένῳ, τί νῦν ἐπιζητεῖς, ὃ τότε ἐκεῖνος ἐκώλυε, καὶ λέγεις, πάτερ, εἰ δυνατόν, τὸ ποτήριον τοῦτο παρελθέτω; σὲ κτίστην τῶν ὁρωμένων καὶ μὴ ὁρωμένων μανθάνομεν εἶναι. καὶ γὰρ νόσους ἀφῇ χειρὸς ἐθεράπευσας, καὶ νεκρῶν λελυμένα σώματα διὰ ῥήματος ἔπηξας, καὶ πηγὰς αἱμάτων κρασπέδοις ἱματίων ἐξήρανας, ἐκ πέντε ἄρτων πεντακισχιλίους ἄνδρας εἰς κόρον διέθρεψας, ἀνέμοις καὶ θαλάσσῃ ἐπετίμησας,

καὶ

καὶ πάντα σοι ὑπήκουσαν τὰ ῥήματα· καὶ ὁ τοσούτων θαυμάτων δημιουργὸς, καὶ θανάτων λυτήριος,
νῦν θάνατον φοβῇ, καὶ λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; καὶ εἰ σὺ θά-
νατον φοβῇ, ἐν τίνι λοιπὸν ἕξομεν τῆς ζωῆς τὰς ἐλπίδας; καὶ εἰ φοβῇ θάνατον, πῶς λέγεις,
Ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις; ζωὴ γὰρ καὶ ἀνάστασις θάνατον οὐδέποτε φοβεῖται. τί δέ
ἐστι καὶ ὃ λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; ἄρα ἀγνοεῖς, ὁ εἰδὼς τὰ
πάντα πρὶν γενέσεως αὐτῶν; ἀγνοεῖς, πότερον δυνατόν ἐστιν, ἢ ἀδύνατον παρελθεῖν τὸ πο-
τήριον; καὶ πῶς ἔλεγες, οὐδεὶς γινώσκει τὸν πατέρα, εἰ μὴ ὁ υἱός; καὶ τὸν μὲν πατέρα ἐπιγι-
νώσκεις, οὗ μεῖζον οὐδέν ἐστι, τὸ δὲ ποτήριον, εἰ δυνατόν ἐστι παρελθεῖν, οὐ γινώσκεις; ὡς δὲ
καὶ ὁ Παῦλός φησιν, Ὅτι οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχη-
λισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ; καὶ πάλιν, Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ
τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ
πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας. εἰ οὖν οὐκ
ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ,
πῶς σὺ νῦν, ὡς ἀγνοῶν, λέγεις, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ,
ἐὰν μή τι ᾖ ἀποκεκρυμμένον μυστήριον ἐν τῷ λόγῳ; οὐ πρέπει σοι, Κύριε, ὁ λόγος οὗτος. Θεὸς
γὰρ εἶ, Θεοῦ υἱὸς, λόγος, σοφία, δύναμις, φῶς, ἥλιος δικαιοσύνης, πηγὴ ἀθάνατος, ζωὴ
αἰώνιος, ἀνάστασις ἡμῶν τῶν τῇ ἁμαρτίᾳ τεθανατωμένων. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον
τοῦτο παρελθέτω. ὢ πῶς δυσέφικτός ἐστιν ὁ λόγος καὶ δυσθεώρητος καὶ δυσδιάκριτος; ὢ πῶς
στενός ἐστι καὶ τεθλιμμένος παρὰ πολλοῖς ἀνθρώποις; δίδαξον ἡμᾶς, Κύριε, τὸ μυστήριον
τοῦτο τοῦ λόγου σοῦ. σοῦ γάρ ἐσμεν, καί σοι "ἐπιστεύσαμεν. μὴ ἐπαιρέσθω ὁ γίγας ἐν τῇ βλα-
σφημίᾳ αὐτοῦ Εὐνόμιος, μηδὲ ὀνειδιζέτω παρεμβολὴν Κυρίου Ἰσραήλ. ἐκεῖνος μὲν γὰρ
ἡμᾶς ὀνειδίζει· εἰς σὲ δὲ τὸν δεσπότην ἡμῶν ἀνατρέχει ἡ ὕβρις. ἐξέγειρον τὸν ἐν τῇ καρ-
δίᾳ ἡμῶν ἐγκείμενον νοῦν, καθάπερ τὸν πρᾳότατον Δαβίδ. δὸς ἡμῖν ἕνα "λόγον λίθου,
ἵνα δι' αὐτοῦ σφενδονήσαντες, τὸ κεφάλαιον τῆς δυσσεβείας αὐτῶν διαλύσωμεν· ἵνα γνῷ πᾶ-
σα ἡ παρεμβολὴ σήμερον, ὅτι σὺ εἶ Κύριος ὕψιστος μόνος ἐπὶ πᾶσαν τὴν γῆν. πολλὲς ἡμῖν
ὁ αἱρετικῶν ἐπίκειται σύλλογος, τί λέγων; ὁρᾷς πῶς φοβεῖται καὶ δειλιᾷ; ὁρᾷς πῶς εὔχεται
τῷ πατρὶ λέγων, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω; νῦν Εὐνόμιος χαίρει,
νῦν Ἄρειος εὐφραίνεται, ὡς εὑρηκότες ῥήματα βλάσφημα κατὰ τῆς ἀληθείας συνείροντα.
ἀλλὰ μὴ εὐφρανθείητε πάντες οἱ ἀλλόφυλοι. συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ἡμᾶς·
μεθ' ἡμῶν ὁ Θεός· γνῶτε, ἔθνη, καὶ ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε, καὶ ἣν ἂν
βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος. τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα· πά-
τερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ὢ ποτήριον ζωῆς καὶ ἀθανασίας μεμεστωμέ-
νον· ὃ λαβόντες Εὐνόμιος καὶ Ἄρειος, τῇ οἰκείᾳ "κακοπιστίᾳ ἐπιθολώσαντες, ποτίζουσι "τῷ
πλησίον ἀνατροπὴν θολεράν, τὴν ἐν αὐτῷ γλυκεῖαν κρᾶσιν τῶν νοημάτων πικρὰν εἶναι
νομίζοντες, καὶ μήτε τὴν, οὐαὶ, φωνὴν φοβούμενοι, λεγούσης τῆς γραφῆς, Οὐαὶ τῷ ποτίζον-
τι "τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν· Οὐαὶ οἱ λέγοντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ
πικρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώ-
πιον ἑαυτῶν ἐπιστήμονες. ἡμεῖς δὲ, ἀγαπητοὶ, λαβόντες τὸ ποτήριον τοῦ Κυρίου ἡμῶν, τὴν
ἐν αὐτῷ γέμουσαν διδασκαλίαν πόθῳ ψυχῆς ἀρυσώμεθα. πάτερ, εἰ δυνατόν ἐστι, τὸ πο-
τήριον τοῦτο παρελθέτω. οὐχ ὡς σὺ νομίζεις, Ἄρειε· ἄρα δειλιᾷ ὁ Κύριος ἡμῶν, ἢ φο-
βούμενος τὸν θάνατον ταῦτα λέγει; πῶς γὰρ ἂν ἐφοβήθη, ὁ ἐξουσίαν ἔχων θανεῖν καὶ μὴ θα-
νεῖν; λέγει γάρ· Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐ-
τήν. εἰ μὲν γὰρ ἠναγκάζετο ὑπό τινος, καλῶς ἔλεγες αὐτὸν δειλιᾶν· νῦν δὲ αὐτὸς
λέγει, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· τοῦτ' ἔστιν,

οὐκ

[Marginal notes: Ἰωαν. ια. κε. — Ἑβρ. δ. ιγ. ιβ. — Ἑβρ. δ. ιβ. — Ἀμβ. β. ιε. — Ησ. ε. κ. κα. — Ἰωαν. ι. ιη. — γ. δὲ καὶ — γ. πιστ — ἴσ. λίγον — γ. ἀπισ — γ. τὴν — γ. τῷ; line numbers 5, 10, 15, 20, 25, 30, 35, 40]

οὐκ ἀναγκαζόμενος ὑπό τινος, ἐπεὶ καὶ ἐλήλυθα, ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξου-
σίαν ἔχω λαβεῖν αὐτήν· ἀλλ' ὥσπερ ἐμαυτὸν ἐκένωσα, μορφὴν δούλου λαβὼν, μηδενός
με ἀναγκάζοντος, καὶ ἐμαυτῷ τὸ σῶμα ᾠκοδόμησα (Ἡ γὰρ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον) Παροιμ. θ. α.
τὸν αὐτὸν τρόπον δύναμαι καὶ λυθέν μου τὸ σῶμα θανάτῳ διὰ τῆς ζωῆς ἐγεῖραι. ἐγὼ γάρ
5 εἰμι ὁ λέγων, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ὥστε οὖν οὐ δειλιῶν, Ἰωαν. β. ιθ.
οὐδὲ φοβούμενος τὸν θάνατον ταῦτα λέγω, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέ-
τω, ἀλλ' ἀποκρύφου μυστηρίου λόγον περιβαλλόμενος. τοῦτο τὸ ῥῆμα δέλεαρ ἐστὶ τῷ δια-
βόλῳ· δεῖ με αὐτὸν τούτοις τοῖς ῥήμασιν ἀγκιστρεῦσαι. εἶδέ με ὁ διάβολος πολλὰ σημεῖα
πεποιηκότα, ὅτι νόσους ἀφῆκα, λεπροὺς ἐθεράπευσα, ὅτι λεγεῶνας δαιμόνων ῥήματι ἐφυγά-
10 δευσα, ὅτι λεπρῶν χαλαζώματα, δίκην πλυνοῦ, τῷ λόγῳ ἀπέξεσα, ὅτι παραλελυμένα
γόνατα φωνῇ ἔπηξα, ὅτι ἀνέμοις καὶ θαλάσσῃ ἐπετίμησα, καὶ πάντα μοι ὑπήκουσαν τὰ ὅμοια.
καὶ διὰ αὐτὴν τὴν πραγμάτων θεωρήσας με εἶναι υἱὸν Θεοῦ, ἐνόησεν, ὅτι ἐὰν ἐγὼ σταυρωθῶ,
ἐκεῖνος ἀπώλετο· ἐὰν ἐγὼ κατέλθω εἰς τὰ καταχθόνια, τοὺς μοχλοὺς αὐτοῦ τοὺς σιδηροῦς
συντρίψω, καὶ τὰς πύλας αὐτοῦ τὰς χαλκᾶς συνθλάσω· καὶ ταῦτα θεωρήσας, φοβούμενος φθ-
15 [illegible]ῆσαι τὸ πολυτίμητόν μοι τὸ τρόπαιον τοῦ σταυροῦ. τί οὖν ἐγὼ ποιῶ; ὡς σοφὸς ἁλιεὺς ὑ-
ποκρίνομαι δειλιᾷν, ὑποκρίνομαι φοβεῖσθαι τὸν θάνατον, καὶ λέγω· πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον
τοῦτο παρελθέτω· ἵνα ἐκεῖνος ἐκ τῶν τοιούτων ταπεινῶν μου ῥημάτων νομίσας με ἄνθρωπον εἶναι δει-
λὸν, φεύγοντα τὸν θάνατον, σπουδάσῃ ἐν μέσῃ τῇ γῇ στῆσαι τὸ ξυλοπαγὲς μυστήριον τοῦ σταυροῦ, ὡς
νομίζει, κατ' ἐμοῦ. δεῖ με οὖν ὡς σοφὸν ἁλιέα τεχνάσασθαι κατ' αὐτοῦ, δεῖ με πάντα ὑπο-
20 μεῖναι ὑπὲρ τῆς πάντων ζωῆς. εἰ γὰρ ἐκεῖνος ἐτεχνάσατο ἐξ ἀρχῆς κατὰ τοῦ Ἀδὰμ ἀπω-
λείας, πολλῷ μᾶλλον ἐγὼ τεχνάσομαι ὑπὲρ τῆς πάντων σωτηρίας. ῥήμασι δολεροῖς ἠ-
πάτησε τὸν Ἀδὰμ, ῥήμασι δολεροῖς ἀπατηθήσεται ὁ δολερός. πάτερ, εἰ δυνατὸν, τὸ ποτήρι-
ον τοῦτο παρελθέτω ἀπ' ἐμοῦ. ἐὰν μὴ ὁ ἁλιεὺς, ὅτε χαλάσει τὸ ἄγκιστρον εἰς τὴν θάλασ-
σαν, ποτὲ μὲν ἐνδῷ τῷ ἀγκίστρῳ, ποτὲ δὲ ὡς φεύγοντα δείξῃ τὸν σκώληκα, τῇ χειρὶ ὑφέλ-
25 κων, οἱ ἰχθύες οὐκ ἐφάλλονται. περιέθηκα τῷ ἀγκίστρῳ μου τῆς θεότητος τὸν σκώληκα
τοῦ σώματος· ἐχάλασα τὸ ἄγκιστρον κεκρυμμένον ἐν τῷ σκώληκι τοῦ σώματος εἰς τὸν βυθὸν
τοῦ βίου τούτου· ἐὰν μὴ ὁ σκώληξ, ὡς σκώληξ, κινηθῇ, ὁ ὀφείλων ἀγκιστρευθῆναι οὐκ ἐπέρ-
χεται τῷ ἀγκίστρῳ. δεῖ με τοίνυν ὡς σκώληκα σχηματίσασθαι, καὶ λαλῆσαι, ἐγὼ γάρ εἰμι
σκώληξ, καὶ οὐκ ἄνθρωπος, ἵν' ἐκεῖνος ἐπιδράμῃ καὶ ἅψηται τῷ ἀγκίστρῳ, καὶ ἑλκυσθῇ ὑπ'
30 ἐμοῦ· καὶ πληρωθῇ τὸ γεγραμμένον ἐν τῷ Ἰὼβ, Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ. γίνομαι ὡς Ἰωβ μ. κ.
ἄνθρωπος δειλιῶν, γίνομαι ὡς φεύγων τὸν θάνατον· εἴπω, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως Ματθ. κς. λθ.
θανάτου· εἴπω, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ἀκούων ἐκεῖνος τούτων
τῶν ῥημάτων, χαίρει καὶ εὐφραίνεται. σπουδάζει γὰρ τὰ ἐναντία μου πράττειν. ὅταν ἀκούσῃ,
πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω, εὐφραίνεται· καὶ τί λέγει ἐν ἑαυτῷ; καὶ οὗτος
35 ἄνθρωπός ἐστι· κατέπιον τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακὼβ, τοὺς πατριάρχας καὶ τοὺς
προφήτας· καταπίω καὶ τοῦτον. ἰδοὺ γὰρ, ὡς ἄνθρωπος, δειλιᾷ. ἄνθρωπός ἐστι· κατα-
πίω αὐτόν. καταπίῃ με ὡς ἄνθρωπον, καὶ εὑρήσει με ἐν τῇ κοιλίᾳ αὐτοῦ, ὡς Θεὸν ἐργαζό-
μενον. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. καταπίῃ τὴν ζύμην τοῦ σώ-
ματος, καὶ εὑρήσει τὸν ἄνθρακα τὸν ἄσβεστον τῆς θεότητος, δεινῶς αὐτὸν ἔνδοθεν καταφλέγοντα.
40 Πῦρ γὰρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. Λουκ. ιβ. μθ.
λαλήσω, ὡς ἀρνίον, οὐ θέλω βλέπειν αὐτὸν τὴν στίλβουσαν μάχαιραν τῆς θεότητος, ἵνα μὴ
φύγῃ ὁ λύκος. καταπίῃ με ὡς ἀρνίον, καὶ ὑπὸ τῆς ἔνδοθεν τῆς κρυπτομένης μαχαίρας, κατα-
κεντηθήσεται. Οὐκ ἦλθον γὰρ εἰρήνην βαλεῖν αὐτῷ, ἀλλὰ μάχαιραν. πάτερ, εἰ δυνα- Ματθ. ι. λδ.
τὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. κρύπτω τὸν ποιμένα Θεὸν ἐν τῷ ἀρνίῳ τοῦ σώματος. οὐ

θέλω φανερῶσαι τὸν ποιμένα Θεὸν, ἵνα μὴ φύγῃ ὁ λύκος. ἐὰν ἴδῃ τὸν ποιμένα, ἀφίσταται ὁ λύκος. ταλαίπωρον ὡς πρόβατον. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ταλαίπωρον ὡς πρόβατον μὴ ἔχον ποιμένα. ἐληλύθαμεν γὰρ, ὥστε ἄνθρωπος ἀβοήθητος. καταπίῃ με ὡς πρόβατον, καὶ ὑπὸ τοῦ ἔνδοθεν ποιμένος τῇ βακτηρίᾳ τοῦ σταυροῦ συνθλασθήσεται. μασήσεται τὸν κόκκον τοῦ σινάπεως, καὶ εὑρήσει τὴν δριμύτητα τῆς θεότητος δεινῶς αὐτὸν βασανίζουσαν· μασήσεταί με ὡς ἄνθρωπον, καὶ εὑρήσει τὴν στερρὰν πέτραν σφοδρῶς τοὺς ὀδόντας αὐτοῦ συγκλάσασαν· ἵνα μάθῃ μηκέτι ἀνθρώποις μασᾶσθαι· καὶ πληρωθήσεται τὸ γεγραμμένον, Ὁ δὲ Θεὸς συνθλάσει τοὺς ὀδόντας αὐτοῦ ἐν τῷ στόματι αὐτοῦ. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. εἰ ᾔδει ὁποῖόν ἐστι τὸ ποτήριον τοῦτο, ὅπερ ἐγὼ εἰρωνείᾳ ἀποδύρομαι, ἐκεῖνος ἂν ηὔξατο παρελθεῖν. κατ' ἐκείνου γάρ ἐστι κεντητήριον, τοῖς δὲ ἐμοῖς σωτήριον. ὅταν με καταπίῃ, τότε αἰσθήσεται, ὃν κατέπιεν· ὅταν εἴδῃ δι' ἐμὲ ἥλιον ἀφανιζόμενον, ἡμέραν σκοτιζομένην, τότε καὶ αὐτὸς πικρανθήσεται· καὶ πληρωθήσεται τὸ γεγραμμένον, Ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι. πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. μὴ οὖν σκανδαλιζέτω ὑμᾶς τὰ τοιαῦτα ῥήματα ἐν σοφίᾳ λεγόμενα· ἐκδέξασθε καὶ ὄψεσθε τὴν ἔκβασιν τῶν λόγων μου, καὶ τότε θαυμάσετε τὴν σοφίαν τῶν ῥημάτων μου. νομίζει μωρόν μου τὸ τέχνασμα εἶναι· καὶ οὐκ οἶδεν ὅτι Τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί· νομίζει ἐκ τῶν τοιούτων ῥημάτων ἀσθενέστατόν με εἶναι· καὶ οὐκ οἶδεν ὅτι τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν· οὐκ οἶδεν, ὅτι ἐγὼ μὲν πίνω τὸ ποτήριον, ἐκεῖνος δὲ μεθυσθήσεται καὶ σκοτισθήσεται, οἱ δὲ ἐμοὶ ἐξυπνισθήσονται καὶ ἐγερθήσονται. νῦν χαίρει ἀκούων τῶν τοιούτων μου ῥημάτων, πάτερ, εἰ δυνατὸν, τὸ ποτήριον τοῦτο παρελθέτω. ὅταν μέντοι καταπίῃ με, ὅταν ἴδῃ πέτρας σχιζομένας, καὶ τὰ μνημεῖα καὶ τοὺς τάφους ἀναρρηγνυμένους, καὶ καταπέτασμα αὐτοῦ ῥηγνύμενον, καὶ τοὺς νεκροὺς ἀναπηδῶντας καὶ εἰς οὐρανοὺς ἀναδυομένους, τότε μεταμελήσει καὶ πενθήσει, ἐφ' οἷς* νῦν χαίρει. οὐκ οἶδεν, ὅτι, ἣν ἵστησι παγίδα, ἑαυτῷ ἵστησι, καὶ αὐτὸς ἐμπεσεῖται. κατὰ τὸ γεγραμμένον· Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. οὐκ οἶδεν, ὅτι ὃν μέλλει ἱστᾶν σταυρὸν, ἐμοὶ μέν ἐστι παστὸς, ἐκείνῳ δὲ σταυρός· ἐμοὶ μέν ἐστι θάλαμος, ἐκείνῳ δὲ θάνατος. ὢ ποτήριον, διαβόλου κεντητήριον, δαιμόνων φυγαδευτήριον· ἀνθρώπων λικμητήριον, ζωῆς ἐργαστήριον, ἀνθρώπων ἱλαστήριον, ἀθανασίας ποτήριον. πλὴν, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. ἔγνω ὁ δύστηνος, ὅτι ὅσα εἶπον, ἐγένετο· ἤκουσέ μου λέγοντος, Εὐχαριστῶ σοι, πάτερ, ὅτι ἤκουσάς μου· ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις. νῦν ἐπειδὴ ηὐξάμην παρελθεῖν τὸ ποτήριον τοῦ θανάτου, ἵνα μὴ νομίσας διὰ τῆς εὐχῆς μου παρέρχεσθαι τὸ ποτήριον, χωρὶς γένηται περὶ τὸ πρᾶγμα τοῦ σταυροῦ, τῆς εὐχῆς μου τὴν ἔκβασιν ἀμφίβολον ποιῶ, καὶ λέγω, πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. τῷ πατρί μου προσάπτω τοῦ θανάτου τὴν ἐξουσίαν· καίτοι αὐτὸς ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. κρύπτω τὸ θεϊκόν μου ἀξίωμα πετάλοις λογικοῖς· κρύπτω τὸ ἐξουσιαστικόν μου τῆς θεότητος λόγοις ἀνθρωπίνοις· λέγω, οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. οὐκ οἶδεν ὁ τυφλὸς, ὅτι τὸ ἐμὸν θέλημα καὶ τὸ τοῦ πατρός μου ἕν ἐστι. Πάντα γὰρ ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· καὶ, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ. κρεμάσει τὸν κόκκον τοῦ σίτου, καὶ ὅταν καταπίῃ με, ὄψει αὐτὸν ὑπὸ τοῦ ἐντεῦθεν σιτίου δεινῶς ἀπαγχόμενον. ἀλλ' ἴσως ἐρεῖ τις τῶν ἀκουόντων· καὶ ἄρα ὁ Χριστὸς ἐνέπαιξε τῷ διαβόλῳ; ἢ ἐξὸν ἦν ἐμπαίζειν αὐτῷ; πρὸς ὃν ἐροῦμεν, ὅτι ἀνάγνωθι τὰς γραφὰς, καὶ εὑρήσεις αὐτὸν τὸν πατέρα λέγοντα πρὸς Μωϋσέα· Ὁρᾷς πόσα ἐμπέπαιχα τοῖς Αἰγυπτίοις; τοιγαροῦν καὶ ὁ Κύριος ἐνέπαιξε τῷ διαβόλῳ καὶ τοῖς δαίμοσιν, ἔδει γὰρ αὐτὸν ὡς ἀνόητον χλευασθῆναι τὸν μεγαλορρημονοῦντα, * * Ἐν τῇ ἰσχύϊ μου ποιήσω, καὶ ἐν τῇ συνέσει τῶν χειρῶν μου ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν οἰκουμένην ὅλην, ὡς

νοσήσω καταλήψομαι, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ, καὶ οὐδεὶς ἔσται, ὃς ἀντείπῃ μοι. ἔδει αὐτὸν τοίνυν ἐμπαιχθῆναι, καὶ τοὺς δαίμονας· ἵνα ἀποδείξῃ τοὺς τὰ τοιαῦτα καυχωμένους καὶ παιδίων εἶναι ἀνοητοτέρους. διὸ οὔτε ἔγνωσαν ὃ ἐποίουν. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. προανεφώνει δὲ καὶ ὁ προφήτης περὶ τοῦ δράκοντος τούτου, ὅτι ἐμπαιχθήσεται, λέγων· Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. ἀλλ' ἵνα μὴ ἐπὶ πολὺ μηκύνοντες τὸν λόγον, δόξωμεν ἐμποδίζειν τοῖς μεθ' ἡμᾶς βουλομένοις φαιδρότερον τῆς γραφῆς τὸ νόημα παραδοῦναι, ἐνταῦθα σιωπῇ τὸν λόγον ἡμῶν στείλωμεν. προήχθημεν γὰρ εἰπεῖν εἰς αὐτὸ τοῦτο τὸ κεφάλαιον, οὐχ ὡς δυνάμενοι ἀπαραλείπτως εἰπεῖν, ἀλλὰ κατὰ τὴν ἑαυτῶν δύναμιν διηγήσασθαι, καὶ ἀφορμὴν διδόναι τοῖς φιλομαθέσι. Δίδου γὰρ σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. καὶ ὑμεῖς δὲ, ἀγαπητοὶ, ἐκ τῶν γραφῶν ἀναλεξάμενοι πρὸς σύστασιν τῶν εἰρημένων, μειζόνως λευκάνατε τὸ δυσθεώρητον νόημα. οὐ γὰρ δειλίας ἕνεκα ὁ Κύριος ἡμῶν, καθὼς προείπαμεν, ἀπεύχεται τὸ ποτήριον τοῦ θανάτου, ἀλλ' οἰκονομίᾳ θεϊκῇ· ἵνα ἐκ τῶν ἐμῶν ἐλαχίστων ῥημάτων τε καὶ νοημάτων, καὶ ἐκ τῶν ὑμετέρων λόγων δόξα Χριστῷ ἀναπεμφθῇ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ργ. κη.
Παροιμ. θ. θ.

ΕΙΣ ΤΗΝ ΤΟΥ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΥ παραβολὴν λέγουσαν, Ἄνθρωπός τις κατέβαινε, καὶ λῃσταῖς περιέπεσεν.

Λογ. ν. Λουκ. ι. λ.

Ex Ms. Collegij Novi Oxon. emend. ex Ms. Regio Lut.

ὌΝτως, κατὰ τὸν θεῖον ἀπόστολον, Οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον. ἔδραμε μὲν πρότερον ὁ ἱερεὺς, ἔδραμε καὶ Λευίτης, καὶ ὁ Σαμαρείτης μόνος ἔλαβε τὸ βραβεῖον. τοὺς γὰρ πρὸ αὐτοῦ ἐλθόντας καὶ δραμόντας ἀκόπως δραμὼν παρεπήδησεν. ἃ γὰρ οἱ νομομαθεῖς οὐκ ἐποίησαν, ταῦτα κατώρθωσεν ὁ ἀλλόφυλος. οἱ μὲν γὰρ ἰδόντες ἐν ἑτέρῳ τὴν οἰκείαν κινδυνεύουσαν φύσιν, τὰ σπλάγχνα ἀπέκλεισαν τῆς συμπαθείας, καὶ τοὺς ὀφθαλμοὺς καμμύσαντες, ὡς στήλην νεκρὰν τὸν κείμενον ὑπερέβησαν, ὡς καί ποτε ὁ πλούσιος παρὰ τὴν θύραν αὐτοῦ ἐρριμμένον τὸν Λάζαρον· ὁ δὲ ἄπιστος Σαμαρείτης, πιστότερος δὲ μᾶλλον καὶ τῶν ἱερέων, τῶν οἰκείων ἐπιλαθόμενος πραγμάτων, παρεμυθήσατο τὸν ξένον, καὶ τῆς ἐπειγούσης αὐτὸν χρείας ἐπιλαθόμενος, πρὸς τὴν θεραπείαν τοῦ πεπληγότος ἠπείγετο, καὶ τὸν νόμον οὐκ εἰδὼς, ἐπλήρωσε, πάντα πεποιηκὼς τὰ τοῦ νόμου. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ἐργάζωνται, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος· οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως, καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων. τί οὖν ὁ εὐαγγελιστής φησιν; Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν, ἀντιπαρῆλθεν. ὁμοίως δὲ καὶ Λευίτης γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε. Σαμαρείτης δέ τις ὁδεύων, ἦλθε κατ' αὐτὸν, καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύο δηνάρια, ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. μάθωμεν οὖν τίς ἐστιν ἡ Ἱερουσαλὴμ, καὶ τίς ἡ Ἱεριχὼ, καὶ τίνες οἱ λῃσταὶ, οἷς περιέπεσε, καὶ τί τὸ ἔνδυμα, ὃ ἀπέδυσαν αὐτὸν, καὶ τίνες αἱ πληγαὶ, ἃς ἐπέθηκαν τῷ ἀνθρώπῳ, καὶ διατί ἀπῆλθον ἀφέντες ἡμιθανῆ

α. Κορ. θ. κδ.
Ρωμ. β. ιδ.
Λουκ. ι. λ.

τυγχάνοντα, καὶ τίς ὁ ἱερεύς, καὶ τίς ὁ Λευΐτης, καὶ τίς ὁ Σαμαρείτης, καὶ τί δὲ ἔλαιον, καὶ τίς ὁ οἶνος, καὶ τίνες οἱ ἐπίδεσμοι, καὶ τί δὲ κτῆνος, καὶ τί δὲ πανδοχεῖον, καὶ τίς ὁ πανδοχεύς, καὶ τί τὰ δύο δηνάρια, καὶ τί τὸ προσαναλώμα, ὃ προσεπηγγείλατο προσαποδοῦναι, καὶ τίς ἡ ἐπάνοδος τοῦ Σαμαρείτου. τίς οὖν ὁ ἄνθρωπος ὁ καταβαίνων ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ; ἡ Ἱερουσαλὴμ ἐστὶν ὁ παράδεισος, ἡ Ἱεριχώ, ὁ κόσμος οὗτος· ἄνθρωπος δὲ ὁ καταβαίνων ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, ὁ πρωτόπλαστός ἐστιν Ἀδάμ. ἐκπεσὼν γὰρ ἐκ τοῦ παραδείσου κατῆλθεν εἰς Ἱεριχώ, τουτέστιν, εἰς τὸν κόσμον τοῦτον. καὶ ἐλθὼν, λῃσταῖς περιέπεσε, τουτέστι, τοῖς πονηροῖς δαίμοσι τοῖς φονικωτάτοις· οἳ καὶ ἐκδύσαντες αὐτὸν τὸ ἔνδυμα τῆς ἀθανασίας, ὃ πρὸ τῆς ἁμαρτίας ἐφόρει, ἐνέδυσαν αὐτὸν φύλλα συκῆς. διὰ τί φύλλα συκῆς; ὅτι τραχέα εἰσὶ καὶ πικρά. ἐπειδὴ δὲ μετὰ τὴν ἁμαρτίαν, τραχύτης προσεγίνετο αὐτῷ πραγμάτων καὶ πικρία πολλή, διὰ τοῦτο ἐνεδύσατο φύλλα συκῆς. καὶ πληγὰς ἐπιθέντες, τουτέστι, τὰς βιωτικὰς ὀδύνας. τὸ, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, καὶ, Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἡ γῆ, καὶ, Ἐν λύπαις τέξῃ τέκνα, αὗται αἱ πληγαὶ τῆς ψυχῆς. Καὶ ἀπῆλθον ἀφέντες αὐτὸν ἡμιθανῆ τυγχάνοντα. οὔτε γὰρ ἐν ζῶσιν ἦν παραβὰς τὴν ἐντολὴν τοῦ Θεοῦ ὁ Ἀδάμ, οὐδὲ τελείως ἐνεκρώθη, τῷ μὴ τελείως ἀρνήσασθαι τὸν Θεόν. κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ. καὶ οὐκ εἶπε, κατὰ συντυχίαν· ἀλλὰ, κατὰ συγκυρίαν. κατὰ συντυχίαν γάρ ἐστιν, ἀπροόπτως καὶ ἀπροσδοκήτως, ὅταν ἐξ αὐτομάτου τις παραγένηται· κατὰ συγκυρίαν δέ ἐστιν, ὅταν τις κατὰ πρόνοιαν Θεοῦ τι ποιήσῃ. ἐνταῦθα οὖν κατὰ πρόνοιαν Θεοῦ κατέβαινεν ὁ ἱερεὺς ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. ὁμοίως δὲ καὶ Λευΐτης. τίς ὁ ἱερεὺς, καὶ τίς ὁ Λευΐτης; ἱερεὺς μέν ἐστιν ὁ Μωϋσαϊκὸς νόμος, Λευΐτης δὲ ὁ προφητικὸς λόγος. οὗτοι μὲν οὖν κατὰ πρόνοιαν μὲν Θεοῦ ἦλθον ἐπὶ τῇ θεραπείᾳ τοῦ τετραυματισμένου ὑπὸ τῶν λῃστῶν. μὴ δυνηθέντες δὲ θεραπεῦσαι αὐτὸν, ἀντιπαρῆλθον. τούτων οὖν μὴ ἰσχυσάντων ἀναστῆσαι τὸν κείμενον, ἔρχεται Σαμαρείτης, ὅς ἐστιν ὁ δεσπότης Χριστὸς, ὁ φύλαξ τῶν ἡμετέρων ψυχῶν. Σαμαρείτης γὰρ ἑρμηνεύεται φύλαξ. διὰ τοῦτο οὖν εἶπε· Σαμαρείτης δέ τις ὁδεύων ἦλθε· καὶ οὐκ εἶπεν, ὅτι ἦλθε πρὸς αὐτὸν, ἀλλ' ἦλθε κατ' αὐτὸν, τουτέστι, σαρκοφορήσας κατ' αὐτὸν, πάθη σωματικῶν ὑποκείμενος κατ' αὐτὸν ἀναμαρτήτως. καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη ἐπ' αὐτῷ, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον. τίνες οἱ ἐπίδεσμοι, καὶ τί δὲ ἔλαιον, καὶ τίς ὁ οἶνος; ἐπίδεσμοί εἰσιν αἱ παραγγελίαι τοῦ Χριστοῦ, τὸ ἔλαιον, τὸ χρίσμα τὸ ἅγιον, οἶνος δὲ τὸ μυστήριον τῆς πίστεως. διὰ γὰρ τούτων τὰ ψυχικὰ ἡμῶν θεραπεύεται τραύματα. ἴσασιν οἱ μεμυημένοι τὰ λεγόμενα. ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον. ἴδιον κτῆνος λέγει τὸ σῶμα ὁ Χριστὸς, ὃ ὑπὲρ ἡμῶν ἀνέλαβεν ἐκ τῆς ἀχράντου παρθένου. ἀνεβίβασεν οὖν ἐπὶ τὸ ἴδιον κτῆνος τὸν τετραυματισμένον ὑπὸ τῶν λῃστῶν· ἐπειδὴ κατὰ τὸν προφήτην Ἡσαΐαν, Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἀνέλαβε, καὶ τὰς νόσους ἐβάστασε. καὶ ἤγαγεν εἰς πανδοχεῖον, τουτέστιν, εἰς τὴν ἁγίαν ἐκκλησίαν, καὶ ἐπεμελήθη αὐτοῦ, τὸ πρότερον αὐτὸς δι' ἑαυτοῦ. ἐπὶ τὴν αὔριον δὲ ἐξελθὼν, τουτέστι, μετὰ τὴν ἁγίαν ἀνάστασιν, ἐκβαλὼν δύο δηνάρια, δέδωκε τῷ πανδοχεῖ. τίς ἐστιν ὁ πανδοχεύς; καὶ τί τὰ δύο δηνάρια; ὁ πανδοχεὺς Παῦλος ὁ ἀπόστολός ἐστιν, ὁ προβληθεὶς τὴν ἐξ ἐθνῶν ἐκκλησίαν· πανδοχεὺς δὲ ἐκλήθη, διὰ τὸ πάντας δέχεσθαι, καὶ πάντας ἕλκειν εἰς σωτηρίαν. ἐκβαλὼν δύο δηνάρια ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν, τήν τε παλαιὰν καὶ καινὴν διαθήκην, ἔδωκε τῷ πανδοχεῖ, εἰπὼν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ· σοί, φησι, παραδίδωμι τὸν ἐξ ἐθνῶν λαὸν, τὸν τετραυματισμένον ὑπὸ τῶν λῃστῶν τῶν φονικωτάτων· μόνον ἐπιμελήθητι αὐτοῦ· καὶ ὃ δ' ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. τί οὖν προσεδαπάνησε Παῦλος τοῖς δηναρίοις; τὰς δέκα τέσσαρας ἐπιστολὰς, ἃς διεπέμψατο τοῖς ἔθνεσι. τί ἐστι τὸ, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι;

Γεν. γ. ιθ. ις. ιη.

Ησ. νγ. δ.

ἐν

ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ, ὅταν ἔρχωμαι κρῖναι ζῶντας καὶ νεκρούς· ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι, ἃ προσεδόκησας, καθὼς καὶ αὐτὸς ὁ Παῦλος λέγει· Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. τοῦ τοιούτου οὖν, ἀδελφοί, στεφάνου γένοιτο οὖν καὶ ἡμᾶς ἐπιτυχεῖν πάντας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(β. Τιμ. δ. ζ.)

ΕΙΣ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΑΓΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΠΡΟΦΗΤΟΥ προδρόμου καὶ Βαπτιστοῦ.

Λογ. να.

Εὔχαρις ἡμέρα ἑορτῆς καὶ πανδήμου χαρᾶς, ἐν ᾗ ὑπεμνήσθημεν τοῦ Γαβριὴλ τὴν λειτουργίαν καὶ τοῦ Ζαχαρίου τὴν ἱερατείαν, καὶ ἔννοιαν τὴν ἀφωνίᾳ καταδικασθεῖσαν τῇ ἀπιστίᾳ. ἠκούσατε γὰρ τοῦ εὐαγγελιστοῦ Λουκᾶ, τοῦ ἀνοίξαντος ἡμῖν σήμερον τὸ ψυχωφελὲς ἰατρεῖον. ἰατρὸς γὰρ ἦν καὶ τῇ τέχνῃ ὁ εὐαγγελιστὴς Λουκᾶς· ἀλλὰ τότε μὲν σωμάτων θεραπευτής, νῦν δὲ πραγμάτων περιοδευτής. τέχνην τέχνῃ κατήλλαξε, καὶ περιοδείᾳ περιοδείαν διεδέξατο. τί οὖν ὁ Λουκᾶς, ὁ εὐφυὴς ἰατρός; ἠκούσατε αὐτοῦ ἀρτίως λέγοντος, Κατὰ τὸ ἔθος, φησί, τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, καὶ εἰσελθεῖν εἰς τὸν ναὸν τοῦ Θεοῦ Ζαχαρίας, καὶ ἅπαν τὸ πλῆθος ἦν τοῦ λαοῦ προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος· καὶ ἰδοὺ ἄγγελος Κυρίου ὤφθη αὐτῷ ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ, Ζαχαρία, ὅτι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἰδοὺ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. ὢ τοῦ παραδόξου καὶ μυστικοῦ θαύματος. δικαίως ὁ Ζαχαρίας * ἀντεῖπε τῷ ἀγγέλῳ. ἄλλην παράκλησιν ἐποιεῖτο, καὶ ἄλλην ἐλάμβανεν. ὑπὲρ τοῦ λαοῦ προσηύχετο, καὶ τέκνου πατὴρ ὠνομάζετο· συγγνώμην πλημμελημάτων ἐζήτει, καὶ ἀγόνου μήτρας ἐπαγγελίας ἐδέχετο. ἤθελε γὰρ ὁ Ζαχαρίας τὰς ψυχὰς τῶν ἁμαρτησάντων ἰαθῆναι, ἢ τὴν κοιλίαν τῆς Ἐλισάβετ ὀγκωθῆναι. δικαίως ὁ Ζαχαρίας ἐταράχθη φόβῳ συσχεθείς. ἄνθρωπος γὰρ ἦν ὑπὸ τὴν δουλείαν, εἰ καὶ ἱερατικὸν ἀξίωμα περιεβέβλητο. Εἶπε δὲ Ζαχαρίας ἐνθέως κατὰ ψυχὴν μόνον, ὡς εἶδε τὸν ἄγγελον· ξένη τοῦ ἀνδρὸς ἡ ἐπιστασία· ξένη τῶν ῥημάτων ἡ ἐπαγγελία. τίς ἐστιν, ὁ τεθαρρημένως ποδὶ τὸν ἱερὸν ναὸν βηματίζων; τίς ἐστιν, ὁ ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος παρεστώς; τίς ἐστιν, ὁ ἀλλομόρφου θέας μορφαῖς περιαστράπτων; τίς ἐστιν; οὐκ εἶδον ἄνθρωπον πτερωτόν, οὐδ' αὖ πάλιν πετεινὸν ἀνθρωπόμορφον. τίς ἐστιν, ὁ φόβῳ τὴν ἐμὴν ψυχὴν περιέχων; τίς ἐστιν, ὁ φωσφόρος ἀπὸ στόματος κεκλεισμένων τῶν χειλέων λαλῶν μεγάλα; τίς ἐστιν, ὁ τῆς ἐμῆς ἐφημερίας ἐφεδρευτής; τίς ἐστιν, ὁ τῆς ἐμῆς πρεσβείας ἐμποδιστής; ἔξω τὸ πλῆθος τοῦ λαοῦ περιμένει με προσευχόμενοι, ὡς τοῦ βασιλέως τοῦ ἐπουρανίου ἀντιγραφέα· καὶ ἐστιν ἔνδον κατέχει με. δι' ἐμοῦ δεήσεις ἐπέδωκαν τῷ βασιλεῖ, συγγνώμην αἰτοῦντες, ὡς πλημμελήσαντες. ταῦτα εὔχομαι ὑπογραφῆναι, ἵνα τῷ λαῷ τὴν ἐπιθυμίαν κομίσω, ἵνα τῆς ἐφημερίας μου τὴν ἐργασίαν ἐπιδείξω. παῦσαι τοίνυν ὅστις εἶ ὁ ἐκφοβῶν με. εἰ ἦς θεόπεμπτος ἄγγελος, συνεβάλου αὖ τῇ χρείᾳ μου, συνέπαθες τοῖς ἔξω δακρύουσι, συνεθλίβου τοῖς θλιβομένοις. ἄπιθι τοίνυν· τίς εἶ ὁ ἐκφοβῶν με; οὐδείς μοι λόγος παιδός· τί μοι τέκνου ἐπαγγελίαν σημαίνεις; τί κέρδος τῷ λαῷ, ἐὰν ἐγὼ τέκνον ἔξω; τί δὲ ὄφελος, ἐὰν

(Ex Ms. Oxon. emend. ex Ms. Palatino.)
(Μηνὸς Ἰουν. κδ.)
(Λουκ. α. θ.)

Ελισάβετ παιδίον θηλάσῃ; τί κέρδος, ἐὰν ἐγὼ κληρονόμον τοῦ βίου καταλείψω; ἄπιθι τοίνυν ὁ ἐκφοβῶν με, ὅστις ἂν εἶ· ἄπιθι τοίνυν ἀπ' ἐμοῦ. προβεβηκότες ἐσμέν· παρῆλθεν ὁ καιρὸς τῆς σπορᾶς· ἐσβέσθη τοῦ γάμου ἡ ἐπιθυμία· ὁ χρόνος τὴν θέρμην κατέψυξεν· ἡ στείρωσις τὸν καρπὸν ἠρνήσατο· ἡ φύσις πρὸς ἑαυτὴν ἐστασίασε· τεθνήκαμεν ἀμφότεροι τὰ μέρη τῆς μίξεως. ὅτι νεότης οὐκ ἤνθησε, πῶς γῆρας βλαστήσει; ἀλλὰ ταῦτα μὲν ὁ Ζαχαρίας εἰκότως. ὁ δὲ ἄγγελός φησι πρὸς αὐτόν, καθὼς ἀρτίως ἤκουες· μὴ φοβοῦ, Ζαχαρία, μηδὲ λογισμοῖς ταράττου. ἄγγελός εἰμι φωτός, καὶ οὐχὶ σκότους· Γαβριὴλ εἰμὶ ἐγώ, εἷς τῶν ἀρχόντων τοῦ ἐπουρανίου βασιλέως· πρόσταγμα κομίζω, οὐκ ἐξουσίᾳ κελεύω. ἀπεστάλην μηνῦσαί σοι, οὐχὶ ἔφοδον ποιῆσαί σοι. σχῆμα περιβέβλημαι, οὐχὶ δὲ γυμνῇ τῇ οὐσίᾳ σοι φαίνομαι. φείδεται γάρ σου τῆς ζωῆς ὁ ἀποστείλας με. μὴ φοβοῦ, Ζαχαρία. ἀπεστάλην εὐαγγελίσασθαί σοι, οὐχὶ δὲ θαμβῆσαί σε. τὸ γῆρας προβάλλῃ, καὶ τὴν ἄγονον πολιάν, καὶ τὴν ἄσπορον μήτραν. καὶ τίς θέλων γεννᾷ; Θεοῦ τὸ δῶρον· μὴ γὰρ ἀνθρώπου τὸ εὕρεμα; οὐκ ἤκουσας τοῦ Κυρίου λέγοντος, Ἐγώ εἰμι ὁ ποιῶν ἄνθρωπον, καὶ πλάσσων ἐν ἀνθρώπῳ πνεῦμα; ἀπιστεῖς, Ζαχαρία; πῶς ὁ Ἀδὰμ ἐπλάσθη; πῶς ἡ Εὔα ἐκτίσθη; πῶς ὁ Ἰσαὰκ ἐγεννήθη; ὑπακούσας Ἀβραάμ, οὐκ ἔσφαλε· καὶ σὺ ἱερεὺς ὢν ἀπιστεῖς; μὴ ἀδυνατεῖ παρὰ τῷ Θεῷ πᾶν ῥῆμα, Ζαχαρία; διὰ τὸ γῆρας ἀντιλέγεις, ὦ πρεσβῦτα; σωματικὴν νέκρωσιν δραστικωτέραν ὁρίζεις Θεοῦ; εἰ μὴ εἶδες τὸν Ἀβραάμ, καλῶς ἀμφέβαλες. φυσικὴν ἀσθένειαν προβάλλῃ, καὶ θεϊκῆς ἐπαγγελίας παρούσης οὐ πιστεύεις, ἀλλ' ἀμφιβάλλεις καὶ φιλονεικεῖς; μικρὰ αἰτεῖς, καὶ μεγάλα λαμβάνεις· καὶ ὡς ζημίαν ὑπομένων κραυγάζεις, Ζαχαρία; ὑπὲρ τοῦ Ἰουδαϊκοῦ λαοῦ μόνου προσεύχῃ· ἐγὼ δὲ εὐαγγελίζομαί σοι, εἰς πάντα τὰ ἔθνη συνεισάγειν τὴν σωτηρίαν. ὁ δὲ Ζαχαρίας ταῦτα ἀκούσας, καὶ μικρὸν τὴν ὄψιν ἀποστρέψας, ἀνταποκριθεὶς πρὸς τὸν ἄγγελον ἔφη· τί λέγεις, ὦ ἄγγελε; ἡ γυνή μου γεννήσει; τί γάρ; διὰ τοῦτο προσηυξάμην, ἢ τούτου ἕνεκεν τὸ θυμίαμα κινῶ τῆς ἐφημερίας, ἵνα τὴν καρπογονίαν τῷ λαῷ ἐπιδείξω; συγγνώμην ἁμαρτημάτων αἰτῶ· μὴ γὰρ λύσιν στειρώσεως ἐπιποθῶ; τὴν συναγωγὴν* κουφισθῆναι θέλω· μὴ γὰρ τὴν Ἐλισάβετ ὀγκωθῆναι; ψυχὰς τετραυματισμένας παρακαλῶ ἰαθῆναι· μὴ γὰρ μαζοὺς ξηρανθέντας γαλακτοροῦς γενέσθαι; τί λέγεις, ὦ ἄγγελε; ἡ γυνή μου γεννήσει; καὶ τί τὸ κέρδος τῶν ἔξω προσευχομένων; ἆρα δὲ ἀκούσαντες οὐ λιθάσουσί με, λέγοντες, ὅτι μὴ ὑπὲρ αὐτῶν καὶ τοῦ κοινωφελοῦς ἕνεκεν σωτηρίας καθίσταμαι ἀρχιερεύς, ἀλλ' ἑαυτοῦ μόνον; καὶ ὅτι οὐ λόγον, ἀλλὰ γόνον ἐδεξάμην; οὐδείς μοι λέγε πρὸς τεκνογονίαν. ἄπαγε, τοῦτο οὐ βούλομαι· ὅπερ ηὐχόμην, οὐκ ἔλαβον· καὶ νῦν ἕτερα ἀνθ' ἑτέρων μοι γνωρίζεις; οὐδείς μοι λέγε περὶ παιδοποιΐας. νόσος στειρώσεως γέγονε. μὴ γὰρ χρόνος τὴν ἐπιθυμίαν ἐθέρισε, καὶ ἡ ἀσθένεια τῆς φύσεως, οὐ τῆς μίξεως; οὐδείς μοι λέγε νῦν περὶ τεκνογονίας. ἄνευ βακτηρίας βαδίζειν οὐ δυνάμεθα, καὶ πῶς τεκνογονίας ἄρχεσθαι κελευόμεθα; τὸ γῆρας τὴν φύσιν ἠρνήσατο· πίστεως ἔξω τὸ πρᾶγμα· τάφον περιβλεπόμεθα, καὶ τροφὴν ἀρραβωνισόμεθα; οὐδείς μοι λέγε περὶ τεκνογονίας. τοῦ λαοῦ τὴν σωτηρίαν ζητῶ, καὶ τοῦ ἔθνους τὴν εὐδαιμονίαν, τῶν ἐχθρῶν τὴν αἰχμαλωσίαν, καὶ τοῦ λαοῦ τὴν εὐημερίαν, οὐχὶ δὲ κλαυθμυρίσματα, καὶ σπάργανα καὶ νηπιώδεις τροφάς. οὐδείς μοι λέγε περὶ τούτου. πῶς πατὴρ γνησίου παιδὸς εὑρεθήσομαι; τὸ γῆρας ἀπωθεῖται τὴν πίστιν, ἔξω φύσεως λοιπὸν τὸ πρᾶγμα, διαλέλυται τὰ γεννητικὰ μόρια. ῥάβδον ὡς ἵππον κατέχων ἐπιβαίνω, καὶ μονογαμίας μοι πεῖραν ἀναζεύξεις, ὅτι τάφος τὸ πᾶν σῶμα γέγονε; κατὰ τί γνώσομαι τοῦτο; φράσον μοι, ὦ μέγιστε Γαβριήλ. ἀναγκαῖον γὰρ τοῦτο καὶ τοὺς ἀγνοοῦντας γνῶναι. ὅτι περ Γαβριήλ, Θεοῦ ἄνθρωπος ἑρμηνεύεται. εἰπέ, κατὰ τί γνώσομαι τοῦτο; ἰδοὺ τρέμοντά μου τὰ μέλη· ἰδοὺ τὸ γῆρας ἀμφοτέρων καὶ εἰς γῆν ὁρώντων. εἰ μέρος ἐνέαζε, καὶ μέρος ἐπεπαλαίωτο, μικρά τις ἐλπὶς ἦν τῶν λεγομένων· νῦν ἑκατέρων τὸ σῶμα σεσάθρωται. οὐδὲν ἕτερον περιμένομεν, εἰ

Ζαχ. ιβ. α.

μὴ

μὴ τὸ δρέπανον τοῦ θανάτου, ὡς στάχυες πίπτουσι πρὸς θερισμόν. εἰ δὲ ὅλως ἀληθεύεις, διάσωζε Γαβριήλ, ὃ λέγεις, δὸς δὴ ἄλλο προσδοῦναι σημεῖον, ἀρραβῶνά μοι πίστευσον τῆς ἐπαγγελίας τὴν θαυματουργίαν. κατὰ τί γνώσομαι τοῦτο; ὁ Ἀαρὼν οὐκ ἐπίστευσεν, εἰ μὴ ἡ ῥάβδος ἤνθησε· Μωϋσῆς οὐκ ἐπληροφορήθη, εἰ μὴ ἡ χεὶρ αὐτοῦ ἐλευκάνθη· Γεδεὼν οὐ συνῆκεν, εἰ μὴ ἐπὶ τὸν πόκον γέγονεν ἡ δρόσος· Ἐζεκίας οὐκ ἐπέγνω, εἰ μὴ ὁ ἥλιος ἀνεποδίσθη. κατὰ τί γνώσομαι τοῦτο; δὸς σὺ σημεῖον, καὶ χορεύω νεανικά. δὸς σημεῖον, ἵνα μὴ Ἐλισάβετ προπετῶς γελάσῃ, ὡς ἡ Σάρρα. κατὰ τί γνώσομαι τοῦτο, ἀρχάγγελε μηνυτά; πόθεν μοι δῆλα τὰ ἐκ σοῦ μοι ῥηθέντα; εἰ δεύτερος Ἀβραὰμ φαίνομαι, ὑπάρξει μοι τὰ τοῦ Ἀβραὰμ ἰδιώματα· εἴσελθε ὑπὸ τὸ δωμάτιόν μου, καὶ νίψω τοὺς πόδας σου ὁδοιπορίαν στείλαντι, καὶ παραθήσω σοι τράπεζαν μυστηρίου πεπληρωμένην· ἀλλ' εὑροῦσα τὰ τρία Ἐλισάβετ φυράσει, τὴν ἐκκλησίαν προζωγραφοῦσα. ζητεῖ μόσχον, ἵνα δωρήσῃ γόνον. κατὰ τί γνώσομαι τοῦτο [ὁ καλὰ εὐαγγέλια ἄνωθεν ἐπὶ γῆς ἡμῖν φέρων;] τί μοι τοῦ παιδὸς τὸ ὄνομα, ἄγγελε, προλέγεις; καὶ τοῦ μήπω φανέντος τὰς ἀρετὰς ἀριθμεῖς; δεῖξόν μοι τὸ ὑπὲρ φύσιν, ἵνα πιστεύσω τὸ παρὰ φύσιν. ἐὰν ὁ οὐρανὸς ἀνακάμπτηται, κἀγὼ ἀνανεοῦμαι· ἐὰν ἡ θάλασσα μετρῆται, καὶ ἡ γυνή μου Ἐλισάβετ μαιοῦται· ἐὰν ὁ ἥλιος καταλαμβάνηται, καὶ τὸν ξηροὶ μασθοὶ γάλα ῥεύσουσιν· ἐὰν ἡ σελήνη ἀναχαιτίζηται, καὶ ἡ ξηρὰ μήτρα νοτίζεται. κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. ὁ δὲ ἄγγελος πρὸς τὸν Ζαχαρίαν· Θεὸν ἐνέχυρον ἀπαιτεῖς; ἀσθένειαν βεβαιοτέραν τῆς δεσποτικῆς ἐπαγγελίας ὁρίζῃ; τὸν εὐαγγέλιά σοι κομίζοντα ἀνακρίνειν οὐ δέδοικας; κατὰ τί γνώσομαι τοῦτο, λέγεις, ὦ Ζαχαρία; μὴ γὰρ εἰς Αἴγυπτον ἀποστέλλῃ, ἵνα φοβηθῇς τὸν Φαραώ; κατὰ τί γνώσομαι τοῦτο, λέγεις, ὦ Ζαχαρία; οὐδὲν ὑπὲρ φύσιν ὁ Θεὸς ἐργάζεται; φύσεως ἀκολουθίαν ζητεῖς, καὶ οὐκ εἶδες θεότητος παράδοξον ποίησιν; εἰπέ μοι, Ζαχαρία, τῆς γῆς οἱ στῦλοι ποῦ πεπήγασι; τοῦ οὐρανοῦ δὲ τὸ κύτος ποῦ κατήρτισται; νεφελῶν δὲ αἱ κύται ποῦ εὑρίσκονται; ὑετοῦ δὲ σταγόνες ποῦ σημειοῦνται; βόλοι δὲ χιόνος ποῦ λατομοῦνται; ἡλίου δὲ δρόμον τίς ἡνιοχεῖ; σελήνης δὲ μείωσιν τίς ὁρίζει; ἀστέρων πλῆθος τίς ἐξαριθμήσει; θάλασσα δὲ μαινομένη πῶς ψάμμον αἰδεῖται; ποταμοὶ δὲ θερμορρύται πῶς συγκιρνῶνται; ὁμίχλης δὲ σκότος πῶς ἐξυφαίνεται; ἄνθρωπος δὲ ἐν μήτρᾳ πῶς διαπλάττεται; καὶ τοῦ ἄρρενος τὸ θῆλυ πῶς λειότερον εὑρίσκεται; θεοείκελος δὲ ψυχὴ πῶς ἀσθενὴς ἐν τῷ σώματι εὑρίσκεται; κατὰ τί γνώσομαι τοῦτο, λέγεις, ὦ Ζαχαρία; φύσεως ἀκολουθίαν ζητεῖς, ὅπου θεότητος ἐργασία; τί; τὴν στεῖραν ἀπιστεῖς γεννῆσαι; τί οὖν ἐὰν ἀκούσῃς παρθένον τίκτουσαν παραδόξως; καὶ εἴη τὸ ἄπιστον εἰς πίστιν προγυμναζόμενον; ἔνθεν γὰρ καὶ ἐπὶ τῆς στείρας νῦν ἀπιστία κολάζεται, ἵνα τὴν ἐπὶ τῆς παρθένου θαυματουργίαν μὴ ἀμφιβάλλῃς. ἔσῃ, φησί, σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι. ὢ τῆς φιλανθρώπου τιμωρίας, διόρθωσιν μᾶλλον ἐργαζομένης. αὐτὴν γὰρ ὁ ἄγγελος τὴν σφαλεῖσαν φωνὴν σωφρονίζει, αὐτὴν χαλινοῖ τὴν τολμήσασαν γλῶτταν. ἦν γάρ, φησι, διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. καλῶς ὁ εὐαγγελιστὴς καὶ τὸ, διέμενε, συνεγράψατο. παρέμενε γὰρ ἡ σιωπὴ τὴν τικτομένην φωνήν, ὁ Ζαχαρίας τὸν Ἰωάννην, ὁ πρεσβύτης τὸν παῖδα, ὁ ἱερεὺς τὸν προφήτην. ἐν οἷς λέγει ὁ ἄγγελος, ἐπειδὴ οὖν ὡς ἄπιστος σημεῖον παρὰ Θεοῦ ζητεῖς, ἐν τοῖς ἰδίοις μέλεσι τὸ μαστιγοφόρον προσδέχου σημεῖον. ἔσῃ γάρ, φησι, σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα. ὅπου γὰρ τῆς ἀντιλογίας τὸ ὄργανον, ἐκεῖ καὶ τῆς τιμωρίας τὸ πρόσταγμα· ὅπου τῆς προπετείας τὸ θράσος, ἐκεῖ καὶ τῆς παιδείας ὁ χαλινός· ὅπου ἡ ὕβρις ἐλάκτισεν, ἐκεῖ τῆς ἐπιτιμήσεως ἡ ἀπόφασις. ἤθελε μὲν ὁ Θεός, Ζαχαρία, κήρυκά σε τοῦ τοιούτου θαύματος γενέσθαι. στρατοπεδάρχης γὰρ τοῦ ἐπουρανίου βασιλέως ὑπῆρχες, καὶ τῆς κοσμικῆς τῶν ἁμαρτημάτων λυτρώσεως προκαθαρτής. ἐπειδὴ δὲ τὴν ἀσθένειαν τοῦ σώματος βεβαιοτέραν τῆς ἐπαγγελίας ἐποιήσω τοῦ δεσπότου,

τοῦ, διὰ τοῦτο ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. ὁρᾷς ὅτι ἄνευ πίστεως οὐδὲ τῶν δεόντων κορυφοῦται. μόνον δὲ ἤκουσεν ὁ Ζαχαρίας τὰ ῥήματα ταῦτα, εὐθέως ἐξῆλθεν ἐκ τοῦ ναοῦ, μισθὸν ἀπιστίας τὴν φίμωσιν βαστάζων. ὢ τοῦ θαύματος. ἄλλους εἰσῆλθεν ἐλευθερῶσαι, καὶ αὐτὸς ἐξῆλθε καταδεδικασμένος· ὁ θυμιατήριον λειτουργικὸν βαστάζων, τίτλον ἐξορίας περιέφερεν. ὁ λαὸς περιέμενέ τι ἀγαθὸν ἀκοῦσαι παρ' αὐτοῦ, κἀκεῖνος διένευσε, μηδείς μοι πλησιάσῃ, μηδείς με ἐρωτήσῃ· δεσποτικῆς ἀγανακτήσεως φορτίον βαστάζω. ὢ τῶν παραδόξων πραγμάτων. Ζαχαρίας φιμοῦται, καὶ ἡ Ἐλισάβετ εὐωχεῖται· ἀνεστομοῦται γλῶττα, καὶ ὀγκοῦται μήτρα· ἡ εὔλαλος γλῶττα στειρεύει, καὶ ἡ ἄκαρπος [στεῖρα] γίνεται μήτηρ. μετοικεῖται δὲ τὸ πάθος τῆς μήτρας εἰς τὴν γλῶτταν· ἡ φωνὴ χαλινοῦται, καὶ ἡ γονὴ ἐλευθεροῦται. Ζαχαρίας σιγᾷ, καὶ ὁ Ἰωάννης σκιρτᾷ. μόνον γὰρ εἶδεν ἡ στεῖρα τὴν παρθένον, κατενόησεν ὁ ἑωσφόρος τὸν ἥλιον, καὶ ἐσκίρτησε μέγα ὁ Ἰωάννης ἐν τῇ μητρικῇ νηδύϊ, τὴν βραδυτῆτα τῆς φύσεως αἰτιώμενος. δέσποτα, φησί, κῆρυξ εἰμί· καὶ πῶς τοῖς ὁμοδούλοις ὁμοίως πεπέδημαι δεσμοῖς; [περιλάβω τὸν χρόνον τῆς κυήσεως.] οὐ περιμένω τὸν τόκον, μὴ ἀπολέσω τὸν δρόμον· μὴ δεσπότης παραλάβῃ τὸν περὶ τὰς ὠδῖνας εἰλυμένον δοῦλον· μὴ γένηται τῆς φύσεως ἡ ἀκολουθία παρανομία τῆς τάξεως. ἐπέγνων τὸν παρόντα, καὶ σιωπᾶν οὐκ ἀνέχομαι· ἐπέγνων τὸν προαποστείλαντά με πρὸ προσώπου αὐτοῦ πορεύεσθαι, ἑτοιμάσαι τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν αὐτοῦ. σαλεύω τὰ δεσμὰ τῆς φύσεως. κηρύττειν γὰρ ἐπείγομαι. ὢ τῶν παραδόξων πραγμάτων καὶ θαυμάτων. ἅπερ ἠγνόησαν ἐν οὐρανοῖς ἄγγελοι, ἐγνώρισεν ὁ Ἰωάννης κυοφορούμενος, καὶ ἔλεγε τῇ μητρὶ αὐτοῦ· ἀθρήνοις ἔλαθε, καὶ τὸν ἐν μήτρᾳ Θεὸς ἐπιδημῶν οὐ παρέδραμε. κυριότητας ἔκρυψε, καὶ τῷ ἐν γαστρὶ τὸ τῆς οἰκονομίας μυστήριον ἀπεκάλυψε· καὶ ὅπερ ἐλήλυθεν ὁ ἀρχάγγελος τῇ θεοτόκῳ κομίζων εὐαγγέλιον, ἔνδοθεν τὸ ἔμβρυον ἀλλόμενον ὑπηγόρευσεν. ἐπιδημήσας γάρ, καθὼς ἀρτίως ἠκούσατε, ὁ τοῦ γένους ἡμῶν λυτρωτὴς πρὸς τὸν ἑαυτοῦ φίλον Ἰωάννην ἀφίκετο κυοφορούμενος παράχρημα. καὶ ἦν ἰδεῖν τὸν πλαστουργὸν ἀσπαζόμενον τὸν πηλόν, τὸν βασιλέα εἰς τὴν τοῦ στρατιώτου σκηνὴν αὐλιζόμενον, τὸν δεσπότην εἰς τὸ τοῦ δούλου δωμάτιον ἀφιγμένον. ὃν ἐκ μήτρας ἐν μήτρᾳ θεασάμενος ὁ Ἰωάννης, τῆς φύσεως ὅρους παραδραμεῖν ἐπεχείρησεν, οὐκ οἶδα, λέγων, φύσεως ὁροθέτην Κύριον, οὐκ ἀναμένω κυήσεως χρόνον· ἐν γαστρὶ ἐννεαμηνιαῖος τόκος οὐκ ἀναγκαῖος ἐμοί· οὐ χρῄζω ταύτης τῆς εἱρκτώσεως, εἰς ἣν νῦν ἐγκέκλεισμαι. καὶ τί οὐ διασπῶ τὰ δεσμὰ τὰ κατέχοντά με; ἐξέλθω, κηρύξω παραδόξων πραγμάτων σύντομον γνῶσιν. σημεῖον γάρ εἰμι θεϊκῆς παρουσίας· σάλπιγξ εἰμὶ τῆς τοῦ Θεοῦ λόγου σαρκώσεως. σαλπίσω, καὶ πατρικὴν γλῶτταν εὐγλωττήσω λαλεῖν. σαλπίσω, καὶ μητρικὴν νεκρωθεῖσαν μήτραν ζωώσω. βλέπε τοῦ μυστηρίου τὸ ξένον· οὔπω γεννᾶται, καὶ τοῖς σκιρτήμασι φθέγγεται· οὔπω φαίνεται, καὶ ἀπειλὰς ἀποστέλλει· οὔπω βοᾶν συγχωρεῖται, καὶ δι' ἔργων ἀκούεται· οὔπω μανθάνει τὸν βίον, καὶ τὸν Θεὸν προκηρύττει· οὔπω βλέπει τὸ φῶς, καὶ γνωρίζει τὸν ἥλιον· οὔπω τίκτεται, καὶ προτρέχειν ἐπείγεται. οὐ γὰρ φέρει τοῦ δεσπότου ἐλθόντος παρακατέχεσθαι· οὐκ ἀνέχεται περιμεῖναι τοῦ τόκου τοὺς ὅρους, ἀλλὰ ῥῆξαι φιλονεικεῖ τὸ τῆς γαστρὸς δεσμωτήριον, καὶ προμηνῦσαι σπουδάζει τὸν σωτῆρα ἐρχόμενον, [κράζων τοῖς ἅλμασιν]· ὁ λύων τοὺς δεσμοὺς παραγένετο, καὶ τί ἐγὼ δεδεμένος κατέχομαι; ἦλθεν ὁ λόγῳ κατασκευάσας τὰ σύμπαντα, καὶ τί ἐγὼ περιμένω τοὺς ὅρους τῆς φύσεως; ἐξέλθω, προδραμῶ, κηρύξω, βοήσω τοῖς πᾶσι παροῦσιν· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. καὶ ταῦτα μὲν τὰ τοῦ Ἰωάννου [σκιρτήματα, μᾶλλον δὲ ῥήματα.] Τῇ δὲ Ἐλισάβετ ἐπληρώθη, φησίν, ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν. καὶ ἤκουσαν οἱ συγγενεῖς αὐτῆς, καὶ οἱ περίοικοι, καὶ συνέχαιρον αὐτῇ. διὰ τί δὲ εἴρηται, ἔτεκε καὶ ἐγέννησεν;

ὅτι

Ιωαν. α ιθ.

Λυκ α νζ.

χ. γωὶ

χ. ὅτι ... μαι καὶ μου αἰχμ...

ὅτι τὸ μὲν φύσεώς ἐστιν ἔργον, τὸ δὲ παρὰ φύσιν. καθ' ὃ γυνὴ μὲν, ἔτεκε· καθ' ὃ δὲ πνεύματος
ἁγίου χάρις ἐπέστη, παρὰ φύσιν ἐγέννησεν. ἄλλο γὰρ φύσεως πρᾶγμα, καὶ ἄλλο χάριτος
ἔργον. θαῦμα γὰρ ἦν τὸ γινόμενον ὑπὸ Ἰωάννου· καὶ οὐ τοσοῦτον εἶχε τοῦ πατρικοῦ τόνου,
ὅσον τοῦ θείου τόνου. καὶ τούτου μάρτυς αὐτὸς ὁ ἀρχάγγελος Γαβριὴλ λέγων πρὸς Ζαχαρίαν·
5 Ἰδοὺ ἡ γυνή σου γεννήσει υἱόν σοι, καὶ πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, Λουκ. α. ιγ.
καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται
ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου. ὢ ἄλλης παραδόξου φύσεως ὁ τόκος τοῦ παι-
δός. [ἢ παράδοξος, καὶ οὐ φυσικός.] ὁ γὰρ γεννῶν σὺν ἡδονῇ γεννᾷ, ἡ δὲ τίκτουσα ἐν λύπαις
τίκτει. ἐπεὶ οὖν Ζαχαρίας ἠπίστησεν, ἡ δὲ Ἐλισάβετ οὐκ ἀμφέβαλε, τὸν ὀψίγονον παρ' ἐλ-
10 πίδα δεχομένη παῖδα, τούτου χάριν, τίκτειν καὶ γεννᾶν προσαγορεύεται, τὸ μὲν διὰ τὴν φύσιν,
τὸ δὲ διὰ τὴν πίστιν. ὁ γεννῶν γὰρ, καθὼς προεῖπον, σὺν ἡδονῇ γεννᾷ· ἡ δὲ τίκτουσα, ἐν
λύπαις τίκτει. ποία δὲ λύπη ἐπὶ τῆς Ἐλισάβετ; ὅπου πνεύματος ἁγίου παρουσία, οὐχὶ δὲ μαί-
ας ἀπείρου προσεδρεία· ἐνίκα τῆς χάριτος τὸ ἔργον, οὐ τῆς φύσεως τὸ βάρος. καὶ πῶς, ἄκουε.
οἰκεῖος ἦν ὁ πόνος πρὸς σύγκρισιν τῆς χαρμοσύνης. οὐ γὰρ μετὰ τὸ γεννηθῆναι ὁ Ἰωάννης τὴν
15 χάριν ἐδέξατο, ἀλλ' ἐξ αὐτῆς τῆς μητρικῆς νηδύος τὴν στολὴν τοῦ ἁγιασμοῦ δεξάμενος,
στρατηγὸς παράδοξος γέγονε, καθὼς ἔφη ὁ ἄγγελος· πνεύματος ἁγίου πλησθήσεται ἐκ κοιλί-
ας μητρὸς αὐτοῦ, καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου. τίς
τίνος προελεύσεται; Ἰωάννης τοῦ δεσπότου Χριστοῦ· διὰ τοῦτο πρόδρομος ὀνομάζεται· ὡς ἔστιν
αὐτοῦ τοῦ Ἰωάννου ἀκοῦσαι λέγοντος περὶ τοῦ σωτῆρος· Ἔρχεται ὀπίσω μου ἀνὴρ, ὃς ἔμπροσθέν Ιωαν. α. λ.
20 μου γέγονεν· ὀπίσω διὰ τὸν χρόνον, ἔμπροσθεν διὰ τὸν θρόνον. διὰ τί δὲ ἐν πνεύματι καὶ
δυνάμει Ἠλίου τοῦ Θεσβίτου ὁ Γαβριὴλ τὸν Ἰωάννην προϊππάζειν τοῦ βασιλέως Χριστοῦ ἔλε-
γεν; ἄκουε συνετῶς. Ἠλίας, Θεὸς ἑρμηνεύεται. ἐπεὶ οὖν ὁ Ἰωάννης τὸν Θεὸν εἶχεν ἐν
ἑαυτῷ (πνεύματος γὰρ ἁγίου ἐπλήσθη ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ) τὸ δὲ πνεῦμα ὁ Θεός ἐστι
(περὶ αὐτοῦ γὰρ ἔλεγεν ὁ Κύριος διὰ τοῦ προφήτου ἐκ πολλῶν τῶν χρόνων, Ἰδοὺ ἐγὼ ἀπο- Μαλ. γ. α.
25 στέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου, καὶ πολ-
λοὺς ἐπιστρέψει ἀπὸ τῆς πλάνης εἰς τὴν ἀλήθειαν) τούτου χάριν ἐν πνεύματι καὶ δυνάμει
Ἠλίου ὁ Ἰωάννης προοδεύει τοῦ Κυρίου· ἐπειδὴ καὶ πολλὰ παραπλήσια τοῦ Ἠλίου εἶχεν ὁ Ἰω-
άννης. ἀμέλει τὸ βρέφος τίκτεται, καὶ ἡ φωνὴ τῷ πατρὶ ἀποδίδοται. ἐρωτώμενος γὰρ, Λουκ. α. ξγ.
φησὶν, ὁ Ζαχαρίας, τὸ τί ἂν θέλοι τὸ παιδίον καλεῖσθαι, ᾔτησε πινακίδιον, καὶ ἔγραψε λέγων·
30 Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. ὁ μὴ πιστεύσας τοῦ ἀγγέλου τοῖς λόγοις, νῦν ἠναγκάσθη γράψαι
τὴν ὀπτασίαν, ἐγγράφως κηρύττων· ὁ μὴ δεξάμενος τότε τῇ ἀκοῇ τὰ λεχθέντα, νῦν νομο-
θετεῖ τῇ χειρὶ τὰ γινόμενα γράφων. καὶ τὴν προσηγορίαν ἀποδοὺς τῷ παιδὶ, ἀπέλαβε τὴν
φωνήν. Ὅθεν, φησὶν, ἐθαύμασαν πάντες. ἀνεῴχθη γὰρ παραχρῆμα τὸ στόμα αὐτοῦ, καὶ ἐλύ- Λουκ. α. ξδ.
θη ὁ δεσμὸς τῆς γλώττης αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. ὢ τοῦ παραδόξου καὶ ξένου θαύμα-
35 τος. ὄνομα γράφεται τέκνου, καὶ στόμα πατρὸς κωφὸν διανοίγεται· Ἰωάννης καλεῖται, καὶ τοῦ
καλοῦντος ἡ γλῶττα ῥυθμίζεται. ὁρᾷς ὡς οὐ διήμαρτε, καὶ ἡμεῖς ἀπαραποδίστως εἰπόντες
τὴν πρέπουσαν ἐξήγησιν, οὐ διαμαρτάνομεν; ἰδοὺ γὰρ αὐτοῦ τοῦ δικαίου τὸ ὄνομα στόμα σιωπῆς
διανοίγει, καὶ γλῶσσαν δυσκίνητον διεγείρει. οὔπω γὰρ δείκνυται βοῶσα ἡ Ἰωάννου φωνὴ, ὅτι καὶ
αὐτὸ τὸ ὄνομα φωνῆς ἐνέργεια γίνεται. Ἐγὼ, φησὶ, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν Ματθ. γ. γ.
40 ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. ὢ τοῦ θαύματος· λόγος ἐπιδημεῖ, καὶ φωνὴ
προκηρύττει· δεσπότης ἔρχεται, καὶ δοῦλος προαποστέλλεται· βασιλεὺς παραγίνεται, καὶ
στρατιώτης προετοιμάζεται. χαίρωμεν οὖν καὶ εὐφρανθῶμεν, ὅτι ἡ Ἐλισάβετ ἐγέννησε, καὶ ὁ
Ζαχαρίας ἐλάλησεν· ὅτι στεῖρα ἔτεκε, καὶ ὁ πρεσβύτης ἐβόησεν, ὅτι πινακίδιον κηρόχυτον ἐζη-
τήθη, καὶ γλῶσσα ἱερατικὴ ἐλύθη, καὶ ἡ φωνὴ ἐπανῆλθεν· ὅτι πρόδρομος ἐφάνη, καὶ ὁ κό-

σμος

σμος ὅλως ἐσφράγη. ἀλλ' ἐνταῦθα μὲν ἔδει καταλῦσαι τὸν λόγον· οὐ συγχωρεῖ δὲ Ζαχαρίας
(Λουκ. α. ξη.) βοῶν, Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ
αὐτοῦ. ὢ τῶν παραδόξων πραγμάτων· τί λέγει ὁ Ζαχαρίας; πρὸ τὴν φωνὴν μετὰ τὴν
ἀνάστασιν ὁ Ζαχαρίας ἐβόησεν, εὐλογητὸς Κύριος. τί οὖν; τέθνηκεν ὁ Ζαχαρίας, καὶ ἀνέστη; οὐ
τέθνηκε φυσικῶς· παραπλήσια δὲ ὑπέμεινε τῷ θανάτῳ. οἴκοθεν γάρ, ὥσπερ τάφον, τὴν 5
σιωπὴν εἶχε, καὶ ἀπαραλύτοις κατεδέθη, τοῖς γλωττίοις δεσμοῖς. τὸν βίον μετῆλθε, μὴ ἀνα-
πνέων τὴν ἱερωσύνην· καὶ θρῆνον ὑπέμεινε, τὴν τοῦ λαοῦ συγνότητα. ἱερέως γὰρ ἀφωνοῦ-
ντος, τὰ πένθη κατέπιπτον πάντες οἱ μεσιτευόμενοι. πρὸ τὴν φωνὴν ταύτην ἐβόησε μετὰ
τὴν ἐπικὴν ταύτην ἀνάστασιν ὁ Ζαχαρίας· εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ. ὦ
Ζαχαρία, εἰ μὴ τὸν πνευματικὸν στάχυν κατεῖδες, τὸν νοητὸν γεωργὸν οὐκ ἐγνώριζες· εἰ 10
μὴ τὸ δῶρον ἀπέλαβες, τὸν δοτῆρα οὐκ εὐλόγησας. ἀλλ' ἀξίαν ᾠδὴν τοῦ δώρου ὁ Ζαχα-
ρίας προφητικῶς τῷ Θεῷ ᾔνεσε. κράζωμεν δὲ καὶ ἡμεῖς, εὐλογητὸς Κύριος ὁ Θεὸς τῶν χριστι-
ανῶν, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί,
καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
15

Λογ. ιϐ.

ΕΙΣ ΤΟΝ ΑΒΡΑΑΜ ΚΑΙ ΙΣΑΑΚ.

(Ex Chris. meo.)

Ποικίλει ὁ Θεὸς τὸν δίκαιον Ἀβραὰμ ἐκ τῶν συγγενῶν αὐτοῦ, καὶ πάντων
τῶν ἰδίων, καὶ ὑπὸ ἀλλοδαπῆς ἐγκαρτερεῖν τοῖς δεινοῖς, τὴν τῆς ὑ-
ποσχέσεως πρεσβεύων ἐλπίδα. βάσανος (πρεσάγε) πολλὴ τῷ πα- 20
τριάρχῃ, δι' ἧς ἡ βεβαιότης ἡ πρὸς Θεὸν ἐδείχθη· χρόνος διέβη πο-
λύς· ἡ νεότης ὡς ἄνθος λοιπὸν ἐμαραίνετο· τὸ γῆρας ἐπὶ θύρας· ἡ φύ-
* * σις τὸ ἴδιον πάσχουσα ἐνήργει, πρὸς γῆρας καμπτομένη· ἀπεσβέσθη
τὸ γῆρας ἅμα τῇ ὁμοζύγῳ ἡ πρὸς παιδοποιίαν ἰσχύς τε καὶ δύναμις· τὸ σῶμα τῶν θατέρων
ὑπέκυπτε τῇ φύσει, τῆς νεότητος αὐτοῖς προσαπομαρανθείσης. ἀλλ' ἡ πρὸς Θεὸν ἐλ- 25
πὶς ἐν αὐτοῖς ἀκμάζουσα, οὐ μόνον ἀγήρως ἦν, ἀλλὰ καὶ ἀνήττητος. ὅθεν καὶ παρὰ ἐλπίδα ἔτε-
κε τὸν Ἰσαάκ, ὃς τύπον ἐν ἅπασιν ἔφερε τοῦ δεσπότου. οὐ φύσεως ἦν ἔργον συλλαβεῖν μήτραν
νεκράν, καὶ μαστοὺς ξηροὺς γάλα παρασχεῖν τῷ Ἰσαάκ· οὐ φύσεως ἦν ἔργον ἄνευ ἀνδρὸς συλ-
λαβεῖν τὴν παρθένον Μαρίαν, καὶ ἄνευ φθορᾶς τεκεῖν τὸν σωτῆρα τῶν ὅλων. τὴν Σάρραν ἐ-
ποίησε μητέρα ἐν τῷ γήρει, καὶ Μαρίαν ἀνέδειξε μετὰ τόκον παρθένον· ἄγγελος ἐν τῇ σκηνῇ εἶ- 30
πε τῷ πατριάρχῃ, Κατὰ τὸν καιρὸν τοῦτον ἔσται τῇ Σάρρᾳ υἱός· ἄγγελος ἐν Βηθλεὲμ ἔφη πρὸς
τὴν Μαρίαν, ἰδοὺ τέξει υἱὸν ἡ κεχαριτωμένη. ἐγέλασεν ἡ Σάρρα τὴν στείρωσιν βλέπουσα,
τὴν νέκρωσιν ὁρῶσα, τῷ λόγῳ ἀπιστοῦσα, πῶς, φησίν, ἔσται τοῦτο, ἐμοῦ καὶ τοῦ Ἀβραὰμ ἀε-
νεργήτων ὄντων πρὸς τὴν καρπογονίαν· ἠπόρει καὶ Μαρία τὴν παρθενίαν ὁρῶσα, καὶ τὰς τῆς
(Λουκ. α. λδ.) σφραγῖδας ἀλύτους κατέχουσα. Πῶς γάρ μοι ἔσται τοῦτο ἄνδρα μὴ γινωσκούσῃ; ξένη γὰρ τῆς 35
φύσεως ἐστὶν ἡ ὑπόσχεσις· ἀλλ' ὁ δοὺς παρὰ ἐλπίδα τῇ Σάρρᾳ τὸν Ἰσαάκ, αὐτὸς ἐκ τῆς παρ-
θένου ἐπεξήνεγκε σάρκα. ἐμπεριχαρεῖς ἦσαν ἡ Σάρρα καὶ ὁ Ἀβραὰμ τεχθέντος τοῦ Ἰσαάκ, καθὼς
εἶπεν ὁ Θεός· ἐμπεριχαρεῖς ἦσαν Μαρία καὶ Ἰωσὴφ τεχθέντος τοῦ Ἰησοῦ, καθὼς εἶπε Γα-
βριήλ. δαψιλῶς ἐπέρρεον ἀπὸ γάλακτος πηγαὶ ἐκ τῆς παρὰ ἡλικίαν ἐν στόματι Ἰσαάκ·
δαψιλῶς τῆς παρθένου οἱ μαστοὶ ἐπήγαζον γάλα τῷ τὰ πέρατα πάντα διατρέφοντι. τίς 40
εἴποι τῷ Ἀβραάμ, ὅτι θηλάζει Σάρρα υἱὸν ἐν τῷ γήρει, ἐβόησεν ἡ στεῖρα; τίς εἴποι τοῖς
ἀνθρώποις, ὅτι παρθένος εἰμί, καὶ τεκοῦσα θηλάζω, ἔλεγεν ἡ Μαρία; οὐ διὰ τὸν Ἰσαὰκ
ἐγέλασεν ἡ Σάρρα, ἀλλὰ διὰ τὸν ἐκ τῆς Μαρίας τικτόμενον· καὶ ὥσπερ Ἰωάννης διὰ τοῦ
σκιρτήματος, καὶ γελάσασα ἡ Σάρρα τὴν χαρὰν ἐμήνυσεν. ἀνδρώθη δὲ τὸ παιδίον, καὶ τὴν

τῶν

τὴν μειρακίων ἡλικίαν ἀνθήσας, φαιδρὸς ἦν καὶ ὡραῖος, τὰ τῆς ψυχῆς προτερεῖα τῷ κάλλει τοῦ σώματος συναύξων ἐφ' ἡλικίας ἤδη καὶ τοῖς γονεῦσιν, ὅσοι παῖδας ἔχετε, τοῦτο ἐμμεμαθήκατε. πῶς ἥδεται ὁ πατὴρ ὁρῶν παῖδα παίζοντα; πῶς δὲ χαίρει καθορῶν προκόπτοντα τὸν παῖδα, ἢ σπουδαίως ἔχοντα περὶ τὰ μαθήματα; δῆλον ὅτι τοιοῦτον βλέπων ἔχαιρεν ὁ Ἀβραάμ. πειρασμὸς καὶ βάσανος αὐτῷ λοιπὸν προσάγεται· ἵνα δῆλος γένηται, τίνι πλέον νέμει, τῇ τῆς φύσεως ῥοπῇ, ἢ τῷ πρὸς Θεὸν πόθῳ. τὸ δὲ ἀπότομον ταύτης τῆς πείρας, ἀγαπητοί, ἐγὼ διηγούμενος, φρίττω καὶ ἐκπλήττομαι. γυμνάζει γὰρ πάλιν ὁ Θεὸς τὸν Ἀβραάμ, καὶ παρακαλεῖται αὐτὸν ἐξ ὀνόματος, λέγων· Λάβε τὸν μονογενῆ υἱόν σου Ἰσαάκ, ὅνπερ σὺ ἠγάπησας, καὶ ἀνένεγκε αὐτὸν θυσίαν διὰ σαυτοῦ ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι ἐγὼ εἴπω. ὅτε δὲ εἶπεν αὐτῷ ὁ, Ἀβραάμ, Ἀβραάμ, προθύμως ὑπήκουσε, χρηστότερον προσδοκῶν πρόσοδον τῆς χάριτος, πάντως ἐκδεχόμενος ἢ γάμον συναρμόσαι, ἢ πῆξαι θάλαμον, ἵνα εἰς πέρας ἔλθῃ ἡ ἐπὶ τοῦ σπέρματος εὐλογία, ὃ πληθυνεῖν ἐπηγγείλατο. ἀλλὰ καταμάθωμεν τὴν προσθήκην τοῦ λόγου. λάβε τὸν μονογενῆ τὸν ἀγαπητὸν τὸν σόν. ὁρᾷς κέντρα τῶν λόγων; πῶς κινεῖ τὸν πατέρα, καὶ πῶς ἀναρριπίζει τῆς φύσεως τὴν φλόγα; πῶς ἐγείρει τὸ φίλτρον τοῦ πατρὸς πρὸς τὸν παῖδα, μονογενῆ προσειπὼν ἅμα καὶ ἀγαπητόν, ἵνα διὰ τοιούτων ὀνομάτων τὸ φίλτρον πρὸς αὐτὸν ἀναζέσαν δοκιμάσῃ τὴν γνώμην; καὶ ἀνένεγκε αὐτὸν εἰς ὁλοκαύτωσίν μοι ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι ἐγὼ δείξω. ἆρα τί πεπόνθατε ταῦτα ἀκηκοότες; πῶς οὐκ ἰλιγγιάσατε ἐν τῷ διηγήματι, ὅσοι πατέρες ἐστέ, καὶ τὴν ἐκ τῆς φύσεως στοργὴν πρὸς τοὺς υἱοὺς σαφῶς ἐδιδάχθητε; οἴδατε γάρ, οἴδατε τό, πῶς πατρὸς ἀκοὴ ὑποδέχεται σφαγὴν μονογενοῦς υἱοῦ. τίς οὐκ ἂν ἐξεπλάγη πρὸς τὴν τοιαύτην φωνήν; τίς δὲ οὐκ ἂν ἀπέστρεψεν εὐθέως τὸ πρόσωπον; τίς οὐκ ἂν εἵλετο εὐθὺς τῷ προστάγματι μᾶλλον ἀποθανεῖν, ἢ τὸν λόγον δέξασθαι; ἢ τίς πρὸς αὐτὸν οὐκ ἂν ἐδικαιολογήθη, τὴν φύσιν συνήγορον οὕτω προστησάμενος; τί ταῦτα προσέταξας γενέσθαι, ὦ δέσποτα; τί δὲ τὴν ἀλλόκοτον ταύτην ἀφῆκας φωνήν; διὰ τοῦτο πατέρα ἠθέλησας ποιῆσαι, ἵνα παιδοκτόνον ἄθεσμον ἀπεργάσῃ; διὰ τοῦτο ἠγλάισας τῆς γλυκείας δωρεᾶς, ἵνα μῦθόν με πολὺν τῷ κόσμῳ ἀναδείξῃς; ταῖς χερσὶ ταῖς ἐμαῖς τοῦ κατασφάξω τὸν παῖδα; καὶ συγγενείᾳ αἵματος μολύνας τὴν δεξιάν, παιδοκτόνος γένωμαι; οὕτω ταῦτα κελεύεις, καὶ οὕτως ἐπιτέρπῃ ταῖς τοιαύταις θυσίαις; προστάττεις ἀποκτεῖναι τὸν φίλτατον υἱόν, ὑφ' οὗ προσεδόκησα σὺν Σάρρᾳ ταφήσεσθαι; τοιοῦτον αὐτῷ πῆξαι τὸν θάλαμον, εἰπέ μοι; τοιαύτην εὐφροσύνην γάμου παρασκευάσω; ἀνάψαι τι ἐπ' αὐτῷ οὐ λαμπάδα νυμφῶνος, οὐ φῶτα ἁρμοσύνης, ἀλλὰ πῦρ ἐντάφιον; ἆρα στεφανώσομαι; ἆρα παστὸν πήξομαι; ἆρα χοροστασίας ἐπὶ τούτοις στήσομαι; ἆρα πατὴρ ἔσομαι, ὥσπερ εἶπας, τῶν ἐθνῶν, ὁ μὴ ἀξιούμενος μηδὲ τοῦ ἑνὸς παιδός; ἀλλ' οὐδὲν τῶν τοιούτων αὐτὸς εἶπεν ὁ δίκαιος· ὑπήκοος δὲ γεγονώς, σφοδρότερον τοῦ πυρὸς ἀνῆψε τὴν ἀγάπην, ὀξύτερον τοῦ ξίφους ἐποίησε τὸν πόθον. ἐν αὐτῷ γὰρ ἔτεμε τοὺς δεσμοὺς τῆς φύσεως, καθάπερ τι [illegible], τὸ ἄχθος τῆς συμπαθοῦς διαθέσεως λιπών, καὶ ἀποδυσάμενος ὅλον ἑαυτὸν προθύμως ἐξέδωκε, καὶ τοῦ προστάγματος ἦν κατασφάξαι τὸν υἱόν. ἀλλ' οὐδὲ τῇ γαμετῇ περὶ τούτου τι εἶπεν, οὐκ ἀνεκοινώσατο, σφόδρα χρησίμως ποιῶν· ἀναξιόπιστον γὰρ καὶ ἀσύμφορον αὐτῷ εἰς συμβουλὴν τὸ θῆλυ διαλογισάμενος. οὐδὲ γὰρ συνήνεγκεν, ἀλλὰ καὶ κατέβλαψε τὸν Ἀδὰμ δεξάμενον τὴν συμβουλὴν τῆς Εὔας. ἵν' οὖν μή τι πάθῃ γυναικῶδες ἡ Σάρρα, μήτε, οἷα μητέρα εἰκός, ὀδυρομένη, τὸ σφοδρὸν καὶ ἀπεριφυὲς τῆς πρὸς Θεὸν ἀγάπης ἐπικλάσῃ ἐν αὐτῷ, ἔσπευσε λαθεῖν αὐτήν. ποίᾳ γὰρ θρηνῳδίᾳ οὐκ ἐχρήσατο Σάρρα, ἢ πρὸς αὐτὸν τὸν παῖδα, ἢ τὸν τούτου πατέρα; τί δὲ οὐκ εἶχε δρᾶσαι, τὸν ἑαυτῆς υἱὸν βλέπουσα πρὸς τὴν σφαγὴν βιαίως ἑλκόμενον; πῶς οὐ περιχυθεῖσα, ταῖς ἑαυτῆς ἀγκάλαις σφοδρῶς περιπλακεῖσα, ἀνθεῖλκε πρὸς ἑαυτήν; οἵοις δ'

ἂν

Γεν. κβ΄. β.

ἂν ἐχρήσατο λόγοις πρὸς τὸν Ἀβραάμ, καὶ ὀλοφυρομένη γεραρὸν ἀνέκραξε· φεῖσαι, φεῖσαι τῆς φύσεως, φεῖσαι παιδός, ὦ Ἀβραάμ, φεῖσαι· μὴ γένῃ τῷ βίῳ πονηρὸν διήγημα· μονογενής μοι ὁ τόκος, οὗτός μοι πρῶτος ὑπάρχει, οὗτος πρῶτος καὶ ὕστερος ἐν ὠδῖσιν ὁ Ἰσαάκ. μὴ τέμῃς τὸν ἕνα βότρυν, ὃν ἐκαρποφορήσαμεν, ὅτε λοιπὸν ἐκ τοῦ ὄρους ἡ ἄμπελος γεγήρακεν· μὴ θερίσῃς ἕνα στάχυν, ὃν ἐκαρποφορήσαμεν, ἀποτομίας δρεπάνῃ, τὸν ἐξ ἡμῶν βλαστήσαντα τῆς ἀφ' ἡμῶν νεκρώσεως· μὴ συντρίψῃς βακτηρίαν, ἐφ' ἧς στηριζόμεθα· μὴ κλάσῃς ἡμῶν τὴν ῥάβδον, ἐφ' ἧς ἀναπαυόμεθα· μὴ τυφλώσῃς τὸν ὀφθαλμόν, ὃν τῶν δύο κεκτήμεθα· μὴ ἄρῃς τὸ μνημόσυνον ἡμῶν ἐκ τῆς ὑπ' οὐρανόν· μὴ τὸν ἄρνα, ὃν ἐτρέφομεν, κατασφάξῃς ὡς πρόβατον· μὴ αἴρῃς τὴν χαρὰν ἡμῶν, καὶ πληρώσῃς ἡμᾶς θρήνου, ἵνα ἐπὶ τῆς τραπέζης μετὰ τούτου ὀψόμεθα; τίς ὀνομάσει μητέρα; τίς θεραπεύσει τὸ γῆρας; τίς περιστελεῖ θανόντας; τίς τάφῳ χώσει τὸ σῶμα; τίς σώσει τὸ μνημόσυνον τῶν ἀτέκνων λοιπόν; ὁρᾷς τὸ κάλλος τοῦ νέου, τὸ ἄνθος τῆς νεότητος· ὅπερ καὶ ἐν ἐχθρῷ βλέπων, πάντως ἂν κατηλέησας. οὗτος μὲν τῆς μακρᾶς εὐχῆς ὁ καρπὸς ἀποδίδοται· οὗτος τῆς διαδοχῆς ὁ κλάδος ὑπολέλειπται· οὗτος τοῦ γένους λείψανον· οὗτος γήρως βακτηρία· οὗτος μόνος ἐλπὶς ἐστὶ τῆς ἀνελπιστίας ἡμῶν. εἰ μέλλεις ὠθεῖν τὸ ξίφος εἰς τὸν λαιμὸν τοῦ φιλτάτου, ἐμὲ πρῶτον ἀπόκτεινον. μεγίστην μοι χάριν δίδως· κοινὸν γενέσθω τὸ χῶμα, καὶ τὸ μνημεῖον ἅμα κοινόν· κοινὴ κόνις καλυψάτω τῶν ἀμφοτέρων τὸ σῶμα· κοινὸς θάνατος γενέσθω τῆς στείρας καὶ τοῦ ἐξ αὐτῆς· κοινὴ στήλη διηγείσθω τὰ πάθη τῶν ἀμφοτέρων. μὴ ἴδῃ Σάῤῥας ὀφθαλμὸς τὸν Ἀβραὰμ παιδοκτόνον, μηδὲ παιδοκτονούμενον χερσὶ πατρὸς τὸν Ἰσαάκ. ταῦτα καὶ τὰ τοιαῦτα ἐποίησεν ἂν ἡ Σάῤῥα, εἰ ἔγνω τὸ φίλτατον μέλλοντα σφαγιάζεσθαι. διὰ τοῦτο ὁ Ἀβραὰμ οὐδὲν τούτων εἶπεν αὐτῇ, ἵνα μηδὲν ἐμποδίσῃ τῶν ἐν χερσίν. ἐπέθηκε τῷ παιδὶ τὰς σχίδακας τῶν ξύλων· ἐπεὶ καὶ ὁ σωτὴρ τὸν σταυρὸν ἐβάσταξε. μέλλοντος τοῦ Ἰσαὰκ ἔρχεσθαι πρὸς τὴν σφαγήν, ἠκολούθει ἡ ὄνος καὶ τὰ παιδία τὰ τούτου· καὶ μέλλοντος τοῦ Χριστοῦ πρὸς τὸ πάθος ἔρχεσθαι, ἐπέβη ἐπὶ πῶλον, δηλῶν τῶν ἐθνῶν τὴν κλῆσιν· ἠκολούθουν δὲ αὐτῷ καὶ τῶν μαθηταὶ αὐτοῦ τὰ βραβεῖα κρατοῦντες, καὶ ὡσαννὰ κράζοντες. βαστάζων ὁ Ἰσαὰκ τὰ ξύλα, ἀνήρχετο εἰς τὸ ὄρος τυθῆναι ὡς ἀρνίον ἄκακον· βαστάζων καὶ ὁ σωτὴρ τὸν σταυρὸν ἐξήρχετο ἐν κρανίῳ τυθῆναι, ὡς ἀμνὸς ὑπὲρ ἡμῶν. τὴν μάχαιραν θεωρῶν ἐννόει μοι τὴν λόγχην· τὸν βωμὸν κατανοῶν, σκόπει μοι τὸ κρανίον· καὶ τὰς σχίδακας βλέπων, κατανόει τὸν σταυρόν· καὶ τὸ πῦρ θεωρήσας, λογίζου μοι τὸν πόθον. βλέπε καὶ τὸ πρόβατον ἐκ τῶν δύο κεράτων κρατούμενον ἐν φυτῷ τῷ λεγομένῳ σαβέκ· βλέπε μοι καὶ τὸν Χριστόν, τὸν ἀμνὸν τὸν τοῦ Θεοῦ, ἀπὸ τῶν δύο χειρῶν κρατούμενον ἐν σταυρῷ. τὸ φυτὸν τὸ τοῦ σαβὲκ ἄφεσιν ἑρμηνεύει (ἀφῆκε γὰρ τῆς σφαγῆς τὸν παῖδα τοῦ γέροντος) τὸν σταυρὸν προσημαῖνον τὸν ἀφέντα τῷ κόσμῳ τὰς ἁμαρτίας αὐτοῦ, καὶ ζωὴν παρασχόντα. ὁ κριὸς ἐν τῷ φυτῷ κρεμάμενος τοῦ σαβέκ, μυστικῶς τὸν Ἰσαὰκ μόνον ἐλυτρώσατο· ὁ δὲ ἀμνὸς τοῦ Θεοῦ κρεμασθεὶς ἐν τῷ σταυρῷ, ἐῤῥύσατο τὸν κόσμον ἐκ θανάτου καὶ ᾅδου. ἀπεσπάσθη Ἰσαὰκ ἀπὸ τῶν τεκόντων αὐτοῦ, μέλλων ἐπὶ τὸ ὄρος ἔρχεσθαι εἰς θάνατον· ἀπεσπάσθη καὶ Χριστὸς ἐκ τῶν μαθητῶν αὐτοῦ, μέλλων ἐπὶ τὴν σφαγὴν ἔρχεσθαι ὑπὲρ ἡμῶν. κατέλειπε τοὺς παῖδας ὁ δίκαιος Ἀβραάμ, ἵνα μή τις παρ' αὐτῶν ἔσται ἀνδραποδισμὸς πρὸς τὴν ἱερουργίαν· καὶ λαβὼν τὸν Ἰσαάκ, μόνος μόνον ἀνάγει, πῦρ, μάχαιραν, καὶ ξύλα συνεπιφερόμενος. ἀλλὰ τί ὁ Ἰσαάκ; τῇ γλυκυτάτῃ φωνῇ προσκαλεῖται καὶ λέγει· εἰπέ, φησιν, ὦ πάτερ, ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; πάλιν φωνὴ τοῦ παιδὸς δριμύνουσι σπλάγχνα πατρός· πάλιν ἄλλος πειρασμὸς ἔσχεν αὐτὸν φοβερός· πάλιν ἄλλη βάσανος συνέχει τὸν δίκαιον οὐκ ἐλάττων τῆς προτέρας, οὐδὲ φιλανθρωποτέρα. καὶ πῶς ἂν οὐ κατεπλάγη δάκρυσιν ὁ Ἀβραάμ, μηκέτι προσδοκήσας λοιπὸν πατὴρ ἀκοῦσαι; οὐ λέγει τι γεραρόν, οὐ θρηνῶδες φθέγγεται· ἀλλὰ τρέμει τῇ ψυ-

χῇ.

χῇ, καὶ ἀκλινεῖ λογισμῷ ἐδέξατο τὴν φωνὴν τοῦ παιδὸς τὴν ἡδίστην, καὶ ἀνταποκρίνεται, καὶ λόγους μεταδίδοι· Ὁ Θεὸς ὄψεται, τέκνον, πρόβατον εἰς θυσίαν· εἴτε παραθαρρύνων τὸν παῖδα τοῦτο ἔφη, εἴτε καὶ προφητεύων τὸ μέλλον ὁ Ἀβραάμ. ἐν δὲ τῷ φθάσαι σπουδῇ τὸν προσταχθέντα τόπον, οἰκοδομεῖ τὸν βωμόν, τὸ θυσιαστήριον ἑτοιμάζει, μάχαιραν εὐτρεπίζει, καὶ τὸ πῦρ καὶ τὰ ξύλα ὁ πατὴρ παρατιθεῖ τῷ παιδί. ἅπτεται μετὰ τοῦτο τοῦ υἱοῦ ὁ πατήρ, καὶ οὐδὲν αὐτὸν παρέπεισεν ἡ φύσις πρὸς κώλυμα. ἐξέδωκεν ἑαυτὸν ὁ Ἰσαὰκ τῷ πατρί, ἵνα χρήσηται αὐτῷ καθ' ὃν τρόπον βούληται. τίνα πρότερον θαυμάσω, ἢ τίνα καταπλαγῶ; ποίῳ τρόπῳ στέφανον πλέξω τῶν ἐγκωμίων; τὸν ἐπὶ τὸν φίλτατον χεῖρας ἐπιβαλόντα διὰ τὴν πρὸς τὸν Θεὸν ἀγάπην καὶ εὔνοιαν, ἢ τὸν μέχρι θανάτου πατρὶ ὑπακούσαντα, καὶ ὥσπερ ἀρνίον σφαγὴν παρ' αὐτοῦ δεχόμενον; ὁ μὲν γὰρ τῆς φύσεως ὑπερῆρεν ἑαυτόν, τοῦ Θεοῦ τὴν ἐντολὴν τῆς φύσεως προτιμῶν· ὁ δὲ μέχρι θανάτου ὑπήκουσε τῷ πατρί, χεῖρον θανάτου εἰδὼς τὸ λυπῆσαι πατέρα. ἐντεῦθεν ὁ Ἀβραὰμ λαβὼν δέσμιον παῖδα, οὐ ναρκᾷ τὴν χεῖρα, οὐκ ἐξίσταται τῷ νοΐ. ὁσάκις ἴδω τοῦ παιδὸς τὰς εἰκόνας, οὐδέποτε ἴσχυσα ἀδακρυτὶ παρελθεῖν, ἐνεργοῦς μοι τῆς τέχνης ὑπ' ὄψιν ἀγαγούσης τῇ ἱστορίᾳ ταύτῃ σαφῆ κατανόησιν. πλησίον * * προσέκειτο τοῦ θυσιαστηρίου ὁ Ἰσαάκ, τῷ πατρὶ ἐπὶ γόνυ ὀκλάσας, περιηγμένας τε ἔχων εἰς τοὐπίσω τὰς χεῖρας, κατόπιν τοῦ Ἀβραὰμ τὴν ἀγκύλην πατοῦντος. εἶτα τῇ μιᾷ χειρὶ τὴν κόμην πρὸς ἑαυτὸν τοῦ παιδὸς ἀνακλάσας, ἐπικύπτει πρὸς αὐτόν, καὶ βλέπει τὸ πρόσωπον τοῦ Ἰσαὰκ πρὸς αὐτὸν ἐλεεινῶς ἀναβλέποντα, καὶ τὴν πληγὴν μένοντα. καθωπλισμένην ἔχων τῷ ξίφει τὴν δεξιὰν κατευθύνει τὴν σφαγήν, ἅπτεται τοῦ σώματος. ἤδη πρὸς τῷ φάρυγγι ἡ ἀκμὴ τοῦ ξίφους· ἐν τῷ ὠθῆσαι τὴν μάχαιραν κατὰ τῶν σπλάγχνων αὐτοῦ, καὶ τότε δὴ θεόθεν ἡ φωνὴ ἐγίνετο, τὴν ὀργὴν ἐπέχουσα, καὶ τὸ ἔργον κωλύουσα. Ἀβραάμ γάρ, Ἀβραάμ, μὴ ἐπιβάλῃς, φησί, τὴν χεῖρα τῷ Ἰσαάκ, μηδὲ τι κακὸν πράξῃς εἰς τὸν σὸν υἱόν. νῦν γὰρ ἔγνων ἀληθῶς, ὅτι φοβῇ τὸν Θεόν, καὶ οὐκ ἐφείσω δι' ἐμὲ τοῦ σοῦ ἀγαπητοῦ. ἰδοὺ κριὸς δέδεται ἐν τῷ φυτῷ τοῦ σαβέκ· λάβε καὶ ἀνένεγκε αὐτὸν ἀντὶ τοῦ Ἰσαάκ, φησίν, ὅπως πληροφορηθῇς ὅτι προσεδεξάμην ἐγὼ τὴν θυσίαν, τὴν θερμὴν προαίρεσιν. ἐθαύμασαν ἄγγελοι, ἀρχαὶ καὶ ἐξουσίαι, θρόνοι, κυριότητες, καὶ πᾶσαι αἱ στρατιαί· ἐξέστησαν οὐρανοί, ἥλιος καὶ σελήνη, καὶ ἀστέρων χορεῖαι ἐπὶ τῷ παραδόξῳ θεάματι. ὁ δὲ Θεὸς ἠρκέσθη μόνῃ τῇ προαιρέσει τοῦ πιστοτάτου ὄντως καὶ ὁσίου Ἀβραάμ· καὶ ἔφησε πρὸς αὐτόν, Εὐλογῶν εὐλογήσω, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου ἐπὶ τῆς γῆς, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, ἐπειδὴ ὑπήκουσας τῆς φωνῆς μου προθύμως, καὶ ἔσπευσας πληρῶσαι τὸ πρόσταγμα τὸ ἐμόν. καὶ ἔδωκεν ὁ Θεὸς πρόβατον ἐκ τῆς πέτρας ἀντὶ τοῦ παιδαρίου, τελέσαι τὴν θυσίαν. οὐ γὰρ ἥδεται Θεὸς ἐπὶ νεκρᾷ θυσίᾳ διὰ κνίσσης καὶ καπνοῦ προσαγομένῃ αὐτῷ, ἀλλὰ θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον, τὴν λογικὴν λατρείαν ἐπιζητεῖ παρ' ἡμῶν. καθὼς ὁ ἀπόστολος παραινεῖ πᾶσι, σαφῶς ἐπιστάμενος τοῦτο εὐάρεστον τῷ Θεῷ. οὐ γὰρ θέλων ὁ Θεὸς παιδοκτόνον ποιῆσαι τὸν Ἀβραάμ, ἐκέλευεν ἀνενεγκεῖν τὸν υἱόν, ἀλλ' ἵνα δείξῃ πᾶσι τοῖς τὸν κόσμον οἰκοῦσιν, ὅτι σφόδρα ἠγάπα τὸν Θεὸν ὁ Ἀβραάμ, ὅτι οὐκ ἐφείσατο δι' αὐτὸν τοῦ Ἰσαάκ, καίτοι μονογενὲς ἔχων τὸ παιδάριον. διὸ καὶ μυστήριον ὑπέδειξεν ὁ Θεὸς ὡς φίλῳ τῷ Ἀβραὰμ μέγα καὶ παράδοξον. διὰ γὰρ τῆς θυσίας ἱερουργὸς ἐγένετο, ἐν δὲ τῷ τύπῳ αὐτὸν προφήτην ἐποίησε· καὶ ἐγνώρισεν αὐτῷ ὁ Θεὸς ὁ ὕψιστος, ὅτι μέλλει καὶ αὐτὸς τὸν μονογενῆ υἱὸν διδόναι ὑπὲρ τοῦ κόσμου, ἵνα σώσῃ ἐκ τῆς πλάνης τὸ γένος τῶν ἀνθρώπων Θεὸς ἐνανθρωπήσας. τοῦτο γὰρ ἐσήμαινεν, ἀντὶ Ἰσαὰκ δεδωκὼς πρόβατον ἐκ τοῦ σαβὲκ γενέσθαι εἰς θυσίαν. ἐπειδὴ γὰρ ἔμελλον τινὲς δύσπιστοι ἄνθρωποι ἀπιστεῖν τῷ τοκετῷ τῆς ἁγίας παρθένου, τὸ πῶς ἂν ἠδύνατο δίχα κοίτης ἀνδρικῆς κυοφορῆσαι υἱόν, ὡς ἀμήχανον ὄν, διὰ τοῦτο ἐκ πέτρας παρήγαγε τὸν κριόν, ἵνα τὸ παράδοξον ἐκ τούτου πιστώσηται, ὅτιπερ βουλήματι τῆς αὐτοῦ θεότητος πᾶν τὸ προσταττόμενον εὐθέως ὑφίσταται.

[Margin notes: ἢ ἐλπιζο- μένην τὴν πλη- γὴν ὄντα. — Γεν. κβ. ιβ. — Ρωμ. ιβ. α.]

ὑφίσταται. ὡς οὖν ἐκεῖ ὁ λόγος πρόβατον ὑπέστησεν, οὕτως ἐν τῇ παρθένῳ ὁ λόγος σάρξ ἐγένετο· καὶ ὥσπερ δὲ πρόβατον ἐν τῷ φυτῷ ἐδέθη, οὕτως ὁ μονογενὴς ἐν σταυρῷ καθηλώθη. διὰ τοῦτο ἐβόα ὁ Ἠσαΐας λέγων· Ὡς πρόβατον ἤχθη ἐπὶ σφαγὴν ἄφωνος. πάλιν δὲ ὁ Κύριος Ἰουδαίοις ἔλεγεν· Ἀβραὰμ ἐπεθύμει τὴν ἡμέραν μου ἰδεῖν, καὶ εἶδε καὶ ἐχάρη, τὴν τοῦ πάθους δηλαδὴ ἐν τῷ τύπῳ Ἰσαὰκ, ἐν ὄρει τῷ ἁγίῳ. εὐλογητὸς ὁ Θεὸς ὁ προτυπώσας ἡμῖν πάντα περὶ σωτηρίας ἐν ταῖς ἁγίαις γραφαῖς, καὶ ἐλθὼν ἐπλήρωσε τοὺς λόγους τῶν προφητῶν, καὶ ἀνῆλθεν ἐν δόξῃ πρὸς τὸν αὐτοῦ πατέρα, ἵνα ἐν παντὶ τόπῳ προσκυνῶμεν τῷ πατρὶ σὺν υἱῷ καὶ τῷ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ησ. νγ. ζ. Ιωαν. η. νϛ.

Λογ. νγ.

ΕΙΣ ΤΑ ΑΓΙΑ ΘΕΟΦΑΝΙΑ.

Ex Ms. Collegij Novi Oxon. Μῆνὸς Ιανουαρ. ϛ.

Ἑορτάσαι θέλω, ἀγαπητοί, καὶ πανηγυρίσαι βούλομαι. ἡ γὰρ ἁγία τῶν φώτων ἡμέρα, καὶ σφραγίς ἐστιν ἑορτῆς, καὶ θύρα πανηγύρεως. σφραγίζει μὲν τὸ σπήλαιον τῆς Βηθλεέμ, ὅπου δὴ ὁ παλαιὸς τῶν ἡμερῶν ὡς παιδίον ὑπομάζιον ἐν φάτνῃ κατέκειτο· ἀνοίγει δὲ τὰς πηγὰς τοῦ Ἰορδάνου, ὅπου πάλιν οὗτος βαπτίζεται μετὰ τῶν ἁμαρτωλῶν, διὰ τῶν ἀγεννήτων αὐτοῦ μελῶν ἄφεσιν ἁμαρτιῶν τῷ κόσμῳ δωρούμενος. ἀλλ' ὅτε μὲν ἐπὶ γῆς αὐτὸς προῆλθεν ἐκ μήτρας, τοῖς νηπίοις ὡς νήπιος, τοῖς ἀνθρώποις ὡς ἄνθρωπος, τῇ μητρὶ ὡς υἱός, τοῖς ποιμέσιν ὡς καλὸς ἐφάνη ποιμήν. Ἐγὼ γάρ εἰμι ὁ ποιμὴν ὁ καλὸς ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, φησὶν ἡ θεία γραφή. νῦν δὲ τὰς τοῦ Ἰορδάνου μέλλει καταλαμβάνειν πηγὰς, τελωνῶν καὶ ἁμαρτωλῶν τὴν ἀπ' αὐτῶν ἁμαρτίαν ἀποπλῦναι βουλόμενος. καὶ τὸ μέγα τῆς τοιαύτης πανηγύρεως θαῦμα Παῦλος ὁ σοφώτατος βοᾷ λέγων· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις· καὶ πάσῃ τῷ κόσμῳ πλεονάζει φαιδρότης. χαίρει ὁ οὐρανὸς πρῶτος ἐναστραπτόμενος τὴν καταβᾶσαν φωνὴν, ἀὴρ ἁγιάζεται καθιπταμένου τοῦ πνεύματος, ἡ τῶν ὑδάτων φύσις ψυχὰς μετὰ σωμάτων ἀποσμήχειν ἐμάνθανε. καὶ πᾶσα μὲν ἡ κτίσις μίαν ἑορτῆς ἐπετέλει χορείαν· μόνος δὲ ἐπένθει ὁ διάβολος, ὁρῶν κολυμβήθραν εὐτρεπιζομένην, τὴν αὐτὸν ἀποπνίγουσαν μόνον. τί γάρ φησι; Τότε παραγίνεται ὁ Ἰησοῦς ἐν τῷ Ἰορδάνῃ πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; τίς εἶδε δεσπότην οἰκέτῃ παρισάμενον; τίς εἶδε βασιλέα στρατιώτῃ τὴν κεφαλὴν ὑποκλίνοντα; τίς εἶδε ποιμένα ὑπὸ προβάτου σφραγιζόμενον; τίς εἶδεν ἀγωνοθέτην ὑπὸ ἀθλητοῦ βραβευόμενον; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. δὸς αὐτός μοι, φησὶν, ὦ δέσποτα, ὃ μέλλεις τῷ κόσμῳ χαρίζεσθαι, βάπτισμα· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, ὅτι ὑφ' ἁμαρτίαν πατρῴαν συνεκλείσθην, τὸν ἰὸν περιφέρω τοῦ ὄφεως. ἐγὼ χρείαν ἔχω τῆς ἀρχαίας παραβάσεως ἀποπλῦναι τὸν σπίλον· αὐτὸς δέ, φησιν, ὑπὲρ ποίων ἁμαρτιῶν ἐλήλυθας ἐπὶ τὸ βάπτισμα; ἔχεις προφήτην ὑπὲρ σοῦ μαρτυροῦντα, Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. πῶς ὁ παρέχων τὸν ἱλασμὸν, ζητεῖς ἀπολύτρωσιν; ἔθος τοῖς βαπτιζομένοις ἐξομολογεῖσθαι τὰς ἁμαρτίας αὐτῶν· αὐτὸς δὲ τί ἔχεις ἐξομολογήσασθαι, ὁ παντελῶς ὑπάρχων ἀναμάρτητος; τί παρ' ἐμοῦ ζητεῖς, ὅπερ οὐκ ἐδιδάχθην; οὐ κατατολμῶ τῶν μειζόνων· οὐκ οἶδα πῶς ἀποπλύνεται φῶς· ἥλιον δικαιοσύνης λούειν οὐκ ἐπίσταμαι· οὐ φωτίζει τὴν ἡμέραν ἡ νύξ, χρυσὸς οὐ δουλεύει μολίβδῳ, πυρίτην οὐ διορθοῦται πηλὸς, θάλασσα παρὰ πηγῆς οὐ δανείζεται ῥεῦμα, ποταμὸς οὐκ ἐπιδέεται ῥανίδος· ὁ ἐν ῥύπῳ τὸ καθαρὸν οὐ καθαίρεται, κατάκριτος κριτὴν οὐκ ἀπολύει. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. νεκρότης τὴν ζωὴν οὐκ ἐγείρει, ἰατρὸν νόσος

Ιωαν. ι. ια. — Τιτ. β. ια. — Ματθ. γ. ιγ. — Ησ. νγ. θ.

σος οὐ θεραπεύει. γινώσκω μὲν τῆς φύσεως τὴν ἀτέλειαν. οὐκ ἔστι γὰρ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. ἐμοὶ μετὰ φόβου τὰ χερουβεὶμ οὐ προσέρχονται, ἐμοὶ τὰ σεραφεὶμ κεκυφότα τὸ τρισάγιον οὐ βοᾷ, ἐγὼ θρόνον τὸν οὐρανὸν οὐ κέκτημαι, ἐμὲ τοῖς μάγοις ἀστὴρ οὐκ ἐκήρυξεν, ἐγὼ φωνὴν οὐκ ἔχω δημιουργοῦσαν τὰ σύμπαντα. Μωϋσῆς ὁ θεράπων ἰδεῖν τὰ ὀπίσθια ἠξιώθη, καὶ πῶς ἐγὼ ἀχράντου κεφαλῆς ἅψασθαι τολμήσω; τί ὑπερβαίνοντα ἐπιτρέπεις μοι; οὐκ ἔχω παλάμην Θεὸν βαπτίσαι δυναμένην. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. ἐκ στείρας γεγέννημαι· ἀλλὰ σοῦ κελεύσαντος, οὐκ ἀντέλεγεν ἡ φύσις. καὶ τότε μὲν τὸ τῆς γεννήσεως οἰκεῖον χωρίον, καὶ λαλεῖ κωλυόμενος ἔτι, τῆς ἐμῆς μητρὸς ἐδονησάμην τὰ χείλη· νῦν δὲ πῶς οὐ θεολογήσω σε παρόντα, ὃν πρὶν θεϊκὴ κιβωτὸς ἐχώρησε; μὴ κατὰ Ἰουδαίους τετύφλωμαι τὴν φρένα; οἶδα ὅτι δεσπότης ὢν μορφὴν δούλου ἀνέλαβες, ἵνα ἰατρεύσῃς μορφήν· οἶδα ὅτι ἐφάνης ἵνα σώζεις· οἶδα ὅτι πέτρα πίστεως γέγονας, ὃ ἠλέησας. ἀλλ' οὐκ ἐμποδίζομαι τοῖς ὁρωμένοις, τὰ νοούμενα βλέπων. ἐγὼ γὰρ θνητός, σὺ δὲ Θεὸς ἀθάνατος· ἐγὼ ἐκ στείρας, ἀλλὰ σὺ ἐκ παρθένου. πρόδρομος μέν εἰμι, ἀλλὰ σοῦ τοῦ μετ' ἐμὲ μείζων οὐκ εἰμί. προέλαβον κηρύξαι, ἀλλ' οὐ βαπτίσαι πιστεύων. ἔγνων σε τὴν κειμένην πρὸς τὴν ῥίζαν ἀξίνην· ἐγνώρισα τὸν ὑλοτόμον τῆς ἀκάρπου τῶν Ἰουδαίων φυτείας· εἶδον τὴν κατὰ τῶν παθῶν ἐλίζουσαν δρεπάνην· εἶπον [illegible] πηγὴν τῶν ἰάσεων. ἵνα γὰρ τόπον ἀμοιβῆς εὑρήσω τῶν σῶν τεραστίων; λεπροὺς ἐκαθάρισας λόγῳ, αἱμάτων πηγὴν ἀφῇ κρασπέδου ἐξήρανας, μόνῃ κελεύσει τὸν παράλυτον ἔσφιγξας, τῷ σῷ θαύματι τὰ ψιχία τῆς Χαναναίας τὴν θυγατέρα ἔθρεψε, πηλῷ τὸν τυφλὸν ἐνομματώσας, καὶ πῶς τὴν παρ' ἐμοῦ χειροθεσίαν αἰτεῖς; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἐπὶ τῶν ὑδάτων ὡς ἐπ' ἐδάφους πεζεύων· ὁ πόρνῃ παραχωρήσας ἐκμάξαι τοὺς πόδας τοὺς σούς, καὶ ἄφεσιν ἁμαρτιῶν δωρησάμενος. πῶς τολμήσω τῆς σεβασμίου σου ἅψασθαι κορυφῆς, ὁ πολλάκις ἐν τῷ κηρύττειν βοήσας, Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ ἱκανός εἰμι λῦσαι τὸν ἱμάντα τοῦ ὑποδήματος αὐτοῦ; πεῖσόν με, ὦ δέσποτα, τῆς σῆς συγκαταβάσεως τὸν ὄμβρον· ἐπὶ πολὺ γὰρ οὐ φέρω κατακλυζόμενος. τί δέ φησι πρὸς αὐτὸν ὁ Χριστός; Ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. ἄφες ἄρτι. ὡς φωνή, ὑπηρέτησον τῷ λόγῳ· ὡς δοῦλος, δεσπότῃ ὑπούργησον· ὡς στρατιώτης βασιλεῖ· ὡς πηλὸς κεραμεῖ. μὴ φοβοῦ τὸ ἐπίταγμα, ἀλλὰ θάρσει. βάπτισόν με σύ, ἵνα ἐγὼ ἐλευθερώσω τὸν κόσμον. θανάτῳ παραδέδομαι, ἵνα τὴν φύσιν νεκρωθεῖσαν ζωώσω. σὺ μὲν κελευόμενος ὀκνεῖς ἐκτεῖναι τὴν χεῖρά σου, Ἰουδαῖοι δὲ μετ' ὀλίγον παραδοῦναί με οὐκ ὀκνήσουσιν. ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἡμῖν ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. τὴν ἐμὴν πρὸ αἰώνων ὥρισα φιλανθρωπίαν διασῶσαι τὸ γένος τῶν ἀνθρώπων· ἄνθρωπος διὰ τοὺς ἀνθρώπους γέγονα. τί μέγα, εἰ καὶ ὑπ' ἀνθρώπου ἐπὶ τὸ βάπτισμα παραγίνομαι; οὐ γὰρ παρεῖδον τῶν χειρῶν μου τὸ ποίημα· οὐκ ἐπῃσχύνθην τὸ γεῶδες τῆς φύσεως. ὃ γὰρ ἤμην, γέγονα ὅπερ οὐκ ἤμην, ἀμεταβλήτου μενούσης τῆς φύσεως. ἄφες δὴ ἄρτι. ὁ τοῦ γένους ἐχθρὸς τῶν οὐρανίων ἐρρίφη, τῶν γηΐνων ἐδιώχθη· ἐμφωλεύει λοιπὸν ἐν τῇ τῶν ὑδάτων φύσει. ἀλλὰ κἀκεῖθεν αὐτὸν φυγαδεῦσαι παραγέγονα, τοῦ προφήτου βοῶντος, Σὺ συνέτριψας τὴν κεφαλὴν τοῦ δράκοντος ἐπὶ τοῦ ὕδατος. ἄφες ἄρτι. ὡς ἀνθρώπῳ μοι προσῆλθεν ὁ πειράζων, καὶ φέρω, ἵνα τὴν τούτου στηλιτεύσω ἀσθένειαν. ἐρῶ γὰρ αὐτῷ, Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. ὢ καινοῦ θαύματος, ὢ χάριτος ἀφράστου. ὁ Χριστὸς ἀγωνίζεται, κἀγὼ τὰ βραβεῖα βαστάζω· αὐτὸς τῷ διαβόλῳ μάχεται, κἀγὼ τὴν κατὰ τοῦ διαβόλου νίκην ἐπιφέρομαι· αὐτὸς τὴν τοῦ δράκοντος κεφαλὴν συντρίβει ἐπὶ τοῦ ὕδατος, κἀγὼ ἔννομος ἀθλητὴς στεφανοῦμαι· αὐτὸς βαπτίζεται, κἀγὼ τὸν ῥύπον ἀποτίθημι· ἐπ' αὐτῷ τὸ ἅγιον ἔρχεται πνεῦμα, καί μοι τὴν τῶν ἁμαρτημάτων ἄφεσιν χαρίζεται· αὐτὸς

Ψαλμ. ργ. λβ.

Μαρκ. α. ζ.

Ψαλμ. ογ. ιδ.

Ματθ. δ. ζ.

μαρτυρεῖται ὑπὸ τοῦ πατρὸς υἱὸς ἀγαπητός, κἀγὼ γίνομαι υἱὸς Θεοῦ δι' αὐτόν. οἱ οὐρανοὶ γὰρ αὐτῷ ἀνεῴχθησαν, ἵνα φανῇ τοῦ βαπτισθέντος τὸ οἰκητήριον, καὶ φωνὴ τούτῳ πατρικὴ μαρτυρεῖ λέγουσα, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε. αὐτῷ πρέπει ἡ δόξα καὶ τὸ κράτος πάντοτε, νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας. Ἀμήν.

Ματθ. γ. ιζ.

Λογ. ιζ.

ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ex Ms. Collegii Novi Oxon.

Μηνὸς Δεκεμβ. κε.

Ὁπόταν ἐκ χειμῶνος κρυεροῦ θερμὸν ἔαρ ἐκλάμψῃ, τότε καὶ ἡ γῆ χλοερὰν τὴν πόαν περιβάλλεται, καὶ τὰ δένδρα ἀνθοκόμοις πρέμνοις ὡραΐζεται, καὶ ὁ ἀὴρ ἡλίῳ καταλαμπόμενος ἀγλαΐζεται, καὶ πᾶς ὀρνίθων χορὸς ἀνὰ τὸν αἰθέρα πετόμενος, ταῖς μελῳδίαις κλαγγάζει. τότε καὶ οἱ ἐν τοῖς ὄρεσιν οἰκοῦντες βουνόμοι τε καὶ ποιμένες τῶν καλυβῶν ὑπεξελθόντες, τῷ τοῦ ἀέρος κάλλει τὰς ὄψεις μεταρρυθμίζουσι, καὶ ταῖς τῶν καλλιφώνων ὀρνέων κλάγγεσι πολυφθόγγοις σύναξιν ἀντίμιμα λυρῳδοῦντες, τὰς τῶν ἀλόγων προβάτων αἰσθήσεις ἡδύνοντες, ἐπὶ τὴν πόαν τοὺς ἄρνας ὡραίῳ τῷ βήματι φέρουσι. τότε καὶ γεωργὸς τὴν δρεπάνην ἐν τῇ σκηνῇ θήξας παρὰ τὴν πέτραν, ἐπὶ τῶν ἀμπελώνων πορεύεται κεῖραι τῆς ἀμπέλου τὸ ἄγονον κλῆμα. τότε καὶ πελάγιοι πλωτῆρες, ἄζαλον ὁρῶντες τὸ πέλαγος, τὴν χέρσον λιπόντες, ξύλῳ καὶ ὕδατι καὶ πνεύματι τὰς ἑαυτῶν ψυχὰς καταπιστεύσαντες, τοῖς τῆς θαλάσσης κυπρίζοντες νώτοις, ἀφόβως ἐφίπτανται. καὶ ἁπαξαπλῶς, ἵνα μὴ ἐν τῷ περιλόγῳ μηκύνω τὸν λόγον, πᾶσα τέχνη, καὶ πᾶν ἐπιτήδευμα πρὸς τὴν χρείαν τῆς ζωῆς τοῖς ἀνθρώποις πεποιημένον, τοῦ γαληνοῦ ἀέρος ἐκλάμψαντος, ἀκώλυτον ἔχει τὴν κίνησιν πρὸς τὴν τῆς ἐργασίας ὁρμήν. δεῦρο τοίνυν, ἐπειδὴ καὶ ἡμῖν τὸ οὐράνιον ἔαρ Χριστὸς ἐκ παρθενικῶν λαγόνων ἀνέτειλε, καὶ τὰς ψυχρὰς καὶ ζαλώδεις ὁμίχλας τοῦ διαβόλου διεσκέδασε, καὶ τὰς καθευδούσας τῶν ἀνθρώπων καρδίας ταῖς θείαις αὐτοῦ ἀκτῖσιν ἐκ τοῦ καρποῦ τῆς ἀγνωσίας ἀφύπνισεν ἐπὶ τὴν οὐράνιον καὶ μακαρίαν δόξαν, τὸν νοῦν ἡμῶν παροξύνωμεν. ἀλλ' ἵστησί μου τὸν δρόμον τῆς γλώττης ἡ Χριστοῦ γέννα, θεότητα ἀπαστράπτουσα, καὶ πρὸς ἑαυτὴν ἐπισπᾶται. ὅταν γὰρ ὑπ' ὄψιν ἐμαυτοῦ ἀγάγω τὸ βρέφος τὸ ἐκ τῆς παρθένου τεχθέν, καὶ τὴν κυήσασαν παρθένον ἄνευ ἀνδρός, καὶ μετὰ τόκον παρθένον τυγχάνουσαν, πολυπραγμονῶ τὸ ἔργον, καὶ μὴ εὑρίσκων τὸν τρόπον, τῇ πίστει σφραγίζω τὸ πρᾶγμα. πῶς γὰρ οὐκ ἔστι θαυμαστὸν ἀληθῶς καὶ πᾶσαν ὑπερβαῖνον ἔννοιαν, τὸ παρθένον γεννῆσαι, καὶ παρθένον εὑρεθῆναι μετὰ τὸν τόκον; καὶ ὅτι ἐγέννησε, τὸ κυηθὲν βρέφος ἤλεγχε· καὶ ὅτι μετὰ τὴν κύησιν παρθένος ἐτύγχανεν, ἡ οἰκεία αὐτῆς τοῦ σώματος φύσις ἐδίδασκεν. ἴδε οὖν μυστήριον ὁρατὸν καὶ ἀόρατον, κρατούμενον καὶ μὴ κρατούμενον, ψηλαφώμενον, καὶ μὴ εὑρισκόμενον. τίς γὰρ οὐκ ἑώρα καὶ ἐκράτει καὶ τὸ βρέφος καὶ τὴν μητέρα; τίς δὲ ὁρῶν τὴν μητέρα παρθένον, καὶ τὸ βρέφος παρθένου τέκνον, τὸ μυστήριον πολυπραγμονῶν ἐξευρίσκει; ὢ μυστηρίου ἀληθῶς, ἐπουρανίου καὶ ἐπιγείου, κρατουμένου καὶ μὴ κρατουμένου, ὁρωμένου καὶ μὴ φαινομένου. τοιοῦτος γὰρ ἦν καὶ ὁ γεννηθεὶς Χριστὸς σήμερον, οὐράνιος καὶ ἐπίγειος, κρατούμενος καὶ μὴ κρατούμενος, ὁρώμενος καὶ ἀόρατος· οὐράνιος κατὰ τὴν τῆς θεότητος φύσιν, ἐπίγειος κατὰ τὴν τῆς ἀνθρωπότητος σχέσιν, ὁρώμενος κατὰ τὴν σάρκα, ἀόρατος κατὰ τὸ πνεῦμα, κρατούμενος κατὰ τὸ σῶμα, ἀκράτητος κατὰ τὸν λόγον. ἀλλὰ Χριστὸς μὲν Θεὸς ὢν παντοδύναμος, ὡς ἐβούλετο, τῷ ἰδίῳ κόσμῳ τεχθεὶς ἐπεφάνη. ἐκπλήττει δέ μου πλέον τὸν νοῦν ἡ τῆς παρθένου ὠδίν, ὅτι παρθένος οὐκ ἐξ οὐρανοῦ κατελθοῦσα, ἀλλ' ἐκ σπέρματος Δαβὶδ ὁρωμένη, οὐκ ἐκ πνεύματος τυγχάνουσα, ἀλλ' ἐκ σώματος καὶ ψυχῆς συνιστῶσα,

ὢν

ἐν γαστρὶ ἐλάμβανε· καὶ ὁ ὄγκος τῆς γαστρὸς κατηγόρει τοῦ πράγματος, καὶ ὁ τοῦ ἔνδοθεν βρέφους σπορεὺς οὐκ ἐφαίνετο. οὐρανὸν γὰρ κατοικεῖ, καὶ τὸ βρέφος ἐν τῇ παρθενικῇ νηδύϊ μυστικῶς ἐτελεσιούργησε. διὰ τῆς φύσεως ἐτίκτετο, καὶ αἱ μαῖαι ἐψηλάφων, καὶ τὴν ἐγνώσαν φύσιν, καὶ τὸ βρέφος, καὶ τὴν φθορὰν ὡς ἐπὶ ἄλλων γυναικῶν οὐχ εὕρισκον. Θεὸς γὰρ ἦν ὁ δι' αὐτῆς προερχόμενος. ὦ βάτε, ἣν εἶδε Μωϋσῆς ἐν τῷ ὄρει καιομένην, καὶ μὴ κατακαιομένην· παρθένε Μαρία, γεννῶσα, καὶ μὴ φθειρομένη. ὦ λίθε, ὃν εἶδε Δανιὴλ ἀπὸ ὄρους τεμνόμενον ἄνευ χειρὸς ἀνθρωπίνης. ὦ παρθένου βρέφους παρθένε μήτηρ, καὶ τέκνον ἱερὸν μηδενὸς ἀνυμφεύτου. ποῦ εἰσὶν οἱ φιλοπράγμονες; λεγέτωσαν ἡμῖν, πῶς ἡ παρθένος ἄνευ ἀνδρὸς ἐγέννησε βρέφος, καὶ γεννήσασα οὐκ ἐφθάρη. Εἰ δὲ ἀνεξερεύνητος ὁ τρόπος, ἐπειδὴ ἐκ πνεύματος ὁ γόνος, πολλῷ μᾶλλον ἀνεξιχνίαστος ἡ ἐκ πατρὸς τοῦ λόγου ἄφραστος γέννησις. ἀλλά σοι μὲν πιστεύεις, ἐπειδήπερ δὲ ὅτι γεννήσασα οὐκ ἐφθάρη· ἀλλὰ Θεοῦ κατηγορεῖς λέγων· εἰ δὲ ὁ ἄφθαρτος πατὴρ γεννήσας τὸν υἱὸν αὐτοῦ κατὰ τὴν σὴν ἄνοιαν ἐφθάρη, πολλῷ μᾶλλον ἡ φθαρτῆς φύσεως οὖσα παρθένος γεννήσασα ἂν ἐφθάρη. Εἰ δὲ σὺ αὐτὸς μαρτυρεῖς τὴν παρθένον γεννήσασαν μὴ φθαρῆναι, πολλῷ μᾶλλον πίστευε τὸν ἄφθαρτον πατέρα γεννήσαντα τὸν ἄφθαρτον υἱὸν μὴ φθαρῆναι. ἀλλ' ἐάσαντες τοὺς ματαιολόγους, ἐπὶ τοὺς θεολόγους κήρυκας ἀναδράμωμεν. τοῦ δὲ Ἰησοῦ Χριστοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως. ἀναγκαίως ὁ εὐαγγελιστὴς σημειοῦται καὶ τὸν τόπον καὶ τὸν χρόνον, ἵν' ὁ ἀπιστῶν τῇ κατὰ σάρκα γεννήσει τοῦ σωτῆρος, ζητήσας τὸν τόπον καὶ τὸν χρόνον, εὕρῃ τῆς ἀληθείας τὸ πρᾶγμα. τὸν μὲν γὰρ χρόνον, ἐκ τῆς Ἡρῴδου ἀρχῆς τοῖς χρονογράφοις ἐγκύψας, τὸν δὲ τόπον, ἐκ τῆς κατὰ τὴν Βηθλεὲμ σημασίας ζητήσας εὑρήσει. Εἰ γὰρ ἐν τοῖς κοσμικοῖς συμβολαίοις καὶ ὕπατοι γράφονται, καὶ μῆνες ἀριθμοῦνται, καὶ ἡμέραι δηλοῦνται, καὶ πόλεις προτυποῦνται ὑπὲρ ἀκριβείας τῶν λεγομένων· πόσῳ μᾶλλον δεῖ, τῆς τοῦ κόσμου παντὸς σωτηρίας τεχθείσης, καὶ τοῖς εἰς ὕστερον γνωσθῆναι τοῦ τόπου καὶ τοῦ καιροῦ τὴν ἀκρίβειαν. καὶ Ματθαῖος μὲν τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ οὕτω διηγεῖται· Λουκᾶς δὲ ὑπὲρ τῆς τῶν χρόνων ἀκριβείας προστίθησι, καὶ τὴν τότε πρώτην γεγενημένην ἀπογραφήν. λέγει γὰρ οὕτως· Ἐν ἔτει τεσσαρακοστῷ πρώτῳ ἐπὶ Καίσαρος Αὐγούστου, ἐξῆλθε δόγμα ἀπὸ Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. αὕτη ἡ ἀπογραφὴ, πρώτη. ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ οὔσῃ ἐγκύῳ. σημειοῦται δὲ Λουκᾶς τὴν πρώτην γενομένην ἀπογραφὴν, ὁμοῦ μὲν καὶ τὸν χρόνον ἀκριβάζων, καὶ μυστήριον μέγιστον ἐκ τοῦ ἐμφανοῦς ἀφανὲς ὑπεκφαίνων. λέγει γὰρ πρώτην καὶ βιαίαν ἀπογραφὴν, τὸ γεγενῆσθαι τῶν ἀνθρώπων. Χριστοῦ γὰρ γεννηθέντος, καὶ σαρκὸς λοιπὸν θεοποιουμένης, καὶ διαβόλου ἐκβαλλομένου, καὶ θανάτου λυομένου, ἔδει ψυχὰς δικαίων, καὶ πιστῶν ὀνόματα ἐν ταῖς τῶν οὐρανῶν ἀπογράφεσθαι βίβλοις, κάτω μὲν Καίσαρος κελεύοντος, ἄνω δὲ τοῖς ἀγγέλοις πατρὸς προστάττοντος. διὸ καὶ ὁ Κύριος τοῦτο εὐαγγελιζόμενος τοῖς μαθηταῖς αὐτοῦ, ἔλεγε· Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλὰ χαίρετε ὅτι τὰ ὀνόματα ὑμῶν ἐν τοῖς οὐρανοῖς ἀναγέγραπται. τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρῴδου, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο λέγοντες, ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν. οἴμοι, νικῶμαι τοῖς θαύμασι, συνέχομαι ταῖς θεωρίαις, καὶ ἡ γλῶσσά μου οὐχ εὑρίσκει τί πρότερον εἴπω, ἢ τί παραλείπειν. ἐὰν τὴν γέννησιν αὐτοῦ καταμάθω, ἐκπλήττομαι, ὅτι πρὶν ἢ τῆς φύσεως τὸ παιδίον ἐξέλθῃ, σημεῖα ἐπιτελεῖ. ἢ γὰρ οὐκ ἔστι μέγιστον σημεῖον, τὸ παρθένον μετὰ τὸ γεννῆσαι παρθένον μεῖναι, καὶ τὸν οὐρανὸν σιωπῶντα διὰ ἀστέρος λαλεῖν, καὶ τοῖς διψῶσι τὸν τεχθέντα ἰδεῖν; ἀστέρα πέμπει συνέκ-

Λουκ. β. α.

Λουκ. ι. κ.

δημον, καὶ δεικνύει τὸ ποθούμενον βρέφος. καὶ Ματθαῖος μὲν μάγων μνημονεύει ἐξ ἀνατολῶν ἐλθόντων· Λουκᾶς δὲ ἀγγέλου. λέγει γάρ· Καὶ ποιμένες ἦσαν ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. καὶ ἄγγελος Κυρίου ὤφθη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, ὅτι ἐτέχθη ἡμῖν σήμερον Χριστὸς Κύριος ἐν πόλει Δαβίδ. καὶ ἐγένετο ἐξαίφνης σὺν τῷ ἀγγέλῳ πλῆθος οὐρανίου στρατιᾶς, αἰνούντων τὸν Θεὸν καὶ λεγόντων· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Χριστὸς ἐγεννήθη, τὰ ἐπίγεια τοῖς οὐρανίοις συνάπτεται, ἄγγελοι σὺν ἀνθρώποις χορεύουσι, ποιμένες ἀγραυλοῦσι, καὶ μάγοι προσκυνοῦσιν, οὐρανὸς λαμπαδουχεῖται, καὶ ἡ γῆ τὸν καρπὸν αὐτῆς λαμπρὸν ἐπὶ φάτνης βαστάζει. καὶ ἐπληρώθη τότε τὸ ἐπὶ τῇ γῇ γεγραμμένον, τό, Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν. ἀλήθεια γὰρ Χριστὸς ὁ λέγων, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια. ἐκ τῆς γῆς, τουτέστιν, ἐκ τῆς παρθένου ἀνέτειλε κατὰ σάρκα. ζητεῖ δὲ πόθεν οἱ μάγοι περὶ τοῦ ἀστέρος διδαχθέντες, αὐτῷ ἐχρῶντο ὁδηγῷ πρὸς τὴν τοῦ ζητουμένου παιδίου ἀνεύρεσιν. οὐ γάρ, ὥς τινες ἐφαντάσθησαν, πλάνον εἶναι τὸν ἀστέρα λέγοντες, καὶ τοὺς μάγους μὴ ἀληθὲς παιδίον ἐπιζητεῖν. πῶς γάρ, εἰ πλάνος ἦν ὁ ἀστήρ, τὴν ἀλήθειαν Χριστὸν ἀνεδείκνυεν; ἕως γὰρ ἐκείνου φθάσας, ἔστη τοῦ δρόμου. πῶς δὲ καὶ οἱ μάγοι, εἰ οὐκ ἀληθείᾳ ἀπήρχοντο, τοιαύτας αὐτῷ προσφορὰς ἐκ τῶν οἰκείων ἐκόμιζον πόνων, μηνυούσας τὴν αὐτοῦ θεότητα καὶ ἀνθρωπότητα, καὶ τὸ προφητικὸν πληροῦσας, τό, Ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας; οὐδ᾽ αὖ πάλιν, ὡς οἱ μυθολόγοι φασὶν εἶναι ἀστέρα καθ᾽ ἕκαστον τῶν γεννωμένων ἀνθρώπων ἀνατέλλοντα· οἵτινες οὐδὲ τὴν παρ᾽ Ἕλλησι μυθευομένην ἀστρολογίαν ἴσασιν. ἀλλ᾽ ἄρα καὶ αὐτοὺς οἱ τοιοῦτοι χριστιανοὺς εἶναι νομίζουσι; πρὸς οὓς ἐροῦμεν· ὦ φιλόσοφοι, εἰ τοῦτο ἦν, ὃ ὑμεῖς λέγετε, εἴπατε ἡμῖν, πῶς τοῦ Ἀδὰμ καὶ τῆς Εὔας δύο μόνων ὄντων ἀνθρώπων, ὁ οὐρανὸς τῶν αὐτῶν ἐπεπλήρωτο ἀστέρων; καὶ κατακλυσμοῦ γεγονότος, καὶ πάντων τῶν ἀνθρώπων ὕδατι θανόντων, οἱ αὐτοὶ ἦσαν ἀστέρες μὴ πεσόντες, καὶ τῆς αὐτῆς τῶν ἄστρων χορείας συγχυθείσης μόνος ἦν Νῶε μετὰ τῶν τριῶν υἱῶν καὶ τῶν γυναικῶν; ἀλλὰ δεῖ προσέχειν ταῖς γραφαῖς, καὶ νοεῖν τὰ μυστήρια. Βαλαὰμ γάρ τις ἦν προφήτης, ὃν μετακαλεσάμενος ὁ βασιλεὺς τῶν Μωαβιτῶν ἐπὶ τὸ τὸν Ἰσραὴλ ἐξιόντα ἐκ γῆς Αἰγύπτου καταράσασθαι (ἐπειδὴ οὓς ἂν εὐλόγησεν, ηὐλόγηνται, καὶ οὓς ἂν κατηράσατο, κατήραντο) γενόμενος ἐγγὺς τῆς στρατοπεδείας τοῦ Ἰσραήλ, καὶ ἀνελθὼν ἐπὶ τὴν ἀκρωρείαν τοῦ ὄρους, θεωρήσας τὸν Ἰσραὴλ παρεμβεβληκότα, ἀναλαβὼν αὐτοῦ τὴν παραβολήν, καὶ προφητεύσας, εἶπεν· Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ· καὶ συντρίψει τοὺς ἀρχηγοὺς Μωάβ, καὶ προνομεύσει τοὺς υἱοὺς Ἀμμών. οὗτοι οὖν οἱ μάγοι ἐκ τοῦ γένους τοῦ Βαλαὰμ τοῦ προφήτου ὁρμώμενοι, κατακολουθήσαντες αὐτοῦ ταῖς βίβλοις καὶ ταῖς προφητείαις, καὶ νοήσαντες, ὅτι ὅτε ἀνατελεῖ ἄστρον, τότε ἀναστήσεται καὶ ὁ ἄνθρωπος, δηλονότι ὁ βασιλεὺς τῶν Ἰουδαίων, ὅστις οὐ μόνον τοὺς ἀρχηγοὺς Μωὰβ συντρίψει, ἀλλὰ καὶ πάσας τοῦ διαβόλου τὰς βασιλείας λεπτυνεῖ καὶ λικμήσει κατὰ τὸν Δανιήλ, παρετήρουν τὸν καιρόν· καὶ θεωρήσαντες τὸν ἀστέρα ξένον παρὰ τοὺς ἄλλους ἀνατείλαντα, ἔγνωσαν αὐτὸν εἶναι τὸν πάλαι προφητευθέντα, καὶ κατακολουθήσαντες, εὑρηκότες τε τὸν τεχθέντα, ἐχάρησαν, τῶν πάλαι προφητευθέντων εὑρηκότες τὴν ἔκβασιν. σὺ δέ μοι νόει, ἀκροατά, τοὺς μάγους εἶναι τύπους τῶν ἐκ τῆς ἀσεβείας τῆς πλάνης ἐπιστρεψάντων ἐθνῶν, οὐ τελείῳ φωτὶ ὁδηγουμένους, ἀλλ᾽, ὅσον ἀπαυγάσματι φωτὸς διὰ Ἰωάννου, ὡς διὰ ἀστέρος, πρὸς τὸν ἐν σαρκὶ τεχθέντα Χριστὸν ὁδηγουμένους. ὅρα γάρ μοι καὶ τὸν ἀστέρα ἄχρι τοῦ παιδίου ἐλθόντα, καὶ στάντα τοῦ δρόμου. καὶ γὰρ Ἰωάννης, δίκην ἀστέρος, τῷ κηρύγματι ἀπολάμψας, καὶ ἀποδείξας Χριστὸν λέγων, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐπαύσατο τοῦ δρόμου. εἴρηκε γάρ,

Ἐκεῖνον

Ἔκρινον δὲ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. Καὶ ἐλθόντες, φησίν, οἱ μάγοι εὗρον τὸ παιδίον καὶ τὴν μητέρα· καὶ πεσόντες προσεκύνησαν αὐτῷ. διὰ γὰρ τοὺς ἀπὸ ἐθνικοῦ βίου προσιόντας Χριστῷ, πρῶτον πεσεῖν ἀπὸ τοῦ ὕψους τῆς ἀσεβείας, καὶ οὕτως ὥσπερ ἀπὸ γῆς ἐγειρομένους, τὴν κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ ὁμολογεῖν, εἶθ' οὕτως ἀνὰ μέρος, πρὸς τὴν οὐράνιον αὐτοῦ θεότητα ἀναβαίνειν. καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσόν, καὶ λίβανον, καὶ σμύρναν· χρυσόν, ὡς βασιλεῖ· λίβανον, ὡς Θεῷ· σμύρναν, ὡς παθητῷ δι' ἡμᾶς. καὶ ἐδέχετο ὁ Χριστὸς τὰ δῶρα, οὐκ αὐτὸς χρῄζων, ἀλλὰ τοὺς φέροντας ὠφελῶν. χρυσὸν μὲν γὰρ δεχόμενος, φιλαργυρίας αὐτοὺς ἀπέστρεφε· λίβανον δεχόμενος, εἰδωλολατρείας ἀπήλλαττε· σμύρναν δὲ κομιζόμενος, τὴν νέκρωσιν αὐτῶν ἀπέσμηχε τῆς ψυχῆς. Εἰ δὲ δεῖ καὶ ἕτερον μυστήριον θεωρῆσαι, καταμάθωμεν ἀκριβῶς. χρυσὸν καὶ λίβανον καὶ σμύρναν προσφέρουσι τῷ τεχθέντι. ἐπεὶ ἦν περὶ αὐτοῦ γεγραμμένον τό, Αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, ἐν ταῖς προσφοραῖς προετύπου τὸ μέλλον, ἐν τῷ χρυσῷ δηλοῦντες τὴν τῶν οὐρανίων ἀγγέλων δοξολογίαν, ἐν τῷ λιβάνῳ τὴν τῶν ἐπιγείων ἀνθρώπων γονυκλισίαν, ἐν τῇ σμύρνῃ, τῶν ἐν ᾅδου ψυχῶν κατεχομένων τὴν ἱκεσίαν. ἐπεὶ τρεῖς ἀρετὰς δεῖ κεκτῆσθαι τῆς θεότητος τοὺς προσιόντας Χριστῷ, ἃς φάσκει ὁ ἀπόστολος, πίστιν, ἐλπίδα, ἀγάπην, ἀνοίξαντες δὲ τοὺς θησαυροὺς τῆς καρδίας, προσκομίζουσι πίστιν, ὡς χρυσὸν ἐξαστράπτουσαν· ἐλπίδα, ὡς λίβανον εὐωδιάζουσαν· ἀγάπην, ὡς σμύρναν συσφίγγουσαν τὰ μέλη τῆς ἐκκλησίας. Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. ἐχρῆν γὰρ τοὺς ἅπαξ προσελθόντας Χριστῷ, μὴ τοῖς αὐτοῖς ἴχνεσι τῆς ἀσεβείας ἀναλύειν· ἀλλὰ τὴν ἀγρίαν ἐξασκήσαντας πίστιν καὶ πρᾶξιν, τὸν ἀνθρωποκτόνον ὄφιν λαθόντας, ἀναχωρεῖν εἰς κληρονομίαν Χριστοῦ. αὐτῷ γὰρ πρέπει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωαν. γ. λ. — Ματθ. β. ια. — Φιλιπ. β. ι. — * * α. Κορ. ιγ. ιγ.

ΕΙΣ ΤΟΝ ΖΑΚΧΑΙΟΝ ΤΟΝ ΤΕΛΩΝΗΝ.

Λογ. ιθ. — Λυκ. ιθ. — *Ex Ms. Cæsareo.*

Οἱ τῶν καλῶν ἐρῶντες, οὐδὲν ἀπέχουσι τῶν διψώντων, ὦ ἀγαπητοί. ὅσῳ γὰρ οὐχ εὑρίσκουσι τὸ ζητούμενον, τοσούτῳ πρὸς τὸ διψᾶν τῶν ποθουμένων ἐκκαίονται. καὶ κύκλῳ μὲν φαντάζονται τὰς ποθουμένας, ὡς διψῶντες πηγάς· μεθ' ἡμέραν δὲ τόπον ἐκ τόπου περιερχόμενοι, ὄμμασι πολυκινήτοις περιβλεπόμενοι, ζητοῦσι τὰ τῆς καρδίας ποθούμενα. καὶ ὥσπερ ὁδοιπόροι ἐν ὥρᾳ καύσωνος τὴν ἄνυδρον γῆν διατρέχοντες, ὑπὸ τῆς δίψης πιεσθέντες, καὶ τὰς πηγὰς περιβλέπονται, ὡς πολλάκις καὶ ἐπὶ βουνοὺς ἀνατρέχοντας, αὐτοὺς ὅπου πηγή· καὶ ἴδωσιν αὐτὴν πόῤῥωθεν, χαίρουσι, καὶ ἐπιτείνονται τὴν πορείαν πρὸς αὐτὴν σπεύδοντες· εἶτα ἐλθόντες ἐπὶ τὴν πηγήν, τήν τε δίψαν τῷ ὕδατι παύουσι· τοιοῦτοί εἰσιν οἱ φιλόχριστοι ἄνδρες. ἐν γὰρ τῇ ἡμέρᾳ τὸν ποθούμενον αὐτοῖς Χριστὸν ἔργοις ἀγαθοῖς ἐκζητοῦσι, καὶ ἐν νυκτὶ δι' εὐχῶν προσομιλοῦσιν αὐτῷ, καὶ ἐν τοῖς ὕπνοις μετ' αὐτοῦ βηματίζειν φαντάζονται· καὶ ἐὰν ἐν ὁράμασιν αὐτὸν ἴδωσι πόῤῥωθεν, χαίρονται καὶ ἀγάλλονται, ὥσπερ οἱ διψῶντες, ὅταν εὕρωσι τὰς ποθουμένας πηγάς· καὶ πάλιν διυπνισθέντες καθεύδειν ἐθέλουσιν, ἵνα τῇ αὐτῇ ὀπτασίᾳ τοῖς ὕπνοις περιτύχωσι. τοιοῦτος ἦν καὶ Ζακχαῖος, ὁ ἀρτίως ὑμῖν ὑπὸ τοῦ εὐαγγελίου διαναγνωσθείς. ὅρα γάρ μοι αὐτὸν καὶ τρέχοντα, καὶ πόθῳ φλεγόμενον θείῳ, καὶ ἐπὶ τὸ δένδρον ἀναβαίνοντα, καὶ Ἰησοῦν περιβλεπόμενον, ὅπως ἴδῃ τὴν ζωοφόρον πηγήν. θεωρήσας δὲ Ζακχαῖος τὸν Κύριον, τὴν μὲν ὅρασιν ἀνέπαυσε, τὴν δὲ καρδίαν πλέον πρὸς πόθον ἐξέκαυσεν. Εἰσελθὼν δέ, φησιν, ὁ Ἰησοῦς εἰς Ἱεριχώ, διήρχετο· καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ζακχαῖος· καὶ οὗτος ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος· καὶ ἐπεθύμει ἰδεῖν

Λυκ. ιθ. α.

τὸν Ἰησοῦν, ὃς ἐκεῖθεν ἤμελλε διέρχεσθαι. ὅρα μοι πόθον ἀνθρώπου, ἀγαπητέ. Καὶ οὐκ ἠδύνατο βλέπειν ἀπὸ τοῦ ὄχλου, ὅτι μικρὸς ἦν τῇ ἡλικίᾳ. καὶ προλαβὼν εἰς τὸ ἔμπροσθεν, ἀνέβη ἐπὶ συκομωραίαν, ἵνα ἴδῃ τὸν Ἰησοῦν, ὅτι ἐκεῖθεν ἤμελλε διέρχεσθαι. Ζακχαῖος ὁ τὴν ἡλικίαν τοῦ σώματος μικρός, τῇ δὲ φρονήσει τοῦ πνεύματος μέγας, ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, ἐπεθύμει ἰδεῖν τὸν Θεὸν ἐν ἀνθρώποις τὰ οὐράνια χαριζόμενον· ἐζήτει ἰδεῖν τὸν τῶν ἀγγέλων κτίστην, καὶ τοῦ οὐρανίου καὶ ὑπεργείου φωτὸς λαμπαδοῦχον τὴν βήμασιν ἀνθρωπίνοις περιπατοῦντα· ἐζήτει ἰδεῖν, πῶς ὁ ἥλιος τῆς δικαιοσύνης ἐν τῇ νεφέλῃ τοῦ σώματος καθεζόμενος, τῶν πιστῶν τοὺς ὀφθαλμοὺς τῆς καρδίας κατηύγασεν· ἐζήτει ἰδεῖν τὸν Θεὸν Ἰησοῦν, τὸ καλὸν ῥῆμα, τὸ ποθεινὸν πρᾶγμα, τὸ γλυκὺ ὄνομα Ἰησοῦν, τὸν ἐκ τοῦ ὀνόματος πρᾶγμα σημαίνοντα. ἐπεθύμει ἰδεῖν τὸ πορφυροῦν μᾶλλον πρόβατον, οὗ τὸ αἷμα τὴν οἰκουμένην ἐξηγόρασε· καὶ ὁ πόκος αὐτοῦ ἀπὸ Ἀδὰμ μέχρι τέλους γυμνωθέντας ἐσκέπασεν. ἐπεθύμει ἰδεῖν ὁ αἰχμάλωτος στρατιώτης τὸν ἴδιον βασιλέα, τὸ πρόβατον τὸν ποιμένα, ὁ πεπλανημένος τὴν ὁδόν, ὁ ἐσκοτισμένος τὸ φέγγος. ἐπεθύμει ἰδεῖν τὸν τῆς εὐσεβείας κήρυκα, ὁ μὴ ἔχων τὸ τῆς θεογνωσίας γλυκύτατον ἄρτυμα. ἐζήτει ἰδεῖν ὁ ἄρρωστος τὴν ὑγείαν, ὁ πεινῶν, τὸν οὐράνιον ἄρτον, ὁ διψῶν, τὴν ζωοφόρον πηγήν. ἐπεθύμει ἰδεῖν τὸν τῶν ἱερέων ζωοδότην, καὶ ἐξυπνιστὴν τοῦ Λαζάρου. ὢ ἔρωτος θείου· ὢ ἐπιθυμίας ἀγαθῆς· ὢ ἔρωτος χρυσοπτέρου, μᾶλλον δὲ Χριστοῦ, τοῦ τὴν ἔχουσαν αὐτὸν ψυχὴν εἰς οὐρανοὺς ἀναφέροντος. ἤδη ὁ θεῖος ἔρως ὁ ἄρας αὐτὸν ἀπὸ τῆς γῆς, δενδροβάτην παρεσκεύασεν· οὐκ ἔτι τὰ ἐπίγεια βλέπειν αὐτὸν ἤδη, οὐκ ἔτι ἀνθρώποις συνεχώρησεν αὐτὸν ὁμιλεῖν· ἀλλὰ πρὸς θείαν βλέψας ἀγάπην, τὰ οὐράνια ἐξεδέχετο. ἀπ' ἐκείνων πρὸς ἐκεῖνα ἔτρεχε πρὸς ἃ ἠπείγετο, καὶ ἐπὶ τὸ δένδρον ἀναβὰς περιεβλέπετο τὸν Χριστόν, καὶ τῇ διανοίᾳ τὴν νεφέλην ἐπέβαινεν. ἰδὼν δὲ τὸν Χριστὸν ὁ Ζακχαῖος, ἁρμοζόντως ἔλεγε· Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. (Ψαλ. ρκβ. α.) Εἶδε Ζακχαῖος τὸν Κύριον, καὶ πλέον πρὸς πόθον ἐξεφλέγετο· ἥψατο αὐτοῦ τῆς καρδίας, καὶ ἄλλος ἐξ ἄλλου ἐγίνετο, ἀντὶ τελώνου ζηλωτής, ἀντὶ ἀπίστου πιστός, καὶ ἀντὶ λύκου πρόβατον σφραγιδοφόρον. τίς οὕτω ποθεῖ πατέρα, ἢ μητέρα, τίς οὕτω ποτὲ ἠγάπησε γυναῖκα ἢ τέκνα, ὡς Ζακχαῖος τὸν Κύριον, ὡς ἐξ αὐτοῦ τοῦ πράγματός ἐστι δοκιμάσαι; πάντα γὰρ αὐτοῦ τὰ ὑπάρχοντα διὰ τὸν Χριστὸν τοῖς πένησιν ἔδωκε, καὶ οὓς ἐσυκοφάντησε, τετραπλασίονα ἀπέδωκεν. ὢ μαθητοῦ τρόπος ἀγαθός· ὢ διδασκάλου ἐπιείκεια καὶ δύναμις θεία, ἐκ τοῦ ὀφθῆναι μόνον τὸν Ἰησοῦν εἰς πρᾶξιν ἐνάγοντα. οὔπω γὰρ κατηχητικὸν λόγον τῷ Ζακχαίῳ ἔλεγεν ὁ Κύριος, ἀλλ' ὤφθη μόνον τῷ ποθοῦντι, καὶ ἡ τῆς πίστεως δύναμις ὑπὸ τῆς τοῦ ποθοῦντος καρδίας ἀνέλκετο. τοιοῦτόν τι γέγονε καὶ ἐπὶ τῆς αἱμορροούσης. προσελθοῦσα γὰρ τῷ Κυρίῳ, καὶ ἀξιοῦσα αὐτόν, ἵνα ἰάσηται αὐτήν, οὐ μὴν ἐξεδέχετο τὴν ἀφὴν τῆς χειρός, ἀλλὰ αὐτὴ προσελθοῦσα ἥψατο αὐτοῦ τοῦ κρασπέδου κρυφίως· καὶ ἡ δύναμις τῆς ἰάσεως ὑπὸ τῆς ἁψαμένης ὡς σπόγγος ἐλύετο. καὶ ὁ μὲν Ζακχαῖος ἀγνοῶν ἐποίει, θείῳ ζήλῳ φερόμενος, καὶ πνευματικῷ ἔρωτι φλεγόμενος ἐπὶ (Λουκ. ιθ. ε.) τὴν συκομωραίαν ἔτρεχεν· ὁ δὲ Κύριος μυστικόν τι θεωρήσας, ἔλεγε, Κατάβηθι· οἶδά σου τὴν ψυχήν, οἶδά σου τὸν ὅσιον ἔρωτα· κατάβηθι· μνήσθητι ὅτι ὁ Ἀδὰμ γυμνωθεὶς, ὑπὸ συκῆν ἐκρύβη· σὺ δὲ θέλων σωθῆναι, ἐπὶ συκομωραίαν μὴ ἀνάτρεχε. δεῖ με τὸ συκόμορον τοῦτο ξηρᾶναι, καὶ ἄλλο φυτεῦσαι, σταυρόν. ἐκεῖνο χρηστὸν δένδρον ἐστίν, ἐπ' ἐκεῖνο βήματι ψυχῆς ἀνάτρεχε. ἐκεῖθεν γὰρ εἰς οὐρανοὺς ἕτοιμος ἀκοντίζῃ· εἰς τοῦτο τὸ δένδρον καὶ ὁ ὄφις τοῖς φύλλοις περιπλέκεται, εἰς τοῦτο κρύπτεται, ἐν τούτῳ ἐνεδρεύει· σπεῦσον, κατάβηθι· πρὸ τοῦ αὐτὸν φθείρειν τὴν ψυχήν σου, ὡς καὶ ἐπὶ τῆς Εὔας πείσας αὐτὴν γεύσασθαι τῆς γλυκείας ἡδονῆς. σπεῦσον, κατάβηθι· ἕως ἕστηκα ἐγώ, κατάβηθι. ἐμοῦ γὰρ ὁρῶντος αὐτόν, ἐκεῖνος πεφίμωται. σπεῦσον, κατάβηθι, οὐ θέλω σε ἐᾶσαι ἐπὶ τὴν συκομωραίαν, οὐ θέλω σε ἀπολέσθαι.

ἀπολέσθαι. ἐμὸν γὰρ εἶ πρόβατον, ἐμοὶ προσέδραμες. σπεῦσον, κατάβηθι, καὶ πρόλαβε εἰς τὸν οἶκόν σου· δεῖ με ἀναπαῦσαι ἐκεῖ. ὅπου γὰρ πίστις, ἐκεῖ ἀναπαύομαι· ὅπου ἀγάπη, ἐκεῖ ἀποδέχομαι. οἶδα τί μέλλεις ποιεῖν· οἶδα ὅτι ὅλα σου τὰ ὑπάρχοντα μέλλεις διδόναι πένησι, καὶ πρότερον ἀποδιδόναι, οἷς ἐσυκοφάντησας, τετραπλασίονα· παρὰ τοῖς τοιούτοις ἡδέως αὐλίζομαι. καὶ ὁ Ζακχαῖος σπεύσας κατέβη, καὶ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ Ἰησοῦν ὑπεδέξατο. χαρᾶς δὲ ἐμπλησθεὶς, σταθεὶς εἶπεν (οὐ περιπατῶν, οὐ καθήμενος, ἀλλὰ σταθεὶς, ἵνα δείξῃ τὴν τῆς ψυχῆς αὐτοῦ ἀμετάθετον γνώμην) σταθεὶς εἶπεν (ὅτι ζέων τῷ πνεύματι, ἀμεταμέλητα νοήσας ἠγωνίζετο. ἤδει γὰρ ὅπου σπείρει, καὶ ὅπου μέλλει θερίζειν) τὸ εἶπεν, ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου δίδωμι τοῖς πτωχοῖς· καὶ οἷς ἐσυκοφάντησα, τετραπλασίονα ἀποδίδωμι. ὦ ἐξομολόγησις καθαρὰ, ἐκ καρδίας καθαρᾶς προσφερομένη· ἐξομολόγησις ἀνεπαίσχυντος, ἀνεπαισχύντῳ δόξῃ Θεοῦ παριστανομένη, πίστιν ἀποπνέουσα, καὶ δικαιοσύνην αἰτοῦσα· ἧς δικαιοσύνης καταξιώσειεν ἡμᾶς ὁ τῶν ὅλων Θεὸς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΕΚΑΤΟΝΤΑΡΧΟΝ.

Λογ. νϛ´.

Ex Ms. Caesareo. Λουκ. ζ β.

Ἑκατοντάρχου τινὸς δοῦλος κακῶς ἔχων ἔμελλε τελευτᾷν, ἀλλ' οὐκ ἐτελεύτησε διὰ τὸν δεσπότην. ἔμελλεν ἀποθανεῖν (ἄνθρωπος γὰρ ἦν) ἀλλ' οὐκ ἀπέθανε διὰ τὸν πρεσβεύοντα θεοφιλῆ τυγχάνοντα. ἡ φύσις τὸ ἴδιον ἀπῄτει χρέως· ἀλλ' ὁ δεσπότης τῆς φύσεως τὸ κτῆμα τῷ κτίστῃ διὰ πίστιν παρεχώρει. θάνατος καὶ φύσεως ἀνάγκη πρὸς τελευτὴν ἐβιάζοντο, ἀλλὰ ἀνθεῖλκεν ἡ πίστις τῷ θανάτῳ πολεμοῦσα καὶ θανάτου παραλύουσα νόμους. καὶ μὴ ἀπιστήσῃς, εἰ τοσαῦτα δύναται πίστις, ὥστε τὰ θανάτου δεσμὰ διαρρῆξαι, καὶ ἐξ αὐτῶν τῶν καταχθονίων βαράθρων ψυχὰς ἀνασπάσαι. πίστις καὶ ᾅδου πύλας ἀνοίγει, καὶ οὐρανοῖς ἐπιτίθησι κλεῖθρα, καὶ φύσεως ὅρους ἀμείβει, καὶ πυρὸς δύναμιν κατακοιμίζει, τὴν φλόγα δρόσον ἀποδεικνύει, καὶ θανάτου κέντρον ἀμβλύνει. οὐκ ἀμάρτυρα λέγω· ἐκ τῶν ἁγίων σε γραφῶν πιστώσομαι. εἶπον ὅτι πίστις πύλας ᾅδου ἀνοίγει, καὶ οὐρανοῖς ἐπιτίθησι κλεῖθρα. ἀκούω· δεδεῖξαι τὰς ἀποδείξεις ἐναργεῖς· ἴδε μοι τὸν μακάριον Πέτρον λόγῳ τὰς ᾅδου πύλας ἀναπετάσαντα, καὶ τὴν Ταβιθὰν κάτωθεν ἀναγαγόντα. μόνον γὰρ εἶπε, Ταβιθὰ ἀνάστηθι, εὐθὺς πύλαι μὲν ᾅδου ἀνοίγονται, ταρτάρειοι δὲ πίπτουσι μοχλοὶ, ἡ δὲ τεθνηκυῖα τῶν ζώντων ὀξύτερον ὑπακούει. πάλιν Ἡλίας ὁ προφήτης ταύτῃ πεποιθὼς τῇ πίστει εἶπεν, Οὐκ ἔσται ὑετὸς εἰ μὴ διὰ στόματός μου· καὶ χαλκεύεται μὲν ὁ οὐρανὸς, συστέλλεται δὲ ὁ ὑετὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, γῆ δὲ καθάπερ σιδηρᾶ τὴν φύσιν, τὸν συνήθη καρπὸν ἀρνεῖται, ἵνα γνῷς, οἷα δύναται πίστις. ἄνθρωπος ἐπὶ γῆς ἀποφαίνεται, καὶ Θεὸς ἐν οὐρανῷ βεβαιοῖ τὴν ἀπόφασιν· θνητὸν φθέγγεται στόμα, καὶ Θεοῦ γνώμη ἐπιψηφίζεται, ἔργῳ κυροῦσα τὰ ῥήματα. Ἔκλεισε, φησὶν, Ἡλίας τὸν οὐρανὸν ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ. κλεῖθρον οὐρανοῦ ἦν, ἀνθρώπου στόμα θνητοῦ, εὐσεβεῖ πίστει κοσμούμενον. ὁ αὐτὸς πάλιν Ἡλίας πυρίνων κατετόλμησεν ἁρμάτων, καὶ καθάπερ πτηνὸν εἰς τὰς αἰθερίους ἐπέτη μονὰς, ἀμένει μέχρι σήμερον ἄγευστος θανάτου, οὐ νόμῳ φύσεως, ἀλλὰ χάριτι μονογλυπτικῇ, καὶ δυνάμει πίστεως ἀκλινὴς φυλαττόμενος. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ὁ Ἐνὼχ ἀπὸ ζωῆς εἰς ζωὴν μετὰ σώματος ἐβαστάχθη, θάνατον καὶ γῆρας καὶ φύσιν διὰ πίστεως ὑπερνικήσας. καὶ πολλὰ μὲν ἔστιν ἄλλα περὶ πίστεως ἐπὶ λέγειν, ἀλλὰ συστέλλω τὸν λόγον, ἵνα μὴ κόρον ἐμποιήσω.

Πραξ. θ. μ. — γ. Βασ. ιζ. α. — δ. Βασ. β. ια.

ποιήσω. οἶδα δὲ, ὅτι καίπερ τὰ θεῖα λόγια ταῖς ὑμετέραις φιλοχρίστοις ἀκοαῖς οὐ κόρον, ἀλ-
λὰ πόθον ἐμποιεῖν ἐπίστανται, ἀλλ' ὅμως ἐπὶ τὸ προκείμενον ἐπανελάσεται. ἑκατοντάρ-
χου, φησί, τινος δοῦλος κακῶς ἔχων ἔμελλε τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος· ἔντιμος οἰκέτης τῷ
δεσπότῃ. εἰ γὰρ καὶ ἡ πλεονεξία τοῦ βίου τὸν δοῦλον ἐπενόησεν, ἀλλ' ἡ εὐγνωμοσύνη τοῦ δε-
σπότου τὸ συγγενὲς τῆς φύσεως οὐκ ἠρνήσατο. οὐ διέπτυσεν ὡς οἰκέτην, ἀλλ' ἔστεργεν ὡς
ὁμόφυλον, φιλανθρωπίᾳ τὴν βαρύτητα τῆς δουλείας ζεύγλην ἐπελαφρίζων. ἀκούετε καὶ
μανθάνετε οἱ δούλων δεσπόται, μὴ ὡς ἀλλοτρίων τῆς φύσεως καταφρονεῖν τῶν οἰκετῶν,
μήτε μὴν ὡς ἐχθρῶν, ἀφειδεῖν τῶν ὁμογενῶν· πειθόμενοι τῷ μακαρίῳ Παύλῳ λέγοντι·

Κολ. δ. α. καὶ Ἐφ. ϛ. θ.

Οἱ κύριοι πρὸς τοὺς δούλους τὴν ἰσότητα παρέχεσθε, ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι
αὐτῶν καὶ ὑμῶν ὁ Κύριος ἐν οὐρανοῖς ὑπάρχει. συνεχώρησε δοῦλον εἶναι Θεὸς, ἵνα Θεῷ δου-
λεύειν μάθῃς. εὔνοιαν ἀπαιτεῖς παρὰ τοῦ οἰκέτου; εὐνόει καὶ αὐτὸς τῷ δεσπότῃ. κολά-
ζεις ἁμαρτάνοντα; οὐκοῦν μὴ ἁμάρτῃς, ἵνα μὴ κολάζῃ παρὰ Θεῷ. συγγνώμην οὐ δί-
δως ὁμογενεῖ, μηδὲ σὺ αἴτει συγγνώμην. διδάσκει γάρ σε τὸ εὐαγγέλιον λοιπὸν οὕτω προσ-

Ματθ. ϛ. ιβ.

εύχεσθαι· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν.
ὡς οὖν παρὰ Θεοῦ φιλανθρωπίαν ζητοῦντες, οὕτω καὶ ὑμεῖς φιλανθρωπίαν νείματε τοῖς ὁ-

Λουκ. ζ. γ.

μοφύλοις. Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων.
τί ἀκούσας; ὅτι λόγῳ θεραπεύει, λόγῳ τεθνεῶτας ζωογονεῖ, λόγῳ δαίμονας ἀπελαύνει,

Ἑβρ. δ. ιβ.

λόγῳ τὰ πάντα διανύει. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶ-
σαν μάχαιραν δίστομον. οὐ βοτάνας, οὐ φάρμακα προσάγει, ἀλλὰ λόγος παρ' αὐτοῦ πέμ-
πεται, καὶ τὸ ἔργον ἐπιτελεῖ. βλέπε πόση ἡ μεταξὺ τοῦ ἑκατοντάρχου καὶ τῶν Ἰουδαίων δια-
φορά. ὁ μὲν ἀκούσας, ἐκ μόνης ψιλῆς ἀκοῆς ἐπίστευσε, καὶ πιστεύσας ὡς Θεῷ προσῆλθεν·
οἱ δὲ, ἐπ' ὄψει ὁρῶντες τὰ θαύματα, τὸν θαυματοποιὸν ἠρνοῦντο· καίτοι ὄψις ἀκοῆς ἐνερ-
γεστέρα. ἐνεργεστέρα μὲν ὄψις ἀκοῆς, ἀλλὰ κακίαν εἶχον τῆς νόσου διδάσκαλον. διὰ τοῦτο
τυφλοὶ τῇ κρίσει τὸν κριτὴν ἐξουθένουν. ἀπέστειλέ, φησι, πρεσβυτέρους τῶν Ἰουδαίων, ἐ-
ρωτῶν αὐτὸν, ὅπως ἀπελθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέ-
ρους, οὐ δι' ὑπεροψίαν παραιτούμενος αὐτὸς ἀπελθεῖν, ἀλλ' ὀκνῶν αὐτὸς ὑπὲρ ἑαυτοῦ πρεσ-
βεύειν διὰ τὸ μέγεθος τοῦ ἀξιώματος. ᾔδει ἑαυτὸν ἄνθρωπον ἐξ ἀνθρώπου φθαρτοῦ, Ἰη-
σοῦν δὲ Θεὸν ἐκ Θεοῦ, μονογενῆ υἱὸν ἐξ ἀγεννήτου πατρός. διὸ τοὺς πρεσβυτέρους τῆς ἐκκλη-
σίας ὑπ' εὐλαβείας κινούμενος ἀποστέλλει, τὰ ἀποστολικὰ πρὸ τῶν ἀποστόλων πληρῶν.

Ἰακ. ε. ιδ.

Ἀθυμεῖ τις; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ὑπὲρ
αὐτοῦ, κἂν ᾖ ἁμαρτίας πεποιηκὼς, συγχωρηθήσονται αὐτῷ. ἀπέστειλεν οὖν τοὺς πρεσβυ-
τέρους πρὸς αὐτὸν, ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. σὺ δὲ καὶ τὴν τοῦ ἀν-
δρὸς συμπάθειαν θαύμαζε. κάμνοντος γὰρ αὐτοῦ τοῦ οἰκέτου οὐ κατεφρόνει, ἀλλὰ σπου-
δὴν τοσαύτην ἐπίθετο, ὁπόσην ἄν τις ὑπὲρ ἑαυτοῦ πάσχων ἐπιδείκνυτο. ταῦτα δὲ
πρὸς ἀρετὴν ἐστὶ βλέποντος ἀνδρὸς, τοσαύτην ποιήσασθαι σπουδὴν, καὶ πρεσβεί-
αν στείλασθαι ὑπὲρ οἰκέτου θεραπείας. ᾔδει τῆς φύσεως τὸ ἰσότιμον· καὶ οὔτε κατεφρό-
νει ὡς ἀνδραπόδου, ἀλλὰ συνέπασχεν ὡς συνδούλῳ, εἰδὼς ὅτι κοινὸς ἁπάντων* ἐστὶν ὁ
Θεός. ἀλλὰ τοιοῦτος μὲν ἦν ὁ ἑκατόνταρχος. πολλοὶ δὲ τῶν πλουσίων παρὰ μὲν ὑγιαινόντων
ἀπαιτοῦσι τὰς ὑπηρεσίας δίχα συγγνώμης, νοσούντων δὲ οὐδεμίαν φροντίδα τίθενται·
ἀλλὰ προσπεσούσης νόσου, τῆς παιδίσκης χαμαὶ ἐρριμμένης, οὐ προσέχει ὁ δεσπότης, οὐκ
ἐπισκέπτεται δέσποινα. κἂν ποτε δέῃ τὴν δέσποιναν παραβάλλειν, οὐκ ἐπισκέπτεται ὡς
ὁμογενῆ, ἀλλὰ βλοσυρῷ προσέχει τῷ βλέμματι, αὐστηρῷ προσδιαλέγεται ῥήματι, δι' ὄγ-
κον ὑπερηφανίας τὸ συγγενὲς ἀρνουμένη τῆς φύσεως. καὶ ἀναγινώσκετε τὰς γραφάς· οὐκ

Ψαλ. ρκβ. β.

οἴδατε τί φησιν ὁ ἅγιος Δαβίδ; Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν,

ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύ-
ριον τὸν Θεὸν ἡμῶν. δυσωποῦ τὴν εἰκόνα, εὐλαβήθητι τὰ γεγραμμένα, ἐπίχυρος τῆς
"ἀληθινοῦς γῆς κατάστηθι. ὁ σωτὴρ, υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς, ἄνθρωπος ὑπὲρ ἀνθρώπων — λιθίνης
ηὐδόκησε γενέσθαι· σὺ ἄνθρωπος ὢν παρὰ τὸν ὁμότιμον ὡς οὐκ ἰσότιμον, παρὰ τὴν δὲ
5 συμπαθὲς περὶ τὴν συγγενῆ φύσιν; καὶ ὅτι μὲν ἄλογον ζῶον χωλεύει, ἐπιμελῇ διὰ τὴν χρεί-
αν· ὅτι δὲ τὸ λογικὸν, τουτέστιν, ὁ σὸς οἰκέτης ἀσθενεῖ, ἀπορρίπτεις καὶ οὐ προνοεῖς. παρορᾷς ὅτι
λογικόν ἐστι τὸ ὑπηρετοῦν; διὰ τοῦτο ζηλοτυπούμενον. πολὺ καλὸν ἄνθρωπος παρὰ Θεῷ·
ἀλλὰ τίμιον ἀνὴρ ἐλεήμων. ἡμεῖς δὲ οὐ προσέχομεν τοῖς γεγραμμένοις, ἀλλὰ τὸ μὲν ἔξωθεν — Παροιμ. κ. ϛ.
τρέφομεν ἔσθ' ὅτε τὴν παρὰ ἀνθρώπων δόξαν θηρώμενοι, τοὺς δὲ ἔνδον ἐῶμεν λιμῷ φθείρεσθαι,
10 καὶ τῷ χρυσῷ πήγνυσθαι, τὰς παρὰ τοῦ Θεοῦ ἀνταποδόσεις οὐκ ἐννοοῦντες. ἀλλ' οὐ τοιοῦτος
ἦν ὁ ἑκατόνταρχος, ὁ πανταχοῦ νήφων, ὁ ὄντως κεκτημένος τὸ κτῆμά τε καὶ ἑαυτὸν φυλάτ-
των, ὡς Θεοῦ κτῆμα, ὁ φρονήσεως γέμων καὶ θείᾳ σωφροσύνῃ καταυγαζόμενος. διὸ καὶ τοὺς
πρεσβυτέρους πρότερον πρὸς τὸν Ἰησοῦν ἀποστέλλει· οἱ μὲν οὖν πολλῇ προθυμίᾳ πρεσβεύ-
ουσι, ἱκανὰ προσβάλλουσι δυσωπήματα, καί φασιν· Ἄξιος ᾧ δίδως τὴν χάριν· εὐγνώμων
15 ὁ λαμβάνων τὴν δωρεὰν, ἄξιος τῆς σῆς παρουσίας. ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συνα-
γωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. ἀληθῶς ἱκανὰ θεοσεβείας γνωρίσματα, ἱκανὰ συνειδήσε-
ως ἀγαθῆς τεκμήρια. ποῖα ταῦτα; ἡ πρὸς τὸν Θεὸν ἀγάπη, καὶ ἡ πρὸς τὸν ἄνθρωπον
γνησία διάθεσις. ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν· δηλονότι τὸν νόμον. Πλήρωμα γὰρ νόμου ἡ — Ρω. ιγ. ι.
ἀγάπη. καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησε, τὴν πρὸς τὸν Θεὸν εὔνοιαν ἐνδεικνύμενος.
20 Θεῷ γὰρ οἶκον κατασκευάζων, οἱονεὶ περίβλεπτον στήλην τῆς πρὸς αὐτὸν ἀγάπης τὸν ναὸν
τοῦτον ἀνίστα. βλέπε πῶς αἱ καλαὶ πράξεις ἐν καιρῷ τῆς ἀνάγκης μνημονευόμεναι πολ-
λὴν παρέχουσι τοῖς πρεσβευομένοις τὴν παρρησίαν. πολλαχοῦ γὰρ αἱ καλαὶ πράξεις ἱκα-
νὸν ἐδείχθη τὸ δυσώπημα. οἱ μὲν οὖν οὕτως ἐπρέσβευον· ὁ δὲ Ἰησοῦς τὴν παράκλησιν ἐδέξα-
το τῶν πρεσβυτέρων, οὐκ αὐτοὺς αἰδούμενος, ἀλλὰ τὴν τοῦ ἑκατοντάρχου πίστιν ἀποδεξά-
25 μενος. ἀναστὰς οὖν ἐπορεύετο σὺν αὐτοῖς, τάχα που καὶ σχολαίτερον ἐβάδιζε, καὶ τὸν βαθμὸν
εὐποιείαν, — ἤρεμον ἐποιεῖτο, οὐ βραδύνων πρὸς "εὐποιΐαν, ἀλλὰ καιρὸν ἐνδιδούς, ἵνα τὴν ἔνδον λανθά-
νουσαν τοῦ ἑκατοντάρχου δημοσιεύσῃ διάθεσιν, ἵνα πομπεύσῃ τὴν ἀπαράβατον πίστιν πρὸς
ἔλεγχον τῶν ἀπιστούντων, ἵνα τὴν ἀκραιφνῆ καὶ καθαρὰν καὶ ἀκίβδηλον θεατρίσῃ γνώμην.
Ἤδη γὰρ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος — Λουκ. ζ. ϛ.
30 τοὺς δούλους αὐτοῦ λέγων, Κύριε, μὴ σκύλλου· οὐ γάρ εἰμι ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην
εἰσέλθῃς. κατὰ τὴν πρώτην αὐτοῦ τῆς ψυχῆς ὁρμὴν ἀποστέλλει τοὺς πρεσβυτέρους· ἀλ-
λὰ καὶ τοῦτο ποιήσας, καὶ ἐφ' ἑαυτῷ μένων, οὐκ ἠρέμει. ἐν τοσούτῳ γὰρ λογισάμενος ὅσον ἐστὶ
τὸ διάφορον τοῦ ἀξιώματος, ἀποστέλλει δούλους, παρακαλῶν αὐτὸν καὶ λέγων, μὴ σκύλλου·
κἀγὼ οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὢ τῆς συνέσεως καὶ νήψεως τοῦ
35 ἑκατοντάρχου. οὐκ ἔλαθεν αὐτὸν ὁ Θεὸς ἐν ἀνθρώπῳ κρυπτόμενος· οὐκ ἔλαθεν αὐτὸν ὁ μο-
νογενὴς λόγος τῇ τοῦ σώματος περιβολῇ καλυπτόμενος. ὁρᾷ τὸν ναὸν, καὶ νοεῖ τὸν οἰκήτορα. οὐκ ἔλα-
θεν αὐτὸν ὁ δεσπότης ἐν δούλου ἀξίᾳ, ὁ βασιλεὺς ἐν αἰχμαλώτου ὄψει, ὁ βραχὺς ἐν ἀπε-
ριορίστῳ μεγέθει. αὐτίκα γοῦν θαυμάζει Ἰησοῦς, καὶ μαρτυρεῖ αὐτῷ τὴν ἄκραν πίστιν αὐτοῦ. τὴν
γὰρ ἀστείαν τῆς ψυχῆς αὐτοῦ ὁρμὴν, καθ' ἣν ἔλεγε τῷ σωτῆρι, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου
40 ὑπὸ τὴν στέγην εἰσέλθῃς. *** οἷος ἦν καὶ Πέτρος, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων καταπλα-
γεὶς, καὶ ἔννοιαν λαβὼν τοῦ μεγέθους τῆς δυνάμεως, εἶτα παρακαλῶν αὐτὸν καὶ λέγων· Ἔξελ- — Λουκ. ε. η.
θε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι ἐγὼ, Κύριε. ἀλλ' ἴσως μὲν τὰ περὶ Πέτρου οὐκ ᾔδει,
τὰ δὲ ἐν τῷ Λευϊτικῷ ἐγνώκει. Λέπρα, φησὶν, ἐπικειμένη ἀκάθαρτον ποιεῖ τὸν ὑποπε- — Λευΐτ. ιγ. β.
σόντα τῇ νόσῳ. τῇ δὲ λέπρᾳ παρεοίκασιν ἀλφοὶ καὶ λεῦκαι καὶ λειχῆνες· δυσδιάκριτα δὲ τοι-

αῦτα

αὐτὰ τὰ πάθη τοῖς πολλοῖς, καὶ μάλιστα ἐν ἀρχῇ τῆς νόσου. ὅθεν ὁ νόμος τὸν ἱερέα βούλεται τῶν τοιούτων ἐπιγνώμονα καθίστασθαι. ἀλλὰ τοίνυν ὁ νόμος τὸν ἱερέα εἰς τὸν τοῦ κρινομένου οἶκον· κἀκεῖ κρίνας ὡς λέπρας, πάντα τὰ ἐν τῷ οἴκῳ μεμολυσμένα ἀποφαίνει. ὅθεν καὶ πολλοὶ προμετασκευάζουσι, καὶ τότε τὸν ἱερέα καλοῦσι. ταύτην ἐκ τούτου ἔννοιαν ὁ μακάριος ἑκατόνταρχος λαβών, παραιτεῖται τὴν ἄφιξιν τοῦ σωτῆρος. οὐκ εἰμί, φησιν, ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. πολλοὶ ὑπὸ τὴν στέγην ἐκείνην. * * *

οἶδα ἐμαυτοῦ τὰ ἁμαρτήματα· παραιτοῦμαι τοίνυν τὴν ὡς κριτοῦ παρουσίαν, πρὶν ἀποκαθάρωμαι. οἶδά σε τῶν ἱερέων ἁπάντων ἡγεμόνα, καὶ τοῦ πατρὸς ἀρχιερέα· οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. οὐρανός σοι θρόνος, καὶ ἡ γῆ ὑποπόδιον· ποῖος οἶκος χωρήσει τὸν ἀχώρητον; οὐκ ἔχω στέγην οὐράνιον, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· οὐκ ἔχω βασιλικὰς αὐλάς, ἵνα τὸν βασιλέα τῶν οὐρανῶν ὑποδέξωμαι. [Ψαλ. ργ. γ. Ησ. μ. ιϛ.] πῶς ὑπερῷον δέξωμαι τὸν στεγάζοντα ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ; πῶς δὲ τὸ πτωχικόν μου καταγώγιον ὁμόσκηνον δέξεται τὸν σπιθαμῇ τὸν οὐρανὸν μετρήσαντα; ποία στέγη χωρήσει τὸν σύμπαντα τὸν οὐρανὸν καὶ τὴν γῆν χωροῦντα ὁμοῦ; οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς. ὡς μὲν εὐεργέτου τὴν εἴσοδον ἁρπάζω, ὡς δὲ κριτοῦ τὴν παρρησίαν εὐλαβοῦμαι. ἐπίσκοπος εἶ ψυχῶν, ἐξεταστὴς νεφρῶν, ἐρευνητὴς καρδίας καὶ κριτὴς ἁμαρτιῶν· οὐκ εἰμὶ ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην εἰσέλθῃς. δέδοικα ἐμαυτόν· εἰπὲ οὖν λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου. ὅρα οὐ δοκεῖ σοι· εἰπὲ λόγῳ μόνον, σαφῶς εἰδέναι, ὅτι λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, [Ψαλ. λβ. ϛ.] καὶ πᾶσα ἡ δύναμις αὐτῶν, καὶ ὅτι πάντα λόγῳ γινόμενα καὶ συνέχεται καὶ διοικεῖται. ἀπὸ γὰρ θείας ἐννοίας φωτισθεὶς ὁ ἀνὴρ ἄνθρωπον τὸν Ἰησοῦν σώματι ἑώρα, τοῦτον υἱὸν Θεοῦ γνωρίζων. εἰπέ, φησι, λόγῳ μόνον. οἶδα τί προσηγόρευσεν ὁ σοφὸς Σολομὼν περὶ σοῦ· [Σοφ. ιϛ. ιβ.] Οὔτε βοτάνη, οὔτε μάλαγμα ἐθεράπευσε τὸν λαόν σου, ἀλλ' ὁ λόγος ὁ σός, Κύριε, ὁ πάντα ἰώμενος. εἰπὲ λόγῳ μόνον. οἶδα τίνος λόγος χρηματίζεις, καὶ ὅσην κεκληρωμένος τὴν δύναμιν τυγχάνεις, καὶ ὅτι λόγῳ τὰ πάντα ποιῶν διετέλεσας. οὐκ ὤδινεν ὁ πατὴρ ἐπὶ τοῖς γεννῶν σε, οὐκ ὠδίνεις ποιῶν, οὐκ ὠδίνεις δημιουργῶν· εἰπὲ λόγῳ μόνον. ὁ γὰρ λόγος σου πρὸς πάντα ἀνυσιμώτατος τυγχάνει, οὐ τὸν ἀέρα πλήττων, ἀλλὰ τὴν σὴν θέλησιν δηλῶν. εἰπὲ οὖν λόγῳ μόνον· δὸς δὲ σύνθημα εἰς πληροφορίαν τῶν ἀκουόντων. βλέπε σύνεσιν· τὴν μὲν ἄφιξιν ὑποδέξασθαι παρακαλεῖ, τὴν δὲ γνῶσιν οὐ περιγράφει. τὴν μὲν γὰρ γνῶσιν αὐτοῦ μαρτυρεῖ, τὴν δὲ ὑπόστασιν εἰς οὐδὲν παραιτεῖται. ταύτην δὲ τὴν οὕτω σοφὴν ἔννοιαν διαδέχεται ἄλλη τις μείζων. οὕτω γὰρ ἀπὸ δυνάμεως εἰς δύναμιν ὁ ἀνὴρ προβαίνει, καὶ πηγάζει παρ' αὐτοῦ ἀξιολόγων νοημάτων πλοῦτος, νεάζων ἐν ταῖς τῶν θεωρημάτων ἐπιδόσεσιν.

[Λουκ. ζ. η.] Εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, πορεύου, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ, ποίησον τοῦτο, καὶ ποιεῖ. οἶδα, φησιν, ὅτι τῶν πάντων τὴν ἐξουσίαν περιεζωσμένος, ὡς εἷς τῶν πάντων πρὸς ἡμᾶς ἐπεδήμησας. ἦλθες πρὸς ἡμᾶς ὡς ἡμεῖς, πάντων ἔχων τὴν ἐξουσίαν, ὡς λέγει ὁ ἅγιος Δαβίδ· [Ψαλ. ριη. ϟα.] Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά. καθεύδεις, καὶ ἡ θάλασσα διανίσταται· ἀνίστασαι, καὶ γαληνιᾷ τὰ κύματα. τεθνεῶτας καλεῖς, καὶ ὁ τεθνεὼς τοῦ ζῶντος ὀξύτερον ὑπακούει. εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος. ἐνταῦθα τὴν τῆς ψυχῆς αὐτεξούσιον ὁρμὴν μὴ κωλύειν τοῦ ἐπὶ τὰ κρείττονα προβαίνειν δηλοῖ. ἔχω, φησίν, ὑπ' ἐμαυτὸν στρατιώτας. στρατιώτας οὖν ἐν τῷ ἀνθρώπῳ ποικίλους καὶ διαφόρους ἐμφωλεύοντας λογισμοὺς καλεῖ. οἶδε γὰρ ὁ μακάριος Παῦλος τούτους στρατιώτας ὀνομάζειν. [Ρωμ. ζ. κβ.] Συνήδομαι, φησι, τῷ νόμῳ κατὰ τὸν ἔσω ἄνθρωπον· ὁρῶ δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας.

Εἰκότως

Εἰκότως οὖν ἔλεγεν, ἔχω ὑπ' ἐμαυτὸν στρατιώτας, οὐ κατ' ἐμαυτοῦ ἔχω· καὶ λέγω τούτῳ, πορεύου, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· οὐκ ἄρχομαι, ἀλλ' ἄρχω τῶν λογισμῶν. τάχα που ὁ ἑκατόνταρχος καὶ διὰ τοῦτο κέκληται ἑκατόνταρχος, ὡς ἄρχων καὶ αὐτοκράτωρ τῶν παθῶν, τοσαύτην ἐν τοῖς ἀλόγοις πάθεσιν ἡμῖν καρτερίαν ἐπιδεικνύμενος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟ, ΕΞΗΛΘΕΝ Ο ΣΠΕΙΡΩΝ ΤΟΥ ΣΠΕΙραι τὸν σπόρον αὐτοῦ.

Λογ. ιζ. Λουκ. η. ε.

Ἡ Παρθένος ἄρουρα ὑπὸ ἐμπείρων γεωργῶν τῇ τῶν βοῶν συνεργίᾳ τοῖς ἀρότροις αὐλακισθεῖσα δέχεται τὰ σπέρματα, καὶ ταῖς βώλοις περιπλέξασα, πρῶτον βλαστάνει τὴν πόαν, εἶτα μηκύνει τὸν στάχυν, εἶτα πλήρη ἐν τῷ στάχυϊ τοῦ σίτου τὸν κόκκον προβάλλεται. τότε οἱ γεωργοὶ λαμπρὸν ὁρῶντες τῶν ἀσταχύων τὸ λήϊον, τῶν οἰκείων πόνων τὰς ἐλπίδας σεμνύνουσι, τὸν Θεὸν δὲ ἱκετεύειν εἰλικρινῶς σπουδάζουσιν, ἵνα τῶν φαινομένων ἀγαθῶν τοὺς καρποὺς ἀβλαβεῖς διασώσῃ. πολλάκις γὰρ ἐγγιζούσης τῆς τοῦ θέρους ἀκμῆς, καὶ ἐκλύπτου τῆς ἐλπίδος τυγχανούσης, καὶ περιχαροῦς ὄντος τοῦ γεωργοῦ, ἢ νότος θερμὸς ἐπιπνεύσας τὸν ἄσταχυν ἐλίγνωσεν, ἢ ἐρυσίβη κατέσηψεν, ἢ βροῦχος κατέφαγεν, ἢ χάλαζα κατέξανε, καὶ ἄωρον τῆς ἐλπίδος τὸ τέλος ἐμάρανεν· ὡς τὸν γεωργὸν ὑπὸ πολλῆς ἀθυμίας πιεσθέντα, τὴν δρεπάνην τῇ σκηνῇ ἐγχειρίσαντα τῷ ἀώρῳ τέλει τοῦ θέρους ἑαυτὸν συμμαραίνειν τῇ λύπῃ. ὁπόταν δὲ ἡ τῶν ἀέρων εὐκρασία λαμπρὸν καὶ πέπειρον τὸν στάχυν ἀπεργάσηται, καὶ οἱ ἐν εἰκόνι χρυσίτου τὸ λήϊον λευκανίζον κεκύρτωται τὸν τοῦ θέρους τομέα ἀπεκδεχόμενοι, τότε ἀγροῖκοι καὶ παλάμαι σὺν δρεπάνοις ὀξέσιν ἁπλωθεῖσαι ποίοις πόνοις προσαίρουσι, καὶ τὸν πόθον προσχειμάζουσιν αὐτοὶ τῷ τέλει τὰς ἐλπίδας χορτάζοντες. τότε τῶν ἄλλων ζώων οἴκαδε ἡσυχαζόντων, μόνος ὁ βοῦς ἱλαρῷ τῷ βήματι, βλοσυρῷ τῷ βλέμματι ἐπὶ τὴν ἅλω πρόεισι. καὶ τὰ μὲν ἄλλα ζῶα, αἶγες καὶ χοῖροι καὶ πρόβατα, ὅσα τὸν ἑαυτῶν αὐχένα τῷ ζυγῷ τοῦ ἀρότρου οὐχ ὑπέταξαν, οἰκείᾳ συνειδήσει ἀγχόμενα, δειλικῶς προσόδοις τῇ ἅλῳ προσστηρίζοντα, τῶν ἀσταχύων τὸ δράγμα λῃστεύουσι· μόνος δὲ ὁ βοῦς ἐλευθέραν τὴν γλῶσσαν ἁπλώσας, τῶν οἰκείων πόνων τοὺς καρποὺς θαρσαλέως ἀρύεται. εἶδες ἐκεῖ τοὺς δρεπανιστάς, εἶδες ἐκεῖ τὴν σταχυοφόρον ἄρουραν, τὴν ἅλω, τὸν βοῦν· μετάβα μοι ἐντεῦθεν τῷ λόγῳ ἐπὶ τὴν ἐκκλησιαστικὴν εὐταξίαν, καὶ ὄψει τὴν προειρημένην τὴν γεωργίαν ἐν τῷ μυστηρίῳ τῆς ἐκκλησίας. Ἐξῆλθε, φησιν, ὁ σπείρων τοῦ σπεῖραι. τοῦτο γὰρ ἀρτίως ἠκούσαμεν ἐν τῷ εὐαγγελίῳ. ἐξῆλθε τίς; Χριστός, ἀπ' οὐρανοῦ εἰς τὸν κόσμον παραγενόμενος. σπορεὺς γὰρ ὁ Χριστός, σπέρμα ὁ θεῖος λόγος, ἄρουρα ἡ ἀνθρωπότης, βόες οἱ ἀπόστολοι, ἄροτρον ὁ σταυρός, ζυγὸς ἡ ὁμόνοια, ζεύγλη ἡ περισφίγγουσα τοὺς τῶν ἀποστόλων αὐχένας γλυκεῖα ἀγάπη. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· ἐξῆλθεν ὁ Χριστός, οὐχ ἵνα θερίσῃ, ἀλλ' ἵνα σπείρῃ. οὔπω γὰρ ἦν τὰ τῆς ἀναστάσεως σπέρματα ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις κατεσπαρμένα. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, οὐ σῖτον, οὐ κριθάς, οὐ κέγχρον, οὐδ' ἄλλο τι τῶν γηΐνων, ἀλλὰ πίστιν εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ἐλπίδα ἀναστάσεως, ἀγάπην εἰς Θεὸν καὶ ἀνθρώπους ἀνυπόκριτον καὶ ἀδιάκριτον. ἐξῆλθε σπείρων Χριστὸς ἐκ πατρικῶν λαγόνων, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός, καὶ ἧκε πρὸς ἡμᾶς, καθὼς αὐτὸς φάσκων λέγει· Ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον καὶ ἥκω. ἀλλ' ἐξῆλθεν ἐκ τοῦ πατρὸς αὐτοῦ μὲν μὴ χωριζόμενος, μεθ' ἡμῶν δὲ τυγχάνων. ἐξῆλθεν ὁ σπείρων, ἵνα τὰ ὑπὸ τοῦ διαβόλου ἐπισπαρέν-

Ex Ms. Cafarco. emend. ex Ms. Augustano.

Λουκ. η. ε.

Ἰω. ιϛ. κη.

Ματθ. ιε ιγ. τὰ κακῶς ἐν τῇ τῶν ἀνθρώπων ψυχαῖς ζιζάνια ἐκριζώσῃ· Πᾶσα γὰρ φυτεία, φησὶν, ἣν
οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. ἐξῆλθεν ὁ ἥλιος τῆς δικαιοσύνης, ἵνα
τὰς φωτοβόλους αὐτοῦ ἀκτῖνας τῆς θεότητος ἐν ταῖς τῶν ἐσκοτισμένων ἀνθρώπων καρδίαις
ἐῤῥαίνῃ. ἐξῆλθεν ὁ ποιμὴν τῶν προβάτων, ἵνα τὰς ἄλλας τῆς εὐσεβείας σπείρας, νόσιμον τὸν
χόρτον τοῦ νομικοῦ γράμματος τοῖς προβάτοις ἀρτύσῃ. ἐξῆλθεν ὁ σπείρων, ἔχων τὰ δέκα 5
ζεύγη τῶν βοῶν, ἵνα ποιήσῃ τὸ κεράμιον τὸ ἕν· καὶ σπείρας ἀρτάβας ἓξ, ποιήσῃ μέτρα τρία.

Ησ. ε ι. παράλειν νῦν, Ησαΐα, μὴ σιώπα. Οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν. δέκα
ζεύγη βοῶν, εἴκοσι βόες εἰσί. δέκα ζεύγη βοῶν λογικὰ, τοῦ Χριστοῦ οἱ ἀπόστολοι τυγ-

Πραξ. ϛ. ε. Ρωμ. ιϛ. ιθ. χάνουσιν οἱ δώδεκα, καὶ ἑπτὰ οὓς ἐξελέξαντο οἱ ἀπόστολοι· τίνας τούτους; Στέφανον, Φί-
λιππον, Πρόχορον, Νικάνορα, Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Αντιο- 10
χέα· καὶ τὸν ἀπὸ Ιερουσαλὴμ μέχρι τοῦ Ιλλυρικοῦ γεωργήσαντα [τὸν ἀπόστολον]. ταῦτα τὰ
δέκα ζεύγη τῶν βοῶν εἰς τὴν τῆς ἀνθρωπότητος ἄρουραν ἐποίησε τὴν εἰς τὸν Ιησοῦν ὁμολογί-
αν, τὸ δὲ ἡμέτερον ὀστράκινον τοῦ σώματος σκεῦος ἐνδυσάμενον. ὅτι δὲ κεράμιον λέγει τὴν ἔν-
σαρκον τοῦ Χριστοῦ ἐπιδημίαν ὁ θεῖος λόγος, ἄκουε. ὅτε ἔμελλεν ἀπέρχεσθαι ἐπὶ τὸ παθεῖν,

Μαρκ. ιδ. ιϛ. λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ποῦ θέλεις ποιῶμεν τὸ πάσχα; ὁ δὲ πρὸς αὐτούς, Απέλθε- 15
τε εἰς τήνδε τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων, [καὶ] εἴ-

Ματθ. κϛ. ιη. πατε αὐτῷ, ὁ διδάσκαλος ἡμῶν εἶπε, πρὸς σὲ ποιῶ τὸ πάσχα. καὶ δείξει ὑμῖν ἀνώγεον ἐστρω-
μένον, καὶ ἐκεῖ ἡμῖν ἑτοιμάσατε τὸ πάσχα. τίς δέ ἐστιν ὁ ἄνθρωπος ὁ φέρων τὸ κεράμιον τοῦ ὕ-
δατος, ἢ τίς ἡ πόλις εἰς ἣν αὐτοὺς πέμπει, ἢ τί τὸ ἀνώγεον τὸ ἐστρωμένον, ἀναγκαῖον ζητήσαν-
τας ὑμᾶς καταμαθεῖν. ὁ ἄνθρωπος ὁ βαστάζων τὸ κεράμιον τοῦ ὕδατος, Ιωάννης ἐστὶν 20
ὁ πρόδρομος τοῦ Χριστοῦ, καταγγέλλων τὸν Ιησοῦν τὸν τὸ ἡμέτερον κεράμιον τοῦ σώματος ἐνδυ-
σάμενον, ἔχοντα ἐν ἑαυτῷ τὸ τοῦ βαπτίσματος ὕδωρ. ἀνώγεον δὲ ἐστρωμένον, τὴν εἰς οὐρανοὺς
μετὰ τὴν ἀνάστασιν τοῖς ἁγίοις ἀνάπαυσιν ἐσομένην λέγει. ἀπέλθετε εἰς τήνδε τὴν πό-
λιν· μὴ εἰς τὴν παλαιὰν συναγωγὴν τῶν Ιουδαίων, ὅπου ὁ παλαιὸς νόμος ἐν τοῖς πα-

Ματθ. κζ. λδ. λαιοῖς ἀσκοῖς ὤξισεν (ὄξος γὰρ σὺν χολῇ μίξαντες προσήνεγκαν τῷ Κυρίῳ) ἀλλ' ἀπέλ- 25
θετε εἰς τὴν καινὴν πόλιν, εἰς τὴν νέαν Ιερουσαλὴμ, ὅπου ὁ νέος λόγος, ὅπου ἡ καινὴ τοῦ
πνεύματος χάρις ἐν τοῖς καινοῖς ἀσκοῖς τὸ τῆς πίστεως γλεῦκος πηγάζει. οὐχ ὅπου τὸ πα-
λαιὸν πάσχα, ἀλλ' ὅπου ἡ καινὴ ἀνάστασις· οὐχ ὅπου ὁ ἀμνὸς θύεται, ἀλλ' ὅπου ὁ Χριστὸς ῥύε-
ται· οὐχ ὅπου ἡ παλαιὰ ζύμη, ἀλλ' ὅπου ὁ οὐράνιος ἄρτος ἐπὶ σταυροῦ τελειοῦται. οὗ γὰρ

α. Κορ. θ. θ. ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· (ὅπου ἐργάζονται) δέκα ζεύγη βοῶν, τῶν 30
ἀποστόλων· βόες γὰρ ὠνομάσθησαν οἱ ἀπόστολοι, ὡς Παῦλος ἐμοὶ μαρτυρεῖ λέγων· Γέ-
γραπται, φησὶν, ἐν τῷ νόμῳ, οὐ φιμώσεις βοῦν ἀλοῶντα. μὴ γὰρ, φησὶ, τῶν βοῶν μέλει
τῷ Θεῷ; ἀλλὰ δι' ἡμᾶς λέγει. ὅπου οὖν ἐργάζονται) ταῦτα τὰ δέκα ζεύγη τῶν βοῶν, ποι-
οῦσι τὴν εἰς τὸν Ιησοῦν ὁμολογίαν, τὸ κεράμιον τοῦ σώματος ἡμῶν ἐνδυσάμενον. καὶ ὁ σπεί-
ρων ἀρτάβας ἓξ, ποιήσει [μόνον] μέτρα τρία. ἆρα τοσαύτη ἀφορία γεωργῶν γέγονέ πώ- 35
ποτε, ὥστε σπαρῆναι ἀρτάβας ἓξ, ποιῆσαι μόνον μέτρα τρία; ἀλλὰ ζητήσωμεν τὸν νοῦν τῆς
γραφῆς, ἀγαπητοί, εἰσέλθωμεν εἰς τὸ ἐνδότερον καταπέτασμα τοῦ γράμματος, καὶ ἀ-
παντήσει ἡμῖν ἡ θεία τοῦ πνεύματος γνῶσις. ὁ σπείρων ἀρτάβας ἓξ, ποιήσει μέτρα τρία.
ἓξ ἀρτάβαι εἰσὶν ἡ καινὴ διαθήκη· τουτέστιν, τὰ τέσσαρα εὐαγγέλια, καὶ πράξεις, καὶ
ἀπόστολοι. ταύτας τὰς ἓξ ἀρτάβας ὁ σπείρας ἔν τινι ψυχῇ, ποιεῖ τὰ τρία μέτρα, τὴν εἰς 40
πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμολογίαν. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι, οὐ σῖτον ἀρτοποι-
ῶν, ἀλλὰ πίστιν ζωοποιῶν· οὐκ εἰς τὰς τῶν ἀλόγων τροφὰς, ἀλλὰ τροφὰς εἰς τὰς
τῶν ἀνθρώπων ψυχάς· οὐ κέγχρον ὀρνεοτρόφον, ἀλλὰ θεῖον λόγον, διάπυρον, κόκκῳ σινάπε-
ως παρεικαζόμενον, σφοδρῶς πρὸς εὐσέβειαν καὶ φρόνησιν τὰς ψυχὰς ἡμῶν ἐκθερμαίνον-
τα.

ισ. ἀρ... ἴσημ... πιέσ...

ισ. ὑ... κ. ἀπ... κ. δι' ἡ... λέγ...

γρ. χέλ... * ἀπ...

τα. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ κατεπατήθη, καὶ ἐλθόντα τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτά· ἄλλα ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ συνέπνιξαν αἱ ἄκανθαι τὴν βλάστην· ἄλλα ἔπεσεν ἐπὶ τὰ πετρώδη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, φυὲν εὐθέως ἐξηράνθη. τὰ παρὰ τὴν ὁδὸν εἰσὶν Ἀρειανοὶ, τὰ ἀκανθώδη εἰσὶν Εὐνομιανοὶ, τὰ

5 ἐπὶ τὰ πετρώδη εἰσὶ Μαραθώνιοι. καὶ κατάμαθε ἀκριβῶς, ἀγαπητέ. ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν. οὐκ εἶπεν, ἐν τῇ ὁδῷ, ἀλλὰ παρὰ τὴν ὁδόν. τίς ἐστιν ἡ ὁδὸς, ἢ πάντως ὁ Χριστὸς, ὁ λέγων, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια; τὰ μὲν οὖν παρὰ τὴν ὁδὸν εἰσὶν οἱ Ἀρειανοὶ, οὐκ εἰσὶν ἐν τῇ ὁδῷ. οὐ γάρ εἰσιν ὀρθόδοξοι· οὐδὲ πάλιν πόῤῥω τῆς ὁδοῦ, ὡς Ἕλληνες ἢ Ἰουδαῖοι, ἀλλὰ παρὰ τὴν ὁδόν· τουτέστι,

10 παρὰ τὸν Χριστὸν, παρὰ τὴν πίστιν τὴν ὀρθήν. τὸ ὁμολογεῖν αὐτοὺς Χριστὸν, τοῦτ' ἔστι τὸ ποιοῦν αὐτοὺς ἐγγὺς εἶναι τῆς ὁδοῦ· τὸ ἀρνεῖσθαι αὐτοὺς Χριστὸν εἶναι υἱὸν Θεοῦ, τοῦτό ἐστι τὸ κωλύον αὐτοὺς μὴ εἶναι ἐν τῇ ὁδῷ. διὰ τοῦτο κατελθόντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τουτέστι, τὰ πνευματικὰ τῆς πονηρίας συνάγουσι τὸν θεῖον λόγον ἐκ τῆς καρδίας αὐτῶν, καὶ παντελῶς κενοὺς πίστεως ὀρθῆς αὐτοὺς ἀποτελοῦσι. τὰ δὲ ἀκανθώδη εἰσὶν Εὐνομιανοί. ἔχουσι

15 γὰρ ἐν ἑαυτοῖς τὰς τῶν βλασφημιῶν ἀκάνθας· καὶ βλαστάνουσι μὲν τὴν πόαν τῆς πίστεως, οὐ μὴν τελεσφοροῦσι τὸν ἀστάχυν τῆς ὁμολογίας. τὸ ὁμολογεῖν αὐτοὺς Χριστὸν, τοῦτο ποιεῖ αὐτοὺς βλαστάνειν τὴν πόαν τῆς πίστεως· τὸ δὲ πάλιν λέγειν αὐτοὺς κτίσμα καὶ ποίημα, τοῦτό ἐστι τὸ ποιοῦν αὐτοὺς ἄωρον μαραίνεσθαι τὸν τῆς πίστεως στάχυν. τοῖς γὰρ ἑλληνικοῖς δόγμασι τῆς κτισματολατρείας νυττόμενοι καὶ συμπνιγόμενοι τὸν τῆς ἀληθείας λόγον, ἄκαρπον

20 αὐτὸν καὶ ἄγονον παντελῶς πίστεως ὀρθῆς ἀποτελοῦσιν. οἱ δὲ ἐπὶ τὰ πετρώδη, οὗτοί εἰσι Μαραθωνιανοί. οὐκ εἶπεν ἡ γραφὴ, ὅτι τὰ μὲν ἔπεσον ἐπὶ τὴν πέτραν (ἡ γὰρ πέτρα ἦν ὁ Χριστὸς) ἀλλ' ἐπὶ τὰ πετρώδη. οὔτε γῆ εἰσιν ἀγαθή· οὐ γάρ εἰσιν ὀρθόδοξοι· οὔτε πέτρα εἰσὶν, ἵνα ὑπὸ διδασκάλων λατομηθέντες τὸν ναὸν τοῦ Θεοῦ οἰκοδομήσωσιν· ἀλλὰ τί; πετρώδεις εἰσίν. ἔστι τις λίθου φύσις, πετρώδης ὀνόματι· οὔτε γῆ ἐστιν, οὔτε λίθος στερέμνιος· ἁπαλὸς μὲν

25 παρὰ τὸν λίθον· σκληρὸς δὲ παρὰ τὴν γῆν. τὸ ὁμολογεῖν αὐτοὺς τὸν υἱὸν τοῦ Θεοῦ κατ' οὐσίαν ὅμοιον τῷ πατρὶ, τοῦτ' ἔστι τὸ ποιοῦν αὐτοὺς ἁπαλωτέρους τυγχάνειν· τὸ ἀρνεῖσθαι αὐτοὺς τὸ πνεῦμα τὸ ἅγιον, τοῦτο αὐτῶν ποιεῖ τὰς καρδίας πεπωρωμένας τυγχάνειν. οὔτε τοίνυν γῆ εἰσιν ἀγαθὴ, ἵνα βλαστήσωσιν εὐθαλῆ, καὶ κατακοσμῶνται πίστεως κόσμον· οὔτε πέτρα στερέμνιος, ἵνα ἄσειστον καὶ ἀσάλευτον τὴν εἰς τὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ὁμο-

30 λογίαν φυλάττωσι. καὶ δέχονται μὲν τὸν λόγον τοῦτον, καὶ βλαστάνουσιν· εὐθέως δὲ αὐτοὶ ξηραίνουσι καὶ ψύχουσι, διὰ τὸ μὴ ἔχειν αὐτοὺς τὰς ῥίζας τῶν λογισμῶν ἐν τῷ βάθει τοῦ πνεύματος. οὗτοι κἂν ὁμολογῶσι τὸν Χριστὸν εἶναι υἱὸν τοῦ Θεοῦ, τὸ πνεῦμα τὸ ἅγιον ἀρνούμενοι, οὐδὲ τὸν υἱὸν ἔχουσι, τοῦ ἀποστόλου μοι μαρτυροῦντος καὶ λέγοντος· Εἴ τις πνεῦμα τοῦ Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. τὰ ἄλλα, φησὶν, ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ ἐδίδου καρπὸν,

35 καὶ τὰ μὲν τριάκοντα ἐποίει, τὰ δὲ ἑξήκοντα, τὰ δὲ ἑκατόν. αὕτη ἐστὶν ἡ γῆ ἡ ἀγαθὴ, ἡ τῶν ὀρθοδόξων καρδία, ἡ ἐκτὸς οὖσα τῶν αἱρετικῶν ἀκανθῶν, ἡ τελείοις διδασκάλοις πονηθεῖσα καὶ οἱονεὶ αὐλακισθεῖσα, καὶ τοὺς τοῦ εὐαγγελίου λόγους σπέρματα ψυχῆς τυγχάνοντας δεξαμένη. ἡ τοιαύτη καρδία πρῶτον βλαστάνει τὴν πόαν τῆς πίστεως, εἶτα μηκύνει τὸν στάχυν τῆς ἐλπίδος, εἶτα ὥριμον καρπὸν τῆς τελείας ἀγάπης ἀποδείκνυσι. τούτων τῶν τριῶν καρ-

40 πῶν τῆς ψυχῆς μέμνηται καὶ ὁ μακάριος Παῦλος λέγων· Πίστις, ἐλπὶς, ἀγάπη. ὁ πιστεύων ποιεῖ τὰ τριάκοντα, ὁ ἐλπίζων ποιεῖ τὰ ἑξήκοντα, ὁ τελειούμενος ἐν ἀγάπῃ, ποιεῖ τὰ ἑκατόν· ὁ λελουμένος ποιεῖ τὰ τριάκοντα· ὁ κατερχόμενος εἰς τὸ ὕδωρ, ποιεῖ τὰ ἑξήκοντα· ὁ τελειούμενος ἐν τῷ μυστηρίῳ ποιεῖ τὰ ἑκατόν. οὕτως ἐξ ἑνὸς σπέρματος τριττοὺς ἀναφέρει καρπόν· Θεὸν δοξάζει, ἐκκλησίαν ὑψοῖ, ἑαυτὸν διασώζει. οὗτος τριάδος ἀγαθῆς κομίζεται

Ἰωαν. ιδ. ϛ.

α. Κορ. ι. δ.

Ρωμ. η. θ.

Μαρκ. δ. η.

α. Κορ. ιγ. ιγ.

"μιαθοις· πνεύματι συνιών, ψυχῇ περιορῶν, σώματι ὑπομένων. οὗτος τελείως εὐλογεῖται· ἐπὶ γῆς δοξάζεται, ἐκ νεκρῶν ἀνίσταται, ἐν οὐρανοῖς ἀναπαύεται. ὁ τοιοῦτος ἐν τρισὶ τάξεσιν ὑπερεχούσαις σημειοῦται· τριάκοντα, ὡς ἐν οὐρανοῖς· ἑξήκοντα, ὡς ἐν ἀγγέλοις· ἑκατόν, ὡς παρὰ Θεῷ. ὁ τοιοῦτος πραΰς ἐστιν, ἡσύχιος, ταπεινόφρων, ἐλεήμων, συμπαθής, δίκαιος, κόσμου ξένος, βίου ἀλλότριος, εἰκόνι μόνῃ φαινόμενος ἐπὶ τῆς γῆς, καρδίᾳ δὲ καὶ πράξεσιν ἐν οὐρανοῖς αὐλιζόμενος. ἄλλοι δέ τινες τῶν αἱρετιζόντων, κατὰ τὴν ἑαυτῶν ἀγνώμονα γνώμην, κλίμακα βλασφημίας τοῖς λόγοις λειτουργοῦσι· τί λέγοντες; ἡ εἰς τὸ πνεῦμα πίστις ποιεῖ τὰ τριάκοντα· ἡ εἰς τὸν υἱὸν ποιεῖ τὰ ἑξήκοντα· ἡ εἰς τὸν πατέρα ποιεῖ τὰ ἑκατόν· ἀγνοοῦντες ὅτι "ὡς βούλονται σμικρῦναι, τὸ πνεῦμα τὸ ἅγιον μεγαλύνουσι. προτάττουσι γὰρ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα, λέγοντες· ὁ εἰς τὸ πνεῦμα πιστεύων, ποιεῖ τὰ τριάκοντα. καὶ πρῶτον προτάττουσι τοῦ πατρὸς τὸ πνεῦμα, εἶτα τὸν υἱόν, εἶτα τὸν "πατέρα. ἡμεῖς δὲ τὰ ἐναντία αὐτοῖς φρονοῦντες, τὸ ἐναντίον λέγομεν. ὁ γὰρ πιστεύων, οὐκ εἰς τὸ πνεῦμα πρῶτον πιστεύει, ἀλλ' εἰς τὸν πατέρα· ὁ πιστεύων εἰς τὸν πατέρα, ποιεῖ τὰ τριάκοντα· ὁ προσλαμβάνων [εἰς] τὸν υἱόν, διπλασιάζει τὸν ἀριθμόν, καὶ ποιεῖ τὰ ἑξήκοντα· ὁ καὶ ἐνδυσάμενος τὸ πνεῦμα τὸ ἅγιον, τὴν ἑκατοντάδα ἐπλήρωσεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ιη

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΚΥΡΙΟΥ ἡμῶν Ἰησοῦ Χριστοῦ, [" περὶ ἐλεημοσύνης.]

Ex Als. Caesareo. Πραξ. α ι.

Μετὰ τὴν ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς τοὺς οὐρανούς, καὶ τῶν μαθητῶν ἀτενιζόντων εἰς τὸν οὐρανόν, ἰδοὺ ὤφθη αὐτοῖς ἄγγελος Κυρίου λέγων· τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; "οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, [αὐτὸς] πάλιν ἐλεύσεται [εἰς τὸν τόπον τοῦτον], ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. "καὶ δεῦρο, ἀγαπητοί, ἀπαγγελῶ ὑμῖν" ὁποία ἐστὶν ἡ παρουσία αὐτοῦ ἡ δευτέρα, ἡ φοβερὰ καὶ φρικτή, ἡ ἐλέγχουσα πᾶσαν πνοήν. φανήσεται "γὰρ πρῶτον τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἐφ' ᾧ ἐσταύρωσαν αὐτὸν Ἰουδαῖοι βασταζόμενον ὑπὸ ἁγίων ἀγγέλων καὶ λάμποντα ὡς ἀστραπήν· καὶ ἔμπροσθεν αὐτοῦ σαλπίζων Μιχαὴλ ὁ ἀρχάγγελος, καὶ ἐξυπνίζων τοὺς κεκοιμημένους ἀπὸ Ἀδὰμ ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ ἀναστήσονται οἱ νεκροί, ὡς ἐξ ὕπνου, ἐκ τῶν μνημείων· ὡς εἶπεν ὁ ἀπόστολος Παῦλος,

α Κορ. ιε. νβ.

ὅτι σαλπίσει, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται ἄφθαρτοι, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι. καὶ "συλλέξουσιν οἱ ἄγγελοι τοὺς ἀνθρώπους ἐκ τῶν τεσσάρων περάτων τῆς οἰκουμένης," ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος. "σταθήσεται δὲ ἡ κοιλὰς ἐκείνη, καὶ ἀποκαλυφθήσεται" τὰ κριτήρια. ποταμὸς πυρός, γέμων τοῦ σκώληκος ἀκοιμήτου, ἄγγελοι πικροὶ καὶ ἀνελεήμονες, καὶ ἑκάστου τὰ ἔργα περιστάντα κύκλῳ, "ἐλέγχοντα τὸν ἄνθρωπον. ἀλλαγήσονται τοίνυν οἱ οὐρανοί, καὶ ἡ γῆ καινὴ γενήσεται, καὶ ἡ δόξα τῶν πάντων ὡς σκιὰ παρέρχεται. ὁ πλοῦτος καὶ τὰ πάντα παρέρχονται, ἐκλείπουσιν ὡσεὶ καπνός, ὁπότε καὶ οἱ ἀστέρες ὡς φύλλα πεσοῦνται ἐκ τοῦ οὐρανοῦ, καὶ οὐδεὶς οὐδενὶ παραστήσεται, ἢ βοηθήσεται παρά τινος· οὐ πατὴρ υἱόν, οὐ μήτηρ θυγατέρα, οὐκ ἀδελφὸς ἀδελφόν, οὐ φίλος φίλον, οὐ δεσπότης δοῦλον, οὐ δοῦλος δεσπότην, οὐ πλοῦτος, οὐκ ἄργυρος, οὐ χρυσός, οὐδὲ ἱματισμὸς πολυτελής, "οὐ χικοίαι χρυσοφόροι, ἀλλὰ "γυμνὰ τὰ ἔργα ἑκάστου, εἴτε καλά, εἴτε κακά· καὶ "ἀνοίγονται οἱ οὐρανοί, καὶ ἰδοὺ ὁ υἱὸς "τοῦ Θεοῦ ἐρχόμενος ἐπὶ νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς, κατέρχεται εἰς Ἱερουσαλὴμ ἐπουράνιος, καὶ Σιὼν ἀκατάλυτος, καὶ "πίπτονται

δώδεκα θρόνοι τῶν δώδεκα ἀποστόλων καὶ μαθητῶν αὐτοῦ· καὶ ἰδοὺ αὐτὸς ὡς ἀστραπὴ φαίνουσα ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν, καὶ ἐκ τοῦ φόβου καὶ τῆς ἀπειλῆς αὐτοῦ οἱ οὐρανοὶ εἱλίσσονται ὡς βιβλίον. * τότε πᾶσα ἡ γῆ κλονηθήσεται, ὄρη καπνισθήσονται, ποταμοὶ πυρὸς ἕτοιμοι τοῦ ὑποδέξασθαι τοὺς ἁμαρτωλούς, σκώληκες κεχηνότες ὡς δράκοντες διψῶντες τὰ τῶν ἁμαρτωλῶν ἀνθρώπων αἵματα, ἀκαταπαύστως πάντες κολάζονται. τὸ σκότος ἐκεῖνο φέγγος οὐκ ἔχει. προσέχετε οὖν, ἀδελφοί, τὴν ἡμέραν ἐκείνην τὴν φοβερὰν καὶ μεγάλην καὶ ἐπιφανῆ. καὶ γὰρ ἄγγελοι οἱ μηδὲν ἡμαρτηκότες τρέμουσι τὴν ἡμέραν ἐκείνην· ποταπὸς οὖν τρόμος λήψεται τοὺς ἁμαρτωλοὺς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῇ φοβερᾷ καὶ φρικτῇ; τότε ἔσται ὁ πικρὸς κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ μή τις νομίσῃ ὡς ἐν ἐκστάσει εἶναι τὴν κρίσιν ἐκείνην. πολλοὺς γὰρ οἶδα λέγοντας, ὅτι ὥσπερ ἐν ὕπνῳ τις ὑπάρχων κολάζεται, οὕτως ἔσται καὶ ἡ κρίσις ἐκείνη. μὴ πλανᾶσθε, ὦ ἄνθρωποι. ὁ γὰρ ἐν ὕπνῳ κολαζόμενος φαντάζεται μόνον, τὸ δὲ σῶμα καὶ ἡ ψυχὴ ἐπὶ τῆς κλίνης ἀναπαύεται· ἐπὶ δὲ τῆς ἡμέρας ἐκείνης οὐκ ἔστιν ἀποχωρισθῆναι τὸ σῶμα τῆς ψυχῆς, ἀλλ' ἅμα παρίσταται τῷ φοβερῷ κριτηρίῳ ἐκείνῳ, ὅπου αἱ βίβλοι τῶν πράξεων ἀνεῳγμέναι εἰσίν, ὁ δικαστὴς ἀπροσωπόληπτος, τὸ κριτήριον ἀπαράλλακτον, καὶ ἀπὸ πολλῆς δόξης πάντας ἐπ' ὀνόματι καλέσει εἰς τὴν δίκην, καὶ πάντες γυμνοὶ παραστησόμεθα. οὐκ ἔστιν ἐκεῖ ῥητορικὴ λέξις νικῶσα τὸ δίκαιον· οὐκ ἔστι γλώσσης πολυλογία, ἀλλ' ἔργων δοκιμή. οὐκ ἔστιν ἐκεῖ δώρων χρεία, οὐδὲ συνηγόρων, ἀλλὰ πάντες τὰ ἴδια φορτία βαστάζουσιν. ἐκεῖ γῆρας οὐ πιστεύεται, πενία οὐ φαίνεται, εὐγένεια σωμάτων οὐ ζητεῖται. ἐκεῖ κάλλος προσώπων οὐ δυσωπεῖ τὸν κριτήν· ἀλλ' ἀξίωμα παρθενίας καὶ τῶν λοιπῶν ἀρετῶν, δυσωπεῖ τὸν κριτὴν τὸν ἐκ παρθένου τεχθέντα. ἐκεῖ μέγας καὶ μικρὸς ἴσα κρίνονται· πολλάκις δὲ καὶ εἰς τὴν δίκην ἐκείνην κατακρίνουσι τὰ τέκνα τοὺς γονεῖς. ἐὰν γὰρ γεννήσῃς τέκνα, καὶ τὴν ἰσότητα ἐν ἀμφοτέροις οὐ φυλάξῃς, ἀλλὰ τὸν ἕνα πλουτίσῃς, τὸν δὲ ἕτερον μισῇς, τότε δώσεις δίκην. τότε καὶ δοῦλος παρὰ δεσπότου ἵσταται ἐν παρρησίᾳ, καὶ δούλη παρὰ δεσποίνης, καὶ μαθητὴς παρὰ διδασκάλου· πάντες γὰρ οὗτοι δικάζονται ἐν τῷ φοβερῷ δικαστηρίῳ, τέκνα μετὰ γονέων, γυναῖκες μετὰ ἀνδρῶν, καὶ ἑκάστου τὰ ἔργα φανερὰ γίνονται. διὰ τοῦτο καὶ ὁ εὐλογημένος Παῦλος ὁ ἀπόστολος ταῦτα εἰδώς, [τὰ πάντα τοῖς] πᾶσι παρήγγειλε λέγων· Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ἐν Κυρίῳ· καὶ οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν. οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις ὑμῶν· καὶ οἱ δεσπόται τὴν ἰσότητα φυλάξατε ἐπὶ τοῖς δούλοις ὑμῶν. οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ὑμῶν, καὶ γυναῖκες φοβεῖσθε τοὺς ἄνδρας ὑμῶν· ἵνα πάντες ἀκατακρίτως παραστησώμεθα τῷ βήματι τῷ φρικτῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ. φρίξωμεν οὖν τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ μέλλει χωρίζειν ὁ ποιμὴν τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. [ἐννόησον τὴν χαρὰν ἐκείνην, καὶ παρρησίαν τὴν ἐπὶ τῶν ἀγγέλων καὶ προφητῶν καὶ ἀποστόλων.] ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· ἀπολάβετε ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια, ἀντὶ τῶν φθαρτῶν τὰ ἄφθαρτα, ἀντὶ τῶν προσκαίρων τὰ αἰώνια. ἱμάτιόν με περιεβάλλετε· ἐγὼ δὲ περιτίθεμαι ὑμῖν δόξαν αἰώνιον. ἄρτον μοι ἐδώκατε· ἐγὼ δὲ τρυφὴν παραδείσου ὑμῖν δωροῦμαι. ἐν ἐκλογαῖς καὶ καρποφορίαις ἡμῖν ἐκαρποφορήσατε· ἐγὼ δὲ ὑμᾶς τῶν ἁγίων συμμετόχους ποιήσω. ψυχροῦ ὕδατός με ἐποτίσατε· ἐγὼ δὲ ὑμᾶς εἰς τὸν παράδεισον εἰσάξω. ἀδελφέ, ὅταν ταῦτα ἀκούσῃς, τί ἀναμένεις, τί οὐκ ἐκδέχῃ δοῦναι τὰ σὰ τοῖς χρῄζουσι καὶ τοῖς μάρτυσι; πλὴν αὐτῷ Θεῷ δίδως, καθὼς εἶπεν αὐτός· Ἐὰν ποιήσητε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων,

Ἐφεσ. ϛ. α.
Κολ. γ. α.
Ματθ. κε. λδ.
Ματθ. κε. μ.

των, ἐμοὶ ἐποιήσατε. ὅσοι δὲ ἐδίωξαν τοὺς πένητας, τὸν Χριστὸν ἐδίωξαν. καὶ διὰ τοῦτο ἵστησι αὐτοὺς ἐξ εὐωνύμων· καὶ καθὼς ἐδίωξαν ἐκεῖνοι τοὺς πένητας, τὸν αὐτὸν τρόπον καὶ ὁ Κύριος αὐτοὺς ἐκδιώξει λέγων· Πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. ἐννόησον τὴν αἰσχύνην ἐκείνην τὴν ἐπὶ τοῦ δεσμοῦ τῶν ἀγγέλων. καὶ ἐνταῦθα μὲν ἐὰν ἐλεγχθῇ τις ἐπὶ ἁμαρτίᾳ ἐπὶ ἑνὸς φίλου, πῶς καταπίπτει τῷ προσώπῳ; πῶς παραιτεῖται προσελθεῖν; πῶς δυσωπεῖται τοὺς φίλους, τοὺς γείτονας, τοὺς συγγενεῖς, διὰ τὴν αἰσχύνην ἐφ᾽ οἷς ἠλέγχθη; ἐννόησον τὴν αἰσχύνην ἐκείνην, ὅπου μυριάδες ἀγγέλων καὶ προφητῶν καὶ τάγματα, χοροὶ ἀποστόλων, μαρτύρων πλῆθος ἀναρίθμητον, κόσμος ἀνιχνίαστος, καὶ ἐρεῖ ὁ δικαστής· ἀπέλθετε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι. ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ οὐ περιεβάλετέ με· ἠσθένησα, καὶ οὐκ ἐπεσκέψασθέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με. τί μοι, φησί, προφασίζεσθε; ἔκοψα ὑμῶν τὴν ἀφορμήν, οὐδεμίαν ἔχετε ἀπολογίαν. ἐὰν εἴπῃς ὅτι ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἔχεις ἂν εἰπεῖν, ὅτι ἄρτον οὐκ ἔχω. ἄρτον οὐκ ἔχεις καὶ ὕδωρ μὴ πόδας οὐκ ἔχεις; ἐπισκέψασθαι τοὺς ἀσθενοῦντας καὶ τοὺς ἐν φυλακῇ ἢ καὶ συστενάξαι τῷ θλιβομένῳ οὐκ ἠδύνω; οὐδὲν παρέχεις τῷ πένητι κἂν μὴ καταπλήττῃς αὐτὸν τῇ γλώσσῃ σου, εἶτα κἀκείνῳ μὴ δώσεις καιρὸν στενάξαι κατὰ σοῦ. καὶ γὰρ τοὺς στεναγμοὺς αὐτοῦ ταχὺ εἰσακούει ὁ Κύριος, καὶ ἀνταποδίδωσι τοῖς ἀξίως ποιοῦσιν ὑπερηφανίαν. οὐχ οὕτως εἰσακούει τῶν δικαίων ὁ Κύριος, ὅσον τῶν πενήτων· ἐπειδὴ ὁ πένης οὐκ ἔχει τινὰ τὸν ἀντιλαμβανόμενον αὐτοῦ. διὰ γὰρ τὴν πτωχείαν αὐτοῦ πάντες ἀπορρίπτομεν αὐτόν, ὥστε καὶ οἱ ἴδιοι γονεῖς καὶ φίλοι τοὺς ἰδίους τέκνα καὶ φίλους, μᾶλλον δὲ καὶ ἀδελφὸς ἀδελφὸν ἀπορρίπτουσιν αὐτοὺς διὰ τὴν πτωχείαν αὐτῶν, καὶ οἱ γείτονες τοὺς γείτονας· καὶ αὐτὸς ὁ πτωχὸς πανταχόθεν ἐρριμμένος καὶ ἀβοήθητος, οὐδαμόθεν ἔχει βοήθειαν, εἰ μὴ εἰς τὸν Θεὸν τὸν ἐλεοῦντα τοὺς πτωχούς. διὰ τοῦτο καὶ ταχὺ εἰσακούει αὐτῶν ὁ Κύριος, καθὼς ὁ προφήτης ἀλλαχοῦ λέγει· Ταχὺ εἰσακούει τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδενώσει. σὺ ἔχεις ἄρτον, ἢ καὶ ἄλλο τι, ὅπερ τὴν πενίαν παραμυθεῖται; δὸς τῷ πένητι. εἰ δὲ οὐκ ἔχεις, λόγῳ αὐτὸν θεράπευσον, συλλυπήθητι, θλῖψιν αὐτῷ παράγου, ἵνα, εἰ καὶ παρὰ σοὶ οὐχ εὗρεν ἀνάπαυσιν, παρὰ ἄλλῳ εὑρήσῃ. ὅστις οὐκ ἔχει δόσιν τινά, καὶ καλοῖς λόγοις τῷ πένητι χαρίζει, πλείονα μισθὸν κερδαίνει παρὰ τὸν διδόντα. πλὴν καὶ ἀλλαχοῦ λέγει· μεγάλη τῆς ἐλεημοσύνης ἡ εὐεργεσία. οὐδὲν ἄλλο κατόρθωμα ἐξισχύει τοῦ ἐξαλεῖψαι ἁμαρτίας οὐδέποτε. αὐτὴν μετερχώμεθα, ἀγαπητοί, ἵνα ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ξη. λη.

Λογ. ιθ.

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΠΑΡΑΛΥΤΟΝ, ΤΗ ΗΜΕΡΑ ΤΗΣ μεσοπεντηκοστῆς, καὶ εἰς τό, Μὴ κρίνετε κατ᾽ ὄψιν.

Ιωαν. ε. ε. Ιωαν. ζ. κδ.

Ex Ms. Cæsareo. emend. ex alio Ms.

ΩΣπερ ἡ φαεσφόρος σελήνη, τὰ τῆς νυκτὸς ἀμαυρὰ λευκαίνουσα, τοῖς τε κατὰ γῆν καὶ κατὰ θάλασσαν πλωτῆρσί τε καὶ ὁδοιπόροις τὸ φάος δᾳδουχοῦσα, ἀνεμπόδιστον τὴν πορείαν ἑκάστῳ κατεργάζεται· ὡσαύτως ἐν τῷ σαββάτῳ πρὸς τὸν παραλυτικὸν ὁ Κύριος ἔλεγεν, Ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. καὶ τούτου χάριν πρὸς τοὺς Ἰουδαίους ἔλεγεν· Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με πατρός. καὶ ὅτι διὰ τὴν πρὸς τὸν παράλυτον αὐτεξούσιον θεραπείαν ὁ

Ιωαν. ε. η. Ιωαν. ζ. ις.

Κύριος πρὸς τοὺς Ἰουδαίους τούτους εἶπε τοὺς λόγους, ἐκ τῶν ἀρτίως ἀναγνωσθέντων
λάμβανε τὴν ἀπόδειξιν. καὶ γὰρ ἐντεῦθεν φανερώτερον ὁ Κύριος ἐμήνυσε τὸ ἀπαράλ-
λακτον ἑαυτοῦ καὶ τοῦ πατρός. εἰ γὰρ ἦν ὁ Κύριος εἰρηκώς, ἡ ἐμὴ διδαχὴ οὐκ ἔστι * τοῦ πα-
τρός, ἀλλ' ἐμή ἐστιν, ἐχώριζεν ἑαυτὸν τοῦ πατρός, ξένον ἐποίει τῆς οὐσίας, ἠλλοτρίου τῆς οἰ-
κονομίας. εἰρηκὼς δέ, ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με πατρός, ἔδειξε
τὸ ἀπαράλλακτον τῆς οὐσίας, καὶ ὅτι μία διδαχὴ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. εἷς γὰρ
ὁ λόγος, ὁ υἱὸς τοῦ πατρός· καὶ πνεῦμα τοῦ πατρός, τὸ ἅγιον πνεῦμα. πῶς ἕτερα διδάξει ὁ λό-
γος, καὶ πῶς ἕτερα κατηχήσει τὸ ἅγιον πνεῦμα; οὐκ ἔστι τοῦτο, οὐκ ἔστι, κατὰ τὸν μακάριον Παῦ-
λον τὸν λέγοντα· Οὐδεὶς οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ κατοικοῦν (α. Κορ. β. ια.)
ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ τὸ ἐν αὐτῷ. καὶ ὅτι διὰ
τὴν πρὸς τὸν παράλυτον αὐτεξούσιον θεραπείαν (καθὼς προεῖπον) ὁ Κύριος προσήκατο
τούτους τοὺς λόγους, ἤκουες ἀρτίως τοῦ Κυρίου λέγοντος· Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμά- (Ιωαν. ζ κα.)
ζετε. διὰ τοῦτο Μωϋσῆς δέδωκεν ὑμῖν * τὴν περιτομὴν (οὐχ ὅτι ἐκ τοῦ Μωϋσέως ἐστίν,
ἀλλ' ἐκ τῶν πατέρων) καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. εἰ περιτομὴν λαμβάνει
ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωϋσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον
ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. ὅτι δὲ
διὰ τὴν τοῦ παραλύτου θεραπείαν ὁ Κύριος τοὺς λόγους τούτους προσήκατο, ἐκ τοῦ νόμου δεικνὺς
αὐτοὺς παρανόμους, λέγει πρὸς αὐτοὺς καθὼς ἤκουες· εἰ περιτομήν, φησί, λαμβάνει ἄν-
θρωπος ἐν σαββάτῳ, καὶ ἐν σαββάτῳ περιτέμνετε βρέφος, ἵνα μὴ ἀκυρωθῇ ὁ ὀκταή-
μερος νόμος, νόμῳ νόμον ἀνατρέποντες. ὑμεῖς ἀνατρέπετε τὸν νόμον καὶ ἐμοὶ χολᾶτε ὅτι ὅλον
ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ, οὐχ ἱδρώσας, ἀλλὰ θαυματουργήσας; ἐν σαββάτῳ
οὐ δεῖ ἐργάζεσθαι, ἀλλὰ διὰ πάντων ἀέργους εἶναι; τίνος οὖν ἕνεκεν παρ' ὑμῖν, Ἰουδαῖοι, ἐν σαβ-
βάτῳ γυνὴ τίκτει, καὶ μαῖα θορυβεῖται, καὶ σπάργανα τινάσσεται, καὶ φύσις καθαίρεται, καὶ θηλὴ
πρὸς γαλακτοτροφίαν εὐτρεπίζεται; γυνὴ τίκτει, καὶ φύσις νόμου περιγίνεται, καὶ Θεὸς οὐ
θαυματουργεῖ; εἰπέ μοι, εἰ ἐν σαββάτῳ περιτέμνεται ἄνθρωπος, ἵνα μὴ λυθῇ ὁ νόμος,
ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν
δικαίαν κρίσιν κρίνατε. καταδέχομαι ὑφ' ὑμῶν τῶν ἐχθρῶν δικάσασθαι, ὅπως, ἐν ᾧ κρίματι
κρίνετε, κριθήσεσθε. τίς λύει τὸ σάββατον; ὑμεῖς οἱ ἐν τῷ σαββάτῳ περιτέμνοντες, καὶ ξίφος
ὀξύνοντες, καὶ τομὴν ἐπάγοντες, καὶ μέλος χωρίζοντες, καὶ τὸν τόπον αἱμάτων παρασκευάζοντες,
ἢ ἐγὼ ὁ εἰρηκὼς λόγῳ, ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου; εἰ μὴ ἐνήργησεν ὁ
λόγος, ἔλυσα ἂν τὸ σάββατον ματαιολογήσας· εἰ δὲ προέδραμε τὸν λόγον τὸ ἔργον, τί τὸ
σάββατον ἐκδικεῖτε, καὶ τὸν δημιουργὸν ἀθετεῖτε; οὐκ ἐκορέσθητε, ὦ Ἰουδαίων παῖδες, ἐπὶ τρι- (Ιωαν ε ε.)
άκοντα καὶ ὀκτὼ ἔτη ὁρῶντες τὸν παράλυτον τῇ κλίνῃ προσηλωμένον, καὶ τὴν κλίνην κάμνουσαν,
καὶ τὸν παράλυτον νυχθήμερον φορτίον βαστάζοντα; οὐκ ἠγανακτήσατε, οὐ συνεπαθήσατε·
καὶ ἵνα μίαν ὥραν ὁ παράλυτος κλίνην βαστάσῃ, καὶ τὴν ἀντιμισθίαν παράσχῃ, ἀγανα-
κτεῖτε; οὐκ ἔδει καὶ τοῦτο βοῆσαι, ἔστρεψας τὴν κλίνην μου ἐν τῇ ἀρρωστίᾳ μου; οἶδα, ὦ (Ψαλ. μ. γ.)
Φαρισαῖοι, τίνος χάριν ἀγανακτεῖτε· οὐχ ὅτι ἐθεραπεύθη ὁ παράλυτος διαπορεῖσθε, ἀλλ'
ὅτι οὐκ ἰσχύσατε τὴν κλίνην κρύψαι, καὶ τὸ θαῦμα κλέψαι. διὰ τοῦτο τὴν γνώμην ὑμῶν
ἐπιστάμενος, ἐκέλευσα βαστάζειν αὐτὸν τὴν κλίνην· ἵνα κἂν ὑμεῖς σιωπήσητε, ἡ κλίνη τὸ θαῦ-
μα βοήσῃ. τί διστάζετε, ὦ Φαρισαῖοι; οὐκ ἔστιν ὁ παράλυτος παρείσακτος, οὐκ ἔστιν ὑπο-
βολιμαῖος, οὐκ ἔστιν ὀλιγοχρόνιος. γνωρίζετε αὐτὸν πάντες, τριακονταοκτὼ ἔτη τῇ κο-
λυμβήθρᾳ τῇ παρ' ὑμῖν προσεδρεύει. οὐκ ἔχετε λέγειν, ὡς ἐπὶ τοῦ ἐκ γενετῆς τυφλοῦ·
Οὗτός ἐστιν, ὅμοιος αὐτῷ ἐστιν, οὐκ ἔστιν αὐτός. εἰ μὴ ἤλεγξεν ὑμᾶς ὁ τυφλός, καὶ τοῦτον κρα- (Ιωαν. θ. θ.)
τήσατε, καὶ εἰς δικαστήριον ἑλκύσατε, ὅπως διὰ πάντων αἰσχύνης πληρωθήσεσθε. μὴ κρί-

νατε

νατε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε. Καὶ, εἰ δοκεῖ, διὰ βραχέων ἐπ' αὐτὴν
τὴν περιοχὴν τοῦ παραλύτου παραδράμωμεν, διὰ τὸ καὶ τὸν Κύριον ἀπομνημονεῦσαι τοῦ
παραλύτου. Εἰ γὰρ ὁ Κύριος αὐτοῦ ἐμνημόνευσε, πῶς ἡμεῖς λήθην αὐτοῦ ποιησώμεθα; τό-
τε τις θαυμάζει, ὅτε τὰ τοῦ Κυρίου θαύματα διηγεῖται. τοῦ γὰρ Κυρίου καὶ ἡ παροῦσα [μέση]
ἑορτή. μεσίτης ὁ Κύριος· μέση καὶ ἡ ἑορτή· ἀεὶ δὲ τὸ μέσον τοῖς ἄκροις ἠσφάλισται. διὰ 5
τοῦτο καὶ ἡ παροῦσα μέση ἑορτὴ διπλῆν τὴν τῆς ἀναστάσεως χάριν κέκτηται. ὑπὸ γὰρ τῆς
ἀναστάσεως καὶ τῆς πεντηκοστῆς μεσολαβουμένη, τὴν ἀνάστασιν ὑπέδειξε, τὴν πεντηκοστὴν
δακτυλοδεικτεῖ, τὴν ἀνάληψιν σαλπίζει. τίς οὖν ἡ πᾶσα τοῦ παραλύτου πραγματεία,
γνωρίσατε ὦ τοῦ λόγου φιλέμποροι· ὅπως διὰ πάντων τῆς πνευματικῆς ὠφελείας τὴν
ἐνθήκην καρπώσησθε. Φέρεις μνήμην πάντως τοῦ εὐαγγελιστοῦ Ἰωάννου βοῶντος· Με- 10 *(Ἰωαν. ε. α.)*
τὰ ταῦτα ἦν ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. ἦν δὲ ἐν τοῖς Ἱεροσο-
λύμοις κολυμβήθρα, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ, Βηθεσδὰ, πέντε στοὰς ἔχουσα. ἐν ταύταις
κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν. ἦν δέ τις ἄνθρωπος
ἐκεῖ τριακονταοκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ. τοῦτον ἰδὼν ὁ Ἰησοῦς, ὁ τὰ πάντα εἰδὼς
πρὶν γενέσεως, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, θέλεις ὑγιὴς γενέσθαι; ὢ τῆς 15
τοῦ Κυρίου ἀκενοδόξου θεραπείας. οὐκ ἐκδέχεται παρακληθῆναι ὑπὸ τῶν ἀρρώστων·
αὐτὸς ἐπείγει ἑαυτὸν πρὸς τοὺς πάσχοντας. ἥλιος γὰρ ὢν δικαιοσύνης, ἐπὶ πάντας ἁπλοῖ τὴν
ἀκτῖνα τῆς εὐεργεσίας. ἦν δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ, κολυμβήθρα ἡ ἐπι-
λεγομένη Ἑβραϊστὶ, Βηθεσδὰ, πέντε στοὰς ἔχουσα. ἐν ταύτῃ κατέκειτο πλῆθος πολὺ τῶν
ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν. σύμβολον τοῦτο τῆς Ἰουδαϊκῆς ἀρρωστίας, αἱ πέντε 20
στοαὶ, αἵτινες ἐπεπλήρωντο τῶν ἀρρώστων. καὶ γὰρ ἀρρωστεῖ ὁ Ἰουδαϊκὸς λαὸς διὰ τῶν πέντε αἰ-
σθήσεων· ὁράσεως, ὀσφρήσεως, γεύσεως, ἀκοῆς, ἁφῆς. διὰ πάντων ἠρρώστουν οἱ Ἰουδαί-
ων παῖδες· οὐκ εἶχον καθαρὸν ὀφθαλμὸν, ὁρῶντες τὰ θαύματα καὶ παρορῶντες· οὐκ εἶχον
γεῦσιν εὐχάριστον, μάννα τρώγοντες, καὶ σικύας ἐπιζητοῦντες· οὐκ εἶχον ὄσφρησιν εἰλι- *(Ἀριθ. ια. ε.)*
κρινῆ, τοῦ δεσποτικοῦ μύρου τὴν διαβολικὴν δυσωδίαν προκρίναντες· οὐκ εἶχον ἀκοὴν 25
καθαρὰν, τῶν δρακονταίων συριγμάτων, καὶ οὐ προφητικῶν κατηχημάτων πειθόμενοι· οὐκ
εἶχον τὴν ἁφὴν συνεργητικὴν, εἴδωλα θεολογοῦντες, καὶ τοῦ ζῶντος Θεοῦ καταφρο-
νοῦντες. ἀλλ' ὅμως ἐπιδημήσας τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ ὁ δεσπότης Χριστὸς, ὁ καὶ τῶν
αἰσθήσεων ποιητὴς, καὶ τῶν κτισμάτων δημιουργὸς, ἐν ταὐτῷ καὶ τῶν σωματικῶν παθῶν καὶ τῶν
προαιρετικῶν πταισμάτων τὴν διόρθωσιν ἐποιήσατο. ἦν γὰρ ὁ προκείμενος παράλυτος 30
διπλῆν ἐπεφέρετο τὴν μάστιγα· τὸ μὲν σῶμα τῇ νόσῳ διελύετο, τὴν δὲ ψυχὴν ταῖς ἁμαρτί-
αις ἐξήρθετο. διὸ καὶ ὁ Κύριος ὁ τῶν ἑκατέρων ἰατρὸς, καὶ τὸ σῶμα συσφίγγει, καὶ τὸ πνεῦμα
φωτίζει. καὶ τῷ μὲν σώματι τὴν κλίνην φέρειν ἐκέλευε· τῇ δὲ ψυχῇ τὴν ἀρετὴν βαστά-
ζειν ἐπέτρεπε. τί γάρ; ἰδὼν ὁ Κύριος κείμενον τοῦτον τὸν παράλυτον, ἔφη πρὸς αὐτὸν, κα-
θὼς οἴδατε πάντες σαφῶς, θέλεις ὑγιὴς γενέσθαι; ἀλλ' ἐνταῦθα εὐθέως ἐπιλαμβάνονται 35
οἱ Ἰουδαίων παῖδες τῷ Κυρίῳ λέγοντες· εἰ Θεὸς ἦν ὁ Χριστὸς, πῶς ἐπερωτᾷ τὸν παρά-
λυτον, θέλεις ὑγιὴς γενέσθαι; τῇ νόσῳ συνείχετο, τριάκοντα καὶ ὀκτὼ ἔτη εἶχεν ἐν τῇ ἀρρωστίᾳ·
τῇ κολυμβήθρᾳ παρέμενεν, ἵνα τὸ πάθος ἀπορρίψηται, καὶ ἐπερωτᾷ τοῦτον, θέλεις ὑγιὴς γενέσθαι;
ποῖος Θεὸς ὁ ἐρωτῶν; ἄκουε ὁ ἀντιλέγων. ἐνταῦθα ὁ Κύριος, οὐχ ὡς ἀγνοῶν, ἐπερωτᾷ,
ἀλλ' ὡς διὰ πάντων τὴν διόρθωσιν βουλόμενος χαρίσασθαι. εἰ τοῦ σώματος μόνου ἡ ἀ- 40
σθένεια ἦν, οὐκ ἂν ἔλεγεν ὁ Κύριος πρὸς τὸν παράλυτον, θέλεις ὑγιὴς γενέσθαι; εἰδὼς ὅτι
θέλει ὃ θέλει· ἀλλ' ἐπειδὴ ψυχικῶν πταισμάτων ἦν ὀλίσθημα, τούτου ἕνεκεν ἐπερωτᾷ τὸν πα-
ράλυτον λέγων, θέλεις ὑγιὴς γενέσθαι; τουτέστι, παραφυλάττειν ἀπὸ τοῦ λοιποῦ μὴ ἁμαρ-
τάνειν. θέλεις ὑγιὴς γενέσθαι; δὸς τὴν συγκατάθεσιν, καὶ λάβε τὴν ἴασιν· ἐπειδὴ οὐδὲν ἀνάγ-

κη

καὶ μετέρχομαι. ἐγὼ γάρ εἰμι ὁ διὰ τοῦ προφήτου βοήσας ἐκ πολλῶν τῶν χρόνων· Ἐὰν θέ- Ησ. α. ιθ.
λητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακού-
σητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. ἐπεὶ οὖν αὐτεξούσιον ζῶον ὁ ἄνθρωπος, καὶ ψυχικῶς ὁ
παράλυτος ἦν διαλελυμένος, τούτου ἕνεκεν ὁ Κύριος, ἵνα μὴ ἄμισθον αὐτῷ τὴν θεραπείαν
5 παράσχῃ, ἐπερωτᾷ τοῦτον λέγων· αἰτῶν τὴν συγκατάθεσιν· θέλεις ὑγιὴς γενέσθαι; ἐπὶ τῶν
σωματικῶν παθῶν οὐδ' ὅλως ἐπερωτᾷ ὁ Κύριος, θέλεις ὑγιὴς γενέσθαι; ὡς οὔτε τὴν αἱμορρο-
οῦσαν, οὔτε τὸν λεπρὸν, οὔτε τοὺς δύο τυφλοὺς ἐπηρώτησεν. ὅπου γὰρ ψυχικὸν ἴδῃ πάθος, εὐ-
θέως ἐπερωτᾷ, συγκατάθεσιν δέξασθαι βουλόμενος· Εἰ μὴ δέξηται συγκατάθεσιν, ἴασιν οὐ
παρέχει. ἔστι δὲ πάντως εἰπεῖν ἵνα, τί οὖν; καὶ οἱ δύο τυφλοὶ ἁμαρτιῶν ἔφερον γνώρισμα,
10 ὅτι κἀκείνους ἐπηρώτησεν ὁ Κύριος λέγων, Τί θέλετε ἵνα ποιήσω ὑμῖν; μὴ κἀκεῖνοι ἁμαρτί- Ματθ. κ. λϛ.
ας ἐπεφέροντο; ἄκουε ὁ ἀντιλέγων. κἀκεῖνοι οἱ ἀναγεγραμμένοι ἐν τοῖς θείοις εὐαγγελί-
οις δύο τυφλοὶ, συνετυφλοῦντο τοῖς σωματικοῖς ὀφθαλμοῖς καὶ τὸ ψυχικὸν βλέμμα· οὐκ
ὠξυδόρκουν περὶ τὸν Κύριον, οὐκ εἶχον τελείαν τὴν γνῶσιν, ἀμφέβαλλον περὶ τὴν ὁμολο-
γίαν. διὸ καὶ ὁ Κύριος ὑπερτίθεται τὴν ἴασιν, ἵνα κρατύνῃ τὴν πίστιν. ἔστι δὲ πάντως εἰ-
15 πεῖν· τίνα καταψηφίσῃ τῶν τυφλῶν; πιστοὶ ἦσαν οἱ ἄνδρες. οὐχὶ μόνον ἤκουσαν ὅτι ὁ Κύ-
ριος παροδεύει, καὶ ἐβόησαν λέγοντες, Ἐλέησον ἡμᾶς, Κύριε υἱὲ Δαβίδ. πῶς τοίνυν ἁμαρτω-
λοὶ οἱ ταύτην τὴν φωνὴν βοήσαντες; ἄκουε ὁ ἀντιλέγων. διὰ ταύτην τὴν φωνὴν, ἣν
πρότερον ἔρρηξαν, καὶ τὴν ὑπέρθεσιν ὁ Κύριος τῆς ἰάσεως ἐποιήσατο· ἐπειδὴ παρακαλοῦντες
ἔλεγον, ἐλέησον ἡμᾶς, υἱὲ Δαβίδ. ποῖος υἱὸς Δαβὶδ τοσαύτην δύναμιν παρέχει, ἢ τοσαύ-
20 τας θαυματουργίας; ὡραῖος ὁ Ἀβεσσαλώμ· ἀλλὰ πατροκτόνος ἐφάνη. ποθητὸς ὁ Ἀμνών·
ἀλλὰ τὴν ἰδίαν ἀδελφὴν διέφθειρε. σοφὸς ὁ Σολομών· ἀλλ' εἰς τὸ τέλος ὠλίσθησεν. ἐ-
πεὶ οὖν ὡς υἱῷ Δαβὶδ προσῆλθον, καὶ οὐχὶ Θεὸν κραταιὸν δοκοῦντες αὐτὸν, καὶ ἐπισήμονα ἰα-
τρὸν, οὐχὶ δὲ ἔνδοξον Θεὸν, βοώντων τῶν τυφλῶν, ἐλέησον ἡμᾶς, υἱὲ Δαβὶδ, οὐκ ἔδωκεν αὐ-
τοῖς ἀπόκρισιν, ἵνα τὴν πίστιν αὐτῶν προκόψαι παρασκευάσῃ. διὸ τὴν ὑπέρθεσιν οἱ τυ-
25 φλοὶ δεξάμενοι, κατὰ ψυχὴν ἐφωτίσθησαν. καὶ μετ' ὀλίγον, ὡς οἶδεν αὐτοὺς ὁ Κύριος, ὅτι κατὰ
ψυχὴν ἐφωτίσθησαν, καὶ ἐδέξαντο τὸν φωστῆρα τῆς πίστεως, ἐπερωτᾷ λέγων αὐτοῖς· Πιστεύ- Ματθ. θ. κη.
ετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; τί οὖν οἱ τυφλοί; προκόψαντές φασι, Ναὶ, Κύριε. οὐκ
ἔτι εἶπον, ναὶ, υἱὲ Δαβίδ· ἀλλὰ, ναὶ, Κύριε. ὑπεμνήσθησαν τῆς ἀναβολῆς· διὸ παραυτὰ
τὴν ὁμολογίαν ποιοῦνται λέγοντες, ναὶ, Κύριε, πιστεύομεν ὅτι δύνασαι τοῦτο ποιῆσαι. εἶτα
30 δεικνὺς ὁ Κύριος ὅτι τῇ πίστει προέκοψαν, ἀπεκρίνατο λέγων, Κατὰ τὴν πίστιν ὑμῶν γενηθή-
τω ὑμῖν· ὡς εἰ μὴ προέκοψαν τῇ πίστει, τὸ βλέπειν οὐκ ἐδέχοντο. διὰ τοῦτο καὶ ἐνταῦθα
ὁ Κύριος, ἐπειδὴ ὁ παράλυτος μᾶλλον ψυχικῶς ἦν ἐξηρθρωμένος τῇ τῶν ἁμαρτημάτων κα-
ταφθορᾷ, ἐπερωτᾷ τοῦτον λέγων, θέλεις ὑγιὴς γενέσθαι; τουτέστιν, ἐὰν δέξῃ τὴν ἴασιν, μὴ μέλ-
λῃς πάλιν τὰ αὐτὰ μετέρχεσθαι. θέλεις ὑγιὴς γενέσθαι; ὁ δὲ παράλυτος μὴ εἰδὼς ἔτι τίς
35 ἐστιν ὁ λαλῶν, ἀπεκρίνατο πρὸς τὸν Κύριον λέγων, θέλω ὑγιὴς γενέσθαι. καλῶς ἐπηρώτη-
σας· θέλω. οὐκέτι γὰρ θέλω. πολλοστὸν θελήσας, οὐδὲν ἤνυσα. τί λοιπόν; θέλω οὐ λαμ-
βάνω, θέλω ὑγιὴς γενέσθαι. κατεγήρασα τῇ κλίνῃ, τάφος εἰμὶ πολύλαλος, τέθνηκα ζῶν,
οὐδὲν καινότερον μετὰ θάνατον ὑπομένειν μέλλω. ὅρκον με πάντες λαμβάνουσι· τριάκοντα
καὶ ὀκτὼ ἔτη παρασιτεύω τῇ κολυμβήθρᾳ, καὶ οὐδεὶς συμπαθεῖ. πιπράσκεται τὸ δῶρον,
40 καπηλεύουσιν αὐτὸ Φαρισαίων παῖδες. εἰς τὸν ἐνιαυτὸν καθαίρεται· καὶ διὰ τὸν πρώ-
τον προτιμᾶσθαι, ὁ εὐπορώτερος τὸν ἴσον προκρίνεται. ἄκριτος ἡ κολυμβήθρα· ἄδικα
τὰ παρόντα. ἆρα ἔσται ποτὲ ἐπισκοπή τις δικαία, ἵνα μὴ τὸ δῶρον καπηλεύηται,
ἀλλὰ πᾶσιν ἀφθόνως δίδωται; ὁ δὲ Κύριος πρὸς τὸν παράλυτον· τί ἐν ἑνὶ τόπῳ κατακεί-
μενος πλάζει τῷ λογισμῷ· ὡς ἀγνοοῦντί μοι διαλέγῃ; τῆς κολυμβήθρας διασώζω, καὶ

οὐκ

οὐκ οἶδα τὰ γινόμενα; ἔγνων τὴν τῶν Ἰουδαίων πραγματείαν. διὰ τοῦτο παραγενόμενον ἀντηλλάξαι τὴν κολυμβήθραν· καὶ νῦν ταύτην παύω, καὶ τὴν τοῦ βαπτίσματος ἀνοίγω. ἐν ταύτῃ εἷς κάθ᾽ ἔτος καθαίρεται· ἐκεῖ ἀναρίθμητοι καθ᾽ ἑκάστην ἀναγεννηθήσονται. ἐν ταύτῃ ἄγγελον ἀπέστειλα· ἐν ἐκείνῃ ἐγὼ ὁ τῶν ἀγγέλων ποιητὴς κατῆλθον. διὸ πρὸς τὴν ἐρώτησιν ἀποκρίθητι· θέλεις ὑγιὴς γενέσθαι; τουτέστι, πιστεύεις ὅτι ἐν τούτοις δυνατός εἰμι ὁ λαλῶν σοι; ὁ δὲ παράλυτος μικρὸν ἀναιδεύσας, καὶ τὴν δεσποτείαν τοῦ Κυρίου γνωρίσας· τῇ συνηθείᾳ δὲ ἔτι συνεχόμενος, ἀπεκρίνατο λέγων, ἅπερ εἰσὶ σαφῶς γινώσκοντες· ναὶ, Κύριε. ἄνθρωπον δὲ οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει*. ὁ δὲ Κύριος πρὸς τὸν παράλυτον· τί λαμβάνεις, παράλυτε; ἀρκεῖ σοι τὸ γνωρίσαι με Κύριον. μὴ φαντάζου περὶ πολλὰ, μὴ εἰς τὴν ταραχὴν τῆς κολυμβήθρας ἀφόρα. πεπέρακε τὰ Ἰουδαϊκά· τῆς ἐμῆς πηγῆς τὴν ἐνδείαν ἔχεις. ἃ ἐπιζητεῖς οἶδα. εἰ γὰρ καὶ ἄνθρωπον οὐκ ἔχεις, ἀλλὰ πάρειμί σοι ὁ ἐνανθρωπήσας Θεός. διὸ ἄκουσόν μου, καὶ ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. δρίμυξον Ἰουδαίους, θάμβησον δαίμονας, κάπνισον τοὺς ἀντιλέγοντας, πληροφόρησον τοὺς περιτρέχοντας, λῦσον τὴν τοῦ σαββάτου ἀργίαν, ἀντιδικοῦ λέγοντος, τὴν κλίνην φύλαττε. ταῦτα ἀκούσας ὁ παράλυτος, καὶ τὸ πάθος παραχρῆμα ἀποθέμενος τῷ τοῦ Κυρίου λόγῳ, τὸ πρόσταγμα ἐπλήρου, καὶ τὴν κλίνην ἐβάσταζε· καὶ τοὺς Ἰουδαίους κωλῦσαι θέλοντας διὰ τὸ σάββατον, καὶ λέγοντας, Οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον, ὅτι σάββατόν ἐστιν, ἀπωσάμενος, ὡς πρόσταγμα πληρῶν τοῦ κελεύοντος, λέγων πρὸς αὐτούς· Ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, ἆρον τὸν κράββατόν σου καὶ περιπάτει. τῶν δὲ ἀνόμων Ἰουδαίων ἀγνοούντων τὸν Κύριον, καὶ ἐρωτώντων, τίς ἐστιν ὁ ἰασάμενος, καὶ προστάξας αὐτῷ ἆραι τὸν κράββατον, καὶ δίκην κυνῶν ὑλακτούντων κατὰ τοῦ τεθεραπευκότος, ἐνέμεινεν ὁ ἰαθεὶς μαρτυρικῶς ἀγωνισάμενος κατὰ τῶν μιαιφόνων. Εὑρίσκει αὐτὸν μετὰ ταῦτα πάλιν ὁ Κύριος, καὶ λέγει αὐτῷ· ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. ὁρᾷς, ἀγαπητέ, ὅτι διὰ τὰς ἁμαρτίας τοσοῦτον χρόνον τῇ ἀσθενείᾳ κατείχετο; ἐπιστρέψωμεν τοίνυν καὶ ἡμεῖς, ὅπως καὶ τῆς προσκαίρου ταύτης κολάσεως ῥυσθῶμεν, καὶ τῆς αἰωνίου γεέννης ἐκφύγωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωαν ε. α. / Ιωαν ε. ιδ.

ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ, ΕΙΣ τὴν δραχμὴν, καὶ εἰς τὸ, Ἄνθρωπός τις εἶχε δύο υἱούς.

Λογ. ξ. — Λουκ ιε. ιι. ια.

Ex MS. Cesarea.

ΠΑΛΙΝ τὸν κόλποι Χριστοῦ ἄπαυστον νᾶμα τῆς ἀγάπης μέγιζον βλαστάνουσι· πάλιν ἡ τοῦ Θεοῦ λαμπαδοῦχος σοφία ἅψασα λύχνον Χριστὲ ἐπὶ τὴν λυχνίαν τοῦ σταυροῦ ἐπιθεῖσα, πᾶσαν τὴν οἰκουμένην δᾳδουχεῖ πρὸς εὐσέβειαν. τούτῳ τῷ λύχνῳ χρησαμένη ἡ τοῦ Θεοῦ σοφία, τὴν μίαν τῶν δραχμῶν ἀπολωλυῖαν ζητήσασα, καὶ εὑραμένη, ταῖς ἐννέα δραχμαῖς τῶν ἀγγέλων συνέζευξε. τίς δ᾽ ἂν εἴη ἡ γυνὴ ἡ ἔχουσα τὰς δέκα δραχμὰς, ἀναγκαῖον, ἀγαπητοὶ, εἰπεῖν. αὕτη ἐστὶν ἡ τοῦ Θεοῦ σοφία, ἔχουσα τὰς δέκα δραχμάς. ποίας; ψήφισον· ἀγγέλους, ἀρχὰς, ἐξουσίας, δυνάμεις, θρόνους, κυριότητας, χερουβὶμ, σεραφὶμ, καὶ Ἀδὰμ τὸν πρωτόπλαστον. ταύτην τὴν δραχμὴν τοῦ Ἀδὰμ ὑπὸ τῆς τοῦ διαβόλου κακίας ἐκβοσκηθεῖσαν, καὶ εἰς τὸν δε τὸν βυθὸν τοῦ βίου καθελκυσθεῖσαν, καὶ ταῖς πολυφθόγγοις ἡδοναῖς τῶν ἁμαρτημάτων χωσθεῖσαν, ἐλθοῦσα ἡ τοῦ Θεοῦ σοφία ἀνεύρατο. πῶς εὕρατο, ἀγαπητοί; ἦλθεν ἐξ οὐρανῶν, λαμβάνει

τὸν

τὸν ὀστράκινον λύχνον τοῦ σώματος, ἅπτει τῷ φωτὶ τῆς θεότητος, ἐπιτίθησι τῇ λυχνίᾳ τοῦ
σταυροῦ, ζητεῖ τὴν δραχμὴν, εἰς τὴν αὐλὴν καὶ τῶν ἀγγέλων νομὴν ἐμάνδρευσεν αὐτήν.
ἀλλ' ἴσως ἐροῦσί τινες τῶν ἐνθάδε ἑστώτων, οἵτινες μετὰ τὸ βάπτισμα ἥμαρτον, λέγοντες· τί πρὸς
ἡμᾶς, εἰ Ἀδὰμ ἐσώθη; πῶς ἡμεῖς ἐλεηθῶμεν; πῶς σωθῶμεν, ὅτι μετὰ τὸ βάπτισμα ἠ-
5 νομήσαμεν; πρὸς οὓς λέγομεν· οἱ τοιοῦτοι μὴ φοβεῖσθε, μὴ θροεῖσθε, μὴ ταράττεσθε,
μὴ ἀθυμεῖτε. οὐ γὰρ περὶ μὲν τοῦ Ἀδὰμ ἐμέλησε τῷ Θεῷ, ὑμῶν δὲ καταφρονήσειν· ἀλλ' ἐ-
κείνῳ μὲν ἐγένετο γυνὴ ἔχουσα δραχμὰς δέκα· σοὶ δὲ γέγονε πατὴρ εὔσπλαγχνος, ἔχων
δύο υἱοὺς, καὶ τὸν ἀπολωλότα πάλιν ἐναγκαλιζόμενος. τοῖς γὰρ πᾶσι τὰ πάντα γίνεται,
ἵνα τοὺς πάντας κερδήσῃ. ἀρτίως ἠκούσαμεν τοῦ εὐαγγελίου λέγοντος· Ἄνθρωπός τις εἶ- Λουκ. ιε. ια.
10 χε δύο υἱούς· καὶ προσελθὼν ὁ νεώτερος αὐτῶν τῷ πατρὶ εἶπε· πάτερ, δός μοι τὴν οὐσίαν.
ὁ δὲ διεῖλεν αὐτοῖς τὸν βίον. καὶ οὐ μετὰ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀ-
πεδήμησεν εἰς χώραν μακράν· κἀκεῖ διήλωσε τὸν βίον αὐτοῦ, ζῶν ἀσώτως. δαπανήσαν-
τος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην· καὶ προσεπλήθεν ἑνὶ τῶν πο-
λιτῶν, καὶ πέμπει αὐτὸν ὁ πολίτης εἰς ἀγροὺς βόσκειν χοίρους. καὶ ἐπεθύμει γεμίσαι τὴν κοι-
15 λίαν αὐτοῦ ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. εἰς ἑαυτὸν δὲ γε-
νόμενος, ἔφη· πόσοι νῦν μίσθιοι παρὰ τῷ πατρί μου ἄρτων περισσεύουσιν; ἐγὼ δὲ ὧδε λιμῷ
ἀπόλλυμαι; ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς
τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν
μισθίων σου. τοῦτον δὲ τὸν νοῦν οὐκ ἔξω δεῖ περιζητεῖν, ἀλλ' ἐν ἡμῖν αὐτοῖς. διὰ γὰρ εἴ-
20 ρηνται αἱ παραβολαί, καὶ δι' ἡμᾶς ἀναγινώσκονται, ἵνα μηδεὶς ἑαυτὸν ἀπελπίσῃ, κἂν σφό-
δρα ἁμαρτωλὸς τυγχάνῃ, ἀλλὰ προσέλθῃ τῷ Θεῷ μετανοῶν καὶ ζητῶν παρ' αὐτοῦ ἱλα-
σμὸν, μάλιστα εἴ τις ὑμῶν διὰ τῆς πίστεως τῆς εἰς τὸν Κύριον γέγονε τοῦ Θεοῦ υἱός. Ὅσοι Ἰωάν. α. ιβ.
γὰρ ἐδέξαντο αὐτὸν, φησιν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. εἴ τις οὖν ὑμῶν
διὰ τῆς εἰς τὸν Κύριον ἡμῶν πίστεως γέγονεν αὐτοῦ υἱὸς, καὶ ἐμακρύνθη ἀπ' αὐτοῦ, οὐ τόπῳ,
25 ἀλλὰ τρόπῳ· εἴ τινος ἥψατο ὁ λιμὸς, οὐ τοῦ κοινοῦ ἄρτου, ἀλλὰ τοῦ ἐπουρανίου (Ἄρτον γὰρ, Ψαλ. οζ. κη. κθ.
φησιν, οὐρανοῦ ἔδωκεν αὐτοῖς· ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος) καταλιπέτω τὰς μα-
χλώσας ἡδονὰς χοίροις ἐοικυίας, καὶ μηκέτι ἐπιθυμείτω κεράτια ἐσθίειν. τί ἐστι τὰ κεράτια;
ξύλου καρπός. τὰ κεράτια τῇ ἁμαρτίᾳ ἀπείκασται. ὥσπερ γὰρ τὰ κεράτια παρὰ τὴν
ἀρχὴν τῆς γεύσεως γλυκαίνει, μετὰ δὲ τὴν γεῦσιν τραχύνει τὸν φάρυγγα· οὕτω καὶ ἡ ἁμαρ-
30 τία ἐν μὲν τῇ ἀρχῇ τῆς γεύσεώς ἐστι γλυκεῖα, μετὰ δὲ τὴν γεῦσιν τραχεῖα. καὶ τοῦτό ἐστι τὸ λε-
γόμενον ὑπὸ τοῦ σοφοῦ Σολομῶντος· Μὴ πρόσεχε φαύλῃ γυναικί. μέλι γὰρ ἀποστάζει Παροιμ. ε. γ.
ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα· ὕστερον δὲ πικρότερον χο-
λῆς εὑρίσκεται, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. εἴ τινος ἥψατο λιμὸς τοῦ ἄρ-
του τοῦ οὐρανίου· προσελθέτω, ζητείτω. Πᾶς γὰρ ὁ ζητῶν εὑρίσκει, καὶ ὁ αἰτῶν λαμβά- Ματθ. ζ. η.
35 νει, καὶ τῷ κρούοντι ἀνοιγήσεται. κροῦσον τὴν μετανοίας τὴν θύραν τοῖς ἀλαλήτοις σου στεναγμοῖς·
μὴ φοβηθῇς αὐτὴν, οὐκ ἔστι σου ξένη ἡ θύρα· ὑπὲρ σοῦ ἀπέθανε. κἂν εἴπῃς ἐν σεαυτῷ,
τίς ἐστιν; ἀποκρίνεταί σοι Χριστὸς καὶ λέγει· Ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. εἰπὲ καὶ σὺ, Ἰωάν. ι ζ.
ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου. εἴ τις τὸ οὐράνιον βάπτισμα λαβὼν ἥμαρτεν, εἰς οὐ-
ρανὸν ἥμαρτεν. ὁ γὰρ πρὸ τοῦ βαπτίσματος ἁμαρτάνων, ἐν γῇ ἁμαρτάνει. Γῆ γὰρ εἶ, καὶ
40 εἰς γῆν ἀπελεύσῃ τῷ Ἀδὰμ ἐρρέθη. εἴ τις δὲ Χριστὸν ἐνεδύσατο ἐν τῷ βαπτίσματι, οὐκ ἔτι
γῆ τυγχάνει, ἀλλ' οὐρανός. Οἷος γὰρ ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοί· καὶ οἷος ὁ ἐπουράνιος, τοι- α Κορ. ιε μθ.
οῦτοι καὶ οἱ ἐπουράνιοι. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. εἴ τις οὖν ἡ- Γαλ. γ. κζ.
μάρτε μετὰ τὸ βάπτισμα, εἰς οὐρανὸν ἥμαρτε. διὸ προσερχέσθω καὶ λεγέτω· πάτερ, ἥμαρ-
τον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου, οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. διὰ τί λέγει τὴν αἰ-
τίαν;

τὴν δὲ τῷ αἵματι Ἰησοῦ καρδίαν μου ἐρραντισμένην, ῥοδοειδῶς ἀνθοῦσαν, ταῖς ἡδοναῖς ἐβορβόρωσα· οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. σὲ παρώξυνα, τὸ πνεῦμά σου τὸ ἅγιον παρεπίκρανα, τὴν ἐξαστράπτουσαν στολὴν τῆς πίστεως τῇ ἁμαρτίᾳ ἐσπίλωσα. οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. τὴν ἐλευθερωθεῖσάν μου ψυχὴν τῷ βαπτίσματι, καὶ χιονωθεῖσαν τῷ φωτίσματι, σκοτίσας τῇ ἁμαρτίᾳ, ἐδούλωσα· οὐκ ἔτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. αἱ τοῦ σώματός μου αἰσθήσεις τῇ κραιπάλῃ μεθυσθεῖσαι, καθάπερ παράφοροι θεραπαινίδες, τὴν ἑαυτῶν δέσποιναν ψυχὴν τῇ ἀκολασίᾳ παραδεδώκασι· νυνὶ δὲ διὰ τῆς νηστείας ταύτας παιδεύσας, τὴν ψυχήν μου σωφρονίσω· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. οἶδα λοιπὸν τὴν πλάνην τοῦ ἐχθροῦ, οἶδα αὐτοῦ τὰ σκελίσματα, οἶδα τὴν τῆς γαστριμαργίας αὐτοῦ βελοστασίαν, φεύγω κραιπάλην, δι' ἧς λύει τοὺς τόνους τῆς σωφροσύνης, διώκω τὴν νηστείαν τὴν τὸ νήφειν μοι παρέχουσαν· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. ἐργάσομαι κἀγὼ εἰς τὸν ἀμπελῶνά σου· περιτεμῶ κἀγὼ τῇ δρεπάνῃ τοῦ πνεύματος τῆς ἔνδοθέν μου κειμένης ἀμπέλου λογικῆς τὰ περιττὰ κλήματα, μᾶλλον δὲ ἐγκλήματα· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. γεωργήσω κἀγὼ τὸν βότρυν τῆς ἀγάπης γλυκύτατον ὑποφείσω, καὶ ποιήσω ἐν χάρακα τῇ ψυχῇ μου τὰς ἐντολὰς τοῦ Κυρίου, ἵνα μὴ εἰς γῆν συρομένη ὑπὸ ὄφεως συλαγωγῆται· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. εἰς οὐρανοὺς αὐτὴν βλέπειν κατεργάσομαι· ἕλικας φιλαδελφίας αὐτὴν ἐκτείνειν παρασκευάσω, ἵνα τοὺς εἰς γῆν συρομένους πίπτοντας ἐναγκαλιζομένη διαβαστάζῃ. ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. δός μοι πάλιν, πάτερ, τὸ ἄροτρον τοῦ σταυροῦ ἐπὶ τῶν ὤμων· γεωργήσω τὴν αὔλακα τῆς ψυχῆς μου, ἐξαρῶ τὰ ἀκανθηφόρα καὶ βλαβοποιὰ τοῦ πονηροῦ βλαστήματα, ἐπισπερῶ αὐτῇ τὰ οὐράνια σπέρματα. σοῦ γὰρ ἐπομβρήσαντος ἄνωθεν τὸν ἔλεον, ἡ αὖλαξ τῆς ψυχῆς μου καρποφορήσει ἡ μὲν τριάκοντα, ἡ δὲ ἑξήκοντα, ἡ δὲ ἑκατόν· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. μὴ ἀπώσῃς με, πάτερ· οὐ γὰρ παντελῶς με ἐχθρὸς ἐνυβρίσας τὴν στολὴν τῆς πίστεως ἀπέδυσεν. εἰ γὰρ καὶ τὸ τῆς σωφροσύνης μου κάλλος ἐσπίλωσεν, ἀλλ' οὖν γε τοῖς εἰδώλοις με αὐτοῦ λατρεύειν οὐδέποτε ἔκαμψε· σὲ οὐκ ἠρνησάμην, Κύριέ μου. εἰ καὶ ἥμαρτον ἐν τῇ ἀκμῇ τῆς νεότητός μου· ἀλλ' οὖν τὰς κνίσας τῶν εἰδώλων κατεπάτησα, εἰκόνας δαιμόνων κατέστρεψα, ξόανα εἰδώλων ἐξήλεγξα, διάβολον ἐνεφύσησα, δαίμοσιν ἐνέπτυσα· νυνὶ δὲ τοῖς σοῖς ἴχνεσι προσπίπτω, ὁ Κύριός μου, καὶ ὁ Θεός μου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. ἐὰν οὕτω μετανοήσῃς, ἐὰν οὕτως ἐξομολογήσῃ· ἔτι πόῤῥω σου ἀπέχοντος προστρέχει ὁ οὐράνιος πατὴρ, πνεύματι ἐπιπίπτων σου τῷ τραχήλῳ τῆς ψυχῆς, τὸν τῆς χάριτός σοι ζυγὸν ἐπιτιθείς, καὶ τῇ ζεύγλῃ τῆς ἀληθείας τὸν αὐχένα τῆς καρδίας σου περισφίγγων· φιλήματι λύει σου τὴν ἔχθραν, καὶ λέγει τοῖς ἑαυτοῦ δούλοις τοῖς ἱερεῦσι· Φέρετε τὴν πρώτην στολήν. οὐκ εἶπε, φέρετε μίαν στολήν, ἀλλὰ, φέρετε τὴν πρώτην στολὴν, ἵνα δείξῃ τὴν πρώτην τοῦ βαπτίσματος ἀξίαν σοι διδομένην. Φέρετε αὐτῷ τὴν πρώτην στολὴν, καὶ ἐνδύσατε αὐτόν· καὶ δότε δακτύλιον, τὸ δεῖγμα τοῦ πλούτου, τὸν τοῦ θησαυροῦ φύλακα, τὸν ἀρραβῶνα τῆς χάριτος, τὴν σφραγῖδα τοῦ πνεύματος· καὶ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ· τουτέστι, τοῖς τοῦ εὐαγγελίου λόγοις τὸ ἴχνος τῆς ψυχῆς αὐτοῦ περισφίγξατε· ἵνα μὴ πάλιν ὁ ὄφις τὴν πτέρναν ὑπολείξας, εἰς τὴν προτέραν αὐτὸν πλάνην τῆς ἁμαρτίας κατασύρῃ. καὶ φέρετε τὸν μόσχον τὸν σιτευτόν. τίς ἐστιν οὗτος, ἢ πάντως Χριστός, μετὰ τὸ βάπτισμα διδόμενος τοῖς ἀξίοις, καθὼς λέγει ὁ ἀπόστολος· Ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς; Φέρετε, φαγόντες εὐφρανθῶμεν. τίς ἄρα ἐν Ἰουδαίοις καὶ Ἕλλησι πιστεύουσι, ὅτι μόσχος ἐσφάγη, καὶ κόσμος ἐσώθη; ὦ μόσχος παρθένου δαμάλιδος, τέκνον ἱερὸν ἀνηρότου μήτρας· ὦ μόσχος ὁ σφαγεὶς καὶ ζῶν· καὶ πάντοτε ὑφ' ἡμῶν δεόμενος, καὶ ἀδαπάνητος μένων. δεῦρο, ἀγαπητοί, εἰς τὸν εὐσταθῆ καὶ ἄδολον λιμένα τὴν ἄγκυραν τοῦ λόγου

Κολ. β. θ.

ἡμῶν χαλάσαντες, παραπέμψομεν ὑμᾶς τῇ τοῦ ἁγίου πνεύματος ἐμβολῇ· καὶ τῇ εὐρύθμῳ γλώσσῃ διατεμόντες πέλαγος τῶν θείων γραφῶν, εἰς οὐράνιον πόλιν καταγωγήσει ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ πατρὶ, σὺν τῷ ἁγίῳ καὶ προσκυνητῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΤΙ ΧΡΗ ΤΟΝ ΕΧΟΝΤΑ ΧΑΡΙΝ ΟΙΑΝ ΔΗΠΟΤΕ ἐπιστήμης μεταδιδόναι τῷ χρείαν ἔχοντι, καὶ περὶ πρεσβυτέρου.

Λογ. ξα.

Ex Ms. Caesareo.

Ὁ φιλάνθρωπος Θεὸς οἰκτείρων τὸ γένος ἡμῶν, οὐκ ἀφίησι πάντα ἄνθρωπον ἄμοιρον τῆς αὐτοῦ χάριτος. οὐ γὰρ μόνον τοῖς δικαίοις δίδωσι χάριν, ἀλλὰ καὶ τοῖς ἁμαρτωλοῖς· ἐπειδὴ ἄφθονός ἐστι, καὶ ἀπροσωπόληπτος, καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ θέλει πάντας ἀνθρώπους σωθῆναι. καὶ οὐ παρορᾷ τὸν ἁμαρτωλὸν, ἀλλὰ δίδωσι κἀκείνῳ μικρὰν χάριν, ἵνα λαβὼν τὸ χάρισμα τιμήσῃ τὸν δεδωκότα, καὶ εὐχαριστήσας αὐτῷ, καὶ ἐπιστρέψας ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς μετανοήσῃ. ἐὰν δὲ καὶ λαβὼν τὴν χάριν, ἐπιμείνῃ τοῖς αὐτοῖς κακοῖς, τότε λοιπὸν ἀφαιρεθήσεται ἀπ' αὐτοῦ καὶ ἣν ἔλαβε χάριν, καὶ κατακριθήσεται ἐν τῇ γεέννῃ τοῦ πυρὸς, διότι οὐκ ἔγνω τὴν τιμὴν καὶ τὸν τιμήσαντα, καὶ πληροῦται ἐπ' αὐτῷ τὸ γεγραμμένον· Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. (Ψαλ. μη. ιϛ.) ἐγὼ οἶδα ἁμαρτωλοὺς ἀνθρώπους, καὶ ἐπέθηκαν χεῖρας ἐπὶ ἀρρώστους, καὶ ἰάσαντο αὐτούς. ἀλλὰ τοῦτο κατὰ τρόπους δύο γίνεται· καὶ οὐ μόνον παρὰ τὸν διδόντα ἐστὶν, ἀλλὰ καὶ παρὰ τὸν λαμβάνοντα. ἐὰν μὴ πιστεύῃ ὁ λαμβάνων, οὐδὲ παρὰ δικαίου, οὐδὲ παρὰ ἁμαρτωλοῦ λαμβάνει χάριν. ὁ δὲ πιστεύων, καὶ παρὰ ἁμαρτωλοῦ δέχεται τὴν χάριν τῆς ἰάσεως. ἑκάστῳ γὰρ κατὰ τὴν πίστιν δίδοται καὶ ἡ χάρις. καὶ γὰρ ὁ Κύριος τοῖς προσερχομένοις ἔλεγε· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. (Ματθ. θ. κθ.) σὺ πίστευε ἐν ὀνόματι Κυρίου τῷ προσέρχῃ, καὶ μὴ διακριθῇς κατὰ μηδένα τρόπον, καὶ λήψῃ τὴν χάριν. ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν. πολλοὶ πρεσβύτεροι ἁμαρτωλοὶ ὄντες προσφέρουσι τὰ δῶρα, καὶ οὐκ ἀποστρέφεται αὐτοὺς ὁ Θεὸς, ἀλλὰ τῷ ἁγίῳ πνεύματι ἁγιάζει τὰ προκείμενα δῶρα· καὶ ὁ μὲν ἄρτος γίνεται σῶμα Κυρίου, καὶ τὸ ποτήριον γίνεται αἷμα τίμιον Κυρίου. καί εἰσί τινες ὑπολαμβάνοντες εὐλογόν τι ποιεῖν, οὐ κοινωνοῦντες παρά τισι πρεσβυτέροις, ὡς συνειδότες τι κακὸν τοῦ πρεσβυτέρου· καὶ οὐκ οἴδασιν ὅτι πλείονα ἁμαρτάνουσι θέλοντές τι καλὸν ποιεῖν. τίς γὰρ εἶ σὺ ὁ κρίνων τὸν ἄρχοντά σου; οὐκ ἤκουσας τοῦ ἀποστόλου λέγοντος, Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς; (Πραξ. κγ. ε.) καὶ πάλιν· Τίς εἶ σὺ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν. (Ρωμ. ιδ. δ.) σὺ ὁ ὑπ' αὐτοῦ διδασκόμενος καὶ χειραγωγούμενος, οὐκ ἔχεις ἐξουσίαν κρίνειν καὶ ἐλέγχειν αὐτόν· καθὼς εἶπε Παῦλος ὁ ἀπόστολος· Μὴ πρὸ καιροῦ κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν· καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ. (α. Κορ. δ. ε.) ἐκεῖνος ἔχει ἐξουσίαν κρῖναί σε· ὁ δὲ ἐκεῖνον κρίνων, Κύριός ἐστι. καὶ πάλιν ὁ Κύριος· Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε. (Ματθ. ζ. α.) σὺ τὴν ὀφειλομένην τιμὴν ἀποπλήρωσον τοῦ κανόνος· τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων σου, τὰ κεχρεωστημένα τῇ ἐκκλησίᾳ μὴ ἀποστερήσῃς διδόναι. μὴ πολυπραγμονήσῃς ποῦ ἀνηλώθησαν· εἰ δὲ ἐν τούτῳ ἐπιχειρήσῃς κρίνειν αὐτὸν, ἔγκυψον πρότερον εἰς τὸ ἀγγεῖόν σου, καὶ δοκίμασον σεαυτὸν, εἰ μηδὲν ἔχεις εἰς τὸ συνειδός σου φαῦλον, εἰ οὐ κατακρίνει σε ἡ γνώμη σου. καὶ οὐ λέγω ὅλων τῶν ἐτῶν ἐρευνῆσαι τὰ ἔργα, ἀλλὰ τῆς μιᾶς ἡμέρας μόνον· στόχασαι ἀκριβῶς, πῶς παρῆλθες τὴν ἡμέραν, εἰ οὐ κατηγόρησάς τινος, εἰ οὐκ ἐσκανδαλίσθη σου ὁ ὀφθαλμὸς εἰς οὐδὲν, εἰ οὐ παρῆλθες πένητα, εἰ οὐκ ἐγέλασας ἐπὶ τῷ πλησίον σου, εἰ οὐκ ἔκοψας

τινα. Βλέπε εἰ ἐν τούτοις οὐκ ἔβλαψάς σου τὴν ψυχήν. εἰ καθαρὸς εἶ ἐκ πάντων τούτων, τὴν καθαρότητά σου ἔχεις· καὶ οὐδὲ οὕτω καλόν ἐστι κατὰ πρεσβυτέρου ἢ καὶ ἑτέρου κατηγορεῖν. ἀλλ' ἐκεῖνός, φησιν, ἐπόρνευσεν· ἐγὼ δὲ οὔ. ἀλλὰ σὺ ἔκλεψας τὰ τοῦ πλησίον, καὶ ἥρπασας τὰ τοῦ πένητος· ἕκαστος δὲ τῶν ἰδίων ἔργων ἰδέτω τὰ κακά. μὴ παράβλεπε τὰ σά, ὁ ἐρευνῶν τὰ τοῦ πλησίον. Εἰ δέ τις παρακούσῃ τῶν εἰρημένων, καὶ ἐπιβάλλῃ τὴν ἑαυτοῦ γλῶσσαν εἰς κατηγορίαν πρεσβυτέρου, ἢ καὶ ἑτέρου τινός, τὴν αὐτὴν ἀτιμίαν προσδοκάτω ὑπομένειν.

Ματθ. ζ. ε. Εἰ σὺ ταῦτα πράττων, τὰ τοῦ πλησίον ἐκζητεῖς, ἐρεῖ σοι ὁ Κύριος· Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. περὶ τῶν σῶν ἁμαρτιῶν μερίμνησον· καὶ ὃν οὐ προσετάγης κρίνειν, μὴ κρίνῃς. πλὴν ὀφείλει καὶ ὁ πρεσβύτερος οὕτω διακεῖσθαι πρὸς τὸν λαόν· πρὸ πάντων εὔχεσθαι ἐξ ὅλης ψυχῆς ὑπὲρ τοῦ λαοῦ, προΐστασθαι τῶν ἀδικουμένων ἕως θανάτου, καὶ τὴν ψυχὴν αὐτοῦ τιθέναι ὑπὲρ τοῦ ποιμνίου ὀφείλει, τῶν ἐν ἀνάγκῃ βοηθεῖν, τὸν λυπούμενον παραμυθεῖσθαι, μὴ μνησικακεῖν πρὸ πάντων. μνησίκακος γὰρ πρεσβύτερος καθ' ἡμέραν ἁμαρτάνει· μνησικάκου πρεσβυτέρου ψυχὴ οὐδέποτε καθαρὰν προσφέρει τῷ Θεῷ εὐχήν, τῆς κακίας οὔσης ἐν τῇ καρδίᾳ αὐτοῦ. ἐὰν μὴ διαλλαγῇς τῷ πλησίον σου, καὶ λύσῃς τὴν κακίαν σου, μὴ εἰσέλθῃς ἐν τῷ θυσιαστηρίῳ· μνήσθητι τί σοι παρήγγειλεν ὁ Κύριος, λέγων· *Ματθ. ε. κδ.* Ἐὰν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς ὅτι ἔχει ὁ ἀδελφός σου κατὰ σοῦ τι· ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. μὴ παρακούσῃς τῆς τοῦ δεσπότου παραγγελίας, ἵνα μὴ κατακριθῇς. δόλους μὴ μελετήσῃς, μὴ τὸν μὲν ὑψώσῃς, τὸν δὲ ταπεινώσῃς, μὴ τὸν πλούσιον διὰ τῆς πρωτοκλισίας τιμήσῃς, τὸν δὲ πένητα τὸν μὴ δυνάμενον προσενεγκεῖν σοι δῶρα παρίδῃς· ἀλλὰ τὴν ἰσότητα πρὸς πάντας φυλάξωμεν. κατηγορίαν ταχέως μὴ παραδέξῃ, φλυαρίας μὴ ἀνέχου, ἀπὸ ἀκοῆς μὴ κατακρίνῃς ποτέ· πολλοὶ κατὰ φθόνον καὶ ἔριν κατηγοροῦσιν. ἐὰν δὲ μετὰ πολλῆς ἀκριβείας εὕρῃς τὸν ἁμαρτήσαντα, μὴ εὐθέως αὐτὸν ἐπὶ πάντων ἐλέγξῃς, ἵνα μὴ πλείονα χώραν αὐτῷ δῷς μηδένα αἰδεῖσθαι. δύο γὰρ κακὰ ἔχει τὸ ἐλέγχειν ἐπὶ πάντων. οἱ μὲν γὰρ ἐλεγχόμενοι, μὴ φέροντες τὴν αἰσχύνην, μηδὲ φέροντες τὸ ὄνειδος, ἐπὶ τὸ ἕτερον κακὸν χωροῦσι μάλιστα· καὶ ὅταν ἀκαίρως κατηγορῶνται, ἐπὶ τὸν τῆς ἀγχόνης θάνατον τρέχουσι. τοιοῦτος γάρ ἐστιν ὁ Σατανᾶς· ὑποβάλλει ποιεῖν τὸν ἄνθρωπον τὸ κακόν· ὑποβάλλει ποιῆσαι καὶ ἕτερον· καὶ μετὰ τὸ ποιῆσαι καταγγέλλει. ἑτοιμάζει ἐλέγχους, κατηγόρους ὅλους εὐτρεπίζει κατηγορεῖν αὐτοῦ τὴν συμφοράν, καὶ γίνεται πρόξενος κατήγορος· καὶ τῶν ἐλεγχομένων τὸν νοῦν ἔτι μανικώτερον ἀπεργάζεται· θάτερον δὲ πολλὴν αἰσχύνην ἐπαγόμενον, ποταμοὺς καὶ ἀγχόνας προξενεῖ. διὰ ταῦτα τὰ πειρατήρια ὁ ἐμπιστευθεὶς ποίμνην τοῦ Χριστοῦ λογικὴν ὀφείλει πρᾶος εἶναι, καὶ μετὰ πολλῆς ἀσφαλείας ἐκζητεῖν τοὺς ἁμαρτάνοντας· καὶ ὅταν εὕρῃ τὸν ἡμαρτηκότα, μὴ εὐθέως ἐκβάλλειν τῆς ἐκκλησίας, ἵνα μὴ δραξάμενος ὁ Σατανᾶς τὸν ἄνθρωπον ἰδιοποιήσῃ. ὅταν γὰρ ἀφορισθῇ ἄνθρωπος ὑπὸ τοῦ ἀρχιερέως, ἀγκαλίζεται αὐτὸν ὁ Σατανᾶς, καὶ οὐκ ἀφίσταται αὐτοῦ, ἕως οὗ εἰσδεχθῇ. οὐκ ὀφείλει ὁ ἱερεὺς πυκνοτέρως ἀφορίζειν, οὐδὲ καταρᾶσθαι. Ταῦτα ἰδὼν σὺ ὁ ποιμήν, οὐκ ὀφείλεις ἀκρίτως ἀπώσασθαι τὸ πρόβατον, οὐδὲ χωρίσαι τῆς ποίμνης· ἀλλ' ὅταν εὕρῃς τὸν ἁμαρτήσαντα, κάλεσον αὐτὸν κατὰ μόνας, καὶ τὰ μὲν ἐπιτίμησον, τὰ δὲ παρακάλεσον ἀποστῆναι αὐτὸν τοῦ κακοῦ, καὶ ἅπαξ, καὶ δίς, καὶ τρίς. καὶ εἰ μὲν ἀκούσῃ σου τῆς συμβουλίας, *Ιακ. ε. κ.* ἐκέρδησας τὸν ἀδελφόν σου· καθὼς εἶπεν ἡ γραφή, Ὅτι ὁ ἐπιστρέψας ψυχὴν ἐκ πλάνης ὁδοῦ αὐτῆς, σώσει ψυχὴν αὐτοῦ, καὶ καλύψει πλῆθος ἁμαρτιῶν. τὰ πρῶτα συγχώρησον αὐτῷ· τῷ γὰρ ἀφιέντι ἀφεθήσεται. *Ματθ. ιη. κβ.* καὶ πάλιν ὁ φιλάνθρωπος Κύριος· Ὅτι ἐὰν ἑβδομηκοντάκις ἑπτὰ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ἄφες αὐτῷ. καὶ μηδὲν ὀνειδίσῃς τῶν κεκαλυμμένων,

λυμαινομένων, μηδὲ παροργίσῃς αὐτὸν ἐπιστρέφοντα. ἐὰν δὲ μετὰ τρεῖς νουθεσίας διορθώσηται ἑαυτὸν διὰ μετανοίας, τότε εἰσδεχθήσεται. ταῦτα πάντα ὀφείλει εἰδέναι ὁ ἱερεὺς, καὶ πῶς χρὴ ἐμπολιτεύεσθαι ἐν τῷ λαῷ, καὶ οὐ μὴ κατακριθῇ εἰς τὸν αἰῶνα. λοιπὸν περὶ διακόνων παραθήσομαι τὸν λόγον, καὶ πῶς χρὴ αὐτοὺς ἐμπολιτεύεσθαι. ὁ διάκονος τοίνυν ὀφείλει πάντα κατὰ γνώμην τοῦ πρεσβυτέρου διαπράττειν, καὶ εἰς τὸν κανόνα, καὶ εἰς τὰς ἐκκλησιαστικὰς χρείας, καὶ εἰς τὸν λαὸν μηδὲν αὐθεντεῖν, ἀλλὰ πάντα κελεύσει τοῦ πρεσβυτέρου διοικεῖν, μηδέ τινα ἀφορίσαι ἐξουσίαν ἔχει, οὐδὲ ἕτερόν τι ποιεῖν. μὴ παρόντος δὲ τοῦ πρεσβυτέρου, ἐξουσίαν ἔχει ὁ διάκονος πάντων, καθὼς καὶ ὁ πρεσβύτερος, πάρεκτος τῶν θείων μυστηρίων. ἐὰν μέλλῃ ὁ ἱερεὺς ἀποδημεῖν, ὀφείλει παρακαλέσαι ἕτερον πρεσβύτερον ἐξ ἑτέρας κώμης ἀποδιδόναι τὰς εὐχὰς τῷ λαῷ. εἰ δὲ ἀνάγκη ἐστὶ, καὶ μὴ εὑρεθῇ πρεσβύτερος, ὀφείλει ὁ πρεσβύτερος ἁγιάσαι τὸν ἄρτον, καὶ προστάξαι τὸν διάκονον τῷ λαῷ διδόναι. ἐὰν δὲ γένηται ἀνάγκη, καὶ εὑρεθῇ παιδίον ἀβάπτιστον, καὶ μέλλῃ τελευτᾷν, ἔξεστι τὸν διάκονον βαπτίσαι· καὶ εἰ μὴ ἀπέθανε τὸ παιδίον, ἐλογίσθη αὐτῷ βάπτισμα. ἐὰν δὲ παιδίον τῇ ἀμελείᾳ τοῦ πρεσβυτέρου ἀποθάνῃ ἀβάπτιστον, οὐαί ἐστι τῷ πρεσβυτέρῳ ἐκείνῳ. ἐὰν δὲ τῇ ἀμελείᾳ τῶν γονέων ἀποθάνῃ ἀβάπτιστον, οὐαί ἐστι τοῖς γονεῦσι τοῦ παιδίου. τοιγαροῦν οὐκ ὀφείλουσιν οἱ γονεῖς ἀφιέναι ἀβάπτιστον τὸ παιδίον ἐπὶ ἔτη πολλά. πρόβατον γὰρ ἀσφράγιστον, μερὶς λύκου. ἡ γὰρ τοῦ Χριστοῦ σφραγὶς φυλάττει τὸν ἔχοντα τὴν σφραγῖδα. αὐτῷ οὖν τῷ Χριστῷ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΤΗΣ ΠΑΡΑΒΟΛΗΣ ΤΟΥ ΟΙΚΟΝΟΜΟΥ ΤΗΣ ἀδικίας, καὶ ὅτι οὐδὲν ἡμέτερον.

Λογ. ξϛ. Λουκ. ιϛ. α.

Ex Ms. Cæsareo.

Πολλάκις ὑμῖν εἶπον διαλεγόμενος, ὅτι πεπλανημένη τις καὶ ψευδὴς ἔννοια τοῖς ἀνθρώποις ἐμπεσοῦσα πληθύνει τὰ ἁμαρτήματα, καὶ ἐλαττοῖ τὰ ἀγαθὰ, ἅπερ ἕκαστος ὀφείλομεν ἐπὶ τῆς ἑαυτῶν πολιτείας αὔξειν. αὕτη δέ ἐστιν, ὅτι πάντα ὅσα ἔχομεν ἐν τῇ χρήσει τοῦ βίου, ὡς κύριοι κεκτήμεθα καὶ δεσπόται. καὶ ταύτης ἕνεκεν τῆς ὑπολήψεως, σφοδρῶς ὑπὲρ αὐτῶν διαμαχόμεθα καὶ πολεμοῦμεν καὶ δικαζόμεθα, καὶ εἰς ἄκρον αὐτῶν περιεχόμεθα, ὡς ἐξαιρέτων κτημάτων. ἡ δὲ ἀλήθεια οὐχ οὕτως ἔχει, ἀλλὰ καὶ σφόδρα ἐναντίως. πάντων γὰρ, ὧν ἀπολαύομεν ἐν τῷ βίῳ τούτῳ, οὐχ ἡμέτερα εἰσιν, οὔτε μὴν ἡμεῖς ὡς αὐθένται καὶ κύριοι αὐτὰ κατέχομεν, ἀλλ' ὡς πάροικοι καὶ ἐπήλυδες καὶ μετανάσται. ἀγόμεθα δὲ, ὅπου οὐ θέλομεν, καὶ ἡνίκα οὐ προσδοκῶμεν, ἀφαιρούμεθα τῶν ὄντων, ὅταν δόξῃ τῷ κυρίῳ τῆς κτίσεως. διὸ καὶ εὐμετάβολόν τι χρῆμά ἐστι τὸ τῆς ἐπικήρου ταύτης ζωῆς· καὶ ὁ σήμερον ἐν δόξῃ, αὔριον ἐλεεινὸς, οἴκτου καὶ βοηθείας ἄξιος· ὁ νῦν εὔπορος, καὶ εὐθηνούμενος ταῖς ὕλαις τοῦ πλούτου, πένης μετὰ μικρὸν, οὐδὲ τὸν ἄρτον οἴκοθεν ἔχων, ὃν προσφέρηται εἰς ζωήν. καὶ τούτῳ μάλιστα ὁ Θεὸς ἡμῶν τῶν θνητῶν ὑπερέχει, τῷ ἀεὶ ὡσαύτως εἶναι, καὶ ὡσαύτως ἔχειν, καὶ ἀναφαίρετον κεκτῆσθαι ζωὴν, καὶ δόξαν, καὶ δύναμιν. πόθεν οὖν εἰς ταύτην τὴν ἀρχὴν τοῦ λόγου; ἢ τάχα γνώριμον τυγχάνει τοῖς νοῦν * ἔχουσι καὶ φιλολόγοις; ὁ Λουκᾶς ἡμῖν παραβολὴν ἀναπλάσας ὑπομνήμω ἀρτίως, ἐν ᾗ τὸν οἰκονόμον τῶν ἀλλοτρίων ὑπογράφει στενούμενον καὶ θλιβόμενον, ἐπειδὴ ὡς ἐμπαθής τις καὶ πολυδάπανος, ἤκουσε παρὰ τοῦ Κυρίου τῶν κτημάτων καὶ χρημάτων, ὅτι δὸς τὸν λόγον τῆς διοικήσεως, καὶ μετάστηθι. οὐ γὰρ τοῖς ἐμοῖς σε ὡς ἰδίοις ἐντρυφᾷν ἀνέξομαι. τοῦτο δέ ἐστιν οὐ γινομένου πράγματος ἐξήγησις, ἀλλὰ πλάσις παραβολῆς, τοῖς ἐπεσκιασμένοις τὸν

λόγον ἠθικὴν παρ' αὐτὴν ἐκπαιδεύουσα. γνῶθι τοίνυν ἕκαστος, ὡς ἀλλοτρίων εἶ διοικητής·
καὶ ῥίψας ἀπὸ τῆς ψυχῆς τὸ αὐθεντεῖν, τὴν ὑπερήφανον, τὸ τοῦ ὑπευθύνου καὶ οἰκονόμου ἀ-
νάλαβε ταπεινὸν καὶ εὐλαβές, ἀεὶ τὸν Κύριόν σου ἀναμένων, καὶ μετὰ δειλίας συγγράφων τῆς ἀπο-
λογίας τὸ λογοθέσιον. πάροικος γὰρ εἶ, ὀλιγοχρονίου χρήσεως καὶ παροδικῆς λαβὼν συγχώ- 5
ρησιν. εἰ δὲ ἀμφιβάλλεις, ἐπὶ τοῖς γνωρίμοις κατάμαθε τὸ γινόμενον, καὶ τῷ ἀψευδεῖ διδα-
σκάλῳ, τῇ πείρᾳ παιδεύθητι. κέκτησαι χωρίον, ἢ παρὰ πατρὸς λαβών, ἢ ἀπό τινος συν-
αλλάγματος κύριος γεγονώς; ἀναλόγισαι οὖν τῇ μνήμῃ, καὶ ἀπαρίθμησαι πάντας, εἰ
δύνασαι, τοὺς προκατεσχηκότας αὐτό· ἐπίβαλε καὶ τῷ μέλλοντι χρόνῳ τὸν νοῦν, καὶ πόσοι αὐτοῦ
κυριεύσουσι μετὰ σὲ κατανόησον· φράσον δέ μοι, τίνος ἡ δεσποτεία, καὶ τίσι κατ' ἐξαίρετον 10
** διαφέρουσα, τοῖς ἐσχηκόσι, τοῖς ἔχουσιν, ἢ τοῖς μέλλουσιν; εἰ γάρ τις ὥσπερ ἐκμαχεσθῆ
πάντας ἀθροίσειεν, εὑρεθήσονται πλείους τῶν ὀβολῶν τῶν κεκτημένοι. μᾶλλον δέ, εἴπερ
ἀκριβῶς βούλει κατιδεῖν τίνι παρόμοιος ὁ βίος ἡμῶν, μνημόνευσον εἴ ποτε ὥρᾳ θέρους ὁδοιπορῶν
ἐθεάσω δένδρον ἀμφιλαφές, ἐπὶ πολὺ τοῦ πλάτους καὶ τοῦ μήκους διῆκον, ἱκανὴν τῇ σκιᾷ οἰ-
κίας πληρῶσαι χρείαν· τούτῳ τερφθεὶς ὑπῆλθες, καί, ἐφ' ὅσον ἐξῆν, ἐκεῖσε κατέμεινας. 15
** ἐπεὶ δὲ ἔδει πάλιν ἀπᾶραι, καὶ συμβουλευομένου τὴν ἄφιξιν, ἑτέρου ὁδοιπορεῖν, ἐπέστη ἕ-
** τερος. καὶ σὺ μὲν ἐφόρτους τὴν ἀποσκευήν, ὁ δὲ τὴν ἰδίαν καθῄρει, καὶ πάντα τὰ σὰ ἀθρόον δι-
** εδέξατο, τὴν στιβάδα, τὸ πῦρ, τὴν τοῦ δένδρου σκιάν, τὸ παραρρέον ὕδωρ. καὶ ὁ μὲν οἴχεται τῆς
** ἀνακλίσεως, σὺ δὲ τοῦ περιπάτου. ἐτέρφθη κἀκεῖνος, εἶτα ἀφῆκε· καὶ τὸ δένδρον ἐπὶ μιᾶς
ἡμέρας ἐγένετο τυχὸν δέκα ξένων ὀλιγοχρόνιον καταγώγιον· καὶ τῶν πάντων γενόμενον, ἑνὸς ἦν 20
τοῦ ὄντως Κυρίου. οὕτω καὶ αἱ περιουσίαι τῆς ἐνταῦθα διαγωγῆς τέρπουσι μὲν πολλούς, καὶ
τρέφουσι, τῆς δεσποτείας δὲ μόνῳ τῷ Θεῷ προσηκούσης, τῷ ἄφθαρτον καὶ ἀνώλεθρον ἔχοντι
τὴν ζωήν. ἐθεάσω καὶ πανδοχεῖον, ἐφ' ᾧ πάντως ὁδεύων κατέλυσας· ἔλαβες δὲ ἐκεῖθεν
πολλά, βαστάζων μηδέν· κλίνην, τράπεζαν, ἐκπώματα, πίνακα, ἄλλα σκεύη παντοδαπά.
οὐδέπω δέ σου πρὸς αὐτάρκειαν χρησαμένου, ἧκεν ἄλλος, πνευστιῶν, κεκονιαμένος, κατε- 25
πείγων σε, καὶ ἐξείργων σε τοῦ πανδοχείου, καὶ ζητῶν τὰ ἀλλότρια, ὡς ἐξαίρετα. τοιοῦτος ὁ
βίος ἡμῶν, ἀδελφέ, ἔτι τῶν λεχθέντων παροδικώτερος. ἐγὼ δὲ θαυμάζω τοὺς λέγοντας, τὸ
χωρίον μου, ἡ οἰκία μου. ὢ πῶς ματαίᾳ συλλαβῇ ἐξοικειοῦνται τὰ μὴ προσήκοντα, καὶ τρισὶ
στοιχείοις ἀπατηλοῖς ἐναγκαλίζονται τὰ ἀλλότρια; ὥσπερ τῶν θαυματοποιῶν προσωπεῖα
ἔχει μὲν οὐδεὶς κατ' ἐξαίρετον, πάντες δὲ ἐπιτίθενται τῶν δραμάτων ὑποκριταί· οὕτω τὴν 30
γῆν καὶ τὰς ἐπ' ἐκείνην ὕλας ἄλλοι ἐξ ἄλλων ὡς ἱμάτια ἐπενδύονται. μή τι βασιλέ-
ως, εἰπέ μοι, δυνατώτερον; ἀλλ' ὅμως ἐρευνήσατε τὰ βασίλεια, ζητήσατε χλαμύδας βασιλι-
κάς· εὑρήσετε δὲ ταύτας ἰχνύας, αἳ πολλῶν βασιλέων ἐνέδυσαν σώματα· ὁμοίως καὶ τοὺς στε-
φάνους, καὶ τὰς πόρπας, καὶ τὰς ζώνας, πάντα κληρονομίαν ἄστατον, χρῆσιν κενήν, ἀπὸ τῶν ὁ-
δευόντων εἰς τοὺς μένοντας ἀπομένουσαν. τί δὲ τῆς τῶν ὑπάρχων ἀξίας ἡ σκηνή; τὸ 35
ἀργυροῦν ὄχημα; ἡ καλαμὶς ἡ χρυσῆ; ὁρᾷς οὐκ ἀεὶ ταῦτα ἔχειν τὸν ὕπαρχον, καὶ οὐδέποτε
τῶν αὐτῶν ἀεί, ἀλλὰ πρὸς ὀλίγον ἕκαστον. ὡς γὰρ ἡ κλίνη τῆς ἐκφορᾶς ἄλλα τε ἄλλα δέ-
χεται σώματα· οὕτω καὶ τῶν ἐν ἀρχαῖς τὰ σύμβολα τοὺς χρωμένους ἀμείβει. ἐντεῦθεν ὁ
ἀπόστολος ἡμῖν ἐβόα πλείστας φωνὰς ταύτης τῆς διανοίας παιδευτικάς· Παράγει γὰρ
τὸ σχῆμα τοῦ κόσμου τούτου· καὶ τό, Ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες· καὶ τό, Οἱ χρώ-
μενοι, ὡς μὴ καταχρώμενοι. πάντα γὰρ ταῦτα πρὸς ἕνα τείνει σκοπόν· ὅτι προσήκει, ὡς 40
ἐφημέρους ἡμᾶς διαζῆν, ἀναμένοντας ἀεὶ τῆς ἐξόδου τὸ σύνθημα. καὶ ἵνα μάθῃς ἀκρι-
βῶς, ὅτι νόμοις ὑπόκεισαι, καθὼς σε προσήκει ζῆν ἀκριβῶς, ἀπὸ σαυτοῦ πρῶτον κα-
τανόησον, ὅτι καὶ ἡ ψυχή σου πανταχόθεν τοῖς τῆς ἀρετῆς ὑπόκειται παραγγέλμασιν, οὐδὲ
σαυτοῦ κύριος εἶ, ἀλλὰ προσήκει σε οἰκονομεῖν καὶ λόγον, καὶ πρᾶξιν, καὶ πᾶν τῆς ζωῆς

α. Κορ. ζ. λα.
β. Κορ. ϛ. ι.

σου

σοῦ κτῆμα. ἔλαβες σῶμα παρὰ τοῦ κτίσαντός σε, πέντε αἰσθήσεσιν εἰς τὰς τῆς ζωῆς χρείας οἰκονομούμενον. εἰσὶ δὲ οὐδὲ αὗται ἐλεύθεραι καὶ αὐτόνομοι, ἀλλ' ἑκάστη δούλη ὑπὸ νόμου ἐστί. καὶ πρῶτος ἀκούει ὀφθαλμός· βλέπε, φησί, καὶ θεώρει τὰ βλέπεσθαι καλά· ἥλιον πᾶσαν τὴν οἰκουμένην φωτίζοντα, σελήνην τὸ σκότος φαιδρὸν ποιοῦσαν καὶ ζοφῶδες τῆς νυκτὸς καταυγάζουσαν, τοὺς ἄλλους ἀστέρας, οὐ πολὺ μὲν οὐδὲ αὐταρκὲς ἡμῖν τὸ παρ' ἑαυτῶν φῶς χορηγοῦντας, πλὴν τὸ κάλλος ὅ ἐν ἄλλοις ἀποστίλβοντας· θεώρει γῆν πάντοθεν ἄνθεσι καὶ βοτάναις κομῶσαν, θάλασσαν ἐπιπλεομένην ὡς πεδίον, ὅταν εἰς καθαρὰν γαλήνην παγῇ. εἰς ταῦτα καὶ τὰ τοιαῦτα κατακόρως ὅσα ὁρᾶν· τὰς δὲ ἄλλας θέας, ὅσαι διὰ τῆς ὄψεως τὴν βλάβην ἐπεισάγουσι τῇ ψυχῇ, φεῦγε παραιτούμενος, καὶ ἐπίθες σεαυτῷ κάλυμμα, ἵνα μὴ βλέπῃς. βέλτιον γὰρ σκοτίσαι τὴν αἴσθησιν, ὅταν αὕτη ἐργάτις τοῦ σκότους τὴν αἰτίαν παρέχῃ. διὰ τοῦτο χθὲς ἡμῖν ἐλέγετο ὁ Κύριος διὰ Ματθαίου· Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ· καὶ, βέλτιον ἐκκόψαι αὐτὸν, ὅταν ἄτακτα βλέπῃ καὶ ἐπιζήμια. ἔχει καὶ ἡ ἀκοὴ παραγγέλματα κωλυτικὰ κακῆς ἀκροάσεως. χρὴ γὰρ αὐτὴν, ὅταν μὲν τινῶν ἀγαθῶν ἀκούῃ, ἀναπεπταμένην εἶναι, καὶ νουνεχῆ, καὶ δι' ἑαυτῆς τῇ ψυχῇ παραπέμπειν τῶν συμφερόντων λόγων τὴν αἴσθησιν. εἰ δὲ τῆς κακίας ἕτερος λοιμὸς καὶ φθορεὺς πλησιάσαι αὐτῇ, ἐπεισρεῖν μέλλοι τῆς ἁμαρτίας τὸν βόρβορον, δεῖ φεύγειν αὐτὴν ὡς ἰοβόλον θηρίον. σωφρονείτω καὶ ἡ γλῶσσα μετὰ τοῦ στόματος, λεγέτω τὰ δίκαια, τῶν δὲ ἀπηγορευμένων ἀπεχέσθω, λοιδοριῶν, συκοφαντιῶν, κατηγορίας ἀδίκου, καταλαλιᾶς τῆς τῶν ἀδελφῶν, βλασφημίας τῆς πρὸς τὸν Θεόν· φθεγγέσθω δὲ ὅσα εὔφημα, ὅσα εὐσεβῆ, ὅσα πράξεων ἀγαθῶν ἔχει τὴν συμβουλήν· καὶ λεγέτω πᾶς ἄνθρωπος τὰ τοῦ ἱεροψάλτου· Εἶπα, φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου· καὶ, Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον· καὶ τὸ, Ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· καὶ τὸ, Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. ἀγέσθω τῶν ὠφελούντων τὸ σῶμα· σωφρονείτω καὶ ἡ ῥίς, μὴ τρυφᾶν ἀεὶ ὀσφραινομένη, μηδὲ μύρων πολυτελῶν ἀτμοῖς καὶ εὐωδίας ἐπὶ τὴν κεφαλὴν ἀνέλκουσα. τῶν γὰρ τοιούτων καὶ ὁ Ἡσαΐας σφοδρός ἐστι κατήγορος. μεμνήσθω καὶ ἡ χεὶρ τῶν ἐντολῶν, ἵνα μὴ πάντων ἀκωλύτως ἅπτηται, ἐκτεινέσθω πρὸς ἐλεημοσύνην, μὴ πρὸς ἁρπαγήν· τηρείτω τὰ ἴδια, μὴ συναγέτω τὰ ἀλλότρια· ἁπτέσθω σωμάτων ἰωμένη καὶ κεκακωμένων, δι' ἀγαθῆς ἐπισκέψεως, μὴ τῶν σφριγώντων καὶ τῇ πορνείᾳ ἐξωλακότων. ἔδειξεν ἡμῖν ὁ λόγος, ὡς καὶ αὐτοὶ ἑαυτῶν οὐδέποτε ἐσμὲν κύριοι, ἀλλὰ οἰκονόμοι. πᾶν γὰρ τὸ νόμοις ὑποκείμενον καὶ προστάγμασι, δοῦλον τοῦ νομοθέτου ἐστὶ καὶ ὑπήκοον. εἰ δὲ τὰ μόρια τοῦ σώματος ἡμῶν οὐκ ἐλεύθερα ἐξουσίας, ἀλλὰ δεσποτικῷ βουλήματι πρὸς τὰς ἐνεργείας χαλινιζόμενα, τί ἂν εἴπῃ τις πρὸς τοὺς οἰομένους χρυσοῦ καὶ ἀργύρου καὶ γῆς καὶ τῶν ἄλλων ὑλῶν αὐθεντικὴν ἔχειν τὴν κτῆσιν; οὐδὲν σόν, ἄνθρωπε· σὺ δοῦλος, καὶ τὰ σὰ τοῦ Κυρίου. δοῦλος γὰρ ἐλεύθερον πεκούλιον οὐκ ἔχει. γυμνὸς γὰρ ἦλθες εἰς τοῦτο τὸ φῶς. ἔλαβες, ἃ ἔχεις, κατὰ νόμον τοῦ Κυρίου σου, ἢ κληρονομήσας πατέρα, ἐπεὶ οὕτως ὁ Θεὸς διετάξατο (γονεῖς γὰρ τέκνοις, φησί, μεριοῦσι σκῦλα) ἢ ἀπὸ γάμου τὴν εὐπορίαν κτησάμενος (γάμος δὲ καὶ τὰ ἐπίκτια παρὰ Θεοῦ διατέτακται) ἢ ἀπὸ ἐμπορίας καὶ γεωργίας καὶ τῶν ἄλλων προφάσεων, Θεοῦ σοι πρὸς ἐκεῖνα συμπράξαντος. ἰδοὺ τοίνυν ἐδείχθη, ὅτι ἔλαβες τὰ μὴ σά. ἴδωμεν λοιπὸν τί σοι ἐπετάχθη, καὶ οἵα ἡ ἐπ' ἐκείνοις διοίκησις. δὸς τῷ πεινῶντι, ἔνδυσόν σοι τὸν γυμνόν, θεράπευσόν σοι τὸν κεκακωμένον, μὴ περιίδῃς τὸν ἄπορον, τὸν ἐρριμμένον ἐν ταῖς τριόδοις· σὺ περὶ σαυτοῦ μὴ μεριμνήσῃς, μηδὲ φροντίσῃς πῶς διάξεις ἐπὶ τῆς ὑστερίας. κἂν ταῦτα, φησίν, ἐργάσῃ, τιμηθήσῃ παρὰ τοῦ δεσπότου· ἂν δὲ παρακούσῃς τῆς ἐντολῆς, κολασθήσῃ πικρῶς. ταῦτα ἐγὼ οὐ βλέπω τοῦ αὐτεξουσίου, οὐδὲ τοῦ ζῶντος μετ' αὐθεντίας, ἀλλὰ τοὐναντίον. τὰ πολ-

Ματθ. ε. κη, κθ.

Ψαλ. λη. α.
Ψαλ. να. β.
Ψαλ. ε. ια.
Ψαλ. να. α.

λεῖ καὶ συνεχῆ [illegible]πράγματα ὑποδείκνυσί μοι ἀνθρώπων βασιλευόμενοι ἰσχυρῶς νόμοις δεσποτικοῖς ὑπεύθυνοι, καὶ τὴν κεχρηματισμένην πολιτείαν ἀπαιτούμενοι, ὡς χρέος. ἡμεῖς δὲ πῶς; ὡς ἀλογίστως τοιοῦτον ἔχοντες βίον, τοὺς μὲν ἀθλίους καὶ πεινωμένους περιορῶμεν ταλαιπωροῦντας ταῖς συμφοραῖς, δαπανώμεθα δὲ φιλοτίμως ταῖς ματαιότησι, κολάκων πλῆθος ἀσώτων τρέφοντες, καὶ φατρείας κακοδαιμόνων παρασίτων ἐπισυρόμενοι, καὶ αὖθις θηριομάχων, καὶ θηρία, ἐπισκορπίζοντες τὸν πλοῦτον καὶ ταῖς ἱπποτροφίαις οὐδενὸς τῶν ὄντων φειδόμενοι, καὶ πάλιν θαυματοποιοῖς, καὶ μίμοις, καὶ τοῖς ἑξῆς ὀλέθροις δαπανῶντες τὴν εὐπορίαν. καὶ πρᾶγμα πάσχομεν καινόν, καὶ μανίας ἐγγύς. ἔνθα μὲν γὰρ ἡ δαπάνη φέρει κέρδος ἀνάριθμον, καὶ σωτηρίαν ἀθάνατον, συνεχόμεθα σφοδρῶς τὸ ἀργύριον, ὡς μηδὲ ὀλίγους ὀβολοὺς τῆς χειρὸς ἐκπεσεῖν· ὅπου δὲ ἁμαρτωλὸν γίνεται τὸ ἀνάλωμα, καὶ μυρίων κολάσεων αἴτιον, καὶ αὐτῆς δὲ τῆς διὰ πυρὸς τιμωρίας, ἡ φιλοτιμία περιλαμβάνει τὴν αἴτησιν, καὶ πάσας θύρας ἀνοίξαντες ἀφίεμεν τὸν πλοῦτον πρὸς τὸ ἔξω χωρεῖν. τοῦτο δὲ τὸ φρόνημα οὐκ ἔστι δούλων ἀγαπώντων τὸν Κύριον, ἀλλὰ νέων ἀσώτων καὶ κωμαστῶν ἀκολάστων. Εἰ δὲ θέλεις ὁ ἀκροατής, ἰδεῖν οἰκονόμου φόβον μετὰ τῆς σώφρονος εὐλαβείας διοικοῦντος τὰ πιστευθέντα, ἀνάπτυξον τὴν βίβλον τοῦ Δαβίδ· ζήτησον ἐκείνους τοὺς λόγους, ἔνθα φησὶ πρὸς τὸν Θεὸν ὁ ἀνὴρ πολυπραγμονῶν τοῦ ἰδίου τέλους τὴν προθεσμίαν· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου, καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου

Ψαλ. λη. ε.

* * * * * *

Λογ. ξγ.

ΕΙΣ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ Ἰησοῦ Χριστοῦ.

Ex Ms. Caesareo.

Φαιδρόν μοι τὸ τῆς ἐκκλησίας θέατρον, οὐ γέλωτα τοῖς ἀνθρώποις ἐργαζόμενον μάταιον, ἀλλὰ σφοδρὸν τῷ διαβόλῳ τὸν θρῆνον. βλέπει γὰρ αὖθις τὴν κατὰ τῶν νεκρῶν ἀναστάσιμον ῥίζαν· βλέπει τὸν κάτω παρ' αὐτοῦ παραδοθέντα τῷ σταυρῷ, ἐξ οὐρανοῦ ὑπ' αὐτοῦ καθορῶντα· βλέπει τὴν γῆν ἀγγέλων πεπληρωμένην, βλέπει παραδόξως ἀέρα βαδιζόμενον, βλέπει τὰς οὐρανίους δυνάμεις ἀπολυτρώσας, καὶ τοὺς μὲν λέγοντας, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης· τοὺς δὲ πάλιν ἀπολυτροῦντας καὶ ὑπασπίζοντας· Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ, ὃν ὑπὲρ ἡμῶν πρὸς τὸν κοινὸν ἐχθρὸν ὑπεδείξατο· ὃν οὐδεὶς ἀνθρώπων, οὐ προφητῶν, οὐ δικαίων καταπαλαῖσαι δεδύνηνται. ἐπετυραννοῦντο γὰρ πάντες ὑπὸ τοῦ βασιλεύοντος τότε θανάτου, ἕως οὗ παραγέγονεν ὁ βασιλεὺς τῶν αἰώνων, καὶ δήσας τὸν ἰσχυρόν, ἀπέλαβεν αὐτοῦ τὰ σκεύη. σταυρουμένου γὰρ τοῦ Κυρίου, αἱ μὲν δυνάμεις τῶν οὐρανῶν ἐξενίσθησαν, ἡ δὲ κτίσις πᾶσα ἐκλονεῖτο, ὁρῶσα τὸ καινὸν μυστήριον καὶ τὸ φοβερὸν θέαμα γινόμενον ἐπὶ τῆς γῆς. ἐτρέμασε γὰρ ἡ γῆ, ἐκινήθη ἡ θάλασσα, ἐκλυδωνίσθη ἡ ἄβυσσος, πᾶσα ἡ κτίσις ἐταράχθη· ἐφοβήθησαν φωστῆρες οὐρανῶν, ἔφυγεν ὁ ἥλιος καὶ ἡ σελήνη, ἀστέρες ἐξέλιπον, ἡμέρα οὐχ ὑπέμεινεν, ἄγγελος ἐξήλλατο τεταραγμένος ἐκ τοῦ ναοῦ, περιεσχισμένου τοῦ καταπετάσματος τοῦ οἴκου· σκότος ἐπλήρωσε τὴν γῆν, τὰ στοιχεῖα ἀπεστράφη, καὶ ἡ ἡμέρα ἠλλοιώθη. οὐ γὰρ ἐβάσταζον ὁρῶντες τὸν ἑαυτῶν δεσπότην καὶ ποιητὴν κρεμάμενον ἐπὶ ξύλου. τότε ὁ ᾅδης κατελύθη, καὶ αἱ πύλαι αὐτοῦ συνετρίβησαν, καὶ οἱ μοχλοὶ αὐτοῦ συνεκλάσθησαν· περὶ ὧν Δαβὶδ προφητεύων ἔλεγεν, Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασε. τότε ἔπεσεν ὁ βασιλεύων θάνατος ὑπὸ

Ψαλ. κγ. ζ.

Ψαλ. ρϛ. ιϛ.

τοῦ

ὑπὸ πόδας Χριστοῦ, καὶ ἐσύρετο αἰχμάλωτος θριαμβευόμενος. τῷ γὰρ ἀπειράστῳ σώματι καὶ
γυναικείῳ κενώσας τοῦ ἐχθροῦ τὴν ἰσχὺν, καὶ τὰς μηχανίας αὐτοῦ συντρίψας, κατέδραμεν
εἰς τὰ τοῦ ᾅδου βασίλεια, καὶ τὸν θησαυρὸν αὐτοῦ κατέσπασε· τὸ διάδημα διεῖλε, τὰ σκῆ-
πτρα κατέλυσε, φωνὴν ἀφῆκε λέγων· δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν πρὸς τὸν πα-
5 τέρα καὶ Θεόν· δεῦτε, καὶ τῆς δουλείας ἐλευθερίαν κομίσασθε. παράγω γὰρ ὑμᾶς ἐκ
δουλείας εἰς ἐλευθερίαν, ἐκ σκότους εἰς φῶς, ἐκ τυραννίδος εἰς βασιλείαν. ζωὴν γὰρ
ὑμῖν εὐαγγελίζομαι ἐγὼ ὁ Χριστός· τοιγαροῦν μηκέτι φοβεῖσθε τὸν τύραννον, ἀλλὰ κατα-
φρονεῖτε φόβου καὶ θανάτου, λιμοῦ καὶ θλίψεως, δεσμῶν καὶ φυλακῆς καὶ στενοχωρίας.
ταῦτα γὰρ δέδοικε. ὁ τυράννου στρατὸς καταλέλυται· μόνος δὲ πάντων ἐγώ εἰμι νικη-
10 φόρος βασιλεὺς, ὁ καὶ παθὼν ὑπὲρ ὑμῶν σαρκί. οὗτος τοίνυν ἐστὶν ἀληθῶς κραταιὸς καὶ δυ-
νατὸς Κύριος· οὗτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, ὁ ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ τοὺς κα-
τοικοῦντας ἐν τάφοις· περὶ οὗ ἔλεγε Δαβίδ· Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμα- Ψαλ. ξζ. ιθ.
λωσίαν. πᾶσα μὲν οὖν ἑορτὴ χριστιανῶν, τοῦ διαβόλου καθαίρεσις· ἐξαιρέτως δὲ αὕτη. ἐν
πάσαις μὲν γὰρ ταῖς ἄλλαις τὴν ἑαυτοῦ ἀπογυμνώσας κακίαν, μηδὲν ὠφελήσας ἑαυτὸν ἐ-
15 θριαμβεύθη. οἷον τί λέγω· τῆς παρθένου παραδόξως κυοφορούσης, τὴν τῆς μοιχείας ἐπι-
φήμισε πρᾶξιν· ἀνεκλαλήτως τικτούσης, τὸ μὴ εἶναι παρθένον διέβαλεν· ἐκτρεφομένου τὸν
σύμπασαν τρέφοντος κτίσιν, φονοκτονεῖν τὰ βρέφη τὸν Ἡρώδην ἐδίδαξεν, οἰόμενος ἐν αὐτοῖς
συλλαβεῖν τὸν ἀκράτητον· ἐπὶ τὸ βάπτισμα σπεύδοντα πρὸς πειρασμὸν ἐπηγάγετο· δια-
λεγόμενον τοῖς Ἰουδαίοις βλασφημεῖσθαι πεποίηκε· θαυματουργοῦντα λιθάζεσθαι παρε-
20 σκεύασε· τὸν φονέα λῃστὴν

* * *

ἀντ' αὐτοῦ προετίμησε· σταυρωθέντι λῃστὰς συνεσταύρωσε· ταφέντι τὸ μνημεῖον ἐσφράγισεν·
ἀναστάντι συκοφαντίαν παρεσκεύασε τὴν ἀνάστασιν· ἀναλαμβανομένου δὲ αὐτοῦ καὶ εἰς οὐ-
ρανοὺς ἀπιόντος οὐκ εἶχέ τι φθέγξασθαι· ἀλλὰ τὴν αὐτοῦ μειζόνως κεφαλὴν ἐτραυμά-
τισε. διὸ πάσης αὐτοῦ πανηγύρεως ἡ σήμερον χαριεστέρα καθέστηκεν. ὁρῶντες πᾶσαι πανταχοῦ
25 τῶν ἀγγέλων στρατιαὶ χορεύουσαι· καὶ τοὺς μὲν ἀκολουθοῦντας, ἄλλους δὲ προτρέχοντας, ἑ-
τέρους ἀπαντῶντας, ἄλλους πάλιν τῷ χορῷ τῶν ἀποστόλων διαλεγομένους καὶ λέγοντας· Ἄν- Πραξ. α. ια.
δρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς
τὸν οὐρανὸν, οὕτω πάλιν ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. οὗτος
ὁ Ἰησοῦς ὁ τὴν πληθὺν τῶν σημείων ἐπιδειξάμενος· ἡ τῆς δεσποτικῆς οὖν ἀναλήψεως ἡ-
30 μέρα τὸν μὲν διάβολον, καθὼς εἴρηται, θρηνεῖν παρεσκεύασε, τοὺς δὲ πιστοὺς φαιδρύνεσθαι.
νῦν γὰρ τὸ τερπνὸν ἔαρ ἀνέτειλε, καὶ τὰ τῶν ἐθνῶν αἰσφίνησαν κάλλη· τὰ τῆς ἀμπέλου
κατακομᾷ κλήματα τῶν καρπῶν, τὰ δένδρα τῆς ἐλαίας κυπρίζουσιν, αἱ συκαῖ τοὺς ὀ-
λύνθους προσήνεγκαν, καὶ κινεῖται τῷ ζεφύρῳ πεπυκνωμένα τὰ λήϊα, τὴν τέρψιν τῶν κυμά-
των μιμούμενα τῆς θαλάσσης· πάντα τῇ δεσποτικῇ ἀναλήψει μεθ' ἡμῶν φαιδρύνεται. φέρε
35 τοίνυν, κἀγὼ ἐφ' ὑμῖν τὰ τοῦ Δαβὶδ ἀνακρούσομαι ῥήματα, ἅπερ ἡμῖν προφητικῶς διὰ τὴν δε-
σποτικὴν ἀνάληψιν ἐβόα· Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φω- Ψαλ. μς. α. ε.
νῇ ἀγαλλιάσεως. Κύριος ἐν φωνῇ σάλπιγγος ἀνέβη, ὅπου ἦν· ἀνελήφθη, ὅθεν οὐκ ἐχωρί-
σθη. Ὁ γὰρ καταβὰς, αὐτός ἐστιν ὁ καὶ ἀναβὰς ὑπεράνω τῶν οὐρανῶν· οὐκ ἄλλος ὁ τοῖς προ- Ἐφ. δ. ι.
φήταις ὀφθεὶς, καὶ ἄλλος ὁ τοῖς ἀποστόλοις συνδιατρίψας· οὐκ ἄλλος ὁ ὢν ἐν τοῖς κόλποις τοῦ
40 πατρὸς, καὶ ἄλλος ὁ ἐπὶ Πιλάτου κρινόμενος· οὐκ ἄλλος ὁ ἐπὶ σταυροῦ τοῖς ἥλοις προσηλω-
μένος, καὶ ἄλλος ὁ τοῖς χερουβὶμ ἐποχούμενος· οὐκ ἄλλος ὁ ὑπὸ Ἰωσὴφ τῇ σινδόνι τυλιού-
μενος, καὶ ἄλλος τῇ παλάμῃ τὴν κτίσιν περιδρασσόμενος· οὐκ ἄλλος ὁ ἐν τῷ μνημείῳ κα-
τατιθέμενος, καὶ ἄλλος ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενος· ἀλλ' αὐτὸς τῷ πατρὶ συγκαθή-
μενος, ὁ ἐν τῇ παρθενικῇ μήτρᾳ ἀσπόρως βλαστήσας. ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος

ἐν

ἐν φωνῇ σάλπιγγος· ὁ τῶν αἰώνων ποιητής, ὁ ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι τὰ σύμπαντα παραγαγών, ὁ πλάστης τοῦ Ἀδάμ, ὁ τῆς ἀνθρωπίνης φύσεως παραγωγεύς, ὁ τὸν εὐάρεστον Ἐνὼχ εἰς χωρίον τῆς ζωῆς μεταστήσας, ὁ τὸν Νῶε φυλάξας μεταξὺ τῆς οἰκουμένης, ὁ τὸν πατριάρχην Ἀβραὰμ ἐκ γῆς Χαλδαίων προσκαλεσάμενος, ὁ τυπώσας ἐν τῷ Ἰσαὰκ τὸ τοῦ σταυροῦ μυστήριον, ὁ τὴν δωδεκάκλωνον τεκνογονίαν τῷ Ἰακὼβ χαρισάμενος, ὁ τὴν ὑπομονὴν τῷ Ἰὼβ παρασχών, ὁ ἡγεμόνα τοῦ λαοῦ τὸν Μωϋσῆν προβαλόμενος, ὁ προφητείας ἐκ μήτρας ἐμπλήσας τὸν Σαμουήλ, ὁ τὸν Δαβὶδ εἰς βασιλέα ἐκ τῶν προφητῶν ἑλόμενος, ὁ τὴν σοφίαν τῷ Σολομῶντι παρασχόμενος, ὁ τὸν Ἡλίαν ἐν συσσεισμῷ ἅρματι πυρίνῳ ἀναλαβών, ὁ τοῖς προφήταις ἐμπνεύσας τὴν πρόγνωσιν, ὁ τοῖς ἀποστόλοις τὴν δωρεὰν τῶν ἰαμάτων χαρισάμενος, ὁ τοῖς αὐτοῖς βοήσας, Θαρσεῖτε, νενίκηκα τὸν κόσμον ἐγώ· οὗτός ἐστιν ὁ Κύριος τῆς δόξης, ὁ ἀναληφθεὶς εἰς τοὺς οὐρανοὺς ἐν ἀλαλαγμῷ, καὶ καθίσας ἐν δεξιᾷ τοῦ πατρός. ὑποταγέντων δὲ αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων, αὐτὸς τὰς ἐπιπόνους ψυχὰς ἡμῶν ἀναλαβὼν καὶ νικήσας ἡμᾶς ἀναδείξει τῶν πειρατηρίων τοῦ κόσμου· ὑποτάξει ἡμῖν πᾶσαν τὴν φάλαγγα τῶν ἀκαθάρτων πνευμάτων, λέγων πρὸς ἡμᾶς· Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων· ἀβλαβεῖς τοιγαροῦν καὶ ἀσινεῖς καὶ ἀμώμους, ὑγιεῖς καὶ ὁλοκλήρους διαφυλάξει ἡμᾶς ψυχῇ καὶ σώματι καὶ πνεύματι, πεπληρωμένους καρπῶν δικαιοσύνης καὶ εὐποιΐας, ὁ τῶν ὅλων Θεός, ὁ καταξιώσας ἡμᾶς συναχθῆναι, καὶ τὴν σωτήριον ἐπιτελέσαι ἑορτήν· ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιωαν. ις. λγ. — Λυκ. ι. ιθ.

Λογ. ξδ.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ.

Ex Ms. Caesareo.

Σάλπιγγος ὑψηλοτέρα βοᾷ τὴν φωνὴν ἀνυψῶν, οὐχ ἵνα τέρψῃ ἡδονῆς τὴν ἀκοὴν ἀπατήσω· ἀλλ᾽ ἵνα λέξει τῆς ἀληθείας τὴν ἡδονὴν σβέσω· καὶ παύσω μὲν ἀπὸ λόγου τὴν τῆς γαστρὸς ἐπιθυμίαν, ἐξεγείρω δὲ διὰ πόθου τὴν τῆς νηστείας ἐργασίαν. πόθος γὰρ νηστείας ἐπουράνιον τὸ κέρδος, κέρδος δὲ ἡδυπαθείας ἐπιζήμιον ἀπεργάζεται τὸ βλάβος. ὁ μὲν γὰρ βρώσει κολάζων, καὶ τὴν τῆς γαστρὸς πληρῶν ἐπιθυμίαν, τῆς ψυχῆς ζημιοῖ τὴν ἐπικαρπίαν τὴν πνευματικήν· ὁ δὲ νηστεία τὴν σάρκα μαραίνων, καὶ τῶν βρωμάτων τὴν ἀδηφαγίαν ἀποφεύγων, τῶν κρειττόνων θησαυρίζει τὴν προσδοκίαν. νηστεία γὰρ σωφροσύνην ἐκδιδάσκει, καρτερικὸν κατασκευάζει· νηστεία πρὸς εὐσέβειαν ἀλείφει, καὶ πρὸς ὑπομονὴν γυμνάζει· νηστεία ἀγγελικὴν ποιεῖ τὴν πολιτείαν, καὶ πνευματικὸν ἀποτελεῖ τὸ σῶμα· νηστεία ψυχῆς ἐστι φυλακτήριον, καὶ σώματος ὅπλον ἀκαταμάχητον. οὔτε γὰρ τὴν ἐπίβουλον ἡδονὴν παραδέχεται, καὶ τὴν ἀντιστρατευομένην ἐπιθυμίαν καταγωνίζεται. νηστεία εἰς οὐρανὸν ἀνάγει τὴν διάνοιαν καὶ περὶ αὐτὴν πρὸς τὴν ἀθάνατον φύσιν. νηστεύωμεν τοίνυν, ἀγαπητοί, μὴ σκυθρωποὶ τοῖς προσώποις τὰς ἡμέρας τῶν νηστειῶν διεξερχόμενοι, ἀλλὰ φαιδραῖς ταῖς ψυχαῖς ὡς δούλοις Χριστοῦ πρὸς αὐτὰς διατιθέμενοι. εἰ γὰρ ἐπιθυμῶν τὴν νηστείαν προσελήλυθας, μὴ στύγναζε, ἀλλὰ χαῖρε· καθαίρει γάρ σου τὴν ψυχὴν τὸ δηλητήριον. μὴ περὶ λῆξιν τῆς νηστείας ἐκδέχου, ὧν ἡδέα τὰ βρώματα· ἀλλ᾽ ὑπομένων μακροθύμει ἡδύτερα τῶν βρωμάτων δεχόμενος τὰ διδάγματα. διὰ τοῦτο νηστεύεις ἀπὸ βρωμάτων, ἵνα τραφῇς διὰ τοῦ πνεύματος· καὶ διὰ τοῦτο ἀπέχῃ τῶν σωματικῶν ἐδεσμάτων, ἵνα ἐμπλησθῇς τῶν πνευματικῶν ἀναθημάτων. φάρμακόν ἐστιν ἀναιρετικὸν τῆς ἁμαρτίας

ἡ νηστεία, καὶ κατάπλασμα ψυχῆς μαλακτικὸν πολλῶν πρὸς εὐσέβειαν. καὶ ὥσπερ τὰ χείρονα πάθη δριμυτάτοις τισὶ καὶ συσταλτικωτάτοις καταπαττόμενα, ὃ μὲν σηπτικὸν τοῦ σώματος ἀπορρίπτει· τὸν αὐτὸν τόπον καὶ τὴν ἐνυπομυχεύουσαν ἁμαρτίαν καὶ κατὰ τῆς ψυχῆς νεμομένην συσταλτικωτάτη ὑπεισελθοῦσα νηστεία ἀναξηραίνει μὲν αὐτὴν κατ' ὀλίγον λεπτύνουσα, ἐξαφανίζει δὲ εἰς ἅπαν ἀποκαθαίρουσα. διὰ τοῦτο εἰ καὶ ἐπίπονος ἡ νηστεία, ἀλλ' ὠφέλιμος καὶ εὐπρόσιτος. μὴ τοίνυν λυπούμενος νηστεύσῃς, ἵνα μὴ τὸν κάματον ἀπολέσῃς· μηδὲ γεύσῃς ὅτι ὀλίγον βραδύνας, ἵνα μὴ δι' ὀλίγον τοῦ ὅλου ζημίαν ὑπομείνῃς. ὅσῳ γὰρ νηστεία ὑποστύφει τὸ σῶμα, τοσοῦτον εἰς τῆς νηστείας ὠφέλειαν. ἀνάδραμε ἐπὶ τὰς τῶν δικαίων πολιτείας, καὶ εὑρήσεις αὐτοὺς τὸ πλεῖον διὰ νηστείας εὐδοκιμήσαντας. πρῶτον Μωϋσῆς νηστεύσας ἐπὶ τὸν γνόφον εἰσελήλυθε, καὶ συνόμιλος τῷ Θεῷ διὰ νηστείας γέγονε. τεσσαράκοντα ἡμέρας τὴν νηστείαν ἐπισυνάψας νομοθέτης, διανηστεύσας ἐχρημάτισε· καὶ οὔτε ἄρτον ἔφαγεν, οὔτε οἶνον ἔπιεν· ἤρκεῖτο γὰρ τροφὴ τὴν νομοθεσίαν παρὰ τοῦ νόμου ἐκδιδασκόμενος. ἵνα δὲ μάθῃς πόσον ὠφελεῖ ἡ νηστεία, καὶ πόσον βλάπτει ἡ μέθη νηστείᾳ ἀντιστρατευομένη· κατανόησον τοῖς ὑπὸ Μωϋσέως πραττομένοις, καὶ τοῖς ὑπὸ τοῦ λαοῦ γινομένοις, καὶ εὑρήσεις τὴν δύναμιν τῆς νηστείας. ἄνω Μωϋσῆς τὸν νόμον ἐλάμβανε, καὶ κάτω ὅλως τὸν νόμον ἀνέτρεπε. λυπηθεὶς γὰρ Μωϋσῆς τὸν νόμον συνέτριψεν, οὐκ εὔλογον ἡγησάμενος μεθύουσι τὸν νόμον πιστεύεσθαι, καὶ διανοίαις οἴνῳ βεβαρημέναις λόγια παραδίδοσθαι. βλέπε πόσον ἀδικεῖ ἡ μέθη ἀντιπίπτουσα τῇ νηστείᾳ. ἀλλὰ πάλιν νηστεία τοσοῦτον κακὸν ἐπανορθώσασα ταῖς αὐταῖς χρησάμενος ἡμέραις, πάλιν ἐπανεκαλέσατο τὸν νόμον. μνημόσυνον ἡμῖν καταλέλοιπε πρὸς ἀσφάλειαν βίου καὶ πολιτείας, τάχα διὰ τοῦτο γινομένου καὶ μυστήριόν τι ἐντεινόμενος· ὅτι ἡ μὲν πρώτη νομοθεσία ἀργήσει, συντελουμένη διὰ τὴν τοῦ προτέρου λαοῦ ἀπιστίαν. εἰ δὲ δευτέρα, ἐνήργησε πανταχοῦ διδομένη τοῦ δευτέρου πιστῶς δεχομένου τὸν δεύτερον νόμον, καὶ συμφυλαττόντος. καὶ Ἠλίας δὲ τεσσαράκοντα ἡμέρας νηστεύσας, καὶ μιᾷ τροφῇ τὴν ἔρημον διοδεύσας, οὐκ ᾐσθάνετο καμάτου. νηστεία γὰρ αὐτὸν ἐβάσταζε, τὸν πόνον ἐπικουφίζουσα· καὶ μετὰ νηστείαν Θεὸν ἐθεάσατο, καθὼς οἷόν τε τὴν ἀνθρωπίνην φύσιν κατανοῆσαι. οὐ σωματικοῖς ὀφθαλμοῖς τὸν ἀσώματον ἐθεάσατο, ἀλλὰ καρδίᾳ τὸν ἀόρατον κατανοήσας, κατὰ τὴν τῆς ψυχῆς καθαρότητα. Μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. οὗτος νηστεύσας, τὸν οὐρανὸν ἀπέκλεισε κατὰ τῶν ἀκολάστων, καὶ τρυφῇ τὸν ἑαυτῶν βίον καταδαπανώντων· ἵν' ὅπερ οὐκ εἵλοντο ἰδίᾳ προαιρέσει μετερχόμενοι, τοῦτο διὰ τῆς τοῦ λιμοῦ νηστείας μάθωσι παιδευόμενοι, καὶ γνῶσι, πῶς ὠφέλιμός ἐστιν ἡ νηστεία, καὶ ἐν καιρῷ τρυφῆς τὴν ἑαυτῆς ἐργασίαν ἐπιδεικνυμένη. Δανιὴλ δὲ καὶ αὐτὸς τρεῖς ἑβδομάδας νηστεύσας, καὶ ἄρτον ἐπιθυμιῶν μὴ γευσάμενος, εἰς λάκκον λεόντων διὰ ζῆλον τῶν ἀκολάστων παραδιδόμενος, καὶ λέοντας ἐκεῖ νηστεύειν ἐδίδαξεν. ἐδυσωπήθησαν γὰρ τὸν νηστεύοντα οἱ ἄγριοι θῆρες, ἡμερώτεροι τῶν λογικῶν θηρίων γενόμενοι· καὶ ἀπεκλείσαντο ἰδίων στόμα, τοῦ ἁγίου σώματος ἅψασθαι μὴ κατατολμήσαντες. ὥσπερ γὰρ ὅπλον τῷ ἰδίῳ σώματι περιθέμενος τὴν νηστείαν, καὶ ὅλον ἑαυτὸν δι' αὐτῆς ὀχυρώσας, ἀπεπλάνησε τοὺς ὀφθαλμοὺς τῶν λεόντων, μὴ σῶμα ἀνθρώπινον, ἀλλὰ σῶμα ἀγγελικὸν ἐπιδειξάμενος. καὶ οἱ τρεῖς παῖδες ἐν Βαβυλῶνι, μὴ βουληθέντες τῇ παρανόμῳ τραπέζῃ τοῦ βασιλέως κοινωνῆσαι, ἀλλὰ τῇ κατὰ νόμον νηστείᾳ ἐξακολουθῆσαι, εἰς τὴν ἐξαφθεῖσαν πυρὰν τῆς καμίνου εἰσελθόντες ἔσβεσαν τὴν φλόγα, δρόσον ἀντὶ πυρὸς τὴν κάμινον διὰ νηστείας ἐργασάμενοι· καὶ τῶν μὲν ἀπείρων τῆς νηστείας τὸ πῦρ κατετόλμησε (πάντας γὰρ τοὺς περιεστῶτας Χαλδαίους κατεδαπάνησε) τοὺς δὲ ἐν συνηθείᾳ τῆς νηστείας ὑπανεχώρησε, τοῦ σώματος αὐτῶν ἅψασθαι μὴ δυνάμενον. οὐδὲ γὰρ ὕλη τις ἦν ἐν τῷ σώματι, τῆς νηστείας πνευματικὸν αὐτὸ ἐργασαμένης· ὁμοίως δὲ καὶ Νινευῖται νηστεύσαντες τὸν θάνατον ἀπεκρούσαντο· τρεῖς γὰρ ἡμέρας νηστεία ἐκτε-

Ματθ. ε. η.

ναῖς

νῶς προσκαρτερήσαντες, τὴν αἰώνιον κόλασιν δι' ἡμερῶν ὀλίγων μεταποιήσαντες, αἰώνιον ἔπαινον τῷ κόσμῳ καταλελοίπασιν. ὁρᾶτε, ἀγαπητοὶ, πόσον ἰσχύει νηστεία μετ' εὐχῆς καὶ ἔργων ἐπιτελουμένη. νηστεία γὰρ καὶ δέησις ἐκ θανάτου ῥύεται· δικαιοσύνη δὲ ὑπὲρ ἀμφότερα. νηστεία καὶ θανάτου ἀναίρεσις, καὶ ὀργῆς ἀπολύτρωσις· νηστεία κάθαρσις διανοίας, ἐφόδιον ἐγκρατείας, γυμνάσιον εὐσεβείας, ζυγὸς δικαιοσύνης. οἶδε νηστεία πλουσίους τὸ πένητα ἀπεργάζεσθαι. οὐ γὰρ ἀκαίρως δαπανᾶν συγχωρεῖ, τοῦ μέτρου τὴν αὐτάρκειαν προτεθειμένη. οἶδε καὶ τὸν πλούσιον ἡδέως συγχωροῦσα καταπιάζειν· ἐπίσταται καὶ νεότητος νηστεία ἀμείνω. διδάσκει χαλινοῖ τῶν βρωμάτων, περιτίθησι τὴν ἐγκράτειαν, καὶ σοφῶς ἡνιοχοῦσα πρὸς εὐσέβειαν καὶ σωφροσύνην. οἶδε καὶ πρεσβυτέρους σοφίζειν, καὶ καθαρὸν τὸ τῆς διανοίας φυλάττειν ὄμμα. νηστεία ὑγιεινότερον διατηρεῖ καὶ τὸ σῶμα. οὐ γὰρ βαρυνόμενον ὑπὸ τῶν βρωμάτων ὕλην δέχεται νοσημάτων· ἀλλὰ κουφιζόμενον ἀπὸ τῶν ἐδεσμάτων, εὔρωστον γίνεται πρὸς ὑποδοχὴν τῶν χαρισμάτων. διὰ τοῦτο νηστεύσωμεν, ἀγαπητοὶ, ἵνα τῶν πνευματικῶν ἐπιτύχωμεν δωρημάτων. νηστεύων παιδαγωγεῖ καὶ τὴν ψυχὴν πρὸς εὐσέβειαν, εἰκόνα λαμβάνων τῆς σωματικῆς ἐγκρατείας τὴν κατὰ ψυχὴν ἐπιμέλειαν· ἵνα ὥσπερ ἀπέχει τῶν ἔξωθεν ἐπιστρεφομένων βρωμάτων, οὕτω καὶ τῶν ἐν τῇ διανοίᾳ ἐπαναβαινόντων πονηρῶν ἐνθυμημάτων. Ἐὰν γὰρ, φησι, πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας. ὥσπερ νῦν ἀπέχει βρωμάτων ἀλλασσόμενος. νηστεύεις οἴνου μὴ ἀπολαμβανόμενος· νήστευε καὶ πορνείας ἀπεχόμενος. οἶδε γὰρ ἡ κακία μείζονα μέθην τῇ ψυχῇ κατεργάζεσθαι. νηστεύεις κρεῶν μὴ ἁπτόμενος· νήστευε καὶ καταλαλιᾶς ἀπεχόμενος, ἵνα μὴ δι' αὐτῆς κρέα φάγῃς τῶν ἀδελφῶν, τῶν σαρκῶν αὐτοῦ ἀπογευόμενος. νηστεία γὰρ ἀληθινὴ, ἀποχὴ τῶν ἁμαρτημάτων. ἄκουε τοῦ προφήτου λέγοντος· Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, οὐδὲ ἡμέραν ἄνθρωπον ταπεινοῦν τὴν ψυχὴν αὐτοῦ. ἀλλὰ τί; λύε, φησὶ, πάντα σύνδεσμον ἀδικίας· διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν, περίβαλε. αὕτη, ἀγαπητοὶ, ἀληθινὴ νηστεία, ἡ τῷ Θεῷ προσδεκτή· καὶ πᾶσαι ἀρετὴ ταύτῃ ἐπακολουθεῖ· ἡ τῶν οὐρανῶν κτῆσις, καὶ ἡ τοῦ δεσπότου ἀψευδὴς ἐπαγγελία· τὸ φῶς σου καὶ τὰ ἱμάτιά σου ταχὺ ἀνατελεῖ· τότε βοῶντός σου, εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου, ἐρεῖ, ἰδοὺ πάρειμι. βλέπεις ἡλίκα δῶρα τῆς νηστείας, καὶ πῶς εἰσέρχεται τοῖς εὐδοξίας, ὡς καὶ Θεὸν αὐτὸν δυσωπεῖ πρὸς ἀνθρωπίνην φύσιν παραγίνεσθαι; νήστευε τοίνυν, προσκαρτέρει ταῖς εὐχαῖς, ταῖς συνάξεσι, ταῖς νουθεσίαις, μὴ ἀπολιμπανόμενος τὴν ἐπὶ συναγωγῆς καθὼς ἔθος ἐστὶ· μηδὲ πραγματείαις ἢ δικαστηρίοις δι' ὅλης ἡμέρας· ἵνα μὴ χρήματα συνάξῃς, ἃ σκορπίζειν ὤφειλες· ἢ κατὰ τοῦ ἀδελφοῦ σου ἐντυγχάνῃς, ὃν θεραπεύειν ἐχρῆν· ἔλθῃς εἰς ἑσπέραν, ἢ τὴν ἐνάτην, οὐχ ἵνα νηστείας τελέσῃ τὴν πρόθεσιν, ἀλλ' ἵνα τῆς κοιλίας πληρώσῃς τὴν ὄρεξιν. καὶ μὴ δόξῃς οἴνου μὲν ἀπεχόμενος διὰ τὸ νήφειν, πορνείας δὲ πληρούμενος μεθύειν, ἵνα μὴ ἀκούσῃς, Οὐαὶ οἱ μεθύοντες, οὐκ ἀπὸ οἴνου. μέθη δὲ οὐκ ἔστι νηστείας ὁ χορὸς· ἀλλ' ἐχθρὰ καὶ ἀντίπαλος. ἵνα φθάσωμεν εἰς τὴν ἡτοιμασμένην ἡμῖν ἐλπίδα τῆς ἀναστάσεως, ἐκεῖ μὲν ἀπολαύοντες τῶν ἀποκειμένων ἀγαθῶν, ἐν ταῦθα δὲ ἀγαλλιώμενοι τοῖς προσδοκωμένοις ἐν Χριστῷ Ἰησοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκκλησ. ι δ.

Ἡσ. νη α ε.

Ἡσ. νη. η.

Ἡσ. ε α.

ΕΙΣ

ΕΙΣ ΤΟ, ΕΝ ΘΛΙΨΕΙ ΕΠΛΑΤΥΝΑΣ ΜΟΙ.

Λογ. ξε.
Ψαλ. δ. α.
Ex Ms. Cæsareo.

Ὥσπερ ὁ τῇ ποικιλίᾳ τῶν γλωσσῶν ἀρεσκόμενος, καὶ ῥήματα ἑτερο-
5 γλώσσων εἰδέναι βουλόμενος ἑαυτὸν διδάξαι οὐ δύναται), ἀλλὰ παρὰ
τῶν ἐπισταμένων τῶν Ἑβραίων, ἢ Ῥωμαίων, ἢ βαρβάρων γλῶτταν ὡσαύ-
τως λαλεῖν διδάσκεται· οὕτω καὶ ὁ θέλων νοῆσαι τὰ τοῦ προφήτου ῥήματα
παρακαλεῖν ὀφείλει τὸν Θεὸν τῶν προφητῶν, ἵνα ὁ ἐκείνοις γνωρίσας τὰ
ἑαυτοῦ ῥήματα, καὶ αὐτῷ φανερώσῃ τὰ τούτων νοήματα. δεῦρο τοίνυν, ὦ
10 πιστὴ συνωδία καὶ ὁμόψυχος, ἡ τὴν αὐτὴν ὁδὸν τῆς ζωῆς ἡμῖν ὁδεύουσα, ἡ ἐπὶ τὸ αὐτὸ σκάφος τῆς ἐκ-
κλησίας συνεκπλέουσα ἡμῖν τὴν ἁλμυρὰν καὶ πικρὰν τοῦ βίου θάλασσαν, ἡ ἐν ἑνὶ πνεύματι καὶ
μιᾷ ψυχῇ τὴν τριάδα δοξάζουσα, καὶ ἐπὶ τὸν ἕνα λιμένα τῆς βασιλείας τῶν οὐρανῶν σπεύ-
δουσα, δανείσατέ μοι, παρακαλῶ, τὴν τῆς προσευχῆς ὑμῶν ἄγκυραν. διὰ τί δὲ ταύ-
την αἰτῶ; ἐπειδὴ ἀρτίως ἤκουσα ἑκάστου λέγοντος, Κύριος εἰσακούσεταί μου ἐν τῷ κε-
15 κραγέναι με πρὸς αὐτόν. ἐπεὶ οὖν παραυτὰ εἰσακούεσθε πρὸς τὸν Θεὸν κράζοντες,
οὐ φωνῇ τὸν ἀέρα πληροῦντες, ἀλλὰ πίστει καὶ ἀρετῇ τὸν Θεὸν δυσωποῦντες, ὡς ναύ-
κληροι καὶ ἔμποροι καὶ ναῦται καὶ ἐπιβάται, ἀρχιερεῖς καὶ ἱερεῖς, καὶ κλῆρος καὶ λαός, ὡς κυβερνή-
τῃ πάντῃ τῷ λέγοντι προσευχαῖς βοηθήσατε, ἵνα ἐπὶ τὸν λιμένα τῆς ἀληθείας ὁ λόγος
προσορμισθῇ. διὰ τί δὲ ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΕΝ ΥΜΝΟΙΣ ἐπιγέγραπται
20 ὁ ψαλμὸς τῷ Δαβίδ; ἐπειδὴ κακῶς μὲν ἤρξατο, καλῶς δὲ τὸν βίον ἐτέλεσε, διὰ τοῦτο εἰς τὸ
τέλος ἐν ὕμνοις. ἤρξατο κακῶς, βλέπε. ὅτε εἶδε γυναῖκα λουομένην, ἐκείνη ἐλούετο, καὶ
μίγνυ. οὗτος ἐξελούετο· ἐκείνη ἐσμήχετο, καὶ οὗτος ἐρρυποῦτο· ἐκείνη ἔξωθεν ψυχρῷ ἐνεχεῖτο ὕδα-
τι, καὶ οὗτος ἔνδοθεν ἐνεπυρίζετο. ταῦτα δὲ οὐκ ἦσαν ἄξια ὕμνων καὶ ἐπαίνων, ἀλλὰ ψόγων καὶ
μέμψεων. ὁ σπινθὴρ τῆς ἐπιθυμίας τὴν φλόγα τῆς μοιχείας ἀνῆψεν, ἡ μοιχεία ὠδίνουσα
25 τὸν φόνον ἐγέννησεν. ὁ γὰρ κακὸς ἐραστὴς τὴν ἀμνάδα σφάξας, καὶ τὸν ταύτης ποιμένα ἐ-
φόνευσε. δύο πάθη δύο φόνους ἔδρασαν. ὁ πόθος γὰρ καὶ ὁ θυμὸς ὁπλισάμενοι, ὁ μὲν πόθος
τὴν γυναῖκα ὡς ἀμνάδα ἔθυσεν, ὁ δὲ θυμὸς τὸν ἄνδρα ἐφόνευσεν. ὅτι δὲ ὡς ἀμνάδα τὴν
γυναῖκα ἔθυσεν, ἐπειδὴ ἡ μοιχεία τῆς σωφροσύνης θάνατος. διὰ τοῦτο γὰρ αὐτὴν καὶ ἀμνά-
δα εἶπεν ἡ γραφή, ὅτι ἄσπιλον καὶ ἄμωμον τῷ ἀνδρὶ τὸ σῶμα ἐφύλαττεν. ἔλεγε γὰρ Νά- β. Βασ. ιβ. δ.
30 θαν ὁ προφήτης ἐν τῇ παραβολῇ· ἦλθε δὲ ὁδοιπόρος πρὸς τὸν ἄνδρα τὸν πλούσιον, καὶ ἐ-
φείσατο, καὶ ἔλαβε τὴν ἀμνάδα τοῦ ἀνδρὸς τοῦ πένητος, καὶ ἔσφαξεν, ἀμνάδα τὴν ὕπαν-
δρον διὰ τὴν ἀμίαντον κοίτην καλῶν. Τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος. σφαγὴν Ἑβρ. ιγ. δ.
δὲ τὴν μοιχείαν λέγει, ἐπειδὴ σφαγὴ καὶ φόνος ἡ ὕβρις τῇ σώφρονι. ἀλλ' ἐπειδὴ διὰ νηστείας
ἰπω. ὁ Δαβὶδ τὴν μοιχείαν ἀπέπλυνε, καὶ δάκρυσι τοὺς σπίλους τῶν αἱμάτων ἀπεπίλωσε, καὶ
35 καθ' ἑκάστην νύκτα τὴν κλίνην ἐν δάκρυσιν ἔλουεν, ἐπειδὴ καὶ ἀκαίρως γυναῖκα λουομένην ἐ-
θεώρησε, διὰ τοῦτο, εἰς τὴν ἀρχὴν ἐν ψόγοις, εἰς δὲ τέλος ἐν ὕμνοις, εἰς τὴν ἀρχὴν ὀ-
φθαλμὸς ἐπιθυμίαν βλύζων, εἰς δὲ τέλος ὀφθαλμὸς πηγὰς δακρύων προχέων, εἰς δὲ
τέλος ἐν ὕμνοις ψαλμὸς τῷ Δαβίδ. ἡ πρᾶξις τῆς μετανοίας, ὁ καρπὸς τῆς σωτηρίας
καὶ ἐπειδὴ οὗ ἐπλεόνασεν ἡ ἁμαρτία, ἐκεῖ ἐπερίσσευσεν ἡ δικαιοσύνη, διὰ τοῦτο ἔλεγεν, Ἐν Ψαλ. δ. α.
40 τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου. ἐπειδὴ γὰρ τὴν ἁμαρτίαν
ὡς τυραννίδα ἔρριψα, τὴν δικαιοσύνην ὡς βασιλείαν ἐφόρεσα, εἰσήκουσεν ὁ Θεὸς τῆς δι-
καιοσύνης μου. ἐπειδὴ γὰρ δίκαιον πρᾶγμα ἦν πλανηθέντα ἐπιστρέψαι με, καὶ πεσόντα ἀνα-
στῆναί με, καθὼς γέγραπται, Ἑπτάκις πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται· ἐπεὶ οὖν ἀδίκως ἔ- Παροιμ. κδ.
πεσα, δικαίως δὲ μετενόησα, εἰσήκουσεν ὁ Θεὸς τῆς δικαιοσύνης μου. δικαιοσύνην γὰρ αὐτοῦ ις.

νῦν λέγει ὁ Δαβίδ, τὴν μετάνοιαν. ὥσπερ γὰρ τὸ ἁμαρτῆσαι, καὶ μὴ μετανοῆσαι διπλοῦν ἐστιν ἁμάρτημα· πρῶτον, ὅτι ἔπεσε, δεύτερον, ὅτι ἀναστῆναι οὐκ ἠθέλησε (διὰ τοῦτο ὁ Θεὸς καὶ τῷ Καῒν ὠργίζετο, οὐχ οὕτως ὅτι ἐφόνευσεν, ὅσον φονεύσας, ὅτι οὐ μετενόησεν) οὕτω τὸ ἁμαρτῆσαι καὶ μετανοῆσαι, ἐν αὐτῇ τῇ μετανοίᾳ τὴν δικαιοσύνην καρποῦται· μᾶλλον δὲ αὐτὴ ἡ μετάνοια εἰς δικαιοσύνην αὐτῷ λογίζεται. ἐπεὶ οὖν καὶ τὴν τοῦ Δαβὶδ μετάνοιαν ὁ Θεὸς 5 ὡς δικαιοσύνην ἐδέξατο, διὰ τοῦτο λέγει· Εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου. Εἶδεν ὁ Θεὸς καθαρθεῖσαν τὴν ψυχὴν, καὶ ἐδέξατο τὴν προσευχὴν τῆς δεήσεως· χάρτης ἐγράφη τοῖς δάκρυσι, καὶ δυσωπηθεὶς ὁ βασιλεὺς τῷ διὰ τῶν δακρύων γράμματι ὑπέγραψεν. ἡ ἐπιγραφὴ ἐν τῷ περὶ τούτου ψαλμῷ τὸν διωγμὸν τὸν ὑπὸ τοῦ Ἀβεσσαλὼμ ὠδύρετο, καὶ φεύγων υἱὸν ἠγωνίετο, καὶ πολεμῶν τὸ ἴδιον σπλάγχνον οὐκ ἠδύνατο, προσευ- 10 χὴ δὲ μεσιτεύσασα τὸν τύραννον ἐκρέμασε, καὶ τὸν τυραννούμενον περιέσωσεν, ὡς ἐρωτηθεὶς πῶς τὸν Ἀβεσσαλὼμ ἐνίκησε, πῶς τὸν δεύτερον Γολιὰθ κατέβαλεν, ἀπεκρίνατο· πῶς τὴν ἄρκτον ἐνίκησα, προσευχῇ ὁπλισάμενος. ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου. ἄνω ἡ προσευχὴ ἀνεφέρετο, καὶ κάτω τύραννος ἐπὶ τὸ δένδρον ἐκρέματο. ὥσπερ γὰρ ἁμαρτήσαντί μοι Θεὸς αὐτὸν κατ' ἐμοῦ ἤγειρεν, οὕτω μετανοήσαντι ὑπό- 15 στρωμα καὶ καταπάτημα τῷ στρατοπέδῳ μου ἐποίησε. καὶ νῦν ἁμαρτανόντων ἡμῶν Θεὸς ἡμῖν ἐπεγείρει τοὺς ἐχθρούς· ἀλλὰ πολεμούμενοι, οὐκ ἔχομεν χρείαν τοῦ ἀντιπολεμεῖν αὐτοῖς, ἀλλὰ μᾶλλον ἑαυτοὺς λογοθετήσωμεν, καὶ εἴ τι ἡμάρτομεν, διορθωσώμεθα, καὶ ὀψόμεθα τοὺς ἐχθροὺς πίπτοντας πρὸ τῶν ὀφθαλμῶν ἡμῶν. διὰ τοῦτο γὰρ καὶ παρηγγέλθημεν μὴ ἀμύνασθαι τοὺς ἐχθρούς, ἐπειδὴ δι' ἁμαρτίας αὐτοὺς πολλάκις ὁ Θεὸς ἐπεγείρει καθ' ἡμῶν· καὶ οὐδὲν 20 ἀνυόμεν πολεμοῦντες ἐκείνοις, οὓς ὁ Θεὸς ἐπήγειρε καθ' ἡμῶν. θέλεις ἰδεῖν τὸ πτῶμα τῶν πολεμούντων σε; μετανόησον ἐφ' οἷς ἥμαρτες, καὶ οἱ ἐχθροὶ πίπτουσι. Θεὸν δὲ Κύριον ἐκάλει ὁ

α. Κορ. α. λ. Δαβὶδ τὸν Χριστὸν, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. * * * Εἰ οὖν ἐν δεξιᾷ τοῦ Θεοῦ ὁ Χριστὸς, καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, ἐμεσίτευσε δὲ τῇ εὐχῇ τοῦ Δαβὶδ τὸ εἰσακουσθῆναι, οὐχ ἑαυτῷ, ἀλλὰ τῷ Χριστῷ ἐλο- 25 γίσατο εἰπὼν, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου. διὰ τί δὲ ἐν αὐτῷ τῷ ἐπικαλεῖσθαι εἰσηκούσθη ὁ Δαβίδ; διὰ τί; ἐπειδὴ ἐλεγχόμενος ὑπὸ τοῦ Νάθαν εὐθὺς εἰς μετάνοιαν ἐκάμφθη. ἐπεὶ οὖν ὑπήκουσε νουθετούμενος, εἰσηκούσθη προσευχόμενος. οὐκ ἐχρόνισεν αὐτὸς πρὸς μετάνοιαν, καὶ οὐκ ἐβράδυνεν ὁ Θεὸς εἰς πρόνοιαν. ὥσπερ γὰρ δεσπότης παρὰ δούλου ἱκετευόμενος, καὶ βασιλεὺς παρὰ στρατιώτου, ἐν οἷς κατορθώματα· καὶ ὁ μὲν δοῦ- 30 λος, ἐὰν οὐ γέγονε προδότης καὶ μισοκύριος, ὁ δὲ στρατιώτης, εἰ γέγονεν ὑπὲρ βασιλέως φιλοκίνδυνος, καὶ αἰούστατος· οὕτω καὶ ὁ θεοφιλὴς, ἐὰν ὡς δοῦλος καὶ στρατιώτης εὐαρεστῇ τῷ Θεῷ, Ισ. καὶ ταχέως ὑπακούῃ κελευόμενος, τότε ταχύτερον εἰσακούεται προσευχόμενος. καὶ οὐκ ἐγὼ ταῦτα λέγω· ἄκουσον δὲ τοῦ Θεοῦ ἐν Ἡσαΐᾳ λέγοντος· θέλεις ἵνα ἐν τῷ ἐπικαλεῖσθαί

Ησ. νη. ς. σε εἰσακούω σου; πρόσεχε ἀκριβῶς ὃ λέγω σοι, ποίησον. Λύε πάντα σύνδεσμον ἀδικί- 35 ας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, πᾶσαν συγγραφὴν ἄδικον διάσπα, διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. τότε βοήσει, καὶ ὁ Θεὸς εἰσακούσεταί σου· ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι. γενοῦ τοιοῦτος, ἄνθρωπε, καὶ δυνήσῃ λέγειν, ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου. ἐκέκραξεν 40 ὁ πηλὸς, καὶ εἰσήκουσεν ὁ κεραμεύς· ἐπεκαλέσατο ἡ γῆ, καὶ ἐπήκουσεν ὁ οὐρανός. εἰρηκὼς τοίνυν ὁ Δαβὶδ τοῖς πλησίον ὅπως ταχέως εἰσηκούσθη, τρέπει τὸν λόγον, καὶ τῷ εἰσακούσαντι εὐχαριστεῖ λέγων· Ἐν θλίψει ἐπλάτυνάς μοι. ἐπλάτυνε δὲ αὐτῷ ὁ Θεὸς κατὰ δύο τρόπους, καὶ ὅτι εἰσήκουσε, καὶ ὅτι ταχέως αὐτοῦ ἤκουσεν. ὥσπερ γὰρ τὸ μὴ ταχέως εἰσακουσθῆναι,

σθῆναι, θλίψις ἐστὶ καὶ ἥμισυ χάριτος· οὕτω δὲ ταχέως εἰσακουσθῆναι πλατύτης καὶ διπλῆ χάρις. τὸ οὖν ταχέως καὶ παραυτὰ εἰσακουσθῆναι ἐν θλίψει, πλάτος ἐλέγχει. ἐν θλίψει ἐπλάτυνάς μοι. τὰ κύματα τῶν θλίψεων ἡ ταχεῖα γαλήνη διέλυσεν· ἡ ἀφρίζουσα θάλασσα ἐσωπερεσιν ἐγένετο· αἱ καταιγίδες καὶ αἱ θύελλαι εἰς δρόσον μετεβλήθησαν· οἱ ἐχθροὶ καὶ πολέμιοι, ἱκέται καὶ προσκυνηταὶ γεγόνασιν. ἐν θλίψει ἐπλάτυνάς μοι. οὐδέπω ὡς βρέφος τὸ στόμα ἀνέῳξα, καὶ ἤδη μοι ὡς μήτηρ ἡ πρόνοια τοῦ Θεοῦ τὸν μαστὸν ἐνέθηκεν. ἐν θλίψει ἐπλάτυνάς μοι. λιμῷ με τηκόμενον ἀπὸ καρποῦ, σίτου, οἴνου, καὶ ἐλαίου ἐπλούτισεν· ὡς μὴ μόνον ἐμὲ, ἀλλὰ καὶ πάντας τοὺς ὑπ' ἐμὲ ἀπολαῦσαι. διὸ ὑποκαταβὰς λέγει· Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. ἀπὸ καρποῦ σίτου, καὶ οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. ἡ ε * * ων περιουσία ἐμοὶ εὐωχία. ἐν θλίψει ἐπλάτυνάς μοι. καθ' ἱστορίαν δὲ ἐν θλίψει ἐπλάτυνεν αὐτῷ ὁ Θεὸς τοῦτον τὸν τρόπον. ὅτε ὑπὸ τοῦ Ἀβεσσαλὼμ πολεμούμενος ἔφυγεν ἐν ταῖς ἐρημίαις καὶ ἐν τοῖς ὄρεσι, λιμῷ καὶ ἀνάγκῃ ὡς ἐν διωγμῷ ἐκρατήθη. ἀλλ' ἐν τῇ ἀνάγκῃ τοῦ λιμοῦ ὁ Θεὸς αὐτῷ ἀριστοφόρους ἄνδρας ἄφνω, ὡς τῷ Ἠλίᾳ τοὺς κόρακας, ἔπεμψε. καὶ πρῶτος ὁ Σιβᾶ, ὁ ἐκ τοῦ οἴκου Σαοὺλ τοῦ ἐχθροῦ αὐτοῦ ἤνεγκεν αὐτῷ ἄρτους διακοσίους, καὶ οἶνον, καὶ παλάθας, καὶ σταφίδας. εἶτα μετὰ τοῦτον Βερζελλῆς ὁ Γαλααδίτης καὶ ἄλλος αὐτῷ προσήνεγκε δέκα κοίτας, ἵνα μὴ χαμευνῇ, καὶ ἀμφιτάπητας τοὺς λεγομένους τυλοτάπητας, καὶ οἴνου κεράμια, καὶ πυροὺς, καὶ κριθὰς, καὶ ἄλευρον, καὶ κύαμον, καὶ φακὸν, καὶ βούτυρον, καὶ πρόβατα, καὶ γαλαθηνὰ μοσχάρια. ἐπεὶ οὖν ἐν τῇ στενοχωρίᾳ καὶ τῇ θλίψει τοῦ λιμοῦ καὶ τοῦ διωγμοῦ, εὐθηνίαν αὐτῷ ὁ Θεὸς πρὸς ἀπόλαυσιν ἔδωκεν, εὐχαριστῶν λέγει, ἐν θλίψει ἐπλάτυνάς μοι. ὅτε ὁ λιμὸς πλέον τοῦ Ἀβεσσαλὼμ ἐπολιόρκει με, τότε μοι ὁ Θεὸς τὴν ἔρημον γῆν ῥέουσαν μέλι καὶ γάλα ἐποίησε. μηδεὶς οὖν ἡμῶν διὰ τὸν Θεὸν διωκόμενος λιμὸν φοβηθῇ. Οὐ λιμοκτονήσει γὰρ Κύριος ψυχὴν δικαίου. ἐθλίβετο, καὶ ἐπλατύνετο. ἀλλὰ καὶ ὁ τῶν μαρτύρων χορὸς ἐθλίβετο μὲν μαστιζόμενος, ἐπλατύνετο δὲ ὡς νικητὴς στεφανούμενος· ἐθλίβετο ταῖς μάστιξι πιεζόμενος, ἐπλατύνετο ὡς σῖτος ὥριμος εἰς τὰς ἐν οὐρανῷ ἀποθήκας συγκομιζόμενος· ἐθλίβετο ὡς πηλὸς πατούμενος, ἐπλατύνετο οὐρανὸς γινόμενος· ἐθλίβετο ὡς ἄργυρος χωνευόμενος, ἐπλατύνετο ὡς κειμήλιον τῷ Θεῷ προσφερόμενος. ἐν θλίψει ἐπλάτυνάς μοι. ἔλεγε καὶ λῃστὴς ἐπὶ τοῦ σταυροῦ θλιβόμενος, καὶ μετάρσιος ἐν παραδείσῳ γινόμενος, ἐν θλίψει ἐπλάτυνάς μοι· ὁ τῶν πρόσθεν φονεύς, τοῦ παραδείσου νομάς· ὁ ἐπὶ γῆς καταδίκας, τῶν οὐρανίων κάτοικος· ὁ κάτω προσπαλούμενος, ἄνω πολιτογραφούμενος· ὁ τοῦ τυράννου ὀπαδὸς, τοῦ βασιλέως ἀκόλουθος· ὁ τοῦ πυρὸς ἄξιος, βασιλείας μέτοχος. ἐν θλίψει ἐπλάτυνάς μοι. ἀπὸ τοῦ λῃστοῦ, καὶ τοῦ σταυροῦ ἡ σωτηρία ἤρξατο. ἐπειδὴ γὰρ ὁ πρῶτος ἄνθρωπος ἀπὸ τοῦ ξύλου γευσάμενος, ὡς λῃστὴς, τοῦ παραδείσου ἐξεβλήθη, πρῶτος λῃστὴς ἐπὶ ξύλου πιστεύσας, εἰς τὸν παράδεισον εἰσήχθη. ἀπὸ ξύλου ἡ ἁμαρτία ἤρξατο, καὶ ἀπὸ ξύλου ἡ σωτηρία ἀνήνθησε. καὶ διὰ τί ὁ Χριστὸς σταυρούμενος τὸν λῃστὴν πολίτην οὐρανοῦ ἐποίησε; πρῶτον ἵνα μάθῃ ὁ κόσμος καὶ πάντες ἄνθρωποι, ὅτι ἐὰν τὸν ἐσταυρωμένον, ὡς ὁ λῃστὴς, Κύριον καὶ βασιλέα ὁμολογήσωσι, τῆς ὁμοίας τιμῆς ἀπολαύσουσι. δεύτερον δὲ, ἵνα πάντες θεασάμενοι ὅτι ὁ Χριστὸς τῷ λῃστῇ τὰς ἁμαρτίας ἐπὶ τοῦ σταυροῦ συνεχώρησε, πιστεύσωσιν ὅτι καὶ τὸ οἰκουμενικὸν χειρόγραφον ἐπὶ σταυροῦ ἐξήλειψεν. ὥσπερ γὰρ γεωργὸς μίαν ἐγκεντρίσας καλλιέλαιον, καὶ εὐθαλῆ καὶ εὔκαρπον ἀποδείξας, ἀπὸ τῆς μιᾶς καὶ τὰς ἄλλας ἐμπιστεύεται· οὕτω καὶ ὁ Χριστὸς τὸν λῃστὴν ὡς ἀγριέλαιον εἰς καλλιέλαιον ἐνεκέντρισε, καὶ ἐπιστεύθη ὅτι καὶ πάντα τὰ ἔθνη ἐγκεντρίσαι καὶ μεταφυτεῦσαι εἰς τὸν παράδεισον δύναται. ὁ γὰρ τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου ἐκβαλὼν ὡς ἀκάνθας, αὐτὸς τὸν λῃστὴν ὡς ῥόδον εἰς τὸν παράδεισον μετεφύτευσεν· ὅθεν ἐκεῖ, ὡς ἐν μοναστηρίῳ

Ψαλ. δ.

Παροιμ. ι. γ.

ἀσκοτής, ψάλλει λέγων· ἐν θλίψει ἐπλάτυνάς με. ἐθλίβετο δὲ ὁ λῃστής, οὐχ ὅτι αὐτὸς τῷ ξύλῳ προσήλωτο, ἀλλ' ὅτι ὁ υἱὸς τοῦ Θεοῦ μετὰ λῃστῶν ἐσταύρωτο. ὅθεν καὶ ἔλεγε, Καὶ ἡμεῖς μὲν δικαίως (ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν) οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν. ἁρμοστέον δὲ ἀκολούθως καὶ τὰ ἑξῆς ῥήματα τῷ λῃστῇ, ἃ ἔλεγεν ἐπὶ τοῦ σταυροῦ, τῷ Χριστῷ ὡς Θεῷ προσευχόμενος. οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. οἰκτείρησόν με, συγχωρῶν μοι τὰ τῆς λῃστείας παραπτώματα. ὡς δικαστὴν σε ὁρῶ ἐπὶ βῆμα ὑψηλόν, τὸν σταυρόν. ὡς καταδίκος ἐγὼ ἐπὶ ξύλου κρέμαμαι. οἰκτείρησόν με. Εἶπον, Μνήσθητί μου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. εἰσάκουσον τῆς προσευχῆς μου. Εἶτα ὡς ἐθεάσατο τὴν κτίσιν τῷ κτίστῃ συμπάσχουσαν, καὶ τὸν κόσμον, ὡς ἕνα οἶκον, σειόμενον (θεμελίου γὰρ πάσχοντος ὁ οἶκος συνέπασχεν, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, καὶ τοῦ οἰκοδόμου κρεμαμένου τὸ ἔργον ἐλύετο) ἐπεὶ οὐρανὸς καὶ ἡ γῆ κατὰ τῶν κυριοκτόνων ἐστασίαζεν, οἱ δὲ οὐ κατενύγησαν, ἐπιτιμᾷ αὐτοῖς ὁ λῃστής· υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἔξω Λάζαρον τὸν τετραήμερον ἀπὸ τοῦ τάφου ἰδόντες οὐκ ἐπιστεύσατε· καὶ νῦν ὅτι τὰ μνήματα νῦν ἠνοίγησαν, καὶ νεκροὶ πολυήμεροι τῆς φωνῆς τοῦ σταυρωθέντος ἀκούσαντες ἀνέστησαν. νεκροὺς ὁ σεισμὸς ἀνέστησε, καὶ ὑμεῖς τῇ ἀπιστίᾳ καθεύδετε. ἕως πότε βαρυκάρδιοι; πέτραι ὡς ἀράχναι σχίζονται, καὶ ὑμεῖς τῷ φόβῳ οὐ περισχίζεσθε. ἕως πότε βαρυκάρδιοι; καὶ διὰ τί βαρυκάρδιοι; τοῦτο μὲν, διὰ τὸ μὴ κατανυγῆναι τοῖς θαύμασι· τοῦτο δὲ, διὰ τὸ ἐξ ἀφροσύνης βαρέως κατὰ τοῦ Θεοῦ ὀργίζεσθαι. μάρτυς ἡ γραφὴ εἰποῦσα, Βαρὺ λίθος, καὶ δυσβάστακτον ἄμμος· ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων. βαρὺ λίθος, ἀλλὰ τῇ πολυχειρίᾳ μετάγεται, καὶ ὡς πτερὸν ἐν ἀέρι κρέμαται· δυσβάστακτον ἄμμος, ἀλλ' ὑπὸ θαλάσσης ἐν σανίδι βαστάζεται. ὀργὴ δὲ ἄφρονος, τοῦ Ἑβραίων λαοῦ, βαρυτέρα ἀμφοτέρων, ὅτι οὔτε νουθεσίᾳ θέλγεται, ἀλλὰ καὶ θαύματα βλέπων ὀργίζεται. ἵνα τί ἀγαπᾶτε ματαιότητα, τὸν Βαραββᾶν τοῦ Χριστοῦ προτιμήσαντες, τὸν φονέα ὑπὲρ τὸν ζωοποιόν; ἵνα τί ἀγαπᾶτε ματαιότητα, τὴν βασιλείαν τοῦ Καίσαρος τῆς βασιλείας τῶν οὐρανῶν προκρίναντες; τὴν ζῶσαν πηγὴν καταλείψατε, ἧς τὸ νᾶμα τὴν Σαμαρεῖτιν ἄδιψον ἐποίησε, καὶ λάκκους συντετριμμένους ὠρύξατε. ἵνα τί ἀγαπᾶτε ματαιότητα; τῷ προδότῃ μαθητῇ ἐμαθητεύσατε, καὶ τῷ διδασκάλῳ ἐπιβουλεύσατε. ἵνα τί ἀγαπᾶτε ματαιότητα; ἐπὶ τούτοις καὶ ζητεῖτε ψεῦδος, τὴν ἀλήθειαν ἀποστρεφόμενοι. καὶ πότε τὸ ψεῦδος ἐζήτησαν; ὅτε ψευδομάρτυρας ἀγοράσαντες κατὰ τοῦ Κυρίου ἔστησαν, ὅτε τοὺς συκοφάντας ἐμισθώσαντο. μάρτυς ὁ εὐαγγελιστὴς Μάρκος· Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν ψευδομαρτυρίαν κατὰ τοῦ Ἰησοῦ. καὶ ζητεῖτε ψεῦδος. Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρον μὴ διδόναι. καὶ πῶς ἐκώλυσεν ὁ εἰπὼν, ἀπόδοτε τὰ Καίσαρος Καίσαρι; καὶ ζητεῖτε ψεῦδος. Ἀνασείει τὸν λαὸν διδάσκων. καὶ ζητεῖτε ψεῦδος. Εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. καὶ τί ἐκακοποίησεν; ὅτι νόσους ἐδίωξεν, ὅτι δαίμονας ἐφυγάδευσεν, ὅτι νεκροὺς ἤγειρεν, ὅτι ἐκ πέντε ἄρτων ἰσαρίθμους χιλιάδας ἔθρεψεν; ἔτι ἡ τροφὴ ἐν τῷ λάρυγγι, καὶ τὸ ψεῦδος ἐν τῷ στόματι. καὶ ζητεῖτε ψεῦδος. φύγωμεν, ἀγαπητοί, τὸ ψεῦδος, ὡς μάχαιραν ψυχῆς. Στόμα γὰρ, φησι, καταψευδόμενον ἀναιρεῖ ψυχήν, οὐ τὴν τοῦ συκοφαντουμένου, ἀλλὰ τὴν τοῦ ψευδομένου. οὐχ οὕτως ὁ βάρβαρος ἀπὸ τῆς κόμης, καὶ ὁ στρατιώτης ἀπὸ τῆς χλαμύδος, ὡς ὁ χριστιανὸς ἀπὸ τοῦ μὴ ψεύδεσθαι γνωρίζεται. καὶ καθάπερ ἐν τοῖς πολέμοις, ἀπὸ τοῦ συνθήματος οἱ φίλοι καὶ οἱ ἐχθροὶ δοκιμάζονται· οὕτω καὶ ἐν τῷ πολέμῳ τῶν ἀνθρωπίνων πραγμάτων οἱ φίλοι τοῦ Θεοῦ ἀπὸ τοῦ ἀληθεύειν καὶ μὴ ψεύδεσθαι γνωρίζονται, οἱ δὲ ψευδόμενοι, ὡς ἰδίᾳ μαχαίρᾳ, τῇ γλώσσῃ φονεύονται. στόμα οὐκ εἰδὸς ὀμνύειν ἢ ψεύδεσθαι, ταχέως τὸν Θεὸν ἐν προσευχαῖς δυσωπεῖ. Εἰ γὰρ ἡμεῖς οἰκέτην ἢ φίλον μὴ ψευδόμενον αἰδούμεθα, καὶ ὑπὲρ ὧν παρακαλεῖ πειθόμεθα, πολλῷ μᾶλλον ὁ Θεὸς

Λουκ. κγ. μα. — Παροιμ. κζ. γ. — Ἰωάν. ιθ. ιε. — Ἱερεμ. β. ιγ. — Ἰωάν. δ. ιδ. — Μάρκ. ιδ. νε. — Λουκ. κγ. β. — Σοφ. α. ια.

τὸν μὴ ψευδόμενον δυσωπούμενος, παρέχει αὐτῷ τὰ ὠφέλιμα. καθάπερ γὰρ ὁρῶν καὶ ἄσπιλον τὴν γλῶτταν τὴν ἀληθεύουσαν, τὰ ῥήματα αὐτῆς δέχεται, ὡς ἐπιδόξου ξένια. οὕτω τὸ ψεύδεσθαι κακόν, ὅτι καὶ αὐτοὶ οἱ ψεῦσται μισοῦσι τὸν ψευδόμενον. καθάπερ ἀπὸ οἰκίας ἐμπρησμόν, οὕτω τὸ ψεῦδος ἀπὸ τοῦ στόματος ἀπόρριψον· ὡς φλόγα ἐν κοιτῶνι, οὕτω τὴν ἐπιορκίαν ἐν τῇ γλώσσῃ κατάσβεσον. ὁ τῆς οἰκίας ἐμπρησμὸς ὕλην καὶ σῶμα ἐν γεέννῃ δαπανᾷ. ἐὰν εἴπω, μὴ ὑβρίσῃς, προβάλλῃ μοι τὸν θυμόν· ἐὰν εἴπω, δὸς χρήματα πένησι, πενίαν καὶ παιδοτροφίαν ἐνορᾷς. τὸ μὴ ὀμόσαι, ἢ μὴ ψεύσασθαι, οὐκ ἔστι χρήματα ἐκ βαλαντίου δαπανώμενα. καὶ ἵνα τί οὐ κατορθοῦμεν δικαιοσύνην ἀδάπανον; οὐχ οὕτω πρέπει τῷ βασιλεῖ ἡ πορφύρα, καὶ τὸ διάδημα, ὡς χριστιανῷ τὸ μὴ ψεύδεσθαι. διὰ τοῦτο αὐτὸν αἰδοῦνται καὶ συγγενεῖς, καὶ φίλοι, καὶ γείτονες, καὶ συναλλάκται· διὰ τοῦτο αὐτὸν φοβοῦνται οἱ δαίμονες, καὶ φιλοῦσιν οἱ ἄγγελοι, καὶ χαίρουσιν αὐτῷ αἱ πύλαι τῆς βασιλείας τῶν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ, ΚΑΙ ΠΕΡΙ ΣΥΝΤΕΛΕΙΑΣ ΤΟΥ αἰῶνος τούτου, καὶ δευτέρας παρουσίας, ἀδιαδόχου τε τῶν δικαίων βασιλείας, καὶ ἀτελευτήτου τῶν ἁμαρτωλῶν κολάσεως· ὑπόθεσίς τε ἐξομολογήσεως, καὶ πρὸς τὴν τῶν θείων γραφῶν μελέτην προτροπή, τίνες τε αἱ μεθοδεῖαι τοῦ ἐχθροῦ, καὶ τί τὸ τῆς ἡσυχίας ὠφέλιμον.

Λογ. ξϛ.

Ex Ms. Caesarco.

ΛΑμπρὸς ὁ βίος τῶν δικαίων. πῶς δὲ λαμπρύνεται, ἀλλ' ἢ διὰ τῆς ὑπομονῆς; ταύτην κτησάμενος, ἀγάπησον (ὦ ἀδελφέ) ὡς τῆς ἀνδρείας μητέρα. ὁ μὲν γὰρ ψαλμῳδὸς παραινεῖ λέγων· Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ. (Ψαλ. λϛ. λϛ.) ὁ δὲ Παῦλος ὅπως κτήσῃ τὴν ἀρετήν, λέγει· Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· (Ῥωμ. ε. γ.) ταύτην μετερχόμενος, εὑρήσεις τὴν πηγὴν τῶν ἀγαθῶν, τὴν ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνεται. ὑποτάγηθι τοίνυν τῷ Κυρίῳ, καὶ ἱκέτευσον αὐτῷ, καὶ εὑρήσεις ἐκ τούτου τό, Καὶ δώῃ σοι τὰ αἰτήματα τῆς καρδίας σου. (Ψαλ. λϛ. δ.) τί τούτου μακαριώτερον, τοῦ κεκτῆσθαι βασιλέως τοιούτου ἀκοὴν εὐήκοον; τίς οὐ θελήσει ἀνεῳγμένην ἔχειν καὶ ὑπακοῦσαι τοῦ κριτοῦ τὴν ἀκοήν; ἐργάτης τυγχάνεις τῆς ἀρετῆς, ἀδελφέ· ἐμισθώσατό σε Χριστὸς εἰς τὸν ἀμπελῶνα αὐτοῦ· ὡς καιρὸν ἔχεις, ἐργάζου τὸ ἀγαθόν. ἄκουσον τοῦ Παύλου λέγοντος· Ὃ δ' ἂν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. (Γαλ. ϛ. ζ.) σπεῖρον εἰς τὸ πνεῦμα, ἵνα θερίσῃς ζωὴν αἰώνιον. Ὁ γὰρ σπείρων εἰς τὸ σῶμα, φησίν, ἐκ τοῦ σώματος θερίσει φθοράν. ἄκουε τοῦ καλοῦ παραινέτου λέγοντος· Σπείρατε ἑαυτοῖς δικαιοσύνην, τρυγήσατε καρπὸν ζωῆς· (Ὠσηὲ ι. ιβ.) μὴ ὀλιγώρει ἐν τῷ κάμνειν, ἔμπροσθεν ὁρῶν τὴν ἐλπίδα. ὅπου γὰρ ἀγῶνες, ἐκεῖ καὶ βραβεῖα· ὅπου πόλεμοι, ἐκεῖ καὶ τιμαί· ὅπου ἡ πάλη, ἐκεῖ καὶ ὁ στέφανος. εἰς ταῦτα ἀφορῶν, ἐπάλειφε σεαυτὸν διὰ ὑπομονῆς· ὑπόφωνει σεαυτῷ πάντοτε μετὰ τῶν ἁγίων βοῶν· Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον· (Ψαλ. κϛ. κ.) Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, καὶ παρασκευάζου εἰς τὸν ἀγρόν· (Παροι. κδ. κζ.) ἀγρὸς γάρ ἐστιν οὗτος ὁ βίος· λάβε τὴν παλαιὰν διαθήκην. Περίσφιγξον τὸ κτῆμά σου ἀκάνθαις. (Σειρ. κη. κζ.) ποίαις; τῇ νηστείᾳ, τῇ προσευχῇ, τῇ διδασκαλίᾳ. ἐὰν ἔχῃς τὸν φραγμόν, οὐκ ἐμβήσεται τὸ θηρίον, τὸν διάβολον λέγω. ὡς ἄμπελον καλὴν γεώργει σου τὴν ψυχήν. καὶ ὥσπερ οἱ τοὺς ἀμπελῶνας φυλάσσοντες κροτοῦσι τῇ χειρί, βοῶσι τῇ φωνῇ, καὶ διὰ τῶν κτύπων ἱστῶσι τοὺς ἐπιβουλεύοντας· οὕτω καὶ σὺ βόησον τῇ προσευχῇ, ἀλάλαξον τῇ ψαλμῳδίᾳ, καὶ ἀποδιώξεις τὸ δολερὸν θηρίον, τὴν ἀλώπε-

κα, ἥτις ἐστὶν ὁ διάβολος· περὶ οὗ ἔλεγεν ἡ γραφή· Πιάσατε ἡμῖν μικροὺς ἀλώπεκας, καὶ τὰ ἑξῆς. (Ἀσμ. β ιε.) τήρει πάντοτε τὸν ἐχθρόν· ἐὰν ἔλθῃ κατατοξεῦσαί σου τὴν καρδίαν εἰς ἐπιθυμίαν ἄτοπον, καὶ ἐὰν καταφενδονᾷ τὴν ψυχήν σου ἔλθῃ, προσβάλλων ῥυπαροὺς λογισμούς· ἀντίστησον τὸν θυρεὸν τῆς πίστεως, περίθου τὴν περικεφαλαίαν τῆς ἐλπίδος, σπάσαι τὴν μάχαιραν τοῦ πνεύματος, ἥτις ἐστὶ ῥῆμα Θεοῦ· καὶ οὕτως ὁπλιζόμενος κατὰ τοῦ ἐχθροῦ, ὑπόμενον, καὶ μὴ ὀλιγώρει ἐν τῷ πολέμῳ, ἀλλὰ νῆφε ἐν πᾶσι.

* * *

* * *

Ἐπιφέρει ὁ ἐχθρὸς ποτὲ μὲν εὐρυχωρείας, ποτὲ δὲ θλίψεις. πρὸς ὃ γὰρ δοκιμάζει τὴν διάθεσιν τοῦ ἀνθρώπου ἐγκειμένην, πρὸς αὐτὸ καὶ αὐτὸς στρατεύεται, διὰ περιεργίας παρατάσασθαι· δεῖ (ἀδελφέ μου) νήφειν ἀσφαλῶς, καὶ σπούδασον ἀεὶ τῇ ἀναγνώσει προσκολλᾶσθαι· ἵνα σε διδάξῃ πῶς δεῖ ἐκφυγεῖν τὰς παγίδας τοῦ ἐχθροῦ, καὶ καταλαμβάνειν τὴν αἰώνιον ζωήν. συστέλλει γὰρ ἡ ἀνάγνωσις τῶν θείων γραφῶν τὸν νοῦν πλανώμενον, καὶ δωρεῖται γνῶσιν εἰς Θεόν. γέγραπται γάρ· Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός. (Ψαλ. με ι.) ἀκούεις, ἀδελφέ, ὅτι γνῶσιν Θεοῦ λαμβάνει ὁ σχολάζων ταῖς θείαις γραφαῖς ἐν ἀληθινῇ καρδίᾳ. δεῖ, ἀδελφέ μου, μὴ ἀμελήσῃς τῆς ψυχῆς σου, ἀλλὰ σχόλαζε τῇ ἀναγνώσει καὶ ταῖς προσευχαῖς· ὅπως φωτισθῇ σου ἡ διάνοια, καὶ ὅπως γένῃ τέλειος καὶ ὁλόκληρος, ἐν μηδενὶ λειπόμενος. ἄλλοι καυχῶνται ἐπὶ συνομιλίᾳ μεγιστάνων, ἀρχόντων τε, καὶ βασιλέων· σὺ δὲ καύχησαι ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ, συνομιλῶν τῷ ἁγίῳ πνεύματι διὰ τῶν θείων γραφῶν. τὸ γὰρ ἅγιον πνεῦμά ἐστι τὸ λαλοῦν δι' αὐτῶν. σπούδαζε οὖν ἐντυγχάνειν ταῖς θείαις γραφαῖς, καὶ προσκαρτερεῖν ταῖς ἁγίαις εὐχαῖς. ὁσάκις γὰρ ἂν ἐντυγχάνῃς τῷ Θεῷ δι' αὐτῶν, τοσαυτάκις ἁγιάζεταί σου τὸ σῶμα, καὶ ἡ ψυχή, καὶ τὸ πνεῦμα. τοῦτο οὖν γινώσκων, ἀδελφέ μου, ὅτι ἡνίκα ἂν ἐντυγχάνῃς αὐταῖς, ἁγιάζῃ, σπούδασον πυκνοτέρως ἐντυγχάνειν αὐταῖς· κἂν μὴ σχολάζωσιν αἱ χεῖρες, εὔχου τῇ διανοίᾳ. καὶ γὰρ ἡ μακαρία Ἄννα, ἡ μήτηρ τοῦ προφήτου Σαμουήλ, ηὔχετο, καὶ τὰ χείλη αὐτῆς ἐσάλευεν· ἡ δὲ προσευχὴ αὐτῆς εἰς τὰ ὦτα Κυρίου σαβαὼθ εἰσεληλύθει. καὶ γὰρ ἐδόθη αὐτῇ ἡ αἴτησις αὐτῆς. δεῖ, ἀδελφέ μου, εἰ μὴ σχολάζουσιν αἱ χεῖρες, ἀλλὰ τῇ διανοίᾳ εὔχου. καὶ γὰρ σιωπώντων ὁ Θεὸς ἀκούει. ἐὰν δὲ οὐκ ἐπίστασαι τὸ ἀναγινώσκειν· προσκολλῶ ὅπου ἐστὶν ἀκοῦσαι καὶ ὠφεληθῆναι. γέγραπται γάρ· Ἐὰν ἴδῃς ἄνδρα συνετόν, ὄρθριζε πρὸς αὐτόν, καὶ βαθμοὺς θυρῶν αὐτοῦ ἐκτριβέτω ὁ πούς σου. (Σειρ. ς. λ. ιι.) τοῦτο γὰρ συμβάλλεται (ἀδελφέ μου) οὐ μόνον τοῖς μὴ ἐπισταμένοις τὸ ἀναγνῶναι, ἀλλὰ καὶ τοῖς ἐπισταμένοις. πολλοὶ γάρ εἰσιν ἀναγινώσκοντες, καὶ οὐκ ἐπιγινώσκουσιν ἃ ἀναγινώσκουσι. βλέπε οὖν, ἀδελφέ, μὴ ἀμελήσῃς τοῦ ἐν σοὶ χαρίσματος τοῦ δοθέντος σοι τῇ δωρεᾷ τοῦ Χριστοῦ· ἀλλὰ φρόντισον καὶ ἐκζήτησον τὸ πῶς εὐαρεστῆσαι τῷ Θεῷ δυνήσῃ, ἵνα τύχῃς τοῦ μακαρισμοῦ. γέγραπται γάρ· Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. (Ψαλ. ριη β.) βλέπε μή σε διακόψῃ ὁ ἐχθρός, ὅταν βούλῃ ἀναγνῶναι, προσφέρων σοι τὴν ἀδικίαν, καὶ βάλλων σε εἰς πειρασμούς, καὶ λέγων· ποίησον πρῶτον τόδε τὸ πρᾶγμα, ἐφ' ὅσον ὀλίγον ἐστί, καὶ οὕτως ἀμερίμνως ἀναγινώσκῃς. ἡνίκα γὰρ ὑποβάλλῃ ταῦτα, καὶ προθυμίας παρέχει εἰς τὸ ἐργόχειρον. ταῦτα γὰρ πάντα ἐμβάλλει, ἵνα σε ἀπασχολήσῃ τοῦ ἀναγνῶναι καὶ ὠφεληθῆναι. ὅταν γὰρ ἴδῃ ἄνθρωπον ὁ διάβολος ἐμπόνως ἀναγινώσκοντα, καὶ ὠφελούμενον ταύταις ταῖς ἀφορμαῖς καὶ ἄλλαις πολλαῖς, παρατάσσεται αὐτῷ, ἐμποδίζειν αὐτὸν ζητῶν. σὺ οὖν μὴ πεισθῇς αὐτῷ, ἀλλὰ γενοῦ ὡσεὶ ἔλαφος διψῶσα, καὶ ἐπιποθῶν ἐλθεῖν ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων (τουτέστιν ἐπὶ τὰς θείας γραφάς) ὅπως πίῃς ἐξ αὐτῶν, καὶ καταψύξωσί σου τὴν δίψαν τὴν συμφλέγουσάν σε διὰ τῶν παθῶν. σύμπινε δὲ καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν σοὶ γινομένην· οἷόν τι λέγω, ἵν', ὅταν ὁ Κύριος δωρῆταί σοι τοῦ ἐπιγνῶναι

ἐξ

δὲ αὐτὸν λόγον, μὴ παρέλθῃς, ἀλλὰ μελετήσῃς αὐτὸν ἐν τῇ διανοίᾳ σου, καὶ ἐγγράψῃς αὐτὸν ἐν τῇ καρδίᾳ σου, καὶ τῇ μνήμῃ διαφυλάξῃς αὐτὸν ἀνεξάλειπτον. γέγραπται γάρ· Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ ἐπιλήσομαι τῶν λόγων σου. [Ψαλ. ριη. ιϛ.] καὶ πάλιν· Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. [Ψαλ. ριη. ια.] καὶ πάλιν· Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. [Ψαλ. ριη. θ.] βλέπεις, ἀδελφέ, ὅτι ἐν τῷ μνημονεύειν τῶν λόγων τοῦ Θεοῦ κατορθοῖ ἄνθρωπος τὴν ὁδὸν αὐτοῦ. τίς γάρ ἐστιν ὁ μνημονεύων τῶν λόγων τοῦ Θεοῦ καὶ μὴ κατορθῶν, εἰ μὴ ἄρα ἐκεῖνος ὑπάρχει ἀδόκιμος καὶ ταλαίπωρος, ὁ οὐδὲν ὅλως μνημονεύων, ἀλλὰ καὶ ὧν δοκεῖ μνημονεύειν ἐπιλανθανόμενος; τῷ γὰρ τοιούτῳ ἀνθρώπῳ λέγει ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; [Ψαλ. μθ. ιϛ.] κελεύει οὖν ἀπαρθῆναι ἀπ' αὐτοῦ καὶ ὃ δοκεῖ ἔχειν. [Ματθ. κε. κθ.] ὅτι οὗτος δοκεῖ ἔχειν πίστιν (καὶ γὰρ χριστιανὸν ἑαυτὸν ἀποκαλεῖ) τοῖς δὲ ἔργοις ἀρνεῖται, καὶ ἔστιν ἀπίστου χείρων. διὸ κελεύει ἀπαρθῆναι ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔλαβεν ἐν ἡμέρᾳ ἀπολυτρώσεως, ὃ δοκεῖ ἔχειν. καὶ γίνεται ὁ τοιοῦτος ἄνθρωπος ὥσπερ κεράμιον οἴνου ῥεῦμα πεποιηκός, καὶ δι' αὐτοῦ ἀπολωλεκὸς τὸν οἶνον· ὅπερ πάντες μὲν οἱ ὁρῶντες, μὴ ἰδόντες τὸ γεγονός, δοκοῦσι μεστὸν εἶναι· ὅταν δὲ ἐρευνηθῇ, τότε φανεροῦται πᾶσιν, ὅτι κενόν ἐστι κείμενον. οὕτως οὖν καὶ ὁ τοιοῦτος ἄνθρωπος κατὰ τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως ἐρευνώμενος, εὑρίσκεται· καὶ τότε φανερὰ πᾶσι τὰ κατ' αὐτὸν γίνεται. τοιοῦτοί εἰσι καὶ οἱ ἐρωτῶντες τὸν βασιλέα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, οὐ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; [Ματθ. ζ. κβ.] καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. βλέπεις, ἀδελφέ, ὅτι οὐδὲν ἔλεος ἔχει ὁ τοιοῦτος. σὺ οὖν μνημόνευε τῶν λόγων ὧν ἀκούεις, καὶ κατόρθωσον τὴν ὁδόν σου. βλέπε μὴ ἐάσῃς τὴν λήθην καταλαβεῖν, καὶ ἁρπάσαι αὐτὸν ἐκ τῆς καρδίας σου· βλέπε μὴ ἐάσῃς τὰ πετεινὰ καταλαβεῖν, καὶ καταφαγεῖν τὸ σπέρμα τοῦ Θεοῦ. αὐτὸς γὰρ εἶπεν, ὅτι τὸ σπέρμα ἐστὶν ὁ λόγος, ὃν ἠκούσατε. κρύψον τὸ σπέρμα εἰς τὰς λαγόνας τῆς γῆς· τουτέστι, κρύψον τὸν λόγον ἐν μέσῳ τῆς καρδίας σου, ὅπως καρποφορήσῃ τῷ Κυρίῳ ἐν φόβῳ. ὅταν δὲ ἀναγινώσκῃς, ἐπιμελῶς καὶ ἐμπόνως ἀναγίνωσκε, ἐν πολλῇ καταστάσει διερχόμενος τὸν στίχον· καὶ μὴ σπούδαζε τὰ φύλλα μόνον διέρχεσθαι, ἀλλ' ἐὰν χρεία, μὴ ὀκνήσῃς δὶς καὶ τρεῖς καὶ πλεονάκις διελθεῖν τὸν στίχον, ὅπως νοήσῃς τὴν δύναμιν αὐτοῦ. ὅταν δὲ μέλλῃς καθεσθῆναι καὶ ἀναγνῶναι, ἢ καὶ πάλιν ἄλλου ἀναγινώσκοντος ἀκοῦσαι· δεήθητι πρότερον τοῦ Θεοῦ λέγων· Κύριε Ἰησοῦ Χριστέ, ἄνοιξον τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς τῆς καρδίας μου, τοῦ ἀκοῦσαί με τὸν λόγον σου, καὶ συνιέναι, καὶ ποιῆσαι τὸ θέλημά σου, Κύριε, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου, ἀλλ' ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. ἐπὶ σοὶ γὰρ ἤλπισα ὁ Θεός μου, ἵνα σύ μου φωτίσῃς τὴν καρδίαν. ναί, ἀδελφέ μου, παρακαλῶ, οὕτω πάντοτε δέου τῷ Θεῷ, ὅπως φωτίσῃ σου τὸν νοῦν, καὶ δηλώσῃ σοι τὴν δύναμιν τῶν λόγων αὐτοῦ. πολλοὶ γὰρ ἐπλανήθησαν θαρρήσαντες τῇ συνέσει αὐτῶν, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν, [Ρωμ. α. κβ.] μὴ νοοῦντες τὰ γεγραμμένα, καὶ περιέπεσαν εἰς βλασφημίαν, καὶ ἀπώλοντο. ἐὰν οὖν ἐν τῷ ἀναγινώσκειν σε εὕρῃς λόγον δυσνόητον· βλέπε μή σε διδάξῃ ὁ πονηρὸς λέγειν ἐν ἑαυτῷ, ὅτι οὐχ οὕτως ἐστὶν, ὡς λέγει ὁ λόγος οὗτος· πῶς γὰρ δύναται οὕτως εἶναι; καὶ τὰ τοιαῦτα· ἀλλ' εἰ πιστεύεις τῷ Θεῷ, πίστευε καὶ τοῖς λόγοις αὐτοῦ, καὶ λέγε πρὸς τὸν πονηρόν, πορεύου εἰς τὰ ὀπίσω μου, Σατανᾶ. ἐγὼ γὰρ οἶδα τὰ λόγια τοῦ Θεοῦ, λόγια ἁγνά ἐστιν, ἀργύριον πεπυρωμένον ἑπταπλασίως· [Ψαλ. ια. ζ.] καὶ οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες, ἀλλὰ πάντα τὰ ἀγαθὰ ἐνώπιον τοῖς συνιοῦσιν· ἐγὼ δὲ ἀσύνετός εἰμι, καὶ οὐ γινώσκω. οἶδα οὖν ὅτι πνευματικῶς γεγραμμένα εἰσί. λέγει γὰρ καὶ ὁ ἀπόστολος, Ὅτι ὁ νόμος πνευματικός ἐστιν. [Ρωμ. ζ. ιδ.] εἶθ' οὕτως ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ εἰπὲ, Κύριε, πιστεύω τοῖς λόγοις σου· οὐκ ἀντιλέγω, ἀλλὰ θαρρῶ τοῖς λόγοις τοῦ ἁγίου πνεύματος. σὺ

οὖν, Κύριε, σῶσόν με, ὅπως εὕρω χάριν ἐνώπιόν σου. ἐγὼ γὰρ ἄλλο τι οὐ ζητῶ, εἰ μὴ μόνον τοῦ σωθῆναι, ὅπως τύχω τοῦ ἐλέους σου, εὔσπλαγχνε· ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας, ἀμήν. κτῆσαι δὲ καὶ ἡσυχίαν, ἀδελφέ, ὥσπερ τεῖχος ὀχυρόν. ἡ γὰρ ἡσυχία ὑψηλότερόν σε ποιεῖ τῶν παθῶν. σὺ γὰρ ἄνωθεν πολεμεῖς, αὐτὰ γὰρ κάτωθεν. κτῆσαι οὖν τὴν ἐν φόβῳ Θεοῦ ἡσυχίαν, καὶ οὐ μή σε βλάψῃ πάντα τὰ βέλη τοῦ ἐχθροῦ. ἡσυχία γὰρ φόβῳ Θεοῦ συνεζευγμένη ἅρμα πύρινόν ἐστι. καὶ πειθέτω σε Ἠλίας ὁ προφήτης ἀγαπήσας τὴν ἡσυχίαν, καὶ τὸν φόβον τοῦ Θεοῦ, ἀναληφθεὶς ὡς εἰς τὸν οὐρανόν. ὦ ἡσυχία, προκοπὴ μοναζόντων· ὦ ἡσυχία, κλίμαξ οὐράνιος· ὦ ἡσυχία, ὁδὸς βασιλείας οὐρανῶν· ὦ ἡσυχία, κατανύξεως μήτηρ· ὦ ἡσυχία, ἔσοπτρον ἁμαρτημάτων, ἡ δεικνύουσα ἀνθρώπῳ τὰ πλημμελήματα αὐτοῦ· ὦ ἡσυχία, ἡ δάκρυα μὴ ἐμποδίζουσα· ὦ ἡσυχία, πραότητος γεννήτειρα· ὦ ἡσυχία, ταπεινοφροσύνης σύσκηνε· ὦ ἡσυχία, φόβῳ Θεοῦ συνεζευγμένη, διανοίας φωταγωγέ· ὦ ἡσυχία, λογισμῶν κατάσκοπε, καὶ διακρίσεως σύμπονε· ὦ ἡσυχία, γεννήτειρα παντὸς ἀγαθοῦ, νηστείας ἑδραίωμα, καὶ γαστριμαργίας ἐμπόδιον· ὦ ἡσυχία, σχόλασις προσευχῆς καὶ ἀναγνώσεως· ὦ ἡσυχία, γαλήνη λογισμῶν, καὶ λιμὴν εὔδιος· ὦ ἡσυχία, ἀμεριμνία ψυχῆς· ὦ ἡσυχία, ζυγὸς χρηστὸς καὶ φορτίον ἐλαφρόν, ἀναπαύουσα καὶ βαστάζουσα τὸν βαστάζοντά σε· ὦ ἡσυχία, εὐφροσύνη ψυχῆς καὶ καρδίας· ὦ ἡσυχία, ὀφθαλμῶν καὶ ἀκοῆς καὶ γλώσσης χαλινός· ὦ ἡσυχία, περπερότητος ἀναίρεσις, καὶ ἀναιδείας ἐχθρά· ὦ ἡσυχία, δεσμωτήριον παθῶν· ὦ ἡσυχία, πάσης ἀρετῆς συνεργέ, ἀκτημοσύνης πρόξενε, χωρίον Θεοῦ καρποφοροῦν καρποὺς ἀγαθούς· ὦ ἡσυχία, τεῖχος καὶ ὀχύρωμα τῶν βουλομένων ἀγωνίσασθαι τὴν βασιλείαν τῶν οὐρανῶν. ναί, ἀδελφέ, ταύτην κτῆσαι τὴν καλὴν μερίδα, ἣν Μαρία ἐξελέξατο. αὕτη γὰρ ἡ Μαριὰμ ἐγένετο ὑπόδειγμα τῆς ἡσυχίας, παρακαθίσασα παρὰ τοῖς ποσὶ τοῦ Κυρίου, καὶ αὐτῷ μόνῳ προσκολληθεῖσα. διὸ καὶ ἐπῄνεσεν αὐτὴν ὁ Κύριος

Λουκ. ι. μβ.

λέγων· Μαρία τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

* * βλέπεις, ἀδελφέ, οἵα ἐστὶν ἡ ἡσυχία· ὅτι αὐτός φησι, καὶ ἐπαινεῖ τὸν κτώμενον αὐτὴν ὁ δεσπότης ἡμῶν Θεός. ταύτην κτῆσαι, ἀδελφέ μου, καὶ κατατρυφήσεις τοῦ Κυρίου σου, παρακαθεζόμενος τοῖς ποσὶν αὐτοῦ, καὶ αὐτῷ μόνῳ προσκολλώμενος, ἵνα λέγῃς καὶ σὺ μετὰ παρρησίας·

Ψα. ξβ. η. ϛ.

Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. διὰ τοῦτο ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου. ναί, ἀδελφέ μου, ταύτην κτῆσαι τὴν μέλιτος γλυκυτέραν. κρείσσων γὰρ ψωμὸς ἐν ἅλατι ἡσυχίας καὶ ἀμεριμνίας, ἢ παράθεσις ἐδεσμάτων

Ματθ. ια. κη.

πολυτελῶν ἐν πειρασμοῖς καὶ μερίμναις. ἄκουε τοῦ λέγοντος δεσπότου Θεοῦ· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. ἀναπαῦσαι γάρ σε θέλει ὁ Κύριος ἀπὸ μεριμνῶν, ἀπὸ θυμοῦ, ἀπὸ πειρασμοῦ, καὶ θλίψεως τοῦ αἰῶνος τούτου· ἀμέριμνόν σε θέλει εἶναι ἀπὸ τῆς πλινθουργίας τῆς Αἰγύπτου· ἀγαγεῖν σε βούλεται εἰς τὴν ἔρημον, τουτέστιν, εἰς τὴν ἡσυχίαν, ὅπως φωτίσῃ τὰς ὁδούς σου τῷ στύλῳ τῆς νεφέλης, ὅπως ψωμίσῃ σε τὸ μάννα· λέγω δὴ τὸν ἄρτον τῆς ἡσυχίας καὶ ἀμεριμνίας· ὅπως κληρονομήσῃς τὴν γῆν τὴν ἀγαθήν, λέγω δὴ τὴν ἄνω Ἱερουσαλήμ. ναί, ἀγαπητέ, ταύτην ἀγάπησον, ταύτην κτῆσαι, ὅπως τραφῇς ἐν τῇ ὁδῷ τῶν μαρτυρίων τοῦ Θεοῦ, ὡς ἐπὶ παντὶ πλούτῳ. ναί, ἀδελφέ, κτῆσαι τὴν ἡσυχίαν μετὰ φόβου Θεοῦ, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μετὰ σοῦ, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας, ἀμήν. παρακαλῶ οὖν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, σπουδάζειν ὑμᾶς καθ' ἑκάστην ἡμέραν τὴν τούτων μνήμην ποιεῖσθαι, λέγω δὴ τῆς ἐλπίδος, τῆς πίστεως, τῆς ἀγάπης, τῆς ταπεινοφροσύνης, τοῦ σφραγίζεσθαι πάντοτε, ἐν ταῖς εὐχαῖς τοῦ Θεοῦ, καὶ ταῖς μελέταις τῶν θείων γραφῶν, καὶ τῇ ἡσυχίᾳ. ταῦτα γὰρ ὑμῖν παρόντα καὶ πλεονάζοντα, οὐκ ἀργούς, οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν. χρι-

στιανός,

σιαιὸς γὰρ ὃς οὐ κέκτηται) ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τῶν πάλαι αὐτοῦ ἁμαρτημάτων· καὶ συμβέβηκεν αὐτῷ τὸ τῆς ἀληθοῦς παροιμίας, Κύων ἐπιστρέψας ἐπὶ τὸν ἴδιον ἔμετον· καὶ ὗς λουσαμένη, εἰς κυλισμὸν βορβόρου· διότι ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου (ὡς γέγραπται) καὶ ταῦτα ἐν τῷ ἁγίῳ λουτρῷ ἀπορρυψάμενοι, ἐν ἐπιγνώσει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ γενόμενοι, εἶτα πάλιν τούτοις ἐμπεπλεγμένοι. γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων· κρεῖττον ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς ἀληθείας, ἢ ἐπιγνώσκουσιν εἰς τὰ ὀπίσω πάλιν ἀνακάμψαι. Οὐκοῦν, ἀγαπητοί, πιστοὶ δοῦλοι, καὶ ἐκλεκτοὶ στρατιῶται Θεοῦ, χριστιανοί, ἀναλάβωμεν τὴν πανοπλίαν τῶν προειρημένων ἐν τῇ καρδίᾳ ἡμῶν, καὶ καθ' ἑκάστην ἀνυπερθέτως μνείαν αὐτῶν ποιούμενοι· ὅπως δυνηθῶμεν ἀγωνίσασθαι τὸν καλὸν ἀγῶνα, καὶ καταπατῆσαι πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ἵνα ῥυσθῶμεν ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, καὶ εὕρωμεν ἔλεος καὶ χάριν ἐν τῇ ἡμέρᾳ τῇ φρικτῇ ἐνώπιον τοῦ δικαίου κριτοῦ, τοῦ ἀποδιδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ᾧ πρέπει δόξα, σὺν τῷ παντοκράτορι πατρί, καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

C. Πετρ. C. κ.

ΕΙΣ ΤΟΝ ΥΙΟΝ ΤΗΣ ΧΗΡΑΣ.

Λογ. ξζ.
Λυκ. ζ ια.
Ex Ms. Cæsareo. emend. ex Ms. ἐν Χάλκη νήσῳ τῆς Χαλκηδόνος.

ΚΑὶ ἐγένετο καθεξῆς, ἐπορεύετο ὁ Ἰησοῦς εἰς πόλιν καλουμένην Ναΐν, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοί, καὶ ὄχλος πολύς. ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκώς, υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη ἦν χήρα. ὅλα τὰ πάθη ἐλεεινά, καὶ πολλῆς συμπαθείας μεστά. μονογενοῦς υἱοῦ ἀπολυθέντος τῆς παρούσης ζωῆς, ἡ γλυκυτάτη μήτηρ ἐβόα, ὅτι προσηγορίας μόνης γεγένημαι μήτηρ· ἧστινος τὰς ἐπὶ τῷ τοκετῷ ὠδῖνας ἐτρύγησεν ὁ θάνατος. ἕνα βότρυν εἶχεν ἡ ἄμπελος, καὶ τοῦτον ἡ ζάλη τοῦ θανάτου συνέτριψε, μίαν βακτηρίαν ἐκέκτητο, καὶ ταύτην ὁ κοινὸς ἀφείλετο θάνατος. ἀχαράκωτον ὑπῆρχε τὸ γηραιόν, καὶ τῆς βακτηρίας ἐστέρητο· ἀβίωτον ἐθεώρει τὸν βίον. λοιπὸν οὐδὲ τὴν τυχοῦσαν εἶχε παραμυθίαν, υἱὸν τὸν μονογενῆ ἀπολέσασα· διπλῷ τῷ πόνῳ συνείχετο· ἀπαραμύθητον εἶχε τὸ ἄλγημα· οὐδεὶς ἐπικουφίσαι τὴν ὀδύνην ἠδύνατο· ποταμηδὸν κατὰ τῶν παρειῶν ἔρρει τὰ δάκρυα, καὶ ἀφόρητον ἡ γυνὴ τὸ πένθος ἐκέκτητο. κατενόει τὴν τοῦ παιδὸς ὡραιότητα· τῇ στοργῇ τὰ σπλάγχνα τῆς καρδίας ἐτέμνετο. καὶ αὕτη χήρα τὸ πᾶν γέγονε, τὸ πάντων βαρύτατον, τὸ πάντων ἐλεεινότερον· καὶ τοῦ ἀνδρός, καὶ τοῦ μονογενοῦς ἐστέρητο. ὄντως ἐλεεινὸν τὸ τῆς χήρας ὄνομα, οἴκτου πεπληρωμένον, δακρύων μεμεστωμένον, συμπαθείας ἐχόμενον. οὐδεὶς τῶν βλεπόντων ἀπένθητος ἔμεινεν· ἔστενον πάντων τὰ σπλάγχνα· οὐχ εὕρισκον πρότερον τίνα πενθῆσαι, τὸν τεθνηκότα παῖδα, ἢ τὴν ζῶσαν χήραν· ἀλλ' ἐσφαλμένως τὴν χήραν ζῶσαν, προσεῖπον. ποία γὰρ χήρα ζῶσα ζῇ; κἂν γὰρ δοκῇ ζῆν (πρὸς τὰ παρόντα λέγω, οὐχὶ δὲ πρὸς τὰ μέλλοντα) τέθνηκε· χήρα γὰρ ἐν τοῖς παροῦσιν εἰ μὲν εὔπορος ἦν, μικρόν πως κλέπτεται τὴν ὀδύνην, ἀλείφει τὴν προσδοκίαν, θεραπεύεται τὸ τραῦμα, καὶ κουφίζεται τὸ ἄλγος, νευροῦται τῇ καρποφορίᾳ, καὶ βραχύ τι πολλάκις καθεύδει. εἰ γὰρ καὶ πολλὰ τὰ λυποῦντα, καὶ οἱ διαρπάζοντες αὐτὴν ἕτοιμοι, ἀλλ' ὅμως τῆς πενίας ἀπούσης, ἐλαφρότερον τὸ βαρύ. χήρα δὲ πενιχρά, λιμὴν δακρύων, καὶ φρέαρ στεναγμῶν, ἀτείχιστος πόλις, ἄνυδρος πηγή, μήτηρ στεναγμοῦ, εὐφροσύνης παράσιτος, οἰκοδέσποινα πενίας, ἀφορίας ψηφίστρια, λιμοῦ πάροικος, ὀδύνης ὑφάντεια, βακτηρία συντετριμμένη, χαλεπὸν ἀπάντημα, πικρὸν συνοικέσιον, ἀκαλλώπιστον ἄγαλμα, ἠρεμωμένη στήλη, ἄρριζον δένδρον, ἀφώτιστος ὁμίχλη, ἐκκλησίας πρόθυρον,

προσθυμεῖν, ποικίλων δ' εὐχῶν ἐπινοήτρια, κατ' ἐχθρῶν παῤῥησιασμένη, κατήγορος καὶ αὐ-
τῶν· καὶ ὡς ἀνδρὶ, τῷ Θεῷ καταβοῶσα, καὶ ἄδικον ἑτοιμοτάτην ἔχουσα τοῦ Θεοῦ τὴν ὀργὴν
ἐκδίκησιν, ἀΐζουσα τὸν οὐρανοῖς ταῖς πρὸς Θεὸν ἐπιτυχίαις, πεπικραμμένη καρδίᾳ· τύ-
πτουσα δὲ στῆθος, ὥσπερ δήμιος, εἰ μὴ ταχὺ εὕροι τοῦ Θεοῦ τὴν βοήθειαν, εἰς ἐκδίκησιν τῶν
ἐπιβαινόντων αὐτῇ εἰς ἀδικίαν. καὶ ἡ ἄτεκνος, ἐπὶ γῆς πενιχρά, ἀπροστάτευτος, κινεῖ τὸν
Θεὸν σὺν πάσαις αὐτοῦ ταῖς ἐπουρανίαις δυνάμεσιν, εἰς ὀργὴν καὶ ἀγανάκτησιν τῶν οὐ θελόν-
των πείθεσθαι, κριτὴν εἶναι τὸν Θεὸν χηρῶν καὶ ὀρφανῶν. εἰ δὲ συμβῇ αὐτῇ παῖδα προσ-
εῖναι· μικρόν πως τέρπεται τῇ ἡλικίᾳ, καὶ κλέπτεται τῇ προσδοκίᾳ, νικᾶται τῇ
καρποφορίᾳ. βλέπει τὸν κλάδον, καὶ τὴν ῥίζαν ἀσπάζεται· τὸν βότρυν κρατεῖ, καὶ τὸν φυ-
τεύσαντα φιλεῖ. ἔχει δὲ μέρος, καὶ τὸ ὅλον λογίζεται. τῷ ζῶντι συμπλέκεται, καὶ τὸν νεκρὸν
οὐ βδελύσσεται. τὸν χαρακτῆρα τοῦ παιδὸς κατέχει, καὶ τὴν εἰκόνα τοῦ πατρὸς ἐσοπτρίζεται. καὶ
ἕως μὲν περίεστι τὸ παιδάριον, γαληνότερον ἡ χήρα κυματίζεται ἐν τῇ τοῦ βίου τρικυμίᾳ.
εἰ δὲ συμβῇ καὶ τὸν παῖδα ζώσης τῆς μητρὸς ἀποθανεῖν, καὶ τῇ μὲν μητρὶ συντάξασθαι, τῷ
δὲ πατρὶ προσορμίσαι (ὅπερ πέπονθεν ἡ προκειμένη χήρα) πᾶσαν ὑφ' ἓν ἀναδέχεται τὴν ὀ-
δύνην. μόνον γὰρ τέθνηκεν ὁ μονογενὴς υἱὸς τῆς μνημονευθείσης χήρας, τὴν στολὴν τοῦ πέν-
θους ἠμφιεσμένης. ἤρξατο προσπεσεῖν φθέγγεσθαι ῥήματα, καὶ ὡς ἀκρίτῳ τῷ Θεῷ ὄντι ἐδι-
κάζετο, βλασφήμους λόγους προσάγουσα ὡς βίαν ὑπομένουσα διελέγετο, λέγουσα·
ἆρα ὁ υἱός μου μόνος τὸν κόσμον ἐβάρησεν; ἄλλοι στενοχωροῦνται ἐπὶ παιδοποιΐας, κἀμοῦ
τῆς μόνης ὁ μόνος ἀπεσπάσθη. ἐγὼ ἡ ἄγονος ζῶ, καὶ ὁ ἀνὴρ τέθνηκεν ἅμα καὶ ὁ υἱός· ποῦ λοι-
πὸν διαπέσω μέτις; τίς δέ με περιβλέψεται; ἐδόκουν κἂν μικρὰν παῤῥησίαν δι' αὐτὸν κε-
κτῆσθαι. ἤρκει γάρ μοι μόνον μητέρα ἀκούειν. ὑπομάζιόν μοι αὐτὸν ὁ πατὴρ δίχα χρη-
μάτων ἐγκατέλιπε· κἀγὼ ἡ ἀπροστάτευτος χήρα χεῖρας εἰς ἔργον ἐρείσασα, τοῦτον ἐπι-
μελῶς ἔθρεψα· διπλᾶς καὶ τετραπλᾶς αὐτῷ στολὰς πεποίηκα, μισθοὺς τοῖς παιδεύσασιν
αὐτὸν ἁπλῶς ἐχορήγησα· καὶ νῦν, ὅτε τὸν τρυγητὸν τῶν ἀγαθῶν προσεδόκησα, τότε τὴν
χάλαζαν τῶν πειρασμῶν δέδεγμαι. ὢ τῆς ὀδύνης. ἀλλ' εὕροι τί πράξω. συνθάπτο-
μαι τῷ υἱῷ μου. πληροφορῶ τοὺς φθονήσαντάς μοι· συγχαίρετέ με κατήφειον ὡς ἀνδρεῖον
παῖδα κεκτημένην. συγχωρήσατέ μοι πάντες οἱ βασκαίνοντές μοι τὴν εὐπαιδίαν. ἤδη
γὰρ ἐγὼ τοῦ γνησίου μου παιδὸς προκαταλαμβάνω τὸν τάφον. ἐμοὶ γὰρ λοιπὸν τὸ ζῆν κα-
ταγέλαστον. ταῦτα τῆς χήρας βοησάσης καὶ ὀδυνωμένης, εὐθέως παραγενόμενος ὁ ποιητὴς
ἡμῶν Χριστὸς ὁ Θεὸς, καὶ ἰδὼν αὐτὴν, ὁ τὰ πάντα προορῶν Θεὸς, ὁ καὶ πρὸ τοῦ ποιῆσαι τὰ
πάντα σαφῶς ἐπιστάμενος (Πρὸ τοῦ γὰρ πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ
ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε) ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν, ὁ τὰ δάκρυα
εἰς εὐφροσύνην μεταποιῶν, ὁ τὴν τῆς πόλεως Ναῒν πύλην ἐκκλησίαν ποιήσας, καὶ τὴν
κλίνην τοῦ νεκροῦ θυσιαστήριον ἀποδείξας (ὅπου γὰρ ἀναστάσεως δῶρον, ἐκεῖ θυσιαστηρίου κό-
σμος· καὶ ὅπου τοῦ Θεοῦ λόγου αἱ χεῖρες ἐκτείνονται, ἐκεῖ τῆς ἀναστάσεως τὸ μεῖζον ἐκτετέ-
λεσται. τὸ γὰρ ἐξόδιον γέγονεν ἱερουργικὸν, καὶ ἡ ἐκκομιδὴ γέγονεν εἰσκομιδή. τί γάρ φησιν ὁ
εὐαγγελιστής; Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς· τουτέστιν, ὁ σωτὴρ, καὶ ὁ Θεὸς λόγος, ὁ Χριστὸς) ἐσπλαγχνί-
σθη ἰδὼν αὐτήν. τί ἰδών; χήραν ἄτεκνον, ἄνανδρον, γηραλέαν, κυρτίζουσαν, ξηρὰν, κό-
μην ἑλκύσασαν, κόνιν τὴν κεφαλὴν καταπάσσουσαν, τοὺς βαρυωπεῖς ὀφθαλμοὺς
ἐκτυφλώττουσαν, ἀπρεπῆ στολὴν διαῤῥήξασαν, τὸ πολυστένακτον στῆθος τύπτου-
σαν, καὶ βοᾶν μηκέτι ἰσχύουσαν, φρενήρη λοιπὸν γενομένην. ἐν τούτοις ἰδὼν αὐτὴν ὁ
Ἰησοῦς, ἐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ προσελθὼν εἶπεν αὐτῇ, μὴ κλαῖε. ἡ δὲ περὶ
τὸ πένθος ἀσχολουμένη, εἰλικρινῶς μὴ κατανοήσασα τὸν παραγενόμενον, τὸ πένθος
ἀποσεισαμένη, πρὸς τὸν Κύριον ἀνταποκριθεῖσα εἶπε· μὴ κλαίειν λέγεις μοι;

Ἱερ. α. ε.

καὶ

καὶ τίνα μοι παραμυθίαν προσοίσεις λοιπόν; κἂν γὰρ τὸν κόσμον ὅλον κινήσῃς εἰς ἐμὴν παράκλησιν, οὐδεμίαν μοι δείξεις παράκλησιν. τῆς γὰρ μητρικῆς παρακλήσεως τί υἱοῦ ὑπάρχει γλυκύτερον; καὶ μάλιστα, ὅτε χῆραι ὑπάρχουσι, καὶ μονογενέσιν υἱοῖς ἐπαγγέλλονται· πῶς οὖν μὴ κλαίειν λέγεις μοι; τὸν υἱόν μου οἱ ξένοι πενθοῦσι, κἀγὼ μὴ κλαύσω; οἱ λίθοι στενάζουσι, κἀγὼ σιωπήσω; ἡ ἐλπίς μου ἐστέρηται, ἡ ζωή μου ἐξέλιπεν, ἡ παρρησία μου σεσύληται, ἀνέλπιστον αὐτῆς θεωρῶ τὸν βίον, καὶ γυμνὴ πάσης ἐλπίδος εἰμί. ἐθέρισέ μου τὴν προσδοκίαν ὁ θάνατος· ἄπορόν με πανταχόθεν κατέστησεν· ἐμὲ κατέλιπε, κἀκεῖνον μετῴκισεν· ἀφῆκε τὴν ῥίζαν, καὶ τὸν κλάδον ἀπέτεμεν· ἐφείσατο τοῦ πρέμνου, καὶ τὸν ὡραῖον ἐμάρανεν ὅρπηκα· τὴν παλαιὰν κατέλιπε, καὶ τὸν νέον ἐξέτεμεν. οὐκ ἔχω τίνα θεάσομαι. εἰ μὲν γὰρ ἕτερον εἶχον υἱόν, ἐδυνάμην τὸ πένθος συγκεράσαι, καὶ τῇ ὄψει τοῦ ζῶντος τοῦ θανόντος τὸν πόνον ἐπικουφίζειν· νῦν δὲ οὐδέν μοι καλὸν ὑπολέλειπται, πάσης εὐφροσύνης ἐστέρημαι. ἔβλεπον τὴν εἰκόνα τοῦ παιδός, καὶ ἐθεώρουν τὸν ἀρχαιότυπον αὐτοῦ πατέρα· τοῦτον ἔχουσα, εἰς ἐκεῖνον ἐφανταζόμην· οὐδέποτε χήραν ἐμαυτὴν ἐνόμισα. ὁ γὰρ ἐξ ἐκείνου τὰς συμφοράς μοι ἐπεκούφιζε, καὶ πλέον με τοῦ ἀνδρὸς ὁ ἐξ ἐμοῦ τεχθεὶς ἐθεράπευσε, καὶ λυπουμένη τοῦτον εἶχον παράκλησιν. εἴ ποτε ἀθυμία τὸν λογισμόν μου περιεῖχε, περιελάμβανέ με καὶ περιπτυσσόμενος, καταφιλῶν, λόγοις παιδικοῖς τέρπων με, τὴν νεφέλην τῆς ἀθυμίας ἠφάνιζε· καὶ λέγεις μοι, μὴ κλαῖε τὸν υἱόν σου; τίς εἶ σὺ ὁ τὰ τοιαῦτά μοι παραινῶν; τινὲς δὲ τοῦ ὄχλου προσελθόντες εἶπον πρὸς αὐτήν· τί τολμᾷς, ὦ γύναι, τῷ Θεῷ ἀντιλέγειν; ὁ Κύριος πάρεστιν, αὐτός σοι διαλέγεται· πρόσελθε, δεήθητι, ἱκέτευσον. οὐ γάρ ἐστιν ἄπρακτος αὐτοῦ ἡ παρουσία. ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐκμάξασα, καὶ τὴν ἐσθῆτα ἑαυτῆς περιστείλασα, καὶ τὸ στῆθος καλύψασα, προσέπεσε τοῖς ἴχνεσι τοῦ δεσπότου, καὶ ἀποκριθεῖσα τῷ Κυρίῳ ἔφη· δός μοι τὸν παῖδα, καὶ λαμβάνω τὴν συμβουλίαν σου. καὶ γὰρ ἐν παλαιότητι φύσεως ἐξετάζομαι. βλέπω γὰρ τὴν Σάῤῥαν, καὶ τρυγῶ τὰς ἐλπίδας. καὶ προσελθοῦσα τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἔλεγε· συγγνώθι τῇ περιπετείᾳ τῆς δούλης σου, δέσποτα, καὶ τοῖς λόγοις τοῖς βαρυνθεῖσιν ἐν τῷ πένθει μου. οὐ γὰρ ἀγνοεῖς μητρὸς ὀδύνην ἐν λύπῃ τέκνων. τοῦτο γὰρ σοὶ πρᾶγμα· ἐπ᾽ ἐλπίσιν ἔτρεφον τοῦτον. τὸν ἄνδρα ἐζημιώθην, κἂν τὸν παῖδά μοι χάρισαι. ψυχαγώγησόν μου τὸ γῆρας· ἤδη γὰρ ἐκλείπω. οὐ λέγω ὡς ἡ Μάρθα, Εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. ἄρτι γὰρ καὶ παρὼν τὴν ψυχὴν αὐτοῦ βαστάζεις, καὶ ἀπιέναι δοκεῖ οὐκ ἀπολείπῃ τινός. μικρόν, δέσποτα, συγχώρησον * τῇ δούλῃ σου. σὺ τὸν Λάζαρον ἔκλαυσας, ὃν τῇ σῇ δυνάμει ἤγειρας ἐκ νεκρῶν· κἀγὼ τὸν υἱόν μου μὴ κλαύσω; καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο τῆς σοροῦ, ὁ ἀπαλόθυμος τῶν ὀρέων, καὶ καπνίζονται· οἱ δὲ βαστάζοντες ἔστησαν· καὶ εἶπε· νεανίσκε, ἀνάστηθι, ἀνάλαβε φρόνημα νεανίσκου, καὶ τὸν θάνατον καταπάτησον· σοὶ λέγω, ἐγέρθητι· μὴ βραδύνῃς πρὸς τὴν ἀνάστασιν· ἐγὼ γάρ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις. ἐκάλεσα τὸν Λάζαρον ἐκ τάφου, καὶ οὗτος εὐθέως ἐξήλατο τοῦ μνήματος, ὥστε τετάρτην ἡμέραν κατασαπεὶς ἐν τῷ μνήματι, καὶ πολλὰ τῶν σπλάγχνων ὑπὸ τῶν σκωλήκων πεπορθημένος. ἀλλ᾽ ἡ φωνὴ τῆς ζωῆς τὸν νεκρὸν ὀσφράνασα εἰς εὐοσμίαν τὴν τῶν σαρκῶν ἀνεχάλκευσε λύσιν, καὶ γέγονε μήτρα τοῦ κειμένου τὸ μνῆμα· σοὶ δὲ προσφάτως ὁ θάνατος ἐμεθώδευσε· σοὶ λέγω μὴ βραδύνῃς πρὸς τὴν ἀνάστασιν. ἐγὼ γάρ εἰμι ἡ ἀνάστασις. νεκρὸς ὑπῆρχεν ὁ θεωρούμενος, καὶ ὡς ἀκούοντι τῷ τεθνεῶτι διελέγετο ὁ Κύριος. πότε νεκρὸς ἀκούει; καὶ τί φησιν ὁ δεσπότης; σοὶ λέγω, ἐγέρθητι· καὶ εὐθέως ἀνεκάθισεν ὁ νεκρός· ὥστε οἱ θεωροῦντες ὄχλοι ἐγένοντο ὡσεὶ νεκροί· πρῶτον μὲν διὰ τὴν ἀπιστίαν· δεύτερον διὰ τὴν ἀλήθειαν. διὰ τί γὰρ μὴ κατεπήδησεν, ἀλλ᾽ ἀνεκάθισεν; ὅπως ἂν ἀνεπισκίαστον τὴν ἀνάστασιν θεωρήσωσιν οἱ πάντες, καὶ μὴ φαντασία γνωρισθῇ τὸ γινόμενον. μονονουχὶ λέγων πρὸς αὐτούς· ἐγὼ ὑμᾶς πληροφορῶ τοὺς ἀκηκοότας· ὅτι

Ιω. ια κε.

ἐκεῖνος

ἐκεῖνος αὐτός ἐστιν ὁ πρὸς βραχὺ ἀποθανών. καὶ ἐκτείνας τὴν χεῖρα ὁ Ἰησοῦς, ἐπελάβετο τοῦ τεθνεῶτος, καὶ ἔδωκεν αὐτὸν ζῶντα τῇ μητρὶ αὐτοῦ· ἡ δὲ λαβοῦσα τὸν υἱόν, ὑπὸ χαρᾶς καὶ ἀπιστίας συνείχετο· χαίρουσα μὲν ἐπὶ τῇ τοῦ παιδὸς ἀναστάσει· ἀπιστοῦσα δὲ τῇ διανοίᾳ τῶν πραγμάτων. μετὰ σπουδῆς δὲ γνώριμον ἀκριβῶς τὸν υἱὸν κατενόει, ταῖς χερσὶν ἐψηλάφα, ὀφθαλμῶν θέσεις διερευνῶσα, ὀσφρήσεως, χειλέων, μετώπου, καὶ τοῦ παντὸς προσώπου τὴν διατύπωσιν· εἶτα τὰς χεῖρας, καὶ τοὺς πόδας, καὶ (ἁπλῶς εἰπεῖν) ὅλον τὸ σῶμα· καὶ πρὸς ἑαυτὴν διελογίζετο λέγουσα· ἆρά, φησι, μήποτε πλανῶμαι; μὴ ἄλλον ὑπὲρ ἄλλου κρατῶ; μὴ πρὸς παραμυθίαν τὴν ἐμὴν, καὶ τὴν τοῦ πένθους ὑποστολὴν, καὶ πρὸς τὴν ἄλγους ὑπερβολὴν τοῦ υἱοῦ μου τὸν θάνατον ἐσοφίσατο; καὶ ξένον τινά, ὡς οἰκεῖον, παρέδωκεν Ἰησοῦς, τὴν ἐμὴν ὀδύνην ἐπικουφίσαι βουλόμενος; οὐδένα τοῦ γινομένου κέκτημαι μάρτυρα· οὐκ εἶδεν τοῦτό ποτε· οὐκ ἄλλος τῶν σὺν ἐμοὶ τεθέαται· οὐδέποτε ἐπὶ κλίνης ὤφθη νεκρὸς ἐγηγερμένος. αὐτὸν δὲ τὸν υἱὸν λαβοῦσα, διελέγετο λέγουσα· λέγε μοί, φησι, καὶ μὴ δειλιάσῃς, εἰ σὺ αὐτὸς ὑπάρχεις ὁ υἱός μου. εἰπέ, γινώσκεις με; γνωρίζεις με τίς εἰμι; οἶδας εἰ ἐγώ εἰμι ἡ τεκοῦσά σε; ἐπιγινώσκω τοὺς χαρακτῆρας, ἀλλ' οὐ πιστεύω τῷ πράγματι. βοᾷ ὁ ὀφθαλμός, ὑπογράφει ἡ κόρη, κηρύττει τὰ βλέφαρα, ἡ ἀκοὴ συμφωνεῖ, μαρτυρεῖ δὲ τῆς ὀσφρήσεως διατυπούμενοι μεσότοιχοι, τὰ χείλη πληροφορεῖ, αὐτὴ ἡ ἡλικία προτρέπεται. κίνησον γλῶτταν, ὦ φίλτατε, εἰπέ μοι τὰ τοῦ βίου τεκμήρια. ἡ χαρά μοι [illegible] μοι ἐκίνησε· βλέπω σε, καὶ συνέχομαι. ἐγώ σε ἐπ' ἀγκάλαις ἐβάστασα, ἐγὼ μαζοῖς ἐμοῖς ἐθήλασα βραχὺν ὄντα. λέγε μοι, τέκνον μου, σὺ ὑπάρχεις ὁ υἱός μου; καὶ μὴ δειλιάσῃς με. ἀλλ' ὡς ἐπὶ πᾶσι τούτοις τὴν πληροφορίαν ἐδέξατο, καὶ ἡ πενθήσασα ὑπέστρεψε χαίρουσα, καὶ ἡ θρηνοῦσα δοξάζουσα τὸν Θεόν, τῇ δεξιᾷ [χειρὶ] τὸν παῖδα κατέχουσα, καὶ διὰ τῆς πόλεως πρὸς πάντας πορευομένη βοῶσα μεγάλῃ τῇ φωνῇ· Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί· καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό· ὅτι τὸν ἐμὸν νεκρωθέντα ἀνέστησεν, ὅτι τὴν παλαιὰν ἄμπελον ἐχαράκωσε, καὶ τὴν μητέρα πάλιν μητέρα ἐποίησε, καὶ πηγὰς δακρύων ἐξέκοψε· καὶ δοξάσατε τὸ ὄνομα αὐτοῦ εἰς τοὺς αἰῶνας· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. λγ. γ.

Λογ. ξη΄.

ΕΙΣ ΤΗΝ ΣΑΜΑΡΕΙΤΙΔΑ· ΚΑΙ ΕΡΜΗΝΕΥΕΤΑΙ ΜΕΣΣΙΑΣ.

Ex Ms. Cæsareo. emend. ex Ms. Oxon. & excusi Ducæi.

ΣΗμερον* ὁ Χριστὸς τοὺς ἄθλους τῆς Σαμαρείτιδος ἀνεκήρυξε, καὶ χρὴ τὸν πτωχὸν* λόγον εἰς τὸ πέλαγος τῶν αὐτῆς κατορθωμάτων διαπλεῦσαι. ὁρῶ γὰρ αὐτῆς τὴν πίστιν, καὶ τὸν ἐγκωμιαστικὸν αὐτῆς ἐξειπεῖν βούλομαι λόγον, καὶ μεθ' ὑμῶν ἐπαινέσαι τὴν πτωχήν, καὶ πλουσίαν· τὴν πόρνην, καὶ ἀπόστολον· τὴν ἄσωτον, καὶ πιστήν· τὴν πολύγαμον, καὶ πολυδυνάμον· τὴν πολλοὺς μιάνασαν, καὶ τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ θεραπεύσασαν· τὴν μιανθεῖσαν, καὶ καθαρισθεῖσαν· τὴν διψήσασαν, καὶ ὑδάτων [ζώντων] ἐπιθυμήσασαν, καὶ τῶν ἐπουρανίων ναμάτων τὴν χάριν κληρονομήσασαν. τί γάρ φησιν ὁ εὐαγγελιστής; [ὁ τὰ ἄρρητα βραβεύσας μυστήρια; Ἔρχεται ὁ Ἰησοῦς εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχὰρ πλησίον τοῦ χωρίου, ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ.] ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἀπὸ τῆς ὁδοιπορίας ἐκάθητο ἐπὶ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη. καὶ ἀπέστειλε τοὺς μαθητὰς εἰς τὴν πόλιν ἀγοράσαι βρώματα. ὁ οὖν Ἰησοῦς κεκοπιακώς. τί οὖν Ἡσαΐας λέγει ὁ προφήτης, Οὐ πεινάσει, οὐδὲ κοπιάσει; Ματθαῖος δὲ ὁ εὐαγγελιστὴς περὶ τοῦ σωτῆρος λέγει· Καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα

Ἰω. δ. ε. — Ἡσ. μ. κη. — Ματθ. δ. C.

* ἡμῶν * ἡμῶν — γρ. πόλιν — γρ. ἐκ

ράκοντα καὶ νύκτας τεσσαράκοντα, ὕστερον ἐπείνασεν. ὁμοίως δὲ καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης πά-
λιν λέγει· ὁ οὖν Ἰησοῦς κεκοπιακώς. καὶ ὁ μὲν λέγει, ὅτι ἐπείνασεν· ὁ δὲ, ὅτι * ἐκοπίασε. καὶ
πῶς ὁ προφήτης δηλοῖ, ὅτι οὐ πεινάσει, οὐδὲ κοπιάσει; καὶ πῶς δύναται παρὰ τούτοις ἡ ὁμο-
φωνία διασώζεσθαι τῆς προφητείας; πλὴν οὔτε ὁ προφήτης ἐψεύσατο (μὴ γένοιτο) οὔτε
5 οἱ ἀπόστολοι ἀλλότρια τοῦ πνεύματος ἐφθέγξαντο τοῦ προφητικοῦ. ἀλλ' ἐπειδὴ ἡ τοῦ σω-
τῆρος * οἰκονομία διπλῆν ἵνα καὶ παράδοξον εἶχε συμπλοκὴν, ἐκ θεότητος λέγω καὶ ἀν-
θρωπότητος, διὰ τοῦτο ὁ μὲν προφήτης τῆς θεότητος τὴν δύναμιν ἐξαγγέλλει *, οἱ δὲ ἀ-
πόστολοι τὴν τοῦ σώματος οἰκονομίαν [ἀληθῆ] " διαγράφουσιν. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ
τῆς ὁδοιπορίας ἐκαθέζετο παρὰ τῇ πηγῇ. ὥρα ἦν ὡσεὶ ἕκτη. καὶ ἀπέστειλε τοὺς μαθητὰς
10 αὐτοῦ ἀγοράσαι βρώματα. ἀναγκαῖον οὖν ἐστιν, ἀγαπητοὶ, ἐπιζητῆσαι, διὰ τί καὶ τὸν τό-
πον ἐσήμανε, καὶ τὴν ὥραν, καὶ τῶν μαθητῶν τὴν ἀπόληψιν· τὸν τόπον, ἐκαθέζετο παρὰ τὴν
πηγήν· τὴν ὥραν, ὥρα ἦν ὡσεὶ ἕκτη· τὴν ἀπόληψιν τῶν μαθητῶν, οἱ μαθηταὶ αὐτοῦ,
φησιν, ἀπῆλθον ἀγοράσαι βρώματα. τίνος οὖν ἕνεκεν τὸν τόπον, ἐγὼ λέγω. θήραν εἶχε
πνευματικὴν, καὶ ἀπῆλθεν εἰς τὸν τόπον, ἐξ οὗ εἶχε τὴν θήραν ἑλκύσαι. οὐχ ὁρᾷς, πῶς ποιοῦ-
15 σιν οἱ ἁλιεῖς; ὅτι οὐ πάντα τόπον τῆς θαλάσσης διατρέχουσιν, ἀλλὰ εἰς τόπον φανερὸν, ὅπου οἴ-
δασι τοὺς ἰχθύας ἐνεδρεύοντας; εἰσὶ γὰρ πολλοὶ τόποι κατὰ θάλασσαν μᾶλλον τῶν ἄλλων τοὺς ἰχ-
θύας διατρέφοντες. οὕτω δὴ καὶ ὁ Κύριος ᾔδει ὡς Θεὸς, ὅτι ἐκεῖθεν ἠδύνατο λαβεῖν τὴν θήραν,
τουτέστι, τὴν γυναῖκα τὴν Σαμαρεῖτιν. ὥσπερ οὖν εἶπον, οἱ ἁλιεῖς ἐκείνοις τοῖς τόποις ἐνεδρεύουσιν,
ὅθεν καὶ τὴν ἰχθὺν ἐλπίζουσι θηρεῦσαι· οὕτω καὶ ὁ Χριστὸς ἦλθεν εἰς τὸν τόπον, ὅθεν τὴν Σαμαρεῖτιν
20 εἶχε θηρεῦσαι, καὶ δι' αὐτῆς μεγάλην ζωγρείαν ἀνθρώπων ἀπεργάζεσθαι. ἰδοὺ, τὸν τόπου τὴν αἰ-
τίαν ἐμήνυσα. διὰ τί δὲ καὶ τὴν ὥραν περὶ τῆς γυναικὸς εἶπεν, ἄκουε. πτωχή τις ἦν ἡ Σαμαρεῖτις
διαπαντὸς ἐκ τῆς χειρὸς αὐτῆς ἀποτρεφομένη· πτωχὴ δὲ καὶ τῷ σώματι καὶ τοῖς χρήμασιν, ἀλλ'
οὐ τῇ τῆς ψυχῆς εὐσεβείᾳ. ὑπὸ γοῦν ἐγρηγορμένη ἐπὶ τὸ ἴσον διέτρεχε διὰ τὴν ἐργασίαν,
ὅθεν καὶ τὴν τροφὴν ἐπραγματεύετο. ἀλλ' ἐν ὥρᾳ ἕκτῃ, ὅταν πάντες πρὸς ἀνάπαυσιν
25 ἠκολουθοῦντο, τότε ἐκείνη τὴν ὑδρίαν λαμβάνουσα τὸ ὕδωρ " ἐγέμιζεν. ᾔδει οὖν ὁ τὰ πάν-
τα ἐπιστάμενος Χριστὸς ὅτι τὴν ὥραν, ἣν πάντες " πρὸς ἀνάπαυσιν εἶχον, ἐκείνη πρὸς τὸ
γεμίζειν τὸ ὕδωρ ἑαυτὴν ἀπησχόλει. καὶ διὰ τοῦτο ὥραν ἕκτην ἦλθεν, ὅτε ἐγίνωσκεν, ὅτι ἀ-
πήρχετο γεμίσαι τὸ ὕδωρ, καὶ δύναται θηρεῦσαι τὴν πνευματικὴν ταύτην θήραν. καὶ τίνος ἕνε-
κεν ἀπεπέμψατο τοὺς μαθητὰς αὐτοῦ; ἡ γυνὴ πτωχή τις ἦν, ὡς ἤδη εἴπομεν, ἐλεεινὴ, μὴ
30 ἰσχύουσα πρὸς δορυφορίαν πολλῶν ἀντιβλέψαι. καὶ εἰ ἐθεάσατο τὸ ἀξίωμα διδασκά-
λου, καὶ μαθητῶν περιβολὴν, τὸν διδάσκαλον, τοὺς διδασκομένους, τὸν ὄχλον, τὴν τάξιν, τὸ
ἀξίωμα, τὸ σχῆμα τὸ ἐπίσημον, εἶχεν ἂν εὐθὺς ἀποφυγεῖν, καὶ ἀπώλετο ἡ θήρα, καὶ οὐκ
ἐτόλμα προσελθεῖν, καὶ ὁ ἰχθὺς ἀπὸ τῶν δικτύων ἐξέφυγε, καὶ οὐκ ἐσαγηνεύετο, ἀλλ' ἀπε-
πήδα. διὰ τοῦτο ἀπεπέμψατο τοὺς μαθητάς. ἀπελθόντες γάρ, φησιν, ἀγοράσατε βρώ-
35 ματα. ὑμεῖς ἀγοράσατε, ἐγὼ ἕτερον ἄριστον ἔχω. Ἐμὸν γὰρ βρῶμά ἐστιν, ἵνα ποιῶ " τὰ Ἰωαν. δ. λδ.
ἔργα τοῦ πατρός μου· ὑμεῖς τὰ σαρκικὰ, ἐγὼ τὰ πνευματικά· ὑμεῖς ἀγοράσατε, ἐγὼ ἐξηγό-
ρασα. Χριστὸς γὰρ ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου. δι' ὑδάτων βούλομαι θη- Γαλ. γ. ιγ.
ρεῦσαι τὴν πνευματικὴν ταύτην ἀλείαν. ἔμαθες διὰ τί καὶ ὁ τόπος, καὶ ἡ ὥρα, καὶ ἡ τῶν
μαθητῶν ἀπόληψις. οὐκοῦν ἀναγκαῖον λοιπὸν ἄρξασθαι τῶν ἑξῆς. ἔρχεται ἡ Σαμαρεῖτις
40 ὥραν ἕκτην παυσαμένη τοῦ ἱστοῦ ἐπὶ τὸ * ὑδρεύσασθαι ὕδωρ, τῇ ὥρᾳ τῆς ἀναπαύσεως, ὡς
πολλάκις εἴρηται. ὥραν ἕκτην, ἐπειδὴ καὶ ἡ Εὔα ὅταν ἐν τῷ παραδείσῳ παρέβη, ὥρα ἦν
ὡσεὶ ἕκτη· καὶ διὰ τοῦτο ἡ Σαμαρεῖτις διεσώθη ἐν τῇ πηγῇ τῇ αὐτῇ ὥρᾳ. εἶτα λοιπὸν ἦλ-
θεν ἡ Σαμαρεῖτις ἀντλῆσαι ὕδωρ, καὶ βλέπει τὸν Ἰησοῦν ὡς τινὰ ξένον καὶ μόνον, ὡς ὁδοιπόρον
" ἀποκαυματῆσαι βουλόμενον, καὶ παρὰ τῇ πηγῇ καθεζόμενον. εἶδεν ἄνδρα καταπεφρο-
νημένον,

γινομένου, καὶ οὔτε λόγον αὐτοῦ ἐποιήσατο. ἀλλ' αὐτὸς, ὁ τὰ πάντα ἐπιστάμενος πρὶν γενέσεως αὐτῶν, θεασάμενος τὸν θησαυρὸν τῆς πίστεως, λέγει αὐτῇ· Δός μοι πιεῖν. ἡ πηγὴ παρὰ τὴν πηγὴν πιεῖν ἀπαιτεῖ, οὐ λαβεῖν, ἀλλὰ δοῦναι βουλόμενος. δός μοι πιεῖν, ἵνα δώσω σοι πιεῖν. ἐγὼ γὰρ τὴν σωτηρίαν τῶν ἀνθρώπων διψῶ, οὐχ ἵνα πίω, ἀλλ' ἵνα ποτίσω. ἐμιμήσατο τὸν οἰκεῖον πατέρα. λέγει γὰρ ὁ Θεὸς τῷ Ἀβραάμ, Δός μοι τὸν υἱόν σου· ἀνένεγκέ μοι αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι δείξω. ἀλλ' οὐ τὸν υἱὸν θέλων λαβεῖν τοῦτο εἴρηκεν, ἀλλὰ βουλόμενος τὸν ἴδιον υἱὸν τῇ οἰκουμένῃ χαρίσασθαι. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν ἴδιον υἱὸν δοῦναι ἀντὶ τῆς τοῦ κόσμου σωτηρίας. δός μοι τὸν μονογενῆ, ἵνα χαρίσωμαι* τὸν μονογενῆ. θῦσον τὸν υἱόν σου, οὐχ ἵνα θύσῃς, ἀλλ' ἵνα θύσω τὸν υἱόν μου ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, θυσίαν εὐάρεστον, ἁγίαν. οὕτω καὶ ἐνταῦθα· δός μοι πιεῖν, οὐχ ἵνα πίω, ἀλλ' ἵνα ποτίσω. λέγει αὐτῷ ἡ γυνή· σὺ πῶς παρ' ἐμοῦ πιεῖν αἰτεῖς Ἰουδαῖος ὢν, παρὰ γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. ἀκριβὴς ἡ γυνή· ἐν τούτοις ἡ πόρνη φιλοτιμεῖται, ἐν τούτοις ἡ πόρνη τὴν φυλακὴν τοῦ νόμου δείκνυσι. τοιοῦτοι τυγχάνει τῶν Σαμαρειτῶν τὸ γένος· ἐν πορνείαις μιαινόμενοι, καὶ ἐν βαπτίσμασι καθαρίζεσθαι νομίζουσι· τὴν ψυχὴν κηλῖδος πληροῦσι, καὶ τὸ σῶμα ἀποσμήχειν δοκοῦσιν. οὕτω καὶ ἡ Σαμαρεῖτις· τὴν ψυχὴν ἐν πορνείαις πεφυρμένην ἔχουσα, περὶ πόσεως ὑδάτων δικάζεται. τί οὖν ὁ Ἰησοῦς; οὐκ ἀπεστήσατο αὐτὴν, οὐκ εἶπεν αὐτῇ, ἐγὼ Θεὸς ἐκ Θεοῦ, ἐγὼ τὸν οὐρανὸν ἐστερέωσα, καὶ τὴν γῆν ἐθεμελίωσα, καὶ περὶ ὑδάτων καὶ πόσεως δικάζῃ μοι, καὶ ταῦτα γυνὴ ταῖς "πορνείαις μεμιασμένη; ἀλλὰ τί; Εἰ ᾔδεις τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκέ σοι ὕδωρ ζῶν. εἶδες πῶς κατ' ὀλίγον διήγειρεν αὐτῆς τὸν πόθον εἰς ἐπιθυμίαν εἰπών, εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν. τί οὖν ἡ γυνή; Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ βαθύ ἐστι. πόθεν σοι τὸ ὕδωρ τοῦτο τὸ ζῶν; μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔπιεν ἐκ τοῦ ὕδατος τούτου, καὶ τὰ θρέμματα αὐτοῦ ἐπότισε; μεγάλην τινὰ φαντασίαν εἶχεν ἡ γυνὴ περὶ τοῦ Ἰακώβ. πρόσεχε, παρακαλῶ, μετὰ πάσης ἀκριβείας. ὑπόληψιν μεγάλην εἶχε περὶ τοῦ Ἰακὼβ ἡ Σαμαρεῖτις γυνή, καὶ μεγάλην δόξαν εἶχε περὶ αὐτοῦ, ὡς περὶ πατριάρχου, ὡς περὶ δικαίου, ἐπειδήπερ αὐτὸς ἐγένετο τῶν δώδεκα πατριαρχῶν πατήρ. αἱ γὰρ δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ ἐκ τοῦ Ἰακὼβ ἐγένοντο. οὐ μόνον δὲ τοῦτο, ἀλλ' ὅτι καὶ ἐπάλαισε μετὰ τοῦ Θεοῦ, καὶ εὑρέθη δυνατὸς, ὡς καὶ τὸν Θεὸν εἰπεῖν πρὸς αὐτόν· Ἀπόλυσόν με, διότι ἀνέβη ὁ ὄρθρος. καὶ Θεὸς μετὰ ἀνθρώπου παλαίων ἔλεγεν, ἀπόλυσόν με, ἐπειδὴ φίλος μου εἶ· ὁ δὲ, Οὐ μή σε ἀπολύσω, ἐὰν μὴ εὐλογήσῃς με. [τί τοῦτο δηλῶν, καὶ τίς ἡ πάλη τοῦ Θεοῦ μετ' ἀνθρώπου, ἢ ὅτι τὴν καθ' ἡμᾶς δι' ἡμᾶς ἔμελλεν ἐνδύσασθαι σάρκα;] τί οὖν ὁ Θεὸς πρὸς αὐτόν; Ἰδοὺ κληθήσεται τὸ ὄνομά σου Ἰσραήλ· ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς εἶ. μεγάλην οὖν εἶχεν ὑπόληψιν περὶ τοῦ Ἰακὼβ ἡ γυνή, καὶ διὰ τοῦτο εἶπε τῷ Ἰησοῦ· μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ; τί οὖν ὁ Χριστός; βλέπε τὴν σοφίαν τοῦ δεσπότου. οὐκ εἶπεν αὐτῇ, ἐγώ εἰμι μείζων τοῦ πατρὸς ἡμῶν Ἰακώβ· οὐδὲ εἶπεν αὐτῇ, καθὼς εἶπε τοῖς Ἰουδαίοις, πρὸ τοῦ Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι· ἢ ὡς ἔλεγε, Πολλοὶ δίκαιοι καὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον. οὐδὲν τούτων εἶπε τῇ γυναικί, ἀλλὰ καταστέλλει τὴν πάλην τὴν πρὸς τὸν πατριάρχην, καὶ ἐκ τοῦ "φανεροῦ τὴν μάχην ἰσχυροτέραν ποιεῖ. εἰ γὰρ εἶπεν αὐτῇ, ὅτι ναὶ μείζων εἰμὶ τοῦ Ἰακώβ, ἐκεῖνος παρ' ἐμοῦ τὴν εὐλογίαν ἐδέξατο, ταχέως ἂν ἐκείνη πρὸς τοσοῦτον ὕψος τῆς ἀποκαλύψεως ἀντιβλέψαι μὴ δυναμένη φυγὴν εἶχεν. οὐδὲν οὖν τούτων εἶπεν, ἀλλ' ἐκ τῶν φαινομένων τὸ πρᾶγμα σαφὲς καὶ ἄμαχον ποιεῖ. τί γὰρ πρὸς αὐτήν; Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ

Marginal notes: Γεν. κβ. β. — Ἰωάν. γ. ιϛ. — Ρωμ. ιβ. α. — Γεν. λβ. κϛ. — Ματθ. ιγ. ιζ. — Μαρκ. ι. κδ. — * πύλ. — χ. αὐτ. — χ. πατ.

γὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. πρόσωπον ἦν ἐν μέσῳ τοῦ Ἰακὼβ καὶ τοῦ Χριστοῦ·
ἀλλ' ἀφῆκε τὴν πάλην τὴν περὶ τῶν προσώπων, καὶ ἔρχεται πρὸς τὴν πάλην τῶν φαι-
νομένων ὑδάτων, καὶ τῶν μὴ φαινομένων χαρισμάτων. εἰ γὰρ εἶπε, καὶ μείζων εἰμὶ τοῦ
Ἰακὼβ, εὐθὺς ἐκείνη ἂν ἀποφθεγγομένη ἀπεπήδα περὶ τῆς ἀποκρίσεως, καὶ εἰς τὴν πό-
5 λιν ἐφυγαδεύετο, καὶ πρὸ τοῦ λόγου τὴν πόλιν κατελάμβανε λέγουσα· οὗτος παραπαίει,
δαιμονιῶν τίς ἐστι, κορυβαντιῶν, φρενίτιδι βέβληται· ξένος τις ὢν καὶ ἄρτι παραφανέντος, μεί-
ζονα ἑαυτὸν λέγει τοῦ πατριάρχου γενομένου τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ, τοῦ τὰς εὐλογίας
ὑποδεξαμένου παρὰ τοῦ Θεοῦ, τοῦ πτωχοῦ μὲν ἀποδημήσαντος, πλουσίου δὲ διὰ τὴν οἰ-
κονομίαν ἐπανελθόντος. ἀλλὰ συγκατέβαινε τῇ γυναικὶ ὁ Χριστὸς, καὶ ἐνεδίδου τῇ ἀσθε-
10 νείᾳ τῆς γυναικὸς πρὸς τὸ κατὰ μικρὸν εἰς τὸ ὕψος τῶν κρειττόνων αὐτὴν ἀναφέρεσθαι. κα-
θάπερ γὰρ οἱ τῶν ἰχθύων θηρευταὶ (τί γὰρ ποιοῦσιν ἐκεῖνοι, ἄκουε) βάλλουσιν εἰς τὴν θά-
λασσαν τὸ ἄγκιστρον, καὶ ὅταν αἴσθωνται ὅτι ἰχθὺς ἐζωγρήθη, οὐκ εὐθὺς ἀνασπῶσιν αὐτὸν,
ἀλλ' ἐνδιδόασι κατὰ μικρὸν, ἵνα ἐκεῖνος τελείως ἀπομειμνήσαι καταπίῃ τὴν θήραν, καὶ οὕ-
τως ὅταν αἴσθησιν λάβωσιν, ὅτι εἰς τὸ βάθος τῆς καρδίας αὐτοῦ ἐδέξατο τὸ ἄγκιστρον, τότε
15 μᾶλλον μετὰ ἐπιτάσεως τὸν ἰχθὺν ἀνασπῶσιν οἱ πρότερον αὐτῷ συγκαταβεβηκότες· οὕτω καὶ
ὁ Χριστὸς τῇ γυναικὶ πεποίηκεν. οὐκ ἐξ ἀρχῆς ἀπεκάλυψεν αὐτῇ τῆς θεότητος τὸ κάλλος, οὐδὲ
μεγάλων ἀγαθῶν ἐπαγγελίας αὐτῇ δέδωκεν, οὐδὲ τοῦ Ἰακὼβ, ὡς ποιήσας αὐτὸν, ἐξήγγειλεν, ἀλ-
λὰ τὴν ὄρεξιν τῆς ψυχῆς αὐτῆς εἰς ἐπιθυμίαν διεγείρει. τί λέγων πρὸς αὐτήν; πᾶς ὁ πίνων ἐκ τοῦ
ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν
20 αἰῶνα. κατέλιπε τὴν προσώπων τὴν πάλην, καὶ λοιπὸν εἰς τὴν τῶν χαρισμάτων ἀφθονίαν ἦλ-
θεν. ὅταν γὰρ δώσω τὰ πνευματικὰ χαρίσματα, μᾶλλον ὑπὲρ ἐκείνων ἐξ αὐτοῦ τοῦ πράγ-
ματος τὴν ὑπεροχὴν δείκνυμι. τί οὖν ἡ γυνή; Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ δι-
ψῶ. εἶδες πῶς ταχέως ἐπίστευσεν, ὅτι τὸ παρὰ τοῦ Χριστοῦ διδόμενον ὕδωρ δίψαν οὐκ
ἐργάζεται. Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψήσω, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν.
25 διήγειρεν αὐτὴν κατ' ὀλίγον εἰς ἐπιθυμίαν τῶν πνευματικῶν ναμάτων. ἐπίστευσεν ὅτι
ἐστὶν ὕδωρ πινόμενον, καὶ δίψαν οὐκ ἐργαζόμενον· μεταλαμβανόμενον, καὶ τῶν ἁμαρτημά-
των ἐξαφανίζον τὸ χειρόγραφον. λέγει αὐτῇ ὁ Ἰησοῦς· ὕπαγε, φώνησόν σου τὸν ἄνδρα· ἐκεῖ-
νος, ὃν ἔχεις τῆς μίξεως, γενέσθω σοι κοινωνὸς τῆς πίστεως. μὴ μόνη λάμβανε τὴν δωρεὰν
τῶν χαρισμάτων· ὕπαγε, φώνησόν σου τὸν ἄνδρα. διὰ γὰρ τοῦτο παρεγενόμην, οὐχ ἵνα μό-
30 νην τὴν Εὔαν διὰ τῆς παρθένου Μαρίας διασώσω, ἀλλ' ἵνα καὶ τὸν ἄνδρα δι' ἐμοῦ πάλιν εἰς
τὸν παράδεισον ἀνακαλέσωμαι. ὕπαγε, φώνησόν σου τὸν ἄνδρα. καλῶς, ὦ ἀγαπητοὶ, καὶ ὁ
τῆς οἰκουμένης διδάσκαλος Παῦλος τῷ αὐτῷ κανόνι Κορινθίοις γράφων ἔλεγε· Τί γὰρ οἶ- α. Κορ. θ. ις.
δας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; λέγει οὖν ἐκείνη, ἄνδρα οὐκ ἔχω. καὶ ἤρξατο λοιπὸν ἡ
γυνὴ τὰς ἑαυτῆς ἁμαρτίας ἀνακαλύπτειν. ἤρξατο λοιπὸν ἐξομολογεῖσθαι καὶ λέγειν, ἄνδρα
35 οὐκ ἔχω. καὶ γὰρ ὑπὸ τῆς πορνείας κατεβαπτίσθην βυθῷ, καὶ ἄνδρα οὐκ ἔχω. λέγει αὐτῇ ὁ Ἰησοῦς·
Καλῶς εἶπας, ὅτι ἄνδρα οὐκ ἔχω. πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ.
τί δέ ἐστι τοῦτο, ἀναγκαῖον εἰπεῖν. ἡ γυνὴ ἔσχε πέντε ἄνδρας, καὶ ἐτελεύτησαν· μετ' ἐκεί-
νους δὲ ἐπόρνευσεν. οὐδεὶς γὰρ αὐτῇ λοιπὸν ὡς γυναικὶ νομίμῃ προσεγγίζειν ἠβούλετο. ἐκεί-
νη δὲ μὴ φέρουσα χαλινῶσαι τῆς ἡδονῆς τὰ κύματα, λαθραίως λοιπὸν εἶχε τὸν πορνεύοντα
40 μετ' αὐτῆς. καὶ οὐκ ἦν οὔτε πόρνη φανερῶς, οὔτε νομίμη. εἶχε γὰρ ἄνδρα λαθραίως. ἐνό-
μισεν οὖν ὡς ἄνθρωπον τὸν Χριστὸν παρακρούεσθαι, καὶ λέγει αὐτῷ, ἄνδρα οὐκ ἔχω. εἶτα,
ὁ Χριστὸς γινώσκων τὰ κρύφια τῆς καρδίας, καὶ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν,
λέγει αὐτῇ· καλῶς εἶπας, ὅτι ἄνδρα οὐκ ἔχω. πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ
ἔστι σου ἀνήρ. λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. ποῖον προφήτην

λέγεις, ὦ γύναι, ἀλλ' ἢ τὸν ἀποκαλύπτοντα τὰ κρύφια τῆς καρδίας; καὶ γὰρ τὴν ἁμαρτη-
μάτων τὴν ἀποκάλυψιν παρὰ τοῦ δεσπότου λαβοῦσα λέγει· Κύριε, θεωρῶ ὅτι προφήτης εἶ
σύ. ἐκ τῶν κρυφίων μου καθάρισόν με. καὶ ἕστηκεν ὁ Θεὸς ὁμιλῶν τῇ γυναικί. ὢ πολλῆς φι-
λανθρωπίας. ὁ καθήμενος ἐπὶ τῶν χερουβὶμ πόρνῃ γυναικὶ διαλέγεται. θεωρῶ ὅτι προ-
φήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱε-
ροσολύμοις ἐστὶν ὁ τόπος, ἔνθα δεῖ προσκυνεῖν. ἡ πόρνη περὶ δογμάτων εἰσάγει λόγον, καὶ
ἐπιγνοῦσα προφήτην οὐδὲν ᾔτησε βιωτικόν. Κύριον ὡμολόγησε, καὶ χρημάτων περιουσί-
αν οὐκ ἐπεζήτησε. Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. Κύριον ὡμολόγησε, καὶ οὐδὲν
ᾔτησε πλέον τῶν πατρικῶν δογμάτων. Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν,
καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ἔνθα προσκυνεῖν δεῖ. τί οὖν ὁ Ἰησοῦς; πά- 10
λιν μετὰ τῆς πρεπούσης αὐτῷ σοφίας ἀποκρίνεται. ἐπειδήπερ Ἰουδαῖος ἐνομίζετο παρ' αὐ-
τῆς, αὕτη δὲ Σαμαρεῖτις ἦν, οὐκ ἠθέλησε πρὸς τὴν πεῦσιν ἀποκρίνεσθαι, ἵνα μήτε δια-
ψεύσηται, μήτε τὴν γυναῖκα σκληροτέραν ἀπεργάσηται. οὐ γὰρ ἦν αὐτῷ ἄλλο τι τὸ κατα-
σκευαζόμενον, ἀλλὰ θηρεῦσαι τὸ γύναιον πρὸς τὴν τῆς σωτηρίας πίστιν ἐπιζητεῖ· καὶ διὰ
τοῦτο οὐδὲν σκληρότερον πρὸς αὐτὴν λέγει, ἵνα μήτε ψεύσηται, μήτε καταισχύνῃ τὴν Σα- 15
μαρεῖτιν. εἰ γὰρ εἶπεν αὐτῇ, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου προσκυνεῖν δεῖ, καθὼς
προσέταξε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραήλ, σκληροτέραν ἂν αὐτὴν εἰργάζετο· ἐπειδήπερ
ἐκ παλαιῶν χρόνων εἶχεν ὑπόληψιν περὶ τοῦ ὄρους τοῦ ἐν Σικίμοις. καὶ πάλιν, εἰ ἠθέλη-
σεν αὐτῇ συγκαταβῆναι καὶ εἰπεῖν, ὅτι τοῦτό ἐστι τὸ ὄρος, καὶ καλῶς προσκυνεῖτε, πάλιν ψευ-
δὲς τὸ ῥῆμα προεβάλλετο. διὰ τοῦτο ἀμφότερα χαμαὶ καταλιπὼν, ἐπὶ τὴν πνευματι- 20
κωτέραν προσκύνησιν τὸ γύναιον χειραγωγεῖ. καὶ τί φησι; Γύναι, πίστευέ μοι λέγοντι, ὅτι
ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ πατρί. τοῦτο,
γύναι, πίστευέ μοι λέγοντι. βλέπε πῶς τὴν ψυχὴν αὐτῆς κατ' ὀλίγον εἰς οὐρανοὺς κου-
φίζει, οὐκ ἐπαισχυνόμενος τὸ τῆς πόρνης περιβόλαιον, ἀλλὰ τῆς ψυχῆς τὴν σωτηρίαν ἀ- χ. διανοῶν
κοιῶν. διὰ τί; ἐπειδήπερ οὐκ ἦλθε καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλούς. γύναι, πίστευέ 25 (Λυκ. ιε. δ.)
μοι λέγοντι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσου-
σι τῷ πατρί. πνεῦμα γὰρ ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ
δεῖ προσκυνεῖν. οὐ περιγράφεται τόπῳ ἡ τοῦ Θεοῦ προσκύνησις, ἀλλ' ἐξήπλωται παν-
ταχοῦ τῆς θείας χάριτος ἡ ἐπίγνωσις. οὐκέτι Ἰουδαῖοι καὶ Σαμαρεῖται ἁρπάζουσι πρὸς ἑαυ-
τοὺς τοῦ νόμου τὰ σύμβολα. καὶ γὰρ τοὺς προσκυνοῦντας τὸν Θεόν, ἐν πνεύματι καὶ ἀληθείᾳ 30
δεῖ προσκυνεῖν, οὐκ ἔτι ἐν ἀλλοτρίοις ὁλοκαυτώμασι καὶ μόσχοις καὶ κριοῖς· οὐκ ἔτι περιτο-
μή, καὶ σαββάτου φυλακή· οὐκέτι ναός, καὶ βωμός, καὶ τὰ ἅγια τῶν ἁγίων· οὐκέτι σκιά, καὶ λα-
τρεία, καὶ σάββατα διεψευσμένα. Τὰς γὰρ νεομηνίας ὑμῶν, καὶ τὰ σάββατα, φησὶν ὁ Θεός, (Ησ. α. ιδ.)
ἐμίσησεν ἡ ψυχή μου. τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.
παρελήλυθεν ἐκεῖνα πάντα ὡς σκιά. τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. 35
μετεστράφη λοιπὸν τῶν γραμμάτων ἡ χάρις. οὐκ ἔτι κατὰ τὸν νόμον εἰς ἕνα τόπον τοὺς προσκυ-
νοῦντας τῷ Θεῷ συγκροτεῖσθαι συγχωρεῖ. Εἰς πᾶσαν γὰρ τὴν οἰκουμένην ἐφαπλῶ- (Ρωμ. ι. ιη.)
σαι βούλομαι τῆς σωτηρίας τὰ χαρίσματα. Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος
αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. πνεῦμα ὁ Θεός, καὶ τοὺς προσ-
κυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνή· οἶδα ὅτι 40
μεσσίας ἔρχεται· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. ὢ πόρνης πνευματικὰ φιλοσο-
φούσης, ὢ πόρνης τὰς θείας γραφὰς ἐπὶ στόματος φερούσης. οἶδα ὅτι μεσσίας ἔρχεται. κἂν
γὰρ τὸ σῶμα βεβάπτισται τῇ τῆς πορνείας ἀκαθαρσίᾳ, ἀλλ' ἡ ψυχὴ κεκαθάρισται τῇ τῶν θείων
γραφῶν ἐπαγγελίᾳ καὶ ἀναγνώσει. οἶδα ὅτι μεσσίας ἔρχεται. μεσσίας δέ, φησιν, ἑρμηνεύε-
ται

ται ἠλειμμένος. προσδοκῶ, φησι, τὸν ἠλειμμένον, * ἵνα ἐκεῖνος ἀναγγείλῃ μοι πάντα. ὢ
προκοπῆς πνευματικῆς. βλέπε πῶς ἀπὸ τῶν καταχθονίων εἰς τοὺς οὐρανοὺς ἀνεπτερώθη.
μεταξὺ λέγει τὸν ἀποστελλόμενον, τὸν προσδοκώμενον, καὶ πάλιν προφήτην, καὶ πάλιν Κύρι-
ον. οὐκ ἔτι καλεῖ αὐτὸν Ἰουδαῖον, οὐκ ἔτι διακρίνεται περὶ τὴν δόσιν τοῦ ὕδατος, οὐκέτι λέγει
5 πρὸς αὐτόν, σὺ Ἰουδαῖος ὢν πῶς παρ' ἐμοῦ πιεῖν αἰτεῖς γυναικὸς Σαμαρείτιδος οὔσης· ἀλλά,
κύριε, θεωρῶ ὅτι προφήτης σὺ εἶ. βλέπε πῶς ἁρπάζει τὴν δωρεὰν τῶν πνευματικῶν χα-
ρισμάτων· βλέπε πῶς ἅπαντα μετὰ γραφικῆς ἀποδείξεως λέγει. οἶδα ὅτι Μεσσίας ἔρχε-
ται· ἐκεῖνον ζητῶ, ἐκεῖνον προσδοκῶ. λέγει αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι ὁ λαλῶν σοι. ὢ με-
γάλων καὶ παραδόξων θαυμάτων· ὃ πολλοῖς τῶν ἀποστόλων οὐκ ἀπεκάλυψε, τοῦτο τῇ πόρνῃ
10 φανερῶς ἀποκαλύπτει. ἐπεὶ τῷ Κλεώπᾳ τοῖς ἀποστόλοις ἑαυτὸν οὐκ ἀπεκάλυψεν, ἀλλ' ὅτε (Λουκ. κδ λα.)
διήνοιξεν αὐτῶν τοὺς ὀφθαλμούς, τότε ἄφαντος ἐγένετο ἀπ' αὐτῶν· ὡς καὶ τοὺς μαθητὰς εἰπεῖν,
Οὐχὶ ἡ καρδία ἡμῶν πεπυρωμένη ἦν, ὅτε ἐν τῇ ὁδῷ διήνοιξεν ἡμῖν τὰς γραφάς; ἐκεῖ σοι ἑαυτὸν
οὐκ ἀπεκάλυψεν· ἀλλὰ τῇ γυναικὶ λέγει, ἐγώ εἰμι ὁ λαλῶν σοι. ὃ ἐποίησε Παύλῳ τῷ ἀν[illegible]-
θέντι ἕως τρίτου οὐρανοῦ, τῷ ἁρπαγέντι εἰς τὸν παράδεισον, τῷ τὴν οἰκουμένην διασώσαντι, τοῦτο προ-
15 λαβὼν καὶ τῇ Σαμαρείτιδι πεποίηκε. Παύλῳ σαφῶς ἀπεκάλυψεν ἐξ οὐρανοῦ λέγων· Σαοὺλ, (Πραξ. θ δ.)
Σαούλ, τί με διώκεις; καὶ νῦν Σαμαρείτιδι λέγει, ἐγώ εἰμι ὁ λαλῶν σοι. Ἐπὶ τούτοις ἔρχονται οἱ
μαθηταί, καὶ εὑρίσκουσιν αὐτὸν ὁμιλοῦντα τῇ γυναικί. ὁ παρὰ τῶν ἀγγέλων προσκυνούμενος
μετὰ πόρνης διελέγετο· ὁ μετὰ τοῦ πατρὸς συμβασιλεύων τὴν ἀτελεύτητον βασιλείαν, μόνος πρὸς
μόνην γυναῖκα ὁμιλεῖ. ἀλλ' ἐκείνη τὴν ὑδρίαν ἀφεῖσα, εἰσῆλθεν εἰς τὴν πόλιν· ἀφῆκε τὴν
20 ὑδρίαν, ἐπειδὴ ἐνεπλήσθη τῶν ζώντων ὑδάτων. καὶ ἐλθοῦσα πρὸς τοὺς πολίτας ἔλεγε· δεῦ-
τε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα. δεῦτε ἴδετε ἄνθρωπον. οὐκ εἶ-
πε, δεῦτε, βλέπετε Θεὸν ἐν ἀνθρώποις, ἵνα μὴ τοῖς ἀνθρώποις δόξῃ παραφρονεῖν, ἵνα μὴ
εἴπωσιν ἄνθρωποι, αὕτη μαίνεται. πότε γὰρ εἶδέ τις Θεὸν περιπατοῦντα; πότε τις εἶ-
δε Θεὸν μετ' ἀνθρώπων συναναστρεφόμενον; δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα
25 ὅσα ἐποίησα. διεγείρει αὐτοὺς πρὸς ἐπιθυμίαν ἐξελθεῖν καὶ θηρεῦσαι. ὡς ἐσαγηνεύθη,
σαγηνεύει. ἀπὸ Ἰουδαίου εἰς Κύριον προέκοψεν αὕτη, ἀπὸ ἀνθρώπου εἰς Θεὸν χειρα-
γωγεῖ. ὢ πόρνης ἀποστολικῆς. ἡ πόρνη γέγονε τῶν ἀποστόλων δυνατωτέρα. οἱ γὰρ ἀπό-
στολοι μετὰ τὸ πληρωθῆναι πᾶσαν τὴν οἰκονομίαν, τότε τῶν ἀποστολικῶν ἤρξαντο κηρυγ- (κηρυγμά-)
μάτων· ἡ δὲ πόρνη καὶ πρὸ τοῦ πάθους καὶ τῆς οἰκονομίας καὶ τῆς ἀναστάσεως τὸν Χριστὸν εὐαγγελίζε-
30 ται. δεῦτε, ἴδετε ἄνθρωποι, ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα. στηλιτεύω τὰ ἐμὰ ἁμαρτήμα-
τα, ἵνα ὑμᾶς πρὸς Θεὸν χειραγωγήσω. ἵνα ὑμεῖς ἴδητε Θεὸν πρὸς ἀνθρώπους παραγενόμενον,
ἐκπομπεύω μου τὰ κακά, καὶ προσκυνείσθω Χριστὸς ὁ τοὺς ἁμαρτωλοὺς μὴ βδελυττόμενος.
δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα, ὅσα ἐποίησα. μήτι οὗτός ἐστιν ὁ Χριστός; βλέπε σο-
φίαν γυναικός, βλέπε πόρνης εὐγνωμοσύνην. ἓν ἁμάρτημα εἶπεν αὐτῇ ὁ Χριστὸς μόνον, τὸ τῆς
35 πορνείας, κἀκείνη λέγει, δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι πάντα, ὅσα ἐποίησα. κηρύττει τὸν εἰ-
δότα τὰ πάντα, κηρύττει τῶν ἀποστόλων ἰσχυρότερα. οὐκ εἶδεν αὐτὸν ἐκ νεκρῶν ἐγειρόμενον,
οὐκ εἶδε τετραήμερον Λάζαρον ἐκ τοῦ τάφου ἀνακαλούμενον, οὐκ εἶδε θάνατον κλεπτόμε-
νον, οὐκ εἶδε θάλασσαν τῷ ῥήματι χαλινουμένην, οὐκ εἶδε τὸν πλάσαντα τὸν Ἀδὰμ
ἐπὶ τοῦ τυφλοῦ τὸ ἐλλεῖπον τῆς δημιουργίας πηλῷ προσαναπληροῦντα, καὶ τὸν ἐν παραδεί-
40 σῳ κεκραμμένα διὰ τὸν λόγον ἀνακηρύττουσα ἦν, δεῦτε, ἴδετε ἄνθρωπον, ὃς εἶπέ μοι ἅπαντα
ὅσα ἐποίησα. ἐκ δὲ τῆς πόλεως ἐκείνης τῶν Σαμαρειτῶν πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν διὰ
τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης, ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. μιμησώμεθα τὴν
γυναῖκα ταύτην τὴν Σαμαρεῖτιν καὶ ἡμεῖς, καὶ ἐπὶ τοῖς οἰκείοις ἁμαρτήμασι μὴ αἰσχυνώμε-
θα, ἀλλὰ φοβώμεθα τὸν Θεόν. νῦν δὲ τὸ ἐναντίον ὁρῶ γινόμενον. τὸν μὲν γὰρ μέλλοντα κρί-

νειν ἡμᾶς οὐ δεδοίκαμεν· νῦν δὲ οὐδὲν ἡμᾶς παραβλάπτοντας τούτους φεύγομεν, καὶ τὴν παρ' αὐτῶν αἰσχύνην δεδοίκαμεν. διὰ τοῦτο ἐν οἷς δεδοίκαμεν, ἐπὶ τούτων δίδομεν τὴν τιμωρίαν. ὁ γὰρ ἐπαισχυνόμενος ἀνθρώπῳ ἀποκαλύψαι τὰ ἁμαρτήματα, Θεοῦ δὲ ὁρῶντος μὴ αἰσχυνόμενος πρᾶξαι, μηδὲ θέλων ὁμολογῆσαι καὶ μετανοῆσαι, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἐνώπιον ἑνὸς καὶ δύο, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης ὁρώσης παραδειγματίζεται. διαλεχθῶμεν οὖν τῷ Χριστῷ. καὶ γὰρ καὶ νῦν μέσος ἡμῶν ἕστηκε, καὶ διὰ τῶν προφητῶν, καὶ διὰ τῶν ἀποστόλων ἡμῖν φθεγγόμενος. ἀκούσωμεν τοίνυν, καὶ πειθώμεθα αὐτῷ. μέχρι τίνος ζῶμεν εἰκῇ καὶ μάτην; ὅταν γὰρ τὸν δοθέντα ἡμῖν χρόνον ἀναλώσωμεν εἰς οὐδέν, ἀπελευσόμεθα δίκην δώσοντες τὴν ἐσχάτην τῆς ἀχρείου δαπάνης. διὰ τοῦτο γὰρ ἤγαγεν ἡμᾶς ὁ Θεὸς εἰς τὸν παρόντα βίον, καὶ ψυχὴν ἐνέπνευσε λογικήν, οὐχ ἵνα τῷ παρόντι βίῳ χρησώμεθα μόνοι, ἀλλ' ἵνα πρὸς τὴν μέλλουσαν ζωὴν πάντες πραγματευσώμεθα. τὰ γὰρ ἄλογα μόνῳ τῷ παρόντι χρήσιμα βίῳ· ἡμεῖς διὰ τοῦτο ψυχὴν ἀθάνατον ἔχομεν, ἵνα πρὸς τὴν ἐκεῖ ζωὴν πάντα πράξωμεν, ἵνα ἐκεῖ λάμψωμεν, ἵνα μετὰ ἀγγέλων χορεύσωμεν, ἵνα τῷ βασιλεῖ παριστάμεθα διὰ παντὸς ἐν τοῖς αἰῶσι τοῖς ἀκηράτοις. διὰ τοῦτο γὰρ καὶ ἀθάνατος γέγονεν ἡ ψυχή, καὶ τὸ σῶμα ἔσται πάλιν. ἐὰν δὲ τῇ γῇ προσηλωμένος ᾖς, τῶν οὐρανίων προκειμένων, ἐννόησον ὅσην τὴν ὕβριν εἰς τὸν δωρούμενον, ὅταν ἐκεῖνος τὰ ἄνω σοι προτείνῃ, σὺ δὲ οὐ πολλὴν αὐτῶν ποιούμενος λόγον τὴν γῆν αὐτῶν ἀνταλλάσσῃ. διὰ ταῦτα καὶ γέενναν ἠπείλησεν, ἅτε καταφρονούμενος, ἵνα μάθῃς ἐντεῦθεν, ὅσων ἀποστερεῖς σεαυτὸν καλῶν. ἀλλὰ μὴ γένοιτο πεῖραν λαβεῖν τῆς κολάσεως ἐκείνης· ἀλλ' εὐαρεστήσαντας ἡμᾶς τῶν αἰωνίων ἐπιτυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ξθ. Φιλιπ. β. θ. Εβρ. ς. ιγ.

ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ ΕΙΣ ΤΟΝ ΟΦΙΝ ΤΟΝ ΧΑΛΚΟΥΝ,

καὶ εἰς τό, Ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ εἰς τό, Ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ.

Ex Ms. [illegible]

Ὁ τοῦ Θεοῦ λόγος, ἀδελφοί, ὡς πολλάκις ἔφθημεν εἰπόντες, ἁπλοῦς μέν ἐστι, καὶ λευκός, καὶ πᾶσιν εὔδηλος, καὶ φωτὸς πολλοῦ γέμων· διαφόρους δὲ ἔχων τὰς ἐνεργείας, διαφόρους λαμβάνει τὰς προσηγορίας, ὡς πολλάκις αὐτὸν ὀνομάζεσθαι καὶ φῶς, καὶ ζωήν, καὶ λύχνον, καὶ λαμπάδα, καὶ ξίφος, καὶ ποταμόν, καὶ πηγήν, καὶ μάχαιραν, καὶ πέλεκυν, καὶ θύραν. ταύτας δὲ τὰς προσηγορίας δέχεται ἀναλόγως ταῖς εὐεργεσίαις, πρὸς τὸ ὀμματῶσαι τῶν ἀκροατῶν τὰς ἐννοίας, καὶ ἀπὸ τῶν καθ' ἡμᾶς ἀνάγειν ἡμῶν τὴν διάνοιαν εἰς τὰ ὑπὲρ ἡμᾶς. ἐντεῦθεν δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ τοῦ Θεοῦ λόγος, ἡ πηγὴ τῆς σοφίας, διαλεγόμενος τῷ λαῷ παραβολαῖς κέχρηται, ἀπὸ τῶν ἐν κόσμῳ τὰ ὑπὲρ κόσμον διδάσκων, ἀπὸ τῶν φαινομένων τὰ ἀόρατα, ἀπὸ τῶν ἀνθρωπίνων τὰ θεῖα. καὶ ποτὲ μὲν παραβολὴν ἀμπελῶνος φέρει, ποτὲ δὲ παραβολὴν ἁλιείας, ποτὲ δὲ σαγήνης, ἄλλοτε δὲ ζύμης· ὥσπερ σήμερον Ἰουδαίοις διαλεγόμενος ἔλεγεν, Ἄνθρωπός τις εἶχε δύο υἱούς, καὶ εἶπε τῷ πρώτῳ, ἄπελθε εἰς τὸν ἀμπελῶνα ἐργάσασθαι. ἐπειδὴ γὰρ παρ' ἡμῖν ταῦτα πολιτεύεται, καὶ τούτοις ἀναστρεφόμεθα, ὁδηγεῖ ἡμᾶς πρὸς τὴν ὑπερκόσμιον σοφίαν. οὕτως ἔλεγε καὶ ἐν τῇ προτέρᾳ· τῇ δὲ χθὲς ἡμέρᾳ ἔλεγεν ὁ σωτήρ, Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὃς ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. χθὲς ἀμπελῶνος εἰσήγαγε παραβολήν, καὶ τῇ σήμερον τὴν αὐτήν. ἀναγκαῖον δὲ ἐπισημαίνεσθαι καὶ τοὺς καιροὺς ἐκείνους, καθ' οὓς ἐξῆλθεν ὁ δεσπότης τοῦ ἀμπελῶνος. ἐξῆλθε, φησιν,

Ματθ. κα. κη. Ματθ. κ. α.

φησιν, ἅμα πρωῒ, καὶ περὶ τρίτην, καὶ ἕκτην, καὶ ἐννάτην, καὶ ἑνδεκάτην. φαίνονται πέντε
καιροὶ τῆς κλήσεως, ἅμα πρωῒ, τρίτη ὥρα, ἕκτη, ἐννάτη, ἑνδεκάτη. οὐδὲν ἀργὸν παρὰ
Θεῷ. ὁ γὰρ ἀπειλῶν, Ὅτι περὶ παντὸς ἀργοῦ ῥήματος λόγον δώσετε, αὐτὸς πολλῷ μᾶλλον [Ματθ. ιβ. λς.]
ἀργὸν οὐκ ἂν ἐξειργάσατο, ἡ πηγὴ τῆς σοφίας. διδάσκει τοίνυν ἡμᾶς τὸ θεῖον διδασκα-
5 λεῖον, ὅτι ὁ Θεὸς κατὰ διαφόρους καιροὺς καλεῖ. ὁ αὐτὸς ἐστὶ δεσπότης, τὸ αὐτὸ γεώργιον ἔχει,
διαφόροις δὲ καιροῖς ποιεῖται τὴν κλῆσιν πρὸς τὰς διαφόρους γενεὰς τῶν ἀνθρώπων. ἡ
ἡμέρα ἡ αὐτὴ, ὁ δεσπότης ὁ αὐτὸς, ὁ ἀμπελὼν ὁ αὐτός· οἱ καιροὶ, καθ' οὓς μισθοῦται,
οὐκ αὐτοὶ, ἀλλὰ ἅμα πρωῒ, τρίτη, ἕκτη, ἐννάτη, ἑνδεκάτη. πότε ἐξῆλθεν ἅμα πρωῒ
μισθώσασθαι ἐργάτας; πρωῒ καλεῖ τὰ προοίμια τῆς θείας δημιουργίας. πρωῒ ἦν, ὅτε
10 Ἀδὰμ ἐπλάσθη. ἐν προοιμίοις γὰρ ὁ αἰὼν ἄρτι πρόσφατον ἀνέτειλεν ἥλιον, ἄρτι
πρόσφατον ἀνεδείχθη τῆς σελήνης τὸ κάλλος καὶ τῶν ἀστέρων ἡ εὐκοσμία, ἅμα πρωῒ ὁ
δεσπότης ἐξῆλθε μισθώσασθαι. τίνα πρῶτον ἐμισθώσατο τῶν ἀνθρώπων; τὸν Ἀδάμ.
ἔθηκεν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι καὶ φυλάσσειν. ἔστι τοίνυν ἡ μὲν πρώτη ἀπὸ τοῦ Ἀδὰμ
μέχρι τοῦ Νῶε· αὕτη μία κλῆσις, εἷς καιρός. κατ' ἐκεῖνον δὴ τὸν καιρὸν ἐμισθώθη Ἀδὰμ
15 εἰς ἐργασίαν, Ἄβελ εἰς ἐργασίαν ἀρετῆς, ὁ Σὴθ καὶ ὁ Ἐνὼχ, ὁ δι' ὑπερβάλλουσαν ἀρετὴν
μετατεθείς. ἕως τοῦ Νῶε ὁ πρῶτος καιρὸς τῆς κλήσεως. ὅτε ἐφάνη Νῶε, ὁ καιρὸς τῆς
τρίτης ὥρας, ἐξῆλθε πάλιν μισθώσασθαι. ἀφανισθείσης γὰρ τῆς πρώτης γενεᾶς διὰ τὴν
παρανομίαν, πάλιν ἐδεήθη δευτέρας κλήσεως τὸ γένος τῶν ἀνθρώπων. εἰσάγει δεύτε-
ρον ἐργάτας εἰς τὸν ἀμπελῶνα, τὸν ἀπὸ Νῶε μέχρι τοῦ Ἀβραάμ· δευτέρα κλῆσις.
20 πρόσεχε ἀκριβῶς, παρακαλῶ. πρώτη ὥρα, τὰ ἀπὸ τοῦ Ἀδὰμ μέχρι τοῦ Νῶε· τρίτη
ὥρα, τὰ ἀπὸ Νῶε μέχρις Ἀβραάμ· ἕκτη ὥρα, τὰ ἀπὸ Ἀβραὰμ μέχρι Μωϋσέως· ἐν-
νάτη ὥρα, τὰ ἀπὸ Μωϋσέως μέχρι Χριστοῦ· ἑνδεκάτη ὥρα, τὰ ἀπὸ τοῦ Χριστοῦ εἰς συν-
τέλειαν. ὥσπερ γὰρ ἑνδεκάτη ὥρα τέλος ἡμέρας, οὕτω καὶ ὁ καιρὸς τῆς παρουσίας τέλος ἦν τῶν
αἰώνων. ὥσπερ γὰρ ἡ ἑνδεκάτη ὥρα εἰς τέλος ἐπείγει τὴν ἡμέραν, οὕτως ὁ καιρὸς τῆς παρου-
25 σίας τὴν συντέλειαν αἰνίττεται). διό φησιν ὁ ἀπόστολος Παῦλος· Ταῦτα, ἀδελφοὶ, τύποι [α. Κορ. ι. ια.]
συνέβαινον ἐκείνοις· ἐγράφη δὲ εἰς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντη-
σε. καὶ ὅρα τὸ θαυμαστόν. ἐμισθώθησαν οἱ πρῶτοι, οἱ δεύτεροι, οἱ τρίτοι, οἱ τέταρτοι,
καὶ ἐπὶ τέλει οἱ πέμπτοι· καὶ μισθὸς οὐκ ἐδόθη τοῖς πρώτοις, ἕως ἀπήντησαν οἱ τελευ-
ταῖοι· ἀλλὰ τὸν μὲν κόπον ὑπέμειναν, τὸν δὲ μισθὸν οὐδέπω ἐδέξαντο. οὐ γὰρ ἠθέλησεν ὁ
30 Θεὸς τοῖς πρώτοις δοῦναι μισθὸν, ἕως ἂν ἀπαντήσωσιν οἱ καρποὶ τῆς ἐκκλησίας, καὶ κε-
λεύσῃ τῷ οἰκονόμῳ, Δὸς ἀπὸ τοῦ ἐσχάτου ἕως τοῦ πρώτου. ὅτι δὲ ὑπερέθετο ὁ Θεὸς μὴ δοῦ-
ναι τὸν μισθὸν τοῖς πρώτοις, ἕως ἂν ἔλθωσιν οἱ τελευταῖοι, μαρτυρεῖ Παῦλος λέγων ἐν τῇ
πρὸς Ἑβραίους· ἐμνημόνευσε τοῦ Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ πατριαρχῶν, καὶ ἑτέρων
προφητῶν καὶ δικαίων· καὶ ἐπάγει, Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκο- [Ἑβρ. ια. λθ.]
35 μίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν
τελειωθῶσιν. ὥσπερ γὰρ ἐνταῦθα, ἀδελφοὶ, πέντε καιροὺς ἔδωκε καὶ κλήσεις, πρῶτον καιρὸν,
ἵνα ἐπαναλάβω, τὸν ἀπὸ Ἀδὰμ μέχρι Νῶε, δεύτερον ἀπὸ Νῶε μέχρις Ἀβραὰμ, τρίτον ἀπὸ
Ἀβραὰμ μέχρι Μωϋσέως, τέταρτον ἀπὸ Μωϋσέως μέχρι Χριστοῦ, πέμπτον ἀπὸ τοῦ σωτῆρος
μέχρι τῆς συντελείας· οὕτω καὶ ἀλλαχοῦ παραβολὴν ἐμφαίνων φησίν· Ὁμοία ἐστὶν ἡ βασι- [Ματθ. κε. α.]
40 λεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες ἐξῆλθον εἰς συνάντησιν τοῦ νυμφίου· πέντε φρό-
νιμοι, καὶ πέντε μωραί. διὰ τί πέντε καὶ πέντε; καθ' ἑκάστην γενεὰν καὶ δίκαιοι καὶ ἄδικοι. πέντε
φρόνιμοι, καὶ πέντε μωραί. καθ' ἑκάστην γὰρ γενεὰν καὶ σπουδαῖοι καὶ ῥᾴθυμοι, καὶ εὐλαβεῖς καὶ
ἀνευλαβεῖς. ὅρα πανταχοῦ τὴν συμφωνίαν τῶν καιρῶν. πάντως γὰρ αἱ πέντε κλήσεις αὗται
ἰδιαζούσας ἔχουσι πραγματείας, καὶ ἰδίους καιρούς. καὶ ὥσπερ οἱ γεωργοὶ παρ' ἑκάστου καιροῦ

τοὺς καρποὺς τοὺς οἰκείους ἀπαιτοῦσι, τὰ τοῦ ἔαρος παρὰ τοῦ ἔαρος, παρὰ τοῦ χειμῶνος τὰ τοῦ χειμῶνος, παρὰ τοῦ θέρους τὰ ἐξ ἐκείνου, παρὰ τοῦ μετοπώρου τὰ ἐκ τῆς οἰκείας ὥρας· οὕτω καὶ ὁ Θεὸς ἀπαιτεῖ τοὺς καρποὺς, παρὰ ἑκάστου καιροῦ τοὺς οἰκείους τῆς γενεᾶς ἀπαιτεῖ. οὐκ ἀπαιτεῖ σε σήμερον καρπὸν, ὃν ἀπῄτησε τοὺς προφήτας. ἄλλον ἀπαιτεῖ μετὰ τὴν Χριστοῦ παρουσίαν. ὥσπερ γὰρ τοὺς παρὰ σοῦ οὐκ ἀπῄτησε καρποὺς τοὺς κατὰ σὲ, ἀλλ' ἑκάστην γενεὰν ἰδίους καρποὺς ἀπαιτεῖ, οὕτω καὶ τότε. τότε καιρὸς ἦν ἕτερος, καὶ νόμοι εἶχον ἰσχύν· νῦν καιρὸς ἕτερος, καὶ διάταγμα ἰσχὺν ἔχει, οὐ τοῦ Θεοῦ μεταβληθέντος, ἀλλὰ πραγμάτων ἁρμοζομένων. διὰ τοῦτο μαρτυρεῖ πολλάκις τῷ Νῶε ἡ γραφή, Καὶ ἦν Νῶε δίκαιος, τέλειος. πῶς; ἐν τῇ γενεᾷ αὐτοῦ, πρὸς σύγκρισιν τῶν μετ' αὐτοῦ. ἕκαστος γὰρ (Πραξ. ιγ. λϛ.) τῆς ἑαυτοῦ γενεᾶς ἀπαιτεῖται τὴν ὑπηρεσίαν, καθώς φησι Πέτρος περὶ τοῦ Δαβίδ· Δαβὶδ μὲν τῇ ἰδίᾳ ὑπηρετήσας γενεᾷ, τῇ τοῦ Θεοῦ βουλῇ ἐκοιμήθη. ἕκαστος κατὰ τὴν ἑαυτοῦ γενεάν. γενεαὶ τοίνυν πάντες. ταῦτα λέγομεν, οὐχ ἁπλῶς ἀποφαινόμενοι, ἀλλὰ τοῖς ἴχνεσι τοῖς δεσποτικοῖς ἀκολουθοῦντες. (Ματθ κα ιθ.) ἔδειξε τὴν δύναμιν ὁ σωτήρ. Ἐπανιὼν, φησὶν, ἐπὶ τὴν πόλιν, εἶδε συκῆν, καὶ οὐκ εἶχεν εἰ μὴ φύλλα μόνον, καὶ ἐζήτει καρπόν· προσῆλθε δὲ πεινῶν. πολλὴν βλέπω τὴν ἀπορίαν ἐν ταῖς λέξεσιν, ἐὰν μὴ ἡ δύναμις δυσωπήσῃ ἡμῶν τὴν διάνοιαν μηδὲν κατὰ Θεοῦ ἀδιαφόρως φθέγγεσθαι ἢ νοεῖν, ἀλλὰ τῷ σκοπῷ τῆς ἀληθείας ἐξακολουθεῖν. ἐπανιὼν, φησὶν, ἔννυχα λίαν ἐπείνασε, καὶ προσῆλθεν ἐπὶ τὴν συκῆν, (Μαρκ ια. ιγ.) ζητῶν καρπὸν, καὶ οὐχ εὗρεν. οὐ γὰρ ἦν καιρὸς σύκων. οὕτω γέγραπται. τίς γὰρ οὕτως, οὐ λέγω Θεὸν, οὐδὲ τὴν τοῦ Θεοῦ ἀξίαν ἐν μέσῳ φέρω νῦν, ἀλλὰ τίς οὕτω τῶν καθ' ἡμᾶς ἄνθρωπος ἄφρων, ἀσύνετος, ὥστε παρὰ τὸν καιρὸν ἀπελθεῖν ἐπὶ τὴν συκῆν; εἰ κατὰ ἄνθρωπον, ἀλλότριον συνετοῦ παρὰ τὸν καιρὸν ζητῆσαι καρπόν· εἰ κατὰ Θεὸν, διὰ τί τῆς ἰδίας δημιουργίας τοὺς ὅρους ἠγνόησεν; ὡς ἂν θέλῃς ἐξετάσαι τὸ ῥῆμα, ἤτοι κατὰ τὴν ἀνθρωπότητα, ἢ τὴν θεότητα, οὐχ ἥρμοσε τῷ σωτῆρι. οὔτε γὰρ ἄνθρωπος συνετὸς παρὰ τὸν καιρὸν ἀπαιτεῖ καρποὺς παρὰ τῶν φυτῶν, ἄλλως τε οὐδ' ἂν ἀπαιτήσαιμεν ἀπ' ἀρχῆς· οὔτε δὲ αὐτὸς ὁ Θεὸς ὁ τάξιν καὶ καιρὸν καὶ νόμους τεθεικὼς ἑκάστῳ καὶ φυτῷ καὶ καρπῷ, ἀπῄτησεν ἂν ** παρὰ τοὺς ἰδίους ὅρους. εἰ γὰρ σὺ ἐνομοθέτησας τῇ συκῇ τὸν πρέποντα καιρὸν μὴ ἐνεγκούσῃ. εἰ δὲ καὶ ἦν ὁ καιρὸς, μὴ ἤνεγκε δὲ καρπὸν, τοῦτο τῆς γνώμης ἦν τοῦ Θεοῦ τοῦ μὴ ἐνισχύσαντος τὸ φυτόν. ὥστε, ἀδελφοὶ, οἰκονομία μᾶλλόν ἐστιν, ἢ χρεία. οὐκ ἔστι χρεία Χριστοῦ, ἀλλ' οἰκονομία. ἐβουλήθη προοικονομῆσαι τοῦ πάθους ἀσφάλειαν τοῖς μαθηταῖς. ἐπειδὴ ἔμελλε μετὰ ταύτην τὴν πραγματείαν εὐθέως εἰσιὼν εἰς Ἱεροσόλυμα ὑπομένειν τὸ πάθος (τῷ γὰρ ἀκριβῶς ἀναγινώσκοντι εὑρεθήσεται ταύτῃ τῇ ἱστορίᾳ ἀκολουθοῦσα ἡ τοῦ σταυροῦ δύναμις) ἐπειδὴ ἔμελλεν εἰσιέναι εἰς Ἱεροσόλυμα καὶ πάσχειν, οἱ δὲ μαθηταὶ ἐσκανδαλίζοντο τῷ πάθει, ἵνα μή τις αὐτὸν ὑπονοήσῃ δι' ἀσθένειαν πάσχειν, δίδωσιν ἐναργῆ μαρτυρίας, ὅτι ἠδύνατο τοὺς ἀντιλέγοντας ξηρᾶναι, ὡς τὴν συκῆν· ἵνα τὴν μὲν δύναμιν ἐν τῇ συκῇ τῇ ἀψύχῳ ἐνδείξηται, τὴν δὲ μακροθυμίαν ἐν τοῖς λογικοῖς ἀνθρώποις· ἵνα πρόσφατον ἔχοντες τὴν μνήμην τοῦ θαύματος, ἐννοήσωσιν ὅτι θέλων ὑπέμεινεν ὁ λόγῳ ξηραίνων. ὅτι δὲ, ἀδελφοὶ, ἀληθὴς ὁ λόγος, καὶ διὰ τοῦτο ταῦτα πάντα οἰκονομεῖ, ἵνα τὴν δύναμιν δείξῃ, ἐκ τῶν ἑπομένων ἔστι νοῆσαι. πολλοῖς γὰρ πάρεστι νοῆσαι καὶ θεωρῆσαι· ἡ συκῆ, φησὶν, ἡ συναγωγὴ τῶν Ἰουδαίων. καὶ ἠπείλησε τῇ συναγωγῇ, μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. οὕτω τινὲς ἠθέλησαν θεωρῆσαι· εὑρίσκεται δὲ μὴ συνᾴδοντα τὰ πράγματα τῇ προρρήσει. μετὰ γὰρ τὸν σταυρὸν, μετὰ τὴν ἀπόφασιν ταύτην, μυριάδες ἐπίστευσαν ἀπὸ Ἰουδαίων· καὶ οὐχ ἥρμοσε τῷ, οὐκ ἔτι ἐκ σοῦ καρπὸς γένηται, τὸ τοσούτους πιστεῦσαι. ἐπανάλαβε τὸ ῥῆμα· εἰ κατὰ Ἰουδαίων ἀπεφήνατο καὶ κατὰ τῆς συναγωγῆς, ὥστε μηκέτι καρπὸν ἐνεγκεῖν, καρποὶ δὲ τῆς συναγωγῆς αἱ ἐκκλησίαι, ἔχρην μετὰ ταύτην τὴν

ἀπόφασιν

ἀπόφασιν μηδένα πιστεῦσαι Ἰουδαίων. ὅτι δὲ πολλοὶ ἐπίστευσαν, ἄκουε τῆς γραφῆς. μία
Πέτρου δημηγορία τρισχιλίους ἐσαγήνευσεν, ἄλλη αὐτοῦ διδασκαλία τετρακισχιλίους, καὶ
ἦσαν ψυχαὶ ὡς ἑπτάκις χίλιαι. ἀλλ᾽ ἀγαθὸν δὲ, ὡς προέκοψεν ὁ λόγος, πολὺς ὄχλος τῶν
Ἰουδαίων ὑπήκουσε τῇ πίστει. εἰ καὶ Ἰουδαῖοι ὑπήκουσαν πολλοὶ, καὶ χιλιάδες πολλαὶ,
ἐπὶ τέλει δὲ εἰς τοσοῦτον προῆλθεν ὁ λόγος παρὰ Ἰουδαίοις, ὡς εἰπεῖν τοὺς ἀποστόλους
τῷ Παύλῳ, Θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶ τῶν πιστευσάντων Ἰουδαίων· εἰ
οὖν μυριάδες εἰσὶ τῶν πιστευσάντων Ἰουδαίων, εἰ οὖν μυριάδες ἐπίστευσαν, πῶς συνᾴδει
τῇ ἀποφάσει ἡ ἀπόφασις, μηκέτι ἐκ σοῦ καρπὸς γένηται; μετὰ γὰρ τὴν ἀπόφασιν μυ-
ριάδες ἠνθήσαν καρπῶν. ἀλλὰ τὸ πρᾶγμα ταύτην ἔχει τὴν ἀκολουθίαν· φεῦγε τὰς
βεβιασμένας ἀλληγορίας. ἔστιν ὅτε αὐτὴ ἡ γραφὴ δίδωσιν ὀφθαλμοὺς εἰς θεωρίαν· ἔστιν
ὅτε αὐτὴ ἑαυτὴν ἀπολογεῖ διδάσκει. ὅταν μὲν τοι γυμνὴ ἡ θεωρία, ἡ ἱστορία πρόσκειται, μὴ βιά-
ζου τὰ ἀνέφικτα, ἀλλὰ λάμβανε τὴν ἀκρόασιν ἀκόλουθον. σταυρὸς ἦν· τὸ πάθος ἔμελλεν ἐκ-
φαίνειν. ἵνα μὴ ἀσθένειᾳ ἐπιγράψωσι τὴν οἰκονομίαν, ἐνδείκνυται τὴν δύναμιν εἰς τὴν
ἄψυχον, καὶ φυλάττει τὴν μακροθυμίαν τοῖς μέλλουσιν ἔχειν ἐλπίδα σωτηρίας. ᾔδει γὰρ ὁ
σωτὴρ, ὅτι ὁ σταυρὸς σωτηρία τῶν ἀνθρώπων, καὶ τὸ ὑψωθῆναι αὐτὸν ἐπὶ ξύλου, τοῦτο τὴν οἰ-
κουμένην ὅλην ἐσαγήνευσε. διό φησιν· Ἐγὼ ἐὰν ὑψωθῶ, τουτέστιν, ἐὰν σταυρωθῶ, πάντας
ἑλκύσω πρὸς ἐμαυτόν. πρόσεχε, παρακαλῶ. τὸ, ὑψωθῶ, τί ἐστιν; ἐὰν μὴ αὐτὸς ἑρμη-
νεύσῃ τὸ ῥῆμα, οὐ δυνάμεθα στῆσαι τὸ νόημα. λέγει ὁ σωτὴρ τῷ Νικοδήμῳ· Καὶ καθὼς Μωϋ-
σῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πι-
στεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν
ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. τί βούλεται τὸ αἴνιγμα; ἐν τῇ ἐρήμῳ
ποτὲ ὁ λαὸς τῶν Ἰουδαίων ἐγόγγυζεν ἐπὶ τῇ τροφῇ τοῦ μάννα, καὶ τὴν τροφὴν ταύτην τὴν ἐξ
οὐρανοῦ δεδομένην πατήσας, ἐπεθύμησε τραπέζης Αἰγυπτιακῆς, καὶ ἔλεγεν· Ἐμνήσθημεν τῶν
λεβήτων τῶν κρεῶν, ὧν ἠσθίομεν ἐν Αἰγύπτῳ· καὶ προετιμήθησαν λέβητες Αἰγυπτιακοὶ τοῦ
μάννα τοῦ οὐρανίου. τί οὖν ὁ Θεός; ἐπειδὴ ὁ ἄρτος ὁ ἐξ οὐρανοῦ κατεφρονήθη, ἀποστέλλει ἐπὶ
τὸν λαὸν ὄφεις θανατοῦντας. ἐξῆλθον ὄφεις δάκνοντες, καὶ θάνατοι ταῖς δήξεσιν ἐπάγοντες.
καὶ εἰκότως οὐκ ἄλλο θηρίον ἀπέστειλεν, οὐ λέων, οὐκ ἄρκτος, ἀλλ᾽ ὄφεις. ἐπειδὴ γὰρ ἐξ ἀρ-
χῆς τῷ ὄφει εἶπεν ὁ Θεός, Γῆν φάγῃ πάσας τὰς ἡμέρας, ἀπέστειλε θηρίον τοιοῦτον κατὰ τῶν
ἐσθιόντων μάννα καὶ γογγυζόντων, τὸν ἐσθίοντα καὶ μὴ γογγύζοντα. ἀποστέλλει ὄφιν δάκνοντα·
θάνατος τοῖς δήγμασιν ἠκολούθει· προσανίπτουσι τῷ Μωϋσῇ· προσανίπτει Θεῷ Μωϋσῆς·
ὑποβάλλει Θεὸς φάρμακον τοῖς τραύμασι. καίτοι ἠδύνατο ἀπολέσαι τοὺς ὄφεις παρακα-
λούμενος· ἀλλὰ καὶ τὴν πληγὴν καταλιμπάνει, καὶ τὸ φάρμακον δίδωσι. Ποίησόν μοι ὄφιν χαλ-
κοῦν, καὶ πῆξον αὐτὸν ἐπὶ ξύλου ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ κήρυξον τοῖς υἱοῖς Ἰσρα-
ὴλ, καὶ εἰπέ· ἐάν τις δηχθῇ ὑπὸ ὄφεως, ἔλθῃ καὶ προσέχῃ τῷ ὀφθέντι τούτῳ τῷ πεπηγμένῳ ἐν
τῷ ξύλῳ, καὶ πιστεύσας ζήσεται. ἆρα οὐκ ἦν δυνατὸν φυγαδευθῆναι τοὺς ὄφεις; οὐκ ἦν δυ-
νατὸν ἀπολέσθαι; οὐκ ἦν δυνατὸν λόγῳ θεραπεῦσαι; ἀλλ᾽ ὥσπερ ἐδύνατο λόγος Θεοῦ
ἐκ πέτρας ἐκβλύσαι ὕδωρ, ἕως δὲ εἶδεν ἡ πέτρα τὸ σύμβολον τοῦ σταυροῦ, οὐχ ὑπήκουσεν· οὕ-
τω καὶ ἐνταῦθα, ἠδύνατο τοὺς ὄφεις φυγαδεῦσαι, ἀλλ᾽ ἕως εἶδον οἱ ὄφεις τὴν εἰκόνα τοῦ
σταυροῦ τὴν νεκροῦσαν τῶν δαιμόνων τὰ δήγματα, οὐκ ἠμβλύνθησαν. διὰ τί δὲ τοῦ σωτῆ-
ρος εἰκόνα τὸν ὄφιν ἐποίησε; τί ὅμοιον εἰκὼν καὶ ὄφις; ἵνα μνημονεύσῃς, ἐπειδὰν πρὸς Ἰου-
δαίους ἔχῃς, ἢ πρός τινας ἐχθροὺς ἀπὸ τῆς γραφῆς ὁρμωμένους, καὶ κατὰ τῆς γραφῆς στρατευομέ-
νους, πῶς ἀπὸ τοῦ ἐσταυρωμένου σωτηρίαν ἐκδέχῃ καὶ εὐλογίαν. γέγραπται γὰρ, Ἐπικατά-
ρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. πρόσεχε ἀκριβῶς. ἐὰν εἴπῃ Ἰουδαῖος, ἢ ἕτερος ἐχθρὸς
τῆς ἐκκλησίας ἁρπάζων ἀπὸ τῆς γραφῆς ῥήματα, καὶ κατὰ τῆς γραφῆς ὁπλίζων, πῶς παρὰ
τοῦ

Πραξ. ϛ. μα. — Πραξ. κα. κ. — Ἰωαν. ιϛ. λϛ. — Ἰωαν. γ. ιδ. — Ἐξοδ. ιϛ. γ. — Γεν. γ. ιδ. — Ἀριθ. κα. θ. — Δευτ. κα. κγ.

τοῦ Κυρίου τοῦ ἐσταυρωμένου εὐλογίαν θέλετε, γράφοντος Μωϋσέως φανερῶς, ὅτι ἐπικατά-
ρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· εἴποι αὐτῷ, εἰ ἀνέγνως τὴν γραφὴν, ἐπίγνωθι. οὐ
Πραξ. η. λ. γὰρ ἡ ἀνάγνωσις ζητεῖται, ἀλλὰ ἡ γνῶσις· καθώς φησιν ὁ Φίλιππος τῷ εὐνούχῳ, Ἆρά γε γι-
νώσκεις ἃ ἀναγινώσκεις; καὶ πῶς ὁ εὐγνώμων; Πῶς γὰρ ἄν, κύριε, ἐὰν μή τις με ὁδηγή-
σῃ; ἐὰν εἴπῃ πῶς, παρὰ τοῦ ἐσταυρωμένου εὐλογίαν ἐκδέχῃ; (γέγραπται γάρ, ἐπι- 5
κατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου) εἰπὲ αὐτῷ· πῶς οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἐρή-
Γεν. γ. ιδ. μῳ παρὰ τοῦ ὄφεως εὐλογίαν ἐδέξαντο, τοῦ Θεοῦ ἀπ᾽ ἀρχῆς εἰρηκότος, Ἐπικατάρατος
σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς; καὶ ὁ ὄφις ἐπικατάρατος, καὶ ἐπικατάρατος πᾶς
ὁ κρεμάμενος ἐπὶ ξύλου. μὴ προσέχῃς τὴν τῶν ῥημάτων οἰκονομίαν, ἀλλὰ μάθε
τὴν διαφοράν. ἐπειδὴ ὁ σωτὴρ ἔμελλε τὴν ἀποκειμένην τῷ κόσμῳ κατάραν εἰς ἑαυτὸν ἀ- 10
ναλαμβάνειν, κατάρα δὲ ἦν ἡ πρώτη, Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ἀνέλαβε δὲ ταύτην
Γαλ. γ. ιγ. τὴν ἀπόφασιν εἰς αὐτόν, ὥς φησιν ὁ ἀπόστολος, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας
τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα, περιλαβὼν εἰκόνα τίθησιν ἐν τῷ ὄφει· καὶ εἰκότως
ἐν τῷ ὄφει. ὥσπερ γὰρ ὁ χαλκοῦς ἐκεῖνος ὄφις ὄψιν μὲν καὶ τύπον καὶ εἰκόνα ὄφεως εἶχεν, ἰὸν
δὲ καὶ πονηρίαν ὄφεως οὐκ εἶχεν· οὕτω καὶ ὁ σωτὴρ φαίνεται ἐν σαρκὶ τῷ προσχήματι τῆς ἁμαρ- 15
τίας. ἡ γὰρ σὰρξ αὕτη ἁμαρτωλὸς ἐγένετο πρὸ τούτου. ἀναλαμβάνει οὖν τὴν ἁμαρτωλὴν
Ιωαν. α. κθ. σάρκα, καὶ οὐκ αὐτὸς ἁμαρτήσας, ἀλλὰ τοῦ κόσμου τὴν ἁμαρτίαν λαβών. Ἴδε γὰρ ὁ ἀμνὸς
τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. οὕτω καὶ ὁ σωτὴρ ἀνέλαβε σάρκα, εἰκόνα μὲν
Ησ. νγ. θ. σαρκὸς καὶ ἀληθινὴν φύσιν ἔχουσαν, ἁμαρτίαν δὲ σαρκὸς οὐκ ἔχουσαν. Ἁμαρτίαν γὰρ οὐκ ἐ-
ποίησε, φησὶν Ἡσαΐας, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. ὃ γάρ ἐστιν ἰὸς ἐν τῷ ὄφει, 20
Ψαλ. ρλθ. γ. τοῦτο δόλος ἐν ἀνθρώπῳ. εἰς ὅν φησιν ἡ γραφὴ περὶ τῶν πονηρῶν· Ἰὸς ἀσπίδων ὑπὸ τὰ
χείλη αὐτῶν· ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει, καὶ ἐν ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. ὥ-
σπερ οὖν, ἵνα πάλιν ἐπαναλάβω, ὁ ὄφις ἐκεῖνος εἶχε μὲν εἰκόνα καὶ μορφὴν ὄφεως, ἰὸν δὲ καὶ
πονηρίαν ὄφεως οὐκ εἶχεν· οὕτω καὶ τὸ σῶμα τοῦ σωτῆρος εἶχε μὲν μορφὴν ἀνθρώπων, πο-
νηρίαν δὲ ἀνθρώπων οὐκ εἶχεν. ἑτέρα δὲ πάλιν εἰκών. ὥσπερ ἐκεῖ ἄλλοι μὲν οἱ δάκνον- 25
τες ὄφεις, ἄλλος δὲ ὁ ὑπὲρ αὐτῶν πάσχων. δέον γὰρ ἕνα τῶν δακνόντων λαβεῖν καὶ αὐτὸν σταυρῶ-
σαι, οἱ μὲν δάκνοντες ἠφίεντο, ὁ δὲ μηδὲν ἁμαρτὼν ἐσταυροῦτο· ὁ δὲ μήτε δάκνων, μήτε κοινω-
νήσας τῇ φθορᾷ ἢ τῇ ἀπωλείᾳ τῶν ἄλλων ὄφεων ὑπομένει τὴν ἐπὶ ξύλου πῆξιν, ἐπειδὴ εἰ-
κὼν ἦν τοῦ σωτῆρος, ὅτι πάντων ἁμαρτησάντων ἀνθρώπων οὐδεὶς τῶν ἁμαρτησάντων ὑπὲρ
ἁμαρτωλοῦ σταυροῦται, ἀλλὰ ἀναμάρτητος. ἔγνως τὴν θεωρίαν· μνήσθητι τῆς τοῦ Κυ- 30
Ιωαν. γ. ιδ. ρίου φωνῆς λεγούσης πρὸς Νικόδημον, Καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ,
οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽
ἔχῃ ζωὴν αἰώνιον. οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου. καλὸν τὸ ῥῆμα. ἐπειδὴ ἐνο-
μίσθη ταπείνωσις εἶναι τὸ πάθος, ὁ σωτὴρ ὕψωσιν καλεῖ. πᾶσα γὰρ ἡ οἰκουμένη σταυρῷ ὑψώ-
θη, πᾶσα ἡ οἰκουμένη χαμαὶ κειμένη διὰ τῆς οἰκονομίας τοῦ σταυροῦ ἀνωρθώθη. διὰ τοῦτο ὁ 35
Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην· οὐκ εἶ-
πεν, ἔκτισε. τὸ πρότερον ἔκτισε, τὸ δεύτερον κατώρθωσεν. οὕτω δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀν-
θρώπου, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται. ἀναγκαῖον εἶναι μοι δοκεῖ τῆς ὑψώσε-
ως ταύτης μάρτυρα καλέσαι προφήτην τὸν φανερῶς κηρύττοντα, ὅτι ὁ Θεὸς ὑψοῦται. ἄ-
κουε τοίνυν τοῦ μακαρίου Ἡσαΐου τὴν ὕψωσιν ταύτην κηρύττοντος. εἰ γὰρ καὶ τὰ μάλιστα 40
Ησ. νγ. ζ. σαφῶς τὸ πάθος ἐκήρυξε λέγων, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ
κείροντος αὐτὸν ἄφωνος· οὗτος τὰς ἁμαρτίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, ὑπὲρ τῶν
ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον· ἀλλ᾽ ὅμως ἀλλαχοῦ καὶ αὐτὸ τὸ πάθος ὕψωσιν καλεῖ.
Ησ. ιβ. δ. Ὕ γάρ φησιν· Ὑμνεῖτε τὸν Κύριον, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δό-

ξαν

ξαν αὐτοῦ, ὅτι ὑψηλὰ ἐποίησεν. ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε οἱ ἐνοικοῦντες ἐν Σιών, ὅτι ὑ-
ψώθη ὁ ἅγιος Ἰσραήλ, ἐν μέσῳ σου ὑψώθη. ἀλλ' ἀνακύπτει πρὸς ταύτην αἱρετικὴ
φωνή, καὶ λέγει· Εἰ καὶ ὑψώθη, ἀλλὰ παρὰ τοῦ πατρὸς ὑψώθη. γέγραπται γάρ, Διὸ καὶ (Φιλιπ. β. θ.)
ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀ-
5 νόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ τὰ ἑξῆς. ἀεὶ ἐχθροὶ τῆς ἀληθείας ἐπιφύ-
ονται τῷ κηρύγματι τῆς ἀληθείας. ἀναγκαῖον δὲ παρὰ τῶν τοιούτων, μᾶλλον δὲ τοῖς τοι-
ούτοις μὴ διδόναι συντόμως τὰς ἀποκρίσεις, ἀλλὰ πρότερον ἀπαιτεῖν αὐτοὺς λόγον τῶν οἰ-
κείων προλήψεων, καὶ τότε ἐπάγειν λύσιν τῶν ζητουμένων. ἐπειδὴ λέγεις, ὅτι ὁ πατὴρ αὐτὸν
ὑπερύψωσε καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ· πρῶ-
10 τόν μοι στῆσον, ποῖόν ἐστι τοῦτο τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; οὐ γάρ ἐστιν ἁπλῶς εἰπόντα
ἀποφαίνεσθαι, ἀλλὰ τὸ τῇ ἀληθείᾳ συνίστασθαι. ὅταν ἐρωτήσῃ ὁ πονηρός, ἀντερωτήσει
δικαίᾳ λύε τὴν ἄτοπον ἐρώτησιν. ἔδειξε γὰρ ὁ σωτὴρ σήμερον, πῶς δεῖ πρὸς τοὺς σκολιοὺς
ἀποκρίνεσθαι. ἠρώτησαν Φαρισαῖοι τὸν σωτῆρα λέγοντες· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;
τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; ὁ σωτὴρ βουλόμενος δεῖξαι, ὅτι οὐ δεῖ τὴν κακίαν πλη-
15 ροφορεῖν, ἀλλὰ ταῖς ἀτόποις ἐρωτήσεσι μὴ ἀποκρίνεσθαι, λέγει τοῖς Φαρισαίοις· Ἐρωτή- (Ματθ. κα. κδ.)
σω ὑμᾶς λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ἀποκρίνομαι. τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν;
ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων; ἀπέκλεισε τοὺς πονηροὺς ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουρ-
γίᾳ αὐτῶν. ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; καὶ ἐρωτηθεὶς
οὐκ ἀποκρίνεται αὐτοῖς, ἀλλ' ἀντερωτᾷ· ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα. διὰ τοῦτο λέγει
20 ὁ προφήτης, Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐ- (Β. Βασ. κβ. κς.)
κλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. τοῦτο τὸ ῥῆμα ἐνόμισαν πολλοὶ παρὰ τοῦ (Ψαλ. ιζ. κς.)
Θεοῦ λέγεσθαι πρὸς ἀνθρώπους. ὁ προφήτης λέγει τῷ Θεῷ ταῦτα, ὅτι μετὰ δικαίου
δικαιωθήσῃ, μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ
διαστρέψεις. καὶ ἵνα μάθῃς ὅτι Θεῷ διαλέγεται, ἐπάγει, ὅτι Σὺ λαὸν ταπεινὸν σώσεις, καὶ
25 ὀφθαλμοὺς ὑπερηφάνων ταπεινώσεις. ἀεὶ τὴν κακίαν τῶν Ἰουδαίων ἐβασάνιζεν ὁ σωτὴρ τῇ σιω-
πῇ. κακία γὰρ πληροφορουμένη πλέον βασανίζεται. ἠρωτήθη πολλάκις, καὶ οὐκ ἀπεκρίνατο·
ἐξήτησαν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ οὐκ ἔδωκεν αὐτοῖς φάσιν. τοσοῦτον αὐτῶν τὰς ψυχὰς ἐβασάνιζεν,
ὡς εἰπεῖν αὐτῷ ποτε τοὺς Ἰουδαίους, Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χρι- (Ιωαν. ι κδ.)
στός, εἰπὲ ἡμῖν παρρησίᾳ· καὶ ὅμως οὐκ ἀπεκρίνατο, ἀλλά, Πολλάκις εἶπον ὑμῖν, καὶ οὐκ ἀ-
30 κούετε· τί πάλιν θέλετε ἀκούειν; ὅρα πῶς τὴν βάσανον αὐτῶν τῆς ψυχῆς ἐκήρυξαν· ἕως πό-
τε τὴν ψυχὴν ἡμῶν αἴρεις; οὐ σὺ εἶπες, Αἰτεῖτε, καὶ λήψεσθε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν, ζητεῖτε, (Ματθ. ζ. ζ.)
καὶ εὑρήσετε; ἀνέγνωτε τὴν γραφήν, ἀλλ' οὐκ ἔγνωτε τὴν λέγουσαν· Ζητήσουσί με κα-
κοί, καὶ οὐχ εὑρήσουσιν. ἵνα μάθῃς ὅτι ὁ αὐτός ἐστι χαρακτὴρ καὶ τοῦ λαλήσαντος διὰ τῶν εὐαγ-
γελίων, καὶ τοῦ λαλήσαντος διὰ τῶν προφητῶν, καὶ ὅτι αὐτός ἐστιν ὁ δι' ἐκείνων λαλήσας καὶ διὰ τού-
35 των, ὥσπερ ἐνταῦθα ἐρωτώμενος ὑπὸ Ἰουδαίων οὐκ ἀπεκρίνατο, ἀλλὰ ταῖς ἀντερωτήσε-
σιν αὐτοὺς ἐδέσμει· οὕτω καὶ ἐν τῇ παλαιᾷ λέγει ὁ Θεὸς τῷ Ἰεζεκιήλ, Υἱὲ ἀνθρώπου, ἰδοὺ (Ιεζεκ. κ γ.)
υἱοὶ τοῦ λαοῦ ἔρχονται πρός με ἐρωτῆσαι λόγον· ζῶ ἐγώ, εἰ ἀποκριθήσομαι αὐτοῖς. ὁρᾷς τὸν
αὐτὸν χαρακτῆρα. βλέπε ὅσαι βάσανοι, ὅσαι ἐρωτήσεις, πόσαι ἐξαιτήσεις, καὶ οὐκ ἀπεκρίνατο.
ὅπου δὲ εὑρίσκει ψυχὴν ἁπλῆν καὶ πιστήν, φωτὸς γέμουσαν καὶ ἁπλότητος, οὐ μόνον ἐρωτηθεὶς
40 πληροφορεῖ, ἀλλὰ καὶ μὴ ἐρωτηθεὶς διδάσκει. ἀπῆλθέ ποτε πρὸς τὴν Σαμάρειαν ὁ Ἰησοῦς·
εὑρίσκει γυναῖκα Σαμαρεῖτιν ἀντλοῦσαν ὕδωρ, καὶ λέγει αὐτῇ· Δός μοι πιεῖν ὁ χορηγὸς τῆς (Ιωαν. δ. ζ.)
ζωῆς λέγει αὐτῇ, δός μοι πιεῖν. ἐκάθητο περὶ τὸ φρέαρ, ἡ πηγὴ ἐπάνω πηγῆς. εἶτα, ἵνα συν-
τέμω (τὸ γὰρ προκείμενον οὐ τὴν π[illegible]οδοσαν ἱστορίαν ἀναπτύξαι, ἀλλ' ἐπὶ τὸ προκείμενον
ἐλθεῖν) ἠρώτησεν ἐλθεῖν. ἠρώτησεν αὐτὸν ζήτημα μετὰ Ἰουδαίων πολιτευόμενον καὶ Σαμαρει-
τῶν.

τῶν. ἐπειδὴ Σαμαρεῖται περὶ τὴν νῦν λεγομένην νεάπολιν ἔχουσι τὴν προσκύνησιν· Ἰουδαῖοι δὲ εἰς ἱεροσόλυμα. λέγει αὐτῷ ἡ Σαμαρεῖτις· Κύριε, οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· πῶς λέγουσιν Ἰουδαῖοι, ὅτι εἰς Ἱεροσόλυμα δεῖ προσκυνεῖν; βλέπε ψυχὴν φιλομαθῆ, γυναῖκα οἰκτρὰν, ὑψηλὴν δὲ τῇ δυνάμει. ἐξῆλθεν ἀντλῆσαι ὕδωρ, καὶ αἰτεῖ πηγῆς νάματα. Σαμαρεῖται προσκυνοῦσιν ἐνταῦθα· καὶ Ἰουδαῖοι ἐν Ἱεροσολύμοις. λύσον τὸ ζήτημα· ὁ σωτὴρ λέγει, Ολ ἀμὴν λέγω σοι, γύναι, ὅτι ἥξει ὥρα, ἐν ᾗ οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσι τῷ πατρί. ὁ γὰρ Θεὸς πνεῦμά ἐστι (τουτέστι, πανταχοῦ) καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνεῖν δεῖ, οὐ τόπῳ περιγράφοντας τὴν προσκύνησιν, ἀλλὰ πανταχοῦ ὑμνοῦντας. ὡς οὐκ ἠδυνήθη νοῆσαι σαφῶς, ὃ ἔλεγεν ὁ σωτὴρ (ὑπερέβαινε γὰρ τῆς γυναικὸς τὴν διάνοιαν) λέγει αὐτῷ ἡ γυνή· Οἶδα μὲν ὅτι ἔρχεται μεσσίας ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἡμᾶς διδάξει πάντα. βλέπε ψυχὴν περὶ τῆς ὄψεως τὸν πόθον ἔχουσαν. Ἰουδαῖοι ἰδόντες οὐκ ἐπίστευσαν· αὕτη μηδέπω θεασαμένη ἐκδέχεται. ὡς εἶδεν ὁ Χριστὸς ἁπλῆν τὴν διάνοιαν, λέγει· [Ἰωαν δ. κϛ.] Ἐγώ εἰμι ὁ λαλῶν σοι. πόσα ἠρώτησαν οἱ Ἰουδαῖοι καὶ ἐβασάνισαν, Ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; καὶ οὐκ ἀπεκρίθη· αὕτη ἐν τῇ φωνῇ εἶπεν ὅτι ἔρχεται), καὶ ἑαυτὸν ἔδειξεν ὁ κηρυχθείς. τοῦτο ἐστι τὸ εἰρημένον, [Σοφ. α. γ.] Σκολιοὶ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ· ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. ἐπεὶ τοίνυν ἐδίδαξεν ἡμᾶς ἡ πηγὴ τῆς σοφίας ἀντερωτήσεσι λύειν τὰς ἀτόπους ἐρωτήσεις, ἐρωτῶ τὸν αἱρετικόν, τί ἐστι τοῦτο τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ὡς θέλεις, αὐτὸ εἰπέ. τί ἐστι τὸ ὄνομα; ὅτι Ἰησοῦς λέγεται; ὅτι Χριστός; ὅτι σωτήρ; εἰπέ μοι τὸ ὄνομα. στῆσον πρὸ τούτων, ὅταν τὴν μαρτυρίαν ἀναγνῶ τὴν ἔνθεον, προφητῶν δόξαν, ἀποστόλων κήρυγμα, μὴ παραγράψῃ τὴν μαρτυρίαν. ἀλλὰ πρὸ τούτων στῆσόν σου τὴν ἔννοιαν. εἰπέ μοι ποῖον φρονεῖς ὄνομα τὸ ὑπὲρ πᾶν; ἀλλὰ τί ποιήσω; ἐν μέσῳ πιστῶν εἰμι, καὶ οὐ θέλω προφάσει τῶν ἐχθρῶν κρεμάσαι τοὺς υἱοὺς τῆς ἐκκλησίας. ἀναπτύξωμεν τοίνυν, καὶ εἴ τις πάρεστιν ἐχθρός, εὐεργετείσθω καὶ γινέσθω φίλος ἀντ' ἐχθροῦ, καὶ γινέσθω σύμφωνος ἀντ' ἐναντίου. μὴ ἧτταν νομισάτω τὸ ἡττᾶσθαι τῇ ἀληθείᾳ· μὴ σπουδασάτω νικῆσαι τὴν κακὴν νίκην, ἀλλ' ἡττηθῆναι τὴν καλὴν ἧτταν. ἀναπτύξωμεν ἡμεῖς τὸν λόγον, καθὼς οἴονται. ποῖον λέγεις ὄνομα αὐτῷ κεχαρίσθαι τὸ ὑπὲρ πᾶν ὄνομα; ὅτι Ἰησοῦς ἐκλήθη; ἐκλήθη πρὸ αὐτοῦ Ἰησοῦς ὁ τοῦ Ναυῆ. ὅτι Χριστὸς ἐκλήθη; πᾶς βασιλεὺς καὶ προφήτης χριστός. οὕτω λέγει Δαβὶδ περὶ Σαοὺλ τοῦ βασιλέως, καίτοι πονηροῦ ὄντος, ἀλλ' ὅμως χρίσμα εἶχε βασιλικόν. συμβουλευόμενος παρά τινων τῶν αὐτοῦ δορυφόρων, [α Βασ. κδ. ϛ.] Ἰδοὺ ἡμέρα, ἣν εἶπε Κύριος παραδοῦναι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, πάταξον αὐτόν· λέγει Δαβίδ, Ζῇ Κύριος, οὐ μὴ ἐπαγάγω τὴν χεῖρά μου ἐπ' αὐτόν, ὅτι χριστὸς Κυρίου ἐστί. καὶ οὐκ εἷς μόνος χριστός, ἀλλὰ καὶ πολλοί. [Ψαλμ. ρε. ιε.] Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. καὶ ὁ Ἀμβακοὺμ, [Αμβ. γ. ιγ.] Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ σῶσαι τοὺς χριστούς σου. πῶς οὖν ὑπὲρ πᾶν ὄνομα; εἰ γὰρ πρὸ αὐτοῦ ἄλλοι εἶχον τὸ ὄνομα, πῶς ὑπὲρ πᾶν ὄνομα ἔδωκεν αὐτῷ ὄνομα ὁ πατήρ, ἢ ποῖον ὄνομα; ὅτι σωτὴρ ἐκλήθη; ἐκλήθησαν σωτῆρες πολλοί. μνήσθητι τῶν προειρημένων· ποῖον τὸ ὑπὲρ πᾶν ὄνομα; ἀλλ' ἐπειδὴ οὐκ ἔχεις καιρὸν ἀποκρίνασθαι, ἢ εἰδὼς κακουργεῖς καὶ θέλων κρύπτεις, μάνθανε. ὄνομα καλεῖ ἡ γραφὴ πολλάκις Θεοῦ οὐ προσηγορίαν, ἀλλὰ τὴν δόξαν· ὄνομα λέγεται Θεοῦ ἡ δόξα τοῦ Θεοῦ, οἷον ὅταν ποιήσῃ θαυμάσια, ὄνομα γίνεται αὐτῷ ἀπὸ τοῦ θαύματος· καθὼς λέγει ὁ μακάριος προφήτης· [Ἡσ. ξγ. ιβ.] Ποῦ ἐστιν ὁ ἀναγαγὼν τῇ δεξιᾷ τὸν Μωϋσῆν; κατίσχυσεν ὕδωρ πρὸ προσώπου αὐτοῦ, καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, καὶ ἐποίησεν αὐτῷ ὄνομα, ἀντὶ τοῦ, φήμην· τουτέστιν, ὀνομαστὸς ἐγένου. καὶ ἐφ' ἡμῶν λέγεται τοῦτο, ὀνομαστὸς ἄνθρωπος, οὐκ ἀπὸ τοῦ ὄνομα ἔχειν (πάντες γὰρ ἔχουσιν ὀνόματα) ἀλλ' ἀπὸ τοῦ ὀνομάζεσθαι

σθαι πανταχοῦ. ὄνομα καλεῖ τὴν δόξαν καὶ τὴν φήμην τὴν λαλουμένην πανταχοῦ.
οὕτω λέγει τῷ Σολομῶντι ὁ Θεός· Καὶ ἐποίησά σοι ὄνομα, καθὼς τὸ ὄνομα τῶν ἀρχαίων
τῶν βασιλέων. ἀλλ' οὐ τὸ ὄνομα αὐτοῦ ἤλλαξεν (οὐ Σολομὼν ἐλέγετο) ἀλλὰ ἐποίησά [γ Σολ.]
σοι ὄνομα, τουτέστι, φήμην, δόξαν. οὕτω καὶ ἐνταῦθα λέγει· ἔδωκεν αὐτῷ ὄνομα, τουτέστι, δό-
ξαν. καὶ τίς ἡ δόξα; ἵνα μὴ ἐγὼ ἑρμηνεύσω, ἄκουε αὐτοῦ Παύλου λέγοντος· Ἵνα ἐν τῷ ὀνόματι
Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολο-
γήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστός. ὁρᾷς ὅτι ὄνομα τὴν δόξαν εἶπε, τὴν προσκύνησιν τῆς
οἰκουμένης, τὸ πανταχοῦ αὐτὸν δοξάζεσθαι, καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ περιαγγέλλεσθαι. ναί, φη-
σιν, ἐδεξάμην τὴν ἑρμηνείαν, ἀλλ' ἐκείνου οὐκ ἀφίσταμαι, ὅτι ὁ πατὴρ αὐτῷ ἔδωκε τὸ
ὄνομα. θέλεις, φησί, τὸ ὄνομα νοῆσαι προσηγορίαν; θέλεις νοῆσαι τὸ ὄνομα δόξαν; θέλεις,
φησίν, εἰπεῖν, θέλεις εὔκλειαν; ἐγὼ πῶς ἐκείνου οὐκ ἀφίσταμαι, ἔδωκεν αὐτῷ ὁ Θεὸς ὄνο-
μα, διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν. ἀναγκαῖον τοίνυν ζητῆσαι. εὑρίσκεται γὰρ τὸ
ῥῆμα, ὥσπερ μισθὸς δοθεὶς τῷ σωτῆρι. λέγει γὰρ ὁ Παῦλος, Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ [Φιλιπ. β. ε.]
ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ'
ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρε-
θεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. διὸ καὶ ὁ Θεὸς αὐ-
τὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. δείκνυται ἐνταῦθα ὅτι, ἐπειδὴ
ἔπαθε, μισθὸν ἔλαβε τοῦ πάθους· ἐπειδὴ ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, διὸ καὶ ὁ Θεὸς αὐ-
τὸν ὑπερύψωσε. τὸ γάρ, διό, αἰτίαν λέγει, δι' ἣν ἐπάγει αὐτῷ τὴν δόξαν. ἡ δόξα αὕτη καὶ
ἡ ὕψωσις, μισθὸς τοῦ πάθους. τίς τοίνυν ὁ παθών; τίς δὲ λαβὼν τὸν μισθόν; μὴ συγχωρήσῃ
σοι Παῦλος ἁπλῶς κατὰ τῆς θεότητος μαίνεσθαι, ἐπήγαγε· καὶ ἐταπείνωσεν ἑαυτὸν γενόμενος
ὑπήκοος μέχρι θανάτου, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρω-
πος, ἐταπείνωσεν ἑαυτόν. πρότερον ἄνθρωπον εἶπε, καὶ τότε λαμβάνοντα δόξαν. πρόσε-
χε ἀκριβῶς. πρότερον εἶπε μορφὴν Θεοῦ, ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων· εἶτα ἔδειξε
μορφὴν δούλου, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑ-
ρεθεὶς ὡς ἄνθρωπος, ἵνα δείξῃ τὴν τοῦ δούλου μορφήν, τὸν ἄνθρωπον, λαμβάνοντα μισθὸν
καὶ τὸ ὄνομα. δύο γάρ ἐστιν. ἐπειδὴ ὁ σωτὴρ τὴν ἑαυτοῦ ψυχὴν ἔθηκε (ψυχὴν γὰρ εἶχεν,
ἐπειδὴ ὁλόκληρον ἄνθρωπον ἀνέλαβε) λαμβάνει μισθὸν αὐτὴ ἡ σὰρξ ἡ τῷ σωτῆρι λόγῳ
διακονησαμένη, τὸ ὑπὲρ πᾶν ὄνομα διακονηθεῖσα, καὶ ἵνα πᾶν γόνυ κάμψῃ τῷ Χριστῷ
ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. ἕτερον δὲ σύντομον ἐρῶ. εἰ μετὰ τὸν σταυρὸν ἔλα-
βε ταῦτα, καὶ εἰ, ἐπειδὴ ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, ἀμειβόμενος αὐτὸν ὁ Θεὸς ἔδωκεν
αὐτῷ ὄνομα, εἰ φαίνεται τοῦτο τὸ ὄνομα μὴ ἔχων πρὸ τοῦ σταυροῦ, κατὰ χάριν ἔλαβε τὴν δό-
ξαν. συναγωνίσασθέ μοι. τὸ γὰρ νόημα λεπτὸν καὶ βαθύ. λέγουσιν ὅτι ἐπειδὴ ἔπαθεν ὁ Χρι-
στός. ἀναγινώσκουσι τὸν ἀπόστολον, μὴ νοοῦντες τὸ ἀποστολικόν, ὅτι ἐπειδὴ ἔπαθε, διὰ τοῦτο
αὐτὸν ὁ Θεὸς ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι
Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. πρὸ τοῦ σταυροῦ μισθὸν
ἔλαβεν. εἰ πρὸ τοῦ σταυροῦ οὐ φαίνεται προσκυνούμενος ὁ μονογενής, καὶ οὐ φαίνεται πᾶν
γόνυ κάμπτον τῷ μονογενεῖ, ἀληθῶς μισθὸν ἔλαβεν, ὃν οὐκ εἶχε, χάριν ἐδέξατο. εἰ δὲ εὑ-
ρίσκεται καὶ πρὸ τοῦ σταυροῦ, καὶ πρὶν παθεῖν, καὶ πρὶν ὑψωθῆναι, ἡ οἰκονομία ὑπὸ πάσης κτίσεως
προσκυνουμένη, ποίαν ἔχει χώραν ἡ ματαιολογία; διὰ τί, ἄθλιε, οὐ γνωρίζεις, τί μὲν τὸ προ-
αιώνιον ἀξίωμα, τί δὲ τὸ τῆς ἐνσάρκου οἰκονομίας σχῆμα; νόησον μορφὴν Θεοῦ, καὶ μορφὴν
δούλου, τὴν μὲν λαμβάνουσαν, τὴν δὲ ἀναληφθεῖσαν. μὴ συγχέῃς τὴν τάξιν, μὴ ἀφανίσῃς
τὴν ἀλήθειαν· μᾶλλον δὲ μὴ ἀφανίζου ἀπὸ τῆς ἀληθείας. δείξωμεν τοίνυν, εἰ πᾶν γό-
νυ κάμπτει, καὶ πρὸ τῆς οἰκονομίας προσκυνητός ἐστιν ὁ μονογενής, οὐκ ἀπὸ τοῦ σταυροῦ λα-

βὼν

ζῶν τὸ προσκυνεῖσθαι, ἀλλὰ καὶ περὶ τοῦ σταυροῦ καὶ περὶ τῶν αἰώνων ἔχων τὴν προσκύνη-
σιν. τί γάρ φησιν, ἄκουε. λέγει τοίνυν ὁ μακάριος Ἡσαΐας· Τάδε λέγει Κύριος, ἐγώ εἰμι
Κύριος ὁ Θεός, καὶ οὐκ ἔστιν ἄλλος δίκαιος καὶ σωτήρ. οὐκ ἔστι πλὴν ἐμοῦ. ἐπιστράφητε πρός
με, καὶ σωθήσεσθε πάντες οἱ ἀπ' ἐσχάτου τῆς γῆς. ἐγὼ Θεός, καὶ οὐκ ἔστιν ἄλλος. ἡ αὐτὴ ἀκο-
λουθία. Κατ' ἐμαυτοῦ ὀμνύω, εἰ μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη· ἐγὼ
Θεός, οὐκ ἔστιν ἄλλος. δίκαιος καὶ σωτὴρ πλὴν ἐμοῦ οὐκ ἔστι. ἐγὼ Θεός, καὶ πάλιν οὐκ ἔστιν ἄλλος.
τέλος ἀναλαμβάνει καὶ λέγει, ἐπιστράφητε πρός με· καὶ ἐμαυτὸν ὀμνύω, εἰ μὴν ἐξελεύσεται
ἐκ στόματός μου δικαιοσύνη. οἱ λόγοι μου οὐκ ἀποστραφήσονται, ἀντὶ τοῦ, διακενῆς οὐ προσέρχεται
λόγος μου· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ὀμεῖται τὸν Θεὸν τὸν ἀληθινόν. πᾶν γόνυ,
πᾶσα γλῶσσα. τίς ὁ τοῦτο εἰρηκώς; ὁ πατήρ. τοῦτο γὰρ θέλει ὁ αἱρετικός, οὐχ ἵνα τὸν πατέρα τιμή-
σῃ, ἀλλ' ἵνα τὸν υἱὸν τῆς δόξης τῆς οἰκείας στερήσῃ. παρ' ἐμοὶ δὲ ἐστι πιστῷ καὶ τῇ ἐκκλησίᾳ καὶ πατὴρ νο-
εῖται ταῦτα εἰρηκώς, καὶ υἱὸς ταῦτα λέγων νοεῖται, καὶ πνεῦμα ἅγιον κηρύττεται. ταῦτα ἐθεολόγουν,
καὶ οὐκ ἔστι διαφορά. πρέπουσι γάρ, ὅτι ἐγώ εἰμι δίκαιος, καὶ οὐκ ἔστιν ἄλλος. τίς οὖν ἐστιν
ὁ ταῦτα λέγων, πῶς ἐρωτηθῶσιν. ἀλλ' ἐπειδὴ συμβαίνει αὐτοὺς κατὰ τοὺς Φαρισαίους εἰπεῖν ἐν
ἑαυτοῖς, ἐὰν εἴπωμεν τόδε, τόδε ἀποκρίνεται ἡμῖν, ἵνα τοίνυν, ἀδελφοί, μήτε αὐτὸς δόξω λέ-
γειν ἀπ' ἐμαυτοῦ, μήτε τῇ διανοίᾳ τῇ πεφανταζομένῃ ἐπιτρέψω ἁπλῶς φθέγγεσθαι, ἐξ
αὐτῆς παραστήσω τῆς προφητείας ταύτης Παῦλον μάρτυρα. ἴδωμεν Παύλου ταύτην
τὴν προφητείαν τήν, Ζῶ ἐγώ, κατ' ἐμαυτοῦ ὀμνύω, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ καὶ πᾶσα
γλῶσσα, ἴδωμεν Παῦλος ποῦ ἐξέβαλεν. ἐπιστέλλει ποτὲ Ῥωμαίοις διαφορὰν εἶχον πρὸς
ἀλλήλους οἱ πιστεύσαντες οἱ ἀπὸ Ἰουδαίων καὶ ἀπὸ ἑλλήνων γενόμενοι χριστιανοί. καὶ οἱ μὲν
ἀπὸ ἑλλήνων γενόμενοι χριστιανοὶ μετελάμβανον πάντων τῶν βρωμάτων ἀδιαφόρως· οἱ
δὲ ἀπὸ Ἰουδαίων καὶ Χριστὸν ἐβούλοντο προσκυνεῖν, καὶ Ἰουδαϊκὰ παρατηρεῖσθαι βρώματα.
ὠνείδιζε δὲ ἑκάτερον μέρος τῷ ἑτέρῳ· οἱ ἀπὸ Ἰουδαίων ὠνείδιζον τοῖς ἐξ ἐθνῶν, ὡς μὴ φυ-
λάττουσι τὸν νόμον· οἱ ἀπὸ ἑλλήνων ὠνείδιζον τοῖς ἀπὸ Ἰουδαίων, ὡς μὴ τυχοῦσι τῆς χά-
ριτος τοῦ εὐαγγελίου. ἐκεῖνοι οἱ ἀπὸ ἑλλήνων ἔλεγον τοῖς Ἰουδαίοις, εἰ ὁ νόμος δικαιοῖ,
Χριστὸς τί ἦλθεν; εἰ δὲ Χριστὸς ἦλθε, τί καταλιπόντες τὸν νόμον τοῦ Χριστοῦ, Ἰουδαϊκοῖς ἔ-
θεσιν ἀκολουθεῖτε; πεφωτισμένοι ἦσαν τῇ Παύλου διδασκαλίᾳ Ῥωμαῖοι τοῦ λέγοντος, Εἰ
γὰρ ἐν νόμῳ δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανε. πεπεισμένοι οὖν ἦσαν οἱ ἐξ ἐ-
θνῶν, ὅτι ἄνευ Χριστοῦ οὐκ ἔστιν ἄλλως σωθῆναι, καὶ οὐ δεῖ Ἰουδαϊκοὺς τύπους φυλάττειν. εὗρε
Παῦλος μάχην, εὑρίσκει τὴν στάσιν. μέσον ἑαυτὸν ἐμβάλλει τῶν μαχομένων, καὶ διαλύει τὰ
δύο μέρη. καὶ σκόπει πρὸ τούτου Παῦλος οὐ τὸ ἀκριβὲς ἀπαιτεῖται παρὰ πάντων, ἀλλὰ τὸ ἀ-
σφαλὲς ἐνενόησεν· ὅτι ἡ πρόληψις δύσλυτός ἐστι, καὶ ἡ συνήθεια μόλις χρόνῳ ἀφαιρεῖται.
οὐκ ἠθέλησε προφάσει τοῦ ἀναγκάζειν Ἰουδαίους τρώγειν βρώματα, ἀποτρέπειν αὐτοὺς ἐκ
τῆς πίστεως· ἀλλὰ πρὸ τούτου ἠθέλησε ῥιζωθῆναι τὴν πίστιν τοῦ Χριστοῦ ἐν αὐτοῖς. τί οὖν οἱ
ἀπὸ Ἰουδαίων γενόμενοι χριστιανοί; ὡς ἔβλεπον ἑαυτοὺς ἐλεγχομένους, ὅτι οὐδέπω ἐπιστευ-
σαν εἰς Χριστὸν παρατηρούμενοι βρώματα Ἰουδαϊκά, καὶ βουλόμενοι ἀπέχεσθαι κρεῶν
χοιρείων, θέλοντες σκεπάσαι τὴν νόσον αὐτῶν, προσεποιήθησαν μηδὲ ὅλως ἐσθίειν κρέα, ἀλλ'
ἤσθιον λάχανα, ἵνα ἐκ τοῦ μὴ τρώγειν ὅλως κρέα κρυβῇ ὁ ἔλεγχος τῆς ἀρχαίας συνηθείας· εἰσ-
ελθὼν ὁ Παῦλος λύει τὴν μάχην, καὶ δείκνυσι, τινὲς μὲν καλῶς φρονοῦσι, τινὲς δὲ ἀσθενοῦσι, καὶ
λέγει· Ἀδελφοί, ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὡς χριστιανός, ὡς πιστός· ὁ δὲ ἀσθενῶν λάχα-
να ἐσθίει. ὃς μὲν πιστεύει φαγεῖν πάντα, εἰδὼς ὅτι πάντα τῇ πίστει καθαίρεται. Ὅτι πᾶν
κτίσμα Θεοῦ καλόν, φησὶν ὁ ἀπόστολος, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον·
ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ· ὁ δὲ ἀσθενῶν (ἀσθενοῦντα καλεῖ τὸν ἔτι τῇ Ἰουδαϊκῇ συνηθείᾳ
ἀκολουθοῦντα) ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. ἐνόμισαν πολλοὶ τὰ ῥήματα ταῦτα περὶ ἀσκητῶν
εἰρῆσθαι,

Ἡσ. με. κβ. — Ῥωμ. ιδ. — * * — Γαλ. β. κα. — Ῥωμ. ιδ. β. — α. Τιμ. δ. δ.

ῥῆσθαι, καὶ περὶ τῶν ἀδιαφόρως ἐσθιόντων. οὐκ ἂν δὲ εἰς τοσαύτην ἐξωλίσθησεν ἡ ἁγία γλῶσσα ἄτοπον ἀκολουθίαν, ὥστε ἀσθενεῖς καλέσαι τοὺς ἀσκητάς, πιστοὺς δὲ τοὺς ἐσθίοντας πάντα· ἀλλὰ πρὸς διαφορὰν τῶν παρατηρουμένων τὰ βρώματα τὰ Ἰουδαϊκά, καὶ πρὸς τὴν ἀδιαφορίαν τῶν ἀδιακρίτως πάντα μεταλαμβανόντων λέγει· Ὃς μὲν πιστεύει φαγεῖν πάν-
5 τα ὡς χριστιανός, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. πλὴν καταστέλλει τὴν μάχην. ἔδειξε μὲν τὴν διαφορὰν ὅτι τοῦτο πίστεως, ἐκεῖνο δὲ ἀσθενείας· ὅτε δὲ ἤλεγξε, συνήγαγεν εἰς φιλίαν. Πλὴν ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω· ἀντὶ τοῦ, ὁ ἀπὸ Ἰουδαίων μὴ κρινέτω τὸν ἀπὸ ἐλλήνων, ὅτι τρώγει παρὰ τὸν νόμον Μωϋσέως. καὶ ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω. ἐξουθένουν γὰρ αὐτούς· οὐκ ἐγένεσθε χριστιανοί, οὐδέπω ἐπιστεύσατε. ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ
10 ἐξουθενείτω. ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ὅρα τὸ θαυμαστόν, πῶς ἐν τῷ αὐτῷ καὶ ἐπιστομίζει τὴν μάχην, καὶ δείκνυσιν Ἰουδαίοις, ὅτι χρείαν ἔχουσι διορθώσεως. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ταῦτα λέγει τῷ ἀπὸ ἐθνῶν γενομένῳ χριστιανῷ. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ἀλλότριον λέγει, ἐπειδὴ ὑπὸ τὸν νόμον ἐδόκει εἶναι. τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει. σταθήσεται
15 δέ· δυνατὸς γὰρ ὁ Κύριος στῆσαι αὐτόν. οὕτω περὶ τῶν ἔτι Ἰουδαϊζόντων· σταθήσεται δέ· δυνατὸς γὰρ ὁ Κύριος στῆσαι αὐτόν. ἔπαυσε τὴν μάχην, καὶ πάλιν εἰσάγει τὴν εἰρήνην. ὥστε σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ κυρίῳ στήκει, ἢ πίπτει. δυνατὸς γὰρ ὁ Θεὸς στῆσαι αὐτόν. ὥστε ὃς μὲν κρίνει ἡμέραν παρ᾽ ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. τί ἐστιν, ὃς μὲν κρίνει ἡμέραν παρ᾽ ἡμέραν; ἐπειδὴ καὶ ἐν τοῖς Ἰουδαΐζουσιν οἱ μὲν καθόλου ἀπέχονται βρω-
20 μάτων, φέρε εἰπεῖν χοιρείων, οἱ δὲ κατὰ φανερὰς ἡμέρας τὸ σάββατον μόνον τιμῶσι, λέγει, ὃς μὲν κρίνει ἡμέραν παρ᾽ ἡμέραν, φυλάττων τὸν νόμον· ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. εἶτα ὁ φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. καὶ ὁ ἐσθίων, Κυρίῳ ἐσθίει· καὶ ὁ μὴ ἐσθίων, Κυρίῳ οὐκ ἐσθίει. βλέπε πῶς παύει τὴν μάχην. σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; ὥστε ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω, καὶ ὁ ἐσθίων τὸν μὴ
25 ἐσθίοντα μὴ ἐξουθενείτω. Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. ἐνταῦθα πρόσεχε. κατ᾽ ἐμαυτοῦ ὀμνύω, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ. καταστέλλει τὴν μάχην τοίνυν τῶν μαχομένων· λέγει, σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. πόθεν τοῦτο; γέγραπται γάρ, Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ. ὥστε σὺ τί κρίνεις τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βή-
30 ματι τοῦ Χριστοῦ. γέγραπται γάρ, Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τὸν Θεὸν τὸν ἀληθινόν. πρὸς ταῦτα εἴρηται, εἰ μετὰ τὸν σταυρὸν ἔλαβε μαθεῖν τοῦ προσκυνεῖσθαι, πῶς οἱ προφῆται περὶ τοῦ σταυροῦ τὸν προσκυνητὸν ἐκήρυξαν; ἀλλὰ ταῦτα μὲν ἀρκούντως εἰρήσθω· ἵνα καὶ ἡ τοῦ πνεύματος διδασκαλία σφραγίσῃ τὴν ἡμετέραν ἔννοιαν, καὶ κοινῇ πάντες δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ
35 υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ρωμ. ιδ. ε.

Ρωμ. ιδ. ι.

ΕΙΣ ΤΑΣ ΘΥΣΙΑΣ ΤΟΥ ΚΑΙΝ, ΚΑΙ ΕΙΣ ΤΑ δῶρα τοῦ Ἄβελ, καὶ περὶ τῶν γιγάντων, καὶ περὶ τοῦ κατακλυσμοῦ, καὶ περὶ ἄστρων καὶ εἱμαρμένης.

Λογ. ο.

40

Ex Ms. Caesareo.

Μήτηρ εὐταξίας ἀκολουθία, ὄψιν μὲν καὶ πρόσωπον ἔχουσα ταῖς ὑποθέσεσι, εὐκρινῆ δὲ καὶ ἀσύγχυτον φυλάττουσα τὴν τῶν ἀκουόντων διάνοιαν. μὴ τοίνυν ἀπεχώμεθα τῆς ἀκολουθίας, ἀλλὰ κἂν αἱ ἀναγνώσεις τὸν ἴδιον αἰνύττωσαν δρόμον, ἡμεῖς δὲ τῆς ἱστορίας τὴν ἀκολουθίαν φυλάξωμεν. ἐν τοῖς προηγησαμένοις λόγοις παρεδίδοτο ἐκ τῆς τοῦ ἁγίου πνεύματος διδασκαλίας, τίς γέγονεν ἡ τοῦ ἀνθρώπου κατασκευή, τίς ἡ τιμή, τίς ἡ τάξις, τίς ἡ τῶν πραγμάτων δοθεῖσα ἡγεμονία. ἥκει γὰρ τούτοις ἡ ἀπάτη ἡ ἐν παραδείσῳ, ἡ ἐξετασθεῖσα δίκη, ἡ ἐξενεχθεῖσα μετὰ φιλανθρωπίας ἀπόφασις. τούτοις ἠκολούθησε τὰ κατὰ τὸν Κάϊν καὶ τὸν Ἄβελ, ὅπερ μὲν τῇ αὐτῇ τὸν Θεὸν τιμᾶν ἐπιχειρησάντων, διαφόρῳ δὲ διαθέσει τὴν λειτουργίαν ἀναλαβόντων. προσήνεγκε γὰρ καὶ οὗτος κἀκεῖνος· ἀλλὰ τοῦ μὲν σχῆμα μόνον δώρου εἶχεν ἡ προσφορά, τοῦ δὲ καὶ τὴν πρέπουσαν διάθεσιν καὶ τιμήν. εἶτα ἠκολούθησε φθόνος. τῇ γὰρ εὐσεβείᾳ ἀκολουθεῖ ἀεὶ παρὰ μὲν τῶν κακῶν φθόνος, παρὰ δὲ τοῦ βραβευτοῦ στέφανος. ἀνῃρέθη ὁ Ἄβελ ὁ πρῶτος τῆς δικαιοσύνης κῆρυξ, ὁ πρῶτος εὐσέβειαν ἀγαπήσας καὶ μεταδιώξας, ὁ πρῶτος ἀλήθειαν τιμήσας καὶ μετ' ἀληθείας τὸν Θεὸν ἀγαπήσας καὶ προσκυνήσας, ὁ ἐν πολλοῖς μιμητὴς τοῦ Χριστοῦ γενόμενος. εὑρίσκω γὰρ τὸν ἅγιον Ἄβελ πολλὰς τοῦ Χριστοῦ εἰκόνας δεξάμενον. ὥσπερ γὰρ ὁ σωτὴρ τῶν μετὰ τὸν νόμον ἀνακαινιζομένων ἀρχηγὸς καὶ πρῶτος δίκαιος, οὕτω τῶν ἀρχαίων πάντων ἀνθρώπων ἀρχηγὸς δικαιοσύνης Ἄβελ. οὕτω ἐν τῷ ἀνακαινισμῷ τῆς ἀνθρωπότητος, ἣν ἀνεκαίνισεν ὁ πάντων δεσπότης, εὑρίσκεις τι τοῦ δεσποτικοῦ πρῶτον σώματος, οὕτω ἐν τῇ παλαιᾷ τῶν ἀνθρώπων τάξει εὑρίσκεις δικαιοσύνην προλάμψασαν τοῦ Ἄβελ. ἐκεῖνος ἀρχηγὸς τῶν παλαιῶν δικαίων, καὶ οὗτος ἀρχηγὸς καὶ τῶν νέων δικαίων καὶ τῶν μετ' ἀληθείας ἀνακαινιζομένων ἁγίων. διὰ τοῦτο ὁ σωτὴρ ἔπηξε τοῦ Ἄβελ τὴν μνήμην πάσης δικαιοσύνης ἀρχήν. λέγει γὰρ Ἰουδαίοις· Ἀμὴν λέγω ὑμῖν, ἐκδικηθήσεται ἐκ τῆς γενεᾶς ταύτης πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου, ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου, ἕως τοῦ αἵματος Ζαχαρίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. *Ματθ. κγ. λε.* ἀρχὴν ἔπηξε δικαιοσύνης τὸν ἐπιβουλευόμενον μὲν παρὰ ἀνθρώποις, στεφανούμενον δὲ παρὰ τῷ Θεῷ, τὸν Ἄβελ. καὶ ὅρα τὸ θαυμαστόν. ἐπειδὴ Ἄβελ πρῶτος δικαιοσύνῃ συνηγωνίσατο, πρῶτος ὑπὲρ εὐσεβείας ἠξιώθη παθεῖν. ἐγένετο Χριστοῦ εἰκὼν τοῦ δι' ἀλήθειαν παθόντος, καὶ εὑρέθη καὶ τὸ αἷμα τοῦ Ἄβελ πλησιάζον τῷ δεσποτικῷ αἵματι, καὶ πολλὴν ἔχον τὴν ταυτότητα διὰ τὴν κτίσιν. αὐτὸ τὸ αἷμα τὸ σωτήριον διδασκάλιόν ἐστι πάσης τῆς οἰκουμένης ἐκδιδάσκον ἡμᾶς παιδεύειν τὴν εὐσέβειαν, ὡς τὸ αἷμα τὸ δεσποτικὸν, ὥσπερ γλώττῃ, τῇ ἀληθείᾳ κεχρημένον. ἐβόησε καὶ τὸ αἷμα τοῦ Ἄβελ, βοᾷ καὶ τὸ αἷμα τοῦ Χριστοῦ· ἀλλ' ἐκεῖνο μὲν βοᾷ ἐντυγχάνον, τοῦτο δὲ βοᾷ ἱλασμὸν φέρον τῷ κόσμῳ. ἐπειδὴ γὰρ καὶ τὸ αἷμα τὸ δεσποτικὸν δίκην σάλπιγγος ἤχησεν εἰς τὰ πέρατα, καὶ τὸ αἷμα Ἄβελ ἐνέτυχε τῷ Θεῷ, ὁ ἀπόστολος μνημονεύσας καὶ τούτου κἀκείνου τοῦ αἵματος, τῇ παρεξετάσει εἰς μεῖζον ὕψος ἐπῆρε τὸ ἀληθῶς αἰώνιον αἷμα. λέγει γὰρ, Προσεληλύθατε μὲν ὄρει Σιὼν, καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ κριτῇ Θεῷ ζῶντι, καὶ πνεύμασιν ἁγίων τετελειωμένων, καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. *Ἑβρ. ιβ. κγ.* τὸ μὲν γὰρ λαλεῖ ἐντυγχάνον ὑπὲρ ἁμαρτωλῶν, καὶ ἱλασμὸν φέρον τῷ κόσμῳ. τὸ γὰρ αἷμα Χριστοῦ ῥαντισμὸς τῆς οἰκουμένης, τὸ αἷμα Χριστοῦ λύτρον τῶν ἀνθρώπων. κρεῖττον, φησὶ, παρὰ τὸν Ἄβελ λαλοῦντι· καθ' ὅσον τὸ μὲν ἐντυγχάνει, τὸ δὲ συνηγορεῖ. ἔπειτα πάλιν εἰκόνα εἶχε τοῦ δεσποτικοῦ αἵματος τὸ τοῦ Ἄβελ κατὰ τοῦτον τὸν τρόπον. ὁ Ἀδὰμ ἁμαρτήσας ὑπέπεσε τῇ κατάρᾳ τοῦ θανάτου, Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ, ἐδέξατο

ξατο τὴν ἀπόφασιν· Ἄβελ δίκαιος γεγονὼς, καὶ πλάσμασι μὴ ὑποπεσὼν, ἀλλὰ καὶ μαρτυρηθεὶς τῇ θείᾳ ψήφῳ, ἐνεπολιτεύσατο σεμνῶς τῷ βίῳ. Εἶτα ὁ μιαιφόνος Κάϊν ἀνοίξας τὰς πύλας τοῦ θανάτου ἐποίησε κοινὴν πρόοδον γενέσθαι τῷ θανάτῳ, μᾶλλον δὲ κοινήν. ὅρα γὰρ τὸ τοῦ Θεοῦ φιλάνθρωπον. οἱ κατάδικοι οὐδέπω ἦσαν τεθνηκότες, οὔτε ὁ Ἀδάμ, οὔτε ἡ Εὔα· ὁ Ἄβελ μὴ ἁμαρτήσας πρῶτον * * *

** λείπει πολλά. **

ΤΗ ΑΓΙΑ ΚΑΙ ΜΕΓΑΛΗ ΠΑΡΑΣΚΕΥΗ ΕΙΣ τὸ ἅγιον πάθος τοῦ Κυρίου.

Λογ. οα.

Ex Ms. Caesareo.

ΤΗς χθὲς ὑποσχέσεως σήμερον βούλομαι τὸ χρέος πληρῶσαι, ἀγαπητοί. ζητῶ δὲ τὴν ἡνίκα τῶν λόγων ἔνθα ἐσφραγισάμην· ἐλέγομεν ὅτι συμβούλιον ἔλαβον οἱ Ἰουδαῖοι κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. καὶ δὴ συναχθέντων αὐτῶν ἐπὶ τὸ αὐτὸ, ἰδοὺ Ἰούδας παρεγίνετο πρὸς αὐτοὺς, καὶ λέγει αὐτοῖς, Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; (Ματθ. κϛ. ιε.) οἱ δὲ ἀναστάντες μετὰ μαχαιρῶν καὶ ξύλων ἠκολούθησαν αὐτῷ· καὶ ἔδωκεν αὐτοῖς σημεῖον λέγων, ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν. καὶ γενομένων αὐτῶν ἐπὶ τοῦ τόπου, οὗ ἦν ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ, καὶ προσελθὼν Ἰούδας κατεφίλησεν αὐτὸν, λέγων· χαῖρε, ῥαββί. ὁ δὲ Κύριος πρὸς αὐτὸν, ἑταῖρε, ἐφ' ὃ πάρει; εἰς ὃ ἦλθες, ἀκολούθει. ὦ φίλημα δόλιον γέμον ἀνομίας καὶ ἀπωλείας· ὦ φίλημα πικρόν, ζημία ψυχῆς, πρόξενον γεέννης. ἡ πόρνη φιλήσασα τοὺς πόδας τοῦ Κυρίου τὴν ἑαυτῆς ψυχὴν ἀνεκαλέσατο ἐκ βορβόρου· καὶ οὗτος φιλήσας ἐκ τῆς βίβλου τῆς ζωῆς ἀπεχωρίσθη. ὦ γυναικὸς φιλοσοφία· ὦ μαθητοῦ ἀσυνεσία. ἐκείνης καταφιλούσης τοὺς πόδας τοῦ Κυρίου, ἔχαιρον ἄγγελοι, καὶ τὸν στέφανον αὐτῆς ηὐτρέπιζον· τούτου δὲ φιλήσαντος, δαίμονες ἔχαιρον, καὶ τὸ σχοινίον τῆς ἀγχόνης ἔπλεκον. χαῖρε, ῥαββί. ἐχθρὸς χαίρει, ἀλλὰ σὺ πενθεῖς ὅτι ἐκ τῆς χαρᾶς ἐξεβλήθης. χαῖρε, ῥαββί, καὶ κατεφίλησεν αὐτόν. καὶ κρατήσαντες αὐτὸν ἤγαγον πρὸς Ἄνναν καὶ Καϊάφαν τοὺς ἀρχιερεῖς. ἐζήτουν δὲ ψευδομαρτυρίαν κατ' αὐτοῦ, καὶ οὐχ εὕρισκον. τότε ἤγαγον αὐτὸν, καὶ ἔστησαν αὐτόν. ἐπηρώτησε δὲ αὐτὸν ὁ Πιλάτος λέγων, σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ Κύριος ἐσιώπα, κατὰ τὸ γεγραμμένον· Καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. (Ησ. νγ. ζ.) Πιλάτος ἐκαθέζετο κρίνων, καὶ ὁ μέλλων κρίναι ζῶντας καὶ νεκροὺς παρίστατο, καὶ ὁ ἥλιος τῆς δικαιοσύνης παρίστατο, καὶ ἠνείχετο κρινόμενος. τοίνυν ὁ Κύριος ὑπὸ τοῦ κόσμου σωτηρίαν. ὁ δὲ Πιλάτος ἐξ αὐτῶν τῶν πραγμάτων πεισθεὶς, ὅτι διὰ φθόνον παρέδωκαν αὐτὸν, λαβὼν ὕδωρ ἀπενίψατο τὰς χεῖρας αὐτοῦ λέγων· Ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου τούτου· ὑμεῖς ὄψεσθε. (Ματθ. κζ. κδ.) ὁ δὲ Ἰούδας ἰδὼν ὅτι κατεκρίθη, ἀπέδωκε τὰ ἀργύρια τοῖς ἀρχιερεῦσι λέγων, ἥμαρτον παραδοὺς αἷμα ἀθῷον ἀδίκως· καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀπελθὼν ἀπήγξατο. καὶ ἐπληρώθη τὸ γεγραμμένον, Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. (Ψαλ. ζ. ιζ.) ὁ δὲ Πιλάτος εἶπε πρὸς τοὺς Ἰουδαίους, ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ· καὶ θέλων αὐτὸν ἀπολῦσαι λέγει αὐτοῖς· ἔθος ὑμῖν ἐστι κατὰ ἑορτὴν ἀπολῦσαι ἕνα τῶν κακούργων. ἀκούσατε οὖν, καὶ ἀπολύσω ὑμῖν ἕνα, ἐν ᾧ οὐδεμίαν αἰτίαν εὑρίσκω εἰς αὐτόν. οἱ δὲ φωναῖς τὸν φονέα ᾐτήσαντο ἀπολυθῆναι, τὸν δὲ δικαιοῦντα τοὺς ἀσεβεῖς, ἔκραζον, σταύρωσον. τότε φραγελλώσας αὐτὸν ὁ Πιλάτος παρέδωκεν εἰς τὸ σταυρωθῆναι. ἐφραγελλώθη ὁ Κύριος, ἵνα

ἡμᾶς ἐκ τῶν διαβολικῶν δεσμῶν καὶ μαστίγων ῥύσηται· στέφανον ἐξ ἀκανθῶν ἐφόρησεν, ἵνα λύσῃ τὴν καθ' ἡμῶν κατάραν. ἀκάνθας καὶ τριβόλους ἡ γῆ ἀνατελεῖ ἡμῖν προσετάχθη διὰ τὴν παράβασιν· φορεῖ τὸν ἀκάνθινον στέφανον ἐπὶ τῆς κεφαλῆς, ἵνα λύσῃ τὴν καθ' ἡμῶν κατάραν. ἐσταυρώθη ἐπὶ ξύλου, ἵνα λύσῃ τὴν ἁμαρτίαν τὴν γενομένην διὰ τοῦ ξύλου. διὰ γὰρ τοῦ ξύλου ἐξέωσε τὸν Ἀδὰμ ἐκ τοῦ παραδείσου ὁ Σατανᾶς, καὶ διὰ ξύλου τὸν λῃστὴν ὁ Κύριος τοῦ παραδείσου πολίτην ἀνέδειξε. καὶ τὸ θαυμαστόν, ἀγαπητοί· τῇ ἕκτῃ ἡμέρᾳ ἔπλασε τὸν Ἀδὰμ ὁ Κύριος, καὶ τῇ ἕκτῃ ἡμέρᾳ τοῦ παραδείσου ἐξεβλήθη. διὰ τοῦτο ὁ Κύριος καὶ τῇ ἕκτῃ ἡμέρᾳ τὸν παράδεισον ἤνοιξε, καὶ τὸν λῃστὴν εἰσήγαγε. δειλινὸν Ἀδὰμ ἐξεβλήθη ἐκ τοῦ παραδείσου παρακούσας τῆς ἐντολῆς τοῦ Κυρίου· δειλινὸν ὁ λῃστὴς ὑπακούσας τῆς φωνῆς τοῦ δεσπότου, εἰσήχθη εἰς τὸν παράδεισον. ὅτε οὖν εἶδεν ὁ διάβολος ὅτι πάντα κατ' οἰκονομίαν ἐγένετο, καὶ τὰ σημεῖα τὰ ἐπὶ τοῦ σταυροῦ γενόμενα, τὸν ἥλιον σκοτιζόμενον, τὴν γῆν σειομένην, τὸ καταπέτασμα τοῦ ναοῦ ῥηγνύμενον, τὰς πέτρας σχιζομένας, καὶ αὐτὸν ἐμπαιζόμενον, ἔφυγε πρὸς τὸν ᾅδην, καὶ λέγει αὐτῷ· οὐαί μοι τῷ ταλαιπώρῳ, ἐνεπαίχθην. βοήθησόν μου τῇ ταπεινότητι· κλείσωμεν τὰς θύρας, μὴ εἰσέλθῃ ὧδε· ἀσφάλισαι τοῖς μοχλοῖς, καὶ ὅλῃ τῇ δυνάμει ἀνθιστῶμεν, ὥστε μὴ δέξασθαι αὐτόν. ἔδραμεν οὖν ὁ ᾅδης, καὶ ἀπέκλεισε τὰς θύρας, τοὺς μοχλοὺς τοὺς σιδηροῦς ἠσφαλίσατο. καὶ ἰδοὺ ὁ Κύριος ἔρχεται ἐπὶ τὸν ᾅδην, καταδιώκων τὸν διάβολον, καὶ αἱ δυνάμεις προέτρεχον. καὶ ἰδοὺ αἱ πύλαι κεκλεισμέναι, καὶ ἐφώνησαν αἱ δυνάμεις λέγουσαι· Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. (Ψαλ. κγ. ζ.) καί φησιν ὁ ᾅδης ἔσωθεν ἀποκρινόμενος, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; καὶ πάλιν αἱ δυνάμεις φασί· Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. ἀποκριθεὶς δὲ ὁ ᾅδης εἶπε, τίς ἐστιν οὗτος, ὃν εἴπατε; καὶ εἰ τοιοῦτός ἐστι, τί ζητεῖ ἐνταῦθα; τί κατέλιπε τὸν οὐρανόν, καὶ κατέβη ὧδε; καί φασιν αἱ δυνάμεις· ἐπειδὴ γὰρ βασιλεὺς τῆς δόξης ἐστί, τὸν ἐκ τῆς ἀνταρσίας καταδίκην γενόμενον ἦλθε λῦσαι καὶ παραδοῦναί σοι, καὶ τοὺς στρατιώτας αὐτοῦ ἐκ σοῦ ἐκσπάσαι καὶ ἀνακαλέσασθαι. ἀποκριθεὶς δὲ ὁ ᾅδης λέγει τῷ διαβόλῳ, τρικέφαλε Βεελζεβούλ, ἔκπτωμα τῶν ἀγγέλων, κατάγελως τῶν ἁγίων, ἀθετής, ἀπόκρυφε τοῦ φωτός, οὐκ εἶπόν σοι, μὴ πολεμήσῃς μετ' αὐτοῦ; ἴδε νῦν ἃ προεῖπόν σοι, πάρεστί σοι· καὶ τί ποιεῖς, ἄθλιε; διὰ τί παρήκουσας τῶν ῥημάτων μου; ἴδε ἦλθε ζητεῖν σε καὶ λῦσαι, καὶ διὰ σοῦ αἰχμάλωτος γίνομαι. ἔξελθε, εἰ δυνατὸς εἶ, καὶ ἀπάντησον αὐτῷ. ἐγὼ γὰρ βοηθῆσαί σοι οὐ δύναμαι. καὶ ὁ διάβολος πρὸς αὐτόν*, ἐλέησόν με τέως· μὴ ἀνοίξῃς· ἐνίοτε ἀποστρέφεται, τέως ἀγώνισαι ὑπὲρ ἐμοῦ, εἰ καὶ ἐνεπαίχθην. τίς γὰρ οὐκ ἐμπαίζεται ἐκ τῶν τοιούτων αὐτοῦ ῥημάτων; ποτὲ γὰρ φοβούμενος τὸν θάνατον ἔλεγε, Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· ποτὲ δὲ ἱκεσίαν τῷ πατρὶ προσέφερε λέγων, Πάτερ, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. (Ματθ. κϛ. λη. λθ.) ταῦτα τὰ ῥήματα ἐδελέασάν με. ἐκεῖνος ἀποκριθεὶς ἔλεγε· ταῦτα κἀγὼ ὁ ἄθλιος ὑπελάμβανον, ὅτι φοβούμενος τὸν θάνατον λυπεῖται. ταῦτα αὐτῶν λεγόντων, αἱ δυνάμεις ἐπέμενον λέγουσαι, ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. καὶ οἱ προφῆται ἀκούσαντες τὰς φωνὰς τοῦ βασιλέως τῆς δόξης, ἔχαιρον καὶ ἠγάλλοντο. Ἰωάννης ἔλεγεν, οὐκ εἶπον ὑμῖν, ὅτι ἔρχεται καὶ ἐκβάλλει ἡμᾶς; πάντες ηὐφραίνοντο, καὶ τῷ ᾅδῃ ἔλεγον· ἄνοιγέ σου τὰς πύλας, ὅπως εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης. καὶ ὁ ᾅδης οὐκ ἠνείχετο. καὶ ἀποκριθεὶς ὁ προφήτης Δαβὶδ εἶπεν· ἄφετε αὐτόν. δεῖ γὰρ δι' ἐμοῦ πληρῶσαι τὴν προφητείαν. ὅτε γὰρ ἤμην ἐπὶ τῆς γῆς, προεῖδον τὸ γινόμενον, ὅτι οὐ μὴ ἀνοίξει ἀφ' ἑαυτοῦ· καὶ εἶπον, Κύριος συντρίβων πολέμους, Κύριος συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασε. (Ψαλ. ρϛ. ιϛ.) καὶ εὐθέως προσελθὼν ὁ Κύριος τὰς πύλας συνέτριψε, καὶ τοὺς μοχλοὺς συνέθλασε, καὶ τὰς δυνάμεις τοῦ ᾅδου κατεπάτησε, καὶ τὰς ὀδύ-

νας

ίας τοῦ θανάτου ἔλυσε, τὰ κέντρα τοῦ ᾅδου συνέθλασε, καὶ ἐπληρώθη τὸ γεγραμμένον, Ποῦ σου, ᾅδη, τὸ νῖκος; ποῦ σου, θάνατε, τὸ κέντρον; ὑπήντησαν αὐτῷ οἱ προφῆται χαίροντες καὶ ἀγαλλιώμενοι, ὑμνοῦντες καὶ λέγοντες· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. τότε λαβὼν ὁ Κύριος τὸν διάβολον ἔδησεν αὐτὸν δεσμοῖς ἀλύτοις, καὶ κατήγαγεν αὐτὸν εἰς τὰ καταχθόνια τοῦ ᾅδου, καὶ ὑπέστρωσε πῦρ ἄσβεστον, σκώληκας ἀκοιμήτους· καὶ ἔστιν ἐκεῖ κεκλεισμένος κλαίων καὶ στενάζων. ὁ δὲ Κύριος λαβὼν πάντας τοὺς προφήτας ἐξέβαλεν ἐκ τοῦ ᾅδου λέγων, πορεύεσθε εἰς τὸν παράδεισον. οἱ δὲ χαίροντες ἐξεπήδησαν ἐκ τοῦ ᾅδου· πρῶτος Δαβὶδ κρούων τὴν κιθάραν ἔλεγεν εὐφραινόμενος· Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν· ὅτι ὁ βασιλεὺς ὑπὲρ ἡμῶν πολεμήσας ἐνίκησε. καὶ πάντες ὑπήκουσαν, τὸ ἀλληλούια. καὶ πάλιν ὁ αὐτός· Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι ὁ βασιλεὺς ἡμῶν ὑπὲρ ἡμῶν πολεμήσας ἐνίκησε. καὶ οὕτως ἀγαλλιώμενοι ἐπὶ τὸν παράδεισον ἔτρεχον, καὶ εἰσελθόντες ἐκεῖ εὗρον τὸν λῃστήν, καὶ ἐξέστησαν καὶ ἔλεγον αὐτῷ· τίς εἰσήγαγέ σε ὧδε; τίς δέ σοι τὰς θύρας ἀνέῳξε; τί δὲ πεποιηκὼς εἰσῆλθες πρῶτος ἡμῶν ἐνθάδε; μὴ καὶ τὰ ἐνταῦθα λῃστεύειν εἰσῆλθες; μὴ συλῆσαι τὰ ὧδε παρεγένου; οὐκ ἠρκέσθης τῶν ἐπιγείων, ἀλλὰ καὶ τὰ ἐπουράνια ἁρπάσαι θέλεις; εἰπὲ ἡμῖν, τίς εἰσήγαγέ σε ὧδε; οὐ φθονοῦμέν σοι, διότι εἰσῆλθες, ἀλλὰ τὴν αἰτίαν ζητοῦμεν. ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· διὰ τὰ ἔργα μου οὐκ εἰμὶ ἄξιος εἰσελθεῖν ἐνταῦθα· ἀλλ᾽ ὁ φιλάνθρωπος δεσπότης καὶ ἐλεήμων εἰσήγαγέ με ὧδε. ἐγὼ γὰρ οὐδὲν ἀγαθὸν κέκτημαι· ὅθεν καὶ κατέκριναν με θανάτῳ ἀποθανεῖν μετὰ τοῦ ἀθανάτου βασιλέως οἱ Ἰουδαῖοι, καὶ θέλοντές με ἀποκτεῖναι ἐζωοποίησαν μᾶλλον, συσταυρώσαντές με τῷ Χριστῷ. καὶ ἰδὼν ἐγὼ τὰ σημεῖα τὰ ἐπὶ τοῦ σταυροῦ γινόμενα, καὶ νοήσας ὅτι υἱὸς ἦν τοῦ Θεοῦ, ἐβόησα φωνῇ μεγάλῃ λέγων, Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. καὶ εὐθέως δεξάμενός μου τὴν δέησιν, λέγει μοι· ἀμὴν λέγω σοι, σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, καὶ ἔδωκέ μοι τὸ τοῦ σταυροῦ σημεῖον λέγων· τοῦτο λαβὼν πορεύου εἰς τὸν παράδεισον, καὶ ἐὰν κωλύσῃ σε ἡ φλογίνη ῥομφαία εἰσελθεῖν, ἐπίδειξον αὐτῇ τὸ βασιλικὸν σημεῖον, καὶ ἀνοίξει σοι τὰς θύρας· καὶ ἦλθον, καὶ εὐθέως ἰδοῦσά με ἡ φλογίνη ῥομφαία, ἡ φυλάττουσα τὸν παράδεισον, ἔκλεισε τὰς θύρας. ἐγὼ δὲ εἶπον, ὅτι ὁ βασιλεὺς ὁ νῦν σταυρωθείς, αὐτός με ἀπέστειλε, καὶ ἔδειξα τοῦ σταυροῦ τὸ σημεῖον, καὶ εὐθέως ἤνοιξέ μοι, καὶ εἰσελθὼν, οὐδένα εὗρον, καὶ ἐξέστη μου ἡ διάνοια, καὶ ἔλεγον ἐν ἐμαυτῷ· ποῦ ἐστιν Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ τὸ λοιπὸν πλῆθος τῶν ἁγίων προφητῶν; καὶ θαυμάζοντός μου καὶ διανοουμένου μου, ἰδοὺ ἐφάνησάν μοι εἰς τὰ δεξιὰ μέρη τῆς ἀνατολῆς δύο ἄνδρες παλαιοὶ ἡμερῶν, θαυμαστοὶ τῇ ἰδέᾳ καὶ ἐκλεκτοὶ τῷ προσώπῳ, καὶ ἐπηρώτησάν με λέγοντες, τίς εἶ σύ; Ἀβραὰμ οὐκ εἶ, ἐκείνου γὰρ τὸ σχῆμα ἱερατικὸν ἦν· Μωϋσῆς οὐκ εἶ, ἐκεῖνος ἰσχνόφωνος καὶ βραδύγλωσσος, ἡ δὲ σὴ λαλιὰ τρανή. σὺ τίς εἶ; σὺ λῃστὴς ἡμῖν φαίνῃ, καὶ γὰρ τὸ σχῆμά σου λῃστρικόν ἐστι. καὶ ὡμολόγησα ὅτι λῃστής εἰμι, καὶ ὅτι ὁ δεσπότης τοῦ παραδείσου εἰσήγαγέ με ὧδε, ἐπεὶ συνώδευσα αὐτῷ εἰς τὸν θάνατον, ὃν ὑπέμεινε δι᾽ ἡμᾶς. καὶ εἶπον αὐτοῖς· ὑμεῖς τίνες ἐστέ, δέομαι ὑμῶν; καὶ ἀποκριθεὶς εἷς ἐξ αὐτῶν εἶπέ μοι· ἐγὼ Ἠλίας εἰμὶ ὁ Θεσβίτης, καὶ ἀπὸ πυρίνου ἅρματος ἀνέβην ἐνταῦθα, καὶ οὐκ εἶδον θάνατον ἀκμήν, καὶ οὗτος ὁ μετ᾽ ἐμοῦ Ἐνώχ ἐστιν, ὁ μετατεθεὶς ἐνταῦθα ῥήματι Θεοῦ. οἱ δὲ προφῆται ἀκούσαντες ἐδόξασαν τὸν Θεὸν ἐπὶ τῇ τοιαύτῃ δωρεᾷ τῇ δοθείσῃ τοῖς ἀνθρώποις. ὁ δὲ Κύριος σκυλεύσας τὸν θάνατον, καὶ τὸν ᾅδην πατήσας, [καὶ τῷ ξύλῳ τὸ ξύλον ἰασάμενος,] καὶ τὰς πύλας συγκλάσας, καὶ τοὺς μοχλοὺς συντρίψας, καὶ τὸν διάβολον δήσας, καὶ τὸν κόσμον ἐλευθερώσας, πάντας εἰς οὐρανοὺς ἀνεκόμισεν ἀναστὰς ἐκ τῶν νεκρῶν. τοιγαροῦν ὑμνήσωμεν τὸν σαρκωθέντα, δοξάσωμεν τὸν σταυρωθέντα, εὐχαριστήσωμεν τὸν ἀναστάντα, ὅπως καὶ ἡμᾶς ἐκ τοῦ ζόφου τῶν ἁμαρτιῶν ἡ-

α Κορ. ιε. νε. — Μαρκ. ια. ι. — Ψαλ. ϟδ. α. — Ψαλ. μς. α. — Λουκ. κγ. μβ.

[illegible] * *

μένῃ ἐξέληται καὶ τῆς αὐτοῦ βασιλείας κληρονόμους ποιήσῃ. αὐτῷ γὰρ πρέπει τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρί, καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. οϛ.
Λουκ ιη. ι.

ΕΙΣ ΤΟΝ ΤΕΛΩΝΗΝ, ΚΑΙ ΕΙΣ ΤΟΝ Φαρισαῖον.

Ex Ms. in Pera Constant.

Τῆς φιλαργυρίας τὸ πάθος ἐπιθυμεῖ τὴν πλεονεξίαν· ἀλλὰ θεραπεύεται διὰ τῆς ἐλεημοσύνης, ὅταν εἰς μετάνοιαν δράμῃ. τῆς πορνείας ὁ ἔρως καταδιώκει τὴν ἁμαρτίαν· ἀλλὰ ταύτην ἰατρεύει ὁ κλαυθμὸς τῆς μετανοίας, καὶ δείκνυσιν ἡλίου καθαρωτέραν τὴν ψυχήν, ταῖς τῆς σωφροσύνης ἀρεταῖς ἀπαστράπτουσαν. τῆς δὲ λῃστείας τὸν ἀπάνθρωπον, ὅταν μεταβάλῃ τὰς πράξεις τῆς μιαιφονίας, καὶ κράξῃ τῷ Χριστῷ, μνήσθητί μου, Χριστέ, τῆς σῆς βασιλείας, εἰσέρχεται ἡ ψυχὴ αὐτοῦ εἰς τὸν παράδεισον. τῆς εἰδωλολατρείας ἡ πλάνη, καὶ αὐτὴ ἔχει φάρμακον ἰάσεως, ὅταν προσδέξηται πιστῶς τὸν κηρυττόμενον Χριστόν, καὶ τῆς παρανομίας τὴν πλάνην ἀποκηρύξῃ, καὶ τῆς εὐσεβείας τὴν χάριν ἐν αὐτῇ περιβάλῃ, διὰ τοῦ βαπτίσματος, τοῦ ἐν τρισὶ Θεῷ ἐπικλήσεσι τὴν ἀΐδιον τριάδα σημαίνοντος. [ἴσ. Θεοῦ] τῆς μισαδελφίας ὁ βόρβορος καὶ αὐτὸς ἀποπλύνεται, ὅταν εὐγνώμονι λογισμῷ δέξωνται τὸ εὐαγγελικὸν ἐκεῖνο λόγιον· [*Ματθ ε. θ.*] Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. τίς οὐ χαίρει τοῦ Θεοῦ καὶ πατρὸς ὀνομάζεσθαι τέκνον; ὅτι ἐπλαστούργησεν ὁ Θεὸς τὸν ἄνθρωπον, καὶ διακρατεῖ τὸν κόσμον φιλανθρώπῳ νεύματι, καὶ τῷ βουλήματι αὐτοῦ εἴκει τὰ σύμπαντα, ὑπερβολῇ ἀγαθότητός τι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγε τὰ ὁρώμενα, θέμενος τὸν ἄνθρωπον οἰκονόμον τῶν αὐτοῦ κτισμάτων· ἵνα γενόμενος πιστὸς ἀπολάβῃ τὸν μισθὸν τῶν πέντε ταλάντων, καὶ ἄρξῃ τῶν δέκα πόλεων τῶν ἐν τοῖς εὐαγγελίοις ἀναγεγραμμένων. εἰ δέ τις εὑρεθῇ ὀκνηρὸς ἓν τάλαντον πιστευθείς, κατακρύψῃ δὲ τοῦτο, καὶ μὴ προσαγάγῃ τῷ δεσπότῃ διπλοῦν τὸ τίμημα, τουτέστι, σὺν τῷ τρίτῳ καὶ τὸν νοητὸν ἄνθρωπον, ἀλλ' ἄρξηται λέγειν, [*Λουκ. ιθ κα.*] Ἐφοβήθην ὅτι ἄνθρωπος αὐστηρὸς εἶ, καὶ τὰ λοιπὰ ῥήματα τῆς ἀχρειστίας καὶ δυστροπίας, τότε ἀρθήσεται ἀπ' αὐτοῦ καὶ ὃ ἔχει, καὶ ἐκβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρός. ὁ γὰρ κόσμος οὗτος γυμνάσιον ἐδείχθη, ὅστις ποτὲ μὲν λυπεῖσθαι παρέχει τοῖς ἀνθρώποις, ποτὲ δὲ τὸ χαίρειν. ὁ δὲ ἐν ἀμφοτέροις τούτοις εὐχαρίστως βιώσας, πιστευθήσεται τὴν βασιλείαν τῶν οὐρανῶν. ὥσπερ γὰρ ἡ τῶν πλουσίων ὑδάτων φορὰ δεξαμένη τὸ ἐπιρρέον, πομφόλυγας διανίστησι, καὶ αἱ μὲν αὐτῶν ἅμα τῷ γενέσθαι ἐρράγησαν, αἱ δὲ πλέον ὀγκωθεῖσαι, μετέπειτα καὶ αὗται ἐρράγησαν· τὸν αὐτὸν τρόπον καὶ ἡ θάλασσα τοῦ βίου, τοὺς μὲν πρὸς ὀλίγον φανέντας ἐκάλυψε, τοὺς δὲ ἐπὶ πλεῖον διαρκέσαντας καὶ αὐτοὺς κατεπόντισε. διὸ τὸν λόγον ἐπανακάμψωμεν. πᾶσα ἁμαρτίας ὑπόθεσις ταχεῖαν ἔχει τῆς ἀφέσεως τὴν χάριν, ὅταν μετάνοιαν ἔχῃ προστρέχουσαν. τῆς ** ὑπερηφανίας εἰσὶ παιδῶν, δυσθεράπευτον νόσημα, μισανθρωπίας πρόσχημα, γαῦρον πλάσμα· ὕψωμα ἐφ' ἑαυτοῦ καταβαλλόμενον, [ἴσ. ἐφ' ἑ...] φαντασία σκιώδης, κάλαμος ὑπ' ἀνέμου σαλευόμενος, καπνὸς εἰς ἀέρα ὑψούμενος καὶ εἰς οὐδὲν διαλυόμενος. τί νομίζεις, ὦ ἀλαζών, πλεῖον κεκτῆσθαι τοῦ πένητος; οὐδέν. μὴ σὺ μὲν ἄλλον οὐρανὸν ὁρᾷς, ἐκεῖνος δὲ ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος καταφλέγεται; μὴ σύ, ὅταν γένηται κρυμώδης ὁ ἀήρ, σὺ μὲν ὑπὸ τοῦ ἡλίου θάλπῃ, ἐκεῖνος δὲ τῷ κρύει ψύχεται; οὐχ ὁμοίως ἀναπνεῖται τὸν ἀέρα; οὐ τὴν αὐτὴν βαδίζεται γῆν; οὐ τὸ αὐτὸ σῶμα περιβέβληται; οὐ μᾶλλον εὐχαριστεῖν ὀφείλεις τῷ Θεῷ τῷ ** σοὶ πιστεύσαντι τοσαῦτα, ὅσα ὁ ἐνδεὴς μετεῖσαι ἐπαρκεῖ; λέγω σοι, ἀδελφέ, τοῦτό σε μᾶλλον

λον ὀφείλει προτρέπειν εἰς ταπεινοφροσύνην. ὁ γὰρ πλούσιος μετριάζων δείκνυσι τὸ
φιλάνθρωπον· ὁ πένης γὰρ καὶ μὴ θέλων ἔχει τὴν ταπείνωσιν. σὺ οὖν τότε διηγήσῃ μέ-
γας, ὅτι, ὅπερ ἐκεῖνος ἀνάγκῃ, αὐτὸς προαιρέσει ὑπέρχῃ. εἰ δὲ τούτοις οὐ πείθῃ, ἄκουε τῆς
γραφῆς· Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. εἰ δὲ καὶ τούτων κα- Παρ. γ. λδ.
5 ταφρονεῖς, καταφρονηθήσῃ ὑπὸ τοῦ Θεοῦ· τότε μέλλει τῆς ἀναισθησίας ἡ οἴησις, εἰς μετάρ-
σιον ὕψωμα ἀναγαγεῖν σε βουλομένη, μεγάλως σε ἐπαίρειν, ἵνα μειζόνως σε κατενέγκῃ. τί
γάρ ἐστι πλοῦτος; ὕλη μεταπηδῶσα ἀφ' ἑτέρου πρὸς ἕτερον. τοῦ γὰρ θανάτου ἐπεισελθόν-
τος, ἐστὶ μὲν ἀφίσταταί σου, τὰ δὲ ἐξ αὐτῶν κακὰ οὐδέποτέ σου ἀφίστανται. βλέπε, μὴ ὑπε-
ρηφανεύου γῆ καὶ σποδὸς ὑπάρχων, καὶ ἐμπέσῃς εἰς τὸ πτῶμα τοῦ Φαρισαίου· ἐπίγνωθι
10 σεαυτόν. τοῦτο γὰρ καὶ ὁ Κύριος παρεγγυᾷ λέγων διὰ τῆς παραβολῆς· Ἄνθρωποι δύο ἀνέ- Λουκ. ιη. ι.
βησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος τελώνης. ἄνθρωποι
δύο ἀνέβησαν, ἀλλ' οὐκ ἄνθρωποι δύο κατέβησαν, τὴν αὐτὴν ὁδὸν διανύοντες ἁπλαιῶς.
καὶ ὁ Φαρισαῖος ταύτης διεσφάλη φανερῶς. ἐπὶ τὸν ἕνα τόπον εἰσῆλθον προσεύξασθαι,
καὶ οὐκ εἰς τὸν ἕνα τόπον ἐξελθόντες εὑρέθησαν. ὁ μὲν Φαρισαῖος ἔτρεχε θαρρῶν, ὁ δὲ τελώ-
15 νης ἀπῄει δειλιῶν· καὶ ὁ μὲν τρέχων ἀπέμεινεν, ὁ δὲ ὀπίσω προέλαβεν. ἔτρεχεν ὁ Φαρισαῖ-
ος ἐξαγγεῖλαι τὰ δικαιώματα· ἐπορεύθη καὶ ὁ τελώνης ἀναγγεῖλαι τὰ παραπτώματα. ἀνῆλ-
θον προσεύξασθαι· καὶ ὁ μὲν ὠράθη φυσιούμενος, ὁ δὲ ἐδικαιώθη προσευχόμενος. τοιαῦτα γὰρ
ἑαυτὸν ἐνομοθέτει ὁ Φαρισαῖος λέγων· οὐκ εἰμὶ χρεώστης τῆς παραγγελίας τοῦ νόμου· οὐχ
ὑπάρχω ὑπεύθυνος, ὧν παρήγγειλαν οἱ προφῆται· οὐ χρῄζω τῆς διδαχῆς Μωϋσέως,
20 ἵνα τι τούτων δεήσωμαι· ἀλλ' ἄνειμι προσεύξασθαι, τῆς συνηθείας τὸ χρέος ἀποδιδούς, ποτε
ὅπερ οἱ πρόγονοί μου ἐπετέλουν. τί οὖν, ὦ Φαρισαῖε, τῶν προγόνων ἕνεκεν τὸ ἱερὸν προσκυνεῖς,
προσευχῆς δὲ χάριν τὸ ἱερὸν οὐχ ὁρᾷς; οἱ πρόγονοί σου πιστῶς ἐπετέλουν τὸ εὐαγγέλιον, σὺ δὲ
θριαμβεύεις τὸ εὐαγγέλιον, ἵνα ὑπὸ ἀνθρώπων δοξασθῇ σου ἡ θυσία. καὶ γὰρ ἐπὶ σοὶ τὸ τοῦ Δα-
βὶδ ῥητόν· Γενηθήτω ἡ προσευχὴ αὐτοῦ εἰς ἁμαρτίαν, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος, τουτέστιν, Ψαλ. ρη. ζ.
25 ὁ τελώνης. τὰ δὲ τοῦ τελώνου ποῖα; ἀπῄει εἰς τὸ ἱερὸν ἑαυτὸν κατακρίνων, ἀνάξιον ὀνομάζων ἑ-
αυτὸν προσευχῆς. ἀνάξιον ἑαυτὸν ἐπεκαλέσατο· διὸ καὶ ὁ Χριστὸς τὴν πρόθεσιν αὐτοῦ ἀπεδέ-
ξατο. ἔλεγεν ἑαυτὸν τῇ ἁμαρτίᾳ κατάχρεων, ἀλλ' ἔδειξεν αὐτὸν τῆς δικαιοσύνης ὁ Χριστὸς
ὑπεύθυνον· ἐχαρίσατο τῶν πεπλημμελημένων ἑαυτοῦ τὴν ἄφεσιν, καὶ ἀντηγόρασε τὴν
πρόθεσιν· ἠλευθέρωσε τῆς ἁμαρτίας, ἵνα δουλώσῃ τῇ δικαιοσύνῃ. ὦ δουλεία, δι' ἧς ἀπο-
30 φεύγομεν δουλείαν πονηράν, καὶ προσφεύγομεν τῇ ἐλευθερίᾳ τοῦ Χριστοῦ· ὦ δουλεία ἐλα-
φρὸν ζυγὸν περιέχουσα, καὶ μετὰ ταύτην αἰώνιον ζωὴν ἔχουσα καὶ ἀποδιδοῦσα· ὦ δουλεία ἡ τὴν ἣ
ἐν τῷ κόσμῳ τούτῳ δουλεία λεγομένη, ἐν δὲ τῷ μέλλοντι βασιλείαν ἀτελεύτητον δωρουμένη.
ταύτῃ τῇ δουλείᾳ προσδράμωμεν, ἀδελφοί, ἵνα τὴν ἐλευθερίαν καρπωσώμεθα τῶν ψυ-
χῶν. ὅταν γένηταί τις ἀγαθὸς δοῦλος, τότε τοῦτον ἀναδείκνυσιν ὁ Κύριος υἱὸν γνήσιον, τότε
35 πληροῖ τὸ ῥητὸν διὰ τοῦ προφήτου ἐπ' αὐτόν· Ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. μα- Ψαλ. πα. ϛ.
κάριοι οἱ καταξιούμενοι τῆς τοιαύτης τιμῆς, μακάριοι οἱ σπουδάσαντες ἀπαλλαγῆναι
τῆς φθορᾶς, μακάριοι οἱ διὰ ταύτης τῆς δουλείας κτησάμενοι τὴν ἐλευθερίαν, καὶ κρά-
ζοντες τῇ ἐλευθερίᾳ, ᾗ Χριστὸς ἡμᾶς ἐξηγόρασεν, ἱστάμεθα ἔχοντες τὸν σταυρὸν ἀντιρείδοντα
τοῦ Χριστοῦ. κράζωμεν τῷ Χριστῷ, λύτρωσαι ἡμᾶς ὁ ποιμὴν ὁ καλός, ὡς ἓν τῶν προβάτων
40 ἀπολωλότων· ζήτησον ἡμᾶς ἐν ταῖς διανοίαις τῶν καρδιῶν ἡμῶν, καὶ εὑρὼν πλανωμένους
ἡμᾶς καὶ μέλλοντας ἁλίσκεσθαι ὑπὸ τοῦ ἐχθροῦ, συνάγαγε εἰς τὴν ποίμνην σου. λύτρωσαι
ἡμᾶς δραχμὴν μίαν, καὶ ἅψας τὸ πῦρ τῆς σῆς θεότητος ἐρεύνησον, καὶ εὑρὼν συγχάρηθι ὑπὲρ
τοῖς ἁγίοις, καὶ τοῖς ἀγγέλοις συναυλιζομένοις τῇ ἀχράντῳ σου θεότητι. ἀνάδειξον ἡμᾶς
ὡς τὸν τελώνην, ἵνα προσευχόμενοι ταπεινοφροσύνην ἀσπασώμεθα, ὑπερηφανίαν δὲ ἀπο-
στρεφώμεθα,

στρεφώμεθα, καὶ τὴν τῆς ἁμαρτίας μητέρα ἀποδυσώμεθα τὴν ὑψηλοφροσύνην, καὶ τὴν τῆς μετανοίας μητέρα περιπλεξώμεθα τὴν σωφροσύνην. ἀποδυσώμεθα τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ περιβαλώμεθα τὸν νέον σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ τῇ χάριτι αὐτοῦ. στενάξωμεν ἐκ βάθους καρδίας προσευχόμενοι, ἵνα διώξωμεν τὸ βάθος τῆς καμίνου τῆς γεέννης τὸν ἐχθρὸν ἡμῶν. σοῦ γὰρ στενάξαντος, ἐκεῖνος πλήττεται· σοῦ τὸ στῆθος πλήττοντος, ἐκεῖνος τραυματίζεται· σοῦ τὰς πληγὰς λαμβάνοντος, ἐκεῖνος τὰς σφαγὰς ὑποδέχεται. καὶ γὰρ ὁ τελώνης πλήττων τὸ στῆθος τὸν Φαρισαῖον ἀντέπληξε, καὶ τὸν ἐν αὐτῷ λογισμὸν τὸν ἐνεργοῦντα τῆς ὑπερηφανίας τὸν τῦφον ἤλεγξεν. ὁ γὰρ Φαρισαῖος σταθεὶς καθ' ἑαυτὸν προσηύχετο λέγων· Ὁ Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ τελώνης. νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. ὦ Φαρισαῖε, ἐκένωσάς σου τὸν μισθὸν διὰ τῆς καυχήσεως· διὰ τοῦτο ἐδέξω ψῆφον κατακρίσεως. λέγεις, οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων. ἄνθρωπος μὲν ἦν κατὰ τὴν φύσιν καὶ τὴν τοῦ Θεοῦ διάπλασιν, ἄλογον δὲ κατὰ τὴν τῆς ὑπερηφανίας μετάληψιν· ἄνθρωπος μὲν ὡς ἔχων τὸ κατ' εἰκόνα, θηρίον δὲ ὡς κεκτημένος τὴν ἀλαζονείαν. ἔξω γὰρ ἑαυτὸν διέθετο τῆς τῶν ἀνθρώπων φύσεως, ἄλλην δημιουργίαν τῷ ἑαυτοῦ σώματι ἐνομοθέτησεν· ὑψηλότερον τῶν γηΐνων πραγμάτων εἶναι ἑαυτὸν ἐχρημάτιζε· μείζονα παντὸς προφήτου καὶ πατριάρχου ἑαυτὸν ὑπέλαβεν. ἆρα οὐκ ἐμνήσθης, ὦ Φαρισαῖε, τῆς τοῦ Ἠλία καυχήσεως ταῦτα καυχωμένου, καίτοι οὐκ ἐξ οἰήσεως, ἀλλ' ὑπὸ θείου ζήλου, ὅτε εἶπε, Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος; καὶ τί πρὸς αὐτὸν ὁ χρηματισμός; Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῷ Βαάλ. τί οὖν; πάντων παρανομησάντων, ἑπτακισχίλιοι ἦσαν οἱ τὸν θεῖον ζῆλον ἔχοντες, καὶ τῷ προφήτῃ συνεξισούμενοι, καὶ σὺ βοᾷς, οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί; ἆρα οὐδεὶς διέφυγεν εἰς τὴν ὑπ' οὐρανὸν τῆς πλεονεξίας τὸ μῦσος; ἆρα οὐδεὶς σωφροσύνην ἀσπάζεται, Φαρισαῖε; ἑαυτὸν κατακρίνεις, ὁ ὑπὸ πάντων κατακρινόμενος· καθ' ἑαυτοῦ δοκιμάζεις, ὁ ὑπὸ τοῦ Θεοῦ ἀποδοκιμαζόμενος· ἑαυτὸν στεφανοῖς διὰ τῆς καυχήσεως, ἀλλὰ ἀπώλεσάς σου τὸν στέφανον διὰ τῆς κατακρίσεως· ἑαυτὸν ἐπαινεῖς ὡς ἀναμάρτητον, ἀλλὰ τῆς ἁμαρτίας ἐδείχθης ὑπεύθυνος· ἑαυτὸν στηλιτεύεις ὡς τὸν νόμον πληρώσαντα, ἀλλ' ἀψάμενος τοῦ νόμου τὸν νομοθέτην ἐνύβρισας. ἔκραξας ἐπὶ πάντων σου τὰ κατορθώματα· μετέβαλες αὐτὰ εἰς παραπτώματα. ὁ τελώνης τῇ σιωπῇ βοήσας, τὸν Θεὸν λέγων ἐδυσώπησεν, ὃν σὺ κράζων κατὰ σεαυτοῦ παρώξυνας. οὐκ ἐνετράπης λέγων· Οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς ὁ τελώνης, ὁ ταῖς ἁμαρτίαις μεμιαμμένος, ὁ ταῖς ἀσωτίαις ἐμπεφυρμένος, ὁ τὸν ἱερὸν τόπον κοινώσας τῇ εἰσόδῳ, ὁ ἀναξίως σὺν ἐμοὶ προσευχόμενος, ὁ πάσης ἀνομίας ἐργάτης; ἀρκεῖ δὲ τὸ ὄνομα πρὸς μαρτυρίαν τῆς ἑαυτοῦ καταστάσεως. ὑπάρχει γὰρ τελώνης, τελεῖ τῇ ἁμαρτίᾳ τὰ τῆς πονηρίας ἔργα. ταῦτα εἰ καὶ μὴ αὐταῖς ταῖς λέξεσιν ἐν τοῖς ἀχράντοις εὐαγγελίοις ἐγγέγραπται, ἀλλ' οὖν γε ὁ σκοπὸς τῆς ὑπερηφανίας τοῦτον ἀποσώζει τὸν τρόπον. ὦ Φαρισαῖε, σὺ μὲν ἀπευδόκησας τὰ τοῦ τελώνου, ὁ δὲ Χριστὸς ηὐδόκησεν ἐν τῷ τελώνῃ· σὺ κατὰ σεαυτὸν ἐκεῖνον ἐξουδένωσας, ὁ δὲ Χριστὸς αὐτὸν ἐπὶ πάντων ἐστεφάνωσεν. ἠρέσθη Χριστὸς σὺν τῇ μετανοίᾳ τοῦ τελώνου θεωρήσας αἰσχύνην συμπεπλεγμένην ἐν αὐτῷ, καὶ στεναγμὸν ἐκ βάθους καρδίας εἰς οὐρανὸν εὐθέως ἀναπεμπόμενον, καὶ βαδίζον τὰ δάκρυα. ἠρέσθη Χριστὸς, μᾶλλον ᾐδέσθη τὸν τελώνην, τῇ αἰσχύνῃ τὴν αἰσχύνην ἀποτιναξάμενον. καλῶς ἡρμόσατο ἑαυτῷ ὁ τελώνης τὸ τῆς σοφίας ῥητόν· Ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν. ταύτην μετῆλθεν ἐν τῷ τῆς ἀγνωμοσύνης βίῳ. καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις. ταύτην ἐπῆλθε διὰ τοῦ τῆς μετανοίας τρόπου, ἐκ

τῶν

Ἰε. κ.
Λουκ. ιη. ια.
γ. Βασ. ιθ. ι.
Ἰε. κ.
Σειρ. δ. κα.

τῶν ἐναντίων τὰ ἐναντία διὰ τῆς πίστεως ἰασάμενος. μιμησάμενος ἰατρὸν, ἔμπλα-
στρον τίθησιν ἐναντίον τῷ σώματι, τὴν μὲν σάρκα ἐκτρώγον, τὸ δὲ ἕλκος καθαῖρον, ἵνα ἀ-
ποκαλυφθέντος τοῦ ζωτικοῦ σώματος, ἐπιγνῷ τὸ τῆς θεραπείας μηχάνημα. οὕτως ὀ-
χετοὺς τῶν ἡδονῶν, οἷα καυστῆρι σιδηρῷ, τῷ στεναγμῷ χρησάμενος, ἀπεστόμωσε, καὶ
τὸ διοιδαῖον τοῦ πάθους ἕλκος τοῖς δάκρυσι περιρράνας ἐθεράπευσε, καὶ τὴν ἔσω τοῦ ἕλ-
κους μοτώσας διὰ τῆς τῶν χειρῶν πλήξεως ἀπούλωσε, καὶ τὸ ἐπιρρέον τῇ ψυχῇ ἐκ τοῦ σώ-
ματος ῥεῦμα ἐστείρωσε, καὶ καθαρὰν ταύτην διὰ τῆς μετανοίας τῷ πλάσματι προσήγα-
γεν. ἀλλὰ καὶ τῶν λοιπῶν ῥημάτων τοῦ Φαρισαίου ἀκούσωμεν. νηστεύω δὶς τοῦ σαββάτου.
δηλοῖ τετράδος καὶ παρασκευῆς τὴν ἐγκράτειαν. τὰ δὲ σάββατα ἀνάπαυσίς ἐστι τοῖς Ἑβραί-
οις. ἀπέχω τῶν διαφόρων βρωμάτων· οὐ ῥυπῶ μου τὰ χείλη ἀκαθάρτῳ γεύσει, ὅλως ἐγκρά-
τειαν περιβέβλημαι, ὅλως ἁγνωσύνην ἠμφίεσμαι· ἔτι δὲ καὶ ὧν κτῶμαι τὰς δεκάτας τῷ Θεῷ
προσκομίζω. ὢ τῦφος ἀναισθησίας ἀναπνέων. νηστεύω δὶς τοῦ σαββάτου. "οὐ διάκ[illegible]),
ὡς τὰ σιτηρέσια αὐτὸς τῷ Θεῷ χαριζόμενος. νηστεύω δὶς τοῦ σαββάτου. "Κύριε, μὴ νηστεία,
φησὶ, τῷ Θεῷ παρέχει τὰ τοῦ νόμου ἐντάλματα; καὶ ὃ οἱ ἄνθρωποι κόπῳ κατώρθωσαν, τοῦτο
ἐγὼ προσθέσει ποιῶ. τί οὖν ὁ φιλάνθρωπος δικαστής, ὁ φιλότιμος ἀγωνοθέτης;" τῶν τῆς
μετανοίας δρόμων; καὶ τοῦ Φαρισαίου μεγαλαυχοῦντος ἠνείχετο, καὶ τοῦ τελώνου μετανοοῦντος
ἐτέρπετο. ἐπειδὴ δὲ ὁ μὲν τοῖς ῥήμασιν, ὥσπερ ἀνέμοις σφοδροῖς, τῆς ψυχῆς τὸν καρπὸν ἀπε-
τίναξεν, ὁ δὲ συντρίψας ἑαυτὸν οὐκ ἐξεδέχετο ἄλλον κατήγορον, ἑκάστῳ τὸ πρὸς τὴν ἀ-
ξίαν ἀπένειμε. τὸν μὲν γὰρ τελώνην ἑαυτοῦ γεγυμνωμένον κατήγορον, ἐλεύθερον ἀφῆκε τῆς
κατακρίσεως· τὸν δὲ Φαρισαῖον εἰς μέσον προθέντα τὰ κατορθώματα, πενέστερον τοῦ τελώ-
νου ἀπέφηνεν. ἀμφοτέροις ὁ τρόπος· τῷ μὲν ὑπόθεσις πενίας ὁ πλοῦτος· τῷ δὲ ἐκ πλού-
του πενίας ὀλίσθημα. τί γάρ φησιν ὁ δεσπότης; ἀμὴν λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιω-
μένος εἰς τὸν οἶκον αὐτοῦ, ἤπερ ἐκεῖνος. ὢ πῶς κακὸν τῆς ὑπερηφανίας τὸ νόσημα. κατάκο-
μος ἀνῆλθεν ὁ Φαρισαῖος, ὥσπερ ἄνθεσι, τοῖς κατορθώμασι στεφανούμενος· συνώδευσε τούτῳ
ὁ τελώνης πάσης ἀπολογίας γυμνός. ἀλλ᾽ ὃς μὲν εὐχερῶς ἑαυτὸν ταπεινώσας ὑψώθη· ὁ δὲ
πρὸς ἄκαιρον ὕψος ἀκοντίσας ἑαυτὸν, καταγέλαστον ὑπέμεινε γύμνωσιν. οὐκ ἦν βέλτιον
ὑφειμέναις χρήσασθαι ταῖς φωναῖς; οὐκ ἦν κρεῖττον ἀκοῦσαι τῆς προφητικῆς φωνῆς λεγού-
σης, ταπεινώθητε ἐνώπιον Κυρίου, καὶ ὑψώσει ὑμᾶς, οὐκ ἦν μᾶλλον κρατῆσαι τῆς γλώσσης
συμφέρον, καὶ φυλάξαι τὸν πλοῦτον, ὃν πόνοις πολλοῖς ἐκτήσατο; ἃς γὰρ ἐν χρόνῳ συνήγα-
γεν ἀρετὰς, τῇ φωνῇ διεσκόρπισεν. οὐκ ἤκουσε τάχα ὁ Φαρισαῖος τὸ γεγραμμένον, ὅτι Ἀκά-
θαρτος ἐναντίον Κυρίου πᾶς ὑψηλοκάρδιος· οὐκ ἐδιδάχθη τὸ καλῶς εἰρημένον· Ὃ ποιεῖ ἡ
δεξιά σου, μὴ γνῷ ἡ ἀριστερά σου. τάχα δὲ ἐγίνωσκεν ἀμφότερα, ἀλλ᾽ ἡ ἰσχὺς τῆς κενοδοξίας
ἐνίκησεν. ἡμεῖς οὖν τοῦ τελώνου τὴν ταπείνωσιν κτησώμεθα, καὶ τῶν ἁμαρτημάτων τὸ βάρος
ἀπωσώμεθα· ὑπερηφανίαν δὲ μισήσωμεν, δι᾽ ἧς ὁ Φαρισαῖος τὸν πλοῦτον τῶν ἀρετῶν ἀ-
πώλεσεν. Ὑπερηφάνοις γὰρ Κύριος ἀντιτάσσεται), ταπεινοῖς δὲ δίδωσι χάριν. αὐτῷ ἡ δόξα καὶ
τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παροιμ. ιϛ. ε. Ματθ. ϛ. γ. Παροιμ. γ.

ΕΙΣ ΤΗΝ ΕΙΣΟΔΟΝ ΤΩΝ ΑΓΙΩΝ ΝΗΣΤΕΙΩΝ

Λογ. ογ.

Ex Ms. in Pera Constantinopol.

Ἀνέτειλεν ἡμῖν σήμερον, ἀγαπητοὶ, τὸ φαιδρὸν ἔαρ τῶν ἁγίων νηστειῶν, καὶ
προθύμους παρασκευάζει συντρέχειν εἰς τὸν θεοπρεπῆ τοῦτον παρά-
δεισον, ὥστε τοὺς τῆς ἐγκρατείας ἀποτρυγῆσαι καρποὺς, καὶ τὰ τερπνὰ
τῆς ἁγνείας δρεψαμένους ἄνθη, πλέξαι τὸν τῆς σωφροσύνης στέφανον.
πάλιν ἡμᾶς καλεῖ ὁ ἀγγελικὸς βίος ἐπὶ τὴν ἀρχαίαν τρυφὴν, καὶ
πρὸς τὴν θείαν ἐκείνην καὶ μακαρίαν ἀπόλαυσιν ἡμῖν ἐπανοίγει
πύλας.

πύλας. μεγάλην πρὸς Θεὸν παρέχει παρρησίαν ἡ ἑκούσιος νηστεία, καθαίρουσα μὲν τὰ σώματα διὰ τῆς ἐγκρατείας, ἁγιάζουσα δὲ τὴν ψυχὴν διὰ τῆς πρὸς Θεὸν παρρησίας, καὶ τῶν μὲν γηΐνων ἁπάντων ἐπιλανθάνεσθαι ποιοῦσα, τῶν δὲ οὐρανίων ἐπιθυμεῖν παρασκευάζουσα. νηστεία τοὺς ἑαυτῆς ἐραστὰς εἰς οὐρανοὺς ἀνάγουσα, τῷ Χριστῷ παρεστάναι ποιεῖ, καὶ μετὰ τῶν ἁγίων ἔχειν τὴν κοινωνίαν. ὁ πατὴρ τῆς νηστείας, ἀγαπητοί, ἐστιν ὁ νόμος τοῦ Θεοῦ· μήτηρ δὲ αὐτῆς, (5) ἐγκράτεια, ὑπομονή, ἀρετή· θυγατέρες αὐτῆς, ἄσκησις, ἁγνεία, σωφροσύνη· υἱοὶ δὲ γνήσιοι, Μωϋσῆς, Ἠλίας, Δανιὴλ, Ἰωάννης ὁ Βαπτιστὴς, καὶ ὁ λοιπὸς τῶν ἁγίων χορὸς, μάλιστα τῶν ἐν ταῖς ἐρήμοις ἀναχωρησάντων καὶ ἀσκητῶν· φίλαι δὲ αὐτῆς εἰσι, πίστις, ἐλπὶς καὶ ἀγάπη· σύνοικοι δὲ, εἰρήνη, πραότης, ὁμόνοια· θεραπαινίδες δὲ αὐτῆς, δοξολογία, ψαλμῳδία διηνεκὴς, εὐχὴ καθαρά· σύμβιος δὲ αὐτῆς, ὁ φόβος τοῦ Θεοῦ· οἱ δὲ καρποὶ τῆς (10) τούτων συμβιώσεως εἰσὶν, ἁγιότης, ἀφθαρσία, παρρησία πρὸς τὸν Θεὸν, βασιλεία οὐράνιος, ζωὴ αἰώνιος. διὸ, ἀγαπητοὶ, οἱ μὲν ἐρασταὶ τῆς νηστείας, τὸν νόμον τοῦ Θεοῦ ἔχοντες ἐν τῇ καρδίᾳ αὐτῶν, νηστεύουσιν εἰλικρινῶς, ἄνομοι δὲ οὐ νηστεύουσι. καὶ οἱ μὲν δίκαιοι νηστεύουσι διαπαντὸς εὐσεβοῦντες, καὶ τὸν νόμον τοῦ Θεοῦ μελετῶντες καὶ πληροῦντες, τήν τε ἁγνείαν ἀγαπῶντες, καὶ τὴν σωφροσύνην περιπτυσσόμενοι, μεθ' ἧς ἐλευθερούμενοι, καὶ τῷ Χριστῷ (15) προσκολλώμενοι· οἱ δὲ ἄνομοι οὐχὶ νηστεύουσι μόνον, ἀλλὰ καὶ πάσης κακίας καὶ Σατανικῆς ἐνεργείας πεπληρωμένοι τυγχάνουσι. πᾶσα ἀσωτία καὶ ἀσέβεια καὶ παρανομία παρ' αὐτοῖς ἐμπορεύεται· παρ' αὐτοῖς λόγοι αἰσχροὶ, γέλωτες ἄκαιροι, καὶ ῥήματα διαβολικά· παρ' αὐτοῖς γαστριμαργία καὶ μέθη, καὶ ἀκαταστασία συντελεσθήσεται. πολλὰ γὰρ ὄντως τὰ ἐκ τῆς μέθης κακά. οἱ γὰρ καταμεθυσθέντες τῷ οἴνῳ, τὰς φρένας σκοτοδινιῶσιν, ὥσπερ οἱ πα- (20) ραπαίοντες καὶ τῶν φρενῶν ἐξιστάμενοι, καὶ ὧδε κἀκεῖσε περιφερόμενοι, τοίχῳ τε ἀπὸ τοίχου προσαρασσόμενοι, ἀπρεπῶς τε ἐνσειόμενοι τοῖς ἀπαντῶσι, καὶ ἀσχημόνως φερόμενοι κατὰ γῆς. διὸ, ἀγαπητοὶ, φύγωμεν τὴν τοιαύτην αἰσχύνην, καὶ προθύμως νηστεύσωμεν μετὰ φόβου τοῦ Θεοῦ, πίστει βεβαιούμενοι, νόμῳ στηριζόμενοι, σωφροσύνῃ κοσμούμενοι, ἁγνείᾳ καλλωπιζόμενοι, ὄμμα σωφρονίζοντες, λογισμὸν ἁγιάζοντες, ἐν ὑπομονῇ πολλῇ καὶ καθαρᾷ (25) καρδίᾳ προσευχόμενοι, τὰ πρόσκαιρα ἀποκτώμενοι, καὶ τὰ αἰώνια ἀντικτώμενοι. εἴ τις γὰρ εἰλικρινῶς νηστεύει, Χριστὸν μιμεῖται, γινόμενος ἐπὶ γῆς, ἀγγέλοις ὁμοιοῦται, προφήτας ζηλοῖ, ἀποστόλοις κοινωνεῖ, καὶ ὅλως ἐναλλαγεὶς τὴν φύσιν διὰ τῆς νηστείας γίνεται δίκαιος ἐξ ἀδίκου, ἀγαθὸς ἐκ πονηροῦ, ἐξ ἀσεβοῦς εὐσεβὴς, καὶ οὕτω Χριστὸν κληρονομεῖ, τὸν θησαυρὸν τῆς ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡ- (30) μῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Margin: ἴσ. μὴ δὴ. ἴσ. οἱ μὴ νηστεύοντες

Λογ. οδ.

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΑΝΑΛΗΨΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ Ἰησοῦ Χριστοῦ. (35)

Ex Ms. ἐν Χάλκῃ νήσῳ τῆς Χαλκηδόνος emend. ex Ms. Monasterij S. Laurae in Monte Atho.

ΕΤι μοι κατὰ ψυχὴν ἀριθμοῦντι τὸ ἐκ τοῦ σταυροῦ τῷ γένει τῶν ἀνθρώπων προσγινόμενον κέρδος, καὶ τὴν ἐκ τῆς ἀναστάσεως ὠφέλειαν ζυγῷ διανοίας σταθμίζοντι, ὁ τῆς θείας ἀναλήψεως ἐπώμβρισεν ἀνεξάντλητος πλοῦτος· καὶ βλέπω τὸν ἐμὸν δεσπότην καὶ Θεὸν εἰς (40) οὐρανοὺς ἀνερχόμενον, ὅπου ἦν τὸ πρότερον, ἵνα, ἐμὲ τὸν πηλὸν σύνθρονον ἀποδείξας τοῦ ἀχράντου πατρὸς, ἔργῳ σφραγίσῃ τοῦ Παύλου τὰ ῥήματα, ὅτι συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις. (Εφ. β. ς.) ἴσοι τοίνυν τοῦ πρώτου Ἀδὰμ ἀπεθέμεθα τὴν στολὴν καὶ τὴν γνώμην, καὶ τὸν δεύτερον Ἀδὰμ, ὅς ἐστι

Χριστὸς,

Χριστός, φοροῦν ἠξιώθημεν γὰρ ἄρτι, προσφόρον ᾠδὴν ἀνύσωμεν τῷ νικητῇ, ἣν καὶ ὁ προφήτης
πάλαι προθύμως ἐβόα· Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; σὺ γὰρ μόνος, ὡς οἶδας, εἰς σάρκα (Ψαλ. πε. α.)
κενώσας ἑαυτόν, ἄτρεπτον, ἀναλλοίωτον, ἀπαθῆ τὴν οὐσίαν ἐφύλαξας τῆς θεότητος. ὅθεν
ὁ προφήτης οὐκ ἀμφιβάλλων, οὐ θαυμάζων, οὐ συγκρίνων, ἀλλὰ δεικνὺς τὸ ἀπα-
ράβλητον ἔλεγεν· ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; πάντα γὰρ ἐκ σοῦ, καὶ διὰ σοῦ γεγένηται. τὰ δὲ γε-
νόμενα δῆλον ὅτι τοῦ πεποιηκότος ἐλάττονα ἀεὶ δείκνυται, καθὸ καὶ μείζονα τιμὴν ἔχει οἴκου ὁ
κατασκευάσας αὐτόν. τίς οὖν ὁμοιωθήσεταί σοι; ἥλιος διὰ τὸ φῶς; ἀλλὰ καθ' ἑκάστην
αὐτὸν ὁρῶ σβεννύμενον. τάξει γὰρ ἔλαχε πρὸς ἑσπέραν διαδέχεσθαι ὑπὸ νυκτός. σε-
λήνη διὰ τὴν εὐπρέπειαν; ἀλλ' ἑκάστου ἔτους ἀποθνήσκει, καὶ τίκτεται τρόπον τινά. ἀστέρες,
ὅτι φαίνουσιν; ἀλλ' ἡμέρας λαμψάσης, ἀφαιροῦνται τὴν ἔλλαμψιν. θάλασσα διὰ τὸ τοῦ
πελάγους ἀμέτρητον; ἀλλὰ ξύλῳ τέμνεται μικρῷ, καὶ κώπῃ μαστίζεται. ἀνθρωπίναις γὰρ
χρείαις παρὰ σοῦ κεκέλευσται ὑπουργεῖν. γῆ πάλιν διὰ τὸ ἑδραῖον; ἀλλὰ σοῦ βουληθέντος
ὅτε δήποτε σαλεύεται βλέμματι. καὶ γὰρ χοῦν σοι προσήνεγκε δημιουργοῦντι τὸν ἄν-
θρωπον, ὅτε ψυχῆς ἐμπνεύσει τὸν πηλὸν ὥπλισας. οὐρανὸς οὖν ὁμοιωθήσεταί σοι; πῶς;
καίτοι σοῦ κελεύσαντος, νεφέλην σοι παρέστησεν εἰς ὕψος ἀφιπτάνουσαν, ὥς ποτε τὸν ἀστέρα
τοῖς μάγοις ἐν Βηθλεέμ, τὰ σὰ θεῖα γενέθλια διδάξαντα. ἄγγελος οὖν ἢ ἀρχάγγελος ὁ-
μοιωθήσεταί σοι; πῶς ἢ τίνι τρόπῳ; ὅτι πνεύματα λειτουργικὰ τυγχάνουσι, τοῖς σοῖς μετὰ φόβου
διακονοῦντα προστάγμασιν. ἀλλὰ ἀγγέλων μνησθεὶς, τῷ λόγῳ κατεπείγομαι πρὸς ἐκεῖνον
τὸν ἄγγελον, τὸν ἐπὶ τῷ λίθῳ τοῦ ζωηφόρου καθεζόμενον μνήματος. οἶδα γὰρ ὅτι οὐκ ἀ-
γανακτήσει, λειτουργὸς ὑπάρχων ἐκείνου τοῦ τὸν Θωμᾶν πείσαντος ψηλαφᾶν εὐσεβῶς,
καὶ ἐρευνᾶν ἀσφαλῶς, καὶ τιμᾶν θεοπρεπῶς τὸ μέγα μυστήριον. λέγε μοι τοίνυν, ὦ ἄγγελε. ὁ-
ρῶ μὲν γάρ ἕνα σε, ὅσους δὲ καὶ συλλειτουργοὺς ἔχοντα μεθ' ἑαυτοῦ τὰ θεῖα γράφουσιν εὐαγγέλια·
μία δὲ χάρις, μία δὲ διακονία τὸ πρᾶγμα συνίστησι. λέγε μοι, τίνος χάριν τοὺς οὐρανοὺς
καταλιπὼν προσεδρεύεις τῷ τάφῳ, καὶ ταῖς ἄνω δυνάμεσι συνδιαιτώμενος, κάτω γυναιξὶ
φαίνῃ διαλεγόμενος; ἀφῆκας τὰ χερουβίμ, καὶ παρακάθῃ τῷ μνήματι; τὴν ἄνω φοβερὰς ἐ-
πανσῶν λειτουργίας, καὶ κάτω μετὰ χαρᾶς πληροφορεῖς τὴν Μαριάμ; σεισμῷ τοὺς φυλάττοντας
στρατιώτας ἀνεκρώσας, καὶ ἐπὶ τῶν τὰς γυναῖκας ἀποστολικῶς ἐξεπαίδευσας; ἦλθε Πέτρος,
ἀλλ' ἑαυτὸν ἀσωμάτως ἐκρύψας. κατέλαβεν Ἰωάννης· ἀλλὰ τὴν σὴν καὶ οὗτος παρουσίαν ἠγνό-
ησαν. ἀμφότεροι μὲν σύμβολα τῆς ἐγέρσεως τοῦ μὴ κλαπέντος νεκροῦ, ἀλλ' ἀναστάντος Θεοῦ ἐθε-
ώρησαν τὰ ὀθόνια. μόναις δὲ ταῖς γυναιξὶν ἐμφανίζῃ, καὶ μόναις ταύταις παρεγγυᾷς μὴ φοβεῖσθαι,
καίτοι κοινὸν ἀπάρχεται πᾶσι τὸ τῆς ἀναστάσεως κέρδος. μὴ γὰρ γυναῖκας μόνον, οὐχὶ δὲ καὶ ἄν-
δρας ὁ δεσπότης ἐκ νεκρῶν ἀνέστησε; μὴ μόνον σῶσαι τὴν Εὔαν, οὐχὶ δὲ καὶ τὸν Ἀδὰμ ὁ λό-
γος σαρκωθεὶς παραγέγονε; τί οὖν τοίνυν τοὺς πόδας τῆς κεφαλῆς προτάττεις, καὶ τὴν τάξιν ἀνα-
τρέπεις; γυναῖκας χειροτονεῖς ἀποστόλους; ἠρνήσατο Πέτρος; ἀλλὰ Πέτρου ἡ ἄρνησις ὤνησι.
πικρῶς γὰρ δακρύσας ἐδίδαξε πῶς ἀνύεται ἄφεσις. πάντες αὐτὸν κατέλιπον οἱ ἀπόστολοι,
ἀλλ' Ἰωάννῃ τῷ Θεολόγῳ καὶ παρθένῳ τὴν οἰκείαν κατὰ σάρκα μητέρα παρέθετο. οὐχ ἁπλῶς
ἐπιτέτραπταί σοι προστάττειν τὸ νῦν θεωρούμενον, ἀλλὰ διδάξον τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἀσφα-
λεστέρῳ πόθῳ φυλάττουσαν τὸ κέλευσμα. ναί, φησι· παραλαμβάνω τὸν Παῦλον, καὶ τὴν
ἐκείνου προαρπάζω φωνήν. οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ· οὐκ ἔστιν Ἰου-
δαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔστι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔστιν ἄρσεν, οὐδὲ θῆλυ. πάντες γὰρ (Ρωμ. β. ια.)
ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ. διό, λάμβανε σύντομον, ὦ πιστέ, τὴν ἀπόκρισιν ὧν ζητεῖς, καὶ
ὧν μαθεῖν ἐπεζήτησας. τιμῶ τὴν γυναῖκα διὰ τὸν ἐκ γυναικός, καὶ παραιτοῦμαι τὸ ἀ-
σθενὲς τῆς φύσεως, διὰ τὸν ἐξ αὐτῆς προελθόντα, καθὼς αὐτὸς ὁ τεχθεὶς ᾠκονόμησε. δοῦ-
λος γάρ εἰμι, καὶ νόμοις ἀκολουθῶ δεσποτικοῖς. ὁ ποιητὴς ἐξελέξατο γυναῖκα, καθὼς ἠ-
θέλησε.

θέλησε. περὶ ταύτην'' κἀγὼ διαλέγομαι. οὐκ ἐκτήσατο πατέρα ἐπὶ τῆς γῆς· ἔχει γὰρ ἐν οὐρανῷ. καθὼς οὖν ἀπάτωρ ἐπὶ γῆς, ἀμήτωρ ἐστὶν ἐν οὐρανῷ. ἔλαβεν δὲ ἀνθρώπων μητέρα. χρεία γὰρ ἦν δι' ἡμᾶς ἐκ γυναικὸς προελθεῖν τὸν τοῦ γένους δημιουργόν. ὁ ποιῶν τοίνυν [''ὑμᾶς] τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, ἐν ἀρχῇ τοῦ μυστηρίου, οὐ πρὸς τὸν Ἰωσήφ, ἀλλὰ πρὸς τὴν Μαρίαν τὸν Γαβριὴλ ἀπέστειλε, καὶ τῇ φύσει συνηγορῶν ὡς δεσπότης, καὶ τὰ τῶν βλασφήμων στόματα χαλινῶν, ὡς προγνώστης. τὸν γὰρ διὰ γυναικὸς ἀπατηθέντα, δι' αὐτῆς εἰκότως ἐπιστρέψαι βούλεται. ὤδινεν Εὔα θάνατον, αὕτη δὲ πάλιν τὴν ζωὴν ἡμῖν ἔτεκε διὰ τῆς Μαρίας. ἐλάλησε'' ποτὲ τῷ διαβόλῳ ἐκείνη δι' ὄφεως, νῦν ἄγγελοι πρὸς αὐτὴν διαλέγονται. ξύλῳ γὰρ τὸ ξύλον ὁ Χριστὸς ἀντιστρατεύει, καὶ γεῦσιν ὑμῖν ἀντὶ γεύσεως δέδωκεν, ἵνα βλέποντες ἑκόντα ταπεινούμενον δι' ὑμᾶς, τὸν ὑμᾶς κατ' εἰκόνα ποιήσαντα, ὁμολογήσητε τὴν συγκατάβασιν, καὶ δοξάσητε τὸν οὕτω θελήσαντα, λέγοντες καὶ διὰ τοῦτο, καὶ διὰ πάντα, ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; χαρίζῃ, καὶ οὐ μετρούμενος· ὀργίζῃ, καὶ μετρούμενος· λύεις τὰ σά, ἵνα στήσῃς τὰ ἡμέτερα. Εἶπας πρὸς τὸν Ἀδάμ, Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου· καὶ πάλιν ἀπόφασιν ἔλυσας, ζωῆς γεγονὼς ἄρτος, καὶ σὺ χωρὶς ἱδρῶτος ἐσθιόμενος. Εἶπας αὐτῷ πρότερον, Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ· ἀλλὰ νῦν τὸν ἀπὸ τῆς γῆς καὶ εἰς γῆν ἀναλύοντα ἐπὶ τῶν ὤμων λαβών, εἰς οὐρανὸν ἐνεθρόνισας, διὰ Μαρίας τὸ μέλλον τοῖς μαθηταῖς σου δηλώσας. Ἀναβαίνω πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. Εἶπας πρὸς τὴν Εὔαν, Ἐν λύπαις τέξῃ τέκνα· ἀλλὰ τεχθεὶς ἐκ γυναικός, τὴν χρόνιον κατάραν εὐχερῶς ἠμαύρωσας. Εἶπας πρὸς τὸν ὄφιν, Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν· ἀλλὰ θλίψας ἡμῶν τοὺς πόδας ἐν τῷ βαπτίσματι καὶ οὐκέτι προσέρχεται, χεῖρα δεσποτικὴν ἐν τοῖς ποσὶ τῶν οἰκετῶν λάμπουσαν εὐλαβούμενος. ὢ πῶς οὐκ ἀφίει τῷ διαβόλῳ τόπον φυγῆς, ὁ ἄνω καὶ κάτω καὶ πανταχοῦ παρὼν οἰκονομίᾳ τῆς χάριτος. οὗτος ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ πάντα, ὅσα ἠθέλησεν, ἐποίησεν. ἀλλὰ τί τὸ χαριτοπρεπὲς τῆς παρούσης ἑορτῆς; ὅπερ ἐστὶ καὶ γλώσσῃ καὶ διανοίᾳ πρὸς'' ἔκφρασιν δύσκολον. ἄφνω γὰρ τοὺς μαθητὰς διδάσκοντι, καὶ πρὸς τὴν πάλην ἀλείφοντι, ὡς παιδίσκη τις τοῖς ἀχράντοις ἴχνεσι τοῦ Χριστοῦ ὑπεισελθοῦσα νεφέλη, τὴν πρώην αὐτὸν βαστάσασαν ἀβρόχως θάλασσαν'' μιμουμένη, ἀτρέμως, ἀταράχως τὸν δεσπότην ἀνέλαβε, καὶ τὸν ποτὲ ὡς ὑετὸν ἐπὶ πόκον καταβάντα, τῷ θρόνῳ τῆς μεγαλωσύνης ἐμφανῶς ἀποδίδωκε. τὴν μὲν γὰρ κατάβασιν ἠγνόησαν ἄγγελοι, ἐξουσίαι, δυνάμεις, κυριότητες· τὴν δὲ μετὰ σαρκὸς ἀνάληψιν εὐφημοῦσαι ἐκέκραγον· Κύριος τῶν δυνάμεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. οὗτός ἐστιν ὁ κατὰ τὸν Παῦλον δεύτερος Ἀδάμ. ἀλλ' ἐκεῖνος μὲν ἄνευ μητρὸς τίκτεται, οὗτος δὲ ἄνευ πατρὸς κατὰ τὴν σάρκωσιν φαίνεται. οὗτός ἐστιν ὁ τοῦ γένους κεραμεύς, ὅθεν τὸ φύραμα λαβὼν τὸ ἡμέτερον, ἐν ἑαυτῷ ὡς ἠθέλησε τὸ σαθρωθὲν ἀνεκαίνισεν· οὗτός ἐστιν ὁ τὴν Εὔαν διὰ Μαρίας ἀπαλλάξας ὠδίνων. παρθενία γὰρ διηκόνησε θεότητι, καὶ ποδὸς ἐλειτούργησε τόκῳ, τῷ σαρκωθέντι λόγῳ. πνεῦμα γὰρ ἦν ἅγιον, ὅπερ ἐμαιεύσατο τὴν ἀπειρόγαμον'' παρὰ φύσιν λοχεύουσαν. οὗτός ἐστιν ὁ παθὼν ὡς ἐτέχθη, καὶ ἀναστὰς ὡς ἐτάφη, καὶ ἀνελθὼν εἰς οὐρανούς, οὐχ ὡς κατῆλθεν ἐκεῖθεν, καὶ τοῖς ἀπίστοις Ἰουδαίοις ὄνειδος αἰώνιον καταλιπὼν τὰ ἐντάφια· οὗτός ἐστιν ὁ παρὰ γυναικῶν θρηνούμενος ὡς νεκρός, καὶ ταῖς γυναιξὶ φανερούμενος ὡς Θεός· οὗτός ἐστιν ὁ γενόμενος ἐκεῖνο ὅπερ ἐσμέν, καὶ ποιήσας ἡμᾶς, ὅπερ ἐστίν· οὗτός ἐστι Θεός· πάλιν οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν'' πορευόμενον εἰς τὸν οὐρανόν. οὔτε γὰρ ἀπελείφθη τοῦ θρόνου ποτὲ οὗτος, κἂν λαθὼν τὰ χερουβὶμ κατῆλθε δι' ἐμέ, ἵνα τοῖς ἐμοῖς κοινωνήσας καὶ ἐμέ, τὰ παρὰ φύσιν τῇ φύσει εὐκόλως δωρήσηται. οὗτός ἐστιν ὁ ἀθάνατος νεκρός, ὁ ἀχώρητος Θεός, ὁ συναΐδιος υἱός, καὶ σύνθρονος τοῦ πατρός· περὶ οὗ διαρρήδην ὁ προφήτης ἐβόα,

Εἶπεν

Marginal notes: γρ. ἔχει — γρ. ἡμᾶς — γρ. ποτὲ — Ἰωαν. κ. ιζ. — Γεν. γ. ιϛ. — Γεν. γ. ιε. — γρ. ἴχν[illegible] — γρ. μιμουμένη — γρ. ὑφ' — γρ. αὐτ[illegible] ἐν [illegible]

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. (Ψαλ. ρθ. α.) ἐπιστρέψωμεν τοίνυν ἑαυτοὺς, παρακαλῶ, ἵνα τῆς παρὰ τοῦ πνεύματος συνεργείας ἀπολαύοντες, καὶ τὸν παρόντα βίον ἀλύπως διανύσωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ. ΚΥΡΙΑΚΗ ε. ΤΩΝ νηστειῶν.

Λογ. οε.

(Ex Ms. ἐν Χάλκη νήσῳ τῷ Χαλκηδόνος.)

Ἡκει καιρὸς τῷ παντὶ πράγματι. πρὸς τὴν τῶν καρπῶν συλλογὴν ἐπιτήδειον τὸ θέρος, καὶ τὸ μετόπωρον· πρὸς δὲ τὸν σπόρον, χειμὼν καὶ τὸ ἔαρ· πρὸς δὲ νηστείαν καὶ προσευχὴν πᾶς καιρὸς ἐπιτήδειος. Ἀρθήσεται γὰρ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν. (Ματθ. θ. ιε.) ἰδοὺ καὶ ταῖς λοιπαῖς ἡμέραις, περιέφυγεν ἡμᾶς ὁ πρὸς τὴν νηστείαν καιρὸς ἐπιτήδειος ἐργάσασθαι ἡμᾶς τὸ χωρίον. χωρίον δὲ λέγω τὴν νηστείαν, ἐπειδὴ χωρεῖ πάντας ἡμᾶς. πρὸς τὸν κάματον καὶ τὸν σπόρον οὐ γυναῖκα ἀπωθεῖται, ἀλλ' οὐδὲ γέροντα, οὐ νεώτερον, οὐ παιδάρια μικρά. πᾶσιν ἀνοίγει τὰς θύρας, καὶ πάντας εἰσδέχεται, ἵνα πάντας σώσῃ, ὡς τοὺς Νινευΐτας. καλὸς τῆς νηστείας ὁ σπόρος, ὅτι καὶ τὰς ἁμαρτίας ἡμῶν ὡς ἀκάνθας ἀνασπᾷ, καὶ τὴν δικαιοσύνην ὡς ἄνθος ἀνιστᾷ καὶ βλαστάνει. καλὸς τῆς νηστείας ὁ κάματος, ὅτι κουφίζει τὴν ψυχὴν ἀπὸ βάρους τῶν ἁμαρτιῶν, καὶ φορτίον ἐλαφρὸν τῶν ἐντολῶν τοῦ Χριστοῦ χαρίζεται. Ἄρατε γὰρ τὸν ζυγόν μου ἐφ' ὑμᾶς· ὁ γὰρ ζυγός μου χρηστός ἐστι, καὶ τὸ φορτίον μου ἐλαφρόν. (Ματθ. ια. λ.) ζυγὸς ἡ πίστις ἐστὶ πᾶσιν ἐπικειμένη· φορτίον, τῶν ἐντολῶν τὰ ποιήματα, ὤμοις (αὐτῶν,) ψυχαῖς, βασταζόμενα ἐν ἔργοις; ἐν οὐρανοῖς φανερούμενα διὰ νηστείας. ὁ νομοθέτης Μωϋσῆς τῷ λόγῳ ἐγένετο ἔνδοξος· νυχθήμερα τεσσαράκοντα ἄσιτος διαμείνας; εἶδε Θεὸν εἰς πρόσωπον αὐτῷ ὁμιλοῦντα; νεφέλην ἐπισκιάζουσαν, ἀπὸ δροσινοῦ φάσει ἡλίου λαλοῦντα αὐτῷ τὰ συμφέροντα, στύλον πυρὸς λάμποντα * ἐν νυκτὶ καθοδηγὸν παρεμβολῆς Ἰσραὴλ, οὐρανοῦ πύλας ἀνοιγομένας, ἀγγελικὸν ἐπὶ γῆς καταβαίνοντα ἄρτον, μάννα Θεοῦ μεταλαμβάνοντα ἀνθρώπους, πέτραν σχιζομένην ἐν ῥάβδῳ, καὶ προσφέρουσαν ὕδατα, θάλασσαν γεννῶσαν ξένον βρῶμα, ὀρτυγομήτραν, καὶ τρέφουσαν τὸν λαόν. πολλὰ καὶ ἕτερα σημεῖα εἶδε Μωϋσῆς, διὰ τὸ προσέχειν νηστείᾳ. ἀνατροπὴ θανάτου ἡ νηστεία. Εἶπεν ὁ σωτήρ· Τοῦτο δὲ τὸ γένος τῶν δαιμόνων ἐν οὐδενὶ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. (Ματθ. ιζ. κα.) καὶ τῶν δαιμόνων χεῖρον οὐδέν. δυσμετάθετον ὄρος ὁ δαίμων· ὁ δαίμων ἁπάντων κακῶν χαλεπώτερον τραῦμα, ἐν ἀγοραῖς καταγέλως, ἐν οἴκοις ταπείνωσις, ἐν ἐκκλησίαις διαστροφὴ, ἐχθρῶν καταδρομὴ, ψυχῆς ἀσθένεια; καθημερινὴ ὀδύνη, νοὸς ἐμπόδιον, ἔργων ἐγκώλυμα. πολλὴ ἡ τοῦ δαίμονος ἐπήρεια, ταλαντώδης βουλή. ἀλλὰ τούτων πάντων περιγίνεται ἡ νηστεία καὶ ἡ προσευχή. αὐλούμενος καὶ ψάλλων ὁ Δαβὶδ, τὸν δαίμονα Σαοὺλ τοῦ βασιλέως ἀπήλασεν. Ἀπέστη γὰρ πνεῦμα Θεοῦ ἀπὸ Σαοὺλ, καὶ ἐπνίγετο πνεύματι δαιμονίου πονηροῦ· καὶ ψάλλοντος τοῦ Δαβὶδ, ἀνέψυξεν ὁ βασιλεύς. (α. Βασ. ις. ιδ.) ὅτι καὶ ἐνήστευσεν ὁ βασιλεὺς Δαβὶδ, ἄκουε αὐτοῦ γράφοντος ἐν τοῖς ψαλμοῖς· Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. (Ψαλ. ρη. κγ.) εἰ ἐνήστευσεν ὁ Ἀδὰμ ἀπὸ τοῦ ξύλου, οὐκ ἂν τὸν παράδεισον ἀπώλεσεν· εἰ μὴ ἔφαγεν ἡ Εὔα ἀπατηθεῖσα ὑπὸ τοῦ ὄφεως, οὐκ ἂν θάνατον τῷ κόσμῳ ἐπήγαγεν· εἰ πρὸς νηστείαν ἔκλινεν Ἡσαῦ, οὐκ ἂν τὰ πρωτοτόκια ἀπώλεσεν. διὰ μίαν βρῶσιν δόξαν ἀπώλεσε, καὶ δοῦλος ἐγένετο τοῦ ἀδελφοῦ αὐτοῦ. θέλεις ἰδεῖν τῆς νηστείας τὴν ἰσχύν; δράμε πρὸς Νι-

νευΐσαι τότε χρησιμεύσοντας αὐτῇ, εἰς κοινὸν κατόρθωμα. ὅτε γὰρ ἠβουλήθη ὁ Θεὸς διὰ τὰς ἁμαρτίας αὐτῶν καταστρέψαι τὴν Νινευΐ, πέμπει Ἰωνᾶν τὸν προφήτην, καὶ λέγει αὐτοῖς· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. καὶ φιλανθρωπία Θεοῦ, ὃ μέλλει ποιεῖν, σαλπίζει, καὶ τοῖς χρεώσταις τούτου προλέγει τὸν θάνατον, οὐχ ἵνα φύγωσιν ἐκ τῆς πόλεως, ἀλλ᾽ ἵνα μετανοήσωσιν ἐν τῇ πόλει, ἵνα διεγερθῶσι καὶ σπουδαιότεροι γένωνται πρὸς τὸν λόγον. οὐκ εἶπε, νηστεύσατε, καὶ σώζω ὑμᾶς· οὐκ ἐδήλωσε, μετανοήσατε, καὶ ἐλεηθήσεσθε· ἀλλ᾽ ἔκρυψε τὴν φιλανθρωπίαν, καὶ ἐκήρυξε τὴν ἀποτομίαν, ἵνα μή τις εἴπῃ, ἠνάγκασεν αὐτοὺς νηστεῦσαι, ἢ μετανοῆσαι, καὶ Θεὸν σέβειν. καὶ τὸ ἐξ ἀνάγκης οὐκ ἔστιν ἱλαρόν. οὐ γὰρ ἐκ λύπης, οὐδ᾽ ἐξ ἀνάγκης. Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. σύντομος ἡ ἀπειλή, ἄδικος ἡ προθεσμία καταπτόδας. τί ἂν ἦχες ποιῆσαι; ἐκ ποίων κόλπων πηδῆσαι; στρατόπεδον ἰσχυρὸν αἰτήσηται καὶ λέγοντι· τίς πρὸς Θεὸν ὁ ἀνταποκρινόμενος; ἀψευδὴς ὁ λαλῶν. ἀλλ᾽ εἰ Θεὸς ὁ ἀπειλῶν, λέγουσιν ἐν ἑαυτοῖς, τίνα φυγὴν τοῦ κακοῦ εὑρήσομεν; ἐν ποίῳ παραταξόμεθα πολέμῳ; τίς πρόμαχος γενήσεται ἡμετέρων ψυχῶν; τίς δυσωπήσει τὸν Θεὸν κατὰ πάντων παῦσαι τὴν ὀργήν; ποῖον παράκλητον πέμψομεν πρὸς τὸν Θεὸν καταλλάξαι εἰς εἰρήνην; ἡμεῖς πάντες ἁμαρτωλοὶ τυγχάνομεν· ἐχθροὶ ὄντες τοῦ Θεοῦ οὐκ εἰσακουόμεθα. τί ποιῶμεν; ποῦ φύγωμεν ἀπὸ προσώπου Κυρίου; δεῦτε, δράμωμεν πρὸς νηστείαν, ὦ ἄνδρες Νινευΐται, λέγει ὁ βασιλεύς, καὶ σποδὸν ὑποστρωσώμεθα, καὶ τὰ πρόβατα καὶ οἱ βόες μὴ νεμέσθωσαν, μηδὲ πινέτωσαν· καὶ ἴδωμεν, εἰ ἐλεήσει ἡμᾶς ὁ Θεός. ταῦτα λογισάμενοι οἱ Νινευΐται, καὶ ποιήσαντες νηστείαν, ὡς ὀξύτατον βέλος, καὶ προσευχὴν ἑτοιμάσαντες, ὡς θυμίαμα εὐῶδες, δάκρυα μετανοίας, ὡς ποταμοὺς ὑδάτων καταγαγόντες, καὶ ὑποστρέψαντες ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, ἐδυσώπησαν τὸν Θεὸν εἰς εἰρήνην καταλλάξαι. αἱ τρεῖς ἡμέραι τῆς νηστείας ἀνῆλθον εἰς τοὺς οὐρανούς, ἤγγισαν τῷ δεσπότῃ, ἔλαβον παρ᾽ αὐτοῦ σωτηρίαν. ἐχαρίσατο πᾶσι ζωήν, ἀνθρώποις καὶ κτήνεσι. ἡ μετάνοια ἔλαμψε, καὶ ἡ νηστεία. ὅρα μὴ καταφρονήσῃς τοῦ κτίσματος, ἀλλὰ πρόσελθε, γρηγόρησον, καὶ ποίησον εἰς αὐτὸν καρπὸν εὐσεβείας. εὐξώμεθα οὖν ὁμοθυμαδὸν πάντες, ἵνα καὶ ἡμεῖς ῥυσθῶμεν τῆς ἐπικειμένης ὀργῆς, καὶ ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰωαν. γ. δ.

β. Κορ. θ. ζ.

χ. κλιν... τους αὐτῶν

ἴσ. ἔχεις

Λογ. ος.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ.

Ex Ms. ἐν Χάλκῃ νήσῳ τῆς Χαλκηδόνος.

Ἱλασμοῦ ὁ καιρός, καὶ μὴ παρίδωμεν τὸ εὔκαιρον· ἀνακλήσεως ἁμαρτημάτων ὁ καιρός, καὶ μὴ παρενοχλήσωμεν τὴν χάριν· ἀλλὰ νηστεύσωμεν ἀπὸ βρωμάτων, καὶ περισσότερον ἀπὸ ἁμαρτημάτων. πρῶτον γὰρ ἀγαθόν, ἀπαλλαγὴ κακῶν. κακία δέ ἐστι, τὸ ἀντικείμενον τῇ ἀρετῇ, φθόνος καὶ κλοπή, καὶ φόνος καὶ πόλεμος, καὶ ὅσα κακὰ λέγεται καὶ ἔστιν. ὁ ὢν ἐν κακοῖς, τιμωρίαν ἔχει τὴν κακίαν. καὶ γὰρ πρὸ γεέννης κόλασις, ἡ παρουσία τῆς κακίας. οὐδὲ γὰρ ἰατροῦ τμῆσις κακή· ἀλλὰ διὰ τὴν προηγησαμένην κακίαν ἐπιφέρεται ἡ κόλασις. πρῶτον κακόν, τὸ ἐν κακίᾳ ἐξετάζεσθαι. ὁ ἀσεβὴς ἀλλότριος Θεοῦ ἐστι· κἂν μὴ βληθῇ εἰς γέενναν, τῶν ἀγαθῶν ἀπεστέρηται. ὁ μὴ σωφρονῶν, λυμαίνεται ταῖς ἐπιθυμίαις· ὁ φθονῶν, τήκεται τῷ πάθει· ὁ κλέπτων, αἰδεῖται καὶ φοβεῖται· ὁ φονεύων, οὐ πιστεύει αὐτοῦ τῇ ζωῇ. πρῶτον κακόν, τὸ κακὸν εἶναι. κἂν μὴ τέμῃ ὁ ἰατρός, νοσεῖ ὁ νοσῶν· κἂν μὴ τιμωρήσηται ὁ Θεὸς (μακροθυμεῖ γάρ) ἐν νόσῳ ἐστὶν ὁ ἁμαρτάνων. Ὁ ποιῶν γάρ, φησι, τὴν ἁμαρτίαν, δοῦλός ἐστι τῆς ἁμαρτίας. οὐκοῦν περὶ τῆς ἁμαρτίας δεδούλωται ὁ ἁμαρτάνων,

Ἰωαν. η. λδ.

ἴσ. τῶν ... ἐργάζ...

τελῶν, καὶ ἤδη ἔχει τὴν ἀμοιβήν. καλὸς ὁ τῆς νηστείας χαλινὸς τοῖς ἀγαπῶσι τὴν ἀπὸ τῆς νηστείας ὠφέλειαν. μὴ πρόσεχε μόνῳ τῷ ἐπιπόνῳ, ἀλλὰ καὶ τῷ καρπῷ. εἰ γὰρ μὴ τῇ χρείᾳ προσεῖχέ τις, οὐκ ἂν ἔσπειρεν ὁ σπείρων, ἵνα μὴ δοκῇ σκορπίζειν τὰ ἀποκείμενα. ἀποβλέπων εἰς ἐλπίδα, σπείρει ἃ εἶχεν, ἵνα θερίσῃ ἃ οὐκ εἶχεν. ἀλγεῖ ἡ σὰρξ ἐν νηστείαις, ἀλλ᾽ εὐφραίνεται ἡ ψυχὴ τῇ ἐλπίδι τῶν ἀγαθῶν. τί κρεῖττον ἐν ἡμῖν, ψυχὴ ἢ σῶμα, ἥτις κἂν τὸ μὴ ἀλγεῖν ἔλαβε, τρέφεται δὲ τῷ κάλλει τῶν ἀρετῶν μετὰ κρείττονος τῆς περιουσίας; δεῖ ἡμᾶς εἶναι ἐν νηστείᾳ, ἥτις τοῦ σώματος οὐκ ἔστι φθορά, ἀλλ᾽ ἴασις καὶ θεραπεία. οἱ νηστεύοντες, καὶ ῥευμάτων σωματικῶν ἀπαλλάττονται· οἱ ἀσχολοῦντες τήκουσι τὸ περιττὸν τῶν σαρκῶν, καὶ τρέφουσι τὸ ἐλλεῖπον τῆς ψυχῆς. ἀεὶ ἡ ψυχὴ τοῦ σώματος κήδεται· τρέφει δὲ ἑαυτῇ, καὶ ἑαυτῇ φροντίζει. ἡ ψυχὴ τῷ σώματι εὐτρεπίζει σῖτον, καὶ ἑαυτῇ εὐτρεπίζει λόγον. εἰ γὰρ σώματος ἐπιμελεῖται, πολλῷ μᾶλλον πρέπει αὐτῇ ἑαυτῆς κήδεσθαι. ἡ παρὰ τοῦ Θεοῦ τάξις, τὸ ψυχὴν κρατεῖν σώματος. οἱ προτιθέμενοι τὸ σῶμα περὶ τῆς ψυχῆς, ἀνατρέπουσι τὴν ὀρθὴν τάξιν. οὐκ αὐτὴ σώματι δουλεύει, ἀλλ᾽ ἣ ἐγένετο μὲν ἐξ ἀρχῆς ὀρθή, καὶ ἀεὶ τῇ ψυχῇ ἦν τὸ σῶμα ὑποτασσόμενον. εἰ δὲ μὴ τοῦτο πείθει σε, κἂν γνῶθι τὰς ἑορτάς, ἃς ἑορτάζει ἡ ψυχὴ κατὰ τοῦ σώματος, τοῦτο πληροφορείτω σοι, ὅτι καὶ αὐτὴ φρονεῖ κατὰ τοῦ σώματος. σῶμα σώζεται, ὅταν τραπῇ τὸ σῶμα τῆς ψυχῆς, καὶ αὐτὴ ἀπόλλυται. μὴ νομίσωμεν μικρὸν κέρδος εἶναι νηστείαν. ἑνὸς ξύλου εἰ ἀπέσχετο Ἀδάμ, καὶ ἀπὸ ἑνὸς ἐνήστευσε, τεθνήκει ἂν ὁ θάνατος, μᾶλλον δὲ οὐ τεθνήκει ὁ μὴ ὤν. ὁρᾷς εἰ τούτῳ ἐχρήσατο τῷ φαρμάκῳ ὁ Ἀδάμ, οὐκ ἂν γέγονε τὸ γένος ἡμῶν θνητόν; ὅσης χάριτος γέγονε χρεία, ἵνα ἀναλυθῇ ὃ ἐφεῦρεν ὁ Ἀδὰμ δι᾽ ἀκρασίαν. ὅταν ἴδῃς ὅτι κακὸν εἰργάσατο τὸ ἐναντίον, τουτέστι, τὸ μὴ ἀπέχεσθαι ἑνὸς ξύλου τὸν Ἀδάμ, ἐπίγνωθι ὅσον ἀγαθὸν ἡ νηστεία, καὶ ἡ ἀποχὴ ὧν ἔξεστιν. ὁ μὲν γὰρ Ἀδάμ, οὗ οὐκ ἐξῆν ἁψάμενος, ἀπώλεσε τὸ γένος· ἡ δ᾽ εὐεργεσία καὶ ὧν ἔξεστιν ἀποστήσασα, ἀνακαλεῖται τὸ παράπτωμα. εἰ δὲ καὶ Ἡσαῦ ἐνήστευσεν, οὐκ ἐπίπρασκε τὰ πρωτοτόκια· ἀλλὰ ἐδωδῆς ἥττων γενόμενος, τὸ ἀπὸ φύσεως πλεονέκτημα ἀντὶ φακῶν πέπρακε. τοῖς πεπαιδευμένοις γραφὰς ταῦτα ἐπιτρέπω. τί κατήνεγκε τοῖς Ἰουδαίοις ἀπὸ τοῦ ὄρους Μωϋσῆς; νόμον καὶ νηστείαν γενομένην ἐπὶ τεσσαράκοντα ἡμέρας. ἀλλὰ πρὶν ἢ κατενεχθῆναι ὁ νόμος, ὤφθη ὁ λαὸς ἀσεβήσας. ἡ πρώτη ἐντολή, Κύριος ὁ Θεὸς εἷς ἐστι· καὶ οἱ μέλλοντες δέχεσθαι τὴν τοιαύτην ἐντολήν, λέγουσιν, Οὗτοι οἱ θεοί σου. μεγάλη ἀσθένεια. περὶ γὰρ Θεοῦ ζῶντος μίμημα μόσχου προσετιμήθη. τί οὖν ἐστι τὸ φάρμακον τοῦ τοσούτου κακοῦ; πάλιν νηστεύει Μωϋσῆς ὁ μὴ ἁμαρτήσας, καὶ συγχωρεῖται τοῖς ἁμαρτήμασι. τοῦ παλαιοῦ νόμου ἡ ῥίζα. ἀπὸ νηστείας ἤρξατο τῆς καινῆς διαθήκης τὸ κήρυγμα, ἀπὸ νηστείας εἴληφε τὴν ἀρχήν. βαπτισθεὶς γὰρ ὁ Σωτὴρ δι᾽ ἡμᾶς, καὶ εἰς ἔρημον ἀπελθών, τεσσαράκοντα ἐνήστευσε, καὶ οὕτω τῶν σημείων ἤρξατο, οὐκ αὐτὸς χρῄζων νηστείας, ἡμᾶς δὲ διδάσκων εἰς δύναμιν νηστείας ἔχειν τὴν ἐλπίδα. εἰ τοίνυν ἡ παλαιὰ ἀπὸ νηστείας ἄρχεται, καὶ ἡ καινὴ ἀπὸ ταύτης τίθεται τὸν θεμέλιον, μὴ νομίσωμεν κακὸν εἶναι τὴν νηστείαν. δυσχεραίνουσί τινες, τὸν ἐπίπονον νόμον ὁρῶντες, καὶ οὐχ ὁρῶσι τὸ ἐκ τοῦ νόμου τούτου προσγινόμενον κέρδος. οὐχ ὁρᾷς ὅτι καὶ λέοντες ἐν λάκκῳ ἐπείσθησαν νηστεῦσαι, καὶ οὐχ ἥψαντο τοῦ Δανιήλ; εἰ δὲ λέοντες πειθαρχοῦσι τῷ προστάγματι, καὶ τῆς ἀγριότητος τὴν φύσιν ἐξέθεντο, καὶ εἰσὶν ὡς γνώριμοι, καὶ οὐκ ἐπέρχονται ὡς ἀλλότριοι, σπεύσωμεν ἐπὶ νηστείαν προσαχθέντες. πάλιν γέγραπται, ὅτε Ἱεροβοὰμ ὁ βασιλεὺς τῆς Ἰουδαίας ἠσέβησε, μόσχον προσκυνῶν κατὰ κληρονομίαν πατρικήν, ἐπέστη προφήτης, καὶ τῷ βασιλεῖ καὶ τῷ λαῷ εἶπεν οὐδέν, εἰδὼς ὅτι ἀπειθεῖς καὶ ὁ ἄρχων καὶ οἱ ἀρχόμενοι· ἐάσας δὲ τοὺς μὴ ἀκούοντας ἀνθρώπους, λέγει πρὸς τὸ θυσιαστήριον, [τουτέστι, πρὸς τὸν βωμόν,] ἵνα δείξῃ ὅτι οἱ λίθοι μᾶλλον ἀκούουσιν ἢ οἱ ἄνθρωποι, λέγει, Γεννηθήτω Ἰωσίας, καὶ τὰ ὀστᾶ τῶν θυόντων καύσει ἐπὶ τὸν βωμόν. ἐξεδέξατο τὴν ἀτιμίαν, καὶ ἠγανάκτησεν ὁ ἐλεγχόμενος· δυνάμει ἥπλωσε τὴν χεῖρα, ἵνα

ἀναστρέψῃ τὸν εὐεργέτην, τὸν προφήτην. ἥπλωσε μὲν, οὐκ ἐδυνήθη δὲ κάμψαι. ἡ γὰρ ἁμαρτία
ἐξήρανεν αὐτοῦ τὴν χεῖρα. φθέγγεται ὁ ἐκτείνας τὴν χεῖρα, κρατῆσαι τὸν προφήτην, καὶ ἅμα
τῷ βοῆσαι, ἰᾶται τὴν χεῖρα ὁ προφήτης, καὶ λέγει αὐτῷ ὁ βασιλεύς· ἄνελθε μετ᾽ ἐμὲ εἰς
τὸν οἶκον· γεῦσαι ἄρτον καὶ πίε ὕδατος, καὶ οὕτω πορεύσῃ. ἀποκρίνεται ὁ προφήτης, πρό-
σταγμα ἔχω Θεοῦ ἐν τοῖς τόποις τούτοις, ἐν οἷς ἀσέβεια πολιτεύεται, μὴ γεύσασθαι ὕδα- 5
τος καὶ ἄρτου. ἀναχωρεῖ ὁ προφήτης. πρόσεχε δὲ τῷ τέλει τοῦ λόγου. ἄλλος προφήτης
ἀκούσας ὅτι προφήτης παραγενόμενος τοιαῦτα εἶπε, διώκει καὶ καταλαμβάνει, καὶ παρακα-
λεῖ τὸν προφήτην εἰσελθεῖν καὶ γεύσασθαι μετ᾽ αὐτοῦ, καὶ πείθει. ἔπεισε δὲ εἰπὼν, ὅτι κἀ-
μοὶ Κύριος εἶπε τοῦτο ποιῆσαι. εἰσῆλθε καὶ ἔφαγεν· ἐν δὲ τῷ ἐσθίειν μετέρχεται τὸ πνεῦμα
τὸ ἅγιον ἐπὶ τὸν καλέσαντα προφήτην, καὶ λοιπὸν προφητεύει, οὐ τὰ ἀπὸ καρδίας, ἀλλὰ 10
τὰ ἀπὸ πνεύματος, καί φησι πρὸς ἐκεῖνον τὸν εἰσελθόντα καὶ φαγόντα· ἐπειδὴ οὐκ ἤκουσας
Κυρίου τοῦ Θεοῦ σου, καὶ ἔφαγες ὅπου ἐκελεύσθης μὴ φαγεῖν, ἀπέρχῃ ἐντεῦθεν, καὶ ἐσθίει σε
λέων. ὁρᾷς τὸ παριδεῖν προστάγματος νηστείας, ὅσον κακὸν προξενεῖ; ἀναχωρεῖ ὁ προφή-
της, καὶ οὐ παρέστη αὐτοῦ τὸ ἀξίωμα τῆς προφητείας διὰ τὴν παρακοήν. ἐξῆλθε λέων, οὐχ
ἵνα φάγῃ, ἀλλ᾽ ἵνα δείξῃ ὅτι αὐτὸς προστάγματος ἀκούει, καὶ μετέρχεται τὸν μὴ ἀκούσαντα, καὶ 15
ἐφήψατο τοῦ σώματος τοῦ παρακούσαντος ἐπὶ τοσοῦτον, ὡς ἀνελεῖν μόνον. καὶ ἀνεῖλεν ἵνα κολάσῃ
τὸν παρακούσαντα· ἀνελὼν δὲ προσεταρχήσατο ὁ λέων τῇ νηστείᾳ ἀντὶ τῆς τρυφῆς τοῦ παρα-
κούσαντος. ἔκειτο γὰρ νεκρὸς ὁ προφήτης, εἱστήκει δὲ ἡ ὄνος αὐτοῦ ζῶσα· οὐχ ὅτι οὐκ ἦν
εὐμαρέστερον ὄνον ἀποκτεῖναι ἢ ἄνθρωπον, ἀλλ᾽ ὁ ἄλογος λέων προστάγματι διέκρινε, καὶ τὴν
μὴ ἁμαρτήσασαν ὄνον οὐκ ἀπέκτεινεν, οὐδὲ ἥψατο, τὸν δὲ παρακούσαντα, οὐκέτι προφή- 20
την, ὅσον εἰς παρακοὴν, ἀπέκτεινε. καὶ ἦν ἰδεῖν περὶ αὐτοῦ τριπλᾶ θαυμάσια· ἔκειτο ὁ προ-
φήτης μηνύων τὴν παρακοήν· παρεκαθέζετο ὁ λέων, μηνύων τὴν ὑπακοήν· παρειστή-
κει δὲ ἡ ὄνος, οὔτε τὴν φύσιν τοῦ λέοντος φοβουμένη, οὔτε ἀναχωροῦσα, οὔτε πάσχουσά τι ὑπὸ
τοῦ λέοντος, ἵνα φανῇ ὅτι οὐ διὰ τὴν ἔννοιαν τῆς γαστρὸς ὁ λέων ἐπῆλθεν, ὡς ἐπῆλθεν, ἀλλὰ
διὰ τὸ μὴ προσεδρεῦσθαι νηστείαις τὸν κελευσθέντα μὴ γεύσασθαι. πάλιν ἀνελήφθη Ἠλί- 25
ας ὡς ἐπ᾽ οὐρανόν. τί δὴ τὸ σημεῖον τῆς ἀναλήψεως, ἢ τῶν τεσσαράκοντα ἡμερῶν ἡ νηστεία;
εἰ Μωϋσῆς νηστεύει, καὶ Ἠλίας ἐπινηστεύει, καὶ ὁ Κύριος ἐπισφραγίζει, καλὴ ἡ μίμησις. καί-
τοι οὐκ ἂν ἀπολούμεθα τὰς ἀναπαύλας τὰς ἐν τῷ μεταξύ. οὐ γὰρ τεσσαράκοντα ἡμέ-
ρας νηστεύομεν, ἀλλὰ διαστήματα ἐγκαταλιπόντες ἐν μέσῳ, τὸν μὲν ἀριθμὸν συνάπτομεν,
τὴν δὲ νηστείαν οὐ διακρίνομεν. μεγάλα τὰ πρὸ ἡμῶν, μικρὰ τὰ παρ᾽ ἡμῶν. ἐὰν δὲ καὶ τῶν μι- 30
κρῶν ἀποτυγχάνωμεν, φανερῶς ἀλλότριοι τῶν νηστευσάντων ἐγινόμεθα. οὐδεὶς ἡμῶν νηστεύει
τεσσαράκοντα ἡμέρας. ἐπὶ γὰρ τεσσαράκοντα διαστήματα ἀναπαυόμεθα, ὥσπερ οἱ ὁ-
δεύοντες, καθ᾽ ἑσπέραν αὐλιζόμενοι, καὶ πάλιν ἀρχόμενοι. εἰ δὲ ἐκεῖνοι καὶ τὰς τεσσαρά-
κοντα ἐνήστευσαν, ἡμεῖς δὲ οὐδὲ μετ᾽ ἀναπαύσεως τὴν αὐτὴν ὁδὸν ἐκείνοις ὁδεύομεν, μηδὲ
τολμήσωμεν μνημονεῦσαι, ὧν τὴν μίμησιν οὐκ ἔχομεν. νηστεία ἀγγέλων ἐστὶ κατὰ τὸ δυνατὸν 35
μίμησις, καταφρόνησις τῶν παρόντων, σχολὴ προσευχῆς, τροφὴ ψυχῆς, χαλινὸς σώματος, καὶ
πραΰτης ἐπιθυμίας. καὶ οἴδασιν οἱ νηστεύοντες, ὅτι πραΰνει τὰς ἡδονάς, καὶ οὐκ ἀγνοοῦσιν οἱ
πειραθέντες. μαλάσσει θυμὸν, συνδάκνει τὴν ὀργὴν, καὶ καταπαύει τὰ φυσικὰ κύματα, ἀνε-
γείρει τὸν λογισμὸν, καὶ φαιδρὰν ἀπεργάζεται τὴν ψυχὴν, κουφίζει τὴν σάρκα, ἀπελαύ-
νει ἀκρασίας αἰσχρὰς τὰς νυκτερινὰς, ἀπαλλάσσει μέθης, ῥύεται κεφαλαλγίας· φαιδρὰ φέ- 40
ρει καὶ τὰ χρώματα, καὶ τὰ βλέμματα. εὔτακτα ἐν νηστείαις τὰ κινήματα, εὔκολος ἡ γλῶσ-
σα, μὴ διαστρεφομένη ἀπὸ οἴνου, ὀρθὸς ὁ λογισμός. οὐ γὰρ ἐκχέονται αἱ ἐπιθυμίαι. χο-
ρεύει ἐν σωφροσύνῃ, γαλήνην κρατεῖ. ὁ γὰρ ἔξω ἄνθρωπος σχολάζει· καὶ ὧν μὲν πάσχομεν ἐν
μέθῃ, οὐ μεμνήμεθα, ὧν δὲ ἀπαλλαττόμεθα ἐν νηστείαις, ἔχομεν τὴν ὑπόμνησιν. ἡ γὰρ νηστεία

καὶ

τὸ ἑαυτὴν γινώσκει, καὶ τὰ ἀποκείμενα· μάθη δὲ ἑαυτὴν ἀγνοοῦσα, καὶ τὰ ἀπὸ νηστείας ἀγαθὰ
ἀγνοεῖ. τίνος χάριν, εἰπέ μοι, ἀνῃρέθησαν καὶ υἱοὶ Ἀαρὼν καὶ ἱερεῖς; οὐχ ὅτι ὑποπυρωθέντες
οἴνου ἐγεύσαντο; τίς ἦν νόμος τῶν Ναζωραίων; οὐχὶ οἴνου ἀπέχεσθαι, καὶ πάντων τῶν ἀπὸ
οἴνου; καὶ περὶ Δανιὴλ σπέρματα ἤσθιον, καταφρονοῦντες τραπέζης τυραννικῆς τοῦ Να-
βουχοδονόσορ. ἐνήστευσε τρεῖς ἑβδομάδας ἡμερῶν Δανιὴλ ὁ ἀνὴρ τῶν ἐπιθυμιῶν. ὅτι ἐπιθυμιῶν
ἀπείχετο, ταύτην τὴν ἐσχάτην προσηγορίαν ἐδέξατο. ἐνήστευσεν οὐ μίαν ἡμέραν Ἰουδαϊ-
κὴν, οὐ πτωχὴν, ἀλλὰ τρεῖς ἑβδομάδας ἡμερῶν, τὴν ἐκκλησιαστικὴν καὶ αὐτὸς προτυπῶν
ὁδόν. Ἄρτον, ἔφην, ἐπιθυμιῶν οὐκ ἔφαγον· καὶ δὲ ποιοῦσιν εἰς ἐπιθυμίας πρὸς τὸν και- ** Δαν ι. γ. **
ρόν. Οἶνος καὶ κρέα οὐκ εἰσῆλθον εἰς τὸ στόμα μου, ὧν νηστεύει ἡ ἐκκλησία. ὅρα ἐν τῇ πα-
λαιᾷ πολιτείαν χριστιανικήν. ἐν μὲν γὰρ τοῖς ἀσθενοῦσι καὶ τύποι, ἐν δὲ τοῖς προφήταις ἤ-
δη τῆς ἀληθείας τὰ ἴχνη. ἡ νηστεία ἀπόφασιν Θεοῦ ἀνεκαλέσατο. εἶπε γὰρ ὁ Θεὸς, κα-
ταστρέφεται Νινευὶ, καὶ οὐ κατεστράφη. προσήνεγκαν γὰρ νηστείαν, καὶ ἐξέφυγεν Ἰωνᾶς, φο-
βηθεὶς τὴν ἀπὸ τῆς νηστείας βοήθειαν. καὶ γὰρ κατέπιεν αὐτὸν κῆτος, κατέπιε δὲ νηστεύοντα. ὁ γὰρ
καταπιὼν οὐκ ἐχρήσατο τῇ θήρᾳ εἰς βρῶσιν, ἀλλ' ἀπέθετο καὶ ἐτήρησε τὴν παρακαταθή-
κην τῷ δεσπότῃ, τὸ τὸν μὴ θελήσαντα δι' ἑαυτοῦ ἀπελθεῖν, ἀπήγαγεν ὅπου προσετάχθη. ἤ-
κουσε Νινευὶ ἡ πόλις ἡ μεγάλη ἑνὸς προφήτου γυμνοῦ, ὃς ἦν ἀπὸ κήτους ἐξελθὼν, οὐδὲ
χρῶμα ἀνθρώπου σώζων διὰ τὸν φόβον. εἷς προφήτης ἐπέβη ἐκεῖ, καὶ τὸ σημεῖον, ὅπερ
πεποίηκεν, ὁ καιρὸς ἐνεδείξατο. ἀλλὰ καὶ εἶπεν, ὅτι καταστρέφεται ἡ πόλις. προλαβὼν
ὤφειλεν αὐτοὺς ἀπαγαγεῖν τῆς πίστεως. καὶ δὲ ἤκουσαν ἑνὸς προφήτου, καὶ ἀνεκήρυξαν φάρ-
μακον κωλυτικὸν τὴν νηστείαν τῆς καταστροφῆς. ὁ Ἰωνᾶς ἐφιλονείκει, οὐχ ἵνα καταστραφῇ ἡ
Νινευὴ, ἀλλ' ἵνα ἐλεγχθῇ ἐκ παραθέσεως Ἰσραήλ· ὅτι τὰ ἔθνη ἑτοίμως ὑπακούει καὶ ἑνὶ
προφήτῃ, Ἰσραὴλ δὲ τοσούτων προφητῶν παρήκουσε. προσηνέχθη νηστεία, ἵνα ἀναλυθῇ τοῦ
Θεοῦ ἡ ἀπόφασις. ἦν δὲ ἡ νηστεία οὐχ ἁπλοῦν, ἀλλ' ἀποχὴ μὲν βρωμάτων, ἀποχὴ δὲ καὶ ἁμαρ-
τημάτων. ὁ γὰρ δι' ἁμαρτίας νηστεύων, καὶ ἐν ἁμαρτίαις κυλιόμενος τί ἔτι ποιεῖ; ὡς εἴ τις ἀ-
πὸ βορβόρου λουσάμενος, πάλιν τῷ βορβόρῳ ἐγκυλίεται. αὐτῆς τῆς ἁμαρτίας δεῖ πρότερον
ἀπέχεσθαι. τί γὰρ ὠφέλησεν ἐν ἄλλαις ἡμέραις ἁμαρτία προσαρθεῖσα, ἵνα πάλιν αὐ-
τὴν ἐπιποιήσωμεν, μετὰ τὰ δείγματα τὰ πρότερα; οὐκ ἀσθενεῖ ἡ ψυχὴ ἐπὶ ταῖς προλαβούσαις
πληγαῖς; οὐχὶ δεόμενοι αἰτούμεθα, ὅτι ἡμαρτήκαμεν; εἰ ἐπὶ τὰ πρότερα μετανοοῦμεν, τὰ
δεύτερα ἵνα τί συνάγομεν; γέγραπται πάλιν, ὅτι ἀπέχοντο βρωμάτων, ἀπέχοντο καὶ ἁμαρ-
τημάτων. ἐπήκουσεν ὁ Θεός· ἴσχυσεν ἡ νηστεία προστρέψασθαι τὸν δεσπότην. ὁ Ἰωνᾶς ἠ-
γριάθη, ὅτι προφήτης ἤμελλεν ἀκούειν· ὁ δὲ Θεὸς ἐναλλάξας τὴν ἀπόφασιν, οὐ κατώκνησε
σῶσαι. οὐδὲ γὰρ ἦν ψεύσασθαι Θεὸν, ἀλλ' ἀληθεύει ὁ εἰπών· Ἐὰν ἐξαίφνης εἴπω κατ' Ἱερ. α. ι.
ἔθνος καὶ βασιλείας καταστρέψαι καὶ ἐκριζοῦν, καὶ μετανοήσει τῆς κακίας, μετανοήσω κἀγὼ
ὧν ἀπεφηνάμην. οὐκ ἐψεύσατο ὁ Θεὸς ἀνακαλεσάμενος τὴν ἀπόφασιν. οὐδὲ γὰρ ἔ-
πεμψε τὸν προφήτην, ἵνα καταστραφῇ Νινευὴ (τί γὰρ ἀναγκαῖον προειπεῖν;) ἀλλ' ἐπειδὴ οὐκ
ἤθελε καταστρέψαι, ἠπείλησεν ὅτι καταστρέφω, ἵνα μετανοήσαντες μὴ καταστραφῶσιν. οὐκ
ἔφαγεν Ἀδὰμ ἀπὸ τοῦ ξύλου, καὶ τότε αὐτὸν ἐτιμωρήσατο ὁ Θεὸς, ἀλλὰ προείρηκεν ὅτι ἐὰν
φάγῃς, ἀποθανεῖ, ἵνα μὴ φάγῃ. οὐκ ἤκουσε τοῦ εἰπόντος, ἔφαγεν, ἐβρώθη. οὐκ ἔστιν ἐγ-
καλέσαι, ὅπου ἐστὶ προαίρεσις. ἀλλ' οὐκ ᾔδει, φησί τις, ὅτι ἤμελλεν ἐσθίειν; τάχα αἱρετικὸς
ὁ λέγων καὶ καταντρέχων τῆς παλαιᾶς; πρὸς ὃν ῥηθήσεται, εἰ ᾔδει οὕτως ὁ σωτὴρ, ὅτι Ἰούδας ἔ-
μελλε προδιδόναι, πῶς τοῦτον ἐξελέξατο; ἀλλὰ τάχα πρὸς τὸν αἱρετικὸν ἀπολογησόμεθα,
ἀντιθέντες τὰ τοῦ Ἰούδα τοῖς κατὰ τὸν Ἀδάμ. ἆρ' οὕτως αὕτη λύσις ἐστὶν, ἢ διπλοῦς δεσμός; δεῖ
οὕτως ἡμᾶς ἀπολογήσασθαι, καὶ διὰ τί τὸν Ἰούδαν τοιοῦτον ὄντα ἐξελέξατο, καὶ διὰ τί, εἰ-
δὼς ὅτι ἁμαρτάνει ὁ Ἀδὰμ, ἐν παραδείσῳ τοῦτον τέθεικε. δεῖ δὲ τὰ μεγάλα ζητήματα κι-

ἐστὶν ἐν νηστείαις, ὅτε νήφει ἡ ψυχή. ᾔδει ὁ σωτὴρ (ἐντεῦθεν γὰρ ἀρκτέον) ὅτι Ἰούδας προδίδωσι. τί οὖν λέγετε; ὑπερβολὴν φιλανθρωπίας περιϊστῶν, ὅτι ὅσον μὲν εἰς ἐμέ, καὶ ἀπόστολος εἶ, καὶ μετὰ μαθητῶν σε ἀριθμῶ· εἰ δὲ ἀνάξιον σαυτὸν ἀποφαίνεις, ἐμοῦ μὲν φαίνεται ἡ ὑπερβολὴ τῆς φιλανθρωπίας, σοῦ δὲ ἡ ὑπερβολὴ τῆς κακίας. καὶ γὰρ γλωσσόκομον αὐτῷ ἐπίστευσε τῶν πτωχῶν, οὐκ ἀγνοῶν ὅτι κλέπτει, ἀλλὰ βουλόμενος, διὰ τοῦ δοῦναι αὐτῷ ἐξουσίαν παῦσαι τὸ πάθος. προῄδει οὖν καὶ προλέγει. οὐ μόνον δὲ προῄδει, ἀλλὰ καὶ πολλάκις προείρηκεν, εἷς ὑμῶν παραδώσει με. τί οὖν ἐγκαλεῖσθε; ἵνα ὁ πονηρὸς τῇ πονηρίᾳ πληρώσῃ τὴν ἀγαθὴν οἰκονομίαν· καὶ οὐκ ἠνάγκασεν αὐτὸν ὁ ἐκλεξάμενος. εἰ γὰρ καὶ ἠνάγκασεν ὁ Ἰησοῦς, οὐχὶ ἠνάγκασεν αὐτὸν προδότην γενέσθαι, ἀλλὰ ἀπόστολον. ἀλλ᾽ οὔτε ἀπόστολον ἀναγκάζει. τὸ γὰρ μετὰ ἀνάγκης γινόμενον, αὐτὸ λέγεται, οὐ γίνεται. σώφρων γὰρ μετὰ ἀνάγκης οὐ σώφρων, ὅτι ἀνάγκη ἐγένετο. οὐδὲ γὰρ δεσμοῖς αἱ ἀρεταὶ γίνονται, ἀλλὰ προαιρέσει ἡ πολιτεία. διὰ τί οὖν καὶ τὸν Ἀδὰμ ἀφῆκεν ἐν παραδείσῳ; ἀγαθὸς ἦν ὁ πλάσας, ἐλεύθερον ἐποίησεν, ὡς ἐλευθέρῳ τέθεικεν αὐτῷ τὴν ἐντολήν. ἀλλ᾽ ᾔδει, ὅτι μέλλει ἐσθίειν. ἀλλ᾽ ἀνάγκη οὐκ ἐκώλυσεν, οὔτε προαίρεσιν κατηνάγκασεν. Ἀδὰμ ἥμαρτε. διὰ δὲ τὸ ξύλον τίμιος ὁ τόπος, ἐν ᾧ ἦν τὸ τίμιον. οὐ γὰρ κακὸς ἐκτίσθη, ἀλλὰ κακῶς παρηκούσθη ὁ παραφυλάξας. εἰ δὲ ἡ γεῦσις καὶ τὴν ἐντολὴν ἀπώλεσεν, ἡ νηστεία μετὰ ἐντολῆς ἀνακαλεῖται καὶ σώζει. σαυτὸν δοκίμασον, ὦ ἄνθρωπε. τίς γὰρ χρεία ἀναγνωσμάτων; σκόπει σαυτόν, τίς ἦς πρὸ τῆς νηστείας, καὶ τίς νηστεύων. τῶν γὰρ σπειρομένων τὰ μὲν ὕστερον φέρει τὸν καρπόν, τὰ δὲ ἐν αὐτῷ τῷ ἔργῳ παρέξενεγκε καὶ τὸν καρπόν. ὁ κατερχόμενος εἰς θάλασσαν ἐπὶ θήραν, οὐκ ἐν τῷ καταδύειν ἔχει τὴν θήραν· ὁ δὲ νηστεύων εὐθὺς ἔχει τὸν καρπόν. οὐκ ἔχεις γαλήνην; οὐκ ἀπήλλαξαι κυμάτων ἀπὸ οἴνου; οὐκ ἀπήλλαξαι ζάλης καὶ χειμῶνος; οὐκ ἐπιθυμεῖς ἀκοῦσαι ὅτι ἡ σὰρξ κεχαλίνωται, μὴ σκιρτῶσα, μὴ ἐρυθριῶσα; οὐκ ἥδεις σὺ περὶ σωφροσύνης κινεῖς λογισμούς; οὐκ ἀκούεις ὅτι ἐνήστευσεν ὁ δεῖνα, καὶ χαίρεις; οἱ νηστεύοντες μὴ ἐπὶ κακῷ τὴν νηστείαν νομίζετε. ὁ γὰρ κακὸν νομίζων τὴν νηστείαν, κἂν νηστεύῃ, ἐν κακίᾳ ἐστίν. οὐκ εἰσὶν ἐν κακοῖς οἱ ἄγγελοι, μὴ χρείαν ἔχοντες τῆς παρ᾽ ἡμῖν τρυφῆς. οὐ κατ᾽ ἀξίαν ἐσθίομεν, ἀλλὰ κατ᾽ ἔνδειαν ἀποπληρούμεθα. ὅσα κακὰ παρ᾽ ἡμῶν γίνονται, σβέννυται ἐν νηστείαις. νηστείαν δὲ λέγω, οὐ μόνον τὴν ἀποχὴν τῶν τροφῶν, ἀλλ᾽ ἣν οἶδεν Ἡσαΐας. Νηστεύσον, ἵνα ἀκουσθῇς. καὶ ἐὰν εἴπῃς τῷ Θεῷ κατὰ τὸν Ἰουδαϊκὸν λόγον, Ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες· ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως, [ἀσφαλίζου, μὴ ἀκούσῃς]. ἐν γὰρ ταῖς νηστείαις ὑμῶν εὑρίσκετε ὑμῶν τὰ θελήματα. ἐὰν τὸ θέλημα Κυρίου πληρώσῃς, τὴν νηστείαν ἐποίησας. οὐ γὰρ πραγματεία ἐστὶν ἡ νηστεία, ἵνα κερδήσωμεν μὴ ἐσθίοντες, ἀλλ᾽ ἵνα ὃ μέλλεις ἐσθίειν, φάγῃ πτωχὸς ἀντὶ σοῦ· καὶ γίνεταί σοι διπλοῦν τὸ ἀγαθόν, καὶ ὅτι σὺ νηστεύεις, καὶ ὅτι ἄλλος οὐ πεινᾷ. χαμευνοῦμεν νηστεύοντες, οὔπω ἀνεσταυρώθημεν νηστεύοντες. διὰ τί ἡ νηστεία; ἀντὶ σταυροῦ. μείζονα ἐλάβομεν, μικρὰ ἀποδιδόαμεν. ἐσταυρώθη διὰ σέ, καὶ διψᾷ καὶ πίνει ὄξος μετὰ χολῆς. ἀηδὴς ἡ τροφή, μεγάλη ἡ νηστεία. οὔπω ὅσοι ἡ χολή, καὶ σὺ ἀκμάζων; οὔπω ἐκρεμάσθης ἐπὶ σταυροῦ. μὴ ἀγνωμόνει πρὸς Ἰησοῦν, μὴ ἀπόκλαιε ὅτι νηστεύεις, ἀλλὰ ἀπόκλαιε, ὅτι ἀεὶ οὐ νηστεύεις. πίνων ἀπεστερήθης νηστεύων; οἴνου; οὐκ οἴνου, ἀλλὰ φλεγμονῆς, κεφαλαλγίας, ἄσματος μετεωροῦ. οἰνόποσον πίνειν ἐν ποίοις εἶ, ἐν ἡσυχίᾳ, ἐν πρᾳότητι, ἐν γαλήνῃ. καλὸν χρῶμα ἐν νηστείαις ἐπὶ ταῖς ὄψεσιν ἐστίν, ἥμερον, γαλήνιον· οἴνου γὰρ χρῶμα, καῦσις πυρός. ὁ μὴ συμπάσχων τῷ Ἰησοῦ, οὐκ οἶδε τὸν Ἰησοῦν· ὁ ἀποκρυβόμενος τὴν νηστείαν, οὐκ οἶδε τὸν σταυρόν. μὴ ὡς κακὸν προσερχόμεθα τῇ νηστείᾳ, ἵνα μὴ ὡς κακὸν γένηταί σοι τὸ ὑποπιπτόμενον· μηδὲ ὡς ἀγνὸς δοῦλος Θεῷ δὲ εὑρεθήσῃ ὑπηρετῶν. οὐδεὶς ἄχθεται ἐν ἑορταῖς, εἰ μὴ ὁ ἀγνοῶν τὴν δύναμιν τῶν ἑορτῶν. ὅτε ἑορταί, τότε μᾶλλον φαιδρυνοῦ· σὺ δὲ μᾶλλον τοὐναντίον ποιεῖς· ὅτε ἦς ἄγγελος,

Ησ. νη. γ.

τότε χαλεπαίνεις. οὐκ οἶδας τὸ μεταξύ· ὅτι ἡ φύσις τὸν γάμον ἀπαιτεῖ, οὐ γαμεῖς ὑπὲρ φύσιν. ηὐλαβοῦ ἐν γάμῳ· εἰ τιμᾷς τὰς νηστείας, τὰς ἡμέρας τῶν νηστειῶν, γενοῦ ἄγγελος. οὐ διαβάλλω τὸν γάμον, προκρίνω δὲ τὴν νηστείαν. ἃ ἐφράζομεν περὶ τῆς νηστείας, οὐ μένει μέχρι ἡμῶν. τί οὖν ἀπολαύομεθα ἐπὶ τὰ μὴ μένοντα; ὅλη ἡ ἡδονὴ τῶν βρωμάτων, ἕως τοῦ καταπιεῖν ἐστιν. ἐπὰν δὲ παρέλθῃ τὸ γλωττικὸν χωρίον, γέγονεν, ὡς οὐκ ἦν. ἡ νηστεία δὲ οὐ μαραίνεται, οὐ χωρεῖ ἐν κοιλίᾳ, οὐδὲ διὰ κοιλίας εἰς σκύβαλον μεταβάλλεται. ἀθανασίας γάρ ἐστι πρόξενος, μετ᾽ ἀγγέλων τὸ διαίτημα ἔχει, ὅτι ἀγγέλων μετὰ τὸ δυνατόν ἐστι μίμησις. ἀκηδιάζεις, ὅτι νήφεις; ὅτι οὐ βεβάρησαι ἀλλοτρίαις δυσπραγίαις; ὅτι ὀρθὸς ὁ λογισμός; ὅτι καθαρὰ ἡ σάρξ; ὅτι ἀνέθη ἡ διάνοια; ὅτι ἀκούεις τῆς γραφῆς μετὰ χαρᾶς; ὅτι τὰ ἀπόρρητα σιωπᾷς, καὶ οὐκ εἶ ἄνθρωπος, ἀλλὰ σχεδὸν ἄγγελος; ἑορτὴ Κυρίου τοῦ καλέσαντος ἡμᾶς εἰς γάμον πνευματικόν, τοῦ εἰσελθόντος ἰδεῖν τοὺς ἀνακειμένους, μή τις ἀλλοτρίοις ἱματίοις ἔχων εἰσέλθῃ. ἱμάτια δὲ γάμου ἐπιφέρεσθαι καθαρά, καὶ ἀμόλυντα, καὶ ἅγια πρὸς γάμους ἁγίους καὶ ἀμολύντους. φαιδρὰ ἔξωθεν, καὶ ἔσωθεν λαμπρά. ἡσυχαζέτω δὲ ὁ γάμος, καὶ τὴν παραγγελίαν τοῦ ἀποστόλου μετὰ συνθεσίαν ἐχέτω ἕκαστος, τοῦ ἐκ συμφώνου σχολάζειν ἕκαστον ἐν νηστείαις. ταῖς νηστείαις δὲ συναπτέσθω καὶ εὐχή. ἡ νηστεία μὲν προτρέπεται, ἡ εὐχὴ δὲ καιρὸν ἔχει· νήστευσον, ὅτι οὐχ ἥμαρτες, καὶ ὅτι ἥμαρτες νήστευσον, καὶ πάλιν ἵνα μὴ ἁμαρτῇς νήστευσον, καὶ ὅπως διαμείνῃ ἃ ἔλαβες. τοσαῦτα γὰρ εἴδη νηστείας. ἥμαρτέ τις, καὶ ἐνήστευσεν ἑαυτὸν κολάζων, ἵνα διαφύγῃ τὴν κόλασιν· νηστεύουσι πάλιν οἱ ἡμέτεροι, ἀγαπητοί, ἵνα μὴ ἐπιπλεονάσωσι καθ᾽ ἡμῶν αἱ ἐπιθυμίαι. ὁρᾷς δὲ τὴν νηστείαν ἑπομένην τῇ ἁμαρτίᾳ, τουτέστι, τὸ μετὰ τὴν ἁμαρτίαν γενομένην ἐν λόγοις τιμωρίας ἐπιστροφήν. ἀλλ᾽ ἡ νηστεία προηγεῖτο τῶν ἁμαρτημάτων, οὐχ ἵνα ἀφέλῃ τὸ γενόμενον ἁμάρτημα, ἀλλ᾽ ἵνα κωλύσῃ τὸ μέλλον. ἄλλη νηστεία ἐστίν, ὁ ζητῶν νόμον νόμου λαβεῖν. καὶ γὰρ ὁ αἰτῶν νόμον νηστεύει, ὡς Μωϋσῆς ἐνήστευσε, καὶ ἔλαβε νόμον. πάλιν ἄλλος νηστεύει, ἵνα ὧν κατηξιώθη, τούτων μὴ ἀποτύχῃ. ἡ δὲ ἐκκλησία ὁμοῦ νηστεύει, τὴν χάριν καὶ τὴν οἰκονομίαν. τὸν Ἰησοῦν ἐπιγινώσκει πράγματι, τῷ σταυρωθέντι συνεσταυρωμένη, τῷ Κυρίῳ συμπάσχουσα, ἵνα καὶ συνδοξασθῇ, οὐχ ἵνα τὸν Κύριον πενθῶμεν (ζῇ γὰρ ὁ τοῦ ζῶντος υἱός) ἀλλ᾽ ἵνα τὴν χάριν ὁμολογῶμεν τῆς οἰκονομίας. εἰ καὶ πενθοῦμεν ὅτι ἐσταύρωσαν αὐτὸν Ἰουδαῖοι, οὐ δι᾽ αὐτὸν πενθοῦμεν, ἀλλὰ διὰ τὴν τόλμαν τῶν τολμησάντων. ἀνέστη γὰρ ἐκ νεκρῶν, ἔστη ἐν δόξῃ, ἐν ᾗ προϋπῆρχε παρὰ τῷ πατρί, συνὼν ἦν πρὸς τὸν πατέρα ὅθεν καὶ ἦν. οὐκ ἔστι πένθους ἀξία ἡ νίκη τοῦ Ἰησοῦ. ἀλλὰ νηστεύσωμεν ἑαυτῶν κηδόμενοι, καὶ κοινωνοὶ σπεύδοντες αὐτοῦ εἶναι τῶν παθημάτων. ὥσπερ ἀξίαν προσεπλώμεν, ἀδελφοί. τίς κατηξίωσε κοινωνὸς εἶναι τῶν παθημάτων Χριστοῦ, μέγα τὸ μυστήριον. σπεύσωμεν ἐπὶ τὰ ἀγαθά, καὶ μὴ ἐκκλίνωμεν εἰς κακά. Ἰησοῦς ἐσταύρωται, ὁ τοῦ ἀθανάτου υἱός· ἐκρέμασε τὸ σῶμα ἐπὶ τὸν σταυρόν, οὐ δι᾽ ἑαυτόν, ἀλλὰ διὰ σέ. ἔφαγες σὺ ἀπὸ τοῦ ξύλου, νηστεύει αὐτὸς ἐπὶ τοῦ ξύλου. ἔλαβες ἐξ ὧν οὐκ ὠφελέ σοι· ἐπέθηκεν αὐτὸς σῶμα, ἀνθ᾽ ὧν ἔλαβες. ἐπιθυμίαν ἡδονῆς χαλεπήν· πίνει αὐτὸς ὄξος ἀντὶ ἡδονῆς. μὴ ἀλλότριος γένῃ τῆς βασιλείας. ἔγνως ὅτι ἐσταύρωται, ἔγνως ὅτι ὑπὲρ σοῦ ἀπέθανεν, ὁμολόγει ὅτι ζῇ. ὑπὲρ ζῶντος ποίει τὴν ὁμολογίαν, μαρτύρει τῷ μαρτυρήσαντι· ἀπόθανε ὑπὲρ τοῦ ἀποθανόντος. εἰ δὲ οὕτω ἀπαιτεῖ θάνατον, μὴ ἀποπηδήσῃς. μικρός ἐστιν ὁ τῆς νηστείας θάνατος. οὐκ ἔχεις μεγάλα κατορθώματα; χάρισαι αὐτῷ τὰ μικρά. μετ᾽ εὐφροσύνης προσέδραμε αὐτῷ ἐπὶ ἑορτάς, μετὰ χαρᾶς δέξαι τὴν νηστείαν. τρυφή ἐστιν ἡ νηστεία πνευματική. ἀλλὰ τάχα εἰκῇ κράζω. ὥσπερ γὰρ ἤλλαξεν ὁ χρόνος τὰ χρώματα τῶν σπευδόντων ἐπὶ τραπέζαν. τοῦτο δὲ οὐκ ἔστιν ἀγαπώντων νηστείαν ἐν ᾗ ἑστήκασιν. οὐ γὰρ ἦν ἀκόλουθον ἄρξεσθαι ὑμᾶς τῆς τραπέζης Κυρίου ἀποσπᾶσθαι. παρὰ προσδοκίαν δὲ ἀπήντησεν ἡ νόσος, ὡς ἀπήντησε τοῦ λύχνου ἡ αὐγή.

γή. οὐ λέγχθη ἡ λανθάνουσα συνείδησις, ὅτι βίᾳ κατεχόμεθα· καὶ οὐκ ἄρα ἑστήκαμεν. ἕως πότε τὴν ἀλήθειαν παίζομεν; ἕως πότε τοῦ Κυρίου πραγματευόμεθα; ἢ οὐκ ἤκουσας τοῦ ψαλμοῦ λέγοντος, ἅμα δὲ αὐτοῦ ὑπακούοντος, Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρίνατε; Εἰ ἀληθεύεις ἐπὶ τὴν νηστείαν, χαρὰν ἔχε ἐπὶ τὴν νηστείαν· εἰ δὲ ἀλγεῖς, ἀδικεῖς σεαυτόν· εἰ πονεῖς, οὐκ εὐφραίνῃ· εἰ διώκεις ὡς ἀγαθῶν ἀπεστερημένος, οὐ τυγχάνεις ἀγαθῶν. Ἰησοῦς ἐσταύρωται διὰ σοῦ, καὶ οὐκ ἐδυσχέρανεν, ἀλλὰ μᾶλλον καὶ ἔσπευδε τοῦ παθεῖν· σὺ δὲ οὐδὲ μικρὰν νηστείαν ἀνέχῃ διὰ τὴν σεαυτοῦ σωτηρίαν; ὦ ἄνθρωπε, οὐκ ἔχω δύναμιν τοσαύτην, ἵνα κράζω, ὅσον ὀφείλω. Ἰησοῦς ἐσταύρωται. ὅρα, καὶ ὑπότυψον τὸ στῆθος, κατάγαγε δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν. ἐσταύρωται διὰ σέ· συσταυρώθητι, συνδοξάσθητι ἐκείνῳ, οὐχ ἵνα ἀποθάνῃς, ἀλλ' ἵνα θανάτου ἀπαλλαγῇς. αὕτη ἡ τῆς παρασκευῆς ἡμέρα, ἡμέρα ἐστὶν ἐν ᾗ ὁ σταυρὸς ὑπὲρ σοῦ ἐπάγη· καὶ σὺ συσταυρώθητι, συναπόθανε. ὑπὲρ Θεοῦ γὰρ ὁ λόγος Θεοῦ, τοῦ γινομένου ἀνθρώπου διὰ σέ. οὐκ αἰδούμεθα τὴν ἀξίαν; οὐκ ἐρυθριῶμεν τὸ πάθος; ἑκάτερα ἐνθύμηθι, ἄνθρωπε, τί ἦν, καὶ τί ἔπαθε. κέκριται ὁ κριτής, καὶ ἡ ζωὴ θανάτῳ παραδίδωται· καὶ ὁ τρέφων πεινᾷ, καὶ ὁ ποτίζων διψᾷ, καὶ ὁ ἐν δόξῃ ἐν ἀτιμίᾳ, καὶ ὁ βασιλεὺς ἐπὶ ἡγεμόνος, καὶ ὁ Θεὸς ὑπὸ ἀνθρώπων κατακρίνεται· ὁ ἀληθεύων ἐν τῷ λέγειν, Ὁ πατὴρ οὐδένα κρίνει, πᾶσαν δὲ τὴν κρίσιν δέδωκε τῷ υἱῷ· ὁ πάντα κρίνων ὑπό τινος κέκριται. ἀρκεῖ σοι ταῦτα, ὦ ἄνθρωπε, εἰς ὑπόμνησιν νηστείας. δεῖ γὰρ πρῶτον γνῶναι ἐν οἷς ἐσμεν, καὶ τότε διακρίνειν τὰ καθ' ἡμᾶς. ὅταν ἀγαπήσωμεν τὴν νηστείαν, καὶ διατιθῶμεν καλῶς τὰ περὶ αὐτῆς, ὥσπερ ἑορτῆς χορεύοντες, καὶ τὴν ἐν ταῖς νηστείαις ἑστίασιν, παραθησώμεθα τὰ μυστήρια τῆς νηστείας, τιμῶντες τὴν τοῦ Κυρίου τράπεζαν, τοῖς δούλοις τοῦ Κυρίου, τὴν δόξαν τὴν πρὸ αἰώνων, τὴν οἰκονομίαν αὐτοῦ τὴν ἐν ὑστέροις καιροῖς, τίς ἦν, καὶ τί γέγονε, πόθεν ἦλθε, καὶ ἐπὶ ποίῳ λαῷ ἐπεδήμησε, καὶ διὰ τί· ἵνα καὶ ὡς εὐφραινόμενοι καὶ εὐφραίνοντες, τὴν νηστείαν ταύτην διὰ παντὸς ἔχωμεν, τῷ Κυρίῳ τῆς νηστείας δουλεύοντες, πάντοθεν αὐτῷ εὐχαριστοῦντες, καὶ πάντοτε δοξάζοντες, πάντοτε ἀγαπῶντες τὸν ἀγαπήσαντα ἡμᾶς, καὶ προσκυνοῦντες τὸν ἀναδεξάμενον ἡμῶν τὰς ἁμαρτίας, καὶ ἀποθνήσκοντες ὑπὲρ τοῦ ἀποθανόντος, καὶ ἐλπίζοντες τοῦ συνδοξασθῆναι τῷ ἀτιμασθέντι. τῷ δὲ παναγίῳ πατρὶ, τῷ καταξιώσαντι ἡμᾶς τῆς παρούσης νηστείας, καὶ μὴ φεισαμένῳ τοῦ ἰδίου υἱοῦ διὰ τὴν ἡμετέραν σωτηρίαν, διὰ τοῦ ἐλθόντος τὸν ἀποστείλαντα, δόξαν ἀναπέμψωμεν, ἅμα τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. νζ. α.

Ἰωαν. ε κϐ.

Λογ. οζ.

ΠΕΡΙ ΕΥΧΗΣ.

Ex Ms. ἐν Χάλκῃ νήσῳ τῆς Χαλκηδόνος.

Δεῦτε πάντες ἀδελφοὶ, γνωρίσωμεν τὸν ποιήσαντα ἡμᾶς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν ἀγαθὸν καὶ φιλάνθρωπον καὶ οἰκτίρμονα, τὸν μὴ θέλοντα τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν. διὸ πάντες γρηγορεῖτε καὶ γίνεσθε ἕτοιμοι, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ἡμῶν ἔρχεται. δεῦτε, ἀκούσατε αὐτοῦ λέγοντος, Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. λοιπὸν, ἀδελφοὶ, ἐφ' ὅσον ἐπὶ θύραις ἡ κρίσις ἐστὶ, πολλῶν δακρύων, πολλοῦ ὀδυρμοῦ, πολλῆς εὐχῆς χρεία, εὐχῆς οὐ σήμερον καὶ αὔριον γινομένης. εὐχὴ γὰρ θησαυρὸς ἀνέκλειπτος παντὸς ἀγαθοῦ, λιμὴν ἀχείμαστος, γαλήνης ὑπόθεσις, ψυχῆς ἰατρεῖον· εὐχὴ ψαλμῳδία, ἁγιασμὸς ψυχῆς καὶ σώματος, καὶ, ἁπλῶς εἰπεῖν, εὐχὴ πύλας οὐρανοῦ ἀνοίγουσα, Θεῷ παριστᾷ πάντας ἀνθρώπους μικρόν τε καὶ μέγαν, πλούσιοι καὶ πένητες, οἱ ὁλόψυχοι καθ' ἑκάστην ἡμέραν εὐχόμενοι μείζονα ἀγγέλων ἐργάζονται. ἀλλὰ τίς ὁ ψυχρὸς τῶν πολλῶν ὁ λόγος; ἁμαρτωλός εἰμι, φησι,

φησι, καὶ ἀπαρρησίαστος, αἰσχύνης γέμων, καὶ οὐ δύναμαι ἀτενίσαι καὶ ἰδεῖν τὸ ὕψος τοῦ οὐρανοῦ,
ὅτι πολλὰ ἥμαρτον καὶ ἐν λόγοις, καὶ ἐν ἔργοις, καὶ κατὰ διάνοιαν· καὶ πᾶσαν ἡμέραν καὶ ὥραν ἐδα-
πάνησα ἐν ἀσωτίᾳ τὴν ζωήν μου, καὶ ποίῳ προσώπῳ ἢ παρρησίᾳ εἰσέλθω εἰς τὴν ἐκ-
κλησίαν; πῶς ἀνοίξω τὸ πονηρὸν καὶ ἀκάθαρτόν μου στόμα; πῶς τὰ χείλη μου κινήσω, ἢ πα-
5 ρακαλέσω ὑπὲρ ποίων μου πονηρῶν πράξεων πρὸς τὸν Θεόν, οὕτως οὖν σατανικὰ ταῦ-
τα τὰ ῥήματα λέγεις; μάθε, τίνας καλεῖ ὁ Χριστὸς ἐλθὼν ἐπὶ τῆς γῆς, δικαίους, ἢ ἁμαρτω-
λούς; λέγει γὰρ οὕτως· Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. ἁ- Ματθ. θ. ιγ.
μαρτωλός εἰμι, φησι, καὶ πῶς εἰσέλθω εἰς τὴν ἐκκλησίαν, ἵνα γένωμαι δίκαιος; καλὰ
λέγεις· ὅλα ἀκούω, καὶ οὐ φυλάττω· καὶ τί μοι τὸ ὄφελος; κἀγὼ πάλιν λέγω σοι· κἂν φυλάττῃς,
10 κἂν οὐ φυλάττῃς, μόνον εἴσελθε εἰς τὴν ἐκκλησίαν· ἄκουε τῶν θείων γραφῶν, ἄκουε τῆς
ἀναγνώσεως. οἶδα ἀληθῶς, ὅτι ἐὰν εἰσέρχῃ εἰς τὴν ἐκκλησίαν, καὶ ἀκούεις τῶν θείων εὐ-
αγγελίων, καὶ τῶν διδασκάλων τῶν ἀποστόλων, καὶ τῶν θείων πατέρων, κἂν λιθίνην καρδίαν ἔχῃς,
κἂν θηρείου γνώμην καὶ ἀγριότητος, ὅμως ποτὲ καὶ ῥᾳδίως κατανυγῆναι ἔχεις. ἁμαρτωλὸς
εἶ; εἴσελθε εἰς τὴν ἐκκλησίαν, πρόσπεσον, κλαῦσον, θρήνησον, στέναξον, δάκρυσον. ἡ-
15 μάρτηκας; ἐξομολόγησαι Θεῷ τὰς ἁμαρτίας σου· εἰπὲ μόνον, τό, ἥμαρτον· εἰπὲ τῷ Θεῷ τῷ
εἰδότι πρὶν γενέσεως αὐτοῦ· εἰπὲ τῷ Θεῷ τῷ ἐτάζοντι καρδίας καὶ νεφρούς· εἰπὲ ἐνταῦ-
θα, ἵνα μὴ ἐκεῖ ὑπὸ μυριάδων ἀγγέλων καὶ ἀνθρώπων αἰσχυνόμενος ἐλεγχθῇς. εἰπὲ
μοι, τί ἐστι κάλλιον ὧδε ἐν ἐκκλησίᾳ τῷ Θεῷ μόνῳ ἐξομολογήσασθαι καὶ τῷ πνευματικῷ
σου πατρί, ἢ ἐκεῖ ὑπὸ τοσούτων μυριάδων δημοσιεύεσθαι; ἁμαρτωλὸς εἶ; εἰπὲ μόνον,
20 οὐδὲν ἄλλο σε ἀπαιτῶ, μόνον στέναξον. ποία ἀνάγκη τοῦτο; ποία θλίψις; ποία χρημά-
των δαπάνη; ποία δυσκολία εἰπεῖν μόνον, τό, ἥμαρτον; ἀλλὰ λέγεις, ὅτι αἰσχύνομαι. ἄ-
θλιε καὶ ταλαίπωρε, ὅτε ἐποίεις τὴν ἁμαρτίαν, οὐκ ᾐσχύνου, καὶ ὅτε μετανοῆσαι καὶ σω-
θῆναι θέλεις, αἰσχύνῃ; ὅτε περιεπλέκου τὴν πόρνην τὴν πονηράν, καὶ πονηρὰν πρᾶξιν
ποιῶν οὐκ ᾐσχύνου, καὶ ἄρτι αἰσχύνῃ; ὅταν ἡμάρτανες, ὅτε ἐπόρνευες καὶ ἐμοίχευες οὐκ
25 ᾐσχύνου, καὶ ὅταν μετανοήσῃς καὶ θέλῃς σωθῆναι, τότε αἰσχύνῃ; ὅτε ἥρπαζες τὰ ἀλ-
λότρια, ὅτε χήρας ἔθλιβες καὶ κατεφρόνεις πένητας, οὐκ ᾐσχύνου, καὶ ἄρτι αἰσχύνῃ; ὅ-
τι ὤμνυες τὸ φρικτὸν ὄνομα τοῦ Θεοῦ, καὶ ἐψευδομαρτύρεις, ὅτε ἐπιώρκεις, ὅτε πολλὰ κακὰ καὶ
πονηρὰ ἔργα, ἃ μισεῖ ὁ Θεός, ἔπραττες, οὐκ ᾐσχύνου, καὶ ἄρτι αἰσχύνῃ; ὦ ποῖον, ἀγαθὲ, δεσπό-
την ἔχοντες καὶ ἡμεῖς ἀμελοῦμεν καὶ οὐκ ἐπιστρεφόμεθα; ὁ Χριστὸς συμβουλεύει, μὴ κλέψῃς,
30 μὴ πορνεύσῃς, μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ ψευδομαρτυρήσῃς, τίμα τὸν πατέρα σου, καὶ
τὴν μητέρα, καὶ τὸν πλησίον σου ὡς ἑαυτὸν ἀγάπα· γίνου ἥμερος, ἀγαθός, ἐλεήμων, μα-
κρόθυμος· γίνου ἄμαχος, εἰρηνικός, ἵνα καταξιωθῇς τῆς βασιλείας τῶν οὐρανῶν· καὶ οὐ-
δείς ἐστιν ὁ συνιῶν, οὐδεὶς ὁ ὑπακούων, οὐδεὶς προσέχων, ἀλλὰ πάντες ῥαθυμοῦμεν.
συμβουλεύει δὲ ὁ διάβολος τὰ ἐναντία, λέγων· γίνου μοιχός, φόνευσον, ἐπιόρκησον, κλέψον,
35 γίνου ἀπάνθρωπος, βλάσφημος, ἀνελεήμων, ἄσπλαγχνος, φθορεύς· γίνου φιλάργυρος,
μισάνθρωπος, μᾶλλον δὲ μισόθεος· γίνου πανοῦργος, ἀδικητής, πλεονέκτης· γίνου ἅρπαξ,
καταλάλος, μυθολόγος, λοίδορος, ἐπίορκος. καὶ οἴδαμεν ὅσοι τὰ τοιαῦτα πράττοντες ὑπα-
κούομεν· ὅτι ὥσπερ δοῦλοι δεδεμένοι χεῖρας καὶ πόδας, οὕτω τρέχομεν καὶ ὑποτασσόμεθα τὴν
φύσιν. ἰδοὺ ἡμεῖς πᾶσαν τὴν νεότητα ἡμῶν μετὰ δαιμόνων ἀνηλώσαμεν· ἰδοὺ ἐγηράσαμεν,
40 καὶ συνειθίσαμεν ἐν ἁμαρτίαις. τὸ ἀγαθὸν πρᾶξαι μὲν οὐ δυνάμεθα, ὅπως τύχωμεν τῆς βα-
σιλείας τῶν οὐρανῶν. ὁ δὲ διάβολος προξενεῖ τὸ πῦρ καὶ τὴν κόλασιν αἰώνιον, καὶ ἡμεῖς πρὸς
τὸν διάβολον τρέχομεν. τί σοι ποιήσομεν, ἄνθρωπε; τί θέλεις; τί ἐπιθυμεῖς; τὸ εἶναι μετὰ
τοῦ Χριστοῦ, ἢ τὸ εἶναι μετὰ τῶν δαιμόνων; ἐπιθυμεῖς εἶναι μετὰ τοῦ Χριστοῦ; κἂν τοῦ λοιποῦ παῦ-
σαι τοῦ τρυφᾶν, παῦσαι τοῦ σπαταλᾶν, παῦσαι τοῦ πορνεύειν, παῦσαι τοῦ κλέπτειν, παῦσαι

τοῦ μεθύσκεσθαι, παῦσαι τοῦ ἁρπάζειν τὰ ἀλλότρια, παῦσαι τοῦ καταγελᾶν, τοῦ ψεύδεσθαι, τοῦ μετεωρίζεσθαι. μηδείς σε ἀπατάτω. οὐδεὶς γὰρ τῶν τοιούτων εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. εἰ δὲ ἐπιθυμεῖς τοῦ εἶναι μετὰ τῶν δαιμόνων, εἰς τὴν γέενναν τοῦ πυρὸς εἰσελθεῖν, κἂν παραβάτης, ὡς θέλεις, πολιτεύου, ὡς βούλει, ὁ κωλύων οὐδείς. ἀπόλαβε τὸν κόσμον, καὶ τὰς αἰσχρὰς ἐπιθυμίας αὐτοῦ, τὴν πορνείαν, μοιχείαν, μέθην, ἀκρασίαν, καὶ πᾶσαν ἡδονὴν δαιμονικήν· ὁ ἐμποδίζων οὐδείς. σὲ γὰρ εὐαγγέλια οὐ πείθει, νόμος οὐ σωφρονίζει, προφῆται οὐκ ἐπισκήπτουσιν, ἀπόστολοι οὐ δυσωποῦσι, πατέρων νουθεσίαι οὐκ ὠφελοῦσι, συνοδία ἀδελφῶν οὐκ ἀποτρέπει, ἀπηνηχύντησας πάντως. ὄψις πόρνης ἐγένετό σοι. λοιπὸν ἀπόλαβε τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. ἐκεῖ μὲν οὖν μηδὲ σωτηρίαν, μηδὲ κληρονομίαν ἐν τῇ μελλούσῃ τοῦ Χριστοῦ ἡμέρᾳ μὴ προσδόκησον. ἐκφεύξεταί σε γὰρ τότε ἡ ὥρα, ὅταν γυμνὸς καὶ τετραχηλισμένος παραστήσῃ τῷ βήματι τοῦ Χριστοῦ, ἐπὶ ἀγγέλων καὶ ἀνθρώπων θεατριζόμενος. ἐκεῖ φανήσῃ, οἷος εἶ· ἐκεῖ ἐλεγχθήσεταί σου πᾶσα ἡ ἀδικία· ὁ Θεὸς οὐ χλευάζεται. καὶ τότε ἀκούσεις τῆς ὀδυνηρᾶς ἐκείνης φωνῆς· Δήσατε αὐτοῦ τὰς χεῖρας καὶ πόδας, καὶ ἐκβάλλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. τίς λοιπὸν οὐ θρηνήσει τὸν τοιοῦτον; τίς οὐ κλαύσει τὸν διὰ τὴν ἀπόλαυσιν πρόσκαιρον αἰωνίως βασανιζόμενον; μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται. γέγραπται γάρ, ὅτι Οὔτε πόρναι, οὔτε μοιχοί, οὔτε λοίδοροι, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὔτε ἄδικοι, οὔτε μαλακοί, οὔτε ἀρσενοκοῖται, οὔτε εἰδωλολάτραι, οὔτε βλάσφημοι, οὔτε φιλάργυροι, οὔτε τις τῶν τοιούτων ἕξει κληρονομίαν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ταῦτα πάντα ἐννοοῦντες, ἀδελφοί, τῶν τοιούτων πονηρῶν πράξεων ἀπεχώμεθα, καὶ ἐξ ὅλων τῶν ψυχῶν μετανοῆσαι μὴ βραδύνωμεν, ἵνα καὶ φύγωμεν ἀπὸ τῆς μελλούσης ὀργῆς, καὶ τῶν οὐρανίων καὶ αἰωνίων ἀγαθῶν ἐφικώμεθα· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ματθ. κγ. γ.

Λογ. ση.
Λουκ. ιβ. μθ.
Ματθ. ι. λδ.

ΠΥΡ ΗΛΘΟΝ ΒΑΛΕΙΝ ΕΠΙ ΤΗΝ ΓΗΝ, ΚΑΙ, ΟΥΚ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν.

Ex Ms. ἐν Χάλκῃ νήσῳ τῆς Χαλκηδόνος.

Αἱ τῶν νηπίων φιλότεκνοι μητέρες, μέχρι δ' ἂν πρὸς μείζονα ἡλικίαν καὶ δυνατωτέραν τὰ νήπια αὐξηθῶσι, τὰς γαλακτοτρόφους πηγὰς τῶν μαζῶν προτείνουσαι τοῖς φιλτάτοις, τὴν ἀκάματον τροφὴν τοῦ γάλακτος ὑφέλκειν αὐτοὺς κολακεύουσιν· ἐπειδὰν δὲ πρὸς μείζονα ἡλικίαν καὶ αἴσθησιν ἔλθωσι, ὡς καὶ ὀδοῦσι λοιπὸν τὰ τρυφερὰ τῶν βρωμάτων λεαίνειν, πρότερον αἱ μητέρες τὸ σκληρὸν τοῦ ἄρτου συντρίψασαι, ἁπαλὴν καὶ τρυφερὰν, δίκην μυελοῦ, τὴν τροφὴν ἑτοιμάσασαι τῷ στόματι αὐτῶν ἐνοικίζουσι. τοιοῦτοί εἰσιν οἱ τῆς ἐκκλησίας διδάσκαλοι. τοῖς γὰρ ἐπὶ τὴν ἕξιν τῆς φρονήσεως νηπιάζουσιν, οὐ δυσνόητα αὐτοῖς καὶ δυσδιάκριτα νοήματα προσβάλλουσιν, ἀλλὰ τρόπον μητέρων, τὴν θηλὴν τῆς διανοίας αὐτοῖς προχαλάσαντες, τὸ ἄδολον τοῦ λόγου γάλα [illegible] ὑφέλκειν αὐτοὺς παρακαλοῦσιν. εἶτα, ὁπόταν πρὸς μείζονα νοημάτων κατάληψιν τὰ νήπια αὐξηθῶσι τῇ φρονήσει, μειζόνων αὐτοῖς μυστηρίων ἀποκαλύπτειν εἰώθασι νοήματα. τοῦτο καὶ Παῦλος ἐποίει. νηπίοις γὰρ τυγχάνουσι γράφων ἔλεγε· Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα. τὸν αὐτὸν τρόπον ὁ Κύριος ἡμῶν εἰσέτι καὶ νῦν ποιεῖ. πρὸς γὰρ τὸ μέτρον τῆς ἕξεως τῶν ἀκουόντων τὴν τῶν εὐαγγελικῶν νοημάτων τροφὴν συσταθμησάμενος, ἐν ταῖς παρελθούσαις ἡμέραις, καθάπερ νηπίοις, ἁπαλὴν καὶ εὔλυτον τὴν τροφὴν

[illegible]

α. Κορ. γ. β.

τροφὴν τοῦ λόγου ἡμῖν παρέσχετο· νυνὶ δὲ τὸν νοῦν τῆς φρονήσεως ἡμῶν αὐξηθέντα σκοπή-
σας, μειζόνων ἡμᾶς συγχωρεῖ ἀπολαύειν διδαγμάτων. τί γάρ φησι; Πῦρ ἦλθον βαλεῖν Λουκ. ιβ. μθ.
ἐπὶ τὴν γῆν, καὶ, Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. ἀλλ᾽ οἱ μὲν νήπιοι τὰς φρε- Ματθ. ι. λδ.
σὶν οἴονται ἐληλυθέναι τὸν Κύριον ἐπὶ τὸ πυρὶ τὰ πάντα ἀναλῶσαι, καὶ μαχαίρᾳ σὺν πάν-
5 τας κατασφάξαι. ἀλλὰ δεῦρο, καὶ ἡμεῖς τὰ αὐτὰ τοῖς νηπίοις νοήσαντες, τὰ τοῦ Κυρίου ῥή-
ματα πρὸς τὸν Κύριον διαλεχθῶμεν, ἵνα τοῦ Κυρίου ῥήματα τοῖς νηπίοις διαπορθμεύ-
σωμεν. πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν. πῦρ ἦλθες βαλεῖν ἐπὶ τὴν γῆν, Κύριε, καὶ οὐκ
ἦλθες βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; ἁμαρτία ἡμῶν κατηγωνίσατο, θάνατος ἡμῶν ἐ-
κυρίευσε, γέεννα πυρὸς ἡμῖν ἠπείληται, τῶν ἐναγῶν δαιμόνων στρατόπεδον κατηγωνίσατο ἡ-
10 μῶν, καί σε σωτῆρα παρὰ τῶν προφητῶν ἀκούοντες ἐξεδεχόμεθα· καὶ ἐλθὼν λέγεις, πῦρ ἦλ-
θον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; ἐπιτήδειον γὰρ
ἰσ· ἡμῖν οὐχ ὑπῆρχε πίστεως, τῇ τοῦ διαβόλου παρατάξει οὐκ ἰσχύομεν. ὅπλον γὰρ ἡμῖν
οὐχ ὑπῆρχε πίστεως· τὸν θώρακα τῆς δικαιοσύνης ἡμῶν ἔτι ὄντα τὸν Ἀδὰμ ἐν τῷ παρα-
δείσῳ ἐκδύσας ὁ διάβολος ἐγύμνωσε. διὸ ἕκαστος ἡμῶν γυμνὸς βοηθείας ὑπάρχων πρὸς
15 σὲ βοᾷ λέγων· Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με· Ψαλ. λδ. α.
ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μου· ἔκχεον ῥομφαίαν, καὶ σύγ-
κλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με. εἶπον τῇ ψυχῇ μου, σωτηρία σου ἐγώ εἰμι·
καὶ ἐλθὼν πρὸς βοήθειαν ἡμῶν λέγεις, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; καὶ ποῦ
ἡ τῶν ἁγίων ἱκεσία ἡ περὶ εἰρήνης πρὸς σὲ γεγενημένη; τὸ, Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην
20 δὸς ἡμῖν. πάντα γὰρ ἀπέδωκας ἡμῖν. εἰρήνην ἱκετεύσαμεν, γαλήνης ἐδεήθημεν, πόλε-
μον οὐκ ἠθελήσαμεν, μάχαιραν ἀπειπάμεθα· καὶ ἐλθὼν λέγεις, οὐκ ἦλθον βαλεῖν εἰρήνην,
ἴσως ἀλλὰ μάχαιραν; δεινὸν οὖν αὐτὸ τὸ καθ᾽ ἡμῶν στρατόπεδον τῶν ἐναγῶν δαιμόνων ἐξώπλισε·
πάντας ἡμᾶς τῇ διστόμῳ ῥομφαίᾳ τῆς ἁμαρτίας κατασφάξας, εἰς ᾅδην κατήνεγκε. διὰ
τοῦτο οἶκτον παρὰ σοῦ αἰτοῦμεν· ὁ πᾶς ἁγίων χορὸς πρὸς σὲ ἀνεφθέγγετο λέγων· Ὁ ποι- Ψαλ. οθ. α.
25 μαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ, ὁ καθήμενος ἐπὶ τῶν
χερουβὶμ, ἐμφάνηθι, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.
λέγεις, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; καὶ ποῦ ἡ σὴ ἐπαγγελία ἡ λέγου-
σα· Ἰδοὺ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν; Ησ. ξς. ιβ.
ἢ ποῦ ἡ πρόρρησις τῶν ἁγίων πατέρων ἡ λέγουσα, ἰδοὺ ἐξέρχεται Κύριος, καὶ συντρίψει πό-
30 λεμον; συντριβέντος δὲ τοῦ πολέμου, εἰρήνην καὶ βοήθειαν ἐξεδεχόμεθα· καὶ ἐλθὼν λέγεις, οὐκ
ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; προφήτας προαπέστειλας, πατριάρχας προέ-
πεμψας, ὅπλοις δικαιοσύνης αὐτοὺς ἐθώρηξας πρὸς τὸ ἀντιστῆναι τῇ μάχῃ τοῦ διαβόλου,
καὶ συντρίψαντας τὸν πόλεμον εἰρήνην τῷ κόσμῳ βραβεῦσαι, ὡς εἷς αὐτῶν ἀριστεύων ἔ-
λεγεν· Εὐλογητὸς Κύριος ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου Ψαλ. ρμγ. α.
35 εἰς πόλεμον. καὶ οὗτοι ἡττηθέντες νῶτα δεδώκασι, πρὸς σὲ βοῶντες, σὲ καλοῦντες βοηθόν, λέ-
γοντες· Κύριε, κλῖνον οὐρανούς, καὶ κατάβηθι· καὶ κλίνας οὐρανούς, καὶ καταβὰς ἐπὶ τὸ σῶσαι τὸ Ψαλ. ρμγ. ε.
γένος τῶν ἀνθρώπων ἐν εἰρήνῃ, λέγεις, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; τί
δὲ μακαρίζεις τοὺς εἰρηνοποιούς, ὅτι υἱοὶ Θεοῦ κληθήσονται; τί οὖν ὁ διδάσκων ἄλλους εἰ-
ρηνοποιεῖν, τί λέγεις περὶ σεαυτοῦ, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; διὰ τὰ ἁμαρ-
40 τήματα ἡμῶν ἐχθρὸς ἡμῶν γέγονεν ὁ Κύριος· μεσίτου ἐδεόμεθα τοῦ λύοντος μὲν τὴν μεταξὺ
ἡμῶν ἔχθραν, εἰρήνην δὲ γλυκεῖαν βραβεύοντος. καὶ ὁ πατὴρ ἡμῶν Ἰὼβ περὶ τοῦ μεσίτου
ηὔχετο λέγων· Εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ ἐλέγχων. καὶ ἐλθὼν μεσιτεῦσαι καὶ λῦσαι τὴν ἔχθραν, Ιωβ. θ. λγ.
τὰ ἐναντία λέγεις, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν; καὶ ἐν τίνι λοιπὸν τὴν ἐλπίδα
τῆς εἰρήνης ἐκδεξόμεθα; ἀλλὰ ναί· πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, τὴν ὑφ᾽ ὑμετέροις πο-

σὶ πατουμένην. ἐπειδὴ γὰρ ὁ διάβολος ἐν ταῖς τῶν ἀνθρώπων καρδίαις ἀκάνθας καὶ τρι-
βόλους ἐνέσπειρεν ἁμαρτιῶν, πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, τὴν τῶν ἀκανθῶν ἀνάλωσιν.
διὰ τοῦτο πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ θέλω, εἰ ἤδη ἀνήφθη, καθαίρουσα τὴν ἐμὴν γῆν.
δεῖ μετὰ τοῦ διαβόλου πικροφόρα καὶ βλαστοποιὰ βλαστήματα πυρὶ ἐξαναλῶσαι, ἵνα καθα-
ρᾷ τῇ ψυχῇ τὸν οὐράνιον σπόρον ἐνσπείρω. διὰ τοῦτο πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν. πλάσας 5
ἐξ ἀρχῆς τὸν ἄνθρωπον ἐκ γῆς, ἀπεθέμην θεῖον πυρὸς ἐν μέσῃ αὐτοῦ τῇ καρδίᾳ ᾤκισα, πρὸς
τὸ διὰ πυρὸς ἔχεσθαι αὐτὸν τῆς πρὸς Θεὸν ἀγάπης. ἐπεὶ οὖν τοῦτον τὸν θεῖον ἀπεθέμην τοῦ
πυρὸς, καὶ ταύτην τὴν θέρμην ἐκβαλεῖν ἦν ἀδύνατον, ἵνα καλλιφερὲς ἔχωσι τὴν τοῦ ἁγίου
πνεύματος ἔξαψιν (κρυμῷ γὰρ ἀσεβείας τὰς τῶν ἀνθρώπων ψυχὰς ἐνέκρωσεν ὁ διάβολος)
δεῖ με πῦρ βαλεῖν ἐπὶ τὴν γῆν· ἵνα ἐκλύσας καὶ χαυνώσας τὸν ἐκ τοῦ διαβόλου ἐπιγεγενημέ- 10
νον ταῖς ψυχαῖς χειμῶνα τῆς ἀπιστίας, εὔδιον καὶ γαληνιῶσαν τὴν φρένα καταστήσας, ἀναθάλ-
λειν καὶ χλοηφορεῖν αὐτὴν ποιήσω.

Εἰσέρχεται οὖν εἰς τὴν μάνδραν αὐτοῦ, καλύπτων τὸν ποιμένα ἐν τῷ δερρίῳ τοῦ σώ-
ματος, οὐ βακτηρίαν ἐπιφερόμενος, οὐ ῥάβδον ἀπειλοῦσαν τὴν προτέραν πληγήν, ἵνα
μὴ δειλιάσαν καὶ πτοηθὲν τὸ πρόβατον πάλιν ἀποδράσῃ τοῦ ἰδίου ποιμένος. ἀλλ' εἰσέρχεται 15
εἰς τὸν οἶκον τοῦ Φαρισαίου, οὐχ ὡς Θεὸς, οὐχ ὡς βασιλεὺς, οὐχ ὡς ἥλιος δικαιοσύνης,
ἀλλ' ὡς ἄνθρωπος πρὸς ἄνθρωπον, ὡς δέρριον πρὸς δέρριον, συνδιαιτᾶται αὐτῷ, συν-
νέμεται, συγχλοάζεται, εἰσέρχεται, συναναπίπτει τῷ ἤδη πεπτωκότι ὑπὸ τὴν ἁμαρ-
τίαν, ἵνα ἐν τῷ συναναπεσεῖν, τὸν ἤδη πεπτωκότα ἑαυτῷ συνεγείρῃ. καὶ εἰσελθὼν οὐκ ἐ-
βαπτίσθη κατὰ τὸ ἦθος τῶν Φαρισαίων. τοῦτο δὲ ἐποίει κατὰ δύο τρόπους, ἵνα δώσῃ τῷ προβά- 20
τῳ ἀφορμὴν λαλεῖν πρὸς τὸν ποιμένα. ἔτι δὲ καὶ δόγμα Ἰουδαϊκὸν καταλῦσαι, καὶ βεβαι-
ῶσαι πνευματικόν. Εἶδε γὰρ, φησιν, ὁ Φαρισαῖος, καὶ ἐθαύμασεν, ὅτι οὐ πρότερον ἐβαπτί-
σθη. ἐθαύμασεν, οὐκ ἐπαινῶν τὸν διδάσκαλον, ἀλλ' ἀπορῶν τὸ γινόμενον, οὐκ ἐπαινῶν, ἀλλὰ
κρίνων. καὶ ἦν ἰδεῖν, ἀγαπητοὶ, τὸν ζωοπλάστην ὑπὸ τοῦ πλάσματος κρινόμενον, καὶ τὸν κερα-
μέα ὑπὸ τοῦ πηλοῦ διορθούμενον. τοῦτο δὲ ἔφασκεν ὁ Φαρισαῖος, μὴ θεωρῶν τοῖς κρυπτοῖς 25
ὀφθαλμοῖς τῆς καρδίας τὸν ἔνδοθεν τῶν ἀγγέλων ταξίαρχον, καὶ τῶν σεραφὶμ καὶ χερουβίμ. εἰ γὰρ
ἐθεάσατο τοῦτον, προσέπεσεν ἂν αὐτοῦ τοῖς γόνασι, καὶ τοῖς δάκρυσιν αὐτοῦ ἔπλυνε τοὺς πόδας, καὶ
ἔλεγεν· ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. ἔλεγε γὰρ ἂν, σὺ εἶ ὁ ἐξ οὐκ ὄντων τὰ πάντα εἰς τὸ εἶ-
ναι παραγαγών· τῷ σῷ λόγῳ οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματός σου πᾶσα ἡ
δύναμις αὐτῶν· συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης· σὺ τιθεὶς ἐν τοῖς θησαυροῖς ἀ- 30
βύσσους. ἀπὸ σοῦ φοβεῖται πᾶσα ἡ γῆ· ἀπὸ σοῦ σαλεύεται ἡ σύμπασα οἰκουμένη. ἀλλ' οὐδὲν τού-
των οὔτε ἐννοήσας, οὔτε εἰρηκὼς, ἔκρινε τὸν διδάσκαλον. ὁ δὲ Κύριος πρόφασιν δεδωκὼς (ὥσπερ
κἀκείνῃ τῇ Σαμαρείτιδι ἐκ τοῦ αἰτῆσαι αὐτὸν παρ' αὐτῆς ὕδωρ, ἔδωκεν αὐτῇ χάριν τοῦ αἰτῆσαι
παρ' αὐτοῦ τὸ αἰώνιον ὕδωρ) ἄρχεται οὖν ὁ Κύριος ἠρέμα ἐπιστρέφειν τὸ πρόβατον, καὶ ἀπὸ τῆς
πλάνης ἐπὶ τὴν ἀλήθειαν αὐτὸ χειραγωγεῖν. Ἄρτι γὰρ ὑμεῖς Φαρισαῖοι, τὸ ἔξωθεν τοῦ 35
ποτηρίου καὶ τοῦ πίνακος πλύνετε, τὸ δὲ ἔσωθεν γέμει ἁρπαγῆς καὶ δόλου· τουτέστιν, ὑμεῖς νῦν
τὸ σῶμα καλλωπίζετε, τὰς δὲ ψυχὰς κακίζετε. πῶς δὲ σε τέρψει χρυσοῦν ἐὰν ᾖ τὸ ποτήριον,
ὅταν ἔνδοθεν ἔχῃ θανατηφόρον πότον; οὐχὶ τοιαῦται αἱ πόρναι; τὰς ὄψεις ἑαυτῶν τοῖς χρώμα-
σιν ἀνθίζουσαι, τὰς ψυχὰς ἀφανίζουσιν. ἢ γὰρ οὐχὶ τὰς ὄψεις ἑαυτῶν τῷ φοίνικι ἐρυθραίνου-
σαι, εἴδωλον τῆς μελλούσης αὐτὰς διαδέχεσθαι φλογὸς οἰκείοις δακτύλοις ἐργάζονται, 40
δέον αὐτὰς τῷ αἵματι Ἰησοῦ τὰς καρδίας ῥαντίζειν, καὶ τῷ πνεύματι τὰς ψυχὰς ἐκλευκαίνειν,
ἵνα τὸ ἄνθος τῆς ψυχῆς ἀστράπτον, καθάπερ ῥόδον ἐκείνῳ μεμιγμένον ὑπάρχῃ; νῦν δὲ
τὰς ὄψεις αὐτῶν ἐκσπογγίζουσιν, ἵνα τὰς τῶν νέων καρδίας εἰς μανίαν ἑλκύσωσι. νῦν ὑμεῖς
οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος πλύνετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπα-

Λουκ. ια. λη.

Λουκ. ια. λθ.

γῆς καὶ πονηρίας. ὁ Ἰωάννης ἔλεγε· διὰ τί τὸ μὲν σῶμα ὕδατι λούετε, τὰ δὲ πλαίσματα τῷ πνεύματι οὐ λούετε; τολμῶ γὰρ εἰπεῖν, ἀγαπητοί, οὐδὲν ὠφεληθήσεται ἄνθρωπος, κἂν τὸ σῶμα πλυνῇ καὶ τὸ πνεῦμα, ἐὰν μὴ ἔχῃ συνεργὸν καὶ σύνδρομον τὴν ἐλεημοσύνην. ὥσπερ δὲ ποτήριον ἔξωθεν καὶ ἔνδοθεν πλυθὲν, μὴ ἔχον δὲ ποτὸν, οὐκ ἂν ἰάσηται τοῦ διψῶντος τὴν
5 ἐπιθυμίαν, ὁμοίως δὲ καὶ πινάκιον πλυθὲν ἔσωθεν καὶ ἔξωθεν οὐ θρέψει τὸν πεινῶντα, ἐὰν μὴ ἔχῃ ἔνδοθεν βρώματα· οὕτω καὶ ἄνθρωπος, κἂν ἔσωθεν ᾖ πεπλυμμένος καὶ ἔξωθεν, οὐ θρέψει τὸν Κύριον, ἐὰν μὴ θρέψῃ τὸν σύνδουλον. διὸ ἐπιφέρει ὁ Κύριος καὶ λέγει· Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ τὰ πάντα καθαρὰ ὑμῖν ἔσται. πλὴν τὰ ἐνόντα λέγει. οὐ γὰρ τοσοῦτον τῇ τῶν πολυχρύσων προσκομιδῇ τέρπεται, ὅσον τῇ τῶν ἀδόλων ἀνυποκρί-
10 τῳ προσφορᾷ. μὴ βοήσῃς οὖν ὁ πένης, ὅτι οὐκ ἔχεις χρυσοῦ καὶ ἀργύρου τόσας· ῥίψον εἰς τὸ γαζοφυλάκιον ὃ ἔχεις· καὶ δύο λεπτὰ δίκαιοι. μνήσθητι τῆς χήρας ἐκείνης, ὅτι ἐδικαιώθη παρὰ τοὺς πολυχρύσους. ὁ Θεὸς οὐ χρήματα οἶδε σταθμίζειν, ἀλλὰ συνείδησιν δοκιμάζει. ἐλεημοσύνη σπίλους μοιχῶν ἀποσμήχει, καὶ μισθοὺς ἀγαθοὺς θησαυρίζει· ἐλεημοσύνη τὰς ψυχὰς ἐκλευκαίνει, καὶ τὰς πορφυρὰς ἐξυφαίνει. ὦ ἐλεημοσύνη ψυχῶν ζωο-
15 πική, χορηγία ψυχῆς, καλὴ στρατηγία. ῥίψατε χρυσὸν, καὶ λάβετε Χριστόν· δότε ἀργύριον, καὶ λάβετε ἅγιον· σκορπίσατε χαλκὸν, καὶ συνεξελεύσεται αὐτῷ ὁ ἰὸς τῆς ἁμαρτίας· δροσίσατε τὸν ἔλεον, καὶ σβέσατε τὴν κάμινον· καὶ δότε ἱμάτια, ἵνα λάβητε ἰάματα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Λυκ. ια. μα.

20

ΝΟΥΘΕΣΙΑΙ ΠΝΕΥΜΑΤΙΚΑΙ.

Λογ. οθ.

Ex Ms. ἐν Χάλκῃ νήσῳ τοῦ Χαλκηδόνος.

Καιρός σοι λοιπὸν ἀνανῆψαι καὶ πάντα ἀποσείσασθαι. μνήσθητι ὅτι σήμερον ἢ αὔριον ἰδεῖν ἔχεις τοὺς θρόνους, καὶ τοὺς ἀγγέλους θεάσασθαι, καὶ παραστῆναι τῷ φοβερῷ βήματι, καὶ ἐλθεῖν ἐνώπιον τοῦ Θεοῦ ἐν τῷ
25 κριτηρίῳ αὐτοῦ, ἐν τῷ τῆς σωφροσύνης καὶ δικαιοσύνης καὶ ἀληθείας δικαστηρίῳ, καὶ λόγον δοῦναι παντὸς τοῦ βίου σου. εἰ θέλεις ἰδεῖν τὸν ἅγιον, ἁγίασον σεαυτόν· εἰ θέλεις ἰδεῖν τὸν ἅγιον καὶ ἀμίαντον, ἅγνισον σεαυτὸν πρότερον. ἀφ' οὗ τις ἔλθῃ εἰς τὸν φόβον τοῦ Θεοῦ, ὅλον ἑαυτὸν ἀνέθηκε τῷ Θεῷ, καὶ οὐκέτι ἔχει ἑαυτοῦ ἐξουσίαν. τῷ γὰρ νόμῳ τοῦ Θεοῦ κατέγραψεν ἑαυτόν. ἀρνησάσθω οὖν
30 ἑαυτὸν καὶ τὰ θελήματα ἑαυτοῦ, καὶ ἀκολουθησάτω τῷ Θεῷ. πόσην ἤγειρε θάλασσαν ἐν τῷ βίῳ ἡ πολιτεία τῆς σαρκὸς ταύτης; ὅσα κύματα εἰργάσατο; ὅσας ταραχάς; ὅσους ἀνέμους; ὅσα ναυάγια; ὅσας ἀνομίας καὶ ἁμαρτίας; ὅσας συμφορὰς καὶ τραγῳδίας; ὅσα κακὰ ἐν πάσαις ταῖς πόλεσιν; ὅσα κατ' οἴκους; ὅσα κατ' ἀγοράν; τίς ἡ δύναμις αὐτῆς, ἢ τίς ἡ ἰσχὺς αὐτῆς; ὅλα φοβοῦμαι τὰ ἔχει. ἡ γέννησις αὐτῆς φόβος, ὁ θάνατος φόβος, ἡ ζωὴ αὐτῆς φόβος,
35 τὰ μετὰ θάνατον ἄρρητα καὶ ἀδιήγητα. ῥοπὴ ζυγοῦ ἐστιν ἐν τῇ καρδίᾳ ἡμῶν. ἐκεῖ ῥέπει ὁ ζυγός. κροῦσον, σπούδασον, ἵνα ἀνοιγῇ σοι ταχέως. μνήσθητι ὅτι οὐ μετ' οὐ πολὺ πάντα καταλιμπάνεις τὰ ὁρώμενα, τὸν οὐρανὸν καὶ τὴν γῆν, τοὺς ἀνθρώπους, τὰ πράγματα· μνήσθητι ὅτι οὐδενὶ, οὐ σώματι, οὐ ψυχῇ. μικρὰ φροντὶς ἐτάραξέ σε, μικρὰ ἀγωνία κατέπληξέ σε, μικρὰ θλίψις κατέβαλέ σε, μικρὸς πόνος ἐθορύβησέ σε, λόγος ψιλὸς κατεκτύπη-
40 σέ σε· καὶ διὰ τί μὴ μισήσῃς τὸν βίον τοῦτον; ἐγὼ δέ σοι λέγω, ὅτι μετοικῆσαι ὀφείλεις, καὶ ἄνω ἐν ταῖς πύλαις τοῦ οὐρανοῦ πῆξαι σεαυτῷ σκηνὴν, καὶ ἐκεῖ καταμόνας διάξαι, καὶ δέεσθαι τοῦ Θεοῦ μέχρι θανάτου, ἵνα εὐμενῶς προσδέξηταί σε, καὶ ἀνοίξῃ σοι ἐν καιρῷ ταχέως. κάτω ἐπὶ γῆς τὸ σῶμα κλινάτω γόνυ τῷ Θεῷ· καὶ ἄνω ἡ ψυχὴ παρακαλείτω διαπαντὸς, ἐπὶ πρόσωπον ἑαυτὴν ῥίπτουσα. φιλονεικησάτω τίς πλέον κάμει ἐν τῇ δεήσει. κατὰ σὲ οὖν ὁ κόσμος

ἀπέθανε, μετὰ σὲ ἦλθεν ἡ κτίσις ἡ μέλλουσα. ὅσον δύνασαι ταύτην ἄπωσαι κἀκείνην μνημόνευε. βέλτιον τὰ κακὰ τῆς μελλούσης, ἢ τὰ ἀγαθὰ τῆς παρούσης λογίζεσθαι. ἐκεῖνά σοι φόβον Θεοῦ παρέξενει, ταῦτα δὲ καὶ τὸν ὄντα συλᾷ ἐν τοῖς πνευματικοῖς πράγμασιν. ὀρφανοί ἐσμεν ἅπαντες· οὐδένα ἔχομεν, εἰ μὴ τὸν Θεὸν, βοηθὸν, καὶ τὴν σπουδὴν ἑαυτῶν. οὐκοῦν πάντων διαπτύσαντες, φροντίσωμεν ἑαυτῶν. μνήσθητι σεαυτοῦ καὶ τῶν κακῶν τῶν περιεχόντων σε· μνήσθητι τῶν ἁμαρτιῶν σου λοιπὸν, καὶ τῆς κρίσεώς σου· μνήσθητι, ὅτι ἄνθρωπος εἶ θνητὸς καὶ ἀσθενὴς καὶ ταλαίπωρος, ῥυπαρὸς καὶ ἀκάθαρτος· μνήσθητι, ὅτι ἄνθρωπος εἶ ἐν βίῳ θλιβερῷ διάγων καὶ κινδύνων μεστῷ, πολλοὺς ἀποκτείναντι καὶ καλοὺς καὶ κακοὺς, σοφοὺς καὶ ἀσόφους, πλουσίους καὶ πένητας. ἄγε, φέρε, ἵνα φάγῃς καὶ πίῃς, καὶ ἑνὸς ψωμοῦ οὐκ ἔχεις τὸ ἀσφαλές. μνήσθητι, ὅτι ἄνθρωπος εἶ, ὀστέα τεταπεινωμένα ἀπὸ κεφαλῆς ἕως ποδῶν, μὴ δυνάμενος μιᾶς ἡμέρας ὑπενεγκεῖν κόπον, ἢ μιᾶς νυκτὸς ἀγρυπνίαν· μνήσθητι πόσα προσέκρουσας τῷ Θεῷ ἐν ἔργοις καὶ λόγοις καὶ ἐνθυμήμασι· μνήσθητι, ὅτι λέοντι καὶ δράκοντι παλαίεις ἡμέρας καὶ νυκτός· λόγισαι πόσαι εἰσὶν ἐν ᾅδου ψυχαὶ, ὅτι καταφρονήσασαι τοῦ φόβου τοῦ Θεοῦ, μικρᾶς ἀνέσεως παρακαλοῦσαι τυχεῖν, καὶ μὴ τυγχάνουσαι, ἀλλ' εἰς τὰ κατώτατα τῆς γῆς θρηνοῦσαι τὰς πορνείας ἑαυτῶν, καὶ τὰς ῥαθυμίας, καὶ τὰς τρυφὰς, τὰς πονηρίας αὐτῶν καὶ τὰς λογομαχίας. μνήσθητι, ὅτι οὐκ εἰς μακρὰν σε δεῖ ἀποθανεῖν καὶ κριθῆναι, καὶ τοῦτο μὴ παύσῃ καταλέγων τῇ ἑαυτοῦ ψυχῇ. γράψον δὲ μικρὸν τοῦτο λογάριον ἐν τῇ καρδίᾳ σου· δῆσον αὐτὸ περὶ σῷ τραχήλῳ. κρεῖττόν ἐστι διαδήματος βασιλικοῦ. τοῦτο εἰς κόλασιν ἄγει, ἐκεῖνο ζωὴν αἰώνιον παρέξενει. ταῦτα μελέτα· ἐν τούτοις ἴσθι διαπαντός. ἐὰν ἐν τούτοις ᾖς, ἐν τοῖς ἐναντίοις οὐχ εὑρίσκῃ ποτέ. εἰ δὲ ἐν τούτοις οὐ καταμύσῃ, ἐν τίνι ἀλιαθήσεται ἡ καρδία σου; ὅτι κἂν ἐχθὲς ἡ ἡμέρα Κυρίου, φοβηθῶμεν καὶ ἡσυχάσωμεν. ὁ θέλων ἄμωμος εἶναι ἐν ἔργοις καὶ λόγοις καὶ ἐνθυμήμασι, τί ἄλλο πράττειν ὀφείλει, εἰ μὴ διαπαντὸς ἡσυχάζειν καὶ εὔχεσθαι καὶ σιωπᾷν, καὶ καταφρονεῖν ἁπάντων τῶν ἐπὶ τῆς γῆς; ὁ γὰρ τοῦτο θέλων κατορθῶσαι, Θεὸν ἑαυτὸν ποιεῖ ἐπὶ τῆς γῆς, κατὰ τὸν εἰπόντα, γίνεσθε μιμηταὶ τοῦ Θεοῦ. ἰδοὺ ἐτεκνοποιήθημεν ὑπὸ τοῦ Θεοῦ· τί δικαιότερον, ἢ υἱὸν μιμήσασθαι πατέρα; εἰ τέκνον γνήσιον εἶ, ἀκολούθησον προστάγμασι πατρικοῖς, καὶ μάλιστα δικαίοις οὖσι καὶ ὠφελίμοις. ὁ ἔχων πρὸς δαίμονας, τί ὀφείλει ποιεῖν, ἢ ἀδιαλείπτως προσεύχεσθαι; ὁ καθ' ἡμέραν κινδυνεύων ψυχῇ καὶ σώματι, τί ἄλλο πράττειν ὀφείλει, ἢ ἀγωνιᾶν καὶ δέεσθαι τοῦ Θεοῦ; ἀλλὰ λέγεις, τὰ πάθη τυραννοῦσί με, καὶ ὁ φόβος τύραννός ἐστι. τύραννος τυράννῳ ἀντιπίπτει. σείει μόνον τὴν γῆν, καὶ ἅπαντες τρέμουσι. τίς οὐ φοβεῖται τὸν ποταμὸν τοῦ πυρός; μία ἡμέρα τοῦ σκότους ὑπὲρ ὅλα τὰ ἐν βίῳ κακὰ καταφέρει οὕτω τῶν ἐνταῦθα ὡς ἀπαραμυθήτων. ὕβρισέ τις, ἢ ἐτύπτησεν; ἔλπισον ἐπὶ Κύριον, ὅτι πολλὴν σοι παρέξει τῆς ὑπομονῆς τὸν μισθόν. ἀπὸ τῆς ἐλπίδος ἡ πίστις, ἀπὸ τούτων ἡ ἀγάπη· ὅτι μικροῦ λόγου καὶ μικρᾶς ὑπομονῆς ὁ δεσπότης παράδεισόν σοι χαρίζεται, ὡς ἀθλητὴν σε στέφει διὰ πόμα ψυχρόν. ἡ γὰρ πίστις σου πολλοῦ ἀξία ἐστί. τὴν ἀρετὴν ποίησον σεαυτῷ νύμφην, καὶ ἐγκράτειαν καὶ σωφροσύνην, παῖδάς σου ζῶντας καὶ προσάγοντας εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. αἰσαμένη τῷ πρωῒ ἡ ψυχή σου ὀρθριζέτω πρὸς τὸν Κύριον, καὶ ἑσπέρας ἀναχωροῦσα, ἀναπαυέσθω ἐπὶ κλίνης πνευματικῆς, ἐπὶ λογισμοῖς εὐσεβέσιν, ἐπὶ ἐλπίδι τοῦ Θεοῦ, ἐπὶ ἀπαθείᾳ καὶ καθαρωσύνῃ· διότι τὰ προστάγματα τοῦ Θεοῦ φῶς εἰσι καὶ ζωὴ καὶ ἀνάπαυσις, εὐλογία καὶ δικαιοσύνη. τὰ δὲ ἐντάλματα τοῦ Σατανᾶ σκότος καὶ θάνατος, κόλασις καὶ ἁμαρτία καὶ κατάρα. ἐν σοί ἐστιν ἢ τούτοις ἢ ἐκείνοις ἀκολουθῆσαι. ἐὰν ταῖς τοῦ Κυρίου ἐντολαῖς ἀκολουθήσῃς, ὅλα σοι τὰ καλὰ πάντα, τὸ φῶς, ἡ ζωὴ, ἡ ἀνάπαυσις, ἡ εὐλογία, τῆς δικαιοσύνης ὁ στέφανος· ἐὰν δὲ ταῖς τοῦ Σατανᾶ πεισθῇς, τὰ ἐναντία τούτων ἅπαντα σοι. τίς οὕτω ἄφρων αἱρεῖται αἰσχύνην καὶ ὄνειδος μετὰ κολάσεως αἰωνίου, ἀντὶ δόξης καὶ ἐπαίνων καὶ ἀθα-

ἴσ. αὐτὴ κ. ψυχ.

νάτου

νάτου τρυφῆς; ἀνάστα, σπεῦσον, δράμε, ἐπιλαβοῦ. ὁ γάμος ηὐτρέπισται, καὶ ταῦροι τεθυ-
μένοι εἰσὶ, τὰ σιτιστὰ ἕτοιμά σε περιμένουσιν, καὶ ἄριστηται, καθὼς γέγραπται, ἐμὲ ὑπο-
μένουσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι. σπούδασον, ἵνα καταλάβῃς. ἰδοὺ ἡ χαρὰ, ἰδοὺ
ἡ ἀνάπαυσις, ἰδοὺ τὸ φῶς, ἰδοὺ ἡ ζωὴ, ἰδοὺ ἡ δόξα, ἰδοὺ ἡ τρυφὴ, ἰδοὺ τὰ ἀληθῆ καὶ αἰώ-
νια, ἰδοὺ τὰ μεγάλα καὶ θαυμαστὰ, ἰδοὺ πάντα ὡς θέλεις, μᾶλλον δὲ καὶ ὑπὲρ ὃ θέλεις.
γνῶθι μόνον ὅτι ἐθαυμάστωσε τοὺς ὁσίους αὐτοῦ ὁ Θεός, ἐδόξασε τοὺς ἁγίους αὐτοῦ, ἐκαύχησε
τοὺς φοβουμένους αὐτὸν, ὕψωσε τοὺς ἀγαπῶντας αὐτόν. μὴ φθονήσωμεν ἑαυτοῖς τοσούτων ἀ-
γαθῶν προκειμένων, τοιαύτης ἐλπίδος. ἄλλοι μικροῦ κέρδους χάριν ἀθλοῦσι, πολεμοῦσι,
θαλαττεύουσι, κινδυνεύουσιν· ἡμεῖς καινοὺς οὐρανοὺς, καὶ καινὴν γῆν μέλλοντες κληρονομεῖν, τί
ἀθυμοῦμεν, τί διστάζομεν, τί φθειρόμενοι ἐν τῇ ὕλῃ ταύτῃ, ὅλα τὰ πράγματα παντο-
ποιά, προξενητικὰ καὶ τῷ σώματι καὶ τῇ ψυχῇ πράττομεν; ἡ τρυφὴ ἡμῶν εἰρήνην οὐκ
ἔχει· ὁ ὕπνος, τὸ βάδισμα, ὅλα σκανδαλώδη. τίς ὡς ἠθέλησεν ἔζησε; τί τοῦ βίου τούτου οὐκ
ἔστιν ἐπαχθές; αὕτη ἡ σὰρξ ἡμῶν οὐ σπένδεται ἡμῖν. ὑγιαίνουσα πολεμεῖ, ἀῤῥωστοῦσα θλί-
βει. τίς ἄλυπος ἐξῆλθεν ἐκ τοῦ βίου τούτου; τίς οὐκ ἐγεύσατο τῶν ἁλμυρῶν ὑδάτων τῆς
πικρᾶς ταύτης θαλάσσης, τῶν ἐπαλλήλων κυμάτων; τίς οὐκ ἐστέναξεν ἐπ' αὐτοῖς; πόσους με-
γάλους ἐπαλέρνισεν ἡ παροῦσα ζωὴ, καὶ τρέχοντας καλῶς ἐπαγίδευσε; καὶ οὐδὲν θαυμαστόν.
δαίμονες γάρ εἰσιν καὶ ἐνεργοῦντες, διάβολος ὁ ἐνεδρεύων. ταῦτα οὖν εἰδότες μετανο-
ήσωμεν ἐν ὅλῃ καρδίᾳ, μὴ αἱ ἡδοναὶ ἡμῶν στραφῶσιν εἰς θρήνους καὶ δάκρυα· βοηθήσωμεν
ἑαυτοῖς, ἀποσπάσωμεν τὴν ψυχὴν ἑαυτῶν ἐκ τοῦ κόσμου τούτου, ἔτι δὲ καὶ τῆς ἰδίας σαρκός·
εὕροιτο ἑαυτῇ καλλίον εἰς τὰ πέρατα τῆς γῆς, ὅπως ἂν βοήσῃ καὶ αὐτὴ πρὸς τὸν Κύριον, ἐ-
λέησόν με τὴν μόνην· ἰδοὺ πάντα ἀφῆκα, καὶ ἠκολούθησά σοι· ἰδοὺ πάντα ἤρνημαι διὰ τὸν
σὸν φόβον. ἡ κατάνυξις ἡμῶν ἕως τῶν νεφελῶν φθασάτω, καὶ στεναγμοὶ ἡμῶν τοῖς οὐρα-
νοῖς ἐγγισάτωσαν, αἱ προσευχαὶ ἡμῶν καὶ αἱ ἐλεημοσύναι ἐλθέτωσαν ἐνώπιον τοῦ Θεοῦ. λει-
τουργήσωμεν αὐτῷ μετὰ πάσης ἀληθείας, μετὰ εὐλαβείας καὶ δέους· πάντα ποιήσωμεν, ἵνα ἐκεῖ
μὴ μεταγνῶμεν· πάντα ὑπομείνωμεν, ἵνα καὶ τῶν ἀγαθῶν ἀπολαύσωμεν τοῦ Θεοῦ,
ἵνα τὴν μείζονα παῤῥησίαν κτησώμεθα, ἵνα τιμιωτέρων ἀξιωθῶμεν δωρεῶν, ἵνα μηδενὸς τῶν
ἁγίων ὀφθῶμεν δεύτεροι. μέγας πειρασμὸς ὁ βίος ἡμῶν, καὶ οὐδεὶς οἶδε· μέγας χειμὼν, καὶ
οὐδεὶς κατανοεῖ. δῶμεν τόπον τῇ ἐνεργείᾳ τῶν παθῶν, καὶ τῇ ἐν ἡμῖν οἰκούσῃ ἁμαρτίᾳ κατὰ τὸν
ἀπόστολον· δῶμεν τόπον τοῖς παροργισμοῖς τῶν ἀνθρώπων· δῶμεν τόπον τῇ σαρκὶ ταύτῃ καὶ
ταῖς ἐπιθυμίαις αὐτῆς· δῶμεν τόπον τῷ κόσμῳ τούτῳ καὶ ταῖς δυσχερείαις αὐτοῦ· δῶμεν τόπον
ὅλοις τοῖς πειρασμοῖς, ὅλαις ταῖς θλίψεσι· κρυβῶμεν ἀπ' αὐτῶν. διωκόμεθα γὰρ ἀπ' αὐτῶν,
καὶ ζητούμεθα πάντες εἰς τὸ ἀποκτανθῆναι ὑπὸ δαιμόνων, ὑπὸ πραγμάτων, ὑπὸ ἀνθρώ-
πων ἐρεθιζομένων ὑπὸ τοῦ Σατανᾶ· ἑαυτοῖς μόνοις προσέχωμεν, καὶ τῷ Θεῷ, ἑαυτῶν
ἐκδύντες τὸ σῶμα τοῦτο τοῖς θέλουσι τύπτειν. πολλῶν γὰρ πληγῶν καθέστηκεν ἄξιον. ἄνω
τὴν καρδίαν τείνωμεν ἑαυτῶν, ἐκχέοντες ὅλην ἑαυτῶν τὴν ψυχὴν ἐνώπιον τοῦ Θεοῦ, ἵνα
σωθῶμεν καὶ ἐλεηθῶμεν καὶ ζήσωμεν, σκιρτῶντες καὶ τρυφῶντες καὶ χαίροντες, εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΡΧΗΝ ΤΩΝ ΝΗΣΤΕΙΩΝ, ΚΑΙ περὶ νηστείας. Λογ. π.

Ex Ms. ἐν Χάλκῃ νήσῳ ἐκ Χαλκηδόνος.

Τὸ πνευματικὸν ἡμῖν σήμερον, ἀγαπητοί, τῆς νηστείας ἔλαμψεν ἔαρ, καὶ οἱ τῆς ἐγκρατείας λιμένες τοῖς ἐμπόροις τῆς εὐσεβείας ἠνεῴχθησαν· οἱ τοίνυν τῆς ἐκκλησίας ναῦται πρὸς τὴν οὐράνιον ἡμᾶς ἐμπορείαν καλοῦσι, καὶ τὸν πλοῦν τῆς δικαιοσύνης ἡμῖν εὐτρεπίζουσι, τὰς περιφανεῖς ἡμῖν ἀναπετάζοντες διφθέρας, καὶ τοὺς οἴακας τοῦ νόμου μεταχειρίζονται· τοῦ τιμίου σταυροῦ τὸν ἱστὸν ἐξαρτῶσι, καὶ τὴν ἄγκυραν τῆς πίστεως περισφίγγουσι· τὸ πνεῦμα τὸ ἅγιον τὴν ὁλκάδα ταύτην μηνύει, καὶ ὁ τοῦ παντὸς ποιητὴς αὐτὴν περιέπει. δεῦτε τοίνυν καὶ ἡμεῖς σήμερον, ἀγαπητοί, τῆς νηστείας τὴν ἁγνείαν πρὸ τῶν θυρῶν ἑστῶσαν χαίροντες ὑποδεξώμεθα, καὶ τοῖς κατὰ ψυχὴν ἀσπασμοῖς βοήσωμεν πρὸς αὐτήν· δεῦρο, ὦ μῆτερ τῶν ἀγαθῶν καὶ τῶν ἀρετῶν, τῆς ἐπουρανίου πλήρωσον ἡμᾶς εὐωδίας, ἄνοιξον ἡμῖν τῆς εὐαγγελικῆς διαγωγῆς τὸν παράδεισον, ἀπολαύσωμεν τῶν πνευματικῶν καρπῶν τῆς ἐγκρατείας, ἅγνισον ἡμᾶς τῷ διαδήματι τῆς σωφροσύνης, βίον ἀθόλωτον ἡμῖν ἐπιχορήγησον, τὰ ἐκ τῆς τρυφῆς τῶν ψυχῶν θεράπευσον τραύματα, τὰ ἐκ τῆς οἰνοφλυγίας κατάσβεσον ὑπεκκαύματα, τοὺς ἐκ τῆς ἀθυμίας πυρέττοντας νοσηροὺς λογισμούς· ἀπόκλεισον τὰ θέατρα τοῦ διαβόλου, ἄνελε τὴν λύσσαν, τὸ τῆς ἀπανθρωπίας θηριότροφον συμπόδισον ἐργαστήριον, ἐπιτίμησον ἀνέμοις τῶν πονηρῶν πνευμάτων, μεταρρύθμισον εἰς τὴν τῶν ἀσωμάτων διαγωγὴν τοὺς νηστεύοντας, δόξον αἰδέσιμον πολιὰν πρεσβύτου, τῷ τῆς ἐγκρατείας ἕλκυσον ἀρότρῳ, φαίδρυνον ἄνδρας ἐν ἀσωτίᾳ διημερεύοντας, κόσμησον γυναῖκα τὸ τῆς σεμνότητος στάδιον διερχομένην, τὴν νεότητα πρὸς τὸν ἀγγελικὸν μεταρρύθμισον βίον. ἀναπνεύσωσι τῶν ματαίων πόνων οἱ κεκμηκότες ταῖς ἁμαρτίαις, τὸν τοῦ παντὸς ἔτους τῇ τεσσαρακοστῇ τῶν ἡμερῶν τῆς νηστείας ἀπορρίψωνται ῥύπον. σὺ γὰρ πληροῖς οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ αὐτὸν ἤδη τὸν παράδεισον. νῦν γὰρ αἱ ὑπερκόσμιοι δυνάμεις ἀγάλλονται, τὰ τῶν ἀγγέλων τάγματα πνευματικῶς πανηγυρίζει· θρόνοι, κυριότητες, ἀρχαὶ καὶ ἐξουσίαι τῇ τῶν ἀνθρώπων εὐφραίνονται σωτηρίᾳ· μόνος ὁ ἐκ τῶν οὐρανῶν ἐκπεσὼν διάβολος ἐπιστενάζων λέγει· ποῦ μοι νῦν ἡ κατὰ τῶν ἐξ ἀδηφαγίας ἐκτραχηλισθέντων μεγαλαυχία; ποῦ μοι τὸ διὰ τῆς βρώσεως κατὰ τῶν ἀνθρώπων ψυχοφθόρου μηχάνημα; ποῦ μοι νῦν ἡ λίχνη τοῦ ξύλου γεῦσις, δι' ἧς τὸν Ἀδὰμ μετὰ τῆς Εὔας ἀπατήσας ἐγύμνωσα; οἴχεται νῦν μοι τὰ τῆς πονηρίας μηχανήματα τῆς νηστείας φανείσης. πόθεν ἡ λεγομένη μοι νηστεία κατεφάνη; τίς ταύτην νῦν κατ' ἐμοῦ ἐστράτευσεν; οὐκέτι Ἀδὰμ μετὰ τῆς Εὔας ἀπατηθεὶς Θεοῦ γυμνοῦται· οὐκέτι συμβουλῇ πείθεται ψυχοφθόρῳ· οὐκέτι λαιμαργεῖ· οὐκέτι τῷ τῆς γαστριμαργίας συνέχεται βρόχῳ. πάλιν διὰ νηστείας Ἀδὰμ εἰς παράδεισον, πάλιν μεγαλαυχεῖ, πάλιν τῇ θείᾳ εἰκόνι ἐναβρύνεται, πάλιν πρὸς τὸ ἀρχέτυπον ἐπανάγεται κάλλος. καὶ τὸ δὴ τούτου δεινότερον, ὅτι παράδεισον διὰ παραβάσεως ἀπολέσας, τῷ τῆς νηστείας ἅρματι εἰς οὐρανοὺς ἀνεπήδησεν. ἐγὼ τὸν ἐκεῖθεν ἔρριψα, καὶ ὁ ἀπερριμμένος πάλιν ταῖς οὐρανίαις ἐποχεῖται δυνάμεσι. γέλως γέγονα ὑπὸ ἀνθρώπων ἡττώμενος, ὑπὸ νηστευόντων καταβαλλόμενος, ὑπὸ φύσεως ἀνθρωπίνης ἐλαυνόμενος. ἀλλὰ τούτοις μὲν ὁ πονηρὸς τὰς ἑαυτοῦ ἀποτυχίας θρηνῳδείτω βαλλόμενος· ἡμεῖς δὲ ἀπὸ τῆς ἀποστολικῆς φαρέτρας εὔστοχον ἐπὶ τοῦ παρόντος ἁρπάσαντες βέλος, αὐτῷ τῆς πλεονεξίας τὰς ἡδονὰς κατατρώσωμεν, μετὰ Παύλου τὰ τοῦ Παύλου βοῶντες· [a] Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα. ἀλλ' εἴθε ἡμῶν ἡ εἴσοδος μιμεῖται τὴν ἔξοδον· εἴθε γυμνός τις ἀπίῃ καὶ τιμωρίας ἐλεύθερος· εἴθε πένης τὴν φύσιν, καὶ τὴν ψυχὴν ἀκατάκριτος· εἴθε πτωχὸς καὶ ἀνέγκλητος· εἴθε ἄπορος καὶ αἰώνιος. ἀλλὰ καὶ τὸ πάνυ δεινόν, ἐνταῦθα καταλιμπάνων τις ἃ συνήγαγε, τὴν ἐξ ἐκείνων ἁμαρτίαν βαστάζων

a Τιμ. ς. ζ.

στάζων ἀπέρχεται· καὶ τοῦ μὲν κέρδους ἐστέρηται, τῆς δὲ δι' αὐτὰ καταδίκης οὐκ ἠλλοτρίωται. ἀλλ' ἕτερος μὲν τὴν ἐκείνου διαδέχεται τὴν ἀπόλαυσιν, ἐκεῖνος δὲ μόνος τὴν κόλασιν ὑπομένει· καὶ ὁ μὴ κτησάμενος, ἔχων τρυφᾷ· ὁ κτησάμενος δὲ, οὐδὲν ἔχων βασανίζεται, ἓν μόνον, τὸ δοῦναι δίκην ἀπὸ τοῦ πλουτῆσαι κερδάνας. ἀνάνηψον τῆς βιωτικῆς θαλάσσης, ὦ ἄνθρωπε, καὶ μέριζον τὸν πλοῦτον ἑκὼν πτωχοῖς, μὴ τοῦτον καταλείψῃς ἐχθροῖς· πρόλαβε τῶν εἰς σὲ κεχηνότων τὰ στόματα· μὴ γένῃ θήρα τῶν τὰς ἀλλοτρίας ἀνιχνευόντων οὐσίας. τέκνων ὑπάρχεις πατήρ; τούτων τὴν ψυχὴν ἀδελφὴν καταρίθμησον, μέρος καὶ αὐτῇ τῆς οὐσίας ἀφόριζον. φιλόπαις εἶ; γενοῦ καὶ φιλόθεος, δι' οὗ τὸ φιλόπαις ἐκτήσω. ἀλλ' ἀπαιδίαν ἐνόσησας; μὴ ἐμπέσῃς εἰς υἱοὺς οὐ δέδωκέ σοι, σαυτὸν δὲ ποιῶν κληρονόμησον· μὴ γυμνὸς ἐλεημοσύνης ὀφθῇς τῷ κριτῇ· φεῦγε τὴν ἀπειλουμένην πυράν· πρὸς τὴν κοινὴν τοῦ γένους ἔξοδον εὐτρεπίσθητι· ἐκείνην σὺ τὴν τελευταίαν ἡμέραν τῆς ζωῆς περισκόπησον. ὅταν σου τὴν ψυχὴν οἱ παρόντες ἄγγελοι ἀθρόον ἐφιστῶνται λαβεῖν, τί δράσεις ὑπὸ τοῦ κλέπτου θανάτου ἑλκόμενος; ὅταν μέλλῃς ἀθυμεῖν ἐκ τοῦ συνέχοντός σε κινδύνου, ὅταν ἀμυδρὸν ὅταν ἆσθμα φθέγγῃ, ὅταν ἀδρανὲς καὶ πυκνὸν πνέῃς, ὅταν ἔνδοθεν ἐπικέηται φλὸξ καταγωνιζομένη τῆς ψυχῆς, ὅτε σύμμαχος οὐδεὶς παρίσταται τοῦ δεινοῦ κατεπείγοντος, ὅτε ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; ὅτε χρήματα ἀπορρέει, ὅτε εἰς τὸ φρικτὸν ἐκεῖνο ἡ ψυχὴ συνελαύνεται δικαστήριον, ὅτε τῶν σαυτοῦ κύριος οὐκέτι γένῃ, ὅταν μεταμεληθῇς ἐφ' οἷς ἔπραξας, τῆς μεταμελείας χώραν οὐκ ἐχούσης λοιπὸν, ὅτε κλείεται τῆς μετανοίας ἡ θύρα, καὶ τοῦ παραδείσου ἡ εἴσοδος ἀποτειχίζεται, ὅταν στενάξῃς μὲν ἐκ καρδίας βάθους, τὸν δὲ ἐξαιρούμενον οὐχ εὑρήσεις; ἆρα οὐ πρὸς τὰ τοιαῦτα κατὰ σαυτὸν ἀπατήσῃς λογισμὸν ἀπορίᾳ, καὶ στενάξεις κατὰ ψυχὴν ἄφωνον, οἴμοι, οἴμοι, ὁ τάλας ἐγώ; ὠθοῦμαι πρὸς ἔξοδον ὁ ταλαίπωρος, ἕλκομαι πρὸς βίαν καταλῦσαι τὸν βίον, ἄγομαι δέσμιος ὅθεν ὑποστρέφειν οὐκ ἔστι. λοιπὸν οὐ βοηθοῦσιν οἰκέται, οὐ παραφαίνονται φίλοι, οἱ κόλακες ἀνεχώρησαν, οἱ δορυφόροι οὐ παρίστανται· οὐ συμπαρατείνει μοι ζωὴν, οὐ συμβάλλεταί μοι χρυσὸς, οὐκ ἐξαιρεῖταί με στρατὸς, οὐ λυτροῦταί με χρήματα, περιφανεῖς οὐ διασώζουσιν οἶκοι· μάτην ᾠκοδόμουν, ἐδαπάνησα ἀκαίρως τοσαῦτα χρήματα, ἐσώρευσα τάλαντα. ἐμοὶ τὰ τῆς δόξης ἐκπέπλευ· οὐκέτι κελεύω, καὶ παρίστανται παῖδες, οὐ προστάττω, καὶ κυκλοῖ με στρατὸς, οὐκ ἐπιτάττω, καὶ πόλεις πᾶσαι τὸ κελευσθὲν ἐκπληροῦσι. τί δράσω ὁ δείλαιος ἐγώ; τί πράξω τῶν ἀνενδότων ἐπικειμένων; δυσωπήσω, ἱκετεύσω πάλιν τὸν ἕλκοντα θάνατον, εἰ καὶ γνώμην ἐλέου οὐκ ἔχει. ἐξαιτῶ σε, ὦ θάνατε, ὀλίγον μοι καιρὸν ζωῆς φιλοτίμησαι. οὐ φοβῇ βασιλικὸν ἀξίωμα; οὐκ εἶδές μου περὶ τὰς θύρας ηὐτρεπισμένον ὄχημα; αἰδέσθητι παρακαλοῦσαν εὐγένειαν, ἐντράπηθι πολιὰν δυσωποῦσαν, φεῖσαι δακρυούσης νεότητος. οὐκ ἀφέσεως, ὦ θάνατε, ὁλοτελοῦς, ἀλλ' ὑπερθέσεως χρῄζω μικρᾶς. ἔτι μου περιλέλοιπα τὸν οἶκον ἀτέλεστον, ἔτι μερίσαι κληρονόμοις, ὡς ὤφειλον, τὸν κλῆρον οὐκ ἔφθασα. λήθη με μέχρι τοῦ παρόντος μὴ νῆψαι πεποίηκε, βιωτικαῖς φροντίσιν ἀπασχολούμενον· τὸν νοῦν εἴασά μου τὸ καιριώτερον ἀπερινόητον. ἄφνω πρὸς δίκην ἕλκεις με. ποίοις εἰσαγόμενος χρήσομαι ῥήμασι; ποίαν καλέσω συνεργὸν εὐπραξίαν; ποῖόν μοι συνηγορήσει κρινομένῳ κατόρθωμα; τί πράξας ἀπολογήσομαι τῷ κριτῇ; τί εἴπω, ἢ τί φθέγξομαι; κάτω νεύειν ὑπὸ τοῦ βάρους τῶν πλημμελημάτων ἀναγκαζόμενος; μακροθύμησον ἔτι ἐμοὶ μικρὸν, παρακαλῶ. ποῦ με ἀνέτοιμον ἕλκεις; τί με γυμνὸν τῷ κριτῇ παραστῆσαι σπουδάζεις; ἔασον, παρακαλῶ, εἴπω τι· λογίσωμαι τὸ πλημμέλημα, ἐξομολογήσεως ἀφήσω φωνὴν, θρηνήσω μικρὸν, στενάξω βραχὺ, δακρύσω πρὸς ὀλίγον. ἀσπάσομαι φίλους, περιπτύξομαι γαμετήν· κἂν ἑνὶ περιβολαίῳ μετανοίας σκεπάσω μου τὴν ψυχήν. μισθώσομαι δικαιολόγους ἐντεῦθεν τοὺς πένητας, προνοήσω μου τοῖς τραύμασι πρὸ τῆς ἐξόδου τὴν ἴασιν, ἣν ἔχω περιουσίαν

Ψαλ. μη. ζ.

πᾶσαν ὑπὲρ ὀλίγης ὑπερθέσεως δίδωμι. καὶ τούτων, ὦ ἄνθρωπε, λέγων σοφώτερα, τοῦ παρεστῶτος θανάτου οὐ κωλύσεις τὸν βίον. θάνατος γὰρ, ἀκολάκευτος δήμιος, θάνατος ἀνυπόκριτον διάταγμα, θάνατος ἐκβίβασις τοῦ γένους ἀπροσωπόληπτος, θάνατος φονεὺς ἀνυπόκριτος, θάνατος ὁδοιπόρος τῆς φύσεως, θάνατος ἀμέμπτως πρὸς βασιλεῖς εἰσιὼν παρίσταται, θάνατος κλέπτης καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ τὴν ὁμοίαν τῆς κλοπῆς ἐργαζόμενος τέχνην, θάνατος ἁρπάζων, δικαιότητος ἅρπαξ, θάνατος δικαίοις μόνοις περιπόθητον κτῆμα. Ταῦτα ἀκούοντες, ἀγαπητοὶ, διαγρηγορῶμεν ἐκνήψαντες· μὴ πάλιν ὕπνῳ ἁμαρτίας καθεύδωμεν· ἐξιλασώμεθα τοῖς δευτέροις τὰ φθάσαντα. ἀδίκως συνέλεξας; δικαίως ἀνάλωσον· ἐξ αὐτῆς τῆς τοῦ πάθους ἀφορμῆς τῷ πάθει κατάστησον φάρμακα. ἠδίκησάς ποτε; πρότερον ὧν ἠδίκησας φεῖσαι. πρότερον δίκαιος, καὶ τότε φιλάνθρωπος· πρότερον ἀπόδος, εἶθ' οὕτω μετάδος· πρότερον ἔκκλινον τοῦ κακοῦ, εἶθ' οὕτω ποίησον ἀγαθόν. μὴ φαίνου φιλόδωρος ἀφ' ὧν οὐκ ἐγένου φιλάδελφος. ὅταν ἐλεήσῃς οὓς ἐποίησας πένητας, τότε πένησιν ἄλλοις ἀφ' ὧν οὐκ ἥρπασας χάρισαι· ὅτε στήσεις τὸ ὑπὸ σοῦ ἀδικηθέντων τὸ δάκρυον, τότε πένησιν ἑτέροις συμπαθήσεις κλαίουσι. *Παροιμ. γ. θ.* Τίμα τὸν Κύριον, εἶπεν ἡ γραφὴ, ἀπὸ σῶν δικαίων πόνων. μὴ γὰρ ἀπατᾶσθε, Θεὸς οὐ μυκτηρίζεται. οὐ δέχεται δωρεὰν ἑτέρου στενάζοντος· οὐκ ἀνέχεται τὴν ἁρπαγὴν ὁ πλάστης μετὰ σοῦ μερίσασθαι. οὐκ ἔστιν ἐκεῖ προφθῆναι τὸ δίκαιον, οὐκ ἔτι τὸν ἐλεγχόμενον ἐκφυγεῖν· ἀλλ' εἴ τι συνοίδας σαυτῷ, ἄνθρωπε, ἄτοπον πεπραχὼς, μετανόησον. ἐξεκυλίσθης ποτὲ, ὦ ἄνθρωπε, πρὸς ἀλόγους ὀρέξεις, τῇ ἀθεμίτῳ δουλεύσας ἀνάγκῃ; ὑπόχρεως γέγονας πολλῶν ἀνομημάτων; μὴ φοβηθῇς τὸν κριτὴν, καὶ ἀπογνῷς τῆς σεαυτοῦ σωτηρίας. ἐλέῳ οἶδεν ἐξαγοράζεσθαι, εὐποιΐαις πενήτων πέφυκε δυσωπεῖσθαι, δωροδοκεῖται πτωχῶν παραμυθίαις. ἄκουσον αὐτοῦ ἐν εὐαγγελίοις βοῶντος· δότε ἐλεημοσύνην, καὶ πάντα πεπλήρωται. δότε μοι, κράζει ὁ πάντας πλουτίζων· δότε μοι, κράζει ὁ πᾶσι διδοὺς εἰς ἀπόλαυσιν. ἀνέχεται καὶ δύο ὀβολοὺς παρὰ χήρας δεχόμενος, οὐκ ἐρυθριᾷ καὶ εἰς ποτήριον ψυχροῦ ὕδατος κατερχόμενος, οἶδε καὶ πρόθεσιν ἀπόρου ἐλεήμονος ἀποδέξασθαι. *Παροιμ. ιθ. ιζ.* αὐτὸς γὰρ εἶπεν, Ὁ ἐλεῶν πτωχοὺς δανείζει Θεῷ· ᾧ πρέπει δόξα καὶ κράτος πάντοτε, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. πα. *Ματθ. ϛ. α.*

ΕΙΣ ΤΟ, ΠΡΟΣΕΧΕΤΕ ΤΗΝ ΕΛΕΗΜΟΣΥΝΗΝ ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων.

Ἐκ MS. Regio Lut.

ΟΙ σοφοὶ καὶ ἐπιστήμονες τῆς γεωργίας τεχνῖται, ὅταν μετὰ πάσης φροντίδος καὶ ἐπιμελείας τὰ κατὰ τὴν γῆν βλαστήματα φυτεύσωσιν, αὐτὰ τὰ φυτὰ πρότερον εἰς μῆκος διεγείρουσιν, εἶθ' οὕτω τὰς παρενοχλούσας φυάδας τεχνικῶς τέμνουσι. τὸ αὐτὸ καὶ ὁ νομοθέτης Μωϋσῆς πεποίηκε. πρότερον γὰρ κατεφύτευσε τὴν μοναρχίαν εἰς τὴν τῶν ἀνθρώπων διάνοιαν· εἶθ' οὕτως ἐξέτεμε τὴν πολυαρχίαν" ἐκ τῆς τῶν ἀνθρώπων διανοίας. καὶ πῶς κατεφύτευσε τὴν μοναρχίαν; ἄκουσον αὐτοῦ λέγοντος· *Δευτ. ϛ. ιγ.* Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ πάλιν, *καὶ ι. κ.* Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι. καὶ πῶς τὰς παρενοχλούσας φυάδας τῆς πολυαρχίας *Δευτ. ϛ. ε.* ἐξέτεμε, μάθε. Οὐ ποιήσεις, φησὶ, θεοὺς χωνευτοὺς, οὐδὲ προσκυνήσεις θεοῖς ἀλλοτρίοις· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου. τοῦτο δὲ καὶ σήμερον αὐτὸς ὁ Θεὸς καὶ σωτὴρ ἡμῶν ποιεῖ. ἐπεὶ γὰρ πρώην ταῖς ἡμετέραις ψυχαῖς κατεφύτευσε τὴν καλὴν ἐλαίαν τῆς ἐλεημοσύνης, καὶ *Ματθ. ε. ζ.* τὸν καρπὸν αὐτῆς ἐστεφάνωσε, τουτέστι, τοὺς ἐλεήμονας, καὶ ἐμακάρισεν εἰπὼν, Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται, εἰκότως σήμερον τὰ παρενοχλοῦντα" τῆς ἐλεημοσύνης

Ἴσ. ἐκ τῆς ἀνθρώπων διανοίας

ἴσ. τῆς ἐλεημοσύνης

ἀνακόπτει

ἀνακόπτει μάταια, καὶ ἀποκαθαίρει. πρώην γὰρ πάντας ὁμοῦ πρὸς ἐλεημοσύνην διεγεί-
ρων, καὶ τὴν μὲν πένητα ἀπὸ τῆς πενιχρᾶς χήρας τῆς ἐν Σαρεφθοῖς τῆς Σιδωνίας ἐπαίδευσε
μὴ προφάσει τῆς ἀπανθρωπίας τὴν πενίαν προβάλλεσθαι· τὸν δὲ πτωχὸν ἀπὸ τῆς πτω-
χῆς χήρας τῆς ἐν τοῖς εὐαγγελίοις καταβαλούσης τὰ δύο λεπτὰ εἰς τὸ γαζοφυλάκιον διή-
5 γειρεν, ὥστε τὸν πτωχὸν πλοῦτον τῆς ἐλεημοσύνης μετὰ προθυμίας συνεισφέρειν· τὸν δὲ ἔμ-
πορον ἀπὸ τῆς τρικυμίας τῆς θαλάσσης ἐχδιγίνωσι, τοῖς πένησι μᾶλλον, ἢ τῇ θαλάσσῃ με-
ταδιδόναι· τὸν δὲ κατὰ τὴν γῆν πραγματευόμενον περιέσφιγξε προβαλεῖν τῇ γνώμῃ τὴν
ἀνάγκην, καὶ περὶ τῆς ἀνάγκης τὸν Θεὸν μᾶλλον προτιμᾶν, ἤπερ τὸν λῃστήν· ἐπειδὴ πάντας
ὁμοῦ πρὸς ἐλεημοσύνην παιδεύσας, εἶδεν ἀφ᾽ ὧν ἐπαινέσεται ἀποδεξάμενοι, ὡς ἕτοιμός
10 ἐστιν ἕκαστος, καθάπερ φυτὸν εὐθαλὲς, πρὸς ἐλεημοσύνην κληθείς· Ἐγὼ δὲ ὡσεὶ ἐλαία κα-
τάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, διὰ τοῦτο νῦν ἀναιρεῖ τὰς παρενοχλούσας τῆς ἐλεημοσύνης
ὑποκρίσεις. τί λέγων; Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν
ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· οὐχ ὅτι ἡμῶν ἐπιτηδείως τὴν ἀνάγνωσιν ταύτην
προβαλλομένων, ἀλλὰ τῆς προτέρας ἀκολουθίας τῶν ἀναγνωσμάτων παραπεμπούσης.
15 Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆ-
ναι αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε. αὕτη γὰρ ἡ ἐπίδειξις ἐκείνων ἀφανίζει τὸν μι-
σθὸν, ἡ τοιαύτη δόσις ἀποστερεῖ ἐκείνους τῆς μενούσης ἀγαθωσύνης. οὐδὲν γὰρ οὕτω πικρό-
τερον πάθος ἐστὶ τῆς ψυχῆς, ὡς τὸ τῆς κενοδοξίας. ὅταν γὰρ πολλὰ κατορθώσωμεν τῶν ἐπι-
ταγμάτων, τότε τῆς κενοδοξίας παραφύεται νόσημα. ἀλλὰ πρόρριζον αὐτὸ ἐξέτεμεν ὁ σω-
20 τὴρ ἀφ᾽ ἡμῶν, διδάξας ἡμᾶς ἐν τῷ κρυπτῷ τὰς ἐλεημοσύνας ποιεῖν. ἀλλὰ πάντως ἐρεῖς·
τί οὖν; οὐ δυνάμεθα ποιῆσαι. οὐ γάρ ἐστι δυνατὸν διδόντα τοῖς πένησιν, ἢ προσφέροντα τοῖς
ἱερεῦσιν, ἢ βάλλοντα εἰς τὸ γαζοφυλάκιον, μὴ θεαθῆναι. οὐκοῦν καὶ πρὸς τὴν δόσιν τῆς
ἐλεημοσύνης ὀκνηροτέρους ἡμᾶς κατέστησας διὰ παντός. νῦν οὖν ὠφελῆσαι τὰς ψυχὰς
τῶν ἐμῶν φίλων καὶ ἀδελφῶν βουλόμενος, καὶ παντὸς νοσήματος ἀπαλλάξαι, χάριτι τοῦ Κυ-
25 ρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τὸν τρόπον τοῦ γινομένου διορθώσασθαι. τὴν γὰρ
προαίρεσιν ἐτάζει τοῦ ποιοῦντος ἐλεημοσύνην. διὰ τοῦτο καλῶς ἐπάγει λέγων· Ὅταν οὖν
ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταί. οὐχ ὅτι σάλπιγ-
γας εἶχον ἐκεῖνοι, ἀλλ᾽ ὅτι μὲν τὸ πρόσωπον ἐλεημοσύνης ἦν, ἡ δὲ ψυχὴ τοῖς ἀνθρώποις
ἐστρατεύετο, καὶ πρὸς τὴν ἐκείνων ἐκβάδιζον θέαν. οὐ γὰρ διὰ τὸν Θεὸν ἐποίουν ἐλεημοσύ-
30 νην, ἐλπίζοντες ἐλεηθῆναι παρ᾽ αὐτοῦ, καὶ λαβεῖν τὸν ἐπηγγελμένον μισθὸν ἑκατονταπλασίονα·
ἀλλὰ διὰ τὸ τῆς προσκαίρου δόξης ἀπολαύειν τῶν ἀνθρώπων, παρεῖχον· οὐδὲν οὖν ἔλαττον
τῶν ἐν τοῖς θεάτροις φιλοτιμουμένων, καὶ τῶν ἐπὶ ταῖς κεναῖς δόξαις τὰς ἰδίας ὑπάρξεις σκορ-
πιζόντων, οὐ διὰ τὸν τῆς ψυχῆς χρήσιμον καρπὸν, ἀλλὰ διὰ τὸν τῶν ἀνθρώπων ἔπαινον τὸν μά-
ταιον. περιτρέπεται γὰρ ὁ ἔπαινος πολλάκις ἐκείνοις εἰς ὕβριν, καὶ πολλὰ δαπανήσαντες,
35 πολλὰ καθυβρίζονται. ἐπίβλεπε πόσα δαπανῶσι χρήματα κατὰ τὰς ἱπποδρομίας· καὶ ὅ-
ταν πολλὰ δαπανῶσι, τότε πλείονα παρὰ τῶν ἐλαχίστων καὶ ἀπερριμμένων ἀνθρώπων ὑβρίζονται.
τὴν γὰρ τῶν ἵππων ἀσθένειαν τοῖς ἀνθρώποις προστρίβουσι. καὶ ὁ μὲν ἵππος σφάλλεται, ὁ
δὲ φιλότιμος ἀτιμάζεται· καὶ ὁ μὲν ἄλογος ἵππος ἔπεσεν, ὁ δὲ λογικὸς ἄνθρωπος ἐξέπε-
σε· καὶ πολλάκις ἀποδυρόμενος εἶπε, τί μάτην ἀπώλεσά μου τὴν ὑπόστασιν; τί
40 τοσοῦτον κάματον ὑπέμεινα, καὶ τοσαύτας ζημίας, καὶ τῶν ὑπαρχόντων ἔκπτωτος ἐ-
γενόμην; ἵνα παρὰ τῶν ἀπηγορευμένων ὑβρισθῶ ἐσχάτως; ὦ πόσους πένητας ἠδύνατο
πλουτίσαι τὰ χρήματα ταῦτα, τὰ μάτην ἀπολλύμενα; πόσους ἐκπεσόντας ἀνορθῶσαι;
καὶ ῥέουσι μὲν, ὥσπερ ἀπό τινος πηγῆς, αἱ φιλοτιμίαι διὰ τὸν μάταιον ἔπαινον· ἀνεγεί-
ρονται δὲ, ὥσπερ ἀπό τινος ποταμοῦ, αἱ λοιδορίαι τῶν ἀλογίστων ἀνθρώπων. ἄλλοι δὲ
καὶ

Ματθ. ς. α.

Ματθ. ς. β.

καὶ τῶν οἰκείων ψυχῶν καταφρονοῦσι, καὶ πάλιν ἕτεροι διὰ τὸ ἐᾶν τὸ ἵππων τοὺς ἰδίους οἴκους κα-
ταστρέφουσιν. ἀλλ' ἐκείνους μὲν ἀφήσωμεν δαπανᾶσθαι καὶ λοιδορεῖσθαι καὶ ματαιοφιλοτι-
μεῖσθαι· μάθωμεν δὲ πῶς χρὴ δαπανᾶν εὐσεβῶς τὰ χρήματα, καὶ πῶς χρὴ διάγειν εὐ-
λαβῶς, καὶ προσδοκᾶν ἀντὶ τῶν ἐπιγείων τὰ οὐράνια. οὐ γὰρ κωλύει σε δοῦναι Χριστὸς ἐ-
λεημοσύνην, ἀλλὰ διδάσκει σε πῶς δεῖ ποιεῖν τὴν ἐλεημοσύνην. μὴ μάθῃ ἡ ἀριστερά σου 5
τί ποιεῖ ἡ δεξιά σου. ἐνταῦθα δὲ πάλιν οὐ τὰς χεῖρας αἰνίττεται, ἀλλ' ὑπερβολικῶς αὐτὸ εἶ-
πεν. ὡς ὅτι μὴ γνῷ ὁ πονηρός σου λογισμός, τί ποιεῖ ἡ ἀγαθή σου γνώμη, ἵνα μὴ ἀνατρέψῃ σε
τοῦ καλοῦ. ἔγκειται γάρ, κατὰ τὴν θείαν φωνήν, ἡ διάνοια τῶν ἀνθρώπων εἰς τὰ πονη-
ρά. διὰ τοῦτό φησι, τὸ καὶ σεαυτὸν ἀγνοῆσαι, περισπούδαστον ἔστω σοι. διὰ τί; ἵνα ὁ πα-
τήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ τὴν ἱλαρὰν καὶ πρόθυμόν σου δόσιν τῶν πτωχῶν, ἀγαπήσῃ καὶ 10
ἀποδώσῃ σοι ἐν τῷ φανερῷ. μέγα καὶ σεμνὸν τοῖς τὰς ἐλεημοσύνας ποιοῦσιν ἐκάθισε θέα-
τρον. καὶ ὅπερ ἐπιθυμοῦσιν οἱ ἐλεήμονες, τοῦτο μετὰ πολλῆς τῆς περιουσίας δεδώρηται αὐτοῖς·
ἵνα καὶ μυριάδες ἀνθρώπων θεωρῶσιν ὑμᾶς ποιοῦντας ἐλεημοσύνην, ἀλλ' ὑμεῖς μὴ προσ-
έχητε αὐτοῖς, μηδὲ ἐπιθυμήσητε τὴν παρ' αὐτῶν πρόσκαιρον δόξαν. ἀλλ' εἰ βούλεσθε,
φησι, θεατὰς ἔχειν τῶν γινομένων παρ' ὑμῶν, λάβετε, φησι, τοὺς ἀγγέλους, καὶ τοὺς ἀρχαγγέ- 15
λους, καὶ τὸν τῶν ἁπάντων δημιουργὸν καὶ δεσπότην. εἰ δὲ τοὺς ἀνθρώπους βούλεσθε ἔχειν
θεατὰς τῶν πραττομένων, καὶ εἰς ἐπίδειξιν αὐτῶν ποιεῖν τὰς ἐλεημοσύνας, ἑκατὸν ἢ χιλίους
ἕξετε θεατὰς εὐφημοῦντας ὑμᾶς. ἐὰν δὲ τοὺς κατὰ τὸν παρόντα βίον ἐπαινοῦντας ὑμᾶς λα-
θεῖν σπουδάσητε, λαθεῖν δὲ οὕτως, ἵνα, κἂν τινες δοξάσωσιν ὑμᾶς, μὴ ἀποδέξησθε ἡδέως, καὶ
εἰς ἔπαρσιν ἔλθητε, ἀλλὰ μᾶλλον ἀποστρέφησθε τοὺς τοιούτους καὶ ἀνατρέπειν αὐτούς, καὶ 20
τότε κατ' ἐκείνην τὴν ἡμέραν τὴν φοβεράν, τῆς οἰκουμένης ἁπάσης ὁρώσης, λήψεσθε τοὺς
στεφάνους τῆς δόξης. ἐὰν διὰ τὸν Θεὸν καὶ τὸν ἐκεῖ σοι μέλλοντα πλοῦτον ἀποθησαυ-
ρίζεσθαι παρ' αὐτοῦ ποιῇς τὴν ἐλεημοσύνην, καὶ οὐ διὰ τὴν πρόσκαιρον δόξαν, τότε ὥ-
σπερ εἰς τοὺς ἰδίους κόλπους, ὁ Θεὸς ὑποδεχόμενος ὑμῶν τὰ κατορθώματα τῆς ἐλεημο-
σύνης, πάντων τῶν ἀνθρώπων παρόντων, ἀπὸ τοῦ Ἀδὰμ ἕως τῆς συντελείας τοῦ αἰῶνος, 25
τότε πάντων τῶν ἀγγέλων καὶ ἀρχαγγέλων παρόντων, ὅτε χιλιάδες καὶ μυριάδες ἀγγέλων
Ματθ. κε λδ. παρεστήκασι, τότε ταῖς ἰδίαις αὐτοῦ ἀχράντοις χερσὶ προσκαλέσεται ὑμᾶς λέγων· Δεῦ-
τε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ
καταβολῆς κόσμου. δεῦτε, ἐγὼ γὰρ τοὺς ὑμετέρους καμάτους ὑπεδεξάμην, ἐγὼ τῶν
ὑμετέρων χρημάτων τραπεζίτης ἐγενόμην. ὅτε σὺ τὰς χεῖρας ἐξέτεινας τῷ πτωχῷ, 30
ἐγὼ τοὺς ἐμοὺς διήνοιγον κόλπους· ὅτε σὺ ἐδίδους τὸν ἄρτον σου τῷ πένητι, ἐγὼ διὰ
τῆς ἐκείνου κοιλίας ἐχορταζόμην. ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψασα,
καὶ ἐποτίσατέ με. τοιαύτης οὖν χαρᾶς ἀξιοῦσθε οἱ ἐλεήμονες. εἰ δὲ πρὸς ἐπίδειξιν
ποιεῖτε τὰς ἐλεημοσύνας, ἀπολαύσετε παρ' αὐτῶν τὸν μισθόν. εἰ γὰρ ἐπιδείκνυ-
σθαι χρή, πρὸ πάντων τῷ Θεῷ ἐπιδείξασθε τῷ μάλιστα ἔχοντι ἐξουσίαν στεφα- 35
νῶσαι, καὶ πρὸς τὸ θέατρον τῶν ἀγγέλων χορηγῆσαι. τίς οὖν ἄρα οὕτως ἄθλιός ἐστιν,
ὅς, τοῦ βασιλέως σπουδάζοντος ἐπὶ τὴν θεωρίαν τῶν αὐτοῦ κατορθωμάτων ἐλθεῖν, ἐ-
κεῖνον ἀφεὶς πρὸς τοὺς ἐλαχίστους καθίζει τὸ ἑαυτοῦ θέατρον, καὶ μισθὸν παρ' ἐκείνων
ἐκδέχεται; ἀλλ' οὐδεὶς τῶν χριστιανῶν τοιοῦτος· μὴ γένοιτο. καὶ γὰρ ὅπερ ἐὰν ποιῶ-
μεν οἱ χριστιανοί, τὸν Χριστὸν πρὸ ὀφθαλμῶν ἔχοντες, καὶ τὸ ὄνομα αὐτοῦ ὀνομάζοντες, 40
πράττωμεν. αὐτὸς γὰρ διὰ τῶν αὐτοῦ εὐαγγελίων δέδωκεν ἡμῖν ὁδὸν σωτηρίας· ἵνα
πᾶσαν ἐλεημοσύνην ποιοῦντες, καὶ πᾶσαν ἀρετὴν μετερχόμενοι, ἐκείνῳ προσέχον-
τες, καὶ τὰ παρ' αὐτοῦ χαρίσματα κομιζόμενοι ποιῶμεν. εἴτε γὰρ μάρτυρες
τὰ αὐτῶν σώματα παραδεδώκασι τοῖς ἀνόμοις, δι' ἐκεῖνον παρέδωκαν τὸν εἰπόντα·

Μὴ

Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. Εἴτε οὖν ἐκκλησίας, εἴτε ξενοδοχεῖα ἤνοιξάν τινες κατὰ πᾶσαν τὴν οἰκουμένην, δι' ἐκεῖνον ἐποίησαν τὸν εἰπόντα, Ὅτι ξένος ἤμην, καὶ συνηγάγετέ με· εἴτε ταπεινοφροσύνην μετερχόμεθα, δι' ἐκεῖνον μετερχόμεθα τὸν εἰπόντα, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· εἴτε δὲ τοῖς πεινῶσιν ἄρτους παρέχομεν, δι' ἐκεῖνον δίδομεν τὸν εἰπόντα, Ὃς δ' ἂν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ· εἴτε φυλακὰς ἐπισκεπτόμεθα, δι' ἐκεῖνον ἐπισκεπτόμεθα τὸν εἰπόντα, Ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με· εἴτε τὰς χήρας καὶ τοὺς ὀρφανοὺς ἀμφιάζομεν, δι' ἐκεῖνον ἀμφιάζομεν τὸν λέγοντα, Γυμνὸς ἤμην καὶ περιεβάλετέ με· εἴτε καθόλου τοῖς πτωχοῖς διαδόσεις ποιούμεθα, δι' ἐκεῖνον τὸν εἰπόντα, Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τῶν ἐλαχίστων τούτων, ἐμοὶ ἐποιήσατε· εἴτε τοὺς ὀνειδισμοὺς ὑποφέρομεν ὑπὸ τῶν ἀσεβῶν ἐθνῶν, ὡς προσκυνοῦντες τὸν ὑπὸ Ἰουδαίων σταυρωθέντα, καὶ τὴν οἰκουμένην ζωοποιήσαντα, δι' ἐκεῖνον τὸν εἰπόντα, Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι. χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. μηδεὶς τοίνυν ὑπολαμβανέτω, ὅτι χριστιανός ποτε πρὸς ἐπίδειξιν τῶν ἀνθρώπων ποιεῖ τὴν ἐλεημοσύνην, διὰ τὴν παρ' αὐτῶν μισθαποδοσίαν· μὴ γένοιτο. ἅπαξ γὰρ τῶν εὐαγγελικῶν θησαυρῶν συνθετήθημεν, καὶ πιστωθέντες ἐπιστεύσαμεν, καὶ πιστεύσαντες διεσώθημεν. διὰ τοῦτο γὰρ καὶ ἀπὸ τῶν εὐαγγελικῶν ἀναγνωσμάτων κηρύττομεν. ἀλλὰ καὶ ἀναγινωσκομένων τῶν ἁγίων εὐαγγελίων οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν ἀκροώμεθα, ἀλλ' ἱστάμενοι καὶ νήφοντες, καὶ μετὰ παντὸς φόβου παραδεχόμενοι τὰ παραγγέλματα, οὐκ ἀναπίπτοντες τῷ φρονήματι. οὐ καθεζόμενοι τοῖς σώμασιν, οὐκ ἀποσχολούμενοι τοῖς τοῦ πλησίον διηγήμασι τολμῶμεν παραπέμψασθαι, οὐ πλούσιος, οὐ πένης, οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐκ ἄνδρες, οὐ γυναῖκες, οὐκ ἄρχοντες, οὐκ ἀρχόμενοι· ἀλλὰ καὶ αὐτὸς ὁ τὸ διάδημα τὸ βασιλικὸν περικείμενος, εὐθέως τῶν εὐαγγελίων ἀναγινωσκομένων ἵσταται μετὰ παντὸς φόβου καὶ μετὰ πάσης σπουδῆς· καὶ οὐδὲ τὸ διάδημα συγχωρεῖ περικεῖσθαι τῇ κεφαλῇ αὐτοῦ, ἀλλ' ὑποκύπτει διὰ τὸν ἐν τοῖς ἁγίοις εὐαγγελίοις ὁμιλοῦντα Θεόν. τί λέγων; οἶδα τὴν ἀξίαν οὐ δεδωκότος μοι τὴν ἀξίαν· προσκυνῶ τὴν βασιλείαν τοῦ δεδωκότος μοι τὴν βασιλείαν, καὶ ἵσταμαι μετὰ φόβου, τῶν ἁγίων αὐτοῦ λογίων ἀναγινωσκομένων· ἐπειδήπερ, φησίν, αὐτὸς ἔδωκεν ἄρχουσιν ἵστασθαι, τὸ βασιλικὸν ἐπινίκιον ἀναγινωσκόμενον. καὶ ἵνα μὴ λοιδορήσῃ ὁ αἱρετικὸς λέγων, ὅτι πρὸς καιρὸν ὀλίγον μόνον ὑποκρίνονται οἱ βασιλεῖς τοῦ Χριστοῦ τὴν τιμήν, ἄκουσον τοῦ προφήτου λέγοντος. περὶ πολλῶν γὰρ γενεῶν τὴν νῦν γινομένην εἰκόνα λέγει· Βασιλεῖς ὄψονταί σε, καὶ ἐγερθήσονται· ἄρχοντες καὶ ἀναστήσονται· καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. μάνθανε οὖν καὶ πίστευε, ὦ αἱρετικέ, ὅτι εἰς τοὺς ἀπεράντους αἰῶνας διαμένει Χριστοῦ τοῦ Θεοῦ ἡμῶν ἡ βασιλεία, καὶ ἡ χάρις αὐτοῦ στεφανοῦσα πάντας τοὺς χριστιανούς, καὶ χορηγοῦσα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. οὕτω πάντες οἱ χριστιανοὶ πάντα πράττουσι, πρὸς ἐκεῖνον ἀποβλέποντες, καὶ ὅτι ἐπέθηκεν αὐτοῦ λέγοντος, Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος καὶ ἡ ἐξουσία καὶ ἡ προσκύνησις, σὺν τῷ μονογενεῖ αὐτοῦ υἱῷ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ καὶ παντοδυνάμῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[Margin: Ματθ. ι. κη. — Ματθ. κε. λε. — Ματθ. ε. γ. — Ματθ. ι. μβ. — Ματθ. κε. λς. — Ματθ. κε. μ. — Ματθ. ε. ια. — Ματθ. ε. ις.]

Λογ. πβ.

ΕΙΣ ΤΗΝ ΠΟΡΝΗΝ, ΚΑΙ ΕΙΣ ΤΟΝ ΦΑΡΙ-σαῖον. τῇ ἁγίᾳ καὶ μεγάλῃ δ'.

Ex edit. Augustano. emend. ex 2. MS.

Πάντοτε μὲν ὁ Θεὸς, ὡς φιλάνθρωπος, καιρὸν εἰς μετάνοιαν τοῖς ἁμαρτωλοῖς δίδωσι· τῇ δὲ ῥαθυμίᾳ τὴν ἑαυτοῦ ψυχὴν ἀπόλλυσιν ὁ ἀμελής. Φιλῶν γὰρ τὰ μάταια, καὶ γήϊνα, καὶ πρόσκαιρα, ἀποστερεῖται τῶν ἐπουρανίων * ἀγαθῶν τὴν ἀπόλαυσιν· καὶ ὁ κατασταθεὶς βασιλεὺς καὶ Κύριος πάντων ὑπὸ τοῦ πλάσαντος Θεοῦ, ἄνθρωπος, δοῦλος γίνεται τῆς ἁμαρτίας διὰ κοσμικὰς ἐπιθυμίας. Ὅθεν καὶ Δαβὶδ φησὶ περὶ τῶν ταῦτα πραττόντων· Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν σκότει διαπορεύονται. Καὶ ὁ Χριστὸς αἰτιώμενος τοὺς ἁμαρτωλούς, φησιν· Οὐκ ἔρχονται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῶσιν αὐτῶν τὰ ἔργα· πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς. Καὶ πάλιν λέγει· Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε πρὸς τὸ φῶς, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. Καὶ πάλιν λέγει· Ἐγὼ ἦλθον εἰς τὸν κόσμον, ἵνα μὴ ἀπόλλωνται, ἀλλ' ἵνα ζωὴν ἔχωσι. Καὶ πάλιν· Οὐκ ἦλθον κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι. Καὶ πάλιν· Τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Ταῦτα τὰ ῥήματα ἀκούσασα ἡ πόρνη, ὥσπερ ἀρώματα πανταχοῦ κηρυττόμενα, καὶ πᾶσι τοῖς ἀξίοις τὴν ὀσμὴν* παρέχοντα, τῶν ἔργων αὐτῆς τῶν κακῶν εἰς νοῦν ἐλθοῦσα, εὐθέως ἐπελάβετο τούτων, κλαίουσα τὴν ἑαυτῆς αἰσχύνην, καὶ ἐννοοῦσα τὰ μέλλοντα αὐτῇ κακὰ γίνεσθαι διὰ τούτων. Πολλὴ γὰρ θλῖψις καὶ ὀδύνη γίνεται τοῖς πόρνοις ἐκεῖ. Ταῦτα φοβηθεῖσα, μετεβλήθη ἡ πόρνη, καὶ οὐκ ἔτι ἔμεινε πόρνη, ἀλλ' εὐθέως παρθένου γέγονε σεμνοτέρα. Καθίσασα γὰρ καθ' ἑαυτὴν δικαστήριον συνεστήσατο, καὶ ἑαυτὴν κατακρίνουσα, ἔλεγεν· Οἴμοι τῇ ἁμαρτωλῷ, οἴμοι τῇ ἀσώτῳ, ἕως τίνος οὐκ ἀφίσταμαι τῶν κακῶν; τί οὐ λογίζομαι τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ; ὅτι δι' ἐμὲ τὴν πλανωμένην, ὡς πρόβατον, πᾶσαν ὁδὸν περιέρχεται ὁ δεσπότης. Δι' ἐμὲ γὰρ οὐρανοὺς ἔκλινε, καὶ κατέβη· δι' ἐμὲ τῷ ἁμαρτωλῷ Φαρισαίῳ συνδειπνεῖ ὁ διδοὺς τροφὴν πάσῃ σαρκί. Ἐγγίζει τῷ ἁμαρτωλῷ ὁ ἀναμάρτητος· τραπέζης μετέχει ὁ πάντας τρέφων, καὶ κατάκειται ἐπὶ τὴν γῆν, ὁ ἐπὶ τῶν χερουβὶμ βασταζόμενος, καὶ χαρίζεται πᾶσι τοῖς ἁμαρτωλοῖς τὰ χειρόγραφα τῶν ἁμαρτιῶν. Τί λοιπὸν μένεις; θάρσει, ψυχή μου, πρόσελθε· οὐκ ἦλθε δικαίους σῶσαι, ἀλλὰ ἁμαρτωλούς. Καὶ ταῦτα εἰπούσης αὐτῆς, εὐθὺς ἐκ τῆς τραπέζης τοῦ Χριστοῦ εὐωδία συγχωρήσεως ἦλθεν ἐπ' αὐτήν, τὴν ποτὲ ἄσωτον, νυνὶ δὲ σώφρονα· τὴν ποτὲ θῆρα, νῦν δὲ πρόβατον· τὴν ποτὲ δούλην τῆς ἁμαρτίας, νῦν δὲ ἐλευθέραν τῇ μετανοίᾳ· τὴν ποτὲ πόρνην, νῦν δὲ σεμνήν. Καὶ στᾶσα τῆς ἀντιλήψεως πρόθυμος τῇ ψυχῇ, ἔρχεται πρὸς αὐτόν· καὶ ἰδοῦσα ἐπὶ τῆς τραπέζης τὸν δεσπότην, οὐκ ἐζήτησεν, ὡς ἡ Χαναναία, ψιχία· ἀλλ' αὐτὸν τὸν ἄρτον τῆς ζωῆς ὅλον περιέλαβεν. Ἡ γὰρ Χαναναία περὶ θυγατρὸς δαιμονιζομένης παρεκάλει, ἡ κύνα ἑαυτὴν ἀκούσασα, ψιχία * λαβεῖν ᾐτεῖτο. Αὕτη δὲ οὐ θυγατέρα δαιμονιζομένην εἶχεν, ἀλλὰ πᾶν τὸ σῶμα δαιμονιζόμενον ταῖς ἀσελγείαις. Ἀλλ' ἡ Χαναναία ἐπὶ πάντων ἔκραζεν, Ἐλέησόν με, υἱὲ Δαβίδ· ἡ δὲ πόρνη οὐ κραυγὴν ἀφῆκεν, ἀλλ' ἰδοῦσα ὅτι πάντα οἶδεν ὡς Θεός, σιγῶσα τῷ στόματι, τῇ καρδίᾳ ἐλάλει τῷ τὰς καρδίας εἰδότι· καὶ κλαίουσα, κατεφίλει τοὺς πόδας, καὶ οὕτω τὸν δεσπότην εἰς συμπάθειαν ἐνήνεγκεν. Ἀλλ' ἤθελον, ἀδελφοί, ἐρευνῆσαι τῆς σοφῆς ἐκείνης τὰς φρένας, καὶ μαθεῖν πῶς ἐδέξατο αὐτὴν ὁ Χριστός, καὶ πῶς ἐνέλαμψε τῇ ἐσκοτισμένῃ ψυχῇ. Καὶ γὰρ ἀληθῶς, καθὼς προεφήτευσεν ὁ Δαβίδ, Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὁ Κύριος. Καὶ οὐ μόνον ὡραῖος, ἀλλὰ καὶ τῶν ὡραίων ἐραστής. Ταύτην γὰρ καὶ πρὶν εἰσελθεῖν πρὸς αὐτὸν, ἐπεγίνωσκεν ἔχουσαν ψυχῆς ἀγαθῆς προαίρεσιν. Ἀλλ', εἰ δοκεῖ, καὶ τοῦ ῥητοῦ τοῦ εὐαγγελικοῦ ἀκούσωμεν. Ανακει-

μένου

μένου τοῦ Ἰησοῦ ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, γυνή τις ἁμαρτωλὸς ἐν τῇ πόλει ἤκουσε. καὶ λα-
βοῦσα μύρον πολύτιμον, εἰσελθοῦσα ἤλειφεν αὐτοῦ τοὺς πόδας, καὶ τοῖς δάκρυσιν ἔβρεχε, καὶ
ταῖς θριξὶν ἐξέμασσε. μεγάλη σπουδὴ γυναικός· μέγας δρόμος σωτηρίας· μεγάλη προ-
αίρεσις ψυχῆς κινδύνων θελούσης ἀπαλλαγῆναι. ἤκουσε, καὶ ἐπέσπευσεν· ὤθησε τὴν ἔννοιαν εἰς
5 τὴν μετάνοιαν, λέγουσα ταῦτα ἐν αὑτῇ· ὦ ψυχὴ ἁμαρτωλὴ καὶ τρισαθλία, τί ἀναμένεις;
τί σκέπτῃ; ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· ἰδοὺ ὁ καιρός, ὃν ἐζή-
τεις, ἔφθασεν· ἰδού, πάρεστιν ὁ λύων καὶ καθαίρων καὶ ἀποσμήχων τὰ ἁμαρτήματα· πάρεστι τὸ
μύρον· μέχρι τίνος περιμένεις τῷ βορβόρῳ καὶ τῇ δυσωδίᾳ; ἄπελθε πρὸς αὐτόν. καὶ γὰρ
αὐτὸς διὰ σὲ ἦλθεν. ἄφες τὰ ποτὲ μάταια, καὶ πόθησον τὰ νῦν ὡραῖα· ἐκεῖνα βδελυκτά,
10 ταῦτα ποθητὰ καὶ αἰώνια. μίσησον τὴν ἀρχαίαν γνώμην, μύρισον τὸν τὸ μύρον ποιήσαντα,
κολάκευσον τὸν σε σῶσαι θέλοντα. εὗρες ἐραστὴν ὑπὲρ πάντας οὓς εἶχες ἐραστάς. ἐκεί-
νους φιλήσασα, πολλὰς ἁμαρτίας ἑαυτῇ ἐξεκαίνωσας· τοῦτον ἐὰν φιλήσῃς, καὶ τὰς προτέρας
ἁμαρτίας, ἃς ἐξ ἐκείνων ἐκτήσω, αὐτός σοι συγχωρήσει. ταῦτα λογισαμένη, ὑπεισέρχε-
ται τῇ οἰκίᾳ καὶ λέγει· ἀναχωρῶ τῶν ἀρχαίων κακῶν, ἀρέσκω τῷ νέῳ καλῷ καὶ συμφωνῶ·
15 ἀποτάσσομαι τῷ πονηρῷ, καὶ συντάσσομαι τῷ ἀγαθῷ. ἤκουσα γὰρ τοῦ Δαβὶδ λέγοντος·
Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε· καὶ αὐτοῦ τοῦ Κυρίου λέγοντος, Ἐγγίσατέ μοι, κἀγὼ ἐγγιῶ ὑμῖν. — Ψαλ. λγ΄. ε΄.
ἐγγίζω κἀγὼ τῷ Θεῷ, ἀλλὰ φοβοῦμαι ἡ ἁμαρτωλὸς πρὸς τὸν ἀναμάρτητον,
ὁ βόρβορος πρὸς τὸ μύρον. ἀλλ' ἔχω ἐνέχυρον τῆς εὐσπλαγχνίας αὐτοῦ τὴν φωνὴν τὴν
λέγουσαν· Δεῦτε πρός με πάντες οἱ ἁμαρτωλοί, κἀγὼ ἀναπαύσω ὑμᾶς. — Ματθ. ια΄. κη΄. ἀπέρχομαι
20 τοίνυν· οὐκ ὀνειδίζει με, οὐ λέγει μοι, ἀπόστα ἀπ' ἐμοῦ ἡ ἁμαρτωλός· ἕως ἄρτι ἐν τῷ σκό-
τει διῆγες, καὶ νῦν ἦλθες ἰδεῖν με τὸν τῆς δικαιοσύνης ἥλιον; ἀλλὰ τί σκέπτομαι; λαμβάνω
μύρον, καὶ πορεύομαι πρὸς αὐτόν, καὶ ποιῶ φωτιστήριον τὸν οἶκον τοῦ Φαρισαίου, καὶ τοῖς ῥείθροις
τῶν δακρύων κολυμβήθραν μοι κατασκευάζω. καὶ τῷ ἀλαβάστρῳ τοῦ μύρου τὴν σφραγῖδα
λαμβάνω τῶν πιστῶν κατὰ τοῦ μετώπου, καὶ τῇ μετανοίᾳ καθαρίζομαι τῶν ἁμαρτημάτων μου,
25 καὶ τῷ λόγῳ αὐτοῦ τῷ ἰαματικῷ ἀποφεύγω τοὺς βρόχους τοῦ διαβόλου. οὐδέν μοι ἀπηλ-
πισμένον ἐστίν. οἶδα ἐν τῇ παλαιᾷ διαθήκῃ Ῥαὰβ τὴν πόρνην ἐπὶ τὴν πύλην τῆς πό- — Ἰησ. β΄.
λεως οἰκητήριον τῆς ἁμαρτίας ἔχουσαν· ἀλλ' αὕτη τοὺς κατασκόπους τοῦ Ἰσραὴλ δεξαμένη,
τῆς φιλοξενίας τὸν μισθὸν ἐκομίσατο τὴν ζωήν. ὁ γὰρ σώσας ἐκείνην Ἰησοῦς ὁ τοῦ Ναυή,
τύπον εἶχε τοῦ ἀληθινοῦ Ἰησοῦ· ἀμοιβὰς ἀγαθὰς τῇ πόρνῃ ὑπὲρ τῶν κατασκόπων ὁ τοῦ
30 Ναυὴ Ἰησοῦς ἐχαρίσατο. εἰ οὖν τότε τὸ ὄνομα τοῦ Ἰησοῦ σωτηρίαν καὶ συγχώρησιν ἁμαρτιῶν
παρέσχε· νῦν ὁ ἀληθινὸς Ἰησοῦς, ὁ παρθένος καὶ ἐκ παρθένου, πόρνην ξενοδοχοῦσαν, καὶ ἀλείφου-
σαν μύρῳ τοὺς πόδας, ἀπώσασθαι ἔχει, καὶ μὴ χαρίσασθαι ἄφεσιν ἁμαρτιῶν; ἀλλ' ἐκεῖ
Ῥαὰβ ἀπέλυσε τοὺς κατασκόπους, ἐγὼ δὲ μύρῳ κατέχουσα οὗ ἐπόθησα· οὐχ ὡς ἐκείνη, κα-
τάσκοπον πόλεως, ἀλλ' ὡς ἐπίσκοπον πασῶν τῶν ἀνθρωπίνων ψυχῶν. ἰδού, καθὼς προεῖ-
35 πον, ἔφθασε καιρός, ὃν ἰδεῖν ἐπεθύμουν· ἔλαμψέ μοι ἡ ἡμέρα, καὶ ὁ ἥλιος τῆς δικαιοσύνης,
καὶ ἐνιαυτὸς δεκτὸς παρὰ Κυρίου, καὶ μεγάλη ἐπισκοπὴ παρὰ Θεοῦ. Ἀληθῶς γὰρ ἐπεσκέ- — Λουκ. α΄. οη΄.
ψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις. ἐν τῇ
οἰκίᾳ τοῦ Σίμωνος αὐλίζεται ὁ δεσπότης· ἀπέλθω πρὸς αὐτόν· καὶ τί ποιήσω; κλαύσω, ὥ- — α΄. Βασ. α΄.
σπερ Ἄννα ἔκλαυσε τὴν στείρωσιν; ἀλλὰ λογίζεταί με ὁ Σίμων ὡς μεθύουσαν· ὥς ποτε καὶ
40 τὴν Ἄνναν Ἠλὶ ὁ ἀρχιερεύς· ἀλλὰ μόνον προσευχομένη τῇ καρδίᾳ πρὸς τοὺς πόδας τοῦ
Χριστοῦ, καὶ δακρύσασα; τοῦτο ποιήσω. Συνήργησε δὲ ἡ πίστις [τῆς πόρνης] τῇ καθαρᾷ
προθέσει, καὶ παραγίνεται πρὸς τὸν τὸ μύρον πωλοῦντα, καὶ ἄρχεται λέγειν αὐτῷ· ἐπειδὴ μέ-
γας μοι φίλος παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων παραγέγονεν, εἰ * ἔχεις ἐπάξιον μύρον,
δός μοι· ἵνα ἀξίως προσενέγκω τῷ ἀξίως φιλουμένῳ παρ' ἐμοῦ, τῷ πυρώσαντί μου τὴν καρ-
δίαν

δίδωμι καὶ τοὺς νεφρούς· μηδὲν περὶ τιμῆς λεγέτω σοι, ἐὰν δέῃ με, καὶ μέχρι σώματος καὶ ὀστέων, ἑτοίμως ἔχω πωλῆσαι καὶ δοῦναι, ἵνα κἂν μικρόν τι ἔχω προσενέγκαι τῷ οὕτω καθαρίσαι με θέλοντι." ὁ δὲ βλέπων τῆς πίστεως τὸ θερμὸν καὶ προαιρετικὸν λέγει αὐτῇ· εἰπέ μοι τίς ἐστιν ὅπερ ποθεῖς, ὅτι τοσοῦτον ἐθέρμανέ σου τὸ φίλτρον; τί παρὰ τὸ μύρον τοῦτο προσδοκᾷς παρ' αὐτοῦ λαβεῖν; ἡ δὲ πρὸς αὐτὸν λέγει· τί μοι λέγεις, ὦ ἄνθρωπε; ἀγνοεῖς, οὐκ οἶδας τί θέλγει. ἔχει δοῦναί μοι ἀντάξιον τοῦ μύρου, εἰ καὶ οἷόν τι οὐδεὶς δύναται τούτῳ ἀντάξιον δοῦναι τοῦ ἀξιώματος. οὐδὲ αὐτὸς ὁ οὐρανός, οὔτε ἡ γῆ, οὔτε οὐδεὶς τῶν ἐν τῷ κόσμῳ τούτῳ συγκρίνεται τῷ ἐλθόντι πρὸς με. ἣν σὺ μὲν εὐτελῆ θεωρεῖς, ἐκεῖνος δὲ καταξιώσας ὡς φιλάνθρωπος, τῶν ἁμαρτιῶν ἠλευθέρωσεν. οὗτος υἱὸς Δαβίδ ἐστι κατὰ σάρκα, διὰ τοῦτο καὶ εὐπρεπής ἐστι. (Ψαλ. μδ. γ.) περὶ αὐτοῦ γὰρ ἔλεγεν· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. οὗτος υἱὸς Θεοῦ*, (α. Βασ. ιη.) καὶ τοῦτον οὐκ εἶδον, ἀλλὰ ἀκούσασα περὶ αὐτοῦ, ἐτρώθην τῷ πόθῳ. ἡ τοῦ Δαβὶδ "Μελχὸλ ἡ τοῦ Σαοὺλ θυγάτηρ ἀγαπήσασα, τὰ βασίλεια κατέλιπε, καὶ τούτῳ διωχθέντι ἠκολούθησεν. ἐγὼ δὲ τὸν ἴδιον πλοῦτον πωλῶ, εἰ καὶ κακῶς τοῦτον συνήγαγον, καὶ ἀγοράζω μύρον, καὶ προστρέχω τῷ ἐκ Δαβὶδ δι' ἐμὲ διωχθέντι· καὶ λαβοῦσα ἡ πιστὴ πόρνη τὸ μύρον, ἔδραμεν ὡς κληθεῖσα εἰς τὸν οἶκον τοῦ φαρισαίου. καὶ ὁ μὲν φαρισαῖος ἰδὼν τὴν πόρνην κατέχουσαν τοὺς πόδας τοῦ Ἰησοῦ καὶ μυρίζουσαν, καὶ πᾶσαν τὴν οἰκίαν πληρωθεῖσαν τῆς εὐωδίας τοῦ μύρου, εἰς ἑαυτὸν ἐλογίζετο, καὶ ἔλεγεν· εἰ ἦν οὗτος προφήτης, ἐγίνωσκεν ἂν τίς ἡ γυνὴ ἡ ἁπτομένη αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. (Λουκ. ζ. λθ.) καὶ τὴν παρρησίαν τῆς πόρνης ἔψεγεν, ὡς ἀναισχύντως ἐπιστάσης καὶ ἁψαμένης αὐτοῦ· καὶ αὐτὸν τὸν δεσπότην ἐμέμφετο, ὡς ἀσκέπτως δεχόμενον πάντας τοὺς προσιόντας αὐτῷ· καὶ ἄγνοιαν αὐτοῦ καταψηφιζόμενος, ἔλεγεν ἐν ἑαυτῷ· ὢ τοῦ πράγματος· ἐκάλεσα ἐπὶ δεῖπνον αὐτὸν ὡς ἕνα τῶν προφητῶν, καὶ αὐτὴν, ἣν πάντες οἴδασιν οἱ κατοικοῦντες ἐν τῇ πόλει, καὶ ἣν ἕκαστος ἐπίσταται, οὗτος οὐκ ἔγνω. εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς ἡ γυνή. ἀλλ' ὁ Χριστὸς ὁ ἐτάζων καρδίας καὶ νεφρούς, ἐθεώρει τοῦ φαρισαίου τοὺς λογισμούς· καὶ σαλευομένων αὐτοῦ τῶν ἐνθυμήσεων, γίνεται αὐτῷ ἔνδοθεν γαλήνη ὁ Χριστός, καὶ λέγει αὐτῷ· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δέ φησι· διδάσκαλε, εἰπέ. λέγει αὐτῷ· μεμπταῖός σοι ἐφάνην, ὅτι οὐκ ἀνέτρεψα τὴν πόρνην, ἀλλ' ἐσκέπασα; μεμπταῖόν σοι ἐφάνη, ὅτι οὐκ "ἀπεστράφην τὴν ἁμαρτωλὸν, ἀλλ' ἀπεδεξάμην; μεμπταῖόν σοι ἐφάνη, ὅτι οὐκ ἐδίωξα, ἀλλ' ἐδικαίωσα; μεμπταῖόν σοι ἐφάνη, ὅτι οὐκ ὠργίσθην, ἀλλ' ἠπαλύνθην; μεμπταῖόν σοι ἐφάνη, ὅτι τὴν θέλουσαν φυγεῖν τὴν ἑαυτῆς ἀνομίαν, ταύτην ἀνεκαλεσάμην; δέον "σε χαρῆναι ἐπὶ τῷ πεσόντι καὶ ἀναστάντι, λυπῇ ἐπὶ τοῖς καλοῖς; ἀλλ' οὐκ εὔλογος ἡ μέμψις σου. σύγκρινον τοῦτο ὃ μέλλω σοι λέγειν. δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι, ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. τούτοις δὲ ἀπορήσασιν ἀμφοτέροις ἐχαρίσατο τὰ χειρόγραφα ὁ δανειστής. τίς οὖν αὐτῶν ὀφείλει πλέον ἀγαπᾶν; ὁ δὲ λέγει, ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. καὶ λέγει αὐτῷ, ὀρθῶς ἔκρινας. εἶτα στραφεὶς πρὸς τὴν γυναῖκα, τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα, τὴν σοι ἀπηγορευμένην; σύ μου νίψαι τοὺς πόδας οὐ κατηξίωσας· αὕτη δὲ δάκρυσί μου τοὺς πόδας ἔβρεξε. φίλημά μοι ἀγάπης οὐ προσήγαγες· αὕτη δὲ οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. ἀλλὰ διδάχθητι, φαρισαῖε, τίς ὁ δανειστής, καὶ τίνες οἱ χρεωφειλέται. ἐγώ εἰμι ὁ δανειστὴς τῶν δύο, σοῦ καὶ αὐτῆς· καὶ οὐ μόνον ὑμῶν, ἀλλὰ καὶ πάντων ἀνθρώπων. ἐγὼ πᾶσιν "ἐχάρισα, ἅπερ καὶ ἔλαβον," ἀπ' ἐμοῦ· ψυχὴν, πνοὴν, σῶμα, αἴσθησιν, γνῶσιν, κίνησιν. τὸν οὖν δανειστὴν, τὸν οὐκ ἀπαιτοῦντά σε παρασχεῖν ἅπερ ἔλαβες, (* *) εἰς "πλήρης, ἐὰν μὴ ἔχῃς ἀποδοῦναι, ἱκέτευσον συγχωρῆσαί σοι τὸ δάνειον. εἰ δὲ οὔτε ἀποδοῦναι δύνασαι, οὔτε ἱκετεῦσαι ἀξιοῖς συγχωρηθῆναι, κἂν μὴ ἀναισχυντῇς πολυλογῶν καὶ ἀνθιστάμενος· σίγησον ὡς αὐτὴ ἡ πόρνη, ἥτις τὰ πολλὰ ἑαυτῆς ἰδοῦσα χρέη, εἶπεν ἐν ἑαυτῇ;

ἑαυτῇ· τί λαλήσω, ἢ τί ἀποκριθῶ; ἐὰν θελήσω εἰπεῖν, οὐ χρεωστῶ τὸ δηνάριον, αὐτὸς πάντα οἶδε, καὶ πόσα χρεωστῶ αὐτὸς ἐπίσταται, καὶ ἀπὸ ποίων χρόνων ὑπεύθυνός εἰμι. διὰ τοῦτο ὡς ἰδοῦσα, ὅτι πάντα οἶδε, καὶ οὐδὲν τῶν πεπραγμένων αὐτῇ κακῶν ἐστιν ὃ λανθάνει αὐτὸν· σιγῇ προσῆλθε δακρύουσα, καὶ τῇ καρδίᾳ αὐτῆς πάντα τὰ χρέη ὁμολογοῦσα, ἐξηυμενίσατο τὸν Θεόν. σίγησον οὖν καὶ σύ, Φαρισαῖε, ἵνα σοι χαρίσηται ὁ Κύριος τὴν ὀφειλήν. μὴ σύ, κατάδικος ὤν, καταδίκαζε τὴν καταδεδικασμένην. μὴ σύ, εὐτελὴς ὤν, εὐτέλιζε τὴν εὐτελισμένην. ἡσύχασον· οὔτε γὰρ τῶν σῶν, οὔτε τῆς αὐτῆς χρείαν ἔχω· ἀλλ' ἀμφοτέροις ἦλθον τὴν ὀφειλὴν χαρίσασθαι. τῶν γὰρ δύο δανειστὴς φιλάνθρωπος ὑπάρχω, οὐ μόνον δὲ ὑμῶν, ἀλλὰ καὶ πᾶσι τοῖς μὴ ἔχουσιν ἀποδοῦναι· ἐὰν μόνον ὁμολογήσωσι τὸ χρέος, καὶ αἰτήσωνταί με συγχωρῆσαι αὐτοῖς διὰ μετανοίας τὸ χειρόγραφον. εἴ τις οὖν χρεωστῇ, καὶ προσέλθῃ τῇ χάριτι τοῦ βαπτίσματος, δι' αὐτῆς ἐλευθεροῦται τοῦ χρέους. ὑπάγετε τοίνυν, ἰδοὺ τῶν χρεῶν ἀπελύθητε, πάσης ἐνοχῆς τῇ χάριτι ἠλευθερώθητε· μὴ πάλιν ἄλλο χειρόγραφον ἑαυτοῖς ἐπεισενέγκητε, τοῦ πρώτου ἅπαξ σχισθέντος. ἀλλά, Κύριε δέσποτα Ἰησοῦ Χριστέ, ἐπειδὴ ἀποδοῦναί σοι ἃ χρεωστῶ οὐκ ἔχω, οὐδὲ ἰσχύω (ἀπὸ γὰρ τῶν πολλῶν ἀνομιῶν μου καὶ τὸ κεφάλαιον σὺν τόκῳ κακῶς ἀνήλωσα) μὴ ἀπαιτήσῃς με, ἃ παρέσχες μοι, τῆς ψυχῆς τὸ κεφάλαιον, καὶ τῆς σαρκὸς τὸν τόκον· ἀλλὰ κούφισόν με τοῦ βάρους τῶν χρεῶν μου, ὡς φιλάνθρωπος, καὶ εἰπὲ κἀμοὶ ὡς τῇ πόρνῃ, ἀφέωνταί σου αἱ πολλαὶ ἁμαρτίαι. σὺ γὰρ εἶ μόνος ἀναμάρτητος καὶ ἀγαθὸς καὶ φιλάνθρωπος καὶ συγχωρῶν ἁμαρτίας, καὶ σοὶ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ σου πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΠΡΟΣΚΥΝΗΣΙΝ ΤΟΥ ΤΙμίου ξύλου.

Λογ. πγ.

Μηνὶ Σεπτεμβ. ιδ. *Ex Ms. Bauarico. emend. ex edit. Gretseri.*

Ἄσμα καινὸν ᾄσωμεν, λαοί, τῇ δικαιοσύνῃ τοῦ βασιλέως Κυρίου, καὶ ἐξομολογησώμεθα, μᾶλλον δὲ ὑμνήσωμεν καὶ δοξάσωμεν, καὶ αἰνέσωμεν, προσκυνήσωμεν καὶ μεγαλύνωμεν τὴν παρρησίαν τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν ὕμνοις προσκυνήσωμεν, καὶ ἐγκωμιάσωμεν τὸ σεβάσμιον καὶ τρισόλβιον ξύλον τοῦ δεσπότου. δεῦτε, ὦ ἀγαπητοί, ἐν αἰνέσει χορεύοντες καὶ πίστει περαιροῦντες, μετὰ τοῦ προφήτου Δαβὶδ ψάλλοντες εἴπωμεν· Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. ποῖον ἄρα φῶς, εἰ μὴ ὁ σταυρὸς τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ὁ κόσμος ἐσώθη, καὶ οἱ πιστεύσαντες ἠλευθερώθημεν ἀπὸ τῆς αἰχμαλωσίας τοῦ Βελίαρ, καὶ ὁ χάρτης τῶν ἀνομιῶν ἡμῶν διερράγη; πρόσωπον τοῦ πατρὸς ὁ Χριστός. Ὁ ἑωρακώς με, φησίν, ἑώρακε τὸν πατέρα. φῶς δὲ τοῦ προσώπου, τουτέστι, τοῦ Κυρίου ὁ σταυρός. ἐν αὐτῷ γάρ, ὡς ἐν λυχνίᾳ λύχνος, τὴν οἰκουμένην ἐφώτισε, καὶ τὴν γῆν κλονουμένην ἔστησε, καὶ τὰς πέτρας διέρρηξε, καὶ τοὺς νεκροὺς διήγειρε, καὶ τὸν ἥλιον φυγαδεύσας, σάκκον ἀντὶ σκότους τὸν οὐρανὸν ἐνέδυσε, δεῖξαι θέλων τοῖς ἀπίστοις καὶ ἀγνώμοσι καὶ ἀρνησιθέοις Ἰουδαίοις, ὅτι δεσπότης καὶ δημιουργὸς ὑπῆρχεν ὁ τῇ σαρκὶ σταυρούμενος. τούτου χάριν, ὦ ἀγαπητοί, ζητῶ καὶ ποθῶ προσενέγκαι ὑμᾶς τῷ σταυρῷ, καὶ ἐπαξίως ἐγκωμιάσαι· καὶ δέδοικα ἀνάξιος ὤν. τρέμει γάρ μου ἡ σάρξ, καὶ ναρκᾷ ἡ γλῶσσα, καὶ τὰ χείλη μου πεπήγασι, καὶ ὁ λογισμὸς ἔνδον σιγᾶν διαμαρτύρεται. πῶς οὖν ἐγώ, ὁ χθαμαλός, ἰσχύσω ἐπαξίως διηγήσασθαι καὶ περὶ τῆς δυνάμεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ; εἴπω δὲ διὰ τῆς χάριτος τοῦ Θεοῦ ἐκ μέρους, ὃ καὶ καταλαμβάνω. οὔτε γὰρ ἄγγελοι ἰσχύουσιν ἐπαξίως ἐγκωμιάσαι τὴν τούτου δύναμιν. τοῦτο

Ψαλ. δ. ζ.

Ἰωάν. ιδ. θ.

γὰρ τὸ ὁρώμενον σημεῖον τοῦ σταυροῦ ἄγγελοι προσκυνοῦσιν, οὐ διὰ τὸ εἶδος τοῦ ξύλου, ἀλλὰ διὰ τὸν σταυρωθέντα ἐν αὐτῷ ἑκουσίως Χριστὸν ἐν σαρκί. ὁ Ἀδὰμ διὰ τοῦ ξύλου τῆς βρώσεως κατεκρίθη, καὶ ὁ νέος Ἀδὰμ Χριστὸς ὁ Θεὸς ἡμῶν διὰ τοῦ ξύλου τοῦ σταυροῦ ἡμᾶς ἀνέσωσε. (Ψαλμ. νθ. δ.) καὶ ἐπληρώθη ὁ λόγος τοῦ προφήτου λέγοντος· Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. σημεῖον ὁ σταυρὸς ἐν μετώπῳ καὶ χειρὶ τοῦ πιστοῦ, τόξον δὲ ἡ πλάνη, τοξότης ὁ διάβολος, βέλη οἱ αἰσχροὶ λογισμοί, πληγαὶ αἱ ἁμαρτίαι. δεῦτε οἱ πιστοί, ἀπολαύσωμεν τῆς προσκυνήσεως τοῦ τιμίου καὶ ἀχράντου σταυροῦ. διότι θάμβος κατεῖχε πᾶσαν ἔμψυχον κτίσιν, Χριστὸν βλέπουσαν ἰκρίῳ πεπαρμένον, τὸν ποιητήν τε καὶ μέδοντα τῶν ὅλων, λόγχῃ νυγεῖσαν πλευρὰν ἡγιασμένην, [ὕδωρ τε καὶ] αἷμα ῥέουσαν ἐκ πηγῆς ἀενάου, ἀχλύθινον φοροῦντα τὸ πλακὲν στέφος, ὄξος πίνοντα καὶ χολὴν μεμιγμένην, κλῆρον λαχόντα χερσὶ ταῖς μιαιφόνοις ὑπηρέτας σκότους τε καὶ γνόφου φίλους, ὅπως ἕκαστος τὴν προσήκουσαν λάβοι μοῖραν. ἔφριξαν τάξεις ἀγγέλων ἀσωμάτων· στυγνός, κατηφὴς οὐρανὸς κατεστάθη, τῶν ἀστέρων ἔσβεστο φῶς καὶ λαμπρότης· γίγας μέγιστος ἥλιος τὰς λαμπάδας ἔστειλε, καὶ σκότος κατεῖχεν αἰθέρα· ἡ ἡμέρα τε μετῆλθεν εἰς βαθεῖαν ἑσπέραν, ναοῦ τε στόλισμα φαιδρὸν ἐρράγη πάλιν· βρασμοῖς ἐδονεῖτο ἡ γῆ, καὶ τῶν τάφων τάχος νεκροὶ προῆλθον τῶν δεσμῶν λελυμένοι· λῃστὴς κατοικεῖ παράδεισον ἐν πίστει τε καὶ λόγῳ, πληγεὶς δὲ Ἰούδας, ἀγχόνῃ διεφθάρη· Πέτρος φοβηθεὶς ὀμνύει τὸν δεσπότην οὐκ εἰδέναι τὸν ἐκ πλάνης σεσωκότα, ἕως ἀλέκτωρ ἐξελέγχει κραυγάσας. κλαύσας δὲ πικρῶς ἔπλυνεν ἁμαρτίαν. ταῦτα θεωρῶν ὁ καταχθόνιος δράκων, θρηνῶν ἀπωδύρετο λέγων· ὦ λειτουργοὶ καὶ δυνάμεις μου, οἱ τοῦ σκότους ἄρχοντες, τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου; ξυλίνη με λόγχη ἐκέντησε, καὶ διαρρήσσομαι, τὰ σπλάγχνα πονῶ, τὴν καρδίαν μου ἀλγῶ, τὰ αἰσθητήριά μου διαφθείρονται, τὸ πνεῦμά μου μαιμάσσει. εἴθε μὴ ἐτάγη εἰς ἀριθμὸν μαθητῶν ὁ Ἰούδας, εἴθε μὴ ἐπάγη καὶ ἐμοῦ τὸ ξύλον τῆς σταυρώσεως. οὓς γὰρ ἐνόμιζον κρατεῖν ἐν χερσί, νῦν κρατοῦμαι ὑπ᾽ αὐτοῦ ὡς αἰχμάλωτος, καὶ πάντας, ὅσους εἶχον ἀπὸ τοῦ πρωτοπλάστου, ἀναγκάζομαι ἐμέσαι. δεῦτε, ἀγαπητοί, σκεπασώμεθα ὑποκάτω τῶν πτερύγων τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ. ὁ γὰρ σταυρὸς εἰς τὰ τέσσαρα περατούμενος ἄκρα, σημαίνει ὅτι ὁ σταυρωθεὶς Θεός ἐστι διὰ πάντων χωρῶν, καὶ πάντα περιλαμβάνων τὰ πέρατα. ὑψώθη δὲ ἐν αὐτῷ ὁ Χριστὸς καὶ Θεός, ἵνα καὶ τοὺς ἐν τῷ ἀέρι δαίμονας ἐμφιλοχωροῦντας καταλύσῃ, καὶ τὴν οὐράνιον ἡμῖν πορείαν εὐεπίβατον ποιήσῃ· (Ιωαν. ιβ. λβ.) ὡς καὶ αὐτὸς ὁ σωτὴρ ἡμῶν ἔφη· Ἐν τῷ με ὑψωθῆναι πάντας ἑλκύσω πρὸς μέ. καὶ τί σοι πολλὰ λέγω; ἄκουε τοῦ προφήτου λέγοντος· (Ψαλμ. ρθ. γ.) Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών. καὶ ἐπειδὴ ῥάβδος ἐστὶν ὁ Χριστός, ὡς καὶ Ἡσαΐας εἶπεν, (Ησ. ια. α.) Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, αὐτὴν κατέχων Μωϋσῆς, διεῖλε τὴν ἐρυθρὰν θάλασσαν, ἔστησε τὸ ὕδωρ, καὶ ἔρραψεν. ἔστησεν, ἵνα παρέλθῃ ὁ λαὸς τοῦ Θεοῦ· ἔρραψεν, ἵνα ἐνδύσηται τὴν τῶν βυθῶν θάλασσαν ὁ Αἰγύπτιος λαός. καὶ ἕτερος τῶν προφητῶν λέγει· Εὐλογηθείη τὸ ξύλον, δι᾽ οὗ ἐγένετο σωτηρία ἐν μέσῳ τῆς γῆς. θεώρησον τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ καθ᾽ ἑκάστην ἡμέραν θεωρήσεις μεταξὺ αὐτῶν τὸ σημεῖον τοῦ σταυροῦ ἀπὸ ἄστρων ἐκτυπούμενον. διὰ τοῦτο κἀγὼ πρὶν ἢ τὸν ζωοποιὸν σταυρὸν ὑψώσω, μικρά τινα ἐγκωμιάσας χαιρετίσω, καὶ ὑψώσας προσκυνήσω. χαίροις, σταυρέ, ἀρχὴ σωτηρίας, καὶ ὀχύρωμα βασιλείας. χαίροις, σταυρέ, προβλήτωρ ἀποστόλων, καὶ κήρυγμα προφητῶν. χαίροις, σταυρέ, καύχημα μαρτύρων καὶ [κήρυγμα] ὁσίων. χαίροις σταυρέ, γαλήνη τῶν χειμαζομένων, καὶ ἀνάρρυσις τῶν αἰχμαλωτιζομένων. χαίροις, σταυρέ, δικαίων καὶ ὁσίων ἀγαλλίαμα. χαίροις, σταυρέ, ἱερέων στολισμά, καὶ πρεσβυτέρων σεμνότης. χαίροις, σταυρέ, διακόνων ἀγλάϊσμα, καὶ ἀναγνωστῶν φαιδρότης. χαίροις σταυρέ, μοναζόντων καύχημα, καὶ πενθούντων παράκλησις. χαίροις, σταυρέ, φύλαξ ἐκκλησιῶν, καὶ πόλεων εὐνομία. χαίροις σταυρέ, ὀρφανῶν πατήρ, καὶ χηρῶν προστάτα.

στάτα. χαίροις σταυρέ, πολεμουμένων σωτηρία, καὶ πλανωμένων ὁδηγός. χαίροις, σταυρέ, ἀδι-
κουμένων πρόμαχος, καὶ ἀδικούντων ἀντίδικος. χαίροις, σταυρέ, ὀδυνωμένων ψυχαγωγία,
καὶ κινδυνευόντων παραμυθία· χαίροις σταυρέ, τῶν φαύλων ἐπιτηδευμάτων διορθωτά, καὶ
τῶν κρειττόνων σπουδασμάτων βοηθέ· χαίροις, σταυρέ, πολεμουμένων ὅπλον ἀήττητον, καὶ
πιπτόντων ἔγερσις· χαίροις σταυρέ, ἀσθενούντων δύναμις, καὶ ἀδυνάτων βακτηρία. χαί-
ροις σταυρέ, παρθενευόντων στέφανος, καὶ χηρευόντων σωφροσύνη· χαίροις σταυρέ, ἔνδυμα τῶν
νεοφωτίστων, καὶ φύλαξ νηπίων· χαίροις σταυρέ, δούλων ἐλευθερία, καὶ ἀποθνησκόντων ἐντά-
φιον· χαίροις σταυρέ, τῶν ψυχῶν ὁ ἁγιασμός, καὶ τῶν δαιμόνων κατακάρδιος ἧλος. χαίροις
σταυρέ, ὁ τῶν ὁδοιπόρων συνοδοιπόρος, καὶ τῶν πλεόντων εὔδιος λιμήν· χαίροις σταυρέ, τῶν
πιστῶν ἀσφάλεια, καὶ ἀγρυπνούντων παραμύθιον· χαίροις σταυρέ, τὸ ἡμερινὸν ὅπλον, καὶ νυκτη-
ρινὸν φυλακτήριον· χαίροις σταυρέ, ἀσθενούντων βακτηρία, καὶ ποιμένων ῥάβδος· χαίροις
σταυρέ, ἐπιστρεφόντων χειραγωγία, καὶ προκοπτόντων τελείωσις· χαίροις σταυρέ, τῶν ψυχῶν
ἡ σωτηρία, καὶ σωμάτων πάντων κακῶν ἀποτρόπαιον· χαίροις σταυρέ, πάντων ἀγαθῶν
πρόξενος, καὶ ἁμαρτιῶν ἀναίρεσις· χαίροις σταυρέ, φυτὸν ἀναστάσεως, καὶ ξύλον ζωῆς αἰωνίου·
χαίροις σταυρέ, πίστεως κρηπὶς, καὶ ἱερωσύνης τελείωσις· χαίροις σταυρέ, ἀνομιῶν ἀπολυτρώ-
σις, καὶ ἐκκλησιῶν θεμέλιος καὶ στήριγμα· χαίροις σταυρέ, νόσων καθαίρεσις, καὶ ὁδοιπορούντων
ἀνάπαυσις· χαίροις σταυρέ, ἐπικουρία τῶν δεομένων, καὶ ἀγωνιστῶν συμμαχία· χαίροις σταυ-
ρέ, ὀδυνωμένων ἀνάκτησις, καὶ εὐθυπορούντων ἔρεισμα· χαίροις σταυρέ, ἐλεημοσύνης αἴ-
τιος, καὶ ἀσπλαγχνίας τιμωρία· χαίροις σταυρέ, πάντων βοήθεια κραταιά, καὶ βεβαιούσης ἐλ-
πίδος ἀσφάλεια. σήμερον σταυρὸς προσκυνεῖται, καὶ τοῦ Χριστοῦ ἡ ἀνάστασις ἐγκαινίζεται.
σήμερον σταυρὸς προσκυνεῖται, καὶ ἡ πόλις τοῦ Θεοῦ, ἡ ἄνω Ἱερουσαλὴμ, σὺν τοῖς ἐπιγείοις
εὐφραίνεται. σήμερον σταυρὸς προσκυνεῖται, καὶ Σιὼν ἡ μήτηρ τῶν πασῶν τῶν ἐκκλησιῶν ἐπαγ-
γέλλεται. σήμερον ὁ σταυρὸς προσκυνεῖται, καὶ τὰ πέρατα τῆς γῆς εἰς προσκύνησιν τούτου συνα-
θροίζονται. σήμερον σταυρὸς προσκυνεῖται, καὶ βασιλεῦσι Ῥωμαίων κατὰ βαρβάρων νίκη δεδώ-
ρηται. σήμερον σταυρὸς προσκυνεῖται, ἡ σωτηρία τῶν πιστῶν καὶ ἀντίληψις τῶν εὐσεβῶν. σή-
μερον σταυρὸς προσκυνεῖται, καὶ ὁ τετραπέρατος κόσμος ἀγάλλεται. σήμερον σταυρὸς
προσκυνεῖται, καὶ πᾶσαι αἱ φυλαί, λαοί τε καὶ γλῶσσαι ἑορτάζουσι. σήμερον σταυρὸς
προσκυνεῖται, καὶ ἡ κτίσις ἀνακαινίζεται. σήμερον σταυρὸς προσκυνεῖται, καὶ ὁ Ἀδὰμ
ἀνανεοῦται. σήμερον σταυρὸς προσκυνεῖται, καὶ ἡ Εὔα μήτηρ τῶν ζώντων ἀναδείκνυται βοη-
θὸς, οὐκ ἐπίβουλος γινομένη κατὰ τὸ πρότερον, ἀντὶ ξύλου τῆς γνώσεως τὸ ξύλον τῆς ζωῆς
τρυγῶσα, ἀντὶ τῆς παρακοῆς ὑπακοὴν ἐκτελοῦσα, ἀντὶ τῆς κατάρας τὴν εὐλογίαν λαμ-
βάνουσα, ἀντὶ τοῦ, Ἐν λύπαις τέξεις τέκνα, τὴν ἐν χαρᾷ πολυτεκνίαν κομιζομένη, ἀν-
τὶ τῆς φθορᾶς τὴν ἀφθαρσίαν σοφιζομένη. ἀλλὰ τίς αὕτη τῶν ζώντων ἡ μήτηρ; καὶ
τίς τὸ ξύλον καρπεύεται τῆς ζωῆς, ἀλλ' ἢ ἡ τοῦ Θεοῦ ἐκκλησία; καὶ τὸ ξύλον, ὁ σταυρὸς τοῦ Κυρίου τοῦ
κοινοῦ τῆς ἐκκλησίας νυμφίου. τοῦτο νῦν προσκυνεῖται, καὶ παραδειγματίζεται τῆς κακίας ὁ ἄρχων,
καὶ στηλιτεύονται δαίμονες, καὶ τὰ πνευματικὰ τῆς πονηρίας φυγαδεύονται στίφη, καὶ σκυλεύεται
ᾅδης, καὶ ἡ τούτου φάλαγξ δραπετεύεται, καὶ ὁ Βελίαρ καταπεπάτηται, καὶ τῆς ἁμαρτίας ὁ
σύμβουλος οὐκέτι" παρακάθηται τῇ μητρὶ πάντων ἡμῶν· ἀλλ' ἐπὶ τὸ στῆθος ἕρπει, τηρῶν μὲν
πτέρναν, πατούμενος δὲ τὴν κεφαλήν. καὶ γῆν μὲν ἐσθίει τὴν καταδικασθεῖσαν ἀκόλουθα καὶ τρι-
βόλους ἐκφέρειν· βλέπει δὲ τὴν ὑπ' αὐτοῦ πρότερον πατουμένην τὸ ξύλον τῆς ζωῆς τρυφῶ-
σαν, αὐτὸς δὲ ἐναπομείνας τῇ προτέρᾳ κατάρᾳ. βλέπει δὲ μήτε τῆς πτέρνης ἐξουσιάζων,
αὐτοῦ δὲ ἁπάσας συνθλωμένας τὰς κεφαλὰς τῷ σταυρῷ. θεωρεῖ παρεστῶσαν ἐκ δεξιῶν ὡς
βασίλισσαν τὴν πρότερον κατάκριτον, καὶ τὴν φύλλα συκῆς τὴν γύμνωσιν σκέπουσαν, ἐν ἱ-
ματισμῷ διαχρύσῳ περιβεβλημένην, πεποικιλμένην, καὶ τὴν οἰκείαν ἀκοσμίαν θρηνεῖ.

Ψαλ. μδ. ια.

βλέπει τῷ βασιλικῷ σκήπτρῳ στηριζομένην, καὶ πρὸς αὐτὸν ὑψουμένην τὸν οὐρανὸν, καὶ τὴν ἑαυτῆς πλῶσιν ὀδύρεται. βλέπει συγκαλοῦσαν τὰ τέκνα μετὰ ὑψηλοῦ κηρύγματος πρὸς τὴν προσκύνησιν τοῦ τιμίου σταυροῦ, καὶ τὴν ὑπακοὴν φείατει, καὶ τὴν προθυμίαν θαυμάζει, καὶ τὸ πλῆθος ἐκπλήττεται. βλέπει τὴν σύμπασαν κτίσιν ἑορτάζουσαν, καὶ ἑαυτὸν ὡς διπλοΐδα αἰσχύνην ἐνδεδυμένον, καὶ τὸ λόγιον τὸ φάσκον πληρούμενον· Ἔντεινον, καὶ κατευοδοῦ, καὶ βασίλευε. ἔντεινον τὸ τόξον τὸ τοῦ σταυροῦ, κέντησον τὸν διάβολον, βασίλευσον τῆς κτίσεως, κατευόδωσον τὸν ἄνθρωπον. καὶ πάλιν, Ὑψοῦτε Κύριον τὸν Θεὸν ὑμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. τὰ γὰρ τείχη τῆς ἁμαρτίας, καὶ τὰς πόλεις τοῦ ᾅδου ἐξηδάφισεν ὁ σταυρὸς τοῦ Χριστοῦ. ἀλλὰ δεῦτε, προσκυνήσωμεν τὸν σταυρόν· δεῦτε, καρπολογήσωμεν καὶ τρυγήσωμεν τὸ ξύλον τοῦ σταυροῦ, τὸ παρὰ τὰς διεξόδους τῶν ἐκ τῆς πλευρᾶς ὑδάτων ἑστώς, ὃ καὶ τὸν καρπὸν αὐτοῦ ἔδωκεν ἐν καιρῷ αὐτοῦ. ὁ γὰρ σταυρὸς τοῦ Χριστοῦ δένδρον ἐστὶν ἀθανασίας, φυτὸν ἀφθαρσίας, ῥίζα δικαιοσύνης, σωφροσύνης βλάστημα, παρθενίας ἄνθος, χηρείας ῥόδον. σταυρὸς, ἀνδρείας ὅπλον, καὶ ἐγκρατείας στήριγμα. σταυρὸς, θεμέλιος πίστεως, καὶ εὐσεβείας ὑποβάθρα. σταυρὸς, θεογνωσίας φωτισμὸς, καὶ ἀποφάσεως λύσις. σταυρὸς, ἐξορίας ἀνάκλησις, καὶ αἰχμαλώτων λύτρωσις. σταυρὸς, πλανωμένων ἐπιστροφὴ, καὶ πιπτόντων ἔγερσις. σταυρὸς, σωζομένων δύναμις, καὶ ἀρρωστούντων ἴασις. σταυρὸς, προκοπὴ δικαίων, καὶ παρρησία μαρτύρων. σταυρὸς, ἀποστόλων κήρυγμα, καὶ προφητῶν ἀγαλλίαμα. σταυρὸς κήρυγμα διδασκάλων, καὶ μοναζόντων ἔπαινος. σταυρὸς, βραβεῖον εἰρήνης, καὶ ὁμονοίας κλήτωρ. σταυρὸς, οὐρανίων καὶ ἐπιγείων σύνδεσμος, καὶ τῶν καταχθονίων ἐκσυλευτής. σταυρὸς, κτίσεως ἁγιασμὸς, καὶ οὐρανίων ἀγαθῶν πάροχος. σταυρὸς, ἑορταζόντων πανήγυρις, καὶ ἀρραβὼν υἱοθεσίας, καὶ βασιλείας οὐρανῶν κληρονόμος. καὶ τὸ δὴ θαυμαστότερον, ἀγάπης τοῦ Θεοῦ καὶ πατρὸς περὶ ἡμᾶς σύμβολον μέγιστον, ἔνδειξίς τε τοῦ υἱοῦ μέχρι θανάτου ἑκατέρας ὑπακοῆς καὶ σοφίας τοῦ πνεύματος. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν μονογενῆ αὐτοῦ υἱὸν ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ὁ δὲ υἱὸς γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, δέδωκεν ἡμῖν τῆς κατὰ τοῦ θανάτου νίκης τρόπαιον, ἵνα σὺν αὐτῷ διὰ τῆς σοφίας τοῦ πνεύματος προκαθελόντος ἀρχάς τε καὶ ἐξουσίας, χειρωσώμεθα τὸν ἐχθρὸν, καὶ δήσωμεν τὸν ἰσχυρὸν, καὶ διαρπάσωμεν αὐτοῦ τὰ σκεύη, καὶ λοιπὸν ἀφόβως ἐργασώμεθα τὸν παράδεισον τοῦ Θεοῦ, καὶ τὸν θησαυρὸν ἀνορύξωμεν τοῦ ἀγροῦ, καὶ τὸν πολύτιμον ἐμπορευσώμεθα μαργαρίτην, ἐμπρέπειν τὴν σφραγῖδα μέλλοντα τοῦ σταυροῦ, καὶ τὴν ἡμέραν τῆς κτίσεως. ὥσπερ γὰρ τοῦ Χριστοῦ τότε κρεμαμένου, ἐρράγησαν οἱ τάφοι, καὶ ὁ ᾅδης ἠνεῴχθη, καὶ αἱ πέτραι διερρήγνυντο, μοχλοὶ συνετρίβοντο, ἐδονοῦντο στοιχεῖα, καὶ ἀνίσταντο οἱ νεκροὶ, καὶ ἐξήλλοντο αἱ ψυχαί· οὕτω καὶ σήμερον σταυροῦ προσκειμένου, φυγαδεύεται ὁ διάβολος, δραπετεύουσι δαίμονες. ἐπὶ γὰρ σταυροῦ ὕψωσε τὴν σάρκα, ἵνα φανῇ [ἡ] σὰρξ ὑψουμένη, καὶ θάνατος πεπτωκώς. σήμερον σταυρὸς προσκυνεῖται, καὶ τῶν προφητικῶν φωνῶν ἡ σφραγὶς τετέλεσται. διὰ σταυροῦ γὰρ ἐλύθη δεσμῶν, ἅπερ ἐχάλκευσεν ὁ ὄφις ἐν παραδείσῳ, καὶ ἐστύψεσεν ὁ Ἀδὰμ, καὶ ὤξυνεν ἡ Εὔα. διὰ σταυροῦ ὁ λῃστὴς ἐτυμβωρύχησε τὸν παράδεισον. ποῖος γὰρ οἶκος, ὁ μὴ ἔχων τὸν σταυρὸν θεμέλιον; ποῖον πλοῖον, τὸ μὴ πηδαλιουχούμενον ὑπὸ τοῦ σταυροῦ; ποία πόλις, ἡ μὴ ἔχουσα τὸν σταυρὸν φρούριον; ποῖος βασιλεὺς, ὁ μὴ ἀναδεσμούμενος τοῦ σταυροῦ βακτηρίαν; ποία ἐκκλησία, ἡ μὴ ἔχουσα τὸν σταυρὸν προπύργιον, καὶ τούτῳ τετειχισμένη; ποία χώρα, ἡ μὴ ἔχουσα τὸν σταυρὸν βακτηρίαν; ποῖος ὀρφανὸς, ὁ μὴ ἔχων ἀρωγὸν τὸν σταυρόν; σταυρὸς ἐν νυκτὶ φωτίζει, τὴν ἡμέραν λαμπαδουχεῖ, τὰς ψυχὰς λαμπρύνει, χειμῶνας συμφορῶν παύει, συζυγίαν συσφίγγει, ὀρφανοὺς ἀνατρέφει. τοῦτο τῆς οἰκονομίας τὸ πέρας, τοῦτο τοῦ σταυροῦ τὸ κατόρθωμα, τοῦτο τοῦ πάθους τὸ τρόπαιον, τοῦτο τῆς ἑορτῆς τὸ κεφάλαιον. ἐστὶ τῆς παλαιᾶς διαθήκης ὁ θησαυρὸς, ἐστὶ τῶν εὐαγγελίων ὁ τίμιος μαργαρίτης,

Ψαλ. μδ. Ψαλ. ϙη. Ιωαν. γ. 15.

ρίτης, ἐστὶ τῆς βασιλείας ὁ πολυτίμητος στέφανος, πάντα λόγον καὶ διήγησιν ὑπεραίρων.
Τότε γάρ, φησι, φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. τότε, πότε; ὅτε
αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, ὅτε μετὰ τῶν ἀγγέλων αὐτοῦ ὁ μονογενὴς υἱὸς τοῦ πα-
τρὸς ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς. τότε γὰρ οἱ τῷ σημείῳ διαπρέποντες τῷ βασιλι-
κῷ, καὶ τὸν πολύτιμον ἑαυτοῖς κτησάμενοι μαργαρίτην, καὶ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν
κάλλος διασώσαντες, ἐν νεφέλαις εἰς οὐρανὸν ἁρπαγήσονται. ὁ γὰρ Κύριος καὶ Θεὸς ἀπο-
στέλλει τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ συνάξουσι τοὺς ἐκλεκτοὺς ἐκ
τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου αὐτοῦ. ταῦτα ὁ εὐαγγελιστὴς Ματ-
θαῖος περὶ τῆς ἐσομένης τοῦ υἱοῦ τοῦ Θεοῦ δευτέρας ἐλεύσεως, καὶ τοῦ προηγουμένου σταυροῦ.
τὸ δὲ νῦν τελούμενον, τύπος ἐστὶ τοῦ μέλλοντος ἐναργής. ἰδοὺ γὰρ προτίθεται σταυρὸς ἐπὶ τῆς
γῆς, καὶ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, καὶ γένος ἀνθρώπων, καὶ ἡλικία πᾶσα τῷ σημείῳ τοῦ σταυ-
ροῦ κατασφραγίζεται, ἄρχοντές τε καὶ ἀρχόμενοι, δεσπόται καὶ δοῦλοι, ἄδοξοί τε καὶ ἔνδοξοι, σο-
φοί τε καὶ ἰδιῶται, δυσγενεῖς τε καὶ εὐγενεῖς. δεῦτε, προσκυνήσωμεν τὸν ἅγιον βλαστόν, καὶ
γνησιοδίδακτον καὶ δικαιοεύρετον σταυρόν. δεῦτε, εὐλογήσωμεν τὸν ζωοπάροχον, καὶ ζωηρή-
νυτον καὶ ἅγιον σταυρόν. δεῦτε, προσκυνήσωμεν τὸν ἀκυμαστοθειοσύγκριτον, ἰχθυοκόσμητον,
καὶ κυριόλεκτον σταυρόν. δεῦτε, δοξάσωμεν τὸν ἀγγελομαρτύρητον, καὶ μονοσέβαστον, καὶ οὐ-
ρανοπρόβλητον, καὶ ἅγιον σταυρόν. δεῦτε, μεγαλύνωμεν τὸν παναγιόρειστον, ῥιζοσύνετον, καὶ
σφιστόπακτον, καὶ τελειούμνητον σταυρόν. δεῦτε, εὐχαριστήσωμεν τὸν ὑψιστόφραστον, καὶ φοβε-
ροχάριτον, καὶ ψυχωφέλιμον, καὶ ὡραιοκόσμητον σταυρόν. δεῦτε, προσκυνήσωμεν μετὰ φό-
βου καὶ πόθου καὶ πίστεως, καὶ ἁγιασθῶμεν τῇ προσψαύσει τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ.
ἀλλ' οἱ βουλόμενοι νουνεχῶς καὶ νηφόντως τῷ σταυρῷ τοῦ Κυρίου καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν
Ἰησοῦ Χριστοῦ προσελθεῖν, καὶ συγχώρησιν ἁμαρτιῶν λαβεῖν, πρὸ μὲν πάντων ἀλήθειαν ἀγα-
πήσατε, καὶ ἀσέβειαν διώξατε, ἀλλοτρίων πραγμάτων ἐπιθυμηταὶ μὴ γίνεσθε. οἱ βου-
λόμενοι τῷ σταυρῷ προσελθεῖν, βουλὰς πονηρὰς ἀφ' ὑμῶν ἀπορρίψατε, ἐπὶ ὅρκιον θεί-
ως πορεύεσθε, εἰς βόθρον ἁμαρτίας ἑαυτοὺς μὴ ῥίψατε, ἐπιορκίαν καὶ βλασφημίαν πόρ-
ρω ἀφ' ὑμῶν ἀπώσασθε. οἱ βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, γνόφον ἁμαρτίας μὴ ἐνδύση-
σθε, ἀλλὰ γνησίως τὰς ἐντολὰς τοῦ Θεοῦ φυλάξατε. οἱ βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, δόλον
ἀπὸ καρδιῶν ὑμῶν ἀπορρίψατε, καὶ δυσσέβειαν διώξατε, δανεῖσαι ἐν τόκῳ ἢ ἐν πλεονασμῷ μὴ
θελήσητε, τοὺς γονεῖς ὑμῶν ὁλοψύχως τιμήσατε, καὶ δοξάσατε, καὶ ἀγαπήσατε, καὶ ποθήσατε. οἱ
βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, ἐκριζώσατε ἀφ' ἑαυτῶν βουλὰς πονηράς, ὁπλίσασθε ἑαυτοὺς
ἐννοίαις ἀγαθαῖς, ἑτοιμάσατε ἑαυτοὺς εἰς πᾶν ἔργον ἀγαθόν. οἱ βουλόμενοι τῷ σταυρῷ
προσελθεῖν, ζῆλον ἀπὸ καρδιῶν ὑμῶν ἀπορρίψατε, ζημιῶσαι τὸν πλησίον μὴ ποθήσητε,
ζύγια καὶ μέτρα ληψὰ τῶν ἐπιθετῶν μὴ ποιήσητε, ζυγῷ ἀνδρός, τουτέστιν, ἀλλοτρίᾳ γυ-
ναικί, μὴ συγγίνεσθε, καὶ ἀλλήλους ἀγαπῶντες ποθήσατε, ἡδυπάθειαν ἐν κακῷ μὴ θελήσητε,
ἔθος πονηρὸν ἀπελάσατε. οἱ βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, θέας ματαίας καταλεί-
ψατε, θυμὸν καὶ ὀργὴν κατασβέσατε, θλίψαι τινὰ μὴ ποθήσατε, φόνον ἀπὸ καταπλο-
κῆς καὶ διάλογον ψευδῆ μὴ ποιήσατε. οἱ βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, εἰς ψεῦ-
δος μὴ ἀπολισθῆτε, καὶ εἰς ἐπιθυμίας αἰσχρὰς καὶ ψυχοβλαβεῖς μὴ τρέπεσθε, ἀλλ' ὁλο-
ψύχως τὰς ἐντολὰς τοῦ Θεοῦ φυλάξατε. οἱ βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, κρίσιν καὶ
δικαιοσύνην ποιήσατε, ὃ καλὸν καὶ ἀγαθὸν ποθήσατε, καὶ εἰς μάχας καὶ ὕβρεις μὴ τρέ-
πεσθε. οἱ βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, λόγους ἀληθείας λαλήσῃ ἕκαστος πρὸς τὸν
πλησίον αὐτοῦ, λαγνείαν πᾶσαν βδελύξασθε, καὶ ἀσέλγειαν διώξατε. οἱ βουλόμενοι τῷ
σταυρῷ προσελθεῖν, τὴν ἀθέμιτον πρᾶξιν, τὴν βλαβερὰν καὶ ψυχοοικόφθορον ἁμαρτίαν
τῆς μοιχείας μὴ ποιήσατε. γυμνοποιὸς γὰρ καὶ ψυχῆς καὶ σώματος ὑπάρχει ἡ μοιχεία. μὴ οὖν

Ματθ. κδ. λ.

Ματθ. κδ. λα.

μοιχεύσῃς, ἵνα μὴ νοθεύσῃς, καὶ τὸ σῶμά σου ἀφανίσῃς, καὶ σεαυτὸν ἀσχημονήσῃς, καὶ τὴν ψυχήν σου κολάσῃς, καὶ τὸ γένος καταισχύνῃς, καὶ τὸν Θεὸν παροργίσῃς. μηδὲ αὖ πάλιν πορνεύσητε. ἡ γὰρ πορνεία αἴτιος γέγονε τῆς πολυκόσμου καταστροφῆς, ὡς βλαβερὰ καὶ ψυχοαπακάλυπτος οὖσα ἁμαρτία. οἱ βουλόμενοι τῷ σταυρῷ προσψαῦσαι, καὶ τὴν ἐξ αὐτοῦ ὠφέλειαν καρπώσασθαι, μὴ ῥίψωμεν ἑαυτοὺς εἰς τὸν σκοτεινὸν λάκκον τῆς πορνείας, καὶ εἰς τὸ ζοφερὸν φρέαρ τῆς μοιχείας. τὰ γὰρ ξιφηφόρα [πρόθυρα] τῆς παρανόμου πορνείας, καὶ τὰ πεπυρωμένα βέλη τῆς μοιχείας γεννῶσι τὸν ἀκοίμητον σκώληκα, καὶ τὸ ἄσβεστον πῦρ, ἀβερθυμοέγκαυστον ὀργήν, καὶ ῥιζοτηξοκάρδιον καὶ νεκροσύμφορον τίκτει ἡ πορνεία καὶ μοιχεία. οἱ οὖν τῷ σταυρῷ καταφρονητικῶς καὶ ἀφόβως πλησιάζοντες, βροντόβρεστοι, βριμόβρυχοι, ἀστραπόφλεκτοι, βελοβυθοθαμβοσεισμοφόνοι γενήσονται. οἱ βουλόμενοι τῷ σταυρῷ προσελθεῖν, καταλαλιὰν μισήσατε, μνησικακίαν βδελύξασθε, ἐλεεῖν πτωχοὺς μὴ παύσησθε, ἐπισκέπτεσθαι ἀρρώστους μὴ ὀκνήσητε, φιλαργυρίαν μὴ ποθήσητε, τοὺς ἐν φυλακῇ ἐπισκεπτόμενοι μὴ παύσητε. ἐν ταῖς ἐκκλησίαις συναθροιζόμενοι, φόβῳ καὶ τρόμῳ καὶ χαρᾷ τῷ σταυρῷ προσέλθωμεν, καὶ τοὺς ἱερεῖς τιμῶντες μὴ παυσώμεθα. ἐννοήσωμεν, ὦ ἀγαπητοί, τὴν τοῦ σταυροῦ δύναμιν. τοῦ γὰρ σταυροῦ παγέντος, καὶ Χριστοῦ ἐν αὐτῷ τανυσθέντος, καὶ τὴν ἄχραντον κορυφὴν ἐπ' αὐτὸν κλίναντος, καὶ τῇ λόγχῃ πλευρὰν νυγέντος, καὶ πάθει μετὰ τῶν ὑπ' οὐρανὸν ὑπὸ τοῦ φόβου σαλευομένων, καὶ εἰς ἐκδίκησιν τοῦ ἐν σταυρῷ σαρκὶ κρεμαμένου ἑτοιμαζομένων, ὑπ' αὐτοῦ δὲ τοῦ σαρκὶ σταυρωθέντος κωλυομένων, ἰδὼν ὁ διάβολος τὰ στοιχεῖα ταρασσόμενα, τῶν ὅπλων τῶν λυομένων, καὶ τὸν σταθμὸν αὐτῶν, ἦχον βροντῶν καὶ βόμβους αὐτῶν, αἴγλην ἀστραπῶν καὶ δρόμον αὐτῶν, στάσιν νεφῶν καὶ τὸ κοῦφον αὐτῶν, θράσος σεισμοῦ καὶ τὸ κράτος αὐτοῦ, πλῆθος ἀγγέλων καὶ τὰς τάξεις αὐτῶν, στιλβότητα πυρὸς καὶ τὴν φλόγα αὐτοῦ, καταιγίδα ὀργῆς καὶ τὸν θυμὸν αὐτῆς, στρατιὰν ὑψιπόλων, καὶ τὰς παρεμβολὰς αὐτῶν, ζώων ἁγίων δυνάμεις καὶ τὸ θεῖον αὐτῶν, ὑποταγὴν νεφελῶν καὶ τὴν ἀποστολὴν αὐτῶν· ταῦτα θεωρῶν ὁ διάβολος, σπεύσας πρὸς τὸν ᾅδην κατῆλθε, καὶ πύλας καὶ μοχλοὺς ἀσφαλίζεσθαι προσέταττεν. ἀτενίσας δὲ εἶδεν ἀστραπῶν λαμπαδοφόρων οὐσίας πρὸς αὐτὸν κατιούσας, καὶ βροντῶν ὁ βαρύκτυπος ἦχος πρὸς αὐτὸν ἐθρήνησε, γνόφος αὐτὸν περιεκύκλωσε, τρόμος στοιχείων ἑαυτὸν ἐτάραξεν, αἱ ζώων τάξεις περιέφθασεν, ἡ γῆ ἐσαλεύετο, αἱ πέτραι ἐρρήγνυντο, μοχλοὶ συνετρίβοντο, ἐδονοῦντο στοιχεῖα, ὁ θάνατος ἐκλονεῖτο, λαμπάδες πυρὸς νοητοῦ περιηγοῦντο. ταρτάρειος βυθὸς ἐτρομοποιεῖτο, ἡ θάλασσα ἐβορβορῦτο, τὰ καταχθόνια τῆς ἀβύσσου ἀνεμοχλεύοντο, φωναὶ τῆς κερατίνης ἐσημαίνοντο. ἥλιος ἐσκοτίζετο, καὶ * τὴν ἰδέσθαι τὸν οὐρανόν, καὶ τὸ φαινόμενον στερέωμα, τὸν τοῦ κόσμου περίβολον, τὸν τῆς κτίσεως ὄροφον, τὴν τῆς πολυδήμου οἰκίας κεράμωσιν, τὴν ἀπαλαίωτον στέγην, τὴν ὑδατοπαγῆ καμάραν, τὴν κρυστάλλινον φιάλην, τὴν ὁμαλὴν ὑποχάρτωσιν, τὴν χρυσογράμματον βίβλον, τὴν ἀργυροένητον τοῖς ἄστροις, τὸν κυανοβαφῆ θάλαμον, τὸν πυροσφόρον παστόν, ἐν ᾧ ἥλιος καὶ σελήνη, ὡς νυμφίος καὶ νύμφη, παρακάθηνται. καὶ ὁ μὲν οὐρανὸς ἀντὶ αἴγλης σκότος περιεβάλλετο, ποταμοὶ δὲ καὶ αἱ πηγαὶ καὶ λίμναι τὸ νᾶμα συστέλλειν ἠπείγοντο, νεύματι δὲ τοῦ σταυρωθέντος Χριστοῦ τὰ ῥεῖθρα περιβάλλειν ἐκελεύοντο· ζοφερὰ δὲ φάλαγξ καὶ παράταξις τῶν δαιμόνων ἐφυγαδεύετο· πᾶσα δὲ τάξις ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν λειτουργικῶν δυνάμεων φόβῳ καὶ τρόμῳ ἐκλονοῦντο, θεωροῦσαι τὸν ἄχρονον καὶ ἄφθαρτον καὶ ἀθάνατον Θεὸν τοὺς οὐρανοὺς μὴ λιπόντα, καὶ ὑπὸ γῆν πρὸς τὸν Ἀδὰμ κατιόντα. καὶ ὁ μὲν ᾅδης ὠδίνατο, καὶ ὁ Βελιὰρ καρωθεὶς τῷ φόβῳ νενέκρωτο, καὶ ὁ θάνατος καπνιαθεὶς καὶ βροντοβολιαθεὶς τῇ ἀστραπῇ τῆς θεότητος πάντας, ὅσους εἶχε, δικαίους ἐξήμεσε. τούτων οὕτω γινομένων, ἰδοὺ φωνὴ ἐξήρχετο ἐκ στόματος τοῦ ἁγίου καὶ ἀχράντου καὶ ἀθανάτου καὶ ἀοράτου, ζωοδοτοῦσα, καὶ οὐ θανατοφοροῦσα, ἀλλὰ χαρὰν καὶ τρόμον ποιοῦσα·

σα· χαρὰν μὲν τοῖς δικαίοις, τρόμον δὲ τοῖς τοῦ σκότους ἄρχουσιν· ὑμῖν λέγω τοῖς ἐν δεσμοῖς, ἐξ-
έλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλύφθητε. Ταῦτα ἀκούσασαι αἱ ψυχαὶ τῶν δικαίων ἠ-
γαλλιάσαντο, καὶ ὁ χορὸς τῶν προφητῶν γεγηθότες ἔψαλλον· Ὁ Θεὸς ἡμῶν ἐμφανῶς ἥξει, Ψαλμ. μθ γ.
ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ κύκλῳ αὐτοῦ
5 καταιγὶς σφοδρά. καὶ τῶν ὁσίων αἱ ψυχαὶ τῶν δεσμῶν λυθεῖσαι σὺν τῷ Ἀδὰμ
συνεξῄεσαν, οἱ μὲν προφῆται τὸν διάβολον καταπαίοντες, καὶ οἱ δίκαιοι ῥαπίζον-
τες, οἱ δὲ ὅσιοι ἐμπτύοντες αὐτὸν κατεγέλων, ἡ δὲ φάλαγξ τῶν δαιμόνων κάρας γόνασι
θέμενοι, ταῖς ἐν χερσὶ τῶν προφητῶν κινύραις, καὶ φόρμιγξι, καὶ τυμπάνων ᾠδὰς ἐνηχοῦν-
το, ᾄδουσαι τὸν νικηφόρον. τίς οὖν μὴ θαυμάσῃ τὴν δύναμιν τοῦ τιμίου καὶ ζωοποιοῦ σταυ-
10 ροῦ; ὢ ὄνομα σταυροῦ, τὸ ἐπίκρυφον μυστήριον· ὢ χάρις ἀνέκφραστος, καὶ δύναμις ἀνεξιχνί-
αστος. ἀλλὰ καιρὸς λοιπὸν τῇ φρικτῇ τραπέζῃ προσπελάσαι, καὶ τῇ ἀναιμάκτῳ θυσίᾳ προσ-
ιέναι. διὰ τοῦτο κἀγὼ μετὰ τῆς προσηκούσης σωφροσύνης καὶ νήψεως αὖθις μικρά τινα ἐγ-
κώμια προσθήσας τῷ ζωοποιῷ σταυρῷ, καταπαύσω τὸν λόγον. χαίροις, πάμφρικτε καὶ ζωο-
δότα σταυρέ, φέγγος γλυκερόν, καὶ ἀειφανὴς ἥλιος. χαίροις, τίμιε καὶ σεβάσμιε σταυρέ, ὁ τὰς
15 τῶν θελγομένων ψυχὰς ἐπιστρέφων, τὰς δὲ τῶν ἀνόμων ψυχὰς ὀλοθρεύων. χαίροις, ἀξιά-
γαστε σταυρέ, ὁ ὁδοὺς δικαίων φαίνων, τρίβους δὲ ἀσεβῶν φλέγων. χαίροις, τρισόλβιε σταυρέ,
ἀγαθῶν χορηγέ, καὶ τῶν εἰς σὲ ἐλπιζόντων ἀντιλήπτωρ. χαίροις, πανόλβιε σταυρέ, ὁ τῶν
εἰς σὲ προσφευγόντων τεῖχος καὶ σωτηρία. χαίροις, παμφαέστατε σταυρέ, κινδυνευόντων λυ-
τρωτά, καὶ ἀσθενούντων ἰατρέ. χαίροις, παμμέγιστε σταυρέ, πασχόντων βοηθός, καὶ καταπονου-
20 μένων ἔκδικος. χαίροις, πάμφωτε σταυρέ, ἀπεριστάτων ἀντιλήπτωρ, πλανωμένων ὁδηγέ,
θλιβομένων βοηθέ. χαίροις, νικοποιὲ σταυρέ, δεομένων δοτήρ, καὶ βοώντων ἐπακουστά. χαίροις,
ἀήττητε σταυρέ, προστάτα ἀπρόδοτε, κόσμου συνοχεῦ καὶ πρύτανι. χαίροις, ζωοπύρσευτε
σταυρέ, οἰκουμένης εὐεργέτα, εὐποιούντων ἀνταποδότα. χαίροις, ὑψοποιὲ σταυρέ, καὶ δούλων σου
νικοποιέ. χαίροις, ζωηφόρε σταυρέ, φίλων εὐεργέτα, Ἰουδαίων λικμήτωρ, ἀσεβῶν κολαστά,
25 δικαίων μισθαποδότα. χαίροις, ἀξιοθαύμαστε σταυρέ, ἱερέων στολιστά, μονοζόντων καύχημα,
διωκομένων ἐπιζητητά, τεταπεινωμένων ἀνεώκτα. χαίροις, ζωοπάροχε σταυρέ, πτωχῶν ὑψο-
ποιέ, πεπτωκότων ἔγερσις, ἁμαρτανόντων μακροθυμία, μετανοούντων ἀποδέκτα. χαίροις,
πανάγιε σταυρέ, ἐξομολογουμένων ἱλασμός, ἐπιστρεφόντων οἰκτιρητά, ὁσίων σου ἐπιλέκτα,
ἐχθρῶν σου ὀλοθρευτά, γειτνιῶν ἀγχιστευτά, καὶ τῶν ἐκκλησιῶν οἰκοδόμε, καὶ ὑπὸ πάσης
30 κτίσεως προσκυνούμενε, τοῦτο τὸ τίμιον καὶ σεβάσμιον ξύλον ὑπὸ πάντων τιμώμενον προσ-
κυνεῖται. Ἕλληνές τε καὶ βάρβαροι, Μακεδόνες καὶ Θετταλοί, Παίονες καὶ Ἰλλυριοί, Ἀθηναῖοι
καὶ Ἀργεῖοι, καὶ Λάκωνες, Πάρθοι, καὶ Μῆδοι, καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Με-
σοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ Ἀσίαν, Αἰγύπτιοι καὶ τὰ μέρη τῆς
Λιβύης τῆς κατὰ Κυρήνην, Κρῆτες καὶ Ἄραβες, Ἰνδοὶ καὶ Αἰθίοπες, καὶ Ὁμηρῖται, καὶ πάντες
35 οἱ λοιποὶ τῶν ἐθνῶν, ὅσους ὁ ἥλιος ἐφορᾷ, τὴν ἑαυτῶν καταλιπόντες ἀπάτην, τῷ σταυρῷ
σημειούμενοι προσκυνοῦσι, φεύγοντες τὰς πολυπλόκους σειρὰς τοῦ διαβόλου. διὰ σταυ-
ροῦ γὰρ ἀνέρρηξεν ὁ Χριστὸς τὴν τοῦ Βελίαρ ἀχόρταστον κοιλίαν, καὶ συνέλυσεν αὐτοῦ τοὺς σαρ-
κοβόρους ὀδόντας, τῷ στερεμνίῳ αὐτοῦ σταυρῷ συγκλάσας παρέλυσεν αὐτοῦ τὰ νεῦρα, καὶ συν-
έθλασεν αὐτοῦ τὰ ὀστᾶ· παρέσχισεν αὐτοῦ τὴν στολήν, καὶ κατέτιλλεν αὐτοῦ τὴν κόμην, θρῆ-
40 νον καὶ πένθος σκοτεινὸν καὶ ἀτελεύτητον ἀπέρριψεν αὐτῷ. ἐξέσβεσεν αὐτοῦ τοὺς ἀναιδεῖς ὀ-
φθαλμούς, κατήσχυνεν αὐτοῦ τὸ ἄτιμον πρόσωπον, ζιβύναις ὀξέσιν ἐλογχοβόλησεν αὐτόν,
τριστόμῳ ῥομφαίᾳ κατεκέντησεν αὐτόν, διεσκόρπισεν αὐτοῦ τὰς ἐλπίδας, ἐξηρεύνησε τὰς κε-
κρυμμένας νοσσιὰς αὐτοῦ, καὶ ἐλίκμησε παντὶ ἀνέμῳ τὰς ἐνθήκας αὐτοῦ. ἠδάφισε τὰ ἀ-
νηλεῆ τῶν δαιμόνων αὐτοῦ τέκνα καὶ ἔκγονα, κατέσβεσε πυρὶ ἀσβέστῳ τὰ χειροποίητα αὐτοῦ
ξόανα,

ξόανα, ἐβαράθρωσε τὴν στρωμνὴν αὐτοῦ, ἀνεμόχλευσεν αὐτοῦ τὰ σκοτεινὰ ταμεῖα, ἐξη-
δάφισεν αὐτοῦ τὰς πόλεις, καθεῖλε τὰ τείχη τῆς ἀνομίας, ἀνεπέτασε τὰς πύλας τοῦ ᾅδου,
συνέτριψε τοὺς ἀδαμαντίνους μοχλούς, καὶ πάντας τοὺς εἰς αὐτὸν πιστεύσαντας λύσας, καὶ
μεθ' ἑαυτοῦ λαβὼν εἰς οὐρανοὺς πρὸς τὸν πατέρα, ὡς γίγας, ἀνέδραμε, καθά φησιν ὁ προφή-
της· Ἀγαλλιάσεται, ὡς γίγας, δραμεῖν ὁδόν. τούτῳ τῷ σημείῳ ἐχθροὶ φυγαδεύονται, τούτῳ τῷ (ψαλ. ιη. ε.)
σημείῳ τείχη τῶν ὑπεναντίων πίπτουσι, δαίμονες ὀλέσκονται, πάντα ὑποτάσσονται τῷ ξύλῳ
τοῦ σταυροῦ διὰ τὴν δύναμιν τοῦ ἐν αὐτῷ σταυρωθέντος. καὶ οὐ μόνον νῦν νικᾷ ὁ τύπος τοῦ σταυ-
ροῦ τοὺς ὑπεναντίους, ἀλλὰ καὶ πρὸ τούτου ἐνίκα καὶ ὑπερίσχυε. καὶ γνῶθι τοῦ τύπου τὴν
δύναμιν. ἡ ῥάβδος Μωϋσέως τύπον ἔφερε τοῦ σταυροῦ· ἡ δὲ ῥάβδος ἦν ὁ σταυρός. ὅρα δή
μοι τὸν τύπον τοῦ σταυροῦ, πόσα τέρατα καὶ σημεῖα εἰργάσατο, τοῖς μὲν ὑπεναντίοις κακά,
τοῖς δὲ πιστοῖς καλά. καὶ τοὺς μὲν ποταμοὺς τῶν Αἰγυπτίων ὁ Μωϋσῆς διὰ τῆς ῥάβδου εἰς
αἷμα μετέβαλε, καὶ ἀκρίδα, καὶ βροῦχον, καὶ χάλαζαν, σκότος ψηλαφητὸν καὶ θύελλαν, καὶ θάνατον τῶν
πρωτοτόκων διὰ τῆς ῥάβδου αὐτῆς ἐπήγαγεν. ὅπου γὰρ ἐπέπνευσεν ἡ ῥάβδος, ἐκεῖ καὶ τρό-
παιον ἵστατο. διὰ τῆς ῥάβδου ἀνεκαλέσατο ὁ Θεὸς τὸ γένος τῶν Ἑβραίων ἐκ πικρᾶς δουλεί-
ας, καὶ σταυροῦ τύπος ἦν αὐτοὺς ὁ σώζων. ἔγνως, ὦ ἀγαπητέ, τοῦ τύπου τοῦ σταυροῦ τὴν ἰσχὺν
καὶ τὴν δύναμιν. προσκύνησον τὴν ἀλήθειαν τοῦ Χριστοῦ, ἀκούσας τῆς προτυπώσεως
τὴν δήλωσιν· σεβάσθητι τῆς ἀληθείας τὴν φανέρωσιν. πολὺς οὖν ὁ τοῦ σταυροῦ λόγος, καὶ (χ. ἄλλ.)
ἀνέκφραστος ἡ τούτου δύναμις. οἱ προσκυνοῦντες τὸν σταυρὸν πόθῳ καὶ πίστει, ἔγνωσαν τὴν
ἐν αὐτῷ ἰσχύν, καὶ τροποῦνται τὸν διάβολον. παντοδύναμος γὰρ ὁ σταυρός, τοὺς πάντας
εὐεργετῶν, ὑπὸ πάντων προσκυνεῖται. Κύριος γάρ ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ σωτὴρ τῶν
ψυχῶν ἡμῶν ἐν αὐτῷ προσηλωθείς, καὶ σώσας τὸν κόσμον· ᾧ παρ' ἡμῶν πᾶσα πρέπει καὶ ἐπο-
φείλεται τιμή, δόξα καὶ εὐχαριστία σὺν τῷ ἀνάρχῳ πατρί, ἅμα τῷ παναγίῳ καὶ ζωοποιῷ
πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. πδ.

ΕΙΣ ΤΗΝ ΑΝΑΣΤΑΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ Ἰησοῦ Χριστοῦ· καὶ εἰς τὰς μυροφόρους.

Ex Ms. Cæsareo.

Σφόδρα μοι καὶ νῦν, ὡς ἀεί, κρατεῖ τῆς διανοίας τῆς δεσποτικῆς ἀνα-
στάσεως τὰ θαύματα, καὶ τὰ φοβερὰ τῶν μυστηρίων θεάματα κατα-
πλήττει μου τῆς ψυχῆς τὴν ἐνθύμησιν· ὅτι δόξαν ἐγέννησεν ἀτιμία,
καὶ πάθος ἐπήγασεν ἀνθρώποις ἀπάθειαν· ὅτι ξύλον τιμωρίας ξύλου
δουλείας ἐρρύσατο, καὶ ἧλοι τὴν πολύρριζον ἁμαρτίαν ἀνέσκαψαν·
ὅτι στέφανος ἀκανθῶν καθολικὴν κατάραν ἀνέτρεψε, καὶ σταυρὸς ἐ-
πονείδιστος κόσμον αἰσχύνης ἀπήλλαξεν· ὅτι λόγχη νυγεῖσα πλευρά, κόσμου μυστηρίων γέ-
γονε πύλη, καὶ τάφος τεθνημένος οἶκος ζωῆς ἀπεδείχθη· ὅτι τελώνης θεολογίας ἐφθέγξατο
δόγματα, καὶ ἄγγελος ταῖς τῶν γυναικῶν ψυχαῖς χαρᾶς ἐνέσπειρε ῥήματα. οὐ φέρω σιγᾶν
τὰ τοῦ δεσπότου παράδοξα, εἰ καὶ τὸ πλῆθος τῶν θεοσημειῶν φθάνειν λόγος οὐκ ἀρκεῖ πρὸς
διήγησιν. χορεύω σὺν τῷ λῃστῇ, σκιρτῶ σὺν τῇ Μαρίᾳ, πειθαρχῶ τῷ εὐαγγελιστῇ κεκρα-
γότι· Ὀψὲ σαββάτων τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνή, (Ματθ. κη. α.)
καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον· καὶ ἰδού, σεισμὸς ἐγένετο μέγας. ἄγγελος γὰρ Κυ-
ρίου καταβὰς ἐξ οὐρανοῦ ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου, καὶ ἐκάθητο ἐπά-
νω αὐτοῦ. ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπή, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκόν, ὡσεὶ χιών. ἀπὸ δὲ τοῦ
φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί. ὀψὲ σαββάτων τῇ ἐπιφωσ-
κούσῃ εἰς μίαν σαββάτων. ταύτης πρώην ἐπήκουες τῆς φωνῆς. ἐν τῇ φοβερᾷ νυκτί, μᾶλ-
λον

λον δὲ ἐν τῷ μεγάλῳ φωτὶ, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι
τὸν τάφον. ἀγαθὴ τῶν γυναικῶν ἡ σπουδὴ, εὐαγγελικὸς τῶν ἀπλουτηθεισῶν γυναικῶν ὁ δρόμος,
τὸ τῶν δηλαδὴ ἀνδρείων τὸ φρόνημα. τάχα δὲ τῶν ἀποστόλων εὐφημότερα τῶν εὐολίσθων τὰ
βήματα. οἱ μὲν γὰρ πεφευγότες οἴκοι μετὰ δέους ἐκρύπτοντο· αἱ δὲ καταδραμοῦσαι θαρσα-
λέως ἐπὶ τὸν τάφον, τὸν ἐν νεκροῖς ἐθρήνουν ἐλεύθερον, εὐγνώμονι πίστει τὸν φιλόχριστον πλη-
ροῦσαι σκοπόν. οὐκ ἐφοβήθησαν Ἰουδαίους, οὐκ ἐνενόησαν τοὺς τηροῦντας, οὐκ ἐλογίσαντο
τῶν σταυρωσάντων τὴν ἀκμάζουσαν ἔτι μανίαν, οὐ τῶν προσεδρευόντων τὴν πρόχειρον
πρὸς ὕβρεις αἰσχύνην, οὐδὲ κατ᾽ ἐνθύμησιν μετεπήσασαι τῶν δεινῶν· ἀλλ᾽ ὡς ἐπὶ θυ-
σιαστηρίου τοῦ μνήματος μετὰ δακρύων προσῄρχοντο, ἐκεῖ κλαύσουσαι, ὅθεν ὁ τὰς τῆς Εὔας λύ-
πας παύσας ἐγήγερτο, ὅπου πᾶς ὁ κόσμος ἤμελλεν ἑορτάζειν. Καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέ-
γας. ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς
θύρας τοῦ μνημείου, καὶ ἐκάθισεν ἐπάνω αὐτοῦ. Εἰ καταβαίνοντος ἀγγέλου σεισμὸς ἐγένετο
μέγας, πῶς, σταυρουμένου τοῦ τῶν ἀγγέλων δεσπότου ἐπὶ τοῖς τολμωμένοις ἡ γῆ δικαίως οὐκ
ἐσαλεύετο; τίνος δὲ χάριν ἐπὶ τοῦ πάθους σεισμὸς, καὶ ἐπὶ τῆς ἀναστάσεως πάλιν σεισμός; φό-
βος φόβῳ συνάπτεται, ἵνα τοῦ θανάτου παντελῶς ἀνατραπῇ τὰ θεμέλια. σεισμὸς ἐγένετο
μέγας, ἔτρεμον λίθοι, καὶ ἐθορύβουν Ἰουδαῖοι. ἀλλ᾽ ἣν ἐνόμισαν ἑορτὴν ἄγειν, ταύτην διηνεκῆ
κατηφείας ὑπόθεσιν ἔλαβον. διεχρήσαντο τὸν ἀμνὸν, ἀλλ᾽ ἀπώλεσαν τοὺς βωμούς· ἀνῄ-
λωσαν τὸν κληρονόμον, ἀλλὰ τῆς διαθήκης ἐξέπεσαν· διεμερίσαντο τὰ ἱμάτια, ἀλλ᾽ ἐ-
στερήθησαν τῶν θαυμάτων· ἐσφράγισαν τὸν τάφον, ἀλλ᾽ ἐζημιώθησαν τὸν ναόν. σεισμὸς
ἐγένετο μέγας. ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λί-
θον ἀπὸ τῆς θύρας τοῦ μνημείου. τί τοῦτο, ὦ ἄγγελε; ὡς δορυφόρος τοῦ ἀναστάντος βασιλέως
ἐξ ὕψους κατέδραμες; ἦλθες ψυχαγωγῆσαι θρηνοῦντα τὰ γύναια; ἦλθες συνευφρανθῆναι
τῶν ἀνθρώπων τῷ γένει; ἔασον περιάπτεσθαι τὸν λίθον τοῦ μνήματος. τί σαλεύεις,
ὃν οὐκ ἐκίνησεν προσελθοῦσα ἡ πέτρα; ὡς ἐτέχθη ἐκ μήτρας, οὕτω προσῆλθεν ἐκ μνή-
ματος. οὐ γὰρ ἠνώχλησε τῆς παρθενίας τοῖς κλείθροις τικτόμενος, οὐκ ἐκίνησε τὸν λίθον,
ὃν ἐφύλαξε. τὸν τάφον μετὰ τοῦ λίθου ἐσφραγισμένον κατέλιπεν. οἶδα, φησίν, οἶδα· ἀλλ᾽
οὐχ ἁπλῶς γέγονε τὸ γινόμενον. τῷ τοῦ δεσπότου μου ὑπουργήσας νεύματι· οἰκονομικῶς
τὸν λίθον ἐκύλισα, ἵνα Πέτρος παρακύψας θεάσηται τὰ ὀθόνια· ἵνα ἴδωσιν αἱ γυναῖκες τὸν
τόπον ὅπου ἔκειτο ὁ Κύριος. ἀπεκύλισε, φησί, τὸν λίθον, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. ἐτήρει τὴν
τῶν Ἰουδαίων κατηγορίαν, ἐφύλαττε τὸν τῆς ἀναστάσεως μάρτυρα. ἐτήρει τὸν λίθον τῶν
λελιθωμένων τὴν καρδίαν πρὸς ἔλεγχον. τοῦτο γὰρ καὶ ὁ Κύριος τὴν τῶν χριστοκτόνων
δυσμένειαν ἐκπομπεύων πρὸς αὐτοὺς ἐν ἐκκλησίαις ἐβόα· Καὶ ἂν οὗτοι σιωπήσωσιν, οἱ λί-
θοι κεκράξονται. ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών· εἰκό-
τως. ἔνθα γὰρ ἁμαρτίας σπίλος οὐκ ἔγκειται, πάντα φωτὸς ἐστὶν ἀνάμεστα, τῇ τῆς χιόνος
ἐοικότα λαμπρότητι. Ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νε-
κροί. ἐπὶ τοῦ δούλου ὡς νεκροὶ, καὶ ἐπὶ τοῦ κτιστοῦ τολμηροί. τί δὲ καὶ τὰ ἑξῆς; ἀποκριθεὶς, φη-
σὶν, ὁ ἄγγελος εἶπε ταῖς γυναιξὶ, μὴ φοβεῖσθε ὑμεῖς. ὢ παραδόξων πραγμάτων, ὢ ξένων
διηγημάτων· τῶν στρατιωτῶν γεγονότων ὡσεὶ νεκρῶν, ταῖς γυναιξὶ διελέγετο, μὴ φοβεῖσθε. ἐχρῆν
γὰρ τοὺς ἀπίστους φύλακας ἐναπομεῖναι τῷ φόβῳ, ταῖς δὲ πισταῖς γυναιξὶ τὰ τῆς σωτηρίας εὐ-
αγγελισθῆναι χαίρειν. μὴ φοβεῖσθε ὑμεῖς. Ἀδὰμ γὰρ ὑπὸ τοῦ τῆς φύσεως ὑμῶν κεραμέ-
ως ἀνεπλάσθη, καθάπερ ἐν ἔργῳ τῷ σταυρῷ. μὴ φοβεῖσθε. τῆς ὑμετέρας γὰρ μητρὸς
Εὔας ἐλύθη τὸ πρὸς κατάκρισιν ἔγκλημα. μὴ φοβεῖσθε. πρὶν γὰρ ἐγὼ ἀποκυλίσω τὸν
λίθον, ὃν ζητεῖτε, μετ᾽ ἐξουσίας ἀνέστη· αὐτῷ ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι,
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. πζ. δ.

Λουκ. ιθ. μ.

Λογ. πε.

ΕΙΣ ΤΟΝ ΣΤΑΥΡΟΝ, ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΠΡΩτων ἀνθρώπων παραβάσεως.

Ex Mo. Caesareo, emend. ex editione Graeca.

Τι εἴπω, ἢ τί λαλήσω; ἢ τίνας ὑμᾶς καλέσω; πρόβατα, ἢ ποιμένας; ναύτας, ἢ κυβερνήτας; μαθητάς, ἢ διδασκάλους; πῶς ὑμῶν θαυμάσω τὸν ζῆλον τοῦ πυρὸς θερμότερον; πρόβατα ὑμᾶς καλέσω; καὶ γάρ ἐστε πρᾶοι καὶ ἡσύχιοι. ποιμένας ὑμᾶς καλέσω; καὶ γάρ ἐστε μιμούμενοι τὸν ἑαυτῶν δεσπότην. ναύτας ὑμᾶς καλέσω; καὶ γάρ ἐστε τῇ πείρᾳ τῶν κλυδωνίων χειμῶνα ὑπομείναντες. κυβερνήτας ὑμᾶς καλέσω; καὶ γάρ ἐστε. καθάπερ γάρ τις ἄριστος κυβερνήτης καθήμενος ἐπὶ τῶν οἰάκων, τῇ τέχνῃ τὰς τρικυμίας διαφεύγων, καὶ σῶον ἀποσώζων τὸ σκάφος, εἰς εὔδιον λιμένα χειραγωγεῖ· οὕτω δὴ καὶ ὑμεῖς. ἀλλὰ μαθητὰς ὑμᾶς καλέσω; καὶ γάρ ἐστε ἕτοιμοι πρὸς τὴν ὑπακοήν. ἀλλὰ διδασκάλους ὑμᾶς καλέσω; πάλιν ἐρῶ, ἐστέ. ἁπάσης γὰρ τῆς οἰκουμένης διδάσκαλοι ἐγένεσθε. τί οὖν ἐροῦμεν; βούλομαι σήμερον ὑμῖν τράπεζαν παραθεῖναι πνευματικήν, οὐ σῶμα τρέφουσαν, ἀλλὰ πνεύματι τειχίζουσαν, μᾶλλον δὲ καὶ σῶμα τρέφουσαν, καὶ ψυχὴν ἀποσμήχουσαν. τοιαύτη γάρ ἐστιν ἡ τράπεζα πνευματική, οὐ καθὼς ἡ τράπεζα τῶν γαστριμάργων κόρον ἐμποιοῦσα. λόγος γάρ ἐστι πνευματικός. ὑπομιμνησκόμενος γὰρ αὐτὸν ἄνθρωπος, καθάπερ μύρον μασσώμενος, εὐωδίαν τινὰ ἐκπέμπει, οὐ μόνον ἑαυτὸν τῇ εὐωδίᾳ παραμυθούμενος, ἀλλὰ καὶ τοὺς παρεστῶτας αὐτῷ πληροῦσθαι τῆς εὐωδίας ἐκείνης παρασκευάζων. συντείνατε δὴ ἑαυτούς. λόγον γὰρ ἐξαγαγεῖν βούλομαι. καὶ γάρ τινές εἰσι τῶν κολυμβητῶν ῥίπτοντες ἑαυτοὺς ἀπὸ τοῦ σκάφους ἐπὶ τὴν θάλασσαν, περιερχόμενοι τὸν βυθόν, βουλόμενοι μαργαρίτην ἀνιμήσασθαι. ἡμεῖς δὲ ἔχοντες ἀντὶ σκάφους τὴν παλαιὰν καὶ καινὴν διαθήκην, ἀντὶ πηδαλίου τὸν σταυρόν, ἀντὶ κυβερνήτου τὸν Χριστόν, ἀντὶ πρωρέως τὸν πατέρα, ἀντὶ ζεφύρου τὸ πνεῦμα τὸ ἅγιον, ἀντὶ ἱστίου τὴν χάριν, ἀντὶ ναυτῶν τοὺς μαθητάς, ἀντὶ ἐπιβατῶν τοὺς προφήτας, κἄν τε ἡμεῖς ῥίψωμεν ἑαυτοὺς ἀπὸ τοῦ σκάφους ἐπὶ τὸ πέλαγος τῶν νοημάτων, οὐχ ἵνα μαργαρίτην ἀνιμησώμεθα, ἀλλὰ μαργαρίτου τιμιώτερον. συντείνατέ μοι ἑαυτούς, παρακαλῶ, παρέχοντές μοι τὴν ὑπακοήν. καθὼς γὰρ προλαβὼν εἶπον, ὅτι μαργαρίτου τιμιώτερον μέλλω ἀνιμᾶσθαι ἐκ τοῦ βάθους τῶν νοημάτων. μὴ οὖν παραπέμψησθε, καὶ ὡς ἀλογίστοις χρήσησθε ἑαυτοῖς. γέγραπται γάρ, Μὴ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, καὶ μὴ ῥίπτετε τὰ ἅγια τοῖς κυσί. (Matth. 7.) χοίρους δὲ ἐὰν ἀκούσῃς, μὴ τὰ ἄλογα ζῶα ταῦτα νομίσῃς· καὶ κύνας ἐὰν ἀκούσῃς, μὴ τοὺς κύνας τούτους νομίσῃς. χοίρους γὰρ λέγει τοὺς ἐν ἀσωτίᾳ ζῶντας· κύνας δὲ λέγει τοὺς εἰκῇ λυσσῶντας κατὰ τοῦ δεσπότου. ποιήσατε οὖν ἀξίους ἑαυτοὺς εἶναι τοῦ μαργαρίτου, οὗ μέλλω ὑμῖν σήμερον παραθεῖναι. καὶ γὰρ οἱ γηπόνοι οὐκ ἀργῶς τὰ σπέρματα καταβάλλονται, ἐὰν μὴ πρότερον βοῦς ζεύξωσι, καὶ ἄροτρον ἑλκύσωσι, καὶ ἀκάνθας ἀνασπάσωσι, καὶ αὔλακας ἀνατέμωσι, καὶ τότε τὰ σπέρματα καταβάλλονται ἐπὶ τὴν γῆν, ἵνα εὑρὼν αὐτὰ ὁ ὑετὸς κατενέγκῃ εἰς τὰς λαγόνας τῆς γῆς· καὶ τότε λαβοῦσα ἡ γῆ, τίκτει τὸν ἀστάχυν. ἀλλὰ μὲν ἐκεῖνοι ἐκδέχονται καὶ χειμῶνα, καὶ θέρος, καὶ ὄμβρον οὐράνιον, καὶ ἡλίου ἀκτῖνας καὶ καιρὸν θερισμοῦ, καὶ τότε συνάγουσιν αὐτὰ ἐπὶ τὰς ἀποθήκας. ἐγὼ δὲ οὐ χειμῶνα ἐκδέχομαι, οὐδὲ θέρος, οὐδὲ ἡλίου ἀκτῖνας, οὐδὲ ὄμβρον, οὐδὲ βόας ζευγνύω, οὐδὲ ἄροτρον ἑλκύω, οὐδὲ αὔλακας ἀνατέμνω, οὔτε ἀκάνθας ἀνασπῶ. σήμερον γὰρ σπείρω, σήμερον καὶ θερίζω. οὐκ ἐργάζομαι γὰρ γῆν ἄλογον, ἀλλὰ γῆν λογικήν, οὐκ ἀναίσθητον, ἀλλ' αἰσθητήν, οὐκ ἄψυχον, ἀλλὰ ψυχικήν. καὶ μακάριος ἐγὼ ποταπῆς γῆς γεωργὸς ἐκληρώθην. τότε γὰρ μακάριός εἰμι,

μι, ὅταν λαλῶ εἰς ὦτα ἀκουόντων. καὶ πάλιν λέγει, Παρακοὴ θάνατον κατεργάζεται. μα- (Σειρ. κε. ιϚ.)
κάριος οὖν ἐγὼ, μακάριοι καὶ ὑμεῖς. καὶ γὰρ Ἰησοῦς ἐν τῷ εὐαγγελίῳ λέγει τοῖς μαθηταῖς, Μα-
κάριοί ἐστε, ἐὰν τὸν ἐμὸν λόγον τηρήσητε. συντείναντες οὖν ἑαυτοὺς προσέχετε τοῖς λεγο-
μένοις. βούλομαι δὲ ὑμῖν ἐν ὑποδείγμασι δεῖξαι τί ἐστι Θεός· λόγῳ χρησάμενος λέγω.
ἔοικεν ὁ Θεὸς ἀνδρὶ καθημένῳ ἐπὶ σκοπέλῳ, καὶ θεωροῦντι πᾶσαν τὴν θάλασσαν, πλοῖα δὲ
βαδίζοντα ἐν αὐτῇ, τὴν δὲ ἐπίσαλον οὖσαν, τρικυμίας δὲ ἐγείρουσαν ἑαυτὴν, διὰ τὸ σφο-
δροὺς ἐν αὐτῇ πνεῖν ἀνέμους. ἄριστος δέ τις κυβερνήτης φιλονεικῶν τοῖς κύμασιν ἐπ' εὐδίαν
λιμένα τὸ σκάφος ὁρμίσαι, διὰ τὸ ὀψίας αὐτοὺς καταλαμβάνειν, δεδιὼς μήποτε ὑπο-
βρύχιον γένηται τὸ πλοῖον, ἄλλων πλοίων τὴν ὀρθὴν ὁδὸν βαδιζόντων, ἑτέρων δὲ τῇ ῥύμῃ τῶν
ἀνέμων ὑποβρυχίων γινομένων καὶ διαλυθέντων, τεθνηκότων δέ τινων, τινῶν δὲ περιγινομένων
καὶ ἐπιλαβομένων οἴακός τινος πηδαλίου, καὶ ταῖς τρικυμίαις ἐπὶ τὴν στερεὰν ἐξελκομέ-
νων, καὶ τῶν ἤδη τεθνηκότων τὰ σώματα ἐξερριμμένα· ταῦτα δὲ πάντα θεωρεῖ ὁ καθήμενος
ἐπὶ τῷ σκοπέλῳ· οὕτως ἐστὶν ὁ Θεός. καὶ καθὼς προλαβὼν εἶπον, ὅτι λόγῳ χρησάμενος λέγω·
ὅταν δὲ εἴπω Θεὸν καθήμενον ἐν ὑψηλοῖς, μὴ νόμιζε αὐτὸν ἐν τοῖς ὑψηλοῖς εἶναι μόνον, ἀλλὰ καὶ
πανταχοῦ. οὐ γὰρ τόπου δέησιν ἔχει, αὐτὸς ἑαυτοῦ τόπος ὤν, αὐτὸς τὰ πάντα χωρῶν, χωρεῖ δὲ
αὐτὸν οὐδέν. τί γὰρ δύναται χωρῆσαι τὴν ἀσώματον φύσιν καὶ ἀΐδιον καὶ ἀπέραντον καὶ
ἀνεξιχνίαστον, καὶ ἀνώλεθρον καὶ ἄφθαρτον καὶ ἀκατάληπτον; παρὰ γὰρ τοῖς εὐσεβοῦσιν
οὕτω δεῖ νοεῖν Θεόν. αὕτη γὰρ ἡμῶν ἡ ἐλπὶς, καθὼς γέγραπται· αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα (Ἰωαν. ιζ. γ.)
γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. ἐντεῦθεν ἡμῶν ἐπιλαμ-
βάνονται οἱ αἱρετικοὶ, οἱ ὄντες ἀγνώμονες, οἱ ἀναγινώσκοντες, καὶ μὴ ἐπιγινώσκοντες. Χριστὸν
δὲ σὺ ὅταν ἀκούσῃς, μὴ τὸν Θεὸν λογίζου μόνον, μήτε τὴν ἔνσαρκον οἰκονομίαν μόνην, ἀλλὰ
τὸ συναμφότερον, καὶ τὸν Θεὸν λόγον καὶ τὴν ἔνσαρκον οἰκονομίαν. ἐπεὶ οἶδα Χριστὸν πεινάσαντα,
καὶ οἶδα Χριστὸν ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων θρέψαντα πεντάκις χιλίους χωρὶς γυναικῶν καὶ
παιδίων· οἶδα Χριστὸν διψήσαντα, καὶ οἶδα Χριστὸν τὸ ὕδωρ εἰς οἶνον μεταβαλόντα· οἶδα
Χριστὸν πλεύσαντα, καὶ οἶδα Χριστὸν ἐπὶ τῶν ὑδάτων περιπατήσαντα· οἶδα Χριστὸν ἀπο-
θανόντα, καὶ οἶδα Χριστὸν νεκροὺς ἐγείραντα· οἶδα Χριστὸν Πιλάτῳ παρεστῶτα, καὶ οἶδα Χρι-
στὸν τῷ πατρὶ συγκαθεζόμενον· οἶδα Χριστὸν ὑπὸ Ἰουδαίων ἐμπτυόμενον, καὶ οἶδα Χρι-
στὸν ὑπὸ ἀγγέλων προσκυνούμενον. καὶ τὸ μὲν ἐπάγω τῇ θεότητι, τὸ δὲ τῇ ἀνθρωπότητι.
διὰ γὰρ τοῦτο συναμφότερον εἴρηται. ἐπεὶ οἶδα Χριστὸν ἐκ Μαρίας γεννηθέντα,
καὶ οἶδα Χριστὸν πρὸ τῶν αἰώνων ὄντα. δοξάσωμεν μὲν οὖν Ἰησοῦν τὸν Χριστὸν, τὸ τεῖχος τὸ
ἄρρηκτον, τὸν θεμέλιον τὸν ἐπὶ τὴν πέτραν τεθεμελιωμένον. αὐτὸς λέγει τῷ Πέτρῳ, Σὺ εἶ (Ματθ. ιϚ. ιη.)
Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύ-
σουσιν αὐτῆς. ὁμοίως δὲ καὶ Παῦλος λέγει· Θεμέλιον ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν (α. Κορ. γ. ια.)
κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. παρακαλῶ οὖν ἵνα πάσῃ πραότητι προσέχωμεν ἀλλή-
λοις. ἐν μὲν γὰρ τῷ παρόντι βίῳ βρῶσις καὶ πόσις, καὶ ποικίλαις ἡδοναῖς δελεαζόμεθα, ἐν δὲ τῷ μέλ-
λοντι, κρίσις καὶ δίκη. μὴ δώσωμεν οὖν τόπον τῷ διαβόλῳ. Οὐ γὰρ ἡμῖν ἐστιν ἡ πάλη (Ἐφ. ϛ. ιϚ.)
πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτο-
ρας τοῦ σκότους τοῦ αἰῶνος τούτου. σπεύσωμεν οὖν φυγεῖν τὴν αἰώνιον κόλασιν. οὐ γὰρ ἐποίησεν ὁ
Θεὸς τὴν κόλασιν, ἵνα ὑμᾶς ἐμβάλῃ, ἀλλ' ἵνα ἐμπεσόντα σε ἐκβάλῃ. τοιοῦτον γὰρ ἔχομεν
φιλάνθρωπον Θεὸν καὶ ἐλεήμονα. μαρτυρεῖ γὰρ Δαβὶδ λέγων· Ὁ Θεὸς κριτὴς δίκαιος, καὶ (Ψαλμ. ζ. ιϚ.)
ἰσχυρὸς καὶ μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἐὰν μὴ ἐπιστραφῆτε, τὴν
ῥομφαίαν αὐτοῦ στιλβώσει, τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡτοίμασε
σκεύη θανάτου. ταῦτα λέγει ὁ Θεὸς, οὐχ ἵνα ἡμᾶς κρίνῃ, ἀλλ' ἵνα μὴ ῥαθυμότεροι γενώμεθα.
εἰ γὰρ ἐβούλετο ἡμᾶς ἀπολέσαι, οὐκ ἂν τὸ αἷμα αὐτοῦ ἐξέχεεν ὑπὲρ ἡμῶν. ἀπέλθωμεν

σίω, ἵνα σοι ἀθανασίαν χαρίσηται· ἐπείνασεν, ἵνα σὲ τὴν ἑαυτοῦ σάρκα χορτάσῃ· ἐδίψησεν, ἵνα
σὲ τὸ ἑαυτοῦ αἷμα ποτίσῃ· ἐν πλοίῳ ἐκάθισεν, ἵνα σὲ ὑπεράνω τῶν χερουβὶμ καθίσῃ· ἐβαπτί-
σθη, ἵνα σε φωτίσῃ· ἐρραπίσθη, ἵνα σε ἐλευθερώσῃ· ὡδοιπόρησεν, ἵνα σὲ ἄφοβον καταστήσῃ·
ἐκοιμήθη, ἵνα σὲ ἀμέριμνον ποιήσῃ· ἐκ γυναικὸς προσῆλθεν, ἵνα τὴν παράβασιν τὴν ἐν
τῷ παραδείσῳ οἰκτειρήσῃ· ἐκλήθη ἄνθρωπος, ἵνα σὲ Θεὸν καλέσῃ· ἐκλήθη υἱὸς ἀνθρώ- 5
που, ἵνα σὲ υἱὸν Θεοῦ καλέσῃ· ἔλαβε τὰ ἡμέτερα, καὶ ἔδωκεν ἡμῖν τὰ ἑαυτοῦ· ηὔξατο, ἵνα σὲ
Ιωαν. ιϐ. κη. πιστὸν ποιήσῃ, καθὼς λέγει ἐπὶ τοῦ Λαζάρου· Πάτερ, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δο-
ξάσῃ σε. καὶ ἦλθε φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. οἶδα ὅτι
πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν περιεστῶτα ὄχλον εἶπον, ἵνα πάντες πιστεύσωσιν ὅτι σύ
με ἀπέστειλας. εἴ τι οὖν ὑπέστη, οὐ δι᾽ ἑαυτὸν, οὐδὲ διὰ τὸν πατέρα τὸν ἑαυτοῦ, ἀλλ᾽ ἵνα σώ- 10
σῃ τὸ ἀνθρώπινον γένος διὰ τοῦ σταυροῦ. καὶ εἰ θέλεις γνῶναι, ἀγαπητὲ, τὴν δύναμιν τοῦ
σταυροῦ, καὶ ὅσα δὴ ἐγκώμια περὶ τοῦ σταυροῦ, ἄκουε. σταυρὸς χριστιανῶν ἐλπὶς, σταυρὸς
νεκρῶν ἀνάστασις, σταυρὸς τυφλῶν ὁδηγὸς, σταυρὸς ἀπηλπισμένων ἐλπὶς, σταυρὸς πεπλα-
νημένων ὁδὸς, σταυρὸς ἀδικουμένων ἔκδικος, σταυρὸς χωλῶν βακτηρία, σταυρὸς πενήτων
παραμυθία, σταυρὸς πλουσίων χαλινὸς, σταυρὸς ὑπερηφάνων καθαίρεσις, σταυρὸς ἀκολά- 15
στων μετάνοια, σταυρὸς τρόπαιον κατὰ δαιμόνων, σταυρὸς διαβόλου νῖκος, σταυρὸς νηπίων παι-
δαγωγὸς, σταυρὸς ἀπόρων εὐπορία, σταυρὸς πλεόντων κυβερνήτης, σταυρὸς χειμαζόντων λι-
μὴν, σταυρὸς πολεμουμένων τεῖχος, σταυρὸς πατὴρ ὀρφανῶν, σταυρὸς προστάτης χηρῶν, σταυ-
ρὸς ἀδίκων κριτὴς, σταυρὸς δικαίων στῦλος, σταυρὸς θλιβομένων ἄνεσις, σταυρὸς νηπίων φύλαξ,
σταυρὸς ἀνδρῶν κεφαλὴ, σταυρὸς πρεσβυτέρων τέλος, σταυρὸς φῶς τοῖς ἐν σκότει καθημένοις, 20
σταυρὸς βασιλέων μεγαλοπρέπεια, σταυρὸς βαρβάρων φιλανθρωπία, σταυρὸς δούλων ἐ-
λευθερία, σταυρὸς ἀπαιδεύτων σοφία, σταυρὸς ἀνόμων νόμος, σταυρὸς προφητῶν κήρυγμα,
σταυρὸς ἀποστόλων κατάγγελμα, σταυρὸς μαρτύρων καύχημα, σταυρὸς μοναζόντων ἄσκησις,
σταυρὸς παρθένων σωφροσύνη, σταυρὸς ἱερέων χαρὰ, σταυρὸς ἐκκλησίας θεμέλιος, σταυρὸς οἰ-
κουμένης ἀσφάλεια, σταυρὸς ναῶν καθαίρεσις, σταυρὸς βωμῶν ἀνατροπὴ, σταυρὸς κνίσης ἀφα- 25 χ. ἡλ
νισμὸς, σταυρὸς Ἰουδαίων σκάνδαλον, σταυρὸς ἀσεβῶν ἀπώλεια, σταυρὸς ἀδυνάμων δύναμις, σταυ-
ρὸς νοσούντων ἰατρὸς, σταυρὸς λεπρῶν καθαρισμὸς, σταυρὸς παραλυτικῶν σφίγξις, σταυρὸς πει-
νώντων ἄρτος, σταυρὸς διψώντων πηγὴ, σταυρὸς γυμνῶν σκέπη. γυμνότητα δὲ ὅταν εἴπω, οὐ
τὴν τοῦ σώματος λέγω, ἀλλὰ τὴν τῆς πίστεως. ὅταν δὲ πιστεύσας βαπτισθῇς, τότε ἀκούσεις ἐνδεδυ-
Γαλ. γ. κζ. μένος. καὶ ἄκουε Παύλου λέγοντος· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Χρι- 30
στὸν δὲ ὅταν ἀκούσῃς, μὴ τὸν Θεὸν λογίσῃ μόνον, μηδὲ τὴν ἔνσαρκον οἰκονομίαν μόνην, ἀλλὰ τὸ
συναμφότερον. πολλάκις γὰρ εἶπον, καὶ νῦν λέγων οὐ παύσομαι. ἐμοὶ μὲν γὰρ τὸ λέγειν
οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. βούλομαι γὰρ πάντας διδασκάλους εἶναι. Χριστὸς οὖν εἴ-
ρηται, ἐπειδὴ σάρκα ἐνεδύσατο· Ἰησοῦς Χριστὸς εἴρηται, τὸ ὄνομα τῆς σαρκός· λόγος εἴρηται,
ἐπειδὴ οὐκ ἔκ τινος υἱός· υἱὸς, ἐπειδὴ ἐκ πατρός· μονογενὴς, ἐπειδὴ μόνος ἐκ μόνου Θεοῦ· Θεὸς, ἐπειδὴ 35
Ιωαν. α. α. ποιητής. καὶ ἄκουε Ἰωάννου λέγοντος· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς
ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. πάντα δι᾽ αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένε-
το οὐδὲ ἕν, ὃ γέγονεν. ὁρᾷς ὅτι οὗτός ἐστιν ὁ λόγῳ τὸν οὐρανὸν ἐκτείνας, καὶ τὸν ποικίλον χορὸν
τῶν ἄστρων κοσμήσας, καὶ δείξας καθάπερ λειμῶνα τὸν οὐρανόν; οὗτός ἐστιν ὁ τὸν ἥλιον ἀνάψας,
καὶ τάξας αὐτῷ δρόμους· οὗτός ἐστιν ὁ τὴν σελήνην ὁρίσας εἰς δυσμάς· οὗτός ἐστιν ὁ τὴν γῆν 40
θεμελιώσας ἐπὶ τῶν ὑδάτων· οὗτός ἐστιν, ὁ τῇ γῇ ἐπιτάξας ἀνατεῖλαι βοτάνην χόρτου, καὶ
ταῖς πηγαῖς βρύειν ὕδατα, καὶ ποταμοῖς ῥέειν, καὶ λίμναις συναχθῆναι, καὶ τῇ θαλάσσῃ ὅρια
θεὶς διὰ ψάμμου, καὶ τοῖς ὕδασιν ἐπιτάξας ἐκβαλεῖν ψυχὰς ζώσας, καὶ τοῖς ἀνέμοις πνέειν,
καὶ τὰ ὄρη σταθμήσας ζυγῷ, νεφέλαις κινεῖσθαι, κτήνεσι, τετράποσιν, ἑρπετοῖς, πετεινοῖς

χ. ἐκ ἄλ... τινος υἱ... ἐπιδεό... νος·

διατρέχειν

διατρέχει ἐπὶ τῆς γῆς. τί δὲ λέγω ἀγγέλους, ἀρχαγγέλους, θρόνους, τὰ χερουβίμ, τὰ σεραφίμ, ἀρχάς, ἐξουσίας, τάξεις, χρόνους, καὶ ἐνιαυτούς, καὶ μῆνας, καὶ ἑβδομάδας, καὶ ἡμέρας, καὶ ὥρας, καὶ νύκτας, καὶ φῶς, καὶ σκότος, καὶ εἴ τι τῆς τῶν πραγμάτων περιουσίας; ἔσχατον δὲ ποιήσας τὸν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, ἐν τῷ παραδείσῳ ἔθετο αὐτόν. ἰδὼν δὲ τὸ ἀνθρώπινον γένος νικώμενον ὑπὸ τῆς τοῦ διαβόλου κακίας, ἐβουλήθη τὴν ἀπαρχὴν τῆς ἡμετέρας ἐνδύσασθαι, καὶ προσηλῶσαι αὐτὴν ἐν τῷ ξύλῳ, ἵν', ὥσπερ διὰ τοῦ ξύλου ἡ παράβασις, οὕτω πάλιν διὰ τοῦ ξύλου ἡ σωτηρία. ζηλώσας οὖν ὁ διάβολος ὅτι αὐτὸς μὲν ἐκ τοῦ οὐρανοῦ ἐρρίφη, ὁ δὲ Ἀδὰμ ἐν τῷ παραδείσῳ ἦν, καθάπερ ὅπλῳ χρησάμενος τῷ ὄφει ἐνήργησεν εἰς αὐτόν, καὶ οὕτω προσδιελέχθη αὐτοῖς οὖσιν ἐν τῷ παραδείσῳ (ἀσώματος γὰρ σωματικοῖς διαλεχθῆναι οὐκ ἠδύνατο) καί φησι πρὸς τὴν Εὔαν, ὅτι καλὸν τὸ ξύλον τοῦτο καὶ ὡραῖον εἰς βρῶσιν· καὶ ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, ἔσεσθε ὡς θεοὶ πάντα γινώσκοντες. πείσας οὖν τὴν Εὔαν ἠπάτησεν· εἶτα ἐκείνη συνέπεισε τὸν ἑαυτῆς ἄνδρα, καὶ ἔφαγον ἀπὸ τοῦ ξύλου. φαγόντων δὲ αὐτῶν ὤφθησαν γυμνοί. καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἀδάμ, Ποῦ εἶ; ὅταν ἀκούσῃς, ποῦ εἶ, μὴ ἄγνοιαν λογίσῃ τῷ Θεῷ. ἔλεγε δέ, ποῦ εἶ, ἐπειδὴ ἔλεγεν αὐτοῖς ὁ διάβολος, ὅτι ἐν ᾗ ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς Θεοί. ὡς ὑπολαμβανόντων αὐτῶν, ὅτι μέλλουσι γενέσθαι ὡς θεοί, διὰ τοῦτο ἔλεγεν ὁ Θεὸς αὐτῷ, Ἀδάμ, ποῦ εἶ; ἄνθρωπος ὤν, ὅτι ἔφαγες καὶ ἔμεινας ἄνθρωπος. οὐ παρήγγειλά σοι ἐκ τοῦ ξύλου τούτου μὴ φαγεῖν; ἔφαγες δέ, καὶ παρέβης. τοῦτό ἐστι τό, ποῦ εἶ; φύλλα δὲ συκῆς ἦσαν περιβεβλημένοι, σκέποντες τὸ εἶδος τῆς ἁμαρτίας. καὶ τί φησιν ὁ Ἀδάμ; Ἤκουσά σου τῆς φωνῆς περιπατοῦντος ἐν τῷ παραδείσῳ, καί φησι πρὸς τὸν Θεόν· ἡ γυνή, ἣν ἔδωκάς μοι, αὕτη με ἠπάτησεν. εἶτα σὺ τί Εὔα; καὶ τί φησιν ἐκείνη; Ὁ ὄφις ἠπάτησέ με. ὦ Εὔα, ἐγώ σε τῷ ἀνδρί σου ἔδωκα, μὴ καὶ τῷ ὄφει σε ἔδωκα; ταῦτα δὲ προεφασίζοντο, ὡς βουλόμενοι ἑαυτοὺς ὑπεξαιρεῖν τῆς τιμωρίας. καί φησιν ὁ Θεὸς πρὸς τὸν Ἀδάμ· Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου. εἶτα πρὸς τὴν γυναῖκα· Ἐν λύπαις τέξῃ τέκνα, καὶ πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. εἶτα πρὸς τὸν ὄφιν· Ἐν τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καὶ σὺ αὐτοῦ τηρήσεις κεφαλήν, καὶ ἐκεῖνός σου πτέρναν. διὰ τί δὲ τῷ ὄφει ἐπικατηράσατο ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύεσθαι, καὶ γῆν τρώγειν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ; τὸ στῆθος κατηράσατο, ἐπειδὴ ἐν αὐτῷ ἐγκάθηται ἡ καρδία ἡ ἐνθυμηθεῖσα τὸ κακόν· τὴν κοιλίαν, ἐπειδὴ διὰ βρώσεως ἠπάτησε· γῆν δὲ ἐκέλευσε φαγεῖν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἐπειδὴ ὁ Ἀδὰμ ἐκ γῆς χοϊκὸς ἦν. ἔλαβον οὖν τὸ πρὸς τὴν ἀπόφασιν, ἐπειδὴ καὶ τὸ πρὸς τὴν παράβασιν ἐποιήσαντο. ἐπειδὴ ἀπὸ ξύλου ἡ παράβασις ἐγένετο, καθὼς προλαβὼν εἶπον, διὰ τοῦτο εἰς ξύλον ἠβουλήθη τὴν ἀπαρχὴν ταύτην προσηλῶσαι· ἵν' ὥσπερ διὰ ξύλου ἡ παράβασις, οὕτω διὰ ξύλου ἡ σωτηρία. ὑπὲρ δὲ τούτων ἁπάντων δόξαν ἀναπέμψωμεν τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γεν. γ. ε. — Γεν. γ. θ. — Γεν. γ. ι. — Γεν. γ. ιγ. — Γεν. γ. ιζ. — Γεν. γ. ιε.

ΕΙΣ ΤΗΝ ΠΑΡΑΒΟΛΗΝ ΤΟΥ ΕΜΠΕΣΟΝΤΟΣ εἰς τοὺς λῃστάς.

Λογ. πϛ.

Ev Mi. Cesareo. Λουκ. ι. λ.

Ἠκούσαμεν, ἀδελφοί, ἐν τῷ εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσεν· οἳ καὶ ἐκδύσαντες αὐτόν, καὶ πληγὰς ἐπιθέντες κατέλιπον ἡμιθανῆ τυγχάνοντα. ἱερεὺς δὲ καὶ Λευΐτης διερχόμενοι διὰ τῆς ὁδοῦ ἐκείνης, καὶ ἰδόντες αὐτόν, ἀντιπαρῆλθον. Σαμαρείτης δέ τις ἐλθὼν ἐπὶ τὸν τόπον, καὶ ἰδὼν αὐτόν, ἐσπλαγχνίσθη ἐπ' αὐτῷ, καὶ σὺν ἐλαίῳ οἶνον βαλὼν καὶ ἀναμίξας ἐπέχεεν αὐτῷ, καὶ κατέδησε τὰ τραύματα αὐτοῦ, καὶ ἀναλαβὼν αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν εἰς πανδοχεῖον, καὶ ἔδωκε τῷ πανδοχεῖ δύο δηνάρια, εἰπών· ἐπιμελήθητι τοῦ ἀνθρώπου τούτου, καὶ εἴ τι προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. ἴδωμεν οὖν τὴν τούτων παραβολήν, ἵνα συνιέντες καρδίᾳ συνετῇ, γνωρίσωμεν τοῦ Θεοῦ τὰ μυστήρια. ἄνθρωπός ἐστιν ὁ Ἀδάμ· Ἱερουσαλὴμ δέ, ἡ ἐπουράνιος πολιτεία καὶ ἡ φρόνησις· Ἱεριχὼ δέ, ὁ κόσμος. ἐφ' ὅσον τοίνυν ὁ Ἀδὰμ πρὸ τῆς παρακοῆς εἶχε τὸ ἐπουράνιον φρόνημα, καὶ τὴν ἰσάγγελον πολιτείαν, ἀκώλυτον εἶχε τὴν εἴσοδον ἐν τῇ ἐπουρανίῳ πόλει Ἱερουσαλήμ, καὶ τὴν κατοικίαν καὶ διατριβὴν ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ ποιούμενος, ὑπ' οὐδενὸς ἐνικᾶτο, οὐδὲ ἐτραυματίζετο. ὅτε δὲ παρήκουσε τοῦ Θεοῦ, καὶ τὴν ἐντολὴν οὐκ ἐφύλαξεν, ἀλλ' ἀπηνέχθη τῇ ἀπάτῃ τοῦ ὄφεως, τότε κατέβη εἰς Ἱεριχώ, τουτέστιν, εἰς τὴν γῆν, καὶ τὰ τῆς γῆς εἰργάζετο. Ἱερουσαλὴμ γὰρ ἀνάβασις ἑρμηνεύεται· Ἱεριχὼ δὲ κατακλυσμός. κατέβη οὖν ὡς ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, οὕτως ἀπὸ τοῦ ἐπουρανίου πολιτεύματος, ἐπὶ τὸ τῆς ἀπάτης τοῦ διαβόλου πολίτευμα. ὅτε γάρ τις φυλάσσει τὰς ἐντολὰς τοῦ Θεοῦ, τότε ἐν οὐρανοῖς πολιτεύεται, καθά φησιν ὁ ἀπόστολος, Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. κατέβη ἀπὸ δόξης εἰς ἀδοξίαν, ἀπὸ παραδείσου τρυφῆς εἰς ἀκανθοφόρον γῆν, ἀπὸ ζωῆς εἰς θάνατον· Ἐν ᾧ γάρ, φησι, φάγεσθε ἐκ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε, τουτέστι, τῇ ἁμαρτίᾳ. θάνατος γὰρ ψυχῆς ἁμαρτία τὸ παρακοῦσαι Θεῷ. κατέβη ἀπὸ δικαιοσύνης τῆς ἐν τῷ παραδείσῳ, ἀπὸ ἁγιωσύνης τῆς ἐν οὐρανοῖς, καὶ ἦλθεν εἰς Ἱεριχώ, τουτέστιν, εἰς τὸ πτῶμα τῆς παρακοῆς, εἰς τὸν θάνατον τῆς ἁμαρτίας. καὶ ἐμπίπτει εἰς τοὺς λῃστάς, τουτέστιν, εἰς τὸν διάβολον καὶ τὰς ἀντικειμένας αὐτῷ δυνάμεις. ὁδὸς δέ ἐστιν ὁ βίος οὗτος, ὃν περιπατήσας ὁ Ἀδὰμ ἔπεσεν εἰς τοὺς λῃστάς, καὶ ἐκδιδύσκουσιν αὐτόν. καὶ τί αὐτὸν ἐξέδυσαν; τὴν στολὴν τῆς ὑπακοῆς, τὴν μετ' ἀγγέλων φιλανθρωπίαν, τὴν ἀκήρατον δόξαν, τὴν μετὰ Χριστοῦ διατριβήν, τὴν ἐν παραδείσῳ τρυφήν, τὴν ἐπουράνιον ζωήν. ταύτην αὐτὸν ἐξέδυσαν τὴν στολήν. καὶ πληγὰς αὐτῷ ἐπέθηκαν, τουτέστι, τὰς ἁμαρτίας, πορνείας, μοιχείας, εἰδωλολατρείας, φαρμακείας, φόνους, φθόνους, ἔρεις, θυμόν, καὶ πᾶσαν τὴν λοιπὴν τῶν κακῶν ἐργασίαν. ταῦτα γὰρ τὰ ἔργα μαστίζουσι τὸν ἄνθρωπον, ταῦτα δυσωδίαν καὶ φθορὰν ἐμποιοῦσι. καὶ ὅτι ἐστὶ τοῦτο ἀκριβῶς μάθε παρὰ τοῦ Δαβίδ, πῶς τὰς τοῦ Ἀδὰμ πληγὰς εἰς ἑαυτὸν εἰκονογραφεῖ, μώλωπας αὐτὰς καλῶς λέγων· Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου· πᾶσα δὲ ἁμαρτία μώλωπα καὶ τραῦμα ἐργάζεται. ἐτραυματίσθη τοίνυν διὰ τῆς παρακοῆς, ἐπλήγη διὰ τῶν ἀνομιῶν, ὡς φησιν ὁ προφήτης· Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου, τουτέστι, τοῦ φυλάξαι τὴν ἐντολὴν τοῦ Θεοῦ. ἡμιθανῆ δέ, φησι, τοῦτον κατέλιπον, οὐχ ὡς μὴ βουλόμενοι τοῦτον ἀναιρεῖν, ἀλλ' ὡς τοῦ Θεοῦ μὴ συγχωροῦντος. Οὐ βούλομαι γάρ, φησι, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν. καὶ ποῦ αὐτὸν καταλείπουσιν; εἰς τὴν ὁδόν, τουτέστιν, εἰς τὸν βίον τοῦτον. ὁδὸς γὰρ λέγεται ὁ αἰὼν οὗτος, ἐπειδὴ πάντες ἄνθρωποι δι' αὐτοῦ διέρχονται. καταλαβὼν δέ, φησιν, ὁ ἱερεὺς ἐν τῇ ὁδῷ, καὶ ἰδὼν αὐτόν, ἀντιπαρῆλθεν. ἱερέα δὲ λέγει τὸν μακάριον Μωϋσῆν καὶ Ἀαρών. μαρτυρεῖ γὰρ ὁ Δαβὶδ λέγων, Μωϋσῆς καὶ Ἀαρὼν

Ισ. λαού · Φιλιπ γ. κ. · Γεν. β. ιζ. · Ισ. αυλ · Ψαλ. λζ. ε. · Ψαλ. ρα. ε. · Ψαλ. ϟη. ς.

ἐν

ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. οὗτος ἦν ὁ θαυμα-
στὸς Μωϋσῆς ἔνδοξος γενόμενος, ὁ δεκαπλήγῳ μάστιγι τοὺς Αἰγυπτίους παίσας, ὁ τὴν ἐρυθρὰν
θάλασσαν σχίσας καὶ ἀποξηράνας, καὶ διαγαγὼν τὸν λαὸν δι᾽ αὐτῆς, ὁ τὸ ἐν Μαῤῥᾷ ὕδωρ γλυ-
κάνας, ὁ τῷ Θεῷ διὰ νέφους προσομιλήσας, ὁ πολλὰ θαύματα ἐργασάμενος, ὁδεύων τὴν
5 ὁδὸν τοῦ βίου τούτου, καὶ ἰδὼν τὸν ἄνθρωπον κείμενον τετραυματισμένον, παρῆλθεν αὐτόν, καὶ οὐκ ἀ-
νέστησεν· ὁμοίως δὲ καὶ Λευΐτης, τουτέστι, τὸ προφητικὸν τάγμα. καὶ γὰρ ἐκεῖνοι ὕστερον μετὰ τὸν Μω-
ϋσῆν γενόμενοι, καὶ τὴν αὐτὴν ὁδὸν τοῦ βίου βαδίσαντες, εὑρόντες τετραυματισμένον ἄνθρωπον
τὸν Ἀδάμ, οὐκ ἀνέστησαν, οὔτε Μωϋσῆς διὰ νόμου, οὔτε προφῆται διὰ σημείων τὸ τοῦ Ἀδὰμ τραῦ-
μα ἐθεράπευσαν. οὐδεὶς αὐτὸν ἤγειρεν, οὐδεὶς αὐτῷ ζωὴν ἐχαρίσατο, οὐδεὶς αὐτὸν ἐκ θανάτου
10 ἐλυτρώσατο, οὐδεὶς ἔστειλε τῆς ἁμαρτίας τὸ τραῦμα. καὶ γὰρ αὐτοὶ ἐν ἁμαρτίαις κατείχοντο. εἰ καὶ
διὰ σεμνὴν πολιτείαν Θεοῦ φίλοι ἐγένοντο, ἀλλὰ διὰ τὸ ὁμογενεῖς εἶναι τοῦ Ἀδάμ, καὶ ἀπὸ τῆς ῥί-
ζης τῆς νεκρᾶς φέρεσθαι, οὐκ ἠδύναντο κλάδοι ὄντες τὴν ῥίζαν ἀνασπάσαι ἀπὸ τῆς ἁμαρτίας. Σα-
μαρείτης δέ τις, φησί, σπουδαῖος τοῖς ἔργοις, εὔσπλαγχνος τὴν προαίρεσιν, συμπαθὴς περὶ τοὺς
ὁμοδούλους, ἐλθὼν ἐπὶ τὸν τόπον, καὶ ἰδὼν αὐτὸν τετραυματισμένον, ἐσπλαγχνίσθη, καὶ ἐπέθηκεν ἔ-
15 λαιον καὶ οἶνον, καὶ κατέδησε τὰ τραύματα αὐτοῦ, τουτέστι, τούτου τὰς ἁμαρτίας. πρόσωπον καὶ εἰκόνα
ἀναλαμβάνει ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς Σαμαρείτου. ἀλλ᾽ ἐρεῖ τις τῶν ἀκροατῶν, τί; τὸν Κύριον
Σαμαρείτην λέγεις; ναί, Σαμαρείτην λέγω αὐτόν, οὐ τῇ φύσει τῆς θεότητος, ἀλλὰ τῇ μιμήσει τῆς
εὐσπλαγχνίας. ὥσπερ γὰρ ὁ Σαμαρείτης, τῇ μὲν φύσει τοῦ σώματος ὅμοιος τοῖς ἄλλοις
ὑπῆρχε, τῇ δὲ προαιρέσει τῆς εὐσπλαγχνίας οὐχ ὅμοιος, ἀλλὰ κρείττων ἐφάνη· οὕτω καὶ
20 ὁ Κύριος, ἄνθρωπος μὲν τῇ κοινωνίᾳ τοῦ σώματος ἐφάνη ὅμοιος προφήταις, πατριάρχαις
κατὰ τὸν ἐκ Μαρίας ἄνθρωπον, τῇ δυνάμει δὲ τῆς θεότητος μείζων πάντων ἀεὶ εὑρέθη·
ἴσος τῷ ἀνθρωπίνῳ σχήματι, οὐκ ἴσος τῇ ὑπερκοσμίῳ δόξῃ. ἐκεῖνοι ἀμελείᾳ καὶ ἀσπλαγ-
χνίᾳ χρησάμενοι, ἀνηλεῶς παρῆλθον τὸν τετραυματισμένον· ὁ δὲ Σαμαρείτης εὐσπλαγ-
χνότερος καὶ εὐσεβέστερος καὶ ἐλεήμων ἐφάνη. οὕτω καὶ ὁ Χριστός, πατριαρχῶν καὶ προφητῶν
25 ὑπεριδόντων τὸν διὰ παρακοῆς ἐκπεσόντα ἄνθρωπον, μόνος οἰκτίρμων καὶ ἐλεήμων ἐφάνη,
κατὰ τὸν προφήτην τὸν λέγοντα· Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέ- [Ψαλ. πε ιε.]
λεος. καὶ πάλιν, Ὅτι σύ, Κύριε, εὔσπλαγχνος. καὶ ὥσπερ ὁ Σαμαρείτης οὐκ ἦν τοῦ ἔθνους
τῶν Ἰουδαίων, ἀλλ᾽ ἐξ ἄλλης χώρας ὡρμᾶτο, οὕτω καὶ ὁ Χριστὸς οὐκ ἦν ἀπὸ κόσμου, ἀλλ᾽
ἐξ οὐρανοῦ. ἦλθεν ἐπὶ τῆς γῆς· Θεὸς ὤν, ἄνθρωπος γέγονε δι᾽ ἡμᾶς· δεσπότης ὤν, τὴν τοῦ
30 δούλου μορφὴν ἐνεδύσατο, εὐσπλαγχνίσθη περὶ ἡμᾶς, κατῆλθεν ἐξ οὐρανοῦ ἐπὶ τῆς γῆς,
εἶδε τὸν ἄνθρωπον ἐρριμμένον, ἐσκυλμένον, τετραυματισμένον ἐν πορνείαις, εἰδωλολατρεί-
αις, μοιχείαις, φόνοις. εἶδε, καὶ ἐσπλαγχνίσθη ἐπὶ τὸ ἴδιον πλάσμα, καὶ ἐπέχεεν οἶνον σὺν ἐ-
λαίῳ, τουτέστι, καὶ μίξας ἀμφότερα ἐποίησε βροχήν, καὶ ἐπέθηκε τῷ ἀνθρώπῳ. τί ἐστι μί-
ξας οἶνον σὺν ἐλαίῳ; τουτέστι, μίξας τὴν θεότητα μετὰ τῆς ἀνθρωπότητος, μίξας τὴν εὐ-
35 σπλαγχνίαν μετὰ τῆς σωτηρίας, ἔσωσε τὸν ἄνθρωπον. μίξας οἶνον σὺν ἐλαίῳ, τουτέστι, μί-
ξας πνεῦμα ἅγιον τῷ αἵματι αὐτοῦ, ἐζωοποίησε τὸν ἄνθρωπον. τοῦ γὰρ αἵματος τοῦ Κυ-
ρίου στάξαντος ἀπὸ τῆς πλευρᾶς ἐπὶ τὴν γῆν, ἀπέπλυνεν ἡμῶν τὸ χειρόγραφον ἀπὸ
τῶν ἁμαρτιῶν. τί δέ ἐστι, κατέδησε τὰ τραύματα αὐτοῦ; τουτέστιν, ἔδησε τὸν διάβολον, καὶ
ἔλυσε τὸν ἄνθρωπον· ἔδησε τὸ σκάφος, καὶ ἐζωοποίησε τὸ ναυαγῆσαν πλοῖον· κατέδησε καὶ ἐ-
40 δούλωσε τὰς δυνάμεις τοῦ πονηροῦ, καὶ ἠλευθέρωσε τὸν ἄνθρωπον. εἰ δὲ θέλεις καὶ ἑτέρως νο-
ῆσαι, ἄκουε. μίξας οἶνον σὺν ἐλαίῳ· ἔλαιον ἐπάγει τὸν παρακλητικὸν λόγον, οἶνον δὲ τὸν στυπτι-
κὸν καταδεξάμενος, τὴν διδασκαλίαν τὴν συνάγουσαν τὴν διεσκορπισμένην διάνοιαν, κατὰ
τὸ εἰρημένον ὑπὸ τοῦ ἀποστόλου· Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον. ἔθηκε δὲ αὐτὸν [β. Τιμ. δ. β.]
ἐπὶ τὸ ἴδιον κτῆνος, τουτέστι, λαβὼν ὁ Χριστὸς τὴν σάρκα ἐπὶ τοὺς ἰδίους ὤμους τῆς θεότη-

τος, ἀνήνεγκε τῷ πατρὶ εἰς οὐρανούς. οὐ γὰρ χρυσὸν, ἢ ἄργυρον, ἢ λίθους τιμίους ἀνήνεγ-
κεν, ἀλλὰ τὸν κατ' εἰκόνα ἄνθρωπον ἀνήνεγκεν ἀπὸ γῆς εἰς οὐρανούς, εἰς δὲ μέγα καὶ
θαυμαστὸν καὶ εὐρύχωρον πανδοχεῖον, εἰς ταύτην τὴν καθολικὴν ἐκκλησίαν. καὶ παρέδωκε
τῷ πανδοχεῖ, τῷ μακαρίῳ Παύλῳ, τῷ στύλῳ τῶν χριστιανῶν, τῷ γνησίῳ πανδοχεῖ, δοὺς
αὐτῷ δύο δηνάρια· διὰ δὲ Παύλου τοῖς καθ' ἑκάστην ἐκκλησίαν, ἀρχιερεῦσι καὶ διδα- 5
σκάλοις καὶ λειτουργοῖς, δύο δηνάρια, παλαιάν τε καὶ καινὴν διαθήκην, εἰπών, ἐπιμελή-
θητι τοῦ ἀνθρώπου τούτου, καὶ εἴ τι δ' ἂν προσδαπανήσῃς, ἐγὼ ἐλθὼν ἀποδώσω σοι. ὃ δὲ
λέγει, τοῦτό ἐστιν· ἐπιμελήθητι, φησὶ, τοῦ λαοῦ τοῦ ἐξ ἐθνῶν, ὅν σοι παρέδωκα ἐν τῇ ἐκκλη-
σίᾳ. ἐπειδὴ ἀσθενοῦσιν οἱ ἄνθρωποι τετραυματισμένοι ὑπὸ τῶν ἁμαρτιῶν, θεράπευσον
αὐτοὺς, ἐπιτιθεὶς αὐτοῖς λίθον ἐμπλάστρου, τὰ προφητικὰ ῥήματα καὶ τὰ εὐαγγελικὰ διδά- 10
γματα, ὑγιαίνων αὐτοὺς διὰ τῶν τῆς παλαιᾶς καὶ νέας διαθήκης νουθεσιῶν καὶ παρακλήσεων,
πείθων αὐτοὺς ἀποστῆναι τῆς ἁμαρτίας, καὶ καταλεῖψαι τὴν τοῦ διαβόλου πλάνην. ἐὰν
δὲ καὶ οὕτως ἀδιόρθωτοι μείνωσι, πεῖσον αὐτοὺς ἀπὸ τῶν σῶν κατορθωμάτων, κάμψον αὐτοὺς
διὰ τῶν αὐστηρῶν σου λόγων. τύπος αὐτῶν γενοῦ, καὶ ὑπογραμμὸς ἀγαθὸς, ἐν λόγῳ, ἐν ἔρ-
γῳ, ἐν ἀναστροφῇ, ἐν πίστει, ἐν ἀγάπῃ, ἐν σεμνότητι, ἵνα τῷ σῷ τύπῳ ἐξακολουθήσωσι, καὶ 15
μιμηταί σου γίνωνται τῆς ἀγαθῆς πολιτείας. καὶ τοῦτο ἂν ποιήσῃς, καὶ ἰδίαν τινὰ προσθήκην
λόγων ἢ ἔργων παράσχῃς, εἴ τι δ' οὖν προσδαπανήσῃς, ἐγὼ ἐπανελθὼν ἀποδώσω σοι· τουτέ-
στιν, ἐν τῇ δευτέρᾳ μου παρουσίᾳ τῆς ἀνταποδόσεως ἄξιον τῶν καμάτων σου ἀποδώσω σοι
τὸν μισθόν. διὰ τοῦτο Παῦλος θαῤῥῶν ταῖς ὑποσχέσεσι ταύταις λέγει· Ἐγὼ δὲ ἥδιστα (β. Κορ ιβ. ιε.)
ὑπὲρ Χριστοῦ δαπανήσω, καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν· τὴν εἰς τὰ ἔθνη 20
λέγων διδασκαλίαν καὶ τὴν διακονίαν τοῦ λόγου. αὐτὸς γάρ ἐστιν ὁ τὰς ἐκκλησίας τοῦ Θεοῦ
ἐποικοδομῶν καὶ στηρίζων, καὶ πάντας ἀνθρώπους θεραπεύων διὰ τῶν πνευματικῶν νουθεσι-
ῶν· ἑκάστῳ τὰ πρόσφορα νέμων, ὁδηγεῖ τὰς ψυχὰς ἡμῶν εἰς ζωὴν αἰώνιον. Τοῖς πᾶσι
γάρ, φησι, γέγονα τὰ πάντα, ἵνα τοὺς πάντας σώσω. οὗτός ἐστιν ὁ καλὸς τῆς ἐκκλησίας (α. Κορ θ. κβ.)
πανδοχεὺς, πάντας δέχεται καὶ πάντων ἐπιμελεῖται· οὐ πόρνον ἀπωθεῖται, οὐ μέθυσον, οὐ 25
λοίδορον, οὐχ ἅρπαγα ἀποστρέφεται, οὐκ εἰδωλολάτρην βδελύσσεται, οὐχ ἕτερόν τινα
ἀσεβῆ καὶ ἀκάθαρτον ἀποδιώκει, ἀλλὰ τοὺς πάντας δέχεται. καθάπερ ἰατρὸς ἀποπλύνει
τὰ τραύματα, καὶ διὰ λουτροῦ τῆς ἀναγεννήσεως ἀποσμήχει καὶ καθαίρει, καὶ προσφέρει τὰ
* * στυπτικὰ ῥήματα, ὥσπερ οἶνον, πρὸς δὲ ἄγεσθαι ταῖς κατ' ἄγνοιαν προσαχθείσαις ἀρεταῖς ἤτοι
κακίαις· καὶ πάλιν θεραπεύει διὰ παρακλήσεως, δίκην ἐλαίου ἀλείφων τὰς ψυχὰς ἡμῶν. 30
λέγει γὰρ οὕτως· Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι (Ρωμ ιβ. α.)
τὰ σώματα ὑμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον, τὴν λογικὴν λατρείαν ὑμῶν. ὅσοι τοί-
νυν τῶν τοῦ Παύλου ῥημάτων μαθηταὶ τυγχάνετε, τὰς ἐντολὰς τοῦ Χριστοῦ φυλάξωμεν·
ἵνα μὴ τῆς ἐπουρανίου Ἱερουσαλὴμ ἐκπέσωμεν, καὶ πόλεως Θεοῦ ζῶντος. γένοιτο δὲ θερα-
πευθέντας ἡμᾶς καὶ ψυχῆς καὶ σώματος τραύματα, ἐν ὑγείᾳ καὶ τελειότητι πίστεως παραστῆναι 35
τῷ Χριστῷ σώους καὶ ἀνεγκλήτους, μὴ λειπομένους ἐν παντὶ ἔργῳ ἀγαθῷ, καὶ ἀπολαῦσαι τῆς
ἐν οὐρανοῖς ἀγαθῆς ἐπαγγελίας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
μεθ' οὗ τῷ πατρὶ δόξα, σὺν τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν.

40

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ.

Λογ. πζ.

Ex Ms. Cajareo.

Ὁ ἔχων προσευχὴν καὶ νηστείαν καὶ ἐλεημοσύνην, οὗτός ἐστι καταπλούσιος ἐν Χριστῷ, καὶ εὐσεβείας ἐργάτης. τί γὰρ ὄφελος, ἀδελφοί, νηστεύειν τῷ σώματι, καὶ φονεύειν τοῖς ἔργοις; τί δὲ ὄφελος βρώματος ἀπέχεσθαι, καὶ πορνείᾳ μιαίνεσθαι; κρέας οὐκ ἐσθίεις, ἀλλὰ κατατρώγεις τὰς σάρκας τοῦ ἀδελφοῦ σου. ποῖον κέρδος οἴνῳ μὴ εὐφραίνεσθαι, καὶ μεθύσκεσθαι χρήμασι; τί ὄφελος ἄρτον μὴ ἐσθίειν, καὶ μεθύειν θυμῷ; ποῖον κέρδος νηστείᾳ τήκεσθαι, καὶ λοιδορεῖν τὸν πλησίον; τίς ἡ ὠφέλεια ἐγκρατεύεσθαι βρωμάτων, καὶ ἁρπάζειν τὰ ἀλλότρια; τίς ἡ ἀνάγκη τὸ σῶμα ξηραίνειν, καὶ πεινῶντα μὴ τρέφειν; τίς ἡ ὠφέλεια τὸ σῶμα συντρίβειν, καὶ χήρας μὴ ἐλεεῖν καὶ ὀρφανούς; ἐὰν βούλῃ νηστεύειν, μίσησον φιλαργυρίαν. τὸ μέγα κακόν ἐστιν ἡ φιλαργυρία. νηστεύεις; φύγε μοιχείαν, φύγε πορνείαν, φύγε καταλαλιάν, ψεῦδος, λοιδορίαν, ἔχθραν, βλασφημίαν, καὶ πᾶσαν περιεργίαν. νηστεύεις; φύγε πλεονεξίαν, ἁρπαγήν, ἔριν, καὶ τὸν ψυχώλεθρον φθόνον. νηστεύεις; φύγε γαστριμαργίαν, τὴν [illegible] πάσης κακίας, τὴν χωρίζουσαν ἡμᾶς καὶ ἀπ' αὐτοῦ τοῦ Θεοῦ, καὶ κατάγουσαν ἡμᾶς ἕως τῆς ἀβύσσου τῆς ἀπωλείας. ἐὰν νηστεύῃς διὰ τὸν Θεόν, φύγε πᾶν πρᾶγμα ὃ μισεῖ ὁ Θεός, καὶ δέχεταί σου τὴν μετάνοιαν, ὡς ἐλεήμων καὶ φιλάνθρωπος. δράμωμεν, ἀδελφοί, πρὸς τὴν μετάνοιαν, δράμωμεν· ἐδόθη ἡμῖν καιρὸς ἐξομολογήσεως, καὶ πένθους καὶ στεναγμῶν, οὐχὶ δὲ ἀμελείας καὶ ῥαθυμίας. μετάνοια γάρ ἐστι πρόξενος βασιλείας οὐρανοῦ, καὶ εἴσοδος παραδείσου, καὶ τρυφῆς αἰωνίου ἀπόλαυσις. ἐὰν νηστεύῃς, ἀγαπητέ, πεινῶντα μὴ παρίδῃς, γυμνὸν περίβαλε, βλέπε τῆς χήρας τὰ δάκρυα, βλέπε ὀρφανοὺς στενάζοντας. ἐὰν ἔχῃς, ἐλέησον· εἰ δὲ οὐκ ἔχεις, κἂν μὴ ἁρπάζῃς τὰ ἀλλότρια. νηστεύεις; παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον, "ἀρκεῖ σοι πρὸς σωτηρίαν. ἐὰν νηστεύῃς, βλέπε μὴ δανείσῃς τὸ ἀργύριόν σου ἐπὶ τόκῳ. νηστεύεις; ἐλέησον ὃν ἠδίκησας, μὴ φθονήσῃς ποτὲ ἀδελφόν, μήτε πάλιν μισήσῃς τινά ποτε. νηστεύεις; μὴ κενοδοξήσῃς. νηστεύεις; φύγε πορνείαν, τὴν χωρίζουσαν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ καὶ ἀπὸ τῶν ἁγίων, τὴν πρόξενον τοῦ αἰωνίου καὶ ἀσβέστου πυρός. νηστεύεις; θρέψον πεινῶντας, πότισον διψῶντας, ἀσθενοῦντας ἐπίσκεψαι, τὸν ἐν φυλακῇ μὴ ἐπιλάθου, καταπονουμένους ἐλέησον, θλιβομένων καὶ ὀδυρομένων ἐπιμελήθητι, γενοῦ εὔσπλαγχνος, πρᾶος, ἀγαθός, ἥμερος, μακρόθυμος, ἐλεήμων, ἀμνησίκακος, εὐλαβής, ἄμαχος, ἀληθινός, θεοσεβής· ἵνα ὁ Θεὸς καὶ τὴν νηστείαν σου ἀποδέξηται, καὶ τῆς μετανοίας τὸ κέρδος μετὰ πολλῆς τῆς προσθήκης παράσχῃ σοι. ἐὰν νηστεύῃς, ἀγαπητέ, οὕτω νήστευσον ὡς ὁ Χριστὸς ἐκέλευσεν, ἵνα μὴ καὶ τὸν κόπον ὑπομείνῃς, καὶ τὸν μισθὸν ἀπολέσῃς. ταῦτα παρακαλῶ, ἀδελφοί, ἵνα ἀσφαλῶς τηρήσωμεν, καὶ μισθὸν κομισώμεθα παρὰ τῷ Θεῷ, καὶ ἀκούσωμεν τῆς μακαρίας ἐκείνης φωνῆς τῆς λεγούσης, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. οὐδὲν γάρ, ἀδελφοί, δύναται βοηθῆσαι ἡμῖν ἐν ἐκείνῃ τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, καὶ τῆς φωνῆς ταύτης προξενούσης, ὡς μετάνοια καὶ ἐλεημοσύνη. ὡς πασῶν τροφῶν ὁ ἄρτος ἀναγκαιότερος, οὕτω πασῶν ἐργασιῶν ἡ τοῦ θανάτου ἔννοια. πυρὸς αἰωνίου μνήμη καθ' ἑσπέραν συγκοιμηθήτω σοι, καὶ συνδιαναστήτω σοι, καὶ οὐ μή σου ῥαθυμία ἐν καιρῷ ψαλμῳδίας κυριεύσῃ ποτέ· ὡς φωτὸς φανέντος, ὑποχωρεῖ τὸ σκότος, οὕτω καὶ ἀπὸ ταπεινώσεως πᾶσα πικρία καὶ θυμὸς ἐξαφανίζεται. δεθήτω λοιπὸν θυμός, ὡς τύραννος, ἐν δεσμοῖς πραότητος· μηδέποτε καταδέξῃ τὸν πρὸς σὲ τὸν πλησίον καταλαλοῦντα, μᾶλλον δὲ λέγε πρὸς αὐτόν, "παῦσαι, ἀδελφέ, ἐγὼ καθ' ἡμέραν

Matth. κε. λδ.

ἐν χαλεπωτέροις πλάσμασι παλαίω, καὶ πῶς ἐκεῖνον κατακρῖναι δυνάμεθα; ψεῦδός ἐστιν ἀγά-
πης ἀφανισμός· ἐπιορκία δὲ Θεοῦ ἄρνησις. φόβον Θεοῦ κτησάμενος ἐδίωξε ψεῦδος, δικα-
στὴν ἔχων τὴν ἰδίαν συνείδησιν. λέοντα ὁ κολακεύσας πολλάκις ἡμέρωσεν. ὁ τὴν ἑαυτοῦ
θεραπεύων γαστέρα, καὶ πνεῦμα πορνείας νικῆσαι βουλόμενος, ὅμοιός ἐστιν ὁ μετ' ἐλαίου σβεννύων
τινὰ ἐμπρησμόν. θολοῦται γλῶσσα ὑπὸ πλήθους ἐδεσμάτων, ἀνάθου Κυρίῳ τὴν τῆς
φύσεως ἀσθένειαν, γινώσκων εἰς ὑπαιτίαν ἰδίαν ἀδυναμίας. μὴ εὔχου ἐν σεσοφισμένοις
ῥήμασιν, ἀλλ' ἐξ ὅλης ψυχῆς, καὶ ταπεινώσεως καρδίας. περὶ πάντων δὲ λέγε, ἐλέησόν με,
Κύριε, ὅτι ἀσθενής εἰμι. ἡμῖν πίστις ἀκλινὴς καὶ ἀγάπη Θεοῦ περικόπτει φροντίδας· θα-
νάτου δὲ μνήμη ἀπαρτίζεται καὶ σῶμα. διὰ μικροῦ τινος πυρὸς πολλὴν ὕλην κατέκαυσαν,
καὶ διὰ μιᾶς ἀρετῆς ὅλα τὰ πάθη ἔφυγον. ὁ Θεῷ παρίστασθαι λογιζόμενος ἐν αἰσθήσει καρ-
δίας, ἐν προσευχῇ γίνου στῦλος ἀκλόνητος, ὑπ' οὐδενὸς τῶν βιωτικῶν φροντίδων ἐμποδι-
ζόμενος. εἴ τις ἁγνὸν σῶμα βούλεται παραστῆσαι τῷ Χριστῷ, καὶ καρδίαν καθαρὰν ἐπι-
δείξασθαι αὐτῷ, τηρησάτω ἀοργησίαν καὶ ἐγκράτειαν. οὗτοι γὰρ χωρὶς μόνοι καὶ τὸν κόπον,
ἢ νοῦν καθαρὸν παραστῆσαι τῷ Θεῷ βουλόμενος, καὶ φροντίσι τοῦ βίου δονούμενος, ὅμοιός ἐστι
τῷ τοὺς ἑαυτοῦ πόδας ἰσχυρῶς δήσαντι, καὶ ὀξέως περιπατεῖν δοκιμάζοντι, ἐν Χριστῷ Ἰησοῦ τῷ
Κυρίῳ. Ἀμήν.

Λογ. πη.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ, ΚΑΙ ΕΙΣ ΤΟΝ ΔΑΒΙΔ, ΚΑΙ ΠΕΡΙ πρεσβυτέρων, καὶ εἰς τὸν Ἰωσήφ, καὶ κατὰ Ναυάτου.

Ex Ms. Caesareo. Ψαλ. θ α.

Καθολικὸν ἡμῖν, καὶ οὐ μερικὸν μέλος ἀναγορεύων ὁ μακάριος Δαβίδ,
ἐπῆλθε ψάλλειν· ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, δι-
ηγήσομαι πάντα τὰ θαυμάσιά σου. ὢ τῆς εὐλαβείας τοῦ μακαρίου
Δαβίδ, τοῦ πταίσαντος, καὶ μὴ καταφρονήσαντος. εἰ γὰρ καὶ ὡς ἄν-
θρωπος ὀλισθήσας ἔπεσεν, ἀλλ' ὅμως ὡς ἄνθρωπος ἐξωμολογήσατο.
ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. εἰ μὴ γάρ σοι ἐξο-
μολογήσωμαι, τῶν ἁμαρτιῶν οὐκ ἀπαλλάττομαι. ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ
καρδίᾳ μου. εἰ μὴ γάρ σοι ἐξομολογήσωμαι, ὡς χιὼν οὐ λευκανθήσομαι. ἐξομολογήσο-
μαί σοι, Κύριε. εἰ μὴ γάρ σοι ἐξομολογήσωμαι, ὁ διάβολος τὴν φονομοιχείαν παίζων οὐ
παύεται. ἐξομολογήσομαί, σοι, Κύριε. εἰ μὴ γάρ σοι ἐξομολογήσωμαι, εἰς τὴν προ-
τέραν τιμὴν οὐκ ἐπανέρχομαι. ἐξομολογήσομαί σοι, Κύριε. εἰ μὴ γάρ σοι ἐξομολογή-
σωμαι, πατήρ σου κατὰ σάρκα ἀκούειν οὐ δύναμαι. ἐξομολογήσομαί σοι, Κύριε. εἰ μὴ γάρ
σοι ἐξομολογήσωμαι, τὸ πνεῦμα τὸ ἅγιον οὐδὲν ἀναγορεύει μοι, καὶ οὐδεὶς τὸν πεντηκοστὸν
ψαλμὸν ἐκμαθεῖν ἀνέχεται. ἁρμόζει δὲ ἑνὶ ἑκάστῳ τῶν προσερχομένων τῷ ἁγίῳ βαπτί-
σματι λέγειν τὰ τοῦ μακαρίου Δαβίδ, ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. εἰ
μὴ γάρ σοι ἐξομολογήσωμαι, τὸν παλαιὸν ἄνθρωπον οὐκ ἀποδύομαι. ἐξομολογήσομαί
σοι, Κύριε. εἰ μὴ γάρ σοι ἐξομολογήσωμαι, τὸν νέον ἄνθρωπον οὐκ ἐνδύομαι. ἐξομο-
λογήσομαί σοι, Κύριε. εἰ μὴ γάρ σοι ἐξομολογήσωμαι, οὐκ αὐτῇ τῇ τῶν πιστῶν ποίμνῃ συνα-
ριθμηθήσομαι. ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. ἐπείσθην γάρ σου λέγοντος,
μὴ αἰσχυνθῇς ἐξομολογῆσαι τὰς ἁμαρτίας σου. ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ
μου. ἤκουσα γάρ σου λέγοντος, Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετά-
νοιαν. εὔκαιρον δὲ καὶ τὰ τοῦ μακαρίου Παύλου λέξαι ῥήματα. ποῖα ταῦτα; Νῦν καιρὸς εὐ-
πρόσδεκτος. ποῖος καιρός; ὁ τῆς νηστείας καλλωπισμός. ποῖος καιρός; ὁ τῆς φιλοπτωχίας
φωτισμός. ποῖος καιρός; ὁ τῆς μετανοίας πορισμός. νῦν καιρὸς εὐπρόσδεκτος, νῦν ἡμέρα
σωτηρίας.

Ματθ. θ. ιγ.
β. Κορ. ϛ β.

σωτηρίας. τὰ αὐτὰ δὴ ταῦτα καὶ ὁ Ἐκκλησιαστὴς γράφων λέγει· Καιρὸς τοῦ κλαῦσαι τὴν (Ἐκκλησ. γ. δ.)
ἁμαρτίαν, καὶ καιρὸς τοῦ γελάσαι τῇ σωτηρίᾳ. γελάσαι, οὐ καταγελάσαι. ἄλλο γὰρ γέ-
λως προπετής, καὶ ἄλλο γέλως ἐπωφελής. καὶ ὅτι οὐ ψεύδομαι ταῦτα λέγων, ἐξ αὐ-
τῶν τῶν θείων γραφῶν λάμβανε τὴν ἀπόδειξιν. περὶ μὲν γὰρ τοῦ προπετῶς γελῶντος ἄ-
κουσον τῆς σοφίας λεγούσης· Ἄφρων ἐν γέλωτι προσάγει κακά. περὶ δὲ τοῦ συνετῶς γε- (Παροιμ. ι. κδ.)
λῶντος καὶ ἐπωφελῶς ἄκουε τοῦ Ἰὼβ λέγοντος· Πλὴν δῶρον ἀσεβοῦς οὐ λήψεται, ἀληθινὸν δὲ (Ἰωβ. η. λα.)
στόμα ἐμπλήσει γέλωτος. καλῶς οὖν ἔλεγεν ὁ Ἐκκλησιαστής, καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς
τοῦ γελάσαι. καιρὸς τοῦ κλαῦσαι τὴν ἁμαρτίαν, καὶ καιρὸς τοῦ εὐφρανθῆναι τῇ δικαιοσύνῃ.
Δίκαιος γὰρ Κύριος, καὶ δικαιοσύνας ἠγάπησε. καιρὸς τοῦ ῥῆξαι τὴν ἔχθραν, καὶ καιρὸς τοῦ συνά- (Ψαλ. ι. η.)
ψαι τὴν ἀγάπην. πειθόμενοι τῷ μακαρίῳ Παύλῳ τῷ λέγοντι, Ὁ ἥλιος μὴ ἐπιδυέτω
ἐπὶ τῷ παροργισμῷ ὑμῶν. καιρὸς τοῦ ἐκριζῶσαι τὴν ἀσέβειαν, καὶ καιρὸς τοῦ φυτεῦσαι
τὴν εὐσέβειαν. ταῦτα δὲ πάντα καὶ ὁ Κύριος ἡμῶν ἐμφαίνων Ἱερεμίᾳ τῷ προφήτῃ περὶ
τῆς ἀκολουθίας τῆς τῶν Ἰουδαίων χώρας ἔλεγε πρὸς αὐτόν· Ἰδοὺ καθίστημί σε σήμερον ἐκρι- (Ἱερ. α. ι.)
ζοῦν καὶ φυτεύειν, ἀνασκάπτειν καὶ ἀνοικοδομεῖν· ἐκριζοῦν τὴν πολυθεΐαν, καὶ φυτεύειν τὴν μο-
ναρχίαν· ἀνασκάπτειν καὶ ἀνοικοδομεῖν· ἀνασκάπτειν τὰ Ἑλληνικὰ σεβάσματα, καὶ ἀνοικοδο-
μεῖν τὰ μαρτυρικὰ εὐκτήρια. τὸ δὲ σήμερον καθίστημί σε, μὴ ἐν ὡρισμένῃ ἡμέρᾳ λάμβανε,
ἀλλὰ τὸ εἰς ἀεὶ καὶ πάντοτε, καθώς φησιν ὁ μακάριος Παῦλος· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ (Ἑβρ. γ. η.)
ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, ἀντὶ τοῦ, ἢ δι' ἂν
ἡμέρᾳ ἀκούσητε τοῦ Κυρίου λέγοντος, Μετανοεῖτε (ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν) μὴ (Ματθ. δ. ιζ.)
σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς οἱ λεγόμενοι καθαροί. ταῦτα δὲ οὐ μόνον περὶ τοῦ βα-
πτίσματος καὶ ἐν τῷ νόμῳ, ἀλλὰ καὶ μετὰ τὸ βάπτισμα, καὶ ἐν τῇ χάριτι. αὐτὰ γὰρ ταῦτα ὁ
δεσπότης Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐν ἑτέραις λέξεσι παραδιδοὺς ἔλεγεν· Ἀμὴν, ἀ- (Ματθ. ιη. ιη.)
μὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ οὐκ ἁπλῶς
λέξεων τινῶν, ἀλλὰ πραγμάτων ἐνόχους ἐποίησε τοὺς ἑαυτοῦ μαθητὰς, τοῦ λύειν καὶ δεσμεῖν.
βλέψατε περὶ πάντων εἰς τὸν μακάριον Πέτρον, πῶς ἐδέσμευσε θανάτῳ τοὺς συμφω-
νήσαντας τῷ ψεύδει, Ἀνανίαν καὶ Σαπφείραν· πῶς δὲ ἔλυσε τὴν συμφορὰν τοῦ ἐκ γεννητῆς
κυλλοῦ ἀνθρώπου, πόδας αὐτῷ χαρισάμενος. τί ἐροῦσι πρὸς ταῦτα οἱ καθαροί, τῶν κα-
θαρωτέρων, καὶ πάσης ἀκαθαρσίας ἀκαθαρτότεροι; οὐδεὶς γὰρ καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν
μία ἡμέρα ἡ ζωὴ αὐτοῦ ἐπὶ γῆς. τί οὖν ἐροῦσι πρὸς ταῦτα οἱ πολλοὶ, οἱ τὸν κενόδοξον
λογισμὸν ἔχοντες, οἱ τολμῶντες λέγειν ματαιωμένῳ στόματι· ἐγὼ ἔχω τῷ δεῖνι τῷ πρεσβυ-
τέρῳ προσελθεῖν, καὶ ἐξομολογήσασθαι αὐτῷ τὰς ἁμαρτίας μου, τῷ πολλάκις πλείονά μου
πταίσαντι; πῶς δύναται οὗτος, ἄνθρωπος ὑπάρχων καὶ ἁμαρτωλὸς, τὰς ἐμὰς ἁμαρτίας
ἐξαλεῖψαι; τοιαῦτα προφασίζονται οἱ ἐν ἁμαρτίαις καὶ ἐν ὑπερηφανίᾳ ὑψοῦντες ἑαυτούς.
ἀλλ', ὦ ἄνθρωπε, ὁ σαυτῷ ἐπιβουλεύων τοῖς ἀλαζόσι καὶ ἀπατηλοῖς σου ῥήμασιν, ὁ Θεὸν πα-
ραπικραίνων διὰ τῆς ἀνοίας σου καὶ ὑψηλοφροσύνης· μὴ γὰρ ἀνθρώπῳ προσέρχῃ, ἢ ἄν-
θρωπος ἀφίησί σου τὰς ἁμαρτίας; τῷ δεσπότῃ καὶ βασιλεῖ τῶν ἁπάντων Θεῷ προσέρχῃ,
τῷ διὰ τοῦ ἱερέως συγχωροῦντί σοι τὰ πλημμελήματα. μεσίτης γὰρ, οὐκ αὐθέντης ὑ-
πάρχει ὁ ἱερεύς. τί τοίνυν κρίνεις καὶ βδελύττῃ, ὃν ὁ Θεὸς οὐ κατακρίνει; τὸ τίμιον αὐτοῦ σῶμα
μελίζει, καὶ τὸ ἄχραντον αὐτοῦ αἷμα ἱερουργεῖ. ἕως ἐστὶν ἱερεὺς, καὶ ὁ Θεὸς συγχωρεῖ αὐτῷ ἱε-
ρουργεῖν, μὴ παραιτήσῃ παρ' αὐτοῦ λαβεῖν τὴν δωρεάν. οὐ γὰρ αὐτὸς παρέχει σοι τὴν ἄφεσιν
τῶν ἁμαρτιῶν, ἀλλ' ὁ μέγας ἀρχιερεὺς Χριστὸς, ὁ πιστεύσας αὐτῷ τὴν ἱερωσύνην. ὅτι δὲ οὐ
μόνον ἐν τῇ χάριτι, ἀλλὰ καὶ πρὸ τῆς χάριτος ὁ Θεὸς τοῖς ἀνθρώποις τὴν σωτηρίαν δι' ἀν-
θρώπου ἐποιεῖτο· ταύτης χάριν ὁ δεσπότης ἡμῶν ἐνηνθρώπησεν, ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώ-
πων. οἴδατε ἀκριβῶς τὴν ἱστορίαν κατὰ τὸν μακάριον Δαβὶδ, τὸν ἀρτίως εἰρηκότα, ἐξομολογή-

σομαι

σομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, πῶς ὁ αὐτὸς φόνῳ καὶ μοιχείᾳ περιπεσών, τοῖς ἄκρεσι κακοῖς, ἔμενεν ἀνεξομολόγητος. τί οὖν ποιεῖ ὁ Θεός, ἵνα καὶ τοῦτον πρὸς μετάνοιαν ἑλκύσῃ, καὶ τὸν μετέπειτα ποιήσῃ τὴν μετάνοιαν ἀσπάζεσθαι; πέμπει πρὸς αὐτὸν Νάθαν τὸν προφήτην, ἐν ἀλλοτρίῳ προσώπῳ τὰ κατ' αὐτοῦ ἐξαγγέλλοντα. Ἐλθὼν γάρ, φησιν, ὁ μνημονευθεὶς προφήτης πρὸς τὸν Δαβὶδ ἔφη· βασιλεῦ, ἔχω σοι τι εἰπεῖν. ὁ δὲ Δαβίδ, λέγε. καὶ ὁ προφήτης Νάθαν· ἄνθρωπός τις ἦν πλούσιος, ἔχων ποίμνια καὶ βουκόλια πολλά· ἄνθρωπος δέ τις ἦν πένης ἔχων ἀμνάδα μίαν, ἥτις ἐκ τῆς τραπέζης αὐτοῦ ἤσθιε, καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε· πλούσιον τὸν Δαβὶδ καλῶν, πένητα τὸν Οὐρίαν. τί οὖν; ἦλθε, φησι, ξένος πρὸς τὸν πλούσιον. τίς ὁ ξένος; ὁ λογισμὸς τῆς ἐπιθυμίας, ὁ ἐμβάλλων ἡμᾶς εἰς κόλασιν. ἦλθε ξένος πρὸς τὸν πλούσιον· καὶ ὁ πλούσιος φειδόμενος τῶν οἰκείων προβάτων, πέμψας ἔλαβε τὴν ἀμνάδα τοῦ πένητος, καὶ κατέσφαξεν αὐτὴν τῷ ξένῳ. τοῦτο ἀκούσας ὁ βασιλεὺς Δαβίδ, εἰ καὶ τῇ ἁμαρτίᾳ ἦν περιπεσών, ἀλλ' ὅμως τὸ δίκαιον ἠμφίεστο. τοῦ γὰρ σώματος ἡ ἁμαρτία, τῆς δὲ ψυχῆς τὸ κατόρθωμα. ὅθεν ἀποκριθεὶς ἐν θυμῷ ἔφη, ζῇ Κύριος, ἄξιος θανάτου ὁ ποιήσας τοῦτο, καὶ τὴν ἀμνάδα ἀποτίσει ἑπταπλάσιον. ὑπερβαίνει τὸν νόμον ὁ Δαβίδ. ὁ νόμος γὰρ τετραπλασίονα κελεύει· οὗτος δὲ ἑπταπλασίονα κελεύει. ὁ δὲ Νάθαν πρὸς αὐτόν· Σὺ εἶ, βασιλεῦ, ὁ ταῦτα πεποιηκώς. εἶτα ὁ Δαβὶδ συνετὸς ὑπάρχων, καὶ εὐλαβείᾳ συζήσας, οὐκ ἀπηρνήσατο τῷ βασιλικῷ ἀξιώματι, οὐκ ἐτυράννησε τὸν ἐλέγχοντα, καίπερ δυνάμενος· οὐκ εἶπε, τίς εἶ σύ, ὁ τολμήσας ἐπὶ πάντων ὀνειδίσαι με; ᾔδει γὰρ σαφῶς, ὅτι εἰ καὶ βασιλεύς ἐστιν ἐπίγειος, ἀλλ' ὅμως βασιλεύεται ὑπὸ τοῦ βασιλέως τῶν ἄνω δυνάμεων. ὡς μόνον γὰρ ἤκουσε τὴν φωνὴν τοῦ προφήτου, ὅτι σὺ εἶ, βασιλεῦ, εὐθέως ἐξωμολογήσατο, Ἡμάρτηκα τῷ Κυρίῳ. ὁ δὲ Νάθαν, Καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς. ὦ Νάθαν, τί ἐτόλμησας ἀποφήνασθαι; μέλλεις γὰρ ὑπὸ Ναυάτου ἐγκαλεῖσθαι τοῦ ὑψηλόφρονος. τῷ Θεῷ ἥμαρτεν ὁ Δαβίδ, αὐτῷ καὶ ἐξωμολογήσατο· καὶ πόθεν οἶδας, εἰ συγχώρησιν ἔλαβεν; ὅτι σὺ ἀφεῖλες τὸ ἁμάρτημα. πρότερον μάθε, καὶ τότε μετάδος τῆς ἁμαρτίας τὴν λύσιν. ὁ δὲ Νάθαν φησίν· ἐμοὶ ἐνεχείρισεν ὁ Θεὸς τελείαν τὴν τοῦ Δαβὶδ περιοδείαν ποιήσασθαι. εἰ γὰρ οὐκ ἐβούλετο δι' ἐμοῦ αὐτῷ συγχωρῆσαι, οὐκ ἂν ἀπέσταλκέ με πρὸς αὐτόν. τίς ἐγκαλεῖ ἰατρῷ περιοδεύοντι ἀνθρώπῳ νοσοῦντι, καὶ οὐκ εὐεργετεῖ καὶ ἀμοιβὰς ἀποδίδωσι; σαφῶς τοίνυν ἀποδέδεικται, ὅτιπερ οὐ μόνον ἐν τῇ χάριτι, ἀλλὰ καὶ παρὰ τῆς χάριτος, δι' ἀνθρώπων ὁ Θεὸς τοῖς ἀνθρώποις συνεχώρει τὰ ἁμαρτήματα. χρησώμεθα δὲ καὶ μετρίῳ ὑποδείγματι πρὸς σαφήνειαν τῶν λεγομένων. ὑπόθου μοι, ὦ ἄνθρωπε, ὁ τῆς μετανοίας ἀντίπαλος, τινὰ ἄνθρωπον σφαλέντα ἐπί τινι ἐγκλήματι, καὶ καταδίκῃ ὑπὸ ἄρχοντος βληθέντα, καὶ μέλλοντα αὐτὸν ἢ ἐν ἐξορίᾳ, ἢ ἐν ἄλλῃ τινὶ τιμωρίᾳ παραπέμπεσθαι. μὴ οὗτος ὁ τῇ καταδίκῃ φρουρούμενος, δι' ἑαυτοῦ πρόεισι, καὶ τὸν ἄρχοντα παρακαλεῖ τῆς συμφορᾶς ἐκείνης ἀπαλλαγῆναι; οὐχὶ τὸν μεσίτην ἰχνεύσας καὶ ζητήσας, τὸν λεγόμενον, ἵνα σαφέστερον εἴπω, δομεστικόν, δι' αὐτοῦ τὴν σωτηρίαν πρυτανεύεται, καὶ τῆς κρίσεως τὴν ψῆφον σπουδάζει ἀκυρῶσαι, καὶ τοῦ ἄρχοντος τὸν θυμὸν εἰς ἐπιείκειαν μεταποιῆσαι; εἰ ἐπὶ τῶν σωματικῶν τιμωριῶν εὐταξία τοσαύτη καὶ παράκλησις, ἐπὶ τῶν πνευματικῶν οὐχὶ μᾶλλον ὑψηλοτέρα γενήσεται μεσιτεία καὶ βοηθείας χρεία; ὥστε, ἄνθρωπε, εἰ διὰ τοῦτο οὐ βούλει προσελθεῖν τῇ μετανοίᾳ, ὅτι ἄνθρωπός ἐστιν ὁ ἱερεὺς ἁμαρτωλός, μηδὲ βαπτισθῇς· ἄνθρωπος γάρ ἐστιν ὁ βαπτίζων· μηδὲ κοινωνήσῃς· ἄνθρωπος γάρ ἐστιν ὁ τὸν ἀμνὸν τοῦ Θεοῦ μελίζων. εἰ δὲ ταῦτα πίστιν ἔχει, κἀκεῖνο πίστει καταδέξαι. ὅρα μὴ ἄλλα φυλάττων, καὶ ἄλλα ἀποβαλλόμενος, εἰς κρίμα ἐμπέσῃς. οὕτω γὰρ ὑποσκελίζει ἡμᾶς τὸ πονηρὸν θηρίον ὁ διάβολος, καὶ θέλει ἡμᾶς ἐμβαλεῖν εἰς τὴν γέενναν διὰ πολυτρόπων αὐτοῦ μηχανημάτων.

β. Βασ. ιβ. α.

γέγραπται

γέγραπται ἐν τῷ νόμῳ, Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. Εἰ οὖν ἄρχοντά σοι δέδωκε
τὸν ἱερέα ὁ βασιλεὺς τῶν βασιλευόντων, τί ἀποβάλλεις αὐτὸν καὶ ταλανίζεις; μὴ δύνασαι
τῷ ἐπιγείῳ βασιλεῖ παριστάμενος διδόντι ἀξίαν ἄρχοντι, κωλῦσαι καὶ εἰπεῖν αὐτῷ, οὐκ ἔ-
στιν ἄξιος τῆς ἀρχῆς ταύτης γενέσθαι; Εἰ οὖν ἐκεῖνον οὐ δύνασαι κωλῦσαι, ὃν θέλει καὶ ὃν
5 βούλεται, δοξάσαι, πῶς τολμᾷς τὸ δεσποτικὸν κέλευσμα κωλυθῆναι ἐπὶ τοῦ ἱερέως, ὅτι
ἁμαρτωλός ἐστι; οὐχὶ Δαβὶδ ὁ προφήτης μοιχείᾳ καὶ φόνῳ περιέπεσεν, ὡς προέφην; οὐχὶ
Πέτρος ἀρνησάμενος τὸν διδάσκαλον τρὶς, ἁμαρτίᾳ καὶ ἀρνήσει ὑπέπεσεν; οὐχὶ Παῦλος
ἐδίωξε τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ὡς οὐδεὶς ἄλλος; ἀλλ' ὁ φιλάνθρωπος δεσπότης τούτους
ἐξελέξατο καὶ ἐδόξασεν, ἵνα σύ τινα τῶν τῆς ἐκκλησίας ἀρχόντων μὴ ἐξουδενώσῃς, μηδὲ
10 κρίνῃς. ὁ γὰρ ἱερεὺς βαπτίζων καὶ προσφέρων τὴν ἀναίμακτον θυσίαν, τὰς χεῖρας κινεῖ
πρὸς τὸ προκείμενον· τὸ δὲ ἅγιον πνεῦμα ταῦτα ἁγιάζει καὶ μεγαλύνει. διὸ καὶ ἐν ταύτῃ
μετανοοῦντός σου καὶ ἐξομολογουμένου, οὐδὲν ἕτερον, ἢ τὴν γλῶτταν κινεῖ, καὶ ὁ Θεὸς τὴν
σωτηρίαν σοι καὶ τὴν ἄφεσιν παρέχει. καὶ εἰ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ εἰ οἷόν τέ ἐστι μετὰ
τὸ βάπτισμα διὰ μετανοίας σωθῆναι, διὰ τί ὁ ἀπόστολος Πέτρος τὸν Ἀνανίαν καὶ τὴν
15 Σαπφείραν παραυτὰ ἐθανάτωσε, καὶ οὐχὶ διὰ μετανοίας αὐτοὺς ἀνεκαλέσατο; πρόσεχε
ἀκριβῶς. οὐχὶ ὁ μακάριος Πέτρος ἀπέκρυψε τὴν ἔμπλαστρον τῆς μετανοίας· ἀλλ' αὐτοὶ
οἱ τῷ τοιούτῳ πτώματι περιπεσόντες, οὐκ ἐπεζήτησαν τὴν μετανοητικὴν πρόσφορον
ἔμπλαστρον· ἀλλὰ τῇ τοῦ διαβόλου παραινέσει συναπώλοντο καὶ τοῖς χρήμασι. τότε γὰρ
μετάνοια, οὐχ ὅτε τῇ *** τιμᾶται, ἀλλ' ὅτε τῇ πράξει γνωρίζεται. ἔστι γὰρ μετάνοια
[illegible] 20 ἀπὸ ψυχῆς προερχομένη, καὶ ἔστι μετάνοια ἐπιπολαίως γινομένη· ὅθεν οἱ μὲν σώζονται, οἱ
δὲ κατακρίνονται. μετενόησεν ὁ μακάριος Πέτρος, καὶ ὁ ἄθλιος Ἰούδας· ἀλλ' ὁ μὲν Πέτρος
γνησίως μετανοήσας καὶ δακρύσας καὶ τὴν ἄρνησιν διὰ τῶν δακρύων ἀποπλύνας, εἰς τὴν
προτέραν τιμὴν πάλιν ἐπανῆλθεν· ὁ δὲ Ἰούδας παρέργως εἰργάσατο τὴν μετάνοιαν. εἰ γὰρ
καὶ τὰ ἀργύρια προσέρριψε τοῖς Ἰουδαίοις, καὶ εἶπεν, ἥμαρτον παραδοὺς αἷμα ἀθῷον, ἀλλ' ὅ-
25 μως οὐκ ἐστέναξεν, οὐκ ἐδάκρυσεν, οὐκ ἄξια τῆς μετανοίας ἔπραξεν, ἀλλὰ μόνον ἀγχόνην
πλέξας, τὸν διάβολον ἐπληροφόρησε. τί οὖν Σίμων ὁ Μάγος, βαπτισθεὶς καὶ σκελισθεὶς,
καὶ ὑπὸ Πέτρου κατακριθεὶς ὡς χρήματα προσενέγκας, ἵνα τὴν ἀκαπήλευτον δωρεὰν
πραγματεύσηται, οὐ τὴν μετάνοιαν ᾔτησεν; οὐχὶ ὁ μακάριος Πέτρος ἀπεκρίνατο λέ-
γων· Μετανόησον ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου; διὰ τί, φησι, τῷ Ἀ-
30 νανίᾳ καὶ τῇ Σαπφείρᾳ οὐκ εἶπε τὰ ῥήματα ταῦτα, μετανοήσατε ἀπὸ τῆς κακίας ὑ-
μῶν; πρόσεχε ἀκριβῶς. οὐ παίζεται ἡ τοῦ πνεύματος χάρις. ὁ Ἀνανίας γὰρ καὶ ἡ
Σάπφειρα ἐλεγχόμενοι ὑπὸ τοῦ Πέτρου, καὶ ἀκούοντες παρ' αὐτοῦ, Τί ὅτι συνεφωνήθη
ὑμῖν πειράσαι τὸ πνεῦμα Κυρίου, οὐχ ὡμολόγησαν τὴν ἑαυτῶν ἁμαρτίαν, οὐ προσέπε-
σαν, οὐκ ἐδεήθησαν, οὐκ εἶπον, ὅτι ὡς ἄνθρωποι ἐσφάλημεν, ἀλλὰ τί; ἐλεγχόμενοι
35 ὑπ' αὐτοῦ ἀντετίθουν τοῖς αὐτοῦ ῥήμασι, πειρώμενοι αὐτὴν κρύπτειν, μὴ συνιέντες ὡς οὐ
παίζεται τὸ πνεῦμα τὸ ἅγιον. ὅθεν παραυτὰ ὁ μακάριος Πέτρος παροξυνθεὶς, ἁρμόζου-
σαν αὐτοῖς ἐξήνεγκε τὴν ἀπόφασιν· ὁ δέ γε Σίμων ἀκούσας παρὰ τοῦ ἀποστόλου Πέτρου, Τὸ
ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν ἐνόμισας διὰ χρημάτων κτᾶ-
σθαι, οὐκ ἠγανάκτησεν, οὐκ ἀφηνίασεν, οὐκ ἀπεπήδησε, καίτοι πονηρὸς ὤν· ἀλλὰ τὰς ὕ-
40 βρεις καὶ τὰς ἐπισκήψεις, ὡς ἀντίδοτες αἰτίας, δεξάμενος, οὐ μόνον τῷ Πέτρῳ, ἀλλὰ καὶ πᾶσι
τοῖς ἀποστόλοις προσαπιὼν ἔλεγε· Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεὸν, ὅπως μηδὲν
ἐπέλθῃ ἐπ' ἐμὲ, ὧν εἰρήκατε κακῶν. μεγάλως, φησὶν, ἥμαρτον· οὐ τολμῶ δι' ἐμαυτοῦ τὸν
Θεὸν ἐξιλεώσασθαι. ὑμεῖς οἱ μεσῖται ὑπὲρ ἐμοῦ πρεσβεύσατε. καλῶς οὖν ἔλεγεν ὁ Ἐκ-
κλησιαστής, Καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς τοῦ γελάσαι. καιρὸς τοῦ κλαῦσαι ὅταν τὰ αἴτια το-
σαῦτα,

Ἐξοδ. κα κη.

Πραξ. η. κϐ.

Πραξ. ε. θ.

Πραξ. η. κ.

συνῶντας, καὶ καιρὸς τοῦ γελάσαι τοὺς τὴν μετάνοιαν ἀγαπῶντας. ὅπου γὰρ ἔκλαυσεν ὁ μέγας Ἰωσὴφ, οἱονεὶ τῷ προφητικῷ βλέμματι προσαχθεὶς τῷ μακαρίῳ Δαβὶδ τῷ λέγοντι· Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσιν. ἔσπειρεν οὖν καὶ Ἰωσὴφ τὰ δάκρυα τῆς φιλαδελφίας, καὶ ἐθέρισε τὸν στέφανον τῆς βασιλείας. ἴστε γὰρ πάντες σαφῶς, ὡς μετὰ τὸν παράδοξον ἐκεῖνον ἀναγνωρισμὸν, θεασάμενος Ἰωσὴφ τοὺς ἑαυτοῦ ἀδελφοὺς, προσονειδίσαι οὐκ ἠθέλησε. ποῖοι γὰρ ἀδελφοὶ, οἱ τὴν δωδεκάσειρον ἅλυσιν τῆς ἀδελφότητος, ὅσον τὸ ἐπ' αὐτοῖς, διαρρήξαντες; ὅμως ὁ Ἰωσὴφ τὰς θλίψεις εἰς ἀντιλήψεις μεταχαλκεύσας ἐπὶ τὸν τράχηλον τῶν ἀδελφῶν, ἔκλαυσεν ἐπ' αὐτοῖς. διὰ τί δὲ ἐπὶ τὸν τράχηλον, οὐχὶ δὲ ἐπὶ ἄλλο μέρος; ἀναγκαίως ἐπὶ τοὺς τραχήλους αὐτῶν ἔκλαυσε, τοὺς ἀποβαλόντας τὸν ζυγὸν τῆς φιλαδελφίας. εἶδες πραότητα καὶ εὐλάβειαν ἀνδρός; ἀλλά φασί τινες περὶ τοῦ Ἰωσὴφ, ὡς ἀπὸ ἀνάγκης συσχεθεὶς καὶ ἐν ξένοις τόποις αὐλιζόμενος, καὶ μὴ ἔχων ἀνθρωπίνην βοήθειαν, ἢ τὸν προστατεύοντα, τούτου χάριν τὴν πραότητα καὶ τὴν ταπεινοφροσύνην ἐπεδείξατο. πρόσσχε οὖν ὁ ταῦτα λέγων. αὐτὸς γὰρ ὁ Ἰωσὴφ ἀπὸ διαθέσεως οἰκείας τὴν πατρικὴν εὐλάβειαν περιέθετο. τοῦ Ἰωσὴφ μνήμη, καὶ φωτὸς παρουσία. ὁ γὰρ τοῦ φωτὸς δεσπότης Χριστὸς ἐκ τοῦ σκότους τῆς φυλακῆς τοῦτον ἠλευθέρωσε. διὸ περιπολογεῖς, ἄνθρωπε, οὐ δικαιολογεῖς, ὁ λέγων ὅτι ὁ Ἰωσὴφ ἀπὸ ἀνάγκης ὑπῆρχεν εὐλαβὴς καὶ ἀνεξίκακος. οὔπω γὰρ πρὸ νόμου ὑπῆρχε φιλόθεος ὁ Ἰωσὴφ καὶ νόμου τηρητὴς, ὅτι καὶ κολακευόμενος παρὰ τῆς ἑαυτοῦ δεσποίνης, ἐμυσάττετο τῆς μοιχείας τὸ δρᾶμα. μὴ γὰρ τότε νόμος ἦν δοθεὶς, ὁ κελεύων, μὴ μοιχεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς; οὐχὶ αὐτὸς ἑαυτοῦ νόμος γενόμενος, καὶ φυσικῷ κριτηρίῳ προσπλακεὶς ἔφυγε γυμνὸς ἐξ αὐτῆς, ἵνα τὴν δεσποτικὴν μὴ μολύνῃ κοίτην; οὐχὶ ἡ τούτου δέσποινα παρεκάλει αὐτὸν ἀναιδῶς, καὶ ἐλπίδας ἐλευθερίας αὐτῷ δώσειν ὑπισχνεῖτο, καὶ πάντων τῶν αὐτῆς δεσπότην καταστήσειν, εἰ συγκατάθηται τῇ σπουδαζομένῃ; οὐχὶ ὅσον ἐκείνη προσέτρεχε, τοσοῦτον οὗτος ἐκάμπτε, κατὰ τὴν τοῦ Κυρίου φωνὴν ἑαυτὸν εὐνουχίσας, οὐ ξίφει, ἀλλὰ πίστει; οὐχὶ ταῦτα τὰ ῥήματα ἔλεγε πρὸς αὐτὴν ὁ δίκαιος; Εἰ ὁ κύριός μου, δέσποινα, οὐ γινώσκει τι τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, ἀλλὰ πάντα ἐνεπίστευσεν ἐν τῇ χειρί μου, καὶ οὐδὲν ὑφαίρηται ἀπ' ἐμοῦ, πλὴν σοῦ, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ πονηρὸν τοῦτο ἁμάρτημα ἐνώπιον τοῦ Θεοῦ; μὴ γὰρ οὐ πάρεστιν ὧδε ὁ τῶν πατέρων μου Θεός; μὴ γὰρ ἄλλος ἐν τῇ Χαναὰν Θεὸς, καὶ ἄλλος ἐν Αἰγύπτῳ, εἰ καὶ ὑμεῖς ἀγνοεῖτε; μὴ γὰρ οὐκ ἔστιν ἐπουράνιός τις δύναμις ἡ θεωροῦσα τοὺς ἀδικοῦντας τοὺς πέλας; μὴ γὰρ, τοῦ ἀνδρός σου ἔξω τυγχάνοντος, καὶ ὁ Θεός μου συναπεδήμησεν; ὁ σὸς ἀνὴρ, γύναι, ἐμὸς δεσπότης ὢν, πᾶσαν τὴν ὕπαρξιν αὐτοῦ ἐπίστευσεν ἐν τῇ χειρί μου, κἀγὼ τὴν πλευρὰν αὐτοῦ συλήσω; ἕνα ἑνὶ συνέζευξε· μὴ γὰρ μίαν πολλοῖς, ἢ ἑνὶ πολλάς; ἡσύχασον, δέσποινα. οἶδα γὰρ τὸν ὑφάπτοντά σε κατ' ἐμοῦ. οὐ σύ με πολεμεῖς, ἀλλ' ὁ τοὺς ἀδελφούς μου κατ' ἐμοῦ ὁπλίσας διάβολος. ἅπαξ γὰρ τοῦ πατρός με ἀλλοτριώσας, σπεύδει καὶ τοῦ Θεοῦ ἀποστῆσαι. ἄνω καὶ κάτω κυκλοῖ, ὅπως ξένον με τῶν ὀνείρων ποιήσῃ. ἡσύχασον τοίνυν. ἄμεινον γὰρ ὄνομα, καὶ μὴ πρᾶγμα βαστάζειν μοιχοῦ. ἐὰν σοὶ μὴ πεισθῶ, τὸ σῶμα μαστίζομαι. ἐὰν δὲ τοῦ Θεοῦ μου παρακούσω, τὸ συναμφότερον κολασθήσομαι. ἔγνω γὰρ τὸν λέγοντα· Φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι. ταῦτα εἴρηται πρὸς ἀπόδειξιν τῆς πραότητος καὶ ἀνεξικακίας τοῦ σώφρονος Ἰωσήφ. ἄκουε δὲ αὐτοῦ καὶ τὴν ἄλλην πραγματείαν. ἴστε γὰρ πάντες σαφῶς, ὅτι συκοφαντίᾳ τῆς Αἰγυπτίας τὴν φυλακὴν οἰκήσας, ψήφῳ δὲ θείας προνοίας τῆς Αἰγύπτου βασιλεύσας, καὶ ἤδη λοιπὸν τῶν ὀνείρων αὐτοῦ, μᾶλλον δὲ τῶν ἀποκαλύψεων τὴν ἔκβασιν ἐπιδεικνυόντων, καὶ τῶν ἀδελφῶν αὐτοῦ κατελθόντων εἰς τὴν Αἴγυπτον διὰ τὴν τῶν ἀναγκαίων σπάνιν, θεασάμενος τούτους ὁ Ἰωσὴφ, καίτοι βασιλεὺς ὑπάρχων, καὶ πάσης τῆς Αἰγύπτου δεσπόζων, οὐκ ἐγύμνωσε ξίφος, οὐκ ἐν φυ-

Ψαλ. ρκε. ε.

Γεν. λθ. η.

Ματθ. ι.

ἰσ. ση.

ἰσ. μετ. χαλκ.

λακκῷ κατέκλεισεν, οὐ λιμῷ κατέτηξεν, οὐ πληγὰς ἐπέθηκεν, οὐχ ὡς θῆρας τοὺς μὴ ἐλεήσαντας ἑαυτὸν κατενόησεν, οὐχ ὑπεμνήσθη τοῦ χιτῶνος τὸν διασπαραγμόν, οὐ τοῦ λάκκου τὸν βάθυνον, οὐ τῆς δουλείας τὸ ὠνικόν, οὐ τοῦ φθόνου τὸν τῦφον, οὐ τῆς μισαδελφίας τὸν καπνόν, οὐ τῆς πατρικῆς ζημίας τὸν φόρτον, οὐ τοῦ ὁμομητρίου ἀδελφοῦ Βενιαμὶν τὴν ἀλλοτρίωσιν· ἀλλὰ πάντα τὰ λυποῦντα ἐκποδὼν ποιήσας, ἀπειλὴν μετὰ πραότητος συζεύξας, ἀφορμὴν ἐζήτει πῶς ἀναγνωρισθῇ τοῖς ἀδελφοῖς. μόνον γὰρ ἐθεάσατο τούτους, καὶ τὸν ὁμομήτριον ἀδελφὸν Βενιαμίν, τὸν ἄκακον, τὸν ἀκέραιον, τὸν ἔσχατον τῆς πατρικῆς ἀμπέλου βότρυν, τὸν ἄγευστον τῆς μισαδελφίας, τὸν ἀδελφὸν καὶ τῇ φύσει καὶ τῇ γνώμῃ, εὐθέως περιχαρέσι δάκρυσι τὰς παρειὰς νοτίσας, ἀνεβόησε λέγων· Ἐγώ εἰμι Ἰωσὴφ ὁ ὑμέτερος ἀδελφός· νῦν δὲ μὴ σκληρὸν ὑμῖν φανήτω. ὢ τῶν ξένων πραγμάτων. ὁ εὐθύθυμος, ὡς ὑπεύθυνος ἀπολογεῖται. ἐγώ εἰμι Ἰωσήφ, ὦ ἀδελφοί. εἰ μὴ ἄκοντες προσεκυνήσατε, ψευδῆ μου τὰ ὀνείρατα· εἰ μὴ ἀνωρθώθη τὸ ἐμὸν δράγμα, καλῶς τὸ δρέπανον τῆς μισαδελφίας ὠξύνατε. μάθετε καὶ οὕτως, ὦ ἀδελφοί, ὅτι πᾶς ὁ ἐλπίζων ἐπὶ Κύριον οὐ καταισχύνεται. λιτοῦ με χιτῶνος ἐστερήσατε· ἰδέ, πορφύραν περιβέβλημαι. ἐν λάκκῳ με ἐχώσατε· ἰδέ, ἐν ἅρματι χρυσοκολλήτῳ ἐποχοῦμαι. ὡς δοῦλον ἐπωλήσατε· ἰδέ, βασιλεὺς ἀναδέδειγμαι. φυλακὴν ᾤκησα· ἰδέ, ἐν βασιλείοις ἀναστρέφομαι. κλοιὸν ἐφόρεσα· ἰδέ, διάδημα ἐκ λίθων τιμίων περίκειμαι. εὔκαιρον οὖν εἰπεῖν ἀληθῶς τὰ τοῦ μακαρίου Παύλου· Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γεν. με. γ.
Ρωμ. η. κη.

ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ *ΘΕΟΤΟΚΟΥ*, καὶ κατὰ Ἀρείου δυσσεβοῦς.

Λογ. ϖθ.

Ex Ms. Caesareo emend. ex Ms. alio Ibid

ΤΗΝ προτέραν κυριακὴν τὴν ὀρθόδοξον ταύτην ἐκκλησίαν, οὐράνιον χαρὰν ἐκάλεσεν ὁ τῆς ἀκτίστου Τριάδος μύστης καὶ ἐξηγητής, ὁ μέγας Βασίλειος, ὁ θεοδίδακτος ῥήτωρ, ὁ τῆς ἀληθείας συνήγορος, ὁ γενναῖος τοῦ ψεύδους κατήγορος, ὁ τῆς Ἀρειανικῆς μανίας τὴν λύσσαν θριαμβεύσας, "ὡς ἔπρεπεν, ὁ τῷ βίῳ περὶ τῆς γλώσσης λαλῶν, καὶ τῷ λόγῳ μετὰ τῆς πολιτείας βοῶν, ὁ τῆς πόλεως ταύτης γνωριμώτατος κόσμος, ὁ τῆς ἐκκλησίας ἀστήρ, ὁ τοῖς ἐχθροῖς τῆς εὐσεβείας, ὥσπερ λύκοις, ὡς γενναῖος στρατιώτης παραταττόμενος, [καὶ] τῇ γλώττῃ, καθάπερ σφενδόνῃ, χρώμενος κατὰ τῶν" ἀσεβῶν· ὁ τῆς ποίμνης ταύτης ἄγρυπνος φύλαξ," καὶ τῆς ἁγίας μάνδρας πάνσοφος τειχιστής. [καὶ καθάπερ ἡ ἐπὶ τοῦ Νῶε περιστερὰ τὸν κλάδον τῆς ἐλαίας ἐπὶ τοῦ στόματος φυλάξασα ἀειθαλῆ, καὶ τύπον ἔγκαρπον κομίσασα ἡμῖν· οὕτω καὶ] οὗτος ἐδάνεισε τῇ περὶ ταύτης κυριακῇ τὴν ἑαυτοῦ γλῶτταν τῷ πνεύματι, καὶ τοῖς θείοις αὐτοῦ ῥήμασι τὸν Ἄρειον κατετόξευσε, τὴν ἐκείνου βλασφημίαν," τῆς τοῦ διαβόλου διδασκαλίας " ὑπάρχουσαν. ἔδειξεν ἐν τῷ μέσῳ τῶν προβάτων τὸν λύκον, ὡς ἀρνίον, καλυπτόμενον τῷ κῳδίῳ τοῦ χριστιανισμοῦ· καὶ περιελὼν αὐτοῦ τὸ ἔνδυμα τῆς ὑποκρίσεως, ὡς λύκον [ἅρπαγα τοῦτον] ἐστηλίτευσε, καὶ τὸ νομιζόμενον πρόβατον εἶναι, τοῖς προφητικοῖς καὶ ἀποστολικοῖς λόγοις, ὡς λίθοις, χρησάμενος, τὸν θῆρα κατέλυσε. καὶ καθάπερ Δαβὶδ τὸν Γολιὰθ καταβαλών, τὴν ἐκείνου μάχαιραν εὗρε χρησιμεύουσαν αὐτῷ πρὸς τὴν τοῦ πολεμίου σφαγήν· οὕτω καὶ τῆς ἡμετέρας παρατάξεως ὁ νέος Δαβίδ, τοῖς ὅπλοις τοῦ Ἀρείου τὸν Ἄρειον" κατεκέντησεν. ὑπέγραψε τῷ λόγῳ, πῶς ὁ Θεὸς καὶ πατήρ, ἄχρονος ὢν τοῦ λόγου πατήρ· πῶς συναΐδιος ὁ υἱὸς τῷ πατρί· πῶς ὁμοούσιος, οὐχ ἑτερούσιος· πῶς συνεργός, ἀλλ' οὐχ ὑπουργός· πῶς ποιητής, ἀλλ' οὐχὶ ποίημα·

* *

μα· πῶς δεσπότης, ὁ δοῦλος· πῶς ἀπαύγασμα τῆς δόξης τοῦ πατρὸς καὶ χαρακτὴρ τῆς ὑπο-
στάσεως· πῶς Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος· πῶς
Ἰωαν. α. α. ὁ λόγος σὰρξ ἐγένετο μὴ τραπεὶς, σὰρξ ἐγένετο μὴ μεταβληθεὶς, σὰρξ ἐγένετο μὴ ἀλ-
λοιωθεὶς, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, σκηνὴν ἀχώριστον τῆς ἑαυτοῦ θεότητος, τὴν ἡμετέραν φύσιν
κατασκευάσας αὐτὸς ἑαυτῷ. οὕτως οὖν σήμερον ὁ κήρυξ τῆς ἀληθείας ἐκήρυξεν. αὐτοὶ γὰρ
εἶχε τὸν Χριστὸν, δι' αὐτοῦ μὲν φθεγγόμενον, παρὰ δὲ τῶν Ἀρειανῶν βλασφημούμενον. τού-
του χάριν οὐρανόθεν μὲν αὐτοὶ ἀοράτως εὐφήμουν οἱ ἄγγελοι, ὡς τὴν παρ' αὐτῶν προσκυ-
νουμένην ὁμοούσιον τριάδα, καλῶς ἐπὶ τῆς γῆς ὑμνουμένην, καὶ δοξολογεῖσθαι διδάσκον-
τα. ὑμεῖς δὲ κάτωθεν τοῖς δικαίοις κρότοις ἐπισκιρτῶντες ἠγάλλεσθε, καὶ τὸν μιμητὴν τῶν ἀ-
ποστόλων ἄξιον τῶν ἀποστόλων ἀνηγορεύσατε, ὡς τοῦ Πέτρου τὴν μακαρισθεῖσαν ὁμολογίαν
τῇ γλώττῃ πηγάζοντα, ὡς τοῦ Παύλου τὸν ζῆλον τοῖς χείλεσιν ἐκπυρσεύοντα· καὶ μακαρί-
αν εἰκότως ἀπεκαλεῖτε τὴν ἐκκλησίαν τοιοῦτον κεκτημένην κειμήλιον. καὶ γάρ ἐστι μα-
καρία ὄντως τοιοῦτον ἔχουσα θησαυρόν. ταῦτα μὲν οὖν κατ' ἐκείνην τὴν ἡμέραν γε-
γένηται. ἐγὼ δὲ σήμερον ὑμῖν ἀνοῖξαι βούλομαι τὰ πρόπυλα τῆς ἐνανθρωπήσεως
τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ· ἵνα κατοπτεύσητε, πῶς ὁ Θεὸς λόγος ὁμοούσιος ὢν τῷ πατρὶ,
λαβὼν τὴν ἡμετέραν οὐσίαν, ὁμοούσιος γενέσθαι καὶ τοῖς δούλοις ἠθέλησε· πῶς ὁ ὑψηλὸς ἐ-
πέκλινεν ἑαυτὸν οὐρανόθεν πρὸς τὴν ἡμετέραν ταπείνωσιν· πῶς ὁ πλούσιος τὴν πτωχὴν ἡ-
μῶν ἀπαρχὴν περιέθετο· πῶς ὁ ἀπροσδεὴς ἔλαβεν ὅπερ ἔπλασεν, οὐ δεόμενος [σῶμα]·
πῶς ὁ ποιητὴς τὸ ἑαυτοῦ ποίημα περιέσφιγξε· πῶς μείνας Θεὸς ἐγένετο καὶ ἄνθρωπος ὁ φι-
λάνθρωπος· πῶς ὁ τῆς δικαιοσύνης ἥλιος ἀνάψας ἐν ἑαυτῷ τὸν λύχνον τοῦ σώματος, περιήει
πανταχοῦ ζητῶν τὴν ἀπολλυμένην δραχμήν· πῶς ὁ ποιμὴν ὁ καλὸς τῇ δορᾷ τοῦ προ-
βάτου τὴν οἰκείαν καλύψας θεότητα περιέτρεχε, καλῶν πρὸς ἑαυτὸν τὰ πλανώμενα
Ἰωαν. ι. ια. πρόβατα, καὶ λέγων πρὸς ἕκαστον, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ἀναγκαῖον δὲ ἡμᾶς εἰ-
Λυκ. α. κϛ. πεῖν καὶ τὴν σήμερον ἐν ταῖς ἐκκλησίαις κηρυχθεῖσαν τῶν ἁγίων εὐαγγελίων φωνήν. Τῷ
μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἀρχάγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαί-
ας, ᾗ ὄνομα Ναζαρὲτ, πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου [καὶ
πατριᾶς] Δαβίδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐ-
τὴν εἶπε· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξί· τῷ μηνὶ
τῷ ἕκτῳ, ἤδη τοῦ Ζαχαρίου διὰ τὴν ἀπιστίαν τῇ ἀφωνίᾳ κατακριθέντος, ἤδη τῆς Ἐλισάβετ
βλαστησάσης τὸν ἀπροσδόκητον κλάδον, ἤδη τοῦ Βαπτιστοῦ Ἰωάννου χρόνον ἑξαμηνιαῖον ἔχον-
τος ἐν τῷ τῆς κοιλίας δεσμωτηρίῳ, ἤδη τοῦ προδρόμου πρεσβυτεπιαθέντος ἐν τοῖς τῆς στρώ-
σεως τόποις, ἤδη τοῦ λύχνου λάμποντος ἐν τοῖς σκοτεινοῖς τόποις τῆς γαστρὸς, ἀπεστάλη ὑπὸ
τοῦ ἡλίου τῆς δικαιοσύνης ὁ ἄγγελος Γαβριήλ. ἄπελθε, φησὶν, εἰς τὴν πόλιν τῆς Γαλιλαί-
ας τὴν Ναζαρὲτ, πρὸς τὴν παρθένον Μαριὰμ [τὴν] μεμνηστευμένην τῷ τέκτονι Ἰωσήφ.
ἐγὼ γὰρ ὁ τέκτων τῆς ὅλης κτίσεως, τὴν παρθένον ταύτην ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων μεμνη-
στευμαι. προμήνυσον αὐτῇ τὴν ἐμὴν πρὸς αὐτὴν ἀτάραχον παρουσίαν, ἵνα μὴ χαείς
προγνώσεως ὑποδεξαμένη με [ἡ παρθένος] θορυβηθῇ· προδίδαξον αὐτὴν τὴν ἐμὴν
φιλανθρωπίαν, δι' ἣν ἐξ αὐτῆς βούλομαι προελθεῖν εἰς τὸν κόσμον ὡς ἄνθρωπος, ἵνα
προμαθοῦσα τὸ οἰκονομούμενον, εἰς τὸ τελούμενον μὴ θαμβηθῇ. προκήρυξον τὴν οἰκο-
νομίαν, ἵνα μὴ θεασαμένη τῆς γαστρὸς αὐτῆς τὸν ὄγκον ἐξαίφνης ὑψούμενον ταραχθῇ. ἤδη
τῷ δρόμῳ τὴν πορείαν ἐξανύσον. ἐκεῖ γάρ με εὑρήσεις ὅπου πέμπω σε νῦν· ἐκεῖ σε προ-
φθάνω μηνύων ἐν ταυτῷ. ἐγὼ καὶ πρὸ σοῦ καὶ μετὰ σὲ εἰσέρχομαι πρὸς αὐτήν. σὺ κόμισον τὰ
τῆς ἐμῆς ἀφίξεως εὐαγγέλια· κἀγὼ παραγενόμενος ἀοράτως, τοῖς ἔργοις τὴν σὴν σφρα-
γίσω φωνήν. θέλω γὰρ ἐν τῇ παρθενικῇ νηδύϊ τῶν ἀνθρώπων ἀνανεώσασθαι τὸ γένος· θέλω

συγκαταβατικῶς

συγκαταβατικῶς αἰσχυνεῦσαι, ἣν ἔπλασα, εἰκότα θέλω καινῇ πλάσει θεραπεῦσαι τὸ ἀρχαῖον διάπλασιν. ἐκ παρθένου γῆς ἔπλασα τὸν πρωτόπλαστον ἄνθρωπον· ἐκεῖνον δὲ λαβὼν ὁ διάβολος ὡς ἐχθρὸν [περιέστρεψε καὶ] κατέβαλε, καὶ τῆς ἐμῆς εἰκόνος πεσούσης κατέπαιξε. βούλομαι νῦν ἐγὼ ἐκ τῆς παρθένου γῆς [ἐμαυτῷ] περιπῆξαι νέον Ἀδάμ, ἵνα καὶ ἡ φύσις ὑπὲρ ἑαυτῆς εὐπροσώπως ἀπολογήσηται, καὶ νομίμως στεφανωθῇ κατὰ τοῦ καταβάλλοντος αὐτήν, καὶ ὁ πολέμιος εὐλόγως καταισχυνθῇ. ὢ συγκαταβάσεως ἀμέτρητον πέλαγος, ὢ θείας φιλανθρωπίας ἄπειρον ὕψος. οὐκ ἀπέστειλε πολλοὺς ἀγγέλους, ἢ προδρόμους [πολλούς] ὁ βασιλεύς· οὐκ ἐκίνησεν ὁ δημιουργὸς τὰ στρατόπεδα τῶν ἀσωμάτων δυνάμεων, ἀλλ' ἕνα μόνον ἄγγελον, προάγγελον γενέσθαι τῆς αὐτοῦ παρουσίας ἐκέλευσεν, ἵνα διὰ τῆς τοῦ ἑνὸς διδασκαλίας προασφαλίσηται τὴν μέλλουσαν αὐτὸν ὑποδέχεσθαι μητέρα. παραγίνετο τοίνυν πρὸς τὴν παρθένον Μαριὰμ ὁ ἄγγελος, καὶ εἰσελθὼν πρὸς αὐτὴν εἶπε· χαῖρε κεχαριτωμένη. προσηγόρευσε τὴν σύνδουλον ὡς δέσποιναν, ὡς ἤδη γεγενημένην τοῦ δεσπότου μητέρα. χαῖρε κεχαριτωμένη. [χαῖρε κεχαριτωμένη] ἡ σὴ προγόνος Εὔα παραβᾶσα τὸν νόμον ἀπόφασιν ἔλαβεν ἐν λύπαις τίξειν τέκνα· σοὶ δὲ πρέπει τὸ χαίρειν ἡ προσρῆσις. ἐκείνη τὸν Κάϊν ἔτικε, φθόνον καὶ φόνον γεννήσασα· σὺ δὲ γεννήσεις υἱὸν ζωὴν καὶ ἀφθαρσίαν παρέχοντα [πᾶσι]. χαῖρε τοίνυν καὶ χόρευε· χαῖρε καὶ καταπάτει τὴν τοῦ ὄφεως κεφαλήν. χαῖρε κεχαριτωμένη. πέπαυται γὰρ ἡ κατάρα, κατήργηται ἡ φθορά, μεμάρανται τὰ στυγνά, ἤνθησε τὰ φαιδρά, παρέστι δὲ πάλαι παρὰ τῶν προφητῶν κηρυττόμενον ἀγαθόν. ὃ δὲ πνεῦμα τὸ ἅγιον ὑπεδείκνυε λέγον διὰ τῆς Ἠσαΐου γλώττης· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν*. ἡ παρθένος ἐκείνη σὺ εἶ. χαῖρε τοίνυν κεχαριτωμένη, ἤρεσας τῷ δημιουργῷ, ἤρεσας τῷ ποιητῇ, [ἤρεσας τῷ κτίστῃ]. ἤρεσας τῷ τερπομένῳ τοῖς κάλλεσι τῶν ψυχῶν· εὗρες νυμφίον φυλάττοντά σου τὴν παρθενίαν, οὐ φθείροντα· εὗρες νυμφίον ἐκ πολλῆς φιλανθρωπίας υἱόν σου γενέσθαι βουλόμενον. ὁ Κύριος μετὰ σοῦ, καὶ ἐν σοὶ ὁ πανταχοῦ, καὶ μετὰ σοῦ καὶ ἐκ σοῦ. ἐν οὐρανῷ ὁ δεσπότης, ἐν βυθῷ ὁ ὕψιστος, ἐν πάσῃ τῇ κτίσει ὁ δημιουργός. ὁ κτιστὴς ἐπὶ τῶν χερουβίμ, ὁ ἡνίοχος ἐπὶ τῶν σεραφίμ, ὁ υἱὸς ἐν τοῖς κόλποις τοῦ πατρὸς, ὁ μονογενὴς ἐν τοῖς κόλποις τοῖς σοῖς, ὁ Κύριος, ὡς οἶδεν αὐτὸς, ὅλος πανταχοῦ, ὅλος ἐν σοί. εὐλογημένη σὺ ἐν γυναιξὶν, ὅτι πασῶν ὁμοῦ τῶν δυνάμεων παρθένος νῦν προκέκρισαι· ὅτι κατηξιώθης ξενοδοχῆσαι τοιοῦτον δεσπότην· ὅτι τὸν ἀχώρητον βουληθέντα κεχώρηκας· ὅτι τὸν πάντα πληροῦντα προσδέδεξαι· ὅτι τῆς θείας οἰκονομίας γέγονας ἐργαστήριον καθαρώτατον· ὅτι τῆς εἰς τὸν βίον εἰσόδου τοῦ βασιλέως ἡμῶν πέφηνας ἄξιον ὄχημα· ὅτι τὸν πνευματικὸν μαργαρίτου θησαυρὸν ἀναδέδειξαι. εὐλογημένη σὺ ἐν γυναιξί. τούτων ἀκούσασα τῶν λόγων ἡ πανάγια παρθένος, καὶ θεασαμένη μορφὴν ἀγγελικὴν καὶ φωνήν, ἐλογίσατο καθ' ἑαυτὴν [λέγουσα], ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. ἆρα τί βούλεται τοῦτο τὸ πρόσφθεγμα; [ἆρα] τί μοι προσημαίνει ταῦτα τὰ ῥήματα; ἐμὲ ἐν πρώτοις προσηγόρευσεν ἄγγελος, τίνα οὖσαν, ἢ ποίας ἀξίας τυγχάνουσαν; ἐγὼ κεχαριτωμένη; πόθεν, ἢ διὰ τί; ὁ Κύριος μετ' ἐμοῦ; μετὰ τίνος γὰρ τῶν φοβουμένων αὐτὸν οὐκ ἔστιν ὁ Κύριος; ἐγὼ εὐλογημένη ἐν γυναιξίν; ἆρα τίνος χάριν, ἢ διὰ τί, καὶ πῶς; ἆρα ποῖον προκηρύττει δῶρον οὗτος ὁ λόγος; ἆρα ποῖον προμηνύει θαῦμα τοῦτο τὸ ῥῆμα; οὕτω δὲ ταραττομένην αὐτὴν ὁ ἄγγελος θεασάμενος λέγει πρὸς αὐτήν· μὴ φοβοῦ, Μαριάμ· μὴ γὰρ, ἵνα θορυβηθῇς, ἠσπασάμην σε· ἵνα πανηγυρίσῃς, προσηγόρευσα σοι διαλέγομαι. μὴ τοίνυν ἔχε κατὰ τὴν ψυχὴν τάραχον, τὴν εἰρήνην τῆς οἰκουμένης κεκτημένη μεθ' ἑαυτῆς. μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. ὑπὲρ τὴν κτίσιν ἐκαλλωπίσθης· ὑπὲρ τοὺς οὐρανοὺς ἐφαιδρύνθης· ὑπὲρ τὸν ἥλιον ἔλαμψας· ὑπὲρ τοὺς ἀγγέλους ὑψώθης· οὐκ ἀνελήφθης εἰς οὐρανούς, ἀλλ' ἐπὶ τῆς γῆς ἱσταμένη, τὸν οὐράνιον δεσπότην καὶ βασιλέα

Ἠσ. ζ. ιδ.

[τῶν ἀπολύτων] ἐπισπάσω πρὸς ἑαυτήν. καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρί. προέφθασε τὸν ἐ-
μὸν λόγον τὸ ἔργον· ὀξυτέρα τῆς ἐμῆς φωνῆς ἡ μυστικὴ σύλληψις γέγονεν. αὐτὸν ἔνδον ἔχεις ἐν
τῇ κοιλίᾳ σου τὸν τῶν ὅλων δημιουργὸν [Κύριον] ἐκ τῆς [ἁγίας σου καὶ ἀχράντου] σαρκὸς ἀ-
πόνως οἰκοδομοῦντα τὸν ἅγιον τῆς ἁγίας αὐτοῦ σαρκὸς τὸν ναόν. αὐτὸν ἔνδον ἔχεις τὸν ζωγράφον τῆς φύσεως, τὴν
οἰκείαν εἰκόνα παλαιωθεῖσαν ἀναζωγραφοῦντα τῇ χάριτι. ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ υἱόν,
καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗτος ἔσται μέγας. μέγας μὲν γάρ ἐστι τῇ θεότητι, ἔσται δὲ
μέγας καὶ τῇ ἀνθρωπότητι. καὶ υἱὸς ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν
θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. ὤμοσε γὰρ ἀλήθειαν τῷ Δαβὶδ, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.
ποίαν δὲ [αὐτῷ] ἀλήθειαν ὤμοσεν; Ἐκ καρποῦ τῆς ὀσφύος σου, φησι, θήσομαι ἐπὶ τοῦ θρό-
νου σου. ἐκεῖνος ὁ ὅρκος λαμβάνει πέρας ἐν τῷ παρόντι καιρῷ. καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον
Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. οὐδεὶς τούτου τοῦ βασιλέ-
ως ἀνώτερος, καὶ οὐδεμία τις ἄλλη μακαριωτέρα σου τῆς τικτούσης αὐτόν. Εἶπε δὲ Μαριὰμ
πρὸς τὸν ἄγγελον· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Ἰωσὴφ μνηστήρ ἐστιν ἐμός,
οὐκ ἀνήρ. μέχρι [γὰρ] τῶν ἀρραβώνων αἱ περὶ τοῦ γάμου συνθῆκαι περιέστησαν· πῶς οὖν
χωρὶς γάμου ἔσται μοι ἡ σύλληψις; πῶς χωρὶς φυτουργοῦ βλαστήσω καρπόν; ἐπ' ἐμοῦ
παρὰ τῆς ὁ δρόμος τῆς φύσεως ἐναλλάττεται; ἐπ' ἐμοῦ παρὰ τῆς ὁ νόμος τῆς κυήσεως με-
ταγράφεται; ἐπ' ἐμοῦ μόνης ξένη τρίβος παιδοποιίας εὑρίσκεται; ἐπ' ἐμοῦ μόνης τὰ ἀρ-
χαῖα τῆς γονῆς ἔθη νεωτερίζεται; δίδαξόν με φανερῶς, ὦ ἄγγελε, τῶν λόγων τὸ αἴνιγμα·
διήγησαί μοι τῶν ῥημάτων τὸν τρόπον· ἑρμήνευσόν μοι τῶν καλῶν σου εὐαγγελίων τὴν δύνα-
μιν· χειραγώγησόν με πρὸς τὴν ξένην λοχείαν, ἵνα μάθω κατὰ μικρὸν ὃ μέλλω τίκτειν μυ-
στήριον· μάθω πῶς τὰ ἀδύνατα γίνονται δυνατά· μάθω πῶς τὰ ἀμήχανα τυγχάνει
τινὸς μηχανῆς· μάθω πῶς τὰ ἄπορα πόρον εὑρεῖν δεδύνηται· ἀκούσω πῶς τὴν φύσιν ἡ
χάρις ἐπὶ τὸ κρεῖττον καινοτομεῖ, ἢ πῶς ἡ φύσις δουλεύει τῇ χάριτι. καὶ ἀποκριθεὶς ὁ ἄγγελος,
εἶπεν αὐτῇ· πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ. ἔμαθες τὸν τεχνίτην, μὴ περιεργάσῃ τὸν
τρόπον· ἔμαθες τὸν πλάστην, μὴ περιεργάσῃ τὸ ποίημα· ἤκουσας περὶ τοῦ ἁγίου πνεύμα-
τος, αὐτῷ λοιπὸν τῷ πνεύματι τὴν ἐργασίαν κατάλιπε. πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ
σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. τοῦτο μόνον ἐκλελύσθω σοι προσειπεῖν, ὅτι γεννήσεις
υἱόν· πῶς δὲ γεννήσεις, αὐτός σε διδάξει σαφῶς, ὁ τικτόμενος παρὰ σοῦ. ἐγὼ τὸν λόγον ὡς δοῦ-
λος ἐκόμισα· αὐτὸς ὁ δεσπότης τὸ ἔργον πληρώσει, ὃς καὶ τὸν τρόπον ἐπίσταται· ἐγὼ διά-
κονός εἰμι βασιλικῶν προσταγμάτων, οὐχ ἑρμηνευτὴς θεϊκῶν βουλευμάτων. οὐ τολ-
μῶ διδάξαι σε ἃ μὴ μεμάθηκα· οὐ τολμῶ ἑρμηνεῦσαι ἃ μὴ παρέλαβον· οὐ τολμῶ
δημοσιεῦσαι τοῦ μυστηρίου τὸ πρᾶγμα· οὐκ ἰσχύω διασαφηνίσαι τὸ εὐαγγέλιον. τὸ
θαῦμα βοᾷ, τὸν δὲ τρόπον εἰπεῖν ἀτονῶ· οὐ ζητῶ τὰ πᾶσαν ζήτησιν ὑπερβαίνοντα·
οὐ διώκω τὰ ἀκατάληπτα· οὐ πολυπραγμονῶ τὰ ὑπὲρ ἐμέ· οὐ λογοθετῶ τὴν ὑπὲρ
λόγον χάριν· οὐ λεπτολογῶ τὴν ἀνεκδιήγητον γέννησιν. ὄντως ὑπὲρ νοῦν ἡ πνευματικὴ
σύλληψις, ὑπὲρ λόγον ἡ παράδοξος κύησις, καὶ ὑπὲρ διήγησιν ὁ σωτήριος τόκος. πνεῦμα
ἅγιον ἐπελεύσεται ἐπὶ σέ. οἶδε τί ἐργάζεται τὸ πνεῦμα τὸ ἅγιον· οἶδεν ὁ υἱός, πῶς ἑαυτῷ
κατασκευάζει τὸ πνευματικὸν οἰκητήριον. οὐ γὰρ δουλεύει φύσεως νόμοις ὁ τῆς φύσεως ποι-
ητής· αὐτὸς μόνος ἔχει τὸ βούλευμα· αὐτός, ὡς βούλεται, περιβάλλεται τὴν τοῦ δούλου μορ-
φήν. οἶδεν ὁ πατὴρ τὴν τοῦ μονογενοῦς [υἱοῦ] ἐνανθρώπησιν. ὅπου γὰρ τὸ πνεῦμα τὸ ἅ-
γιον, ἐκεῖ καὶ ὁ υἱός, [καὶ ὅπου ὁ υἱὸς] ἐκεῖ καὶ ὁ πατήρ. ἀχώριστος ἡ τριάς, ἀδιαίρετος ἡ τριάς.
ὡς γὰρ ἐν ἀρχῇ πλάττων τὸν ἄνθρωπον ὁ πατήρ, πρὸς τὴν ἐργασίαν προσεταιρίσατο
τὸν υἱὸν καὶ τὸ πνεῦμα, εἰπών, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίω-
σιν, οὕτω καὶ νῦν τῆς ἀναπλάσεως γινομένης, πάρεστι πάλιν ἀπορρήτως ἡ ἁγία τριάς. τῆς

Γεν. α. κ. ς.

γὰρ ἡ πλάσις μία, ταύτης καὶ ἡ ἀνάπλασις πάλιν κοινή. διὸ καὶ τὸ "γεννώμενον ἅγιον
κληθήσεται υἱὸς Θεοῦ. τοῦτο γὰρ ἀληθῶς ἅγιον γέννημα, τοῦτο ἄσπορον βλάστημα, τοῦτο
παράγιον κύημα. ἔστιν ὁ υἱὸς τοῦ Θεοῦ διὰ τὴν θεότητα, ἔστιν" καὶ ὁ υἱὸς σὸς διὰ τὴν ἀν-
θρωπότητα· ἔστιν ὁμοούσιος τῷ πατρὶ κατὰ τὸ νοούμενον, ἔστιν ὁμοούσιός σοι κατὰ τὸ φαινόμενον·
5 ἔστιν ὁ οὐράνιος καὶ ἐπίγειος· ἔστιν ὁ ἀόρατος καὶ βλεπόμενος· ἔστιν ὁ ἀπαθὴς τῇ θεότητι, ἔστιν καὶ
παθητὸς τῇ ἀνθρωπότητι· καὶ ὥσπερ Θεὸς τέλειος, οὕτω καὶ ἄνθρωπος τέλειός ἐστιν ὁ Ἰησοῦς.
ὥσπερ δὲ ἄνθρωπος γενόμενος μεμένηκε Θεὸς ἀναλλοίωτος, οὕτω καὶ σὺ μένουσα παρθένος,
γεννήσῃ καὶ μήτηρ ἀδιάφθορος. οὔτε γὰρ ἡ παρθενία πολεμήσει τῷ τόκῳ, οὔτε κατὰ τῆς παρ-
θενίας ὁ τόκος στρατεύεται. ὕμνει τοίνυν τὸ γενόμενον, καὶ μὴ πολυπραγμόνει τὴν δωρε-
10 ἀν· θαύμαζε τὸ μεγαλόδωρον, καὶ μὴ πρὸς τὴν χάριν ἀμφίβαλλε· προσκύνει τὸ πιστευθὲν
σοι μυστήριον, καὶ μὴ περιεργάζου τὸ ξένον "τοῦ θαύματος. ἐὰν πιστεύσῃς εἰλικρινῶς,
αὐτὸς ὁ πιστευόμενος φωτίσει σου τὴν ψυχήν· ἐὰν δὲ περιέργως ἐρευνήσῃς, οὐχ εὑρήσεις τὸ
ποθεῖς οὐδαμῶς. θέλεις μαθεῖν; μάθε ἀπὸ φανεροῦ σημείου τοῦ κατὰ σὲ θαύματος τὴν
ἀλήθειαν. θέλεις τοῦ μυστηρίου τῆς σῆς γεννήσεως τὴν εἰκόνα θεάσασθαι; γείτονά σου καὶ
15 συγγενῆ τὴν Ἐλισάβετ θέασαι. Ἰδοὺ γάρ, φησιν, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνει- Λουκ. α. λε.
ληφυῖα υἱὸν ἐν τῷ γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ ἀ-
δυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. ἐλύθη παρ' ἐλπίδα τῆς Ἐλισάβετ ἡ στείρωσις, ἵνα
τῆς σῆς παρθενίας τῆς μὴ λυομένης ἡ λύσις τοῦ πάθους διδάσκαλος γένηται. συνέλαβεν ἡ
στεῖρα καὶ γραῦς τὸν παρὰ σοῦ τεχθησομένου βασιλέως τὸν πρόδρομον, ἵνα πιστεύσῃς ὅτι σὺ
20 τὸν Κύριον ἔχεις ἐπὶ τῆς σῆς γαστρός. ἄπελθε, κατάμαθε τὴν Ἐλισάβετ· καὶ ἐὰν μὴ οὕτως
αὐτὴν εὑρήσῃς, ὡς εἶπον, μὴ πιστεύσῃς μου τῷ κηρύγματι. τί οὖν μετὰ τοὺς λόγους τούτους ἡ
ἁγία Μαρία, ἡ παρθένος τῷ σώματι καὶ τῇ ψυχῇ, ἡ εὐσεβὴς καὶ εὐλαβὴς καὶ εὐπειθής, ἡ φιλο-
τιμία τῆς ἀνθρωπίνης φύσεως, ἡ πύλη τῆς ἡμετέρας ζωῆς, ἡ πρόξενος τῆς σωτηρίας ἡμῶν;
τὴν τοῦ ἀγγέλου φωνὴν εὐμενῶς δεξαμένη, λέγει πρὸς αὐτόν· ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό
25 μοι κατὰ τὸ ῥῆμά σου. ὡς δούλη τῷ δεσποτικῷ πρόσκειμαι νεύματι· ὡς πηλὸς ὑπόκειμαι
ταῖς τοῦ κεραμέως χερσίν· ὡς θέλει μετ' ἐξουσίας ὁ πλάστης, ἐν ἐμοὶ πραττέτω τὸ βούλη-
μα· ὡς θέλει μετὰ φιλανθρωπίας, ἐν ἐμοὶ θαυματουργείτω τὴν παράδοξον κύησιν. γένοι-
τό μοι κατὰ τὸ ῥῆμά σου· γένοιτό μοι τὰ ῥήματά σου ταῦτα, καὶ πράγματα ἐναργέστατα καὶ
ἀληθινά. καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος, ὁ κατελθὼν οὐρανόθεν, κατήχησε, προκατηρ-
30 τισε τὴν παρθένον, ἐδίδαξεν αὐτήν, ὅσον ἐχώρησεν· ἤκουσε καὶ αὐτὸς παρ' αὐτῆς, ἅπερ ἐσπού-
δαζε μαθεῖν· καὶ πάλιν ἀνῆλθεν ὅθεν κατῆλθε, κάτω καταλιπὼν τὸν ἀποστείλαντα, καὶ
πάλιν [ἄνω] εὑρὼν αὐτὸν ἐν οὐρανοῖς προσκυνούμενον ὑπὸ πάσης ἀγγελικῆς στρατολογίας.
τί οὖν πρὸς ταῦτα λέγεις [ὦ] Ἄρειε; εἰπέ μοι [ὦ ἄθλιε], πῶς ἐχωρήθη ὁ ἀχώρητος ἐν
μήτρᾳ παρθενικῇ; πῶς παρθένος οὖσα συνέλαβε, καὶ παρθένος πάλιν διεφυλάχθη; καὶ τοῦ σω-
35 τῆρος τὸν τόκον ἐπλούτησε, καὶ αὐτὴ συνεπλουτίσθη τῇ χάριτι; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν.
εἰ γὰρ ἡ μήτηρ τοῦ μυστηρίου, τὸ μυστήριον, ὃ ἔτεκεν, οὐ κατέλαβε, πῶς σὺ δυνήσῃ τοῦτο κα-
ταλαβεῖν; εἰ Γαβριὴλ ὁ ἀρχάγγελος ἐρωτηθεὶς παρὰ τῆς μητρὸς τοῦ Κυρίου, πῶς ἔσται
μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω, πλέον εἰπεῖν οὐκ ἐδυνήθη, ἀλλὰ κατέφυγεν ἐπὶ τὸ
πνεῦμα τὸ ἅγιον, ὡς οὐδὲν ἕτερον δυνάμενος ἀποφθέγξασθαι ἰσχυρότερον, σὺ πῶς εὑρήσεις
40 εἰπεῖν, "ὅπερ ὁ Γαβριὴλ οὐκ ἴσχυσεν" ἑρμηνεῦσαι; εἰ δὲ τὴν κατὰ σάρκα γέννησιν τοῦ
Χριστοῦ, τὴν γενομένην ἐπ' ἐσχάτων τῶν ἡμερῶν, οὐδεὶς κατ' ἀξίαν δύναται διηγήσα-
σθαι, ἐκείνην τὴν γέννησιν, τὴν οὐράνιον, τὴν ἄχρονον, τὴν ἀσώματον, τὴν ἀόρατον, τὴν
ἀπαθῆ, τὴν παντελῶς ἀνέκφραστον καὶ ἀκατάληπτον, πῶς τολμᾷς πολυπραγμονεῖν; τίς
παρέσχε σοι τῆς τοιαύτης τόλμης τὰ σπέρματα; οἱ ἄγγελοι τὴν ἁγίαν Τριάδα προσκυνοῦ-

σιν ἀπαύστως βοῶντες, ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. οὐ λέγουσιν, ὡς σὺ λέγεις· ἁγιώτερος ὁ πατήρ, ὡς πρεσβύτερος· οὐ λέγουσιν ὑφειμέναις φωναῖς, ἅγιος ὁ υἱός, ὡς νεώτερος· ἅγιος ὁ παράκλητος, ὡς βραχύτερος· ἀλλὰ μίαν καὶ τὴν αὐτὴν ὑμνῳδίαν τῇ ἴσῃ τριάδι προσφέρουσι. πόθεν οὖν σὺ μόνος, ὦ Ἄρειε, ἔμαθες ἀντιφθέγγεσθαι τῇ κτίσει κατὰ τοῦ ποιητοῦ; ἀλλὰ παραγράφῃ τὴν οὐρανῶν καὶ τὴν ἀγγέλων τὴν μαρτυρίαν. τίνι οὖν ἐμμενεῖς, εἰπέ; τίς ἀρέσκει σοι τοῦ δόγματος τούτου κριτής; τίνα θέλεις λάβωμεν ἀπροσωπόληπτον δικαστήν; τίνος δέχῃ τὴν περὶ τῆς εὐσεβείας ἐπίκρισιν; ἐμμενεῖς τῷ πατρὶ τῷ μᾶλλον πάντων εἰδότι τὸν οἰκεῖον υἱόν; οὐκοῦν ἀκούσωμεν αὐτοῦ βοῶντος· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε. ἐὰν εἴπῃ, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, αὐτοῦ ἀκούετε· ἐὰν εἴπῃ, Ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί, αὐτοῦ ἀκούετε· ἐὰν εἴπῃ, Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν πατέρα, αὐτοῦ ἀκούετε (οὐ γὰρ ψεύδεται ἡ ἀλήθεια) ἐὰν εἴπῃ, Ὁ πέμψας με πατὴρ μείζων μού ἐστι, μὴ τῇ θεότητι τοῦ λαλοῦντος, ἀλλὰ τῇ ἀνθρωπότητι τὸ ἔλαττον προσαρμόσατε. ἤκουσας, Ἄρειε, τῆς τοῦ πατρὸς ἐπικρίσεως· ἄκουσον καὶ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ τούτοις ἐπιψηφιζομένου τοῖς ῥήμασιν. Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτόν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ὁ πιστεύων, οὐχ ὁ λέγων, ἦν ποτε, ὅτε οὐκ ἦν· ὁ πιστεύων, οὐχ ὁ ἀμφιβάλλων. τί οὖν τὸ πιστεύειν ἀφεὶς, ὑβρίζειν ἐπιχειρεῖς, τὸν κριτὴν ἔχων πολέμιον; ἀλλὰ σὺ μὲν [Ἄρειε λῆρε καὶ παράφρον] ὡς θέλεις, πίστευε. εἰ μὴ γὰρ θέλεις [ταλαίπωρε] ἐπιγνῶναι τὸ συμφέρον, φλυαρεῖς καθ' ἑαυτοῦ. οὔτε γὰρ τὸν υἱὸν ἀδικήσεις, καὶ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἀνάψεις τῆς γεέννης τὸ πῦρ. ἐγὼ δὲ παιδαγωγούμενος ὑπὸ τῶν ἁγίων γραφῶν ὑμνῶ τὸν πατέρα, τὸν ἀεὶ πατέρα τυγχάνοντα· ὑμνῶ τὸν υἱόν, τὸν ἐκ τῆς πατρῴας οὐσίας ἀχρόνως ἐκλάμψαντα· ὑμνῶ τὸ πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, καὶ ἐν υἱῷ ἀναπαυόμενον· ὁμολογῶ τὸν Χριστόν, Θεὸν τέλειον, καὶ ἄνθρωπον τέλειον τὸν αὐτόν· κηρύττω τῆς θεότητος αὐτοῦ τὰ ὑψηλά, καὶ οὐκ ἐπαισχύνομαι τῆς ἀνθρωπότητος αὐτοῦ τὰ ταπεινά· ἀλλὰ μετὰ τοῦ [μεγάλου καὶ μακαρίου ἀποστόλου] Πέτρου βοῶ πρὸς αὐτόν, Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. καὶ σοὶ πρέπει ἡ δόξα καὶ ἡ τιμὴ καὶ προσκύνησις, ἅμα τῷ πατρί, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ιζ. ε. — Ιωαν. ι. λ. — Ιωαν. ιδ. θ. — Ιωαν. γ. ις. — Ματθ. ις. ις.

Λογ. ζ.

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ.

Ex Ms. Cæsareo. Παροιμ. ιθ'. ιζ.

ΦΗσὶν ἡ θεία γραφή, Ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. ὅρα ἵνα χρεωφειλέτην κτῶνται οἱ ἐλεήμονες, πῶς μέγαν, πῶς εὔπορον. ἀνθρώπῳ μὲν ἐὰν δανείσῃς ἢ χρυσίον, ἢ ἀργύριον, ἢ σῖτον, ποιεῖς γραμματεῖον, καὶ τὴν χρείαν τὴν δεδομένην δεσμεύεις τοῖς γράμμασιν. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστι τοῦτο, ἀλλὰ τοῖς μαρτυρίοις δίδοις, καὶ τῷ πένητι, καὶ ὁ Θεὸς προσκαλεῖται καὶ προσφωνεῖ ἀπολαβεῖν τὰ δάνεια, ἃ ἐδάνεισας τῷ πένητι. σπεύδει λῦσαι τὴν ἐγγύην, καὶ οὐχ ἁπλῶς ἀποδίδωσιν, ἀλλὰ μετὰ πολλῆς εὐλογίας λέγων λέγει, καὶ ἐλάττων πολλοί. ὁμοίως καὶ ὁ ἀγοράζων, ὀλίγον μὲν ἔρχεται διδόναι· πλειότερον δὲ ὁ πολλῶν· καὶ οὕτως εἰς μέσον τιμὴν στήσαντες τὰ σύμφορα πραγματεύονται. καὶ ὅτι ὁ μετὰ τοσούτου κόπου κτήσῃ ὁ ποθεῖς, οὐκ ἔχεις τὸ ἀσφαλές. πολλάκις γὰρ πρὸ τοῦ φθάσαι εἰς τὴν οἰκίαν σου, ἢ ἀπέθανεν, ἢ ἀπώλετο, ἢ ἀδόκιμος εὑρέθη. καὶ γίνεται διπλοῦς ὁ κόπος. ἐπὶ δὲ τῆς βασιλείας τοῦ Θεοῦ οὐδὲν τοιοῦτον ὑπομένεις,

οὐχ

οὐχ ὁδοιπορίας κόπους, οὐ καύσωνα, οὐ χαμευνότητα, οὐ λύπην ἀποτυχίας, οὐδὲν τούτων. ἔσω
καθημένου σου εἰς τὴν οἰκίαν, ἔρχεται ὁ πένης πωλῶν τὸν παράδεισον, καὶ λέγει σοι· δὸς
ἄρτον, καὶ λάβε παράδεισον· δὸς ἀπότριμμον ἱματίου, καὶ λάβε βασιλείαν οὐρανῶν. πλὴν
οὐκ ἀναγκάζει σε διδόναι ὃ οὐκ ἔχεις, ἀλλ' ἐξ ὧν ἰσχύεις. ἀλλὰ σὺ λέγεις μὴ θέλων ἀγο-
5 ράσαι τὸν παράδεισον τοῦ Θεοῦ, οὐκ ἔχεις ἄρτον. δὸς ἕνα ὀβολὸν, δὸς ποτήριον ψυχροῦ ὕ-
δατος, δὸς ὃ θέλεις, δὸς ὃ ἔχεις· πάντα ὁ Χριστὸς δέχεται· μόνον ἀγόρασαι τὸν παράδεισον.
μίμησαι τὴν χήραν ἐκείνην τὴν Σαραφθίαν, λέγω· ἣ τὴν δράκα ἀλεύρου ἔδωκε, καὶ
τὴν βασιλείαν τῶν οὐρανῶν ἐκληρονόμησε. καὶ πάλιν ἄλλην χήραν τὴν ἐν τῷ εὐαγγελίῳ
μνημονευομένην, τὴν μηδὲν ἔχουσαν ἄλλο, εἰ μὴ δύο λεπτὰ μόνον, καὶ ταῦτα βαλοῦσα
10 ἐν τῷ γαζοφυλακίῳ ἠγόρασε τὸν παράδεισον. οὐ ζητεῖ ὁ Θεὸς ὄγκον χρημάτων, ἀλλὰ ψυ-
χὴν ἐλεήμονα, καὶ καρδίαν εὐπροέρετον. δὸς πένητι, κτῆσαι τὸν Θεὸν χρεωφειλέτην· ὁ ἐλεῶν
πτωχὸν δανείζει Θεῷ. καὶ πότε, φησὶν, ὁ δανεισάμενος ἀποδίδωσιν; ὅτε ἀφῇς τὰ ἐνταῦθα ἅπαντα
χρήματα, τὰς οἰκίας, τὸ χρυσίον, τὸ ἀργύριον, τὸν ἱματισμὸν, τὰ λοιπὰ πάντα, καὶ ἐκεῖ ἀπέρχῃ πάν-
τα τὰ ἐνταῦθα καταλιπὼν, τότε ὁ δανεισάμενος μετ' εὐχαριστίας ἀποδίδωσι. πρόπεμψόν σου τὰ
15 χρήματα, μὴ περιμείνῃς χρόνους, μὴ τηρήσῃς αὐτὰ, ἵνα μὴ ἀπολέσῃς τὴν αἰώνιον ζωήν. ἄδη-
λος ὁ θάνατος, οὐκ οἶδας πότε ἔρχεται· οἵᾳ ὥρᾳ οὐ γινώσκεις ἐκπορεύῃ· καὶ σὺ μὲν ἐκεῖ ὑπάγεις,
τὰ δὲ χρήματα ὧδε μένει· καὶ ἄλλοι τὸν πλοῦτόν σου καταμεριζόμενοι, οὐδὲ μνήμην τοῦ ὀνό-
ματός σου ποιοῦσι· πολλάκις δὲ οἱ κληρονόμοι σου ἀνασκάπτουσί σου τὴν οὐσίαν, καὶ καταρώ-
μενοί σε. πρόπεμψόν σου τὰ χρήματα εἰς τὸν αἰῶνα τὸν ἀτελεύτητον, μήποτε εἰς τὸν τόπον
20 ἀπέλθῃς τοῦ πυρὸς τοῦ ἀσβέστου, ὡς πλούσιος διὰ Λάζαρον. Δεῦτε οἱ εὐλογημένοι τοῦ
πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἐ-
πείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· καὶ τὰ ἑξῆς. ὅρα τί λέγει ὁ
ποιητὴς τοῦ κόσμου. οὐ λέγει, βασιλεὺς ἤμην, καὶ ἐφοβήθητέ με· οὐδὲ ἄρχων, καὶ ἡτοι-
μάσατε· ἀλλὰ, γυμνὸς, καὶ περιεβάλετέ με· ἀσθενὴς, καὶ ἐπεσκέψασθέ με. ὄντως οὐδὲν
25 ἴσον τῆς ἐλεημοσύνης. πένης δαπανᾷ, καὶ ὁ Θεὸς ἀποδίδωσι· δανεισάμενος ὁ Θεὸς ἀπὸ τῶν
πενήτων καὶ τῶν παραμενόντων τοῖς μαρτυρίοις, οὐκ ἀποδίδωσι μόνον τὸ δάνειον, ἀλλὰ κλη-
ρονόμους αὐτοὺς ποιεῖ τοὺς δανειστὰς, λέγων· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονο-
μήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. καὶ πότε, φησὶν, ἡτοι-
μάσθη; ὅτε σὺ τοῖς πένησι τροφὰς καὶ ἐνδύματα παρεῖχες, ὅτε σὺ ταῖς ἐκκλησίαις, καὶ ἐν τοῖς
30 μαρτυρίοις ἐκαρποφόρεις, ὅτε σὺ τὰς μνήμας τῶν ἁγίων ἐπετέλεις, ὅτε σὺ εἰς τὸν οἶκόν
σου ὑπεδέχου, ὅτε σὺ τοὺς ἀσθενεῖς καὶ τοὺς ἐν φυλακῇ ἐπεσκέπτου, ὅτε σὺ ταῦτα ἐποίεις,
ἐγώ σοι ταύτην τὴν βασιλείαν ἡτοίμαζον. ὅταν μέλλῃς ἐξέρχεσθαι τοῦ βίου, μὴ περιμέ-
νῃς τὴν ξενίαν αὐτῆς· οἰκοδεσπότης προσυπαντᾷ σοι λέγων· Δεῦτε οἱ εὐλογημένοι τοῦ
πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. ἐπείνασα γὰρ, καὶ ἐδώκατέ
35 μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με. βλέπε δὲ μέγεθος τῆς ἐλεημοσύνης, πῶς οὐδε-
μία ἀρετὴ συγκρίνεται αὐτῇ ἢ προτιμᾶται. οὐκ εἶπε γὰρ, ὅτι παρθενίαν ἐφυλάξα-
τε, ἢ ὅτι δι' ἐμὲ ἐνηστεύσατε, οὐδὲν τοιοῦτον εἶπεν· ἀλλὰ μόνον, ἐπείνασα, καὶ ἐδώκατέ μοι
φαγεῖν. μεγάλη δὲ καὶ ἡ νηστεία, καὶ ἡ παρθενία, καὶ αἱ λοιπαὶ ἀρεταὶ, ἀλλ' οὐδὲν ἴσον τῆς ἐλεη-
μοσύνης. πρόπεμψόν σου τὸν κόσμον εἰς τὸν ἐκεῖ κόσμον τὸν ἀτελεύτητον, καὶ εὑρήσῃ ἐν τῷ αἰῶνι
40 ἐκείνῳ ταῦτα, ἅπερ ἐνταῦθα παρέχεις, καθὼς καὶ ὁ Κύριος λέγει· Ποιήσατε ὑμῖν φίλους ἐκ
τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵν', ὅταν ἐκλίπητε, ὑμᾶς δέξωνται εἰς τὰς αἰωνίους σκηνάς. ὦ
φιλία δεσπότου, ἡ ἀσυνεσία πλουτούντων. ἀδελφὲ παρακαλῶ, καὶ ὁ πλούσιος ὀδυνᾶ-
ται; οὐ συνίης, ἄνθρωπε, τί ἐστι πρόνοια Θεοῦ; οὐκ ἠδύνατο δοῦναι καὶ τῷ πένητι χρή-
ματα ὅσα δέδωκέ σοι, καὶ σὲ πλουτίσαι κἀκεῖνον ὁ Θεός; οὐκ ἠδύνατο ὄμβρους χρυσίου κα-

Ματθ. κε. λε.

Λουκ. ις. θ.

πενέγκαι, καὶ τοὺς πένητας πλουτίσαι; μή σε ἔχει τιμῆσαι ὁ Θεὸς διὰ τῶν πλούτων; νόησον τί σε μέλλει γενέσθαι· βλέπε ἐν τῷ τάφῳ τὰ γεγυμνωμένα ὀστᾶ· τί διαφέρεις ἐκεῖ, πλούσιος, ἢ πένης; οὐ πάντες τέφρα; οὐ πάντες κόνις; ποῦ ἐκεῖ βασιλεύς; ποῦ ἄρχων; ποῦ δυνάστης; ποῦ πένης; οὕτως πάντες ἴσοι νεκροί· καὶ ὀστᾶ ἔρριπται, πλῆθος σκωλήκων. τί ὑπερηφανεύεις τὸν πένητα, τί βδελύσσῃ τὸν ἀσθενῆ; οὐ θεωρεῖ ὁ Θεὸς κἀκεῖνον, καὶ σέ; οὐκ ἔστι κἀκεῖνος ὁμοίωμά τι αὐτοῦ; νόησον ὅτι αὐτὸν τὸν πένητα ὁ Θεὸς καλεῖ ἀδελφόν, καὶ προτιμότερόν σου ποιεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὁ Θεὸς γὰρ ἄδικος οὐκ ἔστιν· οὐκ ἀποστερεῖ τὸν πένητα τὴν αἰώνιον ζωήν, καὶ βασιλείαν τὴν ἐπουράνιον, εἴγε ὑπομείνῃ τὴν πενίαν· σοὶ δὲ δύο παραδείσους οὐ δίδωσιν, ἐὰν μὴ προαποπέμψῃς ἐκ τῶν Θεοῦ δοθέντων σοι χαρισμάτων. Ἐφ᾽ ὅσον γάρ, φησιν, οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. δεῦρο τοίνυν, ἀκούσωμεν, καὶ πληρώσωμεν τὰς κοιλίας τῶν πενήτων, ἐξ ὧν σοι ὁ Θεὸς ἐχορήγησεν, ἵνα εὕρῃς ἐκεῖ τὰς ἀποθήκας σου γεμούσας. εἰ γὰρ μακάριος ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ ἅπαξ, πόσῳ μᾶλλον μακαριώτατος ὁ ἐν αὐτῇ κατοικεῖν ἀξιωθεὶς εἰς τοὺς ἀτελευτήτους αἰῶνας; μή μοι λέγε, ὅτι οἱ πένητες ἄποροί εἰσι, καὶ οὐκ ἔχουσί τι μοι δοῦναι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὁ ἐγγυητὴς αὐτῶν πλούσιός ἐστι. μὴ γὰρ τοὺς πένητας ἀπαίτησαι, ὁ Θεὸς δοῦναι" σοι ἐκεῖνος ἀποδίδωσι καὶ τοῖς πένησι τὰς δωρεάς, ὁ ἐνταῦθα τὴν ζωὴν ἡμῶν κυβερνῶν, καὶ ἐκεῖθεν ἡμᾶς διασώσει, εἴγε ποιῶμεν τὰ ἀρεστὰ αὐτῷ. Ὁ γὰρ ἐλεῶν πτωχὸν δανείζει Θεῷ· κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ· κατὰ τὴν προαίρεσιν, " λέγει. ὅπου γὰρ ἀγαθὴ προαίρεσις, ἐκεῖ δαψιλὴς χορηγία. φοβηθῶμεν τὴν ἡμέραν Κυρίου, ἐν ᾗ ἀποστελεῖ ὁ οἰκοδεσπότης εἰς τὴν ** ρίαν τοῦ σίτου, καὶ συνάξει τὸν μὲν σῖτον εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. ὁ γὰρ οἰκοδεσπότης ὁ Κύριός ἐστιν, οἱ δὲ θερισταί εἰσιν οἱ ἄγγελοι, ὁ σῖτος δὲ οἱ δίκαιοι, τὸ δὲ ἄχυρον οἱ ἁμαρτωλοί. σπουδάσωμεν οὖν εὑρεθῆναι σῖτος ὥριμος διὰ τῆς ἐλεημοσύνης, ἵνα εἰσέλθωμεν εἰς τὰς αἰωνίους σκηνάς, ἃς ἡτοίμασεν ὁ ἀναληφθεὶς ἀφ᾽ ἡμῶν· μεθ᾽ οὗ τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. κε μ. — Λουκ. ιδ. ιε. — Παροιμ. ιθ. ιζ.

Λογ. 4α.

ΠΕΡΙ ΑΓΑΠΗΣ.

Ex Ms. Cæsareo. Ματθ. ια. λ.

ΚΑλῶς εἶπεν ὁ Κύριος, ὅτι Τὸ φορτίον μου ἐλαφρόν ἐστι. ποῖον γὰρ βάρος, ἢ ποῖος κόπος ἐστὶ τὸ ἀφεῖναι τοῦ ἀδελφοῦ τὰ παραπτώματα ἐλαφρὰ καὶ μηδαμινά, καὶ συγχωρηθῆναι τὰ ἴδια, καὶ δικαιωθῆναι συντόμως; οὐκ εἶπεν ὅτι προσάγαγέ μοι χρήματα, ἢ μόσχους, ἢ χιμάρους, ἢ νηστείαν, ἢ ἀγρυπνίαν, ἵνα μὴ εἴπῃς, ὅτι οὐκ ἔχω, οὐ δύναμαι, ἀλλ᾽ ὅ ἐστιν ἐλαφρὸν καὶ εὔκολον καὶ σύντομον, τοῦτο προσέταξε λέγων· συγχώρησον τῷ ἀδελφῷ σου τὰ παραπτώματα, κἀγὼ συγχωρῶ τὰ σά. σὺ μικρὰ συγχωρεῖς πταίσματα, ἴσως ὀβολοὺς ὀλίγους, ἢ καὶ ἑκατὸν δηνάρια· ἐγὼ δὲ τὰ μυρία τάλαντα συγχαρίζομαι. καὶ σὺ μὲν μόνον συγχωρεῖς, τί ποτε μὴ χαριζόμενος· ἐγὼ δὲ καὶ τὴν ἄφεσιν παρέχω καὶ τὴν ἴασιν, καὶ τὴν βασιλείαν χαρίζομαι. καὶ τὸ δῶρόν σου τότε προσδέχομαι, ὅταν διαλλαγῇς τῷ ἐχθρῷ σου, ὅταν μὴ ἔχῃς ἔχθραν κατά τινος, ὅταν ὁ ἥλιος μὴ ἐπιδύῃ ἐπὶ τῷ παροργισμῷ σου, ὅταν πρὸς πάντας εἰρήνην καὶ ἀγάπην ἔχῃς· τότε καὶ ἡ προσευχή σου εὐπρόσδεκτος, καὶ ὁ οἶκός σου εὐλογημένος, καὶ σὺ μακάριος. ἐὰν δὲ σὺ τῷ ἀδελφῷ σου οὐ διαλλάσσῃ, πῶς παρ᾽ ἐμοῦ συγχώρησιν ζητεῖς; τοὺς λογισμοὺς καταπατεῖς, καὶ συγ-
** χώρησιν προστάττεις; ἐγὼ ὁ δεσπότης προστάττω, καὶ οὐ προσέχεις; καὶ σὺ ὁ δοῦλος πῶς τολ-

μᾷς

μᾶς προσφέρειν προσευχὴν τῷ Θεῷ, ἢ θυσίαν, ἢ ἀπαρχάς, ἔχων ἔχθραν κατά τινος; ὥ-
σπερ γὰρ σὺ ἀποστρέφῃ τὸ πρόσωπόν σου ἀπὸ τοῦ ἀδελφοῦ σου, οὕτω καὶ ὁ Θεὸς ἀπὸ τῆς προσευ-
χῆς σου καὶ τῶν δώρων σου ἀποστρέφει τοὺς ὀφθαλμοὺς αὐτοῦ· ἐπειδὴ ὁ Θεὸς ἀγάπη ἐστί, καὶ τὰ χω-
ρὶς ἀγάπης γινόμενα οὐκ εὐδοκεῖ ἐν αὐτῷ. πῶς ἄρα προσδέξεται ὁ Θεὸς φονέως
5 προσευχήν, ἢ δῶρον, ἢ ἀπαρχάς, ἢ καρποφορίας, ἐὰν μὴ πρότερον μετανοήσῃ; κἂν λέγῃς·
ἀλλὰ πάντως ἐρεῖς μοι, ὅτι ἐγὼ φονεὺς οὐκ εἰμί. ἐγὼ δὲ ἀποδείξω, ὅτι φονεὺς εἶ, μᾶλλον
δὲ Ἰωάννης ὁ Θεολόγος ἐλέγχει σε λέγων· Ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἀδελφοκτόνος ἐστί. *α Ιωαν. γ. ιε.*
λοιπὸν οὖν, ἀδελφοί μου ἀγαπητοί, μηδὲν προτιμήσωμεν, ἢ σπουδάσωμεν κτήσασθαι
πλὴν τῆς ἀγάπης· μηδεὶς ἐχέτω τι κατά τινος, μή τις κακὸν ἀντὶ κακοῦ ἀποδώσῃ· Ὁ ἥ- *Εφ. δ. κς.*
10 λιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· ἀλλὰ ἀφῶμεν τοῖς ὀφειλέταις ἡμῶν πάντα
τὰ παραπτώματα αὐτῶν. τί γὰρ τὸ ὄφελος, τέκνα, ἐάν τις πάντα ἔχῃ, τὴν δὲ σώζουσαν ἀ-
γάπην μὴ ἔχων; ὥσπερ τις ἄριστον ποιήσει μέγα, ἵνα καλέσῃ βασιλέα καὶ ἄρχοντας, καὶ πάν-
τα ἑτοιμάσει πλούσια, ἵνα μηδὲν αὐτῷ λείπῃ, ἅλας δὲ οὐκ ἔχει, μὴ δύναται βρωθῆναι τὸ
ἄριστον ἐκεῖνο; οὐ πάντως, ἀλλὰ καὶ τὴν ἔξοδον ἐζημιώθη, καὶ τοὺς κόπους ἀπώλεσεν· ἀλλὰ καὶ
15 ὕβριν ἑαυτῷ προσήγαγε παρὰ τῶν κεκλημένων ὑπ' αὐτοῦ. οὕτως οὖν καὶ ἐνταῦθα. τί δὲ
ὄφελος εἰς ἀνέμους κοπιᾶν; χωρὶς τῆς ἀγάπης πᾶν ἔργον καὶ πᾶσα πρᾶξις ἀκάθαρτος,
κἂν παρθενίαν κτήσηταί τις, κἂν νηστεύῃ, κἂν ἀγρυπνῇ. εἴτε προσεύχεται, εἴτε δοχὴν ποιεῖ
πτωχοῖς, κἂν δῶρα προσφέρειν δοκῇ, ἢ ἀπαρχάς, ἢ καρποφορίας, κἂν ἐκκλησίαν κτίζῃ, εἴτε
ἄλλο τι πράττῃ, χωρὶς τῆς ἀγάπης πάντα ἐκεῖνα εἰς οὐδὲν λογισθήσονται παρὰ τῷ Θεῷ.
20 οὐ γὰρ εὐδοκεῖ Κύριος ἐν αὐτοῖς. ἄκουε τοῦ ἀποστόλου λέγοντος· Ὁ γὰρ ἔχων ἔχθραν κατὰ τοῦ ἀδελ-
φοῦ, „δοκεῖ προσφέρειν τι τῷ Θεῷ, ὡς ὁ θύων κύνα, καὶ ὡς μίσθωμα πόρνης" λογισθήσονται.
μὴ οὖν βουληθῇς χωρὶς τῆς ἀγάπης ποιεῖν τί ποτε· ὅτι ἡ ἀγάπη καλύπτει πλῆθος ἁμαρτι-
ῶν. ὢ ποίου ἀγαθοῦ καταφρονοῦμεν, ὢ πόσων ἀγαθῶν στερούμεθα καὶ πόσης χαρᾶς, μὴ κτη-
σάμενοι τὴν ἀγάπην; Ταύτην Ἰούδας μὴ θελήσας κτήσασθαι, ἐκ μέσου τοῦ χοροῦ τῶν
25 ἀποστόλων ἐξῆλθε, καταλιπὼν τὸ φῶς τὸ ἀληθινόν, τὸν ἑαυτοῦ διδάσκαλον καὶ τοὺς ἰδίους ἀδελ-
φοὺς μισήσας ἐν τῷ σκότει ἐπορεύθη. διὸ καὶ ὁ κορυφαῖος Πέτρος ἔλεγε· Παρέβη Ἰούδας *Πραξ. α. κε.*
πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. καὶ πάλιν Ἰωάννης ὁ Θεολόγος λέγει· Ὁ μισῶν τὸν ἀδελ- *α. Ιωαν. β. θ.*
φὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστί, καὶ ἐν τῷ σκότει περιπατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία
ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. ἐὰν δὲ εἴπῃς, ὅτι κἂν τὸν ἀδελφόν μου οὐκ ἀγαπῶ, δη-
30 λαδὴ τὸν Θεὸν ἀγαπῶ, ἐλέγχει σε Ἰωάννης λέγων· Ἐάν τις εἴπῃ, τὸν Θεὸν ἀγαπῶ, καὶ τὸν *α. Ιωαν. δ. κ.*
ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστίν. ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν
Θεόν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾶν; ὁ οὖν ἔχων μετὰ πάντων τῶν ἀδελφῶν ἀγά-
πην, ὁ μὴ ἔχων ἔχθραν κατά τινος, ὁ πληρῶν τὸν λόγον τοῦ ἀποστόλου, Ὁ ἥλιος μὴ ἐπιδυέ- *Εφ. δ. κς.*
τω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, οὗτος ἀγαπᾷ τὸν Θεόν, οὗτος μαθητὴς αὐτοῦ ἐστι, τοῦ εἰπόντος,
35 Ὅτι ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε μετ' ἀλλήλων. *Ιωαν. ιγ. λε.*
φανερὸν οὖν ἐστιν, ὅτι οἱ τοῦ Χριστοῦ μαθηταὶ ἐκεῖθεν γνωρίζονται ἐκ τῆς ἀληθινῆς ἀγάπης.
ὁ δὲ ἔχων μῖσος κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, κἂν δοκῇ ἀγαπᾶν τὸν Χριστόν, ψεύστης ἐστί, καὶ φρεναπα-
τᾷ ἑαυτόν. λέγει γὰρ ὁ ἀπόστολος Ἰωάννης, ὅτι Ταύτην ἐντολὴν ἔχομεν παρ' αὐτοῦ, ἵνα ὁ ἀ- *α. Ιωαν. δ. κα.*
γαπῶν τὸν Θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. καὶ πάλιν ὁ Κύριος· Ἀγαπήσεις Κύριον τὸν *Ματθ. κβ.*
40 Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν. καὶ ἐπήγαγε, θέλων δεῖξαι
τὴν δύναμιν τῆς ἀγάπης, λέγων· Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προ-
φῆται κρέμανται. ὢ θαῦμα ἐξαίσιον, ὅτι ὁ ἔχων τὴν ἀνυπόκριτον ἀγάπην, ὅλον τὸν νόμον
πληροῖ. Πλήρωμα γὰρ νόμου ἡ ἀγάπη, ὡς φησιν ὁ ἀπόστολος. ὢ δύναμις ἀγάπης ἀ- *Ρωμ. ιγ. ι.*
νείκαστος, ὢ δύναμις ἀγάπης ἀμέτρητος. οὐδὲν τῆς ἀγάπης τιμιώτερον, οὔτε ἐν οὐρανῷ,

οὔτε

οὔτε ἐπὶ τῆς γῆς. διὰ τοῦτο Παῦλος ὁ ἀπόστολος μαθὼν [δὲ] ὅτι οὐδὲν τῆς ἀγάπης ἀντάξιον, ἔγραψε καὶ ἀπέστελλεν εἰς τὰ πέρατα τῆς οἰκουμένης λέγων· Ἀδελφοί, μηδενὶ ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾷν, καὶ τὰς ψυχὰς ὑπὲρ ἀλλήλων τιθέναι. *Ῥωμ. ιγ. η.* αὕτη γάρ ἐστιν ἡ ἀγάπη, πασῶν τῶν ἀρετῶν τὸ κεφάλαιον, τὸ ἅλας τῶν ἀρετῶν. ἡ ἀγάπη τὸ πλήρωμα τοῦ νόμου, ἡ ἀγάπη ἡ ἀπλανὴς σωτηρία. αὕτη ἐξ ἀρχῆς ἐνῴκησεν ἐν τῇ καρδίᾳ τοῦ Ἄβελ, αὕτη τοῦ Νῶε κυβερνήτης γέγονεν, αὕτη τοὺς πατριάρχας συνήργησεν, αὕτη τὸν Μωϋσέα διέσωσεν, αὕτη τὸν Δαβὶδ οἰκητήριον τοῦ ἁγίου πνεύματος ἐποίησεν, αὕτη ἐν τοῖς προφήταις κατεσκήνωσεν, αὕτη τὸν Ἰὼβ ἐνίσχυσε· καὶ τί οὐ λέγω τὰ μείζονα; αὕτη τὸν υἱὸν τοῦ Θεοῦ ἐκ τῶν οὐρανῶν πρὸς ἡμᾶς κατήγαγε. διὰ τῆς ἀγάπης ὁ ἄσαρκος σαρκοῦται, ὁ ἄναρχος ἄρχεται, ὁ υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γίνεται. διὰ τῆς ἀγάπης πάντα τὰ πρὸς σωτηρίαν οἰκονομεῖται· ὁ θάνατος κατήργηται, ὁ διάβολος κατεβλήθη, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ Εὔα ἠλευθέρωται. διὰ τῆς ἀγάπης μία ποίμνη γέγονεν ἀγγέλων καὶ ἀνθρώπων· διὰ τῆς ἀγάπης ἡ κατάρα λέλυται, ὁ παράδεισος ἀνέῳκται, ἡ ζωὴ πεφανέρωται, ἡ βασιλεία τῶν οὐρανῶν ἐπήγγελται. αὕτη τοὺς ἁλιεῖς τῶν ἰχθύων σαγηνεύσασα, ἁλιεῖς τῶν ἀνθρώπων ἐποίησεν· αὕτη τοὺς μάρτυρας συνήθλησε καὶ ἐνίσχυσεν· αὕτη τὰς ἐρήμους πόλεις ἀνέδειξεν· αὕτη τὰ ὄρη καὶ τὰ σπήλαια ψαλμῳδίας ἐπλήρωσεν· αὕτη τοὺς ἀγγέλους καὶ ἀνθρώπους ἓν ἀπειργάσατο, ἄνδρας τε καὶ γυναῖκας τὴν στενὴν καὶ τεθλιμμένην βαδίζειν ὁδόν. ἀλλὰ μέχρι τίνος ὑς. * * διώκειν τὸν ἀπαράληπτον [?] * *

* * λείπει * *

* *

Λογ. 43.

Ιωαν. ια. α.

Ex Ms. Regio Lut.

ΕΙΣ ΤΟΝ ΛΑΖΑΡΟΝ. α.

Πᾶσα μὲν ἐν Θεῷ διδασκαλία συνάγειν εἴωθε τῶν φιλομαθῶν ἀνδρῶν τὰς ὠφελείας, μάλιστα δὲ αἱ κατὰ καιρὸν ἀεὶ γινόμεναι, μιμούμεναι τὰ τῶν ὑδάτων νάματα, ἃ τοῖς διψῶσιν ὀρεγόμενα, καὶ τὴν ἐπιθυμίαν θεραπεύοντα, μᾶλλον γίνονται τοῖς λαμβάνουσι ποθεινότερα. τί οὖν μοι τὸ προοίμιον βούλεται; Λάζαρος ὁ τετραήμερος νεκρὸς κατὰ ταύτας τὰς ἡμέρας τῶν νεκρῶν ἀνέστη. ἴδε τοίνυν τὸν Ἰησοῦν περὶ τὴν τοῦ πάθους σωτηρίαν ἐπειγόμενον, καὶ πρὸ θαυμάτων θαύματα γυμνάζοντα, καὶ πρὸ ἑορτῆς ἑορτὴν ἀνακηρύττοντα, καὶ πρὸ ἔργου ἔργον ἀναδεικνύντα· ἵν᾽, ὅταν αὐτὸς σταυρῷ παραδοθῇ, μὴ ἀπαγορεύσωσιν οἱ μαθηταὶ τοῦ οἰκείου διδασκάλου τὴν ἀνάστασιν, ἀλλὰ πιστεύσωσιν ὅτι τὸν θάνατον ἄλλου χάριν ὑποτάξας, αὐτὸς οὐδὲν δεινὸν ὑπὸ τοῦ θανάτου παθεῖν δύναται. δίκαιον τοίνυν ἐστὶ καὶ τῷ καιρῷ, καὶ ἑαυτοῖς, καὶ τῇ μηνυούσῃ πανηγύρει χαριζομένους κοινωνῆσαι τῆς ἐπὶ τῷ Λαζάρῳ ἀναστάσεως εὐφροσύνης, κοινωνῆσαι δὲ μὴ δακρύων μόνον, ἀλλὰ καὶ θυμηδίας, καὶ χαρᾶς, ταῖς περὶ τὴν Μαρίαν χρησταῖς γυναιξί, τιμῆσαι δὲ καὶ τὸν ἡμέτερον διδάσκαλον Ἰησοῦν τῇ σπουδῇ τῆς ἱστορίας. ὁ γὰρ τοὺς ἐκείνου φίλους τιμῶν, εἰς ἐκεῖνον παραπέμπει τὸ δῶρον. φιλάνθρωπος γὰρ ὤν, εἴωθεν ἀεὶ τὰς ὑπὲρ ἐκείνων οἰκειοῦσθαι τιμάς. αὐτός ἐστιν ὁ εἰρηκὼς ἐν τοῖς εὐαγγελίοις, Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με. *Ματθ. ι. μ.* Ἦν δέ τις, φησίν, ἀσθενῶν Λάζαρος, ἀπὸ Βηθανίας τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. *Ιωαν. ια. α.* ἁπλοῖς ὁ συγγραφεὺς ἀπεργάζεται ἱστορίαν παράγων. ἁλιεὺς γὰρ ἦν ὁ Ἰωάννης. μέλλων οὖν παράδοξον ἔργον ἐκτιθέναι, οὐκ ἐθεράπευσε τῇ λέξει τὴν ἀκροατήν. βλέπε ὃ λέγω. ἔγραψεν εἰς Βηθανίαν τὴν κώμην τὸ θαῦμα, τὸν τόπον, τὰς πταίσας, καὶ μὴ πταίσας

σας γυναῖκας, τί ἐλέχθη, τί ἐπράχθη, πῶς ἀπήντησαν τῷ διδασκάλῳ, πῶς ἐδάκρυσε, πῶς παρεκάλεσαν, πῶς ἐνεκάλεσαν πενθοῦσαι τῷ δεσπότῃ, ὅτι μὴ παρὼν τελευτῶντι Λαζάρῳ, μηδὲ ἔκλεισε τῷ λόγῳ τοῦ θανάτου τὰς πύλας, μηδὲ ἐπέσχε τῆς ἀπωλείας τὰ κύματα. κυβερνήτου γὰρ παρόντος, τὸ σκάφος ἂν ἐσώθη. καὶ ἔγραψεν ἐν Ἐφέσῳ καθήμενος, ὃς δι' ἀκτημοσύνην καὶ πενίαν μηδὲ μέλανι καὶ χάρτῃ ἰδίῳ χρήσασθαι. γράψαντος τοίνυν Ἰωάννου, πάντες συντρέχουσιν ἰδεῖν τάφον, νεκρὸν ἀπολέσαντα, βασιλεῖς, ἰδιῶται, δικασταί, βαρβάρων φυλαί, στρατιωτῶν ἔθνη. τί λέγω τάφον; ἡ θήκη Λαζάρου γέγονεν ἐκκλησία. πάντες γὰρ ἐπείγονται αὐτόθι προσεύξασθαι, ὅπου Ἰησοῦς προσηύξατο, τῇ κοινωνίᾳ τοῦ σχήματος τὴν ὠφέλειαν πορίζομενοι. ἦν τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας τῆς κώμης Μαρίας καὶ Μάρθας. μηδεὶς τόπον ὑπεροράτω. πανταχοῦ γὰρ ὁ Θεός· καὶ ἐν κώμῃ, καὶ ἐν πόλει, καὶ ἐν ὄρεσιν οἰκεῖ· πάντα ἐφορᾷ. πανταχοῦ γὰρ ὁ Θεός, οὐ τόποις προσέχων, ἀλλὰ γνώμαις εὐσεβῶν. ὁ Λάζαρος ἔκαμνε, καὶ ὑπὸ τῆς νόσου κατηπείγετο. ἐνταῦθα αἱ περὶ τὴν Μαρίαν καὶ Μάρθαν πισταὶ γυναῖκες οὐκ ἐπένθησαν πρὸς τὸ κακόν, οὐκ ἀπηγόρευσαν πρὸς τὴν τοῦ πυρετοῦ προσβολήν, οὐ φάρμακα ἐζήτησαν, οὐ γείτονας, οὐκ ἰατρὸν παρεκάλεσαν (περιττὸν γὰρ ἦν, Ἰησοῦν ἔχουσας, ἀληθινὸν ἰατρόν, ἕτερον ἐπιζητεῖν) ἀλλ' ἔγνωσαν ὅθεν σωθῆναι χρή, καὶ ἀδελφοῦ νοσοῦντος πρεσβευτὰς πέμπουσι τοῦ μέλλοντος θανάτου. καὶ σὺ τοίνυν, ὅταν παῖς, ἢ μήτηρ, ἢ ἀδελφός, ἢ γνώριμος ἀσθενῶν ὑπὸ τῶν κάτω δημίων ἕλκωνται, πέμψον πρὸς τὸν Ἰησοῦν, μὴ ἀνδρὶ διακόνῳ χρώμενος, ἀλλὰ ταῖς σαῖς εὐχαῖς πολὺ τῶν ἀνδρῶν ἰσχυροτέραις οὔσαις, καὶ μίμησαι τὰς περὶ τὴν Μάρθαν γυναῖκας. τί λέγουσιν; οὐ, παρακλήθητι· οὐκ, ἐπείχθητι· οὐκ, ἐλθέ, δὸς τὴν χάριν· ἀλλὰ τί φασι; Κύριε, ἴδε, ὃν φιλεῖς, ἀσθενεῖ· ἐπετηρήσατο ὁ θάνατος τὴν σὴν ἀποδημίαν, καὶ τὸν σὸν ἐκβιάζεται φίλον. ἐπέστη τῷ Λαζάρῳ κλεπτομένῳ, ἁρπαζομένῳ, πολεμουμένῳ, πολλοῖς τοξεύμασι βαλλομένῳ, πυρετῷ, καὶ ἀλγηδόσι, καὶ νέφει κακῶν· ἄδηλον δέ, εἰ καὶ τὸν φίλον εὑρήσεις. ἤκουσεν ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου δι' αὐτῆς. (Ιωαν. ια. δ.) τί οὖν θαυμάσω; τῶν λεχθέντων τὴν πρόνοιαν; τὴν προφητείαν; τὴν ἔκβασιν; τὸ ὑπὲρ ἄνθρωπον ἐπίταγμα; τὴν ἀπόρρητον φιλανθρωπίαν; τὴν ἐπιείκειαν τῶν λόγων; τὴν πρὸς τὸν πατέρα τιμήν; πάντα εὑρίσκω Θεοῦ. προεῖπεν ὡς Θεός, ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον, καὶ ἐπήγαγε μετ' οὐ πολὺ τὸ ἔργον. ἀνέπεμψε τὴν δόξαν τῷ Θεῷ, μίαν εἶναι πατρὸς καὶ υἱοῦ δεικνὺς δοξολογίαν. παρεμυθήσατο τῇ φάσει τὰς ἀδελφάς, χρηστὰς ἐλπίδας αὐταῖς ἐπιδούς, εἰπών, ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον. οὐκ ἀποθνήσκει Λάζαρος. εἰ γὰρ μὴ δίδοται τῷ θανάτῳ, μένει ζῶν. ἀλλὰ δίδοται, καὶ οὐ δίδοται. ὅταν γάρ τις, ὃ ἔλαβεν, ἀποδῷ, τῇ ἀληθείᾳ οὐ λαμβάνει. ταῦτα εἰπὼν ὁ Ἰησοῦς, φησίν, ἐν τῷ τόπῳ ἐκείνῳ ἔμεινε δύο ἡμέρας. διὰ τί ἔμεινε; τὸν χρόνον ἐδαπάνησεν, ἵνα σαφῶς τὸν Λάζαρον ὁ θάνατος λάβῃ· ἵνα τὸ κῦμα περιερχόμενον τὸ σκάφος βαπτίσῃ. εἰ γὰρ παρῆν, ἐδραπέτευσεν ἂν ὁ πυρετός, καὶ τῇ φύσει τοῦ νοσήματος ἐλογίζετο τὸ γινόμενον. εἰ δὲ καὶ τῷ Ἰησοῦ, ἀλλὰ καταδεέστερον τὸ θαῦμα. ἔλαβε τοίνυν αὐτὸν ὁ κοινὸς τῶν ἀνθρώπων θάνατος, καὶ τοῦτον εἶχε δεσπότην. μετὰ ταῦτα ὁ Ἰησοῦς, ὁ μὴ παρών, ὁ μὴ ψηλαφήσας, ὁ μὴ ἀποστείλας τοῖς μὴ εἰδόσι λέγει· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται. ἀλλὰ πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν. (Ιωαν. ια. ια.) πολλὴ τῶν ἀνθρώπων παραμυθία. ὁ θάνατος εἰς ὕπνον μετεβλήθη, ἡ ἀπώλεια εἰς σωτηρίαν μετηνέχθη λόγῳ. μηδεὶς τοίνυν τοὺς τεθνεῶτας ἀπαγορεύσῃ. πάντες γὰρ ζῶσι τῷ Θεῷ, ὅτε θέλει, καθεύδοντες, καὶ ὅτε θέλει, ἐγειρόμενοι. λέγουσιν αὐτῷ οἱ μαθηταί, ἀγνοήσαντες τοῦ αἰνίγματος τὸν λόγον· Κύριε, εἰ κεκοίμηται, σωθήσεται. θεραπεία γὰρ τοῖς κάμνουσιν ὁ κατὰ φύσιν ὕπνος. Τότε λέγει αὐτοῖς παρρησίᾳ, Λάζαρος ἀπέθανε, καὶ χαίρω δι' ὑμᾶς. καὶ τίς ἐπὶ νεκρῷ χαίρει; τίς εὐφραίνεται ἐπὶ φίλου τεθνεῶτος; σκυ-

θρωπάζειν

θεραπάζειν ἔδει καὶ λυπεῖσθαι ἀπολέσαντας τὸν ἑαυτῶν. ἀλλὰ χαίρω δι᾽ ὑμᾶς, ὅτι οὐκ ἤ-
μην ἐκεῖ. εἰ γὰρ ἤμην, ὁ πυρετὸς ἐσβέννυτο λόγῳ, καὶ ἔλαττον ἐδείκνυτο τὸ θαῦμα, ἢ συν-
ηθείας τὸ πρᾶγμα ἐνομίζετο. νῦν δὲ ἔμεινα, ἵνα ὁλοκλήρως ὁ λύκος τὸν ἀμνὸν διαρπάσῃ.
κατέπιε γὰρ ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προ-
σώπου τῆς γῆς. ἦλθον, ἠπείχθησαν ἐπὶ τὴν Βηθανίαν, οὐ τὴν πυρκαϊὰν σβέσαι δραμόντες, ἀλ-
λὰ τῆς πυρκαϊᾶς τὴν κόνιν θεάσασθαι. τάχα δέ, ὅτι λείψανα ναυαγίου εὑρεῖν ἠδύναντο. ἤ-
δη γὰρ ὦζε τετραήμερος ὤν. ἐπὶ γὰρ τῶν ναυαγίων ἔστι καὶ ἱστίον εὑρεῖν, καὶ σανίδας συναγα-
γεῖν, καὶ κέρας λαβεῖν, καὶ πηδάλια εἰς ἑτέρας τινὸς χρῆσιν φυλάξαι, καὶ πολλῇ σπουδῇ χρησα-
μένοις μέρος τι τοῦ φόρτου διασῶσαι· ἐπὶ δὲ τοῦ Λαζάρου πάντα φορτικά, καὶ παῦσις, καὶ δυ-
σωδίας ἀνάδοσις. τὸ πένθος ἦν ἐν ἀκμῇ, καὶ ὁ νεκρὸς ὑπὸ τὸν λίθον κατείχετο. καὶ πολλοί, φη-
σι, τῶν Ἰουδαίων ἐληλύθεισαν ἀπὸ τῆς πόλεως, ἵνα παραμυθήσωνται τὰς ἀδελφὰς τοῦ τεθνεῶ-
τος. μάρτυρας ἔχω, φησί, τῆς ἐσομένης χάριτος, ἵνα μὴ τὸ ἔργον κλοπὴ νομισθῇ, ἀλλ᾽ ἀληθείας
ἀσφάλεια. ἦλθεν ὁ Ἰησοῦς, κυβερνήτης μετὰ ναυάγιον, ἰατρὸς μετὰ νεκρόν. καὶ τί ἦλθες ὧδε, ὦ
δέσποτα; ἵνα ἐγκληθῇς, ὡς ῥαθυμήσας τοῦ φίλου, ὡς περιιδὼν ἀπολλύμενον, ὡς μὴ συν-
ταξάμενος μέλλοντι τελευτᾶν; ἤκουσεν ἡ Μάρθα, καὶ μικρὸν τοῦ λυπηροῦ χείματος φροντί-

Ιωαν. ια. κα.

σασα ἔρχεται δρομαία κατὰ τὴν ὁδόν, καὶ ἐγκαλεῖν ἄρχεται ὡς ὑστερεῖ πενθικῶς· Κύριε, εἰ
ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. ποιμένος γὰρ παρόντος, πῶς ἀπόλλυται πρόβατον;
στρατηγοῦ μαχομένου, πῶς διανοίγονται πύλαι; ἡλίου φαίνοντος, πῶς ὁ χρυσὸς ἐσυλᾶτο; Κύ-
ριε, εἰ ἦς ὧδε, οὐκ ἂν μου ἀπέθανεν ὁ ἀδελφός. ἄπιστος ὁ λόγος, ἔτι δὲ καὶ ἀσθενής. κεραμέως γὰρ
παρόντος, δυνατὸν ἦν τὸ διαπεσὸν σκεῦος πάλιν ἀναπλασθῆναι. Λέγει αὐτῇ ὁ Ἰησοῦς, ἀναστήσεται
ὁ ἀδελφός σου. ἡ δὲ πρὸς αὐτόν, οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. εἶπε δὲ ὁ Ἰησοῦς, ἐγώ
εἰμι ἡ ἀνάστασις. τί τοίνυν, ὃ ἔχεις, ζητεῖς; ἔκδεξαι μικρόν, καὶ ὄψει τὴν χάριν. ἤκουσεν, ἐπίστευσεν
ἡ Μάρθα, καὶ τὴν ἀδελφὴν ἐπεγείρει, καὶ δρομαῖοι φέρονται πάντες οἱ πενθοῦντες, οἱ τὸ πάθος πα-
ραμυθούμενοι. πάλιν ὁ Ἰησοῦς, ἐν ὄχλῳ καὶ ἐν γάμῳ καὶ ἐν πένθει, πάντα γὰρ τοῖς πιστεύουσι

Ιωαν. ια λδ.

λύων τὰς δυσκολίας· ὡς δὲ εἶδε τὸ πένθος καὶ τὰ δάκρυα, λέγει ὁ Ἰησοῦς· Ποῦ τεθείκατε αὐτόν;
διὰ τί ἐξετάζεις, ὦ δέσποτα; μὴ παρὼν ᾔδεις τὸν θάνατον, καὶ παρὼν οὐκ οἶδας τὸν τόπον,
ἀλλὰ λέγεις, ποῦ τεθείκατε αὐτόν; δότε μοι, φησι, τοὺς θάψαντας, τοὺς καταδήσαντας,
τοὺς ἐνειλίξαντας τὸν νεκρόν. οὗτοί μου μάρτυρες τῶν ἐσομένων καταστάντες γνωρί-
σωσι τὰ ἑαυτῶν, ἵν᾽, ὅταν ἴδωσι τὸν ὑπ᾽ αὐτῶν ταφέντα ἀναστάντα, μὴ φαντασίαν εἶναι
νομίσωσι τὸ ἔργον. ἦλθεν ἐπὶ τὸ μνημεῖον, ὑπέσχετο δεικνύων ὁ πάντα εἰδώς· μετὰ ταῦ-
τα καὶ ἐδάκρυσε. καὶ τί δακρύεις, εἰ ἀληθεύεις ὃ ὑπέσχου, εἰ [μὴ] μέλλεις αὐτὸν ἐγείρειν;
ἀλλὰ δακρύει τὸν ἄνθρωπον, δεικνὺς τὸ φιλάνθρωπον τῆς γνώμης· τάχα δὲ καὶ διὰ τὴν
τῶν Ἰουδαίων ἀγνωμοσύνην, ὅτι καὶ μετὰ τοῦτο τὸ θαῦμα πάλιν τῇ ἀπιστίᾳ παρέμειναν. τινὲς
γὰρ ἐξ αὐτῶν εἶπον, οὐκ ἠδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα
καὶ οὗτος μὴ ἀποθάνῃ; ἠδύνατο. τί δὲ προσλαμβάνετε τὴν λοιδορίαν; μείνατε, καὶ βλέπετε
τὸ ἔργον. λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἄρατε τὸν λίθον. παράδοξος ὁ λόγος. ὁ πύλας χαλκᾶς
ἀνατρέπων, καὶ μοχλοὺς σιδηροῦς συντρίβων τοῦ θανάτου, λέγει, ἄρατε τὸν λίθον; διὰ τί
τῷ λόγῳ τὸν λίθον οὐκ ἀφορμάζεις, δέσποτα; ἄρατε, φησιν, ὑμεῖς οἱ συκοφάνται τὸν λί-
θον, οἱ ἄπιστοι, οἱ ἀπατεῶνες. ἄρατε, ψηλαφήσατε, πληροφορήσατε. ἵνα μὴ πάλιν ἑ-
αυτοῖς ἀπιστῆτε, ἀσφαλίσασθε τὴν θέαν. οὐ σκιὰ ἐξιέναι μέλλει, οὐδὲ φαντασία. ταῦτα

Ιωαν. ια λθ.

γὰρ καὶ λίθων πεφραγμένων ἐξιέναι δύναται. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα·
Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστιν. ἐχρῆν αὐτὸν δοῦλον ὄντα μὴ τοῖς δεσποτικοῖς χα-
ρίσμασιν ἐξομοιοῦσθαι. ὁ μὲν γὰρ δεσπότης κατὰ τὰς ἰδίας ὑποσχέσεις τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη·
οὗτος δὲ τεταρταῖος ἐξανίσταται. ἄλλο γὰρ δοῦλος, καὶ ἄλλο δεσπότης. λέγουσιν αὐτῷ,
Κύριε,

Κύριε, τεταρταῖός ἐστι, καὶ ἤδη ὄζει. μικρὰ ταῦτα πρὸς Θεόν· οὔπω ὀστᾶ ξηρά, οὔπω
σαρκῶν καὶ νεύρων ἔρημα, ὡς ποτὲ ἐπὶ τοῦ Ἰεζεκιὴλ τὸ τῶν νεκρῶν τὸ στρατόπεδον χαμαὶ κείμενον, καὶ
ἔρημον πάντων, ψυχῆς, αἰσθήσεως, ἀντιλήψεως, ζωτικοῦ πνεύματος, ἔσω παρὰ τῷ τάφῳ
ἤδη τῆς μελλούσης ἀναστάσεως ἀπόδειξιν ἐναργῆ παρέχον. ἐσιώπησε Μάρθα, καὶ ὁ λίθος
5 ἀφῄρητο, καὶ πάντες ἦσαν μετέωροι, νεκροὶ ζῶντες· τάχα δὲ καὶ ὁ ᾅδης αὐτός, ἤδη τῶν πυλῶν
τοῦ θανάτου παραλυομένων. καὶ πρῶτον Ἰησοῦς ὁ Κύριος ἀπὸ δοξολογίας ἄρχεται. Ἦρε
γάρ, φησι, τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανόν, τῆς αἰτίας καθόδου μηνύων τὸν τρόπον, εὐ-
χαριστῶν ὑπὲρ ἡμῶν τῷ πατρί, καὶ λέγων· πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. ἔχων μὲν ἀφ'
ἑαυτοῦ τὴν τῆς ζωῆς χορηγίαν, ποιεῖ δὲ τοῦτο, ἐπειδήπερ πρὸς αὐτὸν ἡ Μαρία καὶ Μάρθα ἔλε-
10 γον, Οἴδαμεν ὅτι ὅσα ἂν αἰτήσῃς τὸν Θεόν, δώσει σοι. διὰ τοῦτο ἀσθενεστέραν αὐτῶν τὴν — Ἰωαν. ια. κβ.
διάνοιαν βλέπων λέγει, ὅλως οἴδατε, ὅτι εἴ τι ἂν αἰτήσω πατέρα, δώσει μοι· τοίνυν προσ-
έλθετε τῇ διανοίᾳ ἐμοί, καὶ τῷ πατρί. καὶ λοιπὸν ἐπάγει λέγων, εὐχαριστῶ σοι, πάτερ, ὅτι ἤ-
κουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τοὺς περιεστῶτας εἶπον. εἶ-
δες πῶς οὐ δεῖται τῆς προσευχῆς, ἀλλὰ τοῦτο ποιεῖ διὰ τὴν τῶν παρόντων ἀπιστίαν. ἤκου-
15 σάς μου, φησι, πάντοτε. μὴ ζήτει τὸ, πότε. ὅσοι γὰρ ἐξετάζομεν, οὐ καταλαμβάνομεν.
εὐχὴ μὲν πάντα κατὰ φύσιν ὡς υἱός· ἐμμνημόνευσε δὲ τὴν τιμὴν ἀναπέμπων, ἵνα μίαν συμφω- * *
νίαν υἱοῦ καὶ πατρὸς ἐπιδείξηται τοῖς ἀγνοοῦσιν. ὡς δὲ ἠσφαλίσατο τὴν πίστιν, καὶ τοὺς τῶν ἀ-
κροωμένων λογισμοὺς ὠχύρωσε, λοιπὸν ἐπὶ τὸ ἔργον χωρεῖ. Λάζαρε, δεῦρο ἔξω. οὐκ ἐδι-
πλασίασε τὸν λόγον, ἵν' ὁ εἷς μόνος ἀναστῇ, καὶ μὴ ὁ δῆμος τῶν νεκρῶν ἀτάκτῳ δράμῃ δρόμῳ.
20 ἵνα ζητῶν νεκρόν, μὴ πάντες ἔλθωσιν. οὔπω γὰρ ἐνέστη τοῦ νεύματος ὁ καιρός. ὅτε ἀκούσου-
σιν οἱ νεκροὶ τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ οἱ ἀκούσαντες ζήσονται. εἷς μόνος ἠκέτω
τέως, εἷς λυέσθω διὰ τὴν τοῦ ἑνὸς μονογενοῦς φιλίαν, ἑνὸς δέομαι δεσμώτου. μηδεὶς ἀνα-
πιμπλέσθω τῶν κάτω, μὴ πυλωρὸς ἀφανής, μὴ δεσμοφύλαξ βαρύς, μὴ οἱ κάτω κλει-
δοῦχοι μεταστήσαντες πάντας λαμβάνειν. μάθε τοὺς ἐμοὺς πρῶτον διδάξαι. καὶ σὺ δέ, ὦ ᾅδη,
25 σιώπα, πεφίμωσο, μηδὲν ξένον πάθῃς, δεσπότου ἐπακούων. μηδὲ τοῦτον προσποιούμε-
νος. αὐθέντου φωνὰς παρὰ τῶν σῶν προθύρων. Λάζαρε, δεῦρο ἔξω· νίκησον θάνατον τοῖς
ἐμοῖς ἐπιτάγμασιν, νίκησον θάνατον συλλύσας τὰ κάτω. ἔτι μόνον δεδεμένος, ἤδη κατ' αὐ-
τοῦ στεφανούμενος. ἐξῆλθεν ὁ Λάζαρος δεδεμένος καὶ βαδίζων· ἐξῆλθε πάντα δεδεμένος, καὶ
ὅλος κινούμενος. ὅλος γὰρ δι' ὅλου σφιγγόμενος τοὺς πόδας καὶ χεῖρας, κατὰ τὸν ἐπιχώριον τῆς
30 ταφῆς τρόπον. ὅτε δὲ ἦν λοιπὸν ἔξω θανάτου καὶ τάφου· πάλιν ἐπιτάσσει ὁ Ἰησοῦς καινὸν ἐπί-
ταγμα, λύσατε αὐτόν, φησι, καὶ ἄφετε ὑπάγειν. διὰ τί αὐτόματος οὐ λύεται ὁ θάνατον
φυγών, ὁ τὴν κάτω φρουρὰν ἀνατρέψας; ὑμεῖς λύσατε οἱ πάλαι δήσαντες, ἵνα τῶν οἰκεί-
ων δεσμῶν ἐπιγνῶτε τὰ σήμαντρα. ὡς δὲ ἤκουσαν ταῦτα οἱ Φαρισαῖοι, ξένον βουλευτήριον
συγκροτοῦσι λέγοντες, Τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος τοιαῦτα σημεῖα ποιεῖ; μεγάλα ἐγ- — Ἰωαν. ια. μζ.
35 κλήματα· νεκρῶν ἐγειρομένων θάνατος θανατοῦται, καὶ Λάζαρος ἀνίσταται ἐκ νεκρῶν· οἱ δὲ
ὀλίζων — Ἰουδαῖοι νεκροῦνται τῇ γνώμῃ. μὴ ἀτελὲς τοίνυν καθήσθω βουλευτήριον, ἀλλὰ προσ-
θετε τὸν τοῦ ἐγκλήματος λόγον, καὶ εἴπατε· τί ποιοῦμεν, ὅτι μετ' ὀλίγας ἡμέρας ἄνωθεν
ἥλιος σκοτίζεται, κάτωθεν γῆ τρέμει μὴ φέρουσα τὰ παρανομήματα, εἴσωθεν τοῦ ναοῦ τὸ κα-
ταπέτασμα διαρρήγνυται, νεκρῶν δῆμος πρὸς ζωὴν ἐπανέρχεται; πάλιν εἴπατε, τί ποι-
40 οῦμεν, ὅτι ναὸς λύεται, ὅτι λατρεία παύεται, ὅτι ἡ πόλις ἐμπίπραται, ὅτι ἡμεῖς ἐκβαλ-
λόμεθα, καὶ ἕτεροι ἀνθ' ἡμῶν κληρονόμοι καθίστανται; τί ποιοῦμεν, ὅτι πάντα μεταφέρεται,
προφῆται, ἀπόστολοι, ἱερωσύνη, νηστεία, πανηγύρεις, λατρεία; καὶ Θεὸς δέξεται. περὶ
τούτων σκέψασθε, περὶ τούτων βουλεύσασθε. αἱ γὰρ τῶν λόγων λέξεις ἀνωφελεῖς εἰσιν
ὑμῖν, ἡ γνώμη μωρεῖ. λόγον γάρ, ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμένει ἐν ὑμῖν. ἅπαξ τοίνυν

δέδωκεν

δέδωκεν ὁ Θεὸς, οἷς δέδωκεν, ἀεὶ ἑορτάζειν, ἀεὶ πανηγυρίζειν, καθ' ἕκαστον ἔτος ἀξιοῦσθαι τῆς πανηγύρεως τῶν λόγων, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ϛγ.

ΕΙΣ ΤΟΝ ΤΕΤΡΑΗΜΕΡΟΝ ΛΑΖΑΡΟΝ. β.

Ex Ms. Regio emend. ex Mss.

Ἀγαπητοὶ, ὥσπερ μήτηρ φιλότεκνος ἐπιδιδοῦσα τὴν θηλὴν τῷ νηπίῳ τέρπεται, τοῦ παιδὸς ἐφέλκοντος τὴν ἀπαλὴν τροφὴν τοῦ γάλακτος· ἐπειδὰν δὲ ὁ θρόμβος τοῦ γάλακτος τυρωθεῖσα ἐμφράξῃ τοὺς "ὀχετοὺς τοῦ μαζοῦ, τότε δὴ καὶ τὸ παιδίον κλαυθμυρίζει, καὶ ἡ μήτηρ ὀδυνᾶται, τὴν μὲν προαίρεσιν τοῦ τρέφειν ἡπλωμένην ἔχουσα, τὴν δὲ τροφὴν μὴ ἐπιδιδομένην ὁρῶσα· "ὡσαύτως καὶ ἡμεῖς τῇ προπετείᾳ τὴν θηλὴν τῇ διανοίᾳ ὑμῖν "ὑποβαλόντες, ἐτερπόμεθα, ὑμῶν ἐφελκόντων τὸ γάλα τοῦ λόγου· ὅτε δὲ τὸ τῆς λήθης νέφος ὑποδραμὸν τῇ διανοίᾳ, τὸν λόγον "διέκοψε, τότε δὴ καὶ ὑμεῖς ἠγανακτήσατε ὡς ἀποστερούμενοι τῶν εὐαγγελικῶν διδαγμάτων τὰ νοήματα, καὶ ἡμεῖς ἐδυσφοροῦμεν, τὴν μὲν προθυμίαν τοῦ λέγειν ἐκτεταμένην ἔχοντες, τὸν δὲ νοῦν κωλυόμενον ὑπὸ τῆς λήθης ὁρῶντες. ἀλλ' ἴσως τοῦτο συμβέβηκεν ἡμῖν, ἵνα γνῶμεν, ὅτι οὔτε τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, οὐδὲ τοῦ διώκοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. δεῦρο τοιγαροῦν ἐπειδήπερ Θεὸς δίδωσι τοῖς λέγουσι "χάριν, οὐ διὰ τὴν ἀξίαν τῶν λεγόντων, ἀλλὰ διὰ τὴν χρείαν τῶν ἀκουόντων, αὐτὸν παρακαλέσαντες, "ἀπὸ τῶν ἀρτίως ὑμῖν ὑπαναγνωσθέντων εὐαγγελικῶν ἀναγνωσμάτων κατὰ δύναμιν "τὸ πότιμον τῆς διδασκαλίας ἀρυσώμεθα "νᾶμα. ἦν τις ἀσθενῶν, φησι, Λάζαρος ἀπὸ Βηθανίας ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. Εἶπε δὲ ὁ Ἰησοῦς· οὐκ ἔστιν ἡ ἀσθένεια αὕτη πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ Θεὸς δι' αὐτῆς. αὐθυποφέρων λέγω, ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ· οὐκ ἔστιν ἀσθένεια, ἀλλ' εὐαγγέλια, οὐκ ἔστιν ἀσθένεια, ἀλλ' ἀσφάλεια. ὦ ἀσθένεια ἀρρωστούντων ἰατρὲ, πίστεως "ὁδηγὲ, θανάτου ἀντίπαλε, διαβόλου ἀντίδικε, σωτηρίας ἀρχηγέ. ὦ ἀσθένεια, "ἀρετῆς θεμέλιε [ἄρρηκτε], πίστεως διδάσκαλε, εὐσεβείας οἰκονόμε*. ὦ ἀσθένεια πυρετοὺς ψυχῶν ἀποσοβοῦσα, καὶ ἱδρῶτας βαπτίσματος δροσίζουσα, καὶ λαμπρὰς στολὰς ψυχῆς ἐξυφαίνουσα. ὦ ἀσθένεια, οὐρανίου ἄρτου πρόχοε, πίστεως λαμπαδοῦχε ἀείστε, διαβόλου παγὶς [καὶ ἀνθρώπου σφραγίς.] Ὅτε δὲ ἤκουσε, φησιν, ὁ Ἰησοῦς, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας. τί δὲ τὸ ἀναγκαῖον τὸ ἐπιμεῖναι τὸν Κύριον ἀκούσαντα, καὶ μὴ "εὐθὺς ἀπελθεῖν πρὸς τὸν ἀσθενοῦντα; ἀλλὰ πάντως ἐξεδέχετο τὸν θάνατον τοῦ Λαζάρου, ὅπως ἐν τῷ θανάτῳ μείζονα τῶν θαυματουργημάτων τὴν πίστιν τοῖς ὁρῶσιν ἐνδείξηται. μετὰ ταῦτα οὖν λέγει τοῖς μαθηταῖς ὁ Ἰησοῦς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν. ἀληθῶς γὰρ ὁ τῶν ἀνθρώπων θάνατος, ὕπνος παρὰ "τῷ Κυρίῳ λελόγισται. πορεύομαι, ἵνα ἐξυπνίσω αὐτόν. τί γάρ; καὶ ἐνταῦθα ὢν ἀδυνατεῖς ζωοποιῆσαι τὸν νεκρόν; ἀλλ' οὐχ οὕτω δέχονται τὴν χάριν οἱ Ἰουδαῖοι "ἐμοῦ ἀπόντος. ἴσως γὰρ ἀναστάντος αὐτοῦ νομίσουσιν ἐκ συντυχίας τινὸς "ἀναβιῶσαι τὸν Λάζαρον. αὐτὸς οὖν ἐγὼ παραγίνομαι, ὅπως παρόντος μου αὐτόπται γινόμενοι τῶν παρ' ἐμοῦ γινομένων θαυματουργημάτων, καὶ τὴν χάριν παρ' ἐμοῦ δεξάμενοι, εἰς πίστιν βεβαίαν "ἐνεχθῶσι. Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἐξυπνίσαι αὐτόν. "οἱ δὲ μαθηταὶ ἀκούσαντες, εἶπον· Κύριε, εἰ κεκοίμηται, σωθήσεται. οὐ τοσοῦτον δὲ θεοσεβῶς ἀπεκρίναντο, ὅσον ἰατρικῶς. ὕπνος γὰρ ληθαργικοὺς μὲν βλάπτει ἐπιτεινόμενος, πυρετοὺς

δὲ

Ρωμ. θ. ιϛ. — Ἰωάν. ια. α. — Ἰω. ια. ϛ.

δὲ λύει μᾶλλον ἱδρώτων. ἐπειδὴ τοίνυν ἔδοξαν οἱ μαθηταὶ λέγειν τὸν Κύριον περὶ τῆς κοι-
μήσεως τοῦ ὕπνου, εἶπε μετὰ παῤῥησίας· Λάζαρος ὁ φίλος ἡμῶν ἀπέθανε, καὶ χαίρω δι' ὑ-
μᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλὰ ἄγωμεν πρὸς αὐτόν. ὁ μὴ θέλων τὸν
θάνατον τοῦ ἁμαρτωλοῦ, χαίρει νῦν ἐπὶ θανάτῳ φίλου. χαίρω, οὐ δι' ἐμαυτὸν, οὐδὲ διὰ τὸν
5 τεθνεῶτα, ἀλλὰ δι' ὑμᾶς. κέχρημαι γὰρ τῷ θανάτῳ πρὸς τὸν τῆς ὑμετέρας πίστεως θε-
μέλιον. ὦ θάνατος, Χριστοῦ ἀγαλλίασις· ὦ θάνατος, "ζωῆς" ἀνάπλεως· ὦ θάνατος,
θανάτου λυτήριον, σωτηρίας ἀρχηγὸς, πεπτωκότων ἀνάστασις, καμνόντων ἀνάπαυσις,
ἀσθενούντων ῥῶσις*, δικαίων ἀνάψυξις· ὦ θάνατος, διαβόλου κατάλυσις, δαιμόνων
καθαίρεσις, τοῦ πρωτοπλάστου Ἀδὰμ ἀνανέωσις. ὦ θάνατε, εὐφροσύνης συνεργὲ,
10 ἀφθαρσίας μηνυτὰ, χαρᾶς χορηγέ. ἵνα δὲ ἐπιτεμὼν" τὸν λόγον εἴπω, ἔρχεται Ἰησοῦς
εἰς τὴν Βηθανίαν, ἀπαντήσασι αὐτῷ αἱ ἀδελφαὶ Λαζάρου, προσπίπτουσι τοῖς γόνασι
τοῦ Κυρίου κλαίουσαι καὶ λέγουσαι· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός. *Ιωαν ια. κα. λϛ.*
ἆρα γὰρ οὐκ ἦν ἐκεῖ; ἀλλὰ τῷ μὲν σώματι οὐκ ἦν ἐκεῖ, τῇ δὲ θεότητι, οὐ μόνον ἐκεῖ, ἀλ-
λὰ καὶ ἐν οὐρανοῖς. πῶς γὰρ ἐγίνωσκε [τὸ] πότε ἀπέθανεν ὁ Λάζαρος, εἰ μὴ παρὼν ἦν
15 κατὰ τὴν ἀόρατον δύναμιν τῆς θεότητος; καὶ ἔλεγον, Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡ-
μῶν ὁ ἀδελφός. εἶπε δὲ πρὸς αὐτὰς ὁ Κύριος· πιστεύσατε, καὶ ὄψεσθε τὴν δόξαν τοῦ Θε-
οῦ, διδάσκων ὅτι τῶν ἔργων τῶν ἀγαθῶν ἡ πίστις ἐστὶν" ἀρχηγός. καὶ θεωρήσας αὐτὰς κλαιού-
σας καὶ τοὺς παρόντας Ἰουδαίους, ἐνεβριμήσατο τῷ πνεύματι, καὶ ἐτάραξεν ἑαυτὸν, καὶ εἶπε· *Ιωαν. ια. λγ.*
ποῦ τεθείκατε αὐτόν; τί ἐστι τὸ, ἐνεβριμήσατο τῷ πνεύματι; ἐκδέξαι, ἀγαπητὲ, καὶ μετ'
20 ὀλίγον εὑρήσεις τοῦ ζητουμένου τὴν λύσιν. ἐτάραξεν ἑαυτὸν, οὐχ ὡς ἡμεῖς ὑπὸ δειλίας, ἢ λύπης
ταραττόμεθα, ἀλλ' αὐτὸς ἑαυτὸν ἐτάραξε, καὶ λέγει, ποῦ τεθείκατε αὐτόν; ἆρα γὰρ ἠγνόει ποῦ
"τέθαπται, ὁ ἐγνωκὼς πότε τετελεύτηκεν; ἀλλὰ μιγνύει τὰ ἀνθρώπινα ῥήματα τοῖς θεί-
οις θαυματουργήμασιν, ἵνα δείξῃ ὅτι καὶ ἄνθρωπος ἦν, καθὰ καὶ ὁ προφήτης λέγει· Καὶ ἄν-
θρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; τὸ καὶ προσέταξεν ἵνα σημαίνῃ, ὅτι καὶ ἄλλο τί ἐστιν, ὅπερ
25 ἐστὶ Θεός. ποῦ τεθείκατε αὐτόν; ἡ δὲ Μαρία, ἔρχου, φησὶ, καὶ ἴδε, Κύριε· καὶ ἐδάκρυσεν ὁ Ἰη-
σοῦς. τίς δὲ χρεία δακρύειν, ὃν ἔμελλεν ἀνιστᾶν μετ' ὀλίγον; ἀλλ' ἐδάκρυσεν ὁ Ἰησοῦς, ἵνα τὸ συμ- *Ιωαν ια λε.*
παθὲς καὶ τὸ φιλάνθρωπον περὶ τοὺς ὁμοφύλους ἡμῖν ὑποδείξῃ. ἐδάκρυσεν ὁ Ἰησοῦς, ἵνα τὸ
κλαίειν μετὰ κλαιόντων ἔργῳ μᾶλλον ἢ λόγῳ διδάξῃ. ἐδάκρυσεν ὁ Ἰησοῦς· ἐδάκρυσεν, οὐκ
ἐπένθησε, τὸ μὲν ἀδάκρυτον παντελῶς ὡς ἀπηνὲς καὶ ἀπάνθρωπον παραιτούμενος, τὸ δὲ
30 φιλοπενθὲς ὡς ἀγεννὲς καὶ ἄνανδρον "διωθούμενος· τάξιν δὲ ἐπιτιθεὶς τῇ συμπαθείᾳ, ἐδά-
κρυσεν. ἔρχεται ἐπὶ τὸ σπήλαιον, καὶ θεωρεῖ λίθον ἐπικείμενον τῷ μνήματι. κελεύει τοῖς
παρεστῶσιν Ἰουδαίοις ἀποκυλίσαι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ σπηλαίου. ὁ λέγων, Ἐὰν πί- *Ματθ. ιζ. κ.*
στιν ἔχητε ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν,
καὶ γενήσεται ὑμῖν, πῶς νῦν αὐτὸς ἀδυνατεῖ ἀποκυλίσαι τὸν λίθον; ἀλλ' οὐχ ὡς ἀδυνατῶν
35 τοῦτο ποιεῖ, φησιν, ἀλλ' ἵνα μὴ δόξωσι φαντασίαν εἶναι τὸ γινόμενον, ἐπιτάσσει αὐτοῖς τοῖς Ἰου-
δαίοις ἰδίαις χερσὶν ἀποκυλίσαι τὸν λίθον, τὸ μέγιστον σημεῖον ἐμαυτῷ καταλιμπάνων· ἵνα
αὐτοὶ μάρτυρες γένωνται τῶν ὑπ' ἐμοῦ γινομένων σημείων. εἶτα μετὰ τὸ ἀποκυλίσαι τὸν λί-
θον, ἀναβλέψας ὁ Ἰησοῦς εἰς τὸν οὐρανὸν, εἶπεν· Εὐχαριστῶ σοι, πάτερ, ὅτι ἤκουσάς μου. πό- *Ιωαν. ια. μα.*
τε" δὲ προσηύξατο; νῦν λάμβανε, ἀγαπητὲ, τὴν πρὸ βραχέος ζητουμένην παρὰ σοῦ λύ-
40 σιν τοῦ ῥητοῦ. ὅτε γὰρ ἐνεβριμήσατο τῷ πνεύματι, τότε προσηύξατο. καὶ ταῦτα εἰπὼν,
ἔκραξε φωνῇ μεγάλῃ, λέγων, Λάζαρε, δεῦρο ἔξω. καὶ εὐθέως ἐξῆλθεν ὁ "τεθνηκὼς δεδε-
μένος τὰς χεῖρας καὶ τοὺς πόδας κειρίαις. ὦ φωνῆς δύναμις ᾅδην διαρρήξασα, πύλας
χαλκᾶς συντρίψασα, μοχλοὺς σιδηροῦς συνθλάσασα, διάβολον καταστρώσασα, θάνατον
καταργήσασα, νεκρὸν ἀνεγείρασα. ὦ φωνῆς δύναμις, τὰ διεστῶτα μέλη εἰς ἓν συνάγουσα

καὶ ἀνορθοῦσα, καὶ τὸν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγοῦσα. ὦ φωνῆς δυνάμεως, τὸν τετραήμερον νεκρὸν ὡς ἐξ ὕπνου ἐγείρουσα, καὶ τὸν κειρίαις δεδεμένον ὡς ἔλαφον καὶ ὀξυδρομέα τοῦ τάφου προαγαγοῦσα. ἐπίστησον, ἀγαπητὲ, τὸν νοῦν σου τῇ φωνῇ, καὶ εὑρήσεις αὐτὸν τὸν λόγον τὸν λέγοντα ἐν τῇ κοσμοποιΐᾳ, Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς, γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ἐγένοντο, τὸν αὐτὸν καὶ νῦν λέγοντα, Λάζαρε, δεῦρο ἔξω, καὶ οἱ ἀπορρεύσαντες ἰχῶρες τῶν σαρκῶν τὰς κοτύλας πάλιν ἀνεπλήρουν, καὶ αἱ ἀποπεσοῦσαι τρίχες τὴν οἰκείαν τάξιν ἐπεγίνωσκον, καὶ ἐν τοῖς μέλεσι κατεφυτεύοντο. Λάζαρε, δεῦρο ἔξω· καὶ ὁ νεκρὸς ἀνίστατο, καὶ τεταρταῖος ἴσος ἦν τῷ μήπω τὴν ἀρχὴν τεθνεῶτι. Λάζαρε, δεῦρο ἔξω· καὶ ἡ ψυχὴ ἐκ τῶν καταχθονίων ἀνάσπαστος ἐγίνετο, μὴ διαβόλου ἀντιλέγοντος, μὴ θανάτου ἀντιπαλαίοντος, καὶ χαίρουσα τὸ ἴδιον οἴκημα ἐπεγίνωσκε. τούτων τῶν θαυματουργημάτων, ἀγαπητὲ, τὸ θεῖον ἔργον θεωρήσας, τὴν ἀνάστασιν μὴ ἀμφίβαλλε· γενέσθω σοι ἔσοπτρον ὁ Λάζαρος, καὶ ἐν ἐκείνῳ σεαυτὸν θεωρήσας, τὴν ἀνέγερσιν πίστευε. ἡ αὐτὴ γὰρ φωνὴ πάντας ἡμᾶς ἀναστήσει, ὥς που καὶ ὁ ἀπόστολος λέγει· Σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἀναστήσονται ἄφθαρτοι, τῇ χάριτι * τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γεν. α. γ. — α. Κορ. ιε. ϛ.

ΕΙΣ ΤΟΝ ΤΕΤΡΑΗΜΕΡΟΝ ΛΑΖΑΡΟΝ γ.

Λογ. ϛδ. Ιωαν. ια. *Ex Ms. Cesareo.*

Ἔλυσε μὲν Λάζαρον τὸ φῶς, ἀλλ' οὕτω καλούμενος ἔσπευσεν, ὡς ἐσπαργανωμένος ἐπιδείξασθαι δρόμον, ὁ τετάρτην μὲν ἡμέραν καταστὰς ἐν τῷ μνημείῳ, πολλὰ δὲ τῶν σπλάγχνων ὑπὸ σκωλήκων πεπορθημένος, πᾶσαν δὲ τὴν τοῦ σώματος διασπασθεὶς ἁρμονίαν, καὶ τῆς φθορᾶς μάρτυρα τὸ τοῦ τάφου κεκτημένος δυσῶδες. ἀλλ' ἡ τῆς ζωῆς ὀσφρανᾶσα μὲν νεκρὸν εὐοσμία, τὴν τῶν σπλάγχνων ἀνεχάλκευσε λύσιν· γέγονε μήτρα τοῦ κειμένου τὸ μνῆμα· καὶ καθάπερ ἐν γαστρὶ σπαρεὶς, οὐκ ἐν μνήματι, νεόπλαστος ἐξήλλετο Λάζαρος. ὢ καινῆς θαυματοποιΐας. ἄνθρωπον ἡμῖν εἰς ζωὴν ἐξεφόρησε τάφος τοῖς ἐνταφίοις, ὥσπερ τὸ βρέφος, ἐνειλημμένον σπαργάνοις. ἡ γὰρ τοῦ δεσπότου φωνὴ τῷ νεκρῷ προσενεχθεῖσα, μετὰ τῶν σπαργάνων ἐκ τοῦ μνήματος εἵλκυσεν αὐτόν. Λάζαρε, φησὶ, δεῦρο ἔξω· καὶ τῷ λόγῳ ταχέως ὁ νεκρὸς συνεξήρχετο, καὶ συνέτρεχεν ἀλλήλοις ἐν τῷ τάφῳ τὰ μέλη πρὸς τὴν οἰκείαν· ὀφθαλμὸς ἐπανήρχετο τάξιν, τὴν οἰκείαν ἡ ῥὶς κατελάμβανε χώραν, πρὸς τὸ πρότερον πλευραὶ κατηπείγοντο σχῆμα, τράχηλος ὤμοις καὶ κεφαλῇ συνεσφίγγετο, ἡ τῶν χειρῶν πρὸς κίνησιν εὐτρεπὴς συζυγία, ἄρθρων ἁρμονίαι συνήπτοντο, δακτύλων συνετίθετο τάξις, νεύρων ἀνεδεσμοῦντο συνθῆκαι, ὀστέων ἐνεδύετο φύσις, διετείνοντο σὺν φλεψὶν ἀρτηρίαι, μυελὸς ἀνεπλάττετο, ὑμένες ὑφαίνοντο, ἐνεθετίζοντο τρίχες. βραδὺν τῷ λόγῳ τῶν μελῶν κατασκευάζω μὲν δρόμον. ὥσπερ ἐκ συνθήματος ἵππος, οὕτως ἐκ τῆς τοῦ δεσπότου φωνῆς νυττόμενος ὁ νεκρὸς ἀνεπήδα. Λάζαρε, δεῦρο ἔξω. πρὶν εἴπῃ, ἀνάστηθι, προστάττει τὴν ἔξοδον· κείμενον ἔτι κατεπείγει πρὸς δρόμον. ἀνάστησον πρότερον, εἶθ' οὕτως ἀναστάντι τὸ τρέχειν ἐπίταξον. τί πρὸ τῆς ἀναστάσεως ἔξοδον, δέσποτα, τῷ κειμένῳ κηρύττεις; κειμένῳ, φησὶν, ἐπιτάττω τὸν δρόμον, ἵνα μὴ πρὸς δύο τὸν νεκρὸν ἀσχολήσας, ἐγχρονοτρίβησω τὴν ἔξοδον. οὐ λέγω πρὸς αὐτὸν, ἔγειρε, καὶ δεῦρο ἔξω, ἵν' ὀξύτερον δράμῃ, ἐγέρσεως καὶ δρόμου μίαν λαβὼν προθεσμίαν. ἐντεῦθεν ὑπόπτερος Λάζαρος ἐξεπήδα τοῦ μνήματος, ὡς φύλαξ μᾶλλον, ἢ νεκρὸς, τῷ τάφῳ παρακαθήμενος. ᾅδης δὲ κάτωθεν, ὡς ἔοικε, μὲν νεκρὸν ἀποδιδοὺς ἀνεβόα· τίς ἐστιν ὁ φωνῇ τοὺς νεκροὺς ἐκ τῶν τάφων, ὡς ὑπνοῦντας ἐγείρων; τίς ἐστιν ὁ νόμους τεθνεώτων παλαιοὺς παραλύων; τίς ἐστιν

ὁ κατεξανίστασθαι τὸ σὸν κήρυγμα προσθεὶς τοῖς νεκροῖς ἐπῳδοῦ; τίς ἐστιν ὁ πρὸς ζωὴν * τοὺς ταφέντας ἀνατρέχειν ἐθίζων; τίς ἐστιν ὁ τοὺς ἐμοὺς οὕτως εὐκόλως ἀναλύων νεκρούς; τί ἐστιν ὁ νεκροὺς μου παλαιοὺς ἀποσπῶν ἐπιτάγματι; οἴχεταί μοι τῆς κατὰ τῶν ἀνθρώπων, ὡς ὁρῶ, τυραννίδος τὸ σκῆπτρον, στενὸν μοι λοιπὸν τοῦ θανάτου τὸ δεσμωτήριον ἀπῆλθεν. Ἠλίας νεκρὸν ἀνέστησε πρὸς χάριν γυναικὸς ἀποδείξας. ἐπελθὼν Ἐλισσαῖος ἅρπαξ μοι νεκρῶν κατεσκευάσθη διπλοῦς. νῦν πικρότερος ἐστιν ὑπὲρ τῶν νεκρῶν μοι βοηθὸς ἐπιστρατεύσας, κλέπτων τοὺς σεσηπότας νεκρούς, καὶ κινδυνεύω λοιπὸν μήτε σαπέντων ἐξουσιάζειν νεκρῶν. σεσύλημαι γὰρ νεκρὸν, ὃν ἀνήλωσα· θριαμβεύει με τετραήμερον σῶμα μετὰ τῆς ἐνταφίου τοῖς ζῶσι συγχορεύων αἰσθητῶς· πατηθήσομαι λοιπὸν μετὰ σπαργάνων, παρὰ ἐμοῦ νεκροῦ δραπετεύσαντος. τίς γάρ με τοῦ λοιποῦ δειλιάσει, τὸν παρὰ σαπέντος νενικημένον νεκροῦ, καὶ ὡς παρακαταθηκῶν τινων φύλακα τῶν νεκρῶν γενόμενον; παρακαταθήκη γάρ τις τοῦ μνήματος Λάζαρος, ὥσπερ τις χρυσὸς, μεθ' ὧν παρετέθη σφραγίδων ἀποδιδόμενος· δεδεμένος κειρίαις παρετέθη τῷ μνήματι, μετ' αὐτῶν αὖθις τῷ βίῳ δεδεμένος ἀπεδίδοτο. ἄπιστος γὰρ τῶν Ἰουδαίων ὁ δῆμος, καὶ πρὸς τὴν τῶν θαυμάτων μεγαλουργίαν ἀμφίβολος. Εἶπον ἂν ἐπὶ Λαζάρῳ καὶ νῦν, ὥσπερ ἐπὶ τῷ τυφλῷ θεραπευθέντι ποτέ· οὗτός ἐστιν, οὐκ ἔστιν οὗτος. ὥσπερ οὖν παρακαταθήκην ἀποδώσειν τις μέλλων, καὶ τὴν τοῦ παραθεμένου προορῶν ὑποψίαν, τὰς τῆς παρακαταθήκης διαφυλάττει σφραγίδας, ἵν' ἡ τῶν σφραγίδων ὄψις τὸν παραθέμενον πείσῃ· οὕτω καὶ ὁ δεσπότης Χριστὸς τὸν Λάζαρον ἀποδιδοὺς Ἰουδαίοις ἐκ νεκρῶν, τὴν τετραήμερον ἐν νεκροῖς παραθήκην, τὰ τῶν σπαργάνων αὐτοῦ, καθάπερ τινὰ σφραγῖδα, συνεξάγει σημεῖα· ἵνα λύοντες ἴδωσιν, ὡς οὐκ ἄλλος τις, ἀλλ' αὐτὸς, ὃν κατέθεντο. ἀλλ' ἡ τῆς ἀπιστίας ἀδιόρθωτος πήρωσις. γνωρίσαντες γὰρ τὸν νεκρὸν ἐφθόνουν τῷ θαύματι, καὶ τυφλὴν διενοοῦντο βουλήν. Ἐβουλεύσαντο γάρ, φησιν, οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν· ὅτι δι' αὐτὸν πολλοὶ τῶν Ἰουδαίων ὑπῆγον καὶ ἐπίστευον εἰς αὐτόν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ιωαν. θ. θ.

Ιωαν. ιβ. ι.

ΕΙΣ ΤΟΝ ΠΡΟΔΡΟΜΟΝ.

Λογ. με.

Ex edit. Antuerp.

ΟΙ ἀνθηρότατοι λειμῶνες ἄνθεσι χρυσοκόμοις πεποικιλμένοι, δένδρεσι καλλιπνόοις κοσμούμενοι, ὄρνεσι καλλιφώνοις κλονούμενοι, καὶ τὴν ἀκοὴν τῶν ἀνθρώπων θέλγουσι, καὶ τὴν ὅρασιν θάλπουσι. τοῦ γὰρ ἡλίου τὰς χρυσᾶς αὐγὰς κυκλοτερῶς περιστίλβοντος, ἀνακλώμεναι αἱ αἴγλαι πυραυγεῖς ἀντιστράπτουσι λαμπηδόνας. ἐκεῖ τραυλαὶ λάλων ὀρνίθων, σειρηνώδεσι κλαγγαῖς λιγυρὸν ἀποπέμπουσι μέλος. ἐκεῖ ἀνέμων εὐήχων ζέφυροι ἐν ταῖς κυκλότησι τῶν ὀρέων ἐρειζούσαις, τῶν κρημνῶν κοιλάδας σαλεύοντες, ἐν εἰκόνι κιθάρας ὁμοφώνως ᾄδουσιν· ὡς καὶ τοὺς ἐν ταῖς καλύβαις οἰκοῦντας ποιμένας τε καὶ βουνόμους, ἔναυλα ἔχοντας τὰ τῶν μουσικῶν ὀρνίθων λυρικὰ μελῳδήματα, δόναξι πολυφθόγγοις ἀντίμιμα κελαδοῦντας, κατὰ παντὸς τερπνοῦ τόπου καὶ πάσης βοτάνης τὰς ἀρίας ὡραίως φέρειν. ἀλλ' ἐκεῖ μὲν πηγὴ ἀθλοφόρα νάματα βρύει· ἐνταῦθα δὲ μελίστακτον σοφίας Θεοῦ δίδαγμα λάμπει. ἐκεῖ μουσικῶν ὀρνίθων λιγυρίσματα· ἐνταῦθα ψαλμῶν ἁγίων μελῳδήματα. ἐκεῖ τρυγὼν ἡ φιλέρημος δενδροβατοῦσα, γοεροῖς μέλεσι τὸ καλλίχροον ἔαρ σημαίνει· ἐνταῦθα ὁ ἐν ἀκρίσι καὶ μέλιτι τραφεὶς Ἰωάννης, τοῖς ἐρημικοῖς κηρύγμασι, μᾶλλον δὲ πνευματικοῖς, τὰς ἐκκλησίας κινήσας, τὸ οὐράνιον ἔαρ ἐπιφανὲν τῷ κόσμῳ σαλπίζει. Ἐν γὰρ ταῖς ἡμέραις ἐκείναις, φησὶ, παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ, καὶ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. ἐν ταῖς ἡμέραις ἐκείναις. ἐν ταῖς

Ματθ. γ. α.

Ἰησοῦ τοῦ Θεοῦ ἀποδείξεσιν, ἐν ταῖς τοῦ οὐρανίου βασιλέως ἀποδημίαις, ἐν ταῖς τοῦ ἀϊδίου φωτὸς ἀναλάμψεσιν. ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ. οὐχὶ ἐν τῇ οἰκουμένῃ· ὅτι ἔρημος ἦν ἡ τῶν ἀνθρώπων κατάστασις, μήπω οἰκουμένη ὑπὸ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. τί τε ἐκήρυσσε; μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. ὢ μετάνοια ἐν αὐτοῖς τοῖς δάκρυσι τὴν ζωὴν θερίζουσα, καὶ ἐν τῷ νυμφικῷ πέπλῳ τὸ νυμφικὸν φέγγος στολιζομένη· ὢ μετάνοια διαβόλου κατήγορε, ἐπιστρεφόντων συνήγορε. Εἶχε δὲ ὁ Ἰωάννης τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. περιβλεψώμεθα, ἀγαπητοί, τὸ ἔνδυμα Ἰωάννου. ἴσως τὸ ἐκείνου ἔνδυμα αἴνιγμα ἡμῖν σωτηρίας γίνεται. ἐκεῖνο εἶχε τὴν εἰκόνα τῶν ἐξ ἐθνῶν ἐπιστρεφόντων λαῶν. Εἶχε, φησί, τὸ ἔνδυμα ἀπὸ τριχῶν καμήλου. καμήλῳ πολλάκις παρεικάζει ἡ γραφὴ τὸν διάβολον, διὰ τὸ πολύογκον καὶ πολύστρεβλον καὶ βαρυμήνιον. ὁ τὴν σκοπιὰν θεωρήσας ἐν τῷ Ἡσαΐᾳ λέγει· Εἶδον ἀναβάτην ὄνου, καὶ ἀναβάτην καμήλου. ἀναβάτην ὄνου λέγει τὸν Χριστόν, ἐπειδήπερ ὄνῳ καθεσθεὶς εἰσῆλθεν εἰς Ἱεροσόλυμα· ἀναβάτην καμήλου, τὸν ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν κατ᾽ ἐνέργειαν τοῦ διαβόλου ἐπιφοιτῶντα τῷ κόσμῳ ἀντίχριστον. Εἶχε δὲ τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου ὁ Ἰωάννης. ἤδη γὰρ τῷ κηρύγματι τῆς εὐσεβείας τοὺς δίκην τριχῶν καλύπτοντας ἐθνικοὺς πρὸς ἑαυτὸν καταστρέψας, κἀκεῖνον γυμνώσας, καὶ τὴν ἐκκλησίαν πυκνώσας, τῇ ἑνότητι τῆς πίστεως τὸ σῶμα τῆς ἐκκλησίας ἐξυφήνας, ἑαυτῷ περιβόλαιον σωτηρίας ἐξειργάσατο. Εἶχε δὲ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. ὀσφύος μνημονεύει καὶ ζώνης δερματίνης ἡ γραφή, ἵνα τὸ γεννητικὸν πάθος τῆς ἁγνείας διὰ τῆς ἔξωθεν ἐκ νεκροῦ δέρματος περικειμένης ζώνης νενεκρωμένον εἶναι σημάνῃ. ἐκείνη γὰρ τῆς ἔνδοθεν κρυπτομένης παρθενίας ἦν ἀψευδὴς κατήγορος. Ἤσθιε, φησίν, ἀκρίδας, καὶ μέλι ἄγριον. τοὺς ἀποπηδῶντας Ἰουδαίους τοῦ νόμου καὶ τῶν ἐντολῶν λέγει, ὥς φησιν ἡ γραφή· Ἐξήλατο ὡς ἀττέλαβος ὁ σύμμικτός σου, ἢ ὡς ἀκρὶς ἐπὶ φραγμῷ ἐν ἡμέρᾳ πάγους. ἀνέτειλεν ὁ ἥλιος· καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω τὸν τόπον αὐτοῦ. μέλι δὲ ἄγριον, διὰ τοὺς Ἰουδαίους τὴν γλυκύτητα τοῦ νόμου τῇ παραβάσει τῶν ἐντολῶν ἐξαγριώσαντας. Τότε παραγίνεται πρὸς αὐτὸν ὁ Ἰησοῦς, φησίν, ἐπὶ τὸν Ἰορδάνην, ἐπὶ τὸ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ. ὁ δὲ διεκώλυεν αὐτόν, λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· ἄφες ἄρτι. δεῖ σε μάρτυρα γενέσθαι τῆς εἰς ἐμὲ πεμπομένης φωνῆς ἄρτι. οὕτω γὰρ πρέπον ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην. Δεῖ με διδάξαι, ὅτι ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. δεῖ με οὖν πρότερον ποιῆσαι, καὶ τότε διδάξαι, ἵνα μὴ ἔχωσι πρόφασιν οἱ Ἰουδαῖοι· ὁ διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ἄφες ἄρτι. δεῖ γὰρ τὸ ῥῆμα τοῦ καρτερόψυχου Ἰὼβ στῆναι, τό, Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ᾽ ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ εἴη. δεῖ με ἀποσμῆξαι τὴν παλαιὰν τοῦ σώματος ἁμαρτίαν· δεῖ με τῷ πνεύματι καινίσαι τὴν ψυχήν, καὶ ὕδατι τὸ σῶμα. ἄφες ἄρτι. Δεῖ με ἀνοῖξαι τὴν τοῦ ὕδατος καὶ πνεύματος μήτραν, ἵνα γένωμαι πρωτότοκος πολλοῖς ἀδελφοῖς. ἐκ ταύτης γὰρ τῆς μήτρας τοὺς ἀποσφαγέντας Ἰουδαίους ἐλέγχει ὁ προφήτης κατηγορῶν· Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας. Τότε ἀφίησιν αὐτόν. καταβαίνοντος δὲ τοῦ Ἰησοῦ ἐν τῷ Ἰορδάνῃ, ἦν ἰδεῖν, ἀγαπητοί, θαῦμα μέγα, πηγὴν ἐν τῷ ποταμῷ λουομένην, καὶ ποταμὸν ἐν τῷ ποταμῷ βαπτιζόμενον. πηγὴ γὰρ ὁ Χριστός, καθὼς λέγει αὐτός· Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος. καὶ ἡ νύμφη ἡ ἐκκλησία πρὸς αὐτόν· Πηγὴ ἐσφραγισμένη ἡ ἀποστέλλουσα. ὁ αὐτὸς ποταμός, καθώς φησιν ὁ προφήτης· Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. κατῆλθεν ἐπὶ τὰ ὕδατα, καὶ ἡγιάσθησαν, καὶ ὑγίασεν αὐτά. Εἴ τις ἐστὶν

ὑμῶν

Ἡσ. κα. ζ.
Ναούμ. γ. ιζ.
Ματθ. γ. ιγ.
Ἰωάν. γ. ε.
Ἰώβ. ιδ. δ.
Ῥωμ. η. κθ.
Ψαλ. νζ. δ.
Ἱερ. β. ιγ.
Ἆσμ. δ. ιβ.
Ψαλ. ξδ. ι.

ὑμῶν ἀμύητος, ἀγαπητοί, τοῦ βαπτίσματος, ἐλθέτω καὶ θεωρησάτω πῶς ὁ πατὴρ οὐρανόθεν
κράζει· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, αὐτοῦ ἀκούετε. Ἰορδάνης κράζει· *Ματθ. γ. ιζ.*
τὸ πνεῦμα τὸν ἀέρα καθαίρει· τὸν υἱὸν καλεῖ ὁ πατήρ· τὸν οὐρανὸν καθαίρει ὁ υἱός· τὴν
γῆν καλλωπίζει τὸ πνεῦμα, τὸν ἀέρα λαμπρύνει. νῦν πληροῦται τὸ πάλαι ὑπὸ τοῦ προ-
5 φήτου εἰρημένον· Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα. ἡμέρα ὁ πατήρ, ἡμέρα ὁ υἱός. ὁ πα- *Ψαλ. ιη. β.*
τὴρ τῷ υἱῷ ἐρεύγεται ῥῆμα, καθὼς ὁ Παῦλος λέγει· Λάβετε τὴν μάχαιραν τοῦ πνεύμα- *Ἐφ. ς. ιζ.*
τος, ὅ ἐστι ῥῆμα Θεοῦ· ᾧ τινι ῥήματι σὺν πάντας ἡμᾶς συστήσει ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡ-
μῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

10 ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΩΑΝΝΗΝ ΤΟΝ πρόδρομον.

Λογ. ϟε.

Ἰωάννου τοῦ Βαπτιστοῦ πανήγυριν ἄγομεν· πόθῳ στεφανώσωμεν τοῦτον, *Ex Edit. Augustana.*
οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, κατὰ τὴν τοῦ δεσπότου *Ματθ. ια. ια.*
15 φωνήν. οὐδὲν γὰρ οὕτω τὸν προφήτην ἐσέμνυνεν, ὡς τὸ βαπτί-
σαι τὸν Κύριον. ἴωμεν τοίνυν ἐπὶ τὸ δεσποτικὸν βάπτισμα, τὸ μάλι-
στα λαμπρῦναι τὸν πρόδρομον τοῦ βασιλέως τῶν οὐρανῶν· καὶ διαγ-
γελώμεθα πόθῳ τῶν τῆς Ἰουδαίας τόπων ἐντός, ἐξ ὧν ἐκαρπωσάμεθα τὴν
πρόσοδον τῶν ἀγαθῶν· μᾶλλον δὲ γράψωμεν τῷ λόγῳ τὰ πράγματα, καὶ τῶν ἀναγινωμέ-
20 νων ἐνταῦθα τρυγήσωμεν τὸν καρπόν. ὑποθώμεθα τὸν Ἰορδάνην ἐκεῖνον, τὸν ὑποδεξά-
μενον τὸν ἑαυτοῦ δημιουργὸν παραγενόμενον ἐν σαρκί, ῥέειν διὰ μέσου ἡμῶν· καὶ νομίσωμεν Ἰω-
άννην τὸν Βαπτιστὴν ἐφεστάναι τοῖς χείλεσι τοῦ ποταμοῦ, καὶ θεασώμεθα τὸν δεσπότην Χριστὸν προσ-
ερχόμενον τῷ οἰκείῳ θεράποντι, καὶ βαπτιζόμενον ὑπ' αὐτοῦ, καὶ δακτυλοδεικτούμενον ὑπ'
αὐτοῦ οὐρανόθεν τῇ τοῦ πνεύματος ἐπιπτήσει· καὶ προσκυνήσωμεν τὴν τῆς ὁμοουσίου τριάδος
25 προσκυνηταὶ τὸν μαρτυρήσαντα πατέρα, καὶ μαρτυρηθέντα υἱόν, καὶ μαρτυρῆσαν πνεῦμα ἅγιον.
ἀκολουθήσωμεν τῇ βίβλῳ τῶν εὐαγγελίων ὁδηγούσῃ ἡμᾶς πρὸς τὰ ποθούμενα· καὶ ταῖς θεί-
αις λέξεσιν ὡς ἴχνεσιν ἐπιβαίνοντες, ἐπιδράμωμεν ἐπὶ τὸ πανηγυριζόμενον τῆς οἰκουμένης μυ-
στήριον. Τότε παραγίνεται, φησίν, ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰω- *Ματθ. γ. ιγ.*
άννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. πρὸς τὸν Ἰορδάνην ὁ δεσπότης ἀφίκετο. οὐδὲν γὰρ
30 ἀκαίρως, οὐδ' ἀλόγως εἰργάσατο ὁ τῆς σοφίας θησαυρός· ἀλλ' ἕκαστον, ὧν δι' ἡμᾶς ᾠκονό-
μησεν, εὐκαίρῳ καιρῷ διεπράξατο. Θεὸς γὰρ ὢν καὶ δημιουργὸς παντὸς χρόνου καὶ παντὸς δι-
αστήματος, ἐπραξε τὸν χρόνον, καὶ ταῖς ἐκεῖ τότε συγκαταβάσεσιν ὡς ἄνθεσι κατέβαινε τῶν
παρ' αὐτοῦ γεννωμένων τὰς ἀφορμάς. τότε παραγίνεται ὁ Ἰησοῦς. τότε· πότε; ὅτε πάντας τοὺς
τῆς ἡλικίας ἀνέδραμε τοὺς βαθμούς· ὅτε πᾶσαν τῆς φύσεως ἀνέβη τὴν κλίμακα· ὅτε τοῦ σώμα-
35 τος αὐτοῦ καὶ τῆς ψυχῆς ἡ τελειότης διέλαμψεν ὅτε τριάκοντα περιόδοις ἐνιαυτῶν, ἄνθρωπος
τέλειος γενόμενος, ἀψευδῶς τότε τὸν Ἰορδάνην κατέλαβε, καὶ μετὰ τῶν ἁμαρτωλῶν ἀναμάρ-
τητος προσῆλθε τῷ βαπτίσματι, καὶ τὴν ἑαυτοῦ κεφαλὴν ὑποκλίνας τῇ τούτου χειρὶ τὸ βά-
πτισμα λαμβάνειν ἠπείγετο. ὁ δὲ Βαπτιστὴς Ἰωάννης καταμαθὼν ἀκριβῶς, ὃν ἐμεμαθήκει
παρὰ τοῦ πατρὸς ἐκ τῆς μήτρας τῆς ἰδίας μητρός· εἶτα σὺν φόβῳ καὶ τρόμῳ πολλῷ τὴν αὐτοῦ
40 δεξιὰν συστείλας ἀπὸ τῆς κεφαλῆς, τί τοῦτο, φησίν, ὦ δέσποτα; τί τοῦτο τὸ παράδοξον θαυ-
ματούργημα βούλεται; τί τῆς προόδου ταύτης τὸ ταπεινὸν τοῦτο καὶ ὡραῖον θεώρημα; ἐμοὶ
τὴν κεφαλὴν ὑποκλίνεις, τῆς ἐκκλησίας ἡ κεφαλή; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις, ὁ κλί-
νας τοὺς οὐρανούς, καὶ κατελθὼν ἐπὶ γῆς; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις ὁ κεκτημένος κεφα-
λὴν τὸν Θεόν; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις ὃν τὰ χερουβεὶμ προσκυνεῖ; ἐμοὶ τὴν κε-

φοβερὰ ὑποκλίνεις ἣν τὰ σεραφεὶμ σέβει καὶ τρέμει; ἐμοὶ τὴν κεφαλὴν ὑποκλίνεις, ὁ τὸν
Ἀδὰμ καὶ τὴν Εὔαν ἐν τῷ παραδείσῳ, καθάπερ ἐν θαλάμῳ, νυμφοστολήσας, καὶ ταῖς ἐκεί-
νων κεφαλαῖς τῇ φωνῇ τὸν στέφανον ἐπιθεὶς, καὶ τῆς εὐπαιδίας τὴν εὐλογίαν προσθεὶς, καὶ
Γεν. α. κη. εἰπὼν πρὸς αὐτοὺς, Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν· ὁ λόγῳ μεθοδεύ-
ων ἐξ ἐκείνου τὴν φύσιν τῆς φύσεως τὴν συγκρότησιν· ὁ στρατεύσας κατὰ τοῦ θανάτου
τὸν τόκον, ἵνα φυτεύῃ πλείονας ὅσων ὡς ἐκεῖνος κλαδεύῃ· ὁ τοῦ βίου τὸν τροχὸν κυλίων ὡς
βούλει· ὁ πλοῦτος ἁγιασμοῦ πληρῶν τὰς κλινομένας σοι κεφαλάς· ὁ μὴ χωρούμενος μηδα-
μοῦ· ὁ βλύζων ποταμοὺς οἰκτιρμῶν, εἰς τοῦτον θέλει συγκαταδῦσαι τὸν ποταμόν; καὶ τῶν
ναμάτων ὁ ποιητὴς, τούτοις προσομιλῆσαι προῄρησαι; καὶ τὸ βάπτισμα αἰτεῖς, ὅπερ σύ μοι
δέδωκας εἰς τὸ διδόναι τοῖς δεομένοις; καὶ ποῦ χρείαν ἔχεις βαπτίσματος μετανοίας, αὐτὸς με-
τανοοῦσι τὰς ἐλεῶν; ποῦ χρείαν ἔχεις τοῦ τοιούτου φαρμάκου, προστάγματι μόνῳ θεραπεύ-
ων τὰς τῶν ἄλλων πληγάς; ποῦ σοι δεῖ μετανοίας, εὐφημίας ἄξια πράττοντι; οὐ συγκα-
τέβης τοῖς ἀνθρώποις, ὡς μόνος φιλάνθρωπος; σὺ τὴν τοῦ δούλου μορφὴν φορεῖς, ἣν ἀνέ-
πλασας σεαυτῷ· καὶ διὰ ταύτης ἡγίασας σὺ τὴν εἰκόνα, ἣν συνέτριψεν ὁ διάβολος,
ἀνακαινίσας ὡς ἠθέλησας· σὺ γενήτωρ γέγονας πάντων ἡμῶν. οὐκ ἐν σοὶ ὁ ἀδελφὸς Ἀδὰμ
ἀνακέκληται; οὐκ ἐν σοὶ βασιλεύει τὸ ποτὲ κατάκριτον φῦλον; οὐ διὰ τῆς Μαρίας τὴν
πεσοῦσαν Εὔαν ἀνέστησας; οὐ παρέρχῃ, ὅπου ἀνθρώπους ἰσαγγέλους ποιῆσαι βουλόμενος; οὐ
τὴν ἀνομίαν ὡς ἐπίβουλον τοῦ γένους ἐκδιώκεις τῆς γῆς; οὐ τὴν εὐνομίαν ὡς τροφὸν τῆς
ἀνθρωπότητος ἐπεισάγεις τῷ βίῳ; οὐ τὴν ζοφερὰν νύκτα τῆς ἀπάτης ἀποσβεῖς; οὐ τὴν
ἡμέραν τῆς θεογνωσίας ἀνατέλλεις τοῖς βουλομένοις τὸ ταύτης κάλλος ὁρᾶν; οὐ τὸ φῶς τῆς
ἀληθείας ἐφαπλοῖς ταῖς πάντων ψυχαῖς; οὐ τὰ νέφη τῆς δυσσεβείας ὡς καπνὸν διαλύεις;
οὐχ ὡς ἥλιος δικαιοσύνης περιβεβλημένος τὸ λευκὸν νέφος τοῦ σώματος, σπείρεις πανταχοῦ
τῆς θεότητος τὰς ἀκτῖνας; οὐ παρθένος εἶ τὸ βλέμμα, καὶ τὸ βῆμα, καὶ τὸ σχῆμα, καὶ τὸν λογι-
σμὸν, καὶ τὸν νοῦν, καὶ τὴν ψυχήν; οὐκ ἐκ παρθένου παρθένον σῶμα σαυτῷ κατεσκεύασας;
μὴ ταῦτα διανοίας δεῖται καὶ κατανύξεως; τίνος οὖν ἕνεκα βαπτίσῃ σὺ νῦν, τοῦ ποταμοῦ δη- Ἰσ. μ
μιουργὲ, καὶ τοῦ βαπτίσματος χορηγὲ, καὶ διὰ φιλανθρωπίαν ἄνθρωπε; ἀνομίας ἴχνος οὐκ ἔ-
στιν ἐν σοὶ, οὔτε κηλὶς ἁμαρτίας ἐχάραξε σου τὴν ἄχραντον σάρκα, οὔτε τῷ στόματί σου ποτὲ δό-
λος παρήδρευσεν. ἰὸς ἀσπίδων τοῖς Ἰουδαϊκοῖς ἐπικρύπτεται χείλεσι. γεννήματα γὰρ εἰ-
σιν ἐχιδνῶν, καὶ τούτων αἱ γλῶσσαι τυγχάνουσι δόλιαι· σοῦ δὲ ἐν τῷ στόματι ζωῆς ἀέναοι βρύουσι
πηγαί· ζωὴ γὰρ ὑπάρχων, ζωὴν φθέγγῃ καὶ χορηγεῖς. πῶς οὖν ὁ χορηγὸς τῆς παρούσης
καὶ τῆς μελλούσης ζωῆς, τῶν πλωχῶν ἐπιβαίνεις ῥευμάτων; τὸν ἄλλοι πάντες ὑπ' ἐμοῦ βα-
Ματθ. γ. ϛ. πτιζόμενοι ταῦτα ἀκούουσι παρ' ἐμοῦ· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· καὶ
πιστεύσατε εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ. ἐπὶ σοῦ δὲ βαπτι-
ζομένου τί λαλήσω; τί φθέγξομαι; εἴπω, μετανόησον; ἵνα τίς σου τὴν μετάνοιαν δέξηται;
τίς γὰρ ἄλλος ἐστὶ σου μείζων Θεός; εἴπω, μετανόησον· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν;
καὶ τῇ βασιλείᾳ τὴν βασιλείαν εὐαγγελίσομαι; καὶ τί διαλεχθῶ περὶ σοῦ; ἀγνοοῦσι γὰρ ὃ πέ-
φυκας; οὐκ ἐπίστασαι τὴν βασιλείαν τῶν οὐρανῶν, ἣν φέρων τοῖς ἀνθρώποις οὐρανόθεν ἐ-
λήλυθας; εἴπω πρὸς σέ· πίστευσον εἰς τὸν Κύριον Ἰησοῦν Χριστόν; σέ σοι πιστεῦσαι παρ-
εγγυήσω; καὶ τίς ποτε νενουθέτηται αὐτὸς ἑαυτῷ πιστεῦσαι; πιστεῦσαι γὰρ δεῖ τὸν προσερχό-
μενον, ὅτι ἐστὶ Θεός· σὺ δὲ Θεὸς εἶ, καὶ υἱὸς τοῦ Θεοῦ, εἰ καὶ ἄνθρωπος εἶ τὸ φαινόμενον, καὶ πι-
στεύεσθαι δίκαιος εἶ παρὰ πάντων. ἀλλ' εἴπω πρὸς σὲ, πίστευσον εἰς τὸν πατέρα τὸν
σόν; πότε γὰρ ὤφθης ἄπιστος καὶ πολέμιος τῷ πατρί; πότε δὲ τῆς τοῦ Θεοῦ γεγεννηκότος ἐχω-
ρίσθης θεότητος; τί οὖν εἴπω πρὸς σέ; πίστευσον εἰς τὸ πνεῦμα τὸ ἅγιον; ἀλλ' ἐν σοὶ, καὶ σὺν σοὶ
Ματθ. γ. ιδ. τοῦτο καθέστηκεν. Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; ὁ μονογε-
νής

νὴς υἱὸς τοῦ Θεοῦ πρὸς τὸν υἱὸν τοῦ Ζαχαρίου; ὁ ἐκ τῆς παρθένου πρὸς τὸν ἐκ τῆς στείρας; ὁ μὴ λύσας τὴν παρθενίαν τῆς μητρὸς πρὸς λύσαντα τῆς τεκούσης τὴν στείρωσιν; ὁ ἐκ γαστρὸς προσκυνηθεὶς πρὸς τὸν ἐκ κοιλίας ἐπιγνόντα τὴν σὴν δεσποτείαν; ὁ ἐκεῖνον θεραπήσας πρὸς τὴν τῆς ἐρήμου φωνήν; ὁ τοσοῦτος ὑψηλὸς πρὸς τὸν οὕτως εὐτελῆ; ὁ Κύριος πάσης τῆς κτίσεως πρὸς τὸν ἀνάξιον τῆς σῆς ἀγαθότητος ὑπηρέτην; ὁ πλούσιος κατὰ φύσιν, πρὸς τὸν πένητα κατὰ φύσιν, διὰ μόνην δὲ τὴν σὴν χάριν εὔπορον; ὁ οὐράνιος καὶ ἐπίγειος πρὸς τὸν ἐπίγειον μόνον; ὁ ἄνωθεν ἔχων τὴν θεότητα, κάτωθεν δὲ τὴν ἀνθρωπότητα, πρὸς τὸν κάτωθεν μόνον βλαστήσαντα; ὁ τοιοῦτος δεσπότης πρὸς ἐμὲ τὸν μικρὸν οἰκέτην; ἀλλὰ δοῦλος δεσπότην οὐκ ἐλευθεροῖ, λύχνος ἥλιον οὐ φωτίζει, πηλὸς οὐ διορθοῦται κεραμέα, πρόβατον οὐ ποιμαίνει ποιμένα, πρόδρομος οὐ σμήχει βασιλέα. ποταμὸς τὴν σὴν οὐ βαστάζει θεότητα, ποταμὸς οὐ μετρεῖ, ὃν οὐρανὸς οὐ χωρεῖ· ὁ Ἰορδάνης οὐ λούει τὸν ἑαυτοῦ ποιητήν· τὸ ὕδωρ ἐπιγινώσκει τὸν πλάσαντα· τὰ ῥεύματα ταῦτα οὐκ οἶδε τὸ φῶς, κἀγὼ τολμήσω πρὸς τὴν λειτουργίαν; ἡ ψυχή μου ἰλιγγιᾷ, ἡ χείρ μου τρέμουσα φοβεῖται πλησιάσαι τῷ ἀχωρήτῳ σου σώματι. τί ποιήσω; τί διαπράξομαι; καὶ τρέμω σε, δέσποτα, καὶ ποθῶ· καὶ φεύγειν οὐ τολμῶ, καὶ προσελθεῖν οὐ θαρρῶ· καὶ δοῦναι τὸ βάπτισμα φρίττω, καὶ λαβεῖν ἁγιασμὸν ἐπιποθῶ. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι· ἐγώ σε προσκυνεῖν, οὐ βαπτίζειν δεδίδαγμαι· ἐγὼ μᾶλλον ὑποκλίνω τὸν ἐμὸν αὐχένα τῇ σῇ δεξιᾷ· εὐλόγησόν με ὁ εὐλογήσας ἔτι δικαίων· ποίησόν με τοῖς Ἰορδανίοις ῥείθροις ἐγχορεῦσαι σήμερον, ὡς ἐποίησάς με πρώην ἐνσκιρτῆσαι τοῖς μητρῴοις ἐμβρύοις. ναί, φησιν ὁ δεσπότης, ὦ Βαπτιστά, θαυμάζω σου τὴν εὐλάβειαν, ἀγλαῒ τὴν εὐπείθειαν ἐπιζητῶ. γέγονας τῆς ἐμῆς βασιλείας συνήγορος, ἀλλ' ὀφείλεις γενέσθαι καὶ τῆς ἐμῆς οἰκονομίας διάκονος. ἦλθον γὰρ ἐγὼ πρὸς σέ, ἐπειδὴ τοῦτο συμφέρει σοί τε καὶ τοῖς κατὰ σέ. ἦλθον ἐγὼ πρὸς σέ, ἵνα πάντες οἱ ἄνθρωποι παραγίνωνται πρὸς ἐμέ. κατῆλθον ἐκ τῶν οὐρανῶν, καὶ ὅλος ἐν τοῖς κόλποις εἰμὶ τοῦ πατρός, ἵνα σώσω τῷ πλάστῃ τὸ ποίημα. ἦλθον ὁ παρών, ἵνα ζωγρήσω τοὺς φθαρέντας· ἦλθον ὡς ἄνθρωπος, ὅπερ οὐκ ἤμην ὡς Θεός, ἵνα τοὺς ἀνθρώπους θεοὺς ἀπεργάσωμαι· ἔλαβον δὲ ὑμῶν μητέρα πενιχράν, ἵνα δυνηθῆτε μετὰ παρρησίας ὑμεῖς τὸν ἐμὸν πατέρα καλεῖν. ἐτράφην ὡς βρέφος τῇ τοῦ γάλακτος τροφῇ, ἵνα τοῖς πιστοῖς τροφὴν ἐμαυτὸν παραθήσω. περιεβλήθην σπαργάνοις παιδικοῖς, ἵνα διαρρήξω τοὺς τῆς ἀνομίας δεσμούς. ἀνεκλίθην οὐκ ἐπὶ κλίνης βασιλικῆς, ἀλλ' ἐπὶ φάτνης εὐτελοῦς, ἵνα μετὰ τὴν ἐμὴν ἐπὶ τῆς φάτνης ἀνάκλισιν μηκέτι μηδεὶς τῶν λογικῶν ὡς ἄλογος ἀλογίαν νοσῇ. ἐδεξάμην ἐν τῇ σαρκί μου περιτομήν, ἣν ἐγὼ πρότερον ἐνομοθέτησα, ἵνα τὴν ἀχειροποίητον ἐπεισάγω περιτομήν. ἀνήνεγκα τὴν νενομισμένην θυσίαν ὡς πρωτότοκος ὁ μονογενής, ἵνα μεταποιήσω τὴν τοιαύτην θυσίαν, καὶ ξένην θυσίαν ἐμαυτὸν ἀπεργάσωμαι. ἔφυγον εἰς Αἴγυπτον, ἀλλ' οὐκ ἀπίστων τῶν εἰδώλων πτῶσιν κατὰ φυγήν. ἐγενόμην βρέφος νέον, τέλειος ἀνήρ, ὡς ὁρᾷς, ἵνα τὸ τέλειον τοῖς ἀτελέσι χαρίσωμαι. ἦλθον διὰ πάσης ἡλικίας, ἵνα πᾶσαν ἡλικίαν τελέσω τῇ κατὰ μικρὸν προκοπῇ. ἐπέβην καὶ ποταμῷ, ἵνα ποιήσω τοὺς γηγενεῖς ἐπιβαίνειν τοῦ οὐρανοῦ· καὶ δέχομαι τὸ βάπτισμα τοῦτο, ἵνα παραδώσω τοῖς ἐμοῖς μαθηταῖς τῆς παλιγγενεσίας τὸ βάπτισμα. ἀνέχομαι καταδύσεως, ὡς ἠνεσχόμην τῆς κατὰ σάρκα γεννήσεως. ὡς νομοθέτης τιμῶ τοῦ νόμου τὰ δίκαια, ἵνα καινουργήσω τῆς χάριτος τὰ σύμβολα. ὡς ἰατρὸς ὑγιαίνων μεταλαμβάνω τοῦ φαρμάκου τῶν νοσούντων, μὴ δεόμενος τούτου· ἵνα καινότερον βοήθημα τὸ τῆς κολυμβήθρας ἐπινοήσω τοῖς κάμνουσι. σταυρὸν διὰ τοὺς ἀνθρώπους καταδέχομαι, καὶ λουτρὸν ἀκίνδυνον παραιτήσομαι; νέκρωσιν ὑπομένειν μέλλω τριήμερον, καὶ κατάδυσιν ἄλυπον οὐ ποιήσομαι; εἰς αὐτὸν καταβῆναι ἐπείγομαι τὸν τοῦ ᾅδου βυθόν, καὶ ποταμοῦ ῥεῖθρον οὐ περιπτύξομαι; βάπτισον οὖν με, τὸν

μέλλοντα

μέλλοντα βαπτίζειν καὶ σώζειν τοὺς θέλοντας· βάπτισόν με τὸν μέλλοντα βεβαπτισμένην τὴν ἀ-
μαρτίαις τῶν ἀνθρώπων τὴν φύσιν εἰς ὕψος ἐπαίρειν οὐράνιον· βάπτισόν με ὡς ἄνθρωπον κάτω, τὸν
ἄνω παρὰ τῶν ἀγγέλων ὑμνούμενον ὡς Θεόν. γενοῦ τῶν ἐμῶν μυστηρίων ὑπηρέτης ὀξύς· μετάθες
τὴν παραίτησιν εἰς πρᾶξιν ἀγαθήν· στῆσον τὴν γλῶτταν, καὶ κίνησον πρὸς τὸ ἔργον τὴν
δεξιάν· ἐπίθες θαρρῶν τὴν χεῖρα τῇ ἐμῇ κορυφῇ, τῇ ληφθείσῃ ἀπὸ τοῦ σοῦ φυράματος 5
διὰ σέ· κερδαίνων ἐκ τοῦ βαπτίσματός μου καὶ σὺ τὸ Βαπτιστὴς ὀνομάζεσθαι. Ἄφες ἄρτι· πρώ-
τως βάπτισον, καὶ τότε θεολόγησον· πρώτως βάπτισον, καὶ τότε προσκύνησον. οὕτω γὰρ πρέπον
ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην. οὐδὲν οὕτω σεμνύνει τὸν ὑψηλόν, ὡς ἡ ἐθελούσι-
ος συγκατάβασις. ὕψος γὰρ ἀληθὲς οὐ σεμνύνουσι πράξεις ἐπιεικεῖς. τότε ἀφίησιν αὐτὸν
ὁ Ἰωάννης, βοῶν πρὸς αὐτόν· ἰδοὺ διακονῶ τῷ σῷ προστάγματι, δέσποτα. ἃ γὰρ ἀγνοῶν 10
ἔμαθον, ταῦτα χαίρων ἐπιτελῶ. ἰδοὺ προσάγω τὴν ἐμὴν δεξιὰν σου τῇ κεφαλῇ, ἐπειδὴ
σὺ τοῦτο προσέταξας· κἀγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου· καὶ ἡ χείρ μου δημιούργη-
μα σόν, καὶ ὁ ποταμὸς ἐστὶ τῆς σῆς δεσποτείας ἀπόρροια, καὶ τὰ νάματα ταῦτα ποιήματα σά,
καὶ τὸ βάπτισμα τοῦτο δῶρον σόν· καὶ σὺ μόνος ἐπίστασαι ὃ κατεργάζῃ μυστήριον. Βαπτίσθητι,
βαπτίσθητι, δέομαι· καὶ σῶσον, ὡς θέλεις, οὓς ἔπλασας. μακάριος ἐγώ, διὰ σὲ παραδό- 15
ξως τεχθείς, καὶ ξένως ἐν ἐρήμῳ τραφείς· καὶ νῦν τῆς διακονίας ταύτης ἀξιωθείς. μακάριος
ἐγὼ παρὰ σοῦ δοκιμασθεὶς τηλικούτῳ ὑπουργῆσαι μυστηρίῳ. ὦ δεξιά, πόσον ὑψώθης; ὦ
πήλινον ὄργανον, πόσον τετίμησαι; φιλάνθρωπε καὶ μεγαλόδωρε Κύριε, μετὰ τὸ κεράσαι
τὴν χάριν τοῖς ὕδασι, καὶ ἐνδοῦναι τούτοις ὥσπερ τινὰ ζύμην ἁγιασμοῦ τὴν κατάδυσιν, ἀνελ-
θὼν τῶν ὑδάτων (γονυπετῶ, δέσποτα) ἀνάδραμε καὶ κατάλαβε τὴν ἀνθρωπότητα ψυχορ- 20
ραγοῦσαν καὶ κάμνουσαν, ἐπίσκεψαι τὴν ἑκουσίως πυρέττουσαν, ἀνάστησον τὴν ἐπὶ τῆς γῆς
ὡς ἐπὶ κλίνης ἐξηπλωμένην καὶ νοσοῦσαν πάθη διάφορα· ὡς ἰατρὸς τὰς νόσους ἀπέλασον. σὲ
περιμένουσιν οἱ χωλοί, ἵνα σοῦ λαλήσαντος δράμωσι· σὲ περιμένουσιν οἱ τυφλοὶ πρὸς ἀνά-
βλεψιν· τὴν σὴν προσδέχονται φωνὴν οἱ νεκροὶ πάντες πρὸς ἀνάστασιν· τὴν σὴν παρου-
σίαν διψῶσιν οἱ φλεγόμενοι τῷ καύσωνι τῶν συμφορῶν· ἐπίστηθι πᾶσιν ὡς δρόσος ἰάσεως. 25

Ματθ. γ. ιε. Καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, ἀνέβη ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶ-
δε τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον, ὡσεὶ περιστεράν, καὶ ἐρχόμενον ἐπ' αὐτόν. ὢ ξένων καὶ παρα-
δόξων μυστηρίων· ὁ οὐρανὸς ἄνωθεν προσκυνεῖ, ὃν ὁ ποταμὸς περὶ βραχέων ἐπέκλυσε· καὶ
τὸ πνεῦμα τὸ ἅγιον θεολογεῖ, ὃν ὁ δοῦλος ἐβάπτισε. Καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγου-
σα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. οὗτός ἐστιν ὁ βαπτισθείς, οὐ διὰ χρείαν 30
ἰδίαν, ἀλλὰ διὰ μόνην φιλανθρωπίαν, ὁ παρὰ τοῦ ἁγίου πνεύματος μαρτυρούμενος, ὁ περὶ
ἐμοῦ τοῦ σαφῶς ἰδόντος αὐτὸν κηρυττόμενος, ὁ πρὸ τῶν αἰώνων ἐξ ἐμοῦ γεννηθείς, καὶ νῦν ἐκ
Μαρίας σαρκὶ τεχθείς, ὁ ὁμοούσιος ἐμοὶ καὶ ὑμῖν· ὁ συναΐδιος ἐμοί, καὶ σύμμορφος τῆς ὑμετέ-
ρας μορφῆς· ὁ ποιητὴς τοῦ Ἀδάμ, καὶ ἀπόγονος τοῦ Δαβίδ· ὁ δημιουργὸς τῆς παρθένου, καὶ υἱὸς
τῆς παρθένου· ὁ νοούμενος καὶ φαινόμενος· ὁ πίστει καὶ ὄψει καταπιστούμενος· ὁ τέλειος ἐν θεότητι, 35
καὶ τέλειος ἐν ἀνθρωπότητι· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, οὗτος καὶ θαυματουργῶν ὡς Θεός, καὶ
πάσχων ὡς ἄνθρωπος, υἱός ἐστιν ἐμός. σταυρὸς γὰρ οὐ χωρίζει μου τὴν κατὰ φύσιν ἀχώριστον.
οὗτος καὶ τοῖς ἥλοις κεντούμενος, υἱός ἐστιν ἐμός. ἧλοι γὰρ τούτου τὴν θείαν οὐσίαν οὐ βλάπτουσιν.
οὗτος καὶ πάσχων, υἱός ἐστιν ἐμός· τὴν γὰρ τούτου θεότητα πάθος οὐκ ἴσχυσε καταλαβεῖν. οὗτος καὶ
νεκρούμενος ἑκουσίως, κατὰ τὸ νεκροῦσθαι πεφυκός, υἱός ἐστιν ἐμός. ἀποθανεῖν γὰρ εἰς θεότητα 40
οὐ πέφυκεν, οὔτε βούλεται, οὔτε δύναται. ζωὴν γὰρ νέκρωσις οὐ νικᾷ, καὶ θάνατος ἀθανασίας
οὐ περιγίνεται. οὗτος καὶ ἀνιστάμενος ἐκ νεκρῶν υἱός ἐστιν ἐμός. ὡς γὰρ δημιουργὸς τοῦ παντὸς
ἀναστήσει τοῦ σώματος αὐτοῦ τὸν ναόν, ὃν λυθῆναι παρὰ τῶν ἐχθρῶν αὐτοῦ συνεχώρησεν. οὗτος
μετὰ τῆς σαρκὸς ταύτης ἀνιὼν εἰς τοὺς οὐρανούς, ὧν οὐκ ἀπέστη, υἱός ἐστιν ἐμός. τοῦτον ὁ δεχό-
μενος,

Marginalia: Ματθ. γ. ιδ. (line 6); Ματθ. γ. ιζ. (line 29)

μένος, ἐμὲ δέχεται σὺν αὐτῷ· τοῦτον ὁ προσκυνῶν, ἐμὲ προσκυνεῖ· εἰς τοῦτον ὁ πιστεύων, εἰς ἐμὲ πιστεύει· τοῦτον ὁ σμικρύνων, ἐμὲ σμικρύνει. οὐδεὶς γὰρ παιδὸς, ζημία πατρός. τοῦτον ὁ δεχόμενος, καὶ μὴ πολυπραγμονῶν, ἀλλὰ σέβων ἀπεριέργως, μακάριος. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. οἱ ἁμαρτωλοὶ δράμετε πρὸς τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου· οἱ κατάκριτοι καταλάβετε τὸν φιλάνθρωπον δικαστήν· οἱ νεκρωμένοι ταῖς ἁμαρτίαις, σπεύσατε πρὸς τὴν πηγὴν τῆς ζωῆς. ταῦτα τῆς τοῦ Βαπτιστοῦ πανηγύρεως κάλλιστα δῶρα. ταῦτα πάντα παρέχει ἡμῖν ὁ δι' ἡμᾶς ἐπιφανεὶς δεσπότης Χριστὸς ὁ Θεὸς ἡμῶν· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος ἅμα σὺν τῷ πατρὶ καὶ τῷ παναγίῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΕΥΑΓΓΕΛΙΣΜΟΝ.

Λογ. λζ.

Ex edit. Augustana. emend. Ex Ms.

Πάλιν χαρᾶς εὐαγγέλια, πάλιν ἐλευθερίας μηνύματα, πάλιν ἀνάκλησις, πάλιν ἐπάνοδος, πάλιν εὐφροσύνης φωνὴ, πάλιν δουλείας ἀπαλλαγή. ἄγγελος μετὰ παρθένου λαλεῖ, ἐπειδὴ καὶ γυναικὶ ὡμίλησεν ὁ ὄφις. Τῷ μηνὶ τῷ ἕκτῳ, φησὶν, ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ πρὸς παρθένον μεμνηστευμένην ἀνδρί. ἀπεστάλη Γαβριὴλ τὴν παγκόσμιον μηνῦσαι σωτηρίαν· ἀπεστάλη Γαβριὴλ, φέρων τῷ Ἀδὰμ ὑπογραφὴν ἀνακλήσεως· ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον, ἵνα τὴν ἀτιμίαν τοῦ θήλεος εἰς τιμὴν μεταβάλῃ· ἀπεστάλη Γαβριὴλ, ἄξιον εὐτρεπίσαι τῷ καθαρῷ νυμφίῳ τὸν θάλαμον· ἀπεστάλη Γαβριὴλ νυμφεύσασθαι τὸ πλάσμα τῷ πλάσαντι· ἀπεστάλη Γαβριὴλ πρὸς τὸ ἔμψυχον τοῦ βασιλέως τῶν ἀγγέλων παλάτιον· ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον μεμνηστευμένην μὲν τῷ Ἰωσὴφ, τηρουμένην δὲ τῷ υἱῷ· ἀπεστάλη δοῦλος ἀσώματος πρὸς παρθένον ἀμόλυντον· ἀπεστάλη ὁ ἁμαρτίας ἐλεύθερος πρὸς τὴν φθορᾶς ἀνεπίδεκτον· ἀπεστάλη λύχνος μηνῦσαι τὸν ἥλιον τῆς δικαιοσύνης· ἀπεστάλη ὁ ὄρθρος προτρέχων τοῦ φωτὸς τῆς ἡμέρας· ἀπεστάλη Γαβριὴλ δηλῶν τὸν ἐν κόλποις τοῦ πατρὸς, καὶ ἐν ἀγκάλαις τῆς μητρός· ἀπεστάλη Γαβριὴλ, δεικνὺς τὸν ἐν θρόνῳ καὶ ἐν σπηλαίῳ· ἀπεστάλη στρατιώτης, βοῶν τὸ τοῦ βασιλέως μυστήριον· μυστήριον γνωριζόμενον πίστει, οὐκ ἐρευνώμενον πολυπραγμοσύνῃ· μυστήριον προσκυνούμενον, οὐ ζυγοστατούμενον· μυστήριον θεολογούμενον, οὐκ ἐρευνώμενον· μυστήριον ὁμολογούμενον, οὐ μεριζόμενον. τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον. ποῖον ἕκτον μῆνα λέγει; ποῖον; ἀφ' οὗ ἐδέξατο Ἐλισάβετ τὰ εὐαγγέλια, ἀφ' οὗ τὸν Ἰωάννην συνέλαβε. πόθεν τοῦτο δῆλον; ἑρμηνευέτω αὐτὸς ὁ ἀρχάγγελος, πρὸς τὴν παρθένον λέγων· Ἰδοὺ, φησὶν, Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα υἱόν· καὶ οὗτος μὴν ἕκτος αὐτῇ τῇ καλουμένῃ στείρᾳ. τῷ μηνὶ τῷ ἕκτῳ. ἕκτος μὴν τῆς συλλήψεως τοῦ Ἰωάννου. ἔδει γὰρ προφθάσαι τὸν στρατιώτην, ἔδει προλαβεῖν τὸν δορυφόρον, ἔδει προοδοποιῆσαι τὸν μηνυτὴν τῆς δεσποτικῆς παρουσίας. τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, οὐ συνημμένην· μεμνηστευμένην μὲν, τηρουμένην δέ. διατί μεμνηστευμένην; ἵνα μὴ τάχιον μάθῃ ὁ λῃστὴς τὸ μυστήριον. ὅτι μὲν γὰρ διὰ παρθένου ἥξει ὁ βασιλεὺς, ᾔδει ὁ πονηρός. τῶν γὰρ Ἡσαΐου καὶ αὐτὸς ἠκούσατο φωνῶν, τό, Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. καὶ ἕκαστα εἰκότως παρετήρει τῆς παρθένου τὰ προφθέγματα, ἵν', ὅπου νοήσει ὅτι πληροῦται τὸ μυστήριον τοῦτο, ἐξαρτύσῃ τὸν φόνον. διὰ τοῦτο ὁ δεσπότης διὰ μεμνηστευμένης ἐλήλυθεν. ἡ γὰρ μνηστευθεῖσα, λοιπὸν κατηγγυᾶτο. τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσήφ. ἄκουσον τί περὶ τοῦ ἀνδρὸς τούτου καὶ τῆς παρθένου ὁ προφήτης φησί·

Λουκ. α. κϛ. — Λουκ. α. λϛ. — Ησ. ζ.

σί· Δοθήσεται τὸ ἐσφραγισμένον βιβλίον ἀνδρὶ εἰδότι γράμματα. [Ησ. κθ. ια.] τί τὸ ἐσφραγισμένον βιβλίον, ἢ πάντως ἡ ἀμόλυντος παρθένος; παρὰ τίνων δοθήσεται; παρὰ τῶν ἱερέων δηλονότι. τίνι τοῦτο; τῷ τέκτονι Ἰωσήφ. οὐκοῦν ὁ Ἰωσὴφ σεμνοῖς γάμοις προσομιλήσας πρότερον, καὶ γεννήσας υἱούς, ἀπεβάλετο τὴν γαμετήν, καὶ λοιπὸν διῆγεν ἐν σωφροσύνῃ, ἐκτρέφων τοὺς παῖδας ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. ἀμέλει γοῦν παρελθὼν εἰς τὸ κήρυγμα ὁ ἀπόστολος Παῦλος, καὶ ἕνα τῶν τούτου εὑρηκὼς υἱῶν, γράφει λέγων· [Γαλ. α. ιθ.] Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου· οὐχ ὡς ἐκ τῆς παρθένου Μαρίας, ἀλλ' ἐκ τοῦ Ἰωσὴφ γεννηθέντα. ἐπεὶ οὖν οἱ ἱερεῖς ὡς σώφρονι τῷ Ἰωσὴφ ἡρμόσαντο τὴν Μαρίαν, καὶ παρέθεντο αὐτὴν αὐτῷ γάμου καιρὸν ἀναμένοντες, ἔμελλε δὲ οὗτος λαμβάνων τηρεῖν ἐν ἀφθαρσίᾳ τὴν παρθένον· τοῦτο πόρρωθεν ὁ προφήτης προανεφώνησε. Δοθήσεταί, φησι, τὸ βιβλίον τὸ ἐσφραγισμένον ἀνδρὶ εἰδότι γράμματα, τουτέστι, γάμοις προσομιλήσαντι. καὶ ἐρεῖ, οὐ δύναμαι ἀναγνῶναι. διατί οὐ δύνασαι, ὦ Ἰωσήφ; οὐ δύναμαί, φησιν, ἀναγνῶναι· τὸ γὰρ βιβλίον ἐσφράγισται. τίνι τηρούμενον; τῷ δημιουργῷ τῶν ὅλων κατοικητήριον φυλαττόμενον. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη Γαβριὴλ πρὸς παρθένον, πάντως που τοιαύτας ἐντολὰς δεξάμενος. δεῦρο, φησιν, ὦ ἄγγελε, ὑπουργὸς γενοῦ φοβεροῦ μυστηρίου· ἀποκεκρυμμένῳ διακόνησον θαύματι· εἰς ἀναζήτησιν τοῦ πλανηθέντος Ἀδὰμ κατελθεῖν ὑπὸ τῶν ἐμῶν οἰκτιρμῶν ἐπείγομαι. ἁμαρτία τὸν κατ' εἰκόνα τὴν ἐμὴν πλασθέντα ἐπαλαίωσε, τὸ τῶν ἐμῶν χειρῶν ἐσάθρωσε δημιούργημα, ἠμαύρωσεν ὅπερ ἔπλασα κάλλος· ὁ λύκος τὸ ἐμὸν θρέμμα κατανέμεται· ἔρημόν ἐστι τοῦ παραδείσου τὸ οἰκητήριον· τὸ ξύλον τῆς ζωῆς ὑπὸ τῆς φλογίνης ῥομφαίας φυλάττεται, καὶ κέκλεισται τῆς τρυφῆς τὸ χωρίον. ἐλεῶ τὸν πολεμηθέντα, καὶ συλλαβέσθαι τὸν πολέμιον βούλομαι. λαθεῖν θέλω πάσας τὰς ἐν οὐρανῷ δυνάμεις, σοὶ μόνῳ θαρρῶ τὸ μυστήριον· πρὸς τὴν παρθένον Μαρίαν πορεύθητι, ἄπελθε πρὸς τὴν ἔμψυχον πόλιν, περὶ ἧς ὁ προφήτης ἔλεγε· [Ψαλ. πς. γ.] Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, πόλις Θεοῦ. ἄπελθε πρὸς τὸν λογικόν μου παράδεισον· ἄπελθε πρὸς τὴν ἀνατολικὴν πύλην· ἄπελθε πρὸς τὸ ἄξιον ἐμοῦ τοῦ λόγου κατοικητήριον· ἄπελθε πρὸς τὸν δεύτερον ἐπὶ γῆς οὐρανόν· ἄπελθε πρὸς τὴν κούφην νεφέλην· μήνυσον αὐτῇ τῆς ἐμῆς παρουσίας τὸν ὄμβρον· ἄπελθε πρὸς τὸ ἐμοὶ ἡτοιμασμένον ἁγίασμα· ἄπελθε πρὸς τὴν παστάδα τῆς ἐμῆς ἐνανθρωπήσεως· ἄπελθε πρὸς τὸν καθαρὸν νυμφῶνα τῆς κατὰ σάρκα μου γεννήσεως, λάλησον εἰς τὰ ὦτα τῆς λογικῆς κιβωτοῦ, ἑτοίμασαί μοι τῆς ἀκοῆς τὰς εἰσόδους. ἀλλὰ μὴ θορυβήσῃς, μὴ ταράξῃς τὴν ψυχὴν τῆς παρθένου· ἐπιεικῶς τῷ ἁγιάσματι φάνηθι· πρῶτον αὐτῇ φωνὴν χαρᾶς ἀναβόησον· σὺ εἰπὲ τῇ Μαριάμ, χαῖρε κεχαριτωμένη, ἵνα ἐλεήσω ἐγὼ Εὔαν τὴν κεκακωμένην. ἤκουσεν ὁ ἄγγελος ταῦτα, καὶ καθ' ἑαυτόν, ὡς εἰκός, ἐλογίζετο. ξένον τὸ πρᾶγμα, ὑπερβαῖνον ἔννοιαν τὸ λαλούμενον· ὁ τοῖς χερουβὶμ φοβερός, ὁ τοῖς σεραφεὶμ ἀθεώρητος, ὁ πάσαις ταῖς ἀγγελικαῖς δυνάμεσιν ἀκατανόητος, ἡλίκην συντυχίαν ἐπαγγέλλεται; κόρῃ αὐτοπρόσωπον παρουσίαν μηνύει, μᾶλλον δὲ εἴσοδον δι' ἀκοῆς ὑπισχνεῖται αὐτῇ; καὶ ὁ τὴν Εὔαν καταδικάσας, τὴν αὐτῆς θυγατέρα δοξάζειν τοσοῦτον ἐπείγεται, καὶ λέγει, ἑτοίμασαί μοι τῆς ἀκοῆς τὰς εἰσόδους; καὶ δύναται γαστὴρ χωρεῖν τὸν ἀχώρητον; ὄντως φοβερὸν τὸ μυστήριον. τοιαῦτα τοῦ ἀγγέλου ἐνθυμουμένου, ὁ δεσπότης φησὶ πρὸς αὐτόν· τί ταράττῃ καὶ ξενίζῃ, ὦ Γαβριήλ; οὐ πρώην ἀπεστάλης ἀπ' ἐμοῦ πρὸς Ζαχαρίαν τὸν ἱερέα; οὐκ ἔδωκας αὐτῷ τῆς γεννήσεως Ἰωάννου τὰ εὐαγγέλια; οὐκ ἀπιστοῦντι τῷ ἱερεῖ τὸ τῆς σιωπῆς ἐπήγαγες πρόστιμον; οὐ κατεδίκασας τὸν πρεσβύτην τῇ ἀφωνίᾳ; οὐχὶ σὺ ἀπεφήνω, ἐγὼ δὲ ἐκύρωσα; οὐ τῷ εὐαγγελισμῷ σου τὸ ἔργον ἐπηκολούθησεν; οὐ συνέλαβεν ἡ στεῖρα; οὐχ ὑπήκουσεν ἡ μήτρα; οὐκ ἀνεχώρησε τῆς ἀκαρπίας ἡ νόσος; οὐκ ἔφυγεν ἡ ἀργία τῆς φύσεως; οὐ νῦν ἐστι στα-

χυοφοροῦσα

χυοφοροῦσα ἡ παρθένος μὴ καρποφοροῦσα; μὴ ἀδυνατεῖ παρ' ἐμοὶ τῷ κτίσαντι πᾶν ῥῆμα; πῶς οὖν ἀμφιβολίας περιεβλήθης; τί οὖν πάλιν ὁ ἄγγελος; δέσποτα, τὸ θεραπεῦσαι τὰ τῆς φύσεως σφάλματα, τὸ διαλῦσαι τῶν παθῶν τὸ χλιδῶμα, τὸ νέκρωσιν μελῶν πρὸς ζωτικὴν ἀνακαλέσασθαι δύναμιν, τὸ ἐπιτάξαι τῇ φύσει παιδοποιίας ἐνέργειαν, τὸ λῦσαι στείρωσιν ἐν ὑπερορίοις τοῖς μέλεσι, τὸ γεγηρακυῖαν καλάμην μετασχηματίσαι πρὸς χλοηφόρον σχῆμα, τὸ τὴν ἄγονον ἄρουραν δραγμάτων ἐξαίφνης ἀναδεῖξαι μητέρα, ἔργον τῆς σῆς ὑπάρχει δυνάμεως ἐκ συνηθείας πληρούμενον· καὶ μάρτυρες Σάρρα, καὶ μετὰ ταύτην Ῥεβέκκα, καὶ πάλιν Ἄννα, τὰ χαλεπὰ τῆς ἀρρωστίας διαλύσασαι πάθη, εἶτα παρὰ σοῦ τὴν ἐλευθερίαν δεξάμεναι. τὸ δὲ παρθένον τεκεῖν μὴ συντυχοῦσαν ἀνδρί, ἀνώτερόν ἐστι τῶν νόμων τῆς φύσεως. ἀλλὰ καὶ τὴν σὴν ἐπαγγέλλῃ τῇ παιδὶ παρουσίαν. οὐρανοῦ καὶ γῆς οὐ χωρεῖ σε τὰ πέρατα· καὶ πῶς σε μήτρα χωρήσει παρθενική; καὶ ὁ δεσπότης φησί· πῶς με ἐχώρησεν ἡ σκηνὴ τοῦ Ἀβραάμ; ὁ ἄγγελός φησιν· ἐπειδὴ εἶχε τῆς φιλοξενίας τὸ πέλαγος· εἶτα νόμισον, δέσποτα, ἐκεῖ ὤφθης παρὰ πατριάρχῃ ἐν τῇ παροδίῳ σκηνῇ, καὶ παρέδραμες ὁ τὰ πάντα πληρῶν. πῶς ἐνέγκῃ ἡ Μαρία τὸ πῦρ τῆς θεότητος; ὁ θρόνος οὐ φλέγεται τῇ αἴγλῃ περιλαμπόμενος; καὶ σὲ δύναται φέρειν ἀκαταπλήκτως ἡ παρθένος; ναὶ μήν, εἰ ἔβλεψε τὸ πῦρ ἐν ἐρήμῳ τὴν βάτον, βλέψει πάντως καὶ Μαρίαν ἡ ἐμὴ παρουσία. εἰ δὲ ἐκεῖνο τὸ πῦρ, τὸ σκιογραφῆσαν τὴν τοῦ θεϊκοῦ πυρὸς ἐξ οὐρανοῦ μου παρουσίαν, ἤρδευσε μέντοι τὴν βάτον, οὐ κατέφλεξε δέ· τί ἂν εἴποις περὶ τῆς ἀληθείας, οὐκ ἐν πυρὶ φλογός, ἀλλ' ἐν σχήματι ὑετοῦ καταβαινούσης; τότε λοιπὸν ὁ ἄγγελος ἐξεπλήρου τὸ προσταχθὲν αὐτῷ· καὶ πρὸς τὴν παρθένον πορευθεὶς καὶ εἰσελθών, πρὸς αὐτὴν ἐβόησε, λέγων· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. οὐκ ἔτι ὁ διάβολος κατὰ σοῦ· ὅπου γὰρ τὸ πρῶτον ἔτρωσεν ὁ πολέμιος, ἐκεῖ τὴν ἔμπλαστρον ὁ ἰατρὸς ἐπιτίθησιν· ὅθεν τὴν ἀρχὴν τῆς ἐξόδου ὁ θάνατος ἔσχεν, ἐκεῖθεν ἡ ζωὴ τὴν εἴσοδον τῆς ζωῆς ἐπεκτήσατο. διὰ γυναικὸς ἐρύει τὰ φαῦλα, διὰ γυναικὸς πηγάζει τὰ κρείττονα. χαῖρε, κεχαριτωμένη. μὴ αἰσχύνου ὡς αἰτία καταδίκης· μήτηρ γὰρ τοῦ καταδικάσαντος γίνῃ. χαῖρε, κεχαριτωμένη, χαῖρε τοῦ χηρεύσαντος κόσμου νυμφοτόκε ἀμίαντε. χαῖρε κεχαριτωμένη, ἡ ἐν μήτρᾳ τὸν τῆς μητρὸς βυθίσασα θάνατον. χαῖρε ὁ ἔμψυχος ναὸς τοῦ Θεοῦ. χαῖρε οὐρανοῦ καὶ γῆς ἰσόρροπον οἴκημα. χαῖρε τῆς ἀχωρήτου φύσεως χωρίον εὐρύχωρον. ἀλλὰ τούτων οὕτως ἐχόντων, ἐπέστη τοῖς ἀσθενοῦσιν ὁ ἰατρός, τοῖς ἐν σκότει καθημένοις ὁ τῆς δικαιοσύνης ἥλιος ἐπέφανε, τοῖς χειμαζομένοις ἡ ἄγκυρα καὶ ὁ ἀκύμαντος λιμήν, τοῖς ἀδιάλλακτα μισουμένοις δούλοις ὁ πρέσβυς ἐτέχθη καὶ τῆς εἰρήνης ὁ σύνδεσμος, τοῖς αἰχμαλώτοις ὁ λυτρωτὴς ἐπεδήμησε, τοῖς πολεμουμένοις ἡ κραταιὰ τῆς ἀνεκλαλήτου χαρᾶς καὶ ἀγάπης σκέπη· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὥς φησιν ὁ θεῖος ἀπόστολος, ἧς γένοιτο διαπαντὸς ἀπολαύειν ἡμᾶς, χάριτι αὐτοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γεν. ιη.

Λουκ. α. κη.

Κολασ. ſ. ιε.

ΕΙΣ ΤΗΝ ΠΑΡΑΒΟΛΗΝ ΠΕΡΙ ΤΟΥ ἀσώτου.

Λογ. μη.

Λουκ. ιε. ια.

Εἰ μὲν, ἀδελφοί, τὴν τοῦ Θεοῦ φιλανθρωπίαν κηρύττειν ὀφείλομεν (δι' αὐτῆς γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμεν) μάλιστα δὲ ἐν τούτῳ τῷ καιρῷ χρεωστοῦμεν τοῦτο ποιεῖν, διὰ τὴν κοινὴν ὠφέλειαν, καὶ τὴν εὐεργεσίαν τῶν μελλόντων ἐκ τῆς κολυμβήθρας ἀνατέλλειν ἀστέρων. καὶ γὰρ οὗτοι διὰ ταύτης ἐκλάμψουσι, * καὶ ἡμεῖς δι' αὐτῆς ἐσώθημεν καὶ σωζόμεθα· ἥτις ἡμῖν ἀντὶ κληρονομίας ἐδόθη ἐκ τοῦ δημι-

Ex edit. Augustana, emend. ex Ms. Bavarico.

Πραξ. ιζ. κη.

ουργοῦ

ουργοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν. Εἴπωμεν τοίνυν περὶ αὐτῆς, ἅπερ εἶπεν ὁ δεσπότης Χριστός, ὁ φιλάνθρωπος υἱὸς τοῦ φιλανθρώπου πατρός, ὁ μόνος ἀξιόχρεως τῆς πατρῴας οὐσίας ἐξηγητής· ἀναπτύξωμεν πᾶσαν τὴν περὶ τοῦ ἀσώτου παραβολήν, ἵνα μάθωμεν ἐξ αὐτῆς, πῶς δεῖ προσαπλάζειν τῷ ἀπροσαπλάστῳ, καὶ συγγνώμην τῶν πλασμάτων αὐτοῦ.

Λουκ. ιε. ια. Ἄνθρωπός τις, φησίν, εἶχε δύο υἱούς. Παραβολικῶς ὁ σωτήρ, οὐ δογματικῶς διαλέγεται. διὰ τοῦτο περὶ τοῦ ἰδίου πατρός, ὡς περὶ ἀνθρώπου τινός, ὁμιλεῖ· καὶ περὶ τῶν δούλων, ὡς περὶ τέκνων, λαλεῖ, ἵνα δείξῃ τοῦ Θεοῦ τὴν περὶ τοὺς ἀνθρώπους στοργήν. Ἄνθρωπός τις, φησίν, εἶχε δύο υἱούς. τίς ἐστιν οὗτος ὁ ἄνθρωπος; ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως. (β. Κορ. α. γ.) τίνας δὲ εἶχε τούτους τοὺς δύο υἱούς; τοὺς δικαίους, καὶ τοὺς ἁμαρτωλούς· τοὺς ἐμμένοντας τοῖς θείοις αὐτοῦ προστάγμασι, καὶ τοὺς παραβαίνοντας τὰς δεσποτικὰς ἐντολάς. καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί. καὶ τίς ἐστιν οὗτος ὁ νεώτερος υἱός; ὁ τὴν γνώμην ἄστατον κεκτημένος, καὶ ταῖς αὔραις τῆς νεότητος ῥιπιζόμενος. πατέρα ἐγνώρισεν ἡ φύσις τὸν πλάσαντα, εἰ καὶ μὴ ἐτίμησεν ἡ προαίρεσις τὸν ποιήσαντα.

Λουκ. ιε. ιβ. πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καλῶς ᾔτησε τὰ τοῦ Θεοῦ παρὰ τοῦ Θεοῦ· ἀλλὰ κακῶς, ἅπερ ἔλαβε, κατηνάλωσε. καὶ διεῖλεν αὐτοῖς τὸν βίον ὁ πατήρ. ἔδωκεν αὐτοῖς, ὡς οἶκον ἴδιον, ὅλον τὸν κόσμον· ἔδωκεν αὐτοῖς, ὡς κτίστης, ὅλην τὴν κτίσιν· παρέχει αὐτοῖς σώματα καὶ ψυχὰς λογικάς, ἵνα τῷ λόγῳ εὐλόγως χειραγωγούμενοι μηδὲν ἄλογον πράξωσιν· ἐπέστησεν αὐτοῖς τὸν ἑαυτοῦ νόμον, τὸν φυσικὸν καὶ τὸν γραπτόν, ὡς θεῖον παιδαγωγόν· ἵνα τούτῳ παιδαγωγούμενοι πληρώσωσι τοῦ νομοθέτου τὸ βούλημα.

Λουκ. ιε. ιγ. Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν πάντα ὁ νεώτερος υἱός, ὡς νεώτερος ἔπραξεν, ἀπεδήμησεν εἰς χώραν μακράν, ἀπέστη ἀπὸ τοῦ Θεοῦ, καὶ ἀπέστη ἀπ' αὐτοῦ ὁ Θεός. οὐ γὰρ βιάζεται τὸν μὴ βουλόμενον δουλεύειν αὐτῷ. γνώμης γάρ, οὐκ ἀνάγκης, αἱ ἀρεταὶ ἅπασαι. ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως· ἐκεῖ τῆς ψυχῆς ὅλον τὸν πλοῦτον ἀπώλεσεν· ἐκεῖ τέρπων καὶ τερπόμενος ἐναυάγησεν· ἐκεῖ παίζων καὶ ἐμπαιζόμενος πένης ἐγένετο· ἐκεῖ ψυχοφθόρους ἡδονὰς ἀγοράζων, καὶ γέλωτας ὠνούμενος, πατέρας δακρύων ἔλαβε. καὶ τὰς μὲν ἀρετάς, ἃς εἶχεν, ἀπεβάλετο· τὰς δὲ κακίας, ἃς οὐκ εἶχε, προσελάβετο.

Λουκ. ιε. ιδ. Δαπανήσαντος δὲ αὐτοῦ πάντα (οὐ πέφυκε γὰρ τοῖς αἰσχρῶς βιοῦσι παραμένειν ὁ πλοῦτος τῆς χάριτος) ἐγένετο οὖν λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην. ὅπου γὰρ τῆς σωφροσύνης ὁ σῖτος οὐ γεωργεῖται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἐγκρατείας ἡ ἄμπελος οὐ πεφύτευται, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τῆς ἁγνείας ὁ βότρυς οὐ ληνοπατεῖται), ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου τὸ οὐράνιον γλεῦκος οὐ βρύει, ἐκεῖ λιμὸς ἰσχυρός· ὅπου εὐφορία κακῶν, ἐκεῖ πάντως ἀφορία τῶν ἀγαθῶν· ὅπου εὐθηνία πράξεων πονηρῶν, ἐκεῖ πάντως σπάνις τῶν ἀρετῶν· ὅπου τῆς φιλανθρωπίας τὸ ἔλαιον οὐ πηγάζει, ἐκεῖ λιμὸς ἰσχυρός. Τότε οὖν καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. οὐδὲν γὰρ αὐτῷ λοιπὸν ἔμεινεν, εἰ μὴ μόνον τὰ τῆς ἀκρασίας κακά, ἐπειδὴ ἔπραξε τὰ τῆς ἀκοσμίας κακά.

Λουκ. ιε. ιε. Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης. πολῖται δὲ τῆς χώρας ἐκείνης ἦσαν οἱ δαίμονες, ἐν ᾗ ἐτύγχανε μετανάστιος. καὶ ἔπεμψεν αὐτὸν ὁ πολίτης ἐκεῖνος εἰς τὸν ἀγρὸν αὐτοῦ βόσκειν χοίρους. οὕτω γὰρ τιμῶσιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτούς· οὕτω φιλοῦσι τοὺς φιλοῦντας αὐτούς· τοιαύτας δωρεὰς χαρίζονται τοῖς πειθομένοις αὐτοῖς. καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι. τί δέ ἐστιν, ἀπὸ τῶν κερατίων; τῶν κερατίων ἡ γεῦσις γλυκεῖα ἐστιν, ἀλλ' ὅμως καὶ σκληρὰ κατ' αὐτό τι καὶ τραχεῖα. τοιαύτη γὰρ καὶ τῆς ἁμαρτίας ἡ φύσις· εὐφραίνει μὲν μικρά, καὶ κολάζει μεγάλα· τέρπει πρόσκαιρα, καὶ μαστίζει αἰώνια.

Λουκ. ιε. ιζ. Εἰς ἑαυτὸν δὲ ἐλθὼν καὶ λογισάμενος τὴν προτέραν μακαριότητα καὶ τὴν δευτέραν ἀθλιότητα, καὶ βοῶν κατὰ νοῦν, τίς μὲν ἦν, ὅτε ἦν μετὰ τοῦ Θεοῦ καὶ πατρὸς τεταγμένος, τίς δὲ γέγονεν ὑποτεταγμένος τοῖς δαίμοσιν, εἰς ἑαυτὸν οὖν ἐλθών, εἶπε· πόσοι μίσθιοι τοῦ πα-

τρὸς μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ ὧδε λιμῷ ἀπόλλυμαι; πόσοι νῦν κατηχούμενοι κατατρυφῶσι τῶν ἁγίων γραφῶν, τῷ λιμῷ δὲ τῶν θείων λογίων ἐγὼ συνέχομαι; ὢ πόσων ἀγαθῶν ἐμαυτὸν ἐστέρησα; ὢ πόσοις κακοῖς ἐμαυτὸν περιέβαλον; τί γὰρ ἀφιστάμην τῆς μακαρίας ἐκείνης διαγωγῆς; τί δὲ ταύτης ἐντὸς ἐγενόμην τῆς θανατηφόρου ζωῆς; ἔμαθον ἀφ᾽ ὧν ἔπαθον, μὴ ἐγκαταλιμπάνειν Θεόν· ἔμαθον κρατεῖν τὰ ἀεὶ φυλάσσοντα τοὺς κρατοῦντας αὐτόν· ἔμαθον μή ποτε θύειν τοῖς ἀκαθάρτοις δαίμοσι, τοῖς διδάσκουσι πᾶσαν ἀκαθαρσίαν τε καὶ φθοράν. τί οὖν φησιν; Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου. ἐπιστρέψω καλῶς, ὅθεν ἐξῆλθον κακῶς· ἀπέλθω πρὸς τὸν ἐμὸν πατέρα, καὶ ποιητήν, καὶ δεσπότην, καὶ κηδεμόνα, καὶ προνοητήν· καταλάβω τὸν πάλαι περιμένοντα καὶ προσλαμβάνοντα τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας. ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου. ἀρκεῖ μοι πρὸς σωτηρίαν ταῦτα τὰ ῥήματα· ἀρκεῖ μοι πρὸς τὴν πρεσβείαν τοῦ πατρός μου τὸ ὄνομα. οὐ δύναται γὰρ ὁ πατὴρ ὁ ἐμός, πατὴρ προσαγορευθεὶς παρ᾽ ἐμοῦ, μὴ φανῆναι τοῖς ἔργοις πατήρ· οὐ δύναται μὴ κινῆσαι τὰ σπλάγχνα, εὔσπλαγχνος ὤν· οὐ δύναται δέ, ἥμαρτον, ἀκούσας, μὴ δοῦναι συγγνώμην τοῖς ἐμοῖς ὀλισθήμασιν· οὐ δύναται τῆς ἐμῆς ἀκούσας φωνῆς μὴ ἐπιλαθέσθαι τῆς δικαίας ὀργῆς. οἶδα πόσα δύναται παρ᾽ αὐτῷ ἡ μετάνοια· οἶδα πῶς ἰσχύει παρ᾽ αὐτῷ τὰ δάκρυα· οἶδα πῶς ἕκαστος ἁμαρτωλὸς πρὸς αὐτὸν [illegible], καὶ δακρύων θερμῶς, ὡς ὁ Πέτρος, λαμβάνει τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· οἶδα τοῦ Θεοῦ μου τὴν ἀγαθότητα· οἶδα τοῦ πατρός μου τὴν ἡμερότητα. ἐλεήσει με μετανοοῦντα, ὃν οὐκ ἐκόλασεν ἁμαρτήσαντα. Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. προσέθηκε τῇ καλῇ βουλῇ τὴν πρᾶξιν τὴν ἀγαθήν. δεῖ γὰρ ἡμᾶς οὐ μόνον βουλεύεσθαι τὰ συμφέροντα, ἀλλὰ καὶ τὰς ἀγαθὰς ὁρμὰς ἐνδείκνυσθαι τῇ πράξει. ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος τοῦ τόπου, πλησίον δὲ ὄντος τῷ [illegible], καὶ τὰς χεῖρας συχνῶς ἐπιρρηγνύντος, καὶ τύπτοντος τὸ ἴδιον στῆθος, ὡς τῶν πονηρῶν λογισμῶν [ὑπάρχον] ἐργαστήριον, καὶ τὸ πρόσωπον προσηλοῦντος τῇ γῇ, καὶ τοὺς ὀφθαλμοὺς ἀπαιτοῦντος δοῦναι συμπρεσβεύοντας τὰς τῶν δακρύων σταγόνας, καὶ προμελετῶντος τὴν ἀπολογίαν, φθάσας ἀνεβόησε φωνῇ μεγάλῃ μετὰ δακρύων λέγων· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου. ἥμαρτον, οἶδα, Χριστὲ δέσποτα καὶ Θεὲ ἐμός· ἁμαρτίας σὺ μόνος ἐπίστασαι· ἥμαρτον, ἐλέησόν με ὡς Θεὸς καὶ δεσπότης. οὐκ εἰμὶ ἄξιος εἰς τὸν οὐρανὸν βλέπειν, καὶ παρακαλεῖν σε τὸν ἀγαθόν μου δεσπότην, γέμων μεγίστων καὶ χαλεπῶν ἐγκλημάτων· οὐκ ἔστιν ἀριθμὸς τῶν ἐμῶν ἁμαρτημάτων. ἐλέησον ὡς ἀγαθὸς Θεὸς ὢν ἀεί· ὅτι οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου, ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. οὕτως ἱκετεύοντα ἐκ βάθους τῆς καρδίας εἶδεν αὐτὸν ὁ βλέπων πλημμελοῦντας, καὶ παραβλέπων ἁμαρτάνοντας, καὶ περιμένων αὐτῶν τὴν μετάνοιαν· εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη. πατὴρ γὰρ ἦν τῇ χρηστότητι, εἰ καὶ Θεὸς ὑπῆρχε τῇ φύσει. καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. οὐκ ἀνέμεινε τὸν προσκρούσαντα πλησίον ἐλθεῖν, ἀλλ᾽ αὐτὸς αὐτῷ προσαπήντησε προθύμως. καὶ οὐκ ἐβδελύξατο τὸν τράχηλον αὐτοῦ, ὡς ταῖς κηλῖσι τῆς ἀσωτίας κατάστικτον καὶ μεμιαμμένον· ἀλλὰ ταῖς ἀχράντοις αὐτοῦ χερσὶ περιλαβὼν κατεφίλησεν ἀπλήστως τὸν πάλαι ποτὲ ποθούμενον. ὢ τῆς ἀφάτου τε καὶ φοβερᾶς εὐσπλαγχνίας· ὢ παραδόξου φιλανθρωπίας· ὢ ξένων σπουδῶν, ὢ ξένων καταλλαγῶν. ἔπεισεν εὐθὺς τὸν Θεὸν εἰς ῥοπὴν μίαν μόνην καὶ συγκαταβῆναι τοῖς δάκρυσι, καὶ παραδραμεῖν πλῆθος τοσοῦτον. ἐθαύμασας ὁρῶν Θεὸν κολακεύοντα ἁμαρτωλόν; ὢ τῆς στοργῆς τῶν σπλάγχνων τῶν πατρικῶν. ὁ ἁμαρτωλὸς ἐπὶ γῆς ἐδάκρυσε, καὶ ὁ μόνος ἀναμάρτητος οὐρανόθεν ἑαυτὸν πρὸς τὴν φιλανθρωπίαν ἐπέκλινε. τίς εἶδέ ποτε ἁμαρτωλὸν ὑπὸ Θεοῦ κολακευόμενον; τίς εἶδέ ποτε τὸν δικαστὴν κατάδικον θεραπεύοντα; τίς εἶδε

Μιχ. ϛ. γ.

ποτε κατάκριτον κολακευόμενοι; ἀλλ' ὅμως ὁ Θεὸς παρακαλεῖ, ὥς ποτε τὸν Ἰσραήλ. Λαός μου, φησί, τί ἠδίκησά σε, ἢ τί παρηνώχλησά σοι; καὶ νῦν τὰ αὐτὰ λέγει, καὶ ἐλέγετο, ὅτι οὕτως ὁ εὐκατάλλακτος βούλεται Θεός, οὕτως εἴωθεν ὑφ' ἑαυτοῦ νικᾶσθαι ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως. οὐ μὴν ἠρκέσθη τούτοις ὁ ἄσωτος ἐκεῖνος υἱός· ἀλλὰ καὶ ἐν τοῖς τῆς μετανοίας ἀγαθοῖς ἄσωτος ὤν, οὐδὲ ἐνόμισεν αὐτῷ [πρὸς τὸ πλῆθος τῶν ἁμαρτηθέντων] τὴν τοσαύτην φιλανθρωπίαν πρὸς τὴν τελείαν σωτηρίαν ἀρκεῖν· ἀλλ' ἅπερ ἐμελέτησεν εἰπεῖν τῷ πατρί, ταῦτα καὶ παρὼν διελέγετο μετὰ τοῦ πρέποντος σχήματος. πάτερ, εἴ γε ὅλως ἔξεστί μοι πατέρα σε εἰπεῖν· εἰ μὴ καὶ τοῦτο μετὰ τῶν ἄλλων μου πλημμελημάτων, καλῶν σε πατέρα, ἐξαμαρτάνω· εἰ μὴ ὑβρίζω τῇ κλήσει τὸ ἀνύβριστον ὄνομα· εἰ μὴ κλείει μου τὰ χείλη τὸ συνειδός· εἰ μὴ δεσμεῖ μου τὴν γλῶτταν ὁ τρόπος τῆς πράξεως· εἰ μὴ κωλύει μου τὸν λόγον ὁ βίος· δέξαι, πάτερ ἅγιε, δέησιν ῥυπαρὰν ἐκ στόματος ῥυπαροῦ. πάτερ κατὰ χάριν, καὶ δημιουργὲ κατὰ φύσιν, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. ἥμαρτον, ὁμολογῶ τὰ παραπτώματά μου, οὐ κρύπτω ἅπερ βλέπεις, οὐκ ἀρνοῦμαι ἅπερ ἐπίστασαι· ὡς ὑπεύθυνος * πρόκειμαι, ὡς παράνομος κατακρίνομαι· ὡς κριτὴς ἐλέησόν με. ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου. δέδοικα εἰς τὸν οὐρανὸν τὰ ὄμματά μου ἀνατεῖναι (φοβοῦμαι γὰρ τοῦ στερεώματος τὴν μορφήν, ὡς κατηγόρου φωνήν) εὐλαβοῦμαι ἐνατενίσαι τῷ φωτὶ θεότητος, ῥυπαροὺς ἔχων τοὺς τῆς διανοίας ὀφθαλμούς. ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. ἰδοὺ ἐμαυτὸν ἀνακηρύττω, ἐμαυτὸν κατακρίνω, κατ' ἐμαυτοῦ ἀποφαίνομαι. οὐ δέομαι δικαστοῦ πρὸς ἀπόφασιν, οὐ δέομαι κατηγόρων πρὸς ἔλεγχον, οὐ δέομαι μαρτύρων πρὸς ἔγγραφα. ἔνδον ἔχω προκαθήμενον τὸ συνειδός, τὸν ἀπαραίτητον δικαστήν· ἐν τῇ ψυχῇ βαστάζω τὸ φοβερὸν δικαστήριον· ἐν τῷ συνειδότι περιφέρω τοὺς μάρτυρας, ἐν τοῖς ἐμοῖς ὀφθαλμοῖς τοὺς κατηγόρους ἐπάγω. τὰ θέατρά μου κατηγορεῖ, αἱ ἱπποδρομίαι μου κατακράζουσιν, αἱ θεωρίαι τῶν θηλυμανούντων καταβοῶσί μοι. ἡ ἀσωτία θριαμβεύει με, αἱ πράξεις μου στηλιτεύουσί με, ἡ παροῦσα γυμνότης φανεροῖ με, αὐτὰ τὰ ῥάκη τῆς αἰσχύνης, ἃ περιβέβλημαι, καταισχύνει με, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. μήτε τῆς αὐλῆς σου ἀποπέμψῃς με, δέσποτα, ἵνα μὴ πάλιν ὁ πολέμιος εὑρών με πεπλανημένον, ὡς αἰχμάλωτον ἀπαγάγῃ· μήτε πλησίον ἑλκύσῃς με τῆς φοβερᾶς σου καὶ μυστικῆς τραπέζης. οὐ γὰρ τολμῶ ὀφθαλμοῖς ἐναγέσιν ὁρᾶν τῶν ἁγίων τὰ ἅγια. ἔασόν με στῆναι μετὰ τῶν κατηχουμένων, τῶν θυρῶν τῆς ἐκκλησίας ἔνδον· ἵνα θεωρῶν τὰ ἐν αὐτῇ τελούμενα μυστήρια, ποθήσω κατὰ μικρὸν ταῦτα πάλιν ἀναλαβεῖν· ἵνα τοῖς θείοις νάμασιν ἐπαντλούμενος ἀποσμήξω τὴν αἰσχύνην τῶν αἰσχρῶν ᾀσμάτων, τὸν ῥύπον τὸν ἐγκείμενον ταῖς ἐμαῖς ἀκοαῖς· ἵνα θεωρῶν τοὺς μαργαρίτας ἁρπαζομένους παρὰ τῶν εὐσεβῶν ἀνδρῶν, ἐπιθυμήσω κἀγὼ κτήσασθαι χεῖρας ἀξίας τῆς τούτων ὑποδοχῆς. ταῦτα τοῦ ἀσώτου προσκρούσαντος, καὶ μετὰ δακρύων βοῶντος, εἶπεν ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ. πρὸς ποίους δούλους; ἄκουε. πρὸς τοὺς ἱερεῖς καὶ λειτουργοὺς τῶν αὐτοῦ προσταγμάτων. ἐξενέγκατε ταχὺ τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν· ἐξενέγκατε τὴν στολὴν τὴν ἄνωθεν ὑφαντήν, τὴν ἐκ τοῦ πνευματικοῦ πυρὸς καταρτιζομένην· ἐξενέγκατε τὴν στολὴν τὴν ἐν τοῖς ὕδασι τῆς κολυμβήθρας ὑφαινομένην· ἐξενέγκατε τὴν στολὴν τὴν ἐκ τοῦ πνευματικοῦ πυρὸς κατασκευαζομένην, καὶ ἐνδύσατε αὐτόν. ἐνδύσατε τὸν ἑαυτὸν ἀποδύσαντα, ἐνδύσατε τὸν νέον Ἀδάμ, ὃν ἐγύμνωσεν ὁ διάβολος· ἐνδύσατε τὸν βασιλέα τῆς κτίσεως· κοσμήσατε τοῦτον, δι' ὃν τὸν κόσμον ἐκόσμησα· καλλωπίσατε τοῦ υἱοῦ μου τὰ φίλτατα μέλη. οὐ φέρω γὰρ αὐτὸν ἀκαλλώπιστον καθορᾶν· οὐ φέρω τὴν ἐμὴν εἰκόνα γεγυμνωμένην καταλιπεῖν. ἐμὸν ὄνειδος ἡγοῦμαι τὸ ὄνειδος τοῦ ἐμοῦ παιδός· ἐμὴν δόξαν ἡγοῦμαι

5 10 15 20 25 30 35 40

γνώρισμα τούτου τὴν εὔκλειαν. δότε καὶ δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, ἵνα φορῇ τὸν ἀρραβῶνα τοῦ πνεύματος, καὶ φορῶν αὐτὸν φρουρηθῇ ὑπ' αὐτοῦ πνεύματος· ἵνα τὴν ἐμὴν σφραγῖδα περιφέρων, φοβερὸς ᾖ πᾶσι τοῖς πολεμίοις τε καὶ ἐναντίοις· ἵνα πόρρωθεν φαίνηται, ποίου πατρός ἐστιν οὗτος υἱός. δότε καὶ ὑποδήματα εἰς τοὺς πόδας αὐτοῦ, ἵνα μὴ πάλιν εὕρῃ ὁ ὄφις γυμνὴν τὴν πτέρναν αὐτοῦ, καὶ πατάξῃ αὐτὸν διὰ τοῦ κέντρου· ἀλλ' ἵνα μᾶλλον αὐτὸς καταπατῇ τὴν τοῦ δράκοντος κεφαλὴν, ἵνα συντρίψῃ τοῦ πολεμίου τὰ κέντρα, καὶ ἵνα τρέχῃ τὴν κατὰ Θεὸν ὁδόν. [Λουκ. ιε. κϐ.] καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν, θύσατε. ποῖον μόσχον λέγει σιτευτόν; ποῖον; ὃν ἡ δάμαλις Μαρία παρθένος ἐγέννησεν. ἐνέγκατε τὸν μόσχον τὸν ἀδάμαστον, τὸν μὴ δεξάμενον ἁμαρτίας ζυγὸν, τὸν παρθένον, καὶ ἐκ παρθένου, τὸν ἀκολουθοῦντα τοῖς ἀκολουθοῦσιν αὐτῷ οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἑκουσίως· τὸν μὴ χρώμενον τῇ δυνάμει αὐτοῦ, μηδὲ τοῖς κέρασιν, ἀλλ' ἑτοίμως ὑποκλίναντα τὸν ἑαυτοῦ αὐχένα τοῖς σφάττειν θέλουσι. θύσατε τὸν ἑκόντα θυόμενον, θύσατε τὸν ζωοποιοῦντα τοὺς θύοντας, θύσατε τὸν θυόμενον καὶ μὴ νεκρούμενον· θύσατε τὸν μεριζόμενον, καὶ τοὺς μερίζοντας αὐτὸν ἁγιάζοντα· θύσατε τὸν ἐσθιόμενον παρὰ τῶν εἰδότων αὐτὸν, καὶ μηδέποτε δαπανώμενον· θύσατε τὸν τοὺς ἐσθίοντας μακαρίους ἀπεργαζόμενον. καὶ φαγόντες πάντες εὐφρανθῶμεν, ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν, καὶ εὑρέθη. καὶ ἤρξαντο εὐφραίνεσθαι. ἐπίστασθε τὴν πνευματικὴν εὐφροσύνην, οἱ ταύτης γευσάμενοι καὶ μεμυημένοι, τῶν φρικτῶν μυστηρίων, τῶν λειτουργῶν τῆς θείας ἱερουργίας, τῶν μιμουμένων τὰς τῶν ἀγγέλων πτέρυγας ταῖς λεπταῖς ὀθόναις ταῖς ἐπὶ τῶν ἀριστερῶν ὤμων κειμέναις, καὶ ἐν τῇ ἐκκλησίᾳ περιτρεχόντων καὶ βοώντων· μή τις τῶν κατηχουμένων, μή τις τῶν μὴ ἐσθιόντων, μή τις τῶν κατασκόπων, μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸν μόσχον ἐσθιόμενον, μή τις τῶν μὴ δυναμένων θεάσασθαι τὸ οὐράνιον αἷμα τὸ ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν, μή τις ἀνάξιος τῆς ζώσης θυσίας, μή τις ἀμύητος, μή τις μὴ δυνάμενος ἀκαθάρτοις χείλεσι προσψαύσασθαι τῶν φρικτῶν μυστηρίων· εἶτα καὶ τῶν *ἀγγέλων οὐρανόθεν ἐπιφημούντων καὶ λεγόντων· ἅγιος ὁ πατὴρ, ὁ θελήσας τυθῆναι τὸν μόσχον τὸν σιτευτὸν, τὸν μὴ γνόντα ἁμαρτίαν, καθώς φησιν ὁ προφήτης Ἡσαΐας, Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· [Ησ. νγ. θ.] ἅγιος ὁ υἱός, ἅμα καὶ μόσχος ὁ ἀεὶ θυόμενος ἑκὼν, καὶ ἀεὶ ζῶν· ἅγιος ὁ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, τὸ τὴν θυσίαν τελεσιουργῆσαν. τούτων οὖν ἔνδον ἐπιτελουμένων, ὁ πρεσβύτερος υἱὸς μακρόθεν παραγενόμενος ἤκουσε συμφωνίας καὶ χορῶν· καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθάνετο τί ἂν εἴη τοῦτο; ἦχός τις *περιεκτύπησέ μου τὰ ὦτα. ὁ δέ φησι, Δαβὶδ ὁ προφήτης ἔνδον μελῳδεῖ· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. [Ψαλ. ν. κα.] ὁ αὐτὸς πάλιν προτρέπεται τοὺς παρόντας πρὸς τὴν ἑστίασιν, καὶ λέγει· Γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. [Ψαλ. λγ. θ.] Παῦλος ὁ τῶν θείων μυστηρίων ἐξηγητὴς, ἀναβοᾷ καὶ λέγει· Τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός. [α. Κορ. ε. ζ.] ἡ ἐκκλησία πανηγυρίζει εὐφραινομένη καὶ χορεύει. ὁ δέ φησι πρὸς τὸν δοῦλον· ναί, καὶ μὴ παρόντος ἐμοῦ ἄλλοι τὰ ἐμὰ μυστήρια, παρὰ τὴν ἐμὴν ἀπουσίαν, ἐν τῇ ἐμῇ αὐλῇ μερίζονται; ναί, φησιν· ὅτι ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτὸν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. ὠργίσθη δὲ πρὸς ταῦτα ὁ δίκαιος, καὶ οὐκ ἤθελησεν εἰσελθεῖν. ὠργίσθη ὁ δίκαιος, καὶ τοῦ φθόνου ἐγένετο δοῦλος; ὁ καταπατήσας τοῦ βίου τὰ τερπνὰ, φθόνῳ κεκράτηται; καὶ πῶς φησιν ὁ Παῦλος λέγων· Ἐβουλόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα; [Ρωμ. θ. γ.] οὐχ ἵνα βάσκανον δείξῃ τὸν δίκαιον, ἀλλὰ διὰ τὴν ὑπερβολὴν οὕτω τὸν λόγον ἐσχημάτισεν ὁ σωτήρ· ἵνα κηρύξῃ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χρηστότητος τοῦ πατρὸς αὐτοῦ. καὶ τοῦτο δηλοῖ διὰ τῶν ἐφεξῆς. Ὁ γὰρ πατὴρ αὐτοῦ, φησιν, ἐξελθὼν παρεκάλει αὐτόν. [Λουκ. ιε. κη.] ὢ σοφίας ἀρρήτου· ὢ προνοίας θεοφιλοῦς. καὶ τὸν ἁμαρτωλὸν ἠλέησε, καὶ τὸν δίκαιον ἐκολάκευσε· καὶ τὸν ἱστάμενον οὐκ ἀφῆκε πε-

στιν, καὶ τὸν πεσόντα ἤγειρε· καὶ τὸν πένητα πλούσιον ἀπέδειξε, καὶ τὸν πλούσιον οὐ συνεχώρησε τῷ φθόνῳ γενέσθαι πτωχόν. ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ ἐγὼ τοσαῦτα ἔτη ἔχω δουλεύων σοι, καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον· καὶ ἐμοὶ οὐκ ἔδωκάς ποτε ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· ἀλλὰ περιέρχομαι ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενος, θλιβόμενος, κακουχούμενος. ὅτε δὲ ὁ υἱός σου οὗτος ἦλθεν, ὁ καταφρονήσας σου, καὶ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, εὐθέως ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν· καὶ οὔτε ῥήματι ἐνεκάλεσας αὐτῷ, οὔτε σχήματι τὸ πρόσωπόν σου ἀπέστρεψας ἀπ' αὐτοῦ· ἀλλ' εὐθέως ἐξενοδόχησας αὐτόν, καὶ πάσῃ τῇ στολῇ σου κατεκόσμησας, καὶ τῷ χρυσῷ δακτυλίῳ περιέσφραγας, καὶ τοῖς ὑποδήμασι περιέφραξας, καὶ τὴν ἐκκλησίαν ἠνέῳξας, καὶ τὴν τράπεζαν ἐκαλλώπισας, καὶ τοὺς κρατῆρας ἐπλήρωσας, καὶ τὸν μόσχον τὸν σιτευτὸν κατέσφαξας, καὶ πρὸς τὴν εὐωχίαν τοὺς πιστοὺς προσεκάλεσας, καὶ τοὺς ἀγγέλους χορεύειν ἐποίησας, καὶ ξένον οὐρανοῦ καὶ γῆς συμπόσιον συνεκρότησας· καὶ τοιαύτας καὶ τοσαύτας δωρεὰς παρέσχες τῷ καταφρονήσαντι τῆς σῆς ἀγαθότητος, καὶ τὴν εὐγένειαν καθυβρίσαντι. τί εἴπω πρὸς τὸ βάθος καὶ τὸ πέλαγος τῶν σῶν οἰκτιρμῶν; πῶς θαυμάσω τὴν θάλασσαν τῆς σῆς γαληνότητος; ἐλεεῖς*, Κύριε, πάντας, ὅτι πάντα δύνασαι, καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν. ὁ δὲ πατὴρ αὐτοῦ εἶπεν αὐτῷ· τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, σὺ τῶν ἐμῶν κόλπων οὐκ ἐχωρίσθης ποτέ· σὺ τῆς ἐκκλησίας τῆς ἐμῆς οὐκ ἀπεσκίρτησας· σὺ ψαλμοῖς καὶ ὕμνοις προσέσχες ἀεί· σὺ μετὰ τῶν ἀγγέλων ἐντυγχάνεις διαπαντός· σὺ τῷ θυσιαστηρίῳ παριστάμενος, μετὰ παρρησίας βοᾷς, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. οὗτος δὲ προσῆλθέ μοι κατακεκριμένος, κατῃσχυμμένος, τὸ πρόσωπον ὠθῶν εἰς τὴν γῆν, καὶ μετὰ συντετριμμένης καὶ στυγνῆς φωνῆς ἀνεβόησε· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. τί εἶχον ποιῆσαι πρὸς τὰ ῥήματα ταῦτα; ἠδυνάμην μὴ ἐλεῆσαι τὸν ἐμὸν υἱὸν προσελθόντα μοι; σὺ δίκασον ὁ θυμούμενος. ἀλλ' οὐ πέφυκα φιλάνθρωπος ὢν ἀπάνθρωπόν τι διαπράξασθαι· οὐ δύναμαι μὴ ἐλεῆσαι, ὃν ἐγὼ ἐποίησα· οὐ δύναμαι μὴ οἰκτείρειν, ὃν ἐκ τῶν ἐμῶν σπλάγχνων ἐγέννησα. τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ τὰ ἐμὰ πάντα, σά ἐστιν· ὁ οὐρανὸς σός, τὸ στερέωμα σόν, ὁ ἥλιος δᾳδοῦχος σός, ἡ σελήνη θεράπαινα σή, οἱ ἀστέρες λαμπτῆρές σοι, ὁ ἀὴρ [illegible] σός, καὶ πάντα τὰ ἐναέρια, σά· ἡ γῆ καὶ τὰ ἐν αὐτῇ, σά· ἡ θάλασσα καὶ τὰ ἐν αὐτῇ, σά· ὁ κόσμος σός, ἡ ἐκκλησία σή, τὸ θυσιαστήριον σόν, ὁ μόσχος ὁ σιτευτός, σός, ἡ θυσία, σή, οἱ ἄγγελοι, σοί, οἱ ἀπόστολοι, σοί, οἱ μάρτυρες, σοί· τὰ παρόντα, σά, τὰ μέλλοντα, σά, ἡ ἀνάστασις, σή, ἡ ἀθανασία, σή, ἡ ἀφθαρσία, σή, ἡ βασιλεία τῶν οὐρανῶν, σή, πάντα τὰ φαινόμενα καὶ τὰ νοούμενα, σά. μὴ τὰ σὰ ἀπήγαγον, κἀκείνῳ προσήγαγον; μή σε ἀπέδυσα, κἀκεῖνον ἐνέδυσα; οὐχὶ ἐκ τῶν ἐμῶν πραγμάτων ἐχαρισάμην τὸ ἔλεος; οὐχ ὅμοιός εἰμι καὶ σοῦ κἀκείνου πατήρ; καὶ σὲ τιμῶ διὰ τὴν ἀρετήν, κἀκεῖνον ἐλεῶ διὰ τὴν καλλίστην ἐπιστροφήν· καὶ σὲ ποθῶ διὰ τὴν ζωήν, κἀκεῖνον διὰ τὴν μεταβολήν· καὶ σὲ διὰ τὴν πολιτείαν φιλῶ, κἀκεῖνον διὰ τὴν μετάνοιαν· καὶ σὲ διὰ τὴν μακροθυμίαν, κἀκεῖνον διὰ τὴν ἐν ἐμοὶ ἐπιστροφήν. Εὐφρανθῆναι δὲ καὶ χαρῆναί σε ἔδει, ὅτι οὗτος ὁ ἀδελφός σου νεκρὸς ἦν, καὶ ἀνέζησεν· ἀπολωλὼς ἦν, καὶ εὑρέθη. τίς βλέπων νεκρὸν ἀνιστάμενον οὐκ εὐφραίνεται; καὶ τίς εὑρὼν ὃ ἀπώλεσεν, οὐκ ἀγάλλεται; δεῦρο καὶ σύ, υἱέ μου, συνευφράνθητι σὺν ἡμῖν, καὶ συσκίρτησον σὺν τοῖς ἀγγέλοις, καὶ περίπτυξον σὺν ἡμῖν τὸν σὸν ἀδελφόν, καὶ σύμψαλλε τῷ Δαβὶδ ἐκεῖνο τὸ πνευματικὸν μέλος, τὸ πρέπον τῇ παρούσῃ πανηγύρει· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνήρ, ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν. ἠκούσατε τῆς θείας παραβολῆς, καὶ τὸν ταύτης σκοπὸν ἔγνωτε, καὶ τὴν δύναμιν αὐτῆς εἴδετε, ἐμάθετε

πῶς

Εβρ. ια. λζ.

Λουκ. ιε. κα.

Λουκ. ιε. λβ.

Ψαλ. λα. α.

πῶς φιλάνθρωπον ἔχομεν Κύριον, πῶς ἀνεξίκακον. αὐτῷ τοίνυν προσφύγωμεν μετὰ καθαρᾶς καρδίας. δεῦτε, κοινῇ φωνῇ βοήσωμεν πρὸς αὐτόν· Δέσποτα, Κύριε φιλάνθρωπε, μονογενὲς υἱὲ τοῦ Θεοῦ, ἡμάρτομεν εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ ἐσμὲν ἄξιοι κληθῆναι υἱοί σου· ἀλλὰ θαῤῥοῦμεν τοῖς σοῖς οἰκτιρμοῖς· ἔχομεν ὅμηρα τῆς σῆς φιλανθρωπίας τὸν τίμιον σταυρὸν, ὃν ὑπέμεινας δι' ἡμᾶς· ἔχομεν ἐγγυητὰς τῆς σῆς εὐσπλαγχνίας, τὴν ποτὲ πόρνην, * καὶ τὸν ποτὲ λῃστήν. διὰ τούτων γὰρ καὶ ἡμεῖς καὶ πάντες οἱ ἁμαρτωλοὶ προτρεπόμεθα προστρέχειν τῇ σῇ φιλανθρωπίᾳ. ὡς ἐκείνους ἀοιδίμους καὶ μακαρίους ἀπέδειξας, Κύριε, καὶ ἡμᾶς προσπίπτοντάς σοι ἐλέησον· ὡς ἀνέστησας νεκροὺς σταυρωθεὶς, " καὶ ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ διὰ τὴν πολλήν σου φιλανθρωπίαν ἀνάστησον, ἵνα ἀπολαύσωμεν μετὰ τῶν ἀπολυτρωσαμένων τῆς σῆς ἀναστάσεως. Ταῦτα λέγοντες, ἐπιμείνωμεν, ἵνα καὶ πρὸς ἡμᾶς εἴπῃ ὁ δεσπότης ἡμῶν Χριστὸς, Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. *Ματθ. θ. κθ.* καὶ ὑμεῖς δὲ οἱ μέλλοντες ἀπολαύειν τῆς τοῦ βαπτίσματος δωρεᾶς, πάντα λογισμὸν " ἀλλότριον ἀποῤῥίψαντες, καὶ τὰς ψυχὰς ὑμῶν εἰς τὸν οὐράνιον νυμφῶνα εὐθειώσαντες, τῆς τοῦ ἁγίου πνεύματος χάριτος ἀπολαύσατε. ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε, ἐπὶ θύραις ὁ " λυτρωτὴς ἐφέστηκεν, ὁ ἰατρὸς τοῖς πιστεύουσι πάρεστι, τὸ ἰατρεῖον ἀνέῳκται, τὰ φάρμακα πρόκειται, ἡ κολυμβήθρα πάντας προσδέχεται, ἡ χάρις ἐξήπλωται, ἡ πνευματικὴ στολὴ παρὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐξυφαίνεται. μακάριοι οἱ " καταξιούμενοι φορέσαι τὴν στολήν. μόνον ὑμεῖς τῆς πίστεως τὰς λαμπάδας ἀνάψατε, καὶ τὸ ἔλαιον τῆς εὐσεβείας δαψιλῶς ἐπιβάλλετε, ἵνα νυκτὸς, ὅταν γένηται φωνὴ λέγουσα, Ἰδοὺ ὁ νυμφίος ἔρχεται, *Ματθ. κε. ϛ.* ἐξέλθητε εἰς ὑπάντησιν αὐτοῦ μετὰ φαιδρῶν τῶν λαμπάδων *, χορεύοντες καὶ σκιρτῶντες καὶ βοῶντες, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· *Ματθ. κα. θ.* αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΠΟΤΟΜΗΝ ΤΟΥ ΠΡΟΔΡΟμου καὶ Βαπτιστοῦ Ἰωάννου, καὶ εἰς τὴν Ἡρωδιάδα.

Λογ. ϛθ.

Ex edit. Augustana, emend. ex Mss. Oxon.

Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράττεται, πάλιν ὀρχεῖται, πάλιν ἐπιζητεῖ τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ ἀνόμως ὑπὸ Ἡρώδου ἀποτμηθῆναι. πάλιν Ἰεζάβελ περιέρχεται, ζητοῦσα τοῦ Ναβουθαὶ τὸν ἀμπελῶνα " ἁρπάσαι, καὶ τὸν ἅγιον Ἡλίαν καταδιῶξαι ἐπὶ τὰ ὄρη. οἶμαι δὲ μὴ μόνον ἐμὲ εἰς ἔκστασιν τυγχάνειν, ἀλλὰ καὶ πάντας ὑμᾶς τοὺς ἀκούοντας τῆς τοῦ εὐαγγελίου φωνῆς, καὶ θαυμάζειν σὺν ἐμοὶ τὴν μὲν Ἰωάννου παῤῥησίαν, τὴν δὲ Ἡρώδου κουφότητα, καὶ τὴν τῶν ἀθέων γυναικῶν θηριώδη μανίαν. τί γὰρ ἠκούσαμεν; Ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔθετο ἐν φυλακῇ. *Ματθ. ιδ. γ.* διὰ τί; διὰ Ἡρωδιάδα γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ψέξειεν ἄν τις τὴν Ἡρώδου κουφότητα ὑπὸ δυστήνων γυναικῶν " παραχθεῖσαν. τί δ' ἄν τις εἴποι, ἢ πῶς τις ἐκφράσοι τὴν τῶν γυναικῶν ἐκείνων ἀκόλαστον πονηρίαν; ἐμοὶ μὲν δοκεῖ μηδὲν εἶναι ἐν κόσμῳ θηρίον ἐφάμιλλον γυναικὸς πονηρᾶς. ἀλλὰ νῦν ἐμοὶ περὶ πονηρᾶς ὁ λόγος, οὐ περὶ ἀγαθῆς καὶ σώφρονος. οἶδα γὰρ πολλὰς εὐσχήμονας καὶ ἀγαθὰς, ὧν με δεῖ μνημονεῦσαι τὸν βίον πρὸς οἰκοδομὴν καὶ ἔρωτα τῶν καλῶν. οὐδὲν τοίνυν θηρίον ἐν κόσμῳ ἐφάμιλλον γυναικὸς πονηρᾶς. τί λέοντος δεινότερον ἐν τετράποσι; ἀλλ' οὐδέν. τί δὲ ὠμότερον δράκοντος ἐν ἑρπετοῖς; ἀλλ' οὐδέν. πλὴν καὶ λέων καὶ δράκων ἐν τῷ κακῷ ἐλάττω τυγχάνουσι. καὶ μαρτυρεῖ μοι τῷ λόγῳ " ὁ σοφὸς λέγων· Συνοικῆσαι λέοντι καὶ δράκοντι " εὐδόκησα, ἢ μετὰ γυναικὸς πονηρᾶς καὶ γλωσσώδους. *Σειρ. κε. ιη.* καὶ ἵνα μὴ νομίσῃς τὸν προφήτην εἰρωνείᾳ εἰρηκέναι,

ἐξ αὐτῶν τῶν πραγμάτων καταμάθε ἀκριβῶς. τὸν Δανιὴλ ἐν τῷ λάκκῳ οἱ λέοντες ἠδέσθησαν· τὸν δὲ δίκαιον Ναβουθαὶ Ἰεζάβελ ἐφόνευσε· ὁ κῆτος τὸν Ἰωνᾶν ἐν τῇ κοιλίᾳ ἐφύλαξε· Δαλιδὰ δὲ τὸν Σαμψὼν ξυρήσασα καὶ δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε· δράκοντες καὶ ἀσπίδες καὶ κεράσται τὸν Ἰωάννην ἐν τῇ ἐρήμῳ ἐθαύμασαν· Ἡρωδιὰς δὲ αὐτὸν ἐν δεσμωτηρίῳ ἀπέτεμεν· οἱ κόρακες τὸν Ἠλίαν ἐν τῷ ὄρει διέθρεψαν· Ἰεζάβελ δὲ αὐτὸν μετὰ τὴν εὐεργεσίαν τοῦ ὑετοῦ πρὸς φόνον ἐδίωκε. τί γὰρ ἔλεγεν; Εἰ σὺ Ἠλιοὺ, καὶ ἐγὼ Ἰεζάβελ· Τάδε ποιήσαισάν μοι οἱ θεοὶ, καὶ τάδε προσθείησαν, εἰ μὴ αὔριον ταύτῃ τῇ ὥρᾳ θήσομαι τὴν ψυχήν σου, ὡς ἑνὸς τῶν τεθνηκότων. καὶ ἐφοβήθη Ἠλίας, καὶ ἐπορεύθη κατὰ τὴν ψυχὴν αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν ἔρημον, ὁδὸν ἡμερῶν τεσσαράκοντα. καὶ ἦλθεν ὑπὸ Ῥαθμὲν, καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν, καὶ εἶπε· Κύριε ὁ Θεὸς, ἱκανούσθω μοι νῦν, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὐ κρείσσων ἐγὼ ὑπὲρ τοὺς πατέρας μου. οἴμοι· ὁ προφήτης Ἠλίας ἐφοβήθη γυναῖκα; ὁ τὸν ὑετὸν τῆς οἰκουμένης ἐν τῇ γλώττῃ βαστάζων, ὁ πῦρ οὐρανόθεν * κατενέγκας, καὶ δι' εὐχῆς νεκροὺς ἐγείρας ἐφοβήθη γυναῖκα; ναὶ, ἐφοβήθη. οὐδεμία γὰρ κακία συγκρίνεται γυναικὶ πονηρᾷ. μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ σοφία λέγουσα, Ὅτι οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός. ὢ τὸ κακὸν τοῦ διαβόλου καὶ ὀξύτατον ὅπλον. διὰ γυναικὸς ἐξ ἀρχῆς τὸν Ἀδὰμ ἐν παραδείσῳ κατέπτωσε· διὰ γυναικὸς τὸν πραότατον Δαβὶδ πρὸς τὴν τοῦ Οὐρίου δολοφονίαν ἐξέμηνε, διὰ γυναικὸς τὸν σοφώτατον Σολομῶντα πρὸς παράβασιν κατέστρωσε, διὰ γυναικὸς τὸν ἀνδρειότατον Σαμψῶνα ξυρήσας ἐτύφλωσε, διὰ γυναικὸς τοὺς υἱοὺς Ἠλεὶ τοῦ ἱερέως ἠδάφισε, διὰ γυναικὸς τὸν εὐγενέστατον Ἰωσὴφ ἐν φυλακῇ δεσμεύσας κατέκλεισε, διὰ γυναικὸς τὸν παντὸς κόσμου λύχνον Ἰωάννην ἀπέτεμε. τί δὲ λέγω περὶ ἀνθρώπων; διὰ γυναικὸς τοὺς ἀγγέλους οὐρανόθεν κατέβαλε· διὰ γυναικὸς πάντας κατασφάζει, πάντας φονεύει, πάντας ἀτιμάζει, πάντας ὑβρίζει. γυνὴ γὰρ ἀναιδὴς οὐδενὸς φείδεται· οὐ Λευΐτην τιμᾷ, οὐχ ἱερέα ἐντρέπεται, οὐ προφήτην αἰδεῖται. ὢ κακὸν κακοῦ κάκιστον γυνὴ πονηρά. κἂν μὲν πενιχρὰ ᾖ, τῇ κακίᾳ πλουτεῖ· ἐὰν δὲ πλοῦτον ἔχῃ τῇ πονηρίᾳ συνεργοῦντα, διπλοῦν τὸ κακὸν, ἀφόρητον τὸ ζῶον, ἀθεράπευτος νόσος, ἀνήμερον θηρίον. ἐγὼ οἶδα καὶ ἀσπίδας κολακευομένας ἡμεροῦσθαι, καὶ λέοντας, καὶ τίγρεις καὶ παρδάλεις τιθασευομένας πραΰνεσθαι· γυνὴ δὲ πονηρὰ καὶ ὑβριζομένη μαίνεται, καὶ κολακευομένη ἐπαίρεται. κἂν ἔχῃ ἄνδρα ἄρχοντα, νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς λόγοις αὐτὸν ἀναμοχλεύουσα πρὸς δολοφονίαν ὀξύνει, ὡς Ἡρωδιὰς τὸν Ἡρώδην. κἂν πένητα ἔχῃ ἄνδρα, πρὸς ὀργὰς καὶ μάχας αὐτὸν διεγείρει· κἂν χήρα τυγχάνῃ, αὕτη δι' ἑαυτῆς τοὺς πάντας ἀτιμάζει. φόβῳ γὰρ Κυρίου οὐ χαλινοῦται τὴν γλῶτταν, οὐκ εἰς τὸ μέλλον κριτήριον ἀποβλέπει, οὐκ εἰς Θεὸν ἀναβλέπει, οὐ φιλίας οἶδε θεσμοὺς φυλάττειν. οὐδέν ἐστι γυναικὶ πονηρᾷ τὸν ἴδιον ἄνδρα παραδοῦναι εἰς θάνατον. ἀμέλει γοῦν τὸν δίκαιον Ἰὼβ ἡ ἰδία γυνὴ πρὸς θάνατον τῆς βλασφημίας παρεδίδου λέγουσα· Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. ὢ φύσεως πονηρᾶς, ὢ προαιρέσεως ἀνοσίας. οὐκ ἠλέησεν ὁρῶσα τοῦ ἰδίου ἀνδρὸς τὰ σπλάγχνα ὑπὸ τῶν ἀναζεουσῶν φλυκταινῶν, ὥσπερ ὑπὸ ἀνθράκων πυριθερβόλων, καιόμενα, καὶ ὅλας τὰς σάρκας τοῖς σκώληξι συνειλημμένας. οὐκ ἐκάμφθη πρὸς οἶκτον, ὁρῶσα αὐτὸν ὅλον δι' ὅλου ἐλιαζόμενον καὶ κάμνοντα καὶ ἀγωνιῶντα, καὶ συνεχῆ ἄσθματα μετὰ πόνου κεχηνότι τῷ στόματι φέροντα. οὐκ ἐμειλίχθη πρὸς εὐσπλαγχνίαν ὁρῶσα τὸν ποτὲ ἐν βασιλικῇ πορφυρίδι προϊόντα, τότε ἐπὶ κοπρίας κείμενον γεγυμνωμένῳ τῷ σώματι. οὐκ ἐμνημόνευσε τῆς πρὸς αὐτὸν ἀρχαίας συνηθείας, οὐδὲ ὅσα δι' αὐτὸν ἐπίδοξα καὶ καλὰ ἐκληρώθησεν αὐτή. ἀλλὰ τί; Εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. ὢ χάρις γυναικὸς, ὢ μάλαγμα ὀδυνῶν παραμαλακτήριον, ὢ φιλίας ὁμοζύγου θεσμός. ἆρα σὺ ποτὲ ἀρρωστούσης τοιοῦτον ἐφθέγξατο ῥῆμα, καὶ οὐχὶ εὐ-

χαῖς

γ. Βασ. ιθ. β.

Σειρ. κε. γ.

Ἰὼβ β. θ.

χαῖς καὶ ἐπινοίαις τὴν νόσον σου ἀπέσμηξεν; οὐκ ἤρκει γὰρ αὐτῷ ἡ πρόσκαιρος παιδεία, ἀλ-
λὰ καὶ αἰώνιον αὐτῷ προξενεῖς τὴν κόλασιν διὰ τῆς βλασφημίας; ἢ οὐκ οἶδας ὅτι Πᾶσα
βλασφημία καὶ ἁμαρτία ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου βλα-
σφημία οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι; θέλεις ἰδεῖν καὶ ἄλ-
5 λην τῆς πονηρίας ταύτης ὁμόζυγον; ἰδέ μοι τὴν Δαλιδάν. καὶ γὰρ ἐκείνη τὸν ἀνδρειότα-
τον Σαμψὼν ξυρήσασα καὶ δήσασα τοῖς ἀλλοφύλοις παρέδωκε, τὸν ἴδιον ἄνδρα, τὸν ἴδιον σύν-
ευνον, ὃν ἔθαλπεν, ὃν ἐθώπευεν, ὃν ἐκολάκευεν, ὃν ὑπὲρ ἑαυτὴν ἀγαπᾷν ὑπεκρίνατο.
ὃν χθὲς ἠγάπα, σήμερον ἠπάτα· ὃν χθὲς ἔθαλπεν ἀγαπῶσα, σήμερον ἔθαπτεν ἀπατῶσα. καὶ
μὴν οὐκ ἦν ὡραῖος; καὶ τίς αὐτοῦ ὡραιότερος κατ' ἐκεῖνο καιροῦ, ὃς ἑπτὰ βοστρύχους ἐπὶ κε-
10 φαλῆς ἔφερε, τὴν ἑπταφώτου λυχνίας τὴν εἰκόνα βαστάζων; καὶ μὴν οὐκ ἦν ἀνδρεῖος; καὶ τίς
αὐτοῦ ἀνδρειότερος, ὅς γε λέοντα φοβερὸν ἐν ὁδῷ μόνος ἀπέπνιξε, καὶ ἐν μιᾷ σιαγόνι ὄνου χι-
λίους ἀλλοφύλους κατέστρωσε; ἀλλὰ καὶ οὐχ ἅγιος ἦν; τοὐναντίον ἦν ἅγιος, ὡς διψήσαντα αὐτόν
ποτε ἐν ἀπορίᾳ ὕδατος εὔξασθαι, καὶ ἐκ τῆς κατεχομένης ἐν τῇ χειρὶ αὐτοῦ σιαγόνος νεκρᾶς ὕδωρ
πηγάσαι, κἀκεῖθεν τὸ ἴαμα τῆς δίψης ἀρύσασθαι. καὶ τὸν οὕτως ὡραῖον, τὸν οὕτως ἀνδρεῖον, τὸν
15 οὕτως ἅγιον, ἡ ἰδία γυνή, ὡς πολέμιον δήσασα, τοῖς ἀλλοφύλοις παρέδωκε. καὶ πόθεν ἄρα
γυνὴ τοῦ οὕτως ἀνδρείου κατίσχυσε; ἐκ τῆς οἰκείας τοῦ ἀνδρὸς ἀγαθότητος. τὸ γὰρ μυστή-
ριον αὐτοῦ τῆς ἰσχύος νύκτωρ ἀποσυλήσασα, γυμνὸν αὐτὸν ἱμᾶσιν ἰσχυροῖς κατέστρεψε. διὰ
τοῦτο παραγγέλλει σοι ἡ σοφία· Ἀπὸ τῆς συγκοίτου σου φυλάσσου τοῦ ἀναθέσθαι τι αὐτῇ. Μιχ. ζ ε.
ποῖον, εἰπέ μοι, θηρίον κατὰ τοῦ ἰδίου ἄρρενος τοιαῦτα ἐμελέτησε πώποτε; τίς δράκαινα τὸν ἴδιον
20 ὁμόζυγον ἀπολέσθαι θέλει; ποία δὲ λέαινα τὸν ἴδιον ἄρρενα πρὸς σφαγὴν παραδίδωσιν;
ὁρᾷς, ὅτι ἐπιτετυγμένως εἶπεν ἡ σοφία, ὅτι οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ Σειρ. κε. ιγ.
οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός; καὶ ἁπαξαπλῶς, ὁ ἔχων γυναῖκα πονηράν, γινω-
σκέτω ἤδη τὸν τῶν ἀνομιῶν αὐτοῦ κεκομίσθαι μισθόν. οὐκ ἀμάρτυρος ὁ λόγος. ἄκουε τῆς
σοφίας λεγούσης, Γυνὴ πονηρὰ ἀνδρὶ ἀνόμῳ δοθήσεται ἀντὶ ἔργων πονηρῶν. ἀλλὰ περὶ
25 πονηρᾶς γυναικὸς ὁ λόγος ἄχρι τούτου ἐχέτω ὅρον. χρὴ δὲ ἡμᾶς μνημονεῦσαι καὶ τὰς ἀγα-
θάς, μάλιστα διὰ τὰς παρούσας. αἱ γὰρ ἀγαθαὶ τὰς τῶν ἀγαθῶν ἀρετὰς ὡς ἰδίας ὁρῶ-
σι, καὶ τοὺς ἐκείνων πόνους ὡς ἰδίους στεφάνους εἶναι λογίζονται. γυνὴ ἀγαθὴ καὶ φιλόξενος ἦν
ἡ μακαρία Σωμανῖτις, ἥτις τὸν ἄνδρα παρακαλέσασα, δωμάτιον ᾠκοδόμησε τῷ Ἐλισσαίῳ,
ἵνα διερχόμενος ἀκωλύτως ἔχῃ τὴν ἀνάπαυσιν, τιθεῖσα αὐτῷ κλίνην καὶ λυχνίαν καὶ τρά-
30 πεζαν· κλίνην οὐ κενὴν ἱματίων, ἀλλ' ἔχουσαν πρέποντα τῷ προφήτῃ τὰ στρώματα· λυ-
χνίαν οὐκ ἄνευ λύχνου, ἀλλὰ σὺν τῷ ἀρκοῦντι ἐλαίῳ τὸ φῶς· τράπεζαν οὐκ ἔρημον ἄρ-
των, ἀλλ' ἔγκαρπον ἐδεσμάτων. τί δ' ἄν τις εἴποι περὶ τῆς μακαρίας ἐκείνης χήρας τῆς τὸν
προφήτην Ἡλίαν ὑποδεξαμένης; ἣ οὐδὲν ἐνεπόδιζεν ἡ πενία τῶν χρημάτων, διὰ τὸ
πλούσιον τῆς προαιρέσεως· ᾗ οὐ πηλὸν, οὐ σῖτος, οὐκ οἶνος, οὐ προσόψημα, οὐκ ἄλλο τι τῶν
35 χρειῶν πρὸς τὴν τῆς πενίας παραμυθίαν. οὐ χώρα αὐτῇ σιτοφόρος σπέρμα ἄρτου προσέ-
φερεν· οὐκ ἄμπελος αὐτῇ γλυκόρρυτον βότρυν ἐγεώργει· οὐ δένδρον αὐτῇ ὀπώρας καρπὸν ἥ-
διστον προσέφερε. πῶς γάρ; ᾗ οὔτε σπιθαμὴ γῆς ἀροσίμου τόπος ὑπῆρχεν, οὔτε πηχυαῖον ἔδα-
φος πρὸς ἀμπέλου φυτείαν· ἀλλ' ἀεὶ ἐν τῷ καιρῷ τοῦ θέρους ἐν ταῖς ἀρούραις κυρτοβατοῦσα, τοὺς
ἀποπίπτοντας τῶν δρεπανιστῶν παλάμαις ἀστάχυας ἐρανιζομένη, συμμεμετρημένην τῷ ἐνιαυ-
40 σιαίῳ κύκλῳ τοῦ χρόνου τὴν τροφὴν ἀπετίθετο. πρὸς ταύτην ἀπῆλθεν Ἡλίας ἐν τῷ καιρῷ
τοῦ λιμοῦ, ὅτε πᾶσα ἡ γῆ ἐκ τῆς ἀβροχίας σχεδὸν διεθρύπτετο· ὅτε οὐρανὸς ἐπεπύρωτο, καὶ ὁ
ἀὴρ ἐχαλκοῦτο, καὶ αἱ νεφέλαι ἐχαλυβοῦντο, ὅτε οὐ βοτάνη, οὐκ ἄνθος, οὐκ ἀκροδρύων βλα-
στός, οὐκ ἀὴρ ἔνδροσος, οὐ στάχυς ἀκμῇ ἐσαλεύετο, ὅτε ποταμοὶ ἐλεπτιώθησαν, καὶ πηγαὶ
τοὺς μαζοὺς τῶν ὑδάτων τῷ καύσωνι ἔσφιγξαν, καὶ θάλασσα ἐξηλμιώθη μεθ' ἐπιστρεχο-
μένων

μυρίων αὐτῇ γλυκέων ὑδάτων καὶ ὄμβρων ἀναςαλέντων· τότε ἀπῆλθεν Ἡλίας πρὸς τὴν πενιχρὰν, πρὸς τὴν χήραν. οἷα δὲ πάσχει χήρα καὶ ἐν καιρῷ εὐθυμίας, οἴδατε. καὶ ἀφῆκε τοὺς πλουσίους ὁ προφήτης, τοὺς ἔχοντας δαψιλῶς ἄρτους, καὶ καταβὰς ἀπὸ τοῦ ὄρους, ἦλθε πρὸς αὐτήν. διὰ τί γὰρ μᾶλλον ὁ πῦρ οὐρανόθεν ῥήματι κατενέγκας, ἄρτους ἑαυτῷ οὐ κατήνεγκε; μὴ οὐκ ἠδύνατο; ναὶ, ἠδύνατο· ἀλλὰ τοῦτο οὐκ ἐποίησε. διὰ τί; ἵνα μὴ τῆς φιλοξενίας τοὺς καρποὺς στερήσῃ τὴν χήραν· ἄλλως δὲ καὶ τὴν δράκα τοῦ ἀλεύρου καὶ τὸ ὀλίγον τὸ ἔλαιον διὰ τῆς εὐλογίας πληθῦναι. οὐ γὰρ τοσοῦτον ἀπῆλθεν ὁ προφήτης τραφῆναι, ὅσον θρέψαι τὴν πενιχρὰν, καὶ ἐλέγξαι κρυπτομένην καρδίαν καὶ εὐπροαίρετον. τοῦτο ποιεῖ ὁ Θεὸς δυνάμενος πάντας τοὺς ἁγίους, τοὺς ὄντας ἐν κόσμῳ, δι' ἑαυτοῦ θρέψαι· ἐπέχει τὴν δόσιν, ἵνα τὰς εὐπροαιρέτους καρδίας ἐν τῷ τῆς φιλοξενίας καιρῷ ἀπὸ τῶν καρπῶν διακρίνῃ. ἐπειδὰν δὲ μὴ ὦσί τινες οἱ ὀφείλοντες αὐτοὺς ὑποδέξασθαι, ἢ δι' ὀρνέων τρέφει, ὡς τὸν Ἡλίαν ἐν τῷ ὄρει, ἢ διὰ προφήτου ξένου, ὡς τὸν Δανιὴλ ἐν τῷ λάκκῳ, ἢ διὰ θαλαττίου ζώου, ὡς τὸν Ἰωνᾶν διὰ τοῦ κήτους, ἢ αὐτὸς δι' ἑαυτοῦ τὴν τροφὴν ἐπομβρεῖ, ὡς τοῖς πατράσιν ἡμῶν ἐν ἐρήμῳ. οὐκ ὄντων γὰρ τῶν ὀφειλόντων αὐτοὺς ὑποδέξασθαι, οὐρανόθεν τὸ μάννα ἐπώμβρευσε, καὶ ἐκ πέτρας ὕδωρ ἐπήγαζεν· ὅταν δὲ ὦσιν οἱ ἅγιοι ἐν κόσμῳ συναναστρεφόμενοι τοῖς ἄλλοις, ἀναστέλλει αὐτοῦ τὴν δεξιὰν χεῖρα. κἂν ὁρᾷ αὐτοὺς θλιβομένους, ἀφίησιν, ἵνα δῷ χάριν διὰ τῆς εἰς αὐτοὺς γινομένης εὐποιΐας πολλῆς τοῖς βουλομένοις τὴν σωτηρίαν καρπώσασθαι. ἀπῆλθεν οὖν Ἡλίας πρὸς τὴν χήραν, ἣ οὐδὲν πλέον, εἰ μὴ δρὰξ ἀλεύρου, ὅπερ μετὰ καμάτου αὐτῇ καὶ τοῖς τέκνοις αὐτῆς ἐν τῷ καιρῷ ἀρίστου ἐπήρκει. καὶ τί πρὸς αὐτήν; Λάβε μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι. αὐτῆς δὲ πορευομένης, ἐβόησεν ὀπίσω αὐτῆς· λήψῃ δέ μοι καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου. ἡ δὲ, ὃ μὲν οὐκ εἶχεν, εἶπεν· ὃ δὲ εἶχεν, ὡμολόγησε. τί γάρ; Ζῇ Κύριος, εἰ ἔσται μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ. θαυμαστὸν, ὅτι ἐν τοιαύτῃ σπάνει τροφῶν τὸ περισσὸν αὐτῇ τῆς πενίας λείψανον οὐκ ἠρνήσατο. πόσοι νῦν χρυσὸν καὶ ἄργυρον, ὡς πηλὸν, ἔχοντες, παρακαλούμενοι τὰς εὐεργεσίας τῶν φίλων ἀναδύουσι, καὶ κολακευόμενοι ἀρνοῦνται τὸ ἔχειν; κἂν παρακλήσει καμφθῶσι πρὸς τὴν ἐπίδοσιν, γράμματα συντάττουσι σιδήρου ἰσχυρότερα, καὶ τὴν δεχομένην χεῖρα πρότερον τοῖς γραμματείοις δεσμεύουσιν, ἱκανοδότας καὶ μεσίτας τοῦ χρυσίου λαμβάνοντες. ἐκείνη δὲ ἀπὸ μιᾶς φωνῆς οὐκ ἠρνήσατο τὴν δράκα τοῦ ἀλεύρου. καὶ τί πρὸς αὐτὴν ὁ προφήτης; Σπεῦσον, καὶ ποίησόν μοι ἐγκρυφίας, ἐν πρώτοις ἐμοὶ, ἐπ' ἐσχάτῳ δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου. πειρασμὸς ἦν τὸ ῥῆμα τοῦ προφήτου, δοκιμὴ καρδίας, προαιρέσεως βάσανος· καὶ ἦν ὥσπερ ὑπὸ ζυγοῦ κειμένη ἡ καρδία τῆς μακαρίας ἐκείνης, καὶ δοκιμαζομένη. ποῦ ἄρα ῥέπει; πρὸς τὴν τῶν τέκνων ἑαυτῆς εὔνοιαν, ἢ πρὸς τὴν τοῦ προφήτου φιλοξενίαν; ἡ δὲ εἵλετο μᾶλλον αὐτὴν καὶ τὰ τέκνα αὐτῆς στενοχωρῆσαι, καὶ τὸν προφήτην ὑποδέξασθαι. ᾔδει γὰρ, ὅτι Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· καὶ ὁ ποτίζων ποτήριον ψυχροῦ εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. τί δέ ἐστιν ὃ εἶπεν ὁ προφήτης, σπεῦσον; ἆρά γε τοσοῦτον ἐπείνα, ὡς δεῖσθαι σπουδῆς; οὐ πάντως· ἀλλὰ τὸ τῆς εὐποιΐας σπουδαῖον καὶ ἱλαρὸν καὶ θερμὸν, μὴ μετὰ λύπης ἢ μετὰ ἀνάγκης. Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός. Σπεῦσον, καὶ ποίησον ἐν πρώτοις ἐμοὶ, ἐπ' ἐσχάτῳ δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου. σπεῦσον, ὡς Ἀβραὰμ ἐν τῇ τῶν ἀγγέλων ἐπιδημίᾳ ἔσπευσεν ἐπὶ τοὺς βόας, ἐπὶ τὸν μόσχον, ἵνα λάβῃ τὸν ἀμνόν· καὶ ὡς Σάῤῥα ἔσπευσεν ἐπὶ τοὺς ἐγκρυφίας, ἵνα λάβῃ τὸν ἐν οὐρανοῖς κρυπτόμενον ἄρτον. σπεῦσον, καὶ ποίησον, ὡς Ἀβραὰμ τὰς θυσίας τῷ Θεῷ, μὴ πρότερον σαυτῇ, καὶ τότε ἐμοὶ, ὡς Κάϊν, καὶ Ὀφνὶ, καὶ Φινεὲς, υἱοὶ Ἡλὶ τοῦ ἱερέως, οἵτινες τὸν Θεὸν περιύβριζον, πρῶτοι τὰς ἀπαρχὰς λαμβάνοντες τῶν τῷ Θεῷ προσφερομένων δώρων. ἡ δὲ τὸ προστεταγμένον σπουδαίως ἐποίει· ὡς δὲ τὸν καρπὸν ἐγκρυφίαν πλούσιον θε-

ασάμενος

γ. Βασ. ιζ. ι. ια. ιβ.

Ματθ. ι. μα.

β. Κορ. θ. ζ.

ασάμενος ἐδέξατο, ἐφθέγξατο, καὶ τὸν οἶκον αὐτῆς ἐνέπλησεν ἀγαθῶν. Οὐκ ἐκλείψει γάρ, φησιν, ἡ δρὰξ τοῦ ἀλεύρου ἐκ τῆς ὑδρίας, καὶ τὸ ἔλαιον ἐκ τοῦ καμψάκου, ἕως τοῦ δοῦναι τὸν Κύριον ὑετὸν ἐπὶ τὴν γῆν. διὰ τί ἕως τότε; καὶ ἀναγκαίως. ἔδει γάρ, τῆς καινῆς χάριτος ὡς ὑετοῦ ἐλθόντος, τὸν παλαιὸν νόμον λαβεῖν τέλος. καὶ ἠκολούθει τὸ ἔργον τῷ λόγῳ. ὁρᾷς πῶς τῆς φιλοξενίας τοὺς καρποὺς ἐτρύγησαν αἱ ἀγαθαί; ἀγαθῶν γὰρ πόνων καρποὶ εὐκλεεῖς, καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως. ἠκούσατε γυναῖκες τὰς τῶν πονηρῶν γυναικῶν πράξεις, καὶ τὰς τῶν ἀγαθῶν ἀρετάς. τὰς μὲν οὖν ἀγαπήσατε, τὰς δὲ μὴ ποθήσατε· καὶ τὰς μὲν μιμήσασθε, τὰς δὲ μισήσατε, ἵνα τὸν αὐτὸν δρόμον, τῶν καλῶν λέγω, ἰχνηλατήσαντες, εἰς τὸν αὐτὸν τῶν ἁγίων χορὸν ἀριθμηθῆτε ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΟΡΧΗΣΙΝ ΤΗΣ ΗΡΩΔΙΑΔΟΣ, ΚΑΙ ΕΙΣ τὴν ἀποτομὴν τῆς κεφαλῆς Ἰωάννου τοῦ προδρόμου καὶ Βαπτιστοῦ.

Λογ. ρ.

Ex Edit. Augustana. emend. ex Ms. Palatino.

Ὥσπερ τις ἀνὴρ φιλέρημος ἐν τινὶ τόπῳ ἀλσώδει ὑπὸ δένδρα σκιαζόμενος, ταῖς τῶν ὀρνέων καλλιφώνοις κλαγγαῖς, καὶ ταῖς τῶν ὑδάτων εὐήχοις ῥοαῖς κυλινδούμενος πρᾶον ἔχει τὸ φρόνημα, πᾶσιν ἀνθρώποις ὁ τοιοῦτος ἀρέσκει· οὕτω καὶ ἡμεῖς ταῖς παρελθούσαις ἡμέραις τῇ ὡραίᾳ τοῦ πνεύματος αὔρᾳ παρακαλούμενοι, τὰ περὶ ἐλεημοσύνης ὑμῖν διελέχθημεν. ὅτι δὲ τὸ εὐαγγέλιον ἐκήρυξε τὴν Ἡρώδου παραφροσύνην, καὶ γυναικῶν ἀσέλγειαν, καὶ κῶμον ἀνδρῶν παράφορον, καὶ τράπεζαν ἐναγῆ, καὶ δῶρον ἀθέμιτον, καὶ ἔργον ἀνόσιον, καὶ κηδείαν σώματος σεμνοτάτου· ἄλλος ἐξ ἄλλου γεγένημαι. νέος γὰρ γίνομαι, ἀγαπητοί, ὅταν ὑπ' ὄψιν ἐμαυτοῦ ἀγάγω τὰ ὑπὸ Ἡρώδου γεγενημένα πράγματα· εἴγε ἐστὶν ἐκεῖνα λέγειν πράγματα, καὶ μὴ τραύματα, τοῦ τοιαῦτα δεδρακότος πράγματα. Ἐν ἐκείνῳ, φησί, τῷ καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· οὗτός ἐστιν Ἰωάννης, ὃν ἐγὼ ἀπεκεφάλισα. αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. ὁμολογεῖ τοῦ προφήτου τὸν φόνον, ὃν οὐ δύναται ψεύσασθαι· καὶ ᾔδει ὃν ἀπέκτεινεν, ὅτι προφήτης ἐστί, καὶ ἀνὴρ δίκαιος. εἰ μὴ γὰρ ἐγίνωσκεν, οὐκ ἂν ἔλεγεν αὐτὸν ἐκ νεκρῶν ἐγηγέρθαι, καὶ διὰ τοῦτο τὰς δυνάμεις ἐν αὐτῷ ἐνεργεῖν. ὢ συνειδήσεως κακῆς· ἐπὶ οἱῳδήποτε φόνῳ ὁ αὐτὸς μαρτυρεῖ ἑαυτῷ· ὢ συνειδήσεως κακῆς συζώσης ψυχῇ μιαρᾷ, καὶ κολαζούσης ἕως θανάτου, καὶ μετὰ θάνατον ἀπαραίτητα κρινούσης. καὶ διὰ ποίαν αἰτίαν ἀπέκτεινε τὸν προφήτην; ὅτι κήρυξ τῆς ἀληθείας ἐγένετο, καὶ τὴν παράνομον αὐτοῦ πρᾶξιν διὰ τοῦ ἐλέγχου ἐβούλετο λῦσαι. καὶ ὃν ἔδει ὡς βασιλέα φύλακα εἶναι τῶν ἐντολῶν τοῦ Θεοῦ, αὐτὸς τῇ ἀκρατεῖ τῶν ἡδονῶν ἀταξίᾳ τοὺς νόμους παρέλυε. βασιλεὺς γὰρ ἐκεῖνός ἐστιν, ὁ νόμους δικαίους ἐκπέμπων, πρῶτον δὲ πράττων, οὐ γὰρ δὴ παραχαράττων. πῶς γὰρ ἂν ἄλλως τὸν ὑπ' αὐτοῦ ἀρχόμενον κόσμον εἰς εὐταξίαν ῥυθμίσειεν, ἐὰν μὴ δικαίοις νόμοις, καθάπερ ἡνίαις, τὸ δυσήνιον γένος τῶν ἀνθρώπων χαλιναγωγήσῃ; Ἡρώδης δὲ βασιλεὺς ὢν οὐ λαῶν, ἀλλ' ἡδονῶν, μᾶλλον δὲ δοῦλος τῶν ἡδονῶν (ᾯ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται) οὐ μόνον τὸν νόμον τοῦ Θεοῦ παρέλυεν, ἀλλὰ καὶ φόνον ἀδίκως ἐτέκταινε. καὶ τίνα ἐφόνευσεν; ἄνδρα δίκαιον, οὗ μείζων ἐν γεννητοῖς γυναικῶν οὐκ ἐγήγερται, καθὼς καὶ ὁ Κύριος ἐμαρτύρησεν· ἄνδρα, ὃς ἔρημον ᾤκει, ἔρημον ἀοίκητον, ἄνυδρον, ἄκαρπον, ἄβατον, ἄδενδρον, ἀβότανον, ἀχλοηφόρον. ἔρημον δὲ ᾤκει ὁ Ἰωάννης, οὐ φεύγων τὸ ὁμόφυλον καὶ συγγενὲς τῶν ἀνθρώπων γένος, ἀλλὰ φεύγων τὸ βλέπειν καὶ ἀκούειν τὰ μυσαρὰ τῶν ἀνθρώπων κακοπραγήματα. ἐπεὶ οὔτε ἔσπειρεν, οὔτε ἐθέρισέ ποτε·

Ματθ. ιδ. α.

2 Πετ. β. ιθ. Ματθ. ια. ια.

τι· διὰ τοῦτο ἄρτον εἶχεν, οὐκ οἶνον, οὐ τράπεζαν, οὐ κλίνην τὴν τῶν ἡδονῶν ὑπηρέτιν, οὐ
τὰ μαλακὰ χλιδοπλούματα ἐκλύοντα καὶ χαυνοῦντα τῶν ἀνδρογύνων τὰ σώματα, οὐ λυχνίαν
εἶχεν, οὐ λύχνον, οὐ τράπεζαν, οὐ σκάμνον, οὐ ποτήριον, οὐ πίνακα. ἔξω γὰρ ὢν τοῦ κόσμου,
οὐδενὶ τῶν τοῦ κόσμου ἐκέχρητο. ᾤκει δὲ, οὐχ ὑπὸ οἶκον χρυσόροφον, ἀλλ' ὑπὸ πέτραν
αὐτόροφον. τούτῳ καὶ τράπεζα, καὶ σκάμνος, καὶ κλίνη τὸ ἔδαφος ἦν· καὶ κρέα αἱ ἀκρίδες· καὶ 5
πλακοῦς, τὸ μέλι τὸ ἄγριον. τούτῳ φιάλη ἡ τῆς χειρὸς κοτύλη ἐτύγχανε· καὶ οἶνος εὐφρο-
σύνης, τὸ περιρρυὲς καὶ διειδέστατον ὕδωρ. τοῦτον κρατήσας ὁ Ἡρώδης, ἐδέσμει. ὁ γὰρ Ἡρώ-
δης, φησὶ, κρατήσας τὸν Ἰωάννην, ἔδησε, καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρωδιάδα τὴν γυναῖ-
κα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. ὢ πράγματος ἀλλοκότου. Ἰωάννης τὴν δεδεμένην αὐ-
τοῦ ψυχὴν τῇ σειρᾷ τῆς ἁμαρτίας διὰ τοῦ ἐλέγχου ἐβούλετο λύειν, κἀκεῖνος τὸν λύοντα ἐ- 10
δέσμει. ἀλλὰ καὶ εἰ ἐδεσμεῖτο ὁ Ἰωάννης, ἐφθέγγετο, καὶ φυλακιζόμενος ἤλεγχεν. ἐπλήρου γὰρ
Ψαλ. ριη. μϛ. τὸ γεγραμμένον· Καὶ ἐλάλουν ἐναντίον βασιλέων, καὶ οὐκ ἠσχυνόμην. οὐ γὰρ ἐφοβεῖτο τὸν
θάνατον ὁ Ἰωάννης, ἀλλ' ἐφοβεῖτο τὴν ἀλήθειαν μὴ λαλῆσαι. τοῦτον ἐφόνευσεν ὁ Ἡρώδης·
τοῦτον δὲ φονεύσας οὐχ ἕνα μόνον ἐποίει φόνον, ἀλλὰ καὶ πολλούς. ὁ γὰρ διδάσκαλον καὶ ὠφελη-
τὴν ψυχῶν ἀποκτείνας, οὐχ ἕνα ἀποκτείνει, ἀλλὰ τοσούτους, ὅσους ἂν ζῶν διὰ τοῦ λόγου ἠδύ- 15
νατο ζωοποιῆσαι. καὶ πότε τοῦτον ἐφόνευσεν; αἰσχύνη τὸ λέγειν, αἰσχύνη δὲ, οὐ τῷ λέγοντι, ἀλλὰ
Ματθ. ιδ. ϛ. τῷ πεποιηκότι τὸν φόνον. Γενεσίων γὰρ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς
Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσεν αὐτῷ· ὅθεν καὶ μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰ-
τήσηται. ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, δός μοι, φησὶν, ἐπὶ πίνακι τὴν κε-
φαλὴν Ἰωάννου. ὢ γενέθλιον κάκιστον, προφήτου ἀποπνέον φόνον, ἀνθ' ὧν ἔδει ἄνδρας ἁ- 20
γίους εἰς τὴν ἑαυτοῦ τράπεζαν φιλοφρονήσασθαι. οὕτω γὰρ ἂν ἡ ἐστρεβλωμένη ψυχὴ αὐτοῦ
Ψαλ. ιζ. διωρθοῦτο. Μετὰ γὰρ ὁσίου ὁσιωθήσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. ἀνθ' ὧν ἔδει χήρας οἰ-
κονομῆσαι, ὀρφανοὺς οἰκτεῖραι, ἵνα διὰ πολλῶν καὶ ποικίλων εὐχῶν τὴν ἑαυτοῦ ζωὴν ἄσειστον
διατηρήσῃ, νῦν δὲ μετὰ ἀνδρῶν ἀσελγῶν καὶ γυναικῶν ἀσέμνων εὐωχούμενος, οἴνῳ πολλῷ κα-
ρωθεὶς, καὶ ὑπὸ γυναικῶν ἀκολάστων χλευασθεὶς, τὸν πρόδρομον τῆς ἡμέρας ὄρθρον Ἰωάν- 25
νην τῷ φόνῳ διέλυσε, τὸν καλῶς δαδουχήσαντα τὴν λαμπάδα τῆς πίστεως, τὸν λύχνον τοῦ
παντὸς κόσμου Ἰωάννην τῷ φόνῳ συνέτριψε. τοῦτον δὲ τὸν λύχνον συντρίψας ὁ Ἡρώδης,
ἑαυτὸν ἐσκότισεν. ἐκείνου γὰρ εἰ καὶ τὸ ὀστράκινον σκεῦος εἰς γῆν διελύετο, ἀλλ' οὖν γε ἡ τοῦ
πνεύματος αὐτοῦ φωσφόρος λαμπὰς τοῖς ἐν τῷ ᾅδῃ τὸ τῆς πίστεως φέγγος καλῶς ἐδαδού-
χει. προφήτης γὰρ ὤν, καὶ εἰδὼς ὅτι ἔμελλε τὸν Κύριον αὐτοῦ προλαμβάνειν ἐν τῷ ᾅδῃ, πέμ- 30
Ματθ. ια. γ. πει πρὸς αὐτὸν τινὰς τῶν μαθητῶν αὐτοῦ, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶ-
μεν; καὶ οὐκ ἀγνοῶν αὐτὸν, ἐπυνθάνετο. πῶς γὰρ ἂν ἠγνόει τὸν Κύριον, ὁπότε αὐτὸν ἐδεί-
Ἰωάν. α. κθ. κνυε, λέγων, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου; πῶς γὰρ ἂν ἠγνόει ὁ καὶ
θεατὴς τῆς τοῦ πνεύματος ἐξ οὐρανοῦ καταβάσεως γενόμενος, καὶ ἀκουστὴς τῆς τοῦ πατρὸς φωνῆς
Ματθ. γ. ιζ. περὶ αὐτοῦ λεγούσης, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ηὐδόκησα; ἀλλὰ πυνθάνε- 35
ται, πῶς; Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερος; οὐκ εἶπε, σὺ εἶ ὁ ἐλθὼν (ἦλθε γὰρ ἐπὶ τῆς γῆς)
ἀλλὰ, σὺ εἶ ὁ ἐρχόμενος (δῆλον γὰρ ὅτι ἐν τῷ ᾅδῃ) ἢ ἕτερον προσδοκῶμεν; ἔλεγε γὰρ ἐν
ἑαυτῷ ὁ Ἰωάννης, ὅτι μήποτε βούλεται ἄγγελον ἐνδυναμώσας εἰς τὸν ᾅδην ἐκπέμψαι
τὸ ἑαυτοῦ ἔργον ἐπιτελοῦντα· ἢ μήποτε θελήσει τοὺς πάντας μιᾷ φωνῇ ἀναστῆσαι, ὡς ἐπὶ
τοῦ Λαζάρου πεποίηκε. διὰ τοῦτο μὴ δυνάμενος κρίνειν τὴν βουλὴν τοῦ δεσπότου, πυνθάνεται λέ- 40
γων· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν ἐν τῷ ᾅδῃ; τοῦτον ἀπέκτεινεν ὁ Ἡρώδης. καὶ
πῶς ἀπέκτεινε; γενεσίων γάρ, φησιν, ἀγομένων, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ.
ἄξιον παίγνιον τῆς τοιαύτης τραπέζης. ὅπου γὰρ θρύψις καὶ χλιδὴ καὶ μέθαι καὶ κῶμοι, οὐδὲν βέβαιον,
ἀλλὰ πάντα σεσαλευμένα καὶ ἀνάστατα, προμηνύοντα τὴν Ἡρώδου παραφοράν. ἀκούσατε οἱ

φιλοθεάμονες

φιλοθεάμονες τῶν ὀρχηστῶν, οἱ τοῖς πολυστρόφοις ποσὶ τῶν ἐκλελυμένων μειρακίων τοὺς ἑ-
αυτῶν ὀφθαλμοὺς συνηχοῦντες, καὶ τὰς ἑαυτῶν καρδίας τοῖς λελυμένοις σώμασιν αὐτῶν συν-
εκλύοντες· ἀκούσατε, οἷον ὀψώνιον φόνου ἡ πολύγυρος ὄρχησις ηὐθήνησεν. Ἡ δὲ προβιβασθεῖ-
σα ὑπὸ τῆς μητρός φησι, Δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου. ὢ κακῆς λε-
5 αίνης ἀσπιδογέννητον τέκνον. οὐ χρυσὸν ἐπεζήτησεν, οὐκ ἄργυρον, οὐ λίθους τιμίους, ἀλλὰ
τὴν κεφαλὴν Ἰωάννου. καὶ εἰ μὲν διὰ τιμὴν ἐπεζήτησε, πολὺ τιμιωτέρα ἡ κεφαλὴ Ἰωάν-
νου παντὸς χρυσίου τε ἀργυρίου καὶ λίθων πολυτελῶν. ἀλλ' οὐκ ἐπεζήτησε διὰ τιμὴν, ἵνα
τιμήσῃ· ἀλλ' ἵνα τὸν ἔλεγχον ἀποκτείνασα, τῇ μητρὶ χαρίσηται ἄδειαν, τὴν ἐπὶ τῶν
κακῶν ἀμαρτίαν. ἀκούσας δὲ ὁ βασιλεὺς ἐλυπήθη, οὐ διὰ τὸν φόνον τοῦ προφήτου, ἀλλὰ
10 διὰ τὸν φόβον τοῦ ὄχλου, ὅτι πάντες, ὡς προφήτην, αὐτὸν εἶχον. εἰ γὰρ δι' εὐλάβειαν ἐ-
λυπεῖτο, οὐκ ἂν παρὰ τὴν ἀρχὴν δησμεύσας αὐτὸν ἐν φυλακῇ ἀπέθετο· ἀλλ' ἐλυπήθη
διὰ τὸν ὄχλον. καὶ ἦν τότε ἡ ψυχὴ Ἡρώδου ὥσπερ ἐν τῇ θαλάσσῃ πλοῖον ἀπειλημμένον,
καὶ πρὸς ἑκάτερον τοῖχον ταλαντεύον, τὸ ποιῆσαι τὸν φόνον διὰ τὸν ὄχλον φοβούμενος, καὶ τὸ μὴ
ποιῆσαι τὸν φόνον διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους μὴ συγχωρούμενος. βαρυνθεὶς δὲ
15 ὁ ἄθλιος ὑπὸ τῆς πρὸς τὴν γυναῖκα πολυφλόγου ἡδονῆς, χρησάμενος πρόφασει τῇ εὐορκίᾳ
πρὸς τὴν ἀπολογίαν τοῦ φόνου, πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην. ὅτι κακόν ἐστι τὸ
ὀμνύειν, νῦν μὲν μνημονεύσατε οἱ ἡδέως ὀμνύοντες· ἀκούσατε τοῦ Κυρίου λέγοντος, Μὴ ὀ-
μνύειν ὅλως. εἰ γὰρ μὴ ὤμοσε τότε ὁ ἄθλιος, οὐκ ἂν ἐνέχετο τὸν φόνον ποιῆσαι. ἔδει μὲν
οὖν αὐτὸν μηδὲ ὅλως ποιῆσαι· ἀλλ' ἐπεὶ ὤμοσε, συνέφερεν αὐτῷ τὸ ἐπιορκῆσαι. ἐν γὰρ
20 κακῶν ἐκλογῇ ἄμεινον ἦν τὸ ἔλαττον δέξασθαι. πέμψας ἀπεκεφάλισεν αὐτόν. ποία χεὶρ
ἐτόλμησεν, ἀγαπητοὶ, τῷ ἁγίῳ τραχήλῳ Ἰωάννου προσενέγκαι τὸ ξίφος, ὃν θῆρες ἐν τῇ
ἐρήμῳ ᾐδέσθησαν, ὃν λέοντες ἐθαύμαζαν, ὃν κεράσται καὶ δράκοντες καὶ ἀσπίδες ἔφριξαν, ὃν
ἄγριαι μέλισσαι διὰ τὴν τοῦ ἀνδρὸς ἁγιότητα καλλιεργοῦσαι ἔτρεφον; ἐκ γὰρ ποικίλων
ἀνθῶν καὶ βοτανῶν ὡς ἐν ἐρήμῳ ἐρανιζόμεναι τὴν δρόσον τὰς σταγόνας χρυσοειδεῖς, συνυφαί-
25 νουσαι αὐτῷ τὸ μέλι προσέφερον. τίνων χεὶρ δημία ἀπέτεμεν, οὐ φρίξασα τὸ ἀγγελοειδὲς
αὐτοῦ πρόσωπον, οὐδὲ θαυμάσασα αὐτοῦ τὸ προσώπου τὴν λαμπρότητα τὰς θεοειδεῖς ἀποπέμπον;
ἀλλ' οἶμαι ὅτι τῇ μέθῃ τοῦ Ἡρώδου σκοτωθεὶς ὁ πεμφθεὶς δήμιος ξίφος μὲν εἶχεν, ὀφθαλ-
μοὺς δὲ οὐκ εἶχε. καὶ ἐτέμνετο ἡ κεφαλὴ Ἰωάννου * (οὐ γὰρ ἔπιέ ποτε οἶνον) καὶ ἐφέρετο ἐπὶ
πίνακι ἡ κεφαλὴ Ἰωάννου ἐν τῷ δείπνῳ, καὶ τότε βοῶσα πρὸς Ἡρώδην, Οὐκ ἔξεστί σοι ἔχειν τὴν
30 γυναῖκα τοῦ ἀδελφοῦ σου. καὶ γὰρ τε μετὰ θάνατον ὁ δίκαιος ἔζη, καὶ τῆς κεφαλῆς αὐτοῦ ἀπο-
τμηθείσης ἡ φωνὴ ζῇ. ὢ ὠμότης ἀνθρώπου. ἐφ' ᾧ ἤσθιε πίνακι τὰ κρέα, ἐπ' ἐκείνῳ κεφαλὴν
ἀνδρὸς ἐπετίθει. ὦ παράνομε τύραννε, οὐκ ἤρκεσεν ὑπὸ τοῦ πατρὸς σου Ἡρώδου ἡ τῶν νεαρῶν
τέκνων ἐν Βηθλεὲμ γεγενημένη σφαγή; ὅτε πατέρων καὶ μητέρων ὀλολυγμοὶ ὁμόθρηνοι ξιφῶν
ἦσαν ὑπὲρ ὀξύτεροι; ὅτε δακρύων πολυχύτων σταγόνες ἐκ σπλάγχνων ἀναβρύουσαι ἐῴ-
35 κεσαν πηγαῖς; ὅτε πατέρων στήθη ἐτύπτοντο, καὶ συνεχῆ ἄσθματα μετὰ πόνων ἐκ καρδίας ἐπὶ
μυκτήρων ἐπέμπετο; ὅτε μητέρες τῶν οἰκείων λαγόνων τὴν χλόην τῶν νηπίων παρ' ἑαυτῶν χαιρεῖν μεθαι-
ρέσθαι ἐπένθουν; ὅτε καὶ μαζοὶ ῥέοντες γάλα τὴν γῆν ἐλεύκαινον, τῶν ὑφελκόντων νηπίων ἄφνω σφα-
γέντων; ὅτε πατέρων ἀγκάλαι τῶν οἰκείων γόνων κεναὶ ἐγίνοντο, καὶ μητέρων μαζοὶ τοὺς ἀπὸ τῶν πυ-
φερῶν ὀδόντων κνησμώδεις πτισμοὺς ἐπεζήτουν; ποῖος γὰρ θὴρ τότε οὐκ ἐπεδάκρυσεν, ὁρῶν
40 φονευόμενα τὰ ἄκακα νήπια ἀδίκως ἀδόλους ψυχὰς κεκτημένα· ὧν αἱ ψυχαὶ τοσοῦτον ἦσαν
ἄκακοι, ὅσον καὶ τὰ μέλη αὐτῶν τρυφερὰ ἀπὸ νηπίων ἐτύγχανε; μὴ γὰρ κατὰ κακίαν τὸν πρὸ σοῦ Ἡρώ-
δην ἤλεγξαν, οἷς οὔτε γλῶσσα τελεία ὑπῆρχεν, οὔτε ὀδόντες ἐν τῷ στόματι, ἵνα τὴν γλῶσσαν τορ-
νεύσαντες, λόγον διὰ χειλέων ἐκπέμψωσιν; οὐκ ἤρκεσεν ἐκείνων ἡ τοσαύτη ὠμότης, ἀλλὰ
καὶ σὺ τὸ ἄσπλαγχνον ἐκείνου μιμησάμενος, Ἰωάννην ἀπέτεμες, οὗ μιᾶς τριχὸς οὐκ ἦσθα

αἰπέξιος;

Ματθ. ε. λδ.

″ἀντάξιος; τοὺς γόνους τῆς Ῥαχὴλ ἀπέσφαξεν ἐκεῖνος, καὶ σὺ τῆς ἐκκλησίας τὸν παιδευτὴν Ἰωάννην ἀπέτεμες. ποίοις τούτων ἵλεως ἔσομαί σοι, λέγει Κύριος; ὦ πόλις αἱμάτων, ἐν ᾗ Ἡρώδης ἐβασίλευσε, καὶ ὁ τούτου ἔκγονος ὁμώνυμος καὶ τοῖς τρόποις ὅμοιος. οἴμοι, οἱ δοκοῦντες εἶναι τῆς εὐταξίας, οὗτοι ἡγεμόνες τῆς ἀταξίας γεγένηνται. ὑπὸ τῶν τοιούτων ἀρχόμενοι οἱ Ἰουδαῖοι, τὸν φόνον ὑπ' αὐτῶν διδαχθέντες εἰς χριστοκτονίαν συνηλάθησαν, τὸν Ἡσαΐαν ἐνέπρισαν, τὸν Ἱερεμίαν ἀπέκτειναν, τὸν Ναβουθαὶ ἐλιθοβόλησαν, τὸν Ζαχαρίαν ἐφόνευσαν, τὸν Χριστὸν ἐσταύρωσαν. ἀλλ' ἐκείνοις μὲν ἐπὶ τοῖς κακοῖς πένθος καταλείψαντες, ἐπὶ δὲ τῆς μυσταγωγίας φέγγος ἀναδράμωμεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρα.
Ἰωαν. ια. μζ.

ΕΙΣ ΤΟ, ΣΥΝΗΓΑΓΟΝ ΟΙ ΙΟΥΔΑΙΟΙ ΣΥΝΕΔΡΙΟΝ, καὶ ἔλεγον· τί ποιήσωμεν; τῇ ἁγίᾳ καὶ μεγάλῃ β′.

Ex edit. Augustana. emend. ex Ms.

ΕΟίκασιν οἱ τῆς ἐκκλησίας φίλτατοι παῖδες νηπίοις θηλάζουσι, τοῖς τοῦ γάλακτος τροφὴν καθ' ἑκάστην ἡμέραν ἐκ τῆς μητρικῆς θηλῆς ὑφέλκουσι, καὶ καθ' ἑκάστην ζητοῦσιν. ἐοίκαμεν καὶ ἡμεῖς μητρὶ πενιχρᾷ, ὑπὸ ἀσιτίας συσταλθείσῃ τὰς τοῦ γάλακτος πηγάς. καὶ ὥσπερ, ὁπόταν τις ἴδῃ μητέρα φιλότεκνον ἄφορον γάλακτος, καὶ ὑπὸ* ἰδίου τέκνου κατακλαυθμυριζομένην, καὶ προσιθεῖσαν τὴν θηλὴν, οὐχ ἵνα θρέψῃ τὸ παιδίον, ἀλλ' ἵνα τοῦ κλαυθμυρισμοῦ καταπαύσῃ· οὕτω καὶ ἡμᾶς δεῖ σκοπεῖν τὰ παρόντα, τὰ αὐτὰ, καὶ ποιοῦντας τὰ ὅμοια. καὶ γὰρ ἡμεῖς ὁρῶντες τὸ νέον τοῦτο σύστημα τῶν τῆς ἐκκλησίας παίδων περιεστώτων κυκλόθεν, καὶ ἀπεκδεχομένων τὸ ″λογικὸν γάλα τοῦ λόγου, τὴν θηλὴν τῆς διανοίας ἡμῶν χαλῶμεν· οὐχ ἵνα θρέψωμεν αὐτοὺς (″ἄπειροι γὰρ καὶ πένητες τῷ λόγῳ τυγχάνομεν) ἀλλ' ἵνα τὸν πόθον καὶ τὸν καύσωνα παύσωμεν. ἀλλὰ ″δεῦτε, ἀγαπητοὶ, ἐπὶ τὸν τοῦ Ἡλίου κήρυκα καταδράμωμεν, ἵνα ἴδωμεν τὴν κατὰ τοῦ Κυρίου παρὰ τῶν Ἰουδαίων προσαπτομένην ἐπίβουλον ἔνεδραν. Συνήγαγον γὰρ, φησιν, οἱ Ἰουδαῖοι συνέδριον, καὶ ἔλεγον· τί ποιήσωμεν; ταῦτα δὲ ἡμῖν ὁ εὐαγγελιστὴς Ἰωάννης ἀρτίως ἐφθέγξατο. εἰ γὰρ καὶ τῷ στόματι ″ὑμῖν νῦν οὐ διαλέγεται, ἀλλ' οὖν γε τῷ πνεύματι ταῖς τῶν ἑστώτων ἀκοαῖς ἐβόα· Συνήγαγον γὰρ, φησι, τὸ συνέδριον, καὶ ἔλεγον· τί ποιήσωμεν; καλὸν μὲν, Συνήγαγον· ἀλλὰ κακὸν τὸ, Συνέδριον· οὐ πρὸς ἀγάπην, ἀλλὰ πρὸς μάχην· οὐ πρὸς εἰρήνην καλοῦντες, ἀλλὰ πρὸς πόλεμον προξενοῦντες. Συνήγαγον τὸ Συνέδριον, οὐχ ἵνα Θεὸν δοξάσωσιν, ἀλλ' ἵνα Χριστὸν ἀτιμάσωσι. Συνήγαγον τὸ Συνέδριον, οὐχ ἵνα πίστιν οἰκοδομήσωσιν, ἀλλ' ἵνα τὸν ἀκρογωνιαῖον λίθον ἀπορρίψωσι. Συνήγαγον τὸ συνέδριον, οὐχ ἵνα τὰ πεπλανημένα πρόβατα μανδρεύσωσιν, ἀλλ' ἵνα τὸν ποιμένα φονεύσαντες, τὸ ποίμνιον διαλύσωσι. Συνήγαγον τὸ Συνέδριον, οὐχ ἵνα τὸν χιονόφεγγον μαργαρίτην πίστει ὑποδέξωνται, ἀλλ' ἵνα τὸν φεγγίτην λίθον, ὡς ἐνόμιζον, τῇ ἀπιστίᾳ σκοτίσωσι. Συνήγαγον τὸ Συνέδριον, οὐχ ἵνα τὸν ἐν τῷ ἀγρῷ κεκρυμμένον θησαυρὸν εὐγνωμόνως ὑποδέξωνται, ἀλλ' ἵνα τὸν ναὸν τοῦ Θεοῦ ἀγνωμόνως ″διαλύσωσι. Συνήγαγον τὸ Συνέδριον, οὐχ ἵνα τῆς ἀμπέλου τοὺς μεγισταγεῖς βότρυας τρυγήσωσιν, ἀλλ' ἵνα τὴν ἀληθινὴν ἄμπελον ἐπὶ τὸ δένδρον τοῦ σταυροῦ ἐφαπλώσαντες, ἑαυτοὺς ἀναδενδράδας ἀπωλείας ποιήσωσιν, ″ἡμᾶς δὲ ἀναδενδράδας σωτηρίας ποιήσωσιν. ὦ συνέδριον ὑπὸ διαβόλου κατὰ Χριστοῦ συνηγμένον· ὦ βουλευτήριον κακίας μεμεστωμένον· ὦ Συνέδριον, μᾶλλον λύκων αἱμοβόρων, ἢ ἀνθρώπων θεοφόρων. τί δὲ λέγω λύκων αἱμοβόρων; ἀλλὰ γὰρ καὶ λεόντων ἀνημέρων χείρους. οἱ γὰρ λέοντες ἐπὶ

ἐπὶ τοῦ Δανιὴλ μηδὲν θεωρήσαντες σημεῖον, ἀλλὰ τὸν ἄνδρα σκοπήσαντες, καὶ τὴν εὐλάβειαν τιμήσαντες, τὰ ἀπήθανα αὐτῶν στόματα ἐχαλίνωσαν. Ἰουδαῖοι δὲ τοιούτων καὶ τοσούτων σημείων θεαταὶ γενόμενοι, μειζόνως ἐκ τοῦ φθόνου πρὸς τὸν φόνον ὡπλίζοντο, καὶ ἔλεγον· τί ποιήσωμεν; ὢ κακίας ἔρευνα ἐπιμελής· ὢ στεναγμὸς καὶ θρῆνος ὑπὸ φθόνου γενόμενος· ὢ ὀδυρμὸς καὶ κοπετὸς ἐπὶ καλοῖς γενόμενος. οὔτε ἡ Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς οὕτως ἀνεστέναξε. τί ποιήσωμεν; ἀνθ' ὧν ἔδει χαίρειν τοὺς τάλανας, ἀνθ' ὧν ἔδει εὐφροσύνης ἡμέραν πάνδημον ἐπιτελεῖν, ὅτι νεκροὶ ἀνεβίωσαν, ὅτι ζωὴ πεφανέρωται, ὅτι θάνατος λέλυται, ὅτι ὁ διάβολος κατησχύνθη, ὅτι δαιμόνων ξίφος κατήργηται, ὅτι ἡ ἀνθρωπότης ἠλευθέρωται, ὅτι νεκρῶν ἀνάστασις πᾶσι κεκήρυκται· νῦν δὲ ἐπὶ τοιούτοις ἀγαθοῖς οὐ χαίρουσιν· ἀλλὰ θρηνοῦσι καὶ τὸν τοσούτων ἀγαθῶν αἴτιον ἀναλίσκειν βουλεύονται. καὶ τί λέγουσι; τί ποιήσωμεν; οὐδὲν ἕτερον ἦν εἰπεῖν, ἢ ὅτι μετανοήσαντες ἐπιστρέψωμεν, καὶ αὐτῷ προσπεσόντες πιστεύσωμεν. τί γὰρ ἄλλο μετανοοῦντες εἶχον λέγειν, ἢ τοῦτο, τί ποιήσωμεν; ὅτι τὴν ἐντολὴν τοῦ Θεοῦ παρέβημεν, ὅτι τὸν νόμον τὸν δοθέντα ἡμῖν οὐκ ἐφυλάξαμεν, τὸν λέγοντα ἡμῖν· Ὅτι προφήτην ἡμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ἡμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν ἐντείληται ὑμῖν. *Δευτ. ιη ιε.* νῦν δὲ οὐ πρὸς μετάνοιαν λέγουσι, τί ποιήσωμεν; ἀλλὰ, τί ποιήσωμεν; πῶς ἀποκτείνωμεν τὸν δίκαιον, ὡς ὁ Ἰσραὴλ φρενολυσσᾶται. οὐδὲ τοῦτο οὐκ ἤκουσας, ὅτι ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς; οὐκ ἤρκεσέ σοι τὰ ἀρχαῖα τῶν προφητῶν αἵματα; καὶ γὰρ μέχρι τοῦ νῦν κράζουσι πρὸς τὸν Θεὸν, τὴν παρ' αὐτοῦ ἐκδίκησιν ἐκδεχόμενα. ἀλλ' ἀκμὴν ἐκείνοις τοῖς αἵμασι προστιθεὶς, ἀθῷον καὶ δίκαιον αἷμα κατακρίνεις, καὶ λέγεις, τί ποιήσωμεν; ὢ γνώμης ἀγνώμονος, καὶ βουλῆς ἀβουλίας μεμεστωμένης. ὁ τετραήμερος αὐτῶν ἀνεβίωσε· τὰ δεσμὰ τῶν ἁμαρτημάτων διερρήγνυντο· κἀκεῖνοι πρὸς δολοφονίαν κατ' αὐτοῦ ὡπλίζοντο. ἀνθ' ὧν ἔδει τὸ ῥῆμα μεταστρέψαντας εἰπεῖν, τί ποιήσωμεν, ὅτι τὸν ἅγιον ἐνυβρίσαμεν, ὅτι εἰς τὸν τοῦ Θεοῦ παῖδα οὐκ ἐπιστεύσαμεν; τί ποιήσωμεν; λεπρῶν χαλαζώματα δίκην πλοίου τῷ λόγῳ ἀπέξεσε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. τί ποιήσωμεν; τυφλοὺς ἐκ γενετῆς ὑπ' αὐτοῦ ὀμματωθέντας ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. τί ποιήσωμεν; ἐκ πέντε ἄρτων πέντε χιλιάδας εἰς κόρον ἐν ἐρήμῳ ὑπ' αὐτοῦ διατραφέντας ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. τί ποιήσωμεν; πηγὰς αἱμάτων κρασπέδοις ἱματίων ἐξήρανε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. τί ποιήσωμεν; παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον ἐν τριάκοντα καὶ ὀκτὼ ἔτεσι σύγχρονον τῆς ἑαυτοῦ ζωῆς τὴν νόσον ἔχοντα, ῥήματι ἐξήγειρε, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. τί ποιήσωμεν; ἐπὶ θαλάττης αὐτὸν περιπατοῦντα, καθάπερ ἐπὶ ἐδάφους, ἐθεασάμεθα, καὶ τῶν παλιρρόφων πνευμάτων βίας καὶ ταραχὰς ἀνηκέστους νεύματι χειρὸς καταστήσαντα ἔγνωμεν, καὶ τούτῳ οὐκ ἐπιστεύσαμεν. ἀλλ' ἔλεγον, τί ποιήσωμεν; οὐκ ἐν τῷ μετανοεῖν, ἀλλ' ἐν τῷ κακοπραγεῖν. ἡ χώρα αὐτῶν τοὺς νεκροὺς ζῶντας, καθάπερ στάχυας λευχείμονας καὶ πεπερειεῖς ἀπόνως ἐβλάστησε, κἀκεῖνοι ἐστέναζον. μὴ ἂν ἐπειράσατε, Ἰουδαῖοι, οὐκ ἐθερίσατε; μὴ γάρ τις ὑμῶν ὑποδεξάμενος τὸν Κύριον ἐβαρύνθη; τί ζημιωθέντες ἐβαρύνθητε; τί ἠδικήθητε παρὰ τοῦ Θεοῦ; τί τοὺς νεκροὺς ζωῆς κωλύετε ὑπὸ φθόνου ἐλαυνόμενοι; τί τοὺς ἀενάους ὀχετοὺς τῆς μελιρρύτου πηγῆς διαλῦσαι βούλεσθε, ἵνα οἱ πίνοντες μὴ διψῶσι; τί τοὺς ἀρρώστους ὑμῶν ἀποκλείετε, τὸν ἰατρὸν αὐτῶν ἀναλίσκειν βουλόμενοι; ἀλλὰ τούτων πάντων αἴτιος, ὁ κάκιστος φθόνος. ὢ φθόνε φόνου γεννήτωρ, διαβόλου εὕρεμα, θανάτου ἀρχηγέ· ὢ φθόνε, ὁ μήτε τοὺς ὑπὸ σοῦ βασκαινομένους ζῆν ἐθέλων, καὶ τοὺς ἔχοντάς σε μειζόνως κολάζων· ὢ φθόνε, διαβόλου σύνοικε· ὢ φθόνε, φιλίας ἐχθρὲ, εἰρήνης ἀντίπαλε, ἀγάπης ἀντίδικε, διαβόλου βλάστημα, σκοτεινότερον ἄνθος· οἱ σὲ νεμόμενοι, χριστοκτονίαν ἐργάζονται. σὺ καὶ τὸν Ἀδὰμ ἐν παραδείσῳ ἐξ ἀρχῆς ἐβάσκανας, καὶ γλυκείας ἡδονῆς ἀπογευσάμενον πικροτάτῳ θανάτῳ παρέδωκας. θάνατος γὰρ οὐκ ἦν ἐν τῷ κόσμῳ, εἰ

Σοφ. α. ιγ. — *Ιεζεκ. ιη. λγ.*

μὴ σὺ αὐτόν, φθόνε, ἐκίνησας. καὶ μαρτυρεῖ μοι τὸ θεῖον λόγιον, λέγον· Οὐκ ἐποίησεν ὁ Θεὸς θάνατον, οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων· φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθε. σὺ καὶ τὸν Κάϊν τῆς φιλαδελφίας τὸν λευχείμονα στολὴν ἀπέδυσας, καὶ τῆς δολοφονίας τὴν μάχαιραν ὥπλισας, καὶ τοῦτον φονεύειν ἐδίδαξας, καὶ εὐθὺς τὸν ἄθλιον τρέμειν ἐδίδαξας. σὺ τῷ Φαραὼ ἐνοικήσας, τὰ ἀρτιγέννητα βρέφη τῶν Ἑβραίων δίκην χλόης ἀπεμάρανας. σύ, ὦ φθόνε, εὐεργετούμενος, πλείω κατὰ τῶν εὐεργετούντων κινῆσαι. ὥσπερ ὁ Σαοὺλ ὑπὸ τοῦ Δαβὶδ βοηθούμενος, καὶ ὑπὸ σοῦ ἐνεργούμενος, μειζόνως πρὸς τὸν φόνον ὡπλίζετο. σὲ ἐσχηκότες οἱ υἱοὶ τοῦ Ἰακώβ, τὸν περικαλλῆ καὶ λαμπρὸν Ἰωσὴφ εἰς τὴν σκοτοδινιῶσαν Αἴγυπτον ἔπεμπον, καὶ τὸν ἐλεύθερον, ὡς δοῦλον, ἐπίπρασκον. καὶ ὅτι τὰ ἐνύπνια αὐτῶν ἐφοβήθησαν. θεῖον γὰρ ὅραμα ἐμήνυσε Χριστοῦ εἰκόνα αὐτὸν ὑπάρχειν· ὑπὸ γὰρ ἕνδεκα ἀστέρων ἐν ὁράμασι προσεκυνεῖτο· ἐπεὶ καὶ ὁ προδότης Ἰούδας τῷ φθόνῳ κινούμενος, ἀπήγξατο. ἡμεῖς δὲ φυγόντες τὸν τοῦ θανάτου γεννήτορα φθόνον, διαστάντες τῷ ἐν Τριάδι προσκυνουμένῳ Θεῷ δοξάσωμεν· ὅτι αὐτῷ πρέπει τὸ κράτος, ἡ τιμή, καὶ ἡ δόξα, καὶ ἡ μεγαλοπρέπεια, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. ρβ. — *Ματθ. κε.*

ΕΙΣ ΤΗΝ ΠΑΡΑΒΟΛΗΝ ΤΩΝ ΔΕΚΑ ΠΑΡΘΕΝΩΝ, καὶ περὶ ἐλεημοσύνης. τῇ ἁγίᾳ καὶ μεγάλῃ γ΄.

Ex Edit. Augustana. emend. ex Ms.

Ὅταν τὸ ἀδιάπτωτον τῆς ζωῆς * ἐννοήσω, καὶ τοῦ ἐνιαυτοῦ τὸν ἐπινεύοντα κύκλον, καὶ τὴν πολύσκυλτον τῶν ἀνθρώπων διαγωγήν, καὶ τὰς βιωτικὰς περιστάσεις· τότε παρατρέχω τοῦ παρόντος αἰῶνος τὴν σκιὰν τῶν πραγμάτων, τῆς δόξης τὸ πρόσκαιρον, τῆς δυναστείας τὸ ἀδιάλυτον, τῆς εὐημερίας τὴν φαντασίαν καὶ τοῦ πλούτου τὸ ὄναρ. εἶτα σκοπήσω τὴν τοῦ τέλους ἡμέραν, καὶ τῆς συντελείας ἐκείνης τὸ ἀπαραίτητον τάχος, τόν τε τοῦ λογοθεσίου καιρόν, καὶ τὸν ἀκολάκευτον δικαστήν, καὶ τὴν γέμουσαν φρίκης κατάστασιν, πῶς ἀστράπτων ὁ κριτὴς παραγίνεται ἐξ οὐρανῶν, πῶς παρατιθέμεναι αἱ δυνάμεις προτρέχουσι, πῶς ὁ φοβερὸς ἑτοιμάζεται θρόνος, πῶς ὁ οὐρανὸς ὡς βιβλίον εἱλίσσεται, πῶς καυσούμενα τὰ στοιχεῖα τῷ φόβῳ λυόμενα, πῶς κλονεῖται τὸ ἔδαφος προσδεχόμενον τὴν τοῦ κριτοῦ ἐπίβασιν, πῶς φοβερῶς ἀλαλάζουσι σάλπιγγες, πῶς ἀνοίγονται τὰ μνήματα, πῶς ἐκτινάσσονται τάφοι, πῶς ὡς ἐξ ὕπνου ἀποπηδῶσιν οἱ νεκροί, πῶς ὁ χοῦς ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ πρὸς τὴν οἰκείαν ἐπανέρχεται τάξιν, πῶς παλινδρομοῦσιν αἱ ψυχαὶ πρὸς τὰ σώματα, πῶς εἰς ἀπάντησιν οἱ δίκαιοι τρέχουσι, πῶς ἐφίσταται ὁ νυμφίος μεσονυκτίῳ, πῶς ἀξιοῦνται τῆς εἰσόδου οἱ δίκαιοι, πῶς τοῖς ῥαθύμοις ἀποκέκλεισται ἡ θύρα τοῦ νυμφῶνος· ὅταν ταῦτα πάντα ἐν τῇ ψυχῇ μου μεριμνήσω, μακαρίζω τὰς φρονίμους ἐκείνας παρθένους, ἃς ἡμῖν ἀρτίως ἡ τῶν εὐαγγελίων παρήγαγε βίβλος, ὅτι περὶ τοῦ ὕπνου κατηγωνίσαντο τοῦ πάθους, ὅτι τὸ εὐόλισθον καὶ ἐμπαθὲς τῆς ἐπικήρου ζωῆς διαζευξάμεναι, τῆς ἀκηράτου καὶ θείας ζωῆς ἀξίως ἐφρόντισαν, ὅτι τὸ ἀπαραίτητον τοῦ χρόνου σκοπήσασαι, τὴν ὥραν τῆς παρουσίας ἐτήρησαν, καὶ τῆς ἐπιστασίας ἐκείνου τοῦ ἀφθάρτου νυμφίου τὸν φόβον ἐνεθυμήθησαν, καὶ τὸ νυκτερινὸν δοκιμάσασαι σκότος, ἀκριβῶς τῶν λαμπάδων ἐφρόντισαν. οὐδὲν δὲ κωλύει καὶ αὐτὰς τὰς θείας τοῦ εὐαγγελίου διεξηγεῖν συλλαβάς. Ὡμοιώθη γάρ, φησιν, ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. πότε ἐξῆλθον; ἆρα μὴ ὅτε κατέλαβεν αὐτὰς τῆς ζωῆς τὸ ἐμπρόθεσμον; ὅτε ἔφθασε τὸ πρόσταγμα; ὅτε ἐπέστη τοῦ θανάτου ἡ ἀπόφασις; ὅτε ἀπεστάλησαν οἱ κατεπείγοντες τοῦ τέλους ἄγγελοι, τότε ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου; οὐδαμῶς. ἀλλὰ πότε ἐξῆλθον; ὅτε τοῖς βιωτικοῖς περισπασμοῖς ἀπετάξαντο,

Ματθ. κε. α.

τάξαντο, ὅτε τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν βαδίζειν προείλοντο, ὅτε τὴν ἑκούσιον σκληραγωγίαν ἠγάπησαν, ὅτε τοῖς γάμου οὐχ ὑπετάγησαν νόμοις, ὅτε τῶν τοῦ βίου ἡδονῶν κατεφρόνησαν, ὅτε τὴν ἀγαθὴν μερίδα τῆς ἀφθαρσίας ἐξελέξαντο, ὅτε τῆς εὐφροσύνης τὸν τρόπον ἠγάπησαν, ὅτε τὸν τῆς ἁμαρτίας ἐβδελύξαντο ῥύπον, ὅτε τὰ τῆς σωφροσύνης συνέθεντο, ὅτι τοῦ καθαροῦ νυμφίου ἠράσθησαν, ὅτε τοῦ τῆς βασιλείας ἐπεθύμησαν κάλλους, ὅτι πᾶσαν βιωτικὴν ἀπεδύσαντο φροντίδα, τότε ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Ἦσαν δέ, φησιν, αἱ πέντε φρόνιμοι, καὶ αἱ πέντε μωραί. καὶ τί τῶν φρονίμων τὸ γνώρισμα; ὅτι συνῆψαν τῇ σωφροσύνῃ τὴν ἐλεημοσύνην, ἐκόσμησαν τὴν παρθενίαν τῇ εὐποιΐᾳ, ἔγνωσαν ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν, ἐδοκίμασαν ὅτι τὸ ἓν οὐκ ἐπαρκεῖ πρὸς σωτηρίαν κατόρθωμα (ἑνὶ γὰρ πτερῷ ἀετὸς εἰς ὕψος οὐκ ἐφικνεῖται) ἐμνημόνευσαν τῆς τοῦ νυμφίου φωνῆς τῆς λεγούσης· Ἔλεον θέλω, καὶ οὐ θυσίαν· καὶ πάλιν, ὅτι Κατακαυχᾶται ἔλεος κρίσεως. ταῦτα καλῶς βουλευόμεναι, ἐπλήρωσαν τὰ ἀγγεῖα αὐτῶν ἐλαίου. ποῖα ἄρα ἀγγεῖα; τὰς τῶν πεινώντων κοιλίας. μεσίτας γὰρ τοῦ πνευματικοῦ γάμου τοὺς πτωχοὺς ἐποιήσαντο, ἐσκεύασαν μεθ' ἑαυτῶν τῶν οἰκτιρμῶν τὰ ἐφόδια. οἱ πεινῶντες ἐτρέφοντο, καὶ αἱ λαμπάδες ἐφαιδρύνοντο· οἱ πτωχοὶ ηὐχαρίστουν, καὶ ὁ νυμφίος ἐτέρπετο· ἡ ἐλεημοσύνη ἔσπειρεν, καὶ ὁ προσδοκώμενος μισθὸς ηὐτρεπίζετο. καὶ αἱ φρόνιμοι τὰ τοῦ Δαβὶδ ἐβόων· Ἡτοιμάσθημεν, καὶ οὐκ ἐταράχθημεν· αἱ δὲ μωραὶ τὰς λαμπάδας κρατοῦσαι χωρὶς ἐλαίου πόρρωθεν ἀπὸ τοῦ νυμφίου ἐβλέποντο. πῶς εἴχοντο ἐνὶ κατορθώματι; πῶς τὴν μὲν ἁγνείαν ἐκτήσαντο, τὴν δὲ φιλανθρωπίαν ἀπώσαντο; πῶς ἀπάθειαν μὲν τῷ σώματι περιεποιήσαντο, συμπάθειαν δὲ περὶ τοὺς δεομένους οὐκ ἐπεδείξαντο; πῶς τὴν μὲν σωφροσύνην ἠγάπησαν, τὴν δὲ φιλοξενίαν ἀπεστράφησαν; τί οὖν τὸ πέρας; χρονίζοντος γοῦν τοῦ νυμφίου, φησίν, ἐνύσταξαν πᾶσαι, καὶ ἐκάθευδον. ἀλλ' αἱ μὲν προαποθέμεναι τὸ ἔλαιον, εἶχον τὸ ἀσφαλές, ὅτι αἱ λαμπάδες αὐτῶν οὐ σβεσθήσονται· αἱ δὲ μωραὶ τὸν τῆς ἀνάγκης καιρὸν ἐξεδέχοντο. τί οὖν; συντόμως οὐ λέγω· ἐπέστη ἡ ὥρα, ἔφθασεν ὁ καιρός, οἱ κτύποι κατήρξαντο, ἤχουν αἱ σάλπιγγες, ἐδονοῦντο τὰ στοιχεῖα, ὁ ἀὴρ ἐκλονεῖτο, ἐκλίνετο ὁ οὐρανός, ἔτρεμε τὸ στερέωμα, ἀστέρες ἐλύοντο, ἐταράττοντο αἱ δυνάμεις, προέτρεχον ἄγγελοι, ἀστραπαὶ προεβάδιζον, μέγαν εἶχεν ἡ κτίσις τὸν θόρυβον. οὐ γὰρ ἐν ἡμέρᾳ, ἀλλ' ἐν μεσονυκτίῳ ὁ δικαστὴς παρεγίνετο. εἶτα τί; γίνεται κραυγὴ καλοῦσα πρὸς τὴν ἀπάντησιν· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέλθετε εἰς ἀπάντησιν αὐτοῦ. τί οὖν τὸ γινόμενον; ἐξανέστησαν πᾶσαι αἱ παρθένοι, ἀπετινάξαντο τὸν ὕπνον, ἐπελάβοντο τῶν λαμπάδων. ἀλλ' αἱ μὲν ἐκαίοντο, αἱ δὲ οὐκ ἔφαινον. αἱ τῶν φρονίμων τῷ ἐλαίῳ τῆς εὐποιΐας ἠρδεύοντο, αἱ δὲ τῶν μωρῶν ἀπεσβέννυντο. ὄντως ἐλεεινὸν ἦν τὸ πρᾶγμα· ἄφυκτος ἐκύκλωσεν ἀνάγκη τὰ γύναια· οὐκ εἶχεν ἡ ἀποτυχία ἀφορμὴν παρακλήσεως. τότε οὖν προσελθοῦσαι ταῖς φρονίμοις ἐπεζήτουν, ὅπερ λαβεῖν οὐκ ἠδύναντο. Δότε γὰρ ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. ἔδει οὖν πάλαι μιμήσασθαι, καὶ μὴ νῦν ἱκετεύειν. ἔδει γὰρ παρὰ τῶν πωλούντων ἀγοράσαι τὸ ἔλαιον. Δότε ὑμεῖς ἔλαιον, φασιν, ἡμῖν. μάτην παρακαλεῖτε τὰς φρονίμους, ὦ ῥᾴθυμοι. ἔφθασε λυθῆναι τῆς ζωῆς ἡ πανήγυρις, παρῆλθε τοῦ βίου τὸ θέατρον· οὐκ ἔστι νῦν συναλλαγμάτων καιρός· νῦν ἡ τῶν ἔργων ἐπιζητεῖται ἐπίδειξις. ἔδει προθεωρεῖν τὸν κίνδυνον τοῦ παρόντος αἰῶνος· ἔδει ταύτης φροντίσαι τῆς ἀπαντήσεως· ἔδει ἐνθυμηθῆναι, ὅτι αἱ λαμπάδες χωρὶς ἐλαίου φωτίζειν οὐ δύνανται. λέγετε, Δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν. οὐδεὶς ἀλλοτρίοις ἐγκαλλωπίζεται ἔργοις· ἕκαστος θερίζει ὅπερ ἔσπειρε. δότε ὑμεῖς ἡμῖν ἔλαιον. τί οὖν πρὸς αὐτὰς αἱ φρόνιμοι; Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας, καὶ ἀγοράσατε. ἔτι, καὶ μικρά τις ὑπολέλειπται ὥρα, δράμετε, κάμετε· οὔπω ἔφθασεν ὁ νυμφίος. σπεύσατε πρὸ τοῦ κλεισθῆναι τὰς θύρας, πρὸς τοὺς πωλοῦντας ἀπέλθετε. καὶ τίνες,

Ματθ. κε. ϛ.

Ματθ. κε. θ.

ὦ φρόνιμοι, ὦ πωλοῦντες; εἴπατε. ἀγνοοῦσι γὰρ αὗται μὴ κτησάμεναι συναλλάγματος τοιούτου συνήθειαν. τίνες ὦ πωλοῦντες; ὦ ταῖς θύραις τῶν ἐκκλησιῶν παρακαθήμενοι πένητες, αἱ λογικαὶ χελιδόνες, αἱ τῶν ψυχῶν εὐαγγελιζόμεναι λογικὸν ἔαρ, ὦ αἰδέσιμοι πρὸς τὸν δεσπότην μεσῖται, ὦ ἀήττητοι ῥήτορες ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι τὸ ἔλαιον, ἦλθεν ὁ νυμφίος, καὶ ἐκλείσθησαν αἱ θύραι. ὢ τῆς * ἐπιβλαβοῦς ῥαθυμίας· ὢ τῆς ἀθεραπεύτου ὀδύνης· ὢ τῆς ἀπαραμυθήτου ζημίας· ὢ πένθους ἀπαρακλήτου. ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι, ἦλθεν ὁ νυμφίος, ἦλθεν ἡ προσδοκωμένη χαρά, ἦλθε τῶν δικαίων τὸ καύχημα, ἦλθε μεσονυκτίῳ τὸ φῶς. ἀπήντησαν αἱ φρόνιμοι, συνεισῆλθον τῷ νυμφίῳ, καὶ ἐκλείσθησαν αἱ θύραι. φρίττω *, τὸ γενόμενον ἐνθυμούμενος· τρέμω, τὸ συμβὰν ταῖς γυναίοις ἀτύχημα διηγούμενος. τὴν παστάδα τὴν φοβερὰν ἰδεῖν ἐπεθύμουν. δι᾽ αὐτὴν γὰρ τοῖς τοῦ κόσμου τερπνοῖς ἀπετάξαντο, τρυφῆς κατεφρόνησαν, δόξης ὑπερεῖδον, ὁδοὺς σκληρὰς ἐφυλάξαντο, παθῶν κατεκράτησαν, ἡδονῶν κατηγωνίσαντο· καὶ ἐπειδὴ ἔλαιον οὐκ εἶχον, εὗρον ἀπαρανοίκτα τῆς βασιλείας τὰ κλεῖθρα. ἐλθοῦσαι γὰρ ἔκρουον, λέγουσαι· Κύριε, Κύριε, ἄνοιξον ἡμῖν, ἔνδοθεν τοῦ κριτοῦ φοβερῶς κεκραγότος· Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. ὢ τῆς ἐσχάτης ἀποφάσεως*. οὔτε κἂν δι᾽ ἀγγέλου, ἀλλὰ δι᾽ ἑαυτοῦ τὴν ὀδυνηρὰν ἀπόκρισιν δέδωκεν· ἵνα τῆς φωνῆς ἀκούσασαι, οὗ τὸ πρόσωπον ἰδεῖν μὴ δυνάμεναι, μείζονα τὴν βάσανον ὑπομείνωσιν. Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. οὐκ οἶδας ἡμᾶς, δέσποτα; ἐκ μήτρας ἐπὶ σὲ ἐπερρίφημεν, ἠκολουθήσαμεν ὀπίσω σου ἐκ νεότητος ἡμῶν, τὴν ἁγνείαν διεφυλάξαμεν, ὅπερ ἔπλασας ἡμῖν σῶμα, ἄφθαρτον διετηρήσαμεν, οὐ προεδώκαμεν τὰ μέλη τοῖς πάθεσι, στεφάνους παρὰ τῆς σῆς δεξιᾶς προσεδοκήσαμεν δέξασθαι· καὶ νῦν τὰς θύρας ἐπέκλεισας, καὶ λέγεις, Οὐκ οἶδα ὑμᾶς. ναὶ, ὄντως οὐκ οἶδα ὑμᾶς. διὰ τί, ὦ δέσποτα; ὁ δεσπότης, διὰ τί; ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνὸς, καὶ οὐ περιεβάλλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἤλθετε πρός με. ἐγγράφως διεστειλάμην ὑμῖν, λέγων· Ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων καὶ μικρῶν, οὐδὲ ἐμοὶ ἐποιήσατε. αἱ δὲ εἶπον, μάτην οὖν, δέσποτα, τὸν πόνον καὶ τὴν ταλαιπωρίαν τῆς σαρκὸς ὑπεμείναμεν, μάτην ἀγρυπνίαις καὶ νηστείαις ἑαυτὰς κατετήξαμεν, μάτην τὸν οὐράνιον νυμφίον μέχρι τέλους ποθήσασαι, τὴν παρθενίαν ἄτρωτον διεφυλάξαμεν. ναὶ, φησι· παρθένοι μέν ἐστε, ἀλλὰ προῖκας οὐκ ἔχετε· παρθένοι μὲν, ἀλλὰ νυμφικὸν οὐ περίκεισθε κόσμον· τὴν τῆς σαρκὸς ἠσκήσατε ἁγνείαν, ἀλλὰ ἀπανθρωπίᾳ τὴν ἁγνείαν ἐτρώσατε· ἀμόλυντον ὑμῶν τὸ σῶμα, ἀλλ᾽ ὁ τρόπος ἀνελεής, οὐ φύσεως, ἀλλ᾽ ἀπανθρωπίας. ὁ ἐμὸς ἐστι νυμφὼν κτησαμένων τῆς εὐποιΐας τὸ ἔλαιον. δεῖ τοίνυν τὰς ἐμοὶ νυμφευομένας κατάλληλον τῷ κόσμῳ περικεῖσθαι καὶ τρόπον. οὐ δύναμαι τοῖς ἐμοῖς θαλάμοις* μαραμένην νύμφην λαβεῖν· οὐκ εἰσάγω πόλεμον εἰς παστάδας εἰρηνικάς. λοιπὸν ἀπέλθετε ἀπ᾽ ἐμοῦ· μή μου μάτην ταῖς θύραις ἐνοχλεῖτε, τῶν ἐλεημόνων ἐστὶν οἰκητήριον ἡ ἐμὴ βασιλεία. ἐκεῖνος ἐμοὶ εὐκόλως συνεισέρχεται, ὁ τὴν ἐμὴν μιμησάμενος περὶ τοὺς πτωχοὺς εὐσπλαγχνίαν, ὁ πτωχεύσας τῷ πνεύματι, ὁ τοῖς δεομένοις τὴν ἀκοὴν ὑποκλίνας, ὁ τὰ τοῦ πλησίον οἰκειωσάμενος πάθη, ὁ δακρύσας ἐπὶ συμφοραῖς ἀλλοτρίαις, ὁ ἐμπλήσας ἀγαθῶν τὴν ψυχὴν τοῦ πεινῶντος, ὁ τῶν γυμνῶν διαθερμάνας τοὺς ὤμους, ὁ μὴ παρακούσας τῆς φωνῆς τοῦ νοσοῦντος, ὁ δανείσας ὀλιγοψύχῳ παρακλήσεως λόγον, ὁ τὸν ξένον ὑπὸ τὴν στέγην δεξάμενος, ὁ τῷ σπόγγῳ τῆς συμπαθείας τῶν χηρῶν ἀποσμήξας τὸ δάκρυον, ὁ ἐλαφρύνας τῇ προστασίᾳ τῆς ὀρφανίας τὸ βάρος. ταῦτα εἰδότες, ἀδελφοί, μὴ τῇ γλώσσῃ θαυμάζετε, ἀλλὰ τοῖς ἔργοις μιμήσασθε. σφραγὶς γὰρ γλώσσης ἡ χείρ, καὶ ταύτην ἑρμηνεύει τῆς δεξιᾶς ἡ ἐπίδοσις. ζηλοῦντες

Ματθ. κε

τὰ

τὰ ῥήματα, τὴν φιλοπτωχίαν περὶ πολλοῦ ποιησώμεθα, σκορπίζειν τοῖς πένησι τοὺς ὀβολοὺς μὴ φεισώμεθα, παρακαλῶ· τῆς δεσποτικῆς φωνῆς ἐπακούσωμεν· τὸν φόβον μαθόντες, τὴν πεῖραν ἐκκλίνωμεν· ἑαυτῶν διὰ τῶν "πεινώντων" φροντίσωμεν. αἱ γὰρ παρθένοι φιλανθρωπίαν μὴ τιμήσασαι τοῦ νυμφῶνος ἐκβάλλονται. ποία λοιπὸν* τοῖς ἁμαρτωλοῖς ἐλπὶς περιλείπεται ἀπανθρωπίᾳ ὑβρίσασι; ταῦτα πρὸς τὸ πλῆθος λέγων, τῶν ῥαθυμοτέρων τὸ συνειδὸς ἀσφαλίζομαι, βλάπτων οὐδὲν τοὺς εὐγνώμονας, ἀλλὰ καὶ θερμοτέρους πρὸς τὴν εὐσέβειαν ἐργαζόμενος. οὐκοῦν σκόρπισον, ἀδελφέ, ἕως ἔτι συνέστηκεν ἡ τοῦ βίου πανήγυρις. τὰ τῆς ἀπολογίας πραγμάτευσαι· πρὸ τοῦ τεθῶσιν οἱ θρόνοι, θρῆνον ἐπίδειξαι· φθάσον τοῦ νυμφίου τὴν παρουσίαν· δράμε τῆς ἁμαρτίας ὀξύτερον· παράλαβε τὴν ἔμπροσθεν διάγνωσιν· θεράπευσον τὸν κριτήν· μὴ καταδείξῃ τῷ βήματι παραστῆναι γυμνός. νῦν σκόρπισον χρήματα, ἵνα τότε διαλύσῃς ἐγκλήματα· λάλησον τῷ δικαστῇ κατὰ μόνας, ἵνα μὴ ἐπὶ πάντων καταδικάσῃ σε· λάβε μεσίτην πρὸς τὸν αὐτοῦ θεράποντα τὸν πένητα· δι' αὐτοῦ τὸν κριτὴν δωροδόκησον· αὐτῷ μόνῳ θάῤῥει τὸ τοιοῦτον μυστήριον· δι' αὐτοῦ πώλει "τοῖς καταδίκοις τὸ δίκαιον. ὁ πτωχὸς λαμβάνει, καὶ ὁ κριτὴς ὑπογράφει συγχώρησιν· ἀγράφως δέχεται, καὶ προσφέρει χειρόγραφα. Ὁ γὰρ ἐλεῶν πτωχὸν, δανείζει Θεῷ. ὅπερ ἂν νῦν βάλλῃς ἐν τῇ χειρὶ τοῦ πτωχοῦ, τοῦτο γνωρίσεις ἐν τῇ παλάμῃ τοῦ δικαστοῦ. εἰ διαδράσαι τὴν κρίσιν τοίνυν σπουδάσομεν, ἐντεῦθεν ἤδη τὸν δικαστὴν διὰ τῶν πτωχῶν δυσωπήσωμεν. εἰ καὶ ἐπηνίκα τελευταῖα διατυποῖς, γράψον μετὰ τῶν συγγενῶν ἢ φίλων τὴν ἀποδημοῦσαν τοῦ βίου ψυχήν· δὸς αὐτῇ κἂν μικρὰ τῆς ἀνάγκης ἐφόδια. ἐχέτω τοῦ δικαστοῦ τὸ ὄνομα τῆς διαθήκης τὰ γράμματα· μνήμης πτωχοῦ μὴ ἀμοιρείτω ὁ χάρτης. χαρᾶς πρόξενον, καὶ μὴ θρήνων ἄξιον κατεργάσηται τὸν θάνατον· συνεργῶν ἐκτὸς μὴ παραστῇς τῷ φοβερῷ κριτηρίῳ· χόρτασον τὰς κοιλίας τῶν ὀφειλόντων ταῖς γλώσσαις ὑπὲρ σοῦ ῥητορεῦσαι πρὸς τὸν Κύριον. κτησώμεθα δι' αὐτῶν χρεώστην τὸν κτίσαντα, τοῦ μὴ δοῦναι δίκην κατ' ἐκείνην τὴν ἡμέραν· ὠνησώμεθα χρήμασι τῆς τοιαύτης ἐπιτυχίας ῥήτορας. ἔχεις γάρ, φησι, μάρτυρα τῆς περὶ ἐμὲ μαρτυρίας τὸν πτωχὸν, τὸν πένητα οἰκειούμενον. ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ πᾶσι τὴν τροφὴν χορηγῶν· καὶ ὅμως σου ποιοῦντος τὴν ἐλεημοσύνην, ἐγὼ τῷ πένητι συγκλίνω τὴν χεῖρα, καὶ τὸν ὀβολὸν ὑποδέχομαι. Ἀναβάλλομαι τὸ φῶς ὡς ἱμάτιον· κἂν μόνον σὺ τὸν πτωχὸν περιβάλῃς, ἐγὼ τῆς θέρμης αἰσθάνομαι. οἶδας με ἐν οὐρανῷ τῷ πατρὶ συγκαθήμενον· κἂν μόνον ὁρμήσῃς τοὺς ἐν φυλακῇ ἐπισκέψασθαι, εὑρήσεις με τοῖς δεσμίοις συγκαθήμενον· κἂν δράμῃς πρὸς νοσοῦντας, τῆς κλίνης οὐκ ἀπολιμπάνομαι. πανταχοῦ γάρ εἰμι, καὶ τοῖς ἐν ἀνάγκῃ παρίσταμαι· ὅπερ ἂν δώσῃς τῷ πένητι, ἐμοὶ τοῦτο παρ' ἐμοῦ πληθυνόμενον. ἐὰν εἰσάγῃς εἰς τὴν οἰκίαν σου τὸν ἄστεγον, καὶ δι' αὐτοῦ λάβῃς με ἐν οἴκῳ σου· τρία ταῦτα παρέξω σοι· καὶ τὸ κέρδος αὐξήσω, καὶ τὸν οἶκόν σου φυλάξω, καὶ μονὴν ἐν οὐρανοῖς ἑτοιμάσω σοι, ἐν ᾗ ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός, ἐν Θεῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παροιμ. ιθ. ιζ.

ΕΙΣ ΤΟ ΠΡΟΦΗΤΙΚΟΝ ΡΗΤΟΝ ΤΟ ΛΕΓΟΝ, ΠΛΗΝ ματὴν ταράσσεται πᾶς ἄνθρωπος ζῶν, καὶ περὶ ἐλεημοσύνης.

Λογ. ργ. Ψαλ. λη. ζ.

Ex edit. Personij Par. emend. ex Ms. Caesareo.

Προτρέπεται καὶ κόλπος βύθιος ἁλιέα, ὅταν τὸ δίκτυον ῥίψας, καὶ πολλὴν τῶν ἐναλίων ἄγραν περιλαβών, κάμνουσαν ὑπὸ φόρτου τὴν σαγήνην ἐφέλκηται· καὶ θηρατὴν ὕλη θηροτρόφος, ὅταν ὄρη διερευνήσας, καὶ κορυφὴν κατάκομον ἀναπτύξας, μετὰ λαμπρᾶς καὶ πλουσίας 5
ἐπανέλθῃ τῆς ἄγρας. Εἰ δὲ τοῖς περὶ κέρδη καὶ θήραν ἐπτοημένοις γλυκὺς ὁ περὶ ταῦτα πόνος ὑπάρχει· πόσῳ μᾶλλον τοῖς τῶν ἐκκλησιαστικῶν ἁλιεῦσι κόλπων, οἷς τὸ κέρδος, οὐχ ἡμερινὸν, οὐδὲ πρόσκαιρον, ἀλλ' αὐτὴ τῶν οὐρανῶν ἡ βασιλεία καθέστηκε; φέρε οὖν, ἀγαπητὲ, Δαβιδικῆς κιθάρας τὸ ψαλμικὸν ἀνακρουσώμεθα μέλος, καὶ μετὰ τοῦ Δαβὶδ τὴν ἀνθρωπίνην εὐτέλειαν στηλιτεύσαντες, εἴ- 10
πωμεν· Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν. Ταράσσεται, καὶ τὸ τέλος ἀπολεῖται· ταράσσεται, καὶ πρὶν καταστῆναι καταποθεῖται. ὡς πῦρ ἀνακαίεται, καὶ ὡς καλάμη ἀποτεφροῦται· ὡς κῦμα ἐπαίρεται, καὶ ὡς κόνις ἐδαφίζεται· ὡς φλὸξ ἀναρριπίζεται, καὶ ὡς καπνὸς διαλύεται· ὡς ἄνθος ὡραΐζεται, καὶ ὡς χόρτος ξηραίνεται· ὡς νέφος ὑπεραπλοῦται, καὶ ὡς σταγὼν ἀπομειοῦται· ὡς πομφόλυξ ὀγκοῦται, καὶ ὡς σπινθὴρ ἀποσβέννυται. 15
Ταράσσεται, καὶ τῇ ἀπληστίᾳ κερδαίνει τὴν δυσωδίαν· ταράσσεται, καὶ τῶν ἀπὸ τῆς ταραχῆς οὐδὲν λαμβάνων ἀπέρχεται. αὐτοῦ αἱ ταραχαὶ, καὶ ἄλλων αἱ τρυφαί· αὐτοῦ οἱ πόνοι, καὶ ἄλλων οἱ θησαυροί· αὐτοῦ αἱ φροντίδες, καὶ ἄλλων αἱ εὐφροσύναι· αὐτοῦ αἱ θλίψεις, καὶ ἄλλων αἱ ἀπολαύσεις· αὐτοῦ αἱ κατάραι, καὶ ἄλλων αἱ θεραπεῖαι· αὐτοῦ αἱ ἁρπαγαὶ, καὶ ἄλλων αἱ ἡδοναί. παρ' αὐτῷ ὁ στεναγμὸς, καὶ παρ' ἑτέροις οἱ πλεονασμοί· παρ' αὐτῷ τὰ δάκρυα, καὶ παρ' 20
ἑτέροις τὰ χρήματα· αὐτὸς ἐν ᾅδῃ κολάζεται, καὶ ἄλλοι πάλιν ἐν τοῖς αὐτοῦ ἐντρυφῶσι ψάλλοντες. πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν· ἄνθρωπος, τὸ τῆς ζωῆς πρόσκαιρον δάνεισμα, τὸ τοῦ θανάτου ἀνυπέρθετον ὄφλημα, τὸ ἐκ προαιρέσεως ἀδάμαστον ζῶον, τὸ αὐτοδίδακτον πονήρευμα, τὸ αὐτομαθὲς ἐπιβούλευμα, τὸ εὔτεχνον εἰς κακουργίαν, τὸ εὐμήχανον εἰς ἀδικίαν, τὸ ἕτοιμον εἰς πλεονεξίαν, τὸ ἀκόρεστον εἰς ἀπληστίαν, τὸ εὐ- 25
φυὲς εἰς ἀπιστίαν, τὸ ὑπέρογκον πνεῦμα, τὸ μεγαλόρρημον θράσος, τὸ εὐδιάλυτον φρύαγμα, τὸ εὐκαθαίρετον ὕψωμα, τὸ εὐάλωτον τόλμημα, ὁ πηλὸς ὁ αὐθάδης, ἡ τέφρα ἡ στασιώδης, ἡ κόνις ἡ μεγαλόφρων, ἡ σποδὸς ἡ πεφυσιωμένη, ὁ σπινθὴρ ὁ εὐκατάσβεστος, ἡ φλὸξ ἡ εὐμετάλυτος, ὁ εὐέμπιστος λύχνος, τὸ ἑτοιμόφθαρτον ξύλον, ὁ εὐξήραντος χόρτος, ἡ εὐνέκρωτος χλόη, ἡ εὐδαπάνητος φύσις· ὁ σήμερον ἀπειλῶν, καὶ αὔριον πλουτῶν· ὁ σήμερον ἐν πλούτῳ, καὶ αὔριον 30
ἐν τάφῳ· ὁ σήμερον ἐν διαδήματι, καὶ αὔριον ἐν μνήματι· ὁ σήμερον ἐν πορφύρᾳ, καὶ αὔριον ἐν ἐκφορᾷ· ὁ σήμερον ἐν θησαυροῖς, καὶ αὔριον ἐν σοροῖς· ὁ σήμερον ἐν κόλαξι, καὶ αὔριον ἐν σκώληξιν· ὁ σήμερον ὢν, καὶ αὔριον μὴ ὤν· ὁ ἄρτι φρυαττόμενος, καὶ μετ' ὀλίγον θρηνούμενος· ὁ ἐν εὐπραγίαις ἀφόρητος, καὶ ἐν δυσπραγίαις ἀπαραμύθητος· ὁ ἑαυτὸν ἀγνοῶν, καὶ τὰ ὑπὲρ αὐτὸν πολυπραγμονῶν· ὁ τὸ παρὸν οὐκ εἰδὼς, καὶ περὶ τῶν μελλόντων φανταζόμενος· 35
ὁ φύσει θνητὸς, καὶ τῇ ἐπάρσει, ὡς νομίζει, αἰώνιος· τὸ πάσης ἀρρωστίας προκείμενον πάρεργον· τὸ παντὸς πάθους εὐδιάβατον καταγώγιον· τὸ τῶν πυρετῶν ἀδιάφορον καθημερινὸν γυμνάσιον· τὸ πάσης λύπης εὐπαράδεκτον πανδοχεῖον. ὢ πόση τῆς ἡμετέρας εὐτελείας ἡ τραγῳδία· ὢ πόσος ὁ τῆς ἀνθρωπίνης εὐτελείας θρίαμβος· ὢ πόσα εἶπον, καὶ τῆς προφητικῆς φωνῆς οὐδὲν ἁρμοδιώτερον εὗρον τῆς λεγούσης, πλὴν μάτην ταράσσεται πᾶς ἄνθρω- 40
πος ζῶν. τέλος, ὅρα, ἀγαπητὲ, εἰ μὴ θάλατταν μιμεῖται τῶν ἀνθρώπων τὰ πράγματα, εἰ μὴ τῆς ἔξωθεν ταραχῆς ὁ βίος ἐμπλέκεται, εἰ μὴ τῆς ὑγρᾶς πλέον ἐπὶ τῆς ξηρᾶς χειμαζόμεθα, εἰ μὴ τῶν ἀνέμων σφοδρότερον ἀλλήλοις συμπίπτομεν, εἰ μὴ τὰ χρήματα, καθάπερ καταιγίδες, ἀλλήλοις ἡμᾶς συγκρούουσιν, εἰ μὴ, καθάπερ ἐν ζόφῳ θαλαττίῳ,

Ψαλ. λη. ζ.

γ. ἡμερινὸν πρόσκαιρον
γ. ἐντρυφῶσι ψάλλοντες
γ. ἀνυπέρθετον
γ. κόλαξι
γ. ἀλλήλοις

ὡς δι' ἄκρου περιφερόμεθα. οὗτος ἐκείνου τὸν ἀγρὸν περιεσπάσατο, ἄλλος τοῦ δεῖνα τοὺς οἰ-
κέτας ἀφήρπασε· καὶ ὁ μὲν περὶ ὕδατος τῷ γείτονι κρίνεται· ὁ δὲ περὶ ἀέρος τῷ συνοικήτορι
πολεμεῖ. οἱ μὲν διὰ μέτρα τῆς γῆς διακαπνίζονται· οἱ δὲ περὶ οἰκοδομῆς ἀλλήλους
διαθλίβουσιν. οὗτος, ἅπερ οὐκ ἔδωκε, λαβεῖν ἐπιφύεται· ἐκεῖνος, ἅπερ ἔλαβε, μὴ δοῦναι
5 δικάζεται. ὁ μὲν περὶ τόκους ἀπληστεύεται· ὁ δὲ καὶ τὸ κεφάλαιον ἀποστερεῖν διϊσχυρίζεται. οὗτος
ἀπορῶν ὀδυνᾶται, ἐκεῖνος εὐπορῶν θορυβεῖται. ὁ μὴ ἔχων ὀνειδίζεται, καὶ ὁ ἔχων ἐπιβουλεύεται·
ὁ ἐν ἀρχαῖς ὑποβλέπεται, ὁ ἐν ἐξουσίαις μισεῖται, ὁ ἐν δυναστείαις σκυλάζεται. οἱ πόλεμοι
συνέχουσιν, οἱ φθόνοι ἐπάλληλοι, ἡ ἀπληστία τυραννεῖ, ἡ πλεονεξία καταδυναστεύει, τὸ ψεῦδος
ὑπαίρεται, ἡ πρὸς ἀλλήλους πίστις ἀπέφυγεν, ἡ ἀλήθεια τὴν γῆν κατέλιπεν, ἡ φιλία μέ-
10 χρι τραπέζης περιορίζεται. οἱ ἄλλοι τὴν ἰδίαν ἰσχὺν ἀπώλεσαν· ἡ γῆ λοιπὸν τὰ κακὰ βα-
στάζειν οὐ δύναται, ὁ ἀὴρ μέχρις αὐτοῦ τοῦ αἰθέρος μεμόλυνται. διὰ τὰ χρήματα ὁ βίος ἀ-
βίωτος γέγονε, διὰ τὰ χρήματα ἐλεύθερα στοιχεῖα πεπαράχαμεν. ἰδοὺ πλωτεύονται, ἡ γῆ
ἀποκεκλήρωται, ὕδατα δεσποτεύονται, ὁ ἀὴρ ὠναῖς ὑποβάλλεται· δεκατολόγοι καὶ φορολό-
γοι καὶ τελῶναι τὰς πόλεις συνέχουσιν· οἱ πλούσιοι ταῖς φροντίσιν ἐκτήκονται· οἱ δανει-
ἰωπί· 15 σταὶ ταῖς μερίμναις μαραίνονται· οἱ ἅρπαγες τὸν βίον ταράττουσιν· οἱ φιλοχρήματοι τὰ δικα-
στήρια κατατρίβουσιν· οἱ ἔμποροι τὰς συμφορὰς πραγματεύονται· οἱ συκοφάνται τὸ
ψεῦδος παρέχουσιν, ἀλλήλοις ψευδόμενοι τοὺς ὅρκους ἀνηλώσαμεν· εἰς τὸ ὀμνύειν μό-
νον τὸν Θεὸν ἐπιστάμεθα. οὕτω πάντας ἐν κακοῖς σεσωρευμένους ὁρῶν ὁ προφήτης, καὶ τὸν
βίον ταλανίζων, ἔλεγε· πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος ζῶν. ἄνθρωπος μόνον,
20 ὦ προφῆτα, ταράσσεται; ἡ λογικὴ μόνη διάπλασις κατηγορεῖται; οὐδὲν τῶν ἐν ζώοις ἢ
στοιχείοις ταρασσόμενον εὗρον. ταράσσεται, φησὶ, τὰ ὕδατα, καὶ πάλιν ἀποκαθίσταται· σα-
λεύεται ἡ γῆ, καὶ πάλιν ἑδράζεται· κινοῦνται οἱ ἄνεμοι, καὶ πάλιν ἡσυχάζουσι· θορυβεῖται πολὺ
θεῖον, καὶ κορεννύμενον παύεται· διεγείρεται φλὸξ, καὶ ὑποκειμένην ὕλην ἀναλίσκουσα σβέν-
νυται· ἄνθρωπος δὲ ταρασσόμενος ἐπὶ χρήμασιν οὐδέποτε παύεται. ἔλαβε τοῦτο, καὶ πρὸς
25 ἐκεῖνο ἀποβλέπει· ἐκράτησεν ἐκεῖνο, καὶ πρὸς ἄλλο κέχηνε. τὰ ἑκατὸν διπλασιάζειν φιλο-
νεικεῖ, ἐπὶ τοῖς τοσούτοις πάλιν τὰ τοσαῦτα σωρεύειν ἐπείγεται, καὶ οὐδέποτε τοῦ σωρεύειν παύεται, ἕ-
ως ἂν τὸ τέλος αὐτοῦ σωρευθῇ· καὶ τῇ δίψῃ τῆς φιλαργυρίας συνεχόμενος, ὠχρότερος χρυσίου
περιέρχεται διὰ τὸν πολυπόθητον πλοῦτον, τὸν τάχα ἀβεβαιότερον φίλον, τὸν ἐπίβουλον πόθον, τὸν
πολυδάπανον ἐμπαίκτην, τὸν πολυέραστον χλευαστὴν, τὸν ὑπόπτερον δέσμιον, τὸν πολέμιον
30 νεκρὸν, τὸν ἐν τῷ κόσμῳ ἀφιπτάμενον ἄνεμον· πλοῦτον, τὸν πάσης ἀτοπίας γεννήτορα, τὸν πάσης
κακίας εὑρετὴν, τὸν συνεργὸν τῆς ψυχοφθόρου τρυφῆς, τὸν ἀντίπαλον τῆς ἐγκρατείας, τὸν
πολέμιον τῆς σωφροσύνης, καὶ τὸν πάσης ἀρετῆς λανθάνοντα κλέπτην. ἀλλὰ τί διαβάλ-
λω τὸν πλοῦτον, τοὺς κεκτημένους ἀφείς; ἀδικεῖται καὶ αὐτὸς δεσμούμενος ὑπ' αὐτῶν, καὶ πέ-
δαις συνεχόμενος. ἔοικε γάρ μοι αὐτὸν πρὸς αὐτοὺς ἀφιέναι φωνήν· τί με τὸν πλοῦτον, ὦ
35 φιλοχρήματοι, συμποδίζετε; τί με, καθάπερ δραπέτην, μυρίοις δεσμοῖς περισφίγγετε;
τί με ὡς φίλον περιπτύσσεσθε, καὶ ὡς κακοῦργον καταδεσμεῖτε, ἀπὸ μετάλλων εἰς τὰς ὑμῶν
χεῖρας διαπέμποντες; εἰ θέλετε κἂν τῶν ὀνείρων κουφότερον ἀναπαῦσαί με, ἐάσατέ
με καὶ εἰς τὰς τῶν πενήτων δεξιὰς μεταπεμφθῆναι. ἀλλά φησι· τέκνοις συνάγω τὸν πλοῦτον,
ἵνα μὴ πενίας γένωνται κληρονόμοι. καλῶς ὁ πολυφρόντιστος πλούσιος, τὰ παρόντα οὐκ οἶδε, καὶ
40 περὶ τῶν μελλόντων φροντίζει· τὰ καθ' ἑαυτὸν ἀγνοεῖ, καὶ περὶ τῶν παίδων φροντίζει. εἰ θά-
πτεται οὐκ ἐπίσταται, καὶ περὶ τῶν κληρονόμων βουλεύεται. ὦ ἄφρων, εἰπέ μοι τὸ σὸν τέ-
λος, καὶ τότε περὶ τῶν τέκνων ἀσφάλισαι. εἰπέ μοι τὰ τῆς σήμερον, καὶ τότε πιστεύω σοι καὶ τὰ τῆς
αὔριον. τί σεαυτὸν καὶ μετὰ θάνατον ἀπατᾷς; τί θέλεις εἶναι καὶ νεκρὸς καὶ χλευαζόμενος; τί διο-
ρίζῃ τῷ Θεῷ τὸ πρακτέον; τί νομοθετεῖς τῇ τοῦ Θεοῦ προνοίᾳ διοικεῖσθαι τὰ σοὶ διδόμενα;
οὐδὲ

οὐδὲν πρὸς σὲ περὶ τῶν μετὰ σέ. οὐ δύνασαι ὁ νεκρὸς εἶναι καὶ διοικητὴς ζώντων, καὶ νεκρῶν κριτὴς ζυγοστατῶν ἑκάστου τὸ δίκαιον. τί οὖν ματαιοπονεῖς, ὦ πλούσιε, τὰ τῶν πενήτων τοῖς σοῖς θησαυρίζων, καὶ οὐκ οἶδας τίνι συνάγεις αὐτά; τί τὰ τῶν ὀρφανῶν κατέχεις; τί αἰτούμενος παρ' αὐτῶν ἀγανακτεῖς, ὡς οἴκοθεν ἀναλίσκων; τὰ ἴδια ζητοῦσιν, οὐ τὰ σά· τὰ ἐγχειρισθέντα σοι δι' αὐτούς, οὐ τὰ μετὰ σοῦ γεννηθέντα. ἃ ἔλαβες δός, καὶ τὴν χρῆσιν κέρδαινον, ὅτι δοῦναι, οὐ λαβεῖν, προσετάχθης. ἀρκεῖ σοι, ὅτι διὰ τοῦ πτωχοῦ ὁ Θεὸς τὴν δεξιάν σοι προτείνει· ὁ βρέχων ἐξ οὐρανοῦ, τὴν χαλκοῦ ψεκάδα σοι προσάπλει· ὁ βροντῶν καὶ ἀστράπτων, ἐλέησόν σοι λέγει· ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις, ῥάκιον αἰτεῖ παρὰ σοῦ. ἀρκεῖ σοι, ὅτι τοὺς πένητας ὡς Θεοί σε λιτανεύουσι. δός, οἴκτειρον, ἐλέησον, ἵνα ἐλεηθῇς. σὺ δὲ οὐδὲ τὰς ὀφρύας σου ἀνατεῖναι βούλῃ, τὸν λιτανευόμενος οὐκ ἐπικάμπτῃ. δὸς αὐτοῖς τὰ αὐτῶν, πρὶν ἐπιστῇ τὸ λογοθέσιον· δός αὐτοῖς τὰ αὐτῶν, ἃ μέλλεις μετ' οὐ πολὺ ἀπολαμβάνειν. πατέρα ἔχεις βασιλέα, δὸς αὐτοῖς τὰ αὐτῶν, καὶ λάβε παρὰ τοῦ πατρὸς αὐτῶν τὴν ἀμεριμνίαν. ποίαν ταύτην; Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. ὁ γὰρ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, οὐ μόνον τὸ χειρόγραφον τῆς ἁμαρτίας ἐξαλείφει, ἀλλὰ καὶ ὁμολογίαν λαμβάνει, τὴν λέγουσαν φωνήν, Ὁ διδοὺς πτωχῷ, Θεῷ δανείζει. Θεῷ δανείσωμεν τὴν ἐλεημοσύνην, ἵνα παρ' αὐτοῦ λάβωμεν φιλανθρωπίας ἀντίδοσιν. ἀλλ' ὢ τοῦ σοφωτάτου ῥήματος, ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. διὰ τί οὖν οὐκ εἶπεν, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἀλλὰ δανείζει; οἶδεν ἡ γραφὴ τὴν ἡμετέραν πλεονεξίαν. προσέχειν ὅτι ἡ ἀπληστία ἡμῶν πρὸς πλεονεξίαν βλέπουσα τὸν πλεονασμὸν ζητεῖ, καὶ διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἵνα μὴ ἁπλῆν τὴν δόσιν καὶ τὴν ἀντιμισθίαν νομίσῃς· ἀλλ', ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ, ἵνα τὸ ὄνομα τοῦ δανείσματος ὁ φιλοκερδὴς ἀκούσας, ἑαυτὸν ἐπιδῷ πρὸς ἔλεον. ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. εἰ δανείζεται Θεὸς παρ' ἡμῶν, ἄρα χρεώστης ἡμῶν ἐστι. τί οὖν θέλεις αὐτόν, κριτὴν ἔχειν, ἢ χρεώστην; ὁ χρεώστης αἰδεῖται τὸν δανείσαντα· ὁ κριτὴς δὲ οὐ δυσωπεῖται τὸν δικαζόμενον. ἀναγκαῖον δέ, ἀδελφοί, καὶ καθ' ἕτερον τρόπον ἰδεῖν, τίνος ἕνεκεν ὁ Θεὸς εἶπεν, ὅτι ἐμοὶ δανείζει ὁ διδοὺς πτωχῷ. ἐπειδὴ εἶδεν ἡμῶν τὴν πλεονεξίαν ῥέπουσαν εἰς τὸν πλεονασμόν, ὡς ἔφθην εἰπών, τὸν μηδαμοῦ τὸν χρήματα ἔχοντα δανείζειν θέλοντα ἄνευ ἀσφαλείας (ἀπαιτεῖ γὰρ ὁ δανείζων ἢ ὑποθήκην, ἢ ἐνέχυρα, ἢ τὸν ἀντιφωνοῦντα· καὶ διὰ τῶν τριῶν τούτων ἀσφαλειῶν ἐμπιστεύει τὰ ἑαυτοῦ χρήματα, ἢ ἐγγύας δεχόμενος, ὡς ἔφθην εἰπών, ἢ ὑποθήκην πραγμάτων) ἐπεὶ οὖν οἶδεν ὁ Θεός, ὅτι ἐκτὸς τούτων οὐδεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ' εἰς μόνον τὸ κέρδος ὁρᾷ· πάντων δὲ τούτων ἔρημος ὁ πτωχός, οὐχ ὑποθήκην ἔχων (οὐ κέκτηται γὰρ οὐδέν) οὐκ ἐνέχυρα φέρων (γεγύμνωται γάρ) οὐ τὸν ἀντιφωνοῦντα παρέχων (ἀπιστεῖται γὰρ διὰ τὴν ἀπορίαν) ὡς εἶδεν αὐτὸν διακινδυνεύοντα τῇ ἀπορίᾳ, καὶ τὸν ἔχοντα χρήματα διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν παρέθηκεν, ἔγγυον μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι. ἀπιστεῖς τούτῳ, φησί, διὰ τὴν ἀπορίαν; ἐμοὶ πίστευσον διὰ τὴν ἀφθονίαν. εἶδε τὸν πτωχόν, καὶ ἠλέησεν· εἶδε τὸν πτωχόν, καὶ οὐ παρεῖδεν, ἀλλ' ἑαυτὸν ἔδωκεν ἐνέχυρον τῷ μηδὲν ἔχοντι, καὶ τῷ ἀπόρῳ προσέστη διὰ πολλὴν ἀγαθότητα. ὁ ἐλεῶν πτωχόν, δανείζει Θεῷ. θάρσει, φησίν, ἐμοὶ δανείζεις. καὶ τί τοσοῦτον κερδαίνω, σοὶ δανείζων; ἑκατονταπλασίονα σοι δίδωμι, καὶ ζωὴν αἰώνιον. ἵνα πότε μοι ταῦτα ἀποδῷς, ἀπαιτῶ τὰ σύμφωνα, στηρίξαι βουλόμενος τὸ συνάλλαγμα. δός μοι τῆς ἀνταποδόσεως τὸν καιρόν, ὅρισον τῆς ἀπολήψεως τὴν προθεσμίαν. ἄκουε συνετῶς, πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδωσιν ὁ διὰ τῶν πτωχῶν δανεισάμενος. ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν

Margin notes: Ματθ. κε. μ. — Παροιμ. ιθ. ιζ. — Ματθ. κε. λδ. — ἴσ. π... πι

μένην βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ὑπὲρ τίνων; Ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ ἐνεδύσατέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Εἶτα οἱ καλῶς ἐν καιρῷ διακονήσαντες εἰς τὴν οἰκείαν ἀσθένειαν ἀφορῶντες, καὶ εἰς τὴν ἀξίαν τοῦ δανεισαμένου, λέγουσι· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ ἐθρέψαμεν, ἢ διψῶντα, καὶ ἐποτίσαμεν, εἰς ὃν οἱ ὀφθαλμοὶ πάντων ἐλπίζουσιν; ἢ πότε σε εἴδομεν ἐν ἐνδείᾳ τοσαύτῃ; πότε δὲ ταῦτα πεποιήκαμεν; Ἐφ' ὅσον, φησὶν, ἑνὶ τούτων τῶν ἐλαχίστων πεποιήκατε, ἐμοὶ ἐποιήσατε. μὴ οὐκ ἀληθὴς ὁ λόγος, ὅτι ὁ ἐλεῶν πτωχὸν Θεῷ δανείζει; ἀλλ' ὥσπερ τοῖς ἐκ δεξιῶν διὰ τὴν φιλανθρωπίαν ἔδειξε δεδωρημένην τὴν βασιλείαν· οὕτω καὶ τοῖς ἐξ ἀριστερῶν διὰ τὴν ἀκαρπίαν ἠπείλησε τὴν τιμωρίαν. Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ σκότος τὸ ἐξώτερον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Διὰ τί; ὑπὲρ τίνος; ὅτι ἐπείνων, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. οὐκ εἶπεν, ὅτι ἐπορνεύσατε, ὅτι ἐμοιχεύσατε, ὅτι ἐκλέψατε, ὅτι ἐψευδομαρτυρήσατε, ὅτι ἐπιωρκήσατε. καὶ ἦν μὲν ὁμολογουμένως καὶ ταῦτα, ἀλλὰ τῆς ἀπανθρωπίας κατώτερα καὶ τῆς ἀνελεημοσύνης. Διὰ τί δὲ, ὦ Κύριε, οὐδὲν τῶν ἄλλων φέρεις εἰς μνήμην; οὐ κρίνω, φησὶ, τὴν ἁμαρτίαν, ἀλλὰ τὴν ἀπανθρωπίαν· οὐ κρίνω τοὺς ἁμαρτήσαντας, ἀλλὰ τοὺς μὴ μετανοήσαντας. ὑπὲρ ἀπανθρωπίας ὑμᾶς καταδικάζω, ὅτι ἔχοντες τοσοῦτον καὶ τηλικοῦτον φάρμακον σωτηρίας, τὴν ἐλεημοσύνην, παρήκατε τοσαύτην εὐεργεσίαν. ὀνειδίζω τοίνυν τὴν ἀπανθρωπίαν, ὡς ῥίζαν πάσης κακίας, καὶ πάσης ἀσεβείας· ἐπαινῶ δὲ τὴν φιλανθρωπίαν, ὡς ῥίζαν πάντων ἀγαθῶν· καὶ ἀπειλῶ τοῖς μὲν πῦρ αἰώνιον, τοῖς δὲ δίδωμι βασιλείαν οὐρανῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ κε. λζ. μ.

Ματθ κε. μα.

ΕΙΣ ΤΟ, ΔΕΥΤΕ ΑΓΑΛΛΙΑΣΩΜΕΘΑ ΤΩ ΚΥΡΙΩ· καὶ περὶ μετανοίας, καὶ εἰς τοὺς Νινευίτας, καὶ περὶ ἐλεημοσύνης.

Λογ. ρδ. Ψαλ. ϟδ. α.

Ex Ms. Caesareo.

Ἐγείρει τὸν ὁπλίτην εἰς πόλεμον ἡ τῆς σάλπιγγος βοὴ, καὶ τοῦτον ἕτοιμον μᾶλλον τοῖς πολεμίοις παρίστησι· καὶ ναύτας παρορμᾷ καὶ βαίνειν ἐπὶ νηὸς ἡ τοῦ χειμῶνος ἔκβασις κατηνάγκασε· καὶ ἡμᾶς ὁ μελῳδὸς Δαβὶδ διὰ τῆς πηκτίδος πανηγυρικὸν ἠχήσας μέλος, ἐπὶ τὴν πνευματικὴν ταύτην εὐωχίαν ἤγαγε σήμερον. τί γάρ φησι; Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν· προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ὦ Δαβιδικῆς φωνῆς, ὦ κλήσεως ἀγαθῆς, ὦ πνευματικῆς ἐδωδῆς· δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν

Ψαλ ϟδ. α.

* * * *

ἀγαθότητα, προφητικοῦ κηρύγματος ἱλαρότητα. πῶς πάντας ἡμᾶς εἰς μετάνοιαν προτρέπεται, καὶ πάντας πρὸς εὐσέβειαν καλεῖ καὶ σωτηρίαν λέγων, δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ; Κύριος ἐκέλευσε, προφήτης ἐκάλεσεν, ἡμεῖς ἐπακούσωμεν. οὐ γὰρ ἐπὶ φθαρτὸν ἄριστον ἐκάλεσε, γαστρὸς ἐπιθυμίαν κορέσαι βουλόμενος, ἀλλὰ ψυχῆς ῥύπον διὰ μετανοίας ἀποσμῆξαι βουλόμενος, οὕτως ἡμᾶς διὰ τῆς ἡδυφώνου λύρας καλεῖ· δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. πάντες τοίνυν ταῖς σειραῖς τῆς ἀγάπης ἑαυτοὺς σφίγξαντες, καὶ τὸν ζυγὸν τῆς ὑπακοῆς βαστάσαντες, προσέλθωμεν τῷ δεσπότῃ, καθάρσιον τῶν ἐν ἡμῖν πεπραγμένων κακῶν ποιήσαντες. μετανοίας γὰρ ὁ παρὼν βίος, ἀπειλῆς δὲ καὶ κρίσεως ἡ μέλλουσα παρουσία. ἄκουσον αὐτοῦ τοῦ προφήτου λέγοντος· Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; μὴ τοίνυν πολυπλόκοις σειραῖς δεσμείσθω ὑμῶν ἡ διάνοια, ἀλλ' ἐξ ὅλης καρδίας

Ψαλ ς. ε.

δίας ἱκετεύσωμεν τὸν Θεόν. ἕτοιμος γάρ ἐστιν ἀκούειν δεήσεως αἰτούντων αὐτόν. μόνον σὺ μὴ ὀλιγωρήσῃς τοῦ αἰτήσασθαι αὐτόν. ἑτοιμότερός σου ὁ Θεὸς πάρεστιν· οὐ χρεία σοι ὁδοιπορείας

Λουκ. ιζ κα. πολλῆς, οὐδὲ πελάγη διατεμεῖν. ἄκουσον αὐτοῦ λέγοντος, Η βασιλεία τῶν οὐρανῶν ἐντός ὑμῶν ἐστιν. οὐ χρεία σοι ἀνδραπόδων πολλῶν καὶ δαπάνης, ἀλλ' ἐπιστραφεὶς στέναξον ἐκ βάθους, καὶ εὐθέως ἵλεων τὸν δεσπότην κατέστησας. ἐπεστράφη ποτὲ Εζεκίας πρὸς τὸν τοῖ-

γ. Βασ. κ. β. χον λέγων, Μνήσθητι, Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετ' ἀληθείας καὶ ἐν καρδίᾳ τελείᾳ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα· καὶ ἔκλαυσεν Εζεκίας κλαυθμῷ μεγάλῳ, καὶ προσθήκην ἐτῶν ἐδέξατο. οὐκ ἐπεστράφη πρὸς τὸν ἐκ λίθων συγκείμενον τοῖχον, ἀλλὰ τὸν ἀπὸ προφητικῆς καὶ ἀποστολικῆς διδασκαλίας ᾠκοδομημένον τοῖχον ἐκεῖνον λέγω, περὶ οὗ ἀπόστο-

α. Κορ. γ. ι. λος καυχᾶται λέγων· Ως σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα. τοῖχον ἐκεῖνον λέγω, ἐφ' ὃν ὁ ἀ-

Ψαλ. ριζ. κβ. κρογωνιαῖος λίθος ἐτέθη, λέγω δὴ ὁ Χριστός· περὶ οὗ εἶπεν ἡ γραφή· Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. τοῖχον ἐκεῖνον λέγω, τὸν ἐκ λίθων ἁγίων

Ζαχ. θ. ιϛ. ᾠκοδομημένον, περὶ οὗ εἶπεν ἡ γραφή· Οτι λίθοι ἅγιοι κυλιασθήσονται. τὸν τοῖχον ἐκεῖνον λέγω, δι' ὃν ὁ τοῦ Θεοῦ ᾠκοδομήθη ναός. τί ποιεῖς, ὦ Εζεκία; τί ἀποστρέφῃ πρὸς τὸν τοῖχον; τὸν ἀκρογωνιαῖον λίθον, φησίν, ὅστις ἐστὶν ὁ Χριστός, ἐκεῖνον ζητῶ, τὸν ζωῆς δοτῆρα, καὶ θανάτου λυτῆρα, ἐκεῖνον ζητῶ, καὶ ἐπ' αὐτὸν καταφεύγω. ὅμως στραφεὶς καὶ μετανοήσας τὴν ζωὴν ἐκαρπώσατο, καὶ ἀπόφασιν Θεοῦ κατ' αὐτοῦ ἐξενεχθεῖσαν ἔφυγε, καὶ δεκαπέντε ἔτη ζωῆς προσέθηκεν αὐτῷ ὁ Θεός, καὶ πολεμίων κύκλῳ περιτειχισαμένων καὶ κυκλωσάντων τὴν πόλιν, ἄγγελος ὑπέρμαχος * * τὸν τύπον ἡγούμενος Σενναχηρεὶμ ζωγρήσας, δι' οὐδὲν ἕτερον, ὡς ἐγὼ νομίζω, ἀλλ' εἰς μετάνοιαν αὐτὸν προσκαλούμενος. ἀμέλει γοῦν οὐδὲν αὐτὸν ὁ Θεὸς μή . . τα, μηδὲ ἀποστραφ . . . τῆς αὐτοῦ κακίας, ἀλλ' . . λικτον τινὰ καὶ δυστυχῆ ὄντα ὑπὸ τῶν δύο υἱῶν αὐτοῦ τοῦτον ἐθανάτωσεν. ὅταν γὰρ προσεδόκησε τὴν πανώλεθρον καὶ ἀπήλατον ἐκφυγεῖν θάνατον, καὶ εἰς τὴν αὐτοῦ ἐπάνελθεν, καὶ τὰ τῆς εἰρήνης

γ. Βασ. ιθ. λζ. αὐτῷ ἐν ἀσφαλείᾳ γενέσθαι, τότε Αδραμελὲχ καὶ Σαρασὰρ, οἱ δύο υἱοὶ αὐτοῦ, σφάζουσιν αὐτόν, καὶ φεύγουσιν ἐπὶ τὰ ὄρη Αραράτ. θεωρεῖς, ἀγαπητέ, πόσον τῷ Εζεκίᾳ συνεβάλετο ἡ ἐξομολόγησις, καὶ πόσον τῷ Σενναχηρεὶμ εἰργάσατο κακὸν τὸ ἐπιμένειν ταῖς ἁμαρτίαις; θέλεις σοι καὶ ἄλλην ὑποδείξω μετανοίας ἀκούσαντες συντελείας οὐρανῶν εὐαγγελισμὸν δεξάμενοι . . . ἐπῶς προσέρχονται, πῶς δυσωποῦνται, πῶς ὀργιζόμενοι τὸν Θεὸν ἀντικαταλλάσσουσιν αὐτὸν ἑαυτοῖς; πῶς ἀπόφασιν Θεοῦ ἔλυσαν; πῶς ὀργὴν Θεοῦ ἀπώσαντο, καὶ φιλανθρωπίαν ἐπεκαλέσαντο; πῶς βάραθρον καὶ κατάπτωμα τὴν πόλιν αὐτὸν τυγχάνουσαν, τείχους αὐτὴν ἰσχυροτέραν ἐποίησαν, καὶ παντὸς ἀδάμαντος στερροτέραν; οὐκ ἐδυσώπησε πορφύρας ἀξίωμα, ἀλλὰ σάκκος· οὐδὲ διάδημα βασιλικὸν καὶ κέρατος, ἀλλὰ σποδὸς μετὰ σάκκου· οὐ χρυσοκόλλητος θρόνος ἐκ λίθων συγκείμενος, ἀλλ' ἐξομολόγησις καὶ σάκκου περιβολή. ὦ σάκκου δύναμις, ὑπερβαλοῦσα καὶ νικῶσα πορφύραν βασιλικήν. ὦ σποδοῦ δύναμις, διαδήματος καὶ θρόνου βασιλικοῦ ἰσχυροτέρα . . γὰρ τὸ διαδήματι ** χαίροντος τοῦ βασιλέως . . ἐν τῇ πορφύρᾳ καὶ τῷ θρόνῳ τυγχάνοντι αὐτῷ τὸ κέρατος, τουτέστι, τὴν ῥάβδον τὴν βασιλικήν, κύκλῳ τῶν στρατοπέδων αὐτῷ παρεστώτων, καὶ δορυφορίας πολλῆς αὐτὸν περιστοιχουμένης, εἰσέρχεται εἰς τὸ μέσον προφήτης γυμνός, κε-

Ιων. γ. δ. κονιαμένος ποσίν, ἱδρῶν τῷ προσώπῳ, καί φησιν, Ετι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. τί ποιεῖς, ὦ προφῆτα; εἰ ὅλως πνεῦμα Θεοῦ ἐν σοί, διατί οὐ γινώσκεις τὸ βούλημα τοῦ Θεοῦ, ὅτι οὐκ ἀποκτεῖναι βουλόμενος ὁ Θεός, ἀλλ' εἰς μετάνοιαν ἐπιμακαλέσασθαι, διὰ τοῦτο ἔδωκε τὴν ἀπόφασιν; οὐδέν μοι, φησιν, εἶπεν ὁ Θεὸς ἕτερον, ἀλλ' ἢ τοῦτο μόνον εἶπεν, ὅτι ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. τί ποιεῖς, ὦ Ιωνᾶ; διατί καὶ διδασκαλίαν ἑτέραν οὐ προστιθεῖς; τί γὰρ ἄλλο ἤκουσεν Ησαΐας παρὰ τοῦ Θεοῦ εἰπεῖν πρὸς τὸν Ισραήλ;

οὐδὲν

οὐδὲν ἕτερον ἢ λόγον ἕνα. ποῖον δὴ τοῦτον; Εἰπὸν, φησὶ, τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ (Ησ. ϛ. θ.)
οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. . . . "τε πόσην ἄλλην διδα-
σκαλίαν καὶ κατήχησιν εἰς αὐτοὺς ἐνήχησε, πόσην προτροπὴν καὶ παράκλησιν καὶ ἔλεγ-
χον; ἔλεγχον μὲν ἐν τῷ λέγειν αὐτὸν, Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην (Ησ. α. γ.)
5 τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκε. ταῦτα ἐλέγχοντος
ἦν· ἄκουσον δὲ καὶ προτρεπομένου αὐτοῦ. Λούσασθε, καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πο- (Ησ. α. ιϛ.)
νηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν. πῶς δὲ πάλιν παρακαλεῖ; Ἐὰν θέλητε, φησὶ, καὶ εἰσ- (Ησ. α. ιθ.)
ακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. καὶ ἕτερα δὲ πλείονα τούτων προσ-
διαλέγεται αὐτοῖς, βιβλίον ὁλόκληρον γράψας μαρτυρίας χάριν. καὶ οὐκ ἔστι μέ-
10 χρι τούτου, ἀλλὰ καὶ μάρτυρας ἐν ἀρχῇ τῆς διδασκαλίας ἐπάγει λέγων· Ἄκουε, οὐρανὲ, καὶ (Ησ. α. β.)
ἐνωτίζου ἡ γῆ, ὅτι Κύριος ἐλάλησε. τί ἐλάλησεν, εἰπὲ πρῶτος, ὦ Ἡσαΐα; Υἱοὺς, φησὶν,
ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. σὺ δὲ οὐδὲν τούτων ἐποίησας, ὦ Ἰωνᾶ, ἀλλὰ τὴν
μὲν καταστροφὴν ** διδασκαλίας ** οὐκ ἐδέξαντο· εἰ καὶ ** τῶν κατήκοοι οὐκ
** το. οὐδὲ εὐαγγέλι . . . τος εὐαγγελίας . . . οὐ βασιλείας ἔρωτα, οὐ κολάσεως φό-
15 βον, ἀλλὰ . . . "νωδὴ τρόπον ἔχοντες καὶ βάρβαρον καὶ ἀπάνθρωπον ἦθος, ἀκούσαντες τὴν
ἀπόφασιν, εὐθέως ἐπὶ μετάνοιαν τρέπονται ἐξομολογούμενοι τὰ πεπραγμένα αὐτοῖς, καὶ
ταῦτα μὴ εἰδότες, εἰ ἀφεθήσεται αὐτοῖς. τί γὰρ ἔλεγον; Τίς οἶδεν, εἰ ἐπιστρέψει ὁ Θεὸς (Ιων. γ. θ.)
καὶ μετανοήσει καὶ σώσει ἡμᾶς; οὐ γὰρ ἴσασι πρὸς ἑτέρους μετανοήσαντας καὶ σωθέντας ἀπο-
βλέψαι· οὐ πρὸς Νινευίτας ἑτέρους· ἀλλ' ἔτι περὶ τῆς σωτηρίας αὐτῶν ἀμφιβάλλοντες,
20 ὅμως μετανοοῦσι. καὶ εὐθέως ὁ βασιλεὺς διάδημα ῥίψας καὶ πορφύραν, σάκκον καὶ σποδὸν
"περιεβάλετο . . . σάκκον καὶ σποδὸν περιβάλλεις;" ἡ δὲ, φησὶ, πολλαῖς περι . . ρημένη
ἁμαρτίαις, "καὶ . . . μὲν ἄξιοι παρακαλέσαι Θεόν. ποίῳ γὰρ προσώπῳ προσελθόντες ἀ-
ξιώσωμεν Θεόν; διὰ" τοῦτο μὴ ἁμαρτήσαντα ὑπὲρ ἡμῶν πρεσβεύειν ἐπείσαμεν. καὶ γὰρ
καὶ ἐπὶ τῶν ἀνθρώπων τοῦτο ἴδοι τις ἂν γινόμενον. ὅταν γάρ τις προσκεκρουκὼς ᾖ τινι τῶν ἐν
25 ὑπεροχῇ ὄντων, οἱ μὴ προσκεκρουκότες ὑπὲρ αὐτῶν ἀξιοῦσιν, ὅπως συγχωρηθῇ αὐτοῖς τὸ
πλημμέλημα. τοῦτο καὶ ἡμεῖς ποιοῦμεν. ἀναπολόγητα ἡμάρτομεν, οὐκ ἐσμὲν ἄξιοι παρα-
καλέσαι περὶ ἑαυτῶν καὶ δυσωπῆσαι Θεόν· καὶ διὰ τοῦτο τὰ κτήνη καὶ τοὺς βόας καὶ τὰ πρό-
βατα προσκυνεῖν καὶ λιτανεύειν Θεὸν ἐπείσαμεν. ὢ μετανοίας ἰσχὺς, ὢ ἐξομολογήσεως
δύναμις. " . . . τὴν πόλιν ἡ μετάνοια, λύσασα τὴν ἀπόφασιν τοῦ Θεοῦ. ἀλλ' ὅμως
30 πρὸς τούτοις ὁ προφήτης ἐπὶ τῇ τῶν Νινευιτῶν σωτηρίᾳ ἀπιστεῖ, καὶ πορευθεὶς ἀπέναντι τῆς πό-
λεως ἐκάθητο, σκοπῶν τί τῇ πόλει ἀποβήσεται· πότερον ἡ ἀπόφασις νικήσει, ἢ ἄρα ἡ με-
τάνοια. καὶ ἦν ὡς ἐν ζυγῷ καὶ ὡς ἐν ῥοπῇ πλάστιγγος κείμενα τὰ ἀμφότερα· ἔνθεν ἡ ἀπό-
φασις, κἀκεῖθεν ἡ μετάνοια· καὶ ἡ μετάνοια νικήσασα τὸν θάνατον, τὴν πόλιν ἀνέστησεν. εἶτα,
ἵνα ἐπιτέμω τὸν λόγον, ἐλυπεῖτο Ἰωνᾶς ὡς ψεύστης μέλλων φαίνεσθαι. τί οὖν αὐτῷ ποιεῖ ὁ
35 πάνσοφος Θεός; κελεύει τῷ ἡλίῳ πυρφόρους ἀκτῖνας ἐπὶ τῆς κεφαλῆς αὐτοῦ βαλεῖν πρὸς
τὸ μὴ φέρειν αὐτὸν τὴν τοῦ ἡλίου θερμότητα. φλεγομένου δὲ αὐτοῦ καὶ ἀποδυσπετοῦντος ἐπὶ
πολὺ, διὰ τῆς νυκτὸς κελεύει ὁ Θεὸς κολοκύνθῃ ἑωθινῇ ἀναβῆναι καὶ σκιάζειν ἐπὶ τῆς κεφα-
λῆς Ἰωνᾶ. ἐνταῦθα ἡδέως ἐροίμην τὸν Ἰουδαῖον, λέγων πρὸς αὐτόν· εἰπέ μοι, ὦ Ἰουδαῖε,
ὁ λέγων, πῶς ἄνευ ἀνδρὸς ἡ παρθένος "ἐγέννησεν, ἡ γῆ ἐν "μιᾷ θυνῇ τὴν κολοκύνθην ἀφ' ἑαυ-
40 τῆς ἐξέφυσε, καὶ πῶς ἐν μιᾷ ῥοπῇ τοῖς φύλλοις ἐκόμα, καὶ τὸν προφήτην ἐσκίαζε· κἀγὼ
σοι λέγω πῶς ἡ παρθένος ἔτεκε, καὶ μετὰ τὸ γεννῆσαι παρθένος πάλιν διέμεινεν. ἀλλὰ μὴ βά-
λωμεν τὰ ἅγια τοῖς κυσίν. ἐκβαλλέσθωσαν τοῦ ἡμετέρου καταλόγου οἱ ἄπιστοι Ἰουδαῖοι.
εἶτα τῆς κολοκύνθης σκιαζούσης αὐτὸν, ἐκέλευσε πάλιν ὁ Θεὸς σκώληκι ἑωθινῇ, καὶ ἐπάταξε
τὴν κολόκυνθαν, καὶ εὐθέως ἐξηράνθη. ὑπὸ νύκτα ἐγένετο, καὶ ὑπὸ νύκτα ἀπώλετο. εἶτα

ξηρανθείσης

ξηρανθείσης τῆς κολοκύνθης, ἀπεδυσπέτει ὁ προφήτης, καὶ ἀπωδύρετο, καὶ ἀπελέγετο τὸ
πνεῦμα αὐτοῦ, λυπούμενος ἐπὶ τῇ κολοκύνθῃ, καὶ ἔλεγε· Καλόν μοι τὸ ἀποθανεῖν μᾶλλον ἢ
ζῆν. πρὸς ὃν ὁ πάνσοφος Θεὸς παραμυθεῖται λέγων· Σφόδρα λελύπησαί σοι ἐπὶ τῇ κο-
λοκύνθῃ; καὶ εἶπεν Ἰωνᾶς, σφόδρα λελύπημαι ἕως θανάτου. καὶ εἶπε Κύριος· σὺ ἐφείσω
ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ' αὐτήν· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ 5
Νινευὴ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους, ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ
ἔγνωσαν δεξιὰν ἢ ἀριστεράν, καὶ κτήνη πολλά; ὃ δὲ λέγει τοιοῦτόν ἐστι· Φιλάνθρωπος, φησίν,
ἐγὼ τυγχάνω, καὶ μὴ βουλόμενος ἀπολέσαι τὰ ἔργα τῶν χειρῶν μου, καὶ τὴν εἰκόνα, ἣν ἀγαπῶν ἐ-
ποίησα. διὰ τοῦτο ἠπείλησα καταστροφὴν καὶ θάνατον, οὐχ ὡς ἀποκτεῖναι βουλόμενος, ἀλλ' εἰς
μετάνοιαν προτρέψασθαι. εἶτα τοσαύτας περιόδους ἐτῶν ἐκδεχόμενος τὴν τούτων ἐπιστροφήν, 10
ἡνίκα δ' ἂν ἐπεστράφησαν, παρελθεῖν ὤφειλον; οὐκ ἔστι παρ' ἐμοὶ τοῦτο, Ἰωνᾶ. σὺ μὲν ὡς ἄν-
θρωπος καταδικάζειν βούλει· ἐγὼ δὲ ὡς Θεὸς τὸ φιλανθρωπεύσασθαι ἔχω. δόξα σοι,
Κύριε, δόξα σοι. πόσος φιλανθρωπίας καὶ ἐλεημοσύνης παρὰ σοὶ πλοῦτος; . . ἀναγη-
τοι διὰ με . . θεωρεῖς, ἀγαπητέ, πόσον ἰσχύει μετάνοια; . . . "ὑπερτιθέμεθα," ἕως
. . . ἐξ ἡμέρας. οὐ γὰρ" οἶ . . ξεται ἡ ἐπιοῦσα. ἡμέρα γὰρ Κυρίου, ὡς κλέπτης 15
ἐν νυκτί, οὕτως ἔρχεται. Δεῦτε οὖν ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ (Ψαλ. ϟδ α.)
τῷ σωτῆρι ἡμῶν· προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. ἄδηλος γάρ ἐστιν
ἡ τοῦ βίου ἔκβασις ἡμῶν, οὐ καιρὸν δεχομένη, οὐ χρόνῳ τεταγμένη ὑφ' ἡμῶν, ἀλλ' ἡνίκα δ' ἂν
κελεύσῃ ὁ δεδωκὼς πᾶσι πνοήν, τότε ἡ ψυχὴ ἀποπτᾶσα ἀπὸ τοῦ σώματος καταλιμπάνει
αὐτὸ ἔρημον. ἕκαστος τοίνυν εἰδὼς τὸ τῆς ἐξόδου ἄδηλον, περιμένωμεν τὸν νυμφίον Χριστόν, 20
πότε ἐπανέλθῃ ἀπὸ τῶν πνευματικῶν γάμων· καὶ κρούσαντος αὐτοῦ τὴν θύραν, ἀνάψωμεν αὐ-
τῷ τὰς λαμπάδας ἡμῶν διὰ πα . . ὁ νυμφίος ἔρχεται, συνεισέλθωμεν αὐτῷ, μήποτε
καὶ ἡμεῖς μετὰ τῶν πέντε μωρῶν παρθένων ἔξω τοῦ νυμφῶνος εὑρεθῶμεν. μὴ ἀπονυστάξωμεν,
ἀγαπητοί, ἀλλ' ἔχωμεν ἀεὶ ἔλαιον ἐν ταῖς λαμπάσιν ἡμῶν. οὐ γὰρ συγχωρήσει ἡμῖν ἐν ἐκεί-
νῃ τῇ ἡμέρᾳ ἀπελθοῦσιν ἔλαιον ἀγοράσαι παρὰ τῶν πωλούντων. ἐνταῦθα γὰρ πωλεῖ- 25
ται, κἀκεῖ ἀναλίσκεται. τίνες δὲ οἱ πωλοῦντες, ἀλλ' ἢ οἱ πένητες; δὸς ἄρτον, καὶ λαμβάνεις
βασιλείαν οὐρανῶν· δὸς ἄρτον, καὶ λαμβάνεις ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ
ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Δεῦτε τοίνυν (α. Κορ. β. θ.)
ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν, προφθάσωμεν τὸ πρό-
σωπον αὐτοῦ ἐν ἐξομολογήσει· ὅτι Ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα τοῦ ἀδήλου βίου ἤγγικεν. 30 (Ρωμ. ιγ. ιβ.)

εἴη δὲ πάντας ἡμᾶς φῶς ἐκ φωτὸς ὑπάρχοντας, ἐν τῷ φωτὶ τῆς δόξης Χριστοῦ τοῦ
σωτῆρος ἡμῶν περιπατῆσαι· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς
αἰῶνας τῶν αἰώνων. Ἀμήν.

35

40

ΛΟΓΟΙ ΤΙΝΕΣ ΤΩΝ ΑΜΦΙΒΑΛΛΟΜΕΝΩΝ, ΟΨΕ ΠΟΤΕ ΕΞ ΑΝΑΤΟΛΗΣ

σχεδὸν ἅπαντες προσενεχθέντες.

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΑΒΡΑΑΜ ΤΟ ΛΕΓΟΝ, Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ εἰς διαφόρους μάρτυρας.

Λογ. ρε. *Γεν. κδ. β.*

Ex Edit. Romana. emend. ex Ms. Oxon.

Ἐθαύμασα μεθ' ὑμῶν, ὦ φιλόχριστοι, τὰ νέα τῆς εὐαγγελικῆς χάριτος διὰ τῆς παλαιᾶς διαθήκης κηρυττόμενα· ἐφωτίσθην μεθ' ὑμῶν τὴν διάνοιαν, θεασάμενος τὸν ἀποστολικὸν χαρακτῆρα ἐν ταῖς προφητικαῖς φωναῖς ἐκλάμποντα. ὁμολογῶ τὸ κέρδος, ἵνα δέξωμαι τὸν μισθόν. εἶδον ξένα μυστήρια τῆς παλαιᾶς κηρυττόμενα· τὸν Ἀβραὰμ ὁρκοῦντα κατὰ τοῦ μηροῦ, καὶ μηρὸν μὲν προβαλλόμενον, τὸν δὲ ποιητὴν οὐρανοῦ καὶ γῆς ἐπιμαρτυρούμενον τῷ λόγῳ. Θὲς γάρ, φησι, τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ὅμοσόν μοι τὸν Θεὸν τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. ἀνακύπτει γὰρ ζήτημα. Εἰ γὰρ διὰ τὸ σπέρμα εἴρηται τὸ μέλλον ἐκ τῶν μηρῶν Ἰακὼβ ἀνθεῖν, κατὰ τό, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, πῶς οὖν κατὰ τοῦ σωτῆρος εὑρεθήσεται ὁ ὅρκος, ἐπειδὴ ὁ Ἰσαὰκ τεχθεὶς ἦν ἤδη, καὶ τὸ σπέρμα προεληλύθει, καὶ ὅτε ὁ ὅρκος ἐγένετο, οὐκ ἦν ἐλπὶς τοῦ σπέρματος ἐν τῷ μηρῷ Ἀβραάμ; Ἀβραὰμ γὰρ εἶχεν ἐν ἑαυτῷ τὸ σπέρμα τὸ σωτήριον, περὶ οὗ φησιν ὁ Παῦλος· Εἴρηται τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ· καὶ ἀναλογιζόμενος τὸ γράμμα, καὶ ἑρμηνεύων φησὶν ἐν τῇ πρὸς Γαλάτας· Οὐκ εἴρηται τοῖς σπέρμασί σου, ὡς ἐπὶ πολλῶν, ἀλλὰ * καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. ἀποδέδεικται τοίνυν ὅτι σπέρμα Ἀβραὰμ ὁ Χριστὸς κατὰ σάρκα, καὶ εἰκότως ὁ ὅρκος ἐγένετο κατὰ τοῦ σπέρματος. ἀλλὰ τὸ ζητούμενον, πῶς ὤμνυε κατὰ τοῦ μηροῦ, ὡς ἤδη τοῦ σωτηρίου αὐτοῖς προελθόντος· ἀλλ' ἐπειδὴ ἅπαξ αὐτὸ τὸ μέλλον ἐρχόμενον ἐγένετο, καὶ ᾤκησέ ποτε ἐκεῖ τὸ θεῖον σπέρμα, ὡς ἐν ναῷ ὀμνύει. ὁ δὲ κατὰ τοῦ ναοῦ ὀμνύων, κατὰ τοῦ ἐνοικήσαντος ὀμνύει. τίς ὁ τούτῳ μαρτυρῶν τῷ λόγῳ; αὐτὸς ὁ σωτὴρ ἡμῶν λέγει τοῖς Φαρισαίοις· Οὐαὶ ὑμῖν Φαρισαῖοι, μωροὶ καὶ τυφλοί, οἱ λέγετε, ἐὰν τις ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν· ἐὰν δέ τις ὀμόσῃ εἰς τὸν χρυσὸν τοῦ ναοῦ, ὀφείλει. καὶ τί εὐθέως; Μωροὶ καὶ τυφλοί· τίς γὰρ μείζων, ὁ χρυσός, ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; διὸ λέγω ὑμῖν· ὁ ὀμόσας ἐν τῷ ναῷ, ὀμνύει ἐν τῷ οἰκήσαντι ἐν αὐτῷ. ὥσπερ γὰρ οἶκος βασιλικός. ἐπειδὴν ἅπαξ δέξηται βασιλέα,

Γεν. μθ. ι. *Γαλ. γ. ιϛ.* *Ματθ. κγ. ιϛ.*

λέα, κἂν δεύτερον, κἂν τρίτον, κἂν ἀποστῇ ὁ βασιλεὺς τῶν οἰκουμένων, ὁ τόπος ἅπαξ ἀ-
φιέρωται τῷ δέξασθαί ποτε βασιλέα· οὕτω καὶ τὰ μέλη τοῦ πατριάρχου, τὰ ἅπαξ ὄργανα
γενέσθαι τῆς μελλούσης οἰκονομίας, ναὸς ἦν τῆς ἐπηγγελμένης εὐεργεσίας· καὶ οὐκ ἄδικος ὁ [κ. δι.]
ὅρκος, ἀλλὰ ἀληθινὴ ἡ μαρτυρία. ὄμνυσι τοίνυν κατὰ τοῦ σπέρματος, καὶ ἑρμηνεύει τί τὸ σπέρ-
μα. Θὲς γάρ τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ὁρκώσω Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς 5
γῆς. οὐκοῦν ὁ σωτὴρ ἡμῶν Θεὸς οὐρανοῦ καὶ γῆς. διὰ τοῦτο καὶ ἐν τῷ Ζαχαρίᾳ τῷ προφήτῃ,
ὅτι διαφορεῖ ἀπ᾽ ἀλλήλων ὁπλασίαι τε ὤφθησαν τῷ ἁγίῳ, ἐγένετο ἕν τι τοῦτο εἰς ὁπλασίας μέρος·

Ζαχ. δ. β. Καὶ ἀνέβλεψα, φησί, τοῖς ὀφθαλμοῖς μου, καὶ εἶδον, καὶ ἰδοὺ λυχνία χρυσῆ ὅλη, καὶ ἑπτὰ
λύχνοι ἐπάνω τῆς λυχνίας, καὶ ἑπτὰ ἐπαρυστρίδες τῶν λύχνων, καὶ ἑπτὰ λαμπάδες, καὶ ἐκ
δεξιῶν τῆς λυχνίας, καὶ ἐξ εὐωνύμων δύο κλάδοι ἐλαιῶν, καὶ εἶπον τῷ ἀγγέλῳ τῷ λαλοῦντι 10
μοι· Κύριε, τί ἐστι ταῦτα; ἐπειδὴ ὄψις ἦν, ἄλλα δεικνύουσα, καὶ ἄλλα εἰς ἑρμηνείαν παρά-
γουσα, καὶ οὐκ αὐτὰ ἦν τὰ φαινόμενα ἑαυτῶν σημαντικά, ἀλλ᾽ ἑτέρων ὑποδεικτικά, ἐρωτᾷ
ὁ προφήτης, Κύριε, τί ἐστι ταῦτα; εἰ τὸ φαινόμενον ἠρώτα, κακῶς ἠρώτα. οὐκ οἶδας τί λυ-
χνία, καὶ τί ἐλαία; ἀλλὰ ζητεῖ ὁ προφήτης, οὐ τὰ φαινόμενα, ἀλλὰ τὰ θεωρούμενα, τί ἐστι
ταῦτα; καὶ ὁ ἄγγελος, οὐκ ἐπιγινώσκεις τί ἐστι ταῦτα; οὐχί, κύριε. εὐγνωμόνως ὁμολογεῖ τὴν 15
ἀμαθίαν καὶ παιδεύεται παρὰ τῆς ἀληθείας. ἀδελφὸς καὶ οὗτος τοῦ εὐνούχου τοῦ ἀκούοντος

Πραξ. η. λ. παρὰ Φιλίππου, Ἆρα γινώσκεις ἃ ἀναγινώσκεις; ὁ δὲ εὐγνωμόνως, πῶς γάρ, ἐὰν μή τις ὁ-
δηγήσῃ με; οὐ γινώσκεις τί ἐστι ταῦτα; ὁ δέ φησιν, οὐχί κύριε. τίνες εἰσὶν οἱ δύο κλάδοι τῶν
ἐλαιῶν οἱ ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων τοῦ λαμπαδίου; οὗτοί εἰσι, λέγει, τὰς ἐλαίας ἑρμηνεύ-
ων. ἑρμηνεύει σὺν ταῖς ἐλαίαις, καὶ τὴν λυχνίαν τί ἐστι. πρόσεχε ἀκριβῶς. ἡ λυχνία 20
ἑστήκει, οἱ κλάδοι παρεστήκεισαν τῇ λυχνίᾳ. ὁ δὲ ἄγγελος ἑρμηνεύων, οὐ δείκνυσι τὰς ἐλαίας
λυχνίᾳ παρεστώσας, ἀλλὰ Θεῷ, ὡς εἶναι τὴν λυχνίαν τύπον Θεοῦ· μᾶλλον δὲ τοῦ σωτῆρος ἡ-
μῶν, καὶ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας. οὐ γινώσκεις τί ἐστι ταῦτα; οὐχί, κύριε. λέγει· Οὗτοι
οἱ κλάδοι οἱ δύο εἰσὶν οἱ δύο υἱοὶ τῆς πιότητος, οἳ παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς γῆς·
οὐ τῇ λυχνίᾳ κατὰ τὸ φαινόμενον, ἀλλὰ τῷ Κυρίῳ πάσης τῆς γῆς. ἑπτάφωτον εἰσάγει λυ- 25
χνίαν διὰ τὴν τοῦ Κυρίου ἔνσαρκον οἰκονομίαν. λυχνία γάρ ἦν ἀληθὴς ἡ σὰρξ ἡ δεσποτική,

Ησ. ια. α. ἡ τοῦ ἁγίου πνεύματος τὰς ἐλλάμψεις ἑπταπλασίονι χάριτι δείξασα. Ἐξελεύσεται γὰρ
ῥάβδος, φησὶν Ἡσαΐας, ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται. καὶ ἐπαναπαύσε-
ται ἐπ᾽ αὐτὸν πνεῦμα Θεοῦ. ποῖον; τὸ πολυμερὲς ταῖς ἐνεργείαις, καὶ πολὺ τῇ φύσει. ἐπανα-
παύσεται πνεῦμα Θεοῦ. ἐνταῦθα τὴν οὐσίαν ἑρμηνεύει, αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον· τὸ δὲ 30
ἐπαγόμενον τὰς ἐνεργείας τοῦ πνεύματος λέγει· πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως,
πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ. τὰς ἑπτὰ
χάριτας τοῦ ἁγίου πνεύματος, τὰς ἑπτὰ ἀναπαυσαμένας τῷ σώματι τῷ δεσποτικῷ ἐκεῖνα
σχηματίζει ἐν τύπῳ ἑπτὰ λύχνων. διὰ τί δὲ ἑπτὰ λύχνοι; διὰ τὸ φωτεινὸν τῆς ἐνεργείας

Ζαχ. δ. ι. τοῦ ἁγίου πνεύματος. ἐπειδὴ ὑποβὰς φησίν· Οὗτοί εἰσιν οἱ ἑπτὰ ὀφθαλμοὶ Κυρίου, οἱ 35
ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. ὁρᾷς αὐτὴν καθ᾽ ἑαυτὴν σαφηνίζουσαν τὴν ἀλή-
θειαν, καὶ οὐ δεομένην λογισμῶν ἀνθρωπίνων; ἀλλ᾽ αὐτοὶ παρεστήκασι τῷ Κυρίῳ πάσης τῆς
γῆς. ὁ Ζαχαρίας Κύριον καλεῖ τὸν σωτῆρα πάσης τῆς γῆς κατὰ τὴν ἔνσαρκον οἰκονομίαν.

Πραξ. ι λη. λϛ. Πέτρος διαλεγόμενος Κορνηλίῳ, ἡ κορυφὴ τῶν ἀποστόλων, λέγει· Ἡμεῖς οἴδαμεν τὸ ῥῆμα
τὸ γενόμενον ἐπὶ τῆς Ἰουδαίας, Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ, ὃν ἔχρισεν ὁ Θεὸς πνεύματι ἁγίῳ. 40
καὶ πάλιν ὁ αὐτός· Τὸ ῥῆμα τὸ γενόμενον ἐν ὅλῃ τῇ Ἰουδαίᾳ, καὶ τὸν λόγον, ὃν ἀπέστει-
λεν ὁ Θεὸς εὐαγγελιζόμενος εἰρήνην τοῖς υἱοῖς Ἰσραήλ· οὗτός ἐστι πάντων Κύριος. ὁ προ-
φήτης Κύριον τῆς γῆς, ὁ δὲ εὐαγγελιστὴς Πέτρος Κύριον λέγει τῶν πάντων. οὗτός ἐστι πάντων Κύ-
ριος, πάντων καὶ τῶν ἐν οὐρανῷ, καὶ τῶν ἐπὶ γῆς, καὶ τῶν ὑπὸ τὴν γῆν, καὶ τῶν ὁρωμένων, καὶ

τῶν

τῶν ἀοράτων· ἐπεὶ ἐπὶ πάντων Κύριος. ὅθεν καὶ (σύμφωνα φθέγγεται) Ἰωάννης λέγων· Ὁ ἄνω- [Ἰωαν. γ. λα.]
θεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν. ἀναγκαῖον δὲ ζητῆσαι ἀκριβῶς καὶ λῦσαι τὴν αἱρετικὴν
συνηγορίαν· ἐπειδὴ τῇ λέξει τῇ ἀποστολικῇ κακῶς ἀκολουθήσαντες, οὐ νοήσαντες εὐσεβῶς,
ἀλλὰ παραγραψάμενοι δυσσεβῶς αἱρετικῶν παῖδες οἴονται, ὅτι μισθὸν τοῦ σταυροῦ ἔλαβε τὸ
5 γενέσθαι ὑπεράνω πάντων, καὶ διὰ τὸ παθεῖν, καὶ διὰ τὸ ὑπομεῖναι σταυρὸν ὁ Θεὸς αὐτὸν
ὑπερύψωσεν. ἀκολουθοῦσι τῇ φωνῇ τοῦ ἀποστόλου, μὴ νοήσαντες τὴν δύναμιν· καὶ ἠκολού-
θησαν μὲν τῇ λέξει, τὴν θεωρίαν μὴ βασανίσαντες. ἔχει δὲ οὕτως. Ἐταπείνωσεν ἑαυτὸν μέ- [Φιλ. β. η.]
χρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε· διὰ τὸ πάθος, ὡς μισθὸν
τοῦ πάθους δεδωκὼς αὐτῷ τὴν ὕψωσιν, πάντως λέγεις, αἱρετικέ. καὶ ἔδωκεν αὐτῷ ὄνομα ὑπὲρ [Φιλ. β. θ. ι.]
10 πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων.
ὁρᾷς, φησι, μετὰ τὸν σταυρὸν ὑψώθη, ὁρᾷς, φησι, μετὰ τὸ πάθος μισθὸν ἔλαβε τὴν ὕψωσιν. εἰ
τοίνυν μετὰ τὸν σταυρὸν ὑψώθη, ὡς ὑμεῖς φατε, διὰ τί ὁ Βαπτιστὴς Ἰωάννης πρὸ τοῦ πάθους,
πρὸ τοῦ σταυροῦ ἔλεγεν· Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν, οὐχί, γενήσεται; διὸ καὶ Ἰουδαί- [Ἰωαν. γ. λα.]
οις διαλεγόμενος ὁ Ἰησοῦς ἔλεγεν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι [Ἰωαν. η. νη.]
15 ἐγὼ εἰμι. ἔστι γὰρ ἀεὶ, καὶ ἦν, καὶ ἔσται, καὶ πέρας οὐκ ἔχει· δεῖ δὲ ἡμᾶς, ἀδελφοὶ, τὴν ὀ-
φειλὴν ἀποδοῦναι, καὶ μὴ προφάσει τῶν παρεκβάσεων ἀφίεσθαι τὰς ὑποσχέ-
σεις. κηρυττέσθω Χριστοῦ δόξα, καὶ πατρὸς ὕψος· κηρυττέσθω πνεῦμα ἅγιον· ὑψούσθω
μονογενής, δοξαζέσθω ὁ πατήρ. μηδεὶς διαστρέφεσθαι τὴν ἀξίαν νομιζέτω, εἰ πνεύμα-
τος πρώτου μνημονεύομεν, εἶτα υἱοῦ, εἶτα πατρός· ἢ υἱοῦ πρῶτον, εἶτα πατρός. οὐ
20 γὰρ ἔχει τάξιν, οὐχ ὡς ἄτακτος, ἀλλ' ὡς τάξιν ὑπερβαίνουσα. ὥσπερ γὰρ οὐκ ἔστι σχῆμα ὁ
Θεός, οὐχ ὡς ἀσχήμων, ἀλλ' ὡς ἀσχημάτιστος· καὶ ὥσπερ οὐκ ἔχει μορφὴν Θεός, οὐχ ὡς ἄ-
μορφος, ἀλλ' ὡς ἀσώματος· οὕτως οὐκ ἔχει τάξιν ἡ θεία φύσις, οὐχ ὡς ἄτακτος, ἀλλ' ὡς τά-
ξιν ὑπερβαίνουσα. λέγω πατέρα πρῶτον, οὐ τῇ τάξει πρῶτον, ἀλλὰ τῇ ἐννοίᾳ, ἐπειδὴ γεν-
νήτωρ τοῦ μονογενοῦς, ἐπειδὴ ἡ ῥίζα τοῦ ἁγίου καρποῦ, ἐπειδὴ φῶς ἀΐδιον ἀϊδίου φωτὸς γέννημα.
25 ἆρα, ἀδελφέ μου, εἴ τις τῶν καθ' ἡμᾶς ἐπιχειρήσει σήμερον ἐν ἐκκλησίᾳ, ἐν λαῷ ὀρθο-
δόξῳ, ἐν λαῷ πεπληρωμένῳ πάσης ὀρθῆς γνώσεως προτάξαι τὸν υἱὸν τοῦ πατρός, οὐκ ἐβλα-
σφήμησε παρὰ αὐτῶν τῶν ὀρθοδόξων; ἆρα εἴ τις ἐτόλμησεν εἰπεῖν ἐν ἐκκλησίᾳ, ὁ Χριστὸς
ὑμᾶς εὐλογήσει, καὶ ὁ πατὴρ αὐτοῦ, οὐχ ὡς ἄτακτος ἐνομίζετο, ὅτι μὴ προέταξε τὴν ῥί-
ζαν, καὶ τότε ἐπήγαγε τὸν καρπόν; ἆρα εἴ τις εἶπεν, ὁ υἱὸς ἡμᾶς σώσει καὶ ὁ πατήρ, οὐ σύγ-
30 χυσιν ἐνομίζετο ἐργάζεσθαι, καὶ παραβαίνειν τὴν τάξιν; ἀλλὰ ταῦτα οὕτως ἐνομίσθη
παρὰ ἀγνώμοσι κριταῖς· παρὰ δὲ ἀληθείᾳ δικαζούσῃ, καὶ ἀποστολικῇ ψήφῳ τὴν νίκην φερούσῃ
ἀδιάφορον καὶ υἱοῦ πρῶτον μνησθῆναι, καὶ πατρός, καὶ πνεύματος. ἄκουε Παύλου τοῦ μεγάλου
κήρυκος Θεσσαλονικεῦσι γράφοντος, ὅς λέγει· Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός, καὶ [Θεσ. α. ιγ.]
ὁ Θεὸς ὁ πατὴρ ἡμῶν ἁγιάσει ὑμᾶς. πρῶτον υἱός, καὶ λαμπάδος ἁγίας πεπληρωμένη ψυχή;
35 ὅτι οὐκ ἔνι τάξις ἐν τῇ ἁγίᾳ φύσει. ἀλλ' ὅπερ ἂν πρῶτον θῇς, ὁμότιμον νοεῖται, καὶ τὸ δεύτε-
ρον οὐκ ἐλαττοῦται, καὶ τὸ τρίτον οὐχ ὑβρίζεται· ἀδιαφόρως προφέρει τὰ ὀνόματα, ἐπειδὴ οἶδε
τὴν φύσιν ἀμέριστον, καὶ τὴν βασιλείαν ἄτμητον. ἐρωτήσωμεν δὲ τὸν ἅγιον Παῦλον, πόθεν
εἴληφε τὰς ἀφορμὰς τοῦ οὕτω θεολογεῖν, ἢ οὕτω δοξολογεῖν, ἢ προτάσσειν τὸν υἱὸν τοῦ πα-
τρός, οὐ τάξει, οὐ δυνάμει, ἀλλὰ τῇ λέξει; διὰ τί πρῶτον υἱοῦ ἐμνήσθη, καὶ οὕτω πατρός; λε-
40 γέτω Παῦλος ἑαυτῷ συνηγορῶν, καὶ τὴν ἐκκλησίαν παιδεύων, οὐδὲν ἐξ ἐμαυτοῦ φθέγγο-
μαι, Χριστὸς δι' ἐμοῦ τὰ δόγματα ὑπαγορεύει, λέγων· Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λα- [β. Κορ. ιγ. γ.]
λοῦντος Χριστοῦ· ὁ Χριστὸς λαλεῖ δι' ἐμοῦ, μὴ κατηγόρει τῆς φωνῆς τῆς δεσποτικῆς, μὴ ἐπι-
λαμβάνου. ἀλλ' οὐ δύνῃ νοῆσαι Χριστὸν δι' ἐμοῦ λαλοῦντα; ἄκουε αὐτοῦ γυμνῶς δι' ἑαυτοῦ
φθεγγομένου. εἰ γὰρ τάξει ὑπέκειτο τὰ ὀνόματα τῆς ἁγίας τριάδος, καὶ τὸ μὲν πρῶτον

λεγόμενοι πρῶτον ἦν τῇ δυνάμει, τὸ δὲ δεύτερον δεύτερον τῇ τάξει, καὶ τὸ τρίτον τρίτον τῇ ἐλαττώσει, οὐκ ἂν ὁ σωτὴρ αὐτὸς ἀλήθεια ὢν συνέχεε τὸν τῆς ἀληθείας λόγον. καὶ ποῦ ὁ σωτὴρ ἑαυτοῦ πρῶτον ἐμνημόνευσε, καὶ εἶτα πατρός; Ἐάν τις, φησί, τὰς ἐντολάς μου τηρῇ, ἐγὼ καὶ ὁ πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. (Ἰωαν. ιδ. κγ.) ἐπὶ τῇ τάξει ὑπερέβη, λέγουσιν αἱρετικῶν παῖδες, καὶ ὥσπερ ἐπίτροπόν τινα βασιλέως βούλονται εἶναι τὸν υἱὸν τῷ πατρί, ἐρωτάσθωσαν, εἰ ἐτόλμησεν εἰπεῖν ἐπίτροπος περὶ βασιλέως, ὅτι ἐγὼ καὶ ὁ βασιλεὺς διατασσόμεθα. ἐκ τῶν καθ' ἡμᾶς νόει τὰ ὑπὲρ ἡμᾶς. ἆρα κτιστὴ φύσις ἑαυτὴν προέταττε τῆς ἀκτίστου; κτιστὴ φύσις, ὡς ὑμεῖς λέγετε, ἐτόλμησεν εἰπεῖν, συναριθμοῦσα ἑαυτὴν τῇ ἀσυγκρίτῳ ὑπεροχῇ, ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα. διὰ μὲν γὰρ τοῦ, ἐγὼ καὶ ὁ πατήρ, τὸ διάφορον τῶν ὀνομάτων ἔδειξε· διὰ δὲ τοῦ, ἐλευσόμεθα, καὶ μονὴν ποιησόμεθα, τὸ ὁμότιμον τῆς ἐνεργείας ἔδειξεν. οὕτω καὶ ἐν ἑτέρῳ χωρίῳ Φιλίππου τοῦ ἀποστόλου λέγοντος, Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν, ἀποκρίνεται ὁ σωτήρ· (Ἰωαν. ιδ. η.) Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ἐναντία ἡ ἀπόκρισις τῇ ἐρωτήσει. μὴ γὰρ περὶ σοῦ ἠρώτησα; εἶπον, δεῖξον ἡμῖν τὸν πατέρα· ὁ δὲ λέγει, τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με; εἰ ἀνόμοιος, δι' ἀνομοίου πῶς δείκνυται; πῶς διὰ τοῦ μικροῦ ὁ μέγας ὁρᾶται; πῶς διὰ τοῦ ἐλαττωμένου ὁ τῇ ἀξίᾳ ὑπερέχων; πῶς διὰ τοῦ ὑπουργοῦ ὁ δημιουργός; τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι· καὶ οὐκ εἶπε, μεθ' ὑμῶν ἐστιν ὁ πατήρ, ἀλλ', εἰμί· ἐμοῦ γὰρ ὄντος, ὁ πατήρ ἐστι. τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με; καλῶς τὸ, οὐκ ἔγνωκάς με; ἐκεῖνος λέγει, δεῖξον· ὁ δὲ σωτήρ, οὐκ ἔγνωκάς με; βουλόμενος δεῖξαι, ὅτι θεοῦ οὐκ ὄψις, ἀλλὰ γνῶσις περιΐστησιν. οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρί; πάλιν τὸ, ἐγὼ, καὶ τότε ὁ πατήρ. ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί. πῶς οὖν σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα; ἀντὶ τοῦ, πῶς ὡς ἕτερον ἰδεῖν προσεκήσας; ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ γνωρίζεται υἱὸς διὰ πατρὸς, καὶ πατὴρ διὰ υἱοῦ. πῶς σὺ λέγεις, δεῖξον ἡμῖν, ὡς ἄλλον παρ' ἐμὲ ζητῶν ἰδεῖν τὸν πατέρα; ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· οὐχ ὡς τῆς φύσεως συγκεχυμένης, οὐδὲ ὡς φιάλης ἐν φιάλῃ ἀποκειμένης. ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· οὐ σωμάτων λέγει συνθήκην, ἀλλὰ νοημάτων θεωρίαν. ἐγὼ ἐν τῷ πατρί, πατὴρ γὰρ ἄνευ υἱοῦ οὐ γνωρίζεται· καὶ ὁ πατὴρ ἐν ἐμοί, υἱὸς γὰρ ἄνευ πατρὸς οὐ φαίνεται, ὥσπερ ὁ νοῦς ἐν τῷ λόγῳ, καὶ ὁ λόγος ἐν τῷ νῷ θεωρεῖται. πόθεν δύναμαι τὴν ἔννοιάν σου εἰδέναι, ἢ δι' ὧν φθέγγῃ; παρίστα σοι ὁ λόγος τὸν νοῦν· ὁ νοῦς ὁ σὸς πάλιν ἑρμηνεύει σου τὸν λόγον. ἔστιν ἰδεῖν λόγον μὴ τὴν ἔννοιαν καταμαθόντα; οὔτε τὴν ἔννοιαν καταλαβεῖν, μὴ τοῦ λόγου ἑρμηνεύοντος. διὰ τοῦτο ὁ εὐαγγελιστής, (Ἰωαν. α. α.) Ἐν ἀρχῇ ἦν ὁ λόγος, ἵνα τὸ ἀπαθὲς τῆς γεννήσεως δείξῃ. ὥσπερ ἐστὶν ὁ λόγος παρὰ τοῦ νοῦ, οὕτω ὁ μονογενὴς Θεὸς λόγος πρὸς τὸν πατέρα. καὶ τὸ θαυμαστὸν (ἐπαναλήψομαι γὰρ ἵνα τῶν προειρημένων) πρῶτον ἡμῖν ἦν ὁ λόγος, ὅτι ἐκ τῶν καθ' ἡμᾶς τὰ ὑπὲρ ἡμᾶς μαθήσεις εἰπεῖν. ὁ λόγος ὁ ἡμέτερος ἔσω μετὰ τοῦ γεννήσαντος αὐτὸν ἐστὶ νοῦ. μὴ ὁρατός ἐστι μετὰ ὁρατοῦ; ἀόρατός ἐστι μετὰ ἀοράτου, νοητὸς μετὰ νοητοῦ, ἀσώματος μετὰ ἀσωμάτου. ὅταν δὲ μέλλῃ προέρχεσθαι ὁ λόγος, χωρεῖ ἐπὶ τὸ στόμα, κἀκεῖθεν αὐτῷ ἐνδύεται φωνήν, οὐχ ἑτέρας αὐτῷ φύσεως τὴν φωνὴν παρεχούσης, ἀλλ' αὐτοῦ τοῦ λόγου ἑαυτῷ τὴν λέξιν ὑφαίνοντος. καὶ ἀόρατος τὴν φύσιν μετὰ τοῦ πατρὸς ὤν, τοῦ νοῦ λέγω, τὴν φωνὴν ἐνδυσάμενος προέρχεται, καὶ γίνεται πᾶσι δῆλος ὁ πρὸ τούτου ἄδηλος· εἶτα προελθὼν καὶ πάντα πληροῖ, καὶ τοῦ γεννήσαντος αὐτὸν νοῦ οὐκ ἀφίσταται. τίς γὰρ ἀνθρώπων, ἐπειδὰν λαλήσῃ λόγον καὶ ἄλλοις διδάξῃ, ἑαυτὸν κενοῖ τοῦ λόγου; ἆρα ἐὰν ἐν φθέγξομαι, καὶ προέλθῃ εἰς ἄλλων ἀκοάς, τὸν ἐμὸν νοῦν ἔρημον κατέλιπον; ἆρα οὐ προῆλθεν ἔξω ὁ λόγος, καὶ ἔμεινεν ἔσω; οὐ μυρίας ἀκοὰς ἐπλήρωσε, καὶ τοῦ γεννήσαντος νοῦ οὐκ ἀνεχώρησεν; εἶτα ὁ μὲν ἀνθρώπινος λόγος παρὰ τοῦ γεννήσαντος νοῦ ἀποστελλόμενος, καὶ ἔξω προέρχεται, καὶ τὸν γεννήσαντα οὐ καταλιμπάνει·

πάνει ὁ δὲ Θεὸς λόγος, ἐπειδὴ δι' ἡμᾶς ἐφάνη εἰς τὸν κόσμον, τοὺς πατρῴους κόλπους ἐρήμους κατέ-
λιπεν; οὐδαμῶς· ἀλλὰ καὶ τὸ θαυμαστὸν, μυριάδες ἀκούουσιν ἑνὸς αὐτοῦ τοῦ Θεοῦ λόγου, καὶ εἰς
τοσούτους χωρῶν οὐ μερίζεται, ἀλλ' ὅλος ἐστὶ μεθ' ἑκάστου ἡμῶν τῶν ἀκουόντων, ὅλος μετὰ πάν-
των. καὶ εἰ ὁ πατὴρ ἐγέννησε κατὰ ῥεῦσιν καὶ τμῆσιν, καὶ ἐμερίσθη, καὶ διῃρέθη, ὡς λέγουσι, λεγέ-
5 τω πρὸς αὐτοὺς ὁ σωτήρ· Ἐρευνᾶτε τὰς γραφάς. ἐρευνᾶτε, μὴ παραφθείρετε· ἐρευνᾶτε, μὴ (Ἰωαν. ε. λθ.)
ἁπλῶς ἀναγινώσκοντες, ἀλλὰ τὸ βάθος τῶν νοημάτων ἐξιχνιάζοντες. ὁ Θεὸς τὰς γραφὰς
ἔδωκε, τὰς δὲ θεωρίας οὐκ ἐγύμνωσεν, ἀλλὰ κατέλιπε τῷ δρόμῳ τῷ σῷ, ἵνα σὺ τὴν ἀγνωμο-
σύνην πειράσῃ, καὶ τὴν σπουδὴν ἴδῃ, ἵνα ἴδῃς εἰ δουλεύεις γραφαῖς, ἢ βιάζῃ γρα-
φαῖς. ὥσπερ γὰρ τὴν φύσιν τῶν πραγμάτων προέθηκεν ὁ Θεὸς, τὰς δὲ τέχνας ἔκρυψε· καὶ
10 πάντα μὲν προεβλήθη ὑπὸ τοῦ Θεοῦ, τέχνη δὲ ἐξ ἀνθρωπίνης ἐννοίας ἀπετέχθη· οὕτω καὶ
ἐπὶ τῶν γραφῶν. ἀλλ' ἵνα σαφηνίσω, ἔδωκεν ὁ Θεὸς λίθους, ἔδωκεν ὁ Θεὸς λίθων φύσιν,
οὐκ οἰκοδομὴν ἕτοιμον, ἔδωκε σῖτον, οὐκ ἄρτον, ἔδωκε βότρυν, οὐκ οἶνον, ἔδωκε τὴν τῶν ἐ-
ρίων φύσιν, οὐχ ἱμάτιον, ἔδωκε γῆν γεωργοῦσαν χρυσὸν, ἀλλ' οὐ χρυσόν. διὰ τί; ἐπειδὴ ἐν εἰ-
κόνι Θεοῦ ποιεῖ τὸν ἄνθρωπον, μερίζεται τὴν δημιουργίαν. αὐτὸς κτίζει, κἀκείνου
15 τῇ τέχνῃ ῥυθμίζει τὴν δημιουργίαν. ἐπειδὴ κατ' εἰκόνα ἑαυτοῦ ποιεῖ τὸν ἄνθρωπον, με-
ρίζεται πρὸς αὐτὸν τῶν γινομένων τὴν αὐθεντίαν. αὐτὸς ἐργάζεται ὡς δημιουργὸς, καὶ
ὡς Θεὸς, ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τὰ πάντα παραγαγὼν, αὐτὸς ἐπάγει τὴν φύσιν
τὴν μὴ οὖσαν· παραχωρεῖ δὲ τῇ εἰκόνι κοσμεῖν τὰ γεγενημένα. ἐννόησον τίς ἦν ὁ ἄν-
θρωπος ὁ πρῶτον ἄροτρον πηξάμενος, πῶς ἐνενόησε τέμνειν ξύλον, περιεμβαλεῖν μέσον σιδή-
20 ρου, τῇ ἁρμονίᾳ σφίγξαι, ζυγὸν ἐπινοῆσαι, ῥυθμὸν εὐθῦναι, βόας συναγαγεῖν. ξύλον
ἦν, σίδηρον ἦν, ἀλλ' ἡ τέχνη οὐ παρῆν. τίς σοι εἶπεν, ἄνθρωπε, ὅτι ἄροτρον οὕτω πή-
γνυται; τίς ὑπέβαλέ σοι τὴν ἀδάμαστον φύσιν τοῦ σιδήρου πυρὶ μαλάττειν; τίς ὑπέδειξέ
σοι ἐκ τοσαύτης παχύτητος ῥαφίδα μικρὰν ἐργάσασθαι; τίς ἐπενόησεν ἐν τῇ διανοίᾳ ἐκ
λίθων κατασκευάσαι θυρῶν κατασκευήν; ὀρόφων ἐπίνοιαν πόθεν ἔμαθες, εἰπέ μοι, ἄν-
25 θρωπε; πολὺ, φησιν, * ἀπείρως ξενίζῃ. εἰκόνα Θεοῦ ὁρᾷς, καὶ ἐρωτᾷς μανθάνειν; διὰ
τοῦτο, ἀδελφὲ, πανταχοῦ ἡ ἀνθρωπίνη φύσις, τὸν ἑαυτῆς δεσπότην μιμουμένη, τῇ τέχνῃ
τὴν φύσιν κοσμεῖ. ἀλλ' ἕως μὲν τῷ μέτρῳ μιμεῖται, καλή· ἐκβαίνουσα δὲ τὰ μέτρα, ἐκ
τῆς ἀμετρίας ὑβρίζεται. οἶδ' ἐπενόησε πῶς ὑποτάξει βοῦν καὶ ἵππον καὶ κάμηλον, καὶ ὅσα
τῶν ἀλόγων εἰς ὑπηρεσίαν ἐδόθη· ἀπὸ δὲ πλεονεξίας ἐπενόησε μῖξαι τὰ παρὰ φύσιν. ἔ-
30 μιξεν ὄνον ἵππῳ, τοῦ Θεοῦ τοῦτο μὴ θελήσαντος, ἀλλ' ἀπ' ἀρχῆς εἰρηκότος, Ἐξαγαγέτω ἡ (Γεν. α. κδ.)
γῆ τετράποδα καὶ ἑρπετὰ κατὰ γένος· ἡ πλεονεξία ἔμιξε τὰ παρὰ φύσιν. ὁ Θεὸς κολάζων τὴν
ἀμετρίαν, ἄγονον ἐποίησε τὴν ἐπίνοιαν. ὅθεν ἡμίονος οὐ τίκτει· διότι οὐκ ἔστιν ἐξ ἐκείνων
τῶν τότε γενομένων, τῶν ἀκουσάντων, Αὐξάνεσθε, καὶ πληρώσατε τὴν γῆν. ὅμως καὶ πρὶν (Γεν. α. κη.)
ποιήσῃ, συγχωρεῖ τῇ εἰκόνι ἃ βούλεται· ἵνα τὴν δύναμιν αὐτῆς δείξῃ, καὶ τὴν ἀμετρίαν
35 αὐτῆς κολάσῃ. πάλιν ἡ ἀμετρία τῆς ἐπιθυμίας ἐπεβάλετο ποιῆσαι ἀνθρώπου μορφὴν,
μιμουμένη'' φύσιν Θεὸν ἐργαζόμενον, καὶ ποιεῖ σώματος εἰκόνα, καὶ βιάζεται τῇ τέχνῃ τὴν
φύσιν. καὶ ἐπειδὴ ἤκουσεν, ὅτι ὁ Θεὸς ἀπὸ γῆς ἐποίησε τὸν ἄνθρωπον καὶ ἔπλασεν, ἀποροῦσα ἡ
τέχνη μιμήσασθαι τὸν ἑαυτῆς δεσπότην κατὰ τὴν ἀλήθειαν, ταῖς ἐπινοίαις πορίζεται τὸ ἀ-
μήχανον· καὶ συνάγει ῥίζας, καὶ κιρνᾷ τὰ χρώματα, καὶ μιμεῖται ὀφθαλμὸν βλέποντα, καὶ μὴ
40 βλέποντα ἀνεῳγμένον, ἀκοὴν ἀναπεπταμένην, ἀλλ' οὐκ ἀκούουσαν, ῥῖνας ἐπ' εὐθείας ἐπι-
τεταμένας, ἀλλὰ πνοὴν ἕλκειν μὴ δυναμένας, στόμα διατετυπωμένον, ἀλλὰ τῆς φωνῆς
ἐστερημένον, πόδας καλῶς ἐρρυθμισμένους, ἀλλὰ πρὸς δρόμον οὐκ ἔχοντας ἐπιτηδειότητα·
ἵνα δείξῃ ὅτι συνεχώρησε τῇ εἰκόνι, ἵνα δειχθῇ ἡ τοῦ Θεοῦ ἐνέργεια· πάντων δὲ ἅψασθαι οὐ
συνεχώρησεν, ἵνα μὴ εἰσελθοῦσα εἰς ἀλαζονείαν, ἑαυτῆς ἀπογνῷ καὶ τῆς ἑαυτῆς σωτηρίας.

ὅμως συνεχώρησεν ἀπὸ γῆς ζωγράφοις ποιεῖν, ἵνα ἐντρέπῃ τοὺς ἀρνουμένους, ὅτι ἀπὸ γῆς
ἔπλασεν ὁ Θεὸς ἄνθρωπον. ἀλλ' ἡ τέχνη ἐμιμήσατο τὸν δημιουργόν· εἶδε σῶμα κατα-
τμηθὲν σιδήρῳ. οἶδεν, ἀπεκόπη τῷ σιδήρῳ μέρος τι τῆς σαρκός· δεῖ ἀναπληρωθῆναι τὸ κοι-
λανθέν, δεῖ οἰκοδομηθῆναι τὴν βρωθεῖσαν σάρκα· δημιουργὸς οὐκ ἔστιν, ἵνα σάρκας πλάσῃ. τί
οὖν; ἡ τέχνη τῆς εἰκόνος τὴν φύσιν τοῦ δεσπότου μιμουμένη, ἔδραμεν ἐπὶ τὴν γῆν, ἐξ ἧς τὸ σῶ- 5
μα, κατασκευάζει φάρμακα, ποιεῖ τὰς ἐμπλάστρους, καὶ ἡ μὲν καθαίρει, ἡ δὲ οἰκοδομεῖ. καὶ
ὅρα τὸ θαυμαστόν. ὁ Θεὸς κάθηται, ὥσπερ πατὴρ καὶ παιδευτής, ὁρῶν τῆς ἑαυτοῦ εἰκόνος τὰ ἔργα.
καὶ ὥσπερ πατὴρ ἐρωτᾷ τὸν υἱόν, τόδε τὸ νόημα τί βούλεται, οὐχ ἵνα μάθῃ, ἀλλ' ἵνα δοκιμάσῃ· οὕτως
ἀεὶ ἡ πηγὴ τῶν ἀγαθῶν τὴν ἑαυτῆς εἰκόνα παιδεύουσα προσάγει αὐτῇ ζητήματα. προσ-
ήγαγε τῷ Ἀδὰμ τὰ ζῶα τὰ ἄλογα, τὰ πετεινά, ἰδεῖν τί καλεῖ αὐτά· οὐχ ἵνα μάθῃ ὁ 10
πάντα προειδώς, ἀλλ' ἵνα δοκιμάσῃ τὴν εἰκόνα, εἰ ἐπιτηδεία πρὸς κατανόησιν. εἰσ-
ῆλθεν οἰκοδομική, ἦλθε τεκτονική, ναυτική, χαλκευτική, κατανόησις ἄστρων, οὐχ ἡ περίεργος,
ἀλλ' ἡ τὴν θέσιν ὁρῶσα, ἡ τοῖς πλέουσιν ἐπιτηδεία, ἡ παρατηρουμένη ἄστρων ἀνατολάς, καὶ
τὸν καιρὸν τῆς εὐπλοίας γνωρίζουσα, οὐχὶ γενέσεις πλάττουσα, καὶ εἱμαρμένην μυθολογοῦσα,
ἀλλ' ἡ ἀκολουθοῦσα τῇ φωνῇ τοῦ δεσπότου· Ποιήσωμεν φωστῆρας ἐν τῷ οὐρανῷ, καὶ ἔστωσαν 15
εἰς σημεῖα καὶ εἰς ἡμέρας καὶ εἰς καιρούς. προσῆλθεν ἡ εἰκών, καὶ ἐξιχνιάζει τὴν φύσιν. ζη-
τεῖ βοτάνας, εὑρίσκει· ζητεῖ ῥίζας, καταλαμβάνει. πάντων εὑρίσκεται τεχνίτης, καὶ πάν-
των ἐπινοητής. ἀλλ' ἵνα μὴ νομίσῃ, ὅτι αὐτὴ εὗρεν ἐξ ἑαυτῆς, καὶ οὐ παρὰ τὴν δύναμιν τοῦ
ἐνθέντος τῇ φύσει τὴν δύναμιν, δι' ἑνὸς λόγου δείκνυσιν, ὅτι πάντων τούτων διδάσκαλος τῆς
ἡμετέρας φύσεως ὁ Θεός. προσῆλθεν ὁ μακάριος Σολομὼν λέγων· Αὐτὸς γάρ μοι δέδω- 20
κε τῶν ὄντων τὴν γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν κόσμου καὶ ἐνέργειαν στοιχείων, ἀρχὰς καὶ
τέλη καὶ μεσότητα χρόνων, ἐνιαυτοῦ κύκλους καὶ ἀστέρων θέσεις, φύσεις ζώων καὶ θυμοὺς θηρίων,
διαφορὰς φυτῶν καὶ δυνάμεις ῥιζῶν· ὅσα τέ ἐστιν ἀφανῆ καὶ ἐμφανῆ, ἔγνων ἐγὼ ὁ ἄνθρω-
πος. ἡ εἰκὼν πῶς ἔγνω; ὁ γὰρ πάντων τεχνίτης ἐδίδαξέ με σοφίαν. ἐδίδαξέ σε τὰ μέ-
τρα, οὐ τὰ ἄμετρα. ὅρα γὰρ πῶς εἰς πολλὰς ἀμετρίας ἐξεχύθη ἡ τέχνη ἡ ἀνθρωπεί- 25
νη, καὶ ἡ εἰκὼν τοῦ Θεοῦ. ἐνενόησε πῶς τὸ τῆς φωνῆς ὄργανον ἀποδίδοται, καὶ κατανοοῦσα
τὴν φύσιν μιμεῖται τῇ τέχνῃ τὴν φύσιν. ἐπινοεῖ τὴν τοῦ ὀργάνου φύσιν, τούτου τοῦ πολυδό-
νακος ὀργάνου, τοῦ ἐκ πολλῶν καλάμων ὑφασμένου. καὶ ὅρα τί ποιεῖ, πῶς ἡ τέχνη πρὸς τὴν
φύσιν ἑαυτὴν ἠκρίβωσεν. ἐπενόησεν ἀσκούς, οὐκ ἐξ ἑαυτῶν προφέροντας τὸ πνεῦμα, ἀλ-
λὰ ἀναπτυσσομένους καὶ δανειζομένους πνεῦμα ἀλλότριον. εἶτα ἀπὸ τῶν δύο ἀσκῶν εἰς 30
σωληνοδόχον τοῦ πνεύματος, εἰς πάντας τοὺς καλάμους διαπέμπων τὸ πνεῦμα, καὶ ἐπι-
νόησε καὶ τὸ πνεῦμα ῥεῖν, καὶ φωνὴν μὴ εἶναι, ἕως ἂν ὁ δάκτυλος σχηματίσῃ τὸν φθόγγον. καὶ
πόθεν τοῦτο, ἄνθρωπε; πόθεν κατεσκεύασας ὄργανον, καὶ δοχεῖον πνεύματος; διὰ τί ῥέον τὸ
πνεῦμα οὐχ ὅλον ἀποτελεῖ τῶν αὐλῶν ἡρμοσμένων; πολύ, φησι, ξενίζῃ, ὡς ἄπειρος. εἶ-
πον παραλέγων· Εἰκὼν εἰμί, τὴν ἐμαυτοῦ φύσιν εἶδον, καὶ ἐμιμησάμην ἐμαυτόν. πῶς 35
ἐμιμήσω ἑαυτόν; εἶδον καὶ ἐν ἐμαυτῷ τὸ πνεῦμα τοῦτο δεδανεισμένον. συνεχῶς γὰρ ὁ θώ-
ραξ ἀναπτυσσόμενος, καὶ συμπτυσσόμενος δέχεται τὴν εἰσροὴν τοῦ πνεύματος. βλέπω
δύο ἀρτηρίας πεμπούσας τὸ πνεῦμα παραχωρεῖν ὡς ἐνὶ σωλῆνι τῷ στόματι. ὁρῶ ὅτι τὸ πνεῦ-
μα προχωρεῖ, καὶ ὁ λόγος οὐ γίνεται, ἐὰν μὴ ἡ γλῶσσα τὸν φθόγγον σχηματίσῃ. εἶδον ἐμαυτόν,
καὶ ἐζήλωσα ἐμαυτόν, ἐξ ἐμοῦ κατέλαβον τὴν τέχνην τοῦ δεσπότου, ὡς λέγει Δαβίδ· Ἐθαυ- 40
μαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. ἐμαυτὸν εἶδον, καὶ τὸν τεχνίτην ἐπῄνεσα. ἐμιμησάμην τὸν ἐμαυτοῦ
δεσπότην. τῇ τέχνῃ τὴν φύσιν παρέστησα. οὐδὲ γὰρ φαῦλον τὸ ὄργανον, ἀλλ' ἐπειδὴ αἱρετῶν ἀσ-
μάτων γέγονεν ὄργανον. ὥσπερ θεῖα ἐλέγετο ἀπ' ἀρχῆς, οὐκ ἦν βέβηλα· εἰ καὶ τῇ ἀμετρίᾳ ἐπενοήθη
εἰς τρυφήν, ἀλλ' ὅμως Θεῷ καθιέρωτο, ὥσπερ ἀπ' ἀρχῆς οὐκ ἦν βέβηλα. διὸ καὶ ὁ Δαβίδ· Αἰ-

Marginalia: Γεν. α. ιδ. (at l. 15); Σοφ. ζ. ιη. (at l. 20); Ψαλ. ρλη. ς. (at l. 40); Ψαλ. ρν. γ. (at l. 44)

νεῖτε

νέστε αὐτὸν ἐν ψαλτηρίῳ, καὶ κιθάρᾳ, ἐν χορδαῖς καὶ ὀργάνῳ, ἐν κυμβάλοις εὐήχοις, ἐν κυμβάλοις
ἀλαλαγμοῦ, ἐν τυμπάνῳ καὶ χορῷ. εἶτα οὕτω ἡ ἐπίνοια μὴ πρὸς τρυφὴν ἀκολασίας ἐτρά-
πη, μὴ εἰς προσκύνησιν εἰδώλων. ἀλλ' ὧν ἂν ἐπενόησε, τούτων τοὺς καρποὺς εἰ ἀπε-
δίδου τῷ Θεῷ, οὐκ ἂν ἐμέμφθη ἡ ἐπίνοια τῆς τέχνης, εἰ τὸν δεσπότην ἐγνώρισεν. οὐκ
5 ἂν ἐμέμφθη ἡ κιθάρα, εἰ Θεὸς διὰ τῆς κιθάρας ἐκηρύττετο. διὰ τοῦτο ὁ μακάριος Δα-
βίδ, ἐπὶ τοῦ κιθάραν ἐπήξατο, διὰ δὲ τῆς κιθάρας οὐκ αἰσχροὺς ὕμνους ᾖσεν, ἀλλ' ἱεροὺς ἔπεμ-
ψε λόγους, ἐγένετο ἡ κιθάρα καὶ Θεῷ καθωσιωμένη, καὶ δαιμόνων φυγαδευτήριον. ὅτε γὰρ τὸν
Σαοὺλ τὸν βασιλέα δαίμων κατέκρουε, καὶ ἐρράπιζε καὶ κατεστρώννυεν, Ἡνίκα, φησὶν, ὁ μα-
κάριος Δαβὶδ ἀνέκρουε τὴν κιθάραν, καλῶς ἐγίνετο τῷ Σαοὺλ καὶ ἐκουφίζετο. ὁρᾷς ὅτι
10 πᾶσα τέχνη, εἰ πρὸς θρησκείαν ἡρμόσαι Θεοῦ, οὐδὲν ἂν ἦν φαῦλον, ἀλλὰ πάντα κατὰ γνώ-
μην ἂν ἡμῖν ἀπήντησεν; ἀλλὰ τί βουλόμενος ἦλθον ἀπὸ θεολογίας εἰς τέχνην, καὶ μίμη-
σιν εἰκόνος; ἵνα τὴν δεσποτικὴν φωνὴν κατὰ τῶν αἱρετικῶν ἀποδώσωμεν. ποίαν; Ὑποκριταὶ, Λουκ. ιβ. νς.
τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς οἴδατε δοκιμάζειν· τέχνας εὕρατε, ἐπινοίας πολλὰς
ἐπενοήσατε, καὶ τὸν πάντων δεσπότην καὶ τεχνίτην ὑβρίζετε; σὺ τῇ τέχνῃ ἐμιμήσω τὸν δε-
15 σπότην, καὶ ὅμοιος ἀπηγγέλθης κατ' εἰκόνα καὶ ὁμοίωσιν, κἀμὲ τὸν δημιουργὸν ἀνόμοιον
τῷ γεννήσαντι κηρύττεις; ἐγὼ ὑμᾶς ὑποτεταγμένους τῇ ἁμαρτίᾳ ἠλευθέρωσα, κἀμὲ τὸν
ἁπάντων δεσπότην εἰς ὑποταγὴν καλεῖτε; ναὶ, φησὶ, γέγραπται, Ὅτι καὶ ὁ υἱὸς ὑπο- α. Κορ. ιε κη.
ταγήσεται. εἴρηται μὲν, κατὰ δύναμιν Θεοῦ. οὐδὲ γὰρ ἡμέτερα τὰ λεγόμενα. ἀλλὰ Θεοῦ τὰ
κηρυττόμενα. εἶτα ἵνα τῇ λέξει ἀκολουθήσω, συγχωρῶ τοῖς ἀκούσασιν εἰδέναι τὰ λεγόμε-
20 να. ἵν' οὕτω τῇ λέξει ἀκολουθήσω, ἐν τῇ μελλούσῃ δημιουργίᾳ, ἐν τῇ ἀναστάσει ὑποταγήσεται)
πότε; σὺ δὲ γίνῃ τότε ἰσάγγελος. Ἐν γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν, λέγει ὁ σωτὴρ, οὔτε γαμοῦσιν, Ματθ. κβ. λ.
οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι Θεοῦ. σὺ ἀπὸ τῆς σταυροῦ τάξεως ἀνάγῃ, καὶ ὁ υἱὸς
ἀπὸ δεσποτείας εἰς ὑποταγὴν ἔρχεται; οὐκ ἤκουσας Παύλου λέγοντος· Τῇ γὰρ ματαιό- Ρωμ. η. κ.
τητι ἡ κτίσις ὑπετάγη, ὅτι καὶ αὐτὴ ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν. ἡ κτί-
25 σις, οὐρανὸς, γῆ, καὶ τὰ ἄλλα πάντα. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα.
ποίᾳ ματαιότητι; τῇ ἀνθρωπίνῃ. ματαιότητα αὐτὸν διὰ τί καλεῖ; ἐκπεπτωκότα τῆς
εἰκόνος εἰς ὁμοιότητα ἀλόγων. Ματαιότης γὰρ ματαιοτήτων, τὰ πάντα ματαιότης. καὶ ὁ Δα- Ἐκκλησ. α. β.
βίδ· Πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν. τῇ οὕτω ματαιότητι ταύτῃ, Ψαλ. λη. ε.
τῷ ἀνθρώπῳ τῷ διαφθαρέντι ὑπετάγη ἡ κτίσις. πῶς ὑπετάγη; ἀνατέλλει ὁ ἥλι-
30 ος τοῖς ἀναξίοις, βρύουσιν αἱ πηγαὶ τοῖς ἀχαρίστοις, φέρει ἡ γῆ τοὺς καρποὺς τοῖς ἀγνώμοσιν.
ὑπετάγη οὖν ἡ κτίσις τῇ ματαιότητι οὐχ ἑκοῦσα. εἰ γὰρ κατὰ γνώμην, οὐκ ἂν ὑπετάγη τοῖς ἀναξί-
οις ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα καὶ ὑποτέτακται). ποίῳ σκοπῷ; ἐλπίδι. ποίᾳ ἐλπίδι; Ὅτι Ρωμ. η κα.
καὶ αὐτὴ ἡ κτίσις (ταῦτά φησι Παῦλος) ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν
ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. ἡ κτίσις τότε ἐλευθεροῦται, καὶ ὁ υἱὸς καταδουλοῦται;
35 ἐρευνᾶτε τὰς γραφὰς, μὴ συκοφαντεῖτε· ἐρευνᾶτε, μὴ πολυπραγμονεῖτε· ἐρευνᾶτε πιστεύ-
οντες, μὴ ἀντιλέγοντες. πόθεν ἔμαθες λέγειν, ὢν ἐγεννήθη, ἢ οὐκ ὤν; πόθεν ἔμαθες λέγειν,
τὸ γεννῆσαι καὶ τὸ κτίσαι παρὰ Θεῷ ταὐτόν ἐστι; Πέτρος σε ταῦτα ἐδίδαξε; Παῦλος ὑπέ-
θετο; ἀλλ' ὁ σωτὴρ ταῦτα ἡμῖν παρέδωκεν. ἀνάγνωθι τὴν γραφὴν, καὶ δυσωποῦ τὸν νόμον.
πλὴν οὐδὲ οἷς λέγει ἐμμένει. ὅταν γὰρ ἐρωτήσῃ, ὢν ἐγεννήθη, ἢ οὐκ ὤν, ψεύδεται. ὃ γὰρ μὴ
40 ὁμολογεῖ, ἐξετάζει. πρότερον ὁμολόγησον, ὅτι ἐγεννήθη, καὶ τότε ἐρώτα, ὢν, ἢ μὴ ὤν. τὸ πρᾶγμα
ἀρνῆσαι, καὶ τὸ ῥῆμα βασανίζεις; ὃ μὴ εἰδὼς γεγεννῆσθαι, τούτου τὴν ἔρευναν τί ζητεῖς, ὢν ἐ-
γεννήθη ἢ μὴ ὤν; δὸς ὅτι ἐγεννήθη. πρῶτον στῆσον, ὅτι ἐγεννήθη, καὶ τότε ζήτει. ἀρνῆσαι
τὴν φύσιν, καὶ τὴν λέξιν ἐξετάζεις; τὸ κτίσαι καὶ τὸ γεννῆσαι ταὐτόν; πόθεν ὁ υἱὸς, λεγέτω τις
αὐτῶν, ἐὰν μὴ ᾖ πρῶτον φανερὰ ἡ τάξις τῶν δύο, καὶ τότε ἡ διάνοια συμφωνῇ; οὐ δυνά-

μενοι

μαι εἰπεῖν τὸ ἰδεῖν καὶ τὸ βλέπειν ταὐτόν· ἓν γὰρ εἶπον. ἐὰν δὲ εἴπω τὸ ἀκοῦσαι καὶ ἰδεῖν ταὐτὸν
ἐστι, τότε δοκῶ τὰ διαφέροντα, οὐ μὴν καὶ τῇ ὄψει, συμφωνοῦντα δὲ τῇ ἀκοῇ λέγειν· ὅτι ταὐ-
τόν ἐστι παρὰ Θεῷ. πόθεν οἶδας, ὅτι τὸ κτίσαι καὶ τὸ γεννῆσαι ταὐτόν; εἰ μὲν γὰρ ἐγέννησε καὶ
ἔκτισε, καλῶς λέγεις ταὐτόν. εἰ δὲ μηδέποτε ἐγέννησε κατὰ σέ, ἀλλ' ἔκτισε, ποῦ τὸ γεννῆσαι
καὶ κτίσαι ταὐτόν; ῥημάτων κενοδοξία, ῥήματα κενά, πραγμάτων ἄληθα. διὰ τί δὲ τὸ γεν- 5
νῆσαι, καὶ τὸ κτίσαι σοφίζονται; ὁ Θεός, φησιν, ἁπλοῦς ἐστι, καὶ οὐχ ὥσπερ ἡμεῖς. μέρει μὲν γεν-
νώμεθα, μέρει δὲ κτίζομεν· οἷον τοῖς μὲν γεννητικοῖς γεννώμεθα, τῇ δὲ χειρὶ κτίζομεν· οὐχ οὕτω δὲ
ὁ Θεός, φησιν. ἁπλοῦς γὰρ καὶ ἀσχημάτιστος. ἀλλ' ᾧ μέρει γεννᾷ, τούτῳ καὶ κτίζει. ἐπειδὴ
περὶ ἀοράτων ἐπαγγέλλῃ, πεφεισμένος ἀπὸ τῆς ἀχαίρου ταύτης καὶ ματαίας φιλοσο-
φίας, ἐν τῶν ὁρωμένων σε πεισάτω, ὅτι τῷ αὐτῷ μέρει τὰ γινόμενα μὴ καλὸν τὴν αὐτὴν 10
ἔχει δύναμιν. λάβε χεῖρα τὴν ἐμὴν τὴν φαινομένην, ἵνα ἀπὸ τῶν φαινομένων ὁ ἔλεγ-
χος δράμῃ τῶν ἀοράτων. ἡ χεὶρ αὕτη μία οὖσα καθ' ἑαυτήν, καὶ ἐργαζομένη διάφορα, οὐ
δύναται τὰ ἀποτελούμενα εἰς μίαν θεωρίαν δεῖξαι. οἷον τῇ αὐτῇ χειρὶ κτίζω καὶ καταστρέ-
φω. οὐκοῦν ἐπειδὴ τῇ αὐτῇ ἐστι τὸ κτίσαι καὶ τὸ καταστρέψαι, ταὐτὸν ἆρα; ἀλλ' οὐ ταὐτόν.
ἐπειδὴ λέγουσιν, ὅτι ἡμεῖς ἄλλως γεννώμεθα, καὶ ἄλλως κτίζομεν· λέγω κἀγώ, τῷ αὐτῷ μέρει 15
κτίζω τῇ αὐτῇ χειρί, καὶ καθαιρῶ τῇ αὐτῇ χειρί, καὶ τύπτω καὶ θεραπεύω. ἔσται οὖν τὸ τύ-
ψαι, καὶ τὸ θεραπεῦσαι ταὐτόν; τῇ αὐτῇ χειρὶ καὶ ὠθῶ τὸν ἑστηκότα, καὶ ἐγείρω τὸν πεσόντα· τῇ
αὐτῇ χειρὶ καὶ ψηφίζω, καὶ λύω τὴν ψῆφον. ἔσται οὖν καὶ τὸ ψηφίσαι καὶ τὸ λῦσαι τὴν ψῆφον
ταὐτόν; ταῦτα οὖν οὐκ ἔστι μωρολογίας ἐπέκεινα; παιδικοὶ μῦθοι, καὶ ἀχρειεῖαι; ἆρα οὐ στέ-
νει ἡ ψυχὴ Παύλου; οὐκ ἀγανακτεῖ Πέτρος, τοιούτων ῥημάτων κωμαζόντων κατὰ τῆς θείας δι- 20
δασκαλίας; ἀπέγνως τὸν Χριστόν, καὶ ἔμαθες τὰ ἑτέρων. οὐκ ἤκουσας τοῦ Κυρίου λέγοντος,
Ὃς ἂν αἰσχυνθῇ με, καὶ τοὺς ἐμοὺς λόγους; πολλοὶ πολλάκις Χριστὸν ὁμολογοῦσι, τοὺς δὲ
λόγους αὐτοῦ αἰσχύνονται. ὁμολογεῖ Χριστὸν αἱρετικός, ἔρχεται δὲ εἰς τὸν λόγον πατρός;
καὶ υἱοῦ, καὶ αἰσχύνεται τὸ ῥῆμα, καὶ λέγει· ἐγέννησε γὰρ ὁ ἀπαθής; οὐκοῦν κατὰ
ῥεῦσιν, οὐκοῦν κατὰ ποίησιν. ὁρᾷς ὅτι αἰσχύνῃ τὸ ῥῆμα; ὢ τῆς ἀνοίας· ἐγένοντο λέ- 25
ξεων θηραταί, καὶ οὐ τῆς δυνάμεως ἀκριβεῖς ἐξετασταί· πάντα γὰρ ἔφθειρεν ἡ ματαιότης. ὃ
δὲ πολλάκις εἶπον, τῶν αἱρετικῶν αἱ ἀρχαὶ αὗται, καὶ αἱ πηγαὶ δῆλαι. ἡ ἐκκλησία αἱρετι-
κὴν ἔχει διδασκαλίαν. εἰπὲ τὸν ἡγησάμενον γεγεννῆσθαι τοῦ προειρημένου. τίς ἐστιν ὁ ταύ-
την καθ' ἡμᾶς, ἣν σὺ καλεῖς αἵρεσιν, γεννήσας; ἀπ' ἀρχῆς οἱ ἀπόστολοι ἐκήρυξαν· μετὰ
τοὺς ἀποστόλους ἡ ἐν Νικαίᾳ σύνοδος ἐβεβαίωσε. καὶ ἵνα δειχθῇ, ὅτι οἰκουμενικὴ ἦν ἡ πίστις, το- 30
σούτων συναχθέντων, ἑπτὰ μόνοι διεφώνησαν, οἳ καὶ ἀπεκηρύχθησαν. πᾶσα ἡ οἰκουμένη συν-
εφώνησεν, ἐπειδὴ τοῦ φρονήματος ἦν τοῦ ἀποστολικοῦ. καὶ ὅρα τὸ θαυμαστόν· ἐμιμήσατο ἡ νέα
δι' οἰκονομίας τὴν παλαιάν. ὅτε οἱ βασιλεῖς Ἀσσυρίων ἐπῆλθον ἐπὶ τὴν γῆν τῆς Παλαι-
στίνης, ἐξῆλθεν Ἀβραὰμ κατὰ τῶν ἀλλοφύλων, κατὰ πέντε βασιλέων. ἐξῆλθε μόνος ὁ πιστός· καὶ
πόσους στρατεύει κατ' αὐτῶν; δούλους τριακοσίους οἰκογενεῖς, καὶ δεκαοκτώ. ὅσους ἐστράτευ- 35
σεν Ἀβραὰμ κατὰ ἀλλοφύλων, ἐστράτευσε Χριστὸς κατὰ τῶν αἱρέσεων· ὅσους ἐστράτευσεν Ἀβρα-
ὰμ κατὰ τῶν ἀλλοφύλων, μᾶλλον δὲ ὅσους ἑαυτῷ συνεστράτευσε, τοσούτους ὁ Χριστὸς μεθ' ἑαυτοῦ
ὥπλισε κατὰ τῶν αἱρέσεων. τριακόσιοι δεκαοκτὼ ἐπίσκοποι ἐν Νικαίᾳ· κἀκεῖ τριακόσιοι δε-
καοκτὼ οἰκέται τοῦ Ἀβραὰμ οἰκογενεῖς. διὰ τί οἰκογενεῖς εἶπεν; εἶχε γὰρ καὶ ἀργυρωνή-
τους· ἀλλὰ τὸ γνήσιον ἔδειξε τῆς οἰκίας. καὶ νῦν Χριστὸς ἐστράτευσεν οὐχ ἁπλῶς τοὺς δούλους, ἀλλὰ 40
τοὺς οἰκογενεῖς, τοὺς κηρύττοντας τὸν ὄντα τὸν ἐξ ὄντος, τὸν ζῶντα τὸν ἐκ ζῶντος, τὸ φῶς τὸ ἐκ
φωτός. τί λέγεις φῶς καὶ φῶς; ποία διαφορὰ ζωὴ καὶ ζωή; ποῖον τὸ διάφορον; καὶ τὸ θαυ-
μαστόν· ὁ πατὴρ φῶς ἐλέχθη, ὁ δὲ υἱὸς μετὰ προσθήκης. λέγει Ἰωάννης, Ὁ Θεὸς φῶς ἐστι· περὶ
δὲ τοῦ υἱοῦ, Ἦν τὸ φῶς τὸ ἀληθινόν. ὁ πατὴρ ἀπολελυμένως ἐκλήθη φῶς. ἐπειδὴ γὰρ κατὰ τὸ

Marginal notes: Μαρκ. η. λη. — γ. ἐπαισχυνθῇ — Γεν. ιδ. ιδ. — α. Ιωαν. α. ε. — Ιωαν. α. θ. — γρ. ζωὴ ἢ ζωῆς

τοῦ

τοῦ πατρὸς θεότητος οὐ ταχέως στρατεύονται αἱρετικαὶ τόλμαι (εἰ καὶ τὰ μάλιστα κατὰ Χριστοῦ τολμώμενα εἰς πατέρα ἀναφέρει τὴν ὕβριν) ἀλλ' ὅμως τὸ ὡμολογημένον ἁπλῷ κατασκευάζει λόγῳ ἡ γραφή, τὸ ἀμφιβαλλόμενον ὀχυροῖ τῇ ἀληθείᾳ. φῶς ὁ πατήρ, καὶ οὐ μετὰ προσθήκης· ἀρκεῖ γὰρ κηρυχθεὶς γνωρισθῆναι. φῶς ὁ υἱός· ἵνα μή τις εἴπῃ, ὅτι φῶς μὲν νοερὸν
5 ἐκεῖνο, τὸ δὲ ἕτερον νόθον, φῶς ἀληθινόν. πάλιν ἵνα μή τις εἴπῃ, ὥσπερ φῶς ὁ ἥλιος, καὶ φῶς ἡ σελήνη, ἀλλὰ τὸ μὲν μέγα φῶς, τὸ δὲ μικρὸν φῶς· οὕτω καὶ ὁ πατὴρ φῶς, ἀλλὰ μέγα, οὕτω καὶ ὁ υἱὸς φῶς, ἀλλὰ μικρόν· ἵνα μὴ ταῦτα λέγῃ, Ἡσαΐας προλαμβάνει· Γῆ Ζαβουλών, καὶ [Ἡσ. θ α.] γῆ Νεφθαλείμ, ὁδὸς θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα. εἰ ὁ Θεὸς φῶς ἐστι, καὶ φῶς μέγα, ὁ Θεὸς μέγας. εἰ ὁ
10 Θεὸς φῶς ἐστιν, ὡς γέγραπται παρὰ Ἰωάννου, ὅτι ὁ Θεὸς φῶς ἐστιν· εἰ ὁ Θεὸς τὸ φῶς μέγα, Θεὸς μέγας. μέγας γὰρ ὁ γεννήσας, καὶ μέγας ὁ γεννηθείς· μεγάλη ἡ ῥίζα, μέγας ὁ καρπός· μέγα τὸ φῶς, μέγα τὸ ἀπαύγασμα. οὐκ οἶδα μικρὸν καὶ μέγα, ἀλλὰ μέγα οἶδα ἕνα Θεὸν [Ἡσ. κς. δ.] τριάδα. μέγας ὁ Θεός· Ὁ Θεὸς μέγας ὁ αἰώνιος, φησὶν Ἡσαΐας. ὁ δὲ Παῦλος, Ἀπεκδεχόμενοι [Τιτ. β ιγ.] τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ, καὶ σω-
15 τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. μέγας ὁ Θεός, μέγας Κύριος, ὥς φησι Δαβίδ· Μέγας ὁ [Ψαλ. ρμς. ε.] Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. ἀλλ' ἐπειδὴ ἰσχὺς καὶ δύναμις ταὐτὸν (Χριστὸς γὰρ Θεοῦ δύναμις) μέγας ὁ Κύριος ἡμῶν· ὡσεὶ ἔλεγε, μέγας ὁ πατήρ, μεγάλη καὶ ἡ δύναμις αὐτοῦ· μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. μεγάλη ἰσχὺς ὁ υἱός, ἐπειδὴ μεγάλη δύναμις καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὥς φησιν ὁ σωτὴρ τοῖς ἀποστόλοις· Καθίσατε εἰς [Λουκ. κδ. μθ.]
20 Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. ἀλλ' ὅρα τί σοφίζονται τὴν δύναμιν. ἔστι, φησίν, ἡ δύναμις, ὡς πλοῦτον ἔχουσα ἐπαγγελίαν. τὸ γὰρ πνεῦμα οὐκ εἴρηται, φησί, Θεός, ἀλλὰ ἀρραβὼν Θεοῦ, καὶ πῶς ἄκουε. ὁ ἀρραβὼν μέρος ἐστὶ δώρου, οὐδὲ ὁλόκληρον δῶρον, ἀλλὰ μέρος τοῦ ὅλου. γέγραπται γάρ, φησί, περὶ τῶν ἀποστόλων· Σφρα- [Ἐφεσ. α ιδ.] γισθέντες ἐν πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν. ὁ-
25 ρᾷ, φησίν, ὅτι δῶρόν ἐστι Θεοῦ, καὶ οὐ Θεός. ὥστε οὕτω δῶρον καὶ ἀρραβών, μέρος ἐκ τοῦ ὅλου. ἐὰν οὕτω ἴδῃς καὶ τὸν Θεὸν μέρος λεγόμενον, καὶ οὐχ ὅλον, καὶ δῶρον, καὶ οὐχ ὅλον· τί λέγεις γάρ; ὁ δὲ ἀρραβὼν τῆς κληρονομίας. τίς ὁ ἀρραβών; τίς ἡ κληρονομία; τίς ὁ ἀρραβὼν τῆς κληρονομίας; ἡ κληρονομία δῶρόν ἐστι τοῦ τὴν κληρονομίαν δεδωκότος, οὐκ αὐτὸς ὁ κληρονομούμενος. λέγει τοίνυν, ὁ ἀρραβὼν τῆς κληρονομίας ἡμῶν τὸ πνεῦμα. εἰ τὸ κληθῆναι τὸ
30 πνεῦμα ἀρραβῶνα, σκανδαλίζει σου τὴν ψυχήν, ἐὰν ἴδῃς καὶ τὸν Θεὸν κληρονομίαν λεγόμενον, τί ποιεῖς; πρόσεχε ἀκριβῶς πῶς οὐ μόνον κληρονομούμενον, ἀλλὰ καὶ αὐτὸν κληρονομίαν λεγόμενον. ἄκουε τοῦ Δαβὶδ λέγοντος, Κύριος μερὶς τῆς κληρονομίας μου. ὁ Θεὸς με- [Ψαλ. ιε. ε.] ρὶς κληρονομίας· τὸ πνεῦμα ἀρραβὼν κληρονομίας. εἰ ποιεῖς ἐλάττονα τὸν υἱόν, ἢ τὸν πατέρα τὸ λέγεσθαι μερίδα κληρονομίας, ἐλαττοῖ καὶ τοῦ πνεύματος τὴν ἀξίαν τὸ καλεῖσθαι ἀρραβὼν
35 κληρονομίας. λέγει Δαβὶδ ἀλλαχοῦ· Κύριος μερίς μου ἐν γῇ ζώντων. μερίς μου, τίνος [Ψαλ. ρμα. ζ.] μερίσαντος; εἰ γὰρ εἷς, οὐχ ὅλος. εἰ λέξεων εἶ θηρατής, καὶ οὐ νοημάτων ἐξεταστής, οὐδὲν κωλύει σε καὶ τὸν πατέρα Θεὸν βλασφημῆσαι, ὃν δοκεῖς σέβεσθαι. Κύριος μερὶς τῆς κληρονομίας μου, καὶ μερίς μου εἶ ἐν γῇ ζώντων. διὰ τί δὲ λέγεται ἡ αὐτογενὴς δύναμις μερὶς καὶ κληρονομία; ἐπειδὴ τὸν Θεὸν αἱρέσει οἰκείᾳ δεχόμεθα, καὶ ἕκαστος, ὁ μὲν τὴν πλάνην αἱρεῖται, ὁ δὲ
40 τὸν Θεὸν δέχεται, καὶ γίνεται μερὶς τοῦ πιστοῦ ὁ αἱρεθεὶς Θεός. οἷόν τι λέγω. γέγραπται τοῖς Λευίταις, Οὐκ ἔσται σοι μερὶς ἐπὶ τῆς γῆς· Κύριος γὰρ μερὶς αὐτῶν. εἰ ὁ Θεὸς λεγόμενος [Ἀριθ. ιη. κ.] μερὶς οὐ σκανδαλίζει σε, τὸ πνεῦμα τὸ ἅγιον ἀρραβὼν λεγόμενον διὰ τί σκανδαλίζει σε; περιέλωμεν πᾶσαν σύγχυσιν ἀπιστίας, καὶ δεξώμεθα τὴν ἀσύγχυτον πίστιν. ἕως πότε βαρύνεις σου τὴν καρδίαν, αἱρετικέ, ὡς ὁ Φαραώ; ἕως πότε οὐ ζυγοστατεῖς τὰ θεῖα ῥήματα; ἔχεις

λογισμόν

λογισμὸν ζυγὸν ἐν ἑαυτῷ· ζυγοστάτει τὰ ῥήματα τοῦ σωτῆρος· νόει ποῖά ἐστι τὰ περὶ σαρκός,
ποῖα τὰ περὶ θεότητος· νόει τὰ περὶ τῆς ἀξίας, νόει τὰ περὶ τῆς οἰκονομίας· ἵνα μὴ λεχθῇ
(Ωσ. ιβ. ζ.) καὶ περὶ σοῦ τὰ ἐν τῷ προφήτῃ περὶ τοῦ Χαναὰν λεγόμενα· Χαναάν, ἐν χειρὶ αὐτοῦ ζυ-
γὸς ἀδικίας, ἠγάπησε καταδυναστεύειν. καὶ Δαβὶδ, Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων,
τῶν αἱρετικῶν, ἐν ζυγῷ τοῦ ἀδικῆσαι. κατέχεις ζυγόν, καὶ φθείρεις τὸ δίκαιον; βλέπε τὸν 5
(Ιωαν. ι. λ.) ζυγὸν τοῦ σωτῆρος. Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ποῦ τὸ ἄνισον; βλέπε τὰς πλάστιγγας τοῦ
(Ιωαν. ιδ. θ.) θείου λόγου. Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα μου. ποῦ τὸ κατάγον, ποῦ τὸ ἀνάγον; βλέ-
(Ιωαν. η. λϛ.) πε τὸν πατέρα ἐλευθεροῦντα, καὶ τὸν υἱὸν ἐλευθεροῦντα, ὡς αὐτὸς λέγει· Ἐὰν μὴ ὁ υἱὸς ὑμᾶς
(Ρωμ. η. β.) ἐλευθερώσῃ, δοῦλοί ἐστε· καὶ Παύλου λέγοντος· Ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ
Ἰησοῦ ἠλευθέρωσέ με. εἰ πατὴρ ἐλευθεροῖ, εἰ υἱὸς ἐλευθεροῖ, εἰ δὲ πνεῦμα ἐλευθεροῖ, ποῦ 10
τὸ δοῦλον; ἀλλὰ γένοιτο ἡμᾶς πάντας ζυγὸν ἀμαρτίας καὶ ζυγὸν αἱρέσεως ἀποφυγόντας, ἔχειν
τὴν πίστιν ἀκλινῆ. μὴ ἀγνοείτωσαν δὲ αἱρετικοὶ τὰ λεγόμενα. πολλῶν γὰρ ἤκουσα λεγόν-
των, ὅτι διατί μὴ τὰ ἠθικὰ ἡμῖν διαλέγεται; διατί μὴ περὶ τρόπων, καὶ κοσμιότητος; οὐ
τοῦτο δὲ ποθοῦντες λέγουσιν, ἀλλὰ τοὺς ἐλέγχους φεύγοντες. ἀληθῆ διόρθωσιν θέλεις; ἤκου-
σας πολλάκις τῆς μεγάλης διδασκαλίας· ἤκουσας περὶ ἠθῶν· διώρθωσαί σου τὸ ἦθος· ἤκου- 15
(Ματθ. ια. ιη.) σας περὶ τρόπων· ἐρρύθμισαί σου τὸν τρόπον. ἀλλὰ τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου· Ἦλθεν
Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων, λέγουσι, δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων
καὶ πίνων, λέγουσιν, ἄνθρωπος φάγος καὶ οἰνοπότης. οὐδὲν ἀρέσκει τῇ κακίᾳ. ἐὰν εἴπῃς
περὶ ἠθοῦς, λέγει, ἐγὼ περὶ πίστεως ἐρωτῶ σε· ἐὰν εἴπῃς περὶ τῆς πίστεως, λέγει, ἐγὼ ἤθελον
(Ματθ. ια. ιζ.) περὶ τρόπων ἀκοῦσαι. διατοῦτο δὲ παιδιώδεις τῆς κακίας ῥαπίζων ὁ σωτὴρ ἔλεγεν· Ηὐλή- 20
σαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν, καὶ οὐκ ἐκόψασθε. ηὐλήσαμεν λόγῳ ἁγίῳ,
λόγῳ φωτεινῷ τὴν τῶν ἠθῶν κατάστασιν ἠκούσατε· ἐθρηνήσαμεν λόγῳ ἐπιπόνῳ, ὀδυρο-
μένῳ, θρηνοῦντι ὑμῶν τὴν ἀπιστίαν, καὶ οὐκ ἠκούσατε. οὔτε τὰ περὶ ὑμῶν ἀκούσαντες ὠρχή-
σασθε, οὔτε τὰ κατὰ αἱρέσεων ἀκούσαντες ἐπενθήσατε. ἦλθεν ὁ Βαπτιστής· λέγουσι, δαιμόνιον ἔ-
χει, καὶ οὐκ ἀγανακτεῖ ὁ Βαπτιστής, ἀλλὰ τοῦ ἔργου ἔχεται. ὁρᾷς γὰρ αὐτοὶ καὶ τὰ αὐτὰ πάσχον- 25
(Ιωαν. ι. κ.) τα τῷ σωτῆρι; περὶ τοῦ σωτῆρος ἔλεγον οἱ Ἰουδαῖοι, Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί αὐτοῦ ἀ-
κούετε; οὐχὶ μακάριός ἐστιν ὁ χριστιανὸς ἐκεῖνος, ὁ τῇ ἴσῃ ὕβρει ὑποπίπτων τῇ δεσποτικῇ;
(Πραξ. κϛ. κδ.) Παῦλος κηρύττει τὴν ἀλήθειαν, καὶ λέγει αὐτῷ Φῆστος· Μαίνῃ, Παῦλε, τὰ πολλά σε γράμμα-
τα εἰς μανίαν περιτρέπει. μανία γὰρ φαίνεται τοῖς μὴ καθεστηκόσι τὰ σώφρονα. ὁ δέ,
Οὐ μαίνομαι, φησί, κράτιστε Φῆστε, ἀλλὰ ῥήματα σωφροσύνης καὶ δικαιοσύνης φθέγγομαι. 30
ὁρᾷς τὴν ἔνθεον παρρησίαν, τὴν μανίαν μὲν νομισθεῖσαν, σωφροσύνης δὲ λαμπροτέραν; ἀ-
κούει Ἰωάννης ὁ Βαπτιστής, ὅτι δαιμόνιον ἔχει, ὡς ἤκουσαν οἱ ἀρχαῖοι προφῆται δαιμονιῶντες.
(δ Βασ. θ. β.) ἀπέστειλέ ποτε Ἐλισσαῖος ὁ προφήτης ἴδιον μαθητὴν προφήτην, καὶ λέγει αὐτῷ· Ἄπελθε,
καὶ εὑρήσεις Ἰηοὺ τὸν ἄρχοντα· λάβε αὐτὸν ἰδίᾳ, καὶ εἰπὲ αὐτῷ· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσ-
ραήλ· ἰδοὺ κέχρικά σε εἰς βασιλέα, καὶ ἐπίχεε ἐπ' αὐτὸν τὸ κέρας τοῦ ἐλαίου, καὶ χρῖσον 35
αὐτὸν εἰς βασιλέα. ἀποστέλλει προφήτης μαθητὴν προφήτην, λαμβάνει τὸν ἄρχον-
τα (τότε γὰρ οὐκ ἦν βασιλεὺς Ἰηοῦ, ἀλλ' ἄρχων τοῦ βασιλεύοντος) λέγει αὐτῷ· ἐλθὲ ἰδίᾳ· καὶ
λαβὼν αὐτὸν ἰδίᾳ, καὶ τὰ ῥήματα λέγει, καὶ τῷ κέρατι χρίει, καὶ ὡς ἔχρισεν, ἔφυγεν, ἀνεχώ-
ρησε. λέγουσιν οἱ συνάρχοντες τῷ Ἰηοῦ πρὸς αὐτόν· Τί ἦλθεν οὗτος πρὸς σὲ ὁ ἐ-
πίληπτος; ἀντὶ τοῦ, ὁ δαιμονιζόμενος οὗτος τί ἦλθε; τί ἦλθε πρὸς σὲ ὁ ἐπίληπτος 40
οὗτος; οὕτω ἀπ' ἀρχῆς ὑβρίζοντο οἱ προφῆται, οὕτως οἱ ἀπόστολοι. τί ἦλθεν ὁ ἐ-
πίληπτος ἐκεῖνος πρὸς σέ; φοβούμενος μὴ ἐξάκουστον ποιήσῃ τὸ ὄνομα τῆς βασι-
λείας, καὶ κινδυνεύσῃ (βασιλέως γὰρ βασιλεύοντος ἐπικίνδυνον τὸ εἰς ἕτερον μετενεχθῆ-
ναι τὴν ἀρχήν) λέγει· Ὑμεῖς οἴδατε τὴν ἀδολεσχίαν αὐτοῦ καὶ τὴν φλυαρίαν αὐτοῦ. συνέ-

θετο

θεν οὐ τῇ γνώμῃ, ἀλλὰ τῇ φωνῇ. οἴδατε αὐτοῦ τὴν ἀδολεσχίαν. εἶτα ἐκεῖνοι συνιέντες,
ὅτι οὐδέποτε ἡ ἀλήθεια κρύπτεται, αὖθις οἱ καταγελάσαντες σπουδάζουσι μαθεῖν τὴν ἀλή-
θειαν. Ἄδικόν ἐστι, Ινοῦ, ἐὰν μὴ ἀπαγγείλῃς ἡμῖν· ἀδικεῖς τοὺς τῶν φίλων· κακῶς ποιεῖς κρύ-
πτων τὸ μυστήριον. Εἰ ἐπίληπτός ἐστι, τί ζητεῖς τὰ τοῦ ἐπιλήπτου; ἀδικεῖς, Ινοῦ, ἐὰν μὴ
ἀπαγγείλῃς ἡμῖν. ἡ κακία καταφρονεῖ τῆς ἀρετῆς, καὶ ἀγωνιᾷ αὐτήν. καὶ ὡς δαιμονιῶντος
κατεψηφίσαντο, καὶ ὡς ἀληθεύοντος τὰς λέξεις ἐβασάνισαν. τί ἀπήγγειλέ σοι, λέγε. ἔλαβέ
με ἰδίᾳ. βλέπε ἰσχὺν τῆς ἀληθείας, πῶς ἡ γελασθεῖσα προσεκυνήθη δόξα, πῶς ὁ προ-
φήτης ὁ ἐπίληπτος, καὶ νόμων ἰσχυρότερος ἐγένετο. Λέγει, ἔλαβέ με ἰδίᾳ, καὶ ἐπέχεέ μοι τὸ
κέρας τοῦ ἐλαίου· καὶ ἐπῆραν φωνὴν οἱ ἄρχοντες λέγοντες, ζήτω ὁ βασιλεύς. ὁρᾷς πῶς κατὰ
τὸ αὐτὸ ἐγέλασαν τὴν προφητείαν καὶ ἐθαύμασαν, καὶ κατεψηφίσαντο καὶ ἐπίστευσαν; δαι-
μονιῶντα ἔλεγες, καὶ τὸν ὑπὸ τοῦ δαιμονιῶντος χριστοποιηθέντα βασιλέα καλεῖς; οὕτως οὐ δεῖ
ξενίζεσθαι οὐδὲ ἡμᾶς, οὐδὲ τοὺς ἡμῶν πατέρας, οὐδὲ τοὺς μεθ' ἡμᾶς, ἐὰν παρ' αἱρετικῆς
γλώσσης ἀκούσωμέν τι τῶν εἰς ὕβριν συντεινόντων. γένοιτο δὲ ἡμᾶς ὑπὸ Χριστοῦ δοξά-
ζεσθαι, ἵνα ἐν Χριστῷ δοξασθῶμεν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΚΑΙΝΗΝ ΚΥΡΙΑΚΗΝ, ΚΑΙ ΕΙΣ ΤΟΝ ἀπόστολον Θωμᾶν.

Λογ. ρς.

Ἧκω τὸ προληφθὲν ὄφλημα καταβαλεῖν ἐπειγόμενος. εἰ γὰρ καὶ πέ-
νης εἰμί, ἀλλὰ πρὸς τὴν εὐγνωμοσύνην ὑμῶν ἐκβιάζομαι. ὑπε-
σχόμην ὑποδεικνύναι τοῦ Θωμᾶ τὴν ἀπιστίαν· καὶ δὴ πάρειμι
ταύτην ἀποδώσων ὑμῖν. προθυμοῦμαι γὰρ τὰς πρώτας ὀφειλὰς
πρότερον ἀποτιννύειν, ἵνα μὴ τοῖς ἐπισυναγομένοις τόκοις καταχθῶ.
συμπράξατε οὖν μοι πρὸς τὴν τοῦ χρέους καταβολήν, καὶ καθι-
κετεύσατε τὸν Θωμᾶν, ἵνα τὴν ἁγίαν αὐτοῦ δεξιάν, τὴν ἁψαμένην τῆς τοῦ δεσπότου πλευ-
ρᾶς τοῖς ἐμοῖς χείλεσιν ἐπιθεὶς, πυρώσῃ μου τὴν γλῶτταν πρὸς τὴν ἐξήγησιν τῶν ποθου-
μένων ὑμῖν. ἐγὼ δὲ ταῖς πρεσβείαις τοῦ ἀποστόλου καὶ μάρτυρος Θωμᾶ θαρρῶν, κηρύττω
τὴν προτέραν ἀμφιβολίαν αὐτοῦ, καὶ τὴν δευτέραν ὁμολογίαν, τῆς ἐκκλησίας ἡμῶν κρηπῖ-
δα τυγχάνουσαν καὶ θεμέλιον. Εἰσελθόντος τοῦ σωτῆρος πρὸς τοὺς ἑαυτοῦ μαθητὰς κε-
κλεισμένων τῶν θυρῶν, καὶ πάλιν ἐξελθόντος ὥσπερ εἰσῆλθεν, ὁ Θωμᾶς ἀπελιμπάνετο μόνος.
ἦν δὲ καὶ τοῦτο θείας οἰκονομίας ἔργον, ὥστε τὸν χωρισμὸν τοῦ μαθητοῦ πρόξενον γενέσθαι πλεί-
ονος ἀσφαλείας καὶ βεβαιότητος. Εἰ γὰρ παρῆν ὁ Θωμᾶς, οὐκ ἂν πάντως ἀμφέβαλλεν·
εἰ δὲ μὴ ἀμφέβαλλεν, οὐκ ἂν περιέργως ἐζήτησεν· εἰ δὲ μὴ ἐζήτησεν, οὐκ ἂν ἐψηλάφη-
σεν· εἰ δὲ μὴ ἐψηλάφησεν, οὐκ ἂν Κύριον καὶ Θεὸν ἀνηγόρευσεν· εἰ δὲ μὴ Κύριον καὶ Θεὸν
τὸν Χριστὸν ἀπεκάλεσεν, οὐκ ἂν ἡμεῖς οὕτως αὐτὸν ἀνυμνεῖν ἐδιδάχθημεν. ὥστε καὶ μὴ παρὼν ὁ
Θωμᾶς ἡμᾶς πρὸς τὴν ἀλήθειαν ἐποδήγησε, καὶ παραγενόμενος ὕστερον βεβαιοτέραν περὶ τὴν
πίστιν ἐποίησεν. ἔλεγον τοίνυν οἱ μαθηταὶ τῷ Θωμᾷ τελευταῖον ἐπεισελθόντι· Ἑωράκα-
μεν τὸν Κύριον, ἑωράκαμεν τὸν εἰπόντα, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ἑωράκαμεν τὸν
εἰπόντα, Ἐγώ εἰμι ἡ ἀνάστασις, καὶ ἡ ζωή, καὶ ἡ ἀλήθεια· καὶ τῶν λόγων τὴν ἀλήθειαν εὕ-
ρομεν τοῖς πράγμασι λάμπουσαν. ἑωράκαμεν τὸν εἰπόντα, Μετὰ τρεῖς ἡμέρας ἐγεί-
ρομαι· καὶ τὴν ἀνάστασιν εἰσιόντες τὸν ἀναστάντα προσεκυνήσαμεν. ἠκούσαμεν αὐτοῦ
πρὸς ἡμᾶς εἰπόντος, Εἰρήνην ὑμῖν, καὶ τὴν ζάλην τῆς λύπης πρὸς γαλήνης εὐφροσύ-
νην ἐτρέψαμεν. ἐθεασάμεθα τὰς χεῖρας αὐτοῦ τὰς ὑποδεξαμένας τὰς τῶν ἥλων ἀκμάς,
ἐθεασάμεθα τὰς χεῖρας τὰς καταβοώσας τῆς λύσσης τῶν θεομάχων κυνῶν, ἐθεασάμεθα τὰς
χεῖρας

Ε Ms. ἐν Χάλκη νήσῳ τῆς Χαλκηδόνος. Μηνὸς Ὀκτ. ς.

Ιωαν. κ. κδ.

Ιωαν. η. ιβ.

Ιωαν. ιδ. ς.

Ματθ. κζ. ξγ.

χεῖρας τὰς ὑφανάσας τὴν ἀφθαρσίαν ἡμῖν, ἐθεασάμεθα καὶ τὴν πλευρὰν τὴν παντὸς
κήρυκος λαμπρότερον βοῶσαν τὴν εὐσπλαγχνίαν τοῦ πλήξαντος. αὐτὴν ἐθεασάμεθα
τὴν πλευρὰν, ἣν ὑμνοῦσιν ἄγγελοι, καὶ σέβουσιν οἱ πιστεύοντες, καὶ δαίμονες φρίττουσιν. ὑ-
πεδεξάμεθα καὶ φύσημα θεῖον ἐκ τοῦ θείου στόματος αὐτοῦ, φύσημα πνευματικὸν, φύσημα
πάσης χάριτος χορηγόν· ἐχειροτονήθημεν ἐκ τοῦ δεσπότου δεσπόται τῆς τῶν πλημμελημά- 5
των ἀφέσεως· ἐγενόμεθα καὶ κύριοι τῆς τῶν ἁμαρτωλῶν κρίσεως, τοιοῦτον ῥῆμα παρ' αὐτοῦ δε-
Ἰωαν. κ. κγ. ξάμενοι σύνθημα· Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κε-
κράτηνται. τοιούτων λόγων κατατρυφήσαμεν τοῦ σωτῆρος, τοιούτων δωρεῶν ἀπηλαύσαμεν
(οὐ γὰρ ἐκείνῳ ἡμᾶς μὴ πλουτοπαθῆσαι πλουσίου περιτυχόντας δεσπότου) σὺ δὲ μόνος πτωχὸς ἔ-
μεινας μὴ παρών. τί οὖν πρὸς αὐτὸν ὁ Θωμᾶς; ἑωράκατε τὸν Κύριον; καλῶς. οὐκοῦν 10
Ἰωαν. κ. κε. ὃν ἐθεάσασθε, μειζόνως σέβεσθε· ὃν κατωπτεύσατε, κηρύττοντες διαγίνεσθε. Ἐγὼ δὲ ἐὰν μὴ ἴ-
δω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω
τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. ἀλλ' ὑμεῖς οὐκ ἂν ἐπιστεύσατε, εἰ μὴ πρό-
τοι ἐθεάσασθε· οὕτω κἀγὼ, ἐὰν μὴ ἴδω, οὐ μὴ πιστεύσω. ἐπίμεινον, ὦ Θωμᾶ, τῷ τοιούτῳ πόθῳ,
σπουδαίως ἐπίμενον, ἵνα σου βλέποντος ἐγὼ βεβαιωθῶ τὴν ψυχήν. ἐπιμένων ζήτει τὸν εἰπόντα, 15
Ζητεῖτε, καὶ εὑρήσετε. μὴ παρέλθῃς ἁπλῶς ἐρευνῶν, ἐὰν μὴ εὑρήσῃς ὃν ζητεῖς θησαυρόν. ἐ-
πίμενον κρούων τὴν θύραν τῆς ἀνεκλαλήτου καὶ ἀπορρήτου γνώσεως, ἕως ἂν ὑπανοίξῃ σοι ταύτην ὁ εἰπών·
Ματθ. ζ. ζ. Κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. φιλῶ σου τὴν διχόνοιαν τῶν λογισμῶν, ὡς πᾶσαν διχόνοιαν
τέμνουσαν· ἀγαπῶ σου τὸν φιλομαθῆ τρόπον, ὡς πᾶσαν φιλονεικίαν ἐκκόπτοντα· ἡδέως ἀκούω
σου πολλάκις λέγοντος, Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, οὐ μὴ πιστεύσω. σοῦ 20
γὰρ ἀπιστοῦντος, ἐγὼ πιστεύειν διδάσκομαι· σοῦ τῇ δικέλλῃ τῆς γλώττης ὀρύττοντος τὰς τοῦ θείου
σώματος ἀρούρας, ἐγὼ τὸν καρπὸν ἀπόνως θερίζω καὶ σωρεύω πρὸς ἐμαυτόν. ἐὰν μὴ ἴδω
τούτοις μου τοῖς ὀφθαλμοῖς τὰς ἐν ταῖς ἁγίαις αὐτοῦ χερσὶν αὔλακας, ἃς ἠροτρίασαν οἱ δυσ-
σεβεῖς, οὐδαμῶς τοῖς ὑμετέροις συνθήσομαι ῥήμασιν· ἐὰν μὴ βάλω τοῦτόν μου τὸν δάκ-
τυλον εἰς τὰ κοιλώματα τῶν ἥλων, οὐκ ἂν τὸ ὑμέτερον εὐαγγέλιον παραδέξωμαι· ἐὰν 25
μὴ κρατήσω ταύτῃ μου τῇ χειρὶ τὴν πλευρὰν ἐκείνην, τὴν ἀνύποπτον μάρτυρα τῆς ἀνα-
στάσεως, οὐκ ἂν τῷ ὑμετέρῳ πιστεύσοιμι δόγματι. ἅπας γὰρ λόγος κεκτημένος τὴν ἀπὸ
τῶν πραγμάτων συνηγορίαν, ἰσχυρὸς ὑπάρχει καὶ βέβαιος· πᾶσα δὲ φωνὴ τῆς ἀπὸ
τῶν ἔργων μαρτυρίας ἐστερημένη, ἐστὶ ἐξίτηλος, ἐκ τῶν χειλέων εἰς τὸν ἀέρα χεομένη. μέλ-
λω κηρύττειν τοῖς ἀνθρώποις τοῦ διδασκάλου τὰ θαύματα. πῶς οὖν ἃ μὴ παρέλαβον τοῖς 30
ὀφθαλμοῖς, ταῦτα τοῖς λόγοις ἐξείπω; πῶς πείσω τοὺς ἀπίστους πιστεῦσαι, οἷς οὔτε αὐτὸς τέ-
ως παρηκολούθησα; εἴπω τοῖς Ἰουδαίοις καὶ τοῖς Ἕλλησιν, ὅτι σταυρούμενον μὲν τὸν ἐμὸν δε-
σπότην τεθέαμαι, ἀναστάντα δὲ οὐκ εἶδον, ἀλλ' ἤκουσα; καὶ τίς οὐ γελάσει μου τὴν φωνήν;
τίς οὐ διαπτύσει τὸ κήρυγμα; ἕτερον γάρ ἐστιν ἀκοὴ, καὶ ἕτερον ὄψις· καὶ ἕτερόν ἐστι λόγων ἀ-
παγγελία, καὶ ἄλλο πραγμάτων θέα καὶ πεῖρα. οὕτως ἀμφίβολον κεκτημένου τὴν γνῶσιν τοῦ 35
Θωμᾶ, μεθ' ἡμέρας ὀκτὼ πάλιν ὁ δεσπότης πρὸς τοὺς ἑαυτοῦ μαθητὰς συνηθροισμένους
ὁμοῦ παρεγένετο. ἀφῆκε τὸν Θωμᾶν ἐν ταῖς μέσαις ἡμέραις κατηχηθῆναι πρότερον ὑπὸ
τῶν ἑταίρων αὐτοῦ, συνεχώρησεν αὐτὸν ἐκκαῆναι τῷ δίψει τῆς θέας αὐτοῦ· καὶ τῆς ψυχῆς αὐτοῦ
σφοδρῶς ἀναφλεχθείσης τῷ πόθῳ τῆς ὄψεως, τότε λοιπὸν εὐκαίρως ὁ ποθούμενος τὸν πο-
θοῦντα κατέλαβεν. ὁμοίως δὲ, καθάπερ τὸ πρὶν, τῶν θυρῶν κεκλεισμένων, τοῦτο πεποίηκε, καὶ 40
Ἰωαν. κ. κϛ. πάλιν, καθάπερ καὶ πρότερον, εἶπεν αὐτοῖς, Εἰρήνη ὑμῖν, ἵνα καὶ τοῦ πράγματος καὶ τοῦ θαύ-
ματος ἡ ταυτότης, καὶ τῶν ἀποστόλων τὴν ἐπαγγελίαν βεβαιώσῃ, καὶ παραστήσῃ τῆς δευτέρας
αὐτοῦ ἐπελεύσεως τὸ ἀκριβές. εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε
τὰς χεῖράς μου. ὢ φιλανθρωπίας ἀπεράντου ὕψος, ὢ συγκαταβάσεως ἀμέτρητου πέλα-

γος.

θῆς. οὐκ ἀνέμεινε τὴν πρόσοδον τοῦ μαθητοῦ, οὐ περιέμεινε τὸν δεόμενον προσελθεῖν, καὶ
δεηθῆναι καὶ τυχεῖν ὧν ἐβούλετο· οὐκ ἀπεστέρησεν αὐτὸν οὐδὲ πρὸς βραχὺ τῆς ὄψεως, ἀλλ'
αὐτὸς ὁ ἐρώμενος τὸν ἐραστὴν πρὸς τὸν ποθούμενον ἐβίαζεν· αὐτὸς τῇ φωνῇ τὸν δάκτυλον τοῦ
ποθοῦντος πρὸς αὐτὸν ἐπεσπάσατο· αὐτὸς τῇ δεσποτικῇ γλώττῃ τὴν δουλικὴν δεξιὰν εἵλ-
5 κυσεν εἰπὼν πρὸς αὐτόν· φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου. ἤκουσα, Θωμᾶ,
μὴ παρὼν ὡς ἄνθρωπος, ἀλλὰ παρὼν ὡς Θεός, ἅπερ ἐλάλησας πρὸς τοὺς σοὺς ἀδελ-
φούς· παρήμην ὑμῖν τῇ θεότητι, κεχωρισμένος ὑμῶν τῇ ἀνθρωπότητι. θέλεις ὑπομνήσω
σοι τῶν εἰρημένων παρὰ σοῦ ῥημάτων; οὐκ εἶπας, ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐ-
τοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ
10 βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω; οὐ ταῦτα τὰ ῥήματα διὰ
τῶν σῶν ἐρρύη χειλέων; οὐ ταῦτα τὰ ῥήματα συγχύνει τῶν σῶν λογισμῶν; διὰ ταῦτα
πάλιν ἐλήλυθα, δι' ἅπερ ἀμφιβάλλεις. τοῦτο δεύτερον ἐπλησίασα, δι' ἅπερ ἐπιθυμεῖς, ἀ-
φῖγμαι. καὶ νῦν διὰ σὲ τὸν ἕνα παραγενόμενον πρὸς σέ, ὁ διὰ τὸ πλανώμενον πρόβατον
κατελθὼν ἐκ τῶν οὐρανῶν, καὶ τοὺς οὐρανοὺς μὴ καταλιπών. μὴ τοίνυν αἰσχυνθῇς μαθεῖν ἃ
15 ποθεῖς, μὴ ἐντραπῇς περιεργάσασθαι ἅπερ ἐπιζητεῖς· μὴ παραιτήσῃ τὸν σὸν δάκτυλον
ἐπιβαλεῖν ταύταις μου ταῖς χερσίν. ἀνέχομαι καὶ δακτύλου περιέργου, ὡς ἠνεσχόμην τῶν ἥ-
λων· ὑπομένω τοῦ φιλοῦντος τὴν περιεργίαν, ὡς ὑπέμεινα τὴν τῶν μισούντων ἐπήρει-
αν. σταυρούμενος ὑπὸ τῶν ἐχθρῶν οὐκ ἠγανάκτησα, καὶ παρὰ σοῦ ἐρευνώμενος οὐχ ὑποί-
σω; φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου τὰς τραυματισθείσας ὑπὲρ ὑμῶν, ἵνα
20 θεραπευθῶσιν οἱ μώλωπες τῶν ὑμετέρων ψυχῶν· ἴδε τὰς χεῖράς μου, καὶ λόγισαι κατὰ σαυτόν,
πότερον ἐκεῖνός εἰμι ὁ σταυρωθεὶς ἑκών, ἢ ἄλλος τις παρ' ἐκεῖνον· ἴδε τὰς χεῖράς μου, ἃς ἔχειν
ἀφῆκα τῆς Ἰουδαϊκῆς μανίας τὰ σύμβολα, ἵν', ὅταν συνήθως ἀναισχυντήσωσιν οἱ Ἰουδαῖοι
κατὰ τὴν ἡμέραν τῆς κρίσεως, καὶ εἴπωσι πρὸς μέ, ἡμεῖς σε οὐκ ἐσταυρώσαμεν, δέσποτα, ὑπο-
δείξω τοῖς πολεμίοις τὰς χεῖρας ἐν τούτῳ τῷ σχήματι, καὶ τῇ ὄψει καταισχύνωμαι τὰ πρό-
25 σωπα τῶν Ἰουδαίων. ἴδε τὰς χεῖράς μου καὶ τὴν ἀλήθειαν τῆς ἐμῆς ἀναστάσεως· μὴ νομίσῃς
φαντασίαν εἶναι. κράτησον ταύτας τὰς χεῖρας, ὡς ὁμήρους τῆς ὑμετέρας ἀναγεννήσεως·
κράτησον ταύτας τὰς χεῖρας, ὡς ἐνέχυρα τῆς ἐκ τῶν μνημείων ἐπαναδύσεως· κράτησον ταύ-
τας τὰς χεῖρας, ἄγκυραν τοῦ ἐν τῷ ᾅδῃ βυθοῦ. μὴ φοβηθῇς μηδένα χειμῶνα βιωτικόν, μὴ
φρίξῃς μηδεμίαν ζάλην κοσμικήν, μὴ φοβηθῇς τὰς τῶν ἐναντίων ἀνέμων πνοάς, μὴ
30 φροντίσῃς τῶν καταιγίδων καὶ τῶν σπιλάδων τῆς τῶν πολεμίων θαλάσσης. πλέε θαρρῶν τὸ
βίου τὸ πέλαγος· πλέε κατέχων τὴν ἄγκυραν τοῦ πνεύματος· πλέε προσέχων ὡς λιμένι
τῷ οὐρανῷ· πλέε φοβούμενος μόνον τῆς ἐμῆς ἀρνήσεως τὸ ναυάγιον· γέλα τὸν θάνατον ὡς
νεκρόν· παῖζε τὴν φθορὰν ὡς ἀνίσχυρον· ἀσπάζου τὴν δι' ἐμὲ τελευτήν, ὡς ἀρχὴν ἐν-
δοτέρας ζωῆς, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου. ἄντλησον διὰ τῆς σῆς
35 χειρὸς ἐκ τῆς ζωηφόρου μου κρήνης τὸ ποθούμενον πόμα, καὶ τὸ δίψος παραμύθησαι τὸ σόν. φέρε
τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου. εἰσάγαγε τὴν σὴν δεξιὰν εἰς τὸ ἰατρεῖον
τῆς φύσεως, καὶ ἔκβαλε τὸ φάρμακον τῆς σῆς προαιρέσεως. φέρω χειρὸς φιλούσης ἐπιβο-
λήν, ὁ δεξάμενος λόγχῃ πληγήν. φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου,
ἵνα ἔχῃς ὑπὲρ αὐτῆς ἀγωνίζεσθαι, ἵνα ἔχῃς λέγειν πρὸς τοὺς ἀντιφθεγγομένους τῇ ἀληθείᾳ,
40 ὅτι μετὰ τὴν ἀνάστασιν εἶδές με καὶ κατέμαθες καὶ ἐψηλάφησάς με ἀκριβῶς. φέρε τὴν χεῖρά σου, καὶ βά-
λε εἰς τὴν πλευράν μου. διὰ σὲ γὰρ ταύτην οὕτω κατέλιπον, ὁ τῶν ἄλλων τὰ σώματα καὶ τὰς ψυ-
χὰς ἰασάμενος, προειδὼς ὡς Θεός, ὅτι θελήσεις αὐτὴν οὕτως ἰδεῖν, ἵνα σὺ τοῦ πάθους τῆς ἐμῆς σαρ-
κὸς τοὺς τύπους ἰδών, τῆς σῆς ψυχῆς θεραπεύσῃς τὸ πάθος. φέρε τὴν χεῖρά σου, καὶ
βάλε εἰς τὴν πλευράν μου, ἣν οὕτως, ὡς βλέπεις, ἐφύλαξα, ἵν', ὅταν παραγένωμαι πά-

λιν ἐκ τῶν οὐρανῶν, καὶ καθίσω κριτὴς ζώντων καὶ νεκρῶν, ἴδωσιν οἱ Ἰουδαῖοι τῆς καινῆς αὐτῶν
ἐργασίας ἀντιπρόσωπα τὰ ἔργα φαινόμενα, καὶ αὐτοκατάκριτοι γένωνται. καὶ μὴ γίνου ἄπιστος,
ἀλλὰ πιστός. κακὸν ἡ ἀπιστία, βυθίζει τὸν νοῦν· ἡ πίστις μετεωρίζει τοῦτον εἰς οὐρανόν. ἡ ἀ-
πιστία τυφλοῖ τὴν ψυχήν· ἡ πίστις φωτίζει τοὺς λογισμούς. ἡ ἀπιστία καὶ τὰ ὁρατὰ παρορᾷ·
ἡ πίστις καὶ τὰ ἀόρατα καθορᾷ· ὁ ἄπιστος παντάπασιν ἀγνοεῖ. μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. 5
ἀποδίωξον τὸ νέφος τῆς ἀπιστίας, καὶ θέασαι τὰς καθαρὰς ἀκτῖνας τῆς πίστεως. γενοῦ καὶ
διὰ πάντων ἀπόστολος τῆς ἐμῆς θεότητος ἄξιος. γενοῦ τοιοῦτος, οἷον εἶναι χρὴ τὸν ἐμοὶ συν-
τυχόντα καὶ τυχόντα τούτων, ὧνπερ τετύχηκας. ὁμοίως τοῖς ἄλλοις ἀποστόλοις ἐκλήθης, ὁμοί-
ως αὐτοῖς ἐτιμήθης, ὁμοίως αὐτοῖς καθωπλίσθητι· ὁμοίως αὐτοῖς ἅπερ εἶδον τεθέασαι, ὁ-
μοίως αὐτοῖς ἐθαῤῥήθης, ὡς φίλος, ὅλον μου τὸ μυστήριον· ὁμοίως αὐτοῖς κήρυττε τὴν ἐμὴν 10
δύναμιν. μὴ πάλιν εἴπῃς μετὰ τὸ ἅπαξ ἰδεῖν, ἐὰν μὴ πάλιν ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν
τύπον τῶν ἥλων, οὐ μὴ πιστεύσω. ἕως εἰμὶ μεθ' ὑμῶν, ὡς βούλει, πολυπραγμόνησον·
ἕως ἔχεις παρισταμένην σοι τὴν οὐράνιον ἄμπελον, πάντας τοὺς κλάδους αὐτῆς καὶ τοὺς βό-
τρυας ἐρεύνησον. ἀνελεύσομαι γὰρ εἰς οὐρανούς, ὅθεν ἦλθον εἰς γῆν· ἀνελεύσομαι ὅπου εἰ-
μί· ἀνελεύσομαι τῇ αὐτοδεσπότητι, ὅθεν συγκατέβην ὑμῖν τῇ θεότητι· ἀνελεύσομαι μετὰ 15
τούτου τοῦ σώματος, ὁ χωρὶς τούτου ἐκδημήσας ἐκεῖθεν, καὶ μείνας ἐκεῖ· ἀνελεύσομαι μετὰ τῆς
ὑμετέρας φύσεως πρὸς τὸν πατρῷον κόλπον, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ πατρός. ἤνυσα γὰρ τὸ
ἔργον, δι' ὃ τὴν ὁδὸν ταύτην πεποίημαι. ἁψάμενος τοίνυν ὁ Θωμᾶς τῶν δεσποτικῶν χει-
ρῶν, καὶ τῆς θείας πλευρᾶς, καὶ μεστὸς γενόμενος δειλίας ὁμοῦ καὶ περιχαρείας ἐκ τῆς θέας ὧν
ἐπεθύμησε, πρὸς ὑμνῳδίαν εὐθέως τὴν γλῶτταν κινεῖ, βοῶν πρὸς τὸν Κύριον· Ὁ Κύριός μου, 20
καὶ ὁ Θεός μου· σὺ εἶ Κύριος καὶ Θεός, σὺ εἶ καὶ ἄνθρωπος ὁ φιλάνθρωπος, σὺ εἶ ξένος καὶ παράδο-
ξος τῆς φύσεως ἰατρός. οὐ τέμνεις σιδήρῳ τὰ πάθη, οὐ καίεις πυρὶ τὰ ἕλκη, οὐκ ἐρανίζῃ
παρὰ βοτανῶν τὴν τῶν φαρμάκων ἰσχύν, οὐκ ἐπιδεσμεύεις ἐπὶ δεσμοῖς ὁρατοῖς τὰ κά-
μνοντα ἕλκη. ἔχεις οἰκτιρμῶν ἐπιδέσμους ἀοράτους, ἀοράτως τὰ διαλελυμένα συσφίγ-
γοντα· ἔχεις λόγον σιδήρου τομώτερον· ἔχεις ῥῆμα πυρὸς δυνατώτερον· ἔχεις νεῦμα φαρμά- 25
κου προσηνέστερον. ὡς δημιουργὸς ἀπόνως ἁγιάζεις τὸ ποίημα· ὡς πλάστης μεταπλάτ-
τεις ἀκαμάτως τὰ πλάσματα. σὺ λέπραν ἀπέξεσας, ὡς ἠθέλησας· σὺ χωλοὺς δρομαίους
ἀνέδειξας· σὺ παραλυτοὺς βαστάζειν τὰς ἑαυτῶν κλίνας ἐποίησας· σὺ τυφλοὺς ἐκ γενετῆς
ἀπονίψασθαι τὸν ζόφον ἐκέλευσας· σὺ τοὺς δαίμονας ἐκ τῶν σῶν ποιημάτων ἐξώρισας· σὺ παρὰ
τῶν ἐχθρῶν ἐκρατήθης βουλόμενος· σὺ θέλων παρὰ τῶν Ἰουδαίων πάντα κατὰ σάρκα πέπονθας δι' 30
ἐμέ, ὁ Κύριός μου, καὶ ὁ Θεός μου. ἐπέγνων τὸν ἐμὸν δεσπότην, ἐπέγνων τὸν ἐμὸν ἁλιέα καὶ φύλακα,
ἐπέγνων τὸν ἐμὸν βασιλέα καὶ Κύριον, ὁ Κύριός μου, καὶ ὁ Θεός μου. πιστεύω σου, δέσποτα, τῇ οἰκονο-
μίᾳ, πιστεύω σου τῇ συγκαταβάσει, πιστεύω σου τῇ προσλήψει τῆς ἐμῆς ἀρχῆς· πιστεύω σου τῷ
προσκυνουμένῳ σταυρῷ, πιστεύω σου τοῖς παθήμασι τῆς σαρκός· πιστεύω σου τῷ τριημέρῳ θα-
νάτῳ· πιστεύω σου τῇ ἀναστάσει· λοιπὸν οὐκ ἔτι πολυπραγμονῶ· πιστεύω, οὐκ ἔτι λογο- 35
θετῶ· πιστεύω, οὐκ ἔτι ζυγοστατῶ· πιστεύω, οὐκ ἔτι περιεργάζομαι· πιστεύω τοῖς ἐμοῖς ὀ-
φθαλμοῖς, πιστεύω τῇ ἐμῇ δεξιᾷ. ἔμαθον, ἀφ' ὧν εἶδον, μὴ λογοθετεῖν· ἔμαθον, ἀφ' ὧν
ἐψηλάφησα, προσκυνεῖν, μὴ ζυγομαχεῖν· ἕνα Κύριον καὶ Θεὸν ἐπίσταμαι, τὸν δεσπότην
Χριστόν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
40

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΤΕΦΑΝΟΝ.

Λογ. ρζ.

Σεμνύνει μὲν τοὺς εὐδοκίμους ἀθλητὰς τῶν διηνυσμένων αὐτοῖς ἀγώνων ἡ μνήμη· κοσμείτω δέ γε αὐτοὺς καὶ ὁ ἡμέτερος λόγος, καθ' ὅσον οἷόν τε, διὰ τῆς εἰς αὐτοὺς εὐφημίας ἀνακηρύττων τὰ ἐκείνων κατορθώματα. ἁρμόζουσα γὰρ παίδευσις τῶν ἡμετέρων τρόπων, τῆς ἐκείνων ἀρετῆς ἡ ὑπόμνησις. ἀρχὴν τοίνυν ποιήσωμεν εἰς τοὺς δεσποτικοὺς ἀθλητὰς ἐγκωμίων, τὸν πρῶτον ἀνοίξαντα τὸ τῆς εὐσεβείας στάδιον, καὶ πρῶτον καταρξάμενον τῶν ἀθλητικῶν γυμνασίων. ἤλειψεν αὐτὸν ἡ χάρις τοῦ πνεύματος, ἐπαιδοτρίβησε δὲ πρὸς τὰ παλαίσματα ὁ ἀγωνοθέτης ὁ οὐράνιος, οὐ σώματι πυκτεύοντα, οὐδὲ τὰς χεῖρας εἰς ἅμιλλαν προβαλλόμενον, ἀλλὰ τὴν γλῶτταν ἀκονῶν κατὰ τῶν ταῖς χερσὶ πολεμούντων. ἴδωμεν τοίνυν τὸν ἀθλητὴν, ὅπως ἐν ἅπασι μιμητὴς ἀνεφάνη τοῦ δεσπότου. τοὺς γὰρ αὐτοὺς εἶχεν ἀνταγωνιστὰς, καὶ κατ' ἐκείνου θρασυνομένους. ἀλλ' ὅμως οὐκ ἐνέπλησεν αὐτοῖς τὴν ὠμότητα τὸ σωτήριον πάθος, ἀλλ' ἔτι διψῶσιν αἵματος τὸ πρῶτον δεσποτικὸν αἷμα ἐκχέαντες, καὶ φρονοῦσιν ὁμοίως κατὰ τῶν δούλων τὸν δεσποτικὸν ἐργασάμενοι φόνον. προβαλλώμεθα τοίνυν τῷ λόγῳ τὸν δόκιμον ἀθλητήν. ἐπεὶ γὰρ ἐν τοῖς ἔξωθεν ἀγῶσιν ἡνίκα ἂν οἱ στεφανῖται κρίνωνται, εἰώθασι τοὺς ἐξελεγχομένους καὶ προκρίτους εἰσάγειν εἰς τὰ παλαίσματα, ἵνα τὸν κατὰ τὴν ῥώμην ἐφάμιλλον ὁ εὐδόκιμος ἀναρρηθῇ στεφανίτης. ἐνταῦθα δὲ λέγε ὁ πρῶτος προμαχῶν, τῆς εὐσεβείας ὁ πύργος ὁ ἀκαταγώνιστος. ταῦτα γὰρ προσειπὼν πάντα τις αὐτὸν οὐκ ἂν ἁμάρτοι. παιδευτὴς ἐγένετο τῶν μετ' αὐτὸν ἀγωνισαμένων διὰ τῶν οἰκείων πόνων, καὶ πρῶτος ἁρπάσας τὸν στέφανον, εὐχερῶς ἔδειξε τοῖς ἑξῆς τοὺς πολεμοῦντας, τοῦ σώματος μόνον καταστοχαζομένους, τὴν δὲ ψυχὴν ἄτρωτον καταλιμπάνοντας. Μὴ φοβηθῆτε γάρ, φησιν, ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. ἐκείνης τοίνυν τῆς θείας φωνῆς μεμνημένος τῆς ἀλειφούσης αὐτὸν εἰς τὰ παλαίσματα, οὕτως ἀπεδύσατο πρὸς τοὺς ἀγῶνας ὁ ἀθλητής, καὶ τῇ γλώσσῃ τιτρώσκων τοὺς τὸ σῶμα τοῖς λίθοις κατατοξεύοντας, ἐδείκνυτο τοῖς λόγοις τῶν ἐκείνων βελῶν δυνατώτερος. καὶ τῷ μὲν σώματι ἐδέχετο τὰ διὰ τῶν λίθων τραύματα· τοῖς δέ γε ῥήμασι πικρότερον ἐτίτρωσκε τοὺς βάλλοντας, καὶ ἀνερέθιζε πρὸς τὸν καθ' αὑτοῦ πόλεμον, ἵνα συντομωτέραν αὐτῷ τὴν ὁδοιπορείαν κατασκευάσωσι τὴν εἰς οὐρανοὺς ἀναπέμπουσαν. καί μοι λογίζου τῶν βελῶν τὸ διάφορον. οἱ μὲν γὰρ λίθοις τὸ σῶμα κατέχωννυον, ὁ δὲ τοῖς παρὰ τοῦ πνεύματος ἑαυτῷ χορηγουμένοις ῥήμασι τὰς ἐκείνων καρδίας κατεστοχάζετο. Οὐδεὶς γάρ, φησιν, ἠδύνατο ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. ὦ γλώττης σάλπιγγος μεγαλοφωνοτέρας· ὦ ψυχῆς ἀκαταπλήκτου, παντὸς ἀδάμαντος στερροτέρας. δῆμον ἑώρα Ἰουδαϊκὸν καὶ ἐπισυνιστάμενον τῷ ἀθλητῇ, καὶ ὥσπερ τινὸς σκιᾶς θεώμενος, οὕτω κατεφρόνει τῶν παρόντων, καὶ τὰς τῶν λίθων νιφάδας δεχόμενος κατὰ τοῦ σώματος ἠγάλλετο, ὥσπερ τινὸς αὐτῷ πύργου διὰ τῶν λίθων οἰκοδομουμένου, ὥστε δι' ἑαυτοῦ φθάσαι τὸν οὐρανόν. τί τοίνυν τῆς πέτρας ἐκείνης τῆς λογικῆς γένοιτ' ἂν δυνατώτερον; τί δ' ἂν ὀφθείη τοῦ στύλου τῆς ἐκκλησίας στερρότερον; τὸ ἀκλινὲς διέσωσεν ἡ πίστις· καθάπερ τισὶν ἀσφαλεστάτοις ἐρείσμασιν ἐπερειδόμενος, οὕτω μεμένηκεν ἄτρωτος, τοῖς μὲν τραύμασι τὸ σῶμα ποικιλλόμενος, τῇ δὲ καρτερίᾳ τὴν ψυχὴν καλλωπιζόμενος, καὶ τῷ οἰκείῳ κάλλει πρὸς αὐτὸν τὸν οὐρανὸν ἁμιλλώμενος. ὥσπερ γὰρ ἐκεῖνος περικαλλὴς δείκνυται τῇ τῶν ἄστρων χορείᾳ διηνθισμένος· οὕτω δὴ καὶ ὁ θαυμάσιος οὗτος ἀθλητὴς τὸν χιτῶνα τὸν δεσποτικὸν ἔχων, τοῖς τραύμασιν, ὡς ποικίλοις ἠμφιεσμένος ἐνδύμασιν, ὡραΐζετο, καὶ ἐστίχθη τὰ στίγματα τοῦ Κυρίου

E Ms. ἐν Χ... Δεκ. κζ.

Ματθ. ι. κη.

Πράξ. ϛ. ι.

ἐν τῷ σώματι βαστάζων, ὥσπερ χαρακτῆρας δεσποτικούς. οὐ περιήγαγον οἱ λίθοι τὸν ἀθλητὴν, ἀλλ᾽ ὥσπερ τι φυτὸν οὐρανομῆκες ἐπὶ γῆς ἐῤῥιζωμένον, οὕτω καὶ ἀκαμπὴς ἐφυλάττετο, δεχόμενος τὰς τῶν λίθων βολὰς, καὶ μὴ καταπίπτων. τούτῳ γὰρ ἂν εἰκότως ἁρμόσειε τὸ προφητικὸν ἐκεῖνο λόγιον, ὅτι Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. [Ψαλ. ϙα΄ ιϛ΄.] ἐφοινίσσετο μὲν οὖν τὸ σῶμα, καὶ περιεῤῥεῖτο τοῖς τῶν αἱμάτων ῥεύμασιν, ἐπάλληλα δεχόμενος τῶν λίθων τὰ κύματα, πολλῷ δὲ πλέον τῇ πίστει πτερούμενος. ἑώρα γὰρ πρὸς τὸν οὐράνιον ἀγωνοθέτην, τὸν τοῖς οἰκείοις ἀθληταῖς τὴν χεῖρα προτείνοντα, καὶ πρὸς οὐρανὸν αὐτοὺς ἕλκοντα, ὅπου τῶν ἀγώνων ἀπόκειται τὰ ἔπαθλα, ὅπου τῶν στεφάνων ἡ ἀνάῤῥησις γίνεται, καὶ κατὰ τὸν Παῦλον ἴσως βοᾷ· [α. Κορ. θ΄ κϛ΄.] Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. βάλλομαι, καὶ τιτρώσκω τοῖς ῥήμασι. μνημονεύσατέ, φησι, τῶν πατέρων ὑμῶν τῶν τοὺς προφήτας καταλευσάντων. [Πράξ. ζ΄ νβ΄.] Τίνα γὰρ, φησιν, οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; κακῆς διαδοχῆς γεγόνατε κληρονόμοι, τὴν ἐκείνων μανίαν ζηλώσαντες· ὡς οἱ πατέρες ὑμῶν, καὶ ὑμεῖς· τὴν πατρικὴν διεδέξασθε μιαιφονίαν. ταῦτα τοῦ στεφάνου τῶν ἐκκλησιῶν τὰ ῥήματα, τοιαῦτα τοῦ στεφανίτου κατὰ τῶν ἐναντίων τὰ τοξεύματα. καὶ καθάπερ ἄλσους τις ἀνεγείρων φλόγα, οὕτω δὴ καὶ ὁ πρωτομάρτυς πλέον καθ᾽ ἑαυτοῦ τὴν ἐκείνων μανίαν ἠρέθιζεν. ἑώρα γὰρ τὸν ποθούμενον, καὶ ἐπόθει τὸν θεωρούμενον, καί τινα πρὸς αὐτοὺς ἴσως ἀπεφθέγγετο τοιαῦτα· τοῦ ἔξωθεν ἐνδύματος καταστοχάζεσθε, καὶ κατὰ τοῦ σώματος πέμπετε τοὺς λίθους· ἀλλὰ λέληθεν ὑμᾶς, ὡς ἔοικεν, ὅτι δή μοι πληροῦτε τὸν πόθον. καὶ γὰρ καὶ αὐτὸς καὶ παρὰ τοῦ Παύλου σπεύδω τὸν ἔξωθεν ἄνθρωπον ἀπεκδύσασθαι, ἵνα γυμνῇ τῇ ψυχῇ πρὸς οὐρανὸν ἀναπτῶ, καὶ τὸ αἰθέριον πέλαγος περαιωσάμενος, συμβασιλεύσω τῷ δεσπότῃ. οὗτος μόνος ὁ πλοῦς οὐκ ἔχει ναυάγιον, αὕτη ἡ θαλαττοπορεία, ἀχειμάστους διασώζει τοὺς πλέοντας· ἀκινδύνως μου πλεῖ τὸ σκάφος. οὐράνιον γὰρ ἔχω τὸν κυβερνήτην, τὸν τοῖς νοητοῖς αὐτοῦ πηδαλίοις κατευθύνοντα. φοινίξατέ μοι τὸ σῶμα τοῖς τραύμασι. καὶ γὰρ τὸν Ἰωσὴφ χιτῶνα ἐφοίνιξαν τῷ αἵματι οἱ πατέρες ὑμῶν, ὡς καὶ ὑμεῖς. πρέπον γὰρ αὐτοῖς συνεχῶς λέγεσθαι τὸ παρὰ τοῦ μάρτυρος εἰρημένον. ἐκείνους ἐμιμήσασθε τοὺς τὴν κακὴν κληρονομίαν ὑμῖν καταλελοιπότας. ἀλλὰ καὶ ἐκεῖνοι τὸν Ἰωσὴφ ἀποδόμενοι, διήμαρτον τῆς ἐλπίδος, καὶ οἱ τὸν σωματικὸν ναὸν λιθάζοντες, στεῤῥὸν ναὸν οἰκοδομοῦσι περικαλλέστερον. ὁρᾶν αὐτοῦ μοι τὰ προπύλαια ἔπεισιν. ἀπὸ γὰρ τῆς γῆς εἰς τὸν οὐρανὸν ἐστήρικται. ταῦτα γὰρ πρέποντα τῷ Στεφάνῳ τὰ ῥήματα, τῷ προπηδήσαντι τῶν ἀποστολικῶν λογάδων ἐπὶ τοὺς ἀγῶνας, καὶ ὀξυτέρῳ τῷ δρόμῳ φθάσαντι πρὸς τὸ τοῦ μαρτυρίου τέλος, τῷ ἐπὶ γῆς ἀγωνισαμένῳ, καὶ ἐν οὐρανοῖς ἀναῤῥηθέντι· ὃς φθεγγομένους μὲν τοὺς πολεμίους ἐνίκα, λιθοβολούμενος δὲ ὑπερηύχετο, καὶ ἐν τούτῳ τὸν δεσπότην μιμούμενος, καί φησι πρὸς τὸν ἀγωνοθέτην· Κύριε Ἰησοῦ Χριστὲ, δέξαι τὸ πνεῦμά μου. ἤνυσται μοῦ, φησιν, ὁ ἀγών· δέχου τοίνυν τὸν στεφανίτην ἐν οὐρανοῖς. ὑπόδεξαι ὁ ἀθλοθέτης τὸν ἀθλητήν. ἐπὶ τοὺς στεφάνους γὰρ τρέχω, καὶ τῶν ἐνταῦθα ἀγώνων σπεύδω κομίσασθαι τὰ ἔπαθλα. τοσαῦτα ἡμᾶς ὁ πρωτομάρτυς εἱστίασε καὶ τοῖς ῥήμασιν εὐδόκιμος πεφηνὼς καὶ τοῖς παλαίσμασιν, ἡ κορυφὴ τῶν μαρτύρων, ὁ στέφανος τῶν ἐκκλησιῶν, ὁ τὸν δεσπότην ἐπειγόμενος φθάσαι τῷ δρόμῳ, καὶ τῷ ἐν οὐρανοῖς καλοῦντι ὑπακοῦσαι δι᾽ ἐκείνης τῆς θείας φωνῆς, [Ἰωάν. ιβ΄ κϛ΄.] Ὅπου εἰμὶ ἐγὼ, φησιν, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμός. [Κολοσσ. γ΄ β΄.] Τὰ ἄνω γάρ, φησι, φρονεῖτε, οὗ ὁ Χριστὸς ἐν δεξιᾷ τοῦ πατρὸς κάθηται. ἐκεῖνον ἐπόθει τὸν θρόνον τὸν βασιλικὸν, πρὸς ἐκεῖνα ἔτρεχε τὰ βραβεῖα τῆς ἄνω κλήσεως· ἐκείνας ἐπόθει τὰς βασιλικὰς δωρεὰς τὰς παρὰ τοῦ ἐπουρανίου βασιλέως διανεμομένας τοῖς οἰκείοις αὐτοῦ ἀγωνισταῖς. τίς ἂν οὖν λόγος ἀρκέσειε τὸν τοσοῦτον καὶ τηλικοῦτον ἀθλητὴν πρὸς ἀξίαν ὑμνῆσαι τῷ λόγῳ, τὸν διὰ τῶν ἔργων κηρυττόμενον, καὶ καθάπερ στήλην ἀνεξάλειπτον καταλελοιπότα τῶν οἰκείων κατορθωμάτων τὴν μνήμην; τούτου τὸν πόθον ζηλώσωμεν, καὶ τὴν ἀρετὴν μιμησώμεθα, ἵνα καὶ τῶν ἀποκειμένων στεφάνων ἀπολαύσωμεν,

σωμεν, χάριτι τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, σὺν τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΤΕΦΑΝΟΝ. β.

Λογ. ρη.

Ex Ms. ἐν Χάλκη νήσῳ τῆς Χαλκηδόνος. Μηνὸς Δεκεμβ. κζ.

Οἱ μὲν ἔξωθεν στεφάνους πλέκειν ἀνδράσι βουλόμενοι, ῥόδα καὶ κρίνα καὶ τὰ λοιπὰ τῆς γῆς ἄνθη συνάγειν σπουδάζουσιν. οὕτω γὰρ τῶν ἐπι-νικίων στεφανοπλόκων ὁ νόμος. ἡμεῖς δὲ στέφανον κατασκευάζοντες τῷ μακαρίῳ Στεφάνῳ, ἐξ αὐτοῦ Στεφάνου τὰ πνευματικὰ ἄνθη τρυγή-σωμεν, ἵνα στέφανον χαρίτων τῇ κεφαλῇ Στεφάνου πλέξωμεν. λειμὼν γάρ ἐστιν ὁ μακάριος Στέφανος, πάσης εὐωδίας πεπληρωμένος, τῷ αἵματι τοῦ Χριστοῦ ἀρδευόμενος, τῷ πνεύματι τῷ ἁγίῳ καταμυριζόμενος, καὶ εὐωδιάζων τὰ σύμπαντα. ἰδοὺ γὰρ Στεφάνου μνήμη, καὶ τὰ πάντα ἁγιασμοῦ πεπλήρωται· ὁ οὐρα-νὸς τὸ πνεῦμα δεξάμενος, ἡ γῆ τὸ πνεῦμα ὑποδεξαμένη, ὁ ἀὴρ ὁμοῦ καὶ τὰ πάντα τοῦ μύρου τῆς εὐωδίας πεπλήρωται. ἡμεῖς δὲ ἔχομεν αὐτὸν ὑπὲρ ἡμῶν πρεσβεύοντα, τὸν τῆς ἐκκλη-σίας κόσμον, τὸν τῆς εὐσεβείας ἀθλητὴν, τὸν τοῦ Χριστοῦ μαθητὴν, τὸν τῶν Ἰουδαίων ἔλεγ-χον, τὸν τῶν μαρτύρων ἔξαρχον, τὸν τῶν χηρῶν προστάτην, τὸν τῶν πεινώντων τροφέα, τὸν τῶν καταπονουμένων ἀναπληρωτὴν, τὸν φρουρὸν τῆς ἁγίας Χριστοῦ πόλεως, τὸν τῶν καλῶν διακόνων στέφανον, τὸν στῦλον τῆς ἐκκλησίας, τὸ τῶν μαρτύρων ἀγλάϊσμα, τὸ τῆς οἰκουμένης καύχημα, τὸ ἑδραίωμα τῆς πίστεως· ὁ φύλαξ τῶν ἡμετέρων ψυχῶν, ὁ ὑπὲρ τῶν διωκόντων εὐχόμενος, καὶ ὑπὲρ τῶν λιθαζόντων ὑπεραπολογούμενος, καὶ διὰ τοῦτο ἀγγελικῇ χάριτι τὸ πρόσωπον δοξαζόμενος. Πάντες γὰρ, φησιν, οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου. στεφανώσωμεν ἀθλητὴν νῦν τὸν Στέφανον, τὸν πρωτοαθλητὴν τοῦ Χριστοῦ, καὶ τοῖς τῶν λόγων ἄνθεσι παύσωμεν. ἣν μὲν οὖν τοῦ χοροῦ τῶν ἀποστόλων τὸ καλλώπισμα, καὶ τοῖς μαθηταῖς τῆς εὐσεβείας ἐγκατελέγετο. ἡμερότητι ἐκράτει πάντων ἀνθρώπων, καὶ φιλάνθρωπον εἶχεν ἐξαίρετον, καὶ οὐδὲ οὕτω τοῖς αὐτοῦ πόνοις, ὡς τοῖς ἀλλοτρίοις ἐνέτρεχε, καὶ τὴν τοῦ πλησίον ἔνδειαν ἰδίαν ἐνόμιζε, καὶ τὸ προσὸν πάθος ἑτέρῳ ὡς αὐτῷ προσὸν ἐθεράπευεν. ἐν δὲ τοῖς πρώτοις τοῦ λόγου κηρύγμασι, διὰ ψιλῶς αἰθούσης τῆς πίστεως, καὶ παραγγέλματα οἱ μὲν πλουτοῦντες ἀπετίθεντο τῶν χρημάτων τὸν φόρ-τον, οἱ δὲ ἐνδεεῖς τὸ λεῖπον ἐλάμβανον. τῆς οὕτω καλῆς ἁρμονίας καὶ τάξεως οἰκονόμος ὑπῆρ-χεν ὁ Στέφανος, καὶ τοῦτον εἶχεν ἡ πενία προστάτην καὶ σύμμαχον, ὁ δὲ πλοῦτος ἡνίοχον. ἐ-πληρώθη ἐπαύετο μὲν ἐπ' αὐτὸν ἡ τοῦ πνεύματος δύναμις, καὶ τὸν ἄνθρωπον ἴδιον οἶκον εἶχεν ἡ χάρις. ἀναμνήσωμεν οὖν καὶ ἡμεῖς, ἀγαπητοὶ, σὺν τῷ πρωτομάρτυρι Στεφάνῳ τὸν τοῖς στεφάνοις δωρούμενον, τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα, ὅτι αὐτῇ πρέπει ἡ δόξα, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. ς. ιε.

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΣΤΕΦΑΝΟΝ. γ.

Λογ. ρθ.

Ex Ms. ἐν Χάλκη νήσῳ τῆς Χαλκηδόνος. Μηνὸς Δεκεμβ. κζ.

Πολλὰ καὶ θαυμαστὰ τοῦ μακαρίου Στεφάνου τὰ τρόπαια, καὶ οὐδὲ θά-νατος αὐτὸν τῆς εὐσεβοῦς παρατάξεως ἀπέστησε. ζῶν μὲν γὰρ πρὸς Ἰουδαίους ἐμάχετο, καὶ ἀποθανὼν δὲ κατὰ αἱρετικῶν ὁπλίζεται, ὅπλον ἔχων ἀκαταγώνιστον τῆς τριάδος τὴν πίστιν. καὶ βλέπε μοι τὰς τότε τῶν ἐναντίων φάλαγγας, καὶ ἐκπλάγηθι τοῦ στρατιώτου τὴν ἀνδρείαν. Ἀλεξανδρεῖς ἐπῄεσαν, καὶ Λιβερτῖνοι ἐπόρευον, Κίλικες

καὶ Ἀσιδαῖοι ἐπολιόρκουν, εἰς συνέδριον ἥρπαζον, ψευδομάρτυρας ἐμισθοῦντο, νιφάδας λίθων ηὐτρέπιζον, ὡς λέοντες κατ' αὐτοῦ τοῖς ὀδοῦσιν ἔβρυχον. ἀλλ' ὅμως ὁ στρατιώτης σοφίᾳ καὶ πνεύματι ὁπλισάμενος ἐνίκα, τῇ μορφῇ τοὺς ὁρῶντας καταστράπτων, καὶ τοῖς λόγοις τοὺς θεομάχους ἐκνευρίζων. ἀλλ' εἶδες τῶν σῶν πολεμίων τὰ ξίφη; βλέπε μοι πάλιν καὶ τὴν ἐκ Θεοῦ συμμαχίαν. οὐρανοῦ ἁψῖδας ἀνεπέτασε, τῷ ἀθλητῇ ἐπισείων τῶν βραβείων τὰ ἔπαθλα· ἀγγελικῇ μορφῇ τὸ πρόσωπον ἐκαλλώπιζε· νιφάδας λίθων τῇ νιφάδι τῶν λόγων ἀπεκρούετο. καὶ οἱ μὲν ἔβαλλον, ὁ δὲ ἔφερεν, καὶ ὁ Θεὸς στέφανον ἐπεδίδου τῷ Στεφάνῳ. βλέπε τοιγαροῦν καὶ τανῦν, καὶ ὄψει τῶν ἐπαίνων τὴν συγγένειαν. ποτὲ ἐπὶ τῶν φωνῶν τοῦ σταυροῦ συνηγόρει, καὶ νῦν ὁ Στέφανος ἐκκλησίας στέφανος. πρῶτος γὰρ τὰ τοῦ θανάτου ἐπάτησε κέντρα. ἐν βασιλείοις στέφανος· ἐθαλάμευσε γὰρ αὐτὸν ὁ βασιλεὺς καὶ παρθένος. παρὰ δὲ ἄρχουσι στέφανος· τὸν γὰρ τοῦ ξενοδοχήσαντος παῖδα βασιλέως πεποίηκε πατέρα. ἐν φιλοπτωχίᾳ στέφανος· χηρῶν καὶ ὀρφανῶν πλούσιος γέγονε, καὶ πιστὸς οἰκονόμος. κατὰ Ἰουδαίων στέφανος· ἐστηλίτευσε γὰρ τὴν συναγωγὴν μοιχευθεῖσαν εἰδώλοις. κατὰ αἱρετικῶν στέφανος· ἐμφράττει γὰρ τῶν θεομάχων τὰ στόματα, βοῶν, μέγας ὁ Κύριος ἡμῶν, μέγας. γλώττης γὰρ οὐχ ὑπόκειται μέτρῳ μέγας· διανοίας γὰρ ὑπερβαίνει φαντασίαν. μέγας· ἴδιον γὰρ τῆς θείας φύσεως τὸ ἀπερίγραπτον. μέγας· ἐκ κόλπων γὰρ πατρικῶν ἀνάρχως ἀνέτειλε. μέγας· ὡς γὰρ λόγος ἀπαθῶς ἐγεννήθη. μέγας· ἡ γὰρ θεία ὠδὶς τὴν οὐσίαν οὐκ ἐμέρισε. μέγας· ἐπὶ τοῦ θρόνου γὰρ κάθηται, οὐκ εἰς τὸ ὑποπόδιον ἔρριπται. μέγας· οἵα γὰρ ἡ ῥίζα, τοιοῦτος καὶ ὁ κλάδος. μέγας· ὁ γὰρ ἑωρακὼς τὸν υἱόν, ἑώρακε τὸν πατέρα. μέγας· οὐδὲν γὰρ ἄνισον ἐν τῇ τριάδι. μέγας· διὰ ὕδατος γὰρ πολλοὺς ἀνεγέννησε. μέγας· ὁρώμενος γὰρ οὐ παλαιοῦται. μέγας· μικρὸν γὰρ πατέρα οὐκ εἶχε. μέγας οὖν ὁ Κύριος ὁ υἱός, κἂν τοῖς γείτοσι μὴ δοκῇ· παντοκράτωρ ὁ υἱός. πάντα γὰρ δι' αὐτοῦ ἐγένετο. βασιλεὺς ἄναρχος ὁ υἱός· ὁ γὰρ βασιλεὺς ἡμῶν πρὸ αἰῶνος. ὁμοούσιος τῷ πατρὶ ὁ υἱός· Ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω. φῶς ἀληθινὸν ὁ υἱός· Ἐγὼ γάρ εἰμι τὸ φῶς τοῦ κόσμου. τί πολλὰ λέγω; Θεὸς καὶ παντοκράτωρ, ὁ ἐκ παρθένου σαρκωθεὶς υἱὸς τοῦ Θεοῦ, καὶ ποιμαίνων τὴν ἐκκλησίαν, ὡς μαρτυρεῖ ὁ προφήτης λέγων· Ἐπισκεψάσθω Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[Margin: Ἰωαν. η. μς. ις.]
[Margin: Ζαχ. ι. γ.]

Λογ. ρι.

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ.

[Margin: *Ex Ms.* ἐν Χάλκῃ νήσῳ τ. Χαλκηδόνος.]

Πᾶσα μὲν ἡμέρα φαιδρὰ τὴν ἡλιακὴν ἀκτῖνα φέρουσα, καὶ τὸ κοινὸν καταστολισμένη φῶς. οὕτω γὰρ ὁ δεσπότης καλλωπίσας τὴν κτίσιν, παρήγαγεν εἰς μέσον. ἔχει δὲ πλέον εἰς εὐφροσύνην ἡμέρα ἑορτῆς πανηγυρικὴ καὶ πανέορτος, λόγῳ καὶ λατρείᾳ Θεοῦ τετιμημένη. διπλῆν γὰρ ἐπιδείκνυσι τὴν εὐπρέπειαν, τό τε τῆς φύσεως ἄνθος φέρουσα, καὶ τὸ τῆς εὐσεβείας κάλλος ἐπιδεικνύουσα. τοιαύτη καὶ ἡ σήμερον ἑορτή, τὸν μὲν αἰσθητὸν τοῦ σώματος ὀφθαλμὸν καταλάμπουσα, τὸ δὲ νοερὸν ὄμμα τῆς διανοίας ταῖς ἀκτῖσι τοῦ λόγου φωτίζουσα. ἔστι γὰρ σήμερον βία τῶν τελῶν τῶν ἐπισήμων, τῶν τε ἐν τῷ νόμῳ κηρυττομένων, καὶ διὰ τῆς εὐαγγελικῆς χάριτος ᾀδομένων. ἐν ταύτῃ τῇ ἡμέρᾳ κατὰ τὴν παλαιὰν διαθήκην ἐδόθη νόμος· ἐν ταύτῃ κατὰ τὴν νέαν χάριν ἐδόθη τοῦ πνεύματος ἡ ἐπιφοίτησις· ἐν αὐτῇ τῇ ἡμέρᾳ Μωϋσῆς τοῦ νόμου τὰς πλάκας ἐδέξατο· ἐν ταύτῃ τῇ ἡμέρᾳ ὁ χορὸς τῶν ἀποστόλων ἐδέξατο τοῦ πνεύματος τὴν κάθοδον, ἀντὶ τῶν πλακῶν τῶν δοθεισῶν διὰ Μωϋσέως. λέγει γὰρ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γράφων ὁ μακά-

[Margin: ἴσ. μία]

ὁ μακάριος Παῦλος· Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ᾽ ἐν πλαξὶ καρδίας σαρκίναις. (β. Κορ. γ. β.) Ζητεῖτε δὲ, εἰ ἀληθῶς κατὰ ταύτην τὴν ἡμέραν ἐδόθη ὁ νόμος. οὐ γὰρ ῥητῶς ἐγγέγραπται ἐν τῇ παλαιᾷ διαθήκῃ, ὅτι τῇ πεντηκοστῇ ἐδόθη νόμος· ἀλλὰ τοῖς ἐρευνῶσι τὰ θεῖα γράμματα ἀνακύπτει θησαυρὸς τῆς γνώσεως. ἴδωμεν οὖν ποίᾳ ἡμέρᾳ, καθ᾽ ἣν ἐδόθη ὁ νόμος. λέγει γὰρ ὁ μακάριος Μωϋσῆς (διὸ προσέχετε ἀκριβῶς) Τῷ τρίτῳ μηνὶ ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου, εἶπε Κύριος τῷ Μωϋσῇ, (Ἐξοδ. ιθ. α.) καταβὰς διαμάρτυραι τῷ λαῷ, καὶ ἁγνίσουσιν ἑαυτοὺς σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ ἡμέρᾳ ὀφθήσομαι. προσέχετε ἀκριβῶς. τῷ πρώτῳ μηνὶ ἔξοδος Αἰγύπτου. τεσσαρεσκαιδεκάτη δὲ ἦν τοῦ πρώτου μηνός. μετὰ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, μετ᾽ ἐκείνην δὲ τὰς ἓξ ἡμέρας πληρούσας τὸν μῆνα, τουτέστι, δεκαεπτὰ, καὶ τὰς τριάκοντα τοῦ δευτέρου. καὶ ἐν τῇ τεσσαρακοστῇ ὀγδόῃ ἡμέρᾳ τοῦ δευτέρου μηνὸς ἔλεγεν ὁ Θεός· Διαμάρτυραι τῷ λαῷ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ ἡμέρᾳ τοῦ μηνὸς ὀφθήσομαι. τριάκοντα οὖν τοῦ δευτέρου, δεκαεπτὰ δὲ τοῦ πρώτου, καὶ τρεῖς τοῦ τρίτου. καὶ βλέπε τῶν πραγμάτων τὴν συμφωνίαν. ὅτι ὤφθη ὁ Θεὸς ἐν τῷ ὄρει Σινᾶ, ὤφθη ὡς πῦρ καιόμενον· ὅτι ἐπεφάνη τὸ πνεῦμα τὸ ἅγιον τοῖς ἀποστόλοις, ἐπεφάνη ἐν εἴδει πυρός. Ἐμερίσθησαν γὰρ γλῶσσαι ὡσεὶ πυρὸς, καὶ (Πραξ. β. γ.) ἐκάθισεν ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν. καὶ ὥσπερ, ἀδελφοί, ἐπιφαινομένου τοῦ Θεοῦ κατὰ τὴν παλαιὰν διαθήκην, πολλὰ ἦν τὰ δορυφοροῦντα φοβερὰ (καὶ γὰρ καὶ γνόφος, καὶ θύελλα, καὶ σάλπιγξ, καὶ βροντὴ περιεῖχε τὸ ὄρος, ἵνα παρασκευάσῃ τὸν λαὸν εἰς φόβον τοῦ νομοθέτου) οὕτω καὶ τοῦ ἁγίου πνεύματος μέλλοντος ἐπιφοιτᾷν, ἵνα μὴ τὸ αὐθαίρετον τῆς παρουσίας εἰς ῥᾳθυμίαν ἐνέγκῃ τοὺς δεχομένους, ἀλλὰ μάθωσι τοῦ πνεύματος τὴν ἀξίαν ἐνδόξως ἐπιφοιτῶσαν, ὥσπερ ἐν τῷ ὄρει γνόφος καὶ θύελλα προέδραμεν, οὕτω καὶ ἐπὶ τοῦ πνεύματος ἐγένετο. Ἐν τῷ (Πραξ. β. α.) συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς, ἐγένετο ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας· καὶ τότε ὤφθη τὸ πνεῦμα τὸ ἅγιον, καὶ συνέσεισε τὸν οἶκον. μεριζόμενον, οὐ τὴν φύσιν, ἀλλὰ τὰς ἐνεργείας μερίζον. οὐ γὰρ διαιρεῖται τὸ πνεῦμα, ἀλλὰ διαιρεῖ τὰ χαρίσματα, ὡς μαρτυρεῖ Παῦλος· Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται· (α. Κορ. ιβ. ια.) διαιροῦν, οὐ διαιρούμενον, μερίζον, οὐ μεριζόμενον, αὐθεντοῦν, οὐκ αὐθεντίᾳ ὑποκείμενον. καὶ ἣν ἔδωκε τῷ πατρὶ τιμὴν τῆς αὐθεντίας Παῦλος λέγων, Ὁ (α. Κορ. ιβ. ς.) δὲ Θεὸς αὐτός ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· τὴν αὐτὴν φωνὴν εἶπε καὶ ἐπὶ τοῦ πνεύματος λέγων· Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα. ἀλλ᾽ ἐκλήθη τὸ ἅγιον πνεῦμα παράκλητον. διὰ τί; ἀλλ᾽ ἢ διὰ τὸ παρακαλεῖν ἀνθρώπους, τουτέστι, παραμυθεῖσθαι; ἐπεὶ δὲ τῆς γραφῆς τὸ ἰδίωμα τοῦτο εὑρήσεις. παράκλησιν λέγει ὁ ἀπόστολος τὴν παραμυθίαν. παρακαλεῖ δὲ, οὐχ ὡς δεύτερον Θεοῦ, ἀλλ᾽ ὡς Θεός. καὶ γὰρ Θεοῦ ἴδιον τὸ παρακαλεῖν. λέγει γὰρ ὁ ἀπόστολος, ἵνα μὴ τὴν τοῦ παρακλήτου προσηγορίαν ὑβρίσῃς, Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν. (β. Κορ. ε. κ.) καὶ ἵνα, ἀδελφοί, μὴ νομισθῇ Παῦλος ξενίζειν ἐπὶ τῶν δογμάτων τὸν Θεὸν εἰσάγων παρακαλοῦντα ἀνθρώπους, λάβε παλαιᾶς μαρτυρίας ἀπόδειξιν. λέγει Ἡσαΐας ὁ προφήτης πρὸς τὴν Ἱερουσαλήμ· Παρακαλέσει σε ὁ ὀνομάσας σε. (Βαρ. δ. ιβ.) νόησον τοίνυν, παρακαλεῖ σε ὁ πατὴρ, παρακαλεῖ ὁ υἱός. λέγει γάρ· Πνεῦμα Κυρίου ἐπ᾽ ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· (Ησ. ξα. α.) παρακαλέσαι πάντας τοὺς πενθοῦντας. ἄλλως τε καὶ ὁ σωτὴρ βουλόμενος δεῖξαι τοῦ πνεύματος τὴν ὁμότιμον δόξαν, φησίν, Ἐπειδὰν ἀπέλθω, ἄλλον παράκλητον πέμψω· ἄλλος δὲ (Ιωαν. ιε. ζ.) οὐκ ἂν εἴη, μὴ ἑτέρου προτεταγμένου. ἐπιφαίνεται τοίνυν τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει πυρὸς γλωσσῶν. διὰ τί οὖν γλωσσῶν; διὰ τὸ τοῦ κηρύγματος χρήσιμον. ἐπειδὴ γὰρ γλώσσης ἐδέοντο οἱ ἀπόστολοι πρὸς τὸ πληρῶσαι διὰ τοῦ κηρύγματος τὰ πέρατα τῆς οἰκουμένης, ὃ ἔμελλεν ἐνεργεῖν τὸ πνεῦμα τὸ ἅγιον, τοῦτο σχηματίζεται κατὰ τὴν δωρεάν· ἄλ-

λως τε

λωστε καὶ διʼ ἀρχαίαν ὑπόθεσιν. ἐπειδὴ γάρ ποτε οἱ γίγαντες ἐθεομάχουν, καὶ πύργον ἐβούλοντο κατασκευάσαι, γλώσσας ὁ Θεὸς διαστείλας, ἐμέρισε τὴν κακὴν συμφωνίαν, ἀποστέλλει καὶ νῦν ἐνεργείας γλωσσῶν, ἵνα συνάψῃ τὴν διαμερισθεῖσαν οἰκουμένην. καὶ ἦν τὸ πρᾶγμα ξένον· γλῶσσαι τὴν οἰκουμένην ἔτεμον· γλῶσσαι τὴν οἰκουμένην συνῆψαν. γλῶσσαι διὰ τὸ κήρυγμα· πυρὸς δὲ διὰ τί; ἐπειδὴ ὑλομανήσασα ἡ ἀσέβεια, καὶ πάντα τὸν κόσμον συνδήσασα δίκην ἀκάνθης κατεῖχεν, ἀποστέλλει πυρίνας γλώσσας ἀναλισκούσας τὴν ἄκανθαν τῆς ἀσεβείας. αὐτὸς γάρ ἐστιν ὁ λέγων· Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν· πῦρ οὐκ ἀφανιστικόν. τὸ γὰρ τοῦ Θεοῦ πῦρ οὐ καίει, ἀλλʼ ἁγιάζει. διὰ τοῦτο τῷ Ἡσαΐᾳ ἀπεστάλη ἓν τῶν χερουβὶμ ἔχον ἄνθρακα πυρὸς ἀπὸ τοῦ θυσιαστηρίου, καὶ ὡς ἐπέθηκε τοῖς χείλεσιν αὐτοῦ, φησὶ πρὸς αὐτόν· Ἰδοὺ ἀφῄρηκα τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου. Ταύτην τοίνυν τὴν ἑορτὴν τῆς τοῦ ἁγίου πνεύματος ἐπιδημίας σεμνῶς ἑορτάζοντες, δόξαν ἀναπέμψωμεν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι. τίμησον τοῦ πνεύματος τὴν ἐπιφοίτησιν. τιμᾶται δὲ πνεύματος ἐπιφοίτησις ἐν συγχωρήσει τῶν ἁμαρτημάτων. ὅπου γὰρ πνεῦμα ἅγιον, ἐκεῖ ἄφεσις. φησὶ γὰρ ὁ Κύριος, Λάβετε πνεῦμα ἅγιον. ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς. τὸ πνεῦμα τὸ ἅγιον κηρύττεται τὸ ἐλευθερίαν· διό, ἐλεύθερος πατήρ, ἐλεύθερος υἱός, ἐλεύθερον τὸ πνεῦμα τὸ ἅγιον· δοῦλος δὲ ἐλευθερίαν παρέχειν οὐ δύναται. ὁ γὰρ μὴ ἔχει, οὐ χαρίζεται. διὰ τοῦτο, ἵνα μάθῃς κοινὴν ἐλευθερίαν υἱοῦ καὶ πνεύματος, ὁ σωτὴρ περὶ ἑαυτοῦ λέγει· Ἐὰν μὴ ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, δοῦλοί ἐστε. ἀπέδωκεν ἑαυτῷ τὴν ἐλευθερίαν. πάλιν ὁ Παῦλος λέγει· Οὕτω καταπαλειζόμεθα, ὡς ἀπὸ Κυρίου πνεύματος (ὁ γὰρ Κύριος τὸ πνεῦμά ἐστιν) ὅπου δὲ πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. ποτὲ μὲν πνεῦμα τὸ ἅγιον λέγεται, ποτὲ δὲ πνεῦμα υἱοῦ, ποτὲ δὲ πνεῦμα πατρός, οὐκ ἐν συγχύσει κηρυττόμενον, ἀλλὰ τὸ ἀδιάστατον τῆς θείας οὐσίας ἑρμηνευόμενον. ὁ υἱὸς καλεῖ αὐτὸ πνεῦμα τοῦ πατρός. Μὴ μεριμνήσητε γάρ, φησι, τί λαλήσητε· οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρός. ὁ υἱὸς λέγει τὸ πνεῦμα τοῦ πατρός, ὁ Παῦλος λέγει τὸ πνεῦμα τοῦ υἱοῦ. λέγει γὰρ οὕτως· Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν κρᾶζον ἀββᾶ ὁ πατήρ. ζωοποιεῖ ὁ υἱός, ζωοποιεῖ καὶ τὸ πνεῦμα. λέγει γάρ, ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱός, οὓς θέλει ζωοποιεῖ. εἶδες πατέρα καὶ υἱὸν ζωοποιοῦντας; βλέπε δὲ πάλιν καὶ τὸν ἀπόστολον, μᾶλλον δὲ αὐτὸν τὸν σωτῆρα διʼ αὐτοῦ λέγοντα, τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐδὲν ὠφελεῖ. ἔτι δὲ συντομώτερον χρήσομαι τῷ λόγῳ· αἱ χειροτονίαι τῶν ἐκκλησιῶν, ποτὲ μὲν ἐπιγράφονται ὑπὸ τοῦ Παύλου τῷ πατρί, ποτὲ τῷ υἱῷ, ποτὲ δὲ τῷ πνεύματι· οἷον ὅταν περὶ τοῦ πατρὸς λέγῃ χειροτονοῦντος τὰ ἐν τῇ ἐκκλησίᾳ ἀξιώματα, φησιν· ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, καὶ τὰ ἑξῆς. ἐνταῦθα τῷ πατρὶ ἐπέγραψε τὰς χειροτονίας, ὅτι αὐτός ἐστιν ὁ αὐθέντης καὶ καθιστῶν. ἀλλαχοῦ πάλιν ὁ αὐτὸς Παῦλος τῷ υἱῷ ἐπιγράφει· λέγει γάρ, ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα· καὶ αὐτὸς ἔδωκε, τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ ποιμένας καὶ διδασκάλους. βλέπε τὴν αὐθεντίαν διὰ τοῦ ῥήματος. οὐκ εἶπε, καὶ αὐτὸς ὑπούργησεν, ἀλλʼ, ἔδωκεν ἐξ ἰδίας αὐθεντίας, οὐ μεμερισμένης καὶ ἀπεσχισμένης τῆς τοῦ πατρὸς βασιλείας. ἃ γὰρ βούλεται ὁ πατήρ, βούλεται καὶ ὁ υἱός, καὶ ἃ βούλεται ὁ υἱός, τούτοις συνευδοκεῖ καὶ ὁ πατήρ. ἃ τοίνυν ἐπέγραψε τῷ πατρὶ καὶ τῷ υἱῷ, ὁ αὐτὸς πάλιν τῷ ἁγίῳ πνεύματι τὰς χειροτονίας ἀνατίθησι, μετακαλούμενος τοὺς Ἐφεσίων πρεσβυτέρους, καὶ λέγων αὐτοῖς Παῦλος ὁ ταῦτα εἰρηκώς, καὶ ταῦτα φθεγγόμενος· Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν. βλέπε τοῦ ῥήματος τὴν συμφωνίαν. οὐκ εἶπεν ἐπὶ τοῦ πατρὸς τό, ἔθηκεν, ἐπὶ δὲ τοῦ πνεύματος τό, ἔταξεν,

Margin notes: Γεν. ια. — Λουκ. ιβ μθ. — Ησ. ϛ. ϛ. ζ. — Ιωαν. κ. κβ. — Ιωαν. η. λϛ. — β. Κορ. γ. ιη. — Ματθ. ι. ιθ. — Γαλ. δ. ϛ. — Ιω. ε. κα. — Πραξ. κ. κη.

ἔταξεν, ἀλλὰ τῇ αὐτῇ λέξει, ἔθετο ὁ Θεὸς καὶ πατὴρ ἐν τῇ ἐκκλησίᾳ, ἔθετο δὲ πνεῦμα τὸ ἅ-
γιον ἐν τῇ ἐκκλησίᾳ. νομοθετεῖ πατὴρ ἐν τῇ ἐκκλησίᾳ· νομοθετεῖ πατὴρ, ὡς βασιλεὺς τῶν
αἰώνων· περὶ οὗ φησιν ὁ Δαβὶδ, Τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἠβουλήθην, καὶ τὸν [Ψαλμ. λθ. ια.]
νόμον σου ἐν μέσῳ τῆς καρδίας μου. νομοθετεῖ οὖν πατὴρ, νομοθετεῖ υἱός. ἄκουε Παύλου λέ-
5 γοντος· Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. ἔδειξε [Γαλ. ς. β.]
τὸν πατέρα νομοθετοῦντα, ἔδειξε τὸν υἱὸν νομοθετοῦντα. ὁ αὐτὸς καὶ τῷ ἁγίῳ πνεύματι τὸ τῆς νο-
μοθεσίας ἀξίωμα δίδωσι, μᾶλλον δὲ οὐ δίδωσιν, ἀλλ' ἀποδίδωσι, φησὶν, Ὁ γὰρ νόμος τοῦ πνεύμα- [Ρωμ. η. β.]
τος τῆς ζωῆς ἠλευθέρωσέ με ἐν Χριστῷ Ἰησοῦ· οὐχ ὅτι τρεῖς εἰσι νομοθέται. Εἷς γὰρ νόμος, καὶ
Εἷς νομοθέτης· Εἷς Θεὸς, κἂν ἐν τρισὶ προσώποις κηρύττηται. καὶ πῶς, φησὶ, δύναται πα-
10 τὴρ λέγεσθαι Θεὸς, καὶ Θεὸς υἱὸς, καὶ πνεῦμα ἅγιον Θεὸς, καὶ οὐ τρεῖς θεοί; ὅτι οὐ κοινὰ τὰ τῆς
φύσεως, κοινὰ καὶ τὰ ὀνόματα τοῦ ἀξιώματος. οἶδεν ὁ Θεὸς τὰ εἰς πλήθη διῃρημένα ἀπὸ μιᾶς
φύσεως ἑνὶ ὀνόματι καλεῖν. καὶ ὅτε ὀργίζεται τοῖς ἀνθρώποις, τὸν πάντα ἄνθρωπον, τὸν τῇ ὀρ-
γῇ ὑποκείμενον, ἕνα καλεῖ ἄνθρωπον· καὶ ὅτε διαλλάσσεται τῷ κόσμῳ, ὡς ἑνὶ ἀνθρώπῳ
διαλέγεται. οἶδεν ἐπάγει κατακλυσμὸν διὰ τὰς ἁμαρτίας ὁ Θεὸς, καὶ λέγει· Οὐ μὴ καταμείνῃ [Γεν. ς. γ. ζ.]
15 τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις. ἐξαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα. καίτοιγε οὐκ
ἦν εἷς, ἀλλὰ μυριάδες ἄπειροι. τῷ δὲ ὀνόματι τῆς φύσεως τοὺς πάντας ὡς ἕνα ἐκάλεσεν,
ὡς ἕνα ἄνθρωπον πάντα τὸν κόσμον, διὰ τὸ κοινὸν τῆς οὐσίας. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνή- [Ψαλ. η. ε.]
σκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν, φησὶν ὁ Δαβίδ; οὐχ ὅτι ἕνα ἐπεσκέψατο.
πᾶσαν γὰρ τὴν οἰκουμένην ἤγειρεν. ἑνὶ δὲ συντόμῳ χρήσομαι λόγῳ διὰ Μωϋσέως εἰ-
20 ρημένῳ, ὅτι ἐξῆλθε Φαραὼ κατὰ τὴν θάλασσαν, καὶ ὑπέσχε τῷ νόμῳ τῷ θείῳ τὴν τιμω-
ρίαν. Φαραὼ ἔπιπτε μετὰ μυρίων ἁρμάτων ἐν τῇ θαλάσσῃ, καὶ ἦσαν πολλοὶ ἄνθρωποι
βυθισθέντες μετ' ἐκείνου καὶ ἵπποι πολλοί. ὁ δὲ Μωϋσῆς εἰδὼς ὅτι μία ἐστὶ πάντων ἡ φύσις τῶν
ἀνθρώπων, λέγει· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρ- [Εξοδ. ιε. α.]
ριψεν εἰς θάλασσαν. τὰ πλήθη τῶν ἀνδρῶν, ἕνα ἄνθρωπον ἐπιβάτην διὰ τὴν κοινωνίαν
25 τῆς οὐσίας ὠνόμασεν. εἰ τοίνυν ἐν τοῖς ἀνθρώποις, ὅπου συγκέχυται τὰ τῆς γνώσεως, ὅπου
διάφορα τὰ τῆς μορφῆς εἴδη (οὐδὲ γὰρ ἕν ἐστιν, οὐδὲ γνώμη ἴση, ἀλλὰ διάφοροι γλῶσσαι,
διάφοροι λόγοι) διὰ τὸ κοινὸν τῆς φύσεως πᾶσα ἡ οἰκουμένη Εἷς ἄνθρωπος λέγεται, ὅπου
ἀμέριστος ἡ ἀξία, μία βασιλεία, μία δύναμις ἰδιάζουσα, τὴν τριάδα ἕνα λέγω Θεόν. εἰ
δὲ διὰ τὸ λέγειν Θεὸν καὶ Θεὸν καὶ Θεὸν, τρεῖς λέγω θεοὺς, ἐὰν Εἴπω Κύριον καὶ Κύριον καὶ Κύριον,
30 τρεῖς λέγω Κυρίους; οὐδαμῶς. λέγει γὰρ ὁ ἀπόστολος τὸν πατέρα Κύριον, τὸν υἱὸν Κύριον,
καὶ τὸ πνεῦμα τὸ ἅγιον Κύριον· ὡς καὶ ὁ Δαβίδ· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ
δεξιῶν μου. Εἰ δὲ Κύριος Κυρίῳ· ὁ ἀπόστολος, Ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστιν. Εἰ τοίνυν ὁ
πατὴρ Κύριος, καὶ ὁ υἱὸς Κύριος, καὶ τὸ πνεῦμα Κύριος, πῶς σὺ, ὦ ἀπόστολε, ὁ νομοθέτης τῆς
ἀληθείας, ὁ συνήγορος τῆς εὐσεβείας βοᾷς Ἐφεσίοις λέγων· Εἷς Κύριος, μία πίστις, ἓν βά- [Εφ. δ. ε.]
35 πτισμα; Εἷς Κύριος κατὰ τὸν ἁγιασμὸν τῶν σεραφίμ. καὶ γὰρ ἐκεῖνα ἐκβοᾷ, Ἅγιος, ἅγιος, [Ησ. ς.]
ἅγιος Κύριος. Εἰ δὲ φιλονεικοῦσιν οἱ αἱρετικοὶ, ὅτι ἄλλη κυριότης τοῦ πατρὸς, ἄλλη δὲ τοῦ υἱοῦ,
θαυμάζω πῶς ἀνέχονται δυσὶ κυρίοις δουλεύειν. τοῦ γὰρ σωτῆρός ἐστι φωνὴ, τὸ, Οὐδεὶς δύναται [Ματθ. ς. κδ.]
δυσὶ κυρίοις δουλεύειν. Εἰ μερίζεις τὴν ἐξουσίαν, πῶς δουλεύεις τῇ βασιλείᾳ; οὐ γὰρ δύ-
ναται λατρεύθηναι δύο ἀξιώματα κατὰ τὸ αὐτὸ, ἐὰν μὴ ὁμοτιμία ᾖ. οὐδεὶς γὰρ προσκυνεῖ
40 βασιλεῖ καὶ ἄρχοντι. ὅπου γὰρ ὁμότιμος ἡ ἀξία, ὁμότιμος καὶ ἡ προσκύνησις. ἐν τῷ ἴσῳ ἀ-
ξιώματι οὐκ ἔστι μάχη. τὸ ἄνισον ἐγείρει μάχην· τὸ ἴσον βραβεύει τὴν Εἰρήνην. οὐ συν-
εχώρησέ σοι ὁ Χριστὸς μερίσαι τὴν τιμήν. λέγει γάρ· Τοῦτό ἐστι τὸ θέλημα τοῦ πατρὸς, ἵνα [Ιωαν. ε. κγ.]
πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν πατέρα. τίμα τὸν πατέρα, ἵνα τιμήσῃς τὸν υἱόν, μᾶλλον
δὲ τίμα τὸν υἱόν, ἵνα τιμήσῃς τὸν πατέρα. ἰδιοποιεῖται ὁ πατὴρ τοῦ υἱοῦ τὴν τιμήν· ἰδιοποιεῖται ὁ
υἱὸς

[Ιωαν. ιε. κγ.] υἱὸς τοῦ πατρὸς τὴν τιμήν. λέγει γὰρ ὁ σωτήρ· Ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. μὴ τοίνυν νομίσωσιν οἱ αἱρετικοὶ ὅτι Θεῷ χαρίζονταί τι, μέγαν αὐτὸν λέγοντες παρὰ τὸν υἱὸν (οὐ γὰρ δέχεται τὴν εἰς αὐτὸν ἀναφερομένην τιμὴν ὁ πατήρ, ὑβριζομένου τοῦ υἱοῦ) καὶ λάβε πραγμάτων ἀπόδειξιν ἐναργῆ ἐκ τῆς παλαιᾶς γραφῆς. οἱ φίλοι τοῦ Ἰὼβ οἱ ἐλθόντες εἰς παραμυθίαν, ἐνεκάλουν αὐτῷ προσφθεγγομένῳ τολμηρά, καὶ ἐδικαίουν τὸν Θεόν. ὁ δὲ Ἰὼβ ἔλεγε τῷ Θεῷ· τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, καὶ εἰδῶ πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου, ὅτι οὕτω με ἔκρινας; οἱ φίλοι τοῦ Ἰὼβ ἐδικαίουν τὸν Θεόν, ἀγνοουμένης τῆς ὑποθέσεως, καὶ τὸν μὲν δίκαιον μᾶλλον κατέκρινον ὡς ἁμαρτήσαντα, Θεῷ δὲ συνηγόρουν ὡς ἐπαγγελίᾳ. καὶ λέγουσιν αὐτῷ, μεγάλως ἐλάλησας, ὑπερβαλλόντως ἐλάλησας σὺ κατὰ τοῦ ἰχθύου, καὶ ὁ Θεὸς μὴ παράττει τὸ δίκαιον; κατὰ τὰς ἁμαρτίας σου ἐπήγαγεν. εἰ μὴ πολλαί σου ἦσαν αἱ ἁμαρτίαι, οὐκ ἂν μεμάστιξαι. καὶ ἐδόκουν συνηγορεῖν Θεῷ, τὸν δὲ δίκαιον κατέκριναν. ἆρα ἐδέξατο τοὺς ὑπὲρ αὐτοῦ λέγοντας παρὰ τὸ δίκαιον ὁ Θεός; εἰ ἐδέξατο τὴν ὑπὲρ αὐτοῦ συνηγορίαν, ἀτιμαζομένου τοῦ δικαίου, δέχεται καὶ τὴν εἰς ἑαυτὸν τιμήν, ἀτιμαζομένου τοῦ υἱοῦ. ἄκουε τί λέγει ὁ Κύριος τοῖς φίλοις τοῦ Ἰώβ·

[Ιωβ. μβ. ζ.] Ἵνα τί οὐκ ἐλαλήσατε ὀρθὰ κατὰ τοῦ θεράποντός μου; εἰ κατὰ τοῦ θεράποντος οὐδὲ ὀρθὰ μὴ λαλήσαντας ἀποστρέφεται, τὸν κατὰ τοῦ μονογενοῦς ἀκανονίστως τὴν γλῶτταν δέχεται; ἄπαγε. ἀπαραίτητος τοίνυν ἡ δίκη τοῖς βλασφημοῦσι τὸ πνεῦμα τὸ ἅγιον.

[Ματθ. ιβ. λα.] ἄκουε τί φησιν ὁ σωτήρ· Πᾶσα βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ εἰς τὸ ἅγιον πνεῦμα βλασφημία οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι. τίς χρεία συλλογισμῶν γεννητῶν καὶ ἀγεννήτων, κτιστῶν καὶ ἀκτίστων; ὀξὺς ὁ λόγος τῆς αἱρέσεως ὑπὲρ ξυρὸν ἠκονημένον. ἀλλὰ καὶ ξυρόν, κἂν μεγάλως ᾖ καὶ ἰσχυρῶς ἠκονημένον, τρίχας ξυρᾶν δύναται, οὐ ξύλα τέμνειν. ὁ δὲ τῆς ἀληθείας λόγος οὐκ ἔστι ξυρόν, ἀλλ' ἔστιν ἀξίνη. διὰ τοῦτο Ἰωάννης ὁ βαπτιστὴς λέγει·

[Ματθ. γ. ι.] Ἰδοὺ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. οὐκ εἶπε, ξυρόν (οὐ γάρ ἐστι λόγον, κατὰ τοὺς λειοῦντας ἔξω τῇ λέξει τὴν ματαιότητα) ἀλλ' ὁ λόγος τοῦ Θεοῦ ἀξίνη τέμνουσα τὰς ὑπερηφανίας τῶν ἀλαζόνων, ὡς μαρτυρεῖ Ἰωάννης λέγων· Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. ὁ ὄχλος τῶν δόλια λαλούντων καὶ αἱρέσεις πλεκόντων, ξυρόν ἐστιν,

[Ψαλ. να β.] ὡς λέγει ὁ Δαβὶδ τῷ Σαούλ, Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνατός, ἀνομίαν; ὅλην τὴν ἡμέραν ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου, ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. ὁ πατὴρ νομοθετεῖ,

[Ιωαν. ε. λβ.] ὁ υἱὸς κελεύει, τὸ πνεῦμα αὐθεντεῖ. ἄκουε τοῦ Θεοῦ λέγοντος· Εὐαγγελιζόμενοι ἥξουσιν, οὓς Κύριος προσκέκληται. παρακαλῶ σε, ἔκδος σου τὴν ἀκοήν, ἵνα μάθῃς τῆς ἀληθείας τὴν συμφωνίαν. οὐ γὰρ λογισμοῖς μαχόμεθα, ἀλλὰ γραφαῖς ἀκολουθοῦμεν. εὐχόμεθα δὲ δοῦλοι εἶναι τῶν γραφῶν, οὐ τὰς γραφὰς δουλαγωγεῖν πρὸς τοὺς ἡμετέρους λογισμούς. συλλογισμοὺς ἡ πίστις οὐ δέχεται, οὐχ ὡς ἀλόγιστος, ἀλλ' ὡς πάντα λογισμὸν ὑπερβαίνουσα.

[β. Κορ ι. δ.] ἵνα δέ σοι δείξῃ Παῦλος, ὅτι ἡ πίστις κατὰ τῶν λογισμῶν ὁπλίζεται, λέγει· Τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. ἀλλ' εἰ καὶ πολλάκις ὁ ἄνομος τῇ διαλεκτικῇ νικᾷ, μὴ ξενισθῇς.

[Ψαλ. ξδ γ.] λέγει γὰρ ὁ Δαβίδ· Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς. ἀποστέλλει ὁ πατὴρ τοὺς ἀποστόλους, ἀποστέλλει καὶ ὁ υἱός, ἀποστέλλει καὶ τὸ ἅγιον πνεῦμα. λέγει

[Ματθ. ιθ.] ὁ σωτὴρ τοῖς ἀποστόλοις· Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς εἰς τὸν κόσμον· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη.

[Πραξ. ιγ δ.] λέγει καὶ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων· Οἱ μὲν οὖν ἐκπεμφθέντες ἀπὸ τοῦ ἁγίου πνεύματος κατῆλθον εἰς Σελεύκειαν. καλεῖ ὁ πατὴρ ἀποστόλους, καλεῖ ὁ υἱὸς ἀποστόλους.

[Ιωαν. ε. λβ.] λέγει ὁ προφήτης· Ἀπὸ γὰρ τοῦ ὄρους Σιὼν ἥξει ὁ εὐαγγελιζόμενος, καὶ εὐαγγελιζόμενοι οὓς ὁ Κύριος προσκέκληκεν. οὐκοῦν Θεοῦ ἐστι προσκαλεῖσθαι τοὺς εὐαγγελιζομένους. εἰ τοίνυν Θεοῦ τὸ προσκαλεῖσθαι, διὰ τοῦτο τὸ πνεῦμα φθεγγόμενον διὰ

[Πραξ. ιγ β.] τῶν προφητῶν εἶπε· Τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον· Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν

Βαρνάβαν εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. Ταῦτα παρ' ἡμῶν ἀρκούντως εἴρηται· ὁ δὲ Θεὸς τῆς εἰρήνης πληρώσας ἡμᾶς αὐξήσοι εἰς τὴν αὐτοῦ πίστιν καὶ ἀγάπην, ὅτι αὐτῷ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ μονογενεῖ υἱῷ, καὶ τῷ παναγίῳ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΣΕΒΗΡΙΑΝΟΥ
ΕΠΙΣΚΟΠΟΥ ΓΑΒΑΛΩΝ
ΕΙΣ ΤΗΝ ΚΟΣΜΟΠΟΙΙΑΝ

λόγοι ἕξ, Χρυσοστόμῳ δὲ ἐν τοῖς ἀντιγράφοις ἐπιγραφόμενοι.

Λογ. α.

Πᾶσα εὐσεβείας ὑπόθεσις, τῶν ψυχῶν ἐστι τῶν ἡμετέρων διόρθωσις. πρὸς ταύτην γὰρ τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν ὁρᾷ πάντα τὰ τῆς εὐσεβείας παιδεύματα. ταύτην γοῦν καὶ ὁ τοῦ Θεοῦ πραγματεύεται λόγος· ταύτην ὁ Μωϋσέως ὑποτίθεται νόμος· ταύτην κηρύττουσιν αἱ νοεραὶ τῶν προφητῶν γλῶσσαι· ὑπὲρ ταύτης ἀσιγήτοις στόμασι βοῶσιν οἱ ἀπόστολοι. πάντα γὰρ ὑπὲρ ἡμῶν, καὶ δι' ἡμᾶς· ἵνα πρὸς διόρθωσιν δραμόντα τὰ ἡμέτερα, τῆς εὐσεβείας καταξιωθῇ. πᾶσα μὲν οὖν βίβλος ἁγία ἀφορμὴν ἔχει τὴν ἡμετέραν σωτηρίαν, ὡς ἔφθην εἰπών· αὕτη δὲ ἡ τῆς δημιουργίας βίβλος, ἀρχὴ καὶ πηγὴ καὶ δύναμίς ἐστι πάντων τῶν ἐν νόμῳ καὶ προφήταις. καὶ ὥσπερ οἶκον οὐκ οἷόν τε στῆναι, θεμελίου μὴ ὑποκειμένου· οὕτως οὐδὲ τὰ τῆς δημιουργίας κάλλη λάμψαι, μὴ τῆς δημιουργίας τὴν ἀρχὴν ἀπολαβόντα. οἶδα μὲν οὖν ὅτι πολλοὶ τῶν ἁγίων πατέρων καθῆκαν εἰς τὸν τῆς δημιουργίας λόγον, πολλὰ καὶ μεγάλα καὶ ἔνδοξα εἰρηκότες, ὡς ἡ τοῦ ἁγίου πνεύματος ἐπεμέτρησε χάρις. καὶ πολλῶν καὶ μεγάλων καὶ θαυμαστῶν προειρημένων, οὐδὲν κωλύει καὶ τὰ παρ' ἡμῶν ῥηθῆναι, ὡς ἂν ἡ τοῦ ἁγίου πνεύματος χορηγήσῃ χάρις. ὥσπερ γὰρ οἱ πρὸ ἡμῶν οὐκ ἐνεποδίσθησαν ὑπὸ τῶν πρὸ αὐτῶν, οὕτως οὐδὲ ἡμεῖς ὑπὸ τῶν πρὸ τῆς ἡμετέρας γενεᾶς. καὶ γὰρ κἀκείνοις καὶ ἡμῖν καὶ τοῖς μεθ' ἡμῶν μία ἐστὶν ἡ χάρις ἡ χορηγοῦσα τοῦ ἁγίου πνεύματος τὴν δύναμιν. Πάντα γάρ, φησιν, ἐνηργεῖτο ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται. οὐ τοίνυν τὰ παρὰ τῶν πατέρων ἐκβάλλεται, ἀλλὰ τὰ παρ' ἡμῶν προστίθεται. κἂν ᾖ μεγάλα τὰ παρ' αὐτῶν, μικρὰ δὲ τὰ παρ' ἡμῖν, ἀλλὰ συνοικοδομεῖται ἐκείνοις. ὥσπερ γὰρ λίθον μετὰ κύβου τάξιν φέ-

α. Κορ. ιβ. ια.

ροντα

ὥσπερ ἐν οἰκοδομῇ παλαιοῦντα καὶ ἠρέμα σαλευόμενον μικρὸς ὑποβληθεὶς λίθος στηρίζει· οὕτω καὶ τὰ ὑπὸ τῶν πατέρων εἰρημένα μικρὰς προσθήκας δεχόμενα, μείζονα τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ἀπεργάζεται. παρακαλῶ δὲ τὴν ὑμετέραν ἀγάπην ταῖς ἐννοίαις τῶν λεγομένων προσέχειν, μὴ εἰ ξέναι εἰσὶν, ἀλλ' εἰ ἀληθεῖς ὑπάρχουσιν. οὔτε γὰρ τὸ ἐν συνηθείᾳ πάντως τὸ ἀληθὲς, οὔτε τὸ ξένον ψευδές· ἀλλὰ πανταχοῦ ζητεῖται ″ ἡ ἀλήθεια, ἢ ψευδῆ τὰ λεγόμενα. ἀξιῶ δὲ, μήτε ὡς φίλον τινὰ χαρίσασθαι, ἀνεξετάστως δεχόμενον τοὺς λόγους, μήτε ὡς ἐχθρὸν ξενίζοντα ἐκβάλλειν τὸν λόγον· ἀλλ' ὁρᾷν πανταχοῦ, εἰ ἀλήθειά ἐστιν ἡ τοῖς λεγομένοις βραβεύουσα.

Γεν. α. α.

Ἐν ἀρχῇ, φησιν, ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ ἱστορία αὕτη ἐστὶ μὲν Μωϋσέως τοῦ νομοθέτου σύγγραμμα, καὶ πνεύματος ἁγίου ἀποκάλυψις· περιέχει δὲ δημιουργίαν, δυνάμει μὲν Θεοῦ γενομένην, προφητικῇ δὲ χάριτι Μωϋσῇ ἀποκαλυφθεῖσαν. οὐ γὰρ εἶπε ταῦτα Μωϋσῆς, ὡς ἱστοριογράφος, ἀλλ' ὡς προφήτης. εἶπε γὰρ, ἃ μὴ εἶδε, καὶ διηγήσατο, ὧν θεατὴς οὐκ ἐγένετο. ὥσπερ γὰρ τρία εἴδη προφητείας εἰρήκαμεν πάλαι, ὅτι πρῶτον μὲν εἶδος προφητείας τὸ εἰπεῖν, δεύτερον δὲ τὸ δι' ἔργου, τρίτον δὲ τὸ δι' ἔργου καὶ λόγου· οὕτω καὶ ἐνταῦθα τρία μέρη προφητείας· προφητεία περὶ τῶν ἐνεστώτων, προφητεία περὶ τῶν μελλόντων, προφητεία περὶ τῶν παρελθόντων· οἷον, ὁ μὲν κυρίως προφήτης, φέρε εἰπεῖν Ἡσαΐας, τοῖς ἐπὶ Μωϋσέως γενομένοις· ἀλλ' ἐπειδὴ τὸ πνεῦμα Μωϋσέως ἦν ἐν αὐτῷ ἀποκαλύπτον αὐτῷ τὰ γενόμενα, προφητεία ἦν. ἔστι δὲ αὖθις προφητεία καὶ ἐπὶ τῶν παρόντων· ὡς ἐάν τις καὶ ἐπὶ τοῦ προφήτου βουληθείη κρύψαι τι ἐν τῇ διανοίᾳ, καὶ ὁ προφήτης ἐλέγξῃ αὐτὸν, ὡς ὁ Ἐλισσαῖος τὸν Γιεζὶ τὰ μέλλοντα προσημαίνων, καὶ τὰ κεκρυμμένα δεικνύων. Μωϋσῆς εἶπε τὰ προγεγονότα, ἄλλοι τὰ μέλλοντα. οὕτως οὖν δεῖ προσέχειν τῇ ἱστορίᾳ ταύτῃ, οὐχ ὡς διηγήματι, ἀλλ' ὡς προφητείᾳ ἀληθινῇ ἐκ πνεύματος ἁγίου λελαλημένῃ. τίς δὲ ὁ σκοπὸς τῷ προφήτῃ; δύο προέκειτο Μωϋσεῖ ποιῆσαι, καὶ διδασκαλίαν ἐκθέσθαι, καὶ νομοθεσίαν ὑποτυπῶσαι. νομοθέτης γὰρ ὢν, οὐ πρῶτον ἤρξατο τῆς νομοθεσίας, ἀλλὰ τῆς δημιουργίας. διὰ τί δὲ πρῶτον ἠθέλησε δεῖξαι τὸν Θεὸν δημιουργὸν τοῦ παντὸς καὶ δεσπότην; ἵνα δειχθῇ Θεὸς οὐκ ἀλλοτρίοις νομοθετῶν, ἀλλὰ τοῖς ἰδίοις. εἰ μὴ γὰρ πρότερον ἔδειξεν αὐτὸν δημιουργὸν τοῦ κόσμου, οὐκ ἂν ἀξιόπιστος ἐδείχθη νομοθέτης τοῦ κόσμου. τὸ γὰρ ἀλλοτρίοις νομοθετεῖν, βίας· τὸ δὲ τοὺς ἰδίους παιδεύειν, ἀκολουθίας. καὶ ὥσπερ Ἰωάννης οὐ πρῶτον ἔταξε τοῦ Χριστοῦ τὴν νομοθεσίαν, ἕως εἶπεν αὐτοῦ τὴν δεσποτείαν, εἰπών· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος. πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, ὃ γέγονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅτε εἶπεν αὐτὸν ποιητὴν καὶ δημιουργὸν, τότε εἰσάγει αὐτὸν διδάσκαλον καὶ νομοθέτην τοῦ παντός. πάλιν ἄλλος σκοπὸς Μωϋσέως. διὰ τί ὁ μακάριος Μωϋσῆς οὐρανοῦ μὲν ἐμνημόνευσε, καὶ γῆς, καὶ θαλάσσης, καὶ ὑδάτων, καὶ τῶν ἐξ αὐτῶν· ἀγγέλων δὲ, ἢ ἀρχαγγέλων, ἢ σεραφὶμ, ἢ χερουβεὶμ οὐκ ἐμνημόνευσεν; ἐπειδὴ καὶ τὴν νομοθεσίαν πρὸς τοὺς τότε καιροὺς ἥρμοσεν. ᾔδει γὰρ οἷς διελέγετο, τοῖς ἐξελθοῦσιν ἐξ Αἰγύπτου, τοῖς τὴν Αἰγυπτιακὴν πλάνην μαθοῦσιν· ἥλιον καὶ σελήνην καὶ ἄστρα, ποταμοὺς καὶ πηγὰς καὶ ὕδατα″. κατέλιπεν οὖν τὴν τῶν ἀοράτων δημιουργίαν, καὶ κενοῖ τὸν λόγον ἐπὶ τῶν ὁρωμένων, ἵνα πείσῃ τοὺς τούτοις προσκυνοῦντας μὴ νομίζειν αὐτὰ θεοὺς, ἀλλ' ἔργα Θεοῦ. καὶ γὰρ οὐκ ἦν ἀναγκαῖον τότε δεῖξαι ἐκείνοις περὶ ἀγγέλων καὶ ἀρχαγγέλων, ἵνα μὴ πάλιν θρέψῃ αὐτῶν τὴν νόσον. εἰ γὰρ μὴ βλέποντες ἀγγέλους″, πολλῷ μᾶλλον, εἰ ἤκουσαν ἀγγέλους ἢ ἀρχαγγέλους, ἐνόμισαν ἐκείνους θεοὺς εἶναι. ἀλλὰ μνημονεύει οὐρανοῦ καὶ γῆς, ὀρέων καὶ ὑδάτων, καὶ τῶν ἐξ αὐτῶν πάντων, ἵνα ἀπὸ τῶν ὁρωμένων ἑρμηνεύσῃ τὸν ἀόρατον, καὶ ἀπὸ τῶν ἔργων δείξῃ τὸν τεχνίτην. οὕτως οὖν καὶ οἱ τρεῖς παῖδες ἐν Βαβυλῶνι ἐποίησαν.

Ιωαν. α. α.

ἐπειδὴ

ἐπειδὴ γὰρ ἐν τῷ ἔθνει ἦσαν ἐκείνῳ τῷ θεομάχῳ, καὶ οὐκ ἦν Θεοῦ γνῶσις, ἀλλ' εἴδωλα
προσεκυνεῖτο, ἐν τῇ καμίνῳ οὗτοι λέγουσιν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.
διὰ τί οὐκ εἶπον, ἄγγελοι, οὐρανοί, γῆ, πῦρ, ὕδωρ, ψῦχος, καῦμα, καὶ ὅσα τοιαῦτα, ἀλλὰ
τὴν δημιουργίαν διαριθμοῦσι κατὰ μέρος; ἵνα ὅλην πλιώσωσι τὴν κτίσιν, καὶ ὅλην καθαίρωσι
τὴν δημιουργίαν, καὶ μηδένα καταλείπωσι ἀπὸ θήραν τῆς ἀσεβείας· ὥσπερ καὶ ἐνταῦθα Μωϋ-
σῆς θελήσας τῶν Ἰουδαίων τὴν Αἰγυπτιακὴν ἀπελάσαι πλάνην, μνημονεύει καὶ οὐρανοῦ καὶ
γῆς, ὡς γενομένων, ἵνα δείξῃ τὰ πεποιημένα, καὶ μνημονεύσῃ τὰ πεποιηκότα. ἐν ἀρχῇ ἐποί-
ησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ὧδέ μοι τὸν νοῦν. ἐγὼ θαυμάζω, πῶς Ἰωάννης καὶ Μωϋ-
σῆς τὸ αὐτὸ προοίμιον ἔχουσι. καὶ γὰρ οὗτος λέγει, Ἐν ἀρχῇ ἐποίησεν· κἀκεῖνος λέγει, ἐν ἀρχῇ
ἦν. ἀλλὰ κἀκεῖνος χρησίμως, καὶ οὗτος κυρίως. ὅπου μὲν γὰρ δημιουργία, ἔταξε Μωϋσῆς
τό, ἐποίησεν· ὅπου δὲ δημιουργός, ἔταξε τό, ἦν, ὁ εὐαγγελιστής. πολὺ δὲ τὸ μέσον τοῦ, ἐποίησε,
καὶ τοῦ, ἦν. τὸ μὲν γὰρ ἐγένετο μὴ ὄν· ὁ δὲ ἦν, ἀεὶ ὤν. ἐν ἀρχῇ ἐποίησε, καὶ ἐν ἀρχῇ ἦν.
Θεοῦ τὸ εἶναι, κτισμάτων δὲ τὸ γίνεσθαι. ὥσπερ καὶ ὁ εὐαγγελιστὴς μερίζει· περὶ μὲν τοῦ σωτῆρος
λέγει, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν
ἀρχῇ· ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. λέγει τό, ἦν, ἵνα ἑρμηνεύσῃ
τὸ ὄν. περὶ δὲ οἰκέτου ὅτι ἐκήρυξε τὸν ὄντα, καὶ ἦλθεν εἰς τὸν δοῦλον τὸν Ἰωάννην, λέγει· Ἐγένετο [Ιωαν. α. ε.]
ἄνθρωπος. εἰ δὲ περὶ τοῦ σωτῆρος τολμῶσι λέγειν, ὅτι καὶ ὁ σωτὴρ γενόμενος ἦν, οὐδὲν διαφέρει
τῆς γῆς. προσέχετε, παρακαλῶ. ἐὰν εἴπῃ ὁ αἱρετικός, ὅτι ὁ Χριστὸς γενόμενος ἦν, πρὶν γενέσθαι
οὐκ ἦν, τί πλέον ἔχει τῆς γῆς; καὶ γὰρ περὶ τῆς γῆς εἶπε Μωϋσῆς, Ἡ δὲ γῆ ἦν. εἰ οὖν τό, ἐν ἀρχῇ ἦν, εἰς [Γεν. α. β.]
ποίησιν λαμβάνουσι, καὶ οὐ κατὰ τὴν ἀΐδιον φύσιν, οὐδὲν πλέον ἔχει τῆς γῆς. καὶ ὁ Θεὸς λόγος ἦν,
καὶ ἡ γῆ ἦν· ἀλλ' ἐκεῖ μὲν ἐν ἀρχῇ ἦν μὴ γενόμενος, ἀλλ' ἀεὶ ὤν· ἡ δὲ γῆ γενομένη ἦν. οὐ
γὰρ εἶπε πρῶτον ὁ νομοθέτης, ἡ δὲ γῆ ἦν, ἕως ὅτε εἶπεν, ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρα-
νὸν καὶ τὴν γῆν. οἶδα μὲν οὖν, ἀδελφοί, ὅτι τὰ λεπτὰ ταῦτα ζητήματα δυσχερῆ φαίνεται
ταῖς τῶν πολλῶν διανοίαις. ἀλλὰ δεῖ ἐν ἡμέρᾳ νηστείας νηφούσαις μᾶλλον ταῖς ψυχαῖς
περὶ τῶν βαθυτέρων νοημάτων διαλέγεσθαι. ἐν ἀρχῇ ἦν, καὶ ἐν ἀρχῇ ἐποίησε. διὰ τοῦτο τὸ
προοίμιον ἴσον εἶπον, ἐν ἀρχῇ, καὶ ἐν ἀρχῇ, ἵνα δειχθῇ μία ῥίζα τῆς εὐσεβείας, ἡ κἀκεῖνον
παιδεύσασα τὸν νομοθέτην, καὶ τοῦτον φωτίσασα τὸν θεολόγον. ἀδελφαὶ γὰρ αἱ δύο διαθῆ-
και, ἐξ ἑνὸς πατρὸς τεχθεῖσαι. διὰ τοῦτο καὶ συμφώνως τὸν λόγον προφέρουσι. σχεδὸν γὰρ ἡ
αὐτὴ εἰκὼν καὶ ὁμοιότης ἐν ταῖς ἀρχαῖς· καὶ ὥσπερ ἐν ἀδελφαῖς ἐξ ἑνὸς πατρὸς γεγεννημέναις πρόσ-
εστι τῆς ὁμοιότητος τὰ ἰδιώματα· οὕτως ἐπειδὴ αἱ δύο διαθῆκαι ἐξ ἑνὸς πατρὸς ἐγεννήθησαν,
πολλὴν ἔχουσι τὴν ἐμφέρειαν. ἀμέλει καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ προηγεῖται νόμος, καὶ
ἀκολουθοῦσι προφῆται, καὶ ἐν τῇ νέᾳ χάριτι προηγεῖται τὸ εὐαγγέλιον, καὶ ἀκολουθοῦσιν ἀπό-
στολοι. ἐκεῖ δώδεκα προφῆται, ** τῶν δώδεκα. δώδεκα, οἱ περὶ Ὠσηέ· καὶ τέσσαρες, Ἡ-
σαΐας, Ἱερεμίας, Ἰεζεκιήλ, Δανιήλ. ἐν τῇ νέᾳ δώδεκα ἀπόστολοι, καὶ τέσσαρες εὐαγγελισταί.
ἐκεῖ πάλιν πρώτη κλῆσις Θεοῦ ἀπὸ ἀδελφῶν ἤρξατο. ἔλαβε γὰρ τὸν Μωϋσῆν καὶ τὸν Ἀα-
ρὼν πρώτους κήρυκας· καὶ ἐν τῷ εὐαγγελίῳ πρώτην κλῆσιν ποιεῖται Πέτρου καὶ Ἀνδρέου. καὶ
ἐκεῖ μὲν ἁπλῆ χάρις, ὧδε δὲ διπλασίων. ἐκεῖ γὰρ δύο ἀδελφοὶ ἐκλήθησαν, Μωϋσῆς καὶ
Ἀαρών· ἐνταῦθα δὲ διπλῆ δυὰς ἀδελφῶν, Πέτρος καὶ Ἀνδρέας, Ἰάκωβος καὶ Ἰωάννης. ἐπειδὴ
ἠθέλησεν ὁ σωτὴρ τὴν κατὰ τὸ ἅγιον πνεῦμα ἀγάπην ἐντυπῶσαι ἡμῖν, καὶ ἀδελφοὺς ποιῆσαι
τῇ διαθέσει καὶ τῷ πνεύματι, ἔλαβε θεμέλιον τὴν φύσιν, καὶ προσέπηξε τὰ τῆς φύσεως σπλάγ-
χνα, καὶ ἐν ἐκείνῃ ἐποικοδομεῖ τὸ θεμέλιον τῆς ἐκκλησίας. πρῶτον σημεῖον ἐν τῇ παλαιᾷ ὁ πο-
ταμὸς εἰς αἷμα μεταβαλλόμενος· πρῶτον σημεῖον καὶ ἐν τῇ καινῇ, τὸ ὕδωρ εἰς οἶνον. ἀλλ'
οὐκ ἔστι τοῦ παρόντος καιροῦ πᾶσαν εἰπεῖν ἐφεξῆς τὴν ὁμοιότητα. εἰς δὲ τὸ προκείμενον ἐ-
πανέλθωμεν. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. ἐν ἓξ ἡμέραις ἐποίησεν

ὁ Θεὸς τὰ πάντα· ἀλλ' ἡ πρώτη ἡμέρα διαφέρει τῶν ἄλλων τῶν μετ' αὐτήν. τῇ μὲν γὰρ πρώτῃ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς, ἃ ἐποίησεν, ἐκ μὴ ὄντων· ἀπὸ δὲ τῆς δευτέρας ἡμέρας οὐδὲν ἐποίησεν ὁ Θεὸς ἐκ μὴ ὄντων, ἀλλ' ἐξ ὧν ἐποίησε τῇ πρώτῃ ἡμέρᾳ, μετέβαλεν ὡς ἠθέλησε. σὺ δὲ σκεψάμενος καὶ ἐρευνήσας, εἰ μὲν εὑρίσκεις ἀλήθειαν, συμφώνησον· εἰ δὲ οὐχ εὑρίσκεις ἀλήθειαν, κατηγόρει, καὶ δέχομαι τὴν κατηγορίαν. φέρε γάρ μοι πολλὴν ἀπολογίαν. τῇ μὲν οὖν πρώτῃ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὰς ὕλας τῶν κτισμάτων· ταῖς δὲ ἄλλαις ἡμέραις τὴν μόρφωσιν καὶ τὴν διακόσμησιν τῶν κτισμάτων. οἷόν τι λέγω· ἐποίησε τὸν οὐρανὸν μὴ ὄντα, οὐ τοῦτον, ἀλλὰ τὸν ὑπεράνω. οὗτος γὰρ τῇ δευτέρᾳ ἐγένετο. ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν τὸν ἄνω, περὶ οὗ Δαβὶδ λέγει, Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ. ὑπερῷον δέ ἐστι τοῦτο. καὶ ὥσπερ ἐν οἴκῳ διωρόφῳ μεσολαβεῖ στέγη μέση, οὕτως ὡς ἕνα οἶκον κτίσας ὁ Θεὸς τὸν κόσμον, μέσην στέγην ἐπέθηκε τὸν οὐρανὸν τοῦτον, καὶ ὑπεράνω τὰ ὕδατα. διὰ τοῦτο λέγει Δαβίδ· Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. ἐποίησεν οὖν τὸν οὐρανὸν μὴ ὄντα, τὴν γῆν μὴ οὖσαν, τὰς ἀβύσσους μὴ οὔσας, ἀνέμους, ἀέρας, πῦρ, ὕδωρ· πάντων τῶν γινομένων τὴν ὕλην τῇ πρώτῃ ἡμέρᾳ ἐποίησεν. ἀλλὰ πάντως ἐρεῖ τις· γέγραπται μὲν, ὅτι ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, περὶ δὲ ὕδατος καὶ πυρὸς καὶ ἀέρος οὐ γέγραπται. πρῶτον μὲν οὖν, ἀδελφοὶ, ἀφ' οὗ εἶπε τὸν οὐρανὸν καὶ τὴν γῆν γεγενῆσθαι, ἐκ τῶν περιεχόντων ἐμήνυσε καὶ τὰ περιεχόμενα. ὡς γὰρ ὅτε εἶπεν, ὅτι Ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, εἶπε μὲν τὸ πλάσμα, οὐκ ἠρίθμησε δὲ τὰ μέλη, οὐδὲ εἶπεν, ἐποίησεν ὁ Θεὸς ὀφθαλμοὺς καὶ ὦτα καὶ ῥῖνα, ἀλλὰ τῷ εἰπεῖν τὸν ἄνθρωπον, ὅλα συμπεριέλαβε τὰ μέλη· οὕτω καὶ ἐνταῦθα εἰπὼν, τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησεν ὁ Θεὸς, συμπεριέλαβε πάντα, καὶ συνέστησαν καὶ τὸ σκότος, καὶ τὰς ἀβύσσους γεγενημένας. Σκότος γὰρ ἦν, φησιν, ἐπάνω τῆς ἀβύσσου. ἄβυσσος δὲ καλεῖται τὸ πλῆθος τῶν ὑδάτων. ὅτι δὲ καὶ ἄβυσσοι ἐγένοντο, μαρτυρεῖ ἡ γραφὴ λέγουσα, Πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ τὴν γῆν γενέσθαι. ὥστε καὶ ἄβυσσοι ἐγένοντο. εἶτα καὶ ὁ ἀὴρ πότε ἐγένετο, ἄκουε. καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τῶν ὑδάτων. πνεῦμα δὲ οὐ τὸ ἅγιον λέγει ἐνταῦθα (οὐ γὰρ τῇ κτίσει συναριθμεῖται τὸ ἄκτιστον) ἀλλὰ πνεῦμα καλεῖ τὴν τοῦ ἀέρος κίνησιν. καὶ ὥσπερ ἐν τῷ Ἡλίᾳ γέγραπται τῷ προφήτῃ, Καὶ ὁ οὐρανὸς συνεσκότασεν ἐν νεφέλῃ καὶ πνεύματι· οὕτω καὶ ἐνταῦθα πνεῦμα τὴν τοῦ ἀέρος λέγει φύσιν. λοιπὸν λείπεται δεῖξαι, ποῦ τὸ πῦρ ἐγένετο. Εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο ἡ τοῦ πυρὸς φύσις. οὐ γὰρ μόνον τοῦτο τὸ πῦρ ἐστιν, ἀλλὰ καὶ αἱ ἄνω δυνάμεις πῦρ εἰσι, καὶ συγγενές ἐστι τὸ ἄνω πῦρ τούτου τοῦ παρ' ἡμῖν. ζητεῖται δὲ, ὅτι τὸ μὲν σβέννυται· ἐπεὶ καὶ τοὺς ἀγγέλους ἐποίησεν ὁ Θεὸς πνεύματα, καὶ τὰς ψυχὰς ἡμῶν πνεύματα. ἀλλὰ τὰς μὲν ψυχὰς ἡμῶν ἐν σώμασιν ἐποίησε, τοὺς δὲ ἀγγέλους ἐκτὸς σωμάτων. ὥσπερ οὖν ἐπὶ τῶν ψυχῶν καὶ τῶν ἀγγέλων, οὕτω καὶ ἐπὶ τοῦ πυρός ἐστιν ἰδεῖν. τὸ μὲν πῦρ τὸ ἄνω ἄνευ ὕλης, τὸ δὲ πῦρ τὸ κάτω μετὰ ὕλης. τὸ γὰρ ἄνω πῦρ συγγενές τούτου ἐστὶν, ὥσπερ καὶ ἡ ψυχὴ ἡμῶν συγγενὴς ὑπάρχει ἀγγέλων, καθ' ὃ καὶ ἀμφότεροι πνεύματα, καὶ αὗται πνεύματα· ὡς καὶ οἱ τρεῖς παῖδες λέγουσιν, Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων· καὶ πάλιν, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα. οὔτε οὖν ψυχὴ ἄνευ σώματος φαίνεται, οὔτε πῦρ ἄνευ στυππείου ἢ κληματίδος ἢ ἑτέρας ὕλης ἐστὶν ἰδεῖν. ἵνα δὲ δειχθῇ ὅτι τὸ πῦρ τοῦτο οὐκ ἔστιν ἀλλότριον, ἡ κτίσις διδάσκει. πολλοὶ γὰρ πολλάκις παρὰ τοῦ ἡλίου δανείζονται πῦρ καὶ ἅπτουσιν. εἰ δὲ ἦν ἀλλότριον, πῶς τὸ ἀλλότριον ἐξ αὐτοῦ ἐλαμβάνετο; ἄλλως δὲ, οὕτως ἐν τῷ οὐρανῷ πῦρ ἐστιν ἄϋλον καὶ μέγα, ὡς καὶ ἐν τῷ ὄρει Σινᾶ πῦρ φανῆναι, ὅπερ οὐ ξύλων ὑποκειμένων, ἀλλ' ἐξ αὐτοῦ τοῦ ἀΰλου πυρὸς ἤγαγεν ὁ Θεὸς εἰς θέαν, καὶ ὡς ἂν εἴποι τις ἐστὶ τοῦτο μικρὸν τὸ πῦρ παρ' ἐκεῖνο τὸ πῦρ τὸ μέγα. οὕτως οὖν λέγει καὶ Μωϋσῆς, Ἐξ οὐρανοῦ ἐποίησεν ὁ Κύριος ἀκουστὴν φωνὴν αὐτοῦ, καὶ ἔδειξεν ὁ Θεὸς τὸ πῦρ αὐτοῦ τὸ μέγα· ἵνα δείξῃ τοῦτο μικρόν. πάντα οὖν πῦρ ἐστι, καὶ ἡ ἀστραπὴ, καὶ οἱ ἀστέρες, καὶ ὁ ἥλιος, καὶ ἡ σελήνη. [ὥστε] καὶ τὸ

παρ'

Marginal notes: Ψαλ. ρις. κε. — Ψαλ. ργ. γ. — Γεν. β. ζ. — Παροιμ. η. κδ. — γ. Βασ. ιη. με. — ** — Ωδὴ τῶν γ. παίδων. — Εβρ. α. η. — Δευτ. δ. λς.

παρ' ἡμῖν πῦρ συγγενές ἐστι τούτων. καὶ βλέπε πῶς συγγένειαν ἔχει ἡ ἀστραπὴ πρὸς τοὺς ἀστέ-
ρας, ἐκ τοῦ ὀνόματος, ἀστραπὴ καὶ ἄστρα. καὶ ὁ σωτὴρ δὲ ἵνα δείξῃ ὅτι τὸ πῦρ καὶ ἡ ἀστραπὴ συγ-
γενές ἐστι, λέγει ἐν τῷ εὐαγγελίῳ, Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν οὖν ὁ ὀφθαλ- Ματθ. ϛ. κϐ.
μός σου φωτεινὸς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται. ταῦτα ὁ σωτήρ· εἶτα ἐπάγει, Ὡς Λουκ. ια. λϛ.
5 ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. λύχνον καὶ ἀστραπὴν εἰπὼν, τὴν αὐγὴν τοῦ λύχνου
ἐδήλωσε. πάντα οὖν ἐγένετο· πῦρ ἐγένετο, ἄβυσσοι ἐγένοντο, ἄνεμοι, τὰ τέσσαρα στοιχεῖα,
γῆ, πῦρ, ὕδωρ, ἀήρ. καὶ γὰρ ἅπερ παρέλειψεν, ὡς ἐν παραδόξῳ ἀνακεφαλαιοῦται Μωϋσῆς
λέγων, Ἐν ἓξ ἡμέραις ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς. ὥσπερ Ἐξοδ. κ. ια.
δὲ ἐπὶ τοῦ σώματος οὐκ εἶπε πάντα τὰ μέλη, οὕτως οὐδὲ ἐπὶ τῆς δημιουργίας ἐξηριθμήσα-
10 το, εἰ καὶ πάντα συγκατεσκευάσθη τῷ κόσμῳ. εἰ δὲ μὴ ἦν ἐν τῇ γῇ πῦρ, οὐκ ἂν σήμερον
ἀπὸ πέτρας πῦρ ἐξύομεν, ἢ ἀπὸ ξύλου. παρατριβόμενον γὰρ τὸ ξύλον πῦρ γεννᾷ. πρόσ-
εχε [οὖν] ἀκριβῶς. Σκότος ἦν, φησιν, ἐπάνω τῆς ἀβύσσου. ἆρα οὖν σκότος, φησίν; ὁ Θεὸς Γεν. α. ϐ.
ἐποίησεν; οἶδα μὲν οὖν ὅτι βαθὺ τὸ νόημα. ἀλλ' ἐπειδὴ μεταξύ ἐσμεν πολλάκις καὶ τῶν ἀ-
γαπητικῶς ἀκουόντων καὶ τῶν ἐπιλαμβάνεσθαι φιλούντων, ἀνάγκη μὴ παραλιπεῖν ἀνεξ-
15 έταστον τὸν λόγον, ἵνα μὴ μεγάλη μὲν ἡ ἐπαγγελία ᾖ, μικρὸν δὲ τὸ ἀποτέλεσμα. πόθεν οὖν τὸ
σκότος; ὁ γὰρ Θεὸς αὐτό, φησιν, οὐκ ἐποίησε. Θεὸς γάρ, φησιν, οὔτε σκότους, οὔτε γνόφου
ἐστὶν ἐργάτης. τί ποτε οὖν ἐστι σκότος; πολλοὶ ἠθέλησαν εἰπεῖν ἀποσκίασμα εἶναι τοῦ οὐρανοῦ.
ὡς γὰρ ἐγένετο, φησιν, ὁ οὐρανὸς ὁ ἄνω, καὶ ἐλήφθη τὰ φῶτα τὰ ἄνω, ἐγυμνώθη ἡ γῆ καὶ ἐγένε-
το σκότος. ἀλλ' ὁ οὐρανὸς ἄνω φωτεινός ἐστιν, οὐ σκοτεινός· κἂν μὴ εἶχε τὸν ἥλιον, ἢ τὴν σε-
20 λήνην, ἢ ἄστρα, αὐτὴν εἶχε τὴν φύσιν λάμπουσαν. εἰ οὖν ὁ οὐρανὸς ἐπέκειτο, ἡ δὲ γῆ ἥ-
πλωτο, ὁ λάμπων ἄνωθεν, τὸ φωτιζόμενον κάτωθεν, πόθεν τὸ σκότος; ἐμοὶ οὖν δοκεῖ, ἐπειδὴ
ἐπεπόλαζε τὸ ὕδωρ τῇ γῇ, ἀχλὺς δὲ καὶ γνόφος περὶ τὰ ὕδατα συνειστήκει (ὃ καὶ γίνεται νῦν ἐπὶ
τοῖς ποταμοῖς) ἡ ἀχλὺς γνόφον ἐγείρουσα ἐποίησε νεφέλας· αἱ δὲ νεφέλαι ἐπισκιάζουσαι
σκότος ἐποίησαν. ὅτι δὲ ἐγείρει νεφέλη σκότος, λέγει ἡ γραφή, Καὶ ὁ οὐρανὸς συνεσκότασεν ἐν γ. Βασ. ιη. μ.
25 νεφέλαις. δεῖ δὲ μὴ ἀγνοεῖν καὶ τῶν αἱρετικῶν τὰς ἀλληγορίας. αἱρετικοί τινες ἐτόλμησαν
εἰπεῖν, ὅτι σκότος ὁ διάβολός ἐστιν· ἡ δὲ ἄβυσσος, οἱ δαίμονες· ὅτε δὲ εἶπεν ὁ Θεός, γενη-
θήτω φῶς, τουτέστιν, ὁ υἱὸς ἵνα γένηται εἶπε· καὶ οὐκ αἰσχύνονται τὸν διάβολον πρεσβύτερον
λέγοντες τοῦ υἱοῦ. εἰ γὰρ δαίμων ἐστὶν ἄβυσσος, ὁ δὲ διάβολος σκότος, μετὰ ταῦτα δὲ εἶ-
πεν ὁ Θεός, γενηθήτω τὸ φῶς, τουτέστιν, ὁ υἱός, οὐ μόνον αὐτοῦ ἐστιν ἰσότιμος, ἀλλὰ καὶ πρεσβύ-
30 τερος. ἀλλὰ ταύτης μὲν τῆς ἀσεβείας οὐδὲ ὅλως μνημονεῦσαι ἔδει· ὑπὲρ δὲ τοῦ μὴ ἀγνο-
εῖν ὑμᾶς τὰ ὑπὸ τῶν ἀσεβῶν λεγόμενα, παρηγάγομεν τοῦτο. σκότος τοίνυν ἦν τότε τὸ ἐκ
τῶν νεφελῶν. οὕτω γὰρ ἦν καὶ ἐν Αἰγύπτῳ σκότος, οὐ νυκτὸς οὔσης, ἀλλ' ἀχλύος γενομένης. Ἐξοδ. ι. κα.
οὕτως οὖν καὶ ἐν τῷ ὄρει Σινᾶ σκότος ἦν, οὐ νυκτὸς γενομένης, ἀλλὰ νεφέλης σκιαζούσης. οὔ- Δευτ. δ. ια.
τως ἐγένετο καὶ ἐπὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ σκότος, οὐ νυκτὸς ἐπελθούσης, ἀλλὰ σκιάσματος καὶ
35 ἀντιφράξεως γενομένης. οὕτως οὐ δεῖ ἁπλῶς ἐπιχειρεῖν τοῖς θείοις λογίοις. Καὶ πνεῦμα
Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. πνεῦμα καλεῖ τὸν ἄνεμον, ὡς λέγει ἀλλαχοῦ, Ἐν πνεύ- Ψαλ. μζ. ζ.
ματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς, πνεῦμα καλῶν τὴν τοῦ ἀέρος κίνησιν. μὴ γὰρ νο-
μίσῃς ἄλλο εἶναι ἀέρα, καὶ ἄλλο ἄνεμον. αὐτὸς γὰρ ὁ ἀὴρ κινούμενος ποιεῖ ἄνεμον, ὡς μαρ-
τυρεῖ τούτοις ἡ πεῖρα. πολλάκις γοῦν ἢ ῥιπιδίῳ, ἢ σινδόνι ἡσυχάζοντα τὸν ἀέρα κινοῦμεν,
40 καὶ ποιοῦμεν ἀπὸ τῆς κινήσεως τοῦ ἀέρος ἄνεμον. ἵν' οὖν δειχθῇ ἐκ τοῦ πνεύματος, ὅτι ὁ
ἄνεμος ἀέρος ἐστὶ κίνησις, διὰ τοῦτο εἶπεν, ἐπεφέρετο. ἴδιον γὰρ ἀνέμου τὸ ἐπιφέρεσθαι τῇ
δημιουργίᾳ. Καὶ εἶπεν ὁ Θεός, γενηθήτω φῶς. διὰ τί δὴ μὴ εἶπε Μωϋσῆς, ὅτι εἶ-
πεν ὁ Θεός, γενηθήτω οὐρανός, γενηθήτω θάλασσα· ἀλλ' ἐκεῖ μὲν, ἐποίησεν, ὧδε δέ,
εἶπεν; ἐπειδὴ παρ' ἡμῖν προηγεῖται ὁ λόγος τοῦ ἔργου (πρότερον γὰρ λεγόμεν, εἶτα

ἐργαζόμεθα) βουλόμενος δεῖξαι τὸν Θεὸν πρῶτον ἐργαζόμενον, ἵνα παντὸς λόγου ὀξυτέραν παραστήσῃ τὴν δημιουργίαν, ὅτι μὴ διὰ ὕλης ἐργάζεται, δυνάμει λέγει δὲ, ἐποίησεν· ὅτι δὲ ἔμελλε κοσμεῖν τὰ πάντα, ἀρχὴ δὲ τοῦ κόσμου τὸ φῶς ἦν, εἰσάγει λόγον ἁρμόζοντα. καὶ ἐπειδὴ πάλιν πρῶτον ἔργον Θεοῦ φῶς, τελευταῖον δὲ ἔργον Θεοῦ ὁ ἄνθρωπος ἦν, πρῶτον ἐργάζεται Θεὸς λόγῳ τὸ φῶς, ὕστερον δὲ τὸν ἄνθρωπον ἔργῳ, ἀπὸ φωτὸς εἰς φῶς συμπληρῶν. καὶ πῶς φῶς ὁ ἄνθρωπος, ἄκουε. τὸ φῶς δείκνυσι τὰ ὄντα, τὸ φῶς τοῦ κόσμου ὁ ἄνθρωπος εἰσελθὼν, ἔδειξέ σοι φῶς τέχνης, φῶς ἐπιστήμης. τὸ φῶς ἔδειξε σῖτον, ἡ σύνεσις ἐποίησεν ἄρτον· τὸ φῶς ἔδειξε τὸν βότρυν τῆς ἀμπέλου, τὸ φῶς τῆς συνέσεως ἔδειξε τὸν οἶνον τὸν ἐν τῷ βότρυϊ· τὸ φῶς ἔδειξε τὸ ἔριον, τὸ φῶς τῆς συνέσεως ἔδειξεν ἱμάτιον· τὸ φῶς ἔδειξεν ὄρος, τὸ φῶς τῆς συνέσεως ἔδειξε τὴν λατομίαν. [Ματθ. ε. ιδ.] διὰ τοῦτο καὶ ὁ σωτὴρ φῶς καλεῖ τοὺς ἀποστόλους λέγων, Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. διὰ τί καλεῖ αὐτοὺς φῶς; οὐχ ἵνα αὐτοὺς τιμήσῃ μόνον, ἀλλ' ἵνα καὶ τὴν ἐλπίδα τῆς ἀναστάσεως δείξῃ. ὥσπερ γὰρ τὸ φῶς ἑσπέρας δῦνον οὐκ ἀπόλλυται, ἀλλὰ κρύπτεται, καὶ κρυβόμενον πάλιν φαίνεται· οὕτω καὶ ὁ ἄνθρωπος, ὡς εἰς δύσιν τινὰ, τῷ τάφῳ παραπεμφθεὶς, πάλιν τῇ ἀνατολῇ τῆς ἀναστάσεως τετήρηται. γενηθήτω φῶς. εἶπε τὸ γινόμενον, τὸν δὲ τρόπον οὐκ ἐμήνυσεν, ἀλλ' οὐδεὶς ἔμαθεν. ὅτι μὲν γὰρ ἐγένετο φῶς, οἶδα, [Πραξ. α. ζ.] φησι· τὸ δὲ, πῶς ἐγένετο, οὐ καταλαμβάνω. διὰ τοῦτο καὶ ὁ σωτὴρ ἔλεγε τοῖς ἀποστόλοις, Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. εἶτα χρόνους ἢ καιροὺς οὐκ ἔστιν ἡμῶν γνῶναι, καὶ τὸν δεσπότην τῶν χρόνων καὶ τὸν ποιητὴν τῶν αἰώνων ἔστι λογισμοῖς καταλαβεῖν ἀνθρωπίνοις; Εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. ὢ τῆς ἁγίας [Γεν. α. ε.] ἐκείνης καὶ μεγάλης δυνάμεως· ὢ μεγάλων θαυμάτων. ἐγένετο φῶς. Καὶ καλεῖ ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος νύκτα. διὰ τί δὲ ἡμέραν καλεῖ; ἐπειδὴ πᾶν φαιδρὸν καὶ ἱλαρὸν ἥμερον λέγεται· διὰ τοῦτο καὶ τὴν φιλανθρωπίαν ἡμερότητα καλοῦμεν, καὶ τὰ θηρία τὰ χειρωθέντα ἥμερα καλοῦμεν. καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. νύκτα διὰ τί; ὅτι νυκτὶ τὸν ἄνθρωπον καθεύδοντα εἰς ὑπόμνησιν φέρει, μονονουχὶ λέγων, μάθε, ἄνθρωπε, τίς εἶ. θνητὸς εἶ, ὕπνῳ δουλεύεις. διὰ τί τὰ ὑπὲρ σὲ φαντάζῃ; ἡ γὰρ νὺξ κατάνυξίς ἐστιν. [Ψαλμ. δ. ε.] ὅθεν καὶ Δαβὶδ φησὶν, Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. ἀμέλει κεῖται ὁ ἄνθρωπος ἐν νυκτὶ οὔτε νεκρὸς, οὔτε ζῶν. ἐρώτησον αἱρετικὸν, τί ἐστι, ζῶν, ἢ νεκρός; καὶ ἐὰν μὲν εἴπῃ ζῶν, εἰπὲ, διὰ τί οὖν οὐκ αἰσθάνεται τῶν λαλούντων, ἢ περιπατούντων; ἐὰν δὲ εἴπῃ ὅτι νεκρὸς, εἰπὲ, πῶς οὖν ἀναπνεῖ; τὸ γὰρ ἐμπνέον οὐκ ἔστι νεκρὸν, τὸ μὴ αἰσθανόμενον οὐκ ἔστι ζῶν. σαυτὸν οὐ βλέπεις, ἀλλὰ τὰ ὑπὲρ σὲ φαντάζῃ; ἀλλὰ ταῦτα ἀρκούντως εἰς τὴν πρώτην ἡμέραν εἰρήσθω. κατέλαβε γὰρ ἡ ἑσπέρα, ὥσπερ κἀκεῖ τὰ τῆς πρώτης ἡμέρας· καὶ κατὰ δύναμιν, εἰ καὶ βαθέα ἦν τὰ νοήματα, ὅμως ἐξεθέμεθα· τῶν δὲ πιστῶν ἐστιν ἐρευνῆσαι τὰ λεχθέντα, καὶ ζητῆσαι τὴν ἱστορίαν.

ΗΘΙΚΟΝ

Ἡμεῖς δὲ, ἀγαπητοὶ, νηστείας ὄντες ἁγίας θρέμματα, καὶ ἐν ἀτροφίᾳ σωμάτων τρυφήσαντες τὰ οὐράνια, σπουδάσωμεν τὴν νηστείαν ἁγίαν φυλάξαι. [Ιωήλ α. ιδ.] Ἁγιάσατε γὰρ, φησι, νηστείαν. ἡμεῖς αὐτὴν ἁγιάζομεν, ἢ ὑπ' αὐτῆς ἁγιαζόμεθα; ἀλλ' ἀντὶ τοῦ ἁγίαν αὐτὴν φυλάξαι, τοῦτο εἴρηκεν ὁ προφήτης. ὥσπερ γὰρ ὅτι εὐχόμεθα, Ἁγιασθήτω τὸ ὄνομά σου, οὐχὶ ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ εὐχόμεθα (τὸ γὰρ ὄνομα αὐτοῦ ἁγιάζει πάντα) ἀλλ' ἐπειδὴ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἡμῖν (χριστιανοὶ γὰρ ἀπὸ Χριστοῦ καλούμεθα) λέγει, τὸ ὄνομά σου ἐφ' ἡμῖν ἁγιασθήτω. παρὰ γὰρ τῷ ἁγίῳ πάντα ἅγια. καὶ γὰρ οὐδὲν πλησιάζει Θεῷ [Ψαλ. ιθ. ζ.] μὴ ὂν ἅγιον. ἅγιος γὰρ ὁ Θεὸς, ἐν ἁγίοις ἀναπαυόμενος. καὶ οὐρανὸς δὲ αὐτοῦ ἅγιος. Ἐπακούσεται γὰρ αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. [Μαρ. η. λη.] οἱ ἄγγελοι ἅγιοι. Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ μετὰ τῶν ἁγίων ἀγγέλων αὐτοῦ. ἡ γῆ ἔχουσα τὴν λατρείαν, ἁγία. [Λυκ. α. ος.] Καὶ θελήσει, φησὶ, διαστρέψαι διαθήκην ἐπὶ γῆν ἁγίαν αὐτοῦ. καὶ ὁ Δαβὶδ, ἡ αὐλὴ ἁγία·

γία· Προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. καὶ ὁ Ἡσαΐας, Ἅγιος γὰρ ὁ ναός σου, Ψαλ. κη. β.
θαυμαστὸς ἐν δικαιοσύνῃ. τὰ πρόβατα τὰ ἄλογα τὰ τότε θυόμενα ἅγια ἐλέγετο. Ὡς πρό- Ψαλ. ξδ.
βατα, φησιν, ἅγια ἐν Ἱερουσαλήμ. ἡ διαθήκη, ἁγία· καὶ δυνάμεσι μετὰ πολλῶν διαθήκην Ιεζεκ. λς.
ἁγίαν αὐτοῦ. αὕτη ἡ πόλις ἁγία ἐλέγετο· Καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τῶν πατέρων ἡμῶν Ἱε-
5 ρουσαλήμ. οὐδὲν γὰρ προσέρχεται Θεῷ μὴ ὂν ἅγιον. διὸ λέγει Παῦλος· Καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς Εβρ. ιβ. ιδ.
οὐδεὶς ὄψεται τὸν Κύριον. ἐνηστεύσαμεν ἀπὸ ἄρτου, νηστεύσωμεν καὶ ἀπὸ ἀδικίας. οὐκ
ἐσθίεις ἄρτον, μὴ φάγῃς σάρκας πενήτων, ἵνα μὴ εἴπῃ καὶ περὶ σοῦ ὁ Θεὸς, Οἱ κατεσθί- Ψαλ. ιγ. δ.
οντες τὸν λαόν μου ἐν βρώσει ἄρτου. οὐ πίνεις οἶνον· μὴ μεθύσῃ σε θυμὸς, ἵνα μὴ ἀκούσῃς πα-
ρὰ τοῦ νομοθέτου, Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως· καὶ πάλιν, Θυμὸς δρακόντων ὁ Ψαλ. νζ. δ.
10 οἶνος αὐτῶν. ὅταν γὰρ θλίβῃς πένητα, καὶ στενάξῃ ἐπὶ τὸν Θεὸν, εὑρέθης ἐσθίων ἄρτον δα- Δευτ. λβ. λγ.
κρύων. διὰ τοῦτο λέγει καὶ ὁ Θεὸς, Ἐκαλύπτετε ἐν δάκρυσι τὸ θυσιαστήριόν μου. ἐγκαλεῖ ὁ Μαλ. β. ιγ.
Θεὸς τοῖς κλαίουσιν ἐπὶ τοῦ θυσιαστηρίου, καὶ λέγει· Ἱερεῖς εἰσέλθετε καὶ κλαύσατε. ἀλλ' ἐγ- Ιωηλ. α. θ. ιγ.
καλεῖ, οὐχ ὅτι ἔκλαιον αὐτοὶ, ἀλλ' ὅτι οἱ ἀδικούμενοι ἐκεῖ ἐνετύγχανον ἐπὶ τοῦ θυσιαστη- καὶ β. ιζ.
ρίου, ὀρφανοί τε καὶ χῆραι. καὶ ἵνα δείξῃ ὅτι περὶ ἐκείνων λέγει, ἐπήγαγε, Κλαυθμῷ, καὶ κοπε- Μαλ. β. ιγ.
15 τῷ, καὶ κόπῳ· ἔτι ἄξιον ἐπιβλέψαι ἐπὶ τὰς θυσίας ἡμῶν; πρόκειται οὖν τράπεζα ψυχῆς ὁ
τοῦ Θεοῦ λόγος. σῶμα μὲν νηστεῦον ἁγιάζεται, ψυχὴ δὲ μὴ τρεφομένη φθείρεται. γένοιτο
δὲ πάντας ἡμᾶς τῷ μὲν σώματι νηστεύειν ἀπὸ ἁμαρτημάτων, τὴν δὲ ψυχὴν ἐντρυφᾶν τοῖς
θείοις δόγμασιν. οὐ δύνῃ δὲ ἐσθίειν ἄρτον Χριστοῦ, καὶ ἄρτον δακρύων· ὡς λέγει Παῦλος, Οὐ α. Κορ. ι. κα.
δύνασθε τραπέζης Χριστοῦ μετέχειν, καὶ τραπέζης δαιμονίων. δεῖ τοίνυν τὸν νηστεύοντα ἀπέ-
20 χεσθαι ἀπὸ βρωμάτων, καὶ πρότερόν γε ἀπὸ ἁμαρτημάτων. καὶ γὰρ καθ' ἑκάστην ἡμέραν ἄγγε-
λοι σημειοῦνται, τοὺς προέθεντο ἀπέχεσθαι ἀπὸ πλεονεξίας ἢ πορνείας ἢ ἀδικίας ἢ καὶ ἑτέρας
ἁμαρτίας. ταύτας γὰρ τὰς νηστείας καὶ ἄγγελοι ἀναγράφονται, καὶ Θεὸς ταμιεύεται. ὥσπερ
γὰρ, ἀδελφοὶ, ἀπὸ τῶν ἀναφορῶν οἱ ἄρχοντες τῷ βασιλεῖ πάντα μηνύουσιν· οὕτω καὶ
οἱ ἄγγελοι τῷ Θεῷ πάντα τὰ γινόμενα, οὐκ ἀγνοοῦντα διδάσκοντες, ἀλλὰ τὴν λειτουρ-
25 γικὴν τάξιν τῆς δημιουργίας πληροῦντες. ἐγὼ ἐμακάρισα δὲ πολλάκις τὸν ἐσθίοντα, ἢ
τὸν νηστεύοντα καὶ ἀδικοῦντά τινα. ταῦτα δὲ λέγω, ἀγαπητοὶ, οὐ νηστείαν λύων, ἀλλ' εὐσέβει-
αν κηρύττων. οὐ γὰρ τὸ φαγεῖν κακὸν, ἀλλὰ τὸ ἁμαρτάνειν πονηρόν· καθὼς λέγει καὶ ὁ Θεὸς
περί τινος δικαίου, Ὁ πατήρ σου οὐκ ἔφαγε, καὶ τὸ θέλημά μου [οὐκ] ἐποίησεν. οὕτω δὴ καὶ Ζαχ. η. ιθ.
ἀλλαχοῦ, Νηστεία ἡ τετάρτη, καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ δεκάτη ἔσται ὑμῖν εἰς χα-
30 ρὰν, καὶ εἰς εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθὰς, καὶ τὴν ἀλήθειαν ἀγαπήσατε. ἀλλ' ἐπέ-
λαμψεν, ἀγαπητοὶ, τὸ αἰσθητὸν φῶς, ἵνα κηρυχθῇ ὁ τοῦ φωτὸς ἐργάτης· κατέλαβεν ἡ ἑ-
σπέρα σφραγίσουσα τῆς ἡμέρας τὸν δρόμον. καλὴ ἡ ἀρχὴ, προσεστήτω λοιπὸν καὶ τὸ τέλος.
μὴ οὖν ἀπώσῃ ταύτην κακῶς, ἀλλ' ἄκουε τοῦ Δαβὶδ, Εἰς τὸ τέλος μὴ διαφθείρῃς. ὁ δὲ Ψαλ. οδ.
Θεὸς τοῦ φωτὸς τούτου πάντας ἡμᾶς φωτίσει, λόγῳ, νόμῳ, πίστει, δικαιοσύνῃ, σωφροσύνῃ, ἐπιγ.
35 ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι,
εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΔΕΥΤΕΡΑΝ ΗΜΕΡΑΝ ΤΗΣ ΚΟΣΜΟ-
ποιίας, καὶ περὶ τὸν εἰπόντα αὐτῷ, οὐκ ἔδει ἡμᾶς τοὺς χριστιανοὺς λέγειν ἐπὶ
40 τοῦ ἁγιάσματος, Κύριος Σαβαώθ. Λογ. β.

Ψυχῆς πόθον ἐγείρει Θεοῦ λόγος, καὶ ὥσπερ τινὰ λαμπάδα περιτίθησιν αὐτῇ τῆς χαρᾶς, ἵνα καὶ τοὺς λογισμοὺς λαμπρυνθῇ, καὶ τὴν διάνοιαν φαιδρύνηται, καὶ τὰ ἁμαρτήματα καθαίρηται, καὶ τὰ νοήματα φωτίζηται. Τοιοῦτός ἐστιν ὁ τοῦ Θεοῦ λόγος. ὅπερ γάρ ἐστιν ἡ ἀκόνη σιδήρῳ, τοῦτο Θεοῦ λόγος τῇ ψυχῇ. ἡ ἀκόνη οὐκ ἐπιχαρίζεται τῷ σιδήρῳ, ἀλλὰ πρῶτον αὐτὸν παρασκευάζει ἀποπλῦσαι τὸν ἰόν, εἶτα παχὺν ὄντα λεπτύνει, ἀμβλὺν ὄντα ὀξύνει, σκοτεινὸν ὄντα λαμπρύνει, σμήχει, φαιδρύνει, [ὀξύνει,] λεπτύνει. οὕτως οὖν ἐστὶ καὶ ὁ τοῦ Θεοῦ λόγος, ποιῶν τὴν ψυχὴν ἀποπλῦσαι τὸν ἰὸν τῆς ἁμαρτίας, ἀμβλεῖαν οὖσαν ὀξύνων, παχεῖαν οὖσαν λεπτύνων, σκοτεινὴν οὖσαν λαμπρύνων. Βούλεται δὲ ἡμᾶς ὁ τοῦ Θεοῦ λόγος λαμπροὺς μὲν εἶναι κατὰ τὴν ἀποστολικὴν διάθεσιν τὴν λέγουσαν, Ἵνα ἦτε ὡς φωστῆρες ἐν τῷ κόσμῳ, λόγον ζωῆς ἐπέχοντες. ἰδοὺ ἡ λαμπρότης. Βούλεται ἡμᾶς εἶναι μὴ ἀμβλεῖς, ἀλλ' ὀξεῖς. Ζῶν γάρ, φησιν, ὁ λόγος τοῦ Θεοῦ, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. Βούλεται ἡμᾶς παχεῖς μὴ εἶναι, ἀλλὰ λεπτύνειν τὴν διάνοιαν τοῖς νοήμασιν. ὅπου γὰρ παχύτης, ἀλλοτρία Θεοῦ λόγου· ὅπου δὲ λεπτομερὴς διάνοια, οἰκεία Θεοῦ νόμου. διὰ τοῦτο περὶ τῶν παχυτέρων λέγει ἡ γραφή, Καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτόν. Φέρε τοίνυν καὶ ἡμῶν ὁ θεῖος λόγος καταλαμπέτω τὴν διάνοιαν, καὶ μάλιστα τῆς ἁγίας ταύτης προκειμένης νηστείας. ἣ λεπτύνει τὰ σώματα, καὶ ὀξύνει τὰ φρονήματα. ἔστι γὰρ καὶ νηστεία παντὸς ἁγιασμοῦ τροφός, καὶ μήτηρ εὐσεβοῦς διανοίας. οὐ ζητεῖται πῶς νηστεύσωμεν μόνον, ἀλλὰ καὶ πῶς εὐσεβῶς νηστεύσωμεν. πολλοὶ καὶ διὰ δημοσίας χρείας πραγμάτων νηστεύουσιν, ἀλλ' οὐ λογίζεται αὐτοῖς τοῦτο εἰς νηστείαν. ὁ γὰρ σκοπὸς κρίνεται, οὐχ ἡ ἀνάγκη στεφανοῦται. μετὰ ταύτης οὖν τῆς ἁγιοπρεποῦς καταστάσεως καὶ ὁ μακάριος Μωϋσῆς τὸν νόμον ἐπαιδεύετο ἐν τῷ ὄρει, καὶ τὴν δημιουργίαν ἐδιδάσκετο. Εἴρηται τοίνυν ἡμῖν τῇ χθὲς ἡμέρᾳ, ὅτι ὁ Θεὸς μέλλων διδόναι τὸν νόμον διὰ Μωϋσέως, πρότερον ἔδειξεν ἑαυτὸν δημιουργόν, καὶ τότε νομοθέτην. πόθεν ἠδύναντο οἱ Ἰουδαῖοι πιστεῦσαι, ὅτι ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πάντα τὰ ἐν αὐτοῖς, εἰ μὴ πρότερον ἐποίησε τὰ θαύματα ἐν Αἰγύπτῳ δεικνὺς ἑαυτὸν δημιουργὸν τῆς οἰκουμένης; ἡμεῖς διδασκόμεθα, ἵνα πεισθῶμεν· ὁ Θεὸς πείθει, ἵνα διδάξῃ. ἐπειδὴ ἔμελλε Μωϋσῆς ἐκτίθεσθαι καὶ λέγειν, ὅτι ὁ Θεὸς ἐποίησε τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Εἰ μὴ γὰρ πρότερον ἐποίησε τὰ θαύματα ἐν Αἰγύπτῳ, καὶ ἔδειξεν ὅτι τούτων πάντων ἐστὶ τῶν κτισμάτων δημιουργός, οὐκ ἂν ἐπίστευσεν ὁ λαός, ὅτι ὁ Θεὸς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν· εἰ μὴ ἐξέτεινε πρότερον Μωϋσῆς τὰς χεῖρας εἰς τὸν οὐρανόν, καὶ κατήνεγκε χάλαζαν καὶ πῦρ, καὶ ἔμαθον οἱ λαοὶ διὰ τοῦ πιστοῦ θεράποντος, ὅτι, εἰ αὕτη ἡ θνητὴ δεξιὰ λόγῳ Θεοῦ κινηθεῖσα τὸν οὐρανὸν ἐτάραξε, καὶ τὴν δημιουργίαν ἐθόλωσε, πολλῷ μᾶλλον ἡ τοῦ Θεοῦ κελεύσαντος δεξιὰ ἥδρασε τὸν οὐρανὸν καὶ ἐθεμελίωσε τὴν γῆν. οὐδεὶς γὰρ κινεῖ δημιουργίαν, ἣν οὐκ ἐποίησεν. ἔδει τοίνυν δειχθῆναι ὅτι ὁ Θεὸς ἐποίησε τὴν γῆν. ἐξέτεινε Μωϋσῆς τὴν χεῖρα εἰς τὴν γῆν, καὶ ἐξῆλθον σκνῖπες. ἔδει πάλιν δειχθῆναι, ὅτι Θεὸς ἐποίησε τὸ πῦρ. ἔλαβε Μωϋσῆς αἰθάλην καμιναίαν, καὶ ἔπασε, καὶ ἐπλήρωσε τὰ σώματα τῶν Αἰγυπτίων ἑλκῶν, φλογὸς δίκην ζεόντων. ἔδει δειχθῆναι, ὅτι ὁ Θεὸς τὸ ὕδωρ ἐποίησε. μετεβλήθη τὸ ὕδωρ εἰς αἷμα. ἔδει δειχθῆναι ὅτι ἐποίησε τὴν θάλασσαν. ἐπεζώθη ἡ θάλασσα, καὶ παρῆλθεν ὁ λαός. πρῶτον οὖν ἔδειξε διὰ τῶν ἔργων ὅτι δεσπότης ἐστί, καὶ τότε ἡρμήνευσε διὰ τῶν λόγων, ὅτι ποιητής. οὕτω καὶ ὁ σωτὴρ ἐν τῷ εὐαγγελίῳ οὐ πρότερον ἐδίδαξεν, ἕως ἐθαυματούργησε. πρῶτον σημεῖον μετέβαλλε τὸ ὕδωρ εἰς οἶνον, καὶ οὐ φαίνεται πρὸ τοῦ σημείου τούτου διδάξας. ἔδει

γὰρ

Ιε. ιη.
Φιλ. β. ιε.
Εβρ. δ. ιβ.
χ. ἰωμ.
Δευτ. λβ. ιε.
χ. ια.

γὰρ παρέλαβεν τὸ ἔργον, καὶ ἀκολουθῆσαι τὸν λόγον. διὰ τοῦτο ὁ συγγραφεὺς λέγει, Τὸν   Πραξ α. α.
μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ δι-
δάσκειν. πῶς ἔμελλε διδάσκειν ὁ σωτὴρ, ὅτι ποιητής ἐστι τοῦ κόσμου; εἰ μὴ γὰρ ἐφώτισε τοὺς
ὀφθαλμοὺς τοῦ τυφλοῦ, οὐκ ἂν ἐπιστεύθη λέγων, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. εἰ μὴ ἤγει-   Ιωαν θ. ε.
5 ρε Λάζαρον, οὐκ ἂν ἐπίστευσαν οἱ ἀκούοντες λέγοντι, Ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις. εἰ   Ιωαν ια. κε.
μὴ πτύσας εἰς τὴν γῆν ἐποίησε πηλὸν, καὶ ἔχρισε τὸν τυφλὸν, οὐκ ἂν ἐπιστεύθη ὅτι αὐτός
ἐστιν ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς, καὶ πλάσας τὸν Ἀδάμ. εἰ μὴ περιεπάτησεν ἐπὶ τῆς θαλάσ-
σης, οὐκ ἂν ἐφάνη δεσπότης τῆς θαλάσσης. εἰ μὴ ἐπετίμησε τῷ ἀνέμῳ, οὐκ ἂν ἐδείχθη
δεσπότης τῶν ἀνέμων. διὰ τοῦτο ὁ ἄνθρωπος μὲν ἦν φαινόμενος, διὰ δὲ τῶν θαυμάτων
10 ὡς Θεὸς γνωριζόμενος καὶ δοξαζόμενος. ὁ σωτὴρ γοῦν ἐξέπληττε τοὺς μαθητὰς, καὶ ἔ-
λεγον· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ; ἔδειξε πρῶ-   Ματθ η. κζ.
τον ὑπακούοντα τὰ στοιχεῖα, καὶ τότε ἡρμήνευσε διὰ τῶν λόγων, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο.
ἔδειξε πρῶτον ὑπακούοντα. εἰ μὴ πρῶτον ἐδείχθη ἡ κτίσις ὑπακούουσα, οὐκ ἂν ἐπι-
στεύθη Ἰωάννης ὁ εὐαγγελιστὴς λέγων, Πάντα δι' αὐτοῦ ἐγένετο. πῶς ἠδύναντο οἱ ἀπόστολοι πει-   Ιωαν α. γ.
15 σθῆναι, ἰδιωτικὴν ἔχοντες γλῶσσαν, κηρυσσόμενοι περὶ Θεοῦ λόγου, δημιουργοῦ σωτῆρος,
πανσόφου διδασκάλου; ἀλλὰ ἡ γλῶσσα τῶν ἀποστόλων, τὰ θαύματα ἦν· τὸ στόμα τῶν
ἀποστόλων ἦν νεκρὸς ἐγειρόμενος, χωλὸς περιπατῶν. ὅτι δὲ τοῖς θαύμασιν ἀκολουθεῖ ἡ πίστις,
μαρτυρεῖ ἡ γραφὴ λέγουσα· Διὰ γὰρ τῶν χειρῶν τῶν ἀποστόλων ἐγένετο σημεῖα μεγάλα καὶ   Πραξ ε. ζ.
τέρατα ἐν τῷ λαῷ· ἐξίσταντο δὲ πάντες, καὶ μᾶλλον προσετίθεντο καθ' ἡμέραν ἀνδρῶν καὶ
10 γυναικῶν πλήθη ἱκανά. προέλαβε τὰ θαύματα, καὶ ἠκολούθησε τὰ δόγματα. οὕτω γὰρ
καὶ ἐν τῷ νόμῳ προηγήσατο τὰ ἐν Αἰγύπτῳ θαύματα δεικνῦντα τὸν Θεὸν δημιουργόν. ὁ
δὲ Θεὸς ἀγαθὸς ὢν, οὐκ ἠθέλησεν ἑαυτὸν μόνον σεμνῦναι, ἀλλὰ μερίζεται μετὰ Μωϋσέως καὶ
τὴν δόξαν. ἐπειδὴ γὰρ ὁ Θεὸς ἐφάνη ἐξ ὧν ἐποίησε, φαίνεται καὶ Μωϋσῆς ἐξ ὧν ἐδοξάσθη. ὡς γὰρ   Εξοδ. λδ. κθ. λ.
κατῆλθε κατέχων τὸν νόμον, ἵνα μὴ ὡς ψιλῷ ἀνθρώπῳ προσέχωσι, πληροῖ αὐτοῦ
25 ὁ Θεὸς δόξης τὸ πρόσωπον, ἵνα τὸ λεῖπον τῆς ἀσθενείας τῆς φύσεως πληρώσῃ τὸ
περιττὸν τῆς χάριτος. ἐνενόουν γὰρ, ὅτι ὄψις δεδοξασμένη οὐκ ἔστιν ἀλλοτρία Θε-
οῦ. οὕτω καὶ ὁ σωτὴρ Στεφάνου τοῦ πρωτομάρτυρος ἐποίησε λάμψαι τὸ πρόσω-   Πραξ. ς. ιε.
πον. διὰ τί δὲ ἐποίησε λάμψαι τὸ πρόσωπον Στεφάνου; ἐπειδὴ ἔμελλε λιθάζεσθαι ὡς
βλάσφημος, εἰπὼν, Θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα   Πραξ ζ. νς.
30 ἐκ δεξιῶν τοῦ Θεοῦ, προλαβὼν ὁ Θεὸς ἐστεφάνωσεν αὐτοῦ τὴν ὄψιν ἀγγελικῇ μορφῇ, ἵνα πείσῃ
τοὺς ἀγνώμονας, ὅτι εἰ βλάσφημός ἐστι, διὰ τί δοξάζεται; χθὲς μὲν οὖν εἴρηται ἡμῖν ὅτι ὁ
Θεὸς ἐκ μὴ ὄντων ἐποίησε τὰ ὄντα τῇ πρώτῃ ἡμέρᾳ. καὶ τὸ θαυμαστὸν, ὅτι οὐ μόνον τὴν δη-
μιουργίαν τοῦ Θεοῦ δείκνυσι τὰ ἔργα, ἀλλὰ καὶ τῶν αἱρετικῶν τὴν ἀσέβειαν ἐλέγχουσι.
ἐρωτῶσι γὰρ, τὰ μὴ ὄντα πῶς ἐγένετο; ἐπειδὴ περὶ τοῦ ὄντος ἐρωτῶσι πῶς ἐγεννήθη, εἰ μὴ
35 ἦν, εἴπωσι τὰ μὴ ὄντα, πῶς ἐγένετο, εἰ μὴ ἦν. τὸ μὴ ὂν οὐ γίνεται, ὅσον κατὰ λογισμὸν ἀνθρώ-
πινον, οὐ κατὰ θείαν δύναμιν. ἐνίοτε λέγει ὁ αἱρετικὸς, Εἶπεν ὁ Θεὸς, καὶ ἐγένετο. ἀλλὰ νῦν
τὸ πρᾶγμα εἶπες, οὐ τὸν τρόπον. Εἶπεν ὁ Θεὸς, γενηθήτω φῶς. ἐγένετο τὸ μὲν οὖν. ὁ λό-
γος μετεβλήθη εἰς πρᾶγμα· διὸ αὐτὴ ἡ φωνὴ ἐξελθοῦσα ἐγένετο φῶς· οὐκοῦν οὐκ ἔστιν
ἐκ μὴ ὄντων, ἀλλ' ἐξ ὄντος. τίς γὰρ τολμᾷ εἰπεῖν τὸν λόγον μὴ ὄντα; οὐκοῦν οὐδὲν ἐ-
40 ποίησεν ἐκ μὴ ὄντων, ἀλλ' ἐξ αὐτοῦ· καὶ εὑρίσκεται τὰ κτίσματα ὁμοούσια αὐτῷ, καὶ ἃ φθέγγονται
ἐπὶ τοῦ υἱοῦ, ἁρμόζουσιν ἐπὶ τῶν κτισμάτων. ἀλλὰ πάλιν σεμνυνόμενοι λέγουσιν· ἡ βούλη-
σις τοῦ Θεοῦ τὰ μὴ ὄντα ἐπετέλεσεν. εἶτα ἡ μὲν βούλησις τὸ μὴ ὂν ποιεῖ, ἡ δὲ φύσις τὸ ὂν οὐ
γεννᾷ; καὶ ἔστι θαυμαστόν. ὡς ἐν εἰκόνι λέγω. ὑπόθου μοι πηγὴν καὶ πέτραν. τί δικαιό-
τερον, τὴν πηγὴν ὕδωρ γεννῆσαι, ἢ τὴν πέτραν; ἡ πηγὴ ἐὰν γεννήσῃ, ἐξ ὧν ἔχει προ-
φέρει,

φέρει, ἡ δὲ πέτρα ἐξ ὧν οὐκ ἔχει. Εἶτα τὸ μὴ ὂν ἐγέννησεν ἡ πέτρα ἐξ ὧν οὐκ εἶχε, καὶ ἡ πηγὴ οὐκ ἐγέννησεν ὃ εἶχεν ἐν ἑαυτῇ πηγήν; καὶ πῶς ἐγένετο τὰ μὴ ὄντα; μὴ αὐτοματισμὸς ἦν; μὴ ὂν ὄνομά ἐστιν, οὐκ ἔστι δέ τι. μή, ἐπειδὰν λέγω ἐκ μὴ ὄντων, νομίσῃς εἶναί τι μὴ ὄν. Εἶτα, τὸ ὂν ἐκ τοῦ μὴ ὄντος οὐκ οἶδας εἰπεῖν πῶς ἐγένετο, καὶ τὰ ὄντα ἐκ τοῦ ὄντος τολμήσεις πολυπραγμονεῖν πῶς ἐγεννήθη; πάντα τὰ κτίσματα οὐκ ἦν ἀπ' ἀρχῆς, καὶ γέγονεν. ὁ μονογενὴς λόγος καὶ κτιστὴς τοῦ κόσμου οὐκ ἐγένετο ἀπ' ἀρχῆς, ἀλλὰ ἦν. ταῦτα οὐκ ἦν, καὶ ἐγένετο· ὁ δὲ ἦν ἐν ἀρχῇ, μὴ γενόμενος. ταῦτα δὲ ἐγένετο ἐν ἀρχῇ μὴ ὄντα.

Γεν. α. β. Ἡ δὲ γῆ ἦν ἀόρατος, φησί. Τί ἐστι τό, ἀόρατος; οἶδα πολλοὺς τῶν ἁγίων πατέρων εἰρηκότας, ἀόρατος ἦν ἡ γῆ, ἐπειδὴ τῷ ὕδατι ἐκαλύπτετο. πολλὰ τῶν νοημάτων ἐστὶ μὲν εὐσεβῆ, οὐκ ἀληθῆ δέ· οἷον οἱ τρεῖς φίλοι τοῦ Ἰὼβ θεασάμενοι αὐτὸν ἐν πειρασμῷ, κατέκριναν τὸν ἅγιον, ὡς δικαίως πάσχοντα, καὶ ἔλεγον· Εἰ μὴ χήρας ἐλύπησας, εἰ μὴ ὀρφανοὺς ἐπλεονέκτησας, οὐκ ἄν σοι ὁ Θεὸς ἐπήγαγε ταῦτα· καὶ ὅμως ἐπειδὴ ἠγνόουν τὸν σκοπὸν τοῦ Θεοῦ, εἵλαντο μᾶλλον κατακρῖναι τοῦτον, ὡς δικαίως πάσχοντα, ἢ καταψηφίσασθαι τοῦ Θεοῦ, ὡς ἀδίκως *Ιωβ. μβ. ζ.* ἐπαγαγόντος. ὑπὲρ Θεοῦ ἐποίησαν, καὶ ἐλέγχει αὐτοὺς ὁ Θεός· Διὰ τί οὐκ ἐλαλήσατε ὀρθὰ κατὰ τοῦ θεράποντός μου; ἔστιν οὖν νόημα εὐσεβὲς μέν, οὐκ ἀληθὲς δέ. τί οὖν ἐστιν, ἡ δὲ γῆ ἦν ἀόρατος; οἱ ἑρμηνευταὶ ἡρμήνευσαν σαφῶς. λέγει γὰρ ὁ Ἀκύλας, Ἡ δὲ γῆ ἦν κένωμα καὶ οὐθέν. ἀόρατος δὲ λέγεται, οὐχ ὅτι οὐκ ἐφαίνετο, ἀλλ', ὡς ἂν εἴποι τις, ἀκόσμητος. οὐδέπω ἦν φαιδρυνομένη τοῖς φυτοῖς, οὐδέπω καρποῖς ἐστεφανωμένη, οὐδέπω ποταμοῖς καὶ πηγαῖς διεζωσμένη, οὐδέπω τῇ ἄλλῃ εὐκοσμίᾳ πεποικιλμένη. καὶ ἦν ἀόρατος, μηδέπω κατασκευασθεῖσα πρὸς ἐπιτηδειότητα τοῦ γεννᾶν. λέγει ἡ γραφὴ περί τινος ἀνδρείου καὶ εὐμόρφου, *β. Βασ. κγ. κα.* Οὐχ οὗτος, φησίν, ἐπάταξε τὸν ἄνδρα τὸν Αἰγύπτιον ὁρατόν; ἔστιν οὖν ἀνὴρ ἀόρατος; ἀλλ' ἄξιος, φησί, τοῦ ὁρᾶσθαι. ὥσπερ οὖν τὸν Αἰγύπτιον εἶπεν ἄνδρα ὁρατόν, ὡς ἄξιον τοῦ ὁρᾶσθαι, οὕτω καὶ τὴν γῆν τὴν ἄμορφον, ἀόρατον ἐκάλεσε. τῇ δευτέρᾳ ἡμέρᾳ εἶπεν ὁ Θεός· *Γεν. α. ς.* Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. Ἐποίει οὖν τὸν οὐρανὸν τοῦτον, οὐ τὸν ἐπάνω, ἀλλὰ τὸν ὁρώμενον, ἐξ ὑδάτων πήξας ὡς κρύσταλλον. βούλομαί σοι παραστῆσαι τὸ πρᾶγμα. πολλὰ γὰρ τῇ ὄψει μᾶλλον ἡμῖν, ἢ τῷ λόγῳ παραδίδοται. τοῦτο τὸ ὕδωρ ὑπάρχει, φέρε εἰπεῖν, τῆς γῆς πήχεις τριάκοντα. Εἶτα εἶπεν ὁ Θεός, γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· τὸ λοιπὸν ἐκ μέσου τῶν ὑδάτων ἐπάγη πῆγμα κρυσταλλῶδες, τὸ ἐκούφισε τὸ ἥμισυ τοῦ ὕδατος ἄνω, καὶ κατέλιπε τὸ ἥμισυ κάτω, καθὼς γέγραπται· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔσται διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. διὰ τί δὲ αὐτὸ καλεῖ στερέωμα; ἐπειδὴ ἀπὸ ἀραιῶν ὑδάτων καὶ διακεχυμένων αὐτὸ ἐστερέωσε. *Ψαλ. ρν. α.* διὰ τοῦτο καὶ Δαβίδ φησιν, Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. καὶ ἵνα ἑτέρῳ χρήσωμαι ὑποδείγματι, ὥσπερ καπνὸς ἐπειδὰν ἀπὸ ξύλων καὶ πυρὸς ἀναδοθῇ, ἠραιωμένος ἐστὶ καὶ κεχαυνωμένος· ἐπειδὰν δὲ δράμῃ εἰς ὕψος, εἰς νεφέλης παχύτητα μεταρρυθμίζεται· οὕτω καὶ τῶν ὑδάτων τῶν ἠραιωμένων ὁ Θεὸς τὴν φύσιν ὑψώσας ἔπηξεν ἄνω. καὶ ὅτι ἀληθὲς τὸ ὑπόδειγμα, *Ησ. [illegible]* μάρτυς Ἡσαΐας λέγων, Ὅτι οὐρανὸς ὡς καπνὸς ἐστερεώθη. παγεὶς τοίνυν ἐν μέσῳ τῶν ὑδάτων ὁ οὐρανὸς ἐκούφισε τὰ ἡμίσεα τῶν ὑδάτων ἄνω. διὰ τί δὲ ἄνω ὕδατα; πρὸς ποίαν χρῆσιν; ἵνα τις πίῃ; ἵνα τις πλεύσῃ; ὅτι μὲν γάρ ἐστιν ὕδατα ἄνω, μάρτυς Δαβὶδ λέγων, *Ψαλ. ρμη. δ.* Καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. πρόσεχε λοιπὸν τὴν σοφίαν τοῦ δημιουργοῦ. κρυσταλλώδης ἦν ὁ οὐρανός, ἀπὸ ὑδάτων παγείς. ἐπειδὴ γὰρ ἔμελλε δέχεσθαι ἡλίου φλόγα καὶ σελήνης, καὶ ἄστρων ἄπειρα πλήθη, καὶ εἶναι ὅλος πυρὸς πεπληρωμένος, ἵνα μὴ ὑπὸ τῆς θερμότητος λυθῇ ἢ φλεχθῇ, ἐπέστρωσε τοῖς νώτοις τοῦ οὐρανοῦ τὰ πελάγη ἐκεῖνα τῶν ὑδάτων, ἵνα λιπαίνῃ καὶ ἐπαλείφῃ αὐτοῦ τὰ νῶτα, καὶ οὕτως ἀντέχῃ πρὸς τὴν φλόγα, καὶ μὴ φρύγηται. ἔχεις δὲ καὶ ὑπόδειγμα. ὥσπερ σήμερον ἐὰν ἐπιθῇς λέβητα ἐπάνω πυρός, ἐὰν μὴ ὕ-

δωρ

δωρ ᾖ, ἀντέχει πρὸς τὸ πῦρ, ἐὰν δὲ μὴ ἔχῃ, διαλύεται· οὕτω καὶ ὁ Θεὸς ἀντέθηκεν ἀντίπαλον τῷ
πυρὶ τὸ ὕδωρ, ἵνα ἔχῃ ἀρκοῦσαν τὴν διαμονὴν ἐκ τῶν ἄνωθεν ἐπαλειφόντων αὐτὸν ὑδά-
των. καὶ βλέπε τὸ θαυμαστόν. τοιοῦτον παρεκτείνει τῷ οὐρανίῳ σώματι τὸ ὑγρὸν ὑπὸ τοσούτου
πυρὸς πολεμούμενον, ὅτι τῇ γῇ διαμείζει. ἐπεί, πόθεν ἡ δρόσος; νεφέλη οὐδαμοῦ, ὁ ἀὴρ ὕδωρ
5 οὐκ ἔχει. ἡ δῆλον ὅτι ὁ οὐρανὸς ἐκ τῶν παρελαττουόντων αὐτῷ ἀποστάζει. διὰ τοῦτο καὶ ὁ πατρι-
άρχης Ἰσαὰκ εὐλογῶν τὸν Ἰακὼβ ἔλεγε· Δῴη σοι ὁ Θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῆς
πιότητος τῆς γῆς. λέγεται δέ, ὦ ἀδελφοί, ὅτι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὑποχωρεῖ τὸ ὕδωρ
τὸ ἄνω, καὶ ὁ οὐρανὸς λύεται μὴ ἔχων τῶν ὑδάτων τὴν σύστασιν, καὶ ἄστρα πίπτει μὴ ἔχοντα ὁ-
δὸν οὐ βάσιν. ταῦτα οὖν οὐ λέγομεν ἁπλῶς, ἀλλ' ἡ γραφὴ διδάσκει. Εἱλιγήσεται γὰρ ὁ οὐ-
10 ρανός, ὡς βιβλίον, ἀντὶ τοῦ φρυγόμενος. τὸ γὰρ φρυγόμενον εἱλεῖται. καὶ τὰ ἄστρα πεσεῖται,
φησίν, ὡς φύλλα ἀμπέλου. πρόσεχε δέ, παρακαλῶ, καὶ ἑτέραν χρείαν. τὰ ὕδατα τὰ ἐ-
πάνω τῶν οὐρανῶν, οὐ μόνον σώζει τὸν οὐρανόν, ἀλλὰ καὶ τὴν φλόγα τοῦ ἡλίου καὶ τῆς σε-
λήνης καταπέμπει. εἰ γὰρ ἦν διαφανὴς ὁ οὐρανός, ὅλη ἡ αὐγὴ ἄνω ἐπεῖχε. τὸ γὰρ πῦρ
ἀνωφερὲς ὄν, ἔρημον τὴν γῆν καταλίμπανε. διὰ τοῦτο γοῦν ἐπίλησε τὸν οὐρανὸν ἄνωθεν
15 ἀπείροις ὕδασιν, ἵνα ἡ αὐγὴ στενουμένη κάτω πέμπηται. ὅρα τοῦ τεχνίτου τὴν σοφίαν. ἔχεις δὲ
καὶ ἐν σεαυτῷ τοῦ τεχνίτου τῆς σοφίας τὴν εἰκόνα. ἐποίησεν ὁ Θεὸς καὶ ἐν σοὶ τῶν τεσσά-
ρων στοιχείων τὴν εἰκόνα. καὶ πρόσεχε, παρακαλῶ. νόησόν μοι τὴν κεφαλὴν ταύτην,
τὸν οὐρανὸν τὸν ἄνω, τὰ ἐπάνω τῆς γλώσσης, τὸν ἄλλον οὐρανόν, τουτέστι, τὸ στερέωμα, ὅθεν καὶ
οὐρανίσκος καλεῖται. ἄνω ἐν τοῖς ἀοράτοις ὁ ἐγκέφαλος μὴ φαινόμενος, ἐν τῷ κάτω γλῶσ-
20 σα φαινομένη· ὥσπερ οὖν ὁ οὐρανὸς ὁ ἄνω ἐν τοῖς ἀοράτοις, ὁ δὲ κόσμος ἐν τοῖς λαλουμένοις.
καὶ ὥσπερ ἐν τοῖς στοιχείοις εὑρίσκεις τὴν μὲν γῆν βαρεῖαν, τὸ δὲ ὕδωρ τῆς μὲν γῆς κουφότερον, τοῦ
δὲ πυρὸς βαρύτερον· οὕτω καὶ ἐν ἡμῖν αἱ αἰσθήσεις, γεῦσις, ὄσφρησις, ἀκοή, ὄψις, καὶ οὐ πᾶσαι
ἴσαι. λάβε τὴν ἀπόδειξιν. ἐὰν θέλῃς τινὸς γεύσασθαι, ἐὰν μὴ πλησιάσῃς τῇ γλώσσῃ
τοῦ γευομένου, οὐ λαμβάνεις αἴσθησιν. παχεῖα γάρ ἐστι, καὶ οὐ δύναται πόρρωθεν οὖσα ἀντι-
25 λαμβάνεσθαι. ἡ ὄσφρησις δὲ μακρόθεν ἀντιλαμβάνεται· ὅταν παρέρχῃ δι' οἰκίας, ὀσφραίνῃ
θυμιάματος, ὃ μὴ ὁρᾷς. πάλιν ἡ ὄψις τῆς ὀσφρήσεως ταχυτέρα. βλέπει γὰρ ἀπὸ ὄρους
πλάτη μεγάλα. τῆς ὄψεως πάλιν ὀξύτερος ὁ νοῦς· ἐντὸς οὐρανόν, γῆν, θάλασσαν, καὶ
πάντα εὑρίσκεται. διὰ τοῦτο καὶ εἰκὼν Θεοῦ ὁ νοῦς. ἐντὸς ὁ νοῦς, καὶ εὐθέως κτίζει παρ' ἑ-
αυτῷ ἀγοράς, ἀναζωγραφεῖ ὄχλον, δῆμον. αἰδεσθῶσιν αἱρετικοί· νοῦς τοιαῦτα ἐργάζεται,
30 καὶ ὁ τοῦ νοῦ τεχνίτης, ὁ πάσης ὀσφρήσεως ὀξύτερος, οὐ ταχεῖαν ἔχει τὴν ἐνέργειαν, οὐ σύν-
τομον τὴν δημιουργίαν, οὐκ ἀκατάληπτον τὴν φύσιν; βούλομαι δέ, ἀδελφοί, εἰπεῖν εἰς
ὑμᾶς τὸ ξένον μὲν ὅσον εἰς ἀσέβειαν, σωτήριον δὲ τῆς πίστεως, ὅσον εἰς ἐξέτασιν· ἵνα μάθητε
πόσα καινοτομεῖ ὁ διάβολος, πόσα εὑρίσκει, πόσα ὑποβάλλει τοῖς αἱρετικοῖς· μᾶλλον δὲ ἐκεῖ-
νοι οἱ αἱρετικοί. σήμερόν τις ἐπὶ ἁγίων ἀνδρῶν καὶ πατέρων ἐλθὼν πρὸς ἡμᾶς αἱρετικὸς ἔ-
35 λεγε (λέγω δέ, ἵνα μήποτε ὁ λόγος ἄλλως ἀκουσθείς, ἄλλως πλήξῃ) πατὴρ γάρ, φησι, καὶ υἱός,
καὶ ἅγιον πνεῦμα μία θεότης, μία δύναμις, μία βασιλεία. δεῖ δέ, φησιν, ἐξαιρεθῆναι ἀπὸ τῆς
ψυχῆς αὐτοῦ (οὐ γὰρ λέγω ἀπὸ τοῦ θυσιαστηρίου) τὸ λέγειν ἐν ἁγιασμῷ, ἅγιος, ἅγιος, ἅγιος Κύριος
σαβαώθ. ἐὰν τοῦτο, φησι, μὴ περιέλητε, χριστιανοὶ οὐκ ἐστέ. εἶδες τοσαύτην τόλμαν καὶ μανίαν
τοῦ διαβόλου, εἶδες ῥίζαν θεομαχίας, εἶδες ὑπερβολὴν βλασφημίας. ἀποκεφαλίσαι ἠθέ-
40 λησε τὴν εὐσέβειαν, ἐκνευρῶσαι τὸ μυστήριον, ἀφανίσαι τὴν πίστιν, ἐκριζῶσαι τὰ θεμελιωθέντα.
καὶ ὅρα τὸ δεινὸν τοῦ διαβόλου. προσέπηξεν αὐτῷ εἰπεῖν, πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα,
μία πίστις, μία δύναμις, μία βασιλεία· ἐκέρασε τὸ δηλητήριον μέλιτι. ἀεὶ γὰρ τὸ ψεῦ-
δος ὅταν θέλῃ τις εὐθῦναι, ἐὰν μὴ πήξῃ θεμέλιον δοκούσης ἀληθείας, οὐ πιστεύεται. καὶ ὅ-
πως, ἄκουε. οὐδὲν μὲν ὅμοιον, λέγω δέ. Ῥαὰβ ἡ πόρνη ὅτι ἐδέξατο τοὺς κατασκόπους, ἠρω-
τήθη,

Γεν. κζ. κη.

Ησ. λδ. δ. καὶ Ἀποκαλ. ς. ιδ.

Ιησ. β. δ.

τῆθη, Εἰσῆλθον πρὸς σὲ οἱ ἄνδρες; λέγει, ναί. τὸ πρῶτον ἀληθές· ἀλλ' ἐξῆλθον, φησί. τὸ δεύτερον ψεῦδος. Εἰ εἶπεν, οὐκ εἰσῆλθον, ἠρευνᾶτο ἡ οἰκία. Εἶπε τὰ ἀληθῆ, ἵνα ἐντρέψῃ· ἐπήγαγε τὸ ψεῦδος, ἵνα ἀπατήσῃ. οὕτω καὶ οὗτοι· ἐρωτώντων δὲ ἡμῶν διὰ τί ἐξέλωμεν τὸν ἁγιασμόν, ἔλεγον, ὅτι ἄλλο ἐστὶ Θεοῦ ὄνομα· οὐκ ἔστιν οὔτε τοῦ Χριστοῦ, οὔτε τοῦ πατρός. Εἶδες τὸ ἐξουθενημένον καὶ μιαρὸν στόμα. ἠγνόησε δὲ ἀπὸ ἰδιωτείας, ὅτι τὸ, σαββαώθ, οὐκ ἔστιν ὄνομα Θεοῦ, ἀλλ' ὄνομα στρατιῶν, τουτέστι, Κύριος τῶν δυνάμεων. λέγω δὲ καὶ τὴν αἰτίαν. ἀλλ' ἃ περὶ τοῦ τέλεις εὐαγγελίζομαι ὑμᾶς, μετενόησε, προσέπεσεν, ἀνεθεμάτισεν, ηὔξατο, ἐδεήθη. πρόσεχε τοίνυν. ἐπειδὴ γὰρ παρενέπεσεν ὁ λόγος, δεῖ ἡμᾶς καὶ τὴν αἰτίαν εἰπεῖν, καθ' ἣν ὁ μακάριος Ἡσαΐας τὸν ἁγιασμὸν τοῦτον ἤκουσε τῷ Θεῷ ἀναπεμπόμενον. Ἡσαΐας ἐγένετο ἀνὴρ θαυμαστός, ζήλου πεπληρωμένος, ἀνὴρ τολμηρὸς δέ, οὐκ ἀπὸ θρασύτητος, ἀλλ' ἀπὸ ζήλου. κατὰ τοὺς χρόνους τούτου ἐγένετο βασιλεὺς Ὀζίας ὀνόματι, ὃς μετὰ τῆς ἄλλης [τῆς] βασιλικῆς δόξης ἠθέλησε καὶ ἱερωσύνην ἐνδύσασθαι. οἱ ἱερεῖς μὲν τὴν ἀκολουθίαν ᾔδεσαν, βασιλεῖ δὲ ἐπὶ πλεῖστον ἀντειπεῖν οὐκ ἠθέλησαν. ἠδέσθησαν τὸ ἀξίωμα, ἐτίμησαν τὸν θρόνον, ἐδυσωπήθησαν τὰ στρατεύματα. Ἡσαΐας καὶ αὐτὸς ἐσιώπησεν, οὐκ ἀντέστη τῷ βασιλεῖ. ὡς εἶδεν ὁ Θεὸς τοὺς ἱερεῖς φοβηθέντας, τὸν προφήτην ὀκλάσαντα, καὶ τὸν βασιλέα τολμήσαντα, ἐπέβαλεν αὐτῷ λέπραν ἐν τῷ προσώπῳ, ὡς τολμήσαντι ἅψασθαι τῶν ἁγίων· καὶ ἐξεβλήθη λοιπὸν οὐ μόνον τῆς ἱερωσύνης, ἀλλὰ καὶ τῆς βασιλείας, καὶ διέμεινε λεπρός. ὁ δὲ Θεὸς ἐποίησε μὲν τὸ ἴδιον, ἠγανάκτει δὲ τοῖς ἱερεῦσι, καὶ μάλιστα τῷ προφήτῃ, ὅτι παρ' ὧν προέδωκε τὴν εὐσέβειαν. τέως οὖν ὁ Θεὸς ἐν παρασιωπήσει πρὸς τὸν προφήτην, καὶ οὐ μετέδωκε λόγους, ἕως οὗ ἐτελεύτησεν ὁ παράνομος. ὅτε οὖν λοιπὸν ἀπέθανεν ὁ ἀσεβής, τότε καὶ ὁ Θεὸς ἀποθέμενος τὴν ἀγανάκτησιν, διαλλάττεται τῷ προφήτῃ. λέγει τοίνυν Ἡσαΐας, Καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ, ᾧ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. καὶ διὰ τί Θεὸς ἐφάνη ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου; ἐπειδὴ ἀόρατός ἐστιν ὁ Θεός, ὁ δὲ βασιλεὺς ὁρώμενος φόβον ἔχει, δείκνυσι τῷ προφήτῃ τὴν οὐράνιον δόξαν, ἵνα πείσῃ αὐτόν, ποίου θρόνου καταφρονήσαντες, ποῖον θρόνον ἐτίμησαν, ποίαν δορυφορίαν οὐράνιον καὶ ἀγγελικὴν μὴ τιμήσαντες, μηδὲ ἐννοήσαντες, δορυφορίαν ἀνθρωπίνην ἐδυσωπήθησαν. Καὶ ἦν, φησι, πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ· καὶ τὰ σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. τὰ χερουβὶμ θρόνος ἐστί, τὰ σεραφὶμ δορυφορία. τὰ χερουβὶμ γὰρ οὐδὲν ἄλλο ἑρμηνεύεται, ἢ σοφία πεπληρωμένη. ὥσπερ δὲ ἐστὶν ὁ θρόνος ἢ ἕτερος ἀνάπαυσις τοῦ καθημένου, καὶ ἐστὶ τιμὴ καὶ ἀνάπαυσις, οὕτω καὶ Θεοῦ θρόνος, σοφία, ἐφ' ἣν ἐπαναπαύεται Θεός. διὰ τοῦτο ὁ Δαβὶδ φησιν, Ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ, ἀντὶ τοῦ, ὁ ἐπὶ τῆς πεπληρωμένης σοφίας ἐπαναπαυόμενος. διὰ τοῦτο τὰ χερουβὶμ καὶ πλήρη ὀφθαλμῶν τὰ νῶτα, τὴν κεφαλήν, τὰς πτέρυγας, τοὺς πόδας, τὰ στήθη, καὶ πάντα ὀφθαλμῶν ἐπεπλήρωτο, ἐπειδὴ ἡ σοφία πανταχόθεν ἀνεῳγμένον ἔχει τὸ ὄμμα. Ἓξ, φησι, πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, καὶ ταῖς δυσὶ τοὺς πόδας, ταῖς δὲ δυσὶν ἐπέταντο. καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον, ἅγιος, ἅγιος, ἅγιος Κύριος σαββαώθ, τουτέστι, Κύριος στρατιῶν. ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί. ὀκτὼ ἡσυχάζουσι, καὶ τέσσαρες βοῶσι. τί οὖν διδάσκει ἡμῖν ἡ γραφή; μὴ πάντα κινεῖν λογισμὸν περὶ Θεοῦ· ἀλλὰ τὰ μὲν σιωπῇ κρύπτειν, τὰ δὲ πίστει δοξάζειν καὶ θεολογεῖν. διὰ τί δὲ σκεπάζουσι τοὺς πόδας καὶ τὴν κεφαλήν; ἐπειδὴ οὔτε ἀρχὴ εὑρίσκεται, οὔτε τέλος, καὶ ταῖς μὲν δυσὶ καλύπτουσι τὴν κεφαλήν, ταῖς δὲ δυσὶ τοὺς πόδας· δηλονότι ταῖς μέσαις πτέρυξι πέτονται, οὐ ταῖς ἄνω, οὐ ταῖς κάτω. δεῖ γὰρ ἡμᾶς περὶ Θεοῦ λαλοῦντας τὰ μέσα λαλεῖν, ὅτι Θεός, ὅτι δημιουργός, ὅτι δεσπότης, ὅτι εὐεργέτης. ταῦτα πάντα μέσα. ἐὰν μὲν εἴπῃς πῶς ἐγέννησε, τὴν κεφαλὴν ἐγύμνωσας, ἣν σκέπει τὰ χερουβίμ. ἐὰν δὲ εἴπῃς, ποῦ τὸ τέλος τοῦ Θεοῦ, τοὺς πόδας γυμνοῖς, οὓς

σκέπει

Ησ. ϛ. — Ησ. ϛ. α. — Ψαλ. οθ. β. καὶ ϟη. α. — Ησ. ϛ. β.

ἴσ. τῷ ἁγιασμῷ τὸ Σαβαώθ,

γ. τὸν

σκέπει τὰ χερουβίμ. σκέπει δὲ τὴν κεφαλὴν καὶ τοὺς πόδας, οὐχ ἵνα κρύψῃ, ἀλλ' ἵνα διδάξῃ, ὅτι ἀνεξερεύνητα, ὅτι ἀκατάληπτα. λάβε καὶ τὸν τύπον. ἦσαν ἓξ καὶ ἕξ, δώδεκα πτέρυγες. ὀκτὼ ἡσυχάζουσι, καὶ τέσσαρες κινοῦνται. τύπος τῶν ἀποστόλων· δώδεκα ἀπόστολοι, ἀλλὰ τέσσαρες βοῶσιν εὐαγγελισταί. καὶ τί βοῶσιν; ἣν ἐσπούδασεν ὁ Σατανᾶς ἀνατρέψαι φωνήν. πρόσεχε, παρακαλῶ. οὐχ ἁπλῶς ἔλεγον, ὡς ἡμεῖς, ἅγιος, ἅγιος, ἅγιος, ἀλλὰ εἷς πρὸς ἕνα ἀντέβαλλον, ὡς γέγραπται· Καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον. ἅγιος, φησιν, ἅπαξ ὀφείλομεν εἰπεῖν· ὁ ἄλλος λέγει, ἅγιος· εἶτα ὁ ἕτερος προσετίθετο τὸ τρίτον ἅγιος. ἐπεὶ οὖν τρία ἠριθμήσαμεν, μὴ νομίσῃς εἶναι τρεῖς θεούς. τί οὖν ἅγιος, ἅγιος, ἅγιος Κύριος; Εἷς γὰρ Κύριος, μία πίστις, ἓν βάπτισμα. καὶ ὥσπερ ἐν ταῖς ψαλμῳδίαις ἀντιπέμπουσιν ἀλλήλοις τὰ μέλη, οὕτω καὶ αἱ ἄνω δυνάμεις ἀντιχορεύουσιν ἀλλήλαις, καὶ ὥσπερ ἐξ ἀντιφώνου μελῳδίας ἀναπέμπουσι τὴν δοξολογίαν. Εἶτα πλήρης, φησίν, ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς κραυγῆς, ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπληρώθη καπνοῦ. ξένον πρᾶγμα· ἀπὸ τῆς δοξολογίας δέον προστεθῆναι δόξαν, καὶ ἡ οὖσα ἀπώλετο, καὶ καπνὸς εἰσῆλθε. καπνὸς δὲ ἐρημίας ἐστὶν εἰκών. τί οὖν ἐστι τοῦτο; προσηύδα τὸ πνεῦμα τὸ ἅγιον, ὅτι τὸ ἅγιος, ἅγιος, ἅγιος, ἥρμοσται τῷ κόσμῳ, τῷ κηρύγματι τῶν ἀποστόλων, καὶ οὐ δέχεται αὐτὸ ὁ ναὸς τῶν Ἰουδαίων. λέγει οὖν ὅτι μετὰ τὸ κήρυγμα τοῦ εὐαγγελίου, ἐρημίας καὶ καπνοῦ πληροῦται ἡ συναγωγή. ἐπήρθη δὲ οὐχ ἡ θύρα, ἀλλὰ τὸ ὑπέρθυρον. πρόσεχε. πᾶσα θύρα οὐδὸν ὑποκείμενον ἔχει, καὶ ὑπέρθυρον ἐπικείμενον ταῖς παραστάσι· καὶ οὔτε στῆναι δύνανται παραστάδες μὴ ἔχουσαι οὐδόν, οὔτε στερεωθῆναι ἀσάλευτοι δύνανται μὴ περιλαβοῦσαι τὸ ὑπέρθυρον. ἐπήρθη οὖν τῆς συναγωγῆς τὸ ἄνω σχῆμα· οὐχ ὅλη μὲν ἡ συναγωγή, θύρας μὲν ἔχουσα, ὑπέρθυρον δὲ οὐκ ἔχουσα. τὸ ὑπέρθυρόν ἐστιν ἡ ἄνω κρατοῦσα δύναμις. ἐπήρθη τὸ ὑπέρθυρον, ἐγυμνώθη τῆς χάριτος. ἀφ' οὗ δὲ τὸ ὑπέρθυρον ἐπήρθη, ἀνάγκη τὰς παραστάδας καὶ ὑπὸ τῆς τυχούσης χειρὸς σαλεύεσθαι. διὰ τοῦτο πᾶσα χεὶρ σαλεύει τὰ Ἰουδαϊκά. καὶ διὰ τοῦτο προφήτης τις ἔλεγε, Καὶ θήσω τὴν Ἱερουσαλὴμ ὡς πρόθυρα σαλευόμενα. Καὶ ὁ οἶκος, φησιν, ἐπληρώθη καπνοῦ. καὶ ποῦ ἡ δόξα ἀπῆλθε; πρόσεχε, παρακαλῶ. λέγει Ἡσαΐας, καὶ πλήρης τῆς δόξης ὁ οἶκος αὐτοῦ. Εἶτα λέγει, ὅτι ἐπλήσθη καπνοῦ. Εἰσελθόντος τοίνυν τοῦ καπνοῦ, ἀνάγκη ἡ δόξα μετετέθη. καὶ ποῦ μετετέθη; οὐκ ἐν ἑνὶ οἴκῳ, ἀλλ' ἐπλήρωσε τὰς ἐκκλησίας ἀνὰ πᾶσαν τὴν οἰκουμένην. καὶ ἵνα δείξῃ τὰ χερουβίμ, ποῦ ἀπῆλθεν ἡ δόξα ἡ ἐν τῷ ναῷ, λέγει, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. ἐγυμνώθη ἓν ἔθνος, καὶ ἐφωτίσθη τὰ πέρατα τῆς γῆς. ταύτην τὴν ἁγίαν φωνήν, ταύτην τὴν βασιλικὴν δοξολογίαν, ταύτην τὴν ἔνθεον μυσταγωγίαν ἔλεγε διαβολικὸν στόμα, περιεῖλε ἀπὸ τοῦ θυσιαστηρίου. ὅτι δὲ κατ' αὐτοῦ τοῦ Χριστοῦ χωρεῖ ἡ βλασφημία, δήλη ἡ μαρτυρία. τίνα εἶδεν Ἡσαΐας ἐν τῷ θρόνῳ; λέγει γάρ, Ἤκουσα φωνὴν Κυρίου λέγοντος, τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; κατηλλάγη μὲν τῷ δούλῳ, ἀκμὴν δὲ ἔφερεν ἀγανακτήσεως. ὥσπερ ἡμεῖς ἐὰν διαλλαγῶμεν οἰκέτῃ, οὐκ εὐθέως αὐτῷ τὸ ὅλον ὄμμα χαριζόμεθα, ἀλλὰ ἠρέμα ὑποκλέπτομεν τὴν ὄψιν· οὕτω καὶ ὁ Θεὸς μὴ θέλων δεῖξαι ὅλον τὸ πρόσωπον, ἐρωτῶντος αὐτοῦ, λέγει, τίνα ἀποστείλω; ὥσπερ ἐὰν ὦσι δοῦλοι ἑστῶτες ἐπὶ δεσπότου, καὶ θέλει αὐτῶν μέμψασθαι τὴν ῥᾳθυμίαν, λέγει, τίνα ἀποστείλω εἰς τήνδε τὴν χρείαν; οὐκ ἔχω ἄνθρωπον, οὐχ ὡς μὴ ἔχων, ἀλλ' ὡς σπουδαῖον μὴ ἔχων· οὕτω καὶ ὁ Θεός, τίνα ἀποστείλω; ἀντὶ τούτου, τὸν σιωπήσαντα; τὸν πολεμοῦντα τὴν ἱερωσύνην; τί οὖν Ἡσαΐας; ὡς οἰκέτης ἐν παρασκευῇ γινόμενος, καὶ διαχθεὶς, καὶ σπεύδων ὑπὲρ τῶν προφητῶν ἀπολογήσασθαι, Ἰδοὺ ἐγώ· ἀπόστειλόν με. πόθεν οὖν δείξομεν, ὅτι Χριστοῦ ἦν ἡ δόξα; λέγει Ἰωάννης ὁ εὐαγγελιστής· Τοσαῦτα δὲ σημεῖα πεποιηκότος τοῦ Ἰησοῦ, οὐκ ἐπίστευσαν αὐτῷ οἱ Ἰουδαῖοι, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου, Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε.

Εφεσ. δ. ε.

Ζαχ. ιϛ. β.

Ησ. ϛ. η.

Ιωαν. ιϛ λζ. μ. μα.

Πραξ. κη. κϛ.

συνῆπτο. ταῦτα δὲ εἶπεν, ὅτι εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ. εἶδες δὲ κεφάλαιον ἡμῖν τῆς σωτηρίας, καὶ τὸν ἁγιασμόν. ἁγιασμὸς ἐὰν μὴ γένηται, οὐδὲ τὸ μυστήριον τελεῖται. ἔχεις τὴν εἰκόνα.. μόνον εἶπε τὰ χερουβὶμ, ἅγιος, ἅγιος, ἅγιος Κύριος, καὶ εὐθέως ἡγιάσθη ἡ θυσία. Καὶ ἀπεστάλη, φησὶ, πρός με ἓν τῶν χερουβὶμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν

Ησ. ς.

ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. μὴ ἔλαβεν ἕως οὗ ἡγιάσθη. Ἥψατο, φησι, τῶν χειλέων μου. διὰ τί τῶν χειλέων; τὰ πρόθυρα τῶν μυστηρίων. τί λέγομεν οἱ πιστοί; τοῦτο τὸ μυστήριον ἀφίησιν ἁμαρτίας. λέγει καὶ τὰ χερουβὶμ, Ἰδοὺ ἀφήρηκα τὰς ἁμαρτίας σου. εἶδες τὸν τύπον, εἶδες τὴν ἀλήθειαν λάμπουσαν. αὐτὸν τοίνυν τὸν ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου μὴ διαλείπωμεν ἁγιάζοντες· ὑπερασπίσωμεν δὲ καὶ ὑπὲρ τῆς ψυχῆς τῆς δελεασθείσης, ἣν ἥρπασεν ὁ λύκος, καὶ ἀπέσπασεν ὁ ποιμήν· ἣν ἥρπασεν ὁ διάβολος, καὶ ἀφείλατο ὁ φιλάνθρωπος· ἵνα πᾶν στόμα αἱρετικὸν καὶ πᾶσα γλῶσσα μαινομένη βλασφημίᾳ, ὑμνήσῃ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΤΡΙΤΗΝ ΗΜΕΡΑΝ ΤΗΣ κοσμοποιΐας. Λογ. γ.

Ὁ μὲν τοῦ κόσμου τεχνίτης ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις τὸν οὐρανὸν ἐκαλλώπισε, καὶ τὴν γῆν ἄνθεσι καὶ φυτοῖς ἐστεφάνωσε, καὶ πᾶσαν τὴν κτίσιν διαφόρως ἐποίκιλλεν. ἡμᾶς δὲ δεῖ τὸν τῆς δημιουργίας λόγον ἀναλαβόντας θαυμάζειν μὲν τὰ γεγενημένα, προσκυνεῖν δὲ τὸν τεχνίτην. οὐ γὰρ ἐγράφη ταῦτα, ἵνα μάθωμεν ὅτι γέγονε μόνον, ἀλλὰ καὶ θαυμάσωμεν τὸν ποιήσαντα. Εἴρηται ὅτι τῇ πρώτῃ ἡμέρᾳ τὰς ὕλας τῶν κτισμάτων παρήγαγε· τῇ δευτέρᾳ, πῶς τὸ στερέωμα ἐξ ἠραιωμένης φύσεως τῶν ὑδάτων συνεστήσατο, καὶ διὰ τοῦτο στερέωμα ἐκλήθη. διὰ τοῦτο δὲ καὶ ὁ Χριστὸς τὴν οἰκουμένην πᾶσαν ἐξηραιωμένην καὶ κεχαυνωμένην, διαφόροις πολυθέου πλάνης ὕλαις ἐσκορπισμένην, συνήγαγε, καὶ μίαν ἐποίησε πίστιν· καὶ καλεῖ αὐτὴν ὁ ἀπόστολος στερέωμα, λέγων, Κατὰ τὸ στερέωμα τῆς εἰς Χριστὸν

Κολ. β. ε.

πίστεως. ἐμεσιάσθη τοίνυν ἡ ἄβυσσος, καὶ ἦν τὸ μὲν κάτω ὕδωρ ἄβυσσος, καὶ τὸ ὑψωθὲν ἄνω, ἄβυσσος. πόθεν τοῦτο; λέγει Δαβίδ, Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταρ-

Ψαλ. μα. θ.

ρακτῶν σου. ἐμεσιάσθη τοίνυν τὸ ὕδωρ, καὶ ἐγένετο στερέωμα. λοιπὸν ἡ γῆ ἐκεκάλυπτο ὕδατι.

Γεν. α. θ.

Καὶ εἶπε, φησιν, ὁ Θεός, Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. ἐπεὶ πάντα βούλονται οἱ ἄθλιοι τῶν αἱρετικῶν παῖδες, καὶ τρόπον ἐρευνῶσιν ἀκαταλήπτου φύσεως, εἰπῶσι πῶς συνήχθη τὸ ὕδωρ, καὶ ποῦ συνήχθη, ἢ συναχθὲν ποῦ ἐχώρησεν. οὐ γὰρ ἀκολουθεῖν δεῖ καθ᾽ ὑμᾶς ἁπλῶς ταῖς φωναῖς, ἀλλὰ ζητεῖν τὰ πράγματα. εἶπεν ὁ Θεός, συναχθήτω τὸ ὕδωρ. ποῦ συνήχθη; εἰς τὴν θάλασσαν. οὐ γὰρ ἦν τότε πεπληρωμένη ἡ θάλασσα; ἡ γῆ ἐπεπλήρωτο· πάντως καὶ ἡ θάλασσα. ποῦ οὖν συνήχθη; οἱ τὰ ἐν ποσὶ καὶ ὁρώμενα μὴ δυνάμενοι καταλαβεῖν, πολυπραγμονοῦσι βυθὸν ἀνεξιχνίαστον, καὶ ἄβυσσον θεότητος ἀκατάληπτον, καὶ οὐκ ἐντρέπει αὐτοὺς ἡ θάλασσα ἀκατάληπτος οὖσα ἐρευνᾶν περὶ τοῦ τεχνίτου. διὰ τοῦτο καὶ

Ησ. κγ. δ.

πρὸς αἱρετικοὺς λεγέτω ὁ προφήτης, Αἰσχυνθήτωσαν αἱρετικοί, εἶπεν ἡ θάλασσα. ποῦ οὖν συνήχθη τὰ ὕδατα, ἄκουε. ὅτε τὴν γῆν ἐποίησεν ὁ Θεός, οὐδέπω ἦν τὰ κοιλώματα τῶν ὀρέων. ἀλλ᾽ ἅμα εἶπε, συναχθήτω τὸ ὕδωρ, καὶ ἐρράγη ἡ γῆ, καὶ κόλπους ἐποίησε. μαρτυρεῖ τῷ πράγματι, ὅτι γῆ ἐστιν ἡ σχισθεῖσα, αἱ νῆσοι, τὰ ὄρη μεταξύ. καὶ διὰ τοῦτο κατέλιπεν ὁ Θεὸς τὰς νήσους καὶ τὰ ὄρη, ἵνα μάθῃς ὅτι ἀπ᾽ ἀρχῆς συνῆπτο, Θεοῦ δὲ λόγος αὐτὰ ἔρρηξε.

Συναχθήτω

Συναχθήτω τὸ ὕδωρ· ἐγυμνώθη ἡ γῆ. δεῖ δὲ εἰδέναι ὅτι ὁ Θεὸς τὴν γῆν τὴν σήμερον οὕτω
καλουμένην, ὅτε γῆν ἐποίησεν, οὔτε ὄνομα αὐτῇ τοιοῦτον ἔδωκεν, ἀλλ' ἦν τὸ ὄνομα τῆς κοσμο-
ποιΐας ἀπ' ἀρχῆς, ἡ ξηρά· ὡς λέγει Δαβὶδ, Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐ- (Ψαλ. ϟδ. ε.)
τὴν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. ξηρὰ ἐγένετο, ἐπεκλήθη δὲ γῆ· ὥσπερ τοῦτο
5 τὸ στερέωμα ἐγένετο, ἐπεκλήθη δὲ οὐρανός. χωρισθέντων τοίνυν τῶν ὑδάτων, προῆλθεν ἡ ξη-
ρὰ, ὄψιν ἔχουσα γῆς μεμεθυσμένης. νεωστὶ γὰρ ὑπεχώρησαν τὰ ὕδατα. ὡς οὖν ἐγυμνώθη
ἡ γῆ, κελεύει ὁ δημιουργὸς, Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος (Γεν. α. ιβ.)
καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον [ποιοῦν καρπὸν,] οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ, κατὰ
γένος καὶ καθ' ὁμοιότητα. οὐδὲ τοῦτο αἰσχύνει τοὺς αἱρετικούς· βοτάνη καὶ ξύλα καὶ χόρτος
10 γεννᾷ καθ' ὁμοιότητα, καὶ ὁ Θεὸς ἀνόμοιον ἐγέννησε; καὶ ὅτε τὰ τετράποδα πάλιν καὶ τὰ ἑρ-
πετὰ καὶ τὰ πετεινὰ ἐγένετο, λέγει ὁ Θεὸς, Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ (Γεν. α. κ.)
πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ γένος. τὰ θηρία, τὰ ἑρπετὰ, τὰ πετεινὰ, τὰ νηκτὰ, ἡ
βοτάνη, ὁ χόρτος, τὰ ξύλα, κατὰ γένος καὶ καθ' ὁμοιότητα γεννᾷ, καὶ μόνος ὁ Θεὸς ἀνόμοι-
ον ἐγέννησε; καὶ ἡμᾶς μὲν δημιουργῶν ὁ Θεὸς εἶπε, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα (Γεν. α. κϛ.)
15 ἡμετέραν καὶ ὁμοίωσιν. τὸ ἔργον καθ' ὁμοίωσιν, καὶ ὁ τεχνίτης ἀνόμοιος; ἀλλ' ὅρα τὸ θαυμαστόν.
πολλάκις γὰρ ἡ αἱρετικὴ κακία εὑρίσκει φωλεόν. ἐὰν οὕτω, φησὶν, εἴπης τὸν υἱὸν καθ' ὁμοίωσιν,
ὡς καὶ ἡμᾶς, δεχόμεθα. ἄλλο γὰρ φύσεως ὁμοιότης, ἄλλο χάριτος. ἡμεῖς καθ' ὁμοίωσιν· ἐ-
κεῖνος ὁμοίωσις. Ὁ γὰρ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. ἡμεῖς δὲ καθ' ὁμοίωσιν. δεῖ δὲ τοὺς (Ιω. ιδ. θ.)
δούλους τοῦ Θεοῦ ἐρωτᾷν τὰς διαφορὰς τῶν λέξεων. λέγει ὁ Θεὸς, Βλαστησάτω ἡ γῆ βο-
20 τάνην χόρτου, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν· εἶτα λέγει, Ἐξαγαγέτω ἡ γῆ τετράπο-
δα θηρία. διὰ τί ἐκεῖ βλαστησάτω, καὶ ὧδε ἐξαγαγέτω; τὰ βλαστήματα καὶ τὰ ξύλα καὶ οἱ
καρποὶ κατ' ἐνιαυτὸν βλαστάνουσιν. ἐπειδὴ οὖν ἔμελλε τὰ ὕδατα παραμένειν τῇ γῇ, καὶ πάντως
ἐξ αὐτῆς προέρχεσθαι, διὰ τοῦτο, βλαστησάτω. τὰ μέν τοι ζῶα διὰ τοῦτο ἐξαγαγέτω,
ἐπειδὴ ἅπαξ ἀπὸ γῆς γεννηθέντα οὐκ ἔστι πάλιν ἀπὸ γῆς, ἀλλ' ἀπὸ τῶν διαδοχῶν τίκτον-
25 ται. ἐγένετο οὕτως· ἔδραμεν εἰς ἔργον ὁ λόγος· ἐκοσμήθη ἡ γῆ· ἔδει λοιπὸν κοσμηθῆναι
καὶ τὸν οὐρανόν. διὰ τί δὲ προηγουμένως ποιεῖ τὴν διακόσμησιν τῆς γῆς τοῦ οὐρανοῦ; διὰ τὴν
μέλλουσαν ἀνακύπτειν πολύθεον πλάνην περὶ ἥλιον καὶ σελήνην καὶ ἄστρα. Εἶπεν ὁ Θεὸς,
Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ. τῇ πρώτῃ ἡμέρᾳ διὰ τί οὐκ ἐποίησεν
ἥλιον καὶ σελήνην; ἐπειδὴ οὐδέπω ἦν τὸ στερέωμα γενόμενον, ἐν ᾧ ἔμελλε πεπῆχθαι· καὶ οὐ
30 διὰ τοῦτο μόνον, ἀλλ' ἐπειδὴ οὐδέπω ἦσαν καρποὶ οἱ ὀφείλοντες θάλπεσθαι. τῇ γὰρ τρί-
τῃ ἐβλάστησαν οἱ καρποί. καὶ ἵνα μὴ νομισθῇ πάλιν, ὅτι τῇ φύσει τοῦ ἡλίου ἐβλάστησαν, ὅτε
ἀπηρτίσθη ἡ δημιουργία, τότε λοιπὸν ποιεῖ ὁ Θεὸς ἥλιον, σελήνην, καὶ ἄστρα. πόθεν δὲ αὐτὰ
ἐποίησεν; εἴρηται γὰρ ὅτι τῇ πρώτῃ ἡμέρᾳ ἐκ μὴ ὄντων ἐποίησε τὰ πάντα· ταῖς δὲ ἄλλαις
ἐξ ὄντων. πόθεν οὖν ὁ ἥλιος; ἐκ τοῦ γενομένου φωτὸς τῇ πρώτῃ ἡμέρᾳ μετέβαλεν ὡς ἠθέ-
35 λησεν ὁ τεχνίτης, καὶ εἰς διαφόρους κατεσκεύασεν ὄψεις, ἐκεῖ τὴν ὕλην τοῦ φωτὸς, ὧδε τοὺς
ἀστέρας. ὡς εἴ τις προεβάλλετο μάζαν χρυσοῦ, καὶ μετὰ ταῦτα νομίσματα ἔκοψας· οὕτω
διέθηκε τοῦ φωτὸς τὴν διακόσμησιν. ὥσπερ γὰρ τὴν ἄβυσσον τότε ἐν ὕδωρ ὑπάρχον ἐ-
μέρισε [τὸ ὕδωρ] εἰς τὰς θαλάσσας, εἰς ποταμοὺς, εἰς πηγὰς, εἰς λίμνας, εἰς φρέ-
ατα· οὕτω καὶ τὸ φῶς ἓν ὑπάρχον μονοειδὲς κατατεμὼν ὁ τεχνίτης ἐμέρισεν εἰς ἥλιον καὶ
40 σελήνην καὶ ἄστρα. θέλω δὲ ζητῆσαι πῶς ἐποίησεν ὁ Θεὸς τοὺς φωστῆρας. φαίνεται γὰρ ποιή-
σας αὐτοὺς ἔξω τοῦ οὐρανοῦ, καὶ τότε πήξας ἄνω. ὥσπερ τεχνίτης ἐπειδὰν ἀπαρτίσῃ εἰκόνα,
τότε πήγνυσιν αὐτὴν ἐν τῷ τοίχῳ· οὕτως ὁ Θεὸς πρῶτον ἐποίησε τοὺς φωστῆρας ἔξω τοῦ οὐ-
ρανοῦ, καὶ τότε ἔπηξεν ἄνω ὥσπερ τεχνίτης, ὡς μαρτυρεῖ ἡ γραφή· Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς (Γεν. α. ιϛ.)
δύο φωστῆρας, καὶ ἔθετο αὐτοὺς ἐν τῷ οὐρανῷ. πῶς οὖν αὐτοὺς ἔπηξεν; ἆρα μὴ ὁμοῦ ἦσαν

οἱ δύο πεπηγμένοι; οὐκ ἔχει λόγον. ἀλλὰ τί; κατὰ τὴν φωνὴν αὐτοῦ τοῦ Θεοῦ ἡ πῆξις. ἔθετο, φησιν, ὁ Θεὸς τοὺς δύο φωστῆρας· τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάττω εἰς ἀρχὰς τῆς νυκτός. ὅτε ὁ ἥλιος ἐπάγη εἰς ἀνατολήν, ἐπάγη ἡ σελήνη εἰς δύσιν· ἐπειδὴ ἐκείνη μὲν ἀρχὴν τῆς νυκτὸς ἐκελεύσθη, ὁ δὲ τῆς ἡμέρας. ἐγένετο οὖν ἡ σελήνη, καὶ γίνεται τῇ πρώτῃ ἡμέρᾳ πανσέληνος. οὐ γὰρ ἔδει ἠκρωτηριάσθαι τὸ ἔργον εὐθέως, ἀλλ' ἔδει δειχθῆναι τὸν φωστῆρα, οἷος ἐγένετο. μετὰ δὲ ταῦτα τῇ ἀλλοιώσει ἔδειξε χρόνους, καὶ καιρούς, καὶ διαφορὰς ἡμερῶν. ποιεῖ οὖν αὐτὴν ὁ Θεὸς ὡς πεντεκαιδεκαταίαν πεπληρωμένην. ὁ ἥλιος ἀνέτειλεν ὄρθρου. ὅτε γὰρ ἐπάγη ἡ σελήνη ἐν τῷ ὄρθρῳ, ἐφαίνετο πρὸς δύσιν. ὡς οὖν ἔτρεχεν ὁ ἥλιος τὸν ἴδιον δρόμον πρὸς δύσιν, ἡ σελήνη ἤρχετο εὐθέως τοῦ ἀνατέλλειν· ἵνα πληρωθῇ τό, Αρχέτωσαν τῆς ἡμέρας καὶ τῆς νυκτός. λοιπὸν ζήτημα, διὰ τί ὁ Θεὸς πεπληρωμένην ἐποίησε τὴν σελήνην. πρόσεχε. τὸ γὰρ νόημα βαθύ. ἐχρῆν αὐτὴν τῇ τετάρτῃ ἡμέρᾳ γενομένην, ὡς τεταρταίαν φαίνεσθαι. ἀλλὰ πάλιν εἰ ἦν τεταρταία, τὸ ἄκρον τῆς δύσεως οὐκ ἂν ἐπέτυχεν. εὑρέθη οὖν πλεονεκτοῦσα ἕνδεκα ἡμέρας. τεταρταία ἐγένετο, καὶ ἐφαίνετο ὡς πεντεκαιδεκαταία. ἕνδεκα ἡμέρας ἐπλεονέκτει λοιπὸν ἡ σελήνη τὸν ἥλιον, οὐ τῇ ποιήσει, ἀλλὰ τῇ φαύσει. διὰ τοῦτο ἃς τότε ἐπλεονέκτει σελήνη, ἀποδίδωσι τῷ ἡλίῳ. ὁ γὰρ κατὰ σελήνην καὶ καθ' ἕκαστον μῆνα ἀπὸ εἴκοσι ἐννέα ἥμισυ ἡμερῶν ἀριθμὸς γινόμενος ποιεῖ ἐν τοῖς δεκαδύο μησὶ τοῦ ἐνιαυτοῦ ἡμέρας τριακοσίας πεντήκοντα τέσσαρας. ἐὰν γὰρ οὕτω ψηφίσῃς τὸν μῆνα ἀπὸ εἴκοσι ἐννέα ἥμισυ ἡμερῶν, γίνονται τοῦ ἐνιαυτοῦ ἡμέραι τριακόσιαι πεντήκοντα τέσσαρες, ἵνα ἃς ἐπλεονέκτησε τότε ἡμέρας ἡ σελήνη, κατ' ἐνιαυτὸν ἀποδίδωσι τῷ ἡλίῳ. ὁ ψηφίσης ψηφιζέτω. [Γεν. α. ιδ.] Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. ἐπειδὴ ἡ φύσις τοῦ πυρὸς ἀνωδρομός ἐστι, χαλινὸν ἐπιτίθησιν ὁ Θεὸς τῇ φύσει, ὥστε μὴ ἄνω πέμπειν τὴν αὐγήν, ἀλλὰ κάτω. πῦρ * γὰρ οὐκ ἀνέχεται προστρέχειν κάτω, ἀλλ' ἄνω. [* μὴ] ἐὰν ἔχῃς δᾷδα, στρέψον αὐτὴν κάτω, καὶ ὁρᾷς ὅτι κἂν τὸ ὄργανον στρέψῃς, τὸ πῦρ ἄνω τρέχει. ἐπεὶ οὖν ἔδει αὐτοῦ τοιαύτην εἶναι τὴν φύσιν, ἐπέδησεν αὐτήν, ἵνα μὴ κατὰ τὴν φύσιν λάμπῃ, ἀλλὰ κατὰ τὸ πρόσταγμα. εἴ τις ὑμῶν " παρατηρήσαιτο ἔλαιον ἀπὸ λύχνου, [ἴν. πα... σηπ] πῶς συγκαταβαίνει τῷ ἐλαίῳ τὸ πῦρ, καὶ ἡ μὲν βία τοῦ ἐλαίου κάτω ἕλκει, ἡ δὲ φύσις τοῦ πυρὸς ἄνω τρέχει, καὶ ὥσπερ βίαν ὑφιστάμενον καταβοᾷ. εἴ ποτε γὰρ ἀναγκάζεται πῦρ τρέχειν παρὰ τὴν ἀκολουθίαν, φωνὴν ἀφίησιν ὡς βίαν πάσχον, ὡς παρὰ φύσιν ὁδεῦον. ὅταν γάρ τι παρὰ φύσιν ἐν τῷ στοιχείῳ γένηται, βοᾷ. διὰ τί; ὅταν ἐπιβληθῇ ἔλαιον ἐν τῷ πυρί, φωνὴν οὐκ ἀφίησιν· ἐὰν δὲ ὕδωρ ἐπιβληθῇ, τρίζει. καὶ τοῦτο ὑγρόν, κἀκεῖνο ὑγρόν. ἀλλ' ἐπειδὴ κἀκεῖνο ἀπὸ ξύλου ὄζον, καὶ ἡ ἐλαία τρέφουσα, φίλον δὲ ἀεὶ τῷ ξύλῳ τὸ πῦρ, δέχεται ἡδέως τὰ ἀπὸ τοῦ συγγενοῦς· ἐὰν δὲ ὕδωρ πυρὶ ἐπιβληθῇ, τρίζει. τῷ γὰρ ἐναντίῳ μάχεται. τὸ πῦρ ἴδιόν ἐστι τοῦ ἀέρος· συγγενὲς γάρ. φυσᾷς εἰς λύχνον, καὶ καπνίζει ὁ ἀὴρ τὸ πῦρ, καὶ οὐδαμοῦ εὑρίσκεται. τὸ γὰρ συγγενὲς " ἔδραμε. [ἴσ. ἐπί] βλέπε τοῦ τεχνίτου τὴν σοφίαν, βλέπε τὴν δύναμιν. ἔθηκε τοὺς φωστῆρας ἐν τῷ οὐρανῷ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. Καὶ ἔστωσαν, φησιν, εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς. τί ἐστιν, εἰς σημεῖα; οἱ μὲν ματαιολόγοι περὶ ἀστρολογίαν ἑαυτῶν ἐκένωσαν τὰς ἐλπίδας, σημειούμενοι πράγματα ἀνυπόστατα. ὅτι γὰρ οὐκ ἔστι τι σημειώσασθαι περὶ ζωῆς ἀνθρώπων ἀπὸ ἄστρων, μαρτυρεῖ Ησαΐας λέγων· [Ησ. μζ. ιγ.] Αναστήτωσαν οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ, καὶ οἱ βλέποντες τὰ σημεῖα, καὶ εἰπάτωσάν σοι τί μέλλει γίνεσθαι. περὶ μὲν οὖν ζωῆς ἀνθρώπων οὐδὲν σημεῖον δίδωσιν ὁ οὐρανός. θέλεις δὲ μαθεῖν αὐτοῦ τὰ σημεῖα; σημαίνει ὄμβρους, ἀνέμους, χειμῶνας, εὐδίας τὰ ἄστρα ταῦτα σημαίνει· καὶ τοῦτο διὰ Θεοῦ φιλανθρωπίαν, ἵνα ὁ ναυτίλος ἴδῃ τὸ σημεῖον, καὶ φύγῃ τὸν κίνδυνον· ἵνα ὁ γεωργὸς ἴδῃ " ὁσμὴν χειμῶνος, καὶ προλαβὼν ἀροτριάσῃ γῆν. [ἴσ. ὁρμὴν] γίνεται σημεῖον καὶ πολέμου καὶ εἰρήνης. ταῦτα ὁ σωτὴρ ἐβεβαίωσεν, ἅπερ ἐστὶν ἁπλᾶ καὶ ἀπερίεργα.

ρα. λέγει γὰρ τοῖς Ἰουδαίοις, Ὑποκριταὶ, ἐὰν ἴδητε νεφέλην ἀπὸ δυσμῶν ἀνατέλλουσαν, (Ματθ. ιϛ. ϐ. γ.)
λέγετε, χειμὼν γίνεται, καὶ γίνεται οὕτω. κἂν ἴδητε ὀψὲ πυῤῥάζοντα τὸν οὐρανὸν, λέγετε, εὐδία, καὶ
γίνεται εὐδία. κἂν ἴδητε ὀψὲ στυγνάζοντα τὸν οὐρανὸν, λέγετε, χειμὼν γίνεται. καὶ ἐπάγει· Εἶτα
τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν τοῦτον οὐκ οἴδατε; ταῦ-
τά ἐστι τὰ σημεῖα τὰ ἀκίνδυνα παρατηρήσασθαι, θέρος, χειμῶνα, ὑετὸν, εὐδίαν. ταῦτα καὶ
τῆς εὐσεβείας οὐκ ἀλλότρια, καὶ τοῦ Θεοῦ ἴδια. ἡ δὲ περὶ ἀστρολογίας πολλὴν ἀπαιτεῖ λό-
γον· ἀλλὰ χρείαν ἔχει καὶ πεπονωμένης φωνῆς, καὶ ὀργάνου μὴ ὀκλάζοντος· συμβαδίζει γὰρ τῷ
λόγῳ ἡ διάνοια, καὶ συναθεῖ τῇ γλώττῃ ὁ λογισμός. ἐπεὶ οὖν τὰ ἁπλούστερα χωρήσω-
μεν. ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιρούς. ἄλλο γάρ χρόνος, καὶ ἄλλο καιρός. χρόνος μῆκός
ἐστι, καιρὸς εὐκαιρία. καὶ οὐδεὶς λέγει, χρόνος ἐστὶ τοῦ τρυγῆσαι· οὐδεὶς λέγει, χρόνος ἐστὶ τὴν
παρθένον γῆμαι, ἀλλὰ καιρὸς τὴν παρθένον γῆμαι, καιρὸς σπόρου, καιρὸς θερισμοῦ. καὶ
Σολομὼν λέγει· Καιρὸς τοῦ τεκεῖν, καὶ καιρὸς τοῦ ἀποθανεῖν, καὶ καιρὸς τοῦ οἰκοδομῆσαι, καὶ και- (Εκκλ. γ. ϐ.)
ρὸς τοῦ καταλῦσαι. καιρὸν τὴν εὐκαιρίαν λέγει. σημεῖα δὲ τὰ ἄστρα τοῦτο· ἐπὶ ἀνατολῇ
πλειάδων ἀρχὴ θερισμοῦ· δύσις πλειάδων ἀρχὴ σπόρου. ταῦτα ἀλλότρια μὲν τῆς ἀσε-
βείας, ἴδια δὲ τῆς εὐσεβείας. καιροὶ λέγονται καὶ αἱ ἑορταὶ τοῦ Θεοῦ. λέγει ὁ Θεὸς, Τρεῖς και- (Δευτ. ιϛ. ιϛ.)
ροὺς τοῦ ἐνιαυτοῦ ἑορτάσατέ μοι, τὴν ἑορτὴν τῶν ἀζύμων, τὴν ἑορτὴν τῆς πεντηκοστῆς, τὴν
ἑορτὴν τῶν σκηνοπηγίων. τρεῖς καιροί. ἰδοὺ σημεῖα καὶ καιροί. ἡμέρας πάλιν ἐπὶ τοῦ σαβ-
βάτου καὶ μῆνας ἡ σελήνη ἐργάζεται. ὁ ἥλιος ἐνιαυτὸν τὰς τροπὰς συμπληροῖ, ἐαρινὴν,
ἰσημερίαν, θερινὴν, μετοπωρινήν. ἐστήκασιν τῷ νόμῳ ἀσάλευτοι. ἔστησε, καὶ ἐπορεύθησαν·
ἐκέλευσε, καὶ ἐθεμελιώθησαν. λοιπὸν ὧδε τὸν νοῦν. τίς ὁ τούτων ποιητής; τίς ταῦτα
ἐποίησεν; ὁ πατήρ; οὐδεὶς ἀντιλέγει. ὁ υἱός; καὶ αἱρετικοὶ συντίθενται μὲν, οὐ καλῶς δέ. λέ-
γουσι γὰρ ὅτι τὸν υἱὸν ὁ πατὴρ ἐποίησεν, ὁ δὲ υἱὸς τὰ πάντα. δέχομαι τὴν ἀσέβειαν, ἐπειδὴ δεσμοῖς
ἀλύτοις σφίγγει τὸν αἱρετικῶν τὸν λογισμόν. ἐρωτήσωμεν τοὺς προφήτας, εἰ ὁ ποιήσας τὰ πάντα
ἔχει τινὰ μείζω, ἢ πάντων ἐστὶν ἀνώτερος; τῇ γὰρ προφητείᾳ τῇ ἰδίᾳ πίπτουσι. λέγουσιν ὅτι
πάντα ἐποίησεν ὁ υἱὸς, αὐτὸν δὲ ὁ πατήρ. ἵλεως ἡμῖν γένηται ἐπὶ τῇ βλασφημίᾳ. ἐπ' ἀληθείας
γὰρ φρικὴ ἐστὶ δευτερῶσαι τὰ ἀσεβῶν τὰ ῥήματα. ὅμως δὲ τοὺς ἰατροὺς μιμούμενοι, ἐμβάλλοντες
τὰς χεῖρας εἰς τὰ τραύματα, ἵνα καθαίρωμεν τὰ ἕλκη. ἠναγκάσθη καὶ ὁ ἀπόστολος μνημονεῦ-
σαι αἰσχρῶν πραγμάτων, οὐχ ἵνα τὴν γλῶτταν μολύνῃ, ἀλλ' ἵνα τὰ ἁμαρτήματα καθαίρῃ. λέ-
γουσιν ὅτι πάντα ἐποίησεν ὁ υἱὸς, αὐτὸν δὲ ὁ πατήρ. ἐρωτήσω τοὺς προφήτας, τίς ὁ ποιήσας τὸν
οὐρανὸν, καὶ ποταπός ἐστι. λέγει ὁ προφήτης Ἡσαΐας· Τάδε λέγει Κύριος ὁ ποιήσας τὸν οὐρα- (Ησ. μϐ. ε.)
νὸν, καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, ὁ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς καὶ
πνεῦμα τοῖς πατοῦσιν αὐτήν, ἐγὼ Κύριος. ἔμπροσθέν μου Θεὸς οὐκ ἔστι, καὶ μετ' ἐμὲ Θεὸς
οὐκ ἔστιν· ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἄλλος. ταῦτα λέγει ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ὁ
μονογενὴς, ὁ κατὰ τοὺς αἱρετικοὺς γενόμενος, καὶ ποτὲ κτίσας. ἀλλ' ἐν τοῖς λόγοις τῶν χαλδαίων
αὐτοῦ συνελήφθη ὁ ἄνθρωπος. λέγει ὁ μακάριος Ἱερεμίας, Οὕτως εἴπατε αὐτοῖς τοῖς ἐλ- (Ιερεμ. ι. ιϐ.)
ληνικοῖς· θεοὶ, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐκ τῆς γῆς. Κύριος, ὃς ἐ-
ποίησε τοὺς οὐρανοὺς ἐν συνέσει, αὐτὸς Θεὸς ζῶν καὶ ἀληθινός. εἰ ἀληθινὸς Θεός ἐστιν ὁ
ποιήσας τὸν οὐρανὸν, ὁμολογοῦσι δὲ καὶ αἱρετικοὶ ὅτι ὁ υἱός ἐστιν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν
γῆν, ποίαν μάχην, ὅταν λέγῃ ὁ Χριστὸς, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέ- (Ιωαν. ιζ. γ.)
στειλας Ἰησοῦν Χριστόν; ὅτε ὁ σωτὴρ ἢ διὰ τῶν προφητῶν, ἢ δι' αὐτοῦ ταῦτα ἔλεγεν, οὐ πρὸς
ἀντιπαράθεσιν αὐτοῦ ταῦτα ἔλεγεν, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, ἀλλὰ πρὸς
ἀντιδιαστολὴν τῶν ψευδωνύμων. ὅθεν καὶ ὁ Παῦλός φησιν, Ἐπεστρέψατε ἀπὸ τῶν εἰδώλων (α. Θεσ. α. θ.)
δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ. ἀληθινὸν καλεῖ, ἵνα τοὺς ψευδωνύμους ἐλέγξῃ· ζῶντα,
ἵνα τὰ νεκρὰ εἴδωλα στηλιτεύσῃ. ἐγὼ μὲν νομίζω, μᾶλλον δὲ πιστεύω, ὅτι ἀγανακτοῦσι καθ'

ὑμῶν οἱ νεκροί, ἐὰν ἀκούσωσιν, ὅτι τὰ εἴδωλα νεκρὰ καλοῦμεν. ὑβρίζετε γὰρ ἡμῶν τὴν τάξιν,
φησίν. ἡμεῖς νεκροὶ καλούμεθα οἵ ποτε ζήσαντες· οἱ μηδέποτε ζήσαντες διὰ τί νεκροὶ κα-
λοῦνται; θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· Κύριος, ὃς ἐποίησε τοὺς
οὐρανοὺς ἐν συνέσει, αὐτὸς ζῶν Θεός, καὶ ἀληθινός. τίς ὁ ζῶν; ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν
γῆν. τίς ὁ ἀληθινός; ὁ ποιήσας τὸν οὐρανόν. μὴ ἑστήκασι τῶν αἱρετικῶν οἱ ὅροι; οὐ πίπτει 5
αὐτῶν ἡ ἀσέβεια; οὐκ ἐλέγχεται ἡ θεοσέβεια; οὐ διαλύεται ἡ σκαιωρία; τὰ ἔργα τοῦ ποιητοῦ
Ψαλμ. ργ. κδ. καταλαβεῖν οὐκ ἰσχύεις, καὶ τὸν τεχνίτην περιεργάζῃ καὶ ἐξιχνεύεις; τί βοᾷ Δαβίδ; Ὡς ἐμε-
γαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. προφῆται τὰ ἔργα μεγαλύνουσιν,
αἱρετικοὶ τὸν τεχνίτην σμικρύνουσιν. ὁ μέγας τῇ βουλῇ, καὶ δυνατὸς τοῖς ἔργοις, ὁ τὸν οὐρανὸν
πήξας ἐξ ὑδάτων. οὐ γὰρ ἀφίσταμαι τοῦ θαύματος. ἐξ ὑδάτων πέπηκται, καὶ ὕδωρ φέρει· 10
ἀπὸ ὑδάτων ἐπάγη, καὶ ἄβυσσον βαστάζει. ὅλως δὲ ἔχεται ὑποδείγματος, τὸ καινὸν τοῦτο
θαῦμα λέγω. εἶδες πλάκας ἀπὸ ὕδατος βασταζομένας, καὶ ἄνωθεν χιόνα φερούσας. ἃ χει-
μὼν εἰργάσατο, Θεὸς οὐκ ἐργάζεται; ἐποίησε τὸν οὐρανόν, οὐχ ὡς σφαῖραν, ὡς φιλοσοφοῦ-
σιν οἱ ματαιολόγοι. οὐ γὰρ ἐποίησε σφαῖραν κυλιομένην· ἀλλ', ὡς φησὶν ὁ προφήτης, Ὁ
Ἡσ. μ. κβ. στήσας τὸν οὐρανὸν ὡς καμάραν, καὶ διατείνας αὐτόν, ὡς σκηνήν. οὐδεὶς ἡμῶν ἀσεβὴς πειθέσθω 15
τοῖς ματαιολόγοις. οἱ προφῆται λέγουσιν ὅτι ἀρχὴν ἔχει καὶ τέλος ὁ οὐρανός. διὰ τοῦτο καὶ
Γεν. ιθ. κγ. ὁ ἥλιος οὐκ ἀναβαίνει, ἀλλ' ἔρχεται. λέγει ἡ γραφή· Ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ
Λὼτ εἰσῆλθεν εἰς Σηγώρ. ὥστε δῆλον ὅτι ἐξῆλθεν ὁ ἥλιος κατὰ τὴν γραφήν, καὶ οὐκ ἀνῆλ-
Ψαλμ. ιη. ζ. θε. καὶ πάλιν, Ἀπ' ἄκρου, φησί, τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ, οὐκ ἄνοδος. εἰ σφαῖρά ἐστιν, ἄκρον
οὐκ ἔχει. τὸ γὰρ πανταχόθεν περιφερὲς ποῦ ἔχει τὸ ἄκρον; ἆρα οὖν ὁ Δαβὶδ μόνος λέγει, 20
Ματθ. κδ. λα. ἢ καὶ ὁ σωτήρ; ἄκουε αὐτοῦ λέγοντος, Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, ἀπο-
στελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος καὶ φωνῆς μεγάλης, καὶ συνάξουσι τοὺς ἐκλεκ-
τοὺς αὐτοῦ ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ. ζητοῦμεν δὲ ποῦ δύνει ὁ ἥλιος, καὶ
ποῦ τρέχει τὴν νύκτα; κατὰ τοὺς ἔξω, ὑπὸ τὴν γῆν· καθ' ἡμᾶς δὲ τοὺς σκηνὴν λέγοντας
αὐτόν, τί; πρόσεχε, παρακαλῶ, εἰ μὴ διαψεύδεται τὸ ῥῆμα, ἀλλ' ἔχει σφραγῖδα μεμαρ- 25
τυρημένην ὑπὸ τῆς ἀληθείας. συντρέχει τῇ φράσει καὶ ὁ τύπος. νόμισον εἶναι καμάραν ἐ-
πικειμένην. ἡ ἀνατολὴ ἐκεῖ ἐστι κατὰ τὸν τύπον, ἄρκτος ὧδε, μεσημβρία ὧδε, δύσις ἐκεῖ. ἥ-
λιος ἀνατέλλων καὶ μέλλων δύνειν, οὐχ ὑπὸ γῆν δύνει, ἀλλ' ἐξελθὼν * τὰ πέρατα τοῦ οὐρα-
νοῦ τρέχει εἰς τὰ βόρεια μέρη, ὥσπερ ὑπό τινα τοῖχον κρυπτόμενος, μὴ συγχωρούντων
τῶν ὑδάτων φαίνεσθαι αὐτοῦ τὸν δρόμον· καὶ τρέχει κατὰ τὰ βόρεια μέρη, καὶ καταλαμβάνει τὴν 30
ἀνατολήν. καὶ πόθεν τοῦτο δῆλον; λέγει ὁ μακάριος Σολομὼν ἐν τῷ Ἐκκλησιαστῇ (γραφὴ
Ἐκκλ. α. ε. δέ ἐστι μεμαρτυρημένη, οὐ παραγραφομένη) Ἀνατέλλει, φησίν, ὁ ἥλιος, καὶ δύνει ὁ ἥλιος· ἀνα-
τέλλων πορεύεται εἰς δύσιν, καὶ κυκλοῖ πρὸς βορρᾶν, κυκλοῖ κυκλῶν, καὶ εἰς τὸν τόπον αὐτοῦ
ἀνατέλλει κατὰ μεσημβρίαν τρέχοντα καὶ τὸν βορρᾶν κυκλοῦντα. λοιπὸν μάθε ἐν τῇ τοῦ χει-
μῶνος καταστάσει· ἐπειδὴ οὐκ ἀπὸ μέσης τῆς ἀνατολῆς ἀνατέλλει, ἀλλὰ περὶ τὸ κλίμα τῆς 35
μεσημβρίας πλαγιάζει, καὶ ὀλίγον τεμὼν διάστημα, ποιεῖ μικρὰν ἡμέραν· δύσας δὲ καὶ πά-
λιν κύκλον τρέχων ποιεῖ μακρὰν νύκτα. ἴσμεν, ἀδελφοί, ὅτι ὁ ἥλιος οὐ πάντως ἀπὸ τοῦ αὐτοῦ
κέντρου περιέρχεται. πῶς οὖν γίνονται μικραὶ αἱ ἡμέραι; πλησιάζει αὐτοῦ ἡ ἀνατολὴ τῷ
κλίματι τῆς μεσημβρίας. εἶτα οὐ τὴν ὑψηλὴν ἐλθών, ἀλλὰ τὴν πλαγίαν συντεμών,
τὰς ἡμέρας ποιεῖ μικράς. δύσας δὲ εἰς τὸ ἄκρον τῆς δύσεως, ἀνάγκην ἔχει κυκλεῦσαι διὰ 40
τῆς νυκτὸς δύσιν ὅλην, καὶ ἄρκτον ὅλην, [καὶ ἀνατολὴν ὅλην,] καὶ φθάσαι ἐπὶ τὸ ἄκρον τῆς
μεσημβρίας, καὶ ἀνάγκη μεγάλην γενέσθαι τὴν νύκτα. ὅταν μέντοι ἐξισοῦται τῷ μήκει καὶ
ἴσον βῆμα ἔχῃ, ἰσημερίαν ποιεῖ. πάλιν κλίνας κατὰ τὸν βορρᾶν, ὥσπερ χειμῶνος εἰς μεσημ-
βρίαν, καὶ εἰς τὰ ἄκρα τοῦ βορρᾶ ἀναβαίνων ὑψοῦται, καὶ μεγάλην ποιεῖ τὴν ἡμέραν. ὀλίγον

δὲ

δὲ καὶ μικρὸν ἔχων τὸν κύκλον, μικρὰν ποιεῖ τὴν νύκτα. οὐ παῖδες Ἑλλήνων ἐδίδαξαν ἡμᾶς
ταῦτα (οὐδὲ γὰρ τοῦτο βούλονται) ἀλλ' ὑπὸ τὴν γῆν φασι τρέχειν τὰ ἄστρα καὶ τὸν ἥλιον.
ἡ γραφὴ δὲ, ἡ μήτηρ ἡ θεία διδάσκαλος, ἡ γραφὴ ἡμᾶς παιδεύει, φωτίζει. εἶτα ἐποίησε τὸν
ἥλιον ἀδιάλειπτον φωστῆρα, τὴν σελήνην καὶ ἀποδυομένην τὸ κάλλος καὶ ἀμφιεννυμένην
5 πάλιν. δείκνυσι δὲ τὸ ἔργον τὸν τεχνίτην· ἀνέκλιπτής ὁ τεχνίτης, ἀΐδιον τὸ ἔργον. οὐ γὰρ ἀ-
ναλίσκεται τὸ φῶς τῆς σελήνης, ἀλλὰ κρύπτεται. γίνεται δὲ καὶ εἰκὼν ἡμῖν τῶν θνητῶν ἀνθρώ-
πων. ἐννόησον πόσους αἰῶνας ἔχει ἀνατέλλουσα· καὶ ἐὰν ᾖ ἑορτὴ, λέγομεν, σήμερον γεννᾶ-
ται ἡ σελήνη. διατί; ἐπειδὴ εἰκών ἐστι τῶν ἡμετέρων σωμάτων. γεννᾶται, αὔξει, πληροῦται,
ἐλαττοῦται, μειοῦται, δύνει· ἐπειδὴ καὶ ἡμεῖς γεννώμεθα, αὐξανόμεθα, πληρούμεθα, παρακμά-
10 ζομεν, λήγομεν, γηράσκομεν, ἀποθνήσκομεν, δυόμεθα. ἀλλὰ πάλιν γεννᾶται, ἐπειδὴ καὶ ἡμεῖς
μέλλομεν ἀνίστασθαι, καὶ μένει ἡμᾶς γέννησις ἄλλη. διὰ τοῦτο ὁ σωτὴρ βουλόμενος δεῖξαι
ὅτι ὡς ἐγεννήθημεν ὧδε, πάλιν γεννώμεθα, λέγει· Ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ πα-
λιγγενεσίᾳ. ἐγεννᾶται ἡ σελήνη τὴν ἀνάστασιν. ἐμὲ, φησι, βλέπετε κρυπτομένην καὶ πάλιν
φαινομένην, καὶ ἀπαγορεύετε ὑμεῖς τὰς ἐλπίδας; ὁ ἥλιος οὐ δι' ἡμᾶς ἐγένετο; ἡ σελήνη οὐ δι'
15 ἡμᾶς; τὰ γινόμενα πάντα; τί γάρ; οὐκ ἐγεννᾶται ἡμῖν τὴν ἀνάστασιν; ἡ νὺξ οὐκ ἔστιν εἰ-
κὼν τοῦ θανάτου; ἔῤῥιπται τὰ σώματα ὑπὸ τῷ σκότει, μορφὰς οὐ διακρίνεις· πολλάκις
τῇ χειρὶ ψηλαφᾷς τὰ πρόσωπα τῶν κεκοιμημένων, καὶ οὐκ οἶδας ποῖον τοῦτο πρόσωπον,
ποῖον ἐκείνου, ἀλλ' ἐρωτᾷς, ἵνα ἡ φωνὴ κήρυξ γένηται τῶν ἐν σκότει κρυπτομένων. ὥσπερ οὖν
ἡ νὺξ καλύπτει ἡμῶν τὰς μορφὰς, κἂν πάντες ὦμεν ἐπὶ τὸ αὐτὸ, καὶ οὐδεὶς τὸν ἕτερον γνω-
20 ρίζει· οὕτως ἔρχεται θάνατος, καὶ λύει τὰς μορφὰς, ὡς οὐδεὶς οὐδένα γνωρίζειν. περίελθε
μνημεῖα· ἐὰν ἴδῃς πολλὰ κρανία ἐν τάφῳ, οἶδας τοῦτο τίνος; ἀλλ' ὁ σκεπάσας οἶδεν, ὁ λύ-
σας ἐπίσταται πόθεν περιῆλθον αὗται αἱ μορφαί. οὐ θαυμάζεις Θεοῦ δημιουργίαν; τοσούτων
μορφῶν ἐν τοσαύταις μυριάσιν οὐδεμία ὁμοιότης· κἂν εἰς τὰ πέρατα τῆς οἰκουμένης
δράμῃς, οὐδένα ὅμοιον εὑρίσκεις. ἀλλὰ καὶ εἰ εὕρεις παρὰ ῥῖνα, ἢ παρὰ ὀφθαλμὸν, ἵνα φα-
25 νῇ τὸ ξένον. δίδυμοι ἐξέρχονται ἐκ μιᾶς κοιλίας, καὶ τέμνεται ἡ ὁμοιότης. εἶτα ὃς μὴ οὔσας
τοσαύτας μορφὰς παρήγαγε, λύσας ἀνανεῶσαι οὐ δύναται; μὴ ὡς ταλαίπωρος ἄνθρω-
πος μέτρει τοῖς σοῖς λογισμοῖς Θεοῦ δύναμιν, μὴ νόμιζε ὅτι τοσαῦτα δύναται ὁ Θεὸς, ὅσα
σὺ δύνασαι λογίσασθαι. εἰ δὲ τοσαῦτα δύναται, ὅσα ἐγὼ νοῶ, τολμῶ εἰπεῖν, πολλῷ μι-
κρὸς ὁ Θεός· ἐμέτρησε γὰρ αὐτὸν ἡ ἐμὴ διάνοια. εἰ δὲ ὑπερβαίνει διάνοιαν καὶ νικᾷ λογι-
30 σμὸν, ἀνεξιχνίαστος ὁ ποιήσας, καὶ ἀκατάληπτα τὰ ἔργα. ἐρωτάσθωσαν αἱρετικοὶ ἀπὸ τῶν
φαινομένων, ἵνα μάθωσιν ἑαυτῶν τὴν ἀπειρίαν. ἐπειδὴ εἶπεν ὁ Θεὸς, γενηθήτω στερέωμα, καὶ
εὐθέως ὁ λόγος εἰργάσατο, κατέλιπεν ἡμῖν ἐνέχυρον τοῦτο, ὅτι αὐτὸς ἐποίησε· σήμερον κατα-
λιμπάνομεν τὸν οὐρανὸν γυμνὸν ἀπὸ ἑσπέρας, καὶ ἄνωθεν ἐγερθέντες εὑρίσκομεν ἄλλο στερέωμα
ἐκ τῶν νεφελῶν, ὁ νῦν συντόμως ποιῶν νεφέλας, δείκνυσι πῶς τότε συντόμως τὸν οὐρανὸν ἐποί-
35 ησε. καὶ τί ποιεῖ; πῶς αἱ νεφέλαι βρέχουσιν; ἐποίησε τὰς νεφέλας ὡς ἀσκοὺς, καὶ ἀντλεῖ δι' αὐτῶν
τὰ τῆς θαλάσσης ὕδατα ἁλμυρὰ ὄντα, καὶ πληροῖ τὰς νεφέλας, καὶ μεταβάλλει τὸ ὕδωρ, καὶ
ποτίζει τὴν γῆν. εἰπάτωσαν πῶς ἀναφέρεται τὸ βάρος εἰς ὕψος, πῶς ἀντλεῖται, πῶς αἱ νεφέ-
λαι ἀντλοῦνται, οὐκ εὐθέως κενοῦνται, ἀλλὰ τρέχουσιν ἐπὶ πολὺ, ὅπου ἂν κελεύσῃ ὁ δεσπό-
της, καὶ ἔστι τὸ πρόσταγμα τοῦ Θεοῦ, ὥσπερ δεσμὸς ἐπικείμενος ταῖς νεφέλαις, καὶ μὴ συγχωρῶν
40 βρέχειν, ἕως ἂν νεύσῃ. ὅτι δὲ ἀσκοί εἰσι, μαρτυρεῖ Δαβίδ· Ὁ συνάγων, φησὶν, ὡσεὶ ἀσκὸν ὕδατα
θαλάσσης. καὶ ὅρα τὸ θαυμαστόν· συνάγει τὰ ὕδατα, ἐπίκειται ἡ χεὶρ ἡ ἀθάνατος, ἡ ἀόρατος,
μὴ συγχωροῦσα ὁμοῦ κενωθῆναι, ἀλλὰ κατὰ μέρος. ὥσπερ ἠθμοῖς λεπτὸν γυνὴ διανήσασα,
τέμνει τὸ ἔριον εἰς πολλὰς καὶ διαφόρους ὀπάς· οὕτω τὴν ἄπειρον βυθὸν τῆς θαλάσσης εἰς στα-
γόνας, ὥσπερ ἠθμῷ τινι κατατέμνων, οὕτω πέμπει τῇ γῇ. ἀλλὰ τὸ θαυμαστὸν, εἰ λέλυται, πῶς

Ματθ. ιθ. κη.

Ψαλ. λς. ζ.

οὐ συντόμως κενοῦται; εἰ δέδεται, διὰ τί ῥέει; ἔχεις ὑπόδειγμα, ἀσθενὲς μὲν, δυνάμενον δέ σε πεῖσαι. εἶδες ἁρπαγέα ὑδάτων, εἶδες πῶς καταπίστηται κάτωθεν. ἐπικείμενος ἔχει τὴν φορὰν, καὶ φράττεται κάτω διὰ τὸ ἄνωθεν ἐπικείμενον. οὕτως ὁ ἀθάνατος δάκτυλος τοῦ Θεοῦ ἐπίκειται ταῖς νεφέλαις, καὶ χαλᾷ ὅσον βούλεται, καὶ τηρεῖ ὅσον βούλεται, ἵνα κατὰ πάσης τῆς γῆς παραπέμπῃ τὴν δωρεάν. καὶ μάλιστα τοῦτο ποιεῖ ἐν τοῖς ὀψίμοις ὄμβροις, ὅτι οὐ πᾶσαν μεθύσκει τὴν γῆν, ὅτι ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἄλλο κλίμα ποτίζει. διὰ τοῦτο [Ἀμὼς δ. ζ.] λέγει ὁ προφήτης· Καὶ βρέξει ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξει. μερὶς μία βραχήσεται, καὶ μερὶς, ἐφ' ἣν οὐ βρέξει, ξηρανθήσεται. ἐπίκειται οὐ δάκτυλος Θεοῦ, ἀλλὰ στολή. ἐσχημάτισται δὲ ὁ λόγος εἰς τύπον ἡμέτερον. ἐντέλλεται*, καὶ οὐ βρέχουσι. καὶ τοῦτο λέγει ἡ γραφή· [Ἡσ. ε. ς.] Ταῖς νεφέλαις, φησὶν, ἐντελοῦμαι τοῦ μὴ βρέξαι ὑετόν. [Ψαλ. ργ. κδ.] Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. Εἶδες Θεοῦ δημιουργίαν, εἶδες πῶς ἐμφράττει τῶν αἱρετικῶν τὰ στόματα, τῶν τὴν κτίσιν ἀγνοούντων, καὶ τὸν κτίστην πολυπραγμονούντων; πάντα πείθεται Θεοῦ νόμῳ. ὁ οὐρανὸς ἕστηκεν, οὐκ ἰδίᾳ δυνάμει βασταζόμενος, ἀλλὰ θείῳ λόγῳ στερεούμενος. ὅταν γὰρ ἀπορήσω πῶς ἐξ ὑδάτων ὁ οὐρανὸς πέπηκται, λύει μου τὴν ἀπορίαν ὁ μακάριος Δαβὶδ λέγων· [Ψαλ. λβ. ς.] Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. διὰ τί γὰρ ἐστερεώθησαν; ἐπειδὴ ἀπὸ ὑδάτων. οὐδέποτε γὰρ τὸ στερεὸν λέγεται ὅτι ἐστερεώθη· οὐδὲ τις δύναται εἰπεῖν, ἡ πέτρα ἐστερεώθη; ἄλλο στερεωθῆναι, ἄλλο εἶναι στερεόν. στερεωθὲν λέγεται, ὅταν τὸ ἠραιωμένον καὶ κεχαυνωμένον παγῇ. διὰ τοῦτο ὁ Πέτρος ὅτε τὸν [Πράξ. γ. ιβ.] παραλελυμένον ἤγειρε, λέγει· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἡμῶν τῇ ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκότων τοῦ περιπατεῖν αὐτόν; ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν, καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ. τὸν παραλελυμένον ἐστερέωσε. διὰ τοῦτο τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν ἐκ τῶν ἀραιῶν καὶ παραλελυμένων ὑδάτων. τῷ λόγῳ Κυρίου αἱ νεφέλαι εἰς ὕψος αἴρονται. βλέπε, παράδοξον· τὸ ὕδωρ τὸ πικρὸν μεταβάλλεται. ἀπὸ θαλάσσης ἀντλοῦσιν αἱ νεφέλαι, καὶ τὸ ἐκ βάθους ἀντληθὲν πικρὸν, γλυκὺ καὶ πότιμον ποιοῦσιν. ἀπὸ βυθῶν ἡμᾶς ἤγειρε Χριστὸς, καὶ τὴν πικρίαν ἡμῶν οὐκ ἀπεθέμεθα. τίς ἐστιν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν; ἐγὼ λέγω, ὅτι ὁ Χριστός. καὶ πόθεν τοῦτο; ὅτι εἰ μὴ ἦν δεσπότης τῶν ἁπάντων, οὐκ ἂν ἐν τῷ εὐαγγελίῳ ἐποίει τὰ θαύματα δι' ὅλων τῶν κτισμάτων. ἐποίησε γὰρ δι' ὅλων τῶν στοιχείων· διὰ γῆς, διὰ θαλάσσης, δι' ἀέρος, διὰ πυρὸς, ἵνα φανῇ πάντων τῶν κτισμάτων δεσπότης. ἐπεισῆλθε τὸ φῶς τῆς ἡμέρας φωτὶ τὸ τῆς ἑσπέρας. ἥλιος λάμπει, καὶ λύχνος δᾳδουχεῖ, ἡμέρας τέλος, καὶ νυκτὸς προοίμιον. [Ψαλ. ογ. ις.] ἀλλὰ σὺ ὅταν ἴδῃς λύχνον καὶ ἥλιον, εἰπὲ, Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον. ἀλλ' οὐ διακόπτει τὸν λόγον ἡ δᾳδουχία. δεῖ γὰρ τὸν ἥλιον δραμεῖν ἐπὶ τὴν αὐτοῦ κέλευσιν [Ψαλ. ργ. κ.] (Ὁ ἥλιος γὰρ ἔγνω τὴν δύσιν αὐτοῦ) ἵνα δειχθῇ ὅτι ὁ Χριστὸς [Ἰωάν. α. γ.] πάντων τῶν δημιουργημάτων δεσπότης ἐστί. κηρύττει μὲν Ἰωάννης τοῦτο, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲν ὃ γέγονεν. ἀλλ' ἔδει μὴ μόνον τῷ λόγῳ λάμψαι, ἀλλὰ καὶ ἔργῳ. [Ματθ. δ. λθ.] λέγει τῇ θαλάσσῃ, Σιώπα, πεφίμωσο, καὶ ἐφιμώθη, καὶ ἔγνω τὸ ἔργον τὸν τεχνίτην. εἶπε γὰρ τῇ θαλάσσῃ, καὶ ἐσιώπησεν· εἶπε τῷ ἀνέμῳ, καὶ ἐφιμώθη. εἰ μὴ ὑπήκουσεν, οὐκ ἂν ἐποίησεν αὐτόν. εἰ μὴ ἦν ὕδατος δεσπότης, οὐκ ἂν μετέβαλε τὸ ὕδωρ εἰς οἶνον. εἰ μὴ ἦν οὐρανίου δεσπότης, οὐκ ἂν αὐτὸν ἀστὴρ ἐκ τοῦ οὐρανοῦ ἐκήρυττεν. εἰ μὴ ἦν ἡλίου δεσπότης, οὐκ ἂν σκότος ἐνεδύσατο ἐν τῷ σταυρῷ. Χριστὸς ἐπὶ σταυροῦ, καὶ ὁ ἥλιος ἐσκοτίσθη. ὢ τοῦ θαύματος. οὐδὲ ἡ κτίσις ἤνεγκε τὴν ὕβριν τοῦ δεσπότου. ἐσκοτίσθη ὁ ἥλιος, ἵνα μάθῃς καὶ ἐν αὐτῷ τῷ σταυρῷ ἡλίου δεσπότην. ἐσείσθη ἡ γῆ, ἵνα μάθῃς ὅτι περὶ αὐτοῦ Δαβὶδ εἶπεν· [Ψαλ. ργ. λβ.] Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. ἐσχίσθησαν αἱ πέτραι, ἵνα μάθῃς περὶ τίνος εἶ-

πει ὁ προφήτης· Ὁ θυμὸς αὐτοῦ τήκει ἀρχὰς, καὶ αἱ πέτραι ἐθρύβησαν ἀπ' αὐτοῦ. ἠνοίγη τὰ μνήματα, ἵνα φανῇ ἡ ἀνάστασις, καὶ ὁ ἐγείρων Θεὸς διὰ τῶν πάντων λάμψῃ.

Ναοὺμ α. ϛ.

ΗΘΙΚΟΝ

Ἀλλὰ δεῖ ἡμᾶς καὶ ἠθικὸν κινῆσαι λόγον. ὁ λύχνος καλεῖ ἡμᾶς ἐπὶ τὸ εἰπεῖν, Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. κατέλαβεν ἑσπέρα, ἵνα λέγωμεν, Κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου. ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. καὶ διὰ τί μὴ ἑωθινὴ; ἴδωμεν τὸν νοῦν. ἃ γὰρ ψάλλομεν, ὀφείλομεν εἰδέναι. λέγει Δαβίδ, Ψάλλετε συνετῶς. ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. δύο θυσίας ἐκέλευσε Μωϋσῆς γίνεσθαι, μᾶλλον δὲ Θεός· μίαν ἑωθινὴν, μίαν ἑσπερινήν. ἡ ἑωθινὴ, εὐχαριστία ἦν ὑπὲρ τῆς νυκτός. ὁ γὰρ διασωθεὶς τὴν νύκτα, εὐχαριστεῖ ἐν τῇ ἡμέρᾳ. ἡ ἑσπερινὴ θυσία, εὐχαριστία ἦν ὑπὲρ τῆς ἡμέρας. ἐπειδὴ διετήρησάς με, φησὶν, ἐν τῇ ἡμέρᾳ, εὐχαριστῶ σοι ὑπὲρ ὅλης τῆς ἡμέρας. ἑωθινὴ θυσία οὐ δέχεται τὸν ἁμαρτήσαντα ἐν νυκτί. διὰ τοῦτο λέγει, ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. εἰσέρχῃ ἑσπέρας, ἁπλοῖς τὰς χεῖρας. εἰ ἔχουσι παρρησίαν, ἁπλούσθωσαν· εἰ μὴ ἔγραψαν ἀδικίαν, εἰ μὴ ἥρπασαν πένητας, εἰ μὴ ἐπλεονέκτησαν ὀρφανούς, ὡς πρόσωπον ἔχουσαι ὑψούσθωσαν. ἔπαρσις τῶν χειρῶν μου, ἀντὶ τοῦ, βλέπε, Κύριε, καθαραὶ αἱ χεῖρες. ὥσπερ γὰρ ὁ ἁμαρτήσας πρόσωπον ἐπᾶραι οὐ δύναται, ἀλλ' ὑπὸ τῆς συνειδήσεως κάμπτεται· οὕτω χεὶρ μεμολυσμένη οὐδὲ τολμᾷ ἀντιπρόσωπος γενέσθαι Θεοῦ. βλέπε, εἰ καθαραὶ αἱ χεῖρες ἀπὸ ἀδικίας, ἁπλούσθωσαν. διὰ τοῦτο ὁ πατριάρχης Ἀβραὰμ παρῃτήσατο λαβεῖν ἀπὸ αἰσχροκερδίας κέρδη, ὅτε ἔλεγεν αὐτῷ ὁ βασιλεὺς Σοδόμων, Λάβε πάντα, μόνον τὰς γυναῖκας ἀπόλυσον. ἵνα οὖν παρρησίαν ἔχῃ, οὐδὲν ἔλαβε· καθαρὰς δὲ ἔχων τὰς χεῖρας ἔλεγεν, Ἐκτενῶ τὰς χεῖράς μου πρὸς τὸν Θεὸν, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ ἐξέτεινεν, ἐπεὶ οὐκ ἦσαν μεμολυσμέναι κέρδει ἀδίκῳ. ἔπαρσις τῶν χειρῶν μου. ἑρμηνεύει δὲ, ἔπαρσις τῶν χειρῶν μου, Παῦλος· Βούλομαι οὖν τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμῶν. ἡ ἑσπέρα ἀπαιτεῖ ἡμᾶς τὰ τῆς ἑσπέρας ἔργα. ἁπλοῖς τὰς χεῖρας, ἐρευνᾷ ὁ κριτής. ἔρχεται ὁ ἑωθινὸς καιρὸς, καὶ ἐὰν μὴ ἔχῃς καθαρὰν τὴν χεῖρα, ἢ τὴν διάνοιαν, ἑωθινὸν καιρὸν οὔτε ἰδεῖν τολμᾷς. ἡ πεῖρα διδάσκαλος. ἐννόησον, ὅταν τις καθαρὸς διαμείνῃ, πῶς εἰσέρχεται μετὰ παρρησίας, ὡς ἰδίαν αὐλὴν πατῶν. παρρησίαν γὰρ αὐτῷ δίδωσιν ἐν τῷ ἑωθινῷ καιρῷ ἡ ἐν νυκτὶ σωφροσύνη. διὰ τοῦτο Δαβὶδ λέγει· Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. εὐχαριστῶ Θεῷ. μέμνημαι ὅτι κάμνουσιν ἡμῖν τὴν φωνὴν ὁ τοῦ Θεοῦ αἰσθάνεται λόγος, οὐ πρὸς τὴν ἡμετέραν ἀξίαν ὁρῶν, ἀλλὰ πρὸς τὸν ὑμέτερον πόθον. εὐξώμεθα τοίνυν ἐν ἀληθείᾳ καρδίας, καὶ εἰρήνην ἔχειν, καὶ ἐν ὄρθροις παρρησιάζεσθαι, καὶ αἱρετικῶν μανίαν φεύγειν, καὶ ὀρθόδοξον πίστιν μεταδιώκειν, καὶ δόξαν ἀναπέμπειν τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλ. ριη. ρε.
Ψαλ. ρμ. β.
Ψαλ. μϛ. ζ.
Γεν. ιδ. κβ. κγ.
α. Τιμ. β. η.
Ψαλ. ξβ. ζ.

ΕΙΣ ΤΗΝ ΤΕΤΑΡΤΗΝ ΗΜΕΡΑΝ ΤΗΣ ΚΟΣΜΟΠΟΙΙΑΣ. Λογ. δ.

ΚΑμνούσῃ ἡμῖν τὴν φωνὴν τῇ προτεραίᾳ ἡ τοῦ Θεοῦ χάρις διὰ τὰς ὑμετέρας εὐχὰς καὶ τὸν ὑμέτερον πόθον ἐστερέωσεν. αὐτῇ τοίνυν χρησάμενος τῇ πείρᾳ διδασκάλῳ, ὅσον ἰσχύει πόθος καὶ ζῆλος φιλοθείας, ἐπὶ τὴν αὐτὴν παράκλησιν ἥκω, πάλιν ὑμῶν δεόμενος τὴν αὐτὴν ὑπὲρ ἡμῶν αἰτήσασθαι χάριν. Εἰ γὰρ τὸ σκεῦος τῆς ἐκλογῆς ὁ Παῦλος, ὁ λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, ὁ πνεύματι ἁγίῳ κυβερνούμε-

Ἐφεσ. ϛ. ιθ.

νος τὴν παρὰ τῶν ἀκροατῶν ἠῤῥαβωνίζετο προσευχὴν, λέγων· Ἀδελφοί, προσεύχεσθε περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου· πολλῷ μᾶλλον ἡμεῖς οἱ ταπεινοί, καὶ τὸ μηδὲν, ὡς εἰπεῖν, ὄντες, αἰτούμεθα τὴν παρ' ὑμῶν πρεσβείαν, ἵνα λυθῇ μὲν ὁ δεσμὸς τῆς γλώττης, ἀνοίγῃ δὲ τῆς παῤῥησίας ὁ λόγος, καὶ αὕτη δὲ ἡ θεία χάρις καὶ τὸ ὄργανον ἀνεμπόδιστον φυλάξῃ, καὶ τῶν νοημάτων τὴν ἀφθονίαν χορηγήσῃ, οὐχ ἵνα ὁ λέγων τὰ θεῖα κερδαίνῃ μόνος, ἀλλ' 5 ἵνα μεθ' ὑμῶν τὸν οὐράνιον πλοῦτον ἀντλήσῃ. Φέρε τοίνυν, τῆς ἀκολουθίας ἁψώμεθα. πρέπει γὰρ, οἶμαι, ὥσπερ αὐτὸς ὁ νομοθέτης Μωϋσῆς ἀκολουθίᾳ καὶ τάξει τὸν τῆς δημιουργίας συνεπέρανε λόγον, οὕτω καὶ ἡμᾶς τοῖς πρώτοις τὰ δεύτερα, καὶ τοῖς δευτέροις τὰ τρίτα συνάπτοντας εὐκρινῆ, καὶ ἀσύγχυτον ὑμῖν παραδοῦναι τοῦ λόγου τὴν εἰσήγησιν. ἐπέπηκτο ὁ οὐρανὸς, ἥδραστο τὸ στερέωμα, ἀφώριστο ἡ θάλασσα, ἐγεγύμνωτο ἡ γῆ, ἐπεποίκιλτο καρποῖς, 10 φυτοῖς, δένδροις, πηγαῖς, καὶ πᾶσιν ἁπαξαπλῶς οἷς ἔχειν ἐκεκαλλώπιστο. οὔτε γὰρ ἁπλῆ τις ἦν ἡ ἐκ ταύτης ἀνάδοσις γινομένη, ἀλλὰ διάφορος καὶ ποικίλη. τὰ μὲν γὰρ αὐτὴν ἐκόσμει τὴν γῆν, τὰ δὲ εἰς διατροφὴν τοῖς ἀνθρώποις, ἢ τοῖς ἀλόγοις ἐγίνετο· τὰ δὲ ἕτερα παρεῖχε τὴν χρῆσιν τοῖς προλεχθεῖσιν ἀνθρώποις. οὐ γὰρ τοῦ παρόντος ἐστὶ καιροῦ τὴν διαφόρων τῶν ἐκ τῆς γῆς ἀναδοθέντων ἐπεξιέναι, ἵνα μὴ τῷ 15 μήκει τοῦ λόγου τὰς ὑμετέρας ἀκοὰς ἀποκνύσει. ἀπειλήφει καὶ ὁ οὐρανὸς τὸν ἴδιον κόσμον. χωρεῖ λοιπὸν ὁ Θεὸς ἐπὶ τὰ ὕδατα, καὶ ποιεῖ ταῦτα προσενέγκαι ψυχὴν ζῶσαν ὁ μέγας καὶ πάνσοφος δημιουργὸς, ὁ νεύματι ἀβιάστῳ καὶ λόγῳ τῷ ἁγίῳ τὰ πάντα ἐργασάμενος· ὡς ἐξ αὐτῆς τοῦ λόγου τῆς ἀληθείας τὴν πραγμάτων ἐπέγνωτε, ὅτι ἠκούετε αὐτοῦ λέγοντος, συναχθήτω τὰ ὕδατα, καὶ εὐθέως ἠκολούθει τὸ ἔργον τῷ λόγῳ· καὶ πάλιν, Ἐξαγαγέτω ἡ γῆ, καὶ, 20 Ἐξαγαγέτω τὰ ὕδατα, καὶ, Γενηθήτωσαν φωστῆρες. καὶ πολὺς ἂν εἴη νῦν ὁ τοῦ παρόντος καιρὸς πᾶσι τοῖς λόγῳ γινομένοις ἐπεξιέναι. ἵνα γὰρ τὰ κατὰ τὴν παλαιὰν δημιουργίαν καταλείψωμεν, ἔλθωμεν ἐπὶ τὰ ἐν τῇ νέᾳ διαθήκῃ παρ' αὐτοῦ λόγῳ μόνον γινόμενα. ἐκεῖνος

Ιω. α. γ.

γάρ ἐστιν ὁ τὰ παλαιὰ δημιουργήσας, καὶ τὰ νέα ποιήσας, κατὰ Ἰωάννην τὸν λέγοντα, Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. ποῖος ἄρα ἐξηγήσασθαι αὐτὰ κατ' 25 ἀκρίβειαν δυνήσεται λόγος; ἀλλὰ τῆς ἀκολουθίας ἐχώμεθα. ἐκεῖνος τοίνυν ὁ πάνσοφος δημιουργὸς, καθὼς φθάσαντες εἴπομεν, ὃ πρῶτον ἐποίησε, τοῦτο πρῶτον ἐκόσμησεν. ἐκεῖνος καὶ τῷ δευτέρῳ γινομένῳ, δευτέρῳ καὶ τὸν κόσμον ἀπέδωκεν. ὁμοίως καὶ τῷ τρίτῳ καὶ τῷ τετάρτῳ, καὶ τοῖς λοιποῖς ἐφεξῆς πᾶσι κατὰ τὴν τάξιν τῆς δημιουργίας καὶ τὴν εὐκοσμίαν παρεῖχε. τί δὴ διὰ τούτου πραγματευόμενος; ἢ τάχα καὶ αὐτὴν τῶν στοιχείων ἡμᾶς διδάξαι 30 βουλόμενος ὅρους τιμὰν καὶ τάξιν ἐπιγινώσκειν; πρῶτον τοίνυν ἐποίησε τὸν οὐρανὸν τὸν ἐπάνω, δεύτερον τὴν γῆν, τρίτον τὸ στερέωμα, τέταρτον ἀφώρισε τὰ ὕδατα. ὃ πρῶτον ἐποίησε, τοῦτο πρῶτον ἐκόσμησε. πῶς οὖν, πάντως ἐρεῖ τις τῶν ἀκριβεστέρων, δεύτερον οὖσαν τὴν γῆν πρώτην ἐκόσμησε; καὶ ὡς μαχομένου ἑαυτῷ τοῦ λόγου βουλήσεται ἐπιλαμβάνεσθαι. πρὸς ὃν λεκτέον, ὡς οὐδὲν ἐναντίον παρ' ἡμῶν ἐπὶ τοῦ παρόντος ἐ- 35 λέχθη, ἀλλὰ καὶ πάνυ ἑαυτῷ ἁρμόζων ὁ λόγος τυγχάνει. περὶ γὰρ τοῦ στερεώματος τούτου τοῦ μετὰ τὸν οὐρανὸν τὸν ἄνω γινόμενον ἐκοσμήθη, τοῦ καὶ ἐν τῇ δευτέρᾳ ἡμέρᾳ τὴν σύστασιν ἐσχηκότος. ἔδει γὰρ τὰ παρὰ πρεσβεῖα φυλαχθῆναι τῇ ἀκολουθίᾳ, ὅτε τὴν γῆν ἐκόσμησε φυτοῖς καὶ καρποῖς, ὅτε τὸν οὐρανὸν ἐκαλλώπισεν ἡλίῳ καὶ σελήνῃ

Γεν. α. κ.

καὶ τῷ λοιπῷ τῶν ἀστέρων χορῷ. ἦλθεν ἐπὶ τὰ ὕδατα. καὶ τί ὁ ἱστοριογράφος; Καὶ εἶπε, 40 φησὶν, ὁ Θεὸς, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. βλέπε Θεοῦ λόγον ἔργα τοῖς ῥήμασιν ἐπάγοντος, καὶ τὰ ῥήματα ἀποτελοῦντα πράγματα. ὅρα Θεοῦ συλλαβὰς καὶ ῥήματα μικρὰ θείας πεπληρωμένα δυνάμεως. ἐξαγαγέτω τὰ ὕδατα, ὁ λόγος ὁ τοῦ Θεοῦ, κόπος. ἐγὼ νομίζω, ὅτι παρε-

λάμβανε

λάμβανε τὰ ἔργα τοῦ λόγου. ὀξυτέρα γὰρ ἦν τῆς λέξεως ἡ δύναμις. οὐδέπω εἴρητο ὁ λόγος, καὶ τὸ ἔργον τὴν ἰδίαν εὐκοσμίαν ἐλάμβανε. καὶ τὸ θαυμαστὸν, ἑκάστῳ τῶν στοιχείων τούτων ὁ Θεὸς διπλῆν εὐκοσμίαν παρέσχεν. ἔδωκε τῷ στερεώματι φωστῆρας καὶ δρόσον. ἀλλ' ἃ καὶ τούτων πάλιν τῶν φωστήρων ἡ χρῆσις διάφορος, ὡς καὶ ἐξ αὐτῶν δῆλον τῆς γραφῆς τῶν ῥημάτων καθέστηκε. περὶ οὖν κατὰ δύναμιν, εἰ καὶ μὴ κατ' ἀξίαν, διελάβομεν πρῴην, ὅτε ὑμῖν τὸν περὶ τούτων ἐξεθέμεθα λόγον. περὶ οὖν πάλιν λαβεῖν ἐπὶ τοῦ παρόντος οὐ χρήσιμον. τῇ γῇ σπαρτὰ καὶ φυτά· τοῖς ὕδασι νηκτὰ καὶ πετεινά. ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα. ἑρπετὰ καλεῖ τοὺς ἰχθύας, ἐπειδὴ μᾶλλον ἕρπει ἢ περιπατεῖ. ὅθεν καὶ ὁ μακάριος Δαβὶδ ἀκολουθῶν τῷ νομοθέτῃ λέγει, Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός. ξένον πρᾶγμα, ξένη διάταξις, ξένον τοῦ λόγου τὸ ἐπάγγελμα. διὰ τί; ὅτι πάντων ποιητὴς οὕτως ἔχει πρὸ ὀφθαλμῶν τά τε παρελθόντα, καὶ τὰ ἐνεστῶτα, καὶ τὰ μέλλοντα, ὡς οὔτε ἡμεῖς τοῖς ὀφθαλμοῖς ἡμῶν. ἐπεὶ οὖν ἔμελλε τὴν ζωὴν πρώτην διὰ τῶν ὑδάτων χορηγεῖν τῷ κόσμῳ, πρώτοις ἐπιτρέπει τοῖς ὕδασι ζωογόνον προενέγκαι φύσιν, ἵνα μάθῃς πόθεν ἡ ῥίζα τῆς ζωῆς. ἐγὼ ὅταν ἴδω τοὺς φωτιζομένους ἐξερχομένους ἐκ τῶν ἁγίων ὑδάτων, εἰσελθόντας μὲν εἰς τὸ βάπτισμα μετὰ πολλῶν κακῶν, ὡς ἑρπετά, ἐξερχομένους δὲ μετὰ ζωῆς αἰωνίου, ὁρῶ τὸν νομοθέτην λέγοντα· ἐξαγαγέτω τὰ ὕδατα τὰ ποτὲ ἑρπετά, νῦν ψυχὴν ζῶσαν. πόθεν τοῦτο δῆλον ἡμῖν γένηται; ὅτι οἱ προσερχόμενοι τῷ λουτρῷ, διὰ τὰς προτέρας ἁμαρτίας τὴν τοῦ ἑρπετοῦ λαμβάνουσι κλῆσιν. ἐξῆλθον ἐπὶ τὸ βάπτισμα Ἰωάννου πολλοί. λέγει τοῖς ἔθνεσιν, Ὄφεις, γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ὅταν εἰς τὸ βάπτισμα εἰσέλθῃ ψυχὴ ἐπὶ πολλὰ ἔτη κακίᾳ συζήσασα, καὶ ἐξέλθῃ ταύτην ἀποθεμένη, ὅρα εἰ μὴ δι' αὐτῆς διαλάμπει τῶν ἔργων ἡ δεσποτικὴ φωνὴ ἡ λέγουσα, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα. διπλῆν γὰρ λαμβάνει τὴν χάριν ὁ σωζόμενος· καὶ ζωοποιεῖται τὴν ψυχὴν, καὶ πετεινὸν γίνεται, λοιπὸν ἀψῖδας οὐρανῶν καταλαμβάνων, καὶ μετὰ ἀγγέλων πολιτευόμενος, καὶ μετὰ τῆς ἄνω τάξεως ἔχων τὴν ἑαυτοῦ ἀκολουθίαν. καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. ἐπὶ τῆς γῆς διὰ τὸ σῶμα· ἐν οὐρανοῖς διὰ τὸ πολίτευμα. ταῦτα οὐκ ἀλληγοροῦντες εἰσηγάγομεν, ἀλλ' ἐθεωρήσαμεν τῇ ἱστορίᾳ. ἄλλο τὸ ἐκβιάσασθαι εἰς ἀλληγορίαν τὴν ἱστορίαν, ἄλλο δὲ καὶ τὴν ἱστορίαν φυλάξαι, καὶ θεωρίαν ἐπινοῆσαι. καὶ ἵνα δείξῃ ὅτι ἑρπετὰ [τὰ πετεινὰ πτερωτά] λέγει τὰ ἐν τῇ θαλάσσῃ, ἐπήγαγε· Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζῶσαν ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα, καὶ πετεινὸν πτερωτόν. ἔνι γὰρ πετεινὸν μὴ ὂν πτερωτόν; τίς χρεία ἦν εἰπεῖν, πᾶν πετεινὸν πτερωτόν; τὸ πετᾶσθαι παρὰ τὸ ἁπλοῦσθαι τὰς χεῖρας λέγεται. ἔστι δὲ πετᾶσθαι καὶ χεῖρας· καθώς φησιν ὁ προφήτης, Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα· οὐχ ὅτι πτερὰ ἔχουσι χεῖρες, ἀλλ' ἐπειδὴ τὸ πετᾶσθαι ἐστὶ τὸ ἁπλοῦσθαι. καὶ τὸ ἕρπον τοίνυν πετεινόν ἐστιν, ἀπὸ τοῦ ἕρπεσθαι καὶ ἁπλοῦσθαι· ὅθεν καὶ Δαβὶδ φησιν, Ἑρπετὰ καὶ πετεινὰ πτερωτά. ἐποίησε τοίνυν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, τουτέστι, τοὺς δράκοντας τοὺς μεγάλους τοὺς ἐν τῇ θαλάττῃ. οἱ γὰρ ἄλλοι ἑρμηνευταὶ λέγουσιν, ἐποίησεν ὁ Θεὸς τοὺς δράκοντας τοὺς μεγάλους. οὐκ εἶπον τὰ κήτη, ἀλλὰ τοὺς δράκοντας. πρῶτον οὐδὲν ἐν τῇ θαλάσσῃ ἐν τοῖς ἐμψύχοις ἐγένετο, ἢ δράκων. διὰ τοῦτο ὁ Δαβὶδ λέγει· Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς δράκοντες καὶ πᾶσαι ἄβυσσοι. καὶ ἀλλαχοῦ· Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῶα μικρὰ μετὰ μεγάλων· ἐκεῖ πλοῖα διαπορεύεται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. καὶ ἀλλαχοῦ βουλόμενος δεῖξαι ὅτι οὐχ εἷς, ἀλλὰ πολλοὶ δράκοντές εἰσι, λέγει· Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. ἐποίησε τοίνυν

τὰ

Ψαλ. ργ. κε.

Ματθ. γ. ζ.

Γεν. α. κα.

Ησ. ξε. β.

Ψαλ. ρμη. ι.

Ψαλ. ρμη. ζ.

Ψαλ. ργ. κε.

Ψαλ. ογ. ιδ.

τὰ κήτη τὰ μεγάλα, καὶ εἶδεν ὁ Θεὸς ὅτι πάντα καλά. διὰ τί εἶπε καλά; οὐχὶ καλὸν διὰ τὸ πλῆθος· ἀλλ' ὅτι ἐποίησε τοὺς ἀστέρας καὶ ἥλιον καὶ σελήνην, πολλῶν ὄντων τῶν γινομένων, λέγει· εἶδεν ὁ Θεὸς ὅτι καλόν. πολλοὶ ἀστέρες, καὶ ἀναρίθμητοι τούτων αἱ μυριάδες, καὶ οὐκ εἶπεν, εἶδεν ὁ Θεὸς ὅτι καλά, ἀλλ', ὅτι καλόν. διὰ τί; ὅτι εἰ καὶ πολλοὶ φωστῆρες, ἀλλ' ἐξ ἑνὸς φωτός, καὶ τῆς αὐτῆς ἅπαντες χρείας. φωτίζειν γὰρ ἐτάχθησαν. ἐνταῦθα δέ, ἐπειδὴ πολλὴ τῶν ἑρπετῶν ἡ διαφορά, καὶ τῶν νηκτῶν, καὶ τῶν πετεινῶν, ἄλλως πετεινῶν, ἄλλως ἑρπετῶν, καὶ ἐν ἑκάστῳ γένει πολλὰ καὶ διάφορα, λέγει, εἶδεν ὁ Θεὸς ὅτι καλά. πρὸς τὴν ποικιλίαν τῶν ἔργων καὶ ὁ ἔπαινος. Καὶ ηὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων, Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν. διὰ τί, ὅτε τοὺς ἀστέρας ἐποίησεν, οὐκ εὐλόγησε; διὰ τί, ὅτε τὸν ἥλιον καὶ τὴν σελήνην ἐποίησεν, οὐκ εὐλόγησε; διὰ τί βοτάνας καὶ ξύλα ποιήσας οὐκ ηὐλόγησε; τὰ μὲν εὐλογεῖ, τὰ δὲ οὐκ εὐλογεῖ. τί δὲ αἴτιον τῇ τούτου ἀρετῇ καθέστηκε, πρόσεχε. οἱ ἀστέρες ὅσοι ἐγένοντο ἀπ' ἀρχῆς, τοσοῦτοι καὶ διαμένουσι, καὶ οὔτε τῷ ἀριθμῷ αὐτῶν, οὔτε τῷ μεγέθει δυνατοὶ προστεθῆναι. ἀλλ' ἐν τῇ αὐτότητι τῆς φύσεως μέλλοντες διαμένειν, τῆς πληθυνούσης αὐτοὺς οὐκ ἐχρῇζον εὐλογίας· τὰ δὲ πληθυνόμενα ταῖς διαδοχαῖς, καὶ οὐχ ἑτέρως λαμβάνοντα προσθήκην, ἀναγκαίως καὶ τὴν εὐλογίαν ἐδέχοντο. πάλιν αὐτὸ λέγω ὑπὲρ τοῦ μᾶλλον αὐτὸ τὸ λεχθὲν ἐμπαγῆναι τῇ διανοίᾳ. οὔτε γὰρ τὸ φυτὸν τὸ ἁπλῶς καὶ ἐξ ἐπιβολῆς ταῖς τῆς γῆς λαγόσι παρατιθέμενον, ἀδελφοί, βεβαίαν ἔχει τὴν στάσιν, ἀλλὰ τῷ βάθει ταύτης μετὰ πάσης παραθέντες ἀσφαλείας. οἱ ἀστέρες εὐλογίας οὐκ ἐχρῇζον. οὔτε γὰρ αὐτοῖς αὐτὴ τὸν πληθυσμὸν ἐχαρίζετο. πετεινὰ δὲ καὶ νηκτὰ καὶ ἄνθρωπος τῆς εὐλογίας ταύτης ἐφίετο διὰ τὰς διαδοχάς. καὶ ὅπου ἑτέρως πληθυνθῆναι οὐ δύναται, ἐκεῖ χώραν ἔχει τὰ τῆς εὐλογίας, ὅπου τὰ ὀλίγα πληθύνεται, καὶ τὰ μικρὰ αὔξησιν ἐπιδέχεται. ἐπεὶ τοίνυν ἔγνωμεν τὴν αἰτίαν, δι' ἣν ταῦτα τῆς εὐλογίας ἠξίωται, ἀναγκαῖον λοιπὸν καὶ ταῖς ἑτέραις ἑαυτοὺς τῶν γραφῶν λέξεσιν ἐπιδοῦναι. αὐξάνεσθε, ἐπειδὴ μικρά· πληθύνεσθε, ἐπειδὴ ὀλίγα· πληρώσατε τὰ ὕδατα, ἐπειδὴ ἐν μέρει. ἀναγκαῖον δὲ ἐν ἑτέρῳ καιρῷ πάλιν ζητῆσαι, διὰ τί τοὺς ἰχθύας καὶ τὰ πετεινὰ καὶ τὸν ἄνθρωπον μόνον τῆς εὐλογίας ἠξίωσε, τοῖς δὲ λοιποῖς οὐ μετέδωκε ταύτης. τέως δέ, καθὼς ἐπηγγειλάμεθα, τῆς ἀκολουθίας ἐχώμεθα. Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. τὴν γῆν ὁ Θεὸς διπλῇ περιβάλλει τιμῇ. πρότερον γὰρ αὕτη γεννᾷ τὰ σπέρματα καὶ φυτά, καὶ μετὰ ταῦτα, ζῶα· οὐκ ἀλόγως. ἀλλ' ἐπειδὴ οἰκητήριον ἀνθρώπου ἔμελλε γίνεσθαι, οὐ μόνον δὲ τοῦτο, ἀλλ' ἐπειδὴ καὶ ἐξ αὐτῆς ταύτης ὁ αὐτὸς ἄνθρωπος ἔμελλε τρέφεσθαι· ὡς τροφὸν αὐτὴν καὶ μητέρα τούτου τοῦ μεγάλου ζώου τιμᾷ. ὅρα δὲ καὶ ἐνταῦθα πῶς τῇ ἀκολουθίᾳ ἐχρήσατο. πρότερον γὰρ παρασκευάζει τὰς τροφάς, καὶ εἶθ' οὕτως εἰσάγει τὰ τῆς τροφῆς ἀπολαύσοντα. καθάπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου ἐποίησε· πρότερον τὸν οἶκον ἀπήρτισε, καὶ οὕτω τὸν οἰκοδεσπότην εἰσήγαγεν. ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν. ἡ ἄψυχος γῆ πόθεν γεννᾷ ψυχὴν ζῶσαν; πόθεν προῆλθε λέων βρυχώμενος, ἢ ἵππος τρέχων, ἢ βοῦς ἐργάτης, ἢ ἀχθοφόρος ὄνος; πόθεν αἱ διαφοραὶ τῶν ζώων; πόθεν ἐκ τῆς ἀψύχου τοσαῦται ψυχαί; καὶ οὐκ αἰσχύνονται αἱρετικῶν παῖδες, ὅτι ἡ μὲν ἄψυχος γῆ, ἣν οὐκ ἔχει, προσφέρει ψυχήν· Θεὸν δὲ ἐὰν ἀκούσωσιν ὅτι ἐγέννησεν ἐκ τῆς ἰδίας οὐσίας, εὐθέως τῶν λογισμῶν τὰς πλοκὰς κινοῦσι, καὶ ἐπεισάγουσιν· οὐκοῦν ἐμερίσθη, οὐκοῦν ἐτμήθη, οὐκοῦν διῃρέθη, οὐκοῦν ἔπαθε, καὶ τοιαῦτα ὅσα ἔθος αὐτοῖς λέγειν. οὐ γὰρ τοῦ παρόντος ἐστὶ καιροῦ, πᾶσι τοῖς παρ' αὐτῶν λεγομένοις κατὰ τοῦ μονογενοῦς ἐπεξιέναι· μᾶλλον δὲ κατὰ τῆς ἑαυτῶν σωτηρίας. οὔτε γὰρ εὐφημούμενος κερδαίνει Θεός, οὔτε βλασφημούμενος βλάπτεται πάντως· εἰ μὴ ἄν τις τάχα κέρδος λέγοι Θεοῦ τὴν ἡμετέραν σωτηρίαν. αὐτὸς γὰρ πλήρης ἐστὶ παντὸς ἀγαθοῦ, ἀνενδεὴς ὑπάρχων ἐν ἅπασιν, αὐτὸς μὲν πάντας πλουτίζων,

Γεν. α κϐ.

Γεν. α κδ.

πίζων, μηδενὸς δὲ προσδεόμενος. ὅμως τί γὰρ ἂν τις καὶ δοίη τῇ πάντων τῶν ἀγαθῶν πηγῇ, οὗ μόνον πάντα τῆς φιλανθρωπίας ἐξήρτηται; καθώς φησιν ὁ Δαβὶδ, Πάντα πρὸς σὲ προσδοκῶσιν· ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. [Ψαλ. ρμδ. ιε. ιϛ.] ἀλλὰ τὸν λόγον τὸν ἐν χερσὶν εἰς πέρας ἀγάγωμεν. τοῦτο γὰρ καὶ ἡμῖν φίλον καὶ τῇ τάξει καθέστηκεν. ὃ οὐκ ἔχει ἡ γῆ, προσφέρει, τῷ προστάγματι πειθομένη· ὃ ἔχει ἡ θεία καὶ ἀγέννητος, οὐκ ἀπογεννᾷ φύσις; ἀλλὰ πάλιν μή τις τὸ, ἔχειν, ἀνθρωπινώτερον λαμβανέτω λέγων, ὁρᾷς πῶς καὶ αὐτὸς ὁ διδάσκαλος ἔδωκε προσηγορεύεσθαι ἀπαρχὴν τοῦ υἱοῦ τὸν πατέρα; ἀλλὰ μᾶλλον σιγήσωμεν ἀποτεινόμενοι τῷ λόγῳ, ἀνθρώποις οὖσι, καὶ πηλίνην κεκτημένοις γλῶσσαν, καὶ πρὸς ἀνθρώπους ποιουμένοις λόγον περὶ θείας καὶ πάντα λόγον ὑπερβαινούσης φύσεως. ἄνθρωποι γὰρ ὄντες, ὡς ἄνθρωποι λαλεῖν ἐδιδάχθημεν. μὴ γὰρ ἴσασιν οἱ ἄθλιοι, ὅτι περὶ Θεοῦ διαλέγονται, προσφέροντες λόγους ἐπὶ Θεοῦ μὴ ἁρμόζοντας λέγεσθαι; καὶ ὅρα κακουργίαν. ὅτε τὰ ζητήματα προτείνουσιν, ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν λαλοῦσιν· δεῖ, πάντως, φησὶ, τὸ γινόμενον, ἀρχὴν ἔχειν τοῦ εἶναι. καὶ πόθεν τοῦτο; εὐθέως λέγουσι· σὺ γεννηθεὶς οὐκ ἀρχὴν ἔσχες; ὁ πατήρ σου; ὁ πάππος σου; ἐὰν παραστήσῃς αὐτοῖς ἐξ αὐτῶν τῶν λογισμῶν λογισμὸν ἕτερον διαλῦσαι αὐτοῦ τὴν μανίαν δυνάμενον, εὐθὺς σοφίζεται περὶ Θεοῦ λόγους, καὶ ἀνθρωπίνους μοι λογισμοὺς παρεισάγεις; καὶ τὴν μὲν ῥίζαν τῶν κακῶν ἀπὸ κοινῶν προσφέρουσι λογισμῶν· τὴν δὲ διάλυσιν τῶν κακῶν οὐ βούλονται ἀπὸ τῶν αὐτῶν δέχεσθαι λογισμῶν. λέγει πολλάκις, δύναταί τις εἶναι, καὶ γεννᾶσθαι; ἐὰν οὖν δείξω τὴν γραφὴν, ὅτι οὐκ ἐπὶ Θεοῦ μόνον, ἀλλὰ καὶ ἐπὶ ἀνθρώπων εἰσήγαγε τὸ τοιοῦτον, τί πείσῃ; τοὺς τοῦ μακαρίου Ἀβραὰμ παῖδας οὐχ ὡς μὴ ὄντας ἡ γραφὴ λέγει γεννᾶσθαι, ἀλλ' ὡς προόντας. Ὁ γὰρ Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ, ὁ Ἰσαὰκ ἐγέννησε τὸν Ἰακὼβ, ὁ Ἰακὼβ τὸν Λευὶν, ἐξ οὗ ἱερατικὴ φυλή. ἐπειδὴ τοίνυν τῷ Μελχισεδὲκ ἀπήντησεν οὗτος, λέγω δὴ Ἀβραὰμ Παῦλος ὁ ἀπόστολος ἑρμηνεύων τὴν ποτὲ ἱστορίαν εἰς θεολογίαν, λέγει, Συνήντησε δὲ ὁ Μελχισεδὲκ τῷ Ἀβραὰμ, καὶ ηὐλόγησεν αὐτόν· καὶ ἐπάγει εὐθέως· Καὶ (ὡς ἔπος εἰπεῖν) διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται. [Ἑβρ. ζ. θ.] ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν Ἀβραάμ· καὶ ὁ θνητὸς πρὶν γεννηθῆναι ἦν. ἐπειδὴ ὅλως ἡ ῥίζα ἔζη, τὸν καρπὸν μετὰ τῆς ζώσης ῥίζης εἰσήγαγεν. ἐν ταῦθα δὲ οὔτε πάθος, οὔτε διαδοχῆς τρόπος, οὔτε κυοφορία, οὐκ ἀνθρωπίνων παθῶν ἀκολουθία, οὐ θέλει εἶναι ὄντα ἐξ ὄντος γεννηθέντα, μένοντα δὲ ἀϊδίως. ἀλλ' εἰ ἐγεννήθη, φησὶ, πῶς ἀεὶ ἦν; πᾶς γὰρ ὁ γινόμενος ἀρχὴν λαμβάνει. τὸ ὄνομα τοῦ πατρὸς παρ' ἡμῶν διὰ πολλῶν ἔρχεται περιόδων. δεῖ, ὑποθοῦ νεανίσκον ἐπιθυμοῦντα γάμου· πρῶτον γίνεται μνηστὴρ, εἶτα νυμφίος, εἶτα ἀνήρ· κἂν τέκῃ, τότε λέγεται πατήρ· κἂν μὴ τὸ γεννώμενον αὐτῷ τὸ ὄνομα χαρίσηται, μυρία ἔτη μετὰ τῆς γυναικὸς ἐὰν ποιήσῃ, οὐ καλεῖται πατήρ· ὁμοίως ἡ μήτηρ, πρῶτον παρθένος, εἶτα μνηστὴ, εἶτα νύμφη, εἶτα γυνὴ, κυοφορεῖ, βαστάζει τὸν καρπόν· κἂν μὴ οὔπω προέλθῃ, μήτηρ οὐ λέγεται. κἂν μὴ βαστάζῃ ἡ ῥίζα τὸν καρπὸν, ἐὰν μὴ προελθὼν ὁ παῖς χαρίσηται αὐτῇ ἀμοιβὴν τῶν πόνων τὴν προσηγορίαν, οὐ λέγεται μήτηρ. καὶ τοῦτο ἐποίησεν ὡς σοφὸς ὁ Θεὸς, ἵνα μὴ οἱ πατέρες κατὰ τῶν παίδων καυχῶνται· ἵνα μὴ λέγῃ ὁ πατὴρ τῷ παιδὶ, ἐγώ σοι τὴν ζωὴν ἐχαρισάμην, δι' ἐμὲ ἐγεννήθης, δι' ἐμοῦ εἰς τὸ εἶναι παρήχθης· ἀλλ' ἵνα κἂν εἴπῃ ταῦτα, εὐθέως ἀκούσῃ, ἐγὼ διὰ σὲ ἐγεννήθην, δι' ἐμὲ καὶ σὺ πατήρ. ὁμοίως καὶ ἐπὶ τῆς μητρὸς, ἐχαρίσω μοι τὸ εἶναι υἱῷ, ἐχαρισάμην σοι τὸ εἶναι μήτηρ. ἐφ' ἡμῶν λαμβάνει ταῦτα χάριν ἵνα καὶ ἀντίδοσιν. ὁμοίως καὶ ὁ υἱὸς, οὐκ εὐθέως υἱὸς, ἀλλὰ πρότερον σπέρμα, εἶτα ἔμβρυον· καὶ ὅτε γεννηθῇ, τότε υἱός. ταῦτα χρόνων ἀνάγκαις δουλεύει, ταῦτα πάθεσιν ὑποπίπτει, ταῦτα σωματικῆς ἐστι καταστάσεως. ὅπου δὲ ἀσώματος ἡ φύσις ἡ γεννῶσα, ὅπου ἀσώματος ὁ καρπὸς ὁ γεννώμενος, ποῖον ἐπιδέχεται λόγον; ὅτι ἦν ποτε ὅτε οὐκ ἦν, φησὶ, καὶ ὕστερον ἐγεννήθη. [καί φαμεν οὕτως· εἰ ἀεὶ ὡσαύτως ἔχει Θεὸς, εἰ μηδὲν προσκτᾶ-

ταί

ταί ποτε, ἀεὶ ἐστὶ καὶ πατήρ· εἰ δὲ ἀεὶ ἐστὶ πατήρ, ἀεὶ εἶχε τὸν υἱόν. Συναΐδιος ἄρα ὁ υἱὸς τῷ πατρί]. υἱὸν λεγόμενον γεννηθέντα μὲν ἀπαθῶς, τὸν δὲ τῆς γεννήσεως τρόπον ἑρμηνεύειν οὐκ ἐπιστάμεθα. ἡ ἀληθὴς γνῶσις αὕτη ἐστί, τὸ τὰ ὑπερβαίνοντα τὴν φύσιν ἡμῶν ὁμολογεῖν μὴ εἰδέναι. τὸ μὲν οὖν γέννημα προσκυνούμενον, τὴν δὲ φύσιν οὐ πολυπραγμονούμενον. Εἰ μὲν οὖν ἦν ἄνθρωπος ὁ γεννήσας, ἀνθρωπίνην ἐποίησε καὶ τὴν γέννησιν· εἰ σῶμα εἶχεν, ἐγέννησεν ὡς σῶμα· εἰ δὲ σώματος ἀπήλλακται, μὴ παρείσαγε σώματος πάθη τῷ ἀσωμάτῳ. Εἰ ἐγέννησε, φησίν, ἐκ τῆς ἰδίας" κατὰ πάθος ἐγέννησε, κατὰ τομήν, κατὰ ῥεῦσιν. πείσω ἀπὸ τῶν γηΐνων. γεννᾷ ἡ ἄμπελος, γεννᾷ ἡ ἐλαία, γεννᾷ καὶ τὸ ὕδωρ, οὐ κατὰ τὴν ἡμετέραν φύσιν, ἀλλὰ κατὰ τὴν ἰδίαν τάξιν. πᾶσα γυνὴ ἐπειδὰν παρὰ Θεοῦ λάβῃ τὸ γενέσθαι μήτηρ, κυοφοροῦσα μέν, ὀγκοῦται· ἀποθεμένη δὲ τὸν καρπόν, συστέλλεται. ἐπὶ δὲ τῶν δένδρων τὰ ἐναντία ἔστιν εὑρεῖν. πρὶν γεννήσῃ, οὐκ ὀγκοῦται· ὅταν γεννήσῃ, τότε παχύνεται. ὁ καρπὸς αὔξεται, καὶ ἡ ῥίζα πληθύνεται, καὶ οὔτε μείωσις τῇ γεννώσῃ ῥίζῃ, οὔτε ἐλάττωσις τῷ γεννηθέντι προσγίνεται. ἡ ἄμπελος" γεννᾷ καθ' ἡμᾶς· Θεὸν ἐὰν ἀκούσῃς ὅτι ἐγέννησεν, ἀνθρώπινα πάθη περιάπτεις τῷ πᾶσαν ὑπερβαίνοντι τὴν φύσιν; καὶ εἶπεν ὁ Θεός, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα, ἑρπετά, θηρία. τετράποδα, κτῆνη ἐστίν, ὄφις, δράκων. οὐ γὰρ μόνον τὰ θηρία τὰ ὑποπίπτοντα κτῆνη λέγεται, ἀλλὰ καὶ τὰ ἀχθοφόρα, πᾶν χορτοφάγον, εἴτε βοῦς, εἴτε πρόβατον, κτῆνος καλεῖται. κτῆνος γὰρ τὸ κτῆμα ἐστὶ ἀνθρώπου. ὅτι δὲ κτῆνη καλεῖται καὶ πρόβατα καὶ βόες, μαρτυρεῖ ἡ γραφή· Καὶ ἐγένετο αὐτῷ κτῆνη προβάτων καὶ κτῆνη βοῶν. ἐπληρώθη ἡ γῆ, ἐκόμα τοῖς καρποῖς, προήνεγκε τὰ ζῶα· ἔλιπε λοιπὸν ὁ οἰκοδεσπότης. ὁ οὐρανὸς ἐκεκαλλώπιστο, ἡ γῆ ἐπεποίκιλτο, ἡ θάλασσα ἐπεπλήρωτο, ὁ ἀὴρ ὀρνίθων ἐκεκόσμητο πλήθει· πάντα ἦν ἕτοιμα, καὶ ἔλειπεν ὁ ἄνθρωπος. οὐχ ὑβρίζεται δὲ τῷ εἶναι τελευταῖος, ἀλλὰ τιμᾶται. παρασκευάζεται γὰρ ὁ οἶκος, καὶ οὕτως εἰσάγεται ὁ οἰκοδεσπότης. οὐδὲν γὰρ ὁ Θεὸς οὔτε ἀκαίρως, οὔτε ἀμέτρως ποιεῖ, ἀλλὰ πάντα διὰ τὴν χρείαν. καὶ βλέπε τὴν τάξιν. πρῶτον ἐποίησεν ὁ Θεὸς βοτάνην καὶ χόρτον, καὶ τότε τὰ θηρία τρεφόμενα. καὶ εἰ οὐκ ἦν τὰ τρέφοντα, ἄχρηστος ἦν ἡ δημιουργία τῶν ζώων, ζημιουμένη τὴν καρπῶν τὴν ἔνδειαν. ἐποίησε τὰ τρέφοντα, καὶ τότε τὰ τρεφόμενα. προπαρασκευάζει πρῶτον τὰς χρείας, καὶ οὕτως εἰσάγει τὰ τῆς χρείας μεθέξοντα. οὕτω καὶ ἐπὶ τῶν γραφῶν ἐποίησε· προέλαβον τὸν Χριστὸν αἱ γραφαὶ πρῶτον κηρύττουσαι, καὶ τότε ἦλθεν ὁ μαρτυρούμενος. προέλαβεν ὁ νόμος, ἵνα κηρύξῃ τὸν νομοθέτην· προέλαβον προφῆται, ἵνα ἑρμηνεύσῃ τὸν προφητευόμενον· προέλαβον αἱ μαρτυρίαι, ἵνα πιστωθῇ ὁ μαρτυρούμενος. καὶ ὅρα τοῦ Θεοῦ τὴν σοφίαν· τὰς γραφὰς τῶν προφητῶν οὐ συνεχώρησεν ἐν τῇ ἐκκλησίᾳ μόνον εἶναι, ἀλλὰ καὶ πρὸς Ἰουδαίους, ἵνα ἐλέγχωνται. εἴασεν αὐτὰς καὶ παρὰ Ἰουδαίοις τοῖς ἀναξίοις, τοῖς θεομάχοις, τοῖς ἐχθροῖς τοῦ Χριστοῦ. διὰ τί οὖν τοῦτο πεποίηκε, καὶ μὴ ἔλαβεν αὐτὰς παρ' αὐτῶν; φανερὰ ἡ αἰτία, καὶ οὐ πολλῆς κατασκευῆς δεομένη· ἵνα ἀνύποπτον ᾖ τὸ ἐμὸν κήρυγμα. Εἰ μόνος" εἶχε τοὺς προφήτας, ἐξῆν ἀντειπεῖν τῷ ἀπιστοῦντι· ἐτόλμησα εἰπεῖν ἐγώ, ὅτι εἶπε Μωϋσῆς, ἢ εἶπεν Ἡσαΐας, ἢ εἶπε τῶν λοιπῶν προφητῶν τὸ τάγμα, περί τε Χριστοῦ καὶ τῶν κατὰ τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ γενησομένων; ἐξῆν ἀντειπεῖν τῷ βουλομένῳ καὶ φάσκειν, πόθεν τοῦτο, ὅτι Μωϋσῆς ἐγένετό τις προφήτης; καὶ εἶπε ταῦτα· εἰ ἐκήρυξεν, ὡς ἠθελήσατε ὑμεῖς οἱ χριστιανοὶ πρὸς σύστασιν τῶν οἰκείων δογμάτων καὶ προφήτας πλάσαι καὶ ὀνόματα μυθεῦσαι, ἡμεῖς ἐκ τούτου πρόκριμα ὀφείλομεν ὑπομένειν; νῦν δὲ πᾶσα τῷ ἀντιλέγειν βουλομένῳ, κἂν" μικρὰν ἔχοντι δικαιολογίαν, περιῄρηται πρόφασις, διὰ τὸ ταύτας τὰς μαρτυρίας παρ' αὐτοῖς τυγχάνειν, ἃς ἡμεῖς πρὸς σύστασιν τῶν οἰκείων φέρομεν δογμάτων. πόθεν γὰρ μὴ δυνατὸν ἐλέγξαι τὴν τούτων ῥᾳδιουργίαν; ἵνα τοίνυν μὴ ταῦτα λέγηται, συνεχώρησε παρ' ἐκείνοις τὰ τῶν γραφῶν τυγχάνειν βιβλία, ἵνα κἂν ἐγὼ ἀπιστηθῶ, ὡς πρὸς χάριν τῶν οἰ-

Γεν. κϛ. ιδ.

κείων

κείων δογμάτων πλαττόμενος διὰ τὴν οἰκειότητα, ἐκεῖνοι πιστεύουσι διὰ τὴν ἀλλοτριότητα. ἐὰν ἐρωτήσῃς Ἰουδαῖον (οὐ λέγω τὸν χυδαῖον καὶ δημώδη ὄχλον, ἀλλὰ τὸν ἐντὸς λόγων καὶ νόμου) ἔστι Χριστός; καὶ οὐ λέγει, ὅτι οὐκ ἔστιν, ἀλλ' ὅτι ἔστι μὲν, οὐχ οὗτος δὲ, ὃν ὑμεῖς λέγετε, ἀλλ' ἄλλος. πῶς τὸ πρᾶγμα οὐκ ἀνέτρεψε, περὶ δὲ τὸ πρόσωπον ἐδίστασεν. ἄλλο δέ ἐστιν ἀρνήσασθαι πρᾶγμα, ἄλλο δὲ πρόσωπον. οἷον ἐάν τις ἐπάγῃ μοι περὶ χρέους, ἄλλο ἐστὶν εἰπεῖν, οὐ χρεωστῶ, καὶ ἄλλο τὸ εἰπεῖν, οὐ σοὶ χρεωστῶ, ἀλλ' ἄλλῳ· πῶς τὸ χρέος ὡμολόγησα. ὅτι μὲν οὖν ἔστι Χριστὸς, ὁμολογοῦσιν· ἀμφιβάλλουσι δὲ, εἰ οὗτός ἐστιν ὁ παρ' ἡμῶν κηρυττόμενος. καὶ τὸν μὴ ὄντα ἐκδέχονται, ἐπειδὴ τὸν ὄντα ἠρνήσαντο. καὶ προέστησεν αὐτὸν τὸν νομοθέτην Μωϋσέα αὐτῇ τῇ τοῦ ἀνθρώπου κατασκευῇ εἰσάγοντα τὸν υἱὸν καὶ τὴν γνῶσιν αὐτοῦ. εἶπε, γενηθήτω στερέωμα, εἶπε, βλαστησάτω ἡ γῆ, εἶπεν, ἐξαγαγέτω τὰ ὕδατα. ὅτε ἦλθεν εἰς τὸν ἄνθρωπον, λέγει, καὶ εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον. ἐρωτῶ Ἰουδαῖον, εἰ μόνος ἐστὶ, καὶ οὐκ ἔστι μετ' αὐτοῦ υἱὸς ὃν κηρύττομεν, εἰ οὐκ ἔστι πνεῦμα ἅγιον ὃ προσκυνοῦμεν, τίνι εἶπε, ποιήσωμεν ἄνθρωπον; τὸν οὐρανὸν ποιεῖ προστάγματι μόνῳ, τὴν γῆν ὁμοίως καὶ τὰ λοιπά· ὅτε τὸν ἄνθρωπον δημιουργεῖ, τὴν θεογνωσίαν λοιπὸν τοῦ υἱοῦ ὡς διὰ θυρίδων παρακύψαι βουλόμενος, λέγει, ποιήσωμεν ἄνθρωπον· ἵνα δείξῃ καὶ τὸν πρὸ πάντων αὐτὸν συνεργόν. λέγουσι τοίνυν οἱ Ἰουδαῖοι στενούμενοι, καὶ μὴ δυνάμενοι τὸ περιφανὲς μεταθεῖναι τῆς λέξεως, ὅτι τοῖς ἀγγέλοις εἶπεν. ἐπειδὴ φανερῶς ἀρνεῖσθαι οὐ δύνανται τῆς λέξεως τὴν φύσιν, ἑτέρῳ τρόπῳ πως ταύτης τὴν ἄρνησιν ἐπεισάγουσι. τίνι τοίνυν εἶπε, ποιήσωμεν; ἀγγέλοις, φησίν. ἐρωτῶ, τίνες μείζους, οἱ ἄγγελοι, ἢ οἱ ἄνθρωποι; πάντως οἱ ἄγγελοι. ὅταν γὰρ πάνυ φθάσωμεν εἰς ἀρετῆς μέτρον, τότε ἐκείνους οὐχ ὑπερβαίνομεν, ἀλλ' ἐκείνοις ἰσούμεθα. νῦν δὲ πολὺ τὴν ἐκείνων ὑποβεβήκαμεν φύσιν, καὶ ἐλάττους τῆς ἀσωμάτου τῶν ἀγγέλων τυγχάνομεν καταστάσεως. ἄκουε περὶ τούτου Δαβὶδ μαρτυροῦντος· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. πῶς ἠλαττωμένοι ἐσμὲν παρ' ἀγγέλους. ἡμεῖς ἐλάττους· οἱ ἄγγελοι μείζους. εἰ τῶν ἀνθρώπων τῶν ἐλαττόνων ποιῶν, χρείαν εἶχε συμβούλων τῶν ἀγγέλων ἢ συνεργῶν· ὅτε τοὺς μείζους ἐποίει, οὐχ ἕνα ἄγγελον, ἀλλ' ὁμοῦ τὰς μυριάδας ἐκείνας τὰς ἀναριθμήτους. ὥσπερ γὰρ τοὺς φωστῆρας ὁμοῦ πάντας ἐποίησεν, οὕτως ἀγγέλους καὶ ἀρχαγγέλους ὁμοῦ· καὶ τοσοῦτοί εἰσιν, ὅτι τὴν τῶν ἀριθμῶν ὑπερβεβήκασι φύσιν. καὶ βοᾷ Δανιήλ· Μύριαι μυριάδες ἐλειτούργουν αὐτῷ, καὶ χίλιαι χιλιάδες παρειστήκεισαν. μυρίας μυριάδας ἐποίησεν ἀγγέλων, καὶ χιλίας χιλιάδας ἀρχαγγέλων, καὶ οὐ χρεία συμβούλου ἢ συνεργοῦ, καὶ ἕνα ποιῶν πήλινον ἄνθρωπον, βουλῇ κέχρηται; λόγον εἰσάγει; συμβουλὴν λαμβάνει; τί ἐστιν ἄνθρωπος; οὐ γῆ, καὶ ἀπὸ γῆς; οὐ κόνις μόνον καὶ τέφρα; καὶ βοᾷ Ἀβραὰμ τὴν ἑαυτοῦ κηρύττων εὐτέλειαν, Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. τί εἰσιν οἱ ἄγγελοι; οὐ πνεύματα; οὐ πῦρ; καὶ ἄκουε τοῦ Δαβὶδ βοῶντος· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. τὴν τοῦ πυρὸς φύσιν ἐργαζόμενος, τὰ νοερὰ καὶ ἀσώματα πνεύματα, οὐ χρείαν εἶχε συμβούλου, οὐ συνεργοῦ, οὐχ ἑτέρου τινὸς πρὸς συμμαχίαν τῶν γινομένων· καὶ τὸν ἀπὸ γῆς ποιῶν, τὸν οἰκέτην, τὸν εὐτελῆ, τὸν μικρὸν ὕστερον οὐκ ἐσόμενον, τὸν τάφῳ διαλυόμενον, τὸν καιροῖς δαπανώμενον, βουλὴν εἰσάγει, σκέψιν ποιεῖται; καί φησιν, ἐνδέχεται διὰ τὴν διὰ πολλὴν ἀγαθότητα εἰπεῖν δούλοις παρεστῶσι· τί δεῖ γενέσθαι; τί ποιῶμεν; συγχωρῶ καὶ τοῦτο, καὶ μετὰ τὸν τοσοῦτον ἀγῶνα δίδωμι τὸ, ποιήσωμεν, πρὸς ἀγγέλους εἰρῆσθαι. τὸ ποιήσωμεν ἤκουσας, τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν οὐκ οἶδας; τούτῳ γὰρ ὀφείλω τῷ λόγῳ καὶ Ἰουδαίων καὶ αἱρετικῶν ἀποῤῥάψαι στόματα. οὔτε γὰρ Ἰουδαῖος, οὔτε πάλιν αἱρετικὸς, ὁ αὐτὸς κατ' ἀλήθειαν Ἰουδαῖος, μᾶλλον δὲ καὶ χείρων. οἱ μὲν γὰρ τὸ σῶμα ἐσταύρωσαν τὸ ὁρώμενον, οἱ δὲ τὴν θεότητα τὴν ἀόρατον πολεμοῦσι, μᾶλλον

Ψαλ. η. ε.

Δαν. ζ. ι.

Γεν. ιη. κζ.
Ψαλ. ργ. δ.

δὲ τὴν ἑαυτῶν σωτηρίαν. ἀλλὰ κἀκεῖνοι ἠλέγχθησαν ἀδυνάτοις ἐπιχειρήσαντες πράγμασι. διὸ καὶ δίκην μετρίαν ταύτης τῆς τόλμης ἐπὶ τοῦ παρόντος δεδώκασιν, ἀνὰ πᾶσαν τὴν οἰκουμένην τὸ ἑαυτῶν διεσπαρμένον θεασάμενοι γένος. ὕστερον γὰρ αὐτοῖς ἡ τελεία ἐπαχθήσεται δίκη, ὅτε τὸ πάνδημον μέλλει συγκροτεῖσθαι κριτήριον, καὶ αὐτοὶ δὲ τῷ δέοντι καιρῷ τὰς ἀξίας παρὰ τοῦ αὐτοῦ ἀπαιτηθήσονται δίκας. τοῦτο τί οὖν ἐστι, δι᾽ ὃ πάντα ταῦτα ὑμῖν 5
τούτους παρεθέμην τοὺς λόγους; βούλομαι γὰρ πάλιν τῆς ἀκολουθίας γενέσθαι. οὐ τολμᾷ οὔτε αἱρετικὸς, οὔτε Ιουδαῖος εἰπεῖν, ὅτι μία εἰκὼν καὶ ὁμοίωσις Θεοῦ καὶ ἀγγέλων. μὴ γὰρ ἄγγελοι τῶν γενομένων συνεργοὶ ἦσαν τοῦ Θεοῦ; λειτουργοὶ μόνον, ὑμνοῦντες, δοξολογοῦντες, εἰδότες ὅτι ἐγένοντο, καὶ ἑστήκασι θεωροὶ, βλέποντες τὰ γενόμενα μετ᾽ αὐτούς. ἔβλεπον οὐρανὸν ἐκ τοῦ μὴ ὄντος γενόμενον, καὶ ἐξεπλήττοντο· θάλασσαν ἀφοριζομένην, καὶ ἐθαύμαζον· ἐθεώρουν γῆν κοσμουμένην, καὶ ἔφριττον. ὅτι δὲ οὐκ ἦσαν ἄγγελοι συνεργοὶ, ἀλλὰ θαυμασταὶ, 10
λέγει ὁ Θεὸς πρὸς τὸν Ιώβ· Οτε ἐποίησα ἄστρα, ᾔνεσάν με πάντες ἄγγελοι, καὶ ὕμνησαν. [Ιωβ. λη. ζ.]
ποιήσωμεν ἄνθρωπον. τὸ ῥῆμα δηλοῖ τὸν λέγοντα καὶ τὸν ἀκούοντα. ὅρα τῆς ὀρθοδόξου πίστεως τὴν ἀκτῖνα λάμπουσαν ἀεὶ, καὶ ἥλιος φαίνων τὴν ἑαυτοῦ ἀκτῖνα συνῆψε. ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν. ἐφύλαξε καὶ τῶν ὑποστάσεων τὴν 15
τάξιν, καὶ τῆς οὐσίας τὸ μονοειδές. ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα· οὐ κατ᾽ εἰκόνας. ἄλλη γὰρ εἰκὼν πατρὸς, καὶ ἄλλη υἱοῦ. ποιήσωμεν, ἵνα τὸ πληθυντικὸν τῶν ὑποστάσεων δείξῃ· κατ᾽ εἰκόνα ἡμετέραν, ἵνα τὸ ὁμοούσιον ἑρμηνεύσῃ. καὶ τίς ἐστι τούτου τοῦ μεγάλου λόγου καὶ τῆς θαυμαστῆς δημιουργίας κοινωνός; Ιουδαῖοι ἀντιλέγουσι, καὶ ἐπιστομιζόμενοι αἰσχύνουσιν· αἱρετικοὶ μαίνονται, ἡ ἀλήθεια πολεμεῖται, ὁ τῆς εὐσεβείας λόγος ἀήττητον ἔχει τὴν 20
ὁμολογίαν. πόθεν οὖν παραστήσωμεν, τίνι εἶπε, ποιήσωμεν ἄνθρωπον, ἢ τίς ἐστιν αὐτοῦ σύμβουλος; τὸ γὰρ, ποιήσωμεν, ἔχει ἀπαρτὶ συμβούλου. λέγει τοίνυν ὁ μακάριος Ησαΐας περὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ τοῦ δι᾽ ἡμᾶς σχήματι τῷ καθ᾽ ἡμᾶς ἐπιδημήσαντι,
Οτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ νεανίσκος ἐδόθη. τὸ μὴ ὂν παιδίον ἐγεννήθη, ὁ δὲ ὢν υἱὸς [Ησ. θ. ς.]
ἐδόθη. καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος· τοῦ παιδίου, υἱοῦ μὲν διὰ 25
τὴν θεότητα, παιδίου δὲ διὰ τὴν ἀνθρωπότητα. μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος. εἰ δὲ τὸν σύμβουλον, ᾧ εἶπε, ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμετέραν, καλεῖς βουλῆς ἄγγελον μεγάλης, οὐδέπω, προφῆτα, ἐμήνυσας τὸ ἀξίωμα τοῦ παρὰ σοῦ κηρυσσομένου συμβούλου. ἐγίνετο γὰρ καὶ Μωϋσῆς σύμβουλος. ἐδόκει
γὰρ συμβουλεύειν λέγων· Μὴ ἀποκτείνῃς αὐτοὺς, μήποτε εἴπωσι τὰ ἔθνη, διὰ τὸ μὴ δύνασθαι 30
αὐτοὺς εἰσαγαγεῖν, ἀπέκτεινεν αὐτούς. ἀλλὰ μὴ στήσῃς τὸ θαῦμα μέχρι τοῦ συμβούλου, μὴ κοινοποιήσῃς τὸ ὄνομα· εἰ καὶ πολλοὶ σύμβουλοι, μὴ ὑβριζέσθω ὁ μόνος. ἀλλ᾽ οὐδέπω ἐνόησας, φησὶ, τὸ ἀξίωμα τοῦ κηρυττομένου. ἄκουε περὶ τοῦ θαυμαστοῦ συμβούλου. ἑρμηνεύει γὰρ Ησαΐας ἀπὸ τοῦ προεξελθόντος τὸ ἐσόμενον. θαυμαστὸς, φησὶ, σύμβουλος, Θεὸς ἰσχυρός. καλῶς προσέθηκε τῷ Θεῷ τὸ ἰσχυρόν. διὰ τί; ὥσπερ γὰρ ἐγένοντο πολλοὶ σύμβουλοι, καὶ οὐ διὰ τοῦτο ἔδει 35
προσθεῖναι τὸ ἀξίωμα τοῦ ἑνὸς συμβούλου· οὕτως ἐπειδὴ πολλοὶ ἐγένοντο θεοὶ (Εγὼ γὰρ εἶπον, θεοί [Ψαλ. πα. ς.]
ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ πάλιν, Εἶπεν ὁ Θεὸς τῷ Μωϋσῇ, ἰδοὺ τέθεικά σε εἰς Θεὸν τῷ [Εξοδ. ζ α.]
Φαραὼ) οὕτως ὁ κηρυττόμενος οὐκ ὤφειλεν ὑβρισθῆναι. καὶ ἵνα μὴ νομίσῃς ὅτι Θεὸς, ὡς ὁ Μωϋσῆς, ἢ ὡς οἱ ἀπόστολοι, ἐπήγαγε, Θεὸς ἰσχυρός. Μωϋσῆς Θεὸς, οὐκ ἰσχυρὸς, ἀλλ᾽ ἐνισχυόμενος. ἄλλο ἐστὶν ἐνισχυόμενος, ἄλλο ἰσχυρός· ἄλλο δωρεῖζων χάριν, ἄλλο λαμβάνων. 40
οὗτος Θεὸς ἰσχυρὸς, Μωϋσῆς Θεὸς ἐνισχυόμενος· κἂν μεγάλων ᾖ θαυμάτων ἐργάτης, ἀλλὰ λαμβάνει τὴν χάριν. ὑπεξούσιοι οἱ ἀπόστολοι, ἐξουσιαστὴς ὁ σωτὴρ, καὶ δίδωσι. Θεὸς ἰσχυρός. οὐκ ἠρκέσθη δὲ οὐδὲ τούτῳ, ἀλλ᾽ ἐπάγει, ὁ ἐξουσιαστὴς, ἵνα παιδεύσῃ καὶ ἡμᾶς καὶ αἱρετικοὺς, μὴ ὑπεξούσιον λέγειν τὸν τῆς ἐξουσίας ἄρχοντα. ἄλλο ὑπεξούσιος, ἄλλο ἐξουσιαστής.

στής. θέλεις μαθεῖν αὐτεξουσίου καὶ ὑπεξουσίου διαφοράν; οἱ ἀπόστολοι ὑπεξούσιοι, ὁ
σωτὴρ ἐξουσιαστής. Παῦλος εἶδεν ἐν τῇ Μακεδονίᾳ παιδίσκην ἔχουσαν πνεῦμα πύθωνος,
καὶ λέγουσαν ἐπὶ πάντων, Οὗτοι οἱ ἄνθρωποι, δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί. διαπονηθεὶς (Πράξ. ιϛ. ιζ.)
δὲ ὁ Παῦλος καὶ ἐπιστρέψας, εἶπε τῷ πνεύματι, οὐ τῇ ἐνεργουμένῃ, ἀλλὰ τῷ ἐνεργοῦντι,
5 παραγγέλλω σοι ἐν ὀνόματι Κυρίου Ἰησοῦ ἐξελθεῖν ἀπ' αὐτῆς. καλεῖ Κύριον, ἵνα δείξῃ
ἑαυτὸν δοῦλον. ἐπειδὴ δὲ θαῦμα ἦν ὑπὲρ ἄνθρωπον, τὸ δαίμονας ὑπακούειν ἀνθρώποις,
ἵνα μὴ ὄφις ἁρπάσῃ τὴν φωνὴν, καὶ νομισθῶσιν [ὡς] θεοὶ οἱ τοῦ Θεοῦ ὑπηρέται, παραγγέλ-
λω σοί, φησιν, ἐν τῷ ὀνόματι τοῦ Κυρίου. δούλου τὸ παραγγέλλειν, δεσπότου τὸ ἐξουσιάζειν.
εἶδες οἰκέτην παραγγέλλοντα, βλέπε δεσπότην ἐπιτάσσοντα. προσηνέχθη τις τῷ δεσπό-
10 τῇ δαιμονιῶν, κωφὸς καὶ ἄλαλος. οὐκ εἶπεν ὁ δεσπότης, παραγγέλλω σοι τὸ ἄλαλον καὶ
κωφὸν δαιμόνιον, ἀλλ', Ἐγώ σοι ἐπιτάσσω. τὸ παράγγελμα Παύλου, τοῦ ἐξουσιαστοῦ τὸ ἐπι- (Μαρκ. θ. κε.)
τάσσειν· ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἀπ' αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς. ὑπήκουσεν ὁ δαί-
μων· ἐπέγνω γὰρ τὴν ἐξουσίαν. λεγέτω ὁ μακάριος Ἰεζεκιὴλ πρὸς τὴν αἱρετικὴν συν-
αγωγὴν, Ζῶ ἐγὼ, λέγει Κύριος, ἐδικαιώθη ἡ ἀδελφή σου Σόδομα ὑπὲρ σέ. καὶ τί ἐστιν, ὃ (Ἰεζ. ιϛ. μζ. ν.)
15 λέγει; ἐὰν γὰρ μὴ μάθῃς ὃ λέγει, οὐ δύνῃ ἐφοδιασθῆναι πρὸς τὴν τῆς θεωρίας "κατά-
ληψιν. οἱ Σοδομῖται ἀπειρημένοι καὶ ἀπηγορευμένοι" τυγχάνοντες. παρανομίᾳ γὰρ συν-
ίζων· διὸ καὶ θεηλάτῳ κατηναλώθησαν πυρί. καὶ τὴν Ἱερουσαλὴμ μετὰ τὴν ἐκείνων ἀναί-
ρεσιν καὶ τῆς πόλεως αὐτῶν τὴν πυρπόλησιν, μετὰ πολλὰς γενεὰς, ἀνθοῦσαν μὲν τῇ ὄψει, τῇ δὲ
κακίᾳ μείζονα ποιοῦσαν. ὅτε τοίνυν τὴν τῶν Σοδόμων ὑπερέβησαν οὗτοι κακίαν, ὄμνυσιν ὁ
20 Θεὸς διὰ τοῦ Ἰεζεκιὴλ λέγων οὕτω· Ζῶ ἐγὼ ἀδωναΐ, λέγει Κύριος, εἰπὲ πρὸς τὴν ἀ- (Ἰεζ. ιϛ. μζ. ν.)
σύνθετον τὴν θυγατέρα Ἱερουσαλὴμ, οὐχ ἥμαρτεν ἡ ἀδελφή σου Σόδομα κατὰ τὰ ἡμίσεα τῶν (καὶ Ἱερ. γ. ι. ια.)
ἁμαρτιῶν σου· καὶ ἐδικαιώθη Σόδομα ἐκ σοῦ· ἀντὶ τοῦ, πρὸς σύγκρισιν σὴν Σόδομα δικαία ἐστίν.
διὸ εἴ τις ἐλέγχῃ αἱρετικοῖς, ἐδικαιώθησαν καὶ οἱ Ἰουδαῖοι ἀπὸ τῆς ὑπερβολῆς τῆς κατὰ τοὺς αἱρετι-
κοὺς μανίας· ἐδικαιώθησαν δαίμονες, ὅτι οἱ μὲν υἱὸν Θεοῦ λέγουσιν, οἱ δὲ ποίημα. ἐδικαιώ-
25 θη Σόδομα ἐκ σοῦ. ζητῶ δὲ ἐν παραδόξῳ τὴν αἰτίαν, δι' ἣν οἱ τὰ Σοδομιτῶν πράξαν-
τες οὐκ ἀπώλοντο, ὡς Σοδομῖται· μᾶλλον δὲ, εἰ ἐδιπλασίασαν τὰ ἁμαρτήματα, διὰ τί μὴ
ἠρημώθησαν ὡς ἐκεῖνοι; ὁ Θεὸς οὐ μόνον ἔβλεπε τὴν τῶν Ἰουδαίων ἀκμάζουσαν ἀσέβειαν, ἀλ-
λὰ καὶ τὴν μετὰ ταῦτα τῶν πιστῶν εὐσέβειαν. προῄδει ὅτι ἔμελλε προϊέναι ἐκ τῆς Ἰου-
δαίας ἡ ἁγία θεοτόκος παρθένος, προεώρα τὸν χορὸν τῶν ἀποστόλων, προέβλεπε τὰ τάγμα-
30 τα τῶν ὁμολογητῶν, τὰς μυριάδας τῶν Ἰουδαίων τῶν μελλόντων πιστεύειν. ὅτε γὰρ ἀ-
νῆλθεν ὁ Παῦλος εἰς Ἱερουσαλὴμ, λέγουσιν οἱ ἀπόστολοι, Θεωρεῖς, ἀδελφὲ Παῦλε, (Πράξ. κα. κ.)
πόσαι μυριάδες εἰσὶ τῶν πιστευσάντων Ἰουδαίων; προειδὼς οὖν τοὺς" πιστεύοντας, ἐφεί-
σατο τῶν ἀπιστησάντων, οὐ δι' ἐκείνους, ἀλλὰ διὰ τὸν ἐξ αὐτῶν μέλλοντα τίκτεσθαι καρ-
πόν. καὶ μαρτυρεῖ Ἡσαΐας· Καὶ εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς (Ἡσ. α. θ.)
35 Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. ἀλλ' ἆρα μὴ ἡμεῖς ἐβιασάμεθα
τὸ ῥῆμα, καὶ περὶ ἄλλου εἶπεν Ἡσαΐας; ἀλλὰ ἄκουε ταῦτα Παύλου τοῦ τῶν προφητῶν
ἀδελφοῦ καὶ ἑρμηνέως λέγοντος· Ἀδελφοὶ, νῦν λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν, ἵνα (Ῥωμ. ια. ε.)
σωθῇ τὸ κατάλειμμα· καὶ καθὼς εἶπεν Ἡσαΐας, εἰ μὴ Κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν (Ῥωμ. θ. κθ.)
σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν." ἅπαντα γὰρ προεῖδεν ὁ Θεός, καὶ οὐχ ὡς ἡμεῖς χρόνῳ
40 διδασκόμεθα τὰ πράγματα, οὕτω καὶ ὁ Θεὸς διὰ τῆς πείρας μανθάνει· πάλιν λέγω, ὡς
πολλάκις εἶπον, τὰ τέλη τῶν αἰώνων ἔβλεπε. τὸν Ἀδὰμ εἶδεν ἁμαρτάνοντα· προεώ-
ρα καὶ τοὺς ἐξ αὐτοῦ μέλλοντας δικαίους. ἔβλεπεν αὐτὸν ἐκβαλλόμενον τοῦ παραδείσου, ἀλλὰ
προεώρα ἡτοιμάσθαι αὐτῷ βασίλειον τὸ θαυμαστόν. πρὸ τοῦ παραδείσου ἡ βασιλεία ἐ-
γένετο. θαυμάζεις ὅτι Ἀδὰμ ἐξεβλήθη τοῦ παραδείσου; θαύμασον, ὅτι πρὸ τοῦ παρα-

Ματθ. κε. λδ. δεῖσοῦ ἡ βασιλεία τῶν οὐρανῶν αὐτῷ ἡτοίμαστο. λέγει ὁ σωτήρ· Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ἀμφεζήτουσαν αἱρετικοὶ τὰ ἡτοιμασμένα" τοῖς ἁγίοις πρὸ καταβολῆς κόσμου· καὶ "ὁ υἱὸς ἦν ποτε ὅτε οὐκ ἦν. ῥήματι ὁμολογοῦσι μονογενῆ, ἐπειδὴ ἀπαλεῖψαι τὸ "γράμμα οὐ δύνανται. τὸ ῥῆμα χαρίζονται, καὶ τὸ "πρᾶγμα κλέπτουσιν. ἐὰν εἴπωμεν μονογενῆ υἱόν, εὐθέως λέγουσι, γέγραπται καὶ πρωτότοκος πάσης τῆς οἰκουμένης. οὐκοῦν κατὰ τοὺς αἱρετικοὺς τὰ δύο μάχεται. εἰ γὰρ πρωτότοκος, οὐ μονογενής. ὁ γὰρ πρωτότοκος ὅταν ἀδελφοὺς ἔχῃ, πρωτότοκος λέγεται· ὁ δὲ μονογενὴς ἐὰν ἀδελφοὺς ἔχῃ, μονογενὴς οὐ λέγεται. μονογενὴς γάρ ἐστιν ὁ μόνος ἔκ τινος γεννηθείς, καθὼς καὶ ἡ γραφὴ μαρτυρεῖ πρὸς τὸν Ἀβραὰμ λέγουσα, *Γεν. κβ. β.* Λάβε τὸν υἱόν σου τὸν μονογενῆ. πρωτότοκος λέγεται ὁ ἀδελφοὺς ἔχων· πρωτεύει γὰρ τῷ γενέσθαι πρῶτος· ὁ δὲ μονογενής, τῷ μὴ ἔχειν ἀδελφοὺς λέγεται μονογενής. καὶ ἑτέρως δὲ μονογενής ἐστιν, ὁ μονογενὴς ἔκ τινος γεννηθείς· οὐχ ὁ μόνος γενόμενος, ὡς ῥαδιουργοῦσιν αἱρετικοί, μονογενής, ὅτι μόνος ἐγένετο τοιοῦτος. οὐκοῦν καὶ Ἠλίας μονογενής, ὅτι μόνος τοιοῦτος· ἴσως οὐκ ἔχει λόγον· ἀλλὰ μονογενῆ ἔθος λέγειν τῇ γραφῇ, τὸν μόνον ἔκ τινος γεννηθέντα, κατὰ τὴν παραδοθεῖσαν ἀπόδειξιν τῷ ῥήματι. πρόσεχε. ὁ πρωτότοκος ἐὰν ἀδελφοὺς μὴ ἔχῃ, μονογενής ἐστιν· ἐγὼ οὐχ ἕνα, οὐ δύο, οὐ τρεῖς, ἀλλὰ πολλοὺς πρωτοτόκους εὑρίσκω. ξένον πρᾶγμα· πρωτότοκοι πῶς πολλοί; εἷς γὰρ ὀφείλει εἶναι. ἐξέτασια τῶν λόγων διά· τὸν πρωτότοκον καὶ τὸν μονογενῆ· λύωμεν δὲ τὸ ἄπορον. τὸν πρῶτον πιστεύοντα Θεὸς ἐν τῇ ἰδίᾳ γενεᾷ πρωτότοκον καλεῖ, οὐχ ὡς πρῶτον ἄλλων πιστῶν, ἀλλ' ἐν τοῖς ἰδίοις χρόνοις πρῶτον φανέντα. οἷον, ἐν Αἰγύπτῳ ἦν ὁ λαός· λέγει ὁ Θεὸς διὰ Μωϋσέως, *Ἐξοδ. δ. κβ. κγ.* Υἱὸς πρωτότοκός μου Ἰσραήλ· "Εἶπα δέ σοι, ἐξαπόστειλόν μοι τὸν λαόν μου. ἰδοὺ λαὸς πρωτότοκος, ἐπειδὴ ἐν τῷ καιρῷ ἐκείνῳ πρωτότοκος ἦν λαός, ἐπιγνωκὼς τὸν Θεόν. ἀνέκυψε μετὰ ταῦτα Δαβίδ, μετὰ τὸν νόμον, μετὰ πολλὰς γενεάς, καὶ ἐπαγγέλλεται λέγων ὁ Θεὸς ἐκ τοῦ σπέρματος αὐτοῦ τὸν Χριστὸν ἀναστήσειν, καὶ λέγει οὕτως· *Ψαλ. πη. κ. κζ.* Εὗρον Δαβὶδ τὸν δοῦλόν μου· ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σύ. κἀγὼ πρωτότοκον θήσομαι αὐτόν. εἰ δὲ πρωτότοκος ὁ Δαβίδ, πρωτότοκος καὶ ὁ λαός, ὁ Ἀδὰμ πρωτότοκος ἐν τῇ ἰδίᾳ γενεᾷ, Νῶε, Σὴμ πρωτότοκοι· Ἀβραὰμ πρωτότοκος ἐν τῇ ἰδίᾳ γενεᾷ, Μωϋσῆς, Ἠσαΐας, ἐπειδὴ κατὰ τοὺς ἑαυτῶν χρόνους προέκυψαν εἰς εὐσέβειαν, ἐκ τούτων πολλῶν πρωτοτόκων συνήχθη μεγάλη ἐκκλησία καὶ ἔστιν ἐν οὐρανῷ. μαρτυρεῖ Παῦλος· *Ἑβρ. ιβ. κβ.* Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλήμ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. ἐκείνων τῶν πρωτοτόκων εἷς ἐστι κατὰ σάρκα Χριστός, κατὰ τὴν θεότητα μονογενής. ἐπειδὴ γὰρ τοὺς ἐν ἑκάστῃ γενεᾷ προκόπτοντας προσλαμβάνεται, μετὰ πάντων καὶ αὐτὸς πρωτότοκος λέγεται. διὰ τοῦτο λέγει Παῦλος, Πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς. ἀλλ' ἔνι περὶ τοῦ ἀνθρώπου πολλὰ εἰπεῖν· τηρεῖται δὲ τὸ διήγημα τῇ ἑξῆς, τῇ ἕκτῃ ἡμέρᾳ, ἐν ᾗ καὶ ἐπλάσθη· ἵνα, τῆς τοῦ Θεοῦ χάριτος συνεργούσης, ἐντελέστερον σαφηνισθῇ κατὰ δύναμιν τὴν ἡμετέραν ὁ λόγος, οὐκ ἐξ ὧν "παιδευόμεθα. κοινὴ γὰρ ἡ πηγή, κοινὰ πάντα τὰ προκείμενα δῶρα, ἐὰν μόνον θέλωμεν ἡμεῖς μετὰ πάσης προθυμίας σπουδάζειν.

ΗΘΙΚΟΝ

Τρέψωμεν δὲ τὸν λόγον ἐπὶ τὴν τῶν ἠθῶν ἐπιμέλειαν. χθὲς ἐδείχθη πῶς δεῖ εἶναι ἔπαρσιν χειρῶν πεπαρρησιασμένων ἐν εὐσεβείᾳ. ὁ διδοὺς πένησι λεγέτω, ἔπαρσις τῶν χειρῶν μου· ὁ ἐγείρων πεσόντα λεγέτω, ἔπαρσις τῶν χειρῶν μου. ζητήσωμεν δὲ τὸ προοίμιον τοῦ ψαλμοῦ, ἐπειδὴ ἃ ψάλλομεν, πάντως εἰδέναι χρή. διὰ τί λέγομεν, *Ψαλ. ρμ. β.* Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου; "πᾶν γὰρ θυμίαμα κατευθύνεται. οὐ γὰρ Θεὸς εὐωδίᾳ τέρπεται μύρων. τί οὖν ἐστι, κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα

ἐνώπιον

ἐνώπιόν σου; ποῖον θυμίαμα; δύο ἦν θυσιαστήρια ἐν τῇ σκηνῇ· ἓν ἐν τῇ αὐλῇ ἔξω ἐν τῷ ὑπαίθρῳ· ἕτερον δὲ εἰς τὰ ἅγια ὑπὸ στέγην. τὸ ἔσω θυσιαστήριον, θυμιαμάτων ἦν μόνον, οὐχ αἱμάτων χύσεως· τὸ δὲ ἔξω θυσιαστήριον, τῶν θυομένων ζώων καὶ ἄρτων προσφορᾶς καὶ τινων ἄλλων. καὶ τὸν μὲν ἔξω βωμὸν κελεύει ὁ Θεὸς τῷ Μωϋσῇ ἐκ λίθων ἀπελεκήτων ποιῆσαι, τὸν δὲ ἔνδον ἐν τῇ σκηνῇ ἐκ χρυσίου περιτορνευμένον. τί αἰνίττεται ἡ τοῦ Θεοῦ χάρις διὰ τούτων, ἀναγκαῖον ζητῆσαι. δύο λαοὺς ὑπηρετουμένους τῇ τοῦ Θεοῦ δόξῃ· καὶ τὸν μὲν, ἀπαίδευτον λαὸν, τὸν δὲ, πεπαιδευμένον. ὁ περὶ λέξιν σολοικίζων, ἢ βαρβαρίζων, τοὺς λόγους ἔχει λίθους ἀπελεκήτους· ἀλλ' ὅμως εἰς τὸ θυσιαστήριον προσχωροῦνται. πάλιν τετορνευμένος χρυσὸς, ὁ ἔντιμος λέγεται λόγος. καὶ οὔτε οὗτος ὑφαιρεῖται, οὔτε οὗτος ἐκβάλλεται. καὶ γὰρ ἐκεῖ Θεοῦ θυσιαστήριον, καὶ ἐνταῦθα Θεοῦ θυσιαστήριον. ἦν δὲ ἐκ τεσσάρων εἰδῶν συγκείμενον τὸ μύρον· στακτῆς, ὄνυχος, χαλβάνης, λιβάνου. ἐπεὶ οὖν τὸ μύρον ἐκ διαφόρων σύγκειται, καὶ ἡ ἀρετὴ δὲ ἐκ διαφόρων, φησί· Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ὡς ἐκεῖνο τὸ ἐκ πολλῶν συγκείμενον, καὶ εἰς μίαν εὐωδίαν ἀποτελούμενον. ἐπὰν μετὰ τῆς εὐχῆς εἰσέρχεταί τις νηστείαν ἔχων, ἐλεημοσύνην, πίστιν, ἀπεικασθήτω, φησὶν, ἡ τετραπλῆ ἀρετὴ ἐκείνῳ τῷ θυμιάματι τῷ ἐνώπιόν σου κατευθύνοντι. οὕτω καὶ ὁ μακάριος Δαβὶδ ἀλλαχοῦ· Ἰδοὺ δὴ, φησὶ, τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών. ἀπεικάζει τὴν ἀγάπην μύρῳ ἱερατικῷ, τὴν εὐχὴν θυμιάματι ἱερατικῷ. ἔχεις τὴν σωφροσύνην; ἀδελφὸς εἶ τοῦ ἱερέως. ἱερωσύνην (φέρε εἰπεῖν) οὐκ ἔχω, σωφροσύνην ἔχω. ἀδελφή ἐστιν ἡ ἐμὴ σωφροσύνη τῆς σῆς ἱερωσύνης. πόθεν τοῦτο; καὶ γὰρ ἐκεῖνον ἁγνὸν δεῖ εἶναι τὸν ἱερουργοῦντα, καὶ ἐμὲ ἁγνὸν τὸν λατρεύοντα· ἐὰν ἔχω σωφροσύνην, λαμβάνω ἱερωσύνην. πόθεν τοῦτο; Δαβὶδ φεύγων τὸν Σαοὺλ, ἦλθε πρὸς Ἀβιάθαρ τὸν ἀρχιερέα, καὶ λέγει αὐτῷ, Δός μοι ἄρτους· ἐπειδὴ ἐξαίφνης ἀπεστάλην παρὰ βασιλέως, ἐφόδια οὐκ ἔχω. λέγει ὁ ἀρχιερεὺς ὁ τῶν νόμων ἔμπειρος· οὐκ ἔστιν ἡμῖν ἄρτος ἄλλος, ἀλλ' ἢ ἅγιος, ὃν οὐκ ἐξὸν ἄλλῳ φαγεῖν, ἀλλ' ἢ τῷ ἱερεῖ. ἐπεὶ οὖν ἔβλεπε τὴν ἀνάγκην, ἐφοβεῖτο δὲ τοὺς τῆς προθέσεως ἄρτους προδοῦναι, ζητεῖ παρὰ τῶν μὴ ὄντων ἱερέων καθαρότητα, καὶ λέγει· Εἰ ἔστι τὰ παιδάρια τὰ μετὰ σοῦ καθαρὰ ἀπὸ γυναικὸς, λάβε. τὴν γὰρ σωφροσύνην, ἀδελφὴν τῆς ἱερωσύνης ἡγεῖτο. καὶ ἵνα μή τις εἰς διαβολὴν τοῦ ἱερέως ἐκλάβοι τὸ ἐκδοῦναι τοὺς ἄρτους τοῖς μὴ οὖσιν ἱερεῦσιν, ἄκουε πῶς ὁ σωτὴρ, ὡς καλῶς αὐτοῦ γεγονότος, μνημονεύει. ἐνεκάλουν τοῖς ἀποστόλοις ποτὲ Ἰουδαῖοι, ὅτι στάχυας τίλλουσι, καὶ ψώχοντες ταῖς χερσὶν ἐσθίουσι. λέγει αὐτοῖς ὁ σωτήρ· Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαβὶδ ὅτε ἐπείνασε, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν φαγεῖν, οὔτε αὐτῷ, οὔτε τοῖς μετ' αὐτοῦ, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις; εἶδες ἀδελφὴν ἱερωσύνης σωφροσύνην; εἶδες πῶς ὁ Θεὸς οὐ πρόσωπα βλέπει, ἀλλὰ ἀλήθειαν δοκιμάζει; παρασκευασώμεθα τοίνυν πρὸς εὐποιΐαν καὶ πρὸς δικαιοσύνην, ἵνα ἡ νηστεία λάβῃ πτερά. ὥσπερ γὰρ πετεινὸν ἐὰν μὴ ἔχῃ τὴν τῶν πτερύγων συνεργίαν, ἵπτασθαι οὐ δύναται· οὕτω καὶ ἡ νηστεία δύο πτερὰ ἔχει, προσευχὴν καὶ ἐλεημοσύνην, ὧν ἄνευ τρέχειν οὐ δύναται. βλέπε τὸν Κορνήλιον μετὰ τῆς νηστείας καὶ ταῦτα τὰ πτερὰ κεκτημένον. διὸ καὶ φωνῆς αὐτῷ φερομένης ἤκουσεν οὐρανόθεν· Κορνήλιε, αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν πρὸς τὸν Θεόν. ὑπόθου ζῶον εἶναι τὴν νηστείαν, ἀγαπητὲ, πτερὰ δὲ πάλιν ταύτης ἐλεημοσύνην καὶ προσευχὴν καθεστάναι, ὧν ἄνευ ταύτην ἄνω μὴ δύνασθαι τρέχειν. ὁ τοιοῦτος κἂν μὴ λαλῇ γλώττῃ μεγάλῃ, τὸ δίκαιον βοᾷ. μεγάλη γὰρ δικαιοσύνης συνήγορος ἀρετή. διὸ λέγει· Εἰσάκουσον, Κύριε, δικαιοσύνης μου. πρῶτον μὲν οὖν καὶ μέγιστον ἀγαθὸν, προσευχὴ καὶ ἐλεημοσύνη καὶ δικαιοπραγία· τὸ δὲ ἀσφαλὲς καὶ ἀσάλευτον, καὶ ῥίζα πάντων, ἡ περὶ τὸν Θεὸν γνῶσις, ἡ τοῦ μονογενοῦς

Ἐξοδ. λ. λδ.

Ψαλ. ρλβ. α.

α. Βασ. κα. α.

Λουκ. ς. α.

Πράξ. ι. δ.

Ψαλ. ις. α.

προσκύνησις, ἡ τοῦ ἁγίου πνεύματος ὁμολογία, μία πίστις, ἀδιαίρετος, ἀσφαλὴς, ἄχιστος, ἀμέριστος. Εἴρηται ὃ μέλλω λέγειν, ἀλλ᾽ ὅμως πάλιν λέγω. ὁ Θεὸς σοφὸς ὢν συνεχώρησεν ἀπὸ τῶν ἰδίων ἐξάρχων τὰς αἱρέσεις ἔχειν τὰς ἐπωνυμίας ἀπὸ τῶν ἰδίων δογμάτων, ἵνα φανῇ, ὅτι οὐ Θεοῦ δόγμα, ἀλλ᾽ ἀνθρώπων ἐστὶν εὕρεμα τὰ παρ᾽ αὐτῶν δοξαζόμενα· οἷον, Μακεδονιανοὶ ἀπὸ Μακεδονίου, Ἀρειανοὶ ἀπὸ Ἀρείου, Εὐνομιανοὶ ἀπὸ Εὐνομίου. ὁμοίως δὲ αἱ λοιπαὶ αἱρέσεις· τὴν μὲν τοι πίστιν τῶν ἀποστόλων ἀπρώτοι θέλων φυλάξαι, οὐ συνεχώρησεν αὐτοῖς ἀπὸ ἀνθρώπου ὀνομάζεσθαι. καὶ γὰρ καλοῦσιν ὁμοουσιαστὰς, οὐκ ἀνθρώπον ἑρμηνεύουσιν, ἀλλὰ τὴν πίστιν κηρύττουσιν. ὅτι γὰρ τὸ ἀπὸ ἀνθρώπων καλεῖσθαι οὐκ ἔστι πιστῶν,

α Κορ α. ια. ἀλλὰ αἱρετικῶν, λέγει Παῦλος Κορινθίοις μεμφόμενος· Ἀκούω ἐν ὑμῖν σχίσματα εἶναι. ὁ μὲν γὰρ λέγει, ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλὼ, ἐγὼ δὲ Κηφᾶ. ὁρᾷς ὅτι τὸ ἀπὸ ἀνθρώπων καλεῖσθαι, σχισμάτων ἐστίν; οὐκ ἦν ἀξιοπιστότερος Μακεδονίου Πέτρος; τὰ ὀνόματα τῶν ἀποστόλων φεύγει, παραχωροῦντα τῇ δόξῃ τοῦ Χριστοῦ· καὶ σὺ κατατέμνεις τὴν πίστιν, τὴν ἀδιαίρετον βασιλείαν, τὴν ἀμέριστον δόξαν; ἀλλὰ μέχρι τούτου. ἔχομεν γὰρ τὸν λύ-

Ψαλ. ριη. ρε. χνον καὶ τὸ φῶς. Λύχνος γὰρ τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. διὰ τί λύχνος; διὰ τί φῶς; λύχνος γὰρ τοῖς κατηχουμένοις· φῶς τοῖς τελειουμένοις. παρακαλῶ τὴν ὑμετέραν ἀγάπην, ἀχράντον ὑμῶν τὴν νηστείαν φυλάξαι, ἀμόλυντον ἀπὸ ἀδικίας, καθαρὰν ἀπὸ πλεονεξίας. βλέπε ματαιότητα τῶν περὶ τὴν ἀποχὴν τῶν βρωμάτων σχολαζόντων, καὶ τὴν ἀποχὴν τῶν ἁμαρτημάτων μὴ φροντιζόντων. οὐ πίνω, φησὶν, οἶνον, οὐκ ἐσθίω ἔλαιον, οὐ τρώγω κρέα. καλῶς· ἀληθῶς διὰ Θεὸν καλὰ καὶ ταῦτα. ἀλλὰ ζητήσωμεν τὸ πρᾶγμα. ἄρτος, ὕδωρ, οἶνος, κρέα, ἔλαιον, πάντα ταῦτα Θεοῦ δημιουργήματα· πλεονεξία δὲ καὶ ἀδικία καὶ ἀσέβεια, τοῦ διαβόλου ἔργα. τῶν ἔργων τοῦ Θεοῦ ἀφίστασαι διὰ νηστείαν, τῶν ἔργων τοῦ διαβόλου οὐκ ἀφίστασαι διὰ νηστείαν; ἄρτος καὶ οἶνος καὶ ἔλαιον, καὶ ὅσα ἄλλα,

α Τιμ δ. δ. Θεοῦ εἰσιν ἔργα, ὅλα καλὰ, καὶ καλὰ λίαν. λέγει Παῦλος· Πᾶν κτίσμα Θεοῦ καλὸν, καὶ οὐδὲν ἀπόβλητον μετ᾽ εὐχαριστίας λαμβανόμενον. ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. Εἰ οὖν εὐλογεῖται διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως, εἰ οὖν εὐλογεῖται, εἰ οὖν ἁγιάζεται, διὰ τί ἀπεχόμεθα; ἀδικίαι δὲ καὶ πλεονεξίαι καὶ τὰ τοιαῦτα, τοῦ διαβόλου ἔργα εἰσί. τῶν ἔργων τοῦ Θεοῦ ἀφίστασαι διὰ νηστείαν, καὶ τῶν ἔργων τοῦ διαβόλου οὐ χωρίζῃ δι᾽ εὐσέβειαν; καὶ μὴν, ἀδελφοὶ, κατὰ τοῦ μὴ νηστεύοντος κρίσις οὐχ ὥρισται· κατὰ δὲ τοῦ ἀδικοῦντος τιμωρίαν ἠπείλησε. τὰ ἀδιάφορα φεύγομεν, καὶ τὰ ὑπόδικα οὐ φεύγομεν; ἀγαθὸν ἡ ἐλεημοσύνη.

** τῇ μὲν γὰρ ὄψει σκορπίζομένη, τῇ δὲ ἀληθείᾳ συνάγει. τῇ γὰρ γῇ ὁμοιάζει, ἀφ᾽ ἧς ἐκδέχεται τὰ σπέρματα· οὕτως ἡ ἐλεημοσύνη δοκεῖ μὲν ἄλλοις δίδοσθαι, τῇ δὲ ἀληθείᾳ τῷ διδόντι ταμιεύεται. Ἐσκόρπισε γὰρ, φησὶν ὁ Δαβὶδ, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐ-

Ψαλ. ρια. η. τοῦ μένει εἰς τὸν αἰῶνα. οὕτω νηστεύσωμεν, οὕτω προσκυνήσωμεν, οὕτω πιστεύσωμεν, τὸν πατέρα δοξάζοντες, τὸν υἱὸν ὑμνοῦντες, τὸ ἅγιον πνεῦμα προσκυνοῦντες, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΚΟΣΜΟΠΟΙΙΑΝ. λογ. ε.

Πολλὰ μὲν καὶ μεγάλα τὰ παρὰ τοῦ φιλανθρώπου Θεοῦ τοῖς ἀνθρώποις δεδωρημένα· πρώτη δὲ αὐτοῦ καὶ μεγίστη πασῶν δωρεῶν, ἡ τῶν γραφῶν διδασκαλία. ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ πᾶς ὁ τῶν ἄστρων χορὸς, καὶ ποταμοὶ καὶ πηγαὶ καὶ λίμναι πρὸς τὴν τῶν σωμάτων θεραπείαν γεγένηνται· αἱ δὲ ἅγιαι γραφαὶ πρὸς τὴν τῶν ψυχῶν διόρθωσιν ἐδόθησαν. ὅσῳ δὲ σωμάτων αἰωτέρα ψυχὴ, τοσούτω

τῶν

τῶν ἄλλων δωρεῶν λυσιτελέστερα ἡ τῶν θείων γραφῶν*. διὰ τοῦτο λέγει ὁ σωτήρ· Ἐρευνᾶτε τὰς γραφάς, ἐν αἷς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν. ἐρευνήσωμεν τοίνυν τοὺς θησαυροὺς τῶν γραφῶν, καὶ τῆς ἐπαγγελίας ἁψώμεθα, καὶ τοῦ ἀνθρώπου τὴν δημιουργίαν κατὰ δύναμιν ἐξειπεῖν ἐπιχειρήσωμεν. μηδεὶς δὲ πάλιν μεμφέσθω τοῖς μετ' ἀκριβείας ζητουμένοις. ἴδιον γὰρ τῶν φλυαρεῖν ἐπιχειρούντων τοῦτο, τὸ μέμφεσθαι ταῖς τοῦ Θεοῦ διατάξεσι, καὶ "ἐγκαλοῦντες τοῖς μετ' ἀκριβείας λεγομένοις. ἤκουσά τινων ἐγκαλούντων ὅτι, τίς χρεία ἦν εἰπεῖν περὶ πυρὸς καὶ ὕδατος, ὅτι τρίζει τὸ πῦρ ὕδατος ἐπιβαλλομένου; ἡμεῖς, φησί, φυσιολογίαν οὐ θέλομεν μανθάνειν, ἀλλὰ θεολογίαν. δεῖ δὲ εἰδέναι ὅτι ταῦτα τὰ ῥήματα ἀργῶν ἐστι καὶ ῥαθύμων. μετὰ γὰρ τὴν θεολογίαν ἡ φυσιολογία κρηπῖδα παρέχει τῇ εὐσεβείᾳ. εἰ δὲ ἐκβάλλουσι φυσιολογίαν, ἐγκαλείτωσαν τοῖς προφήταις, μεμφέσθωσαν τοῖς ἀποστόλοις. ὁ ἀπόστολος φυσιολογεῖ· Οὐ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλ' ἄλλη μὲν σὰρξ πτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη δὲ πετεινῶν· καὶ σώματα ἐπουράνια, καὶ σώματα ἐπίγεια. διὰ τί φυσιολογεῖ Παῦλος, καὶ ἀπὸ μουσικῶν ὀργάνων ἐγκαλεῖ καὶ λέγει· Τοσαῦτα, εἰ τύχοι, γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν ἄφωνον" αὐτῶν; καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάζεται εἰς πόλεμον; εἴτε αὐλός, εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ δῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον, ἢ τὸ κιθαριζόμενον; τί κοινὸν εἶχεν ἡ Παύλου γλῶσσα πρὸς αὐλὸν καὶ κιθάραν; ἀλλὰ φυσιολογεῖ ἀπὸ τῶν φαινομένων, ἵνα παραστήσῃ τὰ νοούμενα. τίς ἦν χρεία ἐν τῇ βίβλῳ τοῦ Ἰὼβ φυσιολογηθῆναι τοσαῦτα; σθένος λέοντος, φωνὴ λεαίνης, γαυρίαμα" δρακόντων ἐσβέσθη· μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν· νεοσσοὶ δὲ γυπῶν τὰ ὑψηλὰ πέτονται. διὰ τί ἄλλος προφήτης ἔλεγεν· Ὃν τρόπον ἐὰν λάβῃ λέων, καὶ ἁρπάσῃ, καὶ βοήσῃ ἐπὶ τῇ θήρᾳ, καὶ πλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ; καὶ αὐτὸς ὁ σωτὴρ φυσιολογεῖ· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ὃ μικρότερον μέν ἐστι τῶν ἄλλων σπερμάτων, αὐξηθὲν δὲ μεῖζον πάντων τῶν λαχάνων. καὶ πάλιν· Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ, ὃς ὅταν λάβῃ τὸν σπόρον αὐτοῦ, καὶ βλαστάνῃ, καὶ μηκύνηται, ὡς οὐκ οἶδεν αὐτός. αὐτομάτη γὰρ ἡ γῆ βλαστάνει πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα σῖτον πλήρη ἐν τῷ στάχυϊ. φυσιολογεῖ καὶ τὸν οὐρανὸν ὁ σωτήρ· Ἐὰν ἴδητε, φησίν, ὁ οὐρανὸς ὑπὸ τὸν ὄρθρον πυρρός, λέγετε, εὐδία. στυγνάζει γὰρ πυρράζων ὁ οὐρανός. τίς ἦν χρεία τούτων; ταῦτα λέγω διὰ τοὺς ἀπαιδεύτως ἐγκαλεῖν ἐπιχειροῦντας. περὶ Θεοῦ κινεῖται λόγος, καὶ φεύγεις τὴν ἀκριβῆ τῶν δογμάτων ἀκρόασιν; ἐπεὶ τοίνυν πρόκειται Θεοῦ χάριτι εἰς τὴν τοῦ ἀνθρώπου δημιουργίαν εἰπεῖν, οὐ κατ' ἀξίαν τοῦ πράγματος, ἀλλὰ κατὰ δύναμιν τὴν ἡμετέραν, ἀναγκαίως εἰς τὴν ὑπόθεσιν καθήξωμεν. ἐκεκόσμητο ὁ οὐρανός, ἐστεφάνωτο τοῖς καρποῖς ἡ γῆ, διώριστο τὰ τῆς θαλάσσης ὕδατα, ἐβλάστησε βλαστήματα, προῆλθε τὰ ἄλογα ζῷα, ἐπεπλήρωτο ἡ οἰκουμένη, ἐκεκόσμητο ὁ οἶκος· ἔλειπεν ὁ οἰκοδεσπότης πάντων γενομένων. Εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν. ἐδείχθη τῇ προτεραίᾳ, τίς ἡ δύναμις τοῦ, ποιήσωμεν, τίνος ὁ λόγος, καὶ πρὸς τίνα ὁ λόγος, τίς ὁ σύμβουλος, καὶ τίνος ἡ κοινὴ σκέψις. ἀλλ' ἐπεὶ ἀπὸ τῆς γραφῆς παρεστήσαμεν σύμβουλον τῆς ἀρχαίας" συμβουλῆς τὸν υἱόν, ἐσιωπήσαμεν δὲ τοῦ ἁγίου πνεύματος τὴν δόξαν, ἵνα μὴ ἀφορμὰς δέξωνται παρὰ ἡμῶν τῶν ὑγιαινόντων οἱ τοσοῦτοι, ἀναγκαῖον εἰδέναι, ὅτι μία δόξα, μία γνώμη, εἷς λόγος ἐνεργῶν τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. εἴρηται ἐνταῦθα σύμβουλος ὁ υἱός· ἀλλαχοῦ εἴρηται, Οὐ τὴν γνῶσιν τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τὸ ἅγιον. λέγει Παῦλος, οὐδεὶς οἶδε* τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. εἰ τὸ ἐν σοὶ πνεῦμα ἀλλότριον τῆς σῆς οὐσίας, καὶ τὸ ἐν τῷ Θεῷ πνεῦμα ἀλλότριον τῆς τοῦ Θεοῦ οὐσίας. βούλεταί τι ὁ πατήρ; ἡ αὐτὴ βουλὴ καὶ υἱοῦ καὶ ἁγίου πνεύματος.

βούλεται

Ἰωαν. ε. λθ. — α. Κορ. ιε. λθ. — α. Κορ. ιδ. ι. η. ζ. — Ιωβ. δ. ι. — Ησ. λα. δ. — Ματθ. ιγ. λα. — Μαρκ. δ. κϛ. — Ματθ. ιϛ. γ. — Γεν. α. κϛ. — α. Κορ β. ια.

βούλεταί τι ὁ υἱός; ἡ αὐτὴ βουλὴ πατρὸς καὶ πνεύματος. βούλεταί τι τὸ πνεῦμα; ἡ αὐτὴ βουλὴ πατρὸς καὶ υἱοῦ. ἐγείρει ὁ πατὴρ τοὺς νεκρούς, ἐγείρει καὶ ὁ υἱός. λέγει ὁ σωτήρ· (Ἰωάν. ε. κα.) Ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. ἰδοὺ ἡ βουλὴ συνηγμένη. ποῦ οὖν ἡ βουλὴ τοῦ πνεύματος; ἄκουε. (α. Κορ. ιβ. ια.) Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. μία βασιλεία πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. μέμφεται δὲ ὁ Θεὸς καὶ τοῖς ἄνευ γνώμης Θεοῦ πειρωμένοις τι ποιεῖν. λέγει διὰ τοῦ προφήτου· (Ἡσ. λ. α.) Οὐαὶ τέκνα ἀποστάται, λέγει Κύριος, ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου. τρανῶς παριστῶν τὴν ἁγίαν τριάδα ἔλεγε Ζαχαρίας ὁ προφήτης· (Ἀγγ. β. δ. ε.) Ἰσχυέτωσαν αἱ χεῖρες Ζοροβάβελ, λέγει Κύριος, καὶ ἰσχυέτωσαν αἱ χεῖρες Ἰωσεδὲκ τοῦ ἱερέως, καὶ αἱ χεῖρες τοῦ λαοῦ· διότι ἐγὼ μεθ' ὑμῶν εἰμι, λέγει Κύριος, καὶ ὁ λόγος μου ὁ ἀγαθός, καὶ τὸ πνεῦμά μου ἐν μέσῳ ὑμῶν. ἄλλως δέ, ἀδελφοί, ἡ ἀναγέννησις ἡμῶν μαρτυρεῖ τῇ δημιουργίᾳ. εἰ μὴ ἐκοινώνησε πατρὶ καὶ υἱῷ τὸ πνεῦμα εἰς τὴν δημιουργίαν, οὐκ ἂν ἐκοινώνησεν εἰς τὴν ἀναγέννησιν. πῶς βαπτιζόμεθα; ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος. ποία μείζων ἡ ἀναγέννησις, ἢ ἡ τῆς δημιουργίας, ἢ ἡ τῆς μυσταγωγίας; ἐκεῖ ἀρχὴ ζωῆς εἰς θάνατον· ὧδε ἀρχὴ θανάτου εἰς ζωήν. πῶς τοίνυν ἐνδέχεται ἐπὶ μὲν τοῦ μείζονος κοινωνὸν εἶναι πατρὸς καὶ υἱοῦ τὸ ἅγιον πνεῦμα· ἐπὶ δὲ τῆς σωματικῆς δημιουργίας ἀποχωρίζεσθαι τῆς κοινῆς ἀξίας; οὐκ ἂν ἐκτίσθημεν, εἰ μὴ ὑπὸ τοῦ ἁγίου πνεύματος ἐμορφώθημεν· καὶ ἐπειδὴ ἐν τῇ πρώτῃ κτίσει κοινωνόν ἐστι πατρὸς καὶ υἱοῦ, ὁμοίως καὶ ἐν τῷ βαπτίσματι κοινωνὸν καὶ συνεργόν. πάλιν ἐν τῇ ἀναστάσει, οὐχ οἷόν τε ἡμᾶς ἄλλως ἀναστῆναι, εἰ μὴ πατρὸς θέλοντος, καὶ υἱοῦ συνεργοῦντος, καὶ ἁγίου πνεύματος ἐνδυναμοῦντος. ἄκουε τοῦ Κυρίου λέγοντος (καλῶς εἶπον τοῦ Κυρίου. εἰ γὰρ καὶ Παύλου ἐστὶ φωνή, ἀλλὰ τοῦ Κυρίου ἐστὶ φωνή. αὐτοῦ γάρ ἐστιν ἀκοῦσαι, (β. Κορ. ιγ. γ.) Εἰ δοκιμὴν ζητεῖτε λαβεῖν τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ) λέγει τοίνυν ὁ ἐν Παύλῳ λαλῶν· (Ῥωμ. η. θ.) Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Θεοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ· εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος τὸν Χριστὸν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν. ἐκτὸς οὖν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, οὐχ ἡ πρώτη κτίσις, οὐχ ἡ δευτέρα γέννησις, οὐχ ἡ τελευταία ἀνάστασις. ποιήσωμεν ἄνθρωπον. ἐνταῦθα λοιπὸν προησφαλισάμην τοὺς μεμφομένους. ἡ τοῦ ἀνθρώπου προσηγορία τῇ Ἑβραΐδι φωνῇ πῦρ ἑρμηνεύεται). προσέχετε, παρακαλῶ. ὁ μὲν γνησίως ἀκούων, ὡς φίλος καὶ σύντροφος ὢν τῆς ἀληθείας, σώζεται· ὁ δὲ ἐχθρωδῶς ὑπέχων τὰς ἀκοάς, οὐ ζητεῖ ἵνα ὠφεληθῇ, ἀλλ' ἵνα ἐπιλάβηται· οὐ ζητεῖ ἵνα κερδάνῃ, ἀλλ' ἵνα μέμψηται. ὁ ἄνθρωπος τῇ Ἑβραΐδι διαλέκτῳ πῦρ λέγεται, τοῦτο τὸ ὄνομα οὐκ ἐδόθη τῷ Ἀδὰμ ἀργῶς· ἀλλὰ τέσσαρά ἐστι στοιχεῖα ἐν τῷ κόσμῳ (πάλιν φυσιολογῶ, κἂν μὴ θέλωσι) γῆ, ὕδωρ, ἀήρ, πῦρ· τῶν ἄλλων στοιχείων ἕκαστον, ὡς ἔστι, μένει. οἷον, ἐὰν λάβῃς βῶλον γῆς, προσθεῖναι αὐτῷ ἀπ' αὐτοῦ τοῦ κατεχομένου οὐ δύνῃ. ἂν οὖν λάβῃς βῶλον γῆς, ὅ ἐστι μένει. ὕδωρ πάλιν ἐὰν λάβῃς μέτρῳ τινί, μένει τὸ αὐτὸ ὕδωρ, προσθήκην οὐ λαμβάνει. ἀέρος ἐὰν πληρώσῃς ἀσκόν, ἄλλον ἀσκὸν πληρῶσαι οὐ δύνασαι ἀπ' ἐκείνου. τὸ δὲ πῦρ οὐ μένει, οἷόν ἐστι. μικρὸς ἅπτεται λύχνος, καὶ μυρίας ἐξ αὐτοῦ ἀνάπτεις λαμπάδας, καμίνους ὅλας, φλόγα πολλήν· καὶ οὐ μένει ἐν τῇ ἰδίᾳ ὕλῃ, ἀλλ' ὅσην ἂν λάβῃ τὴν ὕλην, πλεονάζει τὸ πῦρ. ἐπεὶ οὖν προῄδει ὁ Θεός, ὅτι ἀπὸ ἑνὸς ἀνθρωπίνου σώματος πληροῦνται τῆς οἰκουμένης τὰ πέρατα, εἷς λύχνος τοσαύτας ἐξάπτει λαμπάδας, καὶ δύσις, καὶ ἀνατολή, καὶ ἄρκτος, καὶ μεσημβρία, ἔθηκεν ὄνομα ἄξιον τοῦ πράγματος. διὰ τοῦτο καὶ αὐτὸ τοῦ Ἀδὰμ τὸ ὄνομα ἀρραβών ἐστι τῆς οἰκουμένης. ἐπειδὴ γὰρ ἔμελλε τὰ τέσσαρα κλίματα ἐξ αὐτοῦ πληροῦσθαι, τίθησι τὸ ὄνομα τοῦ Ἀδάμ, ἄλφα

ἀνατολή,

ἀνατολή, δέλτα δύσις, ἄλφα ἄρκτος, μῦ μεσημβρία. καὶ τὸ ὄνομα, καὶ τὰ γράμματα μαρ-
τυρεῖ τῷ ἀνθρώπῳ μέλλοντι πληροῦν τὴν οἰκουμένην. καλεῖται τοίνυν τῇ Ἑβραΐδι φω-
νῇ πῦρ. ἐπεὶ τοίνυν πῦρ ἔχει τὴν προσηγορίαν, οὐκ ὀκνεῖ ἡ γραφὴ καὶ τοὺς ἀγγέλους ἀνθρώ-
πους καλεῖν. ὅτε γὰρ ἦλθον αἱ περὶ Μαρίαν εἰς τὸ μνῆμα, λέγει, Ἰδοὺ παρίστησαν αὐταῖς δύο — Λουκ. κδ. δ.
5 ἄνδρες. ἦσαν δὲ ἄγγελοι. καὶ ἄγγελοι δὲ καλοῦνται πῦρ. Ὁ ποιῶν γὰρ τοὺς ἀγγέλους αὐτοῦ πνεύ- — Ἑβρ. α. ζ.
ματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. καλεῖ αὐτοὺς ἄνδρας, ἐπειδὴ κοινὴν ἔχουσι τὴν
ἔννοιαν τοῦ ἀνθρώπου. καὶ τί θαυμάζεις; αὐτὸς ὁ Θεὸς καλεῖται πῦρ, καλεῖται ἄνθρωπος.
λέγει ὁ σωτὴρ περὶ τοῦ ἰδίου πατρός· Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὃς ἐφύτευσεν ἀμπε- — Ματθ. κα. λγ.
λῶνα, καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ, καὶ ἀπεκτάνθησαν οἱ δοῦλοι. καὶ (ἵνα συντέμω) εἶ-
10 πεν ὁ ἄνθρωπος ἐκεῖνος, ἔτι ἕνα υἱὸν ἔχω, ἀποστελῶ αὐτόν, μήποτε ἐντραπῶσι. τί βούλε-
ται ἄνθρωπος περὶ τὸ ὄνομα τοῦ θεοῦ; οὐ γὰρ εἶπε παραβολήν, οὐκ εἶπεν, ὁμοία ἐστίν,
ἀλλ', ἄνθρωπός τις ἦν. διὰ τοῦτο Μωϋσῆς· Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον· καὶ ὁ σωτὴρ — Δευτ. δ. κδ.
ἐλθὼν λέγει, Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν. λαμβάνει τοίνυν ὄνομα ἄξιον τοῦ πράγ- — Λουκ. ιβ. μθ.
ματος. ἐπειδὴ δὲ τὸ πῦρ (ὡς ἔφθην εἰπών) ἀπὸ μικροῦ μέγα γίνεται, καὶ ὁ ἄνθρωπος ἀπὸ ὀ-
15 λίγου τὰ πέρατα τῆς οἰκουμένης ἐπλήρωσεν, ἐκλήθη ὁ ἄνθρωπος πῦρ. τοῦτο διὰ τό, ποι-
ήσωμεν ἄνθρωπον. τῇ γὰρ Ἑβραΐᾳ, ποιήσωμεν πῦρ. ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡ-
μετέραν. πολλοὶ ἐνόμισαν τῶν ἀνθρώπων καὶ τῶν τὰς ψυχὰς ἀπαιδεύτων, ὅτι κατ' εἰκόνα Θεοῦ
ὁ ἄνθρωπος, ὡς τοῦ Θεοῦ ῥῖνα ἔχοντος, ἢ ὀφθαλμοὺς τοιούτους, ἢ ὦτα τοιαῦτα, ἢ στόμα τοιοῦτον.
ἐσφαλμένη δὲ καὶ ἄτοπος αὕτη ἡ διάνοια. καὶ ἔστιν αἵρεσις ἕως σήμερον ἀνθρωπόμορφον λέγουσα
20 τὸ θεῖον. ἐπειδὴ γὰρ ἤκουσαν, οἱ ὀφθαλμοὶ Κυρίου, καὶ τὰ ὦτα Κυρίου, καὶ ὠσφράνθη Κύριος, καὶ τὸ
στόμα Κυρίου ἐλάλησε, καὶ ἡ χεὶρ Κυρίου ἐποίησε, καὶ οἱ πόδες τοῦ Θεοῦ ἔστησαν, ἐμορφογράφησαν
τὸν ἀσώματον, ἀγνοοῦντες τὴν ἄτοπον ἔννοιαν. λέγει ὁ Θεός, ἵνα μάθῃς ὅτι οὐδεμίαν ἐμφέ-
ρειαν ὁ ἄνθρωπος ἔχει πρὸς τὸν Θεόν, ὅσον πρὸς τὴν σωματικὴν ὄψιν. οὐ γὰρ τὴν φωνὴν
ἀναιρῶ τὴν λέγουσαν, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα, ἀλλὰ δείκνυται πῶς κατ' εἰ-
25 κόνα λέγει ὁ Θεός. Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος. πάλιν ὁ αὐτός· Ὁ — Ἱερ. κγ. κδ.
οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ἀκολουθήσωμεν τῇ λέξει, δουλεύσωμεν — Ἡσ. ξς. α.
τῷ ῥήματι; δεῖ ἡ ἀκολουθία με ἐλέγχει. πῶς νοήσω τὸν οὐρανὸν θρόνον; ὁ θρόνος περιλαμβάνει
τὸν καθήμενον, Θεὸς δὲ οὐ περιγράφεται. οὐδέν ἐστι περὶ τὸν Θεόν, πάντα δὲ κυκλοῖ καὶ τειχίζει
ὁ Θεός. εἰ οὖν οὐρανὸν ἔχει θρόνον, πῶς μετρήσω τὸν οὐρανὸν σπιθαμῇ; πῶς δὲ καὶ κάθηται εἰς
30 τὸν οὐρανόν; ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῦ κάθηται; ἐπὶ τὸν
φαινόμενον, ἀστέρες ὑποκάτω τοῦ στερεώματος, ὕδωρ ἐπάνω. ἢ ἐπάνω κάθηται;
οὐκ ἐπάνω τῶν οὐρανῶν, ἀλλ' εἰς τὸν ἀνώτερον οὐρανόν. εἰ κάθηται, πάντως καὶ οἱ πό-
δες κρέμανται ἕως τῆς γῆς. τοιοῦτον σχῆμα περιτίθης τῷ ἀσχηματίστῳ; οὐκ ἔστιν ἀσεβὲς καὶ
τὸ οὕτω νοῆσαι; εἶτα λοιπόν, εἰ οἱ πόδες αὐτοῦ πατοῦσι τὴν γῆν, πῶς περιερχόμεθα; πῶς
35 βαδίζομεν; πῶς διερχόμεθα, μὴ συγκρούοντες αὐτοῦ τοῖς ποσί; πῶς διεμέτρησε τὸν οὐρανὸν
σπιθαμῇ; πῶς δακτύλους εἶχε μεγάλους, ἀναλόγους τῇ θεότητι; καὶ πῶς ἐν ἐκείνοις τοῖς
δακτύλοις ἔγραψε πλάκας μικρὰς δακτύλοις τοιούτοις, καὶ οὐδὲ πολλοῖς ἡμεῖς τρισὶ δακ-
τύλοις γράφομεν, τῶν ἄλλων συνεργούντων· Θεὸς ἑνὶ δακτύλῳ τὰς πλάκας συνέγρα-
ψεν. εἶδες τινα ἑνὶ δακτύλῳ γράφοντα; νοήματά ἐστι ταῦτα μᾶλλον, ἢ ῥήματα. ποιή-
40 σωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. βούλεται ἡμᾶς ὁ Θεὸς μιμητὰς αὐτοῦ εἶναι κατ'
ἀρετήν. τί ἐστι τό, κατ' εἰκόνα; Θεὸς ἅγιος· ἐὰν γενώμεθα ἅγιοι, κατ' εἰκόνα ἐσμὲν Θεοῦ.
Γίνεσθε γὰρ ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι. Θεὸς δίκαιος· ἐὰν δικαιοσύνην μετέλθωμεν, εἰ- — Λευϊτ. ιθ. β. α. Πετ. α. ις.
κὼν ἐσμὲν Θεοῦ. Δίκαιος γὰρ Κύριος, καὶ δικαιοσύνην ἠγάπησεν. ἐὰν ὦμεν φιλάνθρω- — Ψαλ. ι. η.
ποι, ἐλεήμονες, εἰκὼν ἐσμὲν τοῦ Θεοῦ. λέγει γὰρ ὁ σωτήρ· Γίνεσθε οἰκτίρμονες, ὡς ὁ πατὴρ — Λουκ. ς. λς.

ὑμῶν

ὑμῶν οἰκτείρει. Εἶδες ποῦ ἡ εἰκών; δείκνυσι καὶ Παῦλος τὴν εἰκόνα. λέγει γάρ, Ἀποδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα εἰς ἐπίγνωσιν ἀληθείας, κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Εἶδες ὅτι ταῖς ἀρεταῖς ἐπιγράφεται τό, κατ' εἰκόνα ἡμετέραν. ἐν τίνι ἡ εἰκών; ἐν τῇ ἐξουσίᾳ πάλιν· Ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν θηρίων, καὶ τῶν ἑρπετῶν, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς. ὢ τῆς τοῦ Θεοῦ ἀκολουθίας· ὢ τῆς τῶν ῥημάτων ἀκριβείας. διὰ τί πρῶτον ἐμνημόνευσεν, ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης; κατὰ τὴν τάξιν τῆς δημιουργίας ἡ τάξις τῆς δεσποτείας. ἐπειδὴ πρῶτοι ἐκ τῆς θαλάσσης ἐγένοντο ἰχθύες καὶ πετεινά, μετὰ ταῦτα δὲ ἀπὸ γῆς τὰ τετράποδα καὶ τὰ λοιπὰ κτήνη, εἰσάγει οὕτω πρῶτον τὰ πρῶτα γενόμενα. ἀρχέτωσαν τῶν ἰχθύων καὶ τῶν πετεινῶν, καὶ τότε τῶν θηρίων καὶ τῶν ἑρπετῶν καὶ τῶν κτηνῶν. ὅθεν καὶ οἱ τρεῖς παῖδες εὐλογοῦντες ἐν τῇ καμίνῳ, φυλάττουσι τὴν τάξιν· Εὐλογεῖτε θάλασσαι καὶ ποταμοὶ τὸν Κύριον· εὐλογεῖτε κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν Κύριον· εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν Κύριον· εὐλογεῖτε τὰ θηρία καὶ τὰ κτήνη· εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων. ταῦτα μὲν οὕτω καὶ ἱκανῶς ἐπιθεωρῆσαι, ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον. οὐκ εἶπεν ἁπλῶς ἐποίησεν, ἀλλ', ἔπλασε. τὸ πλάσις λέγεται ἐπὶ τῆς εὐπρεπείας. ὡς ὅταν τις θεασάμενος πρόσωπον εὔμορφον, καλὸν πλάσμα λέγει. οὐδὲν ἐποίησεν ὁ Θεὸς ἐν τῷ σώματι ἀπρεπές, ἀλλὰ καὶ πρὸς τὴν εὐπρέπειαν καὶ ἡ χρῆσις· οἷον, ὀφθαλμοὺς δύο ἔχει, καὶ χρῆσιν, καὶ εὐπρέπειαν. καὶ γὰρ βλέπει, καὶ φαιδρύνει τὸ πρόσωπον, καὶ κοσμεῖ τὴν ὄψιν, καὶ ὁρᾷ πάντα. ἡ ἀκοὴ ἔχει τὴν χρῆσιν, ἔχει τὴν ὄψιν. τὸ γὰρ περικείμενον κύμβαλον κοσμεῖ τὸ ζῶον. ὁμοίως ἡ ῥὶς ἔχει τὴν ὄσφρησιν ἀναγκαίαν· ἀλλ' ἔχει παρὰ τὰ ἄλλα ζῶα, ὥσπερ μεσότοιχον καὶ πληροῦντα τὴν εὐπρέπειαν. τοῦτο τῷ ἀνθρώπῳ ὑπάρχει. τὰ γὰρ ἄλλα ζῶα μυκτῆρας οὐκ ἔχουσιν, ἀλλὰ μίαν καθόλου τὴν θέσιν. τοῦτο δὲ διὰ τοῦτο ἔπλασεν ὁ Θεός. διὸ καὶ Δαβίδ· Ὁ φυτεύσας τὸ οὖς, οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμόν, οὐχὶ κατανοεῖ; οὕτω καὶ τὴν γλῶσσαν ἐποίησε πρὸς εὐπρέπειαν, πρὸς χρῆσιν. καὶ ἵνα δείξω σοι πολλὰ εὐπρεπῆ, ἓν εἴπω· [illegible]. ἔδωκεν ὁ Θεὸς τῷ ἀνθρώπῳ, λέγω δή, τῷ ἀνδρί, μετὰ τῶν ἄλλων καὶ μαστῶν ἁρμονίαν. ἀνδρὶ μαστὸς διὰ τί; διὰ τὴν εὐπρέπειαν. ἔστω γὰρ γυναικὶ διὰ τὸ ἀναγκαῖον τῆς φύσεως, διὰ τὴν χορηγίαν τοῦ γάλακτος· ἀνδρὶ μαστὸς διὰ τί; διὰ τὴν εὐπρέπειαν, διὰ τὴν εὐκοσμίαν. ὥσπερ γὰρ τοῖς οἰκοδομήμασι τινὰ μὲν γίνεται διὰ τὸ ἀναγκαῖον, τινὰ δὲ διὰ τὴν εὐπρέπειαν· οὕτως ὁ Θεὸς καὶ ἐκόσμησε τὸν ἄνθρωπον, καὶ πρὸς τὴν χρῆσιν ἀπήρτισεν. ἔπλασεν αὐτόν, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. μακάριαι αἱ χριστιανῶν ἐλπίδες, ἐὰν ἐπιγνῶμεν, ἃ ἀκούομεν. διὰ τί οὐκ εἶπεν, ἔλαβε βῶλον ἀπὸ τῆς γῆς; τοσοῦτον σῶμα ἔπλασε, καὶ οὐ χρείαν εἶχεν οὐδὲ βώλου, ἀλλὰ χοῦν λαμβάνει; ὁ Θεὸς προεῖδε τὰ μέλλοντα ὡς ὄντα. ἐπειδὴ προῄδει ὅτι μέλλει τελευτᾶν τὸ ζῶον, καὶ εἰς χοῦν μεταβάλλεσθαι, προλαβὼν ἐν τῇ δημιουργίᾳ ἔδειξε τὴν ἐλπίδα τῆς ἀναστάσεως. λαμβάνει χοῦν ἀπὸ τῆς γῆς, ἵν', ὅταν ἴδῃς ἐν τάφῳ χοῦν, γνῷς ὅτι ὁ ἐκεῖνο πλάσας, καὶ τοῦτο ἀνίστησιν. ἔπλασε τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς. βλέπε διαφορὰν ἀνθρώπων καὶ ἀλόγων. τὰ ἄλλα πάντα ποιῶν ὁ Θεός, ὁμοῦ πάντα ἐπήγαγε, μετὰ τοῦ σώματος καὶ τὴν ψυχήν. πρόσεχε, παρακαλῶ· ἐποίησε τὰ κτηνά, ὁμοῦ σῶμα καὶ ψυχήν. ἐξαγαγέτω ἡ γῆ ζῶα· προῆλθεν ὁμοῦ μετὰ τῶν σωμάτων καὶ ἡ ψυχή. τὸν ἄνθρωπον ποιεῖ τῷ σώματι πρῶτον, εἶτα τῇ ψυχῇ. διὰ ποίαν ἐλπίδα; οἷα ἡ πλάσις, τοιαύτη καὶ ἡ λύσις. τὰ ζῶα διὰ τοῦτο ἀνάστασιν οὐκ ἔχει, ἐπειδὴ ὡς ἐγένετο, οὕτω καὶ ἀποθνήσκει· ὁμοῦ τὸ σῶμα καὶ ἡ ψυχὴ ἀφανίζεται. τὸ σῶμα τοῦ ἀνθρώπου ἔλαβεν ἀπὸ τῆς γῆς, τὴν δὲ ψυχὴν αὐτὸς δίδωσι, κτίσας, δημιουργήσας, οὐκ ἐκ τῆς ἰδίας οὐσίας ἐκβαλών, ἵν', ὅταν ἀποθάνῃ τὸ σῶμα, ὁ ἄνθρωπος, μὴ ἀπογνῶ-

μεν

Κολασσ. γ. θ. ι.

Γεν. α. κϛ.

Ωδὴ τ. παίδ. ...

Ψαλ. ϞΓ. θ.

μένην τῆς ψυχῆς. τί γὰρ ὅτι ἐν τάφῳ ἐτάφη τὸ σῶμα; μὴ προσδοκήσῃς ἐκεῖ εἶναι τὴν ψυ-
χήν. οὐ γὰρ ἀπὸ γῆς ἐλήφθη, οὐδὲ εἰς γῆν ἀπέρχεται. ἔστησεν οὖν τὴν ἐλπίδα. διὰ
τοῦτο καὶ ἐν τῷ Ἰεζεκιὴλ προφητεύει τὴν ἀνάστασιν, οὕτω λέγων, τοῖς νεκροῖς ὀστέοις ἐγένετο
σῶμα. εἶτά φησιν, Ἐκ τεσσάρων ἀνέμων ἐλθέτω τὸ πνεῦμα, καὶ εἰσελθέτω εἰς τοὺς νεκροὺς (Ἰεζεκ. λζ. θ.)
τούτους, καὶ ζησάτωσαν. οὕτω δὲ ὁ Δαβὶδ βοᾷ· Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλεί- (Ψαλ. ργ. λ.)
ψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ
ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. εἶδες δημιουργὸν τὸ πνεῦμα, εἶδες συνεργὸν Θεοῦ;
ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. Ἐνεφύσησε. διὰ τοῦ ἐνεφύσησε, τὸ ἁπλοῦν τῆς
ψυχῆς ἔδειξε· διὰ δὲ τοῦ πολυαρμόνιος. πρόσεχε λοιπόν· ἐπειδὴ ἐπαλαιώθη ἡ δημιουργία,
ἀνακαινίζει αὐτὴν ὁ Χριστὸς ἐπὶ οἰκονομίᾳ. ἐπλάσθη Ἀδὰμ ἀπὸ γῆς· ἔπλασεν ὁ Χριστὸς τοῦ
τυφλοῦ τοὺς ὀφθαλμοὺς ἀπὸ πηλοῦ, ἵνα σὺ μάθῃς τὸν λαβόντα χοῦν ἀπὸ τῆς γῆς, καὶ πλά-
σαντα. ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ πνοὴν ζωῆς· ἐνεφύσησεν ὁ Χρι-
στὸς εἰς τὰ πρόσωπα τῶν ἀποστόλων, καὶ λέγει, Λάβετε πνεῦμα ἅγιον. ὃ ἀπώλεσεν ἐμφύ- (Ἰωάν. κ. κβ.)
σημα ὁ Ἀδάμ, ἐνταῦθα ὁ Χριστὸς ἀπέδωκε· καὶ ἐγένετο πάλιν ὁ ἄνθρωπος εἰς ψυχὴν
ζῶσαν. πρόσεχε ἐνταῦθα τῇ ἀκολουθίᾳ. εἰ γὰρ καὶ κάμνει τῆς φωνῆς τὸ ὄργανον, ἀλλὰ
τῇ συνήθει ἐλπίδι προστρέχων, καὶ ταῖς τῶν ἀδελφῶν ἱκεσίαις ὑποτείμνων, πιστεύω δο-
θῆναί μοι λόγον, οὐ διὰ τὴν ἐμὴν ἀξίαν, ἀλλὰ διὰ τὴν τῶν ἀκουόντων προθυμίαν.
εἰ καὶ ἀνάξιοι τῶν ἁγίων ἐσμέν, ἀλλ' ἔπαθον κἀκεῖνοι ταῦτα, καὶ ὑπὸ τῆς τοῦ σώματος ἀσθε-
νείας ἐνεποδίζοντο. μαρτυρεῖ Δαβὶδ λέγων· Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ (Ψαλ. ξη. δ.)
μου. βέλτιον δὲ βραγχιάζοντα λέγειν τὰ ὀρθά, ἢ ὀρθὴν ἔχοντα τὴν φωνήν, διεστραμμένην
ἔχειν τὴν ψυχήν. Ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολήν. τί ἐστιν Ἐδέμ; (Γεν. β. η.)
Ἐδὲμ ἑρμηνεύεται τρυφή, ὡς ἂν εἴποι τις, ἐφύτευσε παράδεισον ἐν τρυφῇ, ἀντὶ τοῦ, ἐν τό-
πῳ τρυφερῷ, ἐν τόπῳ καλῷ. διὰ τοῦτο, ἐπὶ τέλει λέγει· Καὶ ἐξέβαλε τὸν Ἀδάμ, καὶ κατῴ-
κισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς. ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ
κατ' ἀνατολάς. διὰ τί μὴ εἰς ἄλλο κλίμα, ἀλλὰ κατ' ἀνατολὰς ὁ παράδεισος; ὅθεν ἡ
ἀρχὴ τοῦ δρόμου τῶν φωστήρων, ἐκεῖθεν καὶ ἡ ἀρχὴ τῆς διαγωγῆς τῶν ἀνθρώπων. προ-
μηνύει ὁ Θεὸς τὸ μέλλον· κατ' ἀνατολὰς ἐν τῷ παραδείσῳ τίθησι τοὺς ἀνθρώπους, ἵνα
δείξῃ, ὅτι ὥσπερ οὗτοι οἱ φωστῆρες ἀνατέλλοντες τρέχουσιν εἰς δύσιν καὶ δύνουσιν, οὕτω καὶ τοῦτον
δεῖ ἀπὸ ζωῆς εἰς θάνατον δραμεῖν, καὶ δῦσαι κατὰ τὸν τύπον τῶν φωστήρων, καὶ ἄλλην ἀνατολὴν
πάλιν λαβεῖν ἐξ ἀναστάσεως νεκρῶν. ἔδραμεν ὁ Ἀδὰμ εἰς δύσιν, ἔδυσεν εἰς τάφον, ἠκο-
λούθησεν αὐτῷ τὰ πράγματα τῆς γῆς, καὶ συνετάφη τῷ δύσαντι. ἦλθεν ὁ Χριστός, καὶ
ἐποίησεν ἀνατεῖλαι τὸν δύσαντα. διὰ τοῦτο λέγει ὁ προφήτης περὶ αὐτοῦ· Ἰδοὺ ἀνήρ, ἀνα- (Ζαχ. ς. ιβ.)
τολὴ ὄνομα αὐτοῦ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατέλλει, τουτέστιν, ἐκ τῶν τάφων. ἐν τῷ Α-
δὰμ ἔδυσεν ὁ ἄνθρωπος, ἐν Χριστῷ ἀνέτειλε. μαρτυρεῖ Παῦλος· Ὥσπερ γὰρ ἐν τῷ Α- (α. Κορ. ιε. κβ.)
δὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται. ἔλαβεν ὁ Θε-
ὸς τὸν ἄνθρωπον, ὃν ἐποίησε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ. εἰσήνεγκεν αὐτὸν εἰς ἕτοιμον
οἶκον. ὥσπερ ὁ καλῶν τινα εἰς ἑστίασιν, πρότερον παρασκευάζει τὸν οἶκον, καὶ τότε εἰσάγει τὸν κε-
κλημένον· οὕτω καὶ ἐνταῦθα προεσκεύασεν αὐτῷ ἐνδιαίτημα ἀξιοπρεπές, τὸν παράδεισον, καὶ
οὕτως εἰσήγαγε τὸν κεκλημένον. ποῦ ἐπλάσθη; ἐν τῇ γῇ, ἔξω τοῦ παραδείσου. ὥσπερ γὰρ οἱ
φωστῆρες ἀλλαχοῦ ἐγένοντο, καὶ ἐτέθησαν ἐν τῷ οὐρανῷ· οὕτως ὁ Ἀδὰμ ἐπλάσθη ἔξω εἰς
ἄλλην γῆν, καὶ τότε εἰσηνέχθη εἰς τὸν παράδεισον. πόθεν τοῦτο; λέγει ἡ γραφὴ ἐπὶ
τέλει, ὅτι ἐξεβάλετο ὁ Ἀδάμ· καὶ ἐξαπέστειλεν ὁ Θεὸς τὸν Ἀδὰμ ἐκ τοῦ παραδεί- (Γεν. γ. κγ.)
σου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ
τῆς τρυφῆς ἐργάζεσθαι καὶ φυλάττειν τὸν παράδεισον. τί γὰρ ἔλιπεν ἐν τῷ παρα-
δείσῳ;

δείσῳ; εἰ δὲ καὶ χρεία ἦν ἐργάτου, πόθεν ἄροτρον; πόθεν τὰ ἄλλα τῆς γεωργίας ὄργανα;
ἐργάζεσθαι καὶ φυλάττειν τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ πιστεύειν τῇ ἐντολῇ, τοῦτο Θεοῦ ἔργον
ἦν. λέγει ὁ σωτήρ· Τοῦτό ἐστιν ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. ὥ-
Ιω. ϛ. κθ. σπερ οὖν τὸ πιστεῦσαι τῷ Χριστῷ, ἔργον ἐστὶν, οὕτω τὸ πιστεῦσαι τῇ ἐντολῇ, ὅτι, ἐὰν ἅψηται,
ἀποθνήσκει, ἐὰν δὲ μὴ ἅψηται, ζῇ. ἔργον ἦν τῶν πνευματικῶν λόγων ἡ τήρησις. Παύλου ἔρ- 5
γον ποῖον; μὴ γεωργὸς ἦν Παῦλος; μὴ ἐπίσημον εἶχεν ἐργασίαν; οὐ τὸ πᾶν αὐτῷ ἔργον λόγος ἦν,
α. Κορ. θ. α. οὐ κήρυγμα ἦν; καὶ λέγει τοῖς μαθηταῖς· Τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ. ἐργάζεσθαι φησὶν αὐτὸν
καὶ φυλάττειν. ἀπὸ τίνος; λῃστὴς οὐκ ἦν, ὁ προδότης οὐκ ἦν, ὁ ἐπιβουλεύων οὐκ ἦν. ἀπὸ τίνος φυ-
λάττειν; ἵνα φυλάξῃ αὐτὸν ἑαυτῷ· ἵνα μὴ παραβὰς ἀπολέσῃ αὐτὸν, ἀλλ' ἵνα τὴν ἐντολὴν φυ-
λάττων, φυλάξῃ ἑαυτῷ τὸν παράδεισον. συγκάμνει τῇ φωνῇ καὶ ἡ διάνοια, ἀλλὰ τῶν νοημάτων γε- 10
νώμεθα. ἔθηκεν αὐτὸν ἐν τῷ παραδείσῳ. λοιπὸν σκιαγραφεῖ ἡ γραφὴ τὰ μέλλοντα διὰ τῶν προ-
λαβόντων. Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Εδὲμ, ποτίζειν τὸν παράδεισον. ἀπὸ τούτου μάθε, ὅτι
οὐ κηπουρικὸς ἦν ὁ παράδεισος, μικρὸν ἔχων μέτρον. ποταμὸς τοσοῦτος ἀρδεύει, ὥστε ἀπὸ τοῦ
περισσεύματος αὐτοῦ τέσσαρας εἶναι ποταμούς. ποταμὸς δὲ ἐκπορεύεται ἐξ Εδὲμ, ποτίζειν τὸν
παράδεισον. ἐκεῖθεν μετὰ τὸ ποτίσαι μερίζεται εἰς τέσσαρας ἀρχάς· εἰς τὸν Τίγριν, εἰς 15
τὸν Νεῖλον, εἰς τὸν Εὐφράτην, εἰς τὸν ἐν τῇ γραφῇ λεγόμενον Φεισὼν, ὃν νῦν λέγουσι Δα-
νούβιν. βλέπε μέγεθος ποταμοῦ μεριζομένου εἰς τέσσαρας· καὶ ὁ τοιοῦτος μόνος ἀρδεύει τὸν
παράδεισον. διὰ τί τοιοῦτος; μόνος ἦν Αδάμ· τίς χρεία ἦν τοσούτου; ἀλλ' οὐχ ἑνὶ μόνῳ ἐ-
γένετο, ἀλλὰ τοῖς πέρασι τῆς οἰκουμένης ἡτοιμάζετο, πατριάρχαις, ἀποστόλοις, εὐαγγελι-
σταῖς, μάρτυσι, ὁμολογηταῖς, ἁγίοις, πιστοῖς, ὀρθοδόξοις, εὐσεβῶς πολιτευομένοις, πᾶσι τοῖς 20
δικαίοις. εἰ γὰρ τῷ λῃστῇ ἐν μιᾷ ὥρᾳ ὁμολογήσαντι τὸν παράδεισον ὁ σωτὴρ ἐπηγγείλατο,
Λυκ. κγ. μγ. λέγων, Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ· ὁ κοπιάσας ἐκ νέας ἡλικίας Αβραὰμ,
* * Ισαὰκ, Ιακὼβ, οἱ ἐκ τούτου πατριάρχαι, καὶ πρὸ τούτων πάντων κληρονομεῖ ὁ λῃστὴς τὸν παρά-
δεισον. ποιεῖ οὖν ὁ Θεὸς τὰ ἔργα, οὐ πρὸς τὸ φαινόμενον, ἀλλὰ πρὸς τὸ προσδοκώμενον.
διὰ τί τοσοῦτον πλάτος γῆς ἐποίησε; διὰ τὸν Αδὰμ, ἢ διὰ τοὺς νῦν κατοικοῦντας; ἐκεῖθεν 25
ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. οὐκ εἶπεν, εἰς τέσσαρα ἀπλώματα, ἀλλ', ἀρχάς,
τουτέστι, πηγάς. ὄνομα τῷ ἑνὶ Φεισὼν, ὃν ἀρτίως εἰρήκαμεν· εἶτα ὁ Γηών· οὗτός ἐστιν ὁ
Ιερ. β. ιη. Νεῖλος. Γηὼν τὸ ἀρχαῖον αὐτοῦ ὄνομα. μαρτυρεῖ Ιερεμίας λέγων· Τί σοι καὶ τῇ ὁδῷ Αἰγύ-
πτου τοῦ πιεῖν ὕδωρ Γηών; ἐνταῦθα πρόσεχε. νόμισον τοῦτον εἶναι τὸν παράδεισον. ἃ γὰρ
ὄψει μᾶλλον, ἢ λόγῳ παραδίδοται. παρέρχεται ποταμὸς πολὺς, πλούσιον ῥεῦμα ἔχων, καὶ 30
ἀρδεύων τὸν παράδεισον. ἐκεῖθεν φέρεται εἰς ὑπονομόν τι χάος, καὶ δύνει ὑπὸ γῆν ἄπειρον,
ὡς οἶδεν οὐδεὶς ὁ κτίσας δεσπότης· καὶ λανθάνει ἐπὶ πολὺ τὸ ῥεῦμα, καὶ εἰς διαφόρους τόπους
ἀναδίδοται, καὶ εὑρίσκεται ὁ μὲν εἰς τὴν Αἰθιοπίαν, ὁ δὲ εἰς δύσιν, ὁ δὲ εἰς ἀνατολὴν, τοῦ Θεοῦ
οὕτω δι' ὑπονόμων ἕλκοντος τὸ ῥεῦμα, καὶ ποιοῦντος ξένας πηγὰς τῷ πρώτῳ ποταμῷ.
διὰ τί δὲ τοῦτο; ἵνα μὴ τοῖς ἴχνεσι τῶν ποταμῶν ἀκολουθοῦντες εὕρωσι τὸν παράδεισον, ἵνα 35
μὴ ᾖ τοῖς ἀνθρώποις καταληπτός. εἰ γὰρ ἦν ὁδεῦσαι, οὐδεὶς ἂν εὗρε παρὰ τῶν πλουσίων τὸν
παράδεισον. ἀλλ' ὁ Θεὸς ἀπέκλεισε καὶ πένησι καὶ πλουσίοις, ἵνα ἀρετῇ μόνον εὕρωσι τὴν ὁ-
δόν. πόσοι ἔκαμον πατριάρχαι, προφῆται, ἅγιοι, ζητοῦντες τὸν παράδεισον, καὶ οὐχ εὗρον;
Ιω. ιδ. ϛ. ὁ λῃστὴς τὴν ὁδὸν οὐχ ὁδεύσας, ἀλλὰ πιστεύσας, ἀληθῶς εὗρε τὴν ὁδὸν, τὸν λέγοντα, Εγώ
εἰμι ἡ ὁδός· εὗρε τὸν παράδεισον ὃν ἀπέκλεισεν ἡ παρακοὴ τῷ πρώτῳ ἀνθρώπῳ. ζητῶ δὲ 40
τὴν αἰτίαν διὰ τί ὁ ἱστοριογράφος μνημονεύσας τοῦ πρώτου ποταμοῦ, εἶπεν, ὅτι Ἐκεῖ ἐστὶ τὸ
χρυσίον τὸ καλὸν, καὶ ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος. εἰ ὅλως ἐχωρογράφει τὴν οἰκου-
μένην, ἔχρην εἰπεῖν τὰ ἐν ἑκάστῃ χώρᾳ γινόμενα καλά, ποῦ σμαράγδους, ποῦ ὑακίνθους,
ποῦ τὸ τοπάζιον, ποῦ αἱ διάφοραι τῶν ὑλῶν ὕλαι· ἀλλ' ἐπιλέγεται χρυσὸν καὶ δύο λίθους,
τὰς

τὰς ἀπαρχὰς τῆς ἱερωσύνης, ἐπειδὴ ὁ ἱερεὺς ἐφόρει πέταλον χρυσοῦν, ᾧ ἐπεγέγραπτο τὸ τοῦ Θεοῦ ὄνομα· καὶ δώδεκα λίθοι ἦσαν ἐπὶ τοῦ στήθους τοῦ ἱερέως· σάρδιον, τοπάζιον, σμάραγδος, ἄνθραξ, σάπφειρος, ἴασπις, ἀχάτης, ἀμέθυστος, χρυσόλιθος, βηρύλλιος, ὀνύχιον. ἐκ τῶν δώδεκα λίθων τούτων ὁ πράσινος ἀφώρισται τῇ ἱερατικῇ φυλῇ· ὁ ἄνθραξ τῇ βασιλικῇ. διὰ τί; ἐπειδὴ πυρὸς ἴδιον τὸ καίειν καὶ φωτίζειν. καὶ βασιλέως ἴδιον εὐεργετεῖν καὶ κολάζειν. τίθησι τὸν Ῥουβὴμ τὴν πρώτην φυλὴν ἐν τῷ σαρδίῳ, τὸν Συμεὼν ἐν τῷ τοπαζίῳ, τὸν Λευῒ ἐν τῷ πρασίνῳ λίθῳ, τὸν Ἰούδαν, ἐξ οὗ ὁ Χριστὸς, ἐν τῷ ἄνθρακι τῷ πυρί. ἀμέλει Ἡσαΐας μετὰ πολλοὺς χρόνους λέγει τῇ Ἱερουσαλήμ· Ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη, καὶ ἐνώπιόν μου εἶ διαπαντός. ἰδοὺ ἑτοιμάζω ἄνθρακα τὸν λίθον σου, τὸν σωτῆρα λέγων. Ἰδοὺ γάρ, φησι, τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ. ὁ τοίνυν ἄνθραξ ἀφώρισται τῇ βασιλικῇ φυλῇ, ὁ πράσινος τῇ ἱερατικῇ· τὸ γὰρ [illegible], τῆς ἱερωσύνης. ἀπὸ τοῦ ποταμοῦ ἐκείνου ἀφορίζονται τέσσαρες πηγαὶ ποταμῶν. διὰ τί οὖν τὸ ὕδωρ αὐτῶν οὐκ ἴσον; ζητοῦσι γὰρ οἱ φιλομαθεῖς, εἰ ἀπὸ ἑνὸς ποταμοῦ, ἢ μιᾶς πηγῆς, διὰ τί μὴ μία ποιότης πάντων. τί οὖν ἐστι; μεταλαμβάνουσι τῆς γῆς, καὶ τῆς ποιότητος τῶν τόπων, δι' ὧν παρέρχονται. ὥσπερ καὶ αὐτὸ τὸ ὕδωρ μίαν μὲν ἔχει φύσιν καὶ ποιότητα· ἀλλ' ἐὰν συμβρεχῇ ἀψινθίῳ, ἄλλην ποιότητα ποιεῖ, ἐὰν ἀνήθῳ, ἄλλην, ἐὰν πηγάνῳ, ἄλλην· καὶ ἡ μὲν φύσις, μία, αἱ δὲ ὗλαι μεταποιοῦσιν· οὕτω καὶ ἐπὶ τῶν ποταμῶν· ἐπειδὴ διὰ ξένων ὁδεύουσι τόπων, ὁ μὲν διὰ γῆς ἑτέραν ἐχούσης ποιότητα, ὁ δὲ δι' ἑτέρας, ποιοῦνται τοῖς τόποις, καὶ τῇ θέσει τῶν τόπων ἐποίησε τοὺς ποταμούς. λοιπὸν ποιεῖ ἐν τῷ παραδείσῳ πᾶν δένδρον καλὸν εἰς ὅρασιν, καὶ ὡραῖον εἰς βρῶσιν. προέλαβε τοῦ παραβάτου τὴν ἀπολογίαν· ἐπειδὴ γὰρ περὶ τῆς γυναικὸς εἶπεν, Ὅτι εἶδεν ἡ γυνὴ τὸ ξύλον ὅτι καλὸν εἰς ὅρασιν, καὶ ὡραῖον εἰς βρῶσιν, ἵνα μή τις νομίσῃ ὅτι παρὰ τὰ ἄλλα ξύλα ἐκεῖνο μόνον ἦν εὐπρεπὲς, ταύτην τὴν ἀρετὴν ἐμαρτύρησε πᾶσιν, ὅτι ὡραῖα ἦν τῇ ὄψει καὶ καλὰ σφόδρα· ἵνα μάθῃς ὅτι οὐ δι' ἔνδειαν παρέβη, ἀλλ' ἀφθονίαν ἔχων ἐξετράπη. Καὶ τὸ ξύλον, φησὶ, τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. πρὸς διαφορὰ ξύλων· τὰ μὲν ἐδόθη αὐτῷ, ἵνα ζῇ, τὰ δὲ, ἵνα ἀεὶ ζῇ. εἶχεν οὖν τὸ ζῆν, ἐξ ὧν ἐπετράπη· εἶχε τὸ ἀεὶ ζῆν, ἐξ ὧν ἐκώλυσεν. ἦν γὰρ ἀεὶ ζῆσαι μὴ ἁπτόμενον μόνον ὧν οὐκ ἐκώλυσε· μὴ ἁπτόμενον δὲ ὧν ἐκώλυσε. τοῦτο ἦν ἀεὶ ζῆσαι, τῷ Θεῷ πειθαρχῆσαι. ἔκειτο τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, ὥσπερ βραβεῖον· τὸ ξύλον τῆς γνώσεως, ὡς πάλαισμα, ὡς γυμνάσιον. φυλάξας τὴν ἐντολὴν ἐπὶ τούτῳ τῷ ξύλῳ, λαμβάνεις τὸ βραβεῖον. καὶ ὅρα τὸ θαυμαστόν· ὅλα τὰ ξύλα τοῦ παραδείσου, κύκλῳ πανταχοῦ κομῶντα, πανταχοῦ βρύοντα· τὰ δύο μόνον ἐν μέσῳ, γυμνάσιον ἦν καὶ στάδιον· τὰ κύκλῳ τρυφὴ ἦν. ἀλλ' ὁ τῆς παραβάσεως καὶ τοῦ δένδρου καιρὸς ἑτέρῳ ταμιευέσθω καιρῷ· τὰ δὲ προκείμενα, ἄγει ὁ Θεὸς τὰ ζῶα ὅλα πρὸς τὸν Ἀδάμ. ἀκουέτωσαν οἱ αἱρετικοί. καὶ μὴ θαυμάσῃς, εἰ δι' ἑκάστης λέξεως καὶ δι' ἑκάστης φωνῆς ὁ πρὸς τοὺς αἱρετικοὺς ἀποτείνεται λόγος. διὰ πάσης γὰρ περιφράσεως κατηγοροῦνται οἱ κατὰ τῆς βασιλείας τῆς δεδοξασμένης ἐπαιρόμενοι. λίθος ἐκ τοῦ τοίχου βοᾷ, οὐ λέγω, λόγος ἀπὸ γραφῆς, ἰῶτα ἓν, ἢ μία κεραία οὐ παραλιμπάνει τοὺς αἱρετικοὺς ἀμέμπτους. διὰ πάντων κατηγοροῦνται οἱ τὸν πάντων δεσπότην ἀρνούμενοι. πρόσεχε τοίνυν. ἦν ἰδεῖν θέαμα ξένον, τὸν Ἀδὰμ ἐρωτῶντα, καὶ τὸν Θεὸν ὡς ὑπηρέτην προσάγοντα τῷ Ἀδάμ. ἤγαγε γὰρ ὁ Θεὸς τὰ ζῶα. ὧδε πρόσεχε μὴ τῇ λέξει, ἀλλὰ τῇ ἐννοίᾳ· ἐννόησον τὸν Θεὸν ἐρωτῶντα, καὶ τὸν Ἀδὰμ δοκιμάζοντα. προήγαγεν ὁ Θεὸς ὅλα· λέγει τῷ Ἀδάμ, φέρε εἰπεῖν, τί σοι δοκεῖ κληθῆναι τοῦτον; καλείσθω λέων. ὁ Θεὸς, φησὶν, ἐτύπωσεν. εἶτα τοῦτο τί; ταῦρος καλείσθω. καλῶς ἔταξας. ὁμοίως τῶν λεγομένων ὁ Θεὸς ἐσφράγισε. λέγει γὰρ ἡ γραφή· ἤγαγεν αὐτὰ

Ἡσ. μθ. ιϛ. καὶ νδ. ια. Ἡσ. κη. ιϛ.

πρὸς τὸν Ἀδὰμ ἰδεῖν τί καλέσει αὐτά. καὶ πᾶν ὃ ἐκάλεσεν Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ. βλέπε· ἐπειδὴ ἐποίησεν αὐτὸν κατ' εἰκόνα, ἠθέλησεν εἰς ὄψιν προσενέγκαι τὴν τιμὴν, καὶ δεῖξαι ἀληθῶς ὅτι φέρει τὴν εἰκόνα τῆς σοφίας. καὶ βλέπε τὸ θαυμαστόν. ὁ Θεὸς προετύπωσεν ἑαυτῷ τὰ ὀνόματα· ἐβούλετο δὲ δεῖξαι διὰ τῆς εἰκόνος, ὅτι σύμφωνα τοῦ Ἀδὰμ τὰ δόγματα τοῖς τοῦ Θεοῦ βουλήμασιν. ἀμέλει βουλομένη ἡ γραφὴ δεῖξαι ὅτι ταῦτα, ἃ ἔθηκεν, ὁ Θεὸς προεώρισε, φησι· Καὶ πᾶν ὃ ἐκάλεσεν Ἀδὰμ, τοῦτο ὄνομα αὐτῷ· αὐτὸ τοῦτο, προώριστο τοῦτο, ὁ Θεὸς ἐδόξασεν. ἀλλ' εἰς τὸ προκείμενον ἐπανέλθωμεν. εἱστήκει ὁ Ἀδὰμ, καὶ ὁ Θεὸς προσῆγεν αὐτῷ τὰ ζῶα, καὶ οὐχ ὑβρίζεται προσάγων τῷ δούλῳ ὁ δεσπότης. καὶ ἐὰν ἀκούσωσιν αἱρετικοὶ, ὅτι Χριστὸς ἡμᾶς προσάγει τῷ πατρὶ, εὐθέως λέγουσιν, ὁρᾷς ὅτι δοῦλός ἐστιν; ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ· εἱστήκει ὁ δοῦλος κρίνων, καὶ ὁ δεσπότης προσάγων. καὶ ὁ Θεὸς μὲν τῷ Ἀδὰμ προσάγων οὐχ ὑβρίζετο· Χριστὸν δὲ ἐὰν ἀκούσωσι προσάγοντα τῷ πατρὶ, εἰς ὑπηρέτου τάξιν ἕλκουσιν. ἐὰν εἴπῃ ὁ σωτὴρ, Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ, εὐθέως οἱ αἱρετικοὶ ὀρθὰ τὰ ὦτα, μᾶλλον δὲ στρεβλά. τῷ Ἀδὰμ προσάγων ὁ Θεὸς τὰ ζῶα, οὐκ ἔστιν αὐτοῦ ὑπηρέτης· Θεὸς Θεῷ ἐὰν προσάγῃ, ὑπηρέτου τάξιν ἔχει; ἵνα δὲ μὴ θρέψῃ σου τὴν νόσον ἡ ἄγνοια τῶν λόγων, ἐγὼ οἶδα καὶ υἱὸν προσάγοντα τῷ πατρὶ, καὶ τὸν πατέρα τῷ υἱῷ. καὶ γὰρ εἰπὼν, Οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ· ὁ αὐτὸς πάλιν, Οὐδεὶς ἔρχεται πρὸς μὲ, εἰ μὴ ὁ πατήρ μου ὁ οὐράνιος ἑλκύσῃ αὐτόν. ἀλλ', ὅπερ ἔφθην εἰπὼν, οἶδα παρευρηκώς. ἀλλὰ συγγενὲς τῇ ὑποθέσει τὸ ῥῆμα· συμβαίνει δέ ποτε μὴ ἀκηκοέναι· διὸ καὶ νῦν λέγω. ἐννόησον πόσα ἐστὶ τὰ τετράποδα. ἀλλ' ἐννόησον τὰ ἥμερα, τὰ ἄγρια, τὰ ἐν ὄρεσι, τὰ ἐν πεδίοις, τὰ ἐν Γαλλίαις, τὰ ἐν Ἰνδίᾳ, τὰ ἐν ὅλοις τοῖς κλίμασι τῆς οἰκουμένης. πάλιν ἑρπετὰ γένη, τὰ εἴδη, τὰ πετεινὰ ὅλα, τὰ νηκτὰ ὅλα, τὰ ἐν θαλάσσῃ, τὰ ἐν λίμναις, τὰ ἐν ποταμοῖς. ὅλα ταῦτα παρηγάγετο, καὶ ἑκάστῳ ὄνομα ἐτίθει ὁ Ἀδὰμ, καὶ ὁ Θεὸς οὐκ ἀντέστη, ἀλλ' ἐνέμεινε. μυριάδας ὀνομάτων, καὶ οὐ στοιχεῖα ὁ Θεός· εἰ ὄνομα λέγει ὁ Θεὸς, μαρτυρῶν ἐξ οὐρανοῦ, Οὗτός ἐστιν ὁ υἱός μου, καὶ παραχαράττονται αἱρετικοὶ τὴν φωνὴν ἐπὶ ὀνόματι μαρτυροῦσαν, ἐκείνην τὴν ἁγίαν φωνὴν τὴν μυρία ὀνόματα δεξαμένην καὶ μὴ παραχαράξασαν. προσηνέχθη τὰ ζῶα καὶ ὠνομάσθη. λοιπὸν εἱστήκει ὡς βασιλεύς. ὥσπερ οἱ στρατευθέντες, σφραγῖδι βασιλικῇ σημειοῦνται· οὕτως ἐπειδὴ ἤμελλεν αὐτῷ τὴν δεσποτείαν παραδιδόναι, ποιεῖ ὀνόματα θεῖναι, ὡς δεσπότην. ὀνόματα γὰρ οὐ τίθησιν, ἢ δεσπότης μόνος καὶ πατήρ. πρόσεχε. τῶν ὀνομάτων ἃ μὲν ἔθηκεν ὁ Θεὸς, ἃ δὲ ὁ Ἀδάμ. καὶ ὁ μὲν Θεὸς ἐκάλεσεν οὐρανὸν, γῆν, θάλασσαν, στερέωμα, ἡμέραν, φῶς, νύκτα, καρπὸν, βοτάνην, χόρτον, ξύλα· τὰ γένη δὲ καὶ τὰ πετεινὰ ὁ Ἀδὰμ εἶπε, ταῶνα, ἀετὸν, μόσχον, πρόβατον. τοῦ Θεοῦ τὰ εἴδη, ἐκείνου τὰ γένη, ἵνα μὴ ψεύσηται τὸ ῥῆμα τοῦ εἰπόντος, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν. ὁ Θεὸς ὀνόματα τίθησι τοῖς φωστῆρσι, τὴν Ἄρκτον, τὸν Ὠρίωνα, τὴν Πλειάδα, τὸν Ἕσπερον, τὸν Φωσφόρον· ταῦτα πάντα ὁ Θεὸς ὠνόμασε. μαρτυρεῖ Δαβὶδ λέγων, Ὁ ἀριθμῶν πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. Θεὸς ὀνοματοποιεῖ τὰ ἄνω, Ἀδὰμ τὰ ἐπὶ γῆς. καλεῖ ὁ Θεὸς οὐρανὸν, γῆν, πάντα τὰ ἄλλα· καλεῖ τὸν Ἀδὰμ, πῦρ, ἄνθρωπον. ὁ Ἀδὰμ τί καλεῖ; ὄνομα τοῖς κτήνεσι, τοῖς ἑρπετοῖς, τοῖς θηρίοις. καλεῖ ὄνομα ξένον ὁ Ἀδὰμ, ὀστοῦν, σάρκα, περὶ τῆς γυναικὸς λέγων· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου. ὁ γὰρ Θεὸς ὅτε αὐτὸν ἔπλασεν, οὐκ εἶπεν, ὅτι ἐξ ὀστέων αὐτὸν ἔπλασε καὶ σαρκός. πάλιν ὁ Θεὸς λέγει, ἄρρεν· οὗτος λέγει, ἀνήρ· Θεὸς λέγει, θῆλυ· οὗτος λέγει, γυνή. καὶ τὸ θαυμαστὸν, ἐπειδὴ πνεύματος ἁγίου ἐπεπλήρωτο, καὶ οὐδέπω ἦν παραβὰς ὁ ἄθλιος, ἀλλ' ἔγεμε χάριτος, ἡ προφητεία ἦν δῆλον περὶ ἡμερῶν ἐπὶ τῆς ὑμετέρας ἀγάπης, ὅλη ἦν ἐν αὐτῷ. ἤδει γὰρ τὰ παρελθόντα, ἤδει τὰ ἐνεστῶτα. πῶς τὰ πόρρω τὰ εἶδεν ἐν σώματι; ἔξωθεν ὀστέον οὐ φαίνεται· ἀλλ' ἐπειδὴ τὸ πνεῦμα εἶχε, λέγει, τοῦτο

Ιωαν. ιδ. ς.

Ιωαν. ς. μδ. ξε.

Ματθ. γ. ιζ.

Ψαλμ. ρμς. δ.

νῦν

νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου. πόθεν ᾔδει, εἰ μὴ πνεῦμα ἅγιον ἀπεκάλυψε; διὰ τί οὐκ
εἶπε πρῶτον ὀστοῦν, καὶ τότε σάρξ; ἐπειδὴ πρῶτον πλευρὰν ἔλαβεν ἐξ αὐτοῦ. Αὕτη, φησὶ, κληθή-
σεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη. προφητεύει τὰ προλαβόντα, εἶ-
πε τὰ παρόντα, λέγει τὰ μέλλοντα, ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ
τὴν μητέρα. οὐδέπω γάμος, καὶ πόθεν πατὴρ καὶ μήτηρ; πάλιν ἀκούετωσαν αἱρετικοί. ἠθέ-
λησεν ὁ Θεὸς ποιῆσαι τῷ Ἀδὰμ τὴν γυναῖκα. ἐπέβαλεν ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνω-
σε. πρᾶγμα, ῥῆμα Θεοῦ ἀρχαῖον, καινὸν ἐγένετο τῆς φύσεως· ἐπαίδευσεν ἀπὸ τοῦ πρώτου,
πῶς δεῖ ἀπομερίζεσθαι ἀπὸ τοῦ ἀνθρώπου τὸ πλάσμα. ἐπέβαλεν ὁ Θεὸς τῷ Ἀδὰμ ὕπνον.
θαυμαστὸν πρᾶγμα· τὸν καιρὸν λέγει, καθ' ὃν ὁ γάμος. ὕπνος ἔκστασις λέγεται, ἐπειδὴ καὶ
ὥσπερ ἔξω ἑαυτοῦ ἑστήκει ὁ ἄνθρωπος. ἔσω ἡ ψυχὴ, καὶ οὐκ ἔσω ἐστίν· οὐκ αἰσθάνεται, οὐ νοεῖ,
ἀκούουσα οὐκ ἀκούει. ὥσπερ σήμερον λέγομεν, ἐκστάσει ἐχρήσατο, ἔξω τῶν πραγμάτων
γενόμενος· οὕτως ἡ ψυχὴ ὅταν ἔξω γένηται τῶν αἰσθήσεων, ἐν ἐκστάσει ἐστί. καὶ ὕπνωσε, φησι, καὶ
ἔλαβεν ὁ Θεὸς μίαν τῶν πλευρῶν αὐτοῦ. ἐρωτᾶσθαί με αἱρετικοὶ ταῦτα· πῶς ἔλαβεν ὁ Θεός;
πῶς οὐκ ἤλγησεν ὁ Ἀδάμ; πῶς οὐκ ὠδυνήθη; μία θρὶξ ἀποσπᾶται ἀπὸ τοῦ σώματος, καὶ ὀδυνώ-
μεθα· κἂν ὑπνῶν τις ᾖ εἰς τὰ βάθη, ὑπὸ τῆς ὀδύνης ἐξυπνίζεται ὁ καθεύδων. τοσοῦτον μέρος
ἐπαίρεται, τοσαῦτα πλευρὰ ἀπαρτίζεται, καὶ οὐκ ἐξυπνίζεται ὁ καθεύδων; οὐκ ἀπέσπασεν αὐτὴν
βίᾳ, ἵνα ἐξυπνισθῇ, οὐκ ἀπεσπάραξεν· ἀλλὰ θέλουσα ἡ γραφὴ τὸ σύντομον δεῖξαι
τοῦ τεχνίτου, λέγει, ἔλαβεν. ἐλύθησαν οἱ ἁρμοὶ, καὶ οὐκ ᾔσθετο· ἔλαβε τὴν πλευρὰν, ὥσπερ
ἔλαβε τὸν χοῦν. εἰ μὲν ἦν ἄλλος ὁ ἁρμόσας, καὶ ἄλλος ὁ λύσας, μάχη ἦν· εἰ δὲ ὁ δήσας ἔ-
λυσεν, ἡδέως πως ἔλυσεν. ἔλαβε τὴν πλευρὰν, καὶ ἀντεπλήρωσε σάρκα ἀντ' αὐτῆς. πό-
θεν ἀντεπλήρωσεν; ἐκ τοῦ ἄλλου σώματος εἵλκυσεν; ἀλλὰ πᾶν σῶμα ἑλκόμενον λεπτό-
τερον γίνεται. πῶς ἀντεπλήρωσε; καὶ περὶ σώματος λαλούμενοι, καὶ οὐ νοοῦμεν· περὶ Θεοῦ λαλοῦ-
μεν, καὶ πολυπραγμονοῦμεν; καὶ ᾠκοδόμησε Κύριος τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Α-
δὰμ, εἰς γυναῖκα. πόθεν ὀφθαλμοὶ ἀπὸ πλευρᾶς ἐπάγησαν; πόθεν καρδία λογιζομέ-
νη; πόθεν γλῶσσα φθεγγομένη; πῶς διετάθη ἀπὸ πλευρᾶς ἔντερον; πῶς ἐγένετο ἀπὸ
πλευρᾶς ἧπαρ; ταῦτα πῶς ἐγένετο οὐκ ἰσχύεις καταλαβεῖν, καὶ τὸν τεχνίτην πολυπραγ-
μονεῖς; ἀλλὰ τὴν εἰκόνα Χριστοῦ βλέπε πανταχοῦ. οὐ πρότερον ἔλαβεν ὁ Θεὸς ἀπὸ τοῦ
Ἀδὰμ τὴν πλευρὰν, ἕως ὅτε ὕπνον αὐτῷ ἐνέβαλε. διὰ τί; ἀπὸ πλευρᾶς ἡ ἁμαρτία ἔ-
μελλε γίνεσθαι ἡ διὰ τῆς γυναικὸς εἰσελθοῦσα. ἦλθεν ὁ σωτὴρ ἀπὸ πλευρᾶς φέρων ὕ-
δωρ καὶ αἷμα· ὕδωρ ἀποπλυνῶν τὰ ἁμαρτήματα, αἷμα παρέχον ἡμῖν τὸ μυστήριον. ὅρα τὸν
τύπον. ὑπνώσαντος τοῦ Ἀδὰμ, πλευρὰ ἐλαμβάνετο. ὕπνου γενομένου τῷ σώματι
τοῦ Χριστοῦ, ἡ πλευρὰ ἠνοίγετο, ἵνα λύσῃ τὴν ἀρχαίαν τραγῳδίαν τῇ νέᾳ ἱστορίᾳ· ὕπνῳ δὲ
λέγω τῷ ἐν σταυρῷ. ᾠκοδόμησε τὴν πλευρὰν εἰς γυναῖκα, ἤγαγεν αὐτὴν πρὸς τὸν
Ἀδάμ. ὢ τῆς φιλανθρωπίας τοῦ δεσπότου. πόσα ποιεῖ; πλάττει, εὐεργετεῖ, παράγει τὰ
ζῶα, νυμφαγωγεῖ. ἐπειδὴ γὰρ καὶ ὁ Ἀδὰμ ὡς ὀρφανὸς ἦν, καὶ ἡ Εὔα παρθένος ὡσαύτως οὐκ
ἔχουσα πατέρα ἢ μητέρα πληρῶσαι τὴν τάξιν, ὁ Θεὸς πληροῖ πατρὸς καὶ μητρὸς τάξιν.
καὶ ὅρα τὸν νόμον. πᾶσα γὰρ φωνὴ Θεοῦ ἀρχαία καινὸν ἐστὶ τῆς φύσεως. ἤγαγεν ὁ Θεὸς
τὴν γυναῖκα πρὸς τὸν Ἀδὰμ, καὶ ἔμεινε τοῦτο νόμος ἕως τῆς σήμερον, τὴν γυναῖκα γαμεῖσθαι
τῷ ἀνδρὶ, οὐ τὸν ἄνδρα πρὸς τὴν γυναῖκα νυμφοστολεῖ. Ἦσαν γυμνοὶ, καὶ οὐκ ᾐσχύνοντο.
ὁ καινὸν μένει, ὁ νόμος βοᾷ· πάντως αἰσχύνεται ὁ ἀνὴρ ἐκτὸς τῆς ἰδίας γυναικός· πάντως
αἰδεῖται ἡ γυνὴ ἐκτὸς τοῦ ἰδίου ἀνδρός. καὶ τοῦτο μὲν εἶπον κατὰ τὸν νόμον. τὸ δὲ αἴτιον τοῦ μὴ
αἰσχύνεσθαι τὸ μείζω, ἀθανασίαν ἦσαν ἐνδεδυμένοι, δόξαν ἐστολισμένοι. οὐ συνεχώρει ἡ
δόξα βλέπεσθαι τὰ γυμνά. αὕτη γὰρ ἔσκεπε τὴν γυμνότητα. ποῦ δυνήσῃ πάλιν ἰδεῖν ἄν-
θρωπον γυμνὸν καὶ μὴ αἰσχυνόμενον; ἐν τῷ Χριστῷ αὐτὸν εὑρίσκεις. ἦλθεν ὁ Πέτρος καὶ Ἰωάννης

καὶ Ἰάκωβος εἰς τὸ μνημεῖον, ζητοῦντες τὸ σῶμα, καὶ οὐχ εὗρον, ἀλλ' εὗρον ἱμάτια ἐντετυλιγμένα· ἵνα δειχθῇ, ὅτι μετὰ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, ἀποσώζεται ἐν αὐτῷ τὸ ἀρχαῖον σχῆμα τοῦ Ἀδάμ, καὶ γὰρ ἦν ἐκτὸς ἱματίων, οὐ γυμνὸς, ἀλλ' ἠμφιεσμένος. ἠγέρθη Χριστὸς, καὶ ἀποδύεται τὰ ἱμάτια ἃ ἐνεδύσατο ὁ Ἀδάμ, καὶ ἦν γυμνὸς, καὶ γυμνὸς οὐκ ἐβλέπετο. μετὰ τὴν ἀνάστασιν γυναῖκες τὰ ἱμάτια βλέπουσιν ἐῤῥιμμένα. Μάρθα καὶ Μαρία ὁρῶσιν αὐτὸν, γνωρίζουσι, προσπίπτουσι, καὶ γυμνὸν οὐ βλέπουσι. πόθεν ἐνδέδυται τὰ ἱμάτια; ἔῤῥιψε γὰρ ἐν τῷ τάφῳ, τὰ δὲ περὶ τὰ ἱμάτια ἐμερίσαντο στρατιῶται. πόθεν οὖν ἐνδέδυται; πόθεν ὁ γυμνὸς, οὐ γυμνός; καὶ τὸ ἄλλο ζητῶ. διὰ τί εἶδον τὰ ἱμάτια καὶ τὴν σινδόνα εἰς ἓν μέρος, καὶ τὸ σουδάριον παρὰ μέρος, ᾧ ἡ κεφαλὴ ἐδέδετο ἡ σωτήριος; ἵνα δειχθῇ ἡ ἁγία γραφὴ, ὅτι οὐ μετὰ θορύβου ἡ ἀνάστασις, καὶ ἐπειδὴ ἔμελλον φημίζειν οἱ Ἰουδαῖοι, ὅτι ἐκλάπη ὑπὸ τῶν μαθητῶν, καταλιμπάνει τὰ ἱμάτια αὐτοῦ ἐν τῷ τάφῳ. ὁ γὰρ κλέπτων νεκρὸν, μετὰ τῶν ἱματίων κλέπτει. ἦν δὲ ἰδεῖν τὸν σωτῆρα ἐξελθόντα ἐκ τοῦ τάφου, ὡς τὸν Ἰωσὴφ ἐκ τοῦ οἴκου τῆς Αἰγυπτίας. καὶ βλέπε τὴν διαφοράν. μετὰ τὴν ἀνάστασιν ὤφθη Χριστὸς γυμνὸς, καὶ Πέτρος γυμνός· ἀλλ' ὁ μὲν εἶχε τὴν ἀθανασίαν, ὁ δὲ ἦν ἔτι θνητός. Ἰησοῦς εἱστήκει παρὰ τὸν αἰγιαλὸν, καὶ δόξαν ἠμφιεσμένος, λέγων, Παιδία μήτι προσφάγιον ἔχετε; οὔ, λέγουσιν, οὐκ ἔχομεν· οὐ γὰρ ἐγνώρισαν αὐτόν. εἶτα λέγει, Βάλλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου. ἔβαλον, καὶ ἐθήρευσαν πολὺ πλῆθος. γνωρίζει Ἰωάννης, καὶ λέγει τῷ Πέτρῳ, ὁ Κύριός ἐστιν. ὢ τοῦ θαύματος. ἀπὸ τῆς φωνῆς οὐκ ἐγνώρισαν, ἀλλ' ἀπὸ τῶν ἔργων. καὶ ἔλαβε, φησιν, ὁ Πέτρος τὸν ἐπενδύτην. ἦν γὰρ γυμνός. τὸ θνητὸν σῶμα αἰσχύνεται, τὸ ἀθάνατον οὐκ αἰσχύνεται. ἀλλὰ τῷ ἐνδύσαντι ἡμᾶς δόξαν, τῷ ἐνδύσαντι τὴν οἰκουμένην ἀθανασίαν, τούτῳ προσπέσωμεν, τοῦτον καθικετεύσωμεν, ἵνα ἐνδύσῃ ἡμᾶς πίστιν, ἐλπίδα σωτηρίας, δόξαν τὴν ἐν Χριστῷ· ὅτι τῷ πατρὶ ἡ δόξα σὺν τῷ μονογενεῖ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ιω. κ. ς. ζ.

Ιω. κα. ς.

ΕΙΣ ΤΗΝ ΕΚΤΗΝ ΗΜΕΡΑΝ ΤΗΣ ΚΟΣΜΟΠΟΙΙΑΣ, καὶ εἰς τοὺς πρωτοπλάστους, καὶ εἰς τὸν ὄφιν, καὶ εἰς τὸ ξύλον τῆς γνώσεως, καὶ εἰς τὴν ἐν τῷ παραδείσῳ διατριβὴν καὶ προσομιλίαν τοῦ Θεοῦ μετὰ τοῦ Ἀδάμ. Λογ. ς.

Φέρε πάλιν τῆς ἐπαγγελίας ἁψώμεθα, καὶ τὴν κατὰ τὸν παράδεισον ὑπόθεσιν εἰς τέλος ἐξανύσωμεν. εἰ γὰρ καὶ ἀφόρητον ἐγένετο κακὸν τὸ τὸν Ἀδὰμ ἐκβληθῆναι τοῦ παραδείσου, πολλῷ μᾶλλον ἔσται κακὸν τὸ καὶ ἡμᾶς ἐκβεβλῆσθαι τῆς μνήμης τοῦ παραδείσου. ἁψώμεθα δὲ τῆς ὑποθέσεως, μὴ κοινοῖς λογισμοῖς τὴν ἐξέτασιν ἐπιτρέψαντες, ἀλλ' ἀπ' αὐτῆς τῆς ἁγίας γραφῆς τῶν ἀπορουμένων τὴν λύσιν λαμβάνοντες. ὁ γὰρ νοῶν καὶ φρονῶν ὡς βούλεται, ἑαυτὸν ἀπατᾷ· ὁ δὲ παρὰ τῆς γραφῆς μανθάνων τῶν ἀπορουμένων τὴν λύσιν, αὐτὴν ἔχει τὴν ἀλήθειαν ἑαυτῆς διδάσκαλον. ἐπεὶ τοίνυν πολλοὶ καὶ τῶν πιστῶν ἀναγινώσκοντες ἀποροῦσι, καὶ τῶν ἀπίστων ἀγνοοῦντες βλασφημοῦσιν, ἵνα καὶ τοῖς ἁγίοις δῶμεν τὴν πληροφορίαν, καὶ τοῖς ἀπίστοις τὸν ἔλεγχον, ἁψώμεθα κατὰ δύναμιν τὴν ἡμετέραν, παρακαλέσαντες τὸν Θεὸν μεθ' ὑμῶν χορηγῆσαι τῆς ἀληθείας τὴν ἀφθονίαν. ὅπως μὲν οὖν ὁ ἄνθρωπος κατεσκευάσθη, ὅπως σώματι διεπλάσθη, ὅπως ψυχὴ ὑπὸ Θεοῦ δημιουργηθεῖσα ἐνεβλήθη αὐτοῦ τῷ σώματι, ὅπως τὸν παράδεισον ἔσχε κατοικητήριον, εἰ καὶ μὴ κατ' ἀξίαν, ἀλλ' οὖν γε ὅσον κατὰ δύναμιν ἡμετέραν, ἱκανῶς προείρηται. λοιπὸν δὲ ἐπὶ τὸ προκείμενον τὸν λόγον τρέψωμεν. ἐδόθη μὲν τῷ Ἀδὰμ

χ. ἀκολ.

κ. ὑπό.

κ. ὑπό.

κ. ὁ ἱερ. χρίσ.

Ἀδὰμ πᾶσα ἡ γῆ· ἦν δὲ ἐξαίρετον αὐτοῦ οἰκητήριον ὁ παράδεισος. ἐξῆν δὲ αὐτῷ καὶ ἔξω τοῦ παραδείσου βαδίζειν· ἀλλὰ τὰ ἔξω τοῦ παραδείσου οὐ τῇ οἰκήσει τοῦ ἀνθρώπου ἀφώριστο, ἀλλὰ τοῖς ἀλόγοις, τοῖς κτήνεσι, τοῖς τετράποσι, τοῖς θηρίοις, τοῖς ἑρπετοῖς. ἦν δὲ αὐτῷ βασιλικὸν καὶ δεσποτικὸν ἐνδιαίτημα ὁ παράδεισος. διὰ τοῦτο καὶ ὁ Θεὸς ἤγαγε πρὸς τὸν Ἀδὰμ τὰ ζῶα, ὡς κεχωρισμένα αὐτοῦ. οὐ γὰρ πάντοτε παρίσταντο τὰ δοῦλα τῷ δεσπότῃ, ἀλλ' ὅταν αὐτῶν ἦν χρεία. ὠνομάσθη τὰ ζῶα, καὶ εὐθὺς ἐξεβλήθη· ἔμεινε δὲ ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ. λοιπὸν ἐνταῦθα τὴν ἀκριβῆ κατανόησιν μάθωμεν. ἐπετρέπετο τοῖς ἀλόγοις καὶ προσιέναι τῷ Ἀδὰμ, καὶ ὑποκλίνεσθαι, καὶ ὑποσαίνειν αὐτῷ. οἷόν τι λέγω· ὥσπερ ἦσαν τρεῖς ξύλων διαφοραὶ (ἦν γὰρ ξύλα τὰ τρέφοντα αὐτὸν εἰς τὸ ζῆν, ἦν ξύλα τὰ δοκιμάζοντα αὐτὸν εἰς τὸ εὖ ζῆν, καὶ ἦν ξύλον τὸ φυλάττον αὐτὸν εἰς τὸ ἀεὶ ζῆν) οὕτω καὶ τῶν ζώων τῶν ἀλόγων τρεῖς ἐδόθησαν αὐτῷ διαφοραί· μία εἰς βρῶσιν (οὐκ αὐτῷ δὲ μόνῳ, δηλαδὴ καὶ τῷ κοινῷ ἀφώριστο γένει) μία εἰς βρῶσιν, ἄλλη εἰς ὑπηρεσίαν, ἄλλη εἰς ψυχαγωγίαν. οἷον, εἰς βρῶσιν τὰ νῦν θυόμενα· εἰς ὑπηρεσίαν ἵπποι, κάμηλοι, ὄνοι, βόες, τὰ ἄλλα τὰ ὑπουργοῦντα· εἰς ψυχαγωγίαν τὰ μιμηλὰ ζῶα, αἱ φωναὶ τῶν ὀρνίθων τῶν ἀερίων αἱ φαιδραί, αἳ καὶ τὰς ἀκοὰς θέλγουσιν. ὥσπερ γὰρ σῶμα μετὰ τὸν κάματον, ἐὰν μὴ ἀποδύσηται τοὺς πόνους, οὐκ ἀντέχει πρὸς ἑτέρους πόνους· οὕτω καὶ ψυχὴ τοὺς τῆς ἀρετῆς πόνους ὑπομένουσα, ἐὰν μὴ ταῖς ἡδείαις ὄψεσι ψυχαγωγηθῇ, οὐκ ἀρκεῖ πρὸς τὸν τόνον τῆς ἀρετῆς. ὅταν ἴδῃ ὁ Θεὸς κάμνουσαν ψυχὴν, ψυχαγωγεῖ αὐτὴν διὰ τῶν ἡδίων· οἷον γίνεται καὶ ἐφ' ἡμῶν· πολλάκις γὰρ ἐξ ἀγορᾶς ἐπανελθὼν ὁ ἄνθρωπος, καὶ μυρίαις λύπαις περιαντληθεὶς τὴν διάνοιαν, καὶ συντυχὼν ὄψεσι πολλάκις βαρείαις, καὶ ἀφορήτοις περιπεσὼν συμφοραῖς καὶ ζημίαις, ἐλθὼν εἰς τὴν οἰκίαν εὑρίσκει παιδίου ψυχαγωγίαν, καὶ τὸ σκληρὸν τῶν πόνων ἀλείφει τὸ ἁπαλὸν τῆς διανοίας. ἐπειδὰν γὰρ αὐτῷ ἀθυμοῦντι οὐ γυνὴ προσέρχεται παραμυθουμένη, ὡς ἄκαιρον ἔχουσα τὴν παραμυθίαν, οὐκ οἰκέτης τολμᾷ παραμυθήσασθαι, εἰσάγει ὁ Θεὸς τὴν ἄπλαστον φύσιν τὴν συγγνώμης ἀξιουμένην ἐξ ὧν οὐκ οἶδε, καὶ δι' αὐτῆς ἀλείφει τὴν ἐκ τῶν πόνων κεκμηκυῖαν ψυχήν. οἰκέτης ἐὰν προσγελάσῃ, νομίζεται ἐπιγελᾷν τῇ ὕβρει τοῦ δεσπότου· ἡ γυνὴ ἐὰν γελάσῃ, νομίζεται ἀναισθητεῖν περὶ τὴν συμφοράν· τὸ παιδίον ἀνυπόπτευτον ἔχει τὴν κολακείαν διὰ τὴν ἐκ τῆς φύσεως ἀκεραιότητα· καὶ πολλάκις ἃ μὴ ἴσχυσαν φίλοι συμβουλεύοντες, σοφοὶ νουθετοῦντες, ἴσχυσε παιδίον γελάσαν μόνον, λῦσαι τὴν πᾶσαν συμφοράν. καὶ λοιπὸν ἡ ψυχὴ ἐν αὐτῇ τῇ ἀκμῇ τῆς λύπης, ὁρᾷ μὲν τὸ παιδίον, καὶ τὰς ἀρχὰς ἀνανεύει, καὶ ἀπωθεῖται τὴν ἄκαιρον ψυχαγωγίαν· ἕλκεται δὲ τῇ παραμονῇ, καὶ ὅταν πολλάκις ἐπικλίνῃ τὸ ὄμμα, ἁρπάζεται τὴν διάνοιαν. εἶτα ἀναλαβὼν τὸν παῖδα, ἀποτίθεται τὴν λύπην, καί φησι, τοῦτόν μοι ἐχαρίσατο ὁ Θεὸς μόνον, καὶ οὐδείς μοι λόγος τῶν ἄλλων. εἶδες πῶς καὶ ἀπὸ τῶν τυχόντων ἐγείρει ὁ Θεὸς τῇ ψυχῇ τὴν παραμυθίαν; ἐπεὶ οὖν μόνος ἦν ὁ Ἀδὰμ ἐν τῷ παραδείσῳ, οὐ φίλον ἔχων, οὐ γείτονα, οὐ συνήθη, εἰσήγαγεν αὐτῷ ὁ Θεὸς τὰ ζῶα εἰς ψυχαγωγίαν αὐτοῦ· οἷον ὥσπερ ἐστὶ σήμερον τὰ ζῶα τὰ μιμηλά, τὰ μὲν μιμούμενα σχήματα, τὰ δὲ φωνήν. οἷον, μιμεῖται τὰ σχήματα τῶν ἀνθρώπων πίθηκος, καὶ ὅσα τοιαῦτα· φωνὴν ψιττακὸς καὶ ἕτεροι στρουθοί. εἶχεν οὖν ψυχαγωγίαν τὴν παρὰ τῶν ἀλόγων, τῶν μὲν κελαδούντων, τῶν δὲ ἄλλων ὑποσαινόντων. πολλῶν τοίνυν ὄντων τῶν πληρούντων αὐτῷ τὴν παραμυθίαν, ὁ ὄφις φρονιμώτατος ἦν ὑπὲρ πάντα τὰ θηρία τῆς γῆς· καθὼς εἶπεν ἡ γραφή· Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων ὧν ἐποίησε Κύριος ὁ Θεός. ἦν οὖν καὶ τῶν μιμηλῶν μιμηλότερος, καὶ τῶν ὑποσαινόντων ἐγγύτερος. μὴ πρόσεχε τῇ νῦν ὄψει, ὅτι καὶ φεύγομεν, καὶ βδελυττόμεθα. οὐκ ἦν οὕτως ἀπ' ἀρχῆς. φίλος ἦν ὁ ὄφις, καὶ τῶν ὑποσαινόντων τῷ ἀνθρώπῳ ἐγγύτερος. τίς οὖν αὐτὸν ἐχθρὸν ἐποίησεν; ἡ τοῦ Θεοῦ ἀπόφασις· Ἐπικατάρατος γὰρ σὺ ἀπὸ πάντων τῶν θηρίων. ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον

Γεν. γ. α.

Γεν. γ. ιδ.

τῆς γυναικός. ἐκείνη ἡ ἔχθρα τὴν φιλίαν ἔλυσε. φιλίαν λέγω, οὐ τὴν λογικήν, ἀλλὰ τὴν ἄλογον γνῶσιν. ὥσπερ σήμερον ἐνδείκνυται κύων φιλίας σχῆμα, οὐ λόγῳ, ἀλλὰ φυσικῇ κινήσει· οὕτω καὶ ὁ ὄφις ὑπέσαινε τὸν ἄνθρωπον. ὡς οὖν ἔχων πολλὴν οἰκειότητα, ὤφθη τῷ διαβόλῳ ὡς ἐπιτήδειον ὄργανον. ἰδὼν οὖν Ἀδὰμ χαίροντα ἐπὶ τῷ ὄφει κἀκεῖνον ὑποσαίνοντα, καὶ πολλὰ τῶν ἀνθρωπίνων μιμούμενον, ἐνεισόπασεν ὁ τῆς κακίας τεχνίτης, ὅπερ καὶ δόλους τὰ λέγοντες, διὰ τῶν ἰδίων νοθεύοντες ποιοῦσιν. οὐδεὶς γὰρ περιγίνεται διὰ τῶν ἀλλοτρίων, ἐὰν μὴ διὰ τῶν οἰκείων· καθὼς εἶπεν ὁ σωτήρ· Ἐχθροὶ τῷ ἀνθρώπῳ οἱ οἰκιακοὶ αὐτοῦ. λαλεῖ τοίνυν, διὰ τοῦ ὄφεως ἔμφασιν παρέχων τῷ Ἀδάμ. παρακαλῶ τὴν ὑμετέραν ἀγάπην μὴ παρέργως προσέχειν τοῖς λεγομένοις. οὐκ ἔστι γὰρ τυχὸν ζήτημα. πολλοὶ γὰρ ζητοῦσι, πῶς ἐλάλησεν ὁ ὄφις· ἆρα ἀνθρωπίνῃ φωνῇ, ἢ συρισμῷ ὄφεως, καὶ ἐνενόησεν ἡ Εὔα. ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως ἐπεπλήρωτο σοφίας καὶ συνέσεως καὶ προφητείας. ἐννόησον ὅσην εἶχε σοφίαν, ὅτι ἐπήρκεσεν ἄνθρωπος εἷς, διδάσκαλον μὴ λαβών, παρὰ μηδενὸς ἀνθρώπου διδαχθείς, θεῖναι ὀνόματα ὅλοις τοῖς πετεινοῖς, καὶ τοῖς ζώοις, καὶ τοῖς ἑρπετοῖς, καὶ τοῖς θηρίοις, καὶ πᾶσιν ἁπλῶς. ἀναζωγράφησον ἐν τῇ διανοίᾳ σου τὰ εἴδη, τὰ γένη· ἵνα δὲ συντόμως εἴπω, τοσαῦτα ἔθηκεν ὀνόματα, ὅσα σήμερον ἡμεῖς μετὰ τὴν πεῖραν διατηρῆσαι οὐ δυνάμεθα. ὅτε οὖν προσήνεγκεν ὁ Θεὸς τὰ ζῶα τῷ ἀνθρώπῳ, ὡς σοφὸς καὶ ἔχων Θεοῦ πνεῦμα, τὴν ἑκάστου ἰδιότητα ἔβλεπε. προσεῖχεν οὖν τῷ ὄφει ὡς φρονιμωτέρῳ, ὡς αἴσθησιν ἔχοντι, ὡς νοοῦντι ἀπὸ νεύματος τὰ κινήματα. οὕτως ἔχοντος τοῦ Ἀδάμ, ἐνενόησεν ὁ διάβολος καὶ τοῦ ὄφεως τὸ φρόνιμον, καὶ τοῦ Ἀδὰμ τὴν πρόληψιν. εἶχε γὰρ περὶ τοῦ ὄφεως ὡς συνετοῦ. λαλεῖ οὖν δι' αὐτοῦ, ἵνα ὑπονοήσῃ ὁ Ἀδάμ, ὅτι φρόνιμος ὢν ὁ ὄφις, κατώρθωσε καὶ τὸ μιμήσασθαι τὴν τοῦ ἀνθρώπου φωνήν. προσέρχεται τοίνυν ὁ ὄφις. οὐδαμοῦ δὲ ἡ γραφὴ εἶπε τοῦτο, ὅτι ὁ διάβολος ἐν τῷ ὄφει ἐλάλησεν, ἀλλὰ καὶ Μωϋσῆς ἁπλῶς παρῆλθε τὴν ἱστορίαν. πρόσεχε, παρακαλῶ, μετὰ ἀκριβείας. Παῦλος δεύτερος ὢν ἐν τῷ παραδείσῳ, οὐδὲ αὐτὸς ἔλυσε τὴν λέξιν, ἀλλὰ λέγει· Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· φοβοῦμαι δὲ μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ· καὶ οὐκ εἶπεν, ὅτι ὁ διάβολος. πιστὸς ἦν τῶν γραφῶν φύλαξ, ὑπηρέτης γραφῶν, παιδευτὴς γραφῶν, ἑρμηνευτὴς γραφῶν. οὐκ ἠθέλησε λῦσαι τὴν λέξιν, ἵνα μὴ λύσῃ τῶν γραφῶν τὴν τάξιν, ἀλλὰ τῇ ἐννοίᾳ τὴν ἀπορίαν ἔλυσε. φοβοῦμαι, φησί, μήπως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν. οὕτω· πῶς; μὴ γὰρ ἐφοβεῖτο Παῦλος μὴ πάλιν ὁ ὄφις ἔλθῃ, καὶ ἀπατήσῃ τινάς; ἀλλ' οἶδα, φησίν, ὅτι ὁ μὲν ὄφις οὐ φαίνεται ἐκεῖνος, ὁ δὲ ἐν ἐκείνῳ ἐνεργήσας φαίνεται. ἀλλ' ὁ μὲν Παῦλος, ὡς πιστὸς ὑπηρέτης, καὶ τῶν ἁγίων γραφῶν φύλαξ, οὐ παρέτρεψε τὴν λέξιν, ἀλλ' ἐνέφηνε τὴν ἔννοιαν· αὐτὸς δὲ ὁ τῶν ἀρχαίων καὶ τῶν νέων καὶ τῶν μελλόντων δεσπότης ἐσαφήνισε τὴν ἀπορίαν, ἵνα μή τις ἐπὶ τὸν ὄφιν ἀνενέγκῃ τὴν ἀνθρωπίνην, ἀλλ' ἐπὶ τὸν ἐνεργήσαντα. λέγει οὖν ὁ Χριστὸς τοῖς Ἰουδαίοις, ὅτε εἶπον αὐτῷ, Ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν, Εἰ ἦτε ἐκ τοῦ Θεοῦ, τὰ ἔργα καὶ τὸ θέλημα τοῦ Θεοῦ ἐποιεῖτε ἄν· νῦν δὲ ἐκ τοῦ πατρὸς ὑμῶν ἐστε τοῦ διαβόλου. εἶπε τὸν διάβολον, καὶ εὐθέως εἰσάγει τὴν ἱστορίαν· ἐκεῖνος, φησίν, ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς. καὶ ὁ μὲν οἰκέτης, ὡς οἰκέτης, ἡρμήνευσεν· ὁ δὲ δεσπότης, ὡς δεσπότης, ἐδίδαξεν, ἔδειξε τὸν φονεύσαντα τὸν Ἀδάμ. οὐκ εἶπεν ἁπλῶς, φονεὺς ἦν, ἀλλ', ἀνθρωποκτόνος. οὐ γὰρ ἕνα ἀνεῖλεν, ἀλλὰ δι' ἐκείνου πάντα ἄνθρωπον. Καὶ ἐν τῇ ἀληθείᾳ, φησίν, οὐχ ἕστηκεν, ὅτι ψεύστης ἐστί. βλέπε πῶς ἡρμήνευσε· καὶ ὅτι διάβολός ἐστι, καὶ ψεύστης ἐστί. καὶ πῶς ἐψεύσατο; εἶπεν ὁ ὄφις τῇ γυναικί· Τί ὅτι εἶπεν ὑμῖν ὁ Θεὸς μὴ φαγεῖν ἀπὸ παντὸς ξύλου; εἶδες τὸν ψεύστην. ὁ Θεὸς εἶπεν, ἀπὸ παντὸς ξύλου φάγεσθε, ἀπὸ δ' ἑνὸς μὴ φάγητε· ὁ ψεύστης λέγει, διὰ τί εἶπεν ὁ Θεὸς ἀπὸ παντὸς ξύλου μὴ φαγεῖν ὑμᾶς

Ματθ. ι. λς.

β. Κορ. ια. β.

Ἰω. η. μα. μδ.

Γεν. γ. β.

ὑμᾶς; μὴ ψεύδεται ἡ τοῦ Χριστοῦ φωνή· ἐκεῖνος ψεύστης ἐστί· ἐψεύσατο δὲ, καὶ τοῦτο δεινῶς.
ὅταν γάρ τις θέλῃ κακοηθεύσασθαι πρᾶγμα, εἰς χρείαν προσποιεῖται ἄγνοιαν, ἵνα ἀ-
νύποπτον εἰσαγάγῃ τὴν σκαιωρίαν, ἀντὶ τοῦ οὐκ οἶδα, φησὶν, οὐκ ἔστι κατασκευὴ ἁπλοῦς
ἦλθον, οὐκ ἂν οἶδα. οὐκ ἐπεμελήθητε τοιούτων πολλάκι; οὐκ οἶδα μὲν τῶν δολίων τὰ ἔργα,
ταῦτα οἱ ῥᾳδίοισι πράγματα, καὶ προσποιοῦνται ἄγνοιαν; οὕτω καὶ ὁ διάβολος, τί ὅτι εἶ-
πε, φησὶν, ὑμῖν ὁ Θεός; ἀντὶ τοῦ, παρήκουσα, οὐ καλῶς ἤκουσα μὴ φαγεῖν ὑμᾶς ἀπὸ παντὸς
ξύλου. ἡ γυνὴ νομίσασα ἄγνοιαν εἶναι, διορθοῦται τὴν λέξιν. οὐχ οὕτω, φησὶν, εἶπεν· οὐκ
εἶπεν ὁ Θεὸς μὴ φαγεῖν ἀπὸ παντὸς ξύλου, ἀλλ' ἀπὸ παντὸς μὲν ξύλου ἐπέτρεψεν, ἀπὸ δὲ
ἑνὸς ἐκώλυσεν. εἶπε γὰρ ἡμῖν, μὴ φάγητε, ἵνα μὴ ἀποθάνητε. ἔδοξε μανθάνειν ὃ οὐκ
ᾔδει. λοιπὸν οὐχ ὑποπτεύεται ὡς ἐγκατάσχετος, καὶ λέγει αὐτῇ· οὐ θανάτῳ ἀποθανεῖσθε. ἰδὲ
ἄλλο ψεῦδος. τοῦ γὰρ Θεοῦ εἰπόντος, ᾗ ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε, λέγει ὁ
διάβολος, οὐκ ἀποθανεῖσθε· τοῦτο δεύτερον ἐψεύσατο. ᾔδει γὰρ ὁ Θεὸς, φησὶν, ὅτι ᾗ ἂν
ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς θεοί. ἰδὲ τρίτον ψεῦδος. ὅρα τὴν ἐγκατάσπορον κακίαν τοῦ δια-
βόλου. ἤδη "προμελετᾷ καταστεῖραι τῷ κόσμῳ" τὴν πλάνην. καὶ ἐπειδὴ ἐμελέτησεν (ὡς
προεῖπον) πολυθείαν ἐγεῖραι τῷ κόσμῳ, προλαβὼν ὡς ἐν διηγήματι κατέσπειρεν εἰς τὰς
ἀκοὰς τῆς γυναικὸς ἔμφασιν τοῦ εἶναι πολλοὺς θεούς. ἀλλ' ὁ μὲν τῆς κακίας τεχνίτης οὕτω προ-
κατέσπειρε τὴν ἔννοιαν τῶν θεῶν· ὁ δὲ Θεὸς προειδὼς, ᾠκονόμησε τὴν πλάνην τὴν μέλ-
λουσαν μὴ λαληθῆναι ἐν ἀνθρωπίνῳ στόματι, ἵνα μὴ προφήτῃ λογικῇ φωνῇ περὶ θεῶν φθέγ-
ξηται, ἀλλὰ προφέρει στόμα ὄφεως· ἵνα τὸ στόμα λαλοῦν περὶ εἰδώλων, τῷ στόματι "ἐκεί-
νου ἀπεικάζηται. οἶδα ὅτι καὶ τῇ φωνῇ συντιτρώσκετε, καὶ τὰς ἐννοίας τὰς ἁγίας τῶν γραφῶν
ἁρπάζετε. μηδεὶς οὖν περὶ τὸν κόμπον τῆς φωνῆς ἀσχολείσθω, ἀλλὰ περὶ τὴν τῶν νοημάτων
"δύναμιν. Ἤδει γάρ, φησιν, ὁ Θεὸς, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε, ἔσεσθε ὡς θεοὶ, γινώσκοντες
καλὸν καὶ πονηρόν. λέγουσι πολλοὶ, καὶ μάλιστα οἱ τῷ θεοστυγεῖ Πορφυρίῳ ἀκολουθήσαντες,
τῷ κατὰ χριστιανῶν συγγράψαντι καὶ τοῦ θείου δόγματος πολλοὺς ἀποστήσαντι, λέγουσι τοίνυν,
διὰ τί ὁ Θεὸς ἀπηγόρευσε τὴν γνῶσιν τοῦ καλοῦ καὶ πονηροῦ; ἔστω, τὸ πονηρὸν ἀπηγόρευσε· διὰ
τί καὶ τὸ καλόν; εἰπὼν γάρ, ἀπὸ τοῦ ξύλου τοῦ εἰδέναι καλὸν καὶ πονηρὸν μὴ φάγητε, κωλύει,
φησὶν, αὐτὸν τοῦ εἰδέναι τὸ κακόν· διὰ τί καὶ τὸ ἀγαθόν; ἀεὶ ἡ κακία καθ' ἑαυτῆς τεχνάζεται,
καὶ τὰς λαβὰς καθ' ἑαυτῆς δίδωσιν. οὐ τὴν γνῶσιν ἐκώλυσεν ὁ Θεὸς τοῦ καλοῦ· εἶχε γὰρ
αὐτὴν ὁ Ἀδὰμ καὶ πρὸ τοῦ φαγεῖν. εἰ γὰρ μὴ εἶχε γνῶσιν, πῶς γνωρίζει τὴν γυναῖκα;
πῶς θεολογεῖ, ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου; πῶς δὲ καὶ προφητεύει
τὰ μέλλοντα, αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· ἀντὶ τούτου καταλεί-
ψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ τὰ λοιπά; τοσαῦτα οἶδε, καὶ οὐκ ᾔδει τὸ
καλόν. τὸν Θεὸν ᾔδει, τὰ τοῦ Θεοῦ ἐτήρει, γνῶσιν εἶχεν, ὀνόματα ἐπετίθει τοσαῦτα· πῶς
οὐκ εἶχε γνῶσιν καλοῦ; τί οὖν ἐστιν; οὐ τὴν γνῶσιν κωλύει ὁ Θεὸς τοῦ καλοῦ, ἀλλὰ θέλει
μὴ εἶναι μετὰ τοῦ ἀγαθοῦ τὴν γνῶσιν τοῦ κακοῦ. λύω δὲ τὸ σόφισμα τῆς ἀσεβείας ἀπὸ τῶν
γραφῶν. λέγει Παῦλος, Οὐ δύνασθε ποτήριον Κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων. οὐ τὰ α. Κορ. ι. κα.
δύο ἐκώλυσεν, ἀλλ' ἡγίασε μὲν τὸ ἅγιον, ἀπέρριψε δὲ τὸ ἐναντίον καὶ βέβηλον. οὕτω καὶ ὁ σωτήρ·
Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ. κατὰ τὸ αὐτὸ καὶ Θεῷ δουλεύειν καὶ δαίμοσιν, ἀδύνατον. Ματθ. ς. κδ.
οὕτως ὁ Θεὸς ἐκώλυσε λαβεῖν γνῶσιν τοῦ πονηροῦ, ἵνα μὴ μιγῇ μετὰ τοῦ ἀγαθοῦ καὶ ἡ γνῶ-
σις τοῦ κακοῦ. λοιπὸν ἐνταῦθα προσέχωμεν. διὰ τί δὲ ὅλως ἐκλήθη ξύλον γνωστὸν καλοῦ
καὶ πονηροῦ; οὐ τοιαύτην εἶχε φύσιν, ἀλλὰ τοιαύτην ἤνεγκεν ὑπόθεσιν. τὸ ἰδίωμα τῶν γρα-
φῶν λέγω. οἷόν τι λέγω· ἐκλήθη ἐν τῇ ἐρήμῳ μία πηγὴ ὕδατος, ὕδωρ ἀντιλογίας. ἐδοκίμα-
σά σε ἐπὶ ὕδατος ἀντιλογίας. ἆρα τὸ ὕδωρ τοιαύτην εἶχε φύσιν, ὡς εἰς ἀντιλογίαν φέρειν Ψαλ. π. ς.
τὸν λαόν; διὰ τί οὖν Μωϋσῆς πιὼν οὐκ ἀντεῖπε τῷ Θεῷ; ὥσπερ οὖν ἐκλήθη τὸ ὕδωρ, ἀντιλο-
γίας

γίας ὕδωρ, οὐ φύσιν ἔχον τοιαύτην, ἀλλὰ διὰ τὴν ἐπ' αὐτῷ γενομένην ὑπόθεσιν. ἐπειδὴ γὰρ ἐκεῖ ἀντεῖπεν ὁ λαός, διὰ τοῦτο ἐκλήθη ὕδωρ ἀντιλογίας. πάλιν εἶδεν Ἰακὼβ τὸν Θεόν, ὡς ἰδεῖν ἀνθρώπῳ δυνατὸν καὶ καλεῖ τὸ ὄνομα τοῦ τόπου, εἶδος Θεοῦ. ὁ τόπος οὐκ εἶχεν εἶδος Θεοῦ, ἢ μορφὴν Θεοῦ, ἀλλ' ἐπειδὴ ἐκεῖ αὐτῷ ἡ ὀπτασία ἐγένετο, ἐκάλεσε τὸν τόπον ἀπὸ τοῦ πράγματος. ἄλλος τόπος ἐκλήθη Εἰρήνη Θεοῦ. ὅτε τῷ Γεδεὼν ἐφάνη ἄγγελος, ἐφοβήθη, καὶ λέγει, Οἴμοι, οἴμοι, ἀποθανοῦμαι· εἶδον γὰρ ἄγγελον Θεοῦ. λέγει αὐτῷ ὁ ἄγγελος, Εἰρήνη σοι, μὴ φοβοῦ· καὶ ᾠκοδόμησε, φησί, Γεδεὼν θυσιαστήριον, καὶ ἐκάλεσεν αὐτό, Εἰρήνη Θεοῦ. ὥσπερ οὖν ὁ βωμός, ἢ τὸ θυσιαστήριον, οὐκ αὐτὸ εἰρήνην εἶχεν, ἀλλὰ τῆς γενομένης καὶ δοθείσης εἰρήνης ἦν σύμβολον· καὶ ὥσπερ τὸ ὕδωρ οὐκ εἶχεν ἀντιλογίαν, ἀλλὰ διὰ τὴν ἐπ' αὐτῷ γενομένην ὑπόθεσιν οὕτως ἐκλήθη· οὕτω καὶ τὸ ξύλον οὐ γνῶσιν εἶχεν, ἀλλ' ἐπειδὴ πᾶς ὁ ἁμαρτάνων, εἰς γνῶσιν ἔρχεται ὧν ἁμαρτάνει. οἷόν τι λέγω· πάλιν ἐν ὑποδείγματι, ἐνίοτε παρερχόμεθα ὁδεύοντες διὰ τόπων λῃστευομένων, καὶ ἔθος τοῖς ἀνθρώποις λέγειν, οἱ τόποι δὴ οὗτοι φοβεροί εἰσιν· ἆρα ὁ τόπος ἔχει φόβον, ἢ διὰ τοὺς λῃστὰς λέγουσι τοὺς σχολάζοντας ἐν ἐκείνῳ τῷ τόπῳ; οὕτω καὶ τὸ δένδρον ἐκεῖνο οὐ φύσιν εἶχε θανατοποιοῦ γνώσεως ἐργαστικήν, ἀλλ' ἀπὸ τῆς περὶ αὐτὸ γενομένης τῷ Ἀδὰμ ἁμαρτίας ἔλαβε τὸ ὄνομα. λύω δὲ τὸ πρᾶγμα συντόμως. οὐ γὰρ ἀπορεῖ ἡ θεία γραφή. σημεῖον ἔχομεν θυσιαστηρίου, οὗ μετέχουσιν οἱ πιστοί. ἆρα αὐτὸ τὸ δῶρον φυσικὴν ἔχει σωτηρίαν, ἢ διὰ τὴν ἐπικαλουμένην δόξαν ἔχεις ἐνέχυρον ἀπὸ τῶν παρόντων, μὴ ἀμφιβάλλῃς περὶ τῶν προλαβόντων; ἐκεῖ βρῶμα θανατοποιόν, ὧδε βρῶμα ζωοποιόν. εἰ τοῦτο φύσει σώζει, καὶ οὐ χάριτι· κἀκεῖνο φύσει ἀναιρεῖ, καὶ οὐ τῇ παραθέσει *. δείξω σοι ἄλλο βρῶμα ἔξω τοῦ παραδείσου θανατοποιόν, τὴν εἰδωλολατρείας λέγω. διατί γὰρ παρῃτήσαντο οἱ μάρτυρες φαγεῖν κρέα; διατί ἐφοβοῦντο φαγεῖν; ἆρα εἰ ἔφαγον, ἀπέθνησκον; οὐδαμῶς· ἀλλ' ἐπειδὴ ἐπωνόμαστο τῶν εἰδώλων ἡ μνήμη, ἔφυγον, οὐ τὴν βρῶσιν, ἀλλὰ τὴν τῶν μιαρῶν ἐπίκλησιν. οὕτω γνωστὸν ἦν κακοῦ καὶ ἀγαθοῦ τὸ δένδρον· οὐ γνῶσιν παρέχον, ἀλλ' ἀπὸ τῆς παραβάσεως διδάσκον αὐτόν. ἀεὶ γὰρ ἡ πεῖρα διδάσκει τὸν ἀνόητον, ὅτι κακὸν τὸ παραβῆναι. πάλιν ἑτέρᾳ ὁδῷ λυθήσεται τὸ ζητούμενον, οὐχ ὡς τῶν προφητῶν ἀτονούντων, ἀλλ' ὡς τῆς χάριτος τοῦ Θεοῦ πλουσίας οὔσης. μὴ γάρ τις νομιζέτω τὴν ἐπαγγελίαν τῶν πολλῶν νοημάτων δι' ἀσθένειαν γίνεσθαι τῶν προλαβόντων. ἡ τοῦ Θεοῦ γὰρ χάρις πλουσία οὖσα, ἐκ τῶν ἑαυτῆς θησαυρῶν παρέχει ἡμῖν, ἐὰν ὦμεν ἄξιοι. πρόσεχε τοίνυν. οἱ μάρτυρες παρῃτήσαντο βρῶσιν εἰδωλοθύτων, ὄντως φεύγοντες φαγεῖν; ὡς εἰ ἔφυγεν Ἀδὰμ τὸ δένδρον, ἐσώθη ἄν. ὅτι δὲ οὐ τὸ εἰδέναι ἀγαθὸν καὶ κακόν, τοῦτο μισητόν, ἡ ἀλήθεια λάμπει. ἐρωτῶ γὰρ ὁ Θεός, καὶ μὴ πράττων, οἶδεν αὐτό, ἢ οὔ; τίς τολμᾷ εἰπεῖν ὅτι οὐκ οἶδεν; οὐ γάρ ἐστιν ἡ γνῶσις, πρᾶξις. ἆρα Παῦλος ὁ λέγων, Φεύγετε τὴν πορνείαν, οὐκ ᾔδει τί ἦν ἡ πορνεία; ὁ φεύγων μοιχείαν, οὐκ οἶδε τί ἦν ἡ μοιχεία; ἀλλ' οὐ κατέκρινεν αὐτὸν ἡ γνῶσις. αὐτὸς δὲ ὁ Θεὸς οἶδεν ἡμῶν ὅλας τὰς πράξεις, ἀριθμῶν καὶ λέγων; ἐκ τῆς καρδίας ἐξέρχονται λογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, ἐπιορκίαι, ἀσέλγειαι, φθόνοι, πλεονεξίαι. ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. ταῦτα ἀγνοῶν λέγει, ἢ εἰδὼς ὁ Θεός, καὶ ὁ ἀπόστολος; οὐχ ὑβρίζει οὖν ἡ γνῶσις τὸν Ἀδάμ· ἔβλαψεν, οὐχ ἡ γνῶσις, ἀλλ' ἡ παράβασις. θέλω δὲ ἐρωτῆσαι αὐτόν, ποῖον ἔμαθε παρὰ τοῦ ξύλου καλόν, ἢ κακόν; μετὰ τὴν βρῶσιν ἔγνω τί ἐστι φόνος; οὐδεὶς οὐδέπω ἦν ὁ κολάζων, οὐ μοιχεία ἐγινώσκετο (οὐδέπω γὰρ ἦσαν γάμοι) οὐ πορνεία, οὐχ ἁρπαγὴ ἦν (οὐδέπω γὰρ ἦν πλούσιος καὶ πένης) οὐ συκοφαντία καὶ ψευδομαρτυρία. ποῖον οὖν ἔγνω κακόν, ἢ τοῦτο μόνον, ὅτι καλὸν ἦν τὸ ὑπακοῦσαι Θεῷ, κακὸν δὲ τὸ παρακοῦσαι Θεοῦ; λέγω δὲ κοινὸν καὶ περιφερόμενον ῥῆμα, καὶ μή τις αὐτὸ ὡς τολμηρὸν καταγνῷ· εἰώθαμεν λέγειν τοῖς ἁμαρτάνουσιν, ἀπειλοῦντες αὐτοῖς ἐπιστροφήν, ποιῶ σε μαθεῖν ἐπιστροφήν. ἆρα γνῶσιν λέγει τὴν μάθησιν. τὸ οὖν γνωστὸν

ἀπὸ

Γεν. λϛ. λ.

Κριτ. ϛ. κϛ.

α. Κορ. ϛ. ιη.

Ματθ. ιε ιθ.

ἀπὸ τῆς πείρας τῶν συμφορῶν. ἐπαίδευσεν αὐτὸν γνῶναι πόσοις κακοῖς συνεζεύχθη παρα-
βάς. πρόσεχε τούτῳ μετὰ ἀκριβείας. Εἰ γὰρ καὶ εἴρηται πρῴην, ἀλλ' ἡ ὑπόθεσις ἕλ-
κει τὸν λόγον. ὁ δεδωκὼς τὰ πάντα Θεὸς, ἀόρατος ἦν· ὁ λαβὼν παρὰ τοῦ Θεοῦ τὰ πάν-
τα, ὁρώμενος ἦν· ὁ λαβὼν ἐφαίνετο, ὁ δεδωκὼς οὐκ ἐφαίνετο. μόνος ἦν ὁ ἄνθρωπος·
τὰ ἄλογα περὶ αὐτόν. μετὰ κεφαλῆς οὐδένα εἶχεν. ἔθηκεν αὐτῷ ὁ Θεὸς νόμον, τὸ δένδρον
εἰς ὑπόμνησιν ἐν μέσῳ, ἵνα μὴ λάθῃ λαβὼν τὴν δεσποτείαν. ὅτε περιῄει τρυγῶν τοὺς καρ-
ποὺς μετὰ τῆς γυναικός· ἐπλησίαζε τῷ δένδρῳ· ἔλεγε, μὴ ἁψώμεθα τοῦ δένδρου τούτου.
περὶ γὰρ αὐτοῦ παρήγγειλεν ὁ Θεός· καὶ ἦν τὸ ὁρώμενον ὑπόμνησις τοῦ ἀοράτου· οἷα γίνεται
καὶ νῦν. ἐννόησον πόσοι εἰσὶν ἄρχοντες ἀνὰ πᾶσαν τὴν γῆν. καὶ ἐπειδὴ βασιλεὺς πᾶ-
σι οὐ πάρεστι, δεῖ παρίστασθαι τὸν χαρακτῆρα τοῦ βασιλέως ἐν δικαστηρίοις, ἐν ἀγοραῖς,
ἐν συλλόγοις, ἐν θεάτροις. ἐν παντὶ οὖν τόπῳ, ἐν ᾧ πράττει ἄρχων, δεῖ παρεῖναι, ἵνα βε-
βαιῶται τὰ γινόμενα. ὁ βασιλεὺς μὲν οὖν παρεῖναι πανταχοῦ ὡς ἄνθρωπος οὐ δύναται·
Θεὸν δὲ πάλιν φαίνεσθαι ὡς Θεὸν ἀνθρώποις, ἀδύνατον. δέδωκε τὸ δένδρον χαρακτῆρα τῆς
βασιλείας, ὑπόμνησιν φέρον τῷ Ἀδὰμ, ὅτι πάντων ἔλαβε τὴν δεσποτείαν. γνῶθι
τὸν δεδωκότα τὴν ἐξουσίαν. καὶ ἵνα μάθῃς πῶς ὑπεμίμνησκεν αὐτοὺς τὸ δένδρον, ὅτε ὁ ὄ-
φις ἠθέλησεν ἀπατῆσαι τὴν γυναῖκα, εἶπεν αὐτῇ, Διὰ τί εἶπεν ὁ Θεὸς μὴ φαγεῖν ὑμᾶς
ἀπὸ παντὸς ξύλου; ἡ γυνὴ οὐκ ἐπελανθάνετο τοῦ νόμου, ἀλλὰ καὶ διορθοῦται τὴν ἄγνοιαν, καὶ
φησίν· οὐκ εἶπεν ὁ Θεὸς οὕτως, ἀλλ' ἀπὸ παντὸς ξύλου φαγώμεθα, ἀπὸ δὲ τοῦ ξύλου τούτου,
εἶπεν ὁ Θεὸς, μὴ φάγητε ἀπ' αὐτοῦ, μηδὲ ἅψασθε αὐτοῦ. βλέπε τὴν ἀκρίβειαν * ὁ Θε-
ὸς οὐκ εἶπε, μὴ ἅψησθε. οὐδὲ γὰρ ἔφερε κίνδυνον τὸ ἅψασθαι· ἀλλ' ἐκεῖνοι ζέσιν
ἔχοντες θείαν, τῶν λοιπῶν ἀπολαύοντες, ὥρισαν παρ' ἑαυτοῖς. εἶπεν ὁ Θεὸς, μὴ γεύ-
σησθε τοῦ δένδρου· ἡμεῖς δὲ μηδὲ ἁψώμεθα. τοσοῦτον ἔμελε τῇ γυναικὶ τηρῆσαι τοῦ Θεοῦ τὴν
ἐντολήν. ἦν οὖν τὸ δένδρον ἐν μέσῳ κείμενον, εἰς ὃ ἠπάτησεν αὐτούς. ξένον ἄκουε πρᾶγ-
μα. ἐχρήσατο ὀργάνῳ πρὸς τὴν ἀπάτην, πράγματι ἐμπεφυτευμένῳ τῷ ἀνθρώ-
πῳ. ὁ γὰρ Θεὸς πλάττων τὸν ἄνθρωπον, μετὰ τῆς ἄλλης γνώσεως ἐνέθηκεν αὐτῷ καὶ πόθον
Θεοῦ. ἐπεὶ οὖν εἶδεν ἐν αὐτοῖς τὸν πυρσὸν τοῦ πόθου, λέγει, Γένησθε ὡς θεοί. νῦν, ὡς ἄν-
θρωποι, οὐ δύνασθε εἶναι πάντοτε μετὰ Θεοῦ· ἐὰν γένησθε ὡς θεοὶ, πάντοτε μέλλετε εἶναι
μετ' αὐτοῦ. οὐ γὰρ εἶπεν αὐτοῖς, ἐὰν φάγητε, γίνεσθε πολέμιοι τοῦ Θεοῦ. ἐπιθυμίᾳ οὖν
τῆς ἰσοθεΐας ἀπατᾷ τὴν γυναῖκα, κἀκείνη τὸν ἄνδρα οὐκ ἀπατᾷ, ἀλλὰ πείθει. καὶ μαρ-
τυρεῖ Παῦλος λέγων, Ἀδὰμ οὐκ ἠπατήθη. καὶ διὰ τί κατεκρίθη; ὅρα τὸ δεινόν. ἡ γυνὴ
ἀπατηθεῖσα ἔφαγε· πείθει μετὰ τὸ φαγεῖν καὶ τὸν ἄνδρα, ἵνα μὴ μόνη διατραπῇ. καὶ ἔπεισεν,
οὐκ ἠπάτησεν. ὅτι γίνεται καὶ νῦν πολλάκις· οἶδεν ἄνθρωπος τὴν πίστιν, ἀγαπᾷ τὸν νόμον, ζη-
λοῖ τὴν ὀρθοδοξίαν, καὶ πείθεται τῇ γυναικὶ μὴ δεῖξαι τὸν ζῆλον, οὐκ ἀγνοῶν τὴν ἀλήθει-
αν, ἀλλὰ πειθόμενος τῇ συμβίῳ. πολλοὶ γὰρ ἐνόμισαν ὅτι ἀγνοῶν ὁ Ἀδὰμ ἔλαβε πα-
ρὰ τῆς γυναικὸς, οὐκ εἰδὼς πόθεν ἤγαγε τὸν καρπόν. ἀλλ' οὐκ ἔχει ἀπολογίαν· ὁ γὰρ
Θεὸς ἐλέγχει, λέγων αὐτῷ· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου. οὐκ εἶπεν, ἐπειδὴ ἔλα-
βες παρὰ τῆς γυναικός σου. καὶ μὴν ἠδύνατο εἰπεῖν, ἠγνόουν, οὐκ ᾔδειν πόθεν ἤνεγκε τὸν
καρπόν. τὸ ἔγκλημα τοῦ ἀνδρὸς, οὐχ ὅτι ἠπατήθη, ἀλλ' ὅτι ἐδελεάσθη. ἔλθωμεν λοιπὸν
ἐπὶ τὸ δικαστήριον· ἴδωμεν τὰ ὑπομνήματα τὰ πραχθέντα τὰ ἐπὶ τῆς ἁγίας ἐκείνης καὶ ἀδε-
κάστου δίκης καὶ φιλανθρώπου γινόμενα, τὰ γραφέντα γράμμασιν ἀθανάτοις, ὧν τὴν μνή-
μην καὶ τὴν ὄψιν καὶ τὴν φαιδρότητα οὐδὲ πᾶς ὁ αἰὼν λῦσαι δύναται. πρόσεχε λοιπόν·
Ἤκουσε, φησὶν, ὁ Ἀδὰμ τῆς φωνῆς Κυρίου περιπατοῦντος τὸ δειλινὸν ἐν τῷ παραδείσῳ.
ἀπὸ τοῦ ψόφου ᾔσθετο, καὶ ἀπὸ τῆς συνηθείας, καὶ ἀπὸ τοῦ κτύπου εἶχε Θεὸς φαίνεσθαι. ἐ-
φαίνετο οὐχ ὡς ἦν, ἀλλ' ὡς ἐβούλετο. εὐλογητὸς ὁ Θεὸς τῶν ἁγίων, ὅτι τὸ δειλινὸν τότε τὸν

α. Τιμ. β. ιδ.

Ἀδὰμ

Ἀδὰμ ἐπεσκέψατο, καὶ νῦν ἐπὶ τοῦ σταυροῦ τὸ δειλινόν. εἰς γὰρ κατ' ἐκείνας τὰς ὥρας ὑπέμεινεν ὁ σωτὴρ τὸ πάθος, καθ' ἃς διετέλεσεν ὁ Ἀδὰμ ἀπὸ τοῦ φαγεῖν, ἕως τῆς παραβάσεως καὶ τῆς κρίσεως, ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης. ἕκτῃ ὥρᾳ ἔφαγε· χθμὼν γὰρ φύσεως. μετὰ τὴν ἕκτην ἀπεκρύβη. τὸ δειλινὸν ἦλθε πρὸς αὐτὸν ὁ Θεός. ἐπεθύμησεν Ἀδὰμ γενέσθαι Θεός· ἀδυνάτων δὲ ἐπεθύμησεν. ἔλυσεν αὐτοῦ ὁ Χριστὸς τὴν ἐπιθυμίαν. ἐπεθύμησας σὺ γενέσθαι, ὃ οὐκ ἠδύνω· ἐπιθυμῶ ἐγὼ γενέσθαι ἄνθρωπος, ὃ δύναμαι. ἀντισήκωσε γὰρ αὐτοῦ ὁ Θεὸς τῇ ἀπάτῃ. ἐπεθύμησας τῶν ὑπὲρ σέ, λαμβάνω τὰ ὑπ' ἐμέ. ἰσοθεΐας ἐπεθύμησας· ἰσάνθρωπος γίνομαι. διὰ τοῦτο καὶ Παῦλος λέγει, καὶ Σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος. ἐπεθύμησας γενέσθαι Θεός, καὶ οὐκ ἠγανάκτησα διὰ τοῦτο. θέλω γάρ σε ἰσοθεΐαν ποθεῖν· ἀλλ' ἡ ἀγανάκτησις, ὅτι παρὰ γνώμην τοῦ δεσπότου ἠθέλησας ἁρπάσαι τὸ ἀξίωμα. ἐπεθύμησας γενέσθαι Θεός, καὶ οὐκ ἠδυνήθης· γίνομαι ἄνθρωπος, καὶ τὸ ἀδύνατον δυνατὸν ποιῶ. ὅτι δὲ ἐπιθυμῶν ἦλθε πρὸς τοῦτο, μαρτυρεῖ αὐτὸς λέγων, ὅτε τὸ πάσχα ἤσθιεν ὁ τρέφων μετὰ τῶν τρεφομένων, καὶ τράπεζα παρέκειτο τῷ τρέφοντι πᾶσαν τὴν ὑπ' οὐρανόν· λέγει τοῖς ἀποστόλοις, Ἐπιθυμίᾳ ἐπεθύμησα φαγεῖν τὸ πάσχα τοῦτο μεθ' ὑμῶν. μὴ γὰρ ἐβάσκηνά σου τῇ ἰσοθεΐᾳ; σὺ τὰ ἐμὰ ἠθέλησας ἁρπάσαι, μὴ δυνάμενος· ἐγὼ τὰ σὰ λαμβάνω, δυνάμενος. πρόσεχε. κατῆλθε τὸ δειλινόν, καὶ λέγει· Ἀδάμ, ποῦ εἶ; ἀδελφὰ ἐκεῖνα καὶ ταῦτα. ἑνὸς γὰρ Θεοῦ κἀκεῖνα καὶ ταῦτα. μὴ γὰρ ἄλλος ἦλθεν ἐπὶ τὸ πάθος, ἀλλ' ὁ καταλαβὼν ἐν τῷ παραδείσῳ; ἐκρύβη, ᾔσθετο μετὰ τὸ φαγεῖν. Διηνοίχθησαν γὰρ αὐτῶν οἱ ὀφθαλμοί, φησι, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν. ἐπειδὴ ὁ διάβολος εἶπεν, ᾗ ἂν ἡμέρᾳ φάγητε, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί· ἴδε, φησίν, ἠλήθευσεν ὁ Σατανᾶς. Παύλῳ πρέπει λέγειν, Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. οἴδασιν οἱ ἅγιοι τὰς μηχανὰς τοῦ διαβόλου. ὅρα κακίαν. πόθεν ᾔδει ὁ διάβολος, ὅτι μετὰ τὸ φαγεῖν ἀνοίγονται αὐτῶν οἱ ὀφθαλμοί; μὴ γὰρ τυφλοὶ ἦσαν; λέγει ἡ γραφή, πρὶν φαγεῖν αὐτοὺς ἀπὸ τοῦ δένδρου, Εἶδε, φησιν, ἡ γυνὴ τὸ δένδρον. οὐκοῦν οὐκ ἦν τυφλή. Εἶδε, φησιν, ἡ γυνὴ τὸ δένδρον ὅτι ὡραῖον εἰς ὅρασιν. πρότερον εἶδε, καὶ τότε ἔφαγε. πῶς οὖν ἠνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί; πρόσεχε, παρακαλῶ· ἐνταῦθά ἐστι τὸ ζητούμενον. ὁ διάβολος ἀπὸ ἐκπτώσεως ἦν, τουτέστιν, ἀπὸ παραβάσεως· καὶ ᾔδει τί ἔπαθεν ὁ παραβάς, καὶ τί πάσχουσιν οἱ παραβαίνοντες. κοινὸν δέ ἐστι τὸ πάθος πάντων. καὶ γὰρ σήμερον, ὅταν ἁμαρτάνωμεν, ὡς τυφλοὶ ἁμαρτάνομεν· καὶ ὅταν ἁμαρτήσωμεν, τότε ὁρῶμεν τί ἐποιήσαμεν. οἷον, ὥσπερ εἴ τις ἐγκαλεῖται, διατί τόδε ἐποίησας, προφασίζεται ἀνάγκην. ἀληθῶς οὐκ ἔβλεπον τί ἐποίουν· οὐχ ὡς τυφλὸς ὤν, ἀλλ' ἐπειδὴ ἐν τῇ ἁμαρτίᾳ ὁ λογισμὸς πτεροῦται, ὅλος γινόμενος τοῦ πρᾶξαι, καὶ τυφλοῦται ἐν τῷ πράττειν. βλέπει μετὰ ταῦτα τῇ συνειδήσει τί πεποίηκε· λέγω δὲ ὡς ἐν ὑποθέσει. εἰσέρχεταί τις λῃστεῦσαι ἐπὶ οἰκίας, καὶ εἰσέρχεται ὡς τυφλός· οὐ λογίζεται τὴν ἀπὸ τούτων, τῶν κρατούντων, τὸν φόβον τῶν δικαστῶν, τὸν ἐπηρτημένον κίνδυνον. τετύφλωται γὰρ ὑπὸ τῆς νόσου. ὅταν εἰσέλθῃ, ὅταν λάβῃ, ὅταν κλέψας ἐξέλθῃ, μηδενὸς παρόντος, φόβου πληροῦται, αἰσθάνεται τί ἐποίησε, καὶ λογίζεται ὅτι ἐὰν ζητηθῇ, νοοῦσι τὸ πρᾶγμα τίνος ἐστὶν ἔργον· καὶ ἃ μὴ ἐλογίσατο πράττων, λογίζεται μετὰ τὸ πρᾶξαι. οἷον, ὁ μοιχεύων, καὶ ἐπιρρίπτων ἑαυτὸν ἀλλοτρίῳ πυρὶ εἰσέρχεται, καὶ οὐ λογίζεται ὅτι νόμοι εἰσί, δικαστήρια, κατηγορίαι, ξίφη ἠκονημένα· ἀλλ' ὅταν πράξῃ, δειλιᾷ, ὑποπτεύει παῖδα, παιδίσκην, γείτονα, συγγενῆ· καὶ ἃ μὴ ἔβλεπεν ἐν τῷ πράττειν, βλέπει μετὰ τὸ πρᾶξαι. πάλιν παραινεῖς τινι ἀπέχεσθαι κακῶν· κἂν ἀπειθὴς ᾖ, ἡ συνήθεια τούτῳ λέγει, πολλάκις αὐτῷ εἶπον, καὶ οὐκ ἤκουσεν· οὐχ ὅτι οὐκ ἤκουσεν. ἔπειτα ἐπαγαγὼν αὐτῷ πληγὰς λέγει, διδάσκω σε ἀκούειν· οὐχ ὅτι ἀκοὴν αὐτῷ δίδωσιν, ἀλλ' ὅτι ἡ πληγὴ διορθοῦται τὴν πρόληψιν, καὶ εἰς σύνεσιν αὐτὸν φέρει. οὕτω καὶ ὁ προφήτης· Ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα. ἐπεὶ οὖν ἐξέπεσεν ὁ διάβολος (οὐ γὰρ

Φιλιπ. β. ια.

Λουκ. κβ. ιε.

β. Κορ. β. ια.

Ησ. ν. ε.

ἐπιλέλησμαι τῆς ὑποθέσεως) ἤδη πρὸ τῆς μετὰ τὸ ἐκπεσεῖν, καὶ τότε εἰς αἴσθησιν ἦλθεν ὧν
ἐποίησεν. ἔμαθεν οὖν ἐξ ὧν ἔπαθε, καὶ λέγει, ἐὰν φάγητε, ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί·
τουτέστιν, ὡς καὶ οἱ ἐμοί. οἶδα ἀφ' οὗ παρέβην, τί ἔπαθον· ἔγνων ἃ ἔπαθον, ἔγνων τίνος ἐπέ-
τυχον. εἶτα ἔφαγον, καὶ διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ εἶδον ὅτι γυμνοὶ ἦσαν. πρὸ
5 γὰρ τούτου ἦσαν γυμνοί, καὶ οὐκ ᾐσχύνοντο. ἀπεδύσαντο τὴν ἀθανασίαν, περιῃρέθη ἡ στολὴ
τῆς δόξης, ἐγυμνώθη τὸ σῶμα, καὶ ἦν πηλὸς λοιπόν. εὐθέως βρύει ἡ ἐπίνοια τῶν τεχνῶν.
πρώτη τέχνη τοῦ Ἀδάμ, ῥαπτική. πρὸ πάσης τέχνης ἔλαβε τὰ φύλλα τῆς συκῆς, καὶ ἔρ-
ραψε. τίς ὁ διδάξας; τίς ὁ παιδεύσας; ἔλαβεν ἅπαξ παρὰ Θεοῦ σύνεσιν, εἰκὼν ἦν
Θεοῦ, καὶ ἀμφιβάλλεις περὶ τὴν γνῶσιν; ὅταν ἐννοήσῃς κατὰ σεαυτόν, πόθεν ἄνθρωπος ἄροτρον
10 πρῶτον ἐποίησε, τίς ὑπέδειξε ποιῆσαι ξύλον, καὶ μεσολαβῆσαι σίδηρον, καὶ σφίγξαι, καὶ ζεύγλην ἐπι-
θεῖναι τοῖς βουσί; πόθεν γυνὴ εὗρε τέχνην ἱστουργίας, λαβεῖν πόκον, πλῦναι, ξᾶναι, νῆσαι, τὸ συν-
ημμένον λεπτῦναι, καὶ πάλιν χωρισθὲν συνάψαι; πόθεν τοῦτο; τίς ἐδίδαξε τὸν ποικιλτὴν τὴν ποι-
κιλτικήν; ἕστηκεν ἱστός, ἓν τὸ παραπεμπόμενον, οὐ χεὶρ ἐργαζομένη, ἀλλ' ὁ λόγος ἐργάζεται,
λόγος μορφὰς ἀποτελεῖ. οὐκ ἐπιβάλλει χεῖρας ὁ τεχνίτης, καὶ ὁ λόγος τῆς τέχνης μορφοῖ
15 τὸ ἱμάτιον, καὶ ἐν ὁρωμένοις σχήμασιν ἐγείρεται τὸ βούλημα τοῦ τεχνίτου. εἶτα ὁ ποικιλτὴς οὐ κινεῖ
χεῖρας, καὶ ἐγείρει μορφάς, καὶ ἐὰν ἀκούσῃς ὅτι Θεὸς ἐργάζεται, νομίζεις ὅτι χεῖρας κινῶν ἐργά-
ζεται; καὶ ἐὰν ζητήσῃς παρ' ἑτέρου τέχνην, καὶ παρ' ἑτέρου ἐπίνοιαν, καὶ εἴπῃς, πῶς ἐνόησε τόδε ἢ τόδε, μνημο-
νεύσας τῆς πρώτης φωνῆς τῆς λεγούσης, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, ἔχεις τῆς ἀπορίας
τὴν λύσιν. εἰκὼν Θεοῦ, καὶ οὐ νοεῖ; εἰκὼν Θεοῦ, καὶ οὐ μιμεῖται τὸν δεσπότην; ἔρραψε φύλλα συκῆς. αἰ-
10 σχυνέσθωσαν οἱ ἀλληγοροῦντες, ὅτι ὁ παράδεισος ἐν οὐρανῷ ἐστι, καὶ πνευματικός ἐστιν. ἐν οὐρανῷ
συκῆ τί ποιεῖ; ἀλλ' ἔστω ὁ παράδεισος ἐν οὐρανῷ· οἱ ποταμοὶ πόθεν ἐξέρχονται; οὐκ ἀπὸ γῆς;
εἰ ὁ παράδεισος ἄνω, δῆλον ὅτι καὶ οἱ ποταμοὶ ἄνωθεν ῥέουσι. μὴ γὰρ εἶπεν ἡ γραφή, ποτα-
μὸς κατέρχεται ἐξ Ἐδέμ; ἀλλὰ τὸ σόφισμα. ἐγκαλοῦσιν ἡμᾶς οἱ ἀλληγορηταί. ἐνέδυσε γὰρ
αὐτοὺς ὁ Θεός, φησί, χιτῶνας δερματίνους. ἆρα μὴ βόας ἢ πρόβατα ἔθυσε, καὶ βυρσεῖον
15 ἤνοιξε, καὶ τέχνην βυρσέως ἀπετέλεσε; λέγομεν ἡμεῖς, ὅλον τὸ ζῶον παρήγαγεν ἄνευ συμ-
πλοκῆς, ἄνευ συζυγίας· ὃ μὴ οὖν ἐποίησε, καὶ μέρος τοῦ ὄντος ποιεῖν οὐκ ἠδύνατο; λοιπὸν φι-
λοτιμοῦνται, ἀλλ' οὐδέποτε Θεὸς ποιεῖ μέρος ζώου, οὐδὲν ἀτελὲς ποιεῖ ὁ Θεός. ἀκούει δέρ-
μα, καὶ ζητεῖ πόθεν· οὐκ οὖν ἀκούω κἀγὼ αἷμα ἐν Αἰγύπτῳ, καὶ ζητῶ πόθεν μετέβαλε τὸν
Νεῖλον εἰς αἷμα, ποῖα ἔθυσε ζῶα. ὁ ποταμὸς γέγονεν αἷμα, καὶ οὐδὲν ἐτύθη ζῶον· δέρμα-
30 τα δύο γέγονε, καὶ ζητεῖ ἀπὸ ποίων ζώων ἐγένετο; ἀλλὰ καὶ νῦν ἐκτὸς ζώου δέρμα. προσέχε-
τε τῇ ἀκολουθίᾳ. εἰ καὶ ἡ φωνὴ ἔκαμε, καὶ ἡμεῖς. ἀλλ' ἵνα μὴ ἀκρωτηριασθῇ ὁ λόγος, ὀ-
λίγα ἠρέμα εἰρηκὼς καταπαύσω τὸν λόγον. ἔρραψε φύλλα συκῆς. εἴθε ταύτην τὴν
τέχνην ἔμαθον αἱρετικοί. Ἀδὰμ παραβὰς ῥάπτειν ἔμαθεν· αἱρετικοὶ ἐκτραπέντες σχίζειν
ἔμαθον. Ἀδὰμ παραβὰς ἔρραψεν, ἵνα σκεπάσῃ τὸ ἄσχημον· αἱρετικοὶ πιστεύσαντες σχίζουσιν,
35 ἵνα γυμνώσωσι τὰ ἅγια. πολλάκις ἀκούομεν τὰ ἐπὶ τοῦ σταυροῦ, καὶ θαυμάζομεν ὅτι στρατιῶ-
ται ἔλαβον τοῦ Χριστοῦ τὰ ἱμάτια, καὶ ἐμερίσαντο, καὶ εὐθέως ἡμῶν ἡ διάνοια λέγει· πολλὴ ἡ τοῦ
Θεοῦ μακροθυμία, μὴ κατελθεῖν κεραυνόν, μὴ κατελθεῖν ῥομφαίαν. ἀλλ' ὕβριζεν ὁ ἄγγε-
λος, καὶ αἱ βέβηλοι χεῖρες οὐκ ἐκόπησαν; θαυμάζεις ὅτι ἐτόλμησαν ἐκεῖνοι οἱ στρατιῶται με-
ρίσασθαι τὰ ἱμάτια; θαύμασον ὅτι οὗτοι διέρρηξαν τὸ ἱμάτιον τῆς ἐκκλησίας. οἱ στρατιῶται
40 εἶδον τὸν χιτῶνα τοῦ Χριστοῦ ἄρραφον, ἐκ τῶν ἄνω ὑφαντὸν δι' ὅλου, καὶ ἐφείσαντο τοῦ ἱματί-
ου· αἱρετικοὶ δὲ τὴν ἐσθῆτα τοῦ Χριστοῦ, τὴν στολὴν τῆς ἐκκλησίας ἔσχισαν, ἐμερίσαντο,
κατέτεμον. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἔρραψε φύλλα συκῆς. ἤκουσαν τοῦ
Θεοῦ περιπατοῦντος, ὡς ἔνι ἀκοῦσαι· ἤκουσαν, καὶ ἐκρύβησαν. εὐγνώμων ἡ φύσις· κἂν μυ-
ριάκις ὦμεν ἁμαρτωλοί, ἡ συνείδησις ἡμῶν ἐλευθέρα ἐστίν. διότι τὸ πρόσωπον ἀναισχυν-
τεῖ,

Ἰωαν. ιθ. κγ.

τῇ, καὶ ἡ συνείδησις ἐλέγχει· ἐνίοτε ἡ γλῶττα, τί γάρ ἥμαρτον; καὶ ἡ συνείδησις ἐλέγχει ἔσωθεν. ἁπλούστατοι ἦσαν καὶ ἀκέραιοι οἱ περὶ τὸν Ἀδάμ, ὡμολόγουν μετ᾽ ἀληθείας. ὁ Θεός φησι, ποῦ εἶ; πολλοὶ ἀσεβῶς ἐθεώρησαν· δεῖ δὲ προσέχειν τῇ ἀκριβείᾳ. καὶ γάρ καὶ τὰ ἐκείνων δεχόμεθα, ἐπειδὴ εὐσεβῆ· καὶ ταῦτα λέγω, ἐπειδὴ ἀληθῆ. Ἀδάμ, ποῦ εἶ; πόθεν; ποῦ κατῆλθες; ἀπὸ ποίας δόξης ἐξέπεσες; ἀληθῶς δεχόμεθα τὴν ἔννοιαν ὡς εὐσεβῆ. ἔχει γάρ καὶ τὸ εὐπρόσωπον, καὶ τὸ συμπαθές. ἀλλὰ ζητῶ τὴν ἀκολουθίαν. Ἀδάμ, ποῦ εἶ; ἐρωτᾷ ὁ Θεός· ἤδει ὡς πλάστης τοῦ πλάσματος τὴν φύσιν, ὅτι πᾶς ὁ ἁμαρτήσας, ἀπαρρησίαστος, καὶ ὅτι τοῖς ἁμαρτάνουσι ῥαπίζεται τὰ στόματα· προσέχει ὅτι διὰ τὸ μὴ ἔχειν παρρησίαν, ἔφυγε. δοῦλος τότε μάλιστα ἀγωνιᾷ, ὅταν αἴσθηται ὅτι ἔμαθεν ὁ δεσπότης αὐτοῦ τὸ γενόμενον· ἕως δὲ ἀγνοεῖ ὁ δεσπότης, ἑαυτὸν παραμυθεῖται ὡς δυνάμενος λαθεῖν. ὁ Ἀδὰμ ἔφυγεν ὡς γνωσθείς· ὁ Θεὸς προσεποιεῖτο ἄγνοιαν, ἵνα τὸν φόβον αὐτοῦ καταλύσῃ· ὡς λέγομεν ἡμεῖς περὶ φίλου, ἐποίησα ἐμαυτὸν εἰς τὸ μὴ εἰδότα, ἵνα μὴ λυπήσω αὐτόν. πολλάκις γάρ γίνεται παρ᾽ ἡμῖν ταῦτα· εἰ δὲ παρ᾽ ἡμῖν τοιαῦτα γίνεται, πολλῷ μᾶλλον παρὰ Θεῷ τῷ φιλανθρώπῳ. Ἀδάμ, ποῦ εἶ; ἀντὶ τοῦ, οὐκ οἶδα. εἶτα τοῦ Θεοῦ προσποιουμένου ἄγνοιαν, ἡ εὐγνώμων καὶ ἐλευθέρα ψυχὴ οὐκ ἔκρυψε· Τῆς φωνῆς σου ἤκουσα, καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. διὰ τί ἐφοβήθης; διὰ τί ἐκρύβης; ἐφοβήθην διὰ τὴν παράβασιν· ἐκρύβην διὰ τὴν γύμνωσιν. ἀληθῶς ἔστι κλαῦσαι ἐπὶ τῇ φωνῇ τοῦ παραβάντος· τῆς φωνῆς σου ἤκουσα, ἐκείνης τῆς ποθουμένης, ἐκείνης τῆς πάντα μοι χαρισαμένης, ἐκείνης τῆς ἀγαθά μοι χαρισαμένης καὶ πραγματευσαμένης. ἤκουσα τῆς φωνῆς σου, ἐνενόησα ποίας φωνῆς κατέλυσα, ποίας φωνῆς κατεφρόνησα, καὶ ἐφοβήθην τοιούτου δεσπότου ἐντολὴν παραβάς, καὶ ἐκρύβην, ὅτι γυμνός εἰμι. εἶτα ὁ Θεὸς ἐπιμένει τῇ προτροπῇ· τίς σοι εἶπεν ὅτι γυμνὸς εἶ; εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες; ἀντὶ τοῦ, εἰ μὴ πάντως ἐκεῖνο ἐποίησας, ὃ ἐκώλυσα. ὅρα πῶς ἐρωτᾷ ὡς ἀγνοῶν. εἰ μὴ ἐξ ἐκείνου τοῦ δένδρου, οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἔφαγες; καὶ βλέπε τοῦ Θεοῦ τὸ φιλάνθρωπον. τίς σοι εἶπε; διὰ τοῦτο μακρύνει τὴν ὁμιλίαν, ἵνα λύσῃ τὸν φόβον, καὶ ἐγείρῃ παρρησίαν. ἐνενόει γὰρ ὁ Ἀδὰμ πῶς οὐδὲν σκληρόν, οὐδὲν ἀπότομον, οὐχ ὕβρεις, οὐ πληγαί. ἔχεις διδάσκαλον τὴν συνήθειαν. δοῦλος ἁμαρτήσας ἐὰν προσέλθῃ τῷ δεσπότῃ, ἀπὸ τῆς πρώτης φωνῆς ἢ θάρσος, ἢ φόβον λαμβάνει. ἐὰν ἄρξηται ἀγανακτεῖν, καὶ κλέπτην καὶ δόλιον ὀνομάζειν καὶ μυρίων θανάτων ἄξιον, παραλύεται· ἐὰν ἀκούσῃ αὐτοῦ ὀνειδίζοντος, ἄθλιε, τί ἐγένετό σοι τοῦτο; διὰ τί ἥμαρτες; εὐθέως ἐφοδιάζεται, καὶ θαρρεῖ τέως· οὐ γὰρ ὡς δεσπότης κολάζει, ἀλλ᾽ ὡς διδάσκαλος νουθετεῖ. οὕτω καὶ ὁ Θεός· τίς σοι εἶπεν ὅτι γυμνὸς εἶ; εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες; μὴ γὰρ πολλὰ ἐκώλυσα; ἓν μόνον ἐκώλυσα, καὶ τοῦτο οὐ μισῶν, ἀλλὰ προνοῶν. τίς σοι εἶπεν ὅτι γυμνὸς εἶ; οὐδὲν αἰσχυνόμενον εἶπεν, οὐκ ᾔδει· ἀλλὰ τί; ἡ γυνή, ἣν ἔδωκάς μοι, αὕτη μοι ἔδωκε, καὶ ἔφαγον· ἀντὶ τοῦ, ἡ δοθεῖσά μοι πρὸς βοήθειαν. ἤκουσα γὰρ ὅτι ἐπλάσθην ἐγώ, ἐκείνη δὲ οὐδέπω, λέγοντος, ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν. ἣν ἔδωκάς μοι, αὕτη μοι ἔδωκεν. οὐκ εἶπεν, ἠπάτησεν, οὐκ, ἐψεύσατο· αὕτη μοι ἔδωκε, καὶ ἔφαγον. εἶτά φησιν ὁ Θεός· καὶ ἐχρῆν σε γυναικὶ πιστεῦσαι, καὶ μὴ ἐμοί; καὶ ἀξιοπιστοτέρα ἡ γυνὴ ὑπὲρ ἐμέ; ἐγὼ τὰ ἀγαθὰ δέδωκα, πράγμασί σε ἐτίμησα· ἐκείνη ῥήμασιν ἐδελέασε. καὶ βλέπε· ὥσπερ δικαστὴς ἐὰν δέξηται ἀπολογίαν τοῦ δικαζομένου, καὶ μηκέτι ἐξετάσῃ αὐτόν, ἀλλὰ μεταβῇ ἐπὶ τὸν ἄλλον, εὐθέως θαρρεῖ, καὶ λέγει, τέως ἐγὼ ἐξεπάσθην· οὕτω καὶ ὁ Θεὸς μεταβαίνει ἀπὸ τοῦ Ἀδάμ, ἵνα λύσῃ αὐτοῦ τὸν φόβον, καὶ λέγει τῇ γυναικί, τί τοῦτο ἐποίησας; λέγει ἐκείνη, ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον. ἐπειδὴ ὅλως ἀληθῆ εἶπεν, οὐχ ὑβρίζει τῆς ἀληθείας τὴν ἀπολογίαν, ἀλλὰ καταλιμπάνει αὐτὴν ἀνεξέταστον. οὐκ εἶπε, καὶ ἐπιστεύ-

θη ἐκεῖνος, ἤκουεν ὁ ὄφις, ὑπὲρ ἐμέ; ἐπηγγείλατο ἰσοθεΐαν, καὶ προεξένησε θάνατον. ἀλλ' οὐ κρίνει εὐθέως, ἀλλὰ μᾶλλον ὡς ἀσθενεστέρου σκεύους ἐφείσατο, καὶ χωρεῖ ἐπὶ τὸν ὄφιν, ἵνα πείσῃ κἀκεῖνον κἀκείνην, ὅτι ἐπὶ τὸν αἴτιον χωρεῖ, καί φησιν· ὅτι τοῦτο ἐποίησας. Εἶδες θαυμασίαν κρίσιν; τοὺς ἀπατηθέντας ἐρωτᾷ, τὸν ἀπατήσαντα οὐκ ἐρωτᾷ. οὐ λέγει αὐτῷ, τί ἐποίησας; ἀλλ', ἐπειδὴ τοῦτο ἐποίησας. κατὰ ταύτην τὴν εἰκόνα Δαβὶδ λέγει, Οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει· οὐχ ὅτι οὐκ ἐγείρονται, ἀλλ' ὅτι οὐκ ἐξετάζονται. ἐπειδὴ τοῦτο ἐποίησας. ἡ πρὸς τὸν ὄφιν ἀπειλὴ ἐκούφισε τὰς πληγὰς τῶν ἀπατηθέντων. Εἰ μή, φησιν, ἐκείνῳ ὁ Θεὸς ἐπέγραψεν ὅλα, οὐκ ἂν ἀνεξετάστως αὐτὸν ἔκρινεν. ἐπειδὴ τοῦτο ἐποίησας, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ. ἐπειδὴ τοῦτο ἐποίησας· ἐπειδὴ καρδίαν ἠπάτησας, καὶ τὴν κοιλίαν ἔπεισας βρώματος ἅψασθαι, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ. οὐχ ὡς ποσὶ κεχρημένου δὲ πρότερον, νῦν ἀποφαίνεται Θεὸς τὸν ἐπὶ τῆς κοιλίας περίπατον, ἀλλ' ἐπειδὴ ὀρθὸς ἑστηκὼς τῇ γυναικὶ διελέγετο. οὐ γὰρ ἦν ἄλλως αὐτὸν τὴν πρὸς τὴν Εὔαν ποιεῖσθαι διάλεξιν. αὐτὸ δὲ τῆς διαλέξεως σχῆμα μεθ' οὗ Εὔαν ἠπάτησε, τοῦτο κατὰ τῷ στήθει περιπάτῳ κολάζει, καὶ τῆς ἀνατεταγμένης ἐκβάλλει βαδίσεως. Εἰ γὰρ καὶ ἄπους ἐξ ἀρχῆς διεπέπλαστο, ἀλλὰ κύκλοις γοργοῖς τισιν κάτωθεν ἑλιγμοῖς ἀνορθούμενος, τεταμένοις τοῖς στήθεσιν ἵππευε. διὸ καὶ νῦν ὁ ὄφις πολλάκις θυμούμενος ἀνίστησιν ἑαυτόν, καὶ κυκλικῶς ἑλισσόμενος τρέχει· προβὰς δὲ ὅσον δεῖξαι τοῦ παλαιοῦ βαδίσματος τὴν μνήμην, πάλιν ὑπὸ τῆς ἀποφάσεως καταβάλλεται νόμῳ. καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ τῆς γυναικός. τί ἐστι δέ, γῆν φαγῇ; ὃ προεξένησας γενέσθαι τῷ Ἀδάμ, τοῦτο ἔσθιε. μέλλει γὰρ ἐκεῖνος ἀκούειν, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ τῆς γυναικός. ἐπεὶ ὡς φίλην ἠπάτησας, ὡς ἐχθρὸς ἐκβάλλῃ. ἐκεῖνος ὁ λόγος νόμος ἐγένετο. πρόσεχε τοίνυν· γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. ὅρα, οὐ τοῦτο περὶ τοῦ ὄφεως λέγει, ὅτι ἔσται σοι σιτίον ἡ γῆ. οὐδὲ γὰρ ἀεὶ τοῖς ὄφεσι δὲ ἐσθιόμενον γῆ, ἀλλὰ καὶ κρέασι τρέφονται, καὶ καρποῖς εὐωχοῦνται, καὶ σπερμάτων ἐφάπτονται, καὶ βοτάνας θηρῶσιν. ἀλλὰ διὰ τοῦ εἰπεῖν, γῆν φαγῇ, τοῦτο λέγει· δαπανήσεις, φησί, τὴν γῆν, ἐπ' αὐτὴν ἐπερειδόμενος. ἀλλὰ λέγουσί τινες· Εἰ ὁ διάβολος ἠπάτησε, διὰ τί ὁ ὄφις τὴν κατάραν ἐδέξατο; τὸν ἀόρατον δαίμονα ἀοράτῳ μαστίζει πληγῇ· τὸ δὲ ὁρώμενον ὄργανον ὁρωμένῃ ὑποβάλλει τιμωρίᾳ. διὰ τί; ὥσπερ ἀόρατος ὢν ὁ Θεός, ἔδωκεν ὁρώμενον ὑπόμνημα τὸ δένδρον· οὕτως ἀόρατος ὢν ὁ διάβολος ἀνθρώποις λέγει διὰ τοῦ ὄφεως. ὑποβάλλει τοίνυν ὁ Θεὸς τὸν ὄφιν κατάρᾳ, ἵνα καὶ τὸν διάβολον τίς τί ἔπαθε, τὸν ὄφιν ἀεὶ βλέπων συρόμενον τὸν ποτὲ διανεστηκότα, εἰς ὑπόμνησιν λάβῃ, ὅτι εἰ ὁ ὑπουργὸς τῆς κακίας οὕτω κολάζεται, ὁ αὐτουργὸς πόσον; πρόσεχε τοίνυν. τούτου ἀδελφὰ εὑρίσκεις ἐν τῷ εὐαγγελίῳ. ὥσπερ γὰρ ἐν τῷ ὁρωμένῳ ὄφει τὸν λαλοῦντα κατέκρινε μετὰ τοῦ ὁρωμένου· οὕτω καὶ ἐν τῷ εὐαγγελίῳ ὅτε οἱ δαίμονες ἠξίουν τὸν Χριστὸν μὴ πεμφθῆναι εἰς τὴν ἄβυσσον, ἔλεγον, Ἐπίτρεψον ἡμῖν εἰσελθεῖν εἰς τοὺς χοίρους. ἐπέτρεψεν εἰσελθεῖν, ἵνα τοὺς ἀοράτους σὺν τοῖς ὁρωμένοις σώμασι καταποντίσῃ. γῆν φαγῇ. ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ τῆς γυναικός. τὴν φιλίαν εἰς ἔχθραν μετέστησε, καὶ νόμος ἐγένετο ὁ λόγος. καὶ τὰ μὲν ἄλλα θηρία σπουδάζουσιν οἱ ἄνθρωποι ἡμερῶσαι· ὄφιν δὲ ἐάν τις ἴδῃ, σφαδάζει. μέμνηται γὰρ ὁ ὅρος, ἔχθραν θήσω ἀνὰ μέσον σου. κἂν ἐν οἰκίᾳ ἴδῃ, φονεῦσαι θέλει· κἂν ἐν ὁδῷ ἴδῃ, μάχεται φονεῦσαι. κινεῖ γὰρ αὐτὸν ὁ ἀρχαῖος λόγος. μυρίας ἐὰν δῷ πληγὰς τῷ ὄφει, ἐὰν ἴδῃ τὴν κεφαλὴν μὴ τρωθεῖσαν, εὐθέως παρεγγυᾶται τῷ ἐφεστῶτι, τὴν κεφαλὴν οὐκ ἔπληξας τοῦ ὄφεως, κατὰ τῆς κεφαλῆς κροῦσον· ἐπειδὴ ὁ Θεὸς εἶπεν, Αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. τί δὲ τοῦτό ἐστιν; οὐ λέγει, ὅτι ποιήσω τὸν ἄνθρωπον κατὰ τῶν ἄλλων τοῦ σώματός σου μερῶν μὴ καταχρῆσθαι πληγῇ, μό-

Ψαλ. α. ε.

Λουκ. η. λα. λβ.

ναι δὲ κολάζειν τὴν κεφαλήν. κέκτηται γὰρ ὁ ἄνθρωπος καὶ τὰς κατὰ πάντων τῶν μελῶν ἐπὶ τὸν ὄφιν πληγάς, ὥστε ὅθεν ἂν πλήξῃ, τὸ πᾶν τιμωρούμενος. καὶ τὸ πρὸς τὸν ὄφιν δὲ παρὰ τοῦ δεσπότου ῥηθέν, ὅτι σὺ αὐτοῦ τηρήσεις πτέρναν, αὐτὸ τὸ κηρύττει τὸ κατὰ τῆς πτέρνης διδάξαι τοῖς ὄφεσιν ἔφοδον. ἐπέρχεται γὰρ ἐάν ὅτε καὶ καθεύδουσιν, ἐπιλαμβάνεται γαστρὸς πολλάκις, ἐνίησιν ἰόν, καὶ χερσὶ προσάγει καὶ τοῖς λοιποῖς μέλεσι δήγματα· καὶ ὅλως οὐδὲν αὐτῷ τῶν ἀνθρωπίνων μελῶν ἐμπεσὸν ἀχείρωτον μένει. ἀλλ᾿ ἡ τῆς ἀποφάσεως διάνοια τοιαύτη· οὐκ ἔτι, φησί, πρὸς ἐπιβουλὴν ἀνθρώπου ὁ ὄφις παρρησιάσεται, ἀλλ᾿ εἴσω μένων, τοσοῦτον ἕξεις τῶν ἀνθρώπων τὸν φόβον, ὥστε φωλεοῖς ἐγκατακρύπτειν σαυτόν, καὶ μόλις ἐξ ὀπῶν μετὰ φόβου παρακύπτειν, τὰς τῶν ἀνθρώπων παρόδους μόνον τηροῦντα πρὸς ἀκίνδυνον πρόοδον. ὁ δὲ ἄνθρωπος, φησιν, ἐν ἀδείᾳ περιπατήσει, τῆς σαυτοῦ κεφαλῆς ἐν φωλεοῖς τηρουμένης, ὡς ἐχθροῦ κρυπτομένου, οὐ φθεγγομένης πρὸς αὐτόν, ὡς πρὸς φίλον. ἀλλ᾿ ἐπειδὴ ὁ καιρὸς ἐπείγει, πληρώσωμεν καὶ ἡμεῖς τὸν λόγον. ἠρώτησε τὴν ἀπατηθεῖσαν, μεταβαίνει ἐπὶ τὸν ἀπατήσαντα. ἡ ἀπόφασις λοιπὸν ἀπὸ τῆς ῥίζης ἤρξατο τοῦ ἀπατήσαντος· εἶτα ἦλθεν ἐπὶ τὴν ἀπατηθεῖσαν, καὶ ἀπειλεῖ. ἡ πρώτη φωνὴ πρὸς τὸν ὄφιν, ἐπικατάρατος· καὶ εἶπεν ὁ Θεὸς τῇ γυναικί, πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τοὺς στεναγμούς σου. οὐ καταρᾶται, ἵνα μὴ τίκτῃ, ἐπειδὴ προέφθασας εὐλόγησεν. ὅτε γὰρ ἔπλασεν αὐτούς, λέγει· καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν. λέγει δὲ Παῦλος, Ἀμεταμέλητα τὰ χαρίσματα τοῦ Θεοῦ. *Ρωμ. ια. κθ.* οὐ καταρᾶται οὖν οὓς εὐλόγησεν, ἀλλὰ τί; ξένον φάρμακον προσάγει τῷ τραύματι, λύπας καὶ στεναγμόν. σχῆμα ἐστὶν ἀποφάσεως πληθύνσεως, λύσιν δὲ τοῦ πταίσματος ἐπαγγελλόμενον, Πληθύνων, φησί, πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου. φάρμακα μετανοίας προσέχει. ὥσπερ οἱ ἰατροὶ ἐν τῷ αὐτῷ φαρμάκῳ καὶ σήπουσι καὶ θεραπεύουσι, καὶ τὸ αὐτὸ σιδήριον καὶ ἡ αὐτὴ τομὴ καὶ ἡ αὐτὴ ὀδύνη μετὰ τῆς τομῆς σωτηρίαν γεννᾷ, οὕτως ὁ Θεὸς δίδωσι δύο ἐφόδια μετανοίας τῇ ἁμαρτησάσῃ, λύπην καὶ στεναγμόν. τί ὠφελεῖ λύπη; ἄκουε Παύλου λέγοντος· Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται. *β. Κορ. ζ. ι.* καὶ τί ἐργάζεται στεναγμός; ἄκουε Ἠσαΐου· Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ. *Ησ. λ. ιε.* πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου. ἡ λύπη ἀμορφοῖ μὲν τὸ ἔξω πρόσωπον καὶ στυγνὸν ποιεῖ· Καρδίας εὐφραινομένης θάλλει πρόσωπον, ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει. *Παροιμ. ιε. ιγ.* ἐπειδὴ εἶδεν ὁ ὀφθαλμὸς τὸ δένδρον, καὶ ἐλογίσατο τῇ διανοίᾳ ἰσοθεΐαν, δίδωσιν ὁ Θεὸς στεναγμὸν τῇ καρδίᾳ, καὶ λύπην τῷ προσώπῳ, ἵνα δι᾿ ὧν ἥμαρτε, κολασθῇ, καὶ ἵνα πείσῃ αὐτὴν ἡ τιμωρία, μᾶλλον δὲ σωτηρία, τὴν γυναῖκα, ὅτι οὐκ ἐψεύσατο τὴν ἀρχαίαν εὐλογίαν. εἰπὼν γὰρ αὐτοῖς, Πληρώσατε τὴν γῆν, λέγει, Ἐν λύπαις τέξῃ τέκνα. τὸ μὲν τίκτειν οὐκ ἀναιρεῖ· ἅπαξ γὰρ εὐλόγηται· ἀλλὰ ὀδυνήσεις ἐν πόνοις, ἐν ταραχαῖς. ἐκείνη ἡ λύπη βαρυτάτη. καὶ μαρτυρεῖ ὁ σωτήρ· Ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει. *Ιωαν. ις. κα.* λυπεῖται τίκτουσα, μεριμνᾷ τρέφουσα. ἐὰν ᾖ ὁ παῖς ἐν ἡλικίᾳ, μεριμνᾷ μὴ ἀνάπηρος ᾖ· ἐὰν ἀποδημῇ, μὴ ἀποθάνῃ, μὴ νοσήσῃ, μὴ ὀδυνᾶται. τοῦτο ὁ ἀνὴρ οὐκ ἔχει. κἂν γὰρ μεριμνήσῃ ὁ πατήρ, οὐχ οὕτως ὡς ἡ μήτηρ, ἀλλὰ παραμυθεῖται ἑαυτόν, λέγων· ἄνθρωπός ἐστιν, οἶδεν ἑαυτῷ προστῆναι, καὶ οὐ μεριμνᾷ. διὰ τί; ὅτι οὐκ ἤκουσεν αὐτός, ἐν λύπαις τέξῃ τέκνα. ξένον εἶδος δίκης· ἡ πεῖρα μάρτυς. ὅταν ὠδῖνες λάβωσι γυναῖκα, οὐδὲ ἐν αὐτοῖς τοῖς πόνοις ἀπαγορεύει τὸν ἄνδρα. οὐ λέγει, εἴθε μὴ ἦν γάμος, εἴθε μὴ ἦν τεκνογονία. οὐ συγχωρεῖ αὐτῇ ὁ Θεός, οὔτε μετὰ τὴν πεῖραν μισῆσαι τὸν ἄνδρα· ἀλλ᾿ οἶδε καὶ τί ἔπαθε, καὶ τί ὑπέστη, καὶ ἀγαπᾷ τὸν ἄνδρα. διὰ τοῦτο, ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. ἐπειδὴ ἄρτι κακῶς ἐκυρίευσας, καὶ ἐγένετο δοῦλος τῆς σῆς αἱρέσεως, λύω τὴν ἀκολουθίαν· αὐτὸς δεσποζέτω ὁ μὴ ἀπατηθείς. διὰ τοῦτο Παῦλος λέγει· Γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός. *α Τιμ. β. ιβ.* κακῶς γὰρ προ-

τὸ ἐδίδαξεν ἐν παραδείσῳ. οὐδὲ αὐθεντεῖν ἀνδρός· κακῶς γὰρ ηὐθέντησεν. ἆρα οὕτω κατὰ
ταύτην τὴν ἔννοιαν παραινεῖ ὁ Παῦλος μὴ διδάσκειν γυναῖκα, διὰ τὰ ἐν παραδείσῳ γι-
νόμενα. μὴ ἡμεῖς σοφιζώμεθα, ἄκουε αὐτοῦ· γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ
αὐθεντεῖν ἀνδρός. καὶ ἵνα δείξῃ ὅτι διὰ τὰ πρῶτα, ἐπάγει· Ἀδὰμ γὰρ οὐκ ἠπατήθη, ἡ δὲ
γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. τί οὖν; ὑποβέβληται τῇ καταδίκῃ τὸ τῶν γυ-
ναικῶν γένος, καὶ μένει ἐν λύπαις, καὶ οὐ λύεται ὁ δεσμός; ἦλθεν ὁ Χριστὸς ὁ λύων τὸν δεσμόν,
ἀπελύτρωσεν ἡ κυριοτόκος· ὑπὲρ τοῦ γένους ἀπολογουμένη, ἡ ἁγία παρθένος αὕτη τῆς παρθένου
(παρθένος γὰρ ἦν καὶ ἡ Εὔα ὅτε ἥμαρτεν) ἔλυσε τὴν λύπην καὶ τὸν στεναγμὸν τῆς καταδεδικα-
σμένης. ὥσπερ γὰρ ἐάν τις κληθῇ εἰς τὰ βασίλεια, σπουδάζει τοὺς ἰδίους τιμῆσαι, κἂν ὦ-
σιν ἐν ἀνάγκῃ, ἀπολῦσαι· οὕτω κληθεῖσα ἡ ἁγία παρθένος εἰς τὰ βασίλεια ὑπηρετήσα-
σθαι τῇ θείᾳ γεννήσει, ἐλθοῦσα εἰς ξένας ὠδῖνας ταύτην πρώτην αἰτεῖ χάριν, μᾶλλον δὲ
λαμβάνει. ἐπεὶ οὐκ ἔπρεπε τὴν κατάδικον γυναῖκα γεννῆσαι τὸν ἀνεύθυνον, ἔρχεται ὁ
λύων πρῶτον τῆς Εὔας τὴν λύπην διὰ χαρᾶς, ἔρχεται ὁ ἄγγελος λέγων τῇ παρθένῳ, Χαῖ- Λουκ. α. κη.
ρε κεχαριτωμένη. εἶτα διὰ τοῦ χαῖρε λύει τὸν δεσμὸν τῆς λύπης. χαῖρε· ἦλθεν ὁ λύων τὴν
λύπην. χαῖρε κεχαριτωμένη· ἐπεὶ ἕως νῦν κεκατηραμένη. ὧδε περίσσευε τῇ τοῦ Θε-
οῦ χάριτι. χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ. ἐπεὶ μετ' ἐκείνης ὁ ὄφις ἐν λύπῃ,
χαῖρε, ἐπεὶ μετὰ σοῦ ὁ Θεός. καὶ βλέπε τὴν φωνὴν τοῦ ἀγγέλου, πῶς ὅλην ἑρμηνεύει τοῦ
Χριστοῦ τὴν οἰκονομίαν. χαῖρε κεχαριτωμένη. ἐπεὶ ἐκείνη διπλῆν ἔλαβε κατάραν,
τὴν λύπην, καὶ τὸν στεναγμὸν τὸν ἐπὶ τῶν ὠδίνων, εἰσάγει τὸν τοκετὸν τὸν λύοντα ἐκεῖνον τὸν τό-
κον· Ἰδοὺ συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει Λουκ. α. λα. καὶ
τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. τὰς ἁμαρτίας τῶν σῶν πατέρων λύει ὁ ἐκ σοῦ Ματθ. α. κα.
βλαστάνων καρπός. λοιπὸν μετεβλήθη τὸ πρᾶγμα. τὴν Εὔαν ἕως σήμερον οἱ ἀκούον-
τες ταλανίζουσιν· οὐαὶ τῇ ἀθλίᾳ, οἵας δόξης ἐξέπεσεν· οὐαὶ τῇ ἀθλίᾳ, τί ἔπαθεν; ἡ Μαρία
καθ' ἑκάστην ἡμέραν ἀκούει παρὰ πάντων μακαρία, ἀμέλει πλησθεῖσα πνεύματος ἁγίου.
καὶ αὕτη ἡ παρθένος λοιπὸν προφητεύσασα, ἄκουσον τί λέγει· Εὐλογητὸς Κύριος ὁ Θεὸς Λουκ. α. μη.
τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἀπὸ γὰρ τοῦ νῦν μακαριοῦ-
σί με πᾶσαι αἱ γενεαί. ἵνα δείξῃ ὅτι τὸ πρόσωπον τῆς Εὔας φέρει, ἕως νῦν, φησιν, ὑβριζομέ-
νην, ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. καὶ τί, φησιν, ὠφέληται μὴ ἀκούουσα;
μάλιστα μὲν οὖν ἀκούει, ἐκ τοῦ ἐν τόπῳ φωτεινῷ, ἐν χώρᾳ ζώντων εἶναι, ἡ μήτηρ τῆς σωτηρίας,
ἡ πηγὴ τοῦ αἰσθητοῦ φωτός· αἰσθητοῦ δὲ λέγω τὴν σάρκα, νοητοῦ δὲ λέγω τὴν θεότητα. οὕτως
οὖν δι' ὅλου μακαρίζεται· ἀλλὰ καὶ ὡς ἔτι ἔζη ἐν σαρκί, ἐμακαρίζετο. ἤκουσε γὰρ τοῦ μα-
καρισμοῦ ἔτι ἐν σαρκὶ οὖσα. ἐκείνη πρῶτον εἶδε, καὶ τότε ἐγεύσατο τοῦ δένδρου· αὕτη πρῶ-
τον εἶπε, καὶ τότε ἤκουσε τοῦ μακαρισμοῦ. ὅτε γὰρ ὁ σωτὴρ ἐδίδασκεν, ἐπῆρε γυνή τις φω-
νὴν ἐκ τοῦ ὄχλου, καὶ λέγει αὐτῷ, πάντων ἀκουόντων· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, Λουκ. ια. κζ.
καὶ μαστοί, οὓς ἐθήλασας. ἀλλ' ἐπὶ τοῦ Ἀδὰμ ἐπλήρωσεν ὁ Θεὸς τὴν ἀπόφασιν, μᾶλλον δὲ
τὴν ἴασιν τῆς μετανοίας, καὶ λέγει· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ
ξύλου, οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. πάλιν ὁ εὐλο-
γημένος οὐ λαμβάνει τὴν κατάραν, ἀλλ' ἡ γῆ. ἄλλος ἥμαρτε, καὶ ἄλλη τύπτεται. ὥσπερ ἡ
τῆς Εὔας κατάρα (μᾶλλον δὲ ἐπιτίμησις· οὐ γὰρ ἦν κατάρα, ἀλλὰ διόρθωσις) ὥσπερ
ἡ ἐπιτίμησις τῆς Εὔας, ἐν λύπαις τέξῃ (καὶ γὰρ πᾶσα γυνὴ ἐν λύπαις τίκτει) ἔμεινεν ἕως ἄρ-
τι· οὕτω καὶ τοῦ Ἀδάμ· ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου. ἡμῶν παραίτια τὰ ἔργα, καὶ ἡ
γῆ μαστίζεται· ἡμεῖς ἁμαρτάνομεν, καὶ ἡ γῆ δέχεται τὴν κατάραν. φείδεται ὁ Θεὸς τοῦ
πλάσματος, ὡς εὐγενοῦς παιδός, καὶ τύπτει τὴν γῆν ὡς παιδαγωγόν. ἐπικατάρατος ἡ γῆ
ἐν τοῖς ἔργοις σου. μὴ τῇ φύσει πρόσεχε, ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι. οὐκ εἶπεν, ἐπικα-

τάρατος ἡ γῆ· ἐπεὶ ἔμελλε κατηραμένη, καὶ καρποὺς οὐκ ἔφερεν. ὥσπερ εἶπε τῇ συκῇ, Μηκέτι ἐκ σοῦ καρπὸς ἐξέλθῃ, καὶ ἐξηράνθη· οὕτως εἶχε γενέσθαι καὶ ἡ γῆ. ἀλλὰ λέγει, ἐν τοῖς ἔργοις σου. ὅταν ἁμάρτω, τύπτεται ἡ γῆ· ὅτε εὐοδοῦμαι, εὐλογεῖ αὐτήν. καὶ βλέπε τὸ θαυμαστόν· ὅτε ἔκτισεν ὁ Θεὸς τὴν γῆν, τὴν θάλασσαν, τὰ πετεινά, τὰ ἑρπετά, τὰ θηρία, τὸν ἄνθρωπον, πάντα εὐλόγησε· τοὺς καρποὺς οὐκ εὐλόγησεν, ἐπειδὴ ᾔδει ὅτι φυλάττεται τῇ γῇ αὕτη ἡ τιμωρία, ἵνα ἁμαρτανόντων τῶν ἀνθρώπων δέξηται ἀφορίαν, καὶ δικαιοπραγούντων δέξηται εὐφορίαν. οὐκ εὐλόγησε τοὺς καρπούς· ἀμεταμέλητον γὰρ ἦν τὸ χάρισμα. ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι. καταφρονήσας, φησὶ, τῶν μεγάλων· τύπτου ὑπὸ τῶν μικρῶν. βλέπε πῶς καὶ αἱ παιδεῖαι σύμμετροι. ἄκανθα ἀναιρεῖν οὐ δύναται· ξαι δύναται. καὶ φάσκεται τὴν γῆν ἐν λύπαις. ἐκείνη τίκτει ἐν λύπαις, σὺ φάγῃ ἐν λύπαις. ἡ γὰρ ἀρχαία ἀπόφασις μένει ἕως ἄρτι. καὶ βλέπε μοι πλούσιον, πένητα, ἄρχοντα, μέγαν, εἰ ἔστιν αὐτοῦ τὸν βίον ἄλυπον εὑρεῖν, ἢ ἀμέριμνον. διὰ τί; διὰ τὸ, ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. οὐκ ἠθέλησας μετὰ ἀνέσεως· ἐν ἱδρῶτι φάγε. οὐ κολάζει αὐτὸν λιμῷ, ἀλλ' ὑποβάλλει τιμωρίᾳ καὶ πόνῳ. λοιπὸν σὺ ὁ πιστὸς ἐκεῖνο λόγισαι. εἰ ὁ Ἀδὰμ ἄνευ ἱδρῶτος ἄρτον οὐκ ἐσθίει· ἡμεῖς ἄνευ καμάτου καὶ ἱδρώτων πῶς βασιλείαν οὐρανῶν λάβοιμεν; ἕως, φησὶ, τοῦ ἀποστρέψαι σε εἰς γῆν, ἐξ ἧς ἐλήφθης. ὢ ἀποφάσεως, ὢ φόβου γέμοντος φιλανθρωπίας, ὢ ἀπόφασις γέμουσα ἀνακλήσεως. οὐδέπω ἐξώρισε, καὶ ἀνεκαλέσατο· οὐδέπω ἐξέβαλε, καὶ προσελάβετο. ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης. οὐκ εἶπεν, ἕως ἂν ἀφανισθῇς, ἕως ἂν λυθῇς, ἀλλ', ἕως τοῦ ἀποστρέψαι εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ἵνα ὑποθῇς σεαυτῷ τὴν ἐλπίδα τῆς ἀναστάσεως. πέμπω σε ἐκεῖ, ὅθεν σε ἔλαβον· ὡς ἔλαβόν σε τότε, δύναμαι καὶ πάλιν σε λαβεῖν. ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. οὐκ ἀφανισθήσῃ, ἀλλ' ἀπελεύσῃ. τὸ, ἀπελεύσῃ, ἐπανελεύσῃ τινὲς ἡρμήνευσαν. ὅσον οὖν ἥκει εἰς δύναμιν ἡμετέραν, τῇ χορηγίᾳ τοῦ ἁγίου πνεύματος, διήλθομεν τὸν παράδεισον μεθ' ὑμῶν· ἀνέγνωμεν τὰ ὑπομνήματα τὰ βασιλικά. εἴδομεν τῶν ὑπευθύνων τὴν ἐλευθερίαν, τοῦ δικαστοῦ τὴν φιλανθρωπίαν· δι' ἧς δεξώμεθα καὶ τὴν παρὰ τοῦ Χριστοῦ σωτηρίαν, ἵνα καὶ τῶν ἐπουρανίων ἐκείνων καὶ αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ
ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

τοῦ Νηστευτοῦ περὶ μετανοίας καὶ ἐγκρατείας καὶ παρθενίας λόγος· Χρυσοστόμῳ δὲ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις ἐπιγραφόμενος.

Ὁ Μακάριος ἀπόστολος Παῦλος, ὁ τῶν ἐθνῶν ἀπόστολος καὶ διδάσκαλος τῆς ἐκκλησίας γενόμενος, ὁ τῶν ὄπισθεν ἐπιλανθανόμενος καὶ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος, ὁ σῶμα φθαρτὸν περικείμενος καὶ ταῖς ἀσωμάτοις δυνάμεσιν ἁμιλλώμενος, ὁ τὸν δρόμον τελέσας καὶ τὴν πίστιν τηρήσας, ὁ ἐν νηστείαις διαπρέψας καὶ κινδύνοις εὐδοκιμήσας, ὁ ἐν λιμῷ καὶ δίψει εὐαρεστήσας, ὁ ἀπὸ Ἱερουσαλὴμ * μέχρι τοῦ Ἰλλυρικοῦ τῷ Χριστῷ διακονησάμενος, ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα, ὁ ἐπίγειος ἄγγελος καὶ οὐράνιος ἄνθρωπος, ὁ κλητὸς ἀπόστολος, καὶ τοῦ ἁγίου πνεύματος "πανδοχεῖον γενόμενος, ὁ ἕως τρίτου ἀνελθὼν οὐρανοῦ καὶ τῶν ἀρρήτων ἐκείνων ἐπακούσας ῥημάτων, ὁ μετὰ σώματος ἐπὶ φθαρτοῦ οἰκήσας τὸν παράδεισον, ὁ ζήλῳ ἀσύγκριτος, ὁ πρὸς ἀγάπην πολύς, ὁ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ μεριμνητής, ὁ ῥήτωρ τῆς εὐσεβείας, ὁ τῶν ἀθυμούντων ψυχαγωγός, ὁ τῶν πιστευόντων νυμφαγωγός, ὁ τῶν Ἰουδαίων ἔλεγχος, ἡ πάντων ἡμῶν σαγήνη, ὁ μετὰ νέκρωσιν διδάσκαλος, καὶ μετὰ θάνατον κήρυξ, ὁ δείξας ἡμῖν πῶς δεῖ εἰς οὐρανοὺς ἀνελθεῖν, εἰ οὗτος ὁ τοσαῦτα κεκτημένος πλεονεκτήματα, ὁ λέγων, Οὐδὲν ἐμαυτῷ σύνοιδα, ἐφοβεῖτο, καὶ ἔλεγε, Μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι· τί ποιήσομεν ἡμεῖς οἱ μηδὲν ὅλως κατόρθωμα πρὸς ἀρετὴν κεκτημένοι; οὐκοῦν ἀγρυπνεῖν δεῖ καὶ προσεύχεσθαι ἐν παντὶ καιρῷ, καὶ αἰτεῖν τὸν Θεὸν οὐ χρυσόν, οὐκ ἄργυρον, οὔτε ὅλως πλοῦτον ἐπίγειον, ἀλλὰ μᾶλλον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ εὐφραίνεσθαι ἐπὶ τῷ Κυρίῳ. ἄλλοι εὐφραινέσθωσαν ἐπὶ πλούτῳ, ἄλλοι ἐπὶ οἴνῳ, ἄλλοι ἐπὶ ὑγείᾳ, ἄλλοι ἐπὶ εὐπαιδίᾳ καὶ δόξῃ· ἡ δὲ παρθένος ἐπὶ τῷ Κυρίῳ, ἵνα καὶ τὸν ἔπαινον ἔχῃ παρ' αὐτοῦ, λέγουσα *, Παρὰ σοῦ ὁ ἔπαινός μου. οὐδὲν αἰσχρότερον, ἢ δυσειδέστερον ψυχῆς ἐμπαθοῦς. ὅθεν δεῖ προνοεῖσθαι κάλλους ψυχῆς, καὶ λέγειν [κατὰ τὸν ἅγιον,] Κύριε, ἐν τῷ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν, ἵνα καὶ ὁ νυμφίος ὁρῶν σου τὴν εἴδους εὐμορφίαν λέγῃ· Ὅλη καλὴ εἶ ἡ πλησίον μου, ὅλη καλὴ εἶ, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. ἀλλὰ βλέπε κἂν κατορθώσῃς τὴν ἀρετήν, μὴ ἐπαρθῇς ἐπὶ τῷ κάλλει σου, μήποτε διὰ τὴν ὑπερηφανίαν σου ἀποστραφῇ ὁ Θεός, καὶ ἐλεγχθῇ σου τὸ ἔπαρμα. τί γὰρ "κατ' ἀξίαν" δυνάμεθα ὑπομεῖναι, ὧν ἐκεῖνος ὑπέμεινε διὰ σέ; ἐταπείνωσεν ἑαυτὸν *, τῷ τιμίῳ αἵματι σε ἐξηγόρασεν. ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ ἐπείνασε διὰ σέ, ὁ τὴν γλυκύτητα τοῦ μέλιτος δημιουργήσας χολῆς ἐγεύσατο διὰ σέ, ὁ στέψας τὸν οὐρανὸν τῷ χορῷ τῶν ἀστέρων "ἀκάνθας ἐστέφετο διὰ σέ, ὑπήκοος μέχρι θανάτου γενόμενος. οὐκοῦν πρὸς ταῦτα οὐκ εὐφραίνεσθαι, ἀλλὰ κόπτεσθαι δεῖ, καὶ πείθεσθαι τῷ λέγοντι· Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε· ἵνα, ἅπερ ἐν ἡμέρᾳ ἐπράξαμεν, ἐν τῇ νυκτὶ "ἀναπολήσαντες στενάξωμεν. οὕτω κατανυγεὶς Ἀχαὰβ

Φιλιπ. γ. ιδ. — β. Τιμ. δ. ζ. — β. Κορ. ια. — Ρωμ. ιε ιθ. — α. Κορ. δ. δ. — α. Κορ. θ. κζ. — Ψαλ. μθ. η. — Ασμ. δ. ζ. — Ψαλ. δ. ε.

δ.Βασ.κα.κθ. διέρρηξε τὰ ἱμάτια, καὶ νηστεύσας περιεζώσατο σάκκον, καὶ "ἐστέναξε. καὶ τί ὁ Κύριος; Οὐ μὴ
Ματθ.ε.δ. ἐπάξω, φησί, τὴν κακίαν αὐτοῦ ἐν ταῖς ἡμέραις αὐτοῦ. διὰ τοῦτο καὶ ὁ σωτήρ· Μακάριοι οἱ
κλαίοντες, οὐ τὸν νεκρόν, οὐ τὴν ζημίαν, ἀλλὰ τὴν ἁμαρτίαν· ἵνα, ὡς ὁ Δαβίδ, λέγῃ·
Ψαλ.ς ζ. Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. καὶ
Ψαλ.ριη.ρλς. πάλιν, Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ὅτι οὐκ ἐφύλαξα τὸν νόμον σου. ἀ- 5
πόπλυνον διὰ τῶν δακρύων τὸν ῥύπον τῶν ἁμαρτημάτων, κροῦσον τὸ στῆθος, τύψον τὸ μέτω-
πον, εἰς αἴσθησιν ἐλθὲ ὧν ἡμάρτηκας. ἐθηράθης ποτὲ διὰ τῶν ὀφθαλμῶν, ὡς ὁ Δαβίδ;
κακῶς ἤνοιξας τὰς θυρίδας, καὶ κατὰ τῆς ψυχῆς σου οἱ ὀφθαλμοί σου ἐγένοντο; ἀπόκλεισον τῷ
στεναγμῷ τὸ ὄμμα τὸ κακῶς θεασάμενον. ἡ γὰρ συνήθεια τῶν ἁμαρτημάτων ἐπὶ τὸ χεῖρον
ἄγει τὸν ἐκπεπτωκότα. καθαρὸν ἔχεις ἱμάτιον; μὴ "παντὶ κάθου, μήποτε ῥυπωθῇ. ἐὰν 10
καταφρονήσῃς πρώτου καὶ δευτέρου σπίλου καὶ τρίτου, λοιπὸν ὡς ῥυπαρὸν ἔχων ἱμάτιον, οὐκ ἔτι
ξενίζῃ, κἂν ὅλον βορβόρῳ φύρηται. τί οὖν ἐστί; εὐχῶν χρεία, μήποτε προσκόψωμεν πρὸς
λίθον τὸν πόδα, ἵνα περιεμβάλλων κύκλῳ ἡμῶν ὁ ἄγγελος τοῦ Θεοῦ ῥύσηται ἡμᾶς, καὶ δυνη-
Γεν.μη ις. θῇς εἰπεῖν· Ὁ ἄγγελος ὁ "ῥυόμενός με ἐκ πάντων τῶν κακῶν· ἵνα καὶ σὲ καλέσῃ ὁ ἄγγελος, "ὁ
Ψαλ.π.β. καλέσας τὸν Ἀβραάμ. φιλοῦσι γὰρ οἱ ἄγγελοι τοὺς φιλοῦντας αὐτῶν τὸν δεσπότην. Λά- 15
βετε, φησί, ψαλμόν, καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας. ἓν λαμβάνω, καὶ τρία
α.Θεσ.ε.κγ. ἀπαιτεῖ. ἐκ γὰρ τῶν τριῶν συνεστήκαμεν, ὡς λέγει ὁ Παῦλος· ἵνα ᾖ ὁλόκληρον ἡμῶν τὸ σῶ-
μα καὶ ἡ ψυχὴ καὶ τὸ πνεῦμα· ἵνα ᾖ τὸ μὲν τύμπανον τὸ σῶμα, τὸ δὲ ψαλτήριον τὸ πνεῦμα, καὶ
ἡ ψυχὴ ἡ κιθάρα. τὸ δὲ τύμπανον δέρμα ἔχει νεκρόν. νέκρωσον "οὖν τὸ σῶμα, ἵνα αἰνῇς τὸν
Θεὸν ἐν τυμπάνῳ καὶ χορῷ. Χριστὸς ὑπὲρ σοῦ ἔδωκε τὸ σῶμα ἀτιμασθῆναι. βλέπε μὴ εἴ- 20
Ψαλ.κθ ια. πῃς, Τίς ὠφέλεια ἐν τῷ αἵματί μου; τί πρὸς ἀξίαν τοῦ τοσαῦτα ὑπομείναντος δι' ἡμᾶς
δυνάμεθα διαπράξασθαι; "γίνου φυτὸν καρποφόρον, ἵνα εὐλογῇς τὸν Θεόν. κατὰ τὴν δύ-
ναμίν σου καρποφόρησον. εἰ μὴ δύνασαι ἐνέγκαι τὸ τέλειον, τὸ ἓν ἑκατόν, κἂν ἐκ ἡμισείας,
Μαρκ.δ.κ. τὸ ἓν ἑξήκοντα· εἰ δὲ καὶ τοῦτό σοι βαρύ, κἂν τὸ τρίτον τὸ ἓν τριάκοντα· μόνον ὃ δύνασαι, "καρ-
α.Κορ.γ.ιβ. ποφόρησον, ἵνα μὴ ὡς ἄκαρπος εἰς τὸ πῦρ ἐμβληθῇς. εἰ μὴ ἔχεις χρυσόν, μήτε ἄργυρον, 25
τὰς καθαρὰς πράξεις· κἂν μὴ ξύλα, χόρτον, ἢ καλάμην, τὰ τοῦ πυρὸς ὑπεκκαύματα.
Δευτ.ις.κβ. Βλέπε μὴ "ποιήσῃς σεαυτῷ στήλην, ἃ ἐμίσησεν ὁ Κύριος. ἐποίησε [γὰρ] καὶ Ἰακὼβ "τῇ Ρα-
χὴλ στήλην. ἀλλ' οὐκ ἐμίσησεν ὁ Κύριος. βλέπε μὴ στῇ σου ὁ "λογισμός, ὥσπερ εἴδωλον, ἐν ἡ-
μέρᾳ κρίσεως κατήγορός σου γινόμενος· μὴ ἄρξῃ τότε ἀντὶ μαρτύρων ἐλέγχεσθαι, καὶ ἀντὶ ἀπο-
δείξεως ὁμολογήσῃς ἐπιγινώσκων ἃ ἔπραξας, καὶ ὅσα ἐλάλησας ἐξ ἀπροσεξίας· κλαῦσον 30
πρὸ καιροῦ, ἵνα μὴ ἀκούσῃς ἐκεῖ· νῦν μετανοεῖς, ὅτε οὐκ ἔστι καιρὸς μετανοίας. ἕως καιρὸν
ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθόν. ἐάν τι ἀπολέσωμεν ἄλλο, εὑρεῖν δυνάμεθα· καιρὸν δὲ ἐὰν ἀ-
Γαλ.ς.ι. πολέσωμεν, ἄλλον εὑρεῖν οὐ δυνάμεθα. διὰ τοῦτο καὶ ὁ Παῦλος νουθετῶν λέγει· Ἕως καιρὸν ἔ-
χωμεν, ἐργασώμεθα τὸ ἀγαθόν. κλαύσωμεν ἐφ' οἷς ἡμαρτήσαμεν, καταστάξωμεν τὸ δάκρυον
ἐπὶ τῆς παρειᾶς, κρούσωμεν τὸ στῆθος, ἵνα τὸν βρυγμὸν τῶν ὀδόντων ἐκεῖ ἐκφύγωμεν. κλαύ- 35
σωμεν, ὡς ἔκλαιε Δαβίδ, ἵνα μακαρισθῶμεν, ὥσπερ καὶ ὁ Δαβίδ. οὐ γὰρ μόνον ἔκλαιεν,
ἀλλὰ καὶ ἠγρύπνει, καὶ τὴν κλίνην κατέβρεχε. μίαν νύκτα ἠνόμησε, καὶ καθ' ἑκάστην νύκ-
τα ἐδάκρυε, πάντως τοιαῦτα ἐξομολογούμενος· ὅτι δέδωκάς μοι ὀφθαλμούς, ἵνα σου
βλέπω τὸ φῶς· ἐγὼ δὲ εἶδον ἐν τούτοις κακῶς· ἐπλανήθην διὰ τῶν ὀφθαλμῶν, κα-
κῶς ποτε θεασάμενος. καὶ ἐπειδὴ κακῶς ἤνοιξα τὰς θυρίδας, διὰ τοῦτο αὐτὰς τοῖς δά- 40
κρυσιν ἀποπλύνω. οὕτω δεῖ κλαίειν, καὶ ἀποπλύνειν τὸ ὄμμα τὸ κακῶς θεασάμενον. εἶδες
τὸ τραῦμα, ἐπίγνωθι τὴν ἰατρείαν. ἀσφάλιζε τῆς ψυχῆς σου τὰς θυρίδας· μὴ μόνον τὸν
ὀφθαλμόν, ἀλλὰ καὶ τὴν ἀκοὴν καὶ τὸ στόμα. αὗται γὰρ αἱ θυρίδες εἰσί, δι' ὧν κατὰ γνώμην
"εἰσέρχεται, εἴτε πονηρά, εἴτε ἀγαθά. βλέπε μὴ θάνατος ἀναβῇ * διὰ τῶν θυρί-
δων

δοίσου· ἀλλ' ἔστωσάν σοι ἀεὶ ἐν τοῖς ὀφθαλμοῖς αἱ περὶ τῆς σεμνότητος ἐντολαί, ἐπὶ τὰ ὦτα αἱ τῶν τοῦ Θεοῦ ἐντολῶν διαταγαί, ἐπὶ δὲ τὸ στόμα ὑμνῳδίαι καὶ ἡ μελέτη τῆς παλαιᾶς καὶ καινῆς διαθήκης. ταύτας δὴ τὰς θύρας ἀνοίγει μὲν τῷ Θεῷ, ἀποκλείει δὲ τῇ ἁμαρτίᾳ. λέγει καὶ αὐτὴ κατὰ τὴν ἁγίαν * ἐκκλησίαν· Εἶπα, ἀναβήσομαι ἐπὶ τῷ φοίνικι, κρατήσω τῶν ὕψεων αὐτοῦ, τὴν ὀρθότητα ἀγαπῶσα, καὶ λευκὴν ἔχουσα τὴν καρδίαν, καὶ ἐπὶ τὰ οὐράνια ἀγαθὰ ἀνατρέχουσα, καὶ μὴ περὶ τὰ γήινα περισπωμένη. ἀλλὰ σκόλοπας ἐχέτω σου ὁ φοῖνιξ, τοὺς ἐλέγχους τοὺς κατὰ τῆς ἁμαρτίας. Λόγοι γὰρ σοφῶν, ὡς τὰ βούκεντρα, καὶ ὡς ἧλοι πεπυρωμένοι, ἵνα οἱ ἐκ τούτων κεντούμενοι κατανύγωνται τὴν καρδίαν, καὶ πάσης ἁμαρτίας ἀπέχωνται. ἀλλὰ ἀκριβῶς κράτει τῶν ὕψεων αὐτοῦ, ἵνα ἄπλαστος διαμείνῃς ἀεὶ φέρουσα τῶν ἀνέμων τὰς προσβολάς, τοὺς ἐπερχομένους κατὰ καιρὸν πειρασμούς. ἐντύγχανε ἀεὶ ταῖς θείαις γραφαῖς. ὥσπερ γὰρ οἶνος πινόμενος παύει τὰς λύπας, καὶ μεταβάλλει τὴν καρδίαν εἰς εὐφροσύνην· οὕτως ὁ πνευματικὸς οἶνος πινόμενος εἰς χαρὰν μεταβάλλει σου τὴν ψυχήν. μνημόνευε πάντοτε τοῦ Θεοῦ, λέγουσα μετὰ τοῦ Δαβίδ, Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. γράψον τοὺς λόγους τούτους ἐπὶ τῶν χειρῶν σου· καὶ ἔσονται ἀσάλευτοι πρὸ ὀφθαλμῶν σου. ἐὰν οὕτω τιμᾷς τὸν Θεόν, γίνεταί σοι ἐκ δεξιῶν· ἐὰν δὲ αὐτὸν ἀτιμάσῃς, ὁ διάβολός σου γίνεται δεξιός. οὕτω γὰρ ἀτιμάσαντος τοῦ Ἰούδα ἔλεγεν ἡ γραφή· Καὶ ὁ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. καθ' ἑκάστην ὥραν δόξαζε τὸν δεσπότην, λέγουσα, Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου, διὰ τῶν ἔργων, καὶ μὴ διὰ τῶν λόγων ὑψῶν. οὕτω γὰρ ὑψοῖ τὸν Θεὸν Δαβὶδ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, οὐχ ἡμέραν, οὐ μῆνα, οὐ χρόνον, οὐκ ἐνιαυτόν, ἀλλ' ἐν παντὶ χρόνῳ τῆς ζωῆς. ἤδει γὰρ ὅτι ὅταν τελέσῃ ὁ ἄνθρωπος, τότε πάλιν ἄρχεται. ἀλλὰ λέγεις, ἆρα ποταπὴν καρδίαν εἶναι χρή, τὴν δυναμένην πάντοτε ὑψοῦν τὸν Θεόν, οἵαν εἶχεν ὁ Παῦλος γράφων· Οὐδὲν ἐμαυτῷ σύνοιδα· οὕτως ἦν καὶ ὁ Δαβὶδ λέγων· Ἐκ τῶν κρυφίων μου καθάρισόν με. οἵαν ἐκέλευσεν ἡμᾶς ὁ σωτὴρ ἔχειν λέγων, Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. οὕτως οὖν ὁ μὴ ἁμαρτάνων καθ' ἑκάστην ἡμέραν ὑψοῖ τὸν Θεόν, οὐ μόνον λόγῳ, ἀλλὰ καὶ ἔργῳ τὸ πρᾶγμα ἐπιδεικνύμενος. ὁ μὴ ὀλιγωρῶν, κἂν νόσος καταλάβῃ, κἂν ζημία, κἂν θάνατος, ἀλλὰ λέγων μετὰ τοῦ Παύλου· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, καὶ τὰ ἑξῆς. οὐχ ἁπλῶς ἐν κοπρίᾳ οἰκεῖ ὁ Χριστός, ἀλλ' ἐν τῷ ἀνωγέῳ τῷ ἐστρωμένῳ, ἵνα ὡς οἰκητήριον Κυρίου κατασκευάσῃς σου τὴν ψυχήν. μνημόνευε τῆς φρικωδεστάτης καὶ φοβερᾶς ἡμέρας ἐκείνης, ἐν ᾗ πάντες παραστάντες τῷ βήματι τοῦ Χριστοῦ, δώσομεν δίκας τῶν πεπραγμένων· ἔνθα πρὸ ὀφθαλμῶν ἁπάντων παραστήσονται ἡμῶν τὰ ἁμαρτήματα, καὶ πᾶσιν ἀποκαλυφθήσονται, καὶ τοῖς ἀγνοοῦσιν ἐπιδειχθήσονται*· ἔνθα ὁ ποταμὸς τοῦ πυρός, καὶ ὁ σκώληξ ὁ ἰοβόλος, ἔνθα πάντα γυμνὰ καὶ τετραχηλισμένα· ἔνθα αἱ βίβλοι τῶν καρδιῶν ἡμῶν ἀνοιχθήσονται, καὶ ἐν μέσῳ τοῦ θεάτρου ἀναγνωσθήσονται τὰ φανερὰ καὶ τὰ κεκρυμμένα, τὰ ἐν νυκτί, καὶ τὰ ἐν ἡμέρᾳ, τὰ ἐξ ἀπροσεξίας καὶ λήθης τῶν μηνυόντων διεπραξάμεθα. τότε τῇ πείρᾳ γνωσόμεθα, ὅτι τὰ κρυπτόμενα νῦν, ἐκκαλυφθήσονται τότε. ἐννόησον οὖν ὅτι πάντως ἐντεῦθεν δεῖ ἡμᾶς ἀπελθεῖν πρὸς τὸν ἀπαραλόγιστον δικαστήν, ὅπου οὐ μόνον τὰ πράγματα, ἀλλὰ καὶ τὰ ἐνθυμήματα κρίνεται καὶ τὰ ῥήματα· ὅπου καὶ τῶν δικαίων εἶναι μικρὰν φοβερὰς ὑφέξομεν τὰς εὐθύνας. τούτων ἀεὶ μέμνησο, καὶ μὴ ἐπιλάθῃ τῆς μηδέποτε σβεννυμένης φλογός. ἀεὶ βλέπε πρὸ ὀφθαλμῶν τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς· ἐννόησον τὰς χιλιάδας καὶ τὰς μυριάδας τῶν ἀγγέλων τὰς παρεστώσας τῷ κριτῇ τότε. παρακουέτω νῦν ἡ ἀκοή σου τῆς ἠχῆς τῶν σαλπίγγων, καὶ τῆς φοβερᾶς φωνῆς τοῦ δικάζοντος· προβλεπέτω ὁ ὀφθαλμός σου μὲν εἰς τὸ ἐξώτερον πεμπομένους σκότος, τοὺς δὲ ἀποκλειομένους

τὴν

Ἀσμ. ζ. η.
Ἐκκλησ. ιβ. ια.
Ψαλ. ιε. η.
Ψαλ. ρμδ. α.
α. Κορ. δ. δ.
Ψαλ. ιη. ιγ.
Ματθ. ε. η.
Ρωμ. η. λε.

τὴν θύραν μετὰ πολλὴν τῆς παρθενίας τὸν κόπον. θεωρεῖ οὖν μὲν ὡς τὰ ζιζάνια δεσμευομένους καὶ εἰς τὸν κλίβανον βαλλομένους· ἄλλους τῶν χειρῶν καὶ τῶν ποδῶν δεσμουμένους καὶ εἰς τὸ ἐξώτερον σκότος ἀποφερομένους· ἄλλους τῷ σκώληκι τῷ ἀκοιμήτῳ καὶ τῷ κλαυθμῷ καὶ τῷ βρυγμῷ τῶν ὀδόντων παραδιδομένους. ἐνίους τοὺς μὲν ὑπὲρ ἀκαίρου γέλωτος κρινομένους, τοὺς δὲ ὅτι τὸν πλησίον ἠδίκησε, καὶ ὅτι τὸν ἀδελφὸν ἐσκανδάλισε· τοὺς μὲν ὑπὲρ ἀδήλων ἁμαρτημάτων κρινομένους· τοὺς δὲ ὑπὲρ ἀργοῦ ῥήματος εἰσπραττομένους δίκας· τοὺς μὲν ὑπὲρ κακῆς γνώμης κατακρινομένους, τοὺς δὲ ὑπὲρ λοιδορίας τῆς βασιλείας ἀποκλειομένους· τοὺς μὲν ὑπὲρ μνησικακίας τὰ ἀνήκεστα πάσχοντας, τοὺς δὲ εἰς αἰσχύνην αἰώνιον ἀνισταμένους· [Ματθ. κε. ιβ.] τοὺς δὲ τῆς γνώσεως τοῦ Χριστοῦ στερισκομένους, καὶ ἀκούοντας, Ἀμὴν λέγω ὑμῖν οὐδέποτε ἔγνων ὑμᾶς, ὅτι ἐπεὶ ἴσως παρεξῆλθον ὧν ὁ Χριστὸς ἀπηγόρευσε. τούτων οὖν οὕτως ὄντων, ποταποὺς δεῖ εἶναι ἡμᾶς, πόσας πηγὰς καθ' ἑκάστην δακρύων καταφέρειν ποταμοὺς καὶ λέγειν, [Ιερ. θ. α.] Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι * τὰ ἁμαρτήματα ἡμέρας καὶ νυκτός; ἀλλ' ἵνα τὴν προσδοκωμένην κόλασιν διαφύγωμεν, [Ψαλ. ϟδ. β.] Δεῦτε προφθάσωμεν τὸ πρόσωπον Κυρίου ἐν ἐξομολογήσει, καὶ τῇ τοῦ βίου ἐπιμελείᾳ οὖν ἱλασμοῖς τοῦ δεσπότου Θεοῦ ἐπικαλεσώμεθα. [Ψαλ. ς. ς.] Ἐν γὰρ τῷ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι; πάντα διπλᾶ δέδωκεν ἡμῖν ἡ φύσις· δύο ὀφθαλμούς, δύο ὦτα, δύο χεῖρας, δύο πόδας. ἵνα ἐὰν οὖν ὁπότερον τούτων βλαβῇ, διὰ τοῦ ἑτέρου τὴν χρείαν παραμυθούμεθα. μίαν δέδωκεν ἡμῖν ψυχήν· ἐὰν ταύτην ἀπολέσωμεν, μετὰ τίνος συμβιωτεύσωμεν; ταύτης οὖν ποιησώμεθα πρόνοιαν, μηδὲν τῆς σωτηρίας αὐτῆς προκρίνοντες· ἐπεὶ καὶ αὐτή ἐστιν ἡ συγκρινομένη, καὶ συναπολογουμένη, καὶ συμπαρισταμένη μεθ' ἡμῶν ἐπὶ τοῦ βήματος τοῦ κριτοῦ. ἐὰν εἴπῃς τότε, ὅτι χρήματά με ἐδελέασαν, ἐρεῖ σοι ὁ δικαστής· [Ματθ. ις. κς.] οὐκ ἤκουσας ὅτι, Τί τὸ ὄφελος, ἐὰν τις ὅλον τὸν κόσμον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἐὰν εἴπῃς, ὅτι ἠπάτησέ με ὁ διάβολος, ἐρεῖ σοι πάλιν ὁ αὐτός, ὅτι οὐδὲ τὴν Εὔαν ὤνησε τὸ εἰπεῖν, [Γεν. γ. ιγ.] ὅτι Ὁ ὄφις με ἠπάτησε. ταῦτα τοίνυν κατὰ νοῦν ἔχοντες, δεῦτε διαιτησώμεθα ἑαυτοὺς πρὸ τοῦ συσκοτάσαι, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου ἐκείνην τὴν μεγάλην καὶ ἐπιφανῆ, περὶ ἧς ἔλεγεν ὁ προφήτης· [Μαλ. γ. β.] Ἰδοὺ ἔρχεται, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; φοβερὰ ἡ ἡμέρα ἐκείνη, ἡμέρα ὁμίχλης καὶ σκότους. ἀλλ' ἐρεῖς, πῶς ἄρα ἐστὶν ἐκφυγεῖν τὰ προειρημένα κακά; ἐγώ σοι λέγω· οὐκ ἐὰν μόνον τὸ σῶμά σου φυλάξῃς καθαρόν, ἀλλ' ὅταν κακῶς παθοῦσα εὐεργετήσῃς· ἐὰν διαβληθεῖσα φιλοσοφήσῃς· ἐὰν λοιδορηθεῖσα εὐλογήσῃς· ὅταν νηστεύουσα μὴ μεγαλοφρονήσῃς. οὐ γὰρ ἀποχὴ βρωμάτων, ἀλλὰ ἀποχὴ ἁμαρτημάτων ἐργάζεται τὴν νηστείαν. [Ιερ. α. ια.] ἐρεύνα δὲ τὰς γραφάς. βλέπε γὰρ πῶς πρῶτον ῥάβδον καρυΐνην ὁρᾷ ὁ προφήτης, εἶτα λέβητα ὑποκαιόμενον, δεικνὺς ὅτι τὸν μὴ ἀνεχόμενον τῆς ῥάβδου *, τὸ πῦρ διαδέχεται. οὕτω καὶ Μωϋσῆς ἐδείκνυε τότε τὸν στῦλον τοῦ πυρός, βοῶν διὰ τῶν πραγμάτων, ὡς ὁ μὲν ἀκούσας τοῦ νόμου βλέπει τὸ φῶς· ὁ δὲ παρακούσας εὑρήσει τὸ πῦρ. ἀναγινώσκετε τὰς τοῦ σωτῆρος διδασκαλίας, καὶ μανθάνετε, ὅπως ἀπελθόντων ἡμῶν ἐντεῦθεν οὐδεὶς ἡμῖν βοηθῆσαι δυνήσεται. οὐκ ἀδελφὸς ἀδελφὸν λυτρώσεται ἐκ τῶν ἀκαταπαύστων βασάνων· οὐ φίλος φίλον· οὐχ οἱ γονεῖς τέκνα, οὐδὲ τέκνα γονεῖς. καὶ τί λέγω ἀνθρώπους οἰκτρούς; οὐδ' ἂν Νῶε ἔλθῃ, καὶ Ἰώβ, καὶ Δανιήλ, οὐ μὴ δυσωπήσουσι τὸν δικάζοντα τότε. ἀλλ' ἐρεῖς μοι, πόθεν ἡ ἀπόδειξις τούτων; βλέπε τὸν μὴ ἐνδεδυμένον ἔνδυμα γάμου, ἀπὸ τοῦ νυμφῶνος ἐκβαλλόμενον, καὶ μηδένα ὑπὲρ ἐκείνου πρεσβεύοντα· ὅρα τὸν τὸ τάλαντον ἐμπεπιστευμένον, καὶ μὴ ἐμπορευσάμενον, εἰς τὸ σκότος πεμπόμενον καὶ ἴδετε ὅτι ὑπὲρ αὐτοῦ οὐδεὶς παρεκάλεσεν. ὅρα μοι καὶ τὰς πέντε παρθένους ἀποκλειομένας, καὶ μὴ ἀξιωσάσας ὑπὲρ αὐτῶν τὰς ὁμήλικας, ἅστινας καὶ μωρὰς ἀπεκάλεσεν ὁ Χριστός, διότι μετὰ τὸ πατῆσαι τὴν φλόγα τῆς ἡδονῆς, μετὰ τὸ σβέσαι τὴν κάμινον τῆς ἐπιθυμίας, μετὰ τὴν νηστείαν καὶ ἀγρυπνίαν καὶ χαμευνίαν, τότε μωραὶ καὶ μά-

καὶ δικαίως ἐκλήθησαν· διότι τὸ μέγα τῆς παρθενίας τηρήσασαι, τῆς φιλανθρωπίας τὸ μικρὸν οὐκ ἐφύλαξαν. βλέπε μοι τὸν κριτὴν ἱστῶντα τὰ πρόβατα ἐκ δεξιῶν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ τὰ ἄκαρπα ἐρίφια ἐξ εὐωνύμων, καὶ τοῖς μὲν ἐκ δεξιῶν λέγοντα, Δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν βασιλείαν τὴν ἡτοιμασμένην ὑμῖν· τοὺς δὲ ἐξ ἀριστερῶν εἰς τὸ σκότος τὸ ἐξώτερον ἀποπέμποντα, καὶ μηδένα τοῖς ἀπαγομένοις βοηθῆσαι δυνάμενον. ἀληθὴς γὰρ ὁ λέγων· Ἰδοὺ ἄνθρωπος καὶ τὸ ἔργον αὐτοῦ. ἤκουσας πῶς ὁ πλούσιος ἐκεῖνος, ὁ μηδέποτε ἐλεήσας τὸν Λάζαρον, εἰς τὸν τῆς κολάσεως τόπον τηγανιζόμενος, ψεκάδα ὕδατος ἐπιθύμησε λαβεῖν· ἔγνως ὅτι οὐδὲ αὐτὸς Ἀβραὰμ ἐξιλεώσασθαι τῶν βασάνων τὸν ἱκέτην τότε δεδύνηται. οὐκοῦν, ἀπεντεῦθεν ἑαυτοῖς βοηθοῦντες, δῶμεν δόξαν τῷ Θεῷ πρὸ τοῦ συσκοτάσαι. βέλτιον ὧδε διὰ νηστείας ξηρᾶναι τὴν γλῶσσαν, ἢ τηρῆσαι αὐτὴν ὑγρὰν καὶ ἐκεῖ ἐπιθυμοῦσαν ῥανίδος, καὶ μὴ λαμβάνουσαν, καὶ ἀθάνατα τηγανίζεσθαι. μικροῖς πόνοις ἐνταῦθα μεγάλας βασάνους ἀποκρουσώμεθα. ἐννοήσωμεν ὅτι τελείων ἡμερῶν πυρετὸν ἐνταῦθα οὐ φέρομεν. τὰς ὑπὸ τῶν δικαστῶν κολάσεις ὁρῶντες καταδυόμεθα, καὶ τοῦτο μόγις πεντήκοντα ἐτῶν ἐχόντων τὴν καταδίκην. ἆρα ποταπὸν ἔσται τὸ τοῦ Θεοῦ δικαστήριον τὸ μὴ μόνον εἰς πεντήκοντα ἔτη, ἀλλ' εἰς ἀπείρους αἰῶνας ἐκτεῖνον τὴν κόλασιν; οὐκοῦν εἰσέλθωμεν διὰ τῆς στενῆς πύλης, ἵνα τὴν πλατεῖαν ὁδὸν ἐκφύγωμεν, εἰδότες, ὅτι ὡς ὄναρ ἐστὶ τὰ αἰσθητὰ πάντα, καὶ γενέσει καὶ φθορᾷ ὑποβεβλημένα. κἂν γὰρ ἰσχὺν ἔχωμεν σώματος, νόσος αὐτὴν καταλύει· τὴν χαρὰν διαδέχεται θλίψις· τὸ κάλλος διαδέξεται γῆρας. ἐὰν τραπέζης πολυτελοῦς ἀπολαύσωμεν, ἡ ἑσπέρα καταλαβοῦσα διαλύσει τὴν ἡδονήν. καὶ ὅτι καθόλου τὰ παρόντα ἀράχνης εἰσὶν ἀδρανέστερα, καὶ ὀνείρων ἀπατηλότερα, διὸ καὶ ὁ σωτὴρ ἐμακάρισε τοὺς θλιβομένους, ἵνα μὴ ἡ ἡδονὴ τῶν τερπνῶν κρατήσῃ τὸν ἡδόμενον ἐπ' αὐτοῖς. οὐκοῦν ὥσπερ ἤκουσεν Ἀβραάμ, Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐξῆλθεν, ἐξέλθωμεν καὶ ἡμεῖς ἐκ τῆς συνηθείας διαθέσεως, ἵνα τῇ μελέτῃ τῆς νεκρώσεως μετοικισθῶμεν εἰς τὴν ἄνω πόλιν. ὑπωπιάσωμεν τὸ σῶμα καὶ δουλαγωγήσωμεν, ἵνα μὴ τὴν ψυχὴν δουλαγωγήσωμεν τῷ διαβόλῳ. τῇ συνεχεῖ μελέτῃ τῆς ἁγίας γραφῆς τὰς ὑλομανούσας ἐν ἡμῖν ἡδονάς, ὡς ἄγρια θηρία κατακοιμήσωμεν, πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες. μνημονεύσωμεν τοῦ λέγοντος, Νήφετε, στήκετε, γρηγορεῖτε, οὐδεὶς κοιμώμενος στεφανοῦται, οὐδὲ ὁ ἀναπεπτωκὼς καὶ ῥέγχων λαμβάνει τὸν στέφανον· ἀλλ' ὁ τὴν κόνιν καὶ τὰς πληγὰς περικείμενος, οὗτος παρὰ τῷ ἀγωνοθέτῃ εὑρίσκεται πρῶτος, ὁ τὰ τραύματα φέρων καὶ τὸ αἷμα καταρρέον ἐνδεικνύμενος· ὅθεν ἐπ' αὐτῇ τῇ πείρᾳ ἐμάθομεν ὡς δεινὸν καὶ χαλεπὸν ἐστὶ τοῦ διαβόλου τὸ ἐργαστήριον. φεύγει γὰρ τὸν νήφοντα, καὶ συλᾷ τὸν κοιμώμενον. μὴ δῷς ὕπνον σοῖς ὀφθαλμοῖς, μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. φύγωμεν ἀεὶ τοὺς βρόχους τοῦ βίου τούτου, καὶ τὰς φροντίδας, καὶ ὡς ἀποταξάμενοι τῷ κόσμῳ, μηδὲν σαρκικὸν περιφέρωμεν. πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου. Ὁ ἀντίδικος ἡμῶν, φησιν, ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν, οὐ τίνα ἀδικῇ, οὐ τίνα κλάσῃ, ἀλλὰ τίνα καταπίῃ. φεῦγε τοῦ δολίου τὰς πανουργίας, καὶ λέγε τῷ Κυρίῳ· Ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος. μὴ φύγῃς τὸν κάματον, ἵνα μὴ φύγῃς τὸν στέφανον. ὁ ἔμπορος οὐκ ἀποκάμνει, ἀλλὰ φέρει τὰ κύματα, ἵνα εὕρῃ τὰ χρήματα· ὁ ἀγωνιζόμενος ἀθλητὴς γενναίως φέρει τὰ τραύματα, πρὸς τὸν στέφανον ἀποβλέπων· ὁ γηπόνος οὐκ εὑρίσκει τὰ δράγματα, ἐὰν μὴ πρότερον διὰ τῶν ἰδίων ἱδρώτων προκαταβάλῃ τὰ σπέρματα· οὕτως καὶ εἰς οὐρανὸν ἄνω βλέποντες, οὐδὲν ἡγούμεθα τὰς θλίψεις τῇ τῶν χρηστῶν ἐλπίδι νευρούμενοι. οὐκοῦν προσέχωμεν ἀεὶ καὶ τηρῶμεν πότε ἀναλύσει ὁ νυμφίος ἐκ τῶν γάμων, ἵνα τῆς φωνῆς αὐτοῦ ἀκούσαντες, ἑτοίμως διανιστῶμεν εἰς ὑπάντησιν. καὶ ὑμεῖς γάρ, φησιν, ἔσεσθε ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύ-

ριον

Ματθ. κε. λδ.

Νεεμ. ιγ. λ.

Γεν. ιβ. α.

α. Πετ. ε. η.

α. Πετ. ε. η.

Ψαλ. ιζ. λ.

Λυκ. ιβ. λς. ειον αὐτῶν. ἀπεντεῦθεν μακαρίζει τὸν νήφοντα ὁ σωτὴρ λέγων, Μακάριος ὁ δοῦλος ἐκεῖ-
νος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει γρηγοροῦντα. ὥσπερ δὲ μακαρίζει τὸν γρηγοροῦντα, οὕτω
ταλανίζει τὸν ἀμελοῦντα, καὶ λέγει· Ἐὰν δὲ ἄρξηται ὁ κακὸς δοῦλος ἐκεῖνος λέγειν, χρονίζει
μου ὁ κύριος, ἄρξηται δὲ δέρειν τοὺς ἑαυτοῦ συνδούλους, ἐσθίειν τε καὶ πίνειν μετὰ τῶν μεθυόντων,
ἥξει ὁ κύριος αὐτοῦ ἐν ἡμέρᾳ, ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ, ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν, 5
καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν "ἀπίστων θήσει. Εἰ δὲ ὁ λέγων, ὅτι χρονίζει ὁ κύριός μου, διχοτομεῖ-
ται, ἐλθόντος αὐτοῦ, ὁ ὅλως μὴ προσδοκῶν ὅτι ἔρχεται, τί παθεῖται; ἑτοίμους οὖν χρὴ εἶναι
Ψαλ. νς. η. καὶ εὐσταλεῖς πρὸς τὸν ἐντεῦθεν ἀπόπλουν, καὶ λέγειν ἀεὶ, Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός. ἐν
* μεγάλῳ πολέμῳ ἐσμὲν ἐν τῷ βίῳ τούτῳ· κύκλῳ γὰρ ἀσεβεῖς περιπατοῦσιν· καὶ ἀνθρω-
ποι ἐντείνουσι τὸ τόξον· ὃς μὲν τοξεύει τὴν ἀκοὴν, ἵνα ἡδέως ἀκούσῃ καταλαλιᾶς, 10
ὁ δὲ τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν διεγείρει· ὁ δὲ τὴν γλῶσσαν, ἵνα λοιδορήσῃ τὸν ἀ-
δελφόν· ὁ δὲ τὴν κοιλίαν εἰς γαστριμαργίαν [αὐτὴν] ἐρεθίζει· ὁ δὲ τὴν χεῖρα εἰς ἁρπα-
γὴν καὶ πλεονεξίαν· ὁ δὲ τοὺς πόδας εἰς κακίαν κινεῖν παρακελεύεται· ὧν χάριν ὁ Παῦλος
Ἐφεσ. ς. ιδ. περιθωρακίζων ἡμᾶς τοῖς ὅπλοις τοῦ πνεύματος, γράφει· Ἀναλάβετε τὰ ὅπλα τῆς πίστε-
ως, καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, ἐν οἷς δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ 15
Μιχ. ς. η. πεπυρωμένα σβέσαι. "πεισθῶμεν τοίνυν τῇ προφητικῇ λεγούσῃ φωνῇ· [Εἰ] ἀναγγέλλει
σοι, ἄνθρωπε, τί ἐκζητεῖ Κύριος παρὰ σοῦ, "ἢ τοῦ ποιεῖν κρίμα καὶ δικαιοσύνην, καὶ ἀγαπᾷν
ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου τοῦ Θεοῦ σου; οὐκοῦν τῶν ὄπισθεν ἐπιλαν-
θανόμενοι ἀθλήσωμεν "εὐκαίρως, ἵνα τοὺς καρποὺς τῶν πόνων φαγόντες, τοῦ Κυρίου κατα-
τρυφήσωμεν. * μὴ μάτην τὸν χρόνον ἡμῶν ἁπλῶς ἀναλίσκωμεν, ἀλλ᾽ ὡς * δεσπότην ἔ- 20
χοντες, γνησίαν τὴν δουλείαν ἐπιδειξώμεθα. διδάσκει, ὑπομιμνήσκει, μαρτύρεται, ἀπει-
λεῖ, παρακαλεῖ, νουθετεῖ, καὶ τῆς ὑπακοῆς τὸν μισθὸν τὴν βασιλείαν χαρίζεται. περιζω-
σάμενοι τοίνυν τὰς ὀσφύας ἐν ἀληθείᾳ δουλεύσωμεν ἀγαθῷ δεσπότῃ. "ἀναπολήσω-
μεν ὅσα ἔπαθε δι᾽ ἡμᾶς ὁ σωτήρ· τὸ γεννηθῆναι, τὸ γαλουχηθῆναι, τὸ πιεῖν καὶ φαγεῖν καὶ
ὑπνῶσαι, τὸ "πειρασθῆναι, τὸ κοπιάσαι, τὸ ῥαπισθῆναι, τὸ ταραχθῆναι, τὸ λυπηθῆ- 25
ναι, τὸ μαστιγωθῆναι, τὸ ὑβρισθῆναι, τὸ ἐπιβουλευθῆναι, καὶ τέλος τὸ σταυρωθῆναι, καὶ
οὕτως ἀποθανεῖν. οὕτως ἀναλογίσασθε τὸν τοσαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁ-
μαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν. "οὔπω μέχρι αἵματος "ἀντικατέστητε πρὸς τὴν ἁμαρ-
τίαν "ἀνταγωνιζόμενοι. ὅσα δὲ ἐποίησε θαύματα δι᾽ ἡμᾶς; νόσων ἰάσεις, τεθνηκότων ἐγέρ-
σεις, λεπρῶν καθάρσεις, δαιμονίων ἀπελάσεις, χωλῶν περιπάτους, καὶ τὰ λοιπὰ, ὧν οὐκ ἔστιν 30
ἀριθμός, καὶ τέλος τὴν εἰς οὐρανοὺς ἄνοδον ἡμῖν χαρισάμενος, ἵνα καὶ ἡμεῖς αὐτῷ δι᾽ ἀρετῆς
"βίου ἀκολουθήσωμεν οὐράνιον πολιτείαν κτησάμενοι. ἔνθα γὰρ ἀπεγραφήμεθα, ἐκεῖ ὀφεί-
λομεν ἐμπολιτεύεσθαι. ξένους γὰρ καὶ παρεπιδήμους ἐκάλεσεν ἡμᾶς ἡ γραφὴ, ἵνα τὰ ἐν-
ταῦθα καταφρονῶμεν. "κυναρίῳ ἔοικεν ἡ ἡδονή. ἐὰν διώξῃς, φεύγει· ἐὰν θρέψῃς, παρα-
Ιακ. δ. ζ. μένει. διὰ τοῦτο ὁ ἀπόστολος γράφει· Ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ᾽ ὑμῶν. μὴ ἀ- 35
ναμείνωμεν τὸν ᾅδην, ἔνθα τῆς μετανοίας τὸ φάρμακον οὐδὲν ἰσχύει· ἀλλὰ κἂν βρύχῃ τις
ἐκεῖ τοὺς ὀδόντας, κἂν τὴν γλῶσσαν ἔχῃ "φλογιζομένην, οὐδεὶς ἐπιστάξει τῷ δακτύλῳ
σταγόνα· ἀλλ᾽ ἐκεῖνα ἀκούσεται, ἅπερ ὁ πλούσιος ἤκουσεν. Εἰδότες τοίνυν ὡς ὄναρ τὰ παρόντα,
καὶ ὡς πανδοχεῖον οἰκοῦντες, "οὕτω δεῖ πάντως ἐξελθεῖν ἡμᾶς, φροντίσωμεν τῆς ὁδοῦ, καὶ "τὰ
ἐφόδια τῆς αἰωνίου ζωῆς ἑαυτοῖς ἐπαγάγωμεν· ἐνδυσώμεθα ἱμάτια τὰ μεθ᾽ ἡμῶν ἀπρχό- 40
Κολασ. γ. ιβ. μενα, ἅπερ καὶ ὁ ἀπόστολος ἡμῖν συνεβούλευσε λέγων· Σπλάγχνα οἰκτιρμῶν, χρηστότητα,
καὶ τὰ ἑξῆς· οὐ χρυσὸν ἐκεῖ θέλομεν, ἀλλὰ δρόσον· οὐ φύλλων ἐκεῖ χρεία, ἀλλὰ καρπῶν· οὐ ῥη-
Ματθ. ζ. κα. μάτων, ἀλλὰ πραγμάτων. Οὐ γὰρ πᾶς, φησιν, ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύ-
σεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημά μου. μὴ δὴ τοίνυν ἀπατή-

σωμεν

σωμεν ἑαυτούς. δεδόσθω γάρ, ὅτι ὅλην ἑαυτῶν τὴν ζωὴν ἡδονῇ μόνῃ σχολάζομεν, τί πρὸς
τοὺς ἀτελευτήτους αἰῶνας; ἐνταῦθα καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ τέλος ἔχει· ἐκεῖ δὲ ἀθάνατοι
αἱ κολάσεις. ὧδε ἐὰν καυθῇ τὸ σῶμα, ἐξέρχεται ἡ ψυχή· ἐκεῖ δὲ ἀφθάρτου ἐγειρομένου τοῦ σώ-
ματος, ἀεὶ ἡ ψυχὴ κατακαίεται. καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἐγείρονται ἄφθαρτοι, οὐχ ἵνα τιμη-
5 θῶσιν, ἀλλ' ἵνα ἀθάνατα βασανισθῶσιν. Εἰ τοίνυν βαλανείου ἀέρα σφοδρότερον οὐ φέ-
ρομεν, τί ποιήσομεν τὸν πύρινον ποταμόν; δεῖ γὰρ πάντα δοκιμάσαι τὸ πῦρ, εἰ γνήσιός ἐστιν
ὁ χρυσός· δεῖ τὴν σφραγῖδα ἐρευνηθῆναι, μήποτε ἐσυλήθη ὁ θησαυρός· δεῖ δοκιμα-
σθῆναι εἰ τοιοῦτόν ἐστι τὸ φαινόμενον. πάντα γυμνὰ καὶ τετραχηλισμένα πρὸς ὃν ἡμῖν ὁ
λόγος. καὶ οὐκ ἔστιν ὃς διαφεύξεται τὴν ὀργὴν τοῦ κριτοῦ. ἀλλὰ πάντως ἐρεῖς, πῶς δύναται
10 ἀεὶ ἡ ψυχὴ ἐκεῖ κατακαίεσθαι; πῶς ὧδε τὸ σῶμα μόνον ἐν πυρετῷ κατακαίεται; εἰ γὰρ καὶ
ἀπονοοῦντος ὧδε τοῦ σώματος ἐξέρχεται ἡ ψυχή, ἀλλ' ἐκεῖ οὐκ ἀπονοοῦντος τὴν ψυχὴν ἀνάγ-
κη συγκατακαίεσθαι. ἆρα τοίνυν ἐστί τις ὑπὲρ ὀνείρου διαπαντὸς θέλων κολάζεσθαι;
τοῦτο γὰρ ἡ παροῦσα ζωὴ πρὸς τὴν μέλλουσαν. ποία γὰρ σύγκρισις τῶν προσδοκωμένων;
εἰ γὰρ τὰ παρερχόμενα τοιαῦτα, ἆρα ποταπὰ ἐκεῖνα τὰ βεβαίως μένοντα; ἕως τοίνυν καιρὸν
15 ἔχομεν, δεῦτε, ἀγαπητοί, τὰ τῆς ψυχῆς τραύματα δάκρυσι θεραπεύσωμεν, καὶ μὴ καθ' ἑαυτῶν
τὰς χεῖρας ἐκτείνοντες, τοιαύτην εἰσδεξώμεθα κόλασιν. Εἷς γάρ, φησιν, οἰκοδομῶν, καὶ εἷς καθαι- Σειρ. λδ. κη.
ρῶν· τί ὠφέλησαν πλέον ἢ κόπους; εἰ γὰρ ἐκεῖνον τὸν ναὸν τὸν ἐκ λίθων*, κατασκαφέντα Ἱερεμί-
ας ἐθρήνει καὶ ἔλεγεν, Ἄφετέ με, πικρῶς κλαύσομαι, μὴ κατισχύσητε παρακαλεῖν με· πόσῳ μᾶλ- Ησ. κβ. δ.
λον ψυχὴν δεῖ κλαίειν τὴν ἁγιωτέραν ἐκείνου, ἐν ᾗ οὐ στάμνος χρυσῆ ἔχουσα μάννα, ἀλλὰ πατὴρ καὶ
20 υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον κατοικοῦσιν; εἰ τοῖς ἀποθνήσκουσι συμπαθοῦμεν, τίς οὕτως ἀσυμπα-
θής, ὥστε τὴν ἑαυτοῦ ψυχὴν ἀποθανοῦσαν μὴ ἀποκλαύσασθαι; ὁ τὸ σῶμα θεραπεύων ἡδοναῖς
θανατοῖ τὴν ἑαυτοῦ ψυχήν· ὁ δὲ τῆς ψυχῆς ἐπιμελούμενος, τὸ σῶμα ὑγιὲς ποιεῖ. ὅθεν μὴ ὑπὲρ τῶν
νεκρῶν, ἀλλ' ὑπὲρ ἑαυτῶν καταγάγωμεν δάκρυα. μνημονεύσωμεν, ἀδελφοί, ὡς ὁ καιρὸς
συνεσταλμένος ἐστί, καὶ ἐπὶ θύραις τὸ δικαστήριον, ὅπερ εἰ καὶ μακρότερον ἦν, οὐδὲ οὕτως ἔδει
25 θαρσεῖν. Ἡ νὺξ προέκοψε, φησιν, ἐξυπνισθῶμεν λοιπὸν ἀπὸ τῶν ὀνείρων, καὶ γὰρ ἡδέα, Ρωμ. ιγ. ιβ.
ἢ ἀηδῆ ἢ τὰ παρόντα, οὐδὲν τῶν ὀνειράτων ἀπηλλοτρίωται. οὐδεὶς ὀφείλει καθεύδειν, τὸν
ἥλιον βλέπων. Ποιήσωμεν καρποὺς ἀξίους τῆς μετανοίας, ὡς γέγραπται· καὶ ὥσπερ εὔ- Ματθ. γ. η.
κολόν ἐστι βαπτισθῆναι εἰς ὕδωρ, οὕτως εὔκολόν ἐστι τὸ μετανοῆσαι ψυχήν. οὐκ ἐδεήθη
ὁ λῃστὴς χρόνου· οἱ μάρτυρες ἐν ἀκαριαίῳ ἐστεφανώθησαν. εἰ δὲ ἀσύνετα ἡμῖν ἐσφάλη-
30 ται, καὶ πρὸς θάνατον ἡμαρτήσαμεν, ἔχοντες τὰ σωτήρια φάρμακα, μὴ ἀπογνῶμεν ἑαυ-
τῶν. οὐ γὰρ τὸ πεσεῖν [μόνον] ἐστὶ χαλεπόν, ἀλλὰ τὸ πεσόντα μὴ ἀναστῆναι. τὸ γὰρ ἁ-
μαρτάνειν, ἀνθρώπινον· τὸ δὲ μὴ ἀναστῆναι, σατανικὸν καὶ ὀλέθριον. ὅθεν καὶ ὁ ἀγαθὸς ἡμῶν
δεσπότης ἐβόα· Μὴ ῥητίνη οὐκ ἔστιν ἐν Γαλαάδ, ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ; εἶτα τὸ σῶμα Ιερ. η. κβ.
μὲν ἐὰν πάσχῃ, ἰατροὺς ζητοῦμεν, βοτάνας ἐπιζητοῦμεν, τὰ πάντα κινοῦμεν, ἵνα τὸ μέλος τὸ
35 πονοῦν θεραπεύσωμεν· ψυχῆς δὲ παθούσης, ἀμελοῦμεν; καὶ οὐδένα λόγον τοῦ κυριωτέρου
*ποιούμεθα. Φοβηθῶμεν οὖν τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. καὶ Ματθ. ι. κη.
πρὸ τούτων καιρῶν τῶν βασάνων, δεῦτε, ῥίψωμεν ἑαυτοὺς ἐπὶ τὸ πέλαγος τῶν οἰκτιρμῶν
τοῦ Θεοῦ, λέγοντες μετὰ τοῦ ἁγίου Δαβίδ, Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. ἕ- Ψαλ. ν. θ.
στηκεν ὁ ἀγαθὸς ποιμὴν*, ἁρπάσαι βουλόμενος ἡμᾶς ἐκ τοῦ στόματος τοῦ λέοντος, πρὶν αὐ-
40 τὸν καταπιεῖν ἡμᾶς. βοᾷ καὶ νῦν ἡμῖν λέγων, Τέκνον, ἥμαρτες; μὴ προσθῇς ἔτι. Μὴ ὁ Σειρ. κα. α.
πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; Ἐπιστρέψατε υἱοὶ ἀφεστηκότες, κἀ- Ιερ. η. δ.
γὼ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. ἀψευδής ἐστιν* ὁ λέγων, Οὐκ ἦλθον ἵνα κρίνω τὸν Ιερ. γ. κβ.
κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. μόνον μετανοήσωμεν. Οὐ βούλεται γὰρ τὸν θά- Ιωαν. ιβ. μζ.
νατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῇν αὐτόν. οὐχ οὕτως ἐραστὴς μανικὸς τῆς ἑαυτοῦ ἐ- Ιεζ. λγ. ια.

ρωμένης

ῥωμένης ἐρᾷ, ὡς ὁ Θεὸς τῆς μετανοούσης ψυχῆς. οὕτω τὴν ἐκπορνεύσασαν ἀνακαλεῖται καὶ λέγει· Μετὰ ταῦτα πάντα πρός με ἀνάστρεψον. τοιαύτη ἡ τοῦ δεσπότου φιλανθρωπία· οὐδένα τῶν προστρεχόντων [οὕτως] ἀποστρέφεται, ἀλλὰ χεῖρα ὀρέγει καὶ λέγει· Σήμερον ἐὰν τῆς φωνῆς μου ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν. εἰ γὰρ ἰατρός τις πολλάκις ὑβριζόμενος ὑπὸ τοῦ θεραπευομένου οὐ καταφρονεῖ διὰ τὴν ὕβριν, ἀλλὰ καὶ μᾶλλον προσφέρει τὰ βοηθήματα, οὐκ ἀμυνόμενος τὸν λακτίσαντα, πόσῳ μᾶλλον ὁ τῶν ψυχῶν ἡμῶν ἰατρός; μόνον μὴ ἀπογνῶμεν ἑαυτῶν. καὶ γὰρ ἀθλητὴς πολλάκις πεσὼν, ὕστερον στεφανίτης ἐγένετο· καὶ στρατιώτης πληγεὶς ἔσθ᾿ ὅτε καὶ θεραπευθεὶς, εὐδοκιμώτερος τῶν μὴ πεσόντων περὶ τὸ τέλος ἐγένετο. πολλοὶ τῶν ἐμπόρων ἀπορήσαντες, ὕστερον πάλιν ἐπλούτησαν, καὶ πάλιν ἐμπορευσάμενοι μετὰ τὸ ναυάγιον διεβίωσαν. μὴ γὰρ τὸ πῦρ ἡμῖν ἡτοίμασεν ὁ Θεός; οὐκ, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. μόνον μὴ ἑαυτοῖς ἀνάψωμεν τὴν πυρὰν ἀκούοντες, Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ, ἣ ἐξεκαύσατε. οὐκ ἔστι πάθος, ὃ μὴ δύναται ἰάσασθαι τὸ φάρμακον τοῦ ἰατροῦ. ἀλλὰ τί λέγεις, οὐ δύναμαι τελείαν ἐνδείξασθαι τὴν μεταβολήν; εἰ μὴ δύνασαι γενέσθαι ἥλιος, γενοῦ κἂν ἀστήρ· μόνον ἀνάβηθι ἄνω ἀπὸ τῆς γῆς· ἄρξαι ἁμιλλᾶσθαι τοῖς φωτεινοῖς ἄστρασι. βέλτιόν σε ἔχειν κἂν ὀλίγα κατορθώματα, ἢ ὅλως μὴ ἔχειν μηδέν. ποτήριον ψυχροῦ παρατίθεταί σοι Χριστὸς, τὸ ἐπισκέψασθαι τὸν νοσοῦντα, τὸ εἰς φυλακὴν κατελθεῖν. εἰ γὰρ ῥημάτων καὶ ἐνθυμημάτων δίδωμεν δίκας, πολλῷ μᾶλλον τῶν δικαιωμάτων οὐκ ἀπολέσομεν τὸν μισθὸν, κἂν ἀτελέστατα ᾖ τὰ γινόμενα. οὐκοῦν μικρὸν κοπιάσωμεν χρόνον, ἵνα μὴ τῶν αἰωνίων ἐκπέσωμεν ἀγαθῶν. εἰ γὰρ μυρίους θανάτους ἐχρῆν ὑποστῆναι ἡμᾶς, ἵνα ἴδωμεν τὸν Χριστὸν ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ, καὶ μηκέτι δι᾿ αἰνιγμάτων, ἀλλ᾿ αὐταῖς ὄψεσι τὸν βασιλέα θεάσασθαι. εἰ γὰρ κάλλος ὧδε θαυμάζομεν σώματος, τὴν τέφραν, τὴν κόνιν, τὸν σκώληκα, ἀπὸ χυμοῦ καὶ φλέγματος καὶ ῥεύματος ἔχον τὴν σύστασιν, πόσῳ μᾶλλον ταύτην τὴν εὐμορφίαν τὴν ἄχραντον, ἐὰν ἴδωμεν; ὁ Πέτρος ἀμυδρόν τινα τῆς δόξης αὐτοῦ θεασάμενος ἔλεγε· Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. τί ἂν εἴποιμεν ἡμεῖς τὸν ὅλον αὐτὸν προσδοκῶντες θεάσασθαι ἐν τῇ φοβερᾷ δόξῃ; εἰ ὧδε τοὺς παρεστῶτας τῷ βασιλεῖ μακαρίζομεν, ὄχημα χρυσοῦν ὁρῶντες, καὶ ἁλουργίδα καὶ στέφανον, ποταποὺς δεῖ εἶναι ἡμᾶς τοὺς παρισταμένους τῷ ἐρχομένῳ κρῖναι* τὴν γῆν; ἆρα γὰρ εἴ τίς σε ἐπὶ βασιλείαν ἐκάλει ἐπίγειον, εἶχε δὲ ἡ ὁδὸς κρημνοὺς καὶ σκοπέλους καὶ ἀηδίαν πολλήν, οὐκ ἂν πάντα ὑπέστης ἕνεκεν τοῦ βασιλεύειν; μὴ εἴπῃς, ἐφ᾿ οἷς ἡμάρτηκα, οὐ δύναμαι ἐπιστρέψαι πρὸς τὸν Θεόν. Δαβὶδ ὁ βασιλεὺς ποτὲ ἔπεσε, καὶ οὕτως ἀνέστη, ὡς καὶ προστάτην γενέσθαι τῶν προγόνων αὐτοῦ. εἰ τοίνυν ἐσκέλισεν ἡμᾶς ὁ διάβολος, διαναστήσωμεν ἑαυτούς. δέξεται γὰρ ἡμᾶς ὁ Χριστὸς ὑπαντήσας, ὡς τῷ ἀσώτῳ υἱῷ. ἐννοήσωμεν ὅτι μετὰ τὸ βασιλεῦσαι, καὶ τρυφῆσαι, καὶ φυτεῦσαι, καὶ οἰκοδομῆσαι, καὶ τὰ πάντα ποιῆσαι, ἔλεγεν ὁ Σολομῶν, Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. ἆρα εἰ ἔμελλεν ἡμᾶς εὐφημεῖν οἱ εἰς τὸ θέατρον καθεζόμενοι, ἔσθ᾿ ὅτε καὶ δοῦλοι, καὶ λωποδύται, καὶ εὐτελέστατοι ἄνθρωποι, οὐκ ἂν πάντα τρόπον κινῆσαι ἐσπουδάσαμεν, ἵνα τὴν εὐφημίαν ἁρπάσωμεν; ὅταν δὲ ἄγγελοι καὶ ἀρχάγγελοι καὶ αἱ λοιπαὶ δυνάμεις, καὶ ἐκείνων πάντων τὸ θέατρον μέλλει ἡμᾶς ἀνακηρύττειν, τί ἂν ἡμεῖς ὑπὲρ ἐκείνου ποιήσομεν; μὴ αἱ πόρναι καὶ οἱ τελῶναι προάξουσιν ἡμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ; εἰσὶ γὰρ ἐν ταῖς θείαις γραφαῖς κατάλληλα βοηθήματα. Ἀχαὰβ κατανυγεὶς, ἐκέρδανε διὰ τούτου τοῦ φαρμάκου τὴν ἀπειλήν, οἱ Νινευῖται διὰ τῆς νηστείας, Βαλτάσαρ δι᾿ ἐλεημοσύνης ἐξέφυγε τὴν ἀπόφασιν· ἡ πόρνη τοῖς δάκρυσι τὸν δεσπότην ἐξευμενίσατο, Παῦλος ὁμολογῶν τὸ ἁμάρτημα, διδάσκαλος τῶν μετανοούντων ἐγένετο, ὁ λῃστὴς πιστεύσας, τοῦ παραδείσου πολίτης ἐγένετο.

ἐγένετο. ταύτας τὰς ἐμπλάστρους λαβόντες, τὰ τραύματα ἑαυτῶν θεραπεύσωμεν λέγοντες, Ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι. ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. ἀποδεξάμενος γὰρ ἡμᾶς ὁ ἰατρὸς, λέξει· Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθήσομαι ἔτι. εἶδες πόσα φάρμακα κατεσκεύασέ σοι ὁ ἰατρὸς; αὐτὸς ὃ θέλεις ἐπίλεξαι. ποικίλην σοι βοήθειαν μετὰ ἀπέδειξε πρὸς τὴν τῶν τραυμάτων διαφοράν. εἰ δὲ μὴ δύνασαι ἐλεῆσαι ὡς ὁ Βαλτάσαρ, κἂν ὡς ὁ Ἀχαὰβ κατανύγηθι. εἰ δὲ μὴ δύνασαι νηστεῦσαι ὡς Νινευῖται, κἂν ὡς ἡ πόρνη τοῖς δάκρυσι τὰς ἁμαρτίας ἀπόπλυνον. εἰ μὴ δύνασαι νηστεῦσαι, μηδὲ ἐξαγορεῦσαί σου τὰς ἁμαρτίας, ἐπὶ τὸν ἔλεον τοῦ Θεοῦ κατάφυγε, μετὰ τοῦ Δαβὶδ λέγων· Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. οὐ γάρ ἐστι δῆμα ἐχίδνης, ἵνα πρὸς αὐτὸ ἐπιζητῶ τὸ φάρμακον· οὐδὲ πηλὸς ἀπὸ βορβόρου γινόμενος, ἵνα ὕδατι αὐτὸν ἀποπλύνω· * ὑπὸ δήγματος τοῦ διαβόλου ἐστὶ τὸ τραῦμα, τοῦ ἐλέους τῆς σῆς φιλανθρωπίας δεόμενον. μόνον προσέλθε ἀπαιτῶν· ἐπιστάξει γὰρ τὸν ἔλεον ὁ φιλάνθρωπος ὁ εἰπὼν, Ὅτι ἐὰν ἐπιστρέψῃ ὁ ἄνομος ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, οὐ μὴ μνησθῶ πασῶν τῶν ἀνομιῶν αὐτοῦ, ὧν ἐποίησε. μόνον γύμνωσον τὸ πάθος, καὶ εἰπὲ, ἐλέησόν με, ὁ Θεὸς, ἐλέησόν με. ἐλέησόν μου τὸ σῶμα καὶ τὴν ψυχήν· ἐλέησόν με καὶ ὧδε, καὶ ἐν τῷ μέλλοντι αἰῶνι· ἐλέησόν με καὶ διὰ τὴν τῆς φύσεως ἀσθένειαν, καὶ διὰ τὴν σὴν ἀγαθότητα. μόνον πόθησον θεραπευθῆναι. ζητεῖ γάρ σου τὴν σωτηρίαν ὁ ἰατρὸς, ὁ τὸ πεπλανημένον πρόβατον ἐπιστρέψας, ὁ εἰς τὰς τριόδους ἀποστείλας καλέσαι πονηρούς τε καὶ ἀγαθούς. ἰδοὺ καὶ νῦν πωλεῖ σοι τὴν βασιλείαν τῶν οὐρανῶν· εἰ μὴ ἔχεις ὠνήσασθαι ὀβολοῦ, ἀγόρασον στεναγμοῦ. ἀντὶ κλάσματος ἄρτου καταλλάσσει σοι τὴν βασιλείαν τῶν οὐρανῶν. ἰδοὺ βοᾷ ὁ προφήτης λέγων· Τίς βούλεται ἀγοράσαι ζωήν; Τίς ἐστιν ὁ θέλων ἰδεῖν ἡμέρας ἀγαθάς; Οἱ μὴ ἔχοντές, φησιν, ἀργύριον ἄνευ ἀργυρίου κομίζεσθε. τί γὰρ ἐπιζητεῖ ὁ πωλῶν; οὐκ ἔχεις, φησὶν, οὐ χρήματα; οὐ κατάνυξιν; οὐ νηστείαν; οὐ δάκρυον; οὐδέτερόν τι τῶν ζητουμένων; Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον, καὶ ἔρχεταί σοι πρὸς σωτηρίαν. βλέπε, εἰ ἐνήστευσας, μὴ μέγα φρονήσῃς· εἰ ἠλέησας, μὴ κενοδοξήσῃς· ἀλλὰ μᾶλλον παρελθούσης τῆς νηστείας, λόγισαι τί ἐκτήσω ἐκ τῆς ἀσιτίας. μὴ τοιοῦτος ἐξέλθῃς ἁπλῶς, οἷος εἰσῆλθες. βλέπε ποίαν ἄρα ἀπερρίψω τὴν ἁμαρτίαν, ἢ κατὰ τί βελτίων ἐγένου σαυτοῦ, ἢ ποῖον κατόρθωμα προσεκτήσω, ἢ ὀργῆς ἐπαύσω, ἢ λοιδορίας· ποῖον ἐλάττωμα διωρθώσω· εἰ οὐ κατελάλησας ἀδελφοῦ, εἰ ἐπαύσω ὀμνύων, εἰ ἕτερόν τι τῶν καλῶν εἰργάσω. εἰ δὲ σιτίων μόνον ἀπέσχου, καὶ τῶν ἄλλων εἰργάσω καλῶν οὐδὲν· τί ὠφέλησας ἐκ τοῦ μὴ φαγεῖν; τυχὸν γὰρ ἐρεῖ σοι, ναὶ, οὐκ ἠδυνήθης νηστεῦσαι; τίνος ἕνεκεν τοῖς ἐχθροῖς σου οὐ διηλλάγης; διὰ τί βασκανίαν καὶ φθόνον ἔμεινας ἔχων; ἢ καὶ διὰ τί ὀργίζῃ τῷ σε λυπήσαντι; οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐν μνησικακίᾳ διέμεινας, οὗ χεῖρον οὐδέν ἐστι κακόν. ὁ μὲν γὰρ πορνεύσας, ἢ μοιχεύσας, ἐν ἥξει ὥρας ἔδρασε τὸ κακὸν, καὶ τῆς ἐπιθυμίας ἐπαύσατο· ὁ δὲ μνησικακῶν, καὶ ἐν νυκτὶ, καὶ ἐν ἡμέρᾳ, καὶ κατὰ πᾶσαν ὥραν τὴν ἁμαρτίαν ἐργάζεται. διὸ τούτων μνημονεύσῃς, οὐδέποτε ὕβρεως μνησθήσῃ. ὅθεν μὴ ὅτι ὕβρισέ σε ὁ δεῖνα, αὐτὸς ὑβρίσῃς τὸν ἐντυχόντα. ἐν γὰρ τῷ τῆς οἰκουμένης θεάτρῳ ταῦτα πάντα ἐκκαλυφθήσονται. ὅθεν πρὶν εἰς τὸν βόθρον ἐμπεσεῖν τῆς ἀπωλείας, τὴν τοσαύτην κόλασιν διαφύγωμεν, καὶ ἐννοήσωμεν, ὡς οὐδεὶς ἡμᾶς ἐξελεῖται τῶν κριτηρίων ἐκείνων τῶν φοβερῶν. οὐ Μωϋσῆς, οὐ Νῶε, οὐ Δανιὴλ, οὐδὲ αὐτὸς Ἀβραὰμ ὁ φιλότεκνος καὶ φιλόξενος, ἐξελεῖται τῆς κολάσεως. ἐννοήσωμεν ὅτι πολλοῖς ἁμαρτήμασιν ὑπεύθυνοί ἐσμεν καὶ φανεροῖς καὶ ἀδήλοις. Ἐὰν γὰρ, φησιν, ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τίς ὑποστήσεται; καὶ τί λέγω τῶν κεκαλυμμένων ἁμαρτημάτων; ἐὰν τῶν φανερῶν ἡμᾶς εὐθύνας ἀπαιτήσῃ, ποίαν ἄρα ἕξομεν τὴν συγγνώμην; ἐὰν ἐξετάσῃ τὴν ἐν ταῖς εὐχαῖς ῥᾳθυμίαν, ἢ τὴν ἐν ταῖς νηστείαις ὀλιγω-

Ιερ. ιζ. ιδ.
Ψαλ. μ. ε.
Ησ. μγ. κε.
Ψαλ. ν. α.
Ιεζεκ. ιη. κα.
Ψαλ. λγ. ιγ.
Ησ. νε. α.
Ψαλ. λγ. ιδ.
Ψαλ. ρκθ. γ.

ρίαν, ἢ ὅτι ἔμπροσθεν αὐτοῦ ἑστῶτες, οὐ τοσαύτην αὐτῷ παρέχομεν τιμὴν, οὐδ᾽ ὅσην τοῖς δε-
σπόταις οἱ δοῦλοι, οὐδ᾽ ὅσην τοῖς ἄρχουσιν οἱ στρατιῶται, οὔτε ὅσην τοῖς φίλοις οἱ φίλοι
(μετὰ μὲν γὰρ πόσης προσοχῆς τῷ φίλῳ διαλεγόμεθα; Θεῷ δὲ ὑπὲρ ἁμαρτημάτων προσ-
ευχόμενοι ῥαθυμοῦμεν· καὶ τῶν γονάτων" σου χαμαὶ κειμένων, ἔξω" σου ῥέμβεται ἡ [illegible])
ἂν τοῦτο μόνον" ἐξετάσαι θελήσῃ, πόσ᾽ ἄρα δυνησόμεθα καταδῦναι; τί δὲ ἐὰν [illegible] 5
εἰς τὸ μέσον τὰς κατηγορίας, ἃς κατ᾽ ἀλλήλων ποιούμεθα; ἐὰν δὲ καὶ τὰς περιεργείας ἡμῶν ὄ-
ψεις ἐξετάσῃ, καὶ τὰς πονηρὰς ἐπιθυμίας ἐπιζητήσῃ, ἐὰν δὲ καὶ λοιδορίας ἡμῶν ἀπαιτήσῃ λό-
γον, ἆρα δυνησόμεθα" χάναι τὸ στόμα; ἐὰν δὲ καὶ τὰς κενοδοξίας, ἃς ὑπομένομεν προσευχόμε-
νοι καὶ νηστεύοντες καὶ ἐλεοῦντες, ἆρα δυνησόμεθα ἀναβλέψαι εἰς τὸν οὐρανόν; ἐὰν δὲ καὶ τοὺς δό-
λους, οὓς συρράπτομεν κατ᾽ ἀλλήλων, καὶ παρόντι μὲν τῷ ἀδελφῷ ὡς φίλῳ διαλεγόμενοι, 10
ἀπόντος δὲ" κατηγοροῦντες, ἆρα ποταπὰς ὑφέξομεν τὰς κολάσεις; ἐὰν δὲ καὶ τοὺς ὅρκους,
καὶ τὰ ψεύδη, καὶ τὰς βασκανίας, ἢ τοὺς ἀδίκους θυμοὺς, ἐὰν δὲ καὶ τὰς ἐπιορκίας ἡμῶν λογί-
ζηται, ἢ τὰς λύπας ἐπιδοῖ, ἐν αἷς εὐδοκιμούντων τῶν φίλων λυπούμεθα, ἢ ἐφ᾽ οἷς ἑτέρων
παρόντων κακῶς ἐφησθόμεθα· ἐὰν δὲ ἀπαιτήσῃ καὶ τὰς ἐν ταῖς συνάξεσι ῥαθυμίας, ὅτι αὐτὸς
μὲν ἡμῖν διὰ τῶν γραφῶν διαλέγεται), ἡμεῖς δὲ ἀφέντες αὐτὸν, τοῖς συνδούλοις διαλεγόμεθα, 15
ποίας ἄρα ὑφέξομεν τὰς εὐθύνας; ὅθεν τὴν γέενναν πάντοτε ἔχωμεν πρὸ ὀφθαλμῶν. Εἰ
γὰρ καὶ γέενναν μὴ ἠπείληται, πόσῳ μᾶλλον καὶ ταύτης ἐπηρτημένης μνημονεύειν ὀφείλομεν
τῶν οἰκείων πλημμελημάτων; μνημόνευε τοῦ αἰωνίου κριτοῦ. ἰδοὺ γάρ σοι προλέγει τὴν
τιμωρίαν, ἵνα διαφύγῃς τὸν κίνδυνον. ἐὰν εἴπῃ σοι, νήστευσον, προβάλλῃ ἀσθένειαν. ἐὰν
εἴπῃ σοι, ἐλέησον, προφασίζῃ πενίαν. ἐὰν εἴπῃ σοι, σύναγου," φροντίδα σαυτῷ ὑπο- 20
τίθης. ἐὰν εἴπῃ σοι, μὴ ὀργίζου, τί ἔχεις πρὸς τοῦτο εἰπεῖν, ὅπου οὔτε ἀσθένεια, οὔτε πενία,
οὔτε ἰδιωτεία, οὐκ ἀσχολία οὐδέν σε κωλύει τὴν ἀρετήν; οὐκοῦν ἀσύγγνωστος ὢν ἐπὶ τῇ
ἁμαρτίᾳ, πῶς δυνήσῃ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι; πῶς τὴν γλῶτταν κινῆ-
σαι; πῶς αἰτῆσαι συγγνώμην; ἠδίκησαι, ἀπεστέρησαι, κακῶς ἤκουσας, μεγάλα ἐβλάβης,
ἀνάμεινον τοῦ ἄρχοντος τὴν ἀπόφασιν. Εἰ γάρ τινος δούλου ὑβρίσαντός σε οὐ δέρεις, ἀλ- 25
λὰ τῷ δεσπότῃ προσαναφέρεις· πόσῳ μᾶλλον ἐπὶ τοῦ εἰπόντος, Ἐμοὶ ἐκδίκησις, (Δευτ. λβ. λε.)
ἐγὼ ἀνταποδώσω, λέγει Κύριος; νήστευσας ἀπὸ βρωμάτων; βλέπε ποίαν ἄρα ἀπενίψω ἁ-
μαρτίαν, ἢ κατὰ τί βελτίων σαυτοῦ ἐγένου, ἢ ποῖον κατόρθωμα προσεκτήσω, ἢ ποῖον ἐλάττωμα
διωρθώσω. εἰδὼς τοίνυν ὡς βήματι * μέλλεις παρίστασθαι, ἔνθα οὐ δεινότης γλώττης ἰσχύει, οὐ
συνήγοροι βοηθοῦσιν, ὡς διὰ πυρὸς διερχομένης σου τῆς ψυχῆς, πρόπεμψον δρόσον, κίνησον δακρύων 30
πηγάς. ἔχεις τὸ φρέαρ, ἐκ τοῦ βυθοῦ τῆς καρδίας τὴν λύπην ἄντλησον. κίνησον τὰς διδύμους κό-
ρας, καὶ πρόχεε τῶν δακρύων τὰ ῥεύματα, κατ᾽ ἀναλογίαν τῶν ἡμαρτημένων ἔστω σοι τὸ δά-
κρυον. Εἰ μικρόν σοί τι ἔσφαλται, ἀρκεῖ καὶ βραχὺ δάκρυον· εἰ δὲ μέγα σου τὸ σφάλμα,
μείζων ὁ τοῦ δακρύου γινέσθω χείμαρρος. Εἰ δὲ καὶ καθαρότητα κέκτησαι, δάνεισον ἄλλῳ τὸ
δάκρυον, καὶ κλαῦσον ὑπὲρ ἀδελφοῦ ἁμαρτάνοντος. γένοιτο δὲ ἵνα κἂν ὑπὲρ τῶν οἰκείων ἁ- 35
μαρτημάτων" δακρύσῃς· ὅθεν ἡ ἁμαρτία προσῆλθε, γενέσθω ἡ πηγὴ τῆς θεραπείας, καὶ πρὶν ἀ-
ποκλεισθῆναι τὴν θύραν, μετανοήσωμεν. ὅπου ἡ ἁμαρτία, ἐκεῖ γίνηται ἡ λύσις. μὴ ὧδε
ἡ ἁμαρτία, καὶ ἐν οὐρανῷ ἡ μετάνοια. ἐξουσίαν γὰρ ἔχει ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας ὁ λυ-
τρούμενος ἡμᾶς σωτήρ. ὅθεν Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· ὁ δὲ φθάσας ὀλισθῆσαι, (α. Κορ. ι. ιβ.)
βλεπέτω διαναστῆναι· ὁ πεσὼν μὴ καταρραγήτω· εἰ δέ τις καὶ κατερράγη, ἐστὶν * ὁ ἀνορ- 40
θῶν τοὺς κατερραγμένους. ἔστι σαλευθῆναι παρὰ μικρὸν, ὡς λέγει ὁ ἅγιος Δαβίδ· Παρ᾽ (Ψαλ. ογ. β.)
ὀλίγον [γὰρ] ἐξεχύθη τὰ διαβήματά μου· εἰ ἔλεγον, σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου,
Κύριε, ἐβοήθει μοι. ἔστιν ἀναστῆναι, καὶ μὴ πεσεῖν. Ὠθεὶς ἀνεστράφην τοῦ πεσεῖν, καὶ ὁ (Ψαλ. ριζ. ιγ.)
Κύριος ἀντελάβετό μου. ἔστι γὰρ καὶ τῷ πεσόντι παραμυθία," τῷ μὴ ἐναπομεῖναι τῷ πτώ-
ματι.

ματι. Μὴ ὁ πίπτων οὐκ ἐγείρεται; ἔστι καὶ τῷ κατερραγμένῳ φιλανθρωπία. Ἀνορθοῖ (Ιερ. η. δ.)
γὰρ Κύριος πάντας τοὺς κατερραγμένους. ἀλλ' ὅρα μὴ ῥᾳθυμήσῃς, ἀκούσας τὴν ἀγαθότη- (Ψαλ. ρμδ. ζ.)
τα τοῦ Θεοῦ. Ὁ Θεὸς γὰρ κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ' (Ψαλ. ζ. ιϛ.)
ἑκάστην ἡμέραν. ὡς οὖν φιλάνθρωπος ἀεὶ ἐκδέχεται τὴν μετάνοιαν. Ἐὰν μὴ ἐπιστρα-
φῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. τέως οὐ τέμνει, στιλβοῖ μόνον, ἵνα τὴν λαμπηδόνα θε-
ασάμενος, καὶ φοβηθεὶς, μὴ φθάσῃς κολασθῆναι. οὐ τέμνει ἡ ῥομφαία, ἀλλὰ φοβεῖ, ἵνα ὁ
φόβος διεγείρῃ σε εἰς μετάνοιαν. Τὸ τόξον ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. ἐνέτεινεν, οὐκ ἔ- (Ψαλ. ζ. ιγ.)
πεμψε βέλος, ἵνα φοβήσῃ σε τῷ σχήματι. εὐτρεπὴς ὁ κριτὴς, μὴ καταφρόνει τοῦ τόξου. τέ-
ταται γάρ· μὴ ῥᾳθυμήσῃς, ἐπεὶ τέως τὸ βέλος οὐ βλέπεις, μηδὲ ὑπτίου διὰ τὴν μακροθυ-
μίαν αὐτοῦ. ἄκουε τῆς σωτηρίου φωνῆς λεγούσης· Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου. ἀντιδίκῳ (Ματθ. ε. κε.)
συνοδεύεις καθ' ἑκάστην ἡμέραν, οὐ τὴν συνοδίαν ἐκφυγεῖν οὐ δύνασαι. Παῦλος ἐπα-
λειφέτω σε λέγων· Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· (Γαλ. ε. ιζ.)
ταῦτα δὲ, φησὶν, ἀντίκειται ἀλλήλοις. ἀντικείσθω τὸ πνεῦμα τῇ σαρκὶ, ταῖς προσδοκωμέναις
ἐλπίσιν ἐπαλειφόμενον. συγκρινώμεν ἐπιθυμίαν κόσμου, καὶ βασιλείαν οὐρανῶν. ἡ σὰρξ
ἐπὶ τὸν χοῦν ῥέπει, ἡ δὲ ψυχὴ τῆς θεϊκῆς εἰκόνος προσπουδαζέτω ὁμοιοῦσθαι. οὕτως εὐνόει
τῷ ἀντιδίκῳ σου, ἕως ὅτου εἶ μετ' αὐτοῦ ἐν τῇ ὁδῷ· τουτέστιν, ἐν τῷδε τῷ βίῳ. ἐὰν γὰρ ἡ ὁ-
δὸς πληρωθῇ, οὐκ ἔτι σοι καιρὸς μετανοίας. βλέπε μή σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ,
καὶ ὁ κριτὴς τοῖς ὑπηρέταις, ταῖς τιμωρουμέναις δυνάμεσι, καὶ βληθῇς εἰς τὴν φυλακὴν,
εἰς τὸ σκότος τὸ ἐξώτερον, ἕως οὐ ἀποδῷς τὸν ἔσχατον κοδράντην, οὐ μόνον ὑπὲρ τῶν πρά-
ξεων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐνθυμήσεων κρινόμενος. ταῦτα οὖν πάντα εἰδότες, βοηθήσωμεν
ἑαυτοῖς. τότε γὰρ γνωσόμεθα ὅπως ἐστὶ πικρὰ ἡ ἡδονὴ, ὅταν γνωσόμεθα τῇ πείρᾳ πηλίκης
πικρίας αἰτία ἡμῖν προξένος. Εἰδότες τοίνυν ἐν τίσιν ἡμῖν ἐστιν ἡ πάλη, παρακαλέσωμεν τὸν
ἐλεήμονα Θεὸν μὴ παραδοθῆναι τοῖς δαιμονίοις, λέγοντες μετὰ τοῦ ἁγίου Δαβίδ· Μὴ πα- (Ψαλ. ριη. ρκ.)
ραδῷς με τοῖς ἀδικοῦσί με. αὐτοὶ γὰρ διεγείρουσιν ἡμᾶς εἰς τὸ ἁμαρτάνειν, καὶ αὐτοὶ κατή-
γοροι γίνονται. οὐ γὰρ μόνος ὁ διάβολος καθ' ἡμῶν ἀνοίξει τὸ στόμα, ἀλλὰ καὶ αὐτοὶ οἱ δαίμονες
λέγοντες, οὐχ ἡμεῖς σοι ὑπηρέται γεγόναμεν εἰς τὸ ὀργισθῆναι, ἢ κενοδοξῆσαι, ἢ καταλα-
λῆσαι τοῦ ἀδελφοῦ; φοβηθῶμεν, ἀδελφοὶ, τὴν ἡμέραν ἐκείνην, ἐν ᾗ οἱ λογισμοὶ οἱ ἡμέ-
τεροι καθ' ἡμῶν στήσονται περὶ δικαστάς. μὴ ἀναμείνωμεν τοὺς μάρτυρας τοὺς ἀντιδίκους,
ἀλλὰ μᾶλλον παρακαλέσωμεν τὸν Χριστὸν καὶ δεσπότην ἡμῶν. εἰ γὰρ καὶ ἀσθενὲς τὸ σαρ-
κικὸν ὃ περικείμεθα, ἀλλὰ μέγας ὁ βοηθῆσαι δυνάμενος καὶ σῶσαι εἰς τὴν βασιλείαν αὐτοῦ.
φιλεῖν σε δεῖ τὸν δεσπότην, καὶ ὡς ὡραῖον, καὶ ὡς εὐεργέτην, καὶ ὡς φιλοῦντα τοὺς γνησίως αὐτῷ
δουλεύοντας. καὶ οἱ ἄνθρωποι διὰ ταῦτα τὰ τρία φιλοῦμέν τινας, ἢ διὰ κάλλος, ἢ δι' εὐ-
εργεσίαν, ἢ διὰ τὴν εἰς ἡμᾶς φιλίαν. τί τοίνυν ὡραιότερον τοῦ δεσπότου Χριστοῦ; καθὼς ὁ Δαβὶδ
λέγει· Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. τίς δὲ οὕτως εὐεργέτης ἐστὶν, ὡς ἑτοι- (Ψαλ. μδ. γ.)
μάσαι τοῖς ἀγαπῶσιν αὐτὸν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὓς οὐκ ἤκουσε, καὶ τὰ ἑξῆς; τίς δὲ οὕ-
τως* ἐφίλησέ ποτε; ὅτι ὡς πατὴρ φιλόστοργος βοᾷ οὕτω· Μὴ ἐπιλήσεται γυνὴ τὰ ἔκ- (Ησ. μθ. ιε.)
γονα αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος. τοῦτον
φιλῶν ὁ Δαβὶδ ἐγλίχετο θεάσασθαι λέγων· Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ (Ψαλ. μα. γ.)
Θεοῦ; οὐκ ἔστεγε τὴν ὑπέρθεσιν, ἀλλὰ κατεκαίετο ἀπελθεῖν ἐντεῦθεν, ἵνα θεάσηται τὸν
ποθούμενον Χριστόν. ὢ φιλοθέου ψυχῆς προθέσεως, καὶ πρὸς τὰ ἄνω ἀνεπτερωμένης. τοῦτον
πόθησον καὶ αὐτὴ, πάντα τὰ ὁρώμενα ὡς σκιὰν παρατρέχουσα, καὶ ἀεὶ μνημόνευε τῆς αἰωνίου
ζωῆς, τῆς βασιλείας τῆς ἀθανάτου, τῆς μετὰ ἀγγέλων χορείας, τῆς ἀκηράτου δόξης, τῆς
μετὰ Χριστοῦ διαγωγῆς, τῆς πάσης ἀπηλλαγμένης ὀδύνης. ἐννόησον ὅτι οὐδὲν ἔχει ὁ βίος,
εἰ μὴ δάκρυα, καὶ ὀνείδη, καὶ λοιδορίας, καὶ ἀθυμίας, καὶ ὀλιγωρίας, καὶ πόνους, καὶ νόσους, καὶ γή-

ἔχθρας, καὶ ἁμαρτίας, καὶ θάνατον. Ταῦτα καὶ τὰ τοιαῦτα ὁρῶν ὁ Δαβὶδ, τὰς συκοφαντίας, τὰς χηρείας, τὰς πενίας, τὰς τιμωρείας, τὰς κολάσεις, τὰς καταπλώσεις, ἀπαλλαγῆναι τούτων ἐπιθυμῶν ἔλεγε· Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; ἵνα ἀπέλθω λοιπὸν, ὅπου εἰρήνη, χαρὰ, ἀγάπη, μακροθυμία, λαμπρότης τῶν ἁγίων, ἀμεριμνία, καὶ τὰ ἄλλα πάντα ἀγαθὰ, ἃ οὐδεὶς λόγος παραστῆσαι δύναται. ὅθεν καὶ σὺ, ὡς τοσαύτης προσδοκῶν ἀπολαῦσαι τρυφῆς, μὴ καταφρονήσῃς σου τῆς ζωῆς. εἰ μὲν γὰρ εὐτελὴς ἦν, ἢ πένης, ὁ παρὰ σοῦ καταφρονούμενος, καλῶς ἂν καὶ ἀνύσταζες· εἰ δὲ λαμπρὸς, καὶ ἐπίδοξος, καὶ πάσης τῆς βασιλείας δεσπότης ὁ προσδοκώμενος*, φαιδρυνέσθω ἡ λαμπὰς καθ' ἡμέραν, ἕτοιμος ἔσο εἰς τὴν ὑπάντησιν τοῦ νυμφίου, ἵνα ἀκούσῃς καὶ σὺ, Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. γρηγορεῖτε δὲ καὶ προσεύχεσθε ἐν παντὶ καιρῷ, ἀγαπητοί. εἰ γὰρ, εἰπόντος τοῦ Θεοῦ τῷ διαβόλῳ, ὅτι Μὴ ἅψῃ τοῦ Ἰὼβ, *ἐπέμενε νομίζων αὐτὸν καταβαλεῖν· πόσῳ μᾶλλον ἡμᾶς ἔχων ὑποχειρίους διαχρήσηται καθὼς βούλεται; ἀγρυπνίας οὖν χρεία. στρατιώτης γὰρ [φησιν οὐ] καθεύδει, οὐκ ἐπὶ κλίνης, ἀλλ' ἐπ' ἐδάφους· ὁ ἁλιεὺς οὐ κειμένος ἁλιεύει, ἀλλ' ἱστάμενος ἐσθ' ὅτε τὴν νύκτα διατελεῖ· ὁ γεωργὸς πᾶσαν ἐνδείκνυται ἀγρυπνίαν, ἵνα μή τις τῶν ἀμπελώδια τοῦ δεσπότου λυμαίνηται· καὶ ποιμὴν ἀγραυλῶν διατελεῖ τὴν νύκτα φυλάττων τὴν ποίμνην, ὥσπερ ὁ Ἰακὼβ, λέγων· Ἐγινόμην συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, καὶ ἀφίστατο ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου. καὶ τίς ὁ λόγος τῆς ἀγρυπνίας αὐτῷ; ἵνα μὴ ἓν προβάτων θηριάλωτον γένηται. εἰ δὲ τοσαύτη φροντὶς περὶ ἀλόγου προβάτου, ποταποὺς δεῖ εἶναι ἡμᾶς περὶ τῆς λογικῆς ψυχῆς τὴν φροντίδα [μὴ] ποιουμένους, ψυχῆς, τῆς πάντων τιμιωτέρας, τῆς ἀντιρρόπου πάσης ὁμοῦ τῆς οἰκουμένης, τῆς συνανισταμένης ἡμῖν καὶ συναπολογουμένης, καὶ τῷ βήματι τῷ θείῳ συμπαρισταμένης; διὰ ταύτην ὁ ἀσκητὴς Ἰακὼβ λίθον πρὸς κεφαλῆς ἐπέθηκε κοιμώμενος, ἵνα τὸν νοητὸν λίθον καθ' ὕπνον θεάσηται. ὅθεν καὶ τὴν κλίμακα εἶδεν ἀφικνουμένην ἕως τοῦ οὐρανοῦ, καὶ τοὺς ἀγγέλους ἀναβαίνοντας καὶ καταβαίνοντας, ἀναφέροντας μὲν τὰς παρ' ἡμῶν προσευχὰς, καταφέροντας δὲ τὰ παρὰ τοῦ Χριστοῦ χαρίσματα. οὐκ ἐχρίετο μύρῳ ὁ ἀθλητής· τῶν ἐστεριζομένων ἡ τοιαύτη σπουδή. οὐδὲν γὰρ ψυχῆς ἀκαθαρτότερον, ὅταν τὸ σῶμα τοιαύτην ἔχῃ τὴν εὐωδίαν. ἀλλὰ καθάπερ οἱ κατάρρουν ἔχοντες, καὶ τὰς χεῖρας καὶ τὰ ἱμάτια τοῦ ἀπορρέοντος πληροῦσιν· οὕτω τῆς ψυχῆς τὸ ἀκάθαρτον ῥεῦμα διὰ τῆς τοῦ σώματος εὐωδίας γνωρίζεται. διὸ τὸν ἀπεσκληκότα βίον αἱρεῖσθαι προσήκει, καὶ μὴ ταῖς ἡδοναῖς παρασύρεσθαι. οἵαν δὲ ἡδονὴν ἔχει πρὸς ὕπνον κλίνη ἐλεφαντίνη; ἐὰν δὲ καὶ ἀργυρένδετος ᾖ, περισσοτέρα καὶ ὠδὶς φροντὶς, καὶ τὴν αἴσθησιν ὀργὴν ἐκκαλουμένη. καὶ τὰ μὲν ἄλλα ἁμαρτήματα ἡμῶν ἔχει τινὰ ἡδονήν· τὸ δὲ ἐπὶ κλίνης ἀργυρᾶς καθευδῆσαι, ποίαν ἔχει τὴν τέρψιν; ὅθεν καὶ ὁ προφήτης ἀπαγορεύων ταύτην τὴν κλίνην, ἔλεγεν· Οὐαὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐν ταῖς στρωμναῖς αὐτῶν. θέλεις ἰδεῖν κλίνην βασιλικὴν ἀρετῆς γέμουσαν; βλέπε τὴν τοῦ Δαβὶδ, ἐν ᾗ, ὡς μεμαρτύρηται, ἦσαν τὰ δάκρυα τοῦ προφήτου καθ' ἑκάστην νύκτα τῶν σκιμποδίων πηγνύμενα· ἅτινα καὶ πρὸς νουθεσίαν ἡμῶν ἐγράφη, ἵνα τοῖς ἴχνεσι τούτων κατακολουθοῦντες, φύγωμεν τὴν μέλλουσαν κρίσιν. ὅθεν πρὸ τοῦ δικαστηρίου ἐκείνου ἀποθώμεθα τὰ ἐγκλήματα. ἐκεῖ γὰρ οὐκ ἔτι ἔστι καιρὸς τοῦ μετανοῆσαι. ἑτοίμους βούλεται ἡμᾶς εἶναι ὁ Κύριος. διὰ γὰρ τοῦτο καὶ ἄδηλον ἔθηκε τὴν ἔξοδον, ἵνα ἀεὶ ἐναγώνιοι ὦμεν. εἰ γὰρ ἐν τοῖς ἐνταῦθα δικαστηρίοις, ἐὰν μόνον ἀκούσωσι τοῦ κήρυκος οἱ εἰσαγόμενοι, ἰλιγγιῶσι καὶ ἀποπήγνυνται τῷ φόβῳ· πόσῳ μᾶλλον οἱ τῷ θείῳ βήματι παρίστασθαι μέλλοντες, μεγάλως ἐκροτήσατε διὰ τῆς σιωπῆς; ἀεὶ μὲν γὰρ κεντεῖται τὸ συνειδὸς, μάλιστα δὲ, ὅταν περὶ τῆς κρίσεως [ὑμῖν] διαλεγώμεθα. πλὴν οἱ ἔλεγχοι διὰ τῶν λόγων καιροί. Εἴθε γὰρ καὶ ὁ πλούσιος ἐ-

κεῖνος

Ματθ. κε. κα.

Ἰωβ. β.

Γεν. λα. μ.

Ἀμως. ς. δ

κτῆνος ἠλέγχετο, καὶ μὴ τὴν γλῶτταν αὐτῆς κατετηγάνιζετο. ἐπεθύμησας παρθενίας; διατήρησον ἐντολάς, καὶ ὁ Κύριος χορηγήσει σοι αὐτήν. ἐὰν γὰρ λέγῃς προσευχομένη· Φύλαξόν με, Κύριε, ὡς κόρην τοῦ ὀφθαλμοῦ, λέξει σοι καὶ αὐτός· Φύλαξον ἐμὰς ἐντολάς, καὶ βιώσεις, τοὺς δὲ ἐμοὺς λόγους ὥσπερ κόρας ὀμμάτων. ὅταν γὰρ οὕτως ἔσῃ διακειμένη, οἰκειωσάμενός σου τὴν μέριμναν λέγει, Ὁ ἁπτόμενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. βαλοῦσα τοίνυν τὴν χεῖρά σου ἐπ' ἄροτρον, μὴ στραφῇς εἰς τὰ ὀπίσω, μὴ γένῃ στήλη ἁλός. ἀεὶ ἡ γλῶσσά σου λαλείτω περὶ τῆς κρίσεως· μηδὲν ἄκριτον φθεγγομένη, μὴ ἀπὸ λύπης, μὴ ἀπὸ ὀργῆς, μὴ ἀπὸ ἄλλου πάθους τινός, ἀλλὰ μᾶλλον φθεγγέσθω τὰ περὶ τῆς κολάσεως τῆς ἐκεῖ, ἵνα ὠφελουμένη ἐκ τῶν φοβερῶν κριτηρίων, βελτίων ἑαυτῆς γένηται. πάντοτε ὁ νόμος τοῦ Θεοῦ ἐπὶ τῷ στόματί σου ἔστω, ἵνα καὶ τὰ ῥήματά σου κατὰ τὸν τοῦ Θεοῦ νόμον προέρχηται. τὸν νομοθέτην πάντοτε ἐπὶ στόματος ἔχε· ἐκεῖνός σοι ἔστω ὁ οἶκος, καὶ ὁ σύμβουλος, ἐκεῖνός σοι σύνοικος, καὶ συνόμιλος. κἂν γὰρ ἴδῃς τινὰς εὐημερούσας, ἢ τρυφώσας, ἢ βασιλευούσας, γίνωσκε ὅτι ὡσεὶ ἄνθος χόρτου ταχὺ ἀποξηρανθήσονται. ἐκείνη τρυφάτω τῶν ἐδεσμάτων, σὺ δὲ τοῦ δεσπότου σου κατατρύφησον. πολλαὶ τῶν παρθένων ἐμαρτύρησαν. εἰ δὲ θανάτου ἐκεῖναι περιεγένοντο, αὐτὴ ἐπιθυμίας περιγενέσθαι οὐ δύνασαι; νεκρῶσαι δεῖ σε τὰ μέλη. οὐ μόνον ἐπιθυμίας, ἀλλὰ καὶ θυμοῦ καὶ ὀργῆς ἐγκρατευομένην. ἡ γλῶσσά σου μέτρα ἐχέτω. βλέπε μὴ παρὰ καιροῦ κατακρίνῃ σε ἡ συνείδησις. ἔρχεται ὁ θάνατος, καὶ πάντα ἀποκαλύπτεται. ἐπὶ ἑνὸς οὐ θέλομεν ἀσχημονῆσαι ἐνταῦθα, ἐπὶ μυριάδων τοσούτων ἐκεῖ ποῦ ἄρα καταδυσόμεθα; Ἰωάννης ἁγνὸς ἦν. διὰ τοῦτο ἐπὶ τὸ στῆθος ἀνέκειτο τοῦ δεσπότου. εἰ Χριστῷ θέλεις νυμφευθῆναι, φύλαξον τὴν ἁγνείαν, ἵνα ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκηται. ἐπιδεικνυμένην γάρ[, φησι,] πίστιν ἐπαγγέλλει δίκαιος. ἀναμιμνήσκου πάντοτε τῆς καλῆς ὁμολογίας ταύτης, καὶ λάμβανε εἰς ἔννοιαν τὴν ἐσχάτην ἡμέραν. βλέπε μὴ διὰ τῆς γλώττης φθαρήσῃ. Γλῶσσα γάρ, φησιν, ἡ σπιλοῦσα ὅλον τὸ σῶμα. τοῦ δὲ σώματος σπιλωθέντος, ἀνάγκη καὶ τὸν νοῦν καταφθείρεσθαι. καλῶς ἔλεγεν ὁ Παῦλος· Ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν. Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί. ζήτει Παῦλον ὡς ἡ Θέκλα, ἵνα ἀκούσῃς τὰ ὑπὸ τοῦ Παύλου λαλούμενα. πτερύγων σοι χρεία. εἰ οὐκ ἔχεις ταύτας, καὶ οὐ σπουδάζεις ἔχειν, μάτην ἐπήγγελσαι. βοάτω σου ὁ ὀφθαλμὸς τὴν ἔνδον οἰκοῦσαν εὐλάβειαν. κάτω ἔστω τὸ ὄμμα, ἵνα ᾖ ἡ διάνοια ἄνω. νήψεως πολλῆς χρεία. ὁ γὰρ ἀντίδικος ἡμῶν νήφει. ἀπὸ γηΐνου παραδείσου ἐξέβαλε, νῦν εἰς οὐρανοὺς ἀνέρχεσθαι οὐκ ἐπιτρέπει. βλέπε μὴ τὸν πνευματικὸν οἶνον μίξῃς τῷ ὕδατι. ἔχε ἀντὶ ἄρτου τὰς θείας γραφάς, καὶ ἀντὶ οἴνου τὰ διδάγματα τοῦ σωτῆρος. ἄκουε τοῦ λέγοντος· Θέλω ὑμᾶς ἀμερίμνους εἶναι. καὶ μηδὲν ὅλως μεριμνᾶν, εἰ μὴ περὶ τῆς βασιλείας. μετὰ γηΐνου σώματος εἰς οὐρανοὺς εἰσελθεῖν ἐπιθυμήσας, λέπτυνον τὰς σάρκας, ἵνα εὔπτερος εἰς τὴν ἄνοδον γένῃ. ἵππος ἐὰν φάγῃ, οὐ τρέχει· ὁ ἀθλητὴς οὐ τρώγει ὃ θέλει. εἰ μὴ ἔφαγεν Ἰσραήλ, καὶ ἐπαχύνθη, οὐκ ἂν ἀπελάκτισεν. ἄνω τὸ ὄμμα ἔχε, ὅπου καὶ ὁ ποθούμενός σου νυμφίος. πόθῳ τὰ πάθη νίκησον. εὐχαὶ καὶ νηστεῖαι βοηθοῦσί σοι, καὶ ἡ γραφὴ νουθετεῖ. ὁ ὀλιγωρῶν ἐν τοῖς ἀγῶσιν οὐ στέφεται. ἔχεις ἐντεῦθεν τῆς ἐκεῖ αἰωνίου ζωῆς καὶ ἀναπαύσεως τὸ ἐνέχυρον. οὐκ ἀνέχῃ μεθύοντος ἀνδρός, οὐκ ὠδίνεις ἐν τῷ τίκτειν, οὐ κλαίεις ὅτι τέκνον ἀπέθανεν, ἢ ὅτι ἄλλο νοσεῖ· οὐ φροντίζεις μὴ ὁ ἀνὴρ βραδύνῃ, ἢ ἐπιμελήθη ὁ ἀποδημήσας· ἀπηλλάγης τοῦ τίκτειν, τοῦ τρέφειν, τοῦ ἀνατρέφειν. ἀκολούθησον τῷ νυμφίῳ ὁδηγοῦντί σε εἰς τὴν τῶν οὐρανῶν βασιλείαν. ἐκείνῳ ἀκολουθεῖν ἐπείγου τῷ λέγοντι· Ἐὰν πορεύησθε πρός με ὀρθῶς, κἀγὼ πορεύσομαι πρὸς ὑμᾶς ὀρθῶς· ἐὰν δὲ πλαγίως πορεύσῃ, κἀγὼ πορεύσομαι μεθ' ὑμῶν ἐν θυμῷ πλαγίῳ. πάντοτε προσδόκα τὸν δεσπότην ἐρχόμενον. εἰ γὰρ ὁ λέγων, Ὅτι βραδύνει ὁ κύριός μου

Ψαλ. ις. η.
Παροιμ. ζ. β.
Ζαχ. β. η.
Ιακ. γ. ς.
β Τιμ. γ. η.
α Κορ. ιε λ.
Ματθ. ς.
Ματθ. κδ. να.

ἐλθεῖν, παρουσίαν διχοτομεῖται· ὁ μηδ' ὅλως προσδοκῶν τὴν ἐπιφανῆ τί παθεῖται; Χριστῷ θέλεις ὁμοιωθῆναι; τοῖς ἴχνεσιν αὐτοῦ ἀκολούθει· Στενὴ ἐστὶν ἡ πύλη, καὶ δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. ἄκουε τοῦ Δανιὴλ λέγοντος· Ἐγὼ Δανιὴλ ἤμην πενθῶν τρεῖς ἑβδομάδας, ἄρτον οὐκ ἔφαγον, καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα μου. Ἰωάννης ἔρημον ᾤκησεν, οὐκ ἔχει ἀμπελῶνα, ἵνα μὴ χερσώσῃ ἑαυτόν. λύχνος ἦν· διὰ τοῦτο τὰς προσβολὰς τῶν ἀνέμων ἠσφαλίζετο. τούτων μνημόνευε καὶ σὺ τῶν διδαγμάτων. οὐράνιον ἐπανῄρησαι πολιτείαν· ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως, ἐν τῷ ἀγῶνι ὁρῶσα τὴν νίκην, ἐν τῇ νίκῃ τὸν στέφανον· βλέπουσα ἐν τῷ σταδίῳ τὸν ἀγωνοθέτην Ἰησοῦν καὶ γνωρίζουσα. μόνον ἀσφαλιζέσθω σου ὁ δρόμος. Φοβερὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Εἶδές ποτε τὰς τῶν βασιλέων εἰκόνας, πῶς εἰσὶ, τὰ μὲν τῶν προσώπων εὐμήκη καὶ εὐμεγέθη καὶ περικαλλῆ· τὰ δὲ γρυλλοειδῆ καὶ καταγέλαστα; οὕτως ἔσται ὡς ἐν εἰκόνι τὰ πάντα ἀποκαλυφθήσεται. φεύγουσα τοίνυν τὴν αἰσχύνην ἐκείνην τὴν φρικώδη καὶ αἰώνιον, λέγε· Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. οὐ γὰρ τῶν ἡμετέρων*, ἀλλὰ τῆς σωτηρίας ἡμῶν ἐπιδέεται. ὅθεν ἑαυτοὺς προσενέγκωμεν αὐτῷ θυσίαν ζῶσαν, λογικὴν λατρείαν, ὡς γέγραπται, οὐ διὰ πυρὸς, ἀλλὰ διὰ μακροθυμίας. Ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. καὶ πάλιν· Ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. διό ποτε ὡς τὸν ἀτάραχον καὶ ἀπερίσπαστον βίον ἑλόμενοι, τρέχετε καλῶς, ἵνα καταλάβητε, καθὼς γέγραπται. οὐ γὰρ ὀλίγος ὁ κίνδυνος ὁμολογήσαντα* μὴ φυλάξαι. διὸ καὶ παιδαγώγει σου τὴν γλῶτταν, τὸν ὀφθαλμὸν, ἐκτείνουσα χεῖρας ὁσίους εἰς προσευχὴν, τὸν πόδα κινοῦσα, ὡς ὁ δεσπότης ἐξεδημιούργησεν ἐν τῇ καταστολῇ κοσμίως, ἐν ταῖς συντυχίαις αἰδέσιμος, ἐν τοῖς βαδίσμασι τὸ ἀτάραχον, ἐν τοῖς βρώμασι τὸ ἀπερίεργον, τὸ ἐν ἐγκρατείᾳ εὔτονον, τὸ ἐν βίῳ φιλόπονον, τὸ ταπεινὸν, τὸ συμπαθὲς, τὸ φιλάδελφον, τὸ κοινωνικὸν, τὸ τῆς πίστεως ὑγιὲς, καὶ καθόλου, τὸ μηδέποτε ἐπιλαθέσθαι τοῦ φοβεροῦ ἐκείνου δικαστηρίου. ταῦτα δὲ πάντα μικρὰ μὲν λεγόμενα, μεγάλα δὲ κατορθούμενα. Ὁμοία, φησὶν, ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν παρθένῳ· οὐχ ἡλίῳ, οὐδὲ σελήνῃ, οὐκ αὐταῖς περικαλλέσιν ἄστροις, οὐ χρυσίῳ*, οὐ κάλλει μαραινομένῳ, οὐδ' αὐτῷ τῷ οὐρανῷ. τί τοίνυν ἔχει ἡ βασιλεία, ἢ τὴν πάντων πλουσιωτέραν ἀμεριμνίαν, περὶ ἧς ὁ νυμφαγωγὸς ἡμῶν Παῦλος ἔλεγε, Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι; ὅθεν εὔχεσθαι δεῖ, ἵνα εἰ μέν τις νοσεῖ, ὑγιάνῃ· εἰ δὲ ὑγιαίνει, ἵνα διαμένῃ τὸ κτῆμα καὶ μὴ πέσῃ. εὔχου τοίνυν τῷ Θεῷ μετὰ τοῦ ἁγίου Δαβὶδ, καὶ λέγε, Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. καλὸν γὰρ τὸ διὰ τῆς προσευχῆς πάντοτε προσομιλεῖν τῷ Θεῷ. τίς γὰρ ἐννοῶν παρίστασθαι Θεὸν, ἁμαρτάνει ποτέ; εἰ [καλὴ] γὰρ συντυχία ἀνδρὸς ἀγαθοῦ βελτιοῖ τὸν συντυγχάνοντα· πόσῳ μᾶλλον καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ προσομιλεῖν τῷ Θεῷ; οὐκοῦν ἵνα μὴ διὰ τῆς λήθης παρεισδύῃ ἡ ἁμαρτία, μνημόνευε τοῦ λέγοντος, ἀδιαλείπτως προσεύχεσθαι. καλὴ μὲν γὰρ ἡ διὰ τοῦ στόματος προσευχὴ, πολλῷ δὲ μᾶλλον ἡ διὰ τῶν δεομένων θυμίαμά σοι γίνεται πρὸς τὸν Θεόν. προμελέτα τὸ ἀποθανεῖν, νεκροῦσα τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. ἡ ἡμέρα γὰρ Κυρίου ὡς κλέπτης οὕτως ἔρχεται. ἐὰν γὰρ ἐλθόντων τῶν ἀπαιτούντων σου τὴν ψυχὴν, ἄρξῃ λέγειν· ἐάσατέ με, νηστεύσω, ἐλεήσω, μετανοήσω, ἐρεῖ σοι ὁ δεσπότης, οὐκ ἔλεγόν σοι, Ἐλεήσατε, ἵνα ἐλεηθῆτε; οὐκ ἤκουσας, Μετανοεῖτε, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν; οὐκ ἤκουσας Παύλου λέγοντος, Ἕως καιρὸν ἔχομεν ἐργασώμεθα τὸ ἀγαθόν; οὐ γὰρ ἐστὶ καιροῦ πολλοῦ χρεία πρὸς τὸ σωθῆναι τῷ θέλοντι. ὁ γὰρ λῃστὴς οὐκ ἐν χρόνῳ ἐσώθη· ἐπίστευσε μόνον, καὶ τὸν ἀδαπάνητον θησαυρὸν τῆς βασιλείας ἐκέρδανεν. οἱ ἅγιοι μάρτυρες ἐν ὀξεῖ ὥρας ἐδικαιώθησαν. ἐκεῖνοι τὸ αἷμα δεδώκασι· σὺ ἀντὶ αἵματος κατάγαγε δάκρυον. ἀψευδής ἐστιν ὁ λέγων, Θέλω πάντας ἀνθρώπους σωθῆναι· διὸ καὶ οὐ μόνον διὰ τῶν ἁγίων γραφῶν νουθετεῖ, ἀλ-

λὰ

λάς· καὶ ἐν ταῖς τῶν ἄλλων συμφοραῖς ἡμᾶς παιδεύει. οἱ γὰρ ἰατροὶ διὰ τοῦτο δημοσίᾳ χειρουργοῦ-
σι, καὶ καίουσι, καὶ οἱ ἄρχοντες ὑψηλοὶ ἐπὶ τοῦ βήματος ὑψηλοῦ ξέουσιν, ἵνα ἐν τοῖς ἀλλοτρίοις
κακοῖς ἡμεῖς ἐν κατανύξει γινώμεθα. ὅθεν τῇ πίστει ἐῤῥιζωμένοι ἐπὶ τὴν γνῶσιν ὁδηγούμεθα,
ἀπὸ δὲ τῆς γνώσεως [διὰ τῆς ἀκολούθων ἀρετῆς] ἐπὶ τὴν ἀγάπην ἐρχόμενοι, διὰ ταύτης ἐπὶ τὴν κλη-
ρονομίαν ἐπειγόμεθα, τὴν μὲν ἁμαρτίαν ἀποδυόμενοι, τὸν δὲ κόσμον τοῦ ἤθους ἀμφιεννύμενοι, τῇ
προσευχῇ προσκαρτεροῦντες, ὡς γέγραπται. τίς γὰρ ἀγρυπνήσας ἐτρώθη ποτέ; Ῥωμ. ιϐ. ιϐ.
* οἱ ποιμένες καὶ μὴ παρόντων τῶν λύκων ἐπιτηροῦσιν· οἱ κύνες παρακαθεύδουσι, κἂν
μὴ παρῇ τὰ θηρία. ὅθεν καλὸν τὸ πάντοτε νήφειν. κἂν γὰρ μὴ ᾖ ἡ ἀμοιβὴ τῶν πόνων, οὐ-
δέποτε παρέβλαψε τὸ γυμνάσιον. ἄκουε τοίνυν τῶν καλῶν συμβούλων. τῶν γὰρ κατὰ σάρκα γο-
νέων, οἱ κατὰ πνεῦμά εἰσι κηδεμονικώτεροι, συμπαθοῦντες τοῖς ἀσθενεστέροις, καὶ λέγοντες·
Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; ὅθεν δεῖ ἐπιποθεῖν τοῦ λόγου τὸ φάρμακον. ψυχὴ γὰρ ἅ- Β.Κορ. ια. κθ.
παξ ἁμαρτίας γευσαμένη, καὶ διηνεκῶς διατιθεῖσα, πολλὴν παρέχει τῷ νοσήματι τὴν
προσθήκην. ὥσπερ γὰρ ὁ σπινθὴρ, ἐὰν φθάσῃ ἐπιλαβέσθαι πυρὸς, πάντα λοιπὸν κατα-
νέμεται· οὕτω καὶ τῆς ἁμαρτίας ἡ φύσις, ἐπειδὰν τὸν τῆς ψυχῆς ἐπιλάβηται λογισμὸν, καὶ μη-
δεὶς ᾖ ὁ σβεννύων, χαλεπωτέρα λοιπὸν καὶ δυσχείρωτος γίνεται, τῇ τῶν δευτέρων προσθήκῃ πρὸς
μείζονα καταφέρησιν ἐπαιρομένη. οὕτω γοῦν πολλοὶ πολλάκις τὴν φλόγα παρὰ τὴν
ἀρχὴν μὴ σβεννύντες, εἰς μέγα ναυάγιον κατήντησαν. μὴ ἔχουσα γὰρ ἡ ἁμαρτία τὸν εἰς
τὸ πρόσω προβῆναι κωλύοντα, ἵππῳ ἔοικε τῷ χαλινὸν ἀποῤῥήξαντι, καὶ τὸν ἀναβάτην κα-
ταχρημνίσαντι. καὶ γὰρ οἱ νοσοῦντες ἕως μὲν προσίενται τοὺς θεραπεύοντας, πολλὴν ἔχουσι τῆς ὑ-
γιείας τὴν ἐλπίδα· ἐπειδὰν δὲ εἰς φρενῖτιν ἐκπέσωσι, τότε λοιπὸν οὐδενὸς θεραπεύοντος, νο-
σοῦσιν ἀνίατα, οὐ παρὰ τὴν τῆς νόσου φύσιν, ἀλλὰ παρὰ τὴν τοῦ θεραπεύοντος ἐρημίαν. δεῖ
οὖν τὴν φορὰν τῆς ἁμαρτίας, ὡς ἵππου δυσηνίου, εἰς τοὐπίσω ἀνακρούεσθαι. μετὰ γὰρ τὴν
τοῦ βίου τελευτὴν, οὔτε κατορθωμάτων, οὔτε ἀνδραγαθημάτων εἰσὶν ἀφορμαί· ὥσπερ οὐδὲ
τοῖς ἀθληταῖς μετὰ τὸ παρελθεῖν τοὺς ἀγῶνας, τοὺς στεφάνους ἐφέλκεσθαι. ὅθεν τὴν δόξαν
ποθοῦντες τοῦ στεφάνου, φύγωμεν τὸ ὀνειδισθῆναι. Εἴ τινος γὰρ, φησὶ, τὸ ἔργον κατακαή- α.Κορ. γ. ιε.
σεται, ζημιωθήσεται. τὸ ὀνειδισθῆναι ἐπὶ τοῦ χείρονος εἴρηται, ὡς ὄφελον ἐζημιώθημεν Ησ. θ. ε.
πυρίκαυστοι. Εἰ τοίνυν θέλωμεν μὴ ὀνειδισθῆναι, μηδὲ ἡμεῖς τινα ὀνειδίσωμεν. Μὴ ὀνείδιζε Σιρ. η. ϛ.
γὰρ, φησὶν, ἄνθρωπον ἀποστρέφοντα ἀπὸ ἁμαρτίας. Εἰ γὰρ ὁ μοιχὸς, φησὶν, ἐὰν ἁλῷ, ὀ- Παρ. ϛ. λϐ.
δύνας καὶ ἀτιμίας ὑφέξει, τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται· πόσῳ μᾶλλον ἐπ' ἐκείνου
τοῦ κριτηρίου τοῦ μηδὲ δώροις, μηδὲ ἑτέροις τισὶ διαλυομένου; ἄνοιγε οὖν στόμα λόγῳ Θεοῦ,
καὶ μὴ ἀργολογίᾳ. Εἰ γὰρ περὶ ἀργοῦ ῥήματος λόγον δώσομεν, πόσῳ μᾶλλον περὶ
πράγματος τοῦ μὴ κατ' ἐντολὴν γεγενημένου; μὴ τὸ ἡδὺ τῶν φαινομένων ἀπατάτω ὑ-
μᾶς. ὥσπερ γὰρ σκιᾶς οὐκ ἔστιν ἐπιλαβέσθαι, οὕτως οὐδὲ τῶν ἀνθρωπίνων πραγμά-
των. τὰ μὲν γὰρ τῇ τελευτῇ καταλύεται, τὰ δὲ καὶ πρὸ τῆς τελευτῆς, καὶ παντὸς χειμάῤῥου ὀ-
ξυῤῥεπέστερον παραῤῥεῖ· τὰ δὲ μέλλοντα οὐκ οἶδε μεταβολὴν, οὐκ ἐπίσταται γῆρας, οὐκ ἔχει
τὴν ἀλλοίωσιν, ἀλλ' ἀκμάζει διηνεκῶς, καὶ ἐπὶ τῆς αὐτῆς εὐπρεπείας μένει. μὴ θαυμά-
σῃς χρήματα τὰ μὴ παραμένοντα τοῖς κεκτημένοις, ἀλλ' ἀμείβοντα τοὺς δεσπότας, καὶ ἀπὸ
τούτου εἰς ἕτερον μεταπηδῶντα, καὶ πάλιν ἀπ' ἐκείνου πρὸς ἄλλον. τούτων πάντων δεῖ κατα-
πτύειν. ἀρκεῖ γὰρ ἀκοῦσαι [καὶ] μόνου τοῦ λέγοντος, τὰ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ Β.Κορ. δ. ιη.
βλεπόμενα αἰώνια. γέγραπται, Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. ἀγρυ- Ψαλ. ζ. ιϐ.
πνίας σοι χρεία πολλῆς, ἵνα τηρήσῃς * τὸν λῃστήν. ὁ γὰρ ἀντίδικός σου διάβολος σκελίσαι
σε θέλει, ἵνα μὴ ἀνέλθῃς ὅθεν ἐκεῖνος ἔπεσεν. πολλαὶ αἱ παγίδες. φεῦγε τοὺς βρόχους καὶ τὰς
παγίδας τοῦ διαβόλου, ἵνα λέγῃς, ὅτι Αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λό- Ψαλ. ϟ. γ.
γου ταραχώδους. οὐ μόνον σοι λύχνου χρεία, ἀλλὰ καὶ φωτὸς ἀϊδίου διὰ τὰς ἀπαντώσας ἐπι-
βουλάς.

εὐλαβής. πόδας ἔχουσα οὐ δυνῇ περιπατεῖν, ἐὰν μὴ ἔχῃς λύχνον τὸν τοῦ Θεοῦ νόμον. χεῖρας ἔχουσα οὐ δυνῇ ψηλαφῆσαι, ἐὰν τὸ φῶς μὴ παρῇ. ὀφθαλμοὺς ἔχουσα οὐ δυνῇ βλέπειν, ἐὰν μὴ φανῇ τὸ φῶς. ὁδὸν ὁδεύουσα, χρείαν ἔχεις καθ' ἑκάστην τοῦ λύχνου, ἵνα μὴ εἰς κρημνὸν καταπέσῃς, ἢ λῃστῇ περιπέσῃς. ἄνω γίνου πάντοτε τῶν παγίδων βοῶσα· Μετοικίζου

Ψαλ. ι. α. ἐπὶ τὰ ὄρη, ὡς στρουθίον· καί, Τίς δώσει μοι πτέρυγας, ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ κατα-

Ψαλ. νδ. ϛ. παύσω; καὶ, Φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ. κόρην ἡ φύσις τὸν ὀφθαλμὸν προσηγόρευ-

Ψαλ. ιϛ. θ. σεν, ἵν' ὥσπερ παρθένος ἡ κόρη ὑπὸ τῶν δύο βλεφάρων, ὡς ἐν κουβουκλείῳ τινὶ ἀποκλείηται. ὥσπερ καὶ τὴν γλῶσσαν ὑπὸ δύο φραγμῶν, τοὺς ὀδόντας λέγω, καὶ τὰ χείλη, ἀπέκλεισεν, ἵνα ὡς αἰδεσιμωτάτη παρθένος μηδὲν ἄκριτον φθέγγηται, ἀλλὰ μᾶλλον προορῶσα τὰ τῆς κρίσεως λέγῃ· Ἆρα ποταπός ἐστιν ὁ πύρινος ποταμός; ἆρα ποταπόν ἐστιν ἐκεῖνο τὸ ἐξώτερον σκότος καὶ πύρινον; ἆρα ποταποὶ οἱ βρυγμοὶ τῶν ὀδόντων; ταῦτα ἐννοῶ λαμβάνουσα ἀρεσκέτω νυμφίῳ Χριστῷ. ἀπόδημος πῶς ἐστιν ὁ νυμφίος· φύλαξον αὐτῷ τὴν συνείδησιν ἕως ἂν ἔλθῃ ἐν τῇ δόξῃ

Ψαλ. ριη. ρνϛ. αὐτοῦ. ψάλλουσα λέγε· Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. ὅσον ἄνω τυγχάνεις τῶν βρόχων, οὐκ ἐμπίπτεις εἰς τὰς παγίδας, ἵνα δυνη-

Ψαλ. ρκγ. ϛ. θῇς λέγειν ἐν συνέσει· Ἡ ψυχή μου ἐρρύσθη ὡς στρουθίον ἐκ τῆς παγίδος τῶν θηρευόντων. πάντοτε φοβοῦ τὸν κριτήν. εἰ μὴ τὴν μετ' ἀγγέλων ποθεῖς διαγωγήν, κἂν τὴν μετὰ τοῦ διαβόλου φοβήθητι. βλέπε· ὡς γὰρ ὁ κλέπτης, οὕτως ὁ θάνατος ἔρχεται. ἄναψόν σου τὸν λύχνον· φαιδρὰ ἔστω σου ἡ λαμπάς, ἵνα μὴ κοιμωμένη εὑρεθῇς. μὴ λογίζου τὴν ταλαιπωρίαν, ἀλλὰ τὴν παρρησίαν, μὴ τὰ τραύματα, ἀλλὰ τὰ τρόπαια· μὴ τὰς πληγάς, ἀλλὰ τὰς τιμάς· μὴ τὰς πικρούσας, ἀλλὰ τὰς διαρεσούσας. ὁ ἅγιος Στέφανος οὐ τοὺς καταλίθους ἐσκόπει, ἀλλὰ τὰ ἄνω βραβεῖα· οἱ μάρτυρες τὰς ψυχὰς αὐτῶν ἔδωκαν, ἡμεῖς καὶ τὴν ἄσκησιν ἑαυτῶν αὐτῷ προσενέγκωμεν. γλυκύς σοι ὁ ὕπνος φαίνεται τῆς νυκτός; ἀλλ' εὖ ἴσθι ὡς οὐδὲν γλυκύτερον τῆς ψαλμῳδίας. ἀλλὰ βαρύ σοι τὸ χαμαὶ κοιμᾶσθαι; ἐννόησον ὅτι οἱ μάρτυρες ἐπ' ἀνθράκων πυρὸς ἐβάλλοντο. ἀλλὰ πικρόν σου τὸ στόμα ποιεῖ νηστεία; * ὁ τὴν γλυκύτητα τοῦ μέλιτος δημιουργήσας, χολῆς ἐγεύσατο διὰ σέ. ἀλλὰ δακρύεις δι' αὐτήν. οὔπω ὡς ὁ Παῦλος διὰ τὴν ἑτέρων σωτηρίαν ἐδάκρυσας. ἐν τούτοις σαυτὴν παρακάλει πάντοτε. πρὸς γὰρ ὀλίγον χρόνον ὁ κάματος, καὶ εἰσαεὶ ἡ ἀνάπαυσις. νίκησον τῇ προσδοκίᾳ τὸν πόνον. τὴν γὰρ θλίψιν ἡ χαρὰ διαδέχεται. ἐννόησον, ὅτι ἡ πρόσκαιρος ἡδονή, αἰωνίαν σοι κόλασιν προξενεῖ· καὶ φεῦγε τὴν τέρψιν διὰ τὴν θλίψιν. μὴ τοῖς σοῖς μέλεσι κατὰ σοῦ βέλεσι χρήσηται ὁ διάβολος, τῷ ὀφθαλμῷ, τῇ ἀκοῇ, τῷ στόματι, τῇ χειρί, μὴ πέμψῃ σοι βέλος γαστριμαργίας. ἴσθι γὰρ ὅτι ὁ τότε λαὸς μετὰ νηστείας περάσας τὴν ἐρυθρὰν θάλασσαν, ἀπὸ μέθης τρωθείς, κατὰ τὴν ἤπειρον ἀνῃρέθη. βλέπε τοίνυν τὸ ἐκείνων πάθος, καὶ φεῦγε τὸ πτῶμα. εἰ γὰρ τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο ὁ δεσπότης *, οὐδέ σου φείσεται. πρόσεχε οὖν σεαυτῷ, εἰ προσέχεις Θεῷ, καὶ σώζῃ διαπαντὸς ἐν Χριστῷ Ἰησοῦ, καὶ μηδέποτε ἐπιλάθῃ τῆς φοβερᾶς ἡμέρας ἐκείνης. ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ σὲ ἡ ὥρα ἐκείνη, ἐν ᾗ ὁ δίκαιος κριτὴς μέλλει ἀποκαλύπτεσθαι μετὰ τῶν ἁγίων αὐτοῦ ἀγγέλων, καὶ τῶν ἁγίων δυνάμεων, ἵνα καθαρισθεῖσα ἐντεῦθεν, ὑπαντήσῃς τῷ δεσπότῃ μετὰ καθαροῦ τοῦ συνειδότος, καὶ εἴπῃς· δόξα τῷ πατρὶ τῷ σώσαντι ἡμᾶς, καὶ τῷ υἱῷ τῷ σταυρωθέντι ὑπὲρ ἡμῶν, καὶ τῷ ἁγίῳ πνεύματι τῷ καθαρίσαντι ἡμᾶς· ὅτι αὐτῷ ἡ δόξα πρέπει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀμήν.

ΤΟΥ

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΓΡΗΓΟΡΙΟΥ
ΕΠΙΣΚΟΠΟΥ
ΝΕΟΚΑΙΣΑΡΕΙΑΣ ΤΟΥ
Θαυματουργοῦ λόγος εἰς τὰ ἅγια θεοφάνια.

Ἄνδρες φιλόχριστοι, καὶ φιλόξενοι, καὶ φιλάδελφοι, ξενοδοχήσατε τὴν ἐμὴν γλῶτταν [καὶ] σήμερον, καὶ τὰς ἀκοὰς ὑμῶν ὡς πύλας ἀναπετάσαντες, ταύταις τὸν ἐμὸν λόγον ἐνοικίσατε καὶ δέξασθε παρ' ἐμοῦ τὸ σωτήριον κήρυγμα, τὸ περὶ τῆς ἐν τῷ Ἰορδάνῃ ποταμῷ καταδύσεως τοῦ Χριστοῦ· ἵνα τὸν τοσοῦτον ἡμῖν συγκαταβάντα δεσπότην πλέον "ποθήσητε. εἰ γὰρ καὶ τῆς τοῦ σωτῆρος ἐπιφανείας ἡ πανήγυρις παρελήλυθεν, ἀλλ' ἡ χάρις αὐτῆς μένει διαπαντός. κατατρυφήσωμεν οὖν ταύτης ἀπλήστοις ψυχαῖς (καλὴ γὰρ ἐπὶ τῶν σωτηρίων πραγμάτων ἡ ἀπληστία) καὶ δεῦτε πάντες ἐκ τῆς Γαλιλαίας εἰς τὴν Ἰουδαίαν συνεξορμήσωμεν τῷ Χριστῷ. μακάριος γὰρ ὁ συνοδεύων τῇ ὁδῷ τῆς ζωῆς. δεῦτε * τοῖς τῆς διανοίας ποσὶ καταλάβωμεν τὸν Ἰορδάνην· καὶ τὸν Βαπτιστὴν Ἰωάννην βαπτίζοντα ἴδωμεν, τὸν βαπτίσματος μὴ δεόμενον,* ἵνα τοῦ βαπτίσματος ἡμῖν τὴν χάριν δωρήσηται. δεῦτε θεασώμεθα τῆς ἡμετέρας ἀναγεννήσεως τὴν εἰκόνα σκιαγραφουμένην ἐν ἐκείνοις τοῖς ὕδασι. Τότε παραγίνεται Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας εἰς τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. (Ματθ. γ. α.) ὢ πόση ἡ τοῦ δεσπότου ταπεινοφροσύνη· ὢ πόση ἡ συγκατάβασις. ὁ βασιλεὺς τῶν οὐρανῶν πρὸς Ἰωάννην τὸν ἑαυτοῦ πρόδρομον ἔτρεχεν, οὐ κινήσας τὰ τῶν ἀγγέλων" στρατόπεδα, οὐδὲ προδρόμους προαποστείλας τὰς "ἀσωμάτους δυνάμεις· ἀλλὰ λιτὸς οὕτω παραγινόμενος πρὸς τὸν ἑαυτοῦ στρατιώτην, καὶ ὡς εἷς τῶν πολλῶν προσερχόμενος, καὶ συναριθμῶν ἑαυτὸν τοῖς αἰχμαλώτοις ὁ λυτρωτής, καὶ συντάττων ἑαυτὸν τοῖς ὑπευθύνοις ὁ δικαστής, καὶ συναγελαζόμενος τοῖς ἀπολωλόσι προβάτοις ὁ ποιμὴν ὁ καλός· ὁ διὰ τὸ πλανώμενον πρόβατον οὐρανόθεν κατελθών, καὶ τοὺς οὐρανοὺς μὴ καταλιπών, καὶ "συναναμιγνύμενος τοῖς ζιζανίοις ὁ οὐράνιος κόκκος ὁ ἄσπορος. ἰδὼν τοίνυν αὐτὸν ὁ Βαπτιστὴς Ἰωάννης, καὶ γνωρίσας ὃν ἐκ γαστρὸς τῆς μητρὸς ἐγνώρισέ τε καὶ προσεκύνησε, καὶ σαφῶς ἐπιγνοὺς τοῦτον ἐκεῖνον εἶναι, δι' ὃν ἐν τῇ μήτρᾳ τῆς μητρὸς ὑπὲρ τὴν ἡλικίαν" ἐσκίρτησε βιαζόμενος τοὺς ὅρους τῆς φύσεως, συνέστελλεν ἔσω τῆς διπλοΐδος τὴν δεξιάν, καὶ τὴν ἑαυτοῦ κεφαλὴν ὑποκλίνας, ὡς δοῦλος φιλοδέσποτος, τοιαύταις πρὸς αὐτὸν" ἐφθέγξατο φωναῖς· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; τί ποιεῖς, δέσποτα; τί τῶν πραγμάτων ἐναλλάττεις τὴν τάξιν; τί μετὰ τῶν δούλων τὰ τῶν δούλων παρὰ τοῦ δούλου ζητεῖς; τί θέλεις ἃ μὴ χρῄζεις λαβεῖν; τί τῇ πολλῇ * συγκαταβάσει βαρεῖς ἐμὲ τὸν οἰκέτην τὸν σόν; ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, σὺ δὲ οὐκ ἔχεις χρείαν ὑπ' ἐμοῦ βαπτισθῆναι. τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται, οὐ τὸ κρεῖττον ὑπὸ τοῦ ἐλάττονος ἁγιάζεται. ὁ λύχνος ὑπὸ τοῦ ἡλίου περιλάμπεται, οὐχ ὁ ἥλιος ὑπὸ τῆς θρυαλλίδος" καταυγάζεται. ὁ πηλὸς ὑπὸ τοῦ κεραμέως καταρτίζεται, οὐχ ὁ κεραμεὺς ὑπὸ τοῦ πηλοῦ διαπλάττεται. τὸ κτίσμα ὑπὸ τοῦ κτίστου ἀνακαινίζεται, οὐχ ὁ κτίσας

ὁ κτίσας

ὁ κτίσας ὑπὸ τοῦ κτίσματος διορθοῦται. ὁ ἄῤῥωστος ὑπὸ τοῦ ἰατροῦ θεραπεύεται, οὐχ ὁ
ἰατρὸς ὑπὸ τοῦ ἀῤῥώστου περιοδεύεται. ὁ προσαίτης ὑπὸ τοῦ πλουσίου δωρείζεται, οὐχ ὁ
πλούσιος ὑπὸ τοῦ πένητος ἐρανίζεται. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ
πρὸς μέ; μὴ γὰρ ἀγνοῶ τίς εἶ, καὶ ἐκ τίνος ἐξέλαμψας, [καὶ πόθεν ἐλήλυθας]; μὴ γὰρ ἐπειδὴ
γέγονας κατ' ἐμέ, τὸ μεγαλεῖον ἀρνοῦμαι τῆς σῆς θεότητος; μὴ γὰρ ἐπειδὴ τοσοῦτόν μοι συγκατέ-
βης ὥστε ἐντὸς γενέσθαι τῷ σώματι, καὶ ὅλον ἐμὲ φέρεις ἐν ἑαυτῷ, ἵνα ὅλον σώσῃς τὸν ἄνθρωπον,
ἐγὼ διὰ τὸ ὁρώμενόν σου σῶμα, τὸ νοούμενον τῆς θεότητος παρορῶ; μὴ γὰρ ἐπειδὴ διὰ τὴν ἐμὴν
σωτηρίαν περιεβέβλησαι τὴν ἐμὴν ἀπαρχήν, οὐκ ἐπίσταμαί σε τὸν περιβαλλόμενον τὸ
φῶς ὡς ἱμάτιον; μὴ γὰρ ἐπειδὴ τὴν ἐμοὶ συγγενῆ σάρκα φορεῖς, καὶ φαίνῃ τοῖς ἀνθρώποις, ὡς
αὐτοί τε βλέπειν ἰσχύουσι, λανθάνει με ἡ αἴγλη τῆς ἀστραπτούσης θεότητος; μὴ γὰρ ἐπειδὴ
τὴν ἐμὴν ἐν σοὶ βλέπω μορφήν, παραλογίζομαί σου τὴν θείαν οὐσίαν, τὴν ἀόρατον καὶ ἀκατά-
ληπτον; οἶδά σε, δέσποτα, σαφῶς, οἶδά σε παρὰ σοῦ διδαχθείς. οὐδεὶς γὰρ ἐπιγνῶναί σε
δύναται, μὴ τῆς σῆς ἀπολαύων ἐλλάμψεως. οἶδά σε, δέσποτα, σαφῶς. εἶδον γάρ σε
πνευματικῶς, πρὶν ἴδω τοῦτο τὸ φῶς τὸ αἰσθητόν· ὅτε σὺ μὲν ὢν ὅλος ἐν τοῖς ἀσωμάτοις κόλ-
ποις τοῦ οὐρανίου πατρὸς, ὅλος ἦς ἐν ταῖς λαγόσι τῆς σῆς δούλης τε καὶ μητρός· ἐγὼ δὲ ἐν τῇ κοιλίᾳ
τῆς Ἐλισάβετ, ὡς ἐν εἱρκτῇ τῇ φύσει κατεχόμενος, καὶ δεδεμένος τοῖς τῶν ἐμβρύων ἀλύ-
τοις δεσμοῖς, ἐσκίρτων, ἐπανηγύριζον, τὴν σὴν γένεσιν προεορτάζων. ὁ τοίνυν πρὸ τοῦ τόκου
τὴν σὴν ἐπιδημίαν προκηρύξας, μετὰ τὸν τόκον τὴν σὴν παρουσίαν ἀγνοήσω; ὁ ἐν κοιλίᾳ
τῆς σῆς παρουσίας διδάσκαλος, νηπιάσω νῦν πρὸς τὴν τελείαν ἐπίγνωσιν; ἀλλ' οὐ δύναμαι
μὴ σέβειν σε, τὸν προσκυνούμενον παρὰ πάσης τῆς κτίσεως. οὐ δύναμαι μὴ κηρύττειν, ὃν ὁ οὐ-
ρανὸς διὰ τοῦ ἀστέρος ὑπέδειξε, καὶ ἡ γῆ διὰ τῶν μάγων ἐδεξιώσατο, καὶ τῶν ἀγγέλων οἱ χο-
ροὶ χαίροντες οὐρανόθεν ἐπευφήμησαν, καὶ ποιμένες ἀγραυλοῦντες ὡς ἀρχιποιμένα τῶν
λογικῶν προβάτων ἀνύμνησαν. οὐ δύναμαι, σοῦ παρόντος, σιγᾶν. φωνὴ γάρ εἰμι· φωνὴ γάρ,
φησι, βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτι-
σθῆναι, καὶ σὺ ἔρχῃ πρὸς μέ; ἐγὼ γεννηθεὶς τῆς γεννησάσης με μητρὸς τὴν στείρωσιν ἔλυσα· καὶ
βρέφος ὢν ἔτι, γέγονα τῆς ἀφωνίας τοῦ πατρὸς μου ἰατρὸς, παρὰ σοῦ λαβὼν ἐκ παιδὸς τὴν χάριν τοῦ
θαύματος· σὺ δὲ τεχθεὶς ἐκ τῆς παρθένου Μαρίας, ὡς ἠθέλησας, καὶ ὡς σὺ μόνος ἐπίστασαι,
οὐκ ἔλυσας τὴν παρθενίαν αὐτῆς, ἀλλὰ καὶ ταύτην ἐφρούρησας, καὶ τῆς μητρὸς αὐτῇ τὴν
προσηγορίαν δεδώρησαι. καὶ οὔτε ἡ παρθενία τὸν σὸν τόκον ἐκώλυσεν, οὔτε ὁ τόκος τὴν παρθε-
νίαν ἐλυμήνατο· ἀλλὰ συνέδραμον ἐναντιώτατα πράγματα, τόκος καὶ παρθενία πρὸς μί-
αν ὁμόνοιαν, ἐπειδὴ τοῦτο πρέπει σοὶ τῷ πλάστῃ τῆς φύσεως. ἐγὼ ἄνθρωπος μόνον εἰμὶ θεί-
ας χάριτος μέτοχος· σὺ δὲ Θεὸς εἶ καὶ ἄνθρωπος ὁ αὐτός· ἐπειδὴ φιλάνθρωπος πέφυκας. ἐ-
γὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρὸς μέ; σὺ ὁ ἐν ἀρχῇ ὤν, καὶ πρὸς Θεὸν
ὤν, καὶ Θεὸς ὤν, σὺ τὸ τῆς πατρῴας δόξης ἀπαύγασμα, σὺ ὁ τέλειος χαρακτὴρ τοῦ τελείου πα-
τρός· σὺ τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· σὺ ὁ ἐν
τῷ κόσμῳ ὤν, καὶ ἐλθὼν ὅπου ἦς· σὺ ὁ γενόμενος σάρξ, ἀλλ' οὐκ εἰς σάρκα τραπείς· σὺ ὁ
σκηνώσας ἐν ἡμῖν, καὶ τοῖς σοῖς δούλοις ἐπιφανεὶς ἐν τῇ τοῦ δούλου μορφῇ· σὺ ὁ τὴν γῆν καὶ τὸν
οὐρανὸν γεφυρώσας τῷ ἁγίῳ σου σώματι· σὺ ἔρχῃ πρὸς μέ; ὁ τοσοῦτος πρὸς τὸν τοιοῦτον;
ὁ βασιλεὺς πρὸς τὸν πρόδρομον; ὁ δεσπότης πρὸς τὸν δοῦλον; ἀλλ' εἰ καὶ σὺ ἐν τοῖς ταπει-
νοῖς μέτροις τῆς ἀνθρωπότητος γενέσθαι οὐκ ἐπαισχυνθῇς, ἀλλ' ἐγὼ τὰ μέτρα τῆς ἐμῆς
φύσεως παρελθεῖν οὐκ ἀνέχομαι. ἐπίσταμαι πόσον τὸ μέσον γῆς καὶ δημιουργοῦ· ἐπίσταμαι
πόσον τὸ διάφορον πηλοῦ καὶ πλάτου· ἐπίσταμαι πόσον τὸ μέσον γῆς καὶ δημιουργοῦ· ἐ-
πίσταμαι πόσον τὸ διάφορον πηλοῦ καὶ πλάστου· ἐπίσταμαι πόσον τὸ κρεῖττόν σου τοῦ ἡλίου
τῆς δικαιοσύνης, κἀμοῦ τοῦ λύχνου σοῦ τῆς χάριτος. εἰ καὶ τὸ καθαρὸν νέφος τοῦ σώ-
ματος

ματος περιβέβλησαι, ἀλλ' ἐγὼ ἐπιγινώσκω τὴν σὴν δεσποτείαν, ὁμολογῶ τὴν ἐ-
μαυτοῦ δουλείαν· κηρύττω τὴν σὴν μεγαλοπρέπειαν· οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα
τοῦ ὑποδήματός σου, καὶ πῶς ἅψασθαι τολμήσω τῆς ἀχράντου σου κορυφῆς; πῶς ἐκτείνω
τὴν δεξιὰν ἐπὶ σὲ τὸν ἐκτείναντα τὸν οὐρανὸν ὡσεὶ δέρριν, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσαν-
τα; πῶς ἐφαπλώσω τοὺς οἰκετικούς μου δακτύλους τῇ θείᾳ σου κορυφῇ; πῶς λούσω τὸν ἄ-
σπιλον καὶ τὸν ἀναμάρτητον; πῶς φωτίσω τὸ φῶς; ποίαν ποιήσομαι προσευχὴν ἐπὶ τὸν
προσδεχόμενον καὶ τὰς τῶν ἀγνοούντων * εὐχάς; τοὺς ἄλλους βαπτίζων εἰς τὸ σὸν ὄνομα
βαπτίζω, ἵνα πιστεύσωσιν εἰς σὲ τὸν ἐρχόμενον μετὰ δόξης· σὲ βαπτίζων τίνος ἐπιμνησθῶ;
[εἰς τίνος δέ σε ὄνομα βαπτίσω;] εἰς τὸ τοῦ πατρός; ἀλλ' ὅλον τὸν πατέρα ἔχεις ἐν ἑαυτῷ, καὶ
ὅλος ὑπάρχεις ἐν τῷ πατρί. ἀλλ' εἰς τὸ τοῦ υἱοῦ; ἀλλ' οὐκ ἔστι παρὰ σὲ ἄλλος φύσει υἱὸς
Θεοῦ. ἀλλ' εἰς τὸ τοῦ ἁγίου πνεύματος; ἀλλὰ ταυτόν ἐστί σοι τοῦτο διαπαντός, ὡς ὁμοούσιόν σοι,
καὶ ὁμόβουλον, καὶ ὁμόγνωμον, καὶ ὁμοδύναμον, καὶ ὁμότιμον, καὶ σὺν σοὶ δέχεται τὴν παρὰ πάν-
των προσκύνησιν. βάπτισον οὖν, εἰ θέλῃς, δέσποτα, βάπτισον ἐμὲ τὸν βαπτιστήν· ἀνα-
γέννησον ὃν γεννηθῆναι πεποίηκας, ἔκτεινον τὴν φοβερὰν σου δεξιάν, ἥνπερ αὐτὸς αὐτῷ κα-
τεσκεύασας· καὶ στεφάνωσον τῇ σῇ ἁφῇ τὴν ἐμὴν κεφαλήν, ἵνα περὶ τῆς βασιλείας τρέ-
χων ἐστεφανωμένος ὡς πρόδρομος συνήθως εὐαγγελίσωμαι τοῖς ἁμαρτωλοῖς, βοῶν πρὸς αὐ-
τούς, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἰορδάνη ποταμέ, συγχόρευσόν
μοι, καὶ συσκίρτησον, καὶ κίνησον εὐρύθμως τὰ ῥεύματα, καθάπερ σκιρτήματα. ὁ γὰρ σὸς δημι-
ουργὸς ἐπέστη σοι μετὰ σώματος. εἶδές ποτε τὸν Ἰσραὴλ διὰ σοῦ διερχόμενον, καὶ μερίσας τὰ ὕ-
δατα, ἔστης τοῦ λαοῦ περιμένων τὴν πάροδον· νῦν δὲ διαχύθητι σφοδρότερον, καὶ ῥεῦσον γα-
λαιότερον, καὶ περιπλάκηθι τοῖς ἀχράντοις μέλεσι τοῦ * τότε τοὺς Ἰουδαίους διαπορθμεύ-
σαντος. ὄρη καὶ βουνοί, νάπαι καὶ χείμαρροι, θάλασσα καὶ ποταμοί, εὐλογεῖτε τὸν Κύριον τὸν
ἐπιβάντα τῷ ποταμῷ Ἰορδάνῃ. αὐτὸς γὰρ διὰ τούτων τῶν ὑδάτων ἐπιπέμψει τὸν ἁγιασμὸν
πᾶσι τοῖς ὕδασιν. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν· Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον
ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. ἄφες ἄρτι. χάρισαι, Βαπτιστά, τῷ καιρῷ τῆς ἐ-
μῆς οἰκονομίας τὴν σιωπήν. μάθε θέλειν ἅπερ ἐγώ, καὶ μὴ πολυπραγμόνει ἅπερ βούλο-
μαι. ἄφες ἄρτι. μήπω τὴν ἐμὴν κηρύξῃς θεότητα, μήπω σαλπίσῃς τοῖς χείλεσι τὴν
ἐμὴν βασιλείαν, ἵνα μὴ μαθὼν ὁ τύραννος φύγῃ τὴν πρὸς ἐμὲ συμβολήν. ἔασον τὸν διά-
βολον, ὡς τῷ τυχόντι μοι προσελθεῖν, καὶ συμβαλεῖν, καὶ λαβεῖν καιρίαν τὴν πληγήν. ἔασόν
με πληρῶσαι τὸν σκοπόν, δι' ὃν παρεγενόμην ἐπὶ τῆς γῆς. μυστήριόν ἐστι τὸ σήμερον ἐν τῷ Ἰορ-
δάνῃ τελούμενον. τὰ μυστήριά μου ἐμοὶ καὶ τοῖς ἐμοῖς. μυστήριόν ἐστιν οὐκ ἐμὴν χρείαν ἀπο-
πληροῦν, ἀλλὰ θεραπείαν τοῖς τετραυματισμένοις ἐπινοοῦν· μυστήριόν ἐστι τοῦ μεγάλου μυ-
στηρίου τῆς ἐμῆς κολυμβήθρας πρόδρομον καὶ προοίμιον· μυστήριόν ἐστιν ἐν τούτοις τοῖς ὕ-
δασι προζωγραφοῦν τῆς τῶν ἀνθρώπων παλιγγενεσίας τὰ οὐράνια νάματα. ἄφες ἄρτι.
ὅταν ἴδῃς με θεοπρεπῶς ἐν τοῖς ἐμοῖς ποιήμασι τὸ δοκοῦν ἐργαζόμενον, τότε τοῖς γενομένοις
τοὺς ὕμνους προσάρμοσον. ὅταν ἴδῃς με λεπροὺς καθαρίζοντα, τότε με δημιουργὸν τῆς
φύσεως ἀναγόρευσον. ὅταν ἴδῃς με χωλοὺς δρομαίους ἀποτελοῦντα, τότε μετὰ εὐκινουμένων
ποδῶν καὶ σὺ πρὸς τὴν ἐμὴν εὐφημίαν τὴν σὴν γλῶτταν διάρθρωσον. ὅταν ἴδῃς με
δαίμονας ἐξορκίζοντα, τότε τὴν ἐμὴν βασιλείαν προσκύνησον. ὅταν ἴδῃς με νεκροὺς ἐκ
τῶν τάφων λόγῳ ἐγείροντα, τότε με μετὰ τῶν ἀνισταμένων δοξολόγησον, ὡς ζωῆς χορηγόν.
ὅταν ἴδῃς με ἐν δεξιᾷ τοῦ πατρὸς καθήμενον, τότε θεολόγησον, ὡς σύνθρονον, * καὶ συναΐ-
διον, καὶ ὁμότιμον τῷ πατρὶ [καὶ τῷ ἁγίῳ πνεύματι]. ἄφες ἄρτι. Οὕτω γὰρ πρέπον ἐστὶν
ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. νομοθέτης εἰμί, καὶ νομοθέτου υἱός. καὶ δεῖ με πρῶτον

Ματθ. γ. ιε.

διὰ πάντων τῶν καθεστώτων ἐλθεῖν, καὶ τότε πανταχοῦ προθεῖναι τῆς ἐμῆς δωρεᾶς τὰ διδάγματα. δεῖ με πληρῶσαι τὸν νόμον, καὶ τότε δωρῆσαι τὴν χάριν. δεῖ με τὴν σκιὰν ἀπαγαγεῖν, καὶ τότε προσαγαγεῖν τὴν ἀλήθειαν. δεῖ με καταπαῦσαι τὴν παλαιὰν διαθήκην, καὶ τότε τὴν νέαν ὑπαγορεῦσαι, καὶ ταῖς τῶν ἀνθρώπων καρδίαις ἐγγράψαι καὶ ὑπογράψαι τῷ ἐμῷ αἵματι, καὶ πνεύματι τῷ ἐμῷ σφραγίσαι. δεῖ με ἐν σταυρῷ [ἀνελθεῖν] καὶ ἥλοις περιπαρῆναι, καὶ παθεῖν κατὰ τὸ δυνάμενον παθεῖν, καὶ πάθει τὰ πάθη ἰάσασθαι, καὶ διὰ ξύλου θεραπεῦσαι τὴν διὰ ξύλου παρακοῆς γενομένην τοῖς ἀνθρώποις πληγήν. [δεῖ με κατελθεῖν καὶ εἰς τὸν τοῦ ᾅδου πυθμένα διὰ τοὺς ἐκεῖ κατεχομένους νεκρούς.] δεῖ με τῇ τριημέρῳ τελευτῇ τῆς ἐμῆς σαρκὸς καθελεῖν τοῦ πολυχρονίου θανάτου τὸ κράτος. δεῖ με τοῦ σώματός μου τὸν λύχνον ἀνάψαι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις. δεῖ με ἀνελθεῖν τῇ σαρκί, ὅπου εἰμὶ τῇ θεότητι. δεῖ με προσαγαγεῖν τῷ πατρὶ τὸν Ἀδὰμ ἐν ἐμοὶ βασιλεύοντα. δεῖ με ταῦτα πάντα διαπράξασθαι. διὰ γὰρ ταῦτα τοῖς ἐμοῖς ἐπέστην ποιήμασι. δεῖ με βαπτισθῆναι τοῦτο τὸ βάπτισμα νῦν, καὶ ὕστερον τῆς ὁμοουσίου τριάδος τὸ βάπτισμα πᾶσι τοῖς ἀνθρώποις χαρίσασθαι. δάνεισόν μοι, Βαπτιστά, πρὸς τὴν παροῦσαν οἰκονομίαν τὴν σὴν δεξιάν, ὡς ἐδάνεισέ με πρὸς τὴν γέννησιν τὴν νηδὺν ἡ Μαρία. κατάδυσόν με τοῖς Ἰορδάνου ῥείθροις, καθάπερ ἡ γεννήσασα τοῖς παιδικοῖς σπαργάνοις ἐνείλισσε. δός μοι τὸ βάπτισμα, ὡς ἡ παρθένος τὸ γάλα. κράτησόν μου τὴν ἐμὴν κεφαλήν, ἣν σέβει τὰ σεραφίμ. κράτησον τὴν συγγενῆ τῆς σῆς δεξιᾶς. κράτησον τὴν πεφυκυῖαν κατέχεσθαι. κράτησον τὴν διὰ τοῦτο κατασκευασθεῖσαν ὑπ' ἐμοῦ καὶ τοῦ πατρός. κράτησον τὴν ἐμὴν κεφαλήν, ἣν ὁ κρατῶν εὐσεβῶς οὐδέποτε ναυαγεῖ. βάπτισόν [με] τὸν μέλλοντα βαπτίζειν τοὺς πιστεύοντας δι' ὕδατος, καὶ πνεύματος, καὶ πυρός· ὕδατος δυναμένου ἀποπλῦναι τῶν ἁμαρτιῶν τὸν βόρβορον· πνεύματι δυναμένῳ τοὺς χοϊκοὺς πνευματικοὺς ἀπεργάσασθαι· πυρὶ πεφυκότι κατακαίειν τὰς τῶν ἀνομημάτων ἀκάνθας. τούτων ἀκούσας τῶν λόγων ὁ Βαπτιστής, καὶ τῷ σκοπῷ τοῦ σωτῆρος ἐπιστήσας τὸν νοῦν, καὶ χωρήσας τὸ μυστήριον, ὃ παρελάβομεν, ὑπουργεῖ τῷ θείῳ προστάγματι. ἦν γὰρ εὐλαβὴς ἅμα καὶ εὐπειθής. καὶ τὴν ἑαυτοῦ δεξιὰν ἐκτείνας ὑποτρέμουσαν ἠρέμα καὶ χαίρουσαν, τὸν δεσπότην ἐβάπτισε. τῶν δὲ παρόντων Ἰουδαίων, τῶν ἐγγύς, καὶ τῶν πόρρωθεν διαλογιζομένων, καθ' ἑαυτοὺς καὶ πρὸς ἀλλήλους λεγόντων, μὴ μάτην ὑπενοοῦμεν τὸν Ἰωάννην ἀμείνονα τοῦ Ἰησοῦ; μὴ μάτην ἐνομίζομεν ἐκεῖνον κρείττονα τούτου; οὐκ αὐτὸ τὸ βάπτισμα τῷ Βαπτιστῇ τὸ κρεῖττον προσμαρτυρεῖ; οὐχ ὁ μὲν ἐβάπτισεν, ὡς ὑπερέχων· ὁ δὲ βεβάπτισται ὡς ἐλάττων; τοιαῦτα θρυλλούντων τῶν ἀγνοούντων τὸ τῆς οἰκονομίας μυστήριον, ὁ μόνος Κύριος καὶ φύσει πατὴρ τοῦ μονογενοῦς, ὁ μόνος εἰδὼς ἀκριβῶς ὃν μόνος ἐγέννησεν ἀπαθῶς, διορθούμενος τὴν ἐσφαλμένην τῶν Ἰουδαίων ὑπόνοιαν, διέῳξε τὰς πύλας τῶν οὐρανῶν, καὶ κατέπεμψε τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς ἐπὶ τὴν κεφαλὴν Ἰησοῦ, δακτυλοδεικτῶν τὸν νέον Νῶε, καὶ δημιουργὸν τοῦ Νῶε, καὶ τῆς ναυαγούσης φύσεως ἀγαθὸν κυβερνήτην. καὶ αὐτὸς οὐρανόθεν ἐπιβοᾷ φαιδρῶς λέγων· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. ἐκεῖνος Ἰησοῦς, οὐχ ὁ Ἰωάννης· ὁ βαπτισθείς, οὐχ ὁ βαπτίσας· ὁ δι' ἐμοῦ γεννηθεὶς πρὸ παντὸς χρονικοῦ διαστήματος, οὐχ ὁ ἐκ Ζαχαρίου πρεσβύτου βλαστήσας· ὁ ἐκ Μαρίας γεννηθεὶς κατὰ σάρκα, οὐχ ὁ ἐκ τῆς Ἐλισάβετ ἀναφανεὶς παρ' ἐλπίδα· ὁ τῆς μὴ λυθείσης παρθενίας ἀγεώργητος καρπός, οὐχ ὁ [ἐκ] τῆς λυθείσης στειρώσεως κλάδος· ὁ μεθ' ὑμῶν ἀναστραφείς, οὐχ ὁ ἐν τῇ ἐρήμῳ τραφείς. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. υἱὸς ὁμοούσιος, οὐχ ἑτεροούσιος. ὁμοούσιος ἐμοὶ κατὰ τὸ ἀόρατον, καὶ ὁμοούσιος ὑμῖν κατὰ τὸ ὁρώμενον, χωρὶς ἁμαρτίας. οὗτός ἐστιν ὁ σὺν ἐμοὶ πλάσας τὸν ἄνθρωπον, ὁ ἀτρέπτως γενόμενος ἄνθρωπος, ὁ σὺν ἐμοὶ πέμψας τὸ πνεῦμα τὸ ἅγιον, καὶ πά-

Ματθ. γ. κγ.

λιν

λιν ὅπερ ἐπέμψεν προσδεξάμενος· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. οὐκ ἄλλος ἐστὶν ὁ ἐμὸς υἱὸς, καὶ ἄλλος ὁ τῆς Μαρίας υἱός· * ἀλλ' οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ὁ βλεπόμενος καὶ νοούμενος. οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα· αὐτοῦ ἀκούετε. ἐὰν εἴπῃ, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, αὐτοῦ ἀκούετε. ἐὰν εἴπῃ, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα, αὐτοῦ ἀκούετε. ἐὰν εἴπῃ, Ὁ πέμψας με μείζων μού ἐστι, τῇ οἰκονομίᾳ τὴν φωνὴν προσαρμόσατε. ἐὰν εἴπῃ, Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου; ἀποκρίνασθε μετὰ τοῦ Πέτρου πρὸς αὐτὸν, Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. τούτοις τοῖς ῥήμασιν οὐρανόθεν βροντοφώνως ἐκ πατρὸς ἐλθοῦσι κατηυγάσθη τὸ τῶν ἀνθρώπων γένος· ἐπιγνῶσαν διαφορὰν ποιητοῦ καὶ ποιήματος, βασιλέως καὶ στρατιώτου, τεχνίτου καὶ τεχνήματος, καὶ τῇ πίστει βεβαιωθέντες προσῆλθον διὰ τοῦ βαπτίσματος Ἰωάννου τῷ ἐν πνεύματι καὶ πυρὶ βαπτίζοντι Χριστῷ, τῷ ἀληθινῷ ἡμῶν Θεῷ· μεθ' οὗ τῷ πατρὶ δόξα σὺν τῷ παναγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰωάν. ιδ. θ.
Ἰωάν. ιδ. κη.
Ματθ. ιϛ. ιϛ.
Ἰωάν. ι. λ.

ΠΑΝΤΟΛΕΟΝΤΟΣ
ΠΡΕΣΒΥΤΕΡΟΥ
ΜΟΝΗΣ ΤΩΝ ΒΥΖΑΝΤΙΩΝ

λόγος εἰς τὴν ὕψωσιν τοῦ τιμίου σταυροῦ.

Πάλιν ὑψοῦται σταυρὸς, πάλιν ἡ κτίσις ἀγάλλεται· πάλιν ὑψοῦται σταυρὸς, πάλιν ἑορτάζει τὰ ἔθνη. μᾶλλον δὲ τὸν λόγον ἐπὶ τὴν ἀρχὴν ἀναγάγωμεν. πάλιν ὑψοῦται σταυρὸς, πάλιν ἡ κτίσις ἀνακαινίζεται· πάλιν ὑψοῦται σταυρὸς, πάλιν ὁ Ἀδὰμ ἀναπλάττεται· πάλιν ὑψοῦται σταυρὸς, πάλιν ἐκ πλευρᾶς ἡ μήτηρ τῶν ζώντων παράγεται, βοηθὸς ὄντως, οὐκ ἐπίβουλος γινομένη κατὰ τὸ πρότερον· ἀντὶ ξύλου τῆς γνώσεως τὸ ξύλον τῆς ζωῆς ἀποτρυγῶσα· ἀντὶ παρακοῆς ὑπακοὴν ἐκτελοῦσα· ἀντὶ τῆς κατάρας τὴν εὐλογίαν ἀντιλαμβάνουσα· ἀντὶ τοῦ, Ἐν λύπαις τέξῃ τέκνα, τὴν ἐν χαρᾷ πολυτεκνίαν κομιζομένη. ἀλλὰ τίς αὕτη ἡ τῶν ζώντων μήτηρ, καὶ τί τὸ ξύλον, ὃ καρπεύεται τῆς ζωῆς, ἀλλ' ἡ τοῦ Θεοῦ ἐκκλησία, καὶ τὸ ξύλον σταυροῦ τοῦ Χριστοῦ τοῦ κυρίου τῆς ἐκκλησίας νυμφίου; τούτου νῦν ὑψοῦται, τούτου νῦν ἀναδείκνυται, καὶ διάβολος καθαιρεῖται, καὶ παραδειγματίζεται τῆς κακίας ὁ ἄρχων, καὶ στηλιτεύονται δαίμονες, καὶ τὰ πνευματικὰ τῆς κακίας φυγαδεύονται σήμερον, καὶ σκυλεύεται θάνατος, καὶ δημεύεται ὁ ᾅδης, καὶ τῆς ἁμαρτίας ὁ σύμβουλος οὐκέτι παραλαλεῖ τῇ μητρὶ πάντων ἡμῶν, ἀλλ' ἐπὶ τὸ στῆθος ἕρπει, οὐ τηρῶν πτέρναν, ἀλλὰ πατούμενος τὴν κεφαλὴν, καὶ γῆν ἐσθίει τὴν καταδικασθεῖσαν ἀκάνθας καὶ τριβόλους ἐκφέρειν· βλέπει δὲ τὴν πρότερον ὑπ' αὐτοῦ πεπατημένην τῷ ξύλῳ τῆς τρυφῆς ἐμπιπλῶσαν, αὐτὸς ἐναπομείνας τῇ προτέρᾳ κατάρᾳ· βλέπει μηδὲ τῆς πτέρνης ἐξουσιάζων αὐτὸς ἁπάσας συνθλώμενος τὰς κεφαλὰς τῷ σταυρῷ· θεωρεῖ παρεστῶσαν ἐκ δεξιῶν ὡς βασίλισσαν τὴν πρὶν κατάκριτον, καὶ τὴν φύλλοις συκῆς τὴν γύμνωσιν σκέπουσαν ἐν ἱματισμῷ νῦν διαχρύσῳ περιβεβλημένην, πεποικιλμένην, καὶ τὴν οἰκείαν ἀκοσμίαν θριαμβοῦσαν· βλέπει τῷ βασιλικῷ σκήπτρῳ στηριζομένην, καὶ πρὸς αὐτὸν ὑψουμένην

τὸν οὐρανὸν, καὶ τὴν ἑαυτῶν πλάσιν ὀδύρεται· βλέπουσα συγκαλοῦσαν τὰ τέκνα μετὰ ὑψηλοῦ κηρύγματος εἰς προσκύνησιν τοῦ σταυροῦ, καὶ τὴν ὑπακοὴν φεύγουσιν; καὶ τὴν προθυμίαν ἐκπλήττεται. καὶ γὰρ ἰδοὺ Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, κατὰ τὸ γεγραμμένον ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, καὶ οἱ κατοικοῦντες Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην· Κρῆτες καὶ Ἄραβες καὶ Ἰνδοὶ καὶ πάντες οἱ λοιποὶ τῶν ἐθνῶν, ὅσους ἥλιος ἐφορᾷ, τὴν τοῦ ἐχθροῦ καταλιπόντες ἀπάτην, τῷ ἐσταυρωμένῳ μετὰ τοῦ προφήτου βοῶσι· Σῶσον, Κύριε, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου. τοῦτο καὶ Ἡσαΐας προθεωρῶν μεγάλῃ κέκραγε τῇ φωνῇ· Ἀρεῖ σημεῖον ἐπὶ τὰ ἔθνη, καὶ ἀποσυνάξει τοὺς ἀπολλυμένους τοῦ Ἰσραὴλ, καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνός, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ, καὶ μοσχάριον καὶ λέων καὶ ταῦρος ἅμα βοσκηθήσονται. καὶ δὴ βόσκονται κατὰ τὰ πολυανθῆ τῆς ἐκκλησίας λειμῶνα, κατὰ τὸν πνευματικὸν ὄντως καὶ νέον παράδεισον, οὗ δάκνων ὄφις καὶ συρίζων οὐκ ἔστιν, οὐκ Εὔα παραλαλουμένη καὶ παραλαλοῦσα τῷ ἀνδρὶ, καὶ πείθουσα αὐτὸν μεταλαβεῖν τοῦ ξύλου τῆς γνώσεως, ἤδη κακῶς ἄρτι προσπειθεῖσα τῇ τοῦ ἀρχεκάκου δράκοντος συμβουλῇ, οὐ φλογίνη ῥομφαία τὴν εἴσοδον τοῖς βουλομένοις ἔνδον γενέσθαι φοβερῶς ἀποτειχίζουσα· ἡμῖν δὲ τὸ ξύλον τῆς ζωῆς καὶ παρθένος τίκτουσα τὸν ἑαυτῆς ἄφραστον νυμφίον, καὶ νυμφεύουσα τούτῳ τοὺς τῆς αὐτοῦ κοινωνίας ἐφιεμένους. ἔστι δὲ καὶ ἡ τετραχῆ μεριζομένη πηγὴ, πᾶσαν ἡμῶν καταρδεύουσα τὴν ξηράν. ξηρὰ γὰρ ἀληθῶς καὶ αὐχμὸς καὶ πάσης πνευματικῆς ἄμοιρος ἐγεγόνει πιότητος ὑπὸ τῆς ἁμαρτίας ἡ φύσις ἡμῶν. καὶ δὴ παρῴκησεν ἂν πάντως τῷ ᾅδῃ καὶ τῇ φθορᾷ, εἰ μὴ τὸ ξύλον ἐβλάστησε τῆς ζωῆς, εἰ μὴ τὸν παράδεισον ὑπανέῳξεν, εἰ μὴ τὴν τῶν εὐαγγελίων πηγὴν ἀνεστόμωσε, καὶ τοῖς ποταμοῖς τοῦ βαπτίσματος τὸν δράκοντα κατεπόντισεν. ἀλλὰ δεῦτε προσκυνήσωμεν τὸν σταυρόν· δεῦτε καρπολογήσωμεν τὸ ξύλον τὸ περὶ τὰς διεξόδους τῶν ἐκ τῆς πλευρᾶς ὑδάτων ἑστὼς, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ. ὁ σταυρὸς γὰρ δένδρον ἐστὶν ἀθανασίας, φυτὸν ἀφθαρσίας, ῥίζα δικαιοσύνης, σωφροσύνης βλάστημα, παρθενίας ἄνθος. σταυρὸς, ἀνδρείας ὅπλον, ἐγκρατείας στήριγμα, θεμέλιον πίστεως, εὐσεβείας ὑπόβαθρον, θεογνωσίας φωτισμὸς, ἀνατροπὴ κατάρας, ἀποφάσεως λύσις, ἐξορίας ἀνάκλησις, αἰχμαλώτων λύτρωσις, πλανωμένων ἐπιστροφὴ, πεπτωκότων ἀνάστασις, σωζομένων δύναμις, προκοπὴ δικαίων, παρρησία μαρτύρων, προφητῶν ἀγαλλίαμα, ἀποστόλων κήρυγμα, καὶ τρόπαιον κατὰ δαιμόνων. σταυρὸς, βραβεῖον εἰρήνης, οὐρανοῦ καὶ γῆς ἕνωσις, μᾶλλον δὲ οὐρανίων καὶ ἐπιγείων ὁμόνοια, κτίσεως ἁπάσης ἁγιασμὸς, ἑορταζόντων πανήγυρις, ἀρραβὼν υἱοθεσίας, καὶ βασιλείας οὐρανῶν κληρονομία· καὶ τὸ δὴ [illegible], ἀγάπης Θεοῦ καὶ πατρὸς περὶ ἡμᾶς μέγιστον σύμβολον, ἔνδειξίς τε τοῦ υἱοῦ μέχρι θανάτου πατρικῆς ὑπακοῆς, καὶ χορηγίας πλουσίας τοῦ ἁγίου πνεύματος εἰς ἡμᾶς. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. ὁ δὲ υἱὸς γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, δέδωκεν ἡμῖν τῆς κατὰ τοῦ θανάτου νίκης τρόπαιον, ἵνα σὺν αὐτῷ διὰ τῆς σοφίας τοῦ πνεύματος προκαθελόντες τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας χειρωσώμεθα τὸν ἐχθρὸν, καὶ δήσωμεν τὸν ἰσχυρὸν, καὶ διαρπάσωμεν αὐτοῦ τὰ σκεύη, καὶ τοῦ λοιποῦ ἀφόβως ἐργασώμεθα τὸν παράδεισον τοῦ Θεοῦ, καὶ τὸν θησαυρὸν ἀνορύξωμεν τοῦ ἀγροῦ, καὶ τὸν πολύτιμον ἐμπορευσώμεθα μαργαρίτην, ἐμπρέπειν τῇ σφραγίδι μέλλοντες τοῦ σταυροῦ κατὰ τὴν ἡμέραν τῆς κρίσεως. Τότε γὰρ, φησι, φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ. πότε; πότε; ὅτε αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται, ὅτε μετὰ τῶν ἀγγέλων αὐτοῦ ὁ μονογενὴς υἱὸς τοῦ πατρὸς ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς.

Πραξ. β. θ.
Ησ. ια ιβ.
Ιωα. γ. ιϛ.
Φιλιπ. β. α.
Ματθ. κδ λ.

κροῖς. τότε γὰρ οἱ τῷ σημείῳ διαπρέποντες τῷ βασιλικῷ, καὶ τὸν πολύτιμον ἑαυτοῖς κτησάμενοι μαργαρίτην, καὶ τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν καλῶς διασώσαντες, ἐν νεφέλαις εἰς οὐρανοὺς ἁρπαγήσονται. Κύριος γὰρ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ συνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρων αὐτοῦ. Ταῦτα ὁ εὐαγγελιστὴς Ματθαῖος, μᾶλλον δὲ δι' αὐτοῦ ὁ Χριστὸς ἡ ἀλήθεια εἴρηκε περὶ τῆς ἐσομένης αὐτοῦ πάλιν δευτέρας ἐλεύσεως, καὶ τοῦ προηγουμένου σημείου· ὃ δὴ νῦν τελούμενον, τύπος ἐστὶ τοῦ μέλλοντος ἐναργής. ἰδοὺ γὰρ ὑψοῦται σταυρὸς ἐπὶ γῆς, καὶ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, καὶ πᾶν γένος ἀνθρώπων, ἡλικία τε πᾶσα τῷ σημείῳ τοῦ σταυροῦ κατασφραγιζομένη δοξάζει τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΚ ΔΙΑΦΟΡΩΝ ΛΟΓΩΝ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΚΛΟΓΑΙ,

ἤτοι ἀποφθέγματα.

ΠΕΡΙ ΑΓΑΠΗΣ.

Λογ. α.

Βουλόμενος ὁ φιλάνθρωπος Θεὸς ἡμῖν συνδῆσαι πάντας ἀλλήλοις, ἀγαπητοὶ, τοιαύτην τοῖς πράγμασιν ἐνέθηκεν ἀνάγκην, ὥστε ἐν τῷ τοῦ πλησίον συμφέροντι τὸ τοῦ ἑτέρου δεδέσθαι. καὶ γὰρ ὁ γεωργὸς οὐ τοσοῦτον σπείρει σῖτον, ὅσον ἀρκέσαι ἑαυτῷ· ἐπεὶ πάλαι καὶ ἑαυτὸν καὶ τοὺς ἄλλους ἀπώλεσεν ἄν. καὶ ὁ στρατιώτης οὐχ ἵνα ἑαυτὸν διασώσῃ παρατάττεται πρὸς κινδύνους, ἀλλ' ἵνα καὶ τὰς πόλεις ἐν ἀσφαλείᾳ καταστήσῃ· καὶ ὁ ἔμπορος οὐ τοσαῦτα κομίζει, ὅσα αὐτῷ μόνῳ ἀρκέσαι, ἀλλ' ὅσα καὶ ἑτέροις πολλοῖς. ἐπειδὴ γὰρ ἑτέρως οὐκ ἠνείχοντο οἱ ἄνθρωποι τὰ τοῦ πλησίον ζητεῖν, εἰ μὴ εἰς ταύτην καταστήσειε τὴν ἀνάγκην, διὰ τοῦτο οὕτως αὐτὰ συνέζευξεν ὁ Θεὸς, καὶ οὐκ ἀφίησι πρότερον ἐπὶ τὸ οἰκεῖον συμφέρον ἐλθεῖν, μὴ διὰ τῶν ἀλλοτρίων συμφερόντων ὁδεύσαντας. οὐδὲ γὰρ ἔνι σωθῆναι μὴ τοῦτο ἔχοντα· ἀλλὰ κἂν τὴν ἄκραν φιλοσοφίαν ἀσκῇς, τῶν δὲ λοιπῶν ἀπολλυμένων ἀμελῇς, οὐδεμίαν κτήσῃ παρὰ τῷ Θεῷ παρρησίαν. Ἐὰν γὰρ ψωμίσω τὰ ὑπάρχοντά μου, φησὶν ὁ θεῖος ἀπόστολος, καὶ παραδῶ τὸ σῶμά μου, ἵνα καυθῇ, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Εἰ δὲ βούλει μαθεῖν ἡλίκον ὅπλον ἐστὶν εἰς τὸ τοὺς ἀδελφοὺς ἐπισπάσασθαι, κἂν ἄπιστοί τινες εἶεν, τὸ πρᾶον εἶναι καὶ ἥμερον, καὶ γλυκὺν παρεχόμενον τρόπον, ἄκουσον τί φησι Παῦλος, πρὸς δικαστὴν εἰσιὼν ἄπιστον κριθησόμενος· Μακάριον ἥγημαι ἐμαυτὸν μέλλων ἐπὶ σοῦ κρίνεσθαι. ταῦτα δὲ ἔλεγεν οὐ κολακεύων αὐτὸν, ἄπαγε· ἀλλὰ διὰ τῆς ἡμερότητος κερδῆσαι βουλόμενος. διὸ καὶ ἐκ μέσου ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλεν ὁ τέως κατάδικος εἶναι νομιζόμενος, καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ παρόντων ἁπάντων λέγων· Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. τί οὖν ὁ Παῦλος; Εὐξαίμην ἂν ἔγωγε μὴ μόνον σε, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας τοῦτο γενέσθαι ὅπερ ἐγώ. ὅταν οὖν ἐκεῖνος μὲν τοσοῦτον ἀπαιτῇ μέτρον, ἡμεῖς δὲ μηδὲ τὸ ἔλαττον παρέχωμεν, τίνος ἐσόμεθα συγγνώμης ἄξιοι; Καὶ μὴ τὸ δεῖσθαι ἑτέρου, αἰσχρόν τι εἶναι νόμιζε· τῆς γὰρ ἀφάτου σοφίας τοῦ Θεοῦ τοῦτο γέγονεν ἔργον. εἰ γὰρ ἀλλήλων χρήζομεν, καὶ οὐδὲ ἡ τῆς χρείας ἀνάγκη συνάγει εἰς φιλίαν ἡμᾶς· εἰ αὐτάρκεις ἦμεν, οὐκ ἂν ἦμεν θηρία ἄττα, ὅσα βίᾳ καὶ ἀνάγκῃ ἡμᾶς ὑπέταξεν ὁ Θεὸς ἀλλήλοις· καὶ καθ' ἑκάστην συγκρουόμεθα ἀλλήλοις ἡμέραν. καὶ εἰ τοῦτον περιεῖλε τὸν χαλινὸν, τίς ἂν ταχέως ἡμερώθη

Ἐκ τῆς πρὸς Κορ. α. ἐπισ.

α. Κορ. ιγ. γ.

Ἐκ τῆς πρὸς Κορ. α. ἐπ.

Πράξ. κς. β.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β. ἐπ.

Ἐκ τῆς ἑρμην. τοῦ κατ' Ἰωάν. εὐαγγ.

τῆς τοῦ πλησίον φιλίας; Διὰ γὰρ τοῦτο μίαν οἰκίαν ἡμῖν τὸν κόσμον ἔδωκεν ὁ Θεός, καὶ ἕνα ἀνῆψε πᾶσι λύχνον, τὸν ἥλιον· καὶ ἕνα ἐξέτεινεν ὄροφον, τὸν οὐρανόν· καὶ μίαν ἀνῆκε τράπεζαν, τὴν γῆν. καὶ οὐ τῷ μὲν πλουτοῦντι πλέον καὶ τιμιώτερον, τῷ πένητι δὲ εὐτελέστερον καὶ ἔλαττον ἐχαρίσατο, ἵνα πολλὴν καὶ ἀδιάσπαστον τὴν πρὸς ἀλλήλους ἕνωσιν ἔχωμεν, καὶ μή τις ἔχῃ λέγειν, ὁ δεῖνα μοι φίλος οὐκ ἔστιν, οὐδὲ συγγενής, οὐδὲ γείτων, οὐδὲ ἔχω τι κοινὸν πρὸς αὐτόν· πῶς προσομιλήσομαι; πῶς διαλέξομαι; οὐδὲ γὰρ ὅσην φίλους πρὸς φίλους ἐπιδείκνυσθαι χρὴ τὴν ἐγγύτητα, τοσαύτην ἡμᾶς ἔχειν δεῖ τὴν πρὸς ἀλλήλους οἰκείωσιν· ἀλλ' ὅσην μέλος πρὸς μέλος. καὶ ὥσπερ οὐκ ἂν δύναιο λέγειν, πόθεν μοι οἰκειότης καὶ ἐγγύτης πρὸς αὐτόν (καταγέλαστον γὰρ τοῦτο) οὕτως οὐδὲ περὶ τοῦ ἀδελφοῦ δυνήσῃ τοῦτο εἰπεῖν. Εἰ γὰρ μηδὲ συγγενής, μηδὲ φίλος ἐστίν, ἀλλ' ἄνθρωπός ἐστι, τῆς αὐτῆς σοι μετέχων φύσεως, τὸν αὐτὸν ἔχων δεσπότην, καὶ ἐν τῷ αὐτῷ κόσμῳ γενόμενος.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος.

Ἐπὶ μὲν γὰρ τῶν χρημάτων τοὺς μηδὲν ὀφείλοντας ἐπαινοῦμεν· ἐπὶ δὲ τῆς ἀγάπης, τοὺς διηνεκῶς ὀφείλοντας ἀποδεχόμεθα καὶ θαυμάζομεν. Πειθώμεθα τοίνυν καὶ συναπτώμεθα ἑαυτοῖς ἀλλήλοις. κἂν βούληταί τις ἀποσχίσαι, μὴ σὺ ἀπορραγῇς, μηδὲ τὸ ψυχρὸν ἐκεῖνο φθέγξῃ ῥῆμα· ἐὰν φιλῇ με φιλῶ, ἐὰν δὲ μὴ φιλῇ με ὁ ὀφθαλμὸς ὁ δεξιός, ἐξορύττω αὐτόν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμαίους ἐπιστ.

ἀλλ' ὅταν σε μὴ βούληται φιλεῖν, τότε πλείονα ἐπιδείκνυσο τὴν ἀγάπην, ἵνα αὐτὸν ἐπισπάσῃ. καὶ γὰρ μέλος ἐστί· τὸ δὲ μέλος ὅταν ὑπό τινος ἀνάγκης ἀποσχίζηται τοῦ λοιποῦ σώματος, πάντα ποιοῦμεν ὥστε ἑνῶσαι πάλιν αὐτό, καὶ πλείονα πρόνοιαν ἐπιδεικνύμεθα τότε. καὶ γὰρ πλείων ὁ μισθός, ὅταν μὴ βουλόμενον φιλεῖν ἐφελκύσῃ. Εἰ γὰρ ἐπὶ ἀρίστου κελεύει καλεῖν τοὺς μὴ δυναμένους ἡμῖν ἀντιδοῦναι, ἵνα αὐξηθῇ τὰ τῆς ἀντιδόσεως· πολλῷ μᾶλλον ἐπὶ φιλίας τοῦτο δεῖ ποιεῖν. ὁ μὲν γὰρ φιλούμενος καὶ φιλῶν, ἀπέδωκέ σοι τὴν ἀμοιβήν· ὁ δὲ φιλούμενος καὶ μὴ φιλῶν, τὸν Θεὸν ἀνθ' ἑαυτοῦ σοι χρεώστην κατέστησε. καὶ χωρὶς δὲ τούτων, ὅταν μὲν φιλῇ σε, οὐ πολλῆς δεῖται τῆς σπουδῆς· ὅταν δὲ μὴ φιλῇ, τότε σου χρείαν ἔχει τῆς ἀντιλήψεως. μὴ τοίνυν τὴν αἰτίαν τῆς σπουδῆς, αἰτίαν ποίει ῥᾳθυμίας, μηδὲ λέγε, ὅτι ἐπειδὴ νοσεῖ, διὰ τοῦτο αὐτοῦ ἀμελῶ (καὶ γὰρ νόσος ἐστὶν ἡ κατάψυξις τῆς ἀγάπης) ἀλλὰ σὺ θέρμανον τὸ καταψυχθέν. Τὸ γὰρ σφόδρα φιλεῖσθαι ἐθέλειν, ἀπὸ τοῦ σφόδρα φιλεῖν γίνεται. ὅταν μὲν γὰρ μὴ σφόδρα περί τινα ὦμεν διακείμενοι, οὐδὲ τῆς παρ' ἐκείνου σφόδρα δεόμεθα φιλίας, κἂν μέγας ᾖ, κἂν περιφανής. ὅταν δὲ θερμῶς τινα καὶ γνησίως φιλῶμεν, κἂν εὐτελὴς ᾖ, κἂν μικρὸς ὁ φιλούμενος, μεγίστην ἡγούμεθα δόξαν, τὸ παρ' ἐκείνου φιλεῖσθαι. Εἰ δὲ ἀδελφῷ χρήσασθαι οὐκ οἶδας, πότε δυνήσῃ ἀλλοτρίῳ χρήσασθαι καλῶς; Εἰ τὸ μέλος τὸ σὸν οὐκ ἐπίστασαι μεταχειρίσαι, πότε τὸν ἔξωθεν ἐπισπάσασθαι δυνήσῃ, καὶ συνάψαι ἑαυτῷ;

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. β. ἐπιστ.

Βούλει μὴ ἀκούειν κακῶς; οὐκοῦν μηδὲ λέγε. ἐπιθυμεῖς ἐπαινεῖσθαι; οὐκοῦν ἐγκωμίαζε. ἐλεεῖσθαι βούλει; οὐκοῦν ἐλέει. συγγνώμης θέλεις τυχεῖν; οὐκοῦν μεταδίδου. θέλεις μὴ πλεονεκτεῖσθαι; οὐκοῦν μὴ ἅρπαζε. τοιοῦτοι περὶ τοὺς πλησίον γινώμεθα, οἵους περὶ ἡμᾶς ἐκείνους εἶναι βουλόμεθα.

Ἐκ τοῦ λόγου τοῦ εἰς τό, μὴ φοβοῦ ὅταν πλουτήσῃ.

Ὥσπερ γὰρ ψυχὴ ἄνευ σώματος οὐ καλεῖται ἄνθρωπος, οὐδὲ αὖ σῶμα ἄνευ ψυχῆς· οὕτως οὐδὲ ἀγάπη πρὸς Θεόν, ἐὰν μὴ ἔχῃ ἀκόλουθον καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην.

Ἐκ τῶν λόγων τῶν εἰς ἀνδριάντ.

Βούλει θεραπεύειν τὸν δεῖνα; οὐ κωλύω, ἀλλὰ μὴ εἰς ἑτέρου λύπην. οὐ γὰρ ἵνα κατ' ἀλλήλων συντάττώμεθα διδάσκαλοι ἡμῖν ἐδόθησαν, ἀλλ' ἵνα πάντες ἀλλήλοις συναπτώμεθα.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. (ἄλ. Ματθ.) εὐαγγ.

Διὰ τί εἷς εἶ; διὰ τί οὐκ ἐργάζῃ πολλούς; διὰ τί μὴ γίνῃ δημιουργὸς ἀγάπης; διὰ τί μὴ κατασκευάζεις φιλίαν, τὸ μέγιστον τῆς ἀρετῆς ἐγκώμιον; ὥσπερ γὰρ τὸ ἐκ συνθήκης εἶναι κακοὺς μᾶλλον παροξύνει τὸν Θεόν, οὕτω τὸ ἐν ὁμονοίᾳ εἶναι ἀγαθούς, μᾶλλον εὐφραίνει. μὴ γίνου μετὰ πολλῶν ἐπὶ κακίᾳ. κατασκεύασόν σοι φίλους πρὸ τῶν οἰκείων, πρὸ τῶν ἄλλων ἁπάντων. εἰ ὁ εἰρηνοποιὸς υἱὸς Θεοῦ, καὶ ὁ φίλους κατασκευάζων πόσῳ μᾶλλον; Εἰ ὁ καταλλάττων μόνον υἱὸς Θεοῦ καλεῖται, ὁ τοὺς καταλλαττομένους φίλους

ποιῶν

παιδὶ, τίνος οὐκ ἔσται ἄξιος; Εἰ γὰρ ὁ μὲν διάβολος ἐχθροὺς ἡμᾶς κελεύει πᾶσι γίνεσθαι, ὁ
δὲ Θεὸς ἅπαντας ἀσπάζεσθαι καὶ φιλεῖν· καὶ ὁ μὲν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλῶσαι
(τοῦτο γάρ ἐστιν ὁ πλοῦτος, οὐδὲ τὰς νύκτας ἀφίησιν ἀναπνεῦσαι μικρόν) ὁ δὲ τῆς μὲν περιττῆς
ταύτης καὶ ἀνονήτου φροντίδος ἀφίησι, κελεύει δὲ συνάγειν τοὺς θησαυροὺς ἐν τοῖς οὐρανοῖς,
5 οὐκ ἐκ τῆς εἰς ἑτέρους ἀδικίας, ἀλλ' ἐκ τῆς οἰκείας δικαιοσύνης· κἀκεῖνος μετὰ τοὺς πολλοὺς
ἱδρῶτας καὶ τὰς ταλαιπωρίας, οὐ μόνον οὐ δύναται προστῆναι κολαζομένοις ἡμῖν ἐκεῖ, καὶ
κακῶς πάσχουσι διὰ τοὺς αὐτοῦ νόμους, ἀλλὰ καὶ ἐπιτείνει τὴν φλόγα· οὗτος δὲ καὶ ποτήριον ἡμῖν
ἐπιτάξας δοῦναι ψυχρὸν, οὐδὲ τούτου τὸν μισθὸν καὶ τὴν ἀμοιβὴν ἀφίησιν ἡμᾶς ἀπολέσαι
ποτὲ, ἀλλὰ μετὰ πολλῆς ἀντιδίδωσι τῆς δαψιλείας· πῶς οὐκ ἐσχάτης ἀνοίας, τὴν οὕτω
10 προσηνῆ δεσποτείαν, καὶ τοσούτων γέμουσαν ἀγαθῶν μὴ φιλοῦντας, ἀχαρίστῳ καὶ ἀγνώμονι
δουλεύειν τυράννῳ, καὶ οὐδὲ οὔτε ἐνταῦθα, οὔτε ἐκεῖ δυναμένῳ τοὺς πειθομένους αὐτῷ καὶ
προσέχοντας ὠφελεῖν; Μὴ οὕτω δυσχεραίνετε τοῖς εἰρημένοις· καὶ γὰρ ἐγὼ τῶν φιλούντων με,
οὐχ ὅταν ἐπαινῇ με μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαλῇ διορθώσασθαι, τότε φαίην ἂν μάλιστά με
φιλεῖν. τὸ μὲν γὰρ ἁπλῶς πάντα ἐπαινεῖν, καὶ τὰ καλῶς ἔχοντα, καὶ τὰ μὴ καλῶς, οὐκ ἔστι φι-
15 λοῦντος, ἀλλ' ἀπατεῶνος καὶ εἴρωνος· τὸ δὲ ἐπαινεῖν μὲν ἄν τι τῶν δεόντων γίνηται, ἐγκαλεῖν δὲ ἄν τι
διαμάρτηται, τοῦτο φίλου καὶ κηδεμόνος ἐστί. τὸν μὲν οὖν ἐχθρὸν οὐδὲ ἐπαινοῦντα δέχομαι· τὸν
δὲ φίλον καὶ ἐγκαλοῦντα προσίεμαι· ἐκεῖνος, κἂν φιλῇ με, ἀηδής ἐστιν· οὗτος, κἂν τραυματίζῃ
με, ποθεινός ἐστιν. Ἀξιοπιστότερα γὰρ, φησι, τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ.
ὁ μὲν γὰρ κἂν δικαίως, κἂν ἀδίκως ἐγκαλῇ, οὐκ ὀνειδίσαι, ἀλλὰ διορθῶσαι βουλόμενος τοῦτο
20 ποιεῖ· ὁ δὲ κἂν δικαίως ἐγκαλῇ, οὐχὶ διορθῶσαι, ἀλλ' ἐκπομπεῦσαι μᾶλλον σπουδάζων τοὺς
ἐλέγχους ἐπάγει. Ὥστε οὐδὲν ὁμονοίας ἴσον, ἀγαπητοί· ὁ γὰρ εἷς, πολλοστός ἐστιν οὕτως. ἂν γὰρ
ὁμόψυχοι ὦσι δύο ἢ δέκα, οὐκέτι εἷς ἐστιν ὁ εἷς, ἀλλὰ δεκαπλάσιος ἕκαστος αὐτῶν γίνεται· καὶ
εὑρήσεις ἐν τοῖς δέκα τὸν ἕνα, καὶ ἐν τῷ ἑνὶ τοὺς δέκα· κἂν ἐχθρὸν ἔχωσιν, ὁ τῷ ἑνὶ προσβάλλων,
ὡς τοῖς δέκα προσβάλλων, οὕτως ἁλίσκεται. ἠπόρησεν ὁ εἷς, ἀλλ' οὐκ ἔστιν ἐν ἀπορίᾳ· τῷ
25 γὰρ μείζονι μέρει τὸ ἀποροῦν συσκιάζεται. ἕκαστος τούτων εἴκοσι χεῖρας ἔχει καὶ εἴκοσι ὀφ-
θαλμοὺς, καὶ πόδας τοσούτους, καὶ ψυχὰς ἔχει δέκα. οὐ γὰρ τοῖς ἑαυτοῦ μόνοις, ἀλλὰ καὶ τοῖς ἐ-
κείνων ἐργάζεται πᾶσι. Εἰ δὲ καὶ ἑκατὸν γένοιντο, τὸ αὐτὸ ἔσται πάλιν. ὁ αὐτὸς καὶ ἐν Περσίδι,
καὶ ἐν Ῥώμῃ δύναται εἶναι, καὶ ὅπερ ἡ φύσις οὐ δύναται, ἰσχύει ἡ τῆς ἀγάπης δύναμις. ἐὰν
οὖν χιλίους ἔχῃ φίλους ἢ δισχιλίους, ἐννόησον ποῦ πάλιν ὑπερβήσεται τὰ τῆς δυνάμεως.
30 τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστι, τὸ χιλιοστὸν ποιῆσαι τὸν ἕνα. τίνος οὖν ἕνεκεν οὐ κτώμεθα τὴν δύνα-
μιν τῆς ἀγάπης, καὶ ἐν ἀσφαλείᾳ ἑαυτοὺς καθιστῶμεν; μέχρι τίνος εἰς ἕνα καὶ δύο περιϊστῶ-
μεν αὐτήν; κἂν γὰρ πένης ᾖ ὁ φίλους κεκτημένος, πολλῷ τῶν πλουσίων εὐπορώτερος καθέστη-
κεν. ἅπερ γὰρ αὐτὸς ὑπὲρ ἑαυτοῦ εἰπεῖν οὐκ ἐπιχειρεῖ, ταῦτα ὁ φίλος ἀντ' ἐκείνου ἐρεῖ· καὶ
ὅσα οὐ δύναται ἑαυτῷ χαρίσασθαι, δι' ἑτέρου χαρίσεται). καὶ οὐκ ἔστι παθεῖν κακῶς, τὸν ὑπὸ
35 τοσούτων δορυφόρων φυλαττόμενον· οὐ γὰρ τοιοῦτοι τοῦ βασιλέως οἱ σωματοφύλακες ἀ-
κριβεῖς, ὡς οὗτοι. οἱ μὲν γὰρ ἀνάγκῃ καὶ φόβῳ τὴν φυλακὴν ἐπιδείκνυνται, οἱ δὲ εὐνοίᾳ καὶ
ἀγάπῃ. κἀκεῖνος μὲν τοὺς φύλακας αὐτοῦ δέδοικεν, οὗτος δὲ τούτοις μᾶλλον ἢ ἑαυτῷ θαρρεῖ.
Καὶ ἄλλως· ποῖοι οὕτω τείχους ἀρραγεῖς (ἁρμονίᾳ λίθων εὐμεγεθῶν ὠχυρωμένοι ἀπόρθητοι
γίνονται ταῖς τῶν ἐχθρῶν ἐφόδοις) ὡς τὸ σύστημα τῶν ἀλλήλους ἀγαπώντων, καὶ ἐν ὁμοφροσύνῃ
40 περιεσφιγμένων; τὰς γὰρ τοῦ διαβόλου προσβολὰς ἀποκρούεται. καὶ μάλα εἰκότως. οἱ
γὰρ μετ' ἀλλήλων κατ' ἐκείνου παραταττόμενοι, καὶ μὴ μετ' ἐκείνου κατ' ἀλλήλων ἀντι-
ταττόμενοι, ἀήττητοι γίνονται τοῖς αὐτοῦ μηχανήμασι, τὰ λαμπρὰ τῆς ἀγάπης ἐγείροντες
τρόπαια. καὶ καθάπερ αἱ τῆς λύρας νευραὶ πολλαὶ μὲν οὖσαι, εἰς μίαν δὲ νεύουσαι συμφωνί-
αν, τερπνότατόν τι μέλος ἠχοῦσιν· οὕτως οἱ πρὸς μίαν συγκεκραμένοι γνώμην, εὔηχον

ἀνακρούονται

Ἐκ τῆς ἑρμην. τῆς εἰς Ἰωάν. εὐαγγ.

Ἐκ τοῦ λόγου, ὅτι χρήσιμον φέρειν ἐλέγχους

Ἐκ τῆς ἑρμην. τοῦ κατ' Ἰωάννην εὐαγγ.

Ἐκ τοῦ λόγου τοῦ περὶ τῆς τελείας ἀγάπης.

Εκ τῆς πρὸς Θεσσαλον. α. ἐπισ.

ἀνακρούονται τῆς ἀγάπης τὸν φθόγγον. Καὶ γὰρ οὐδὲν τῆς ἀγάπης γλυκύτερον γένοιτ' ἄν. τί γὰρ οὐκ ἂν ἐργάσαιτο φίλος γνήσιος; πόσην μὲν οὐκ ἂν ἐμποιήσειεν ἡδονήν; πόσην δὲ ὠφέλειαν; πόσην δὲ ἀσφάλειαν; κἂν μυρίους θησαυροὺς εἴποις, οὐδὲν ἀντάξιον γνησίου φίλου. καὶ καθάπερ τὰ λαμπρὰ τῶν σωμάτων ἄνθος ἀπορρεῖ πρὸς τοὺς πλησίον τόπους, οὕτω καὶ φίλοι, οἷς ἂν παραγένωνται τόποις, τὴν ἑαυτῶν χάριν ἀφιᾶσι. κρεῖσσον οὖν ἐν σκότῳ διάγειν, ἢ φίλων εἶναι χωρίς. οὐ γὰρ οὕτω πυρετὸς κατακαίειν εἴωθε σώματος φύσιν, ὡς τὰς ψυχὰς τὸ κεχωρίσθαι τῶν φιλουμένων.

Εκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάννην εὐαγγ.

Τοιοῦτον γάρ ἐστιν ὁ τῆς ἀγάπης ἔρως, ὡς τοὺς μὴ συμπαρόντας ἡμῖν, ἀλλ' ἀπόντας, ποθουμένους δὲ, καθ' ἑκάστην φαντάζεσθαι ποιεῖν ἡμᾶς τὴν ἡμέραν· καὶ τῶν μὲν ἐν χερσὶ πάντων ἀφίστησι, μόνῳ δὲ τῷ ποθουμένῳ προσδεσμεῖ τὴν τοῦ φιλοῦντος ψυχήν. Εἰ δὲ ἀγαπώμενόν τις ὁρῶν, μᾶλλον δὲ μεμνημένος αὐτοῦ διανίσταται τῇ ψυχῇ, καὶ ὑψηλὸς γίνεται τὴν διάνοιαν, καὶ πάντα εὐκόλως φέρει ἐντρυφῶν τῇ μνήμῃ· ὁ τὸν οὕτως ἀγαπήσαντα ἡμᾶς καταξιώσαντα ἔχων ἐν διανοίᾳ, καὶ μεμνημένος αὐτοῦ, πότε ἢ λυπηροῦ τινος αἰσθήσεται, ἢ φοβερόν τι καὶ ἐπικίνδυνον φοβηθήσεται; οὐδέποτε.

Εκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β. ἐπισ.

Εἰ γὰρ παρὰ ἀνθρώπων δυνατῶν ἀγαπώμενοι φοβεροὶ πᾶσίν ἐσμεν, πολλῷ μᾶλλον παρὰ τοῦ Θεοῦ. κἂν γὰρ χρήματα δέῃ, κἂν σώματα, κἂν αὐτὴν τὴν ψυχὴν ὑπὲρ ταύτης δοῦναι τῆς ἀγάπης, μὴ φεισώμεθα. οὐ γὰρ ἀρκεῖ τὸ διὰ ῥημάτων λέγειν, ὅτι ἀγαπῶμεν, ἀλλὰ χρὴ καὶ τὴν ἐκ τῶν πραγμάτων δεικνύειν ἀπόδειξιν. οὐδὲ γὰρ αὐτὸς διὰ τῶν ῥημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἔδειξε τὴν ἀγάπην.

Εκ τῆς ἑρμην. τῆς πρὸς Τιμ. α. ἐπισ.

Εἰ γὰρ ἐν ταῖς τῶν μεγάλων οἰκίαις οἰκέτης ὁ τὰ αὐτοῦ, τοῦ δεσπότου ποιησάμενος, οὐ τὰ αὐτοῦ τοῦ δεσπότου πεποίηκεν, ἀλλὰ τὰ τοῦ δεσπότου, ἑαυτοῦ, καὶ ὁμοίως αὐτῷ τοῖς ἐκείνου κέχρηται, καὶ πολλοὶ τῶν οἰκετῶν μᾶλλον αὐτὸν δεδοίκασιν, ἢ ἐκεῖνον· καὶ ἐπὶ τῶν ἑαυτοῦ καταφρονήσει, οὐχὶ καταφρονήσει τῶν αὐτοῦ, ἀλλὰ μᾶλλον μειζόνων ἐπιτεύξεται· πολλῷ μᾶλλον ἐν τοῖς πνευματικοῖς. μὴ τοίνυν φροντίζωμεν τῶν ὑμετέρων, ἵνα φροντίζωμεν τῶν ἡμετέρων· ἀλλὰ καταφρονῶμεν αὐτῶν, ἵνα κτησώμεθα αὐτά. ἂν γὰρ ἡμεῖς αὐτῶν καταφρονήσωμεν, ὁ Θεὸς αὐτῶν ἐπιμελήσεται· ἂν δὲ ἡμεῖς αὐτῶν ἐπιμελώμεθα, ὁ Θεὸς αὐτῶν καταφρονήσει.

χ. τὰ

Εκ τῆς πρὸς Ὀλυμπιάδα β. ἐπισ.

Εἴ τις οὖν φιλεῖν ἐθέλει γνησίως, καὶ δύναμιν ἀγάπης ἐπίστασθαι, ἐπὶ τὸν ταύτης τρόφιμον, τὸν μακάριον Παῦλον δραμέτω, κἀκεῖνος αὐτὸν διδάξει, ἡλίκος ἐστὶν ἆθλος ἐνεγκεῖν χωρισμὸν φιλουμένου, καὶ ἡλίκης δεόμενον ψυχῆς. οὗτος γάρ, οὗτος ὁ τὴν σάρκα ἀποδυσάμενος, καὶ τὸ σῶμα ἀποθέμενος, καὶ γυμνῇ σχεδὸν τὴν οἰκουμένην περιιὼν τῇ ψυχῇ, καὶ πᾶν πάθος ἐξορίσας τῆς διανοίας, καὶ τῶν ἀσωμάτων δυνάμεων τὴν ἀπάθειαν μιμούμενος, τὰ μὲν ἄλλα πάντα ῥᾳδίως ἔφερεν, ὡς ἐν ἀλλοτρίῳ πάσχων σώματι, καὶ δεσμωτήρια, καὶ ἁλύσεις, καὶ ἀπαγωγάς, καὶ μάστιγας, καὶ ἀπειλάς, καὶ θάνατον, καὶ πᾶν κολάσεως εἶδος· μιᾶς δὲ ψυχῆς ἀγαπωμένης παρ' αὐτοῦ χωρισθεὶς, οὕτω συνεχύθη καὶ διεταράχθη, ὡς, ἐν ᾗ τὸν ἀγαπώμενον προσεδόκησεν ἰδεῖν οὐχ εὗρεν, εὐθέως καὶ τῆς πόλεως ἀποπηδῆσαι. τί τοῦτο, ὦ μακάριε Παῦλε; ξύλῳ μὲν δεδεμένος, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ἔχων ἐπικειμένας, καὶ τὰ νῶτα αἵματι περιρρεόμενος, καὶ ἐμυσταγώγεις, καὶ ἐβάπτιζες, καὶ θυσίαν προσῆγες, καὶ ἑνὸς οὐ κατεφρόνησας μέλλοντος σώζεσθαι· εἰς δὲ τὴν Τρῳάδα ἐλθὼν, καὶ τὴν ἄρουραν εὑρὼν ἐκκεκαθαρμένην καὶ ἑτοίμην οὖσαν τὰ σπέρματα δέξασθαι, τοσοῦτον ἔρριψας ἀπὸ τῶν χειρῶν κέρδος, καὶ ἀπεπήδησας εὐθέως; ναί, φησι. πολλῇ γὰρ κατεσχέθην ἀθυμίας τυραννίδι, καὶ σφόδρα μου συνέχεε τὴν διάνοιαν ἡ Τίτου ἀπουσία· καὶ οὕτω μου ἐκράτησε καὶ περιεγένετο, ὡς ἀναγκάσαι τοῦτο ποιῆσαι. Εἶδες πῶς μέγιστος ἆθλος τὸ δυνηθῆναι ἐνεγκεῖν πράως ἀγαπωμένου χωρισμόν; πῶς ὀδυνηρὸν πρᾶγμα καὶ πικρόν; πῶς ὑψηλῆς δεόμενον καὶ νεανικῆς ψυχῆς; οὐδὲ γὰρ ἀρκεῖ τοῖς ἀγαπῶσι μόνον τὸ τῇ ψυχῇ συνδεδέσθαι, οὐδὲ ἀποχρῶνται τούτῳ εἰς παραμυθίαν, ἀλλὰ καὶ σωματικῆς δέονται παρουσίας· κἂν μὴ τοῦτο προσῇ, οὐ μικρὸν τῆς εὐφροσύνης ὑποτέτμηται μέρος.

χ. ἀπ. ἄλλ.

ρος. Βαβαὶ τοῦ διαπύρου ἔρωτος τῆς ἀγάπης. ὁ πυρὸς κατατολμῶν Παῦλος, ὁ ἀδαμάντινος,
ὁ στερρὸς, ὁ ἀκλινὴς, ὁ ἀκαμπὴς, ὁ λέγων, Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλί-
ψις, ἢ στενοχωρία, ἢ λιμὸς, ἢ διωγμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὁ γῆς καὶ θαλάττης
κατατολμῶν, ὁ τῶν ἀδαμαντίνων τοῦ θανάτου πυλῶν καταγελῶν, οὗτος ἐπειδὴ τινων ἀγαπητῶν
5 εἶδε δάκρυα, οὕτω κατεκλάσθη καὶ συνετρίβη, ὡς μηδὲ κρύψαι τὸ πάθος, ἀλλ' εἰπεῖν εὐθέως·
Τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ὢ τοῦ θαύματος. ἄβυσσος αὐτὸν οὐ
συνέτριψεν ὑδάτων, καὶ μικρὰ δάκρυα συνέτριψε καὶ συνέκλασε; τί ποιεῖτε κλαίοντες καὶ συν-
θρύπτοντές μου τὴν καρδίαν; τί λέγεις, εἰπέ μοι; ἐκείνην τὴν ἀδαμαντίνην ψυχὴν
συντρῖψαι δάκρυον ἴσχυσε; ναὶ, φησί· πολλὴ γὰρ ἡ τῆς ἀγάπης ἰσχύς· αὕτη μου περιγίνεται καὶ
10 κρατεῖ· πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης. Τίς οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ
ἂν θαυμάσειε; μᾶλλον δὲ τίς κατ' ἀξίαν ἐκπλαγείη καὶ θαυμάσειεν ἂν τὴν γενναίαν ἐκεί-
νην καὶ οὐρανομήκη τοῦ Παύλου ψυχὴν, ὅτι δεδεμένος καὶ καθειργμένος ἀπὸ τοσούτου διαστήματος
Φιλιππησίοις ἐπέστελλεν; ἴστε γὰρ ὅσον τὸ μέσον Μακεδονίας καὶ Ῥώμης. ἀλλ' οὔτε τῆς ὁδοῦ τὸ
μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε ὁ τῶν πραγμάτων ὄχλος, οὔτε ὁ κίνδυνος, καὶ τὰ ἐπάλ-
15 ληλα δεινὰ, οὔτε ἄλλο οὐδὲν, τὴν ἀγάπην καὶ τὴν μνήμην ἐξέβαλε τῶν μαθητῶν, ἀλλ' εἶ-
χεν αὐτοὺς ἅπαντας ἐν διανοίᾳ· καὶ οὐχ οὕτως αὐτοῦ ταῖς ἁλύσεσιν αἱ χεῖρες ἐδέδεντο, ὡς τῷ πό-
θῳ τῶν μαθητῶν ἡ ψυχὴ συνεδέδετο καὶ προσήλωτο. καὶ καθάπερ βασιλεὺς ἐπὶ τοῦ θρό-
νου ἀναβὰς ὑπὸ τὴν ἕω, καὶ καθίσας ἐν ταῖς βασιλικαῖς αὐλαῖς, μυρίας εὐθέως δέχεται
πανταχόθεν ἐπιστολάς· οὕτω δὴ κἀκεῖνος, καθάπερ ἐν ταῖς βασιλικαῖς αὐλαῖς τῷ δε-
20 σμωτηρίῳ καθήμενος, πολλῷ πλείω καὶ ἐδέχετο καὶ ἔπεμπε συχνῶς τὰ γράμματα τῶν
πανταχόθεν ἐπὶ τὴν ἐκείνου σοφίαν, ὑπὸ τῶν καθ' ἕκαστον τῶν πραγμάτων ἀναφερόντων ἅ-
παντα· καὶ τοσούτῳ πλείονα πράγματα τοῦ βασιλέως ᾠκονόμει, ὅσῳ καὶ μείζονα ἀρχὴν
ἐμπεπίστευτο. Τοιαύτη γὰρ ἡ τῆς ἀγάπης ἐστὶ δύναμις, ὡς οὐ τοὺς παρόντας μόνον καὶ πλη-
σίον ὄντας ἡμῖν καὶ ὁρωμένους, ἀλλὰ καὶ τοὺς μακρὰν ἀφεστῶτας περιλαμβάνειν καὶ συγκολ-
25 λᾶν καὶ συνδεῖν, καὶ οὔτε χρόνων πλῆθος, οὔτε ὁδῶν διάστημα, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν,
ψυχῆς φιλίαν δύναιτ' ἂν διακόψαι καὶ διατεμεῖν. Καὶ γὰρ οὕτω δεῖ φιλεῖν τὸν φιλοῦντα,
ὡς, εἰ καὶ τὴν ψυχὴν αἰτηθῇ, καὶ δυνατὸν ᾖ, μὴ κωλῦσαι. οὐδὲν γὰρ ἀντάξιον γνησίου
φίλου. ἥδεται γὰρ ὁ φιλῶν ὁρῶν τὸν φιλούμενον, καὶ διαχεῖται, συμπλέκεται αὐτῷ συμπλο-
κήν τινα κατὰ τὴν ψυχὴν, ἄρρητον ἔχουσαν τὴν ἡδονήν. κἂν ἀναμνησθῇ μόνον αὐτοῦ, δια-
30 νίστησι τῇ διανοίᾳ καὶ ἀναπτεροῦται, κἂν βλέπῃ τοῦτον καθ' ἑκάστην ἡμέραν, οὐ κορέννυται, οὐ-
δέν ἐστιν αὐτῷ ὅπερ μὴ ἔστιν ἐκείνου· ταῦτα αὐτῷ ἐπεύχεται ἅπερ καὶ ἑαυτῷ. οἶδα ἐγώ τινα,
ὃς ὑπὲρ φίλου τοὺς ἁγίους ἄνδρας παρακαλῶν, παρεκάλει πρότερον εὔχεσθαι ὑπὲρ αὐ-
τοῦ, καὶ τότε ὑπὲρ ἑαυτοῦ. οἶδα καὶ Παῦλον τὴν ψυχὴν ἡδέως διδόντα τὴν ἑαυτοῦ, καὶ μὴ αἰτη-
θέντα καὶ εἰς γέενναν ἐμπίπτειν ὑπὲρ τῶν φιλουμένων εὐχόμενον. Οὕτω γὰρ χρὴ φιλεῖν δια-
35 κεῖσθαι πεπυρωμένον, ὡς μὴ δοκεῖν ὀφειλέτην ἔχειν τὸν φιλούμενον, ἀλλ' αὐτὸς αὐτῷ ὀφειλέ-
της εἶναι ἐν τῷ ὀφειλέτην ἔχειν ἐκεῖνον. ὁ γὰρ ἀγαπῶν οὐκ ἐπιτάττειν βούλεται μόνον, ἀλλὰ
καὶ ἐπιτάττεσθαι· καὶ χαίρει μᾶλλον ἐπιταττόμενος, ἤπερ ἐπιτάττων. ὁ ἀγαπῶν χαρίζεσθαι
βούλεται μᾶλλον, ἢ χάριν λαμβάνειν· θέλει γὰρ ὀφειλέτην ἔχειν τὸν φίλον, ἤπερ αὐτὸς ὀ-
φείλειν ἐκείνῳ. ὁ ἀγαπῶν καὶ βούλεται χαρίζεσθαι τῷ ἀγαπωμένῳ, καὶ οὐ βούλεται δο-
40 κεῖν χαρίζεσθαι· καὶ ἄρχειν αὐτὸς εὐεργεσίας, καὶ μὴ δοκεῖν ἄρχειν εὐεργεσίας. Καί μή μοι τοὺς
ἁπλῶς φίλους ἐννοεῖτε, τοὺς κοινωνοὺς τῶν τραπεζῶν, καὶ ἀπὸ προσηγορίας μόνης φίλους
λογιζομένους. Εἴ τις ἔχει φίλον, οἷον λέγω, ἐπιγνώσεται τὰ ῥήματα. τῆς γὰρ παρούσης
ζωῆς φίλος ἡδύτερος. πολλοὶ γοῦν μετὰ τὴν τῶν φίλων τελευτὴν, ηὔξαντο μηκέτι ζῆ-
σαι λοιπόν· καὶ γὰρ ὄντως καὶ τοῦ φωτὸς αὐτοῦ ποθεινότερος ὁ φίλος. βέλτιον γὰρ ἡμῖν σβεσθῆναι

τὸν

Ἐκ τῆς πρὸς Θεσσαλ. α'. Ῥωμ. η. λε.

Περὶ ξ κα. γ.

Ἐκ τοῦ λόγου τοῦ πρὸς τοὺς ὑπὲρ εἰς δίον χρωμένους τῷ ἀποστολικῷ ῥητῷ· Εἴτε προφάσει, εἴτε

Ἐκ τοῦ λόγου εἰς νεωτέραν χηρεύσασαν.

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Θεσσαλονικεῖς α'. ἐπιστ.

Ἐκ τοῦ λόγου περὶ τελείας ἀγάπης.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσσαλ. α'. ἐπιστ.

τὸν ἥλιον, ἢ φίλων ἀποστερηθῆναι. πολλοὶ γὰρ τὸν ἥλιον ὁρῶντες ἐν σκότῳ εἰσί· φίλων δὲ
ἀπορεοῦντες, οὐδ' ἂν ἐν θλίψει γένοιντο. Εἰ δὲ τινός σε φιλία βλάπτει, ἔκκοπτε ἀπὸ σοῦ. εἰ
γὰρ τινα τῶν ἡμετέρων μελῶν πολλάκις ἀποτέμνομεν, ὅταν αὐτά τε ἀνιάτως ἔχῃ, καὶ τοῖς
λοιποῖς λυμαίνηται· πολλῷ μᾶλλον ἐπὶ τῆς ψυχῆς τοῦτο ποιεῖν χρή. οὐδὲν γὰρ οὕτω βλαβερόν, ὡς
συνουσία πονηρά. ὅσα γὰρ ἀνάγκη μὴ δύναται, δύναται φιλία πολλάκις εἰς βλάβην 5
καὶ ὠφέλειαν. Ὁ δὲ τοῖς ἐχθροῖς τοῦ βασιλέως συμφιλιάζων, οὐ δύναται φίλος τοῦ βασιλέως
εἶναι· τῆς γὰρ φιλίας τῆς διὰ τὸν Χριστὸν τὸ μῖσος τὸ δι' αὐτὸν πολλῷ βέλτιον. ὅταν μὲν γὰρ
φιλῶμεν διὰ τὸν Θεόν, ἡμεῖς ὀφειλέται αὐτοῦ ἐσμεν τῆς τιμῆς· ὅταν δὲ μισῶμεν, αὐτὸς ἡ-
μῖν ὀφειλέτης ἐστὶ τῆς τιμῆς. Ὅσοι τοίνυν μηδὲ χρημάτων διὰ τὸν Χριστὸν καταφρονοῦμεν,
μᾶλλον δὲ δι' ἡμᾶς, φρίξωμεν τὸ περὶ τὸν Χριστὸν τοῦ Παύλου φίλτρον ἐν διανοίᾳ λαμβά- 10
νοντες. οὐδὲ γὰρ τὸν Χριστὸν οὕτως ἐφίλει διὰ τὰ τοῦ Χριστοῦ, ἀλλὰ δι' αὐτὸν τὰ ἐκείνου·
καὶ ἓν ἐδεδοίκει μόνον, τὸ μὴ τῆς ἀγάπης ἐκπεσεῖν τῆς πρὸς ἐκεῖνον. τοῦτο γὰρ αὐτῷ καὶ γε-
έννης φοβερώτερον ἦν· ὥσπερ καὶ τὸ μένειν ἐν αὐτῇ βασιλείας ποθεινότερον. ὅταν μὲν οὖν ἐ-
κεῖνος διὰ τὸν τοῦ Θεοῦ πόθον, καὶ εἰς γέενναν καταδέχεται ἐμπεσεῖν, καὶ βασιλείας ἐκπε-
σεῖν, εἴγε ἀμφότερα ταῦτα προὔκειτο, ἡμεῖς δὲ μηδὲ τοῦ παρόντος καταφρονῶμεν βίου, 15
ἆρα ἄξιοι τῶν γοῦν ὑποδημάτων ἐσμὲν λοιπὸν τῶν ἐκείνου, τοσοῦτον ἀφεστηκότες αὐτοῦ τῆς
μεγαλονοίας; Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, Ὃς ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ,
εὑρήσει αὐτήν· καί, Ὃς ἐὰν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ
αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. καὶ γὰρ πολὺς ὁ τοῦ κατορθώματος τούτου
πόνος, καὶ αὐτὴν σχεδὸν ὑπερβαίνων τὴν φύσιν· καὶ τοῦτο ἴσασιν οἱ καταξιωθέντες τῶν στεφάνων 20
τούτων καλῶς. λόγος γὰρ οὐδεὶς αὐτὸ παραστῆσαι δυνήσεται, οὕτω γενναίας τὸ πρᾶγμα
ἐστὶ ψυχῆς, καὶ μεθ' ὑπερβολῆς θαυμαστόν. ἀλλ' ὅμως τὸ θαυμαστὸν τοῦτο οὐδὲν μέγα ἔφησεν
ὠφελεῖν ἀγάπης χωρὶς ὁ Παῦλος, κἂν τὴν ἀκτημοσύνην συνεζευγμένην ἔχῃ. τίνος
οὖν ἕνεκεν οὕτως εἴρηκε, τοῦτο ἤδη δεῖξαι πειράσομαι, πρότερον ἐκεῖνο ζητήσας, πῶς ὁ τὰ
ὑπάρχοντα ψωμίζων πάντα δύναται μὴ ἔχειν ἀγάπην. τὸν μὲν γὰρ ἑτοίμως ὄντα καῆναι, 25
καὶ τὰ χρήματα ἔχοντα ἐγχωρεῖ ἴσως καὶ μὴ ἀγαπῆσαι· ὁ δὲ μὴ μόνον διδοὺς τὰ ὑπάρ-
χοντα, ἀλλὰ καὶ ψωμίζων, πῶς οὐκ ἀγαπᾷ; τί οὖν ἐστιν εἰπεῖν; ἢ ὅτι τὸ οὐκ ἂν ὡς ὂν ὑπέ-
θετο, ὅπερ ἀεὶ φιλεῖ ποιεῖν, ὅταν ὑπερβολὴν παραστῆσαι βουληθῇ· ὡς ὅταν Γαλάταις
γράφων λέγῃ· Ἐὰν ἡμεῖς, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ παρελάβετε, ἀνά-
θεμα ἔστω. καίτοι οὔτε αὐτός, οὔτε ἄγγελος ἔμελλε τοῦτο ποιεῖν· ἀλλ' ἵνα δείξῃ τὴν ὑπερβολὴν 30
τοῦ πράγματος, καὶ τὸ μηδ' ὅλως ἐσόμενον τέθεικε. καὶ πάλιν ὅταν Ῥωμαίοις ἐπιστέλλῃ καὶ
λέγῃ· Οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις δυνήσονται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγά-
πης τοῦ Χριστοῦ. οὐδὲ γὰρ τοῦτο ἔμελλον ποιεῖν ἄγγελοι, ἀλλὰ κἀνταῦθα τὸ μὴ ὂν ὑποτί-
θεται· ὥσπερ οὖν καὶ τὸ ἑξῆς λέγων· οὔτε κτίσις ἑτέρα· καίτοιγε ἑτέρα οὐκ ἔστι κτίσις, πᾶσαν
γὰρ αὐτὴν περιέλαβε, καὶ τὰ ἄνω, καὶ τὰ κάτω πάντα εἰπών· ἀλλ' ὅμως κἀνταῦθα τὸ μὴ 35
ὂν καθ' ὑπόθεσιν τίθησιν, ὥστε δεῖξαι τὸν μεθ' ὑπερβολῆς αὐτοῦ πόθον· ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ
λέγων, ὅτι κἂν πάντα τις δῷ, ἀγάπην δὲ μὴ ἔχῃ, οὐδὲν ὠφελεῖται. ἢ τοῦτο ἔστιν εἰπεῖν,
ἢ ὅτι βούλεται τοὺς παρέχοντας καὶ συγκεκολλῆσθαι τοῖς λαμβάνουσι, καὶ μὴ ἁπλῶς δι-
δόναι ἀσυμπαθῶς, ἀλλ' ἐλεοῦντας καὶ κατακαμπτομένους, ἐπικλωμένους καὶ συν-
αλγοῦντας τοῖς δεομένοις. διὰ τοῦτο γὰρ καὶ ἡ ἐλεημοσύνη παρὰ τοῦ Θεοῦ νενο- 40
μοθέτηται· καὶ γὰρ ἠδύνατο τοὺς πένητας διατρέφειν ὁ Θεός καὶ χωρὶς τούτου· ἀλλ'
ἵνα ἡμᾶς εἰς τὴν ἀγάπην συνδήσῃ, καὶ ἵνα διαθερμαινώμεθα πρὸς ἀλλήλους, παρ'
ἡμῶν αὐτοὺς ἐκέλευσε τρέφεσθαι. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησι· Κρεῖττον λόγος ἀγαθὸς
ἢ δόσις· καὶ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν. καὶ αὐτός φησιν· Ἔλεον θέλω, καὶ οὐ θυσίαν.

ἐπειδ

Margin notes: Ἐκ τοῦ ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ. — Ἐκ τῆς ἑρμην. τῆς πρὸς Τιμοθ. α. γ. — Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ὅλης. — Ἐκ τῆς πρὸς Κορ. α ἐπ. ὁμιλ. λϛ. — Ματθ ι. λθ. — Ματθ. ι. λϛ. — Ῥωμ. η. λθ. — Σειρ. ιη. ιϛ. — Ματθ. θ. ι.

ἐπεὶ γὰρ ἔθος τούς τε εὐεργετουμένους φιλεῖν, τούς τε εὖ πάσχοντας πρὸς τοὺς εὐεργετοῦντας οἰ-
κειότερον διακεῖσθαι, σύνδεσμον φιλίας ποιῶν, τοῦτο ἐνομοθέτησεν. καὶ ἵνα μάθητε ὅσον ἐστὶ
τὸ κατόρθωμα, ὑπογράψωμεν αὐτὴν τῷ λόγῳ, ἐπειδὴ τοῖς πράγμασιν αὐτὴν οὐχ ὁρῶ-
μέν που φαινομένην, καὶ ἐννοήσωμεν, εἰ πανταχοῦ μετὰ δαψιλείας ἦν αὕτη, πόσα ἂν ἐγέ-
5 νετο ἀγαθά. οὔτε γὰρ νόμων, οὔτε δικαστηρίων ἔδει, οὐ κολάσεων, οὐ τιμωριῶν, οὐκ ἄλλου
τῶν τοιούτων οὐδενός. εἰ γὰρ ἅπαντες ἠγάπων καὶ ἠγαπῶντο, οὐδεὶς ἂν ἠδίκησεν οὐδένα·
ἀλλὰ καὶ φόνοι, καὶ μάχαι, καὶ πόλεμοι, καὶ στάσεις, καὶ ἁρπαγαὶ, καὶ πλεονεξίαι, καὶ πάντα
ἂν ἐκποδὼν ἐχώρει τὰ πονηρὰ, καὶ μέχρις ὀνόματος ἂν ἠγνοήθη ἡ κακία. τὰ μέντοι σημεῖα
οὐκ ἂν τοῦτο εἰργάσαντο, ἀλλὰ καὶ εἰς κενοδοξίαν ἐπαίρει τοὺς μὴ προσέχοντας καὶ ἀπό-
10 νοιαν. καὶ τὸ δὴ θαυμαστὸν τῆς ἀγάπης, ὅτι τὰ μὲν ἄλλα ἀγαθὰ ἔχει παρεζευγμένα τὰ κακά·
οἷον, ὁ ἀκτήμων φυσᾶται πολλάκις διὰ τοῦτο· ὁ λέγειν εἰδὼς, καὶ δοξομανίαν νοσεῖ· ὁ ταπει-
νόφρων, δι᾽ αὐτὸ τοῦτο πολλάκις κατὰ τὸ συνειδὸς μέγα φρονεῖ· ἡ δὲ ἀγάπη πάσης τῆς τοιαύ-
της ἀπήλλακται λύμης· μετὰ γὰρ τοῦ ἀγαπωμένου οὐκ ἄν τις ἐπαρθείη ποτέ. καὶ μή μοι
θῇς ἕνα ἀγαπῶντα, ἀλλὰ πάντας ὁμοίως, καὶ τότε αὐτῆς ὄψει τὴν ἀρετήν· μᾶλλον δὲ,
15 εἰ βούλει, πρότερον ἕνα ἀγαπώμενον, καὶ ἕνα φιλοῦντα τίθει, φιλοῦντα μέντοι ὡς φιλεῖν ἄ-
ξιον· τὴν γὰρ γῆν οὕτως ὡς τὸν οὐρανὸν οἰκήσει, πανταχοῦ γαλήνης ἀπολαύων, καὶ μυρίους
ἑαυτῷ πλέκων στεφάνους. ὁ γὰρ τοιοῦτος καὶ φθόνου, καὶ ὀργῆς, καὶ βασκανίας, καὶ ἀπονοίας, καὶ
κενοδοξίας, καὶ πονηρᾶς ἐπιθυμίας, καὶ παντὸς ἔρωτος ἀτόπου, καὶ παντὸς νοσήματος καθαρεύ-
ουσαν διατηρήσει τὴν ἑαυτοῦ ψυχήν. ὥσπερ γὰρ ἑαυτῷ οὐκ ἄν τις ἐργάσαιτό τι κακόν·
20 οὕτως οὐδὲ τὸν πλησίον οὗτος. τοιοῦτος δὲ ὤν, μετ᾽ αὐτοῦ στήσεται τοῦ Γαβριὴλ ἐπὶ τῆς γῆς
βαδίζων. καὶ ὁ μὲν ἀγάπην ἔχων, τοιοῦτος· ὁ δὲ σημεῖα ποιῶν καὶ γνῶσιν ἔχων ἀπηρτισμένην,
ταύτης ἄνευ κἂν μυρίους ἐγείρῃ νεκροὺς, οὐδὲν μέγα ὀνήσει, πάντων ἀπερρηγμένος, καὶ οὐ-
δενὶ τῶν συνδούλων ἀναμιγνύναι ἑαυτὸν ἀνεχόμενος. διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς τῆς εἰς
αὐτὸν ἀκριβοῦς ἀγάπης σημεῖον ἔφησεν εἶναι, τὸ τὸν πλησίον φιλεῖν. εἰ γὰρ φιλεῖς με, φησὶν,
25 ὦ Πέτρε, τούτων πλέον, ποίμαινε τὰ πρόβατά μου. εἶδες πῶς καὶ ἐνταῦθεν πάλιν ἠνίξατο,
ὅτι μαρτυρίου μεῖζον τοῦτο; καὶ γὰρ εἰ παιδίον τις εἶχεν ἀγαπητὸν, καὶ ὑπὲρ οὗ καὶ τὴν
ψυχὴν ἂν ἐπέδωκεν, εἶτά τις τὸν μὲν πατέρα ἐφίλει, τῷ δὲ παιδὶ μηδ᾽ ὅλως προσεῖχε,
σφόδρα ἂν παρώξυνε τὸν πατέρα, καὶ οὐκ ἂν ᾔσθετο τῆς οἰκείας ἀγάπης διὰ τὴν τοῦ παι-
δὸς ὑπεροψίαν. εἰ δὲ ἐπὶ πατρὸς καὶ παιδὸς τοῦτο συμβαίνει, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ καὶ
30 ἀνθρώπων. καὶ γὰρ πατέρων ἁπάντων ἐστὶ φιλοστοργότερος ὁ Θεός. διὰ δὴ τοῦτο εἰπὼν,
Πρώτη καὶ μεγάλη ἐντολὴ, ἀγαπήσεις Κύριον τὸν Θεόν σου. ἐπήγαγε, δευτέρα δὲ, καὶ οὐκ
ἐσίγησεν, ἀλλὰ προσέθηκεν, ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. καὶ ὅρα
πῶς μετὰ τῆς αὐτῆς σχεδὸν ὑπερβολῆς ἀπαιτεῖ καὶ ταύτην. περὶ μὲν γὰρ τοῦ Θεοῦ φη-
σὶν, ἐξ ὅλης τῆς καρδίας σου· περὶ δὲ τοῦ πλησίον σου, ὡς σεαυτόν· ὅπερ ἴσον ἐστὶ τῷ ἐξ ὅλης
35 τῆς καρδίας σου. καὶ γὰρ εἰ μετὰ ἀκριβείας τοῦτο ἐφυλάττετο, οὐ δοῦλος, οὐκ ἐλεύθερος
ἦν, οὐκ ἄρχων, οὐκ ἀρχόμενος, οὐ πλούσιος, οὐ πένης, οὐ μικρὸς, οὐ μέγας, οὐ διάβολος
ἂν ἐγνώσθη ποτέ. οὐ λέγω οὗτος, ἀλλ᾽ εἰ καὶ ἕτερος τοιοῦτος, μᾶλλον δὲ εἰ καὶ ἑκατὸν καὶ μυρίοι
τοιοῦτοι ἦσαν, οὐδὲν ἂν ἴσχυσαν ἐκείνης οὔσης. μᾶλλον γὰρ χόρτος ἤνεγκε πυρὸς ἐπαγωγὴν,
ἢ φλόγα ἀγάπης διάβολος. αὕτη τείχους ἰσχυροτέρα, αὕτη ἀδάμαντος στερροτέρα, κἂν ἑτέραν
40 αὐτῆς ἰσχυροτέραν εἴπῃς ὕλην, πάντα ὑπερβάλλει τῆς ἀγάπης στερρότης. ταύτην οὐ πλοῦ-
τος, οὐ πενία νικᾷ· μᾶλλον δὲ οὐδ᾽ ἂν ἦν πενία, οὐκ ἀμετρία πλούτου, εἰ ἀγάπη ἦν, ἀλ-
λὰ τὰ ἐξ ἑκατέρων ἀγαθὰ μόνον· καὶ γὰρ τὴν ἐξ ἐκείνου ἀφθονίαν ἐκαρπωσάμεθα ἂν, καὶ
τὴν ἐκ ταύτης ἀμεριμνίαν, καὶ οὔτε τοῦ πλούτου τὰς φροντίδας, οὔτε τῆς πενίας τὸ δέος
ὑπεμείναμεν ἄν. καὶ τί λέγω τὰ ἐξ αὐτῆς κέρδη; αὐτὸ γὰρ καθ᾽ ἑαυτὸ τὸ φιλεῖν, ἐννόησον

Ματθ. κϐ. λη.

ἡλίκον ἐστί· πόσην φέρει τὴν εὐφροσύνην· ἐν πόσῃ καθίστησι χάριτι τὴν ψυχήν, ὃ μάλιστα αὐτῆς ἐστιν ἐξαίρετον. τὰ μὲν γὰρ ἄλλα τῆς ἀρετῆς μέρη, συνεζευγμένον ἔχει τὸν πόνον· οἷον νηστεία, σωφροσύνη, ἀγρυπνία, βασκανίαν, ἐπιθυμίαν, ὑπεροψίαν· ἡ δὲ ἀγάπη μετὰ τοῦ κέρδους πολλὴν ἔχει καὶ τὴν ἡδονήν, καὶ πόνον οὐδένα· καὶ καθάπερ μέλιττα ἀγαθή, τὰ πανταχόθεν συνάγουσα ἀγαθά, εἰς τὴν τοῦ φιλοῦντος κατατίθεται ψυχήν. κἂν δουλεύῃ τις, ἡδίω τῆς ἐλευθερίας ἀποφαίνει τὴν δουλείαν· ὁ γὰρ φιλῶν, οὐχ οὕτως ἐπιτάττων ὡς ἐπιταττόμενος χαίρει. καίτοιγε τὸ ἐπιτάττειν, ἡδύ· ἀλλὰ μετατίθησιν αὕτη τῶν πραγμάτων τὴν φύσιν, καὶ πάντα ἐν χερσὶν ἔχουσα παραγίνεται τὰ ἀγαθά, πάσης μητρὸς ἠπιωτέρα, πάσης βασιλίδος εὐπορωτέρα· καὶ τὰ ἐπίπονα κοῦφα καὶ ῥᾷστα ποιεῖ, τὴν μὲν ἀρετὴν εὔκολον, τὴν δὲ κακίαν πικροτάτην ἡμῖν ἀποφαίνουσα. σκόπει δέ, τὸ δαπανᾶν, λυπηρὸν εἶναι δοκεῖ, καὶ ποιεῖ αὐτὸ αὕτη ἡδύ. τὸ λαμβάνειν τὰ ἑτέρων, ἡδύ· καὶ οὐκ ἀφίησιν αὐτὸ φαίνεσθαι ἡδύ· ἀλλὰ φεύγειν ὡς μοχθηρὸν παρασκευάζει. πάλιν τὸ κακῶς λέγειν, γλυκὺ πᾶσιν εἶναι δοκεῖ· αὕτη τοῦτο μὲν πικρὸν ἀποφαίνεται, τὸ δὲ καλῶς λέγειν ἡδύ. οὐδὲν γὰρ οὕτως ὡς τὸν φιλούμενον ἐγκωμιάζειν ἡμῖν ἡδύ. πάλιν ὁ θυμὸς ἔχει τινὰ ἡδονήν· ἀλλ' ἐνταῦθα οὐκέτι, ἀλλὰ πάντα αὐτοῦ τὰ νεῦρα ἀνῄρηται. κἂν λυπήσῃ τὸν φιλοῦντα ὁ ἀγαπώμενος, θυμὸς μὲν οὐδαμοῦ φαίνεται, δάκρυα δὲ καὶ παρακλήσεις καὶ ἱκετεῖαι, τοσοῦτον ἀπέχει τοῦ παροξυνθῆναι. κἂν ἴδῃ ἁμαρτάνοντα, πενθεῖ καὶ ὀδυνᾶται· ἀλλὰ καὶ ὀδύνη αὕτη ἡδονὴν φέρει· τῆς γὰρ ἀγάπης, καὶ τὰ δάκρυα, καὶ ἡ λύπη, γέλωτος παντὸς ἡδίω καὶ χαρᾶς. οὐχ οὕτω γοῦν ἀναπαύονται οἱ γελῶντες, ὡς οἱ ὑπὲρ φίλων κλαίοντες. κἂν ἀπιστῇς, ἐπίσχες αὐτῶν τὰ δάκρυα, καὶ ὡς τὰ ἀνήκεστα παθόντες, οὕτω δυσχεραίνουσιν. ἀλλ' ἡδονὴν ἔχει, φησίν, ἄτοπον τὸ φιλεῖν. ἄπαγε, καὶ εὐφήμει, ἄνθρωπε. οὐδὲν γὰρ οὕτως ἡδονῆς καθαρεύει τοιαύτης, ὡς ἀγάπη γνησία. μὴ γάρ μοι ταύτην εἴπῃς τὴν δημώδη καὶ ἀγοραίαν, ἣ νόσον μᾶλλον ἢ ἀγάπην οὖσαν, ἀλλὰ ταύτην, ἣν ὁ Παῦλος ἐπιζητεῖ, τὴν τὸ συμφέρον τῶν ἀγαπωμένων σκοποῦσαν, καὶ ὄψει ὅτι πατέρων οὗτοι φιλοστοργότεροι. καὶ ὥσπερ οἱ χρήματα φιλοῦντες οὐκ ἂν ἕλοιντο δαπανῆσαι χρήματα, ἀλλ' ἥδιον ἂν ἐν στενοχωρίᾳ γένοιντο, ἢ ἐκεῖνα ἴδοιεν ἐλαττούμενα· οὕτω καὶ πρός τινα ἡδέως ἔχων, μυρία ἂν ἕλοιτο παθεῖν, ἢ τὸν ἀγαπώμενον καταβλαπτόμενον ἰδεῖν. Τί οὖν, φησίν, ἐὰν ἐχθροὶ ὦσι καὶ Ἕλληνες, οὐ δεῖ μισεῖν; μισεῖν μέν, οὐκ ἐκείνους δέ, ἀλλὰ τὸ δόγμα· οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὴν πονηρὰν πρᾶξιν, τὴν διεφθαρμένην γνώμην. ὁ μὲν γὰρ ἄνθρωπος, ἔργον Θεοῦ· ἡ δὲ πλάνη, ἔργον τοῦ διαβόλου. εἰ γὰρ δεῖ τοὺς ἐχθροὺς τοῦ Θεοῦ μισεῖν, οὐχὶ ἀσεβεῖς δεῖ μισεῖν μόνον, ἀλλὰ καὶ ἁμαρτωλούς, καὶ οὕτως ἐσόμεθα θηρίων χείρους, πάντας ἀποστρεφόμενοι καὶ ἀπονοίᾳ φυσώμενοι, καθάπερ ὁ Φαρισαῖος ἐκεῖνος. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως ἐκέλευσεν· ἀλλὰ πῶς; Νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας. τί οὖν ὅταν λέγῃ, φησίν· Εἴ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ; μάλιστα μὲν περὶ ἀδελφῶν τοῦτο εἴρηται. πλὴν οὔτε τοῦτο ἁπλῶς, ἀλλὰ καὶ τοῦτο μετὰ ἡμερότητος. μὴ γὰρ δὴ παρακόψῃς τὰ ἑξῆς, ἀλλὰ καὶ τὰ μετὰ ταῦτα πρόσθες. καὶ γὰρ εἰπών, μὴ συναναμίγνυσθε, ἐπήγαγε, καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν. ὁρᾷς πῶς τὸ ἔργον μισεῖν τὸ φαῦλον, οὐ τὸν ἄνθρωπον ἐκέλευσε; καὶ γὰρ ἔργον τοῦ διαβόλου, τὸ διασπᾶν ἡμᾶς ἀπ' ἀλλήλων· καὶ σφόδρα ἐσπούδακεν ἀνελεῖν τὴν ἀγάπην, ἵνα ἐκκόψῃ τῆς διορθώσεως τὴν ὁδόν, καὶ κατάσχῃ ἐκεῖνον ἐν πλάνῃ, σὲ δὲ ἐν ἀπιστίᾳ τε καὶ ἀπεχθείᾳ, εἶθ' οὕτως ἀποτειχίσῃ τῆς ἐκείνου σωτηρίας τὴν ὁδόν. ὅταν γὰρ καὶ ὁ ἰατρὸς μισῇ τὸν κάμνοντα καὶ φεύγῃ, καὶ ὁ κάμνων τὸν ἰατρὸν ἀποστρέφηται, πότε ἀναστήσεται ὁ νοσῶν, ὅταν μήτε ἐκεῖνος αὐτὸν καλῇ, μήτε οὗτος πρὸς αὐτὸν ἀπίῃ; τίνος δὲ ἕνεκεν καὶ ἀποστρέφῃ καὶ φεύγεις αὐτόν; ὅτι ἀσεβής ἐστιν; οὐκοῦν διὰ τοῦτο δεῖ προσιέναι καὶ θεραπεύειν,

Ἐκ τῆς πρὸς Κορ. α΄. ἐπισ. ὁμιλ. λγ.

α. Θεσ. ε. ιδ.

β. Θεσ. γ. δ.

πεύειν, ἵνα ἀναστήσῃς τοσοῦτα. εἰ δὲ ἀνίατα νοσεῖ, ἀλλὰ σύ γε σαυτοῦ ποιεῖς ὃ ἐκελεύσθης· ἐπεὶ καὶ ὁ Ἰούδας ἀνίατα ἐνόσει, καὶ οὐ διέλιπεν αὐτὸν ὁ Θεὸς θεραπεύων. μὴ τοίνυν μηδὲ σὺ ἀποκάμῃς· κἂν γὰρ πολλὰ σπουδάσας μὴ ἀπαλλάξῃς τῆς ἀσεβείας αὐτόν, καὶ τοῦ ἀπαλλάξοντος λήψῃ τὸν μισθόν, καὶ παρασκευάσεις αὐτὸν θαυμάζειν σου τὴν ἡμερότητα· καὶ οὕτως εἰς τὸν Θεὸν ἡ δόξα ἅπασα αὕτη διαβήσεται. κἂν γὰρ θαύματα ποιῇς, κἂν νεκροὺς ἐγείρῃς, κἂν ὁτιοῦν ἐργάσῃ, οὐδέποτέ σε οὕτω θαυμάσονται Ἕλληνες, ὡς ὅταν ἴδωσι πρᾶον καὶ ἥμερον, καὶ γλυκὺν περιερχόμενον τρόπον. οὐ μικρὸν δὲ καὶ τοῦτο κατόρθωμα· πολλοὶ γὰρ καὶ τέλεον ἀπαλλαγήσονται τοῦ κακοῦ. οὐδὲν γὰρ οὕτως ἐπισπάσασθαι δύναται, ὡς ἀγάπη. ἐπ' ἐκείνοις μὲν γάρ σε καὶ ζηλοτυπήσουσι, τοῖς σημείοις, λέγω, καὶ τοῖς θαύμασιν· ἐπὶ τούτῳ δὲ καὶ θαυμάσονται καὶ φιλήσουσι· φιλοῦντες δέ, καὶ τῆς ἀληθείας ἐπιλήψονται ὁδῷ προβαίνοντες. εἰ δὲ οὐκ εὐθέως γένοιτο πιστός, μὴ θαύμαζε, μηδὲ ἐπείγου, μηδὲ ἅπαντα ὁμοῦ ζήτει, ἀλλ' ἔασον αὐτὸν τέως ἐπαινεῖν, φιλεῖν, καὶ εἰς τοῦτο ὁδῷ προϊὼν ἥξει. ἐπεὶ οὖν δημιουργὸς ἀρετῆς ἡ ἀγάπη, μετ' ἀκριβείας ἁπάσης ἐν ταῖς ἑαυτῶν καταφυτεύσωμεν αὐτὴν ψυχαῖς, ἵνα ἡμῖν πολλὰ κομίσῃ τὰ ἀγαθά, καὶ βρύοντα αὐτῆς διηνεκῶς τὸν καρπὸν ἔχωμεν, τὸν ἀεὶ τεθηλότα, καὶ οὐδέποτε μαραινόμενον. οὕτω γὰρ καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ πνεύματι δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΑΚΑΚΙΑΣ ΚΑΙ ΑΝΕΞΙΚΑΚΙΑΣ ΚΑΙ μνησικακίας.

Ἐκ τοῦ α. λόγ. εἰς τὸν Δαβίδ, καὶ Σαούλ. Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, Ἐὰν πεινᾷ ὁ ἐχθρός σου.

Τίνα δή ποτε ἕνεκεν εἰς μέσον ἀγαγεῖν χρὴ περὶ ἐπιεικείας ἡμᾶς διαλέγεσθαι βουλομένους, ἀγαπητοί, ἢ τὸν μαρτυρίαν ἄνωθεν δεξάμενον, καὶ ἐπὶ τούτῳ μάλιστα θαυμασθέντα; Εὗρον γάρ, φησι, Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου· ὃς οὐ μόνον ἐψώμιζε καὶ ἐπότιζε τοὺς ἐχθρούς, ἀλλὰ καὶ κινδυνεύοντας πολλάκις ἐξήρπαζε τοῦ θανάτου. ὁ μὲν γὰρ Σαοὺλ οὕτως αὐτὸν ἐμίσει καὶ ἀπεστρέφετο, μετὰ τὰς μυρίας εὐεργεσίας, μετὰ τὰ λαμπρὰ τρόπαια καὶ τὴν ἐπὶ τοῦ Γολιὰθ σωτηρίαν, ὡς μηδὲ τῆς προσηγορίας ἀνέχεσθαι τῆς ἐκείνου μεμνῆσθαι. ἑορτῆς γάρ ποτε ἐπιστάσης, ἐπειδὴ δόλον αὐτῷ πλέξας τινά, καὶ χαλεπὴν ἐπιβουλὴν ῥάψας, οὐκ εἶδε παραγινόμενον, Ποῦ ἐστί, φησιν, ὁ υἱὸς Ἰεσσαί; καὶ πονηρὰν οὐδεμίαν ἔχων εἰπεῖν, τὴν τοῦ γένους δυσγένειαν εἰς μέσον ἔφερε· ταύτῃ προσδοκῶν ἐπισκοτήσειν αὐτοῦ τὴν λαμπρότητα. ὁ δὲ εὑρὼν αὐτὸν ἔνδον ἐν τῷ σπηλαίῳ καθεύδοντα, οὐκ ἐκάλεσεν αὐτὸν υἱὸν Κίς, ἀλλὰ τῷ τῆς τιμῆς ὀνόματι· Οὐ γὰρ μὴ ἐπαγάγω τὴν χεῖρά μου, φησιν, ἐπὶ τὸν χριστὸν τοῦ Κυρίου. οὕτω καθαρὸς ἦν ὀργῆς καὶ μνησικακίας ἁπάσης. χριστὸν Κυρίου καλεῖ τὸν τοσαῦτα ἠδικηκότα, τὸν τοῦ αἵματος αὐτοῦ διψῶντα, τὸν μετὰ μυρίας εὐεργεσίας πολλάκις αὐτὸν ἐπιχειρήσαντα ἀνελεῖν. οὐ γὰρ ἐσκόπει τί παθεῖν ἐκεῖνος ἄξιος ἦν, ἀλλ' ἐσκόπει τί καὶ ποιῆσαι καὶ εἰπεῖν αὐτῷ πρέπον ἦν. τί τοῦτο; ὥσπερ ἐν δεσμωτηρίῳ λαβὼν τὸν ἐχθρὸν τριπλῷ κατεχόμενον δεσμῷ, καὶ τῇ τοῦ τόπου στενοχωρίᾳ, καὶ τῇ τῶν βοηθησόντων ἐρημίᾳ, καὶ τῇ τοῦ ὕπνου ἀνάγκῃ, οὐκ ἀπαιτεῖς δίκην οὐδὲ τιμωρίαν αὐτόν; ἀλλ' οὐ μὴ ἐπαγάγω τὴν χεῖρά μου, λέγεις, ἐπὶ τὸν χριστὸν Κυρίου; ναί, φησιν. οὐ γὰρ τί παθεῖν δίκαιός ἐστιν οὗτος ὁρῶ νῦν, ἀλλὰ τί ποιῆσαί μοι προσήκει. ὑμεῖς μὲν οὖν αὐτὸν ἴσως θαυμάζετε, ὅτι οὐδενὸς ἐμνήσθη τῶν παρελθόντων κακῶν· ἐγὼ δὲ δι' ἕτερον πολλῷ μεῖζον αὐτὸν ἐκπλήττομαι. ποῖον δὴ τοῦτο; ὅτι οὐδὲ ὁ φόβος

α. Βασ. κ. κζ.

α. Βασ. κϛ. ι.

αὐτοῖς τῶν μελλόντων ὤθησε πρὸς τὸ διαχειρίσασθαι τὸν ἐχθρόν (ᾔδει γὰρ σαφῶς, ὅτι διαφυγὼν αὐτοῦ τὰς χεῖρας, πάλιν κατ᾽ αὐτοῦ στήσεται) ἀλλ᾽ εἵλετο μᾶλλον αὐτὸς κινδυνεύειν ἀπολύσας τὸν ἠδικηκότα, ἢ τῆς καθ᾽ ἑαυτὸν ἀσφαλείας προνοῶν διαχειρίσασθαι τὸν πολέμιον. καὶ οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὐχ ὁ φόβος τῶν μελλόντων, οὐχ ἡ προτροπὴ τοῦ στρατηγοῦ, οὐχ ἡ ἐρημία τοῦ τόπου, οὐ τὸ τῆς σφαγῆς εὔκολον, οὐκ ἄλλο οὐδὲν ἀνήγειρεν αὐτὸν πρὸς τὸν φόνον· ἀλλ᾽ ὥσπερ εὐεργέτου τινός, καὶ τὰ μεγάλα αὐτὸν πεποιηκότος ἀγαθά, οὕτω τοῦ ἐχθροῦ καὶ λελυπηκότος ἐφείσατο, καὶ τὸ κράσπεδον ἀποκόψας τοῦ ἱματίου, καὶ τὸν φακὸν τοῦ ὕδατος ἀφελόμενος, ἀπελθὼν πόῤῥωθεν, καὶ στὰς ἐβόησε, καὶ τῷ διασωθέντι ταῦτα ὑπέδειξεν· οὐχὶ πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν ποιῶν, ἀλλὰ διὰ τῶν ἔργων αὐτὸν πεῖσαι βουλόμενος, ὅτι εἰκῇ καὶ μάτην ὑπώπτευεν αὐτὸν ὡς ἐχθρόν· καὶ διὰ τούτων αὐτὸν πρὸς φιλίαν ἐπισπάσασθαι σπουδάζων.

Ἐκ τοῦ α. λογ. εἰς τὸν Δαβὶδ καὶ τὸν Σαούλ.

Τὸ μὲν γὰρ ἁπλῶς ἐχθρὸν λυπήσαντα μὴ ἀμύνασθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ ἄνθρωπον εὐεργετηθέντα πολλὰς καὶ μεγάλας εὐεργεσίας, εἶτα ἀντὶ τῶν εὐεργεσιῶν ἐκείνων, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἀνελεῖν ἐπιχειρήσαντα τὸν εὐεργέτην, λαβόντα εἰς χεῖρας, καὶ κύριον γενόμενον ἀνελεῖν καὶ αὐτὸν ἀφεῖναι, καὶ τῆς ἑτέρων ἐπιβουλῆς ἐξαρπάσαι, καὶ ταῦτα πάλιν τοῖς αὐτοῖς ἐπιθήσεσθαι μέλλοντα, τίνα ἂν καταλίποι λοιπὸν φιλοσοφίας ὑπερβολήν; τίνα δὲ ἔχοιεν ἂν πονηρίας ὑπερβολὴν τὰ παρὰ τοῦ Σαοὺλ εἰς τὸν Δαβὶδ ἐνδεικνύμενα; ὅτι ἄρτι τῶν πολεμίων ἀπελαθέντων παρὰ τοῦ Δαβίδ, καὶ τῆς πόλεως ἑαυτὴν ἀνακτησαμένης, καὶ πάντων ἐπινίκια θυόντων, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ τῶν ἀγαθῶν ἐκείνων ἁπάντων αἴτιον ὁ Σαοὺλ ἀνελεῖν ἐπεχείρησε. καὶ οὐδὲ τῆς εὐεργεσίας ἡ ὑπόθεσις τὸν μεμηνότα καὶ παραπαίοντα κατέστελλεν ἐκεῖνον, ἀλλ᾽ ἅπαξ καὶ δὶς καὶ πολλάκις ἠκόντισε, βουλόμενος αὐτὸν ἀνελεῖν, καὶ τοιαύτας ἀντὶ τῶν κινδύνων ἐκείνων ἐδίδου τὰς ἀμοιβάς. Δαβὶδ γὰρ ἔψαλλε τῇ χειρὶ αὐτοῦ, φησί, καὶ τὸ δόρυ ἐν τῇ χειρὶ τοῦ Σαούλ, καὶ ἦρε Σαοὺλ τὸ δόρυ, καὶ εἶπεν· Εἰ παταξω ἐν Δαβίδ. καὶ ἐξέκλινε Δαβὶδ ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξε τὸ δόρυ ἐν τῷ τοίχῳ. τίνα οὐκ ἂν καὶ τῶν σφόδρα φιλοσοφεῖν ἐπισταμένων, εἰς θυμὸν ταῦτα ἐξενήνεγκεν; ἀλλ᾽ οὗτος ᾑρεῖτο φυγεῖν μᾶλλον, καὶ τῆς πατρῴας οἰκίας ἐκπεσεῖν, καὶ πλάνητης εἶναι καὶ δραπετεύειν, καὶ ταλαιπωρούμενος τὴν ἀναγκαίαν πορίζειν τροφήν, ἢ τῷ βασιλεῖ γενέσθαι σφαγῆς αἴτιος. οὐ γὰρ ὅπως ἑαυτὸν ἐκδικήσειεν, ἀλλ᾽ ὅπως ἐκεῖνον ἀπαλλάξῃ τοῦ πάθους ἐσκόπει· διὰ τοῦτο τῶν ὀφθαλμῶν ἑαυτὸν ὑπεξήγαγε τοῦ ἐχθροῦ, ὥστε ὑποσύραι τὸν ὄγκον, καὶ καταστεῖλαι τὴν φλεγμονήν, καὶ παραμυθήσασθαι τὴν βασκανίαν. βέλτιον γὰρ ἐμέ, φησί, ταλαιπωρεῖσθαι καὶ μυρία πάσχειν δεινά, ἢ τοῦτον ἀδίκου σφαγῆς παρὰ τῷ Θεῷ κρίνεσθαι. τί τοίνυν γένοιτ᾽ ἂν ἴσον τῆς γενναίας ἐκείνης καὶ ἀδαμαντίνης ψυχῆς, ὅτι πενίαν ἀντὶ πλούτου, καὶ ἐρημίαν ἀντὶ πατρίδος, καὶ πόνους καὶ κινδύνους ἀντὶ τρυφῆς καὶ ἀδείας εἵλετο, ἵνα τὸν ἐχθρὸν ἀπαλλάξῃ τῆς πρὸς αὐτὸν ἀπεχθείας; τίνα οὐκ ἂν ἔπεισε ταῦτα ἐκτεθηριωμένον καὶ ἄγριον καταθέσθαι τὴν ἔχθραν, καὶ ἀπαλλαγῆναι τῆς βασκανίας; ἀλλὰ τὸν ὠμὸν ἐκεῖνον καὶ ἀπάνθρωπον οὐδὲν τούτων ἔπεισε πρὸς φιλανθρωπίαν ἐπικαμφθῆναι, ἀλλ᾽ ἐδίωκε καὶ πανταχοῦ περιῄει ζητῶν τὸν ἠδικηκότα μὲν οὐδέν, ἀδικηθέντα δὲ τὰ ἔσχατα, καὶ μυρία αὐτὸν ἀντὶ τούτων ποιήσαντα ἀγαθά. καὶ οὐκ εἰδὼς εἰς αὐτὰ λοιπὸν τοῦ Δαβὶδ ἐμπίπτει τὰ δίκτυα. ἦν γὰρ ἐκεῖ σπήλαιον, φησί, καὶ εἰσῆλθε Σαοὺλ παρασκευάσασθαι· Δαβὶδ δὲ καὶ οἱ ἄνδρες αὐτοῦ ἐν τῷ ἐσωτέρῳ σπηλαίῳ ἐκάθηντο. καὶ εἶπον οἱ ἄνδρες Δαβὶδ πρὸς αὐτόν· ἰδοὺ ἡ ἡμέρα, καθὼς εἶπεν ὁ Κύριος, δίδωμι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ τὸ ἀρεστὸν ἐν ὀφθαλμοῖς σου. καὶ ἀνέστη Δαβίδ, καὶ ἀφείλετο τὸ πτερύγιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως. καὶ μετὰ ταῦτα ἐπάταξε τὸν Δαβὶδ ἡ καρδία αὐτοῦ, ὅτι ἀφείλετο τὸ πτερύγιον τῆς διπλοΐδος, καὶ εἶπε πρὸς τοὺς ἄνδρας αὐτοῦ· μηδαμῶς μοι παρὰ Κυ-

ρίου

ρίου ποιῆσαι τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου, τοῦ ἐπενεγκεῖν τὴν χεῖρά μου ἐπ᾽ αὐτόν, ὅτι χρι-
στὸς Κυρίου ἐστίν· ὡς ἂν εἰ ἔλεγεν· ἵλεώς μοι Κύριος, εἰ γὰρ καὶ αὐτὸς βουληθείην, μὴ συγ-
χωρῆσαί μοι τοῦτό ποτε ἐργάσασθαι, μηδὲ ἐπιτρέψειεν εἰς ταύτην ἐλθεῖν τὴν ἁμαρτίαν. τί
ταύτης γένοιτ᾽ ἂν τῆς ψυχῆς ἡμερώτερον; ἆρα ἄνθρωπον τοῦτον ἐροῦμεν τὸν ἐν ἀνθρωπίνῃ
5 φύσει ἀγγελικὴν πολιτείαν ἐπιδειξάμενον; ἀλλ᾽ οὐκ ἂν ἀνάσχοιντο οἱ θεῖοι νόμοι. τίς γὰρ ἄν,
εἰπέ μοι, ταχέως ἕλοιτο τοιαύτην εὐχὴν εὔξασθαι τῷ Θεῷ; καὶ τί λέγω εὔξασθαι; μὴ κα-
τεύξασθαι μὲν [οὖν] τοῦ λελυπηκότος, τίς ἂν ῥᾳδίως ὑπέμεινεν; εἶδες τοῦ Δαβὶδ τὰ δίκ-
τυα τεταμένα, καὶ τὸ θήραμα ἐναπειλημμένον, καὶ τὸν κυνηγέτην ἑστῶτα, καὶ πάντας ἐγκελευ-
ομένους βαπτίσαι τὸ ξίφος εἰς τὸ τοῦ πολεμίου στῆθος; θέα μοι λοιπὸν καὶ τὴν φιλοσοφίαν·
10 θέα μοι τὴν πάλην, τὴν νίκην, τὸν στέφανον. καὶ γὰρ στάδιον ἦν τὸ σπήλαιον ἐκεῖνο, καὶ πάλη
θαυμαστή τις ἐγίνετο καὶ παράδοξος. ἐπάλαιε μὲν γὰρ ὁ Δαβίδ, ἐπύκτευε δὲ ὁ θυμός, καὶ ἔπα-
θλον ὁ Σαοὺλ ἔκειτο, καὶ ἀγωνοθέτης ἦν ὁ Θεός. οὐ γὰρ πρὸς ἑαυτὸν μόνον καὶ τὴν ἐπιθυμίαν
τὴν ἑαυτοῦ ἦν αὐτῷ ὁ πόλεμος, ἀλλὰ καὶ πρὸς τοὺς παρόντας στρατιώτας. εἰ γὰρ καὶ φιλοσο-
φεῖν ἤθελε, καὶ φείσασθαι τοῦ λελυπηκότος, εἰκὸς ἦν καὶ δεδοικέναι αὐτὸν ἐκείνους, μήποτε καὶ
15 συγκόψωσιν αὐτὸν ἐν τῷ σπηλαίῳ, ἅτε λυμεῶνα καὶ προδότην αὐτὸν ὄντα τῆς αὐτῶν σωτη-
ρίας, καὶ τὸν κοινὸν ἐχθρὸν αὐτῶν διασώζοντα. καὶ γὰρ εἰκὸς ἦν ταῦτα αὐτοὺς δυσχεραίνον-
τας λέγειν· πλανῆται καὶ φυγάδες ἐγενόμεθα ἡμεῖς, καὶ οἰκίας καὶ πατρίδος καὶ τῶν ἄλλων ἁ-
πάντων ἐξεπέσομεν, καὶ τῶν δυσχερῶν σοι πάντων ἐκοινωνήσαμεν· καὶ σὺ τῶν κακῶν τούτων
τὸν αἴτιον εἰς χεῖρας λαβὼν ἀφεῖναι διανοῇ, ἵνα μηδέποτε τῶν κακῶν τούτων ἡμεῖς ἀναπνεύ-
20 σωμεν; καὶ σπουδάζων τὸν ἐχθρὸν διασῶσαι προδίδως τοὺς φίλους; καὶ ποῦ ταῦτα δίκαια; εἰ
γὰρ τῆς ἑαυτοῦ καταφρονεῖς σωτηρίας, ἀλλὰ τῆς ἡμετέρας φεῖσαι ψυχῆς. οὐ λυπεῖ σε τὰ πα-
ρελθόντα, οὐδὲ μέμνησαι τῶν κακῶν, ὧν ἔπαθες παρ᾽ αὐτοῦ; κἂν διὰ τὰ μέλλοντα ἄνελε,
ἵνα μὴ μείζονα καὶ χαλεπώτερα ὑποστῶμεν κακά. ἀλλ᾽ οὐδὲν τούτων ὁ δίκαιος ἐκεῖνος
ὑπελογίζετο. ἀλλ᾽ εἰς ἓν ἔβλεπε μόνον, ὅπως τὸν τῆς ἀνεξικακίας ἀναδήσασθαι δυνήσε-
25 ται στέφανον. οὐδὲ γὰρ ἦν οὕτω θαυμαστόν, εἰ μόνος ὢν καὶ καθ᾽ ἑαυτὸν ἐφείσατο τοῦ λελυπη-
κότος, ὡς νῦν παράδοξόν ἐστιν, ὅτι παρόντων ἑτέρων αὐτὸ τοῦτο ἐποίησε· καὶ ἑταίρων οὐκ ἐπιει-
κῶν ἀνθρώπων καὶ μετρίων, ἀλλὰ στρατιωτῶν καὶ πολεμεῖν μεμαθηκότων, καὶ τοῖς πολλοῖς ἀ-
πειρηκότων πόνοις, καὶ μικρὸν ἀναπνεῦσαι ἐπιθυμούντων, καὶ εἰδότων ὅτι τῶν κακῶν ἡ λύσις
πᾶσα ἐν τῇ τοῦ πολεμίου σφαγῇ τότε ἔκειτο. οὐ μόνον δὲ λύσις κακῶν, ἀλλὰ καὶ μυρίων κτῆ-
30 σις ἀγαθῶν. οὐδὲν γὰρ ἐκώλυεν, ἐκείνου σφαγέντος, ἐπὶ τούτῳ εὐθὺς διαβῆναι τὴν βασι-
λείαν. ἀλλ᾽ ὅμως τοσούτων ὄντων τῶν προξενούντων, ἴσχυσεν ὁ γενναῖος ἐκεῖνος πάντων περι-
γενέσθαι τούτων, καὶ πεῖσαι φείσασθαι τοῦ πολεμίου. μέγα μὲν οὖν τὸ καὶ αὐτόν τινα τῶν οἰκείων
περιγενέσθαι παθῶν· πολὺ δὲ μεῖζον, τὸ καὶ ἑτέρους δυνηθῆναι πεῖσαι τὴν αὐτὴν αὐτῷ κτή-
σασθαι γνώμην. Καίτοι πολλοὶ τῶν ἐχθρῶν καὶ τῶν δοκούντων φιλοσοφεῖν, κἂν αὐτοὶ μὴ
35 καταδέξωνται τοὺς ἐχθροὺς ἀνελεῖν, ὑφ᾽ ἑτέρων ἀναιρεῖσθαι μέλλοντας οὐκ ἂν ἕλοιντο κωλῦσαι.
ὁ δὲ Δαβὶδ οὐχ οὕτως· ἀλλ᾽ ὥσπερ τινὰ παρακαταθήκην λαβών, καὶ μέλλων αὐτῆς εὐθύνας
διδόναι, οὕτως οὐ μόνον αὐτὸς οὐχ ἥψατο τοῦ πολεμίου, ἀλλὰ καὶ τοὺς ἑταίρους αὐτοῦ βουλομέ-
νους ἀνελεῖν ἐκώλυσε, σωματοφύλαξ ἀντὶ πολεμίου γενόμενος, καὶ δορυφόρος ἄριστος. ὥστε
οὐκ ἄν τις ἁμάρτοι τὸν Δαβὶδ μᾶλλον κινδύνῳ τότε περιπεπτωκέναι εἰπών, ἢ τὸν Σαούλ.
40 οὐ γὰρ τὸν τυχόντα ἀγῶνα ὑπέμεινε, παντὶ τρόπῳ σπουδάζων αὐτὸν ἐξελέσθαι τῆς ἐπι-
βουλῆς τῆς παρ᾽ ἐκείνων. οὐδὲ οὕτως ἐδεδοίκει μέλλων αὐτὸς ἀποσφάττεσθαι, ὡς ἐδεδοίκει μήποτε τῶν
στρατιωτῶν τις ἐνδοὺς τῷ θυμῷ διαφθείρῃ τὸν ἄνθρωπον. διὰ τοῦτο καὶ δικαιολογίαν τοιαύτην συνέ-
θηκε, καὶ κατηγόρουν μὲν ἐκεῖνοι, κατηγορεῖτο δὲ ὁ καθεύδων, ἀπελογεῖτο δὲ ὁ πολέμιος, ἐδίκαζε
δὲ ὁ Θεός, καὶ τὴν τοῦ Δαβὶδ ψῆφον ἐκύρωσεν. οὐ γὰρ ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς ἴσχυσεν ἂν τῶν

Ἐκ τῆς β. λόγ. τῶν εἰς τὸν Δαβὶδ, καὶ τὸν Σαούλ.

μαινομένων ἐκείνων περιγενέσθαι· ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ἦν, ἡ τοῖς χείλεσιν ἐγκαθημένη
τούτου, καὶ πειθώ τινα διδοῦσα τοῖς ῥήμασιν ἐκείνοις. [ἆρα οὐχὶ καὶ] ἐντεῦθεν μάλιστα ἄν τις
αὐτὸν θαυμάσειε τῆς μεγαλοψυχίας, ὅτι τὸν ἐχθρὸν εἰς χεῖρας λαβὼν καθεύδοντα καὶ ἀκίνητον
μένοντα, καὶ οὐδὲν δυνάμενον ἐργάσασθαι, οὐ μόνον αὐτὸς οὐκ ἀνεῖλεν, ἀλλὰ καὶ τοὺς ἑταίρους
βουλομένους ἐκώλυσεν; ἄρα πῶς ἦν εἰκὸς αὐτοὺς προσέχειν ἐκείνῳ λοιπὸν, μεθ' ὅσης εὐ- 5
νοίας διακεῖσθαι πρὸς αὐτόν; εἰ γὰρ μυρίας ψυχὰς εἶχον λοιπὸν, οὐκ ἂν ἑτοίμως ἁπά-
σας ἐπέδωκαν ὑπὲρ τοῦ στρατηγοῦ, ἔργῳ μαθόντες ἐν τῇ πολεμίου κηδεμονίᾳ τὴν περὶ τοὺς
οἰκείους εὔνοιαν; ὁ γὰρ περὶ τὸν λελυπηκότα πρᾶος καὶ ἥμερος ὢν, οὐ πολλῷ μᾶλλον περὶ
τοὺς εὐνοϊκῶς διακειμένους οὕτως ἔμελλε διακεῖσθαι; ἆρ' οὐκ ἄν τις εὐκαίρως ἐντεῦθεν ἀποδεί-
ξειεν, ὅτι μεῖζον ἔστησε τρόπαιον φεισάμενος τοῦ Σαοὺλ ὁ Δαβὶδ, ἢ ὅτε τὸν Γολιὰθ κατήνεγκε, καὶ 10
τὴν τοῦ βαρβάρου κεφαλὴν ἀπέτεμε; καὶ γὰρ αὕτη λαμπροτέρα ἐκείνης ἡ νίκη, καὶ τὸ
τρόπαιον ἐνδοξότερον. ἐκεῖ μὲν γὰρ καὶ σφενδόνης ἐδεήθη καὶ λίθων, καὶ παρατάξεως· ἐνταῦ-
θα δὲ πάντα ὁ λογισμὸς ἐγίνετο, καὶ χωρὶς ὅπλων ἡ νίκη κατώρθωτο, καὶ ἀναιμωτὶ τὸ τρόπαιον
ἵστατο. ἐπεὶ οὖν τὴν καλὴν ταύτην καὶ θαυμαστὴν νίκην ἐνίκησεν, ἀνέστη λοιπὸν τοῦ ὕπνου
ἡ τῶν ἀγώνων ὑπόθεσις ὁ Σαοὺλ, καὶ ἐξῆλθεν ἀπὸ τοῦ σπηλαίου, τῶν εἰς αὐτὸν γεγενημένων 15
εἰδὼς οὐδέν. ἐξῄει δὲ καὶ ὁ Δαβὶδ ὄπισθεν, ἐλευθέροις λοιπὸν ὀφθαλμοῖς πρὸς τὸν οὐρα-
νὸν βλέπων· ἐξῄει, οὐ κεφαλὴν βαστάζων βαρβάρου, ἀλλὰ θυμὸν νενεκρωμένον, καὶ ὀργὴν
ἐκνευρισμένην, καὶ τῷ πολεμίῳ μυρία τραύματα δούς· καὶ τὸν μὲν Σαοὺλ διασώσας, τὸν
δὲ ἀληθῶς ἐχθρὸν, τὸν διάβολον, πολλαῖς κατακεντήσας πληγαῖς· ἐξῄει τὴν δεξιὰν μετὰ τῆς
κεφαλῆς ἐστεφανωμένην ἔχων· δεξιὰν ἐκείνην, ἣ τὸ ξίφος ἴσχυσε καθαρὸν ἐξενεγκεῖν, καὶ 20
ἀναίμακτον τῷ Θεῷ δεῖξαι τὴν μάχαιραν, καὶ πρὸς τοσαύτην ἀντιστῆναι θυμοῦ ῥύμην·
ἐξῄει μετὰ τοσαύτης περιφανείας, μεθ' ὅσης οἱ τρεῖς παῖδες ἀπὸ τῆς καμίνου. καθάπερ γὰρ
ἐκείνους οὐ κατέκαυσε τὸ πῦρ, οὕτω καὶ τοῦτον ἡ πυρὰ τῆς ὀργῆς οὐκ ἐνεπύρησε. κἀκείνοις μὲν τὸ
πῦρ ἔξωθεν ὁμιλοῦν, οὐδὲν ἐποίησεν· οὗτος δὲ ἔνδοθεν ἔχων τοὺς ἄνθρακας καιομένους, καὶ τὸν
διάβολον ἔξωθεν τὴν κάμινον ὑποκαίοντα, ἀπὸ τῆς ὄψεως τοῦ ἐχθροῦ, ἀπὸ τῆς παραινέ- 25
σεως τῶν στρατιωτῶν, ἀπὸ τῆς εὐκολίας τῆς κατὰ τὴν σφαγὴν, ἀπὸ τῆς ἐρημίας τῶν βοη-
θούντων, ἀπὸ τῆς μνήμης τῶν παρελθόντων κακῶν, ἀπὸ τῆς τῶν μελλόντων ἀγωνίας (καὶ γὰρ
τοῦτο κληματίδος καὶ πίσσης καὶ στυππίου, καὶ πάντων τῶν τὴν Βαβυλωνίαν ἀναπτόντων κάμι-
νον λαμπροτέραν ἀνῆπτε τὴν φλόγα) οὐκ ἐνεπρήσθη, οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν·
ἀλλ' ἐξῆλθε καθαρὸς καὶ ἀνέπαφος. Ἐξελθὼν τοίνυν ὁ Δαβὶδ ὄπισθεν τοῦ Σαοὺλ, ἐβόησε 30
λέγων, Κύριέ μου βασιλεῦ. καὶ ἀνέβλεψε Σαοὺλ ὀπίσω αὐτοῦ, καὶ ἔκυψε Δαβὶδ ἐπὶ πρό-
σωπον αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ. ἆρά γε ταῦτα τοῦ σῶσαι τὸν ἐχθρὸν ἐλάττονα φέρει τὸν ἔ-
παινον; ὅτι αὐτὸς σώσας αὐτὸς προσκυνεῖ τὸν σωθέντα, καὶ βασιλέα καλεῖ, καὶ δοῦλον ἑαυτὸν
ὀνομάζει, καὶ πάντα ποιεῖ, ὥστε ἐκείνου καταστεῖλαι τὸ [φρόνημά τε καὶ] φύσημα, καὶ τὸν θυμὸν
παραμυθήσασθαι, καὶ τὴν βασκανίαν ἀνελεῖν; ἀλλ' ἀκούσωμεν καὶ τῆς ἀπολογίας αὐτῆς. 35
Ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λέγοντος, ἰδοὺ Δαβὶδ ζητεῖ τὴν ψυχήν σου; ἰδοὺ ἑωρά-
κασιν οἱ ὀφθαλμοί σου σήμερον, ὡς παρέδωκέ σε Κύριος εἰς τὰς χεῖράς μου ἐν τῷ σπηλαίῳ,
καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί σε, καὶ ἐφεισάμην σου, καὶ εἶπον, οὐκ ἐποίσω τὴν χεῖρά
μου ἐπὶ τὸν κύριόν μου, ὅτι χριστὸς Κυρίου ἐστί· καὶ ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος σου ἐν τῇ
χειρί μου, ὃ ἐγὼ ἀφεῖλον, καὶ οὐκ ἀπέκτεινά σε. οὐ γὰρ ἂν, εἰ μὴ πλησίον ἐγενόμην, φησὶ, 40
καὶ τοῦ σώματος ἐγγὺς ἕστηκα τοῦ σοῦ, τὸ μέρος ἂν ἔκοψα τοῦ ἱματίου. καὶ γὰρ εἰ μὴ ἔκοψεν,
οὐδαμόθεν ἑτέρωθεν εἶχε πιστώσασθαι τὸν ἐχθρόν. πῶς γὰρ ὁ μετὰ τοσαύτας εὐεργεσίας πολε-
μούμενος τῷ μηδὲν ἠδικηκότι, ἐδύνατο ὑποπτεῦσαι, ὅτι ἀδικηθεὶς ἕτερος τὸν ἀδικήσαντα λαβὼν
εἰς χεῖρας ἐφείσατο; νυνὶ δὲ ἀναμφισβήτητον ἀπόδειξιν τῆς αὐτοῦ προνοίας παρέχετο, καὶ
αὐτὸν

κ. τὸν ο… ἰδ

χ. ἀπὸ…

χ. …ρη

α. Βασ. κδ. θ.

αὐτὸν τὸν ἐχθρὸν, καὶ δικαστὴν καὶ μάρτυρα καλεῖ τῆς οἰκείας κηδεμονίας, οὑτωσὶ λέγων·
γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου ἀθέτησις· καὶ σὺ δεσμεύεις τὴν ψυχήν
μου τοῦ λαβεῖν αὐτήν. οὕτως ἦν ἄτυφος καὶ κενοδοξίας καθαρὸς ἁπάσης, καὶ πρὸς ἓν ἔ-
βλεπε μόνον, τὴν τοῦ Θεοῦ ψῆφον. φησὶ γὰρ, Κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. τοῦτο δὲ — α. Βασ. κδ. ιε.
5 εἶπεν, οὐχὶ κολακεῦσαι βουλόμενος τὸν ἄνδρα, οὐδὲ τιμωρίαν παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ
φοβῆσαι τῇ μνήμῃ τῆς μελλούσης κρίσεως· ὅτι οὐκ ἂν ἐτόλμησε καλέσαι τὸν ἀπαραλόγι-
στον δικαστὴν, καὶ ἐπ' αὐτοῦ τὴν δίκην εἰσαγαγεῖν, εἰ μὴ σφόδρα ἦν πεπεικὼς ἑαυτὸν, ὅτι
πάσης ἐπιβουλῆς ἦν καθαρὸς καὶ ἀμέτοχος. τίς οὐκ ἂν ἐκπλαγείη, τίς οὐκ ἂν θαυμάσειε
τὴν γενναίαν ἐκείνην καὶ ἀδαμαντίνην ψυχὴν [τοῦ Δαβίδ;] ὅτι πολλὰς καὶ μεγάλας εὐ-
10 εργεσίας ἔχων ἀπαριθμεῖν τῷ Σαούλ· καὶ γὰρ ἐδύνατο, εἴπερ ἐβούλετο, εἰπεῖν, ὅτι τοῦ βαρ-
βαρικοῦ πολέμου καθάπερ κατακλυσμοῦ τινος ἅπασαν μέλλοντος περισύρειν τὴν πόλιν,
καταπεπληγότων ὑμῶν καὶ δεδοικότων, καὶ καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκώντων,
ἐγὼ παρελθὼν, οὐδενὸς ἀναγκάσαντος, ἀλλὰ καὶ σοῦ κωλύοντος καὶ κατέχοντος, οὐκ ἠνεσχόμην,
ἀλλὰ πρὸ τῶν ἄλλων ἁπάντων ἐπήδησα, καὶ τὸν πολέμιον ἐδεξάμην, καὶ τὴν κεφαλὴν
15 ἀπέτεμον· καὶ ὥσπερ τινὰ χειμάῤῥου ῥύμην ἀνέστειλα τὴν ἔφοδον τῶν βαρβάρων ἐκείνων,
καὶ τὴν πόλιν σειομένην ἔστησα· καὶ δι' ἐμὲ σὺ μὲν τὴν βασιλείαν καὶ τὴν ψυχὴν, οἱ δὲ λοιποὶ
πάντες μετὰ τῆς ψυχῆς, τὴν πόλιν καὶ τὰς οἰκίας, τὰ παιδία καὶ τὰ γύναια ἔχουσι· καὶ μετ'
ἐκεῖνο δὲ πάλιν ἑτέρους, οὓς κατώρθωσε πολέμους, οὐκ ἐλάττους ἐκείνου· καὶ ὅτι ἅπαξ καὶ δὶς καὶ
πολλάκις ἐπιχειρήσαντος ἀνελεῖν, καὶ τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀφέντος οὐκ ἐμνησικά-
20 κησε, καὶ ἕτερα πολλῷ πλείονα τούτων καὶ μείζονα. ἀλλ' οὐδὲν τούτων εἶπεν, ἀλλ' ἀπὸ τῶν
κατ' ἐκείνην τὴν ἡμέραν συμβάντων, τὴν ἀπολογίαν ποιεῖται μόνον, οὕτως εἰπών· γνῶθι
καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου κακία, οὐδὲ ἀθέτησις· καὶ σὺ δεσμεύεις τὴν ψυ-
χήν μου τοῦ λαβεῖν αὐτήν. τίνα οὐκ ἂν τὰ τοιαῦτα κατακλάσειε ῥήματα; ὅτι οὐχὶ ὀνειδίσαι
αὐτῷ τὰς εὐεργεσίας ἐβούλετο, ἀλλὰ πεῖσαι μόνον, ὅτι τῶν φιλούντων καὶ κηδομένων, οὐχὶ τῶν
25 ἐπιβουλευόντων καὶ πολεμούντων ἐστί. Καὶ σὺ τοίνυν ὅταν εἰς χεῖρας τὸν ἐχθρὸν λάβῃς — Επ. τῶν ϛ. λεγ. τῶν κατὰ τὸν Δαβίδ, καὶ τὸν Σαούλ.
τὸν σὸν, μὴ τοῦτο σκόπει, ὅπως αὐτὸν ἀμυνόμενος καὶ μυρίαις πλύνων λοιδορίαις ἐκπέμ-
ψῃς, ἀλλ' ὅπως αὐτὸν θεραπεύσῃς, ὅπως αὐτὸν ἐπαναγάγῃς πρὸς ἐπιείκειαν, καὶ μὴ πρό-
τερον ἀποστῇς πάντα ποιῶν καὶ λέγων, ἕως ἂν περιγένῃ τῇ πραότητι τῆς ἐκείνου ὠμότητος.
ὅπερ οὖν καὶ ὁ Δαβὶδ ἐποίησεν, ὁρῶν τὸν πολέμιον κατὰ τῆς αὐτοῦ σωτηρίας ὁπλιζόμενον, καὶ
30 πάντα διὰ τοῦτο κινοῦντα, οὐ μόνον οὐκ ἠγρίανεν, ἀλλὰ καὶ εἰς πλείονα ἦλθε συμπάθειαν·
καὶ ὅσῳ μείζονα ἐπεβούλευσε, τοσούτῳ μᾶλλον αὐτὸν ἐδάκρυε, καὶ οὐ πρότερον ἀπέστη πάντα
ποιῶν, ἕως καὶ αὐτὸν ἀπολογήσασθαι παρεσκεύασε μετὰ δακρύων καὶ θρήνων. ἐπειδὴ γὰρ
ἤκουσεν εἰπόντος αὐτοῦ, Κύριέ μου βασιλεῦ, οὐκ ἤνεγκεν ἀδακρυτὶ ταύτην ἀκούειν τὴν
φωνὴν ὁ Σαούλ, ἀλλ' ἀνῴμωξε καὶ πικρὰν ἀφῆκε φωνὴν, καὶ μέγα ἀνωλόλυξε καὶ εἶ-
35 πε· Δίκαιος σὺ ὑπὲρ ἐμέ· ὅτι σὺ μὲν ἀνταπέδωκας ἐμοὶ ἀγαθὰ, ἀντὶ τῆς ἐπιβουλῆς, ἀν- — α. Βασ. κδ. ιη.
τὶ τῆς σφαγῆς, ἀντὶ τῶν μυρίων κακῶν ἐκείνων· ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά· καὶ οὐδὲ
οὕτως ἐγενόμην βελτίων, ἀλλὰ μετὰ τὰς εὐεργεσίας ἐκείνας ἐπέμεινα τῇ πονηρίᾳ· καὶ οὐδὲ
οὕτω μετέβαλον, ἀλλὰ διέμεινας τὸν σαυτοῦ τηρῶν τρόπον, καὶ πάλιν ἡμᾶς ἐπιβουλεύοντας
εὐεργετῶν, καὶ ἀπήγγειλάς μοι σήμερον, ἃ ἐποίησάς μοι ἀγαθά· ὡς ἀπέκλεισέ με Κύριος εἰς
40 τὰς χεῖράς σου, καὶ οὐκ ἀπέκτεινάς με. τί τοῦ Δαβὶδ γένοιτ' ἂν μακαριώτερον, ὃς ἐν βρα-
χείᾳ καιροῦ ῥοπῇ οὕτω τὸν ἐχθρὸν μετεῤῥύθμισε, καὶ ψυχὴν αἵματος καὶ σφαγῆς διψῶσαν λα-
βὼν, εἰς θρήνους ἐνέβαλεν ἀθρόον καὶ ὀλολυγμούς; οὐχ οὕτω τὸν Μωϋσέα θαυμάζω, ὅτι
ἀπὸ πέτρας ἀκροτόμου ὑδάτων πηγὰς ἐξήγαγεν, ὡς θαυμάζω τοῦτον, ὅτι ἐξ ὀφθαλμῶν τοι-
ούτων πηγὰς δακρύων κατήγαγεν. ἐκεῖνος μὲν γὰρ τὴν φύσιν ἐνίκησεν· οὗτος δὲ τῆς

προαιρέσεως περιεγένετο. ἐκεῖνος ἐπάταξεν ἐν τῇ ῥάβδῳ τὸν λίθον· οὗτος ἔκρουσε τῷ λό-
γῳ τὴν καρδίαν, οὐχ ἵνα λυπήσῃ, ἀλλ' ἵνα καθαρὰν ἐργάσηται καὶ προσηνῆ. ὅσον οὖν αὐ-
τὸν ἐπαινῶ διὰ τὴν οἰκείαν πραότητα, μειζόνως αὐτὸν θαυμάζω διὰ τὴν τοῦ Σαὺλ μεταβο-
λήν. τοῦ γὰρ τῶν οἰκείων κρατῆσαι παθῶν πολὺ πλέον ἐστὶ, τὸ καὶ τῆς ἑτέρων περιγενέσθαι
μανίας, καὶ φλεγμαίνουσαν καταστεῖλαι καρδίαν, καὶ τοσαύτην γαλήνην ἀπὸ τοσαύτης ἐρ-
γάσασθαι ζάλης, καὶ ὀφθαλμοὺς φόνον βλέποντας, δακρύων ἐμπλῆσαι θερμῶν. καὶ τοῦτο ἐστὶν
ὃ πολλῆς ἐκπλήξεως γέμει καὶ θαύματος. καὶ γὰρ εἰ μὲν τῶν ἐπιεικῶν καὶ μετρίων ἀνθρώ-
πων ἦν ὁ Σαὺλ, οὐ μέγα ἦν σφόδρα ἐπαναγαγεῖν αὐτὸν πρὸς τὴν οἰκείαν ἀρετήν. τὸν δὲ
ἐκτεθηριωμένον καὶ πρὸς ἐσχάτην κακίαν ἐξοκείλαντα, καὶ πρὸς σφαγὴν ἐπειγόμενον ἐν
βραχείᾳ καιροῦ ῥοπῇ παρασκευάσαι πᾶσαν τὴν πικρίαν ἐμέσαι ἐκείνην, τίνα οὐκ ἂν ἀπο-
κρύψειε τῶν πώποτε ἐπὶ διδασκαλίᾳ φιλοσοφίας βεβοημένων; ἐπαίνου μὲν γὰρ ἄξιον καὶ
μεγίστου θαύματος, καὶ τὸ μὴ βαπτίσαι τὸ ξίφος, μηδὲ ἀποτεμεῖν τὴν πολεμίαν ἐκείνην
κεφαλήν· τὸ δὲ καὶ αὐτὴν αὐτοῦ μεταβαλεῖν τὴν προαίρεσιν καὶ βελτίω ποιῆσαι, καὶ πρὸς
τὴν οἰκείαν αὐτὸν ἐπιείκειαν μεταγαγεῖν, τίνα ἂν ἔχοι λοιπὸν φιλοσοφίας ὑπερβολήν;
ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐ μόνον τὰς πρὸς τοὺς ἐχθροὺς ὁμιλίας ἀπείργουσιν ἑαυτοὺς,
ἀλλ' οὐδὲ τὴν ὄψιν ἰδεῖν ἀνέχονται τὴν ἐκείνων, οὐδὲ τῆς φωνῆς ἀκοῦσαι. ὁ δὲ Δαβὶδ οὐχ
οὕτως· ἀλλὰ καὶ τὸν ἐχθρὸν ἔσωσε, καὶ προτέρους ἐτίμησε προσειπών, κύριέ μου βασιλεῦ.
καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ πεσὼν ἐπὶ πρόσωπον αὐτοῦ, προσεκύνησεν αὐτόν· καὶ τιμηθεὶς
ἐν τῷ εἰπεῖν ἐκεῖνον, τέκνον Δαβὶδ, πάλιν μειζόνως αὐτὸν ἐτίμησεν εἰπών· δοῦλός σου, κύριέ
μου βασιλεῦ. τίς ἂν ἔχοι μείζονα ταύτης ἀνεξικακίαν εἰπεῖν; ἐκεῖνος μέχρι τῆς ψυχῆς αὐ-
τῆς εὐεργετηθεὶς εἰς συγγένειαν τὸν εὐεργέτην ἤγαγεν· οὗτος εὐεργετήσας δεσπότην τὸν εὐεργε-
τηθέντα ὠνόμασε. τέκνον με, φησὶν, ἐκάλεσεν, ἐγὼ δὲ ἀγαπῶ καὶ στέργω, ἐὰν δοῦλόν με ἔ-
χῃς, μόνον μετὰ τοῦ ἀποθέσθαι τὴν ὀργὴν, μόνον μετὰ τοῦ μηδὲν ὑποπτεύειν περὶ ἐμὲ πονηρὸν,
καὶ μὴ νομίζειν ἐπίβουλον εἶναι καὶ πολέμιον. καὶ ὅρα ὅσον τὸ κέρδος εἰργάσατο. ἐπειδὴ
γὰρ εἶπε τοῦτο, οὐκ ἤνεγκεν ἐκεῖνος ἀδακρυτὶ λοιπὸν ταύτην ἀκούειν τὴν φωνὴν, ἀλλ'
ὠλόλυξε πικρὸν· τὴν ὑγίειαν τὴν ἐν τῇ ψυχῇ, καὶ τὴν φιλοσοφίαν, ἣν ὁ Δαβὶδ ἐνέθηκε,
διὰ τῶν δακρύων δηλῶν. πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιος ὁ Δαβὶδ, ὅτι οὕτω τῇ ἑαυτοῦ
πραότητι καὶ ἐπιεικείᾳ τοῦ Σαοὺλ περιεγένετο, ὡς καὶ τῆς οἰκείας αὐτὸν πεῖσαι καταγνῶ-
ναι ὠμότητος, καὶ τὴν ἐκείνου ἀνυμνεῖν ἀρετήν; εἰ γάρ τις εὕροι τὸν ἐχθρὸν αὐτοῦ, φησὶν, ἐν
θλίψει, καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ Κύριος ἀνταποδῴη αὐτῷ ἀγαθὰ, καθὼς
πεποίηκας σὺ μετ' ἐμοῦ σήμερον· καὶ ἰδοὺ ἐγὼ γινώσκω ὅτι βασιλεύων βασιλεύσεις, καὶ στή-
σεται ἡ βασιλεία Ἰσραὴλ ἐν τῇ χειρί σου. καὶ νῦν ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ ἐξολο-
θρεύσῃς τὸ σπέρμα μου ὀπίσω μου, καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου. καὶ
πόθεν ἔγνως, εἰπέ μοι, τοῦτο; παρὰ σοὶ τὰ στρατόπεδα· παρὰ σοὶ τὰ χρήματα, τὰ ὅπλα,
αἱ πόλεις, οἱ ἵπποι, οἱ στρατιῶται, ἅπασα τῆς βασιλικῆς παρασκευῆς ἡ δύναμις· οὗτος δὲ
ἔρημος καὶ γυμνὸς, ἄπολις, ἄοικος, ἀνέστιος. πόθεν οὖν ταῦτα λέγεις, εἰπέ μοι; ἀπ' αὐ-
τοῦ μὲν τοῦ τρόπου. οὐ γὰρ ἂν ὁ γυμνὸς, καὶ ἄπολις, καὶ ἔρημος, ἐμοῦ τοῦ καθωπλισμένου καὶ τοσαύ-
την περιβεβλημένου δύναμιν περιεγένετο, εἰ μὴ τὸν Θεὸν εἶχε μεθ' ἑαυτοῦ· ὁ δὲ τὸν Θεὸν ἔ-
χων μεθ' ἑαυτοῦ πάντων ἐστὶν ἰσχυρότερος. εἶδες οἷα φιλοσοφεῖ μετὰ τὴν ἐπιβουλὴν ὁ Σα-
οὺλ; εἶδες πῶς δυνατὸν ἅπασαν ἀποπλῦσαι πονηρίαν καὶ μεταβαλέσθαι καὶ πρὸς τὸ βέλ-
τιον ἐπιμεληθῆναι; ἆρα πόσων ἂν εἴη στεφάνων ἄξιος καθ' ἕκαστον τῶν ῥημάτων τούτων ὁ Δα-
βίδ; εἰ γὰρ καὶ τὸ στόμα αὐτοῦ ἐφθέγγετο τοῦ Σαὺλ, ἀλλ' ἡ τοῦ Δαβὶδ σοφία εἰς τὴν ἐ-
κείνου ταῦτα ψυχὴν κατεφύτευσε. φησὶ γοῦν ἐκεῖνος, ὄμοσόν μοι κατὰ τοῦ Κυρίου, ἵνα μὴ
ἐξολοθρεύσῃς τὸ σπέρμα μου ὀπίσω μου, καὶ μὴ ἀφανίσῃς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πα-
τρός

γ. αὐτὸ

πατρός μου. δέησιν ὁ βασιλεὺς τῷ ἰδιώτῃ προσάγει λοιπόν· καὶ ἱκετηρίαν τίθησιν ὁ τὸ διάδημα περικείμενος, ὑπὲρ τῶν παίδων τῶν ἑαυτοῦ παρακαλῶν τὸν φυγάδα, καὶ ὅρκον ἀπαιτεῖ οὐκ ἀπιστῶν τῷ τρόπῳ, ἀλλὰ ἐννοῶν ὅσα εἰς αὐτὸν εἰργάσατο κακά. ὄμοσόν μοι μὴ ἀφανίσῃς τὸ σπέρμα μου ὀπίσω μου. ἐπὶ τὸν πολέμιον καταλιμπάνει τῶν ἑαυτοῦ παίδων, καὶ ταῖς ἐκείνου χερσὶν ἐντίθησι τὰ ἔγγονα· μονονουχὶ τῆς δεξιᾶς αὐτὸν λαβόμενος διὰ τῶν ῥημάτων αὐτῶν, καὶ τὸν Θεὸν μεσίτην εἰσάγων. τί οὖν ὁ Δαβίδ; ἆρα κἂν μικρὸν εἰρωνεύσατο πρὸς ταῦτα; οὐδαμῶς· ἀλλ' εὐθέως ἐπένευσε, καὶ τὴν χάριν ἔδωκε, καὶ τελευτήσαντος τοῦ Σαοὺλ, οὐ μόνον οὐκ ἀπέκτεινεν, ἀλλὰ καὶ πλέον ὧν ὡμολόγησε τότε παρέσχε. τὸν γὰρ ἔγγονον τὸν τούτου χωλὸν ὄντα καὶ πεπηρωμένον τὸ σκέλος, εἰς τὴν οἰκίαν εἰσήγαγε τὴν ἑαυτοῦ, καὶ ὁμοτράπεζον ἐποίησε, καὶ τῆς μεγίστης ἠξίωσε τιμῆς· καὶ οὐκ ἠρυθρία, οὐδὲ ἐνεκαλύπτετο, οὐδὲ τὴν τράπεζαν ἐνόμιζε καταισχύνειν τὴν βασιλικὴν τῇ πηρώσει τοῦ παιδός· ἀλλ' ἐκαλλωπίζετο καὶ ἐνεβρύνετο μᾶλλον. εἰ γὰρ τῶν συνδειπνούντων αὐτῷ ὁρῶν τὸν ἔκγονον τοῦ Σαοὺλ τοῦ τοσαῦτα κακὰ ἐργασαμένου τὸν Δαβὶδ, τοσαύτης ἀπολαύοντα παρ' αὐτοῦ τιμῆς, εἰ καὶ πάντων θηρίων ἀγριώτερος ἦν, οὐχὶ πρὸς πάντας ἑαυτὸν ἐσπένδετο τοὺς ἐχθροὺς αἰσχυνόμενος καὶ ἐρυθριῶν; εἰ γὰρ καὶ ἑτέρωθι αὐτῷ τροφὴν ἐπέταξε, καὶ σιτηρέσιον ὥρισε τεταγμένον, πολὺ μέγα ἦν· τὸ δὲ καὶ εἰς αὐτὴν αὐτὸν ἀγαγεῖν τὴν τράπεζαν, ὑπερβολὴν ἔχει φιλοσοφίας. καὶ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐ μόνον ζῶντας ἠμύναντο τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τελευτησάντων εἰς τοὺς ἐκείνων παῖδας τὴν πρὸς ἐκείνους ἀφῆκαν ὀργήν. ἀλλ' οὐχ ὁ Δαβὶδ οὕτως, ἀλλὰ καὶ ζῶντα τὸν πολέμιον διετήρησε, καὶ ἀπελθόντος ἐκείνου, τὴν περὶ ἐκεῖνον εὔνοιαν εἰς τοὺς παῖδας ἐπεδείξατο. Τί γένοιτ' ἂν τοῦ πραοτάτου καὶ φιλοσόφου Δαβὶδ μακαριώτερον; ὅτι οὐ μόνον τὸν ἐχθρὸν ὑπὸ τοὺς πόδας ἰδὼν τοὺς ἑαυτοῦ κείμενον αἰχμαλώτου χεῖρον, ἐφείσατο· ἀλλὰ καὶ πάλιν μετὰ τὴν σωτηρίαν ταύτην ἐπιθέμενον αὐτῷ καὶ ἀνελεῖν βουλόμενον εἰς χεῖρας λαβὼν, καὶ δυνάμενος αὐτὸν μετὰ τοῦ στρατοπέδου κατακόψαι παντὸς, ἀφῆκέ τε ὑγιῆ καὶ σῶον· καὶ συνιδὼν ὡς ἀνήκεστα νοσεῖ, καὶ τῆς πρὸς αὐτὸν ἔχθρας οὐδαμῶς λήξει ποτὲ, ἐξήγαγεν ἑαυτὸν τῶν ὀφθαλμῶν τῶν ἐκείνου, καὶ παρὰ τοῖς βαρβάροις ἔζη δουλεύων, ἠτιμωμένος, αἰσχυνόμενος, ἐκ πόνου καὶ ταλαιπωρίας τὴν ἀναγκαίαν ἑαυτῷ πορίζων τροφήν. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ἀλλ' ὅτι καὶ πεσόντα ἀκούσας ἐπὶ τῆς παρατάξεως, διέρρηξέ τε τὸν χιτωνίσκον, καὶ σποδὸν κατεπάσατο, καὶ θρῆνον ἐθρήνησεν, ὃν ἂν τις θρηνήσειε παῖδα μονογενῆ καὶ γνήσιον ἀποβαλών· συνεχῶς αὐτοῦ τὸ ὄνομα ἀνακαλῶν μετὰ τοῦ παιδίου, καὶ ἐγκώμια συντιθεὶς, καὶ πικρὰν ἀφιεὶς φωνὴν, καὶ μέχρις ἑσπέρας ἄσιτος μένων, καὶ τὰ χωρία καταρώμενος τὰ δεξάμενα τὸ αἷμα Σαούλ· Ὄρη, φησὶ, τὰ Γελβουέ· μὴ πέσοι ἐφ' ὑμᾶς μήτε δρόσος, μήτε ὑετός· ὄρη θανάτου· ὅτι ἐκεῖ ἐξήρθη σκέπη δυναστῶν. μισῶ καὶ τὸν τόπον αὐτὸν διὰ τοὺς ἐκεῖ πεσόντας νεκροὺς, φησί· μηκέτι τοίνυν βραχείητε τοῖς ἄνωθεν ὑετοῖς, ἐβράχητε γὰρ ἅπαξ κακῶς ἀπὸ τῶν φίλων μου αἵματι. καὶ συνεχῶς δὲ αὐτῶν περιστρέφει τὰ ὀνόματα οὑτωσὶ λέγων· Σαοὺλ, Σαοὺλ, καὶ Ἰωνάθαν, οἱ ἠγαπημένοι καὶ ὡραῖοι, οὐ κεχωρισμένοι ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐκ ἐχωρίσθησαν. ἐπειδὴ γὰρ τὰ σώματα παρόντα περιπτύξασθαι οὐκ εἶχε, περιπλέκεται αὐτῶν ταῖς προσηγορίαις, τὴν οἰκείαν ὀδύνην ὡς οἷόν τε τούτοις καταπραΰνων, καὶ τὸ τῆς συμφορᾶς παραμυθούμενος μέγεθος. οὐ γάρ ἐστι, φησὶν, εἰπεῖν, ὅτι ὀρφανίαν ὁ παῖς ἐθρήνησεν, οὐδὲ ἀπαιδίαν ὁ πατὴρ ὠδύρετο· ἀλλ' ὃ μηδενὶ συνέβη, συνέβη, φησὶν, ἐκείνοις· ὁμοῦ καὶ κατὰ μίαν ἡμέραν τῆς ζωῆς ἀπερράγησαν, καὶ οὐ καταλειφθεὶς θάτερος ἀβίωτον ἑαυτῷ εἶναι τὸν βίον τῇ διαστάσει θατέρου ἐνόμισε. νῦν ἕκαστος ἀναμιμνησκέσθω μοι τοῦ ἐχθροῦ καὶ τοῦ λελυπηκότος ἔτι ζεούσης τὰ πένθη τῆς διανοίας, καὶ τοῦτον καὶ ζῶντα φυλαττέτω, καὶ ἀπελθόντα πενθείτω· κἂν δέῃ τι παθεῖν, ὥστε μὴ λυπῆσαι τὸν ἠδικηκότα, πάντα ποιείτω καὶ πασχέτω, παρὰ τοῦ

Θεοῦ

Ἐκ τοῦ β. λόγου τῶν εἰς τὸν Δαβὶδ καὶ τὸν Σαούλ.

β. Βασ. α. κα.

Εκ τοῦ α λόγ. περὶ τοῦ Δαβὶδ καὶ τοῦ Σαούλ.

Θεοῦ μεγάλας ἀναμένων τὰς ἀμοιβάς. Οὕτως γὰρ οὐδὲν οὕτως ἀσφαλέστερον τοῦ φείδεσθαι τῶν ἐχθρῶν, οὐδὲ σφαλερώτερον τοῦ βούλεσθαι ἐκδικεῖν ἑαυτὸν καὶ ἀμύνεσθαι. ὁ μὲν γὰρ διαφθείρας καταγνώσεται πολλάκις ἑαυτοῦ, καὶ πονηρὸν ἕξει συνειδὸς, καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ὑπὸ τῆς ἁμαρτίας ἐκείνης κεντούμενος· ὁ δὲ φεισάμενος καὶ μικρὸν καρτερήσας χρόνον, γίνεται μετὰ ταῦτα καὶ τρυφᾷ, χρηστὰς ἀναμένων ἐλπίδας, καὶ τὰς ἀμοιβὰς τῆς ἀνεξικακίας παρὰ τοῦ Θεοῦ προσδοκῶν. κἂν εἴ ποτε περιπέσοι τινὶ δεινῷ, μετὰ πολλῆς παρρησίας ἀπαιτήσει τὸν Θεὸν τὴν ἀντίδοσιν. καὶ τοῦτο ἀπὸ τῶν κατὰ τὸν Δαβὶδ καὶ τὸν Σαοὺλ γινομένων ἔστιν ἰδεῖν. ὁ μὲν γὰρ βουληθεὶς ἀνελεῖν, γυμνὸς καὶ ἄοπλος καὶ πάντων ἔρημος [καὶ] καθάπερ αἰχμάλωτος παραδοθεὶς, οὕτως εἰς τὸ σπήλαιον ἔκειτο· ὁ δὲ εἴκων καὶ παραχωρῶν πανταχοῦ, καὶ μηδὲ δικαίως ἐπεξελθεῖν βουλόμενος, χωρὶς μηχανημάτων καὶ ὅπλων, καὶ ἵππων καὶ στρατιωτῶν, τὸν πολέμιον εἰς χεῖρας ἐλάμβανε· καὶ ὃ δὴ μεῖζον ἁπάντων ἦν, τὸν Θεὸν εἰς πλείονα εὔνοιαν ἐπεσπάσατο, καὶ μεγάλας καὶ θαυμαστὰς τῆς περὶ τὸν ἐχθρὸν κηδεμονίας τὰς ἀμοιβὰς ἀπέλαβεν ὕστερον.

Εκ τοῦ λόγου τοῦ, Ἐὰν πεινᾷ ὁ ἐχθρός σου.

Ποίαν οὖν ἕξομεν ἡμεῖς συγγνώμην ἁμαρτημάτων παρελθόντων μνημονεύοντες, καὶ τοὺς λελυπηκότας ἀμυνόμενοι, ὅταν ὁ ἀναίτιος ἐκεῖνος τοσαῦτα μὲν πεπονθὼς, πλείονα δὲ καὶ χαλεπώτερα προσδοκῶν αὐτῷ συμβήσεσθαι κακὰ, ἀπὸ τῆς τοῦ ἐχθροῦ σωτηρίας φαίνηται φειδόμενος οὕτως, ὡς ἐλέσθαι κινδυνεῦσαι μᾶλλον αὐτὸς, καὶ μετὰ φόβου καὶ τρόμου ζῆν, ἢ τὸν μέλλοντα μυρία πράγματα αὐτῷ παρέχειν ἀποσφάξαι δικαίως;

Εκ τῆς ἑρμην. τοῦ ζ. ψαλμ.

Καλὸν μὲν γὰρ τὸ μὴ ἀδικεῖν· πολλῷ δὲ μᾶλλον φιλοσόφου ψυχῆς τὸ ἀδικηθέντα μὴ ἀμύνασθαι. τοιοῦτος οὖν ὁ Δαβίδ. καίτοιγε ὁ νόμος τοῦτο παρεῖχε τότε τὸ μέτρον, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ κελεύων, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτειν· καὶ οὐκ ἦν παράβασις τὸ γινόμενον. (Δευτ. ιθ. κα.) ἀλλ' οὕτω φιλόσοφος ἦν ὁ Δαβίδ, ὡς μὴ μόνον μὴ παραβαίνειν τὸν νόμον, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνειν, καὶ ὑπὲρ τὰ σκάμματα πηδᾷν. οὐ γὰρ ἐνόμιζεν αὐτῷ ἀρκεῖν εἰς ἀρετὴν, εἰ μὴ καὶ ὑπερακοντίσειε τὰ προστάγματα. ἡμεῖς δὲ οὐ τοῦτο ἀπαιτούμεθα μόνον, τὸ μὴ ἀνταποδιδόναι, ἀλλὰ καὶ τὸ εὐεργετεῖν. (Ματθ. ε μδ.) Εὔχεσθε γάρ, φησιν, ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. ποίαν οὖν σχοίημεν συγγνώμην λοιπὸν, τίνα δὲ ἀπολογίαν, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν μὴ φθάνοντες εἰς τὰ μέτρα τῶν ἐν τῇ παλαιᾷ πολιτευσαμένων, καὶ ταῦτα πολλὴν περιουσίαν ἀπαιτούμενοι; (Ματθ. ε κ.) Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὥσπερ γὰρ οὐκ ἔστιν ἴσος ὁ ἐν τῷ νόμῳ τὰ αὐτὰ κατορθῶν τῷ πρὸ τοῦ νόμου· οὕτως οὐδὲ ὁ ἐν τῇ χάριτι τῷ [πρὸ τοῦ νόμου, μᾶλλον δὲ τῷ] ἐν τῷ νόμῳ· ἀλλ' ἀπὸ τοῦ καιροῦ πολλὴ ἡ διαφορὰ γίνεται.

χ αἰτ.

[Ὅταν ἐννοήσω τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ἀγαθότητα καὶ τὸ συμπαθὲς καὶ φιλόστοργον, ἰλιγγιῶ καὶ τρέμω καὶ ἐκπλήξει συνέχομαι, πῶς καὶ ἐν αὐτῷ τῷ σταυρῷ τῶν σταυρωσάντων ὑπερηύχετο· οὗ τί γένοιτ' ἂν ἴσον; καὶ τῶν λῃσταὶ δὲ ἀμφότεροι παρὰ τὴν ἀρχὴν ὠνείδιζον αὐτὸν, ἀλλ' ἡνίκα ὁ εὐγνώμων εἰς συναίσθησιν ἐλθὼν εἴρηκε, (Λουκ. κγ. μβ.) Μνήσθητί μου, Κύριε, τὸν παράδεισον αὐτῷ πρὸ πάντων ἀνέῳξε. καὶ δακρύει δὲ τοὺς μέλλοντας αὐτὸν ἀναιρεῖν, καὶ ταράττεται, καὶ συγχεῖται ὁρῶν τὸν προδότην, οὐχ ὅτι σταυροῦσθαι ἔμελλεν, ἀλλ' ὅτι ἀπώλλυτο ἐκεῖνος. ἐταράττετο τοίνυν προειδὼς τὴν ἀγχόνην, τὴν κόλασιν τὴν μετὰ τὴν ἀγχόνην. καὶ εἰδὼς αὐτοῦ τὴν πονηρίαν, μέχρις ἐσχάτης ὥρας αὐτὸν ἐθεράπευσε καὶ διεκρύετο. ἀλλὰ καὶ ἐφίλησε τὸν προδότην, τύπον ἡμῖν καὶ ὑπόγραμμον ἀγαθωσύνης καὶ μακροθυμίας παρέχων ὁ ἀγαθὸς δεσπότης. (Λουκ. κβ μη.) Ἰούδα γάρ, φησι, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; τίνα οὐκ ἂν ἐμάλαξε, τίνα οὐκ ἂν ἔκαμψεν αὕτη ἡ φωνή; ποῖον θηρίον; ποίαν λιθώδη ψυχήν; ἀλλ' οὐ τὸν δείλαιον ἐκεῖνον. οὐδὲ γὰρ εἶπεν, ὦ μιαρὲ καὶ παμπόνηρε, καὶ προδότα, ταύτας ἡμῖν ἀποδίδως τὰς ἀμοιβὰς τῆς τοσαύτης εὐεργεσίας; ἀλλὰ πῶς; Ἰούδα·

τὸ κύριον ὄνομα θεὶς, ὁ μᾶλλον ταλανίζοντος ἦν καὶ ἀνακαλοῦντος, οὐκ ὀργιζομένου. καὶ οὐκ
εἶπε, τὸν διδάσκαλόν σου, τὸν δεσπότην σου, τὸν εὐεργέτην· ἀλλὰ, τὸν υἱὸν τοῦ ἀνθρώπου
φιλήματι παραδίδως; εἰ γὰρ μὴ διδάσκαλος ἦν, μηδὲ δεσπότης, τὸν οὕτως ἡμέρως, τὸν
οὕτως ἀπλάστως πρὸς σὲ διακείμενον, ὡς καὶ ἐν καιρῷ τῆς προδοσίας σε φιλεῖν, τοῦτον
5 παραδίδως; καὶ πρὸς μὲν τὸν προδότην οὕτως, ὡς προείρηται· πρὸς δὲ τοὺς ἐπελθόντας
μετὰ μαχαιρῶν καὶ ξύλων πῶς; καὶ τί γένοιτο ἡμερώτερον τῶν ῥημάτων τῶν πρὸς ἐκείνους εἰρημέ-
νων; δυνάμενος γὰρ αὐτοὺς ἀθρόον ἀφανίσαι πάντας, τούτων μὲν ἐποίησεν οὐδὲν, ἐντρε-
πτικῶς δὲ αὐτοῖς διαλέγεται λέγων· Τί ἐξήλθετε, ὡς ἐπὶ λῃστὴν, μετὰ μαχαιρῶν καὶ ξύ- Λουκ. κβ. νβ.
λων; καὶ ῥίψας αὐτοὺς ὑπτίους, ἐπειδὴ ἔμενον ἀναισθητοῦντες, ἑκὼν πάλιν ἑαυτὸν ἐξεδίδου, καὶ
10 ἠνείχετο δεσμὰ περιβαλλόντων ταῖς ἁγίαις χερσὶν ὁρῶν, δυνάμενος πάντας κλονῆσαι καὶ
ῥίψαι κάτω. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις
αὐτοῦ; μιμησώμεθα καὶ ἡμεῖς, ἀδελφοὶ, τὴν ἀνεξικακίαν αὐτοῦ, τὴν πραότητα, τὴν τα-
πεινοφροσύνην. Μάθετε γὰρ, φησιν, ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρ- Ματθ. κ. κζ.
δίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. διὰ δὴ ταῦτα καὶ ὁ Παῦλος ταῦτα τίθη-
15 σι καί φησιν· Εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, οἷα δή τινι τρόπῳ ἐπιβουλεύοντας δηλον- Ρωμ. ιβ. ιδ.
ότι. καὶ οὐκ εἶπε, μὴ μνησικακεῖτε, μηδὲ ἀμύνεσθε, ἀλλὰ καὶ πολλῷ πλέον τούτου ἐζήτη-
σεν εἰπὼν, εὐλογεῖτε. ἐκεῖνο μὲν γὰρ, τὸ μὴ μνησικακεῖν, μηδὲ ἀμύνεσθαι, ἀνδρὸς φιλοσό-
φου· τοῦτο δὲ ἀγγέλου. λοιπὸν καὶ εἰπὼν, εὐλογεῖτε, ἐπήγαγε, καὶ μὴ καταρᾶσθε, ἵνα μὴ τοῦ-
το κἀκεῖνο ποιῶμεν, ἀλλ' ἐκεῖνο μόνον· καὶ γὰρ μισθῶν ἡμῖν εἰσι πρόξενοι οἱ διώκοντες. ἂν
20 δὲ νήφῃς, καὶ ἕτερον σὺ σαυτῷ μετ' ἐκείνων κατασκευάσεις μισθόν. ἐκεῖνος μὲν γάρ σοι τὸν ἀπὸ
τοῦ διωγμοῦ παρέξει, σὺ δὲ σαυτῷ τὸν ἀπὸ τῆς εὐλογίας τῆς εἰς ἐκεῖνον, σημεῖον μέγιστον ἐκφέρων
τῆς εἰς Χριστὸν ἀγάπης. διὰ δὴ τοῦτο παντὶ τρόπῳ τοὺς ὑβρίζοντας καὶ διώκοντας, καὶ διὰ τῶν
πραγμάτων ἐπηρεάζοντας τοῖς ἐναντίοις ἀμείβεσθαι ἐκέλευσεν ὁ πνευματικὸς διδάσκα-
λος, καὶ ἄνω μὲν αὐτοὺς εὐλογεῖν ἐπέταξε, προϊὼν δὲ καὶ ἔργοις εὐεργετεῖν παραινεῖ· χαίρειν
25 μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. ἐπειδὴ γὰρ ἔστιν εὐλογῆσαι μὲν καὶ μὴ καταρᾶσθαι,
μὴ μὴν ἐξ ἀγάπης τοῦτο ποιῆσαι, βούλεται καὶ διαθερμαίνεσθαι ἡμᾶς τῇ φιλίᾳ. διὸ καὶ
ταῦτα ἐπήγαγεν, ὥστε μὴ μόνον εὐλογεῖν, ἀλλὰ καὶ συναλγεῖν, καὶ συμπάσχειν, εἴποτε ἴδοι-
μεν αὐτοὺς συμφορᾷ περιπεσόντας. οὐδὲν γὰρ οὕτως ἀγάπην συνάγει, ὡς ἴσην καὶ χα-
ρᾶς καὶ λύπης κοινωνῶμεν ἀλλήλοις.]

30 Ἄκουσον τί φησιν ὁ Πέτρος πρὸς τὸν Χριστόν· Ποσάκις, ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελ- Εκ τοῦ λόγου τοῦ εἰς τὴν παραβολὴν τοῦ τὰ μύρια τάλαντα ὀφείλοντος
φός μου, ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; ὁμοῦ καὶ ἐπερωτᾷ καὶ ὑπισχνεῖται· καὶ πρὶν ἢ μάθῃ, φιλο-
τιμεῖται. τὴν γὰρ γνώμην τοῦ διδασκάλου σαφῶς εἰδὼς, ὅτι πρὸς φιλανθρωπίαν
ῥέπει πλέον, βουλόμενος ἀρέσαι τῷ διδασκάλῳ, φησίν· ἕως ἑπτάκις; εἶτα ἵνα μάθῃς, τί μὲν
ἄνθρωπος, τί δὲ Θεὸς, καὶ πῶς ἡ τοῦ μαθητοῦ φιλοτιμία, ὅπουπερ ἂν ἀφίκηται, πρὸς τὴν εὐ- Ματθ. ιη. κα.
35 πορίαν τοῦ διδασκάλου συγκρινομένη, πενίας ἐστὶ πάσης εὐτελεστέρα· καὶ ὅσον σταγὼν πρὸς
πέλαγος ἄπειρον, τοσοῦτον ἡ ἡμῶν ἀγαθότης πρὸς τὴν ἐκείνου ἄφατον φιλανθρωπίαν·
εἰπόντος αὐτοῦ, ἑπτάκις, καὶ νομίσαντος μεγάλα φιλοτιμεῖσθαι καὶ διαψιλεύεσθαι, φησὶν ὁ
Χριστὸς, Οὐ λέγω, ἕως ἑπτάκις, ἀλλ', ἕως ἑβδομηκοντάκις ἑπτά· ὅπερ ἐστὶ τετρακόσια καὶ
ἐνενήκοντα. καὶ μὴ νομίσῃς δύσκολον εἶναι τὸ ἐπίταγμα. ἐὰν γὰρ ἧς πρῶτον ἐσκευασμένος τοσαυ-
40 τάκις καταφρονεῖν τῶν εἰς σὲ ἁμαρτημάτων, ἀπὸ μιᾶς καὶ δευτέρας καὶ τρίτης συγχωρή-
σεως γυμνασθεὶς, οὐδένα πόνον ἕξεις λοιπὸν τῆς τοιαύτης φιλοσοφίας, καθάπαξ ἐμμελετή-
σας τῇ πυκνότητι τῆς συγχωρήσεως μηδὲ πλήττεσθαι παρὰ τῶν τοῦ πέλας ἁμαρτημάτων.

Ἀλλὰ καὶ εἴ τις ἁρπαγὴν ὑπομείνας ἄδικον, ὑπὲρ τῆς τοιαύτης ἀδικίας εὐχαριστήσει τῷ Εκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγελ.
Θεῷ, μυρίους διὰ τῆς εὐχαριστίας ἐκείνης καρπώσεται τοὺς μισθούς. οὐδὲν γὰρ οὕτω τὸν

Θεὸν

Θεὸν εὐφραίνει, ὡς τὸ μὴ ἀποδοῦναι κακὸν ἀντὶ κακοῦ. Εἰ δὲ λέγοι τις· τί γάρ; ἠδυνάμην ἀμύνασθαι τὸν ἀδικήσαντα ἀσθενέστερος ὤν; ἐκεῖνο ἂν εἴποιμι, ὅτι ἠδύνασο πρᾶξαι τὸ διαχρήσασθαι, τὸ ἀποδυσπετῆσαι, τὸ κατεύξασθαι τοῖς λελυπηκόσι, τὸ καταράσασθαι αὐτῷ μυρία, τὸ πρὸς πάντας διαβάλλειν. ταῦτα γὰρ ἐν ἐξουσίᾳ κεῖται τῇ ἡμετέρᾳ. ὁ τοίνυν ταῦτα μὴ ποιήσας, τὸν τοῦ μὴ ἀμύνασθαι μισθὸν λήψεται. Δῆλον γὰρ ὅτι καὶ ἐκεῖνος κύριος ὤν, οὐκ ἂν ἐποίησεν. Ὅταν οὖν ἴδῃς τὸν ἐχθρὸν ἐμπεσόντα εἰς τὰς χεῖρας τὰς σάς, μὴ νόμιζε τιμωρίας, ἀλλὰ σωτηρίας ἐκεῖνον εἶναι τὸν καιρόν. τότε γὰρ μάλιστα δεῖ φείδεσθαι τῶν ἐχθρῶν, ὅταν αὐτῶν γινώμεθα κύριοι. κἂν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομῶμεν, καὶ τῆς τῶν πλησίον ἀντιλαμβανώμεθα σωτηρίας, ταχέως κἀκείνοις αὐτοῖς ποθεινοὶ ἐσόμεθα καὶ ἐπέραστοι· καί, ὃ πάντων μεῖζον, τῶν ἀποκειμένων ἀπολαύσομεν ἀγαθῶν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ τοῦ α τῶν εἰς τὸν Δαβὶδ καὶ Σαούλ.

Λογ. γ.

ΠΕΡΙ ΑΛΑΖΟΝΕΙΑΣ ΚΑΙ ΚΕΝΟΔΟΞΙΑΣ.

Ἐκ τοῦ λόγ. τοῦ μὴ ἐγκληματοῦν

Βουλόμενος τὸν πεφυσιωμένον ἄνθρωπον καταστεῖλαι, μὴ μακροὺς κίνει λόγους, ἀλλ' ἀναμίμνησκε αὐτὸν τῆς φύσεως μόνον, καὶ ἐπιτίμα σφοδρῶς, οὑτωσὶ λέγων· Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; Εἰ δὲ μετὰ τὸν θάνατον εἶναι ταῦτα λέγεις, κατάστειλον αὐτὸν ζῶντα, καὶ δίδαξον ὅτι γῆ καὶ σποδός ἐστι· νῦν γὰρ οὐκ οἶδεν ὅτι ταῦτά ἐστιν. ὁρᾷ τὴν εὐπρέπειαν τοῦ σώματος, ὁρᾷ τὴν δυναστείαν, τὴν θεραπείαν τῶν κολάκων, τοὺς παρασίτους ἀκολουθοῦντας. ἱμάτια περίκειται πολυτελῆ, ὄγκον ἀρχῆς περιβέβληται μέγαν· ἡ φαντασία αὐτὸν ἀπατᾷ, καὶ ἐπιλανθάνεσθαι ποιεῖ τῆς φύσεως· αὐτὴν ἀναμένει μόνην τὴν ἀπὸ τοῦ πλούτου ἀπόδειξιν· οὐκ ἔρχεται πρὸς τὰς σοροὺς καὶ τὰς θήκας τῶν προγόνων· πρὸς τὰ παρόντα βλέπει μόνον, καὶ οὐδὲν τῶν μελλόντων ἐννοεῖ. δίδαξον τοίνυν αὐτὸν ἐντεῦθεν ἤδη, ὅτι γῆ καὶ σποδός ἐστιν, ἵνα ζῶν λάβῃ τὸ φάρμακον. Εἰπὼν γάρ, τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ἐπήγαγεν, ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ· ἐνδόσθια τὰ ἔγκατα λέγων, τὴν γαστέρα τὴν γέμουσαν σκυβάλων καὶ πολλῆς ἀκαθαρσίας καὶ δυσωδίας. ἴδε τὸ εὐτελὲς καὶ ἐπίκηρον τῆς οὐσίας· μὴ ἀναμείνῃς σὺ τὴν ἡμέραν τῆς τελευτῆς, ἵνα μάθῃς σὺ τὴν ἀσθένειαν. ἔτι μὲν ζῶντα τὸν ἄνθρωπον διερεύνησον, καὶ εἰς τὰ ἔγκατα αὐτοῦ διάβηθι τῷ λόγῳ, καὶ πᾶσαν ἤδη τὴν ἀσθένειαν ὄψει. ἀλλὰ μὴ καταπέσῃς. οὐδὲ γὰρ μισῶν ἡμᾶς, ἀλλὰ φειδόμενος οὕτως ἐποίησεν ὁ Θεός, προφάσεις ἡμῖν ταπεινοφροσύνης παρέχων μεγάλας. εἰ γὰρ ἄνθρωπος, γῆ ὢν καὶ σποδός, ἐτόλμησεν εἰπεῖν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβήσομαι· εἰ μὴ τὸν τῆς φύσεως χαλινὸν εἶχε, ποῦ οὐκ ἂν ἐξέπεσε τῆς διανοίας; ὅταν οὖν ἴδῃς τινὰ πεφυσιωμένον, τὸν αὐχένα ἀνατείνοντα, τὰς ὀφρῦς ἀνασπῶντα, ἐπὶ ὀχήματος φερόμενον, ἀπειλοῦντα, εἰς δεσμωτήριον ἐμβάλλοντα, ἐπηρεάζοντα, θανάτῳ παραδιδόντα, εἰπὲ πρὸς αὐτόν, τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ. ταῦτα οὐ περὶ ἀνθρώπου μόνον ἰδιώτου εἴρηται, ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ. μὴ γὰρ τὴν ἁλουργίδα ἴδῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια τὰ χρυσᾶ· ἀλλ' αὐτὴν τὴν φύσιν ἐρεύνησον, καὶ τούτων ὄψει τὴν γῆν οὖσαν ὑπόθεσιν. πᾶσα γὰρ δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. Τίνος ἕνεκα μέγα φρονεῖς, ἄνθρωπε, καὶ διὰ τί; κατάβηθι ἀπὸ τοῦ φυσήματος τοῦ κενοῦ· διάσκεψαι τῆς φύσεως τὸ εὐτελές. γῆ καὶ σποδὸς εἶ, τέφρα καὶ κόνις, καπνὸς καὶ σκιά, χόρτος καὶ ἄνθος χόρτου.

Ἐκ τοῦ λόγου τοῦ πρὸς τοὺς ἐγκαταλείψαντας τὴν σύναξιν, καὶ εἰς τὸ μὴ παραιτεῖσθαι [illegible]

τοιαύτῃ δὲ φύσει συζῶν μέγα φρονεῖς, εἰπέ μοι; καὶ τί τούτου γένοιτ' ἂν καταγελαστότερον; ἀλλὰ πολλῶν ἄρχεις ἀνθρώπων; καὶ τί τούτου τὸ ὄφελος, ὅταν ἀνθρώπων μὲν ἄρχῃς, τῶν δὲ παθῶν αἰχμάλωτος ᾖς καὶ δοῦλος; ὥσπερ ἂν εἴ τις οἴκοι μὲν ὑπὸ τῶν οἰκετῶν τύπτοιτο καὶ τραύματα λαμβάνοι, ἔξω δὲ εἰς τὴν ἀγορὰν ἐμβαλὼν μέγα φρονῇ ἐπὶ τῇ τῶν ἄλλων ἀρχῇ. πάντων παθῶν δοῦλος εἶ, καὶ μέγα φρονεῖς ὅτι τῶν ὁμοφύλων ἄρχεις; εἴθε ἐκείνων ἦρχες, καὶ τούτων ἦς ἰσότιμος. Εἰ γὰρ ἐπὶ τοῖς ὄντως καλοῖς ὁ ἀλαζονευόμενος κατηγορίας ἄξιος, καὶ πάντων ἐκείνων τὸν μισθὸν ἀπόλλυσιν· ὁ ἐν τοῖς μηδὲν οὖσιν ἐπαιρόμενος, καὶ διὰ τὴν παροῦσαν δόξαν φυσῶν ἑαυτόν, πῶς οὐκ ἂν εἴη πάντων καταγελαστότερος; ἄθλιε καὶ ταλαίπωρε, τῆς ψυχῆς σοι διαφθειρομένης χαλεπωτάτῃ νόσῳ, καὶ τὴν ἐσχάτην πειθόμενος πενίαν, μέγα φρονεῖς, ὅτι χρυσοῦ τάλαντα ἔχεις τόσα καὶ τόσα; ὅτι πλῆθος ἀνδραπόδων; ἀλλ' αὗται οὐ σά. καὶ εἰ μὴ πείθῃ τοῖς ἐμοῖς ῥήμασιν, ἀπὸ τῆς πείρας τῶν προλαβόντων μάνθανε. ἐὰν δὲ οὕτω μεθύῃς, ὡς μήτε ἐκ τῶν ἑτέροις συμβαινόντων ταῦτα παιδεύεσθαι, μικρὸν ἀνάμεινον, καὶ εἴσῃ διὰ τῶν εἰς σέ, ὅτι σοι τούτων ὄφελος οὐδέν, ὅτι ψυχορραγῶν καὶ οὐδὲ μιᾶς ὥρας οὐδὲ ῥοπῆς βραχείας κύριος ὤν, ἄκων εἰς οὓς οὐκ οἶδας αὐτὰ παραπέμπεις, καὶ τούτους πολλάκις, οἷς οὐκ ἤθελες· ἀλλὰ μετὰ βίας παραχωρῶν, οἷς οὐδὲ καθορᾶν αὐτὰ ἐβούλου τὸ πρότερον. Η γὰρ τῶν ἀνθρωπίνων πραγμάτων ὑπόστασις οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τέφρα, καὶ κόνις, καὶ καπνός, καὶ σκιά, καὶ τὸ ἔτι τούτων οὐδαμινώτερον. τί γάρ, εἰπέ μοι, μέγα νομίζεις; ποῖον ἡγῇ μέγα ἀξίωμα εἶναι; τὸ τοῦ ὑπάτου; οὐδὲν γὰρ τούτου τοῦ ἀξιώματος μεῖζον εἶναι νομίζουσιν οἱ πολλοί. ὁ ἐν τοσαύτῃ τοίνυν λαμπρότητι τετιμημένος, ὁ μεγάλως θαυμαζόμενος, ὁ μὴ ὕπατος ἔλαττον ἔχει οὐδέν· ἐν τῷ αὐτῷ κἀκεῖνος καὶ οὗτός ἐστιν ἀξιώματι. ὁμοίως γὰρ ἑκάτεροι μετ' ὀλίγον οὐκ εἰσί. πότε ἐγένετο, πόσον χρόνον, εἰπέ μοι; ἡμερῶν δύο; τοῦτο καὶ ἐν ὀνείροις γίνεται. ἀλλ' ὄναρ, φησίν, ἐστι. καὶ τί τοῦτο; τὰ γὰρ ἐν ἡμέρᾳ οὐκ ὄναρ, εἰπέ μοι; διὰ τί μὴ ταῦτα μᾶλλον λέγομεν ὄναρ; ὥσπερ γὰρ τὰ ὀνείρατα, τῆς ἡμέρας καταλαβούσης, ἐλέγχεται οὐδὲν ὄντα· οὕτω τῆς νυκτὸς καταλαμβανούσης, καὶ ταῦτα οὐδὲν ὄντα ἐλέγχεται. καὶ ὥσπερ ἐν ἡμέρᾳ τοῖς ἐν νυκτὶ γενομένοις οὐ χρῆταί τις, οὕτως οὐδὲ ἐν νυκτὶ τῶν μεθ' ἡμέραν ἀπολαῦσαι δυνατόν. γέγονας ὕπατος; κἀγὼ ἐν νυκτί. ἀλλ' ἐγὼ ἐν ἡμέρᾳ, καὶ σὺ ἐν νυκτί. καὶ τί τοῦτο; οὐδὲ οὕτω μου πλέον τι ἔχεις, εἰ μὴ ἄρα τὸ λέγεσθαι, ὁ δεῖνα ὕπατος, τέως καὶ τὴν ἀπὸ τῶν ῥημάτων ἡδονὴν ἔχειν, πλέον ἔχειν ποιεῖ. [πῶς ποιεῖ;] ἐὰν εἴπω, ὁ δεῖνα ὕπατός ἐστι, καὶ χαρίσωμαι τῷ ῥήματι· οὐχ ἅμα ἐλέχθη καὶ ἀπῆλθεν; οὕτω καὶ τὰ πράγματά ἐστιν· ἅμα ἐφάνη ὕπατος, καὶ οὐκ ἔστι. θῶμεν δὲ καὶ ἐνιαυτὸν καὶ τρεῖς καὶ τέσσαρας· ποῦ εἰσιν οἱ δέκα ἔτη ὕπατοι γενόμενοι; οὐδαμοῦ. ἀλλ' ὁ Παῦλος οὐχ οὕτως. ἐκεῖνος μὲν γὰρ καὶ ζῶν διαπαντὸς λαμπρός, οὐ μίαν ἡμέραν, οὐδὲ δύο, οὐδὲ δέκα καὶ εἴκοσιν· οὐδὲ ἐνιαυτοὺς δέκα καὶ εἴκοσιν, ἀλλὰ καὶ ἐτελεύτησε, καὶ τετρακοσιοστὸν λοιπὸν ἔτος παρελήλυθε, καὶ ἔτι καὶ νῦν ἐστι λαμπρός, καὶ πολλῷ λαμπρότερος ἢ ὅτε ἔζη. καὶ ταῦτα μὲν ἐν τῇ γῇ· τὴν δὲ ἐν τοῖς οὐρανοῖς λαμπρότητα τίς ἂν καὶ παραστήσειε λόγος; Καὶ καθάπερ ἐστὶν ἰδεῖν τὰ τῆς θαλάττης κύματα, νῦν μὲν εἰς ὕψος ἄφατον αἰρόμενα, ἀθρόον δὲ πάλιν ταπεινούμενα· τὸν αὐτὸν δὴ τρόπον καὶ τοὺς τὴν ἀλαζονείαν μετιόντας ὁρῶμεν, νῦν μὲν μέγα φρονοῦντας, καὶ τὰς ὀφρῦς ἀνασπῶντας, καὶ περὶ τὰ τοῦ παρόντος βίου πράγματα ἐπτοημένους· ἀθρόον δὲ ταπεινουμένους, καὶ εἰς ἐσχάτην ἐλαύνοντας πενίαν. τούτους καὶ ὁ μακάριος Δαβὶδ αἰνιττόμενος ἔλεγε· Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. καλῶς εἶπε, μὴ φοβοῦ. μή σε θορυβείτω, φησίν, ἡ τοῦ πλούτου περιουσία, καὶ ἡ τῆς δόξης περιφάνεια. ὄψει γὰρ μετ' οὐ πολὺ χαμαὶ κείμενον, ἀνενέργητον, νεκρόν, ἐρριμμένον, σκωλήκων γενόμενον τροφήν, γυμνὸν τούτων ἁπάντων καθεστάμενον, καὶ οὐδὲν ὅλως μεθ' ἑαυτοῦ ἀπενεγκεῖν δυνηθέντα· οὐδὲ γὰρ συναποδημοῦσι τοῖς ἐντεῦθεν μεθισταμένοις, ἀλλ' ἐνταῦθα ἀ-

πάντα

Ἐκ τῆς ἑρμην. τοῦ χρυ. τὴν Ἰωάν. δ' ἀγγ.

Ἐκ τῆς περὶ τοὺς Ἑβρ.

Ἐκ τοῦ ἑξαμ.

πάντα καταλιπόντα, καὶ μόνην τὴν κακίαν περιβεβλημένον, καὶ τὰ ἐκ ταύτης αὐτῷ τῶν ἁμαρτημάτων συλλεγέντα φορτία.

Ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Εἰκότως ἄρα εἴρηται παρὰ τῶν παλαιῶν κενοδοξία· διάκενος γάρ ἐστιν ἔνδον, οὐδὲν ἔχουσά τι χρήσιμον· ἀλλ᾽ ὥσπερ τὰ προσωπεῖα δοκεῖ μὲν εἶναι λαμπρὰ καὶ ἐπέραστα, κενὰ δὲ ἔνδοθεν ἐστί· διὸ καὶ τῶν σωματικῶν ὄψεων εὐπρεπέστερα ὄντα, οὐδένα οὐδέποτε πρὸς τὸν ἔρωτα ἴσχυσεν ἐπισπάσασθαι τὸν ἑαυτῶν· οὕτω, μᾶλλον δὲ ἀθλιώτερον, καὶ ἡ παρὰ τῶν πολλῶν δόξα. οὐδὲν γὰρ οὕτω τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀλλοτρίους, καὶ τῆς γεέννης παραδίδωσι πυρί, ὡς ἡ τῆς ὑπερηφανίας τυραννίς. ταύτης γὰρ ἡμῖν παρούσης, κἂν σωφροσύνην, κἂν παρθενίαν, κἂν νηστείαν, κἂν εὐχάς, κἂν ἐλεημοσύνην, κἂν ὁποιονοῦν ἐπιτελῶμεν, ἅπας ἡμῶν ὁ βίος ἀκάθαρτος γίνεται. Ἀκάθαρτος γάρ, φησι, παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος. τοσοῦτόν ἐστιν ἡ κενοδοξία κακόν, ὅτι οὐ μόνον πρὸς κακίαν ὠθεῖ τοὺς ἁλόντας, ἀλλὰ καὶ ταῖς ἀρεταῖς παρυφέστηκε· καὶ ὅταν ἡμᾶς ἐκεῖθεν ἐκβαλεῖν μὴ δυνηθῇ, ἐν αὐτῇ τῇ ἀρετῇ πολλὴν τὴν ζημίαν ἐργάζεται, τοὺς μὲν πόνους ὑποστῆναι ἀναγκάζουσα, τῶν δὲ καρπῶν ἀποστεροῦσα. οὐ γάρ ἐστιν ἀμφοτέρων ἐφιέμενον ἀμφοτέρων τυχεῖν. τυχεῖν μὲν γάρ ἐστιν ἀμφοτέρων, ὅταν μὴ ἀμφοτέρων, ἀλλὰ τῆς μιᾶς ἐπιθυμῶμεν, τῆς ἐκ τῶν οὐρανῶν. ἀμφοτέρων δὲ ἐρῶντα οὐκ ἔστιν ἀμφοτέρων τυχεῖν.

Ἐκ τῆς ἑρμηνείας τῆς ἑξαημ.

Ὁ γὰρ διὰ τὸ θηρᾶσθαι τὴν παρὰ τῶν ἀνθρώπων δόξαν ἐργαζόμενός τι τῶν ἀγαθῶν, κἂν τι ταύτης ἀπολαῦσαι δυνηθῇ, κἂν τε μή, ἀρκοῦσαν ἐνταῦθα εἴληφε τὴν ἀμοιβήν· καὶ οὐδεμίαν λήψεται ἐκεῖ ὑπὲρ τούτου τὴν ἀντίδοσιν. διὰ τί; ἐπειδὴ προλαβὼν ἑαυτὸν ἀπεστέρησε τῆς παρὰ τοῦ κριτοῦ φιλοτιμίας, προτιμήσας τὴν παρὰ τῶν ἀνθρώπων δόξαν τῆς ψήφου τοῦ δικαίου κριτοῦ. ὁ δὲ δι᾽ αὐτὸ τοῦτο μόνον ἐργαζόμενος τὰ τῶν πνευματικῶν, ὥστε μόνον ἐκείνῳ ἀρέσαι τῷ ἀκοιμήτῳ ὀφθαλμῷ, καὶ ὁ θησαυρὸς αὐτῷ ἀνάλωτος μένει, καὶ τὰ τῆς ἀρετῆς ἀκέραια, καὶ ἡ χρηστὴ προσδοκία ἐντεῦθεν ἤδη πολλὴν αὐτῷ παρέχει τὴν παραμυθίαν· καὶ μετὰ τοῦ ἐν ἀσύλῳ ταμιείῳ ἐκείνην αὐτῷ διαφυλάττεσθαι τὴν ἀμοιβήν, καὶ ἡ παρὰ τῶν ἀνθρώπων ἀκολουθήσει δόξα. τότε γὰρ αὐτῆς μᾶλλον μετὰ δαψιλείας ἀπολαυόμεν, ὅταν αὐτῆς ὑπερορῶμεν, ὅταν αὐτὴν μὴ ζητῶμεν, ὅταν αὐτὴν μὴ διώκωμεν. καὶ γὰρ ἐν ταῖς ἱπποδρομίαις, τοὺς ἵππους ἐλαύνοντες, παντὸς τοῦ δήμου κροτοῦντος, καὶ μυρίας εὐφημίας καταχέοντος, οὐκ ἐπιστρέφονται, οὔτε οὐδεμίαν ὥραν ἐκ τῶν ἐκείνων εὐφημίας καρποῦνται· ἀλλὰ πρὸς ἕνα μόνον ὁρῶσι, τὸν βασιλέα τὸν ἐν μέσῳ καθήμενον, καὶ τῷ νεύματι ἐκείνου προσέχοντες, παντὸς ὑπερορῶσι τοῦ πλήθους, καὶ τότε μέγα φρονοῦσιν, ἐπειδὰν ἐκεῖνος αὐτοὺς στεφανώσας δοξάσῃ.

Ἐκ τοῦ ε΄ λογ. τῶν εἰς τὸν Ὀζίαν.

Τί οὖν γένοιτ᾽ ἂν ἐκείνων ἀθλιώτερον, τῶν πρὸς ἐπίδειξιν ἀνθρώπων τὴν ἀρετὴν μετιόντων, καὶ τῶν νηστείαις ἀφανιζόντων τὰ πρόσωπα, καὶ τὰς εὐχὰς ἐν ταῖς ἀμφόδοις ποιουμένων, ὅταν τοὺς μὲν πόνους ὑπομένωσι, τῆς δὲ ἀμοιβῆς ἀποστερῶνται πάσης; τί ποιεῖς, ἄνθρωπε; ἑτέρῳ μέλλεις εὐθύνας διδόναι τῶν πεπραγμένων, καὶ ἑτέρους μάρτυρας καλεῖς τῶν γινομένων; ἕτερον ἔχεις δικαστήν, καὶ ἑτέρους καθίζεις θεατάς; οὐχ ὁρᾷς τοὺς ἡνιόχους, οἳ, τῆς πόλεως ἁπάσης ἄνω καθημένης, ἐν ταῖς τῶν ἵππων ἁμίλλαις ἅπαν τοῦ σταδίου περιτρέχοντες τὸ μέσον, ἐκεῖ φιλονεικοῦσι τὰ τῶν ἀντιπάλων ἅρματα καταστρέφειν, ἔνθα ἂν ἴδωσι τὸν βασιλέα καθήμενον· καὶ τοσούτων ὄψεων ἕνα νομίζουσιν ἀξιοπιστότερον ὀφθαλμόν; σὺ δὲ εἰδὼς τὸν τῶν ἀγγέλων βασιλέα τοῖς σοῖς δρόμοις ἀγωνοθετοῦντα ὁρῶν, ἐκεῖνον ἀφεὶς ἐπὶ τὰς τῶν ὁμοδούλων καταφεύγεις ὄψεις; διὰ τοι τοῦτο μετὰ μυρίας πάλας, μετὰ τοὺς πολλοὺς ἱδρῶτας ἀστεφάνωτος ἀναχωρεῖς, καὶ χωρὶς βραβείων πρὸς τὸν ἀγωνοθέτην ἀπέρχῃ.

Ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Πῶς γὰρ οὐκ ἄτοπον, τὸν μὲν οἰκέτην πάντα, ὅσαπερ ἂν ποιῇ, εἰς ἀρέσκειαν τοῦ δεσπότου ποιεῖν, καὶ μηδὲν πλέον ἐπιζητεῖν τῆς θεωρίας τῆς τούτου, μηδὲ ἑτέρων ὀφθαλμοὺς ἐφέλκεσθαι πρὸς τὴν πρᾶξιν, κἂν μεγάλοι τινὲς οἱ θεωροῦντες ὦσιν, ἀλλ᾽ ἓν μόνον σκοπεῖν, ὅπως ὁ δεσπότης θεάσηται· ἡμᾶς δὲ τοιοῦτον ἔχοντας Κύριον, ἑτέρους ἐπιζητεῖν θεατάς, τοὺς ὠφελῆσαι μὲν οὐδέν, βλάψαι δὲ

ἐκ τῆς θεωρίας δυνάμενος, καὶ κενῶσαι πάντα τὸν πόνον ἡμῖν; Εἰ δὲ ἐπὶ τῷ κατορθώματι φυσώμενός τις τὸ πᾶν ἀπώλεσεν· ὁ μετὰ ἁμαρτήματος τοῦτο ποιῶν, πόσης οὐκ ἂν εἴη τιμωρίας ἄξιος; τοῦ γὰρ ἁμαρτάνειν, τὸ καὶ ἁμαρτάνοντα μέγα φρονεῖν, πολὺ χαλεπώτερον. Εἰ δὲ ἐπὶ τοῖς ὄντως ἀγαθοῖς καυχᾶσθαι ἀφροσύνη, τὸ ἐπὶ τοῖς μηδὲν οὖσι, πόσῳ μᾶλλον; Καὶ γὰρ οὐδὲν οὕτω παραφρονοῦντας ποιεῖ καὶ ἀνοήτους, ὡς τὸ πρὸς τὴν τῶν πολλῶν κεχηνέναι δόξαν· καὶ οὐδὲν εὐδοκίμους καὶ ἀδαμαντίνους ποιεῖ, ὡς τὸ αὐτῆς ὑπερορᾶν. διὸ δὴ σφόδρα νεανικῆς δεῖ ψυχῆς τῷ μέλλοντι πρὸς τοσαύτην ἀντέχειν ῥύμην καὶ βίαν πνεύματος. καὶ γὰρ ὅταν μὲν εὐημερῇ, πάντων ἑαυτὸν τῶν ἄλλων προτίθησιν· ὅταν δὲ τἀναντία ὑπομένῃ, κατορύξαι ἑαυτὸν βούλεται, ὑποβρύχιος ὑπὸ τοῦ πάθους γινόμενος. Καὶ πρόσεχε ὃ λέγω. ὁ βασιλεὺς Ὀζίας ποτὲ τὰ ἴδια σκάμματα ὑπερβὰς, καὶ τὸ μέτρον διαπηδήσας τῆς βασιλείας, εἰσῆλθεν εἰς τὸ ἱερὸν μετὰ αὐθεντίας θυμιᾶσαι θέλων. τί οὖν ὁ ἱερεύς; Οὐκ ἔξεστί σοι, βασιλεῦ, θυμιᾶσαι· ὑπερβαίνεις τὰ σκάμματα· τὰ μὴ δεδομένα ζητεῖς, διὰ τοῦτο καὶ ἃ ἔλαβες ἀπολεῖς· οὐκ ἔστι σὸν τοῦτο, ἀλλ᾽ ἐμόν. μὴ ἥρπασά σου τὴν πορφυρίδα; μὴ ἁρπάσῃς μου τὴν ἱερωσύνην. ὁ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ τῇ ἀπονοίᾳ φρυσσόμενος ἐπεισῆλθεν εἰς τὸ ἱερὸν, ἀνεπέτασε τὰ ἅγια τῶν ἁγίων, θέλων θυμιᾶσαι. ἐπεὶ οὖν ὁ ἱερεὺς κατεφρονήθη, καὶ λόγος ἱερωσύνης ἐπατεῖτο, καὶ οὐδὲν ἠδύνατο οὐκέτι λοιπὸν, ἢ μόνον ἐλέγχειν, καὶ παρρησίαν ἐπιδείκνυσθαι, ὁ δὲ καὶ ὅπλα ἐκίνει, καὶ περιουσίᾳ ἐκέχρητο τῇ ἑαυτοῦ, ὁ ἱερεύς φησιν· ἐγὼ τὸ ἐμαυτοῦ ἐποίησα, οὐδὲν πλέον δύναμαι. βοήθησον ἱερωσύνῃ, Κύριε, πατουμένῃ, ὅτι νῦν οἱ νόμοι ἀδικοῦνται, καὶ οἱ θεσμοὶ ἀνατρέπονται. καὶ ὅρα τί γίνεται. εὐθέως ἐξηνθήσε λέπρα ἐπὶ τοῦ μετώπου αὐτοῦ· ὅπου ἡ ἀναισχυντία, ἐκεῖ καὶ ἡ τιμωρία. Εἶδες φιλανθρωπίαν τῆς τοῦ Θεοῦ τιμωρίας; οὐ κεραυνὸν ἀφῆκεν· οὐ γῆν ἔσεισεν· οὐ συνετάραξε τὸν οὐρανὸν, ἀλλ᾽ ἐξηνθήσεν ἡ λέπρα· καὶ οὐκ ἐν ἄλλῳ τόπῳ, ἀλλ᾽ ἐπὶ τοῦ μετώπου· ἵνα ὡς ἐν στήλῃ τὰ γράμματα ᾖ κείμενα, καθάπερ νόμος ἐν ὑψηλῷ τινι τόπῳ, λέγοντα, μὴ ποιεῖτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα. Τί τοίνυν τὸν αὐχένα ἀνατείνεις, εἰπέ μοι; τί δὲ βαδίζεις ἐπ᾽ ἄκρων ὀνύχων; τί τὰς ὀφρῦς ἀνασπᾷς; τί δὲ στῆθος φυσᾷς; τρίχα οὐ δύνασαι ποιῆσαι λευκὴν ἢ μέλαιναν, καὶ ὡς πάντων κρατῶν, οὕτως ἀεροβατεῖς; τάχα ἐβούλου σοι καὶ πτερὰ φῦναι, ἵνα μὴ βαδίζῃς ἐπὶ τῆς γῆς. τί σε καλέσω, καὶ καθέλω σου τὴν ἀπόνοιαν; εἴπω σε τέφραν καὶ κόνιν καὶ καπνὸν καὶ κονιορτόν; ἀλλ᾽ οὐδέπω ἀκριβῶς τῆς εἰκόνος ἐπελαβόμην. ἐμοὶ δοκεῖς συντρίμματι κατὰ φλεγμονὴν προσεοικέναι. καὶ γὰρ ἐκεῖνο δοκοῦν οἰδεῖν μετὰ τῶν ἐμπρησμῶν καὶ διανεστηκέναι, μικρᾶς ἂν χειρὸς ἀφὴν ἂν ὑπομείνῃ, κατενεχθῆναι τὰ ἄπαν, καὶ τέφρας ἁπάσης εὐτελέστερον ἐφάνη. καὶ ὥσπερ αἱ πομφόλυγες εἰς ὕψος αἰρόμεναι μέγα εὐκόλως ῥήγνυνται· οὕτω καὶ οἱ τῇ κενοδοξίᾳ φυσώμενοι ῥᾳδίως ἀπόλλυνται. Οὐδὲν γὰρ ἀπονοίας ἴσον κακόν. ὅτε γὰρ διάβολος οὐκ ὢν πρὸ τούτου τοιοῦτος, οὕτω διάβολος γέγονεν· ὅτε πρῶτος ἂν ἄνθρωπος ταύταις παρὰ τοῦ διαβόλου φυσηθεὶς ταῖς ἐλπίσιν, ἐξετραχηλίσθη καὶ θνητὸς ἐγένετο. προσδοκήσας γὰρ ἔσεσθαι Θεὸς, καὶ ὅπερ εἶχεν, ἀπώλεσεν. ὅπερ οὖν καὶ ὁ Θεὸς ὀνειδίζων αὐτῷ, καὶ τὴν ἄνοιαν αὐτοῦ κωμῳδῶν ἔλεγεν· Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν. Καὶ ἐπὶ τοῦ μακαρίου δὲ Ἰὼβ μικρὰν τινα λαβὼν ἐπιτροπὴν ὁ διάβολος, περιέρριζεν αὐτοῦ τὸν οἶκον ἀνέσπασε, τὸ σῶμα διεμαστίσατο, τοσαύτην τραγῳδίαν εἰργάσατο, τὴν οὐσίαν διέφθειρε, τοὺς παῖδας κατέχωσε, τὴν σάρκα διέτρησε, τὴν γυναῖκα ἐπέστησε, τοὺς φίλους, τοὺς ἐχθροὺς, τοὺς οἰκέτας τοιαῦτα εἰπεῖν παρεσκεύασεν· εἰ μὴ μυρίοις κατείχετο δεσμοῖς, πῶς οὐκ ἂν πάντας ἐλυμήνατο; πονηρὸν γὰρ τὸ θηρίον τοῦτο καὶ ἀκόρεστον· καὶ εἰ μὴ συνεχῶς ἐχαλινοῦτο, πάντα ἂν ἀνέτρεψε καὶ συνέχεε. διὰ τοῦτο χώραν αὐτῷ κατὰ πάντων ὁ δεσπότης οὐ δίδωσιν, ὡς φιλάνθρωπος· ᾧ πρέπει δόξα καὶ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. β΄. ἐπισ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τοῦ ϛ΄. λόγ. τῶν εἰς τὸν Ὀζίαν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τοῦ ρκγ. ψαλμοῦ.

ΠΕΡΙ ΑΜΑΡΤΙΑΣ ΚΑΙ ΕΞΑΓΟΡΕΥΣΕΩΣ.

Ἐκ τοῦ λόγ. περὶ τελείας ἀγάπης

Ἐπεδήμησέ τις ὑμῶν, ἀγαπητοὶ, τῇ Παλαιστίνῃ ποτέ; ἔγωγε οἶμαι.
τί οὖν; μαρτυρήσατέ μοι ὑμεῖς οἱ τοὺς τόπους ἑωρακότες· ἔστιν ἐκεῖ χώρα
πολλή τις καὶ εὔφορος· μᾶλλον δὲ ἦν· νῦν γὰρ οὐκ ἔστιν. αὕτη οὖν ἡ
οὕτως εὐθαλὴς, καὶ πρὸς πάσας τὰς χώρας ἁμιλλωμένη, ἡ φθάνουσα
τῇ εὐθηνίᾳ τὸν παράδεισον τοῦ Θεοῦ, πασῶν τῶν ἐρήμων ἐστὶν ἐρημο-
τέρα. καὶ ἑστήκασι μὲν δένδρα καὶ νῦν, καὶ καρπὸν ἔχει· ὁ δὲ καρπὸς τῆς
τοῦ Θεοῦ ὀργῆς ἐστιν ὑπόμνημα. ἑστήκασι μὲν γὰρ ῥοιαὶ, καὶ τὸ ξύλον λέγω, καὶ ὁ καρπὸς λαμ-
πρὰν τὴν ἐπιφάνειαν ἔχων, καὶ τῷ ἀγνοοῦντι παρέχων πολλὰς τὰς ἐλπίδας· εἰ δὲ ληφθείεν
εἰς χεῖρας, διακλασθέντα καρπὸν μὲν οὐδένα, κόνιν δὲ καὶ τέφραν πολλὴν ἐπιδεικνύουσιν
ἔχοντα ἐναποκειμένην ἔνδον. τοιαύτη πᾶσα ἡ γῆ ἐκείνη· καὶ τὰ ξύλα, καὶ οἱ λίθοι, καὶ
ὁ ἀὴρ, καὶ τὰ ὕδατα τῆς τοιαύτης μετέσχηκε συμφορᾶς. καὶ γὰρ γῆν ἐστιν ἰδεῖν, ἀλλ᾽ οὐδὲν
γῆς ἔχουσαν· δένδρα καὶ καρπούς, ἀλλ᾽ οὐδὲν δένδρων καὶ καρπῶν, ἀλλὰ πάντα τέφραν· ἀέρα
καὶ ὕδωρ, ἀλλ᾽ οὐδὲν ἀέρος καὶ ὕδατος. καὶ γὰρ καὶ ταῦτα τετέφρωται τῇ δυνάμει τοῦ
ταῦτα ποιήσαντος. καθάπερ γὰρ σώματος ἐμπρησθέντος, τὸ μὲν σχῆμα μένει, καὶ ὁ τύπος ἐν τῇ
τοῦ πυρὸς ὄψει, ἡ δὲ δύναμις οὐκ ἔτι· οὕτω δὴ κἀκεῖνα. μὴ καὶ ταῦτα ἀπειλαὶ ῥημάτων; μὴ
καὶ ταῦτα ψόφοι ῥημάτων; ἀλλὰ φορτικὰ ταῦτα; ἐκεῖνα μὲν οὐ φορτικὰ, ὅταν λέγῃς, ὅτι οὐκ
ἔστι γέεννα; σύ με ταῦτα ἀναγκάζεις λέγειν ὁ διαπιστῶν· σύ με εἰς τούτους ἐξήγαγες τοὺς λό-
γους. εἰ γὰρ τοῖς ῥήμασιν ἐπίστευσας τοῦ Χριστοῦ, οὐκ ἂν ἠναγκαζόμην τὴν ἀπὸ τῶν
πραγμάτων ἐπισημῆναι παραγαγεῖν. ὁ δὲ ὑπὲρ ἑνὸς ἁμαρτήματος τοσαύτην ἐκχέων
ὀργὴν, καὶ μήτε τοῦ Ἀβραὰμ τὴν ἱκετηρίαν δυσωπηθεὶς, μήτε τοῦ Λώτ· τοσούτων ὄντων τῶν
παρ᾽ ἡμῶν γινομένων ἁμαρτημάτων φείσεται; γέλως ὄντως ταῦτα καὶ λῆρος καὶ πλάνη δια-
βολικὴ καὶ ἀπάτη. εἰ δὲ βούλει καὶ ἐκ τῶν πιστευόντων καὶ προσεχόντων τῷ Θεῷ, βίου δὲ οὐκ
ὄντων ὀρθοῦ, ἰδεῖν τιμωρουμένους, ἄκουσον Παύλου λέγοντος· Μηδὲ πορνεύωμεν, καθώς τινες
ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. εἰ δὲ εἰς τοσοῦτον πορνεία ἴσχυσε,
τί οὐκ ἐργάσεται τὰ ἡμέτερα; εἰ δὲ καὶ μὴ δῷς δίκην νῦν, μὴ θαυμάσῃς. ἐκεῖνοι μὲν γὰρ
οὐκ ᾔδεισαν τὴν γέενναν, διὸ ταῖς παραπόδας ἐκολάζοντο τιμωρίαις· σὺ δὲ ὅσα ἂν ἁμάρ-
τῃς, κἂν μηδεμίαν ὧδε δίκην δῷς, πάντα ἀποτίσεις ἐκεῖ. κἂν γὰρ τὰ αὐτὰ ἁμάρτωμεν
ἐκείνοις, μείζονός ἐσμεν ἐκείνων κολάσεως ἄξιοι. διὰ τί; ὅτι πλείονος ἀπελαύσαμεν χά-
ριτος. ὅταν δὲ πλείω καὶ μείζονα ἐκείνων πταίωμεν, πῶς οὐχ ὑποστησόμεθα τιμωρίαν; εἰ μὲν
γὰρ ἁμαρτάνοντες καὶ μένοντες ἀτιμώρητοι, μὴ ἐγινόμεθα χείρους, κἂν ἀφῆκεν ἡμῖν τὴν κό-
λασιν ὁ Θεός. ἀλλ᾽ οἶδε τοῦτο σαφῶς, ὅτι τῶν ἁμαρτημάτων αὐτῶν οὐκ ἔλαττον ἡμᾶς τὸ μὴ
κολάζεσθαι ἁμαρτάνοντας βλάπτει. διὰ τοῦτο ἐπιτίθησι τὴν τιμωρίαν, οὐ μόνον τῶν ἁ-
πλημμελούντων ἀπαιτῶν δίκην, ἀλλὰ καὶ πρὸς τὰ μέλλοντα διορθούμενος. καὶ ὅτι τοῦτό ἐστιν ἀ-
ληθὲς, ἄκουσον τί φησι πρὸς τὸν Μωϋσέα· Ἄφες με, καὶ θυμωθεὶς ἐκτρίψω αὐτούς. ἄφες
με, ἔλεγεν· οὐχ ὅτι Μωϋσῆς αὐτὸν κατεῖχεν (οὐδὲν γὰρ ἐφθέγξατο πρὸς αὐτὸν, ἀλλὰ σιγῇ
παρειστήκει) ἀλλὰ πρόφασιν αὐτῷ δοῦναι βουλόμενος τῆς ὑπὲρ αὐτῶν ἱκετηρίας. τοῦτο καὶ
ἡμεῖς πολλάκις ποιοῦμεν, καὶ οἰκέτας ἄξια κολάσεως πλημμελήσαντας οὔτε κολάσαι βουλό-
μενοι, οὔτε τοῦ ἐκ τῆς κολάσεως ἀπαλλάξαι φόβου, φίλοις κελεύομεν τῶν ἡμετέρων αὐτοὺς
ἐξαρπάσαι χειρῶν, ὥστε καὶ τὸν φόβον αὐτοῖς ἐνακμάζοντα μένειν, καὶ τὰς παρ᾽ ἡμῶν πληγὰς
διαφυγεῖν.

Ἐκ τοῦ γ' λόγ. εἰς τὸν Ἰωνᾶν καὶ Δανιὴλ, καὶ τοὺς γ' παῖδας. Ἰων. α. α.

Τοῦτο καὶ ἐπὶ τοῦ Ἰωνᾶ γινόμενόν ἐστιν ἰδεῖν. Ἐγένετο γάρ, φησι, λόγος Κυρίου
πρὸς Ἰωνᾶν τὸν προφήτην λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευῒ τὴν πόλιν τὴν με-
γάλην

μέγαλην καὶ κήρυξον ἐν αὐτῇ· ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται· ἀκούσας δὲ Ἰωνᾶς κα-
τέβη εἰς Ἰόππην τοῦ φυγεῖν εἰς Θαρσεῖς ἀπὸ προσώπου Κυρίου. ποῦ φεύγεις, ἄνθρω-
πε; τὸν δεσπότην φεύγεις, εἰπέ μοι; οὐκοῦν μικρὸν ἀνάμεινον, καὶ δι' αὐτῶν τῶν πραγμά-
των μαθήσῃ, ὅτι οὐδὲ τῆς δούλης θαλάσσης τὰς χεῖρας δυνήσῃ διαφυγεῖν. οὐδὲ γὰρ
5 ἐπέβη τῆς νηὸς οὗτος, κἀκείνη τὰ κύματα διανέστησε, καὶ πρὸς ὕψος ἠγείρετο μέγα. καὶ καθά-
περ θεράπαινά τις εὐγνώμων, σύνδουλον εὑροῦσα φυγάδα τῶν δεσποτικῶν ὑφελόμενόν τι
κτημάτων, οὐ πρότερον ἀφίσταται μυρία τοῖς ὑποδεξαμένοις αὐτὸν παρέχουσα πράγμα-
τα, ἕως ἂν λαβοῦσα αὐτὸν ἀπέλθῃ· οὕτω δὴ καὶ ἡ θάλασσα τὸν σύνδουλον εὑροῦσα τὸν ἑαυ-
τῆς καὶ ἐπιγνοῦσα, μυρία τοῖς ναύταις παρεῖχε πράγματα, ταράττουσα, βοῶσα, οὐκ εἰς δι-
10 καστήριον ἕλκουσα, ἀλλ' αὐτάνδρῳ ἀπειλοῦσα καταδύειν τὸ σκάφος, εἰ μὴ τὸν ὁμόδουλον
ἀποδοῖεν αὐτῇ. τούτων γινομένων, ἐποιήσαντο, φησιν, ἐκβολὴν τῶν σκευῶν· τὸ δὲ πλοῖον οὐκ
ἐκουφίζετο· ὁ γὰρ φόρτος ἅπας ἔνδον ἔμενεν ἔτι, τοῦ προφήτου τὸ σῶμα, τὸ βαρὺ φορτίον,
οὐ παρὰ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ παρὰ τὸ τῆς ἁμαρτίας ἄχθος. οὐδὲν γὰρ οὕτω βα-
ρὺ καὶ δυσβάστακτον, ὡς ἁμαρτία καὶ παρακοή. καὶ καθάπερ ἐν δικαστηρίῳ καὶ κατηγόρων πα-
15 ρόντων, καὶ μαρτύρων ἐφεστηκότων, καὶ ἐλέγχων γινομένων, οὐ πρότερον οἱ καταδικάζοντες τὴν
ψῆφον ἐκφέρουσιν, ἕως ἂν αὐτὸς ὁ κατάδικος, κατήγορος τῆς οἰκείας ἁμαρτίας γένηται· οὕτω
δὴ καὶ ἐπὶ τῶν ναυτῶν καὶ τοῦ προφήτου ἐστὶν ἰδεῖν. ἔβαλον γάρ, φησι, κλήρους· καὶ παρέδωκεν ὁ
κλῆρος λοιπὸν τῇ ψήφῳ τὸν ὑπεύθυνον. οἱ δὲ οὐδὲ οὕτως αὐτὸν λαβόντες κατεπόντισαν,
ἀλλὰ θορύβου τοσούτου καὶ ταραχῆς ἐπικειμένης, καὶ τῆς θαλάσσης οὐδὲ ἀναπνεῖν ἐπιτρεπού-
20 σης, ἀλλὰ [καὶ] μαινομένης καὶ καταβοώσης, καὶ συνεχῶς τὰ κύματα ἐπεγειρούσης, ὥσπερ ἡ-
συχίας πολλῆς ἀπολαύοντες, οὕτω δικαστήριον ἐν τῷ πλοίῳ καθίσαντες, καὶ λόγου μετέδωκαν
αὐτῷ, καὶ ἀπολογίας ἠξίωσαν, καὶ πάντα μετ' ἀκριβείας ἐξήταζον, ὥσπερ τινὶ μέλλοντες εὐ-
θύνας παρέχειν, ὧν ἂν ψηφίσοιντο· καὶ οὐδὲ τῆς θαλάσσης καταβοώσης, οὐδὲ τοῦ κλήρου
καταμαρτυρήσαντος, οὐδὲ ἑαυτοῦ καθομολογήσαντος τὸ ἁμάρτημα, τὴν ψῆφον ἐπήνεγκαν.
25 πόθεν οὖν ἡ τοσαύτη γέγονε πρόνοια; ἀπὸ τῆς τοῦ Θεοῦ οἰκονομίας. ὁ γὰρ Θεὸς συνε-
χώρει ταῦτα γίνεσθαι, τὸν προφήτην διὰ τούτων παιδεύων φιλάνθρωπον εἶναι καὶ ἥμερον,
καὶ μονονουχὶ βοῶν πρὸς αὐτὸν καὶ λέγων, μίμησαι τούτους, ἀνθρώπους βαρβάρους καὶ
ἀνοήτους. αὐτοὶ μὲν γὰρ οὐδὲ μιᾶς καταφρονοῦσι ψυχῆς, οὐδὲ ἑνὸς ἀφειδοῦσι σώματος τοῦ σοῦ·
σὺ δὲ ὁλόκληρον πόλιν τοσαύτας ἔχουσαν μυριάδας ἐκδέδωκας, τό γε σὸν μέρος. καὶ οὗτοι μὲν
30 τὸν αἴτιον γεγενημένων αὐτοῖς κακῶν εὑρόντες, οὐδὲ οὕτως ὁρμῶσιν ἐπὶ τὴν καταδικάζου-
σαν ψῆφον· σὺ δὲ οὐδὲν ἔχων ἐγκαλεῖν τοῖς Νινευίταις, κατέδυσας αὐτοὺς καὶ ἀπώλεσας. ἀλλ'
οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων
κατήγοροι. Καὶ πολλοὶ πολλάκις κακῶς τὰ τῶν πραγμάτων καὶ τῆς πολιτείας δια-
κεῖσθαί φασι, καὶ τὴν αἰτίαν ἐκ τῆς τῶν κρατούντων ἀβουλίας γίνεσθαι λέγουσιν· ἐγὼ δέ φη-
35 μι, ὡς οὐχ ἡ τῶν κρατούντων ἀβουλία, ἀλλ' ἡ ἡμῶν ἁμαρτία, ἐκείνη τὰ ἄνω κάτω πεποίη-
κεν, ἐκείνη πάντα τὰ δεινὰ εἰσήγαγεν. οὐκ ἄλλοθεν ἡμῖν ὁ τῶν μιαρῶν ἑσμὸς ὑπερεχέ-
θη. ὥστε κἂν Ἀβραάμ τις ᾖ ὁ κρατῶν, κἂν Μωϋσῆς, κἂν Δαβίδ, κἂν Σολομὼν ὁ σοφώτα-
τος, κἂν ὁ πάντων ἁμαρτωλότερος ἀνθρώπων, ἡμῶν κακῶς διακειμένων, ἀδιάφορον ἔχει
τὴν πρὸς τὰ κακὰ αἰτίαν. τὸ γὰρ κατὰ τὰς καρδίας ἡμῶν λαμβάνειν ἄρχοντας, οὐδὲν ἕτε-
40 ρόν ἐστιν, ἢ τοῦτο, ὅτι προσημαρτηκότες [ἡμῶν, καὶ διὰ τοῦτο] τοιούτου τοῦ προεστηκότος ἐτύχο-
μεν. εἰ δὲ καὶ λίαν δίκαιος ᾖ, καὶ οὕτω δίκαιος, ὡς μέχρι τῆς Μωϋσέως ἀρετῆς ἐληλακέναι,
οὐχ ἡ αὐτοῦ μόνη δικαιοσύνη τὰ ἡμέτερα τῶν ὑπηκόων συγκαλύψαι δυνήσεται πταίσμα-
τα. μᾶλλον δὲ, εἰ βούλεσθε, δείξω ὑμῖν, πῶς καὶ ἡ τοῦ ἑνὸς πολλάκις ἁμαρτία τὴν τῶν
καλῶς πολιτευομένων ὑπερακοντίζει παρρησίαν. Ἰησοῦς ὁ τοῦ Ναυὴ προσέβαλέ ποτε τῇ Ἱε-

Ἐκ τοῦ λόγου τοῦ περὶ εὐταξίας τῆς ἐν δοξολογίαις.

ειχώ, καὶ τὴν ξένην ἐκείνην πολιορκίαν ἐνεργῶν, ἤδη τῶν τειχῶν καταπίπτειν μελλόντων, φησὶ πρὸς τὸν λαόν· Ἔστιν ἀνάθεμα ἡ πόλις αὕτη, καὶ πάντα, ὅσα ἐστὶν ἐν αὐτῇ, Κυρίῳ Σαβαώθ. φυλάξασθε οὖν ἀπὸ τοῦ ἀναθέματος, μή ποτε ἐνθυμηθέντες ὑμεῖς λάβετε ἀπ' αὐτοῦ, καὶ ἐκτρίψεται ἡμᾶς ὁ Θεός. τί οὖν μετὰ ταῦτα; κατέπεσον τὰ τείχη, καὶ ἐν χερσὶ τῶν πολιορκούντων τὰ τῆς πόλεως ἐγένετο. πάντος τοίνυν τοῦ λαοῦ τὴν ἐντολὴν ταύτην διατηροῦντος, ἡ τοῦ ἑνὸς παράβασις εἰς ἅπαν τὸ πλῆθος τὴν τοῦ Θεοῦ ἀνῆψεν ὀργήν. Ἐπλημμέλησαν γάρ, φησιν, οἱ υἱοὶ Ἰσραὴλ πλημμέλειαν μεγάλην· καὶ μίαν εἰς ἣν ὁ πλημμελήσας ὁ Ἀχάρ. πῶς οὖν ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραήλ; Καὶ ἐθυμώθη, φησί, Κύριος τοῖς υἱοῖς Ἰσραήλ. ἀπέστειλε δὲ Ἰησοῦς ἄνδρας ἀπὸ Ἱεριχὼ εἰς Γαΐ· καὶ ἀνέβησαν ὡσεὶ τρισχίλιοι ἄνδρες, καὶ ἔφυγον ἀπὸ προσώπου τῶν ἀνδρῶν Γαΐ, καὶ ἀπέκτειναν ἀπ' αὐτῶν τριάκοντα καὶ ἓξ ἄνδρας. ὅρα μιᾶς ἁμαρτίας εἴσπραξιν, ὅρα πληγὴν ἀπαραμύθητον. εἷς ἐπλημμέλησε, καὶ εἰς ἅπαντα τὸν δῆμον ὁ θάνατος καὶ ἡ δειλία ἐπέπεσε. τί οὖν τοῦτο, ὦ φιλάγαθε δέσποτα; σὺ εἶ μόνος δίκαιος, καὶ εὐθεῖς αἱ κρίσεις σου· σὺ ἑκάστῳ κατὰ τὰ οἰκεῖα ἔργα ἀπονέμεις τὴν κρίσιν· σὺ ἔφης, φιλάνθρωπε, ἐν τῇ οἰκείᾳ ἕκαστον ἀποθανεῖσθαι ἁμαρτίᾳ, καὶ μὴ ἄλλον ἀντιτιμωρηθήσεσθαι ἑτέρου. τίς οὖν αὕτη ἡ δικαία σου ψῆφος; καλὰ σου τὰ πάντα, Κύριε, καὶ λίαν καλά, καὶ πρὸς τὸ συμφέρον ἡμῖν οἰκονομούμενα. διατί τοίνυν ὑπὲρ τῆς ἑτέρου ἁμαρτίας ἑτέροις τὴν τιμωρίαν ἐπήγαγες; λύμη τίς ἐστι, φησιν, ἡ ἁμαρτία· ἐκπεμπέσθω διὰ τῆς τιμωρίας εἰς πάντας, ἵνα μὴ τοὺς πάντας καταλυμήνηται. ὁρᾷς πῶς ἡ τοῦ ἑνὸς ἁμαρτία παντὶ τῷ λαῷ τὴν τιμωρίαν προεξένησεν; ὅρα λοιπὸν καὶ τὸν ἐπονείδιστον αὐτοῦ καὶ ὀλέθριον θάνατον. Καὶ ἀνήνεγκεν αὐτόν, φησιν, Ἰησοῦς εἰς φάραγγα Ἀχώρ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ τοὺς μόσχους αὐτοῦ, καὶ τὰ ὑποζύγια αὐτοῦ, καὶ τὰ πρόβατα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ πάντα ὅσα ὑπῆρχεν αὐτῷ, καὶ ἐλιθοβόλησαν αὐτὰ πᾶς Ἰσραὴλ ἐν λίθοις. Μὴ τοίνυν, ἐπειδὴ μακροθύμως φέρει ὑβριζόμενος ὁ Θεός, διὰ τοῦτο θαρρῶμεν, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μᾶλλον δακνώμεθα. Εἰ γὰρ ἐπ' ἀνθρώπων, ὅταν τις πληγεὶς τὴν δεξιὰν σιαγόνα, δῷ καὶ τὴν ἀριστεράν, μειζόνως ἀμύνεται, ἢ εἰ μυρίας ἔδωκε πληγάς· καὶ ὅταν λοιδορηθεὶς μὴ μόνον ἀντιλοιδορήσῃ, ἀλλὰ καὶ εὐλογήσῃ, χαλεπώτερον ἔπληξεν, ἢ εἰ μυρίοις ὀνείδεσιν ἔπλυνε· πολλῷ μᾶλλον ἐπὶ Θεοῦ δεδοικέναι χρὴ τοὺς ἁμαρτάνοντας διηνεκῶς, καὶ οὐδὲν πάσχοντας δεινόν. καὶ γὰρ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς ἡ ἄφατος αὐτοῖς θησαυρίζεται τιμωρία. Οὐ γὰρ τὸ κολάζεσθαι κακὸν τῷ πλημμελοῦντι, ἀλλὰ τὸ οὕτως ἔχοντα μὴ κολάζεσθαι· ὥσπερ οὖν τὸ τὸν ἀρρωστοῦντα μὴ θεραπεύεσθαι. Ὅταν μὲν γὰρ μικρὰ καὶ εὐτελῆ τὰ κατορθώματα ἡμῶν ᾖ, καὶ πολὺς ὁ τῶν ἁμαρτημάτων ὄγκος, εἶτα ἐνταῦθα εὐπραγίας ἀπολαύσωμεν, καὶ μηδὲν πάσχωμεν δεινόν· καὶ αὐτῆς τῆς τῶν ἀγαθῶν ἀμοιβῆς ἔρημοι καὶ γυμνοὶ πάντως ἀπελευσόμεθα, πάντα ἐνταῦθα ἀπολαβόντες. ὥσπερ οὖν ὅταν μεγάλα μὲν ᾖ τὰ κατορθώματα καὶ πολλά, μικρὰ δὲ καὶ εὐτελῆ τὰ ἁμαρτήματα, εἶτα πάθωμέν τι δεινόν· καὶ αὐτὰ τὰ μικρὰ ἐνταῦθα ἀποθέμενοι, καθαρὰν καὶ ἀπηρτισμένην ἐκεῖ τῶν ἀγαθῶν ἀπολαμβάνομεν τὴν ἀντίδοσιν. Μὴ δὴ τὸ κολάζεσθαι, ἀλλὰ τὸ ἁμαρτάνοντας μὴ κολάζεσθαι μᾶλλον χαλεπὸν εἶναι νομίσωμεν. Εἰ γὰρ καὶ ὁ Θεὸς μὴ ἐκόλαζεν ἡμᾶς, αὐτοὺς ἐχρῆν ἀπαιτῆσαι δίκην ἑαυτούς, οὕτως ἀγνώμονας περὶ τὴν εὐεργέτην γεγενημένους. Εἴπω τι παράδοξον καὶ θαυμαστόν· μείζων ἐστὶ παραμυθία τῷ κολαζομένῳ μετὰ τὸ προσκρούσαι τῷ οὕτω φιλανθρώπῳ, ἐὰν νοῦν ἔχῃ, καὶ φιλῇ τὸν δεσπότην, ὡς φιλεῖν δεῖ, ἢ τῷ μὴ κολαζομένῳ. ὁ γὰρ εἰς τὸν φίλτατον ἠδικηκώς, τότε μάλιστα ἀναπαύεται, ὅταν ἑαυτὸν ἀπαιτήσῃ δίκην, καὶ πάθῃ κακῶς. οὐχ ὁρᾶτε τοὺς ἀποβαλόντας παῖδας γνησίους, ὅτι δι' ἐκείνους καὶ κόπτονται καὶ τρίχας τίλλουσιν, ἐπειδὴ παραμυθίαν ἔχει τὸ κολάζειν ἑαυτοὺς ὑπὲρ τῶν φιλουμένων; Εἰ δὲ ὅτι μηδὲ εἰργασάμεθα ἡμᾶς

τοὺς

Marginal notes: Ἰησ. ϛ. ιζ. — Ἰησ. ζ. α. — Ἐκ τῆς ἑρμηνείας τοῦ πρὸς Κορινθ. α΄ (ἄλλ. β΄) ἐπιστ. — Ἐκ τῆς ἑρμην. τῆς περὶ Ἰωάννου. — Ἐκ τῆς ἑρμην. τῆς περὶ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου. — Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. β΄. ἐπιστ. — κ. τῶν — κ. ἄλλ.

τοὺς φιλτάτους δεινὸν, φέρει παραμυθίαν ἡμῖν τὸ κακῶς παθεῖν, ὑπὲρ ὧν ἐν εὔνοι πεπόνθασιν· ὅταν αὐτοὶ ὦμεν οἱ προξενήσαντες καὶ ὑβρικότες, οὐ πολλῷ μᾶλλον ἡμᾶς ἀναπαύσει τὸ δίκην διδόναι, καὶ τὸ μὴ κολάζεσθαι κολάσει; παντί που δῆλον *. τοῖς γὰρ ὄντως ἐρασταῖς οὐ τὸ κακόν τι παθεῖν ἀηδὲς ὑπὲρ ὧν προὐξένησαν τῷ ἐρωμένῳ, ἀλλ' αὐτὸ παρὰ πάντων, τὸ παροξῦναι τὸν ἀγαπώμενον. κἂν ὀργισθεὶς οὗτος μὴ κολάσῃ, μειζόνως ἐβασάνιζε τὸν ἐραστήν· ἂν δὲ δίκην ἀπαιτήσῃ, μᾶλλον παρεμυθήσατο. Εἴ τις φιλεῖ τὸν Χριστὸν, ὡς φιλεῖν δεῖ, οὐδὲ αὐτοῦ συγχωροῦντος ἀνέξεται μὴ κολάζεσθαι. τὴν γὰρ μεγίστην κόλασιν ὑπομένει ὁ παροξύνας αὐτόν. Καὶ γὰρ οὐκ ἔστιν οὐδεὶς, οὐκ ἔστι, κἂν πατὴρ, κἂν μήτηρ, κἂν φίλος, κἂν ὅστις οὖν, ὃς οὕτως ἡμᾶς ἠγάπησεν, ὡς ὁ ποιήσας ἡμᾶς Θεός. Εἰ δὲ τὰς λύπας μοι λέγεις καὶ τὰς ὀδύνας, καὶ τὰ τοῦ βίου κακὰ, ἐννόησον ὅσα αὐτῷ προσκρούεις καθ' ἑκάστην ἡμέραν, καὶ οὐκέτι θαυμάσῃ, κἂν πλείονα τούτων ἐπέλθῃ κακὰ, ἀλλ' ἂν ἀγαθοῦ τινος ἀπολαύσῃς, τότε καὶ θαυμάσῃ καὶ ἐκπλαγήσῃ. νῦν δὲ τὰς μὲν συμφορὰς ὁρῶμεν τὰς ἐπιούσας, τὰ δὲ προσκρούσματα οὐχ ὁρῶμεν, ἃ καθ' ἑκάστην προσκρούομεν τὴν ἡμέραν, καὶ διὰ τοῦτο ἀλύομεν. ὡς εἴγε μιᾶς ἡμέρας μόνον μετ' ἀκριβείας τὰ ἁμαρτήματα ἡμῶν ἐλογισάμεθα, τότε ἂν ἔγνωμεν καλῶς, πόσων ἂν εἴημεν ὑπεύθυνοι κακῶν. Ἀλλὰ διὰ τοῦτο τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισέρχεται, ὅτι τὰ ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως. Διὰ τοῦτο αἱ ταχισται μεταβολαὶ καὶ μεταπτώσεις, διὰ τοῦτο οἱ συνεχεῖς καὶ ἄωροι θάνατοι, ἐπειδὴ ὡς πρὸς αὐτὸν φθάνοντες τὸν οὐρανὸν, οὕτω διακείμεθα τῷ φρονήματι· καὶ ὡς οὐδέποτε τεθνηξόμενοι, οὕτως ἁρπάζομεν· καὶ ὡς οὐδέποτε δώσοντες λόγον, οὕτω πλεονεκτοῦμεν· καὶ οὐδὲ ὁ τοῦ Θεοῦ λόγος, οὐδὲ αὐτὰ παιδεύει τὰ πράγματα, ἀλλὰ πάντα μάτην, καὶ τῆς σκληρότητος ἡμῶν οὐδὲν καθικνεῖται. οὐδεὶς καταφρονεῖ τῶν ἐν τῇ γῇ, οὐδεὶς πρὸς τὸν οὐρανὸν ὁρᾷ· ἀλλ' ὥσπερ οἱ χοῖροι κάτω νεύουσι πρὸς τὴν γαστέρα κύπτοντες, τῷ βορβόρῳ ἐγκαλινδούμενοι, οὕτω καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων βορβόρῳ χαλεπωτάτῳ ἑαυτοὺς μολύνοντες οὐκ αἰσθάνονται. Βέλτιον γὰρ πηλῷ μολύνεσθαι ἀκαθάρτῳ, ἢ ἁμαρτήμασιν. ὁ μὲν γὰρ ἔξωθεν μολυνθεὶς, ἀπενίψατο ἐν βραχεῖ χρόνῳ, καὶ γέγονεν ὅμοιος τῷ μηδὲ ἐμπεσόντι παρὰ τὴν ἀρχὴν εἰς ἐκεῖνο τὸ τέλμα· ὁ δὲ εἰς τὸ βάραθρον τῆς ἁμαρτίας ἐμπεσὼν, ἐδέξατο μολυσμὸν, οὐχ ὕδατι καθαιρόμενον, ἀλλὰ πολλοῦ δεόμενον χρόνου καὶ μετανοίας ἀκριβοῦς, καὶ δακρύων καὶ κοπετοῦ, καὶ πλείονος θρήνου καὶ θερμοτέρου, ἢ ἐπὶ τοῖς φιλτάτοις ἡμῶν θανοῦσιν ἐπιδεικνύμεθα. Ὥσπερ γὰρ οὐδὲν ὄφελος βασιλέως ἁλουργίδα μὲν περικειμένου καὶ ὅπλα ἔχοντος, οὐδένα δὲ ὑπήκοον κεκτημένου, ἀλλὰ προκειμένου πᾶσι τοῖς βουλομένοις ἐναλλεσθαι καὶ ὑβρίζειν αὐτόν· οὕτω καὶ χριστιανοῦ οὐδὲν ἔσται κέρδος, πίστιν μὲν ἔχοντος καὶ τὴν ἀπὸ τοῦ βαπτίσματος δωρεὰν, πᾶσι δὲ τοῖς πάθεσι παίγνιον προκειμένου. ἀλλ' ὥσπερ ἐκεῖνος οὐ μόνον οὐδὲν ἀπὸ τῆς στολῆς κερδαίνει ταύτης εἰς τὴν οἰκείαν τιμὴν, ἀλλὰ καὶ ἐκείνην καθυβρίζει διὰ τῆς οἰκείας αἰσχύνης· οὕτω καὶ ὁ πιστὸς βίον διεφθαρμένον βιῶν, οὐ μόνον οὐκ αἰδέσιμος ἐντεῦθεν, ἀλλὰ καὶ μειζόνως καταγέλαστος ἔσται. Μὴ τοίνυν καταισχύνωμεν ἡμῶν τὸν βίον, μηδὲ καταγέλαστοι ζῶμεν ζωήν· μηδὲ μολύνωμεν τὸ σῶμα τῇ πορνείᾳ. πῶς γὰρ εἰς ἐκκλησίαν εἰσελθεῖν δυνήσῃ μετὰ τὴν πρὸς τὰς πόρνας ὁμιλίαν; πῶς τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατεῖναι, αἷς τὴν πόρνην περιελάμβανες; πῶς κινῆσαι γλῶτταν, καὶ τὸ στόμα τὸ εὔξασθαι τούτῳ, ᾧ τὴν πόρνην ἐφίλησας; ποίοις ὀφθαλμοῖς ὄψει τῶν εἰς τοῦτο βλεπόντων σε φίλων τοὺς σεμνοτέρους; καὶ τί λέγω τοὺς φίλους; κἂν γὰρ μηδεὶς ὁ συνειδὼς ᾖ, οὐ σαυτὸν ἀναγκασθήσῃ πρὸ πάντων ἐρυθριᾶν καὶ αἰσχύνεσθαι, καὶ πάντων μᾶλλον τὸ ἑαυτοῦ βδελύττεσθαι σῶμα. Εἰ γὰρ μὴ τοῦτο ἦν, τίνος ἕνεκεν ἐπὶ βαλανεῖον μετὰ τὴν ἁμαρτίαν τρέχεις ἐκείνην; οὐκ ἐπειδὴ βορβόρου παντὸς ἀκαθαρτότερον σαυτὸν εἶναι νομίζεις; τίνα οὖν τὸν Θεὸν προσδοκᾷς ψῆφον οἴσειν, ὅταν ὁ πεπλημμεληκὼς σὺ τοιαύτην περὶ τῶν γεγενημένων γνώμην ἔχῃς; Εἰ μὲν

Margin notes:
Ἐκ τῆς ἑρμην. τοῦ κγ' Ματθ. δ' ἀγγ.
Ἐκ τῆς ἑρμην. τῆς πρὸς Γαλ.
Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἑβρ.
Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ.
Ἐκ τοῦ λόγ. εἰς τὸ, Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον ζῇ ὁ ἀνὴρ αὐτῆς.

οὐ σωματικὸς ὁ ῥύπος ἐστὶν, εἰκότως τοῖς τῶν βαλανείων καθαρσίοις ἑαυτὸν ἀποσμήχεις· ἐπεὶ δὲ τὴν ψυχὴν καταῤῥυπάνας ἀκάθαρτον ὅλην ἐποίησας, τοιοῦτον ζήτει καθάρσιον, ὃ τὴν ἐκείνης κηλῖδα ἀποσμῆξαι δυνήσεται. ὡς ἐὰν μὴ τοῦτο ποιῶμεν, κἂν ἁπάσας τὰς ποταμῶν διέλθωμεν τὰς πηγὰς, οὐδὲ μικρὸν τῆς ἁμαρτίας ταύτης ὑφελέσθαι δυνησόμεθα μέρος.

Ἐκ τοῦ λόγου τοῦ κατὰ τὸν Δαβὶδ καὶ τὸν Σαούλ.

Εἴ τις οἰκέτης εἰς κιβώτιον, ἔνθα τὰ δεσποτικὰ ἱμάτια ἀπέκειντο, ἱμάτιον δουλικὸν ῥύπου γέμον καὶ πολλῶν τῶν φθειρῶν ἐναπέθετο, ἆρα ἂν πράως ἤνεγκας τὴν ὕβριν, εἰπέ μοι; τί δὲ, εἴ τις εἰς ἀγγεῖον χρυσοῦν μύρα διηνεκῶς ἔχειν εἰωθὸς, κόπρον καὶ βόρβορον ἐνέχεεν, οὐκ ἂν καὶ πληγὰς ἐπέθηκας τῷ πλημμελήσαντι τοῦτο; εἶτα κιβωτίων μὲν καὶ σκευῶν καὶ ἱματίων καὶ μύρων τοσαύτην ποιούμεθα τὴν πρόνοιαν, τὴν δὲ ψυχὴν τὴν ἡμετέραν πάντων τούτων εὐτελεστέραν εἶναι νομίζομεν; καὶ ἔνθα τὸ μύρον τὸ πνευματικὸν ἐξεχύθη, διαβολικὰς πομπὰς ἐπεμβάλλομεν, καὶ ἀκούσματα σατανικὰ καὶ ᾄσματα ταῦτα πορνείας γέμοντα; καὶ πῶς ταῦτα οἴσει ὁ Θεὸς, εἰπέ μοι; ὅταν γὰρ ὑπὸ τῆς ἐκεῖ θεωρίας διαχυθεὶς, καὶ σωφροσύνης ἁπάσης ἐχθρὸς γενόμενος, ἐπανελθὼν ἴδῃς τὴν γυναῖκα, ἀηδέστερον ὄψει πάντως, οἵα ἂν ᾖ. ὑπὸ γὰρ τῆς ἀκολάστου θεωρίας ἁλοὺς, τὴν μὲν σώφρονα καὶ κοσμίαν καὶ τοῦ βίου παντὸς κοινωνὸν ἀτιμάζεις, ὑβρίζεις, μυρίοις περιβάλλεις ὀνείδεσι· πρὸς δὲ τὴν μιαρὰν καὶ ἀκάθαρτον κεχηνὼς ἐκείνην ἐπιθυμίαν, δι᾽ ἧς τὸ τραῦμα ἐδέξω, καὶ τὴν ἠχὴν τῆς φωνῆς ἔχων ἐγκαθημένην τῇ ψυχῇ ἔναυλον, καὶ τὸ σχῆμα, καὶ τὸ βλέμμα, καὶ τὰ κινήματα, καὶ πάντα τῆς πορνείας τὰ εἴδωλα, οὐδὲν μεθ᾽ ἡδονῆς λοιπὸν τῶν ἐπὶ τῆς οἰκίας ὁρᾷς.

Ἐκ τοῦ λόγου τοῦ εἰς τὸν προφήτην Ἰωνᾶν καὶ Δανιὴλ καὶ τοὺς γ. παῖδας.

Καθάπερ γὰρ οἱ καρηβαρίᾳ καὶ μέθῃ κατεχόμενοι ἁπλῶς καὶ εἰκῇ περιφέρονται, κἂν βάραθρον, κἂν κρημνὸς, κἂν ὁτιοῦν ὑποκείμενον ᾖ, καταπίπτουσιν ἀφυλάκτως· οὕτω καὶ οἱ πρὸς τὴν ἁμαρτίαν ὁρμήσαντες, καθάπερ μέθῃ δεινῇ, τῇ τῆς πράξεως ἐπιθυμίᾳ κατεχόμενοι, οὐκ ἴσασιν ὅπερ πράττουσιν· οὐ τῶν παρόντων, οὐ τῶν μελλόντων τι προορῶσι. καὶ γὰρ τοιοῦτον ἡ ἁμαρτία· μετὰ τὸ πραχθῆναι καὶ τελείως ἀπαρτισθῆναι, τότε τὰς ὠδῖνας ἐγείρει τῇ τεκούσῃ ψυχῇ, ἀπεναντίας τῶν νόμων τῆς ἡμετέρας γεννήσεως. ἡμεῖς μὲν γὰρ ὁμοῦ τεχθέντες τὰς ὠδῖνας λύομεν, ἐκείνη δὲ ὁμοῦ τεχθεῖσα διασπαράττει ταῖς ὀδύναις τοῦ τεκόντος αὐτὴν λογισμούς.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἐν γὰρ τῷ πράττειν τὴν ἁμαρτίαν ὑπὸ τῆς ἡδονῆς μεθύοντες οὐχ οὕτως αἰσθανόμεθα· ἐπειδὰν δὲ γένηται καὶ λάβῃ τέλος, τότε δὴ μάλιστα, τῆς ἡδονῆς σβεσθείσης ἁπάσης, τὸ πικρὸν τῆς μεταμελείας ἐπεισέρχεται κέντρον· καὶ ἐν τῷ γενέσθαι τὴν ἁμαρτίαν, καὶ πρὶν γενέσθαι, καὶ μετὰ τὸ γενέσθαι σφοδρὸς ἐφέστηκε τὸ συνειδὸς ἡμῶν κατήγορος.

Ἐκ τῶν λόγων τῶν εἰς τοὺς ἀνδριάντ.

Τοιοῦτον τὸ τῶν ἁμαρτανόντων τὸ ἔθος ἐστί· πάντα ὑποπτεύουσι, τὰς σκιὰς τρέμουσι, πάντα ψόφον δεδοίκασι, καὶ ἕκαστον ἐπ᾽ αὐτοὺς βαδίζειν νομίζουσι· πολλοὺς γὰρ πολλάκις εἶδον ἐφ᾽ ἑτέραν τρέχοντας διακονίαν, καὶ ἐνόμισαν ἐπ᾽ αὐτοὺς ἥκειν. κἂν ἄλλα ἄλλων πρὸς ἀλλήλους διαλεγομένων, οἱ συνειδότες ἑαυτοῖς ἁμαρτίαν, περὶ αὐτῶν ἐκείνους διαλέγεσθαι νομίζουσι. τοιοῦτον γὰρ ἡ ἁμαρτία, οὐδενὸς ἐλέγχοντος προδίδωσιν, οὐδενὸς κατηγοροῦντος καταδικάζει, καὶ ψοφοδεῆ ποιεῖ καὶ δειλὸν τὸν ἡμαρτηκότα· ὥσπερ οὖν ἡ δικαιοσύνη τοὐναντίον. ἄκουσον καὶ τούτου τὴν δειλίαν, καὶ τοῦ δικαίου τὴν παῤῥησίαν·

Παροιμ. κη.

Φεύγει ὁ ἀσεβὴς, φησι, μηδενὸς διώκοντος. πῶς, οὐδενὸς διώκοντος, φεύγει; ἔνδον ἔχει τὸν ἐλαύνοντα, τὸν τοῦ συνειδότος κατήγορον, καὶ τοῦτον πανταχοῦ περιφέρει· καὶ καθάπερ ἑαυτὸν οὐκ ἂν δυνηθείη φυγεῖν, οὕτως οὐδὲ τὸν ἔνδον αὐτὸν ἐλαύνοντα. ἀλλ᾽ οὐχ ὁ δίκαιος οὕτως· ἀλλὰ πῶς; Δίκαιος ὡς λέων πέποιθε. τοιοῦτος ἦν ὁ Ἠλίας. εἶδεν οὖν τὸν βασιλέα πρὸς αὐτὸν ἐρχόμενον, καὶ, εἰπόντος ἐκείνου, ἵνα τί διαστρέφεις τὸν Ἰσραήλ; οὐκ ἐγὼ, φησι, διαστρέφω, ἀλλ᾽ ἢ σὺ καὶ ὁ οἶκος τοῦ πατρός σου. ἀληθῶς δίκαιος ὡς λέων πέποιθε. καθάπερ γὰρ λέων κυνιδίου τινὸς εὐτελοῦς, οὕτω κατεξανέστη τοῦ βασιλέως. καίτοι πορφυρίδα εἶχεν ἐκεῖνος, ἀλλ᾽ εἶχε μηλωτὴν οὗτος, ἱμάτιον τῆς πορφυρίδος ἐκείνης σεμνότερον. ἡ μὲν γὰρ πορφυρὶς ἐκείνη τὸν λιμὸν ἔτεκε τὸν χαλεπόν· ἡ μηλωτὴ δὲ αὕτη τὰ δεινὰ ἔλυσεν, αὕτη τὸν

Ἰορδάνην

Ἰορδάνην ἔσχισεν, αὕτη τὸν Ἐλισσαῖον διπλοῦν Ἡλίαν ἐποίησεν. Ὅτι μὲν οὖν ἀκαθάρτους ἑαυτοὺς εἶναι νομίζουσιν οἱ τῇ πορνείᾳ ἐγκυλινδούμενοι, σφόδρα ἐπαινῶ καὶ ἀποδέχομαι· ὅτι δὲ οὐκ ἐπὶ τὰ προσήκοντα τῶν καθαρσίων ἔρχονται τρόποι, ἐγκαλῶ διὰ τοῦτο καὶ μέμφομαι. Τὸ μὲν οὖν ἄμεινον, μηδὲ παρέχειν λαβεῖν τῆς μυσαρᾶς ταύτης ἁμαρτίας· εἰ δ᾽ ἄρα τις ὑποσκελισθῇ ποτε, τοιαῦτα ἐπιτιθέτω τὰ φάρμακα πρότερον, ὑποσχόμενος μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν, οἷα τὴν τῆς ἁμαρτίας φύσιν ἐναποσμῆξαι δύναται. ὡς ἐὰν ἁμαρτάνοντες καταγινώσκωμεν τῶν ἤδη γεγενημένων, πάλιν δὲ τοῖς αὐτοῖς ἐπιχειρῶμεν, οὐδὲν ὄφελος ἡμῖν ἔσται τῶν καθαρσίων. ὁ γὰρ ἀπολουόμενος, καὶ τῷ αὐτῷ πάλιν ἐγκυλινδούμενος βορβόρῳ, καὶ ὁ καθαιρῶν πάλιν ὅπερ ᾠκοδόμησε, καὶ οἰκοδομῶν πάλιν ἵνα καθέλῃ, οὐδὲν κερδαίνει πλέον, ἀλλ᾽ ἢ τὸ περιττὰ πονεῖσθαι καὶ ταλαιπωρεῖν. Ἐὰν γὰρ καθ᾽ ἑκάστην ἡμέραν ἁμαρτάνωμεν, καὶ παίωμεν τὴν ψυχὴν τὴν ἡμετέραν, μηδέποτε δὲ αἰσθανώμεθα, καθάπερ οἱ συνεχῆ τραύματα λαμβάνοντες, εἶτα καταφρονοῦντες πυρετοὺς καὶ θανάτους ἑαυτοῖς ἐπισπῶνται· οὕτω δὴ καὶ ἡμεῖς ἐκ τῆς συνεχοῦς ταύτης ἀναισθησίας ἀπαραίτητον ἐπισπασώμεθα τὴν τιμωρίαν. Οὐδὲν γὰρ οὕτως ἀπόλλυσιν ἄνθρωπον, ὡς τὸ τοῦ φόβου ἐκπεσεῖν τοῦ Θεοῦ· ὥσπερ οὐδὲν σώζει, ὡς τὸ διηνεκῶς βλέπειν ἐκεῖ. Εἰ γὰρ ἄνθρωπον ἔχοντες περὶ ὀφθαλμῶν, ὀκνηρότεροι γινόμεθα περὶ τὰ ἁμαρτήματα πολλάκις, καὶ οἰκέτας ἐρυθριάσαντες ἐπιεικεστέρους, οὐδὲν πράττομεν ἄτοπον· ἐννόησον πόσης ἀπολαυσόμεθα ἀσφαλείας, τὸν Θεὸν περὶ ὀφθαλμῶν ἔχοντες. Τὸ μὲν οὖν ἄμεινον, τὸ μηδὲ ὅλως ἁμαρτάνειν, τὸ δὲ μετ᾽ ἐκεῖνο, ἁμαρτάνοντας αἰσθάνεσθαι καὶ διορθοῦσθαι. Εἰ δὲ μηδὲ τοῦτο ἔχοιμεν, πῶς δεησόμεθα τοῦ Θεοῦ, καὶ ἄφεσιν αἰτήσομεν ἁμαρτημάτων, οἱ μηδένα λόγον τούτων ποιούμενοι; ὅταν γὰρ αὐτὸς ὁ πεπλημμεληκὼς μηδὲ αὐτὸ τοῦτο, ὅτι ἥμαρτες, εἰδέναι θέλῃς, ὑπὲρ ποίων παρακαλέσεις τὸν Θεὸν πλημμελημάτων, ὑπὲρ ὧν οὐκ οἶδας; καὶ πῶς εἴσῃ τῆς εὐεργεσίας τὸ μέγεθος; Δεινὸν μὲν γὰρ τὸ αἰσχρὰ πράττειν· τὸ δὲ πράττοντα αἰσχύνεσθαι, ἐξ ἡμισείας ἐστὶ δεινόν. ὅταν μέντοι τις καὶ ἐγκαλλωπίζηται τούτῳ, ὑπερβολὴ ἀναισθησίας ἐστίν. Ὁ μὲν γὰρ μετὰ τὸ πλημμελεῖν καταγινώσκων τῆς ἁμαρτίας, χρόνῳ ποτὲ δυνήσεται ἀνακτήσασθαι· ὁ δὲ ἐπαινῶν τὴν πονηρίαν, τῆς ἐκ τοῦ μετανοῆσαι θεραπείας ἑαυτὸν ἀπεστέρησεν. ὥσπερ οὖν οὐχ οἱ τὰ φαῦλα πράττοντες μόνοι, ἀλλὰ καὶ οἱ τούτους ἐγκωμιάζοντες, τῆς αὐτῆς ἢ καὶ χαλεπωτέρας ἐκείνοις κοινωνοῦσι κολάσεως· οὕτως οἱ τοὺς ἀγαθοὺς ἐπαινοῦντες καὶ θαυμάζοντες, συμμέτοχοι τῶν ἐκείνοις ἀποκειμένων στεφάνων εἰσί. Μὴ οὖν διότι οὐκ ἀλγεῖς ἁμαρτάνων καταφρόνει τῆς ἁμαρτίας, ἀλλὰ διὰ μὲν τοῦτο αὐτὸ μάλιστα στέναζε, ἐπειδὴ οὐκ αἰσθάνῃ τῆς τῶν πλημμελημάτων ὀδύνης· οὐ γὰρ παρὰ τὸ μὴ δάκνειν τὴν ἁμαρτίαν τοῦτο γίνεται, ἀλλὰ παρὰ τὸ ἀναίσθητον εἶναι τὴν πλημμελοῦσαν ψυχήν. Εἰ γὰρ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν κατηγορίας ἄξιός ἐστιν, ὁ ἐπὶ τοῖς ἑαυτοῦ ἀναλγήτως διακείμενος καὶ ἁμαρτάνων, ποίας ἂν εἴη συγγνώμης ἄξιος; Εἰ ὁ Παῦλος τὸ οἰκεῖον παρορᾷ συμφέρον, ἵνα τὸ τῶν ἄλλων εὕρῃ· πόσης οὐκ ἂν εἴημεν ἄξιοι κολάσεως, μηδὲ τῆς οἰκείας ἀποστῆναι βλάβης αἱρούμενοι ὑπὲρ τοῦ τὸ ἑτέρων συμφέρον εὑρεῖν, ἀλλ᾽ ἡδέως μεθ᾽ ἑαυτῶν καὶ ἑτέρους προσαπολλύοντες, δέον καὶ ἑτέρους καὶ ἑαυτοὺς διασῶσαι; Διὰ τοῦτο πτερὰ τοῖς στρουθίοις, ἵνα φύγῃ παγίδα· διὰ τοῦτο λογισμοὶ τοῖς ἀνθρώποις, ἵνα ἐκφύγωσιν ἁμαρτήματα. Ἀλλ᾽ ἀγνοεῖν λέγεις σὺ τὰ ἁμαρτήματα; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Εἰ γὰρ ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι καὶ νόμους γράφεις καὶ τιμωρίας ὁρίζεις, καὶ ἀκριβὴς εἶ δικαστής, ποίαν ἐρεῖς ἀπολογίαν, ἐν οἷς αὐτὸς ἁμαρτάνεις λέγων ἀγνοεῖν τὰ πρακτέα; ἐμοίχευσας καὶ σύ, κἀκεῖνος· τίνος οὖν ἕνεκεν ἐκεῖνον μὲν κολάζεις, σαυτὸν δὲ συγγνώμης ἀξιοῖς; Εἰ μὲν γὰρ ἠγνόεις κακὸν τὴν μοιχείαν, οὐδὲ ἕτερον τιμωρεῖσθαι ἔδει· εἰ δὲ ἕτερον μὲν κολάζεις, σὺ δὲ νομίζεις διαφεύγειν τὴν κόλασιν, πῶς ἂν ἔχοι λόγον,

τὴν

Ἐκ τοῦ λόγου εἰς τό, Γυνὴ δέδεται νόμῳ.

Ἐκ τοῦ λόγου τοῦ, ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Φιλιπ. ἐπιστ.

Ἐκ τοῦ β΄ λόγου τῶν κατὰ τὸν Δαβὶδ καὶ τὸν Σαούλ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τοῦ λόγου τοῦ, τίνος ἕνεκεν ἐκ μέσου γέγονεν ὁ διάβολος.

Ἐκ τοῦ λόγου τοῦ πρὸς τοὺς ἔχοντας συνεισάκτους παρθ.

Ἐκ τῶν λόγων τῶν εἰς τοὺς ἀνδριάντ.

τῶν αὐτῶν ἁμαρτημάτων μὴ τὰς αὐτὰς διδόναι δίκας. ἀπὸ γὰρ τῆς ψήφου, φησίν, ἧς ἤνεγκας καθ' ἑτέρου, ἀπὸ ταύτης σε κρινεῖ ὁ Θεός. εἰ γὰρ σὺ οὐ περιορᾷς ἕτερον ἀδικούμενον, πῶς ὁ Θεὸς περιόψεταί σε; καὶ ἄκουε Παύλου λέγοντος· Λογίζῃ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς κακῶς πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; τὸ σὸν οὐκ ἐξέφυγες κρίμα, καὶ τὸ τοῦ Θεοῦ διαφεύξῃ; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; οὐ γάρ ἐστι ταὐτὸν ἁμαρτάνειν ἁπλῶς, καὶ ἕτερον ἁμαρτάνοντα [καὶ] κολάσαντα τοῖς αὐτοῖς περιπεσεῖν πάλιν. εἰ γὰρ σὺ τὸν ἐλάττονα ἁμαρτάνοντα κολάζεις, καίτοιγε μέλλων αἰσχύνειν σαυτόν, πῶς ὁ Θεὸς τὸν μείζονα πλημμελήσαντά σε, καὶ ταῦτα οὐ μέλλων ἑαυτὸν αἰσχύνειν, οὐ καταδικάσει καὶ κατακρινεῖ μειζόνως, ἤδη κατακεκριμένον ἀπὸ τῶν οἰκείων λογισμῶν; εἰ δὲ λέγεις, ὅτι οἶδα μὲν ὅτι ἄξιός εἰμι κολάσεως, διὰ δὲ τὴν μακροθυμίαν καταφρονεῖς, καὶ διὰ τὸ μὴ δοῦναι παραπόδας δίκην θαρρεῖς· δεδοικέναι μὲν οὖν καὶ τρέμειν διὰ τοῦτο ἂν εἴης δίκαιος. οὐ γὰρ εἰς τὸ μὴ δοῦναι δίκην, ἀλλ' εἰς τὸ δοῦναι χαλεπωτέραν, εἰ μένοις ἀδιόρθωτος ὤν, τὸ μήπω δοῦναι συμβήσεταί σοι.

Ρωμ. β. γ.

Εκ τ̃ ἑρμην. τ̃ πρὸς Ρωμ. ἐπισ.

Καὶ γὰρ ἂν μέγα τις ἁμάρτῃ, λαθὼν δὲ τοῦτο ἐργάσηται καὶ μηδένα σκανδαλίσῃ, ἐλάττονα δώσει δίκην τοῦ καταδεέστερα μὲν ἡμαρτηκότος, μετὰ παρρησίας δὲ καὶ τοὺς πολλοὺς σκανδαλίσαντος. Ὁ μὲν γὰρ εὐτελὴς καὶ ἀπερριμμένος, κἂν ὑποσκελισθῇ καὶ καταπέσῃ, οὐ τοσαύτην τῷ κοινῷ φέρει βλάβην· ὁ δὲ, ὥσπερ ὑψηλῷ τινι, τῇ τῆς ἀρετῆς κορυφῇ, μετὰ πολλῆς τῆς περιφανείας ἑστὼς, καὶ πᾶσι γνώριμος καὶ δῆλος ὤν, καὶ παρὰ πάντων θαυμαζόμενος, ὅταν ἐπηρεασθεὶς καταπέσῃ, μεγάλην τὴν πτῶσιν καὶ ζημίαν ἐργάζεται· οὐχ ὅτι μόνον ἐξ ὕψους κατέπεσεν, ἀλλ' ὅτι καὶ πολλοὺς ῥαθυμοτέρους ἐποίησε τῶν εἰς αὐτὸν βλεπόντων. καὶ καθάπερ ἐν σώματι μελῶν μὲν ἑτέρων διαφθαρέντων, οὐ πολλὴ ἡ βλάβη· τῶν δὲ ὀφθαλμῶν πηρωθέντων, ἢ τῆς κεφαλῆς βλαβείσης, ὅλον τὸ σῶμα ἄχρηστον γίνεται· οὕτω δὴ καὶ ἐπὶ τῶν πολλὰ κατωρθωκότων ἐστὶν εἰπεῖν, ὅταν ἐκεῖνοι σβεσθῶσιν, ὅταν κηλῖδα τινὰ περιστρέψωνται, ὁλόκληροι καὶ ἀφόρητοι τῷ λοιπῷ σώματι τὴν βλάβην φέρουσι.

Εκ τοῦ λόγ. τοῦ πρὸς τοὺς ἔχοντας συνεισάκτους παρθένους

Εκ τ̃ ἀνδριαντ.

Μὴ τοίνυν φοβηθῇς ἐπιβουλὴν δικαστοῦ, ἀλλὰ φοβήθητι ἁμαρτίας δύναμιν. ἄνθρωπός σε οὐ βλάπτει, ἐὰν μὴ σὺ σεαυτὸν βλάψῃς. κἂν μὴ ἔχῃς ἁμαρτίαν, κἂν μυρία ξίφη ἐπίκειται, ἐξελεῖταί σε ὁ Θεός. ἐὰν ἔχῃς ἁμαρτίαν, κἂν ἐν παραδείσῳ ἦς, ἐκπίπτεις. ἐν παραδείσῳ ἦν ὁ Ἀδάμ, καὶ ἔπεσεν· ἐν κοπρίᾳ ἦν ὁ Ἰώβ, καὶ ἐστεφανώθη. τί ὠφέλησεν ἐκεῖνον ὁ παράδεισος; τί ἔβλαψε τοῦτον ἡ κοπρία; ἐκείνῳ οὐδεὶς ἐπεβούλευσε, καὶ ὑπεσκελίσθη· τούτῳ ὁ διάβολος, καὶ ἐστεφανώθη. οὐ τὰ χρήματα αὐτοῦ ἔλαβεν; ἀλλὰ τὴν εὐσέβειαν αὐτοῦ οὐκ ἐσύλησεν. οὐ τοὺς παῖδας αὐτοῦ ἥρπασεν; ἀλλὰ τὴν πίστιν οὐκ ἐσάλευσεν. οὐ τὸ σῶμα αὐτοῦ διέρρηξεν; ἀλλὰ τὸν θησαυρὸν οὐχ εὗρε. τοῦτόν μοι τὸν νόμον τηρήσατε, παρακαλῶ, καὶ γονάτων ὑμῶν ἅπτομαι, εἰ καὶ μὴ τῇ χειρὶ, ἀλλὰ τῇ γνώμῃ, καὶ δάκρυα ἐκχέω· τοῦτόν μοι τὸν νόμον τηρήσατε, καὶ οὐδεὶς ὑμᾶς οὐδέποτε ἀδικῆσαι δυνήσεται.

Εκ τοῦ λόγ. τοῦ ὅτι τ̃ ἐκκλη. ἔξω εὑρεθ. Εὐτρόπ. ἀπαιτ.

Εἴδετε τὸν προφήτην καὶ βασιλέα, τὸν Δαβὶδ λέγω, πολεμοῦντα, πίπτοντα, ἐγειρόμενον, [καὶ] νικῶντα; εἴδετε τὴν ἁμαρτίαν ἐπικειμένην καὶ σφαζομένην διὰ τῆς μετανοίας; βλέπετε αὐτὸν καὶ μετὰ τῆς τοῦ πνεύματος χάριτος, μετὰ τῆς πρὸς Θεὸν παρρησίας, μετὰ κατορθωμάτων πλῆθος, μετὰ τρόπαια τοσαῦτα ἀνακηρύττοντα καὶ λέγοντα· Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου. εἶπες μέγα, εἰπὲ πόσον. ὅτι μέγα, οἶδα· μετρῆσαι δὲ, ἢ καταλαβεῖν οὐ δύναμαι· ἐπὶ τὸ πέλαγος ἐμαυτὸν ἤπλωσα τῆς τοῦ δεσπότου μου φιλανθρωπίας. καὶ τί θέλεις, εἰπέ μοι; ἤκουσας τοῦ προφήτου λέγοντος, Καὶ Κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου· τί πλέον ζητεῖς; οὐ τοῦτο ζητῶ μόνον, φησίν, ἀλλὰ τὸ κάλλος μου ζητῶ, τὴν παρρησίαν μου ζητῶ· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου. ὁρᾷς τί ζητεῖ; καὶ ἔτι πλείονα ζητεῖ λαμπρότητα καὶ μείζονα καθαρότητα. καὶ τί δίδως, ὦ Δαβίδ, ὅτι ταῦτα ζητεῖς; τί δίδωμι; ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. τοῦτο δίδως; καὶ τίς ἐστιν ἄνθρωπος μὴ ἐπιγινώσκων αὐτοῦ τὴν ἁμαρτίαν; ναί, φησι· πόσοι εἰσὶν ἁμαρτάνοντες καὶ παρρησιαζόμενοι;

Εκ τοῦ λόγ. τ̃ εἰς ν. ψαλ.

Ψαλμ. ν. α.

β. Βασ. ιβ.

γ. ζητ.

ρηστιαζόμενοι; πόσοι θλίβουσι τοὺς πλησίον, καὶ οὐ πενθοῦσιν; ἀλλ' ἐγὼ τὴν ἀνομίαν μου γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. ὢ εὐγένεια ψυχῆς· οὐ παρέδωκε τῇ λήθῃ τὴν μνήμην τῆς ἁμαρτίας, ἀλλὰ καὶ συγχωρηθεῖσαν αὐτὴν ἔγραψε, καθάπερ ἐν εἰκόνι, τῷ συνειδότι. καὶ βλέπε τί φησιν· ἐὰν σὺ αὐτῆς μνημονεύσῃς, ὁ Θεὸς αὐτῆς οὐ μνημονεύει· ἐὰν δὲ σὺ ἐπιλάθῃ, ὁ Θεὸς αὐτῆς μέμνηται. ἐποίησάς τι κακόν; μνήσθητι, ἵνα ὁ δεσπότης σου αὐτοῦ ἐπιλάθηται. ἐποίησας ἀγαθόν τι; λάνθανε, ἵνα ὁ δεσπότης σου αὐτὸ εἴπῃ. οὐ γὰρ οὕτω σὺ λέγεις τὰ κατορθώματά σου, ὡς ἐκεῖνος. καὶ πῶς, ἄκουε. ἐὰν δῷς πτωχῷ, ἐρωτώμενος λέγεις, εἶδον πτωχὸν πεινῶντα, καὶ ἔθρεψα αὐτόν· ὁ δὲ δεσπότης σου οὐχ οὕτως· ἀλλὰ πῶς; Πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε. Ἐπειδὰν οὖν ἁμαρτῇς, μὴ τὴν παρ' ἑτέρου κατηγορίαν ἀνάμενε, ἀλλὰ πρὶν ἢ κατηγορηθῇς καὶ διαβληθῇς, σὺ καταγίνωσκε τῶν γινομένων· ὡς ἐὰν ἕτερος ἐλέγξῃ λοιπόν, οὐκέτι τῆς σῆς ἐξομολογήσεως τὸ κατόρθωμά ἐστιν, ἀλλὰ τῆς ἐκείνου κατηγορίας ἡ διόρθωσις. οὐ γάρ τοῦτό ἐστιν ἐξομολογεῖσθαι, τὸ κατηγορεῖν ἑαυτοῦ μετὰ τοὺς ἐλέγχους, ἀλλὰ τὸ πρῶτον ἑαυτοῦ κατηγορεῖν, καὶ τὸ μὴ ἀναμένειν τοὺς παρ' ἑτέρων ἐλέγχους. καὶ γὰρ καὶ ὁ Πέτρος μετὰ τὴν ἄρνησιν ἐκείνην τὴν χαλεπήν, ἐπειδὴ ταχέως ἑαυτὸν ἀνέμνησε τῆς ἁμαρτίας, καὶ μηδενὸς κατηγοροῦντος, καὶ τὴν πλημμέλειαν ἔλεγε, καὶ πικρῶς ἔκλαυσεν· οὕτω τὴν ἄρνησιν ἀπενίψατο, ὡς καὶ πρῶτος γενέσθαι τῶν ἀποστόλων, καὶ τὴν οἰκουμένην ἐγχειρισθῆναι ἅπασαν.

Ἐκ τοῦ ε΄ λόγου τῶν κατὰ Ἰουδ.

Εἰ γὰρ τὰς εἰς τὸν Θεὸν ἁμαρτίας λύειν ἔλαβεν ἐξουσίαν ὁ ἱερεύς, πολλῷ μᾶλλον τὰς εἰς ἄνθρωπον γινομένας αἴρειν καὶ ἀφανίσαι δυνήσεται. ἀρχὴ ἐστὶ καὶ αὕτη, καὶ ἀρχὴ τῆς βασιλέως σεμνοτέρα. καὶ γὰρ αὐτὴν τὴν βασιλικὴν κεφαλὴν οἱ ἱεροὶ νόμοι ταῖς τούτου χερσὶ φέροντες ὑπέταξαν· καὶ ὅταν τι δέοι χρηστὸν γενέσθαι ἄνωθεν, ὁ βασιλεὺς πρὸς τὸν ἱερέα, οὐχ ὁ ἱερεὺς πρὸς τὸν βασιλέα καταφεύγειν εἴωθε.

Ἐκ τοῦ λόγ. τῶν ἀνδριάντ.

Διὰ τοῦτο οὐκ ἀγγέλους ἐκ τῶν οὐρανῶν καταγαγὼν ὁ Θεός, τῆς τῶν ἀνθρώπων φύσεως διδασκάλους ἐποίησεν, ἵνα μὴ διὰ τὸ τῆς φύσεως ὑπερέχον, καὶ τῆς ἀνθρωπίνης ἀσθενείας τὴν ἄγνοιαν, ἀφειδεστέρας ποιῶνται τὰς καθ' ἡμῶν ἐπιτιμήσεις· ἀλλ' ἀνθρώπους θνητοὺς ἔδωκε διδασκάλους καὶ ἱερέας, ἀνθρώπους ἀσθένειαν περικειμένους, ἵνα αὐτὸ τοῦτο τὸ τοῖς αὐτοῖς ὑπευθύνους εἶναι καὶ τὸν λέγοντα καὶ τοὺς ἀκούοντας, χαλινὸς γένηται τῇ τοῦ λέγοντος γλώττῃ, μὴ συγχωρῶν πέρα τοῦ μέτρου ποιεῖσθαι τὰς κατηγορίας. τίνος δὲ ἕνεκεν ταῦτα εἶπον; ἵνα μὴ λέγητε, ὅτι σὺ καθαρὸς ὢν ἁμαρτημάτων, ἀπηλλαγμένος τῆς ὀδύνης τῆς κατὰ τὴν ἐπιτίμησιν, μετὰ πολλῆς τῆς ἐξουσίας ἐπιφέρεις ἡμῖν βαθυτέραν τὴν τομήν. ἐγὼ γὰρ πρότερος αἰσθάνομαι τῆς ὀδύνης, ἐπειδὴ καὶ αὐτὸς ὑπεύθυνός εἰμι τοῖς ἁμαρτήμασι. πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις, καὶ οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν. ὥστε οὐκ ἐν ἀλλοτρίοις φιλοσοφῶν κακοῖς, οὐδὲ ἐξ ἀπανθρωπίας τινός, ἀλλ' ἀπὸ κηδεμονίας πολλῆς τοὺς ἐλέγχους ποιοῦμαι. ἐπὶ μὲν γὰρ τῶν τὰ σώματα ἰατρευόντων, ὁ μὲν ἐπάγων τὴν πληγήν, οὐδεμίαν λαμβάνει τῆς πληγῆς αἴσθησιν, ὁ δὲ τεμνόμενος οὗτός ἐστιν ὁ διαπονούμενος ταῖς ἀλγηδόσι μόνος· ἐπὶ δὲ τῶν ψυχὰς θεραπευόντων οὐχ οὕτως (εἰ μή τι γε σφάλλομαι ἀπ' ἐμαυτοῦ τὰ τῶν λοιπῶν δοκιμάζων). ἀλλ' αὐτὸς πρότερος ὀδυνᾶται ὁ λέγων, ἡνίκα ἂν ἑτέροις ἐπιτιμᾷ. οὐδὲ γὰρ οὕτως ἐλεγχόμενοι παρ' ἑτέρων ἀλγοῦμεν, ὡς ἐλέγχοντες ἑτέρους ὑπὲρ ἁμαρτημάτων, ὧν ἐσμεν ὑπεύθυνοι.

Ἐκ τοῦ λόγ. ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν.

Βούλεσθε μαθεῖν ὅσον κατόρθωμα τὸ τῶν οἰκείων μεμνῆσθαι ἁμαρτημάτων; ἐννόησον τί ποιεῖν ἐπὶ τῆς τῶν χρημάτων εἰώθαμεν δαπάνης. εὐθέως ἀναστάντες ἀπὸ τῆς κλίνης, πρὶν εἰς ἀγορὰν ἐμβαλεῖν, ἢ μεταχειρίσαι τι τῶν ἰδιωτικῶν ἢ δημοσίων πραγμάτων, τὸν οἰκέτην καλέσαντες ἀπαιτοῦμεν τὸν λόγον τῶν δαπανηθέντων, ἵνα ἴδωμεν, τί μὲν κακῶς, τί δὲ εἰς δέον ἀνήλωται, πόσον δὲ ὑπολέλειπται· κἂν ἴδωμεν ὀλίγον τὸ ὑπολελειμμένον, πάντοθεν ἑτέρων προσόδων ἀφορμὰς ἐπινοοῦμεν, ἵνα μὴ λάθωμεν διαφθαρέντες λιμῷ. τοῦτο τοίνυν καὶ ἐπὶ τῶν πράξεων

τῶν ἡμετέρων ποιῶμεν, τὸ συνειδὸς τὸ ἡμέτερον καλέσαντες ποιήσωμεν αὐτῷ λόγον τῶν ῥημάτων, τῶν πραγμάτων, τῶν ἐνθυμήσεων· ἐξετάσωμεν τί μὲν εἰς δέον ἀνήλωται, τί δὲ ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ· ποῖος λόγος ἐδαπανήθη κακῶς, εἰς λοιδορίας, εἰς αἰσχρολογίας, εἰς ὕβρεις· ποῖον ἐνθύμημα τὸν ὀφθαλμὸν εἰς ἀκολασίαν ἐκίνησε· τίς λόγος ἐπὶ βλάβῃ τῇ ἡμετέρᾳ εἰς ἔργον ἐξηνέχθη, ἢ διὰ χειρῶν, ἢ διὰ γλώττης, ἢ διὰ τῶν ὀμμάτων αὐτῶν· καὶ σπουδάσωμεν τῆς μὲν ἀκαίρου δαπάνης ἀποστῆναι, ἀντὶ δὲ τῶν ἅπαξ ἀναλωθέντων κακῶς, ἑτέρας ἀποθέσθαι προσόδους· ἀντὶ τῶν ῥημάτων τῶν εἰκῆ προσενεχθέντων, εὐχάς· ἀντὶ τῶν ὄψεων τῶν ἀκολάστως γινομένων, ἐλεημοσύνας, νηστείας. εἰ γὰρ μέλλοιμεν δαπανᾶν μὲν ἀκαίρως, μηδὲν δὲ ἀποτίθεσθαι, μηδὲ θησαυρίζειν ἑαυτοῖς ἀγαθὸν, εἰς ἐσχάτην καταπεσόντες πενίαν, λήσομεν πρὸς τὴν ἀθάνατον τοῦ πυρὸς ἑαυτοὺς παραπέμποντες κόλασιν. πόσον τοίνυν βέλτιον, πρόσκαιρον κατάνυξιν καὶ ὀδυρμὸν ἀθανάτων ἀλλάξασθαι καλῶν, καὶ ἡδονῆς τέλος οὐκ ἐχούσης, ἢ τὸν βραχὺν τοῦτον καὶ πρόσκαιρον βίον ἐνταῦθα γελάσαντας ἀπελθεῖν, ἐκεῖ κολασθησομένους ἀθάνατα; Εἰ γὰρ Παῦλος, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ὁ καθάπερ ὑπόπτερος τὴν οἰκουμένην διαδραμὼν ἅπασαν, καὶ τῶν σωματικῶν ἀναγκῶν ἀνώτερος γεγονὼς, καὶ τῶν ἀρρήτων ἐκείνων ῥημάτων ἀκοῦσαι καταξιωθεὶς, ὧν μέχρι τῆς σήμερον οὐδεὶς ἄλλος ἤκουσε, γράφων ἔλεγεν· Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι· τί ἂν εἴποιμεν ἡμεῖς, οἱ τοῖς φορτίοις ἁμαρτημάτων βεβαρημένοι, καὶ πρὸς τούτοις πολλὴν τὴν ῥᾳθυμίαν ἐπιδεικνύμενοι; μὴ γὰρ ἀνακωχὴν ἔχει ὁ πόλεμος οὗτος; πάντοτε νήφειν καὶ ἐγρηγορέναι δεῖ, καὶ μηδέποτε ἐν ἀδείᾳ εἶναι, ἐπεὶ μηδὲ ἔστι καιρὸς ὡρισμένος τῆς τοῦ πολεμοῦντος ἡμῖν ἐπιθέσεως. μὴ οὖν ῥᾳθυμῶμεν καὶ ἀναπίπτωμεν, ἵνα μὴ τῶν μελλόντων ἐκπέσωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[Margin: Ἐκ τῆς ε' ... ὁμιλ. — α. Κορ. θ. κζ.]

Λογ. ε. ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ ΚΑΙ ΙΣΧΥΟΣ. 25

[Margin: Ἐκ τοῦ α. λόγ. τοῦ εἰς τὸν Θεόδωρον ἐκπ.]

Δειλὴν καὶ ἄνανδρον τὴν ψυχὴν ἁμαρτία ποιεῖ, οὐ κατὰ φύσιν, ἀλλὰ [κατὰ] προαίρεσιν. ὅταν γὰρ ἴδω τὸν ἀνδρεῖον ποτὲ νῦν δειλὸν, οὐκέτι φύσεως εἶναί φημι τὸ πάθος· τὰ γὰρ τῆς φύσεως ἀμετάθετα. πάλιν ὅταν ἴδω τοὺς ποτὲ νῦν δειλοὺς ἀνδρεῖον τολμήσαντας γινομένους, τὸ αὐτὸ πάλιν ψηφίζομαι· ἐπεὶ καὶ οἱ μαθηταὶ σφόδρα ἦσαν δειλοὶ, πρὶν ἢ μαθεῖν ἅπερ ἐχρῆν, καὶ τῆς τοῦ πνεύματος ἀξιωθῆναι δωρεᾶς, ὕστερον μέντοι λεόντων ἐγένοντο θρασύτεροι. καὶ Πέτρος κορασίου μὴ ἐνεγκὼν ἀπειλὴν, κατὰ κεφαλῆς ἐκρέματο, καὶ ἐμαστιγοῦτο, καὶ μυρία κινδυνεύων οὐκ ἐσίγα. οὔτε τοίνυν παραιτεῖσθαι δεῖ τοὺς ἀγῶνας, οὔτε πρὸς τούτους ἐπιπηδᾶν. οὕτω γὰρ καὶ ἡμῖν ἡ νίκη λαμπροτέρα ἔσται, καὶ ἡ ἧττα τῷ διαβόλῳ καταγελαστοτέρα. ἑλκυσθέντας μὲν γὰρ δεῖ γενναίως ἑστάναι, μὴ καλουμένους δὲ ἡσυχάζειν, καὶ τὸν καιρὸν ἀναμένειν τῶν ἀγώνων, ἵνα καὶ τὸ ἀκενόδοξον καὶ τὸ γενναῖον ἐπιδειξώμεθα.

[Margin: Ἐκ τῆς ε' ὁμιλ. τῆς πρὸς ... ἐπισ.]

Τὸ μὲν γὰρ ἁπλῶς παρρησιάζεσθαι καὶ τῶν τυχόντων πολλάκις ἐστί· τὸ δὲ εἰς τὸ δέον καὶ καιρῷ τῷ προσήκοντι καὶ μετὰ τῆς ἁρμοζούσης συμμετρίας καὶ συνέσεως τῷ πράγματι χρήσασθαι, μεγάλης τινὸς καὶ θαυμαστῆς δεῖται ψυχῆς. ἀνδρεῖος γὰρ ἐκεῖνος μόνος ἐστὶ, κἂν ἐπὶ κλίνης ᾖ βεβλημένος, ὁ τὴν ἰσχὺν οἴκοθεν ἔχων· ὡς ταύτης ἄνευ, κἂν ἥρως τις ἀνταρᾷ τῇ τοῦ σώματος ῥώμῃ, οὐδὲ αὐτὸν κορασίου καὶ παιδίου ταλαιπώρου φαίην ἂν ἰσχυρότερον εἶναι. ὁ μὲν γὰρ ἀσωμάτοις παλαίει κακοῖς, οὗτος δὲ οὐδὲ ἀντιβλέψαι τολμᾷ.

[Margin: Ἐκ τῆς ... ὁμιλ.]

Βούλει τοίνυν μαθεῖν ὡς οὐδὲν ἰσχυρότερον τοῦ πεφραγμένου τῇ ἄνωθεν συμμα-

χίᾳ,

χία, καὶ οὐδὲν ἀσθενέστερον τοῦ ταύτης ἐρήμου τυγχάνοντος, κἂν ὑπὸ μυρίων στρατοπέδων κυκλούμενος ᾖ; ὁ Δαβὶδ νέος ὢν κομιδῇ, καὶ διὰ τὸ τῆς ἡλικίας ἄωρον ἐν τῇ οἰκίᾳ τῇ πατρικῇ διάγων, ὑπὸ τοῦ πατρὸς ἀποστέλλεται ἐπισκέψασθαι τοὺς ἀδελφούς. παραγενόμενος οὖν εἰς τὴν τούτων ἐπίσκεψιν, ἐπειδὴ εἶδε τὸν πόλεμον συνεστῶτα, τὸν τοῦ ἀλλοφύλου Γολιάθ, καὶ πάντα τὸν λαὸν καταπεπληγότα μετὰ τοῦ βασιλέως, πῶς θεατὴς ἐβούλετο γενέσθαι, καὶ ἀπῄει ἰδεῖν τὸ καινὸν καὶ παράδοξον, ὅτι εἷς ἄνθρωπος τοσούτων μυριάδων κατεξανίστατο, καί φησι, Τίς ἐστιν ὁ ἀλλόφυλος οὗτος, ὁ ὀνειδίζων παράταξιν Θεοῦ ζῶντος; καὶ τί ἔσται τῷ ἀνθρώπῳ τῷ τὴν τούτου κεφαλὴν ἐκτεμόντι; ταῦτα γνοὺς ὁ Σαοὺλ μεταπέμπεται τὸν νέον, τὸν τῆς ποιμαντικῆς πλέον εἰδότα οὐδὲν, καὶ ἰδὼν αὐτοῦ τὴν ἡλικίαν, ἐξευτέλισεν. εἶτα μαθὼν παρ᾽ αὐτοῦ ὅπως τοῖς ἄρκτοις ἐκέχρητο, ἡνίκα ἐπῄεσαν τοῖς ποιμνίοις, τὰ οἰκεῖα ὅπλα ἐνδύειν αὐτὸν ἐβούλετο· ὁ δὲ ταῦτα περιθέμενος, οὐδὲ ταῦτα ἐνεγκεῖν ἴσχυσε. τοῦτο δὲ ἐγίνετο, ἵνα δειχθῇ γυμνὴ ἡ τοῦ Θεοῦ δύναμις, ἡ δι᾽ αὐτοῦ ἐνεργοῦσα, καὶ μὴ τοῖς ὅπλοις λογίσωνται τὰ γινόμενα. ἐπειδὴ γὰρ μετὰ τὸ ἐνδύσασθαι ταῦτα ἐχώλευεν, ἀπέθετο τὰ ὅπλα, καὶ τὴν κάδον τὴν ποιμαντικὴν λαβὼν καὶ τὰς βώλους, οὕτως ἐπὶ τὸν σάρκινον πύργον ἐξῄει. ἀλλ᾽ ὁρᾷ πάλιν καὶ τὸν ἀλλόφυλον πρὸς τὸ εὐτελὲς τῆς ἡλικίας ὁρῶντα, καὶ ἐντεῦθεν ἐξευτελίζοντα τὸν δίκαιον. ἐπειδὴ γὰρ εἶδεν αὐτὸν μετὰ τῆς κάδου τῆς ποιμαντικῆς πρὸς αὐτὸν ὁρμήσαντα, καὶ τὰς βώλους μόνας ἐπιφερόμενον, μονονουχὶ πρὸς αὐτὸν ἔλεγεν, ἐνόμισας σὺ πάλαι προβάτοις ἐφιστάναι καὶ κύνας τινὰς ἐκδιώκειν, καὶ διὰ τοῦτο, καθάπερ κύνα τινὰ ἐλαύνων, οὕτω μετὰ τῶν ὀργάνων αὐτῶν ἐπὶ τὴν πρὸς ἐμὲ μάχην ὥρμησας; ἄρτι σε ἡ πεῖρα διδάξει, ὡς οὐ πρὸς τὸν τυχόντα σοι ὁ πόλεμος· καὶ πολλῇ τῇ μεγαλορρημοσύνῃ χρησάμενος, ἐσπούδαζε καὶ ἠπείγετο, καὶ τὴν πανοπλίαν ἐκίνει, καὶ τὰ ὅπλα ἐξέτεινεν. ἀλλ᾽ ὁ μὲν τῇ δυνάμει τῶν ὅπλων πεποιθὼς, ἥπτετο τῆς μάχης· ὁ δὲ τῇ πίστει καὶ τῇ ἄνωθεν συμμαχίᾳ συμφράξας ἑαυτὸν, πρότερον διὰ τῶν ῥημάτων τοῦ ἀλλοφύλου τὸ φρύαγμα κατήνεγκεν, εἰπὼν πρὸς αὐτόν· Σὺ ἔρχῃ πρός με ἐν ὅπλῳ καὶ δόρατι, καὶ τῇ οἰκείᾳ δυνάμει νομίζεις περιγενέσθαι, ἐγὼ δὲ ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ. καὶ ταῦτα εἰπὼν, ἀνελόμενος ἐκ τῆς κάδου τῆς ποιμαντικῆς μίαν βῶλον, καθάπερ ὄντως κύνα τινὰ μέλλων ἀπελαύνειν ἐπιόντα τῇ ποίμνῃ, οὕτω τῇ σφενδόνῃ ἐξακοντίσας, καὶ παραχρῆμα κατὰ τοῦ μετώπου πλήξας, τὸν ἀλλόφυλον κατέβαλε, καὶ σπεύσας καὶ ἀφελόμενος αὐτοῦ τὸ ξίφος, δι᾽ ἐκείνου τὴν κεφαλὴν αὐτοῦ τεμὼν, οὕτως εἰσήνεγκε τῷ βασιλεῖ, καὶ τέλος τῷ πολέμῳ δέδωκε. καὶ δι᾽ ἐκείνου καὶ ὁ βασιλεὺς τὴν σωτηρίαν εὕρετο, καὶ πᾶς ὁ τούτου στρατὸς ἀνέπνευσε. καὶ ἦν ἰδεῖν θαυμαστὰ καὶ παράδοξα πράγματα· τὸν ὡπλισμένον ὑπὸ τοῦ ἀόπλου κατενηνεγμένον, καὶ τὸν τὰ πολεμικὰ ἔμπειρον ὑπὸ τοῦ τῆς ποιμαντικῆς πλέον εἰδότος οὐδέν. τίνος ἕνεκεν καὶ διὰ τί; ὅτι ὁ μὲν τὴν ἄνωθεν συμμαχίαν εἶχε συνεφαπτομένην αὐτῷ, ὁ δὲ ταύτης ἔρημος ὢν ὑπὸ ταῖς τούτου χερσὶν ἐγένετο.

Ὑψηλὸν μὲν οὖν ἐστι καὶ παράδοξον, τὸ μηδὲ δέχεσθαι τὴν ἐπιθυμίαν ἐγγινομένην ἡμῖν, ἀλλ᾽ ἀποσοβοῦντας σβεννύναι. εἰ δὲ τοῦτο οὐ δυνατὸν, κἂν παλαίωμεν, καὶ διαπαντὸς κατέχωμεν. ἂν γὰρ παλαίοντες ἐξέλθωμεν, νενικήκαμεν. οὐ γὰρ ὡς ἐπὶ τῶν ἀθλητῶν, οὕτω καὶ ἐνταῦθα. ἐκεῖ μὲν γὰρ ἂν μὴ καταβάλῃς, οὐκ ἐνίκησας· ἐνταῦθα δὲ ἂν μὴ καταβληθῇς, νενίκηκας καὶ κατέβαλες. καὶ εἰκότως. ἐκεῖ μὲν γὰρ ἀμφότεροι ὑπὲρ νίκης σπουδάζουσι, κἂν ὁ ἕτερος καταβληθῇ, ὁ ἕτερος στεφανοῦται· ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ᾽ ὁ διάβολος ὑπὲρ τῆς ἡμετέρας ἥττης σπουδάζει· ὅταν οὖν αὐτὸν ἀφέλωμεν τούτου, ὑπὲρ οὗ σπουδάζει, ἐνίκησα. οὐ γὰρ ὥστε καταβαλεῖν, ἀλλ᾽ ὥστε συγκαταβληθῆναι ἐπείγεται· καὶ ἡ νίκη αὐτοῦ οὐκ ἐν τῷ στεφανωθῆναι, ἀλλ᾽ ἐν τῷ συναπολέσθαι ἐστίν.

Ἐκ τοῦ β. λόγ. τοῦ εἰς τὸν Ὀζίαν

Εἰ δὲ καὶ βληθείης πολλάκις, μηδὲ οὕτως ἀποστῇς*. τῶν γὰρ μὴ μαχομένων ἐστὶ τὸ μὴ πεπτωκέναι· τὸ δὲ πολλῷ τῷ θυμῷ κατὰ τῶν πολεμίων χωρεῖν, ἔστι

Ἐκ τοῦ α. λόγ. τοῦ εἰς Θεόδωρον ἐκπεσόντα

καὶ

καὶ βληθῆναί ποτε· καὶ οὐκ ἄν τις στρατιώτην ἰδὼν ἐπανήκοντα μετὰ τραύματος ἀπὸ πολέμου
ὀνειδίσειεν. ὄνειδος γὰρ ὅπλα ῥῖψαι καὶ τῶν πολεμίων γενέσθαι· ὡς ἐὰν ἑστήκῃ τις μαχόμενος,
κἂν βάλληται, κἂν ὑποχωρῇ πρὸς βραχύ, οὐδεὶς οὕτως ἀγνώμων, οὐδὲ τῶν πολεμικῶν
ἄπειρος, ὡς ἐγκαλέσαι τούτῳ ποτέ. ὅταν γὰρ τις ἑαυτὸν ἀδικῆσαι μὴ βουληθῇ, ἕτερος τοῦ-
τον οὐκ ἰσχύσει ποτέ. καὶ γὰρ τὰς ἰσχυρὰς τῶν πόλεων ὅπλα μὲν πολλάκις καὶ μηχανήματα τὰ 5
ἔξωθεν οὐκ ἴσχυσε καθελεῖν, προδοσία δὲ ἑνὸς ἢ δύο τῶν ἔνδον οἰκούντων ἀπονητὶ παρέδωκε
τοῖς ἐχθροῖς. ἂν τοίνυν μηδείς σε τῶν ἔνδον προδῷ λογισμῶν, κἂν μυρία προσαγάγῃ μηχανή-
ματα ὁ πονηρός, προσπαίξει μάτην. Τί γὰρ ἂν περὶ τῆς τῶν Μακκαβαίων μητρὸς
εἴποιμεν τῆς γενναίας ἐκείνης; οὐχὶ γυνὴ ἦν; οὐχ ἑπτὰ δέδωκε παῖδας τῷ χορῷ τῶν ἁγίων;
οὐκ εἶδεν αὐτοὺς μαρτυρήσαντας; οὐχ εἱστήκει καθ' ἕκαστον αὐτῶν μαρτυροῦσα; βασανιζομέ- 10
νων γὰρ ἐκείνων, αὕτη τὴν πληγὴν ἐδέχετο. μήτηρ γὰρ ἦν. ἐνόησον πῶς αὐτοὺς ἤλειψε,
πῶς ἑπτὰ ναοὺς τῷ Θεῷ παρέστησεν. εἱστήκει ὁ τύραννος, καὶ ὑπὸ μιᾶς γυναικὸς ἡττώμε-
νος ἀνεχώρει. ἐκεῖνος ὅπλοις ἐπολιόρκει, καὶ αὕτη τῇ προθυμίᾳ περιεγίνετο. ἐκεῖνος κάμι-
νον ἀνῆψε, καὶ αὕτη τὴν τοῦ πνεύματος ἐπὶ πλεῖον ἐξέκαιεν. ἐκεῖνος στρατόπεδον ἐκίνει, καὶ αὐ-
τὴ πρὸς ἀγγέλους μεθωρμίζετο. ἑώρα κάτω τὸν τύραννον, καὶ ἐνενόει τὸν ἄνω βασιλεύοντα. 15
ἑώρα τὰς κάτω βασάνους, καὶ ἐνεθυμεῖτο τὰ ἄνω βραβεῖα. ἑώρα τὴν παροῦσαν κόλασιν, καὶ τὴν
μέλλουσαν ἐνενόει ἀθανασίαν. Τί δὲ ὁ Ἡσαῦ; οὐχὶ μείζων ἦν τοῦ Ἰακώβ; οὐχὶ πρωτότοκος;
οὐχὶ ἀγαπητὸς τῷ πατρί; ἀλλὰ προδοὺς ἑαυτὸν διὰ τῆς ἁμαρτίας, καὶ τῶν πρωτοτοκίων
ἐκπίπτει, καὶ τῷ ἐλάσσονι δουλεύειν καταδικάζεται. Εἶπε γάρ, φησι, Κύριος τῇ Ῥεβέκκᾳ
διὰ τοῦ ἱερέως· δύο ἔθνη ἐν τῇ γαστρί σου ἐστί, καὶ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σου διασταλήσονται, καὶ 20
λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. ὅρα πρόρρησιν ἅπαντα σαφῶς αὐ-
τῇ μηνύουσαν τὰ μέλλοντα γενέσθαι. ἀλλόμενοι γὰρ οἱ παῖδες ἐν τῇ γαστρὶ καὶ σκιρτῶντες, ἤ-
δη προεφώνουν ἅπαντα μετὰ ἀκριβείας. καὶ λοιπὸν ἐμάνθανεν ἡ γυνὴ οὐχ ὅτι μόνον δύο τέ-
ξεται παῖδας, ἀλλ' ὅτι καὶ εἰς ἔθνη οὗτοι ἐκταθήσονται, καὶ ὅτι ὁ ἐλάσσων κυριεύσει τοῦ μείζο-
νος. καὶ ὅτε λοιπὸν ἤγγισεν ὁ καιρὸς τοῦ τεκεῖν, Ἐξῆλθε, φησιν, ὁ πρωτότοκος πυρράκης, ὡσεὶ 25
δορὰ δασύς. καὶ μετὰ ταῦτα ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρ-
νης αὐτοῦ. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Ἰακώβ· μονονουχὶ ἤδη καὶ ἐκ προοιμίων δεικνύντος τοῦ
Θεοῦ, ὅτι περιέσται κατὰ τὰ ῥηθέντα ὁ ἐλάττων τοῦ μείζονος. κατεῖχε γάρ, φησι, τῇ χει-
ρὶ τὴν πτέρναν Ἡσαῦ, ὅπερ ἦν σημεῖον καταγωνιζομένου τὸν ἰσχυρὸν εἶναι δοκοῦντα.
Ἀλλὰ καιροῦ καλοῦντος, ἐπὶ τὸν μακαριώτατον Παῦλον ἤδη τρέψω τὸν λόγον. ἐκ- 30
καίομαι γὰρ εἰς τὸν τοῦ ἀνδρὸς πόθον, καὶ διὰ τοῦτο συνεχῶς αὐτὸν περιστρέφων οὐ παύομαι.
μηδεὶς οὖν ἀποκνήσῃ πρὸς τὴν ἐγχείρησιν. εἰ γὰρ πόλεμος ἡμῖν περιειστήκει βαρβαρικός,
καὶ ἐπὶ τῆς παρατάξεως οἱ πολέμιοι μυρία παρεῖχον ἡμῖν πράγματα, εἶτα ὁ στρατηγὸς
τῶν βαρβάρων, ὁ μυρία προσάγων μηχανήματα, καὶ πάντα συγχέων τὰ ἡμέτερα, καὶ
πολλοῦ θορύβου καὶ ταραχῆς ἐμπιπλῶν, καὶ τὴν πόλιν αὐτὴν ἀπειλῶν κατασκάψειν καὶ πα- 35
ραδώσειν πυρί, καὶ δουλείαν ἡμῖν ἐπανατεινόμενος, ἐξαίφνης ὑπὸ τοῦ βασιλέως τοῦ ἡμετέρου
δεθεὶς αἰχμάλωτος εἰς τὴν πόλιν ἤγετο· οὐκ ἂν ἅπαντες μετὰ γυναικῶν καὶ παιδίων πρὸς
τὴν θεωρίαν ἐκείνην ἐξεπηδήσαμεν; ἐπεὶ δὲ καὶ νῦν πόλεμος συνέστηκεν, Ἰουδαίων θορυβούν-
των καὶ ταραττόντων ἅπαντα, καὶ πολλὰ τῇ τῆς ἐκκλησίας ἀσφαλείᾳ προσαγόντων μηχανή-
ματα, τὸ δὲ κεφάλαιον τῶν πολεμίων ὁ Παῦλος, ὁ πάντων μείζονα καὶ ποιῶν καὶ λέγων, ὁ πάν- 40
τα θορυβῶν καὶ ταράττων· ἔδησε δὲ αὐτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ βασιλεὺς ὁ ἡμέτερος,
ἔδησε καὶ αἰχμάλωτον ἤγαγεν, οὐκ ἐξελθωμεν ἅπαντες ἐπὶ τὴν θεωρίαν ταύτην, ὥστε ἰ-
δεῖν αὐτὸν αἰχμάλωτον ἀγόμενον; καὶ γὰρ οἱ ἄγγελοι ἐκ τῶν οὐρανῶν ὁρῶντες αὐτὸν δεδεμέ-
νον καὶ εἰσαγόμενον ἐσκίρτων· οὐκ ἐπειδὴ δεδεμένον εἶδον, ἀλλ' ἐπειδὴ ἐνενόουν ὅσους ἂν θερα-

πευ

Ἐκ τοῦ β΄ λόγου τοῦ εἰς τὸν Ὀζίαν.

Ἐκ τοῦ ἑξαημ.

Ἐκ τοῦ λόγου τοῦ εἰς τό, Σαῦλος ἔτι ἐμπνέων.

τους ἀπὸ τῶν δεσμῶν λύειν ἔμελλεν· οὐκ ἐπὶ τοῖς χαραγωγουμένοις ἐθεάσατο, ἀλλ' ἐπὶ τοῖς ἐλογίζετο, ὅσους ἔμελλεν ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν χειραγωγεῖν ἐκεῖνος· οὐκ ἐπὶ τοῖς πεπηρωμένοις εἶδον, ἀλλ' ἐπὶ τοῖς ἐνενόουν ὅσους ἔμελλεν ἀπὸ σκότους ἐξάγειν. διὰ τοῦτο κἀγὼ πάντας ἀφεὶς τοὺς ἄλλους, εἰς Παῦλον ἅλλεσθαι σπεύδω· Παῦλος γὰρ καὶ Παύλου πόθος ἠνάγκασεν ἡμᾶς πηδῆσαι τοῦτο τὸ πήδημα. Τί γὰρ τῶν σπλάγχνων τούτων θερμότερον, ὃς πανταχοῦ τῆς οἰκουμένης περιέτρεχε συρόμενος, λιθαζόμενος, δεσμούμενος, ἵνα τοὺς δεδεμένους λύσῃ, καὶ πρὸς ἑαυτὸν μεταστήσῃ; οὐδὲ γὰρ ὡς μαχόμενος οὕτω τὰ πράγματα ἤνυεν, ἀλλ' ὡς ἐπὶ ἑτοίμην καὶ πρόχειρον νίκην ἐρχόμενος, οὕτως ἔστη τὰ τρόπαια κατασκάπτων, καθαιρῶν, καταβάλλων τοῦ διαβόλου τὰ ὀχυρώματα, καὶ τῶν δαιμόνων τὰ μηχανήματα, καὶ οὐδὲ μικρὸν ἀνέπνει, ἀπὸ τούτων πρὸς ἐκείνους, καὶ πάλιν ἀπ' ἐκείνων εἰς ἑτέρους μεταπηδῶν, καὶ καθάπερ τις στρατηγὸς ἄριστος, καθ' ἑκάστην ἡμέραν ἱστῶν τρόπαια, μᾶλλον δὲ καθ' ἑκάστην ὥραν. ἀπὸ γὰρ χιτωνίσκου μόνου εἰς τὴν παράταξιν εἰσελθών, αὐτάνδρους ᾕρει τῶν ἐναντίων τὰς πόλεις, καὶ τόξα, καὶ δόρατα, καὶ βέλη, καὶ πάντα ἡ γλῶττα Παύλου. καὶ γὰρ ἐφθέγγετο μόνον, καὶ παντὸς πυρὸς σφοδρότερον τοῖς πολεμίοις αἱ ῥήσεις ἐμπίπτουσαι τοὺς μὲν δαίμονας ἤλαυνον, τοὺς δὲ ὑπ' αὐτῶν κατεχομένους ἀνθρώπους πρὸς ἑαυτὸν ἐπανῆγον. ὅτε γὰρ τὸν δαίμονα ἐκεῖνον τὸν πονηρὸν ἐξέβαλε, γοήτων αὐτίκα μυριάδες πέντε συνελθοῦσαι, τὰ βιβλία τῶν μαγγανειῶν κατέκαιον, καὶ πρὸς τὴν ἀλήθειαν μεθίσταντο. καὶ καθάπερ ἐν πολέμῳ, πύργου πεσόντος, ἢ τυράννου κατενεχθέντος, οἱ μετ' ἐκείνου πάντες τὰ ὅπλα ῥίψαντες, τῷ στρατηγῷ προστρέχουσιν· οὕτω δὴ καὶ τότε ἐγίνετο. τοῦ γὰρ δαίμονος ἐκβληθέντος, πολιορκηθέντες ἅπαντες, καὶ τὰ βιβλία ῥίψαντες, μᾶλλον δὲ καταλύσαντες, τοῖς Παύλου ποσὶ προσέτρεχον. ὁ δὲ καθάπερ ἐν στρατοπέδῳ τῇ οἰκουμένῃ παραταττόμενος, οὐδαμοῦ ἵστατο, ἀλλ' ὥσπερ τις ὑπόπτερος ὢν πάντα ἐποίει· καὶ νῦν μὲν χωλὸν διώρθου, νῦν δὲ νεκρὸν ἤγειρε, νῦν δὲ ἕτερον ἐπήρου, τὸν μάγον λέγω. καὶ οὐδὲ ἐν δεσμωτηρίῳ κατακλειόμενος ἡσύχαζεν, ἀλλὰ καὶ ἐκεῖ τὸν δεσμοφύλακα μετῆγε πρὸς ἑαυτόν, τὴν καλὴν ταύτην αἰχμαλωσίαν ἐργαζόμενος. θαυμάζεται Δαβὶδ τὸν Γολιὰθ καταφέρων ἀπὸ λίθου μόνου ἑνός· ἀλλ' εἰ τὰ Παύλου κατορθώματά τις ἐξετάσειε, παιδὸς ἔργον ἐκεῖνο, καὶ ὅσον ποιμένος καὶ στρατηγοῦ τὸ μέσον, τοσοῦτον τούτου κἀκείνου τὸ διάφορον. οὗτος γὰρ οὐ λίθον ῥιπτῶν, τὸν νοητὸν Γολιὰθ κατέφερεν, ἀλλὰ φθεγγόμενος μόνον ἅπασαν κατέλυε τοῦ διαβόλου τὴν φάλαγγα. καὶ καθάπερ λέων βρυχώμενος, καὶ φλόγα ἀπὸ τῆς γλώττης ἀφιείς, οὕτω πᾶσιν ἀφόρητος ἦν ἐπιών, καὶ πανταχοῦ μετεπήδα συνεχῶς· ἔδραμεν ἐπὶ τούτους, ἦλθεν ἐπ' ἐκείνους, μετέστη πρὸς τούτους, ἀπεπήδησε πρὸς ἑτέρους· ἀνέμου ταχύτερον ἐπιών, καὶ καθάπερ μίαν οἰκίαν, ἢ πλοῖον ἕν, τὴν οἰκουμένην ἅπασαν κυβερνῶν· καὶ τοὺς μὲν βαπτιζομένους ἀνέλκων, τοὺς δὲ ἰλιγγιῶντας στηρίζων, τοῖς ναύταις παρακελευόμενος, ἐπὶ τῶν οἰάκων καθήμενος, τὴν πρῷραν περισκοπῶν, σχοινία τείνων, κώπην μεταχειρίζων, ἱστίον ἕλκων, πρὸς τὸν οὐρανὸν βλέπων, πάντα αὐτὸς ὤν, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρωρεύς, καὶ ἱστίον, καὶ πλοῖον, καὶ πάντα πάσχων, ἵνα τὰ ἑτέρων λύσῃ κακά. καὶ καθάπερ τις ἀθλητὴς αὐτὸς παλαίων, τρέχων, πυκτεύων, ἢ στρατιώτης τειχομαχῶν, πεζομαχῶν, ναυμαχῶν· οὕτω πᾶν εἶδος μετῄει μάχης, καὶ πῦρ ἐνέπνει, καὶ πᾶσιν ἀπρόσιτος ἦν, ἐνὶ σώματι καταλαμβάνων τὴν οἰκουμένην, καὶ μιᾷ γλώττῃ πάντας τρεπούμενος. οὐχ οὕτως αἱ πολλαὶ σάλπιγγες ἐνέπιπτον τοῖς λίθοις τῆς Ἱεριχουντίων πόλεως, καὶ καθῄρουν αὐτούς, ὡς ἡ Παύλου φωνὴ ἠχοῦσα, τὰ ὀχυρώματα τὰ διαβολικὰ χαμαὶ ἔρριπτε. καὶ πρὸς ἑαυτὸν τοὺς ἐναντίους μεθίστη, καὶ διὰ θυρίδος ἀπὸ τοῦ τείχους ἐχαλάσθη, ἵνα κάτωθεν ἄνω διαπέμψῃ τοὺς ἐρριμμένους χαμαί. καὶ καθάπερ στρατιώτης εἰς τὴν οἰκουμένην πολεμοῦσαν ἔχων ἅπασαν, ἐν μέσοις στρέφοιτο τοῖς τάγμασι τῶν πολεμίων, καὶ μηδὲν πάσχοι δεινόν· οὕτω καὶ Παῦλος μόνος ἐν βαρβάροις, ἐν Ἕλλησι, πανταχοῦ γῆς, παν-

Ἐκ τῆς ἐπιστ. τῆς πρὸς κορ. β'. ἐπισ.

ταχοῦ θαλάττης φαινόμενος, ἀχείρωτος ἔμενε, καὶ ὥσπερ σπινθὴρ εἰς καλάμην καὶ χόρτον
ἐμπιπτων, πρὸς τὴν ἑαυτοῦ φύσιν μετατίθησι τὰ καιόμενα· οὕτω καὶ οὗτος ἅπασιν ἐπιὼν, πάν-
τας μετῆγε πρὸς τὴν ἀλήθειαν. Τί γὰρ τοῦ Νέρωνος ἐνδοξότερον, εἰπέ μοι, κατὰ τὴν τοῦ
κόσμου δόξαν, ἢ τί ὑψηλότερον; τί δὲ Παύλου εὐτελέστερον, ἢ ἀτιμότερον; ὁ μὲν γὰρ τύραννος
ἦν πολλὰ κατωρθωκὼς, πλεῖστα τρόπαια στήσας, πλοῦτον ἔχων ἐπιρρέοντα πανταχόθεν,
στρατόπεδα ἄπειρα, τὸ πλεῖον τῆς οἰκουμένης μέρος ὑποτεταγμένον ἔχων, τὴν βασιλίδα
πόλιν ὑποκειμένην ἔχων, τὴν σύγκλητον ἅπασαν ὑποκύπτουσαν, ὃς καὶ ἐν τοῖς βασιλείοις
αὐτοῖς μετὰ λαμπροῦ περιῄει τοῦ σχήματος· καὶ, εἴποτε ὁπλίζεσθαι ἔδει, ἐν χρυσοῖς καὶ λί-
θοις τιμίοις ὁπλιζόμενος ἐξῄει, εἴποτε ἐν εἰρήνῃ περιϊέναι, ἁλουργίδα περικείμενος· καὶ πολ-
λοὺς ἀεὶ τοὺς δορυφόρους, πολλοὺς τοὺς ὑπασπιστὰς εἶχε· γῆς καὶ θαλάττης δεσπότης ἤ-
κουεν, Αὐτοκράτωρ, Αὔγουστος, Καῖσαρ, βασιλεὺς, καὶ οὐδὲν ἐνέλιπεν ὅλως τῶν εἰς δόξαν·
ἀλλὰ καὶ σοφοὶ, καὶ δυνάσται, καὶ βασιλεῖς αὐτὸν ἔτρεμον, καὶ ἐδεδοίκεσαν. καὶ ἄλλως γὰρ ὠ-
μός τις καὶ ἰταμὸς εἶναι ἐλέγετο οὗτος, καὶ Θεὸς εἶναι ἐβούλετο, καὶ πάντων καταφρονεῖν τῶν εἰ-
δώλων, καὶ αὐτοῦ τοῦ πάντων Θεοῦ, καὶ ὡς Θεὸς ἐθεραπεύετο. ἀλλ' ἀντεξετάσωμεν αὐτῷ
τὸν Παῦλον, εἰ δοκεῖ. Κίλιξ ὁ ἄνθρωπος ἦν, σκυτοτόμος, πένης, τῆς ἔξωθεν παιδείας 15
ἄπειρος, Ἑβραϊστὶ μόνον εἰδὼς, γλῶτταν διασυρομένην παρὰ πολλῶν· ἄνθρωπος πολ-
λάκις ἐν λιμῷ ζήσας καὶ κοιμηθεὶς πεινῶν· ἄνθρωπος γυμνὸς οὐδὲν ἔχων περιβαλέσθαι. καὶ
οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἐν δεσμοῖς μετὰ λῃστῶν, μετὰ γοήτων, μετὰ τυμβωρύχων, μετὰ ἀνδρο-
φόνων βαλλόμενος, αὐτοῦ ἐκείνου κελεύσει τοῦ Νέρωνος, καὶ ὡς κακοῦργος μαστιζόμενος. τίς
οὖν [ἀρτίως] λαμπρότερος; οὐχὶ ἐκείνου μὲν οὐδὲ ὄνομα ἴσασιν οἱ πολλοὶ, τοῦτον δὲ καὶ Ἕλ- 20
ληνες, καὶ βάρβαροι, καὶ Σκύθαι, καὶ οἱ πρὸς αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα καθ' ἑκά-
στην ᾄδουσι τὴν ἡμέραν; τίς δὲ καὶ σεμνότερος, ὁ ἐν δεσμοῖς νικῶν, ἢ ὁ ἐν ἁλουργίδι νικώμε-
νος; ὁ κάτω ἑστὼς καὶ βάλλων, ἢ ὁ ἄνω καθήμενος καὶ βαλλόμενος; ὁ ἐπιτάττων καὶ κατα-
φρονούμενος, ἢ ὁ ἐπιταττόμενος καὶ οὐδένα λόγον ἔχων τῶν ἐπιταγμάτων; ὁ μόνος ὢν καὶ πε-
ριγινόμενος, ἢ ὁ μετὰ μυρίων στρατοπέδων ἡττώμενος; εἰ γὰρ τὸ νικᾶν τοῦ νικᾶσθαι λαμ- 25
πρότερον, πάντως ὁ Παῦλός ἐστιν ἐνδοξότερος. καὶ οὔπω τοῦτο μέγα, ὅτι ἐνίκησεν· ἀλλ'
ὅτι ἐν τοιούτῳ σχήματι τὸν ἐν τοιούτῳ ἐνίκησε. Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε,
ὅτι Παῦλον οὐκ ἀφῆκας λαθεῖν; ὅτι ἔδειξας τῇ οἰκουμένῃ τοιοῦτον ἄνδρα; ᾔνεσάν σε πάντες
ἄγγελοι ὁμοθυμαδὸν, ὅτε τὰ ἄστρα εἰργάσω, καὶ ὅτε τὸν ἥλιον· ἀλλ' οὐχ οὕτως, ὡς ὅτε Παῦλον ἔ-
δειξας τῇ οἰκουμένῃ πάσῃ. διὰ τοῦτο φαιδροτέρα γέγονεν ἡ γῆ τοῦ οὐρανοῦ, ἐπειδὴ φαιδρότερος οὗτος 30
τοῦ ἡλιακοῦ φωτός. καὶ οὗτος μὲν ὁ ἥλιος παραχωρεῖ τῇ νυκτί· ἐκεῖνος δὲ τοῦ διαβόλου περιεγίνετο·
καὶ ὁ μὲν ἀφ' ὕψους φερόμενος, κάτω τὰς ἀκτῖνας ἀφίησιν· αὐτὸς δὲ κάτωθεν ἀνατέλλων, οὐχὶ τὸ
μέσον οὐρανοῦ καὶ τῆς γῆς τοῦ φωτὸς ἐπλήρωσεν, ἀλλ' ἅμα τὸ στόμα ἀνέῳξε, καὶ τοὺς ἀγγέλους ἐνέ-
πλησε πολλῆς τῆς ἡδονῆς. εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς, αὐ-
τὸς δὲ ἐκ πρώτης δημηγορίας μυριάδας πέντε ἀνδρῶν ἐθήρευσε, πόσης οὐκ ἐμπίπλησι χαρᾶς 35
τὰς ἄνω δυνάμεις; καὶ τί λέγω; ἁπλῶς ἀρκεῖ Παῦλον φθέγγεσθαι, καὶ τοὺς οὐρανίους σκιρτᾶν
καὶ εὐφραίνεσθαι. Εἰ τοίνυν Παῦλος, ὁ τοσούτοις κομῶν κατορθώμασι, καὶ καθάπερ ἄγγελος
ἐπὶ τῆς γῆς φαινόμενος, καθ' ἑκάστην ἐσπούδαζε τὴν ἡμέραν κερδαίνειν, καὶ πρὸς τοὺς ὑπὲρ
τῆς ἀληθείας κινδύνους παρατάττεσθαι, καὶ τὴν ἐμπορίαν τὴν πνευματικὴν ἑαυτῷ
συλλέγειν, καὶ μηδέποτε ἵστασθαι· ποίαν ἂν σχοίημεν ἡμεῖς ἀπολογίαν, οἱ μὴ μόνον πάντων 40
ὄντες ἔρημοι τῶν κατορθωμάτων, ἀλλὰ καὶ τοσούτοις ἐλαττώμασιν ὑποκείμενοι, ὧν καὶ ἓν μόνον
παρὸν ἡμῖν, ἱκανὸν εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον καταγαγεῖν, καὶ μηδεμίαν ποιού-
μενοι σπουδὴν κἂν γοῦν ταῦτα διορθοῦν, μήτιγε τῶν τῆς ἀρετῆς ἔργων ἐφάπτεσθαι; ἢ οὐ-
χὶ τῆς αὐτῆς ἡμῖν φύσεως ἦν ὁ μακάριος ἐκεῖνος; ἐκκαίομαι γὰρ εἰς τὸν τοῦ ἀνδρὸς πόθον,

Ἐκ τῆς πρὸς Τιμόθ. β. ἐπ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Φιλιππησίους.

Ἐκ τῆς ἑξαημ.

καὶ διὰ τοῦτο συνεχῶς αὐτὸν περιστρέφων οὐ παύομαι. καὶ ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰ-
κόνα, εἰς τὴν τούτου ψυχὴν ἀφορῶν, λογίζομαι τῶν παθῶν τὴν ὑπεροψίαν, τῆς ἀνδρείας τὴν ὑπερ-
βολήν, τοῦ φίλτρου τοῦ πρὸς τὸν Θεὸν τὸ διάπυρον· καὶ ἐκπλήττομαι. πῶς πᾶσαν μετὰ τῶν ἀρε-
τῶν τὴν συναγωγὴν εἷς ἄνθρωπος βουληθεὶς κατώρθωσεν, ἡμῶν δὲ ἕκαστος οὐδὲ τὸ τυ-
5 χὸν κατορθοῦν βούλεται. τίς οὖν ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως τῆς ἀπαραιτήτου, Παύ-
λου τοσοῦτον μέγεθος ἀρετῆς ἐπιδειξαμένου, τοῦ τῆς αὐτῆς ἡμῖν κοινωνοῦντος φύσεως; τοῦ
τοῖς αὐτοῖς πάθεσιν ὑποκειμένου; τοῦ ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ γεγονότος, καὶ καθ' ἑκά-
στην ἡμέραν, ὡς εἰπεῖν, ἑλκομένου, σπαραττομένου, καὶ δημοσίᾳ συρομένου ὑπὸ τῶν τῷ
κηρύγματι πολεμούντων; καὶ ἵνα μὴ παρὰ τῆς ἡμετέρας γλώττης ἀκούητε τὰ παρὰ τοῦ μακα-
10 ρίου τούτου κατορθώματα, καὶ τὴν ἀνδρείαν, ἣν ὑπὲρ τοῦ τῆς εὐσεβείας κηρύγματος καθ' ἑ-
κάστην ἐπεδείκνυτο, ἀναγκαῖον αὐτοῦ ἀκοῦσαι λέγοντος· Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφρο-
σύνῃ λέγω, τολμῶ κἀγώ. σκόπει ψυχὴν φιλόθεον. οὐ μόνον τόλμαν, ἀλλὰ καὶ ἀ-
φροσύνην τὸ πρᾶγμα καλεῖ, παιδεύων ἡμᾶς μὴ ἁπλῶς ἄνευ ἀνάγκης, μηδενὸς κα-
ταναγκάζοντος, τὰ ὑφ' ἡμῶν γεγενημένα ἐκπομπεύειν, εἴγε τινὲς ἐξ ἡμῶν εὑρηθεῖεν ἀγα-
15 θόν τι ἐργασάμενοι. Ἑβραῖοί εἰσι; κἀγώ. Ἰσραηλῖταί εἰσι; κἀγώ. σπέρμα Ἀβραάμ
εἰσι; κἀγώ. ἐπὶ τούτοις, φησί, μεγαφρονοῦσι; μὴ νομιζέτωσαν λείπεσθαι ἡμᾶς. καὶ γὰρ
καὶ ἡμεῖς τῶν αὐτῶν μετέχομεν. εἶτα ἐπήγαγε· Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λα-
λῶ, ὑπὲρ ἐγώ. θέε μοι ἐνταῦθα τοῦ μακαρίου τούτου τῆς ψυχῆς τὴν ἀρετήν. ἐπειδὴ γὰρ
καὶ τόλμαν καὶ ἀφροσύνην ἐκάλεσε τὸ γεγενημένον ὑπ' αὐτοῦ, καίτοι εἰς τοσαύτην ἀνάγ-
20 κην καταστάς, οὐδὲ οὕτως ἠρκέσθη τοῖς εἰρημένοις· ἀλλ' ὅτε ἔμελλεν ἑαυτὸν δεικνύναι πολ-
λῷ τῷ μέτρῳ ἐκείνους ὑπερακοντίζοντα, ἵνα μή τις νομίσῃ ἀπὸ φιλαυτίας αὐτὸν ταῦτα
φθέγγεσθαι, πάλιν παραφροσύνην καλεῖ τὸ παρ' αὐτοῦ λεγόμενον, μονονουχὶ λέγων· μὴ γὰρ
οὐκ οἶδα ὅτι πρᾶγμα τισὶ τοῖς πολλοῖς παριστάμενον, καὶ οὐκ ἐμοὶ πρέπον; ἀλλ' ἡ πολλή
με ἀνάγκη εἰς τοῦτο συνωθήσασα ἐκβιάζεται. διὸ συγγνῶτέ μοι, φησί, παραφροσύνης
25 ῥήματα φθεγγομένῳ. τούτου κἂν τὴν σκιὰν μιμησώμεθα ἡμεῖς, οἱ τοσαῦτα φορτία ἁμαρ-
τημάτων ἔχοντες ἐπικείμενα, καὶ πολλάκις ἕν τι βραχὺ κατορθοῦντες, καὶ οὐδὲ τοῦτο εἰς τὰ
ταμεῖα τῆς διανοίας φυλάττειν ἀνεχόμενοι, ἀλλὰ διὰ τὸ τὴν παρὰ τῶν ἀνθρώπων θηρᾶ-
σθαι δόξαν ἐκπομπεύοντες, καὶ εἰς μέσον προτιθέντες, καὶ διὰ τῆς ἀκαίρου ταύτης φλυα-
ρίας τῆς παρὰ τοῦ Θεοῦ ἀμοιβῆς ἑαυτοὺς ἀποστεροῦντες. ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτόν
30 τι πέπονθεν· ἀλλ' εἰπών, ὑπὲρ ἐγώ, ἀπαριθμεῖται λοιπὸν τὰ τῆς ἀνδρείας αὐτοῦ κατορθώ-
ματα, καί φησιν· Ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νη-
στείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός. ὅρα πάλιν ἄλλο πέλαγος ἡ-
μῖν πειρασμῶν παρανοιγόμενον. Εἰπὼν γάρ, χωρὶς τῶν παρεκτός, ἠνίξατο, ὅτι τὰ παρα-
λειφθέντα πλείονα εἰκὸς εἶναι τῶν εἰρημένων. καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ πάλιν ἡμᾶς δι-
35 δάσκει τὰς ἐπισυστάσεις καὶ τὰς συστροφάς, ἃς ὑπέμεινεν, οὕτω λέγων· Ἡ ἐπισύστασίς μου
ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. ἰδοὺ πάλιν καὶ τοῦτο ἱκανὸν κατόρθωμα, εἰ
καὶ μόνον τυγχάνει, εἰς αὐτὴν αὐτὸν ἀνάγον τὴν κορυφὴν τῆς ἀρετῆς. ἡ μέριμνα, φησί,
πασῶν τῶν ἐκκλησιῶν· οὐχὶ μιᾶς, καὶ δύο, καὶ τριῶν, ἀλλὰ πασῶν τῶν ἐκκλησιῶν τῶν κατὰ τὴν οἰ-
κουμένην· ὅσην ὁ ἥλιος διατρέχει γῆν τὰς οἰκείας ἀκτῖνας ἀφιείς, τοσαύτην ὁ μακάριος
40 οὗτος εἶχε τὴν μέριμναν καὶ τὴν φροντίδα. εἶδες πλάτος ψυχῆς; εἶδες διανοίας μέγε-
θος; καὶ τὸ ἑξῆς δὲ ἐπαγόμενον πάλιν ἅπαντα, ὡς εἰπεῖν, τὰ εἰρημένα ἀποκρύπτει. τίς γὰρ
ἀσθενεῖ, φησί, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; βαβαί, πόση τοῦ
ἀνδρὸς τούτου ἡ φιλοστοργία; πόση ἡ ἀγρυπνία; πόση ἡ μέριμνα; ποία μήτηρ οὕτω διακό-
πτεται τὰ σπλάγχνα, τοῦ παιδὸς αὐτῆς πυρέττοντος, καὶ ἐπὶ τῆς κλίνης κειμένου, ὡς ὁ μακά-

ειος ἐστὶ ὑπὲρ τῶν ἐν ἑκάστῳ τόπῳ ἀσθενούντων μᾶλλον ἠσθένει, καὶ ὑπὲρ τῶν σκανδα-
λιζομένων ἐπυροῦτο; σκόπει γάρ μοι λέξεως ἔμφασιν. οὐκ εἶπε, τίς σκανδαλίζεται,
καὶ οὐκ ἐγὼ λυποῦμαι; ἀλλά, τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι, φησί; τὴν ἐπίτα-
σιν ἡμῖν τῆς ὀδύνης δηλῶν, καὶ μονονουχὶ δεικνὺς ἐμπυριζόμενον αὐτὸν καὶ καιόμενον ἔνδοθεν
ὑπὲρ τῶν τὰ σκάνδαλα ὑπομενόντων. οἶδα ὅτι εἰς πολὺ μῆκος τὸν λόγον ἐξέτεινα, 5
ἀλλ' οὐκ οἶδ' ὅπως ἐμπεσὼν εἰς τὸν πλοῦτον τῶν κατορθωμάτων τοῦ ἁγίου τούτου, καθά-
περ ὑπὸ ῥύμης τινὸς ὑδάτων σφοδροτάτων, οὕτω τὴν γλῶτταν περιεσύρην. διὸ μέχρι
τούτου στήσας τὸν λόγον, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην διηνεκῶς τοῦτον ἐν διανοίᾳ
περιφέρειν, καὶ τοῦτο λογίζεσθαι συνεχῶς, ὅτι τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐ-
τοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐπιτήδευμα ἔχων εὐτελές, καὶ εὐκαταφρόνητον, καὶ δέρματα 10
ῥάπτων, καὶ ἐπὶ ἐργαστηρίου ἑστηκώς, ἐπειδὴ ἐβουλήθη καὶ ἠθέλησε πρὸς τοὺς τῆς ἀρετῆς πόνους
ἑαυτὸν ἐκδοῦναι, καὶ ἄξιον ἑαυτὸν καταστῆσαι τῆς ὑποδοχῆς τοῦ ἁγίου πνεύματος, διαφιλε-
στέρας ἀπέλαυσε τῆς ἄνωθεν φιλοτιμίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φι-
λανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ
τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 15

ΠΕΡΙ ΑΡΕΤΗΣ ΚΑΙ ΚΑΚΙΑΣ.

Λογ. ϛ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. ἐπιστ.

Εἰσί τινες τῶν ἐνταῦθα τῆς ἀρετῆς ἐπιμελούμενοι, οἱ τὴν ἀπὸ τῆς πό-
λεως ἀναχώρησιν περιπτυξάμενοι, τὰ ὄρη καταλαμβάνουσι. κἂν ἔ- 20
ρηταί τις τῆς ἀναχωρήσεως τὴν αἰτίαν, εὑρίσκει πρόφασιν συγγνώ-
μην οὐκ ἔχουσαν. ἵνα γὰρ μὴ παραπόλωμαι, φησί, μηδὲ ἀμβλύ-
τερος γένωμαι τὴν ἀρετήν, ἀποπηδῶ. καὶ πόσῳ βέλτιον ἀμβλύ-
τερόν σε γενέσθαι, καὶ τοὺς ἄλλους κερδῆσαι, ἢ μένοντα ἐν ὕψει περιο-
ρᾶν ἀπολλυμένους τοὺς ἀδελφούς; ὅταν οὖν οἱ μὲν ἀρετῆς ἀμελῶσιν, οἱ δὲ ἐπιμελούμενοι 25
πόῤῥω τῆς παρατάξεως γίνωνται, πῶς αἱρήσομεν τοὺς ἐχθρούς; εἰ γὰρ καὶ σημεῖα ἦν νῦν, τίς ἂν
ἐπείσθη, ἢ τίς προσέσχεν ἡμῖν τῶν ἔξωθεν, τῆς κακίας οὕτως ἐπιπολαζούσης; καὶ γὰρ ὁ ὀρ-
θὸς βίος ἡμῶν ἀξιοπιστότερος τοῖς πολλοῖς εἶναι δοκεῖ. σημεῖα μὲν γὰρ παρὰ τῶν ἀναισχύντων καὶ
πονηρῶν ἀνθρώπων, καὶ ὑπόνοιαν δέξεται πονηράν· βίος δὲ καθαρὸς καὶ αὐτοῦ τοῦ διαβόλου
τὸ στόμα μετὰ πολλῆς τῆς παῤῥησίας ἐμφράξαι δυνήσεται. Εἰ τοίνυν τὸ εἶναι ἐν τῇ γῇ 30

Ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς

καὶ μὴ εἶναι, τέως καὶ προαιρέσει ἐστί, ἔξεστι δὲ μὴ εἶναι ἐν τῇ γῇ τὸν βουλόμενον, ὡς τοὺς περὶ
τὸν Παῦλον, ἀποστήσωμεν ἑαυτοὺς τῆς γῆς, καὶ πρὸς τὸν οὐρανὸν ἀνέλθωμεν. οὐδὲν γάρ ἐστι
τὸ κωλῦον ἡμᾶς πάντας ὑπερβαλέσθαι, εἴγε βουλοίμεθα. εἰ γὰρ τέχνας οὕτω κατορθοῦμεν
ὑπερβαινούσας τοὺς πολλούς, πολλῷ μᾶλλον ὃ μὴ τοσούτου δεῖται πόνου. τί γάρ, εἰπέ μοι,
χαλεπώτερον τοῦ διὰ σχοίνου τεταμένης βαδίζειν, καθάπερ ἐπὶ ἰσοπέδου, καὶ ἄνω περιπα- 35
τοῦντα ὑποδύεσθαι καὶ ἀποδύεσθαι, καθάπερ ἐπὶ κλίνης καθήμενον; τί δέ, εἰπέ μοι,
χαλεπώτερον, τὸ κόντον ἐπὶ τοῦ μετώπου λαβεῖν, εἶτα ἐπιθέντα ἄνω παιδίον, μυρία ποι-
εῖν καὶ τέρπειν τοὺς θεατάς; οὐχὶ οὕτω φρικτὸν ἡμῖν εἶναι τὸ πρᾶγμα δοκεῖ, ὡς μη-
δὲ θέλειν θεάσασθαι, ἀλλὰ δεδοικέναι καὶ τρέμειν καὶ πρὸς τὴν ὄψιν αὐτήν; ἀλλὰ πάν-
των τούτων εὐκολωτέρα ἡ ἀρετή, ἐὰν βουλώμεθα καὶ εἰς αὐτὸν τὸν οὐρανὸν ἀναβῆναι. καὶ μή μοι 40
λέγε· θέλω, ἀλλ' οὐ δύναμαι. εἰ γὰρ πράγματός τινος ἐντὸς γενέσθαι βουλόμενοι, οὐχὶ
τὸ θελῆσαι μόνον ἀρκούμεθα, ἀλλὰ καὶ τοῦ πράγματος ἁπτόμεθα· πολλῷ μᾶλλον εἰς τὸν οὐ-
ρανὸν ἀνελθεῖν βουλόμενοι, τῆς πρακτικῆς ἀρετῆς δεησόμεθα. Εἰ δὲ βούλει μαθεῖν, ὡς

Ἐκ τῆς πρὸς Ἐφεσίους ἐπιστ.

οὐκ ἔστιν ἐπίπονος ἡ ἀρετή, οὐδὲ δυσκατόρθωτος, ἐννόησόν μοι τοὺς ἐν τοῖς ὄρεσιν ἡσυχάζον-

ται· οἳ καὶ οἰκίας ἀφιᾶσι καὶ γυναῖκας καὶ παῖδας, καὶ προστασίαν ἅπασαν, καὶ ἐκτὸς ἑαυτοὺς τοῦ κόσμου ποιήσαντες, σάκκον περιθέμενοι, σποδὸν ὑποστρωσάμενοι, κλοιὰ τῷ τραχήλῳ ἐξαρτήσαντες, ἐν οἰκίσκῳ μικρῷ κατακλείσαντες ἑαυτούς, οὐδὲ μέχρι τούτου ἵστανται· ἀλλὰ καὶ νηστείαις καὶ λιμῷ διηνεκεῖ κατατείνουσιν ἑαυτούς. καὶ μή μοι εἴπῃς ὅτι ἐκεῖνοι ἠδυνήθησαν· πολλοὶ γὰρ πολλῷ ἀσθενέστεροί σου καὶ πλουσιώτεροι καὶ τρυφερώτεροι τὸν σκληρὸν ἐκεῖνον καὶ τραχὺν ἀπεδέξαντο βίον. ἀλλὰ καὶ μέγας ἐκεῖνος ὁ ἀγών, καὶ ὑψηλὸς ὁ σκόπελος, καὶ ἐγγὺς τοῦ οὐρανοῦ ἡ κορυφή, καὶ οὐ δύνασαι φθάσαι πρὸς τὸ μέγα; οὐκοῦν κἂν τῶν ἐλαττόνων ἔχου, καὶ τῶν κατωτέρων ἐφίεσο. οὐ δύνασαι κενῶσαι τὰ χρήματα; κἂν τὰ τῶν ἄλλων μὴ ἅρπαζε. οὐ δύνασαι νηστεῦσαι; κἂν μὴ εἰς τρυφὴν σαυτὸν ἐξαγάγῃς. Τοσαῦτα γὰρ παθόντος τοῦ Χριστοῦ δι' ἡμᾶς ἐχθροὺς ὄντας, τί δυνάμεθα ἐπιδεῖξαι ἡμεῖς, ὧν δι' αὐτὸν πεπόνθαμεν; οὐδέν. πόθεν οὖν ἡμῖν ἡ παρρησία ἔσται κατ' ἐκείνην τὴν ἡμέραν; οὐκ ἴστε ὅτι καὶ ὁ στρατιώτης, ὅταν τραύματα καὶ ὠτειλὰς ἐπιδείκνυται, τότε δυνήσεται λαμπρῶς ἑστάναι παρὰ τῷ βασιλεῖ· ἂν δὲ μηδὲν ἔχῃ δεῖξαι κατόρθωμα, κἂν μηδὲν ᾖ προσκεκρουκώς, ἐν τοῖς ἐσχάτοις ταχθήσεται; ἀλλ' οὐκ ἔστι πολέμου καιρός, φησιν. εἰ γὰρ ἦν, εἰπέ μοι, τίς ἂν ἠγωνίσατο; τίς ἂν ἐπεπήδησε; τίς ἂν τὴν φάλαγγα διέῤῥηξε; τάχα οὐδείς. ὅταν γὰρ ἴδω ὅτι χρημάτων οὐ καταφρονεῖς ἕνεκεν τοῦ Χριστοῦ, πῶς σοι πιστεύσω ὅτι πληγῶν καταφρονήσεις; εἰπέ, φέρε, τοὺς ὑβρίζοντας γενναίως, καὶ εὐλόγει· καὶ τοῦτο οὐ ποιεῖς, ἀλλὰ παροξύνεις. ὃ κίνδυνον οὐκ ἔχει, οὐ ποιεῖς, καὶ πληγὰς οἴσεις, εἰπέ μοι, ἔνθα πολὺ τὸ τῆς ὀδύνης καὶ τὸ τῆς ἀλγηδόνος; Μὴ τοίνυν ἑαυτοὺς ἀπατῶμεν λέγοντες, ἵνα τέως μὲν ἀπολαύσωμεν τῶν ἡδονῶν τοῦ βίου, ὕστερον δὲ ὀλίγον χρόνον πονέσαντες, τοῦ παντὸς χρόνου ληψόμεθα τὸν μισθόν. εἰ γὰρ τὴν ἐπὶ γῆς βασιλείαν μετὰ τὸ πολλοὺς μὲν ὑπομεῖναι κινδύνους, πολλοὺς δὲ ἀνύσαι πολέμους, μόλις τις ὄψεται μετὰ παρρησίας· πῶς τὴν οὐράνιον ἰδεῖν δυνήσεταί τις τὸν ἅπαντα χρόνον ἑτέρῳ ζήσας καὶ στρατευσάμενος; Ἔλαβες εὐγένειαν παρὰ τοῦ Θεοῦ; τί προδίδως τὴν ἀρετὴν τῆς φύσεως; τί ποιεῖς, εἰπέ μοι; ἕτεροι τέχνας ἔχουσι, τὰ ἄλογα, κατὰ τὸ ἐγχωροῦν, εἰς ἀνθρώπων εὐγένειαν μετατιθέναι, ψιττακοὺς καὶ κίσσας παιδεύοντες φωνὴν ἀνθρωπίνην φθέγγεσθαι· καὶ τῇ τέχνῃ τὴν φύσιν βιάζονται· λέοντας ἡμέρους ἐργάζονται διὰ τῆς ἀγορᾶς ἕλκοντες. σὺ τὸν λέοντα ἥμερον ποιεῖς, καὶ σαυτὸν λύκων ἀγριώτερον καθιστᾷς; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι τῶν μὲν ἀλόγων ἕκαστον ἓν ἐλάττωμα ἔχει, ἐπὶ δὲ ἀνθρώπου πονηροῦ, οὐκ ἔτι τοῦτο. οὐδὲ γὰρ ἓν ἐλάττωμα πολλάκις κέκτηται ἄνθρωπος, ἀλλὰ καὶ τὰς τῶν πολλῶν ἀλόγων κακίας εἰς τὴν ἑαυτοῦ συνάγει ψυχήν. μή μοι οὖν δείξῃς ὅτι ψυχὴν ἀνθρώπου ἔχεις, ἀλλ' εἰ εἶ τὸ φρόνημα ἄνθρωπος. ἄρχων εἶ τῶν ἀλόγων, καὶ γ[illegible]ινας τῶν ἐν σοὶ ἀλόγων παθῶν δοῦλος; πῶς οὖν σε καλέσω ἄνθρωπον, ὃς οὐκ ἔχεις τῆς βασιλείας τὸ σύνθημα; ἐννόησον κατὰ τίνος εἰκόνα ἐγένου, καὶ μὴ κατενεχθῇς εἰς τὴν τῶν ἀλόγων εὐτέλειαν. Καθάπερ γὰρ ἐν τοῖς θεάτροις οἱ τὴν σχοῖνον τὴν κάτωθεν ἄνω τεταμένην ἀναβαίνειν καὶ καταβαίνειν μελετῶντες, ἂν μικρὸν παραβλέψωσι παρατραπέντες κατενεχθήσονται κάτω καὶ ἀπολοῦνται· οὕτω καὶ οἱ τὴν πνευματικὴν ὁδεύοντες ὁδόν, ἂν μικρὸν ῥαθυμήσωσι, κατακρημνίζονται. καὶ γὰρ ἐκείνης τῆς σχοίνου ἡ ὁδὸς αὕτη καὶ στενοτέρα, καὶ ὄρθιος καὶ προσάντης μᾶλλόν ἐστι, καὶ ὑψηλοτέρα πολλῷ· πρὸς γὰρ αὐτὸν ἄνω τείνεται τὸν οὐρανόν· καὶ τότε ἡμῖν σφαλερώτερα ἔσται τὰ βήματα, ὅταν ἄνω καὶ πρὸς αὐτῇ γενώμεθα τῇ κορυφῇ. τοῖς γὰρ ἐφ' ὕψους ἑστῶσι πολὺς ὁ τρόμος, καὶ μία μόνον ἀσφάλεια λείπεται, τὸ μὴ κατακύψαι κάτω, μηδὲ εἰς τὴν γῆν ἰδεῖν. καὶ γὰρ πολὺς ἐντεῦθεν καὶ χαλεπὸς ὁ σκοτόδινος γίνεται. Καὶ ὥσπερ ἐπὶ τῆς κιθάρας οὐκ ἀρκεῖ μόνον ἀπὸ μιᾶς νευρᾶς τὴν μελῳδίαν ἐργάσασθαι, ἀλλὰ πάσας ἐπιέναι δεῖ μετὰ ῥυθμοῦ τοῦ προσήκοντος· οὕτω καὶ ἐπὶ τῆς κατὰ ψυχὴν ἀρετῆς οὐκ ἀρκεῖ ἡμῖν νόμος εἷς εἰς σωτηρίαν, ἀλλὰ δεῖ πάντας αὐτοὺς μετὰ ἀκριβείας φυλάττειν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσ. α. ἐπισ.

Ἐκ τοῦ α΄. λόγ. τῶν εἰς Θεόδ. ἐκπεσόντα.

Ἐκ τοῦ λόγ. εἰς τό, Μὴ φοβοῦ ὅταν πλουτίσῃ ἄνθ.

Ἐκ τοῦ ε΄. λόγ. εἰς τὸν Ὀζίαν.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν τῷ ἀνθρώπῳ οἰκοδεσπότῃ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Τί γὰρ ὄφελος, εἰπέ μοι, ὅταν τις εὔχηται μὲν ἐκτενῶς, μὴ ἐλεῇ δὲ δαψιλῶς; ἢ ὅταν ἐλεῇ μὲν δαψιλῶς, πλεονεκτῇ δὲ καὶ βιαζόμενος; ἢ ὅταν [μὲν] μὴ πλεονεκτῇ, μηδὲ βιαζόμενος, πρὸς ἐπίδειξιν δὲ ἀνθρώπων καὶ φιλοτιμίαν τῶν ὁρώντων; ἢ ὅταν ἐλεῇ μὲν μετὰ πάσης ἀκριβείας, καὶ πρὸς τὸ τῷ Θεῷ δοκοῦν, ἐπαίρηται δὲ αὐτῷ τούτῳ καὶ μέγα φρονῇ; ἢ ὅταν ταπεινὸς μὲν ᾖ καὶ νηστείαις προσέχων, φιλάργυρος δὲ καὶ ἐμπορικὸς, καὶ τῇ γῇ προσηλωμένος, καὶ τὴν μητέρα τῶν κακῶν ἐπεισάγων τῇ ψυχῇ τὴν φιλαργυρίαν; Οὐκ ἔνι γάρ, φησι, Θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ.

Διὰ τοῦτο καὶ ὁ φιλάνθρωπος Θεὸς οὕτως ᾠκονόμησε κατὰ ταυτὸν ἀπολαύοντας εἶναι, καὶ τοὺς πονηροὺς καὶ τοὺς ἀγαθοὺς ἀναμεμίχθαι, ἵνα καὶ τῶν πονηρῶν ἡ κακία ἐκκόπτηται, καὶ τῶν ἀγαθῶν ἡ ἀρετὴ λαμπροτέρα δείκνυται, καὶ τὰ μέγιστα κερδαίνωσιν οἱ ῥᾴθυμοι, ἐὰν βούλωνται, ἀπὸ τῆς τῶν σπουδαίων συνουσίας.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ὥσπερ γὰρ οἱ καλοὶ καὶ ἀγαθοὶ διπλῆς ἄξιοι τιμῆς, ὅτι καὶ χρηστοὶ γεγόνασι, καὶ οὐδὲν παρὰ τῶν πονηρῶν ἐβλάβησαν· οὕτω καὶ οἱ φαῦλοι διπλῆς ἄξιοι κολάσεως, ὅτι τε πονηροὶ γεγόνασι, δυνάμενοι γενέσθαι καλοί, καὶ ὅτι οὐδὲν ἀπὸ τῶν ἀγαθῶν ἐκέρδανον. καὶ ὥσπερ τοὺς ἀγαθοὺς οὐχ οἱ ἀγαθοὶ μόνον, ἀλλὰ καὶ οἱ πονηροὶ θαυμάζουσιν· οὕτω καὶ τοὺς κακοὺς οὐχ οἱ χρηστοὶ μόνον, ἀλλὰ καὶ οἱ φαῦλοι μισοῦσιν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἀλλ' οἱ πολλοὶ τοὺς πονηροὺς θαυμάζουσιν, ὡς ἱκανοὺς ὄντας ἀδικεῖν καὶ βλάπτειν, οὐκ εἰδότες ὅτι μάλιστα πάντων αὐτοὺς ταλανίζειν ἐχρῆν, ὅτι νομίζοντες ἑτέρους βλάπτειν, καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦσιν· ὅπερ ἀνοίας ἐστὶν ἐσχάτης, ἑαυτὸν πλήττοντα, μηδὲ αὐτὸ τοῦτο εἰδέναι, ἀλλὰ ἕτερον δοκεῖν ἀδικεῖν ἐν ᾧ κατασφάττει ἑαυτόν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Οὐ γὰρ τὸ ἀδικεῖσθαι κακόν, ἀλλὰ τὸ ἀδικεῖν, καὶ μὴ εἰδέναι φέρειν ἀδικούμενον. πόσα γὰρ ἠδικεῖτο ὁ Δαβίδ; πόσα δὲ ἠδίκει ὁ Σαούλ; τίς οὖν γέγονεν ἀθλιώτερος καὶ ἐλεεινότερος; τίς δὲ λαμπρότερος καὶ μακαριώτερος; οὐχ ὁ μὲν ἀπεπνίγετο ὑπὸ τῆς ἀθυμίας καὶ τοῦ πονηροῦ δαίμονος, ὁ δὲ ὑπὲρ τὸν ἥλιον ἔλαμπε τοῖς τε τροπαίοις, καὶ τῇ πρὸς Θεὸν εὐνοίᾳ; οὐχ ὁ μὲν ἀπηγχονίζετο τῷ φθόνῳ, ὁ δὲ σιγῇ πάντα φέρων, ἅπαντας εἷλε καὶ ἑαυτῷ προσέδησεν, ἐπειδὴ ὁ μὲν ἀνελεῖν ἐπεχείρει πολλάκις, ὁ δὲ διωκόμενος τὸν πολέμιον εἰς χεῖρας ἐλάμβανε, καὶ λαμβάνων ἐφείδετο; τίς ἀσθενέστερος, τίς δὲ ἀδυνατώτερος δείκνυται; οὐχ ἐστὶν ὁ μηδὲ δικαίως ἐπεξελθών; καὶ μάλα εἰκότως. ὁ μὲν γὰρ στρατιώτας ὡπλισμένους, ὁ δὲ τὴν δικαιοσύνην, τὴν μυρίων στρατοπέδων ἰσχυροτέραν εἶχε σύμμαχον καὶ βοηθόν. ὅτε δὲ αὐτὸς ἐστὶν ὁ ἀδικηθεὶς καὶ ἰσχύσας ἠδίκησεν ὕστερον, ὅρα πῶς ἀσθενέστερος γέγονεν. ἠδίκησε τὸν Οὐρίαν, καὶ μετέστη πάλιν ἡ τάξις, καὶ ἡ μὲν ἀσθένεια πρὸς τὸν ἀδικήσαντα, ἡ δὲ δύναμις πρὸς τὸν ἀδικηθέντα διέβη, καὶ νεκρὸς ὢν, ἐπόρθει τὴν οἰκίαν τὴν ἐκείνου. καὶ αὐτὸς μὲν βασιλεὺς ὢν καὶ ζῶν οὐδὲν ἴσχυσεν, ἐκεῖνος δὲ καὶ στρατιώτης ὢν καὶ σφαγεὶς, πάντα τὰ ἐκείνου ἄνω καὶ κάτω πεποίηκεν.

Ἐκ τοῦ α' λόγ. τῶν περὶ προνοίας.

Ὅταν οὖν ἴδῃς τινὰ ὀρθῶς ζῶντα καὶ ἀεὶ πρὸς εὐσέβειαν βλέποντα, κἂν μυρίας ἀλύσεις περικέηται, καὶ δεσμωτήριον οἰκῇ διαπαντὸς, κἂν ἀναξίοις δουλεύῃ, κἂν πεινῇ, κἂν ἐξορύττηται, κἂν κείρηται, κἂν κατὰ μικρὸν δαπανᾶται τὸ σῶμα, κἂν ὁτιοῦν ἄλλο πάσχῃ δεινόν, μακάριζε τὸν τοιοῦτον καὶ ζηλωτὸν εἶναι νόμιζε. ὅταν δὲ ἴδῃς ἕτερον ἐν ἀσελγείᾳ καὶ πονηρίᾳ καὶ τοῖς ἐσχάτοις ζῶντα κακοῖς, καὶ πολλῆς ἀπολαύοντα τιμῆς, ἐπὶ τὸν θρόνον αὐτὸν ἀναβαίνοντα τὸν βασιλικόν, καὶ διάδημα περικείμενον, καὶ ἁλουργίδα ἔχοντα, καὶ τῆς οἰκουμένης ἁπάσης κρατοῦντα, δάκρυσον διὰ τοῦτο τὸν τοιοῦτον, καὶ ταλάνιζε. οὐδὲν γὰρ ὄντως ἀθλιώτερον τῆς οὕτω διακειμένης ψυχῆς, κἂν ἅπασαν ὑποτεταγμένην ἔχῃ τὴν οἰκουμένην.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

τί γὰρ ὄφελος ἐν χρήμασι πλουτεῖν, ὅταν κατὰ τὴν ἀρετὴν πάντων πενέστερος ᾖ; τί δὲ κέρδος τοσούτων κρατεῖν, ὅταν ἑαυτοῦ καὶ τῶν ἑαυτοῦ παθῶν περιγενέσθαι μὴ δύνηται;

Ἐκ τοῦ β' λόγου τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Εἰ γὰρ οὐκ ἀρκεῖ εἰς σωτηρίαν ἡμῖν ἡ καθ' ἡμᾶς αὐτοὺς ἀρετή, ἀλλὰ δεῖ καὶ ἑτέρους ἔχοντας ἀπελθεῖν· ὅταν μήτε ἑαυτούς, μήτε ἑτέρους διασώσωμεν, τί πεισόμεθα; πόθεν λοιπὸν ἐλπίδα σωτηρίας ἕξομεν;

Εἰ τὸ εὐαρεστεῖν τῷ Θεῷ, τοῦτό ἐστιν

ἀνθρώποι

ἄνθρωπον εἶναι· ὁ μηδέ, ὅπως τοῦτο κατορθώσειεν, ἀκοῦσαι θέλων, τί ἂν ἕτερον, ἢ θηρίον εἴη;
ἐννόησον οὖν ὅσον ἂν εἴη κακόν, τοῦ Χριστοῦ θέλοντος ἡμᾶς ἐξ ἀνθρώπων ἰσαγγέλους ποιῆ-
σαι, αὐτοὺς ἐξ ἀνθρώπων εἰς θηρία μεταπεσεῖν. τὸ γὰρ τῇ γαστρὶ δουλεύειν, καὶ τῇ τῶν
χρημάτων ἐπιθυμίᾳ κατέχεσθαι, καὶ ὀργίζεσθαι, καὶ δάκνειν, καὶ λακτίζειν, οὐκ ἀνθρώπων,
ἀλλὰ θηρίων ἐστίν. Ὥσπερ οὖν εἰς ῥαθυμίαν ἀποκλίνοντες καὶ ὑπὸ τῶν τυχόντων
βλαπτόμεθα, οὕτως ἐὰν βουλώμεθα νήφειν, κἂν μυρίοι ὦσιν οἱ πρὸς τὴν κακίαν ἕλκοντες,
οὐδεὶς ἡμῶν τὴν σπουδὴν λυμήνασθαι δυνήσεται. Εἰ δὲ θέλεις μαθεῖν ὅτι ἐν τῇ φύσει
ἔπηξεν ὁ Θεὸς τοὺς νόμους, τοὺς διακρίνοντας τί καλὸν καὶ τί πονηρόν, αὐτὴν τὴν ἡμῶν ἀναστρο-
φὴν ἐρώτησον· πῶς ἅπαντες οἱ ποιοῦντες τὰ κακὰ φεύγουσι τῶν κακῶν τὴν προσηγο-
ρίαν. ὁ μοιχὸς μοιχεύει, μοιχὸς δὲ ἀκούων αἰσχύνεται. εἰπὲ τῷ ὁμολογουμένῳ μοιχῷ, μοι-
χέ, καὶ ὃ ποιῶν ἥδεται, ἀκούων αἰσχύνεται. εἰπὲ τῷ ἐπιόρκῳ, ἐπίορκε, καὶ εἰς ὕβριν λαμ-
βάνει τὴν προσηγορίαν τῶν ἰδίων ἔργων. Εἰ οὖν καλὸν ἡγῇ τὴν ἁμαρτίαν, τί φεύγεις
τὴν προσηγορίαν; ἀλλ' εἰπὲ τῷ σώφρονι, σῶφρον· καὶ οὐ τῷ ἔργῳ ἥδεται, οὐδὲ τὴν προσ-
ηγορίαν αἰσχύνεται. κάλεσον τὸν δίκαιον, δίκαιον· καὶ τῷ ἔργῳ στεφανοῦται, καὶ τῇ προση-
γορίᾳ σεμνύνεται. κἂν γὰρ δι' εὐλάβειαν παραιτήσηται τὸ ὄνομα, ἀλλ' ἐν τῇ ψυχῇ δέχεται
τὴν εὐφημίαν. καὶ οὐδεμίαν δὲ πάλιν εὑρήσει τις κακίαν ἐξ οἰκείου προσώπου φαινομένην,
ἐὰν μὴ δανείσηται πρόσωπον ἀρετῆς. καὶ πῶς, ἄκουε. ὁ ψευδόμενος οὐχ ὁμολογῶν τὸ
ψεῦδος ψεύδεται, ἀλλ' ἀλήθειαν ὑποκρινόμενος ἀπατᾷ. ὁ δόλιος οὐ δείκνυσι τὸν δόλον, ἀλλὰ
σχηματίζεται τὴν φιλίαν, καὶ πραγματεύεται τὴν πονηρίαν. ὁ συκοφάντης, ὅταν εἰσ-
έλθῃ εἰς δικαστήριον, οὐ τοῦτο ὁμολογήσας ὅπερ ἐστὶν εἰσέρχεται· ἀλλὰ μάρτυρα ἀληθείας
προσποιησάμενος τῷ σχήματι, διὰ τοῦ ψεύδους τὸν μάρτυρα τῆς κακίας ἐνδείκνυται. ἀλλὰ
καὶ ἡ ψυχὴ ἡ ἡμετέρα, κἂν ἐν κακίαις ἐμφύρηται, τὸ ὄνομα τὸ ἀγαθὸν ἀσπάζεται. πολλοὶ
γὰρ πολλάκις δυνάσται πλεονεξίαν πνέοντες, καὶ μηδὲν ἕτεροι ἐννοοῦντες, ἢ ἁρπαγὴν καὶ
ἀδικίαν, δυσωποῦνται παρά τινων, ἢ ἀνεῖναι τῷ πένητι τὴν ἐπικειμένην ἀνάγκην, ἢ συγ-
χωρῆσαί τι τοῦ χρέους, ἢ μὴ ἀμύνασθαι τοὺς λυπήσαντας, ἢ λυπεῖν νομισθέντας. καὶ ὁ ἐλθὼν
καλῶς πρεσβεῦσαι παρὰ ἀνδρὶ δυνάστῃ καὶ πονηρῷ, οὐκ εὐθέως ἀπὸ τῆς ἀληθείας ἄρχε-
ται, καὶ λέγει αὐτῷ ὅ ἐστιν, ἀλλὰ προστίθησιν αὐτῷ ὄνομα ἀρετῆς· ἀνὴρ εἶ, φησιν, ἀγαθός·
διαβεβόηταί σου τὸ ὄνομα· πάντες σου τὰς εὐπραγίας ᾄδουσι· καὶ πολλὰ τοιαῦτα συνά-
πτει, ἵνα καμφθῇ τῇ εὐφημίᾳ, καὶ φύγῃ τὴν πονηρίαν. ὅρα πῶς ἡ κακία νικᾶται ταῖς εὐ-
φημίαις τῆς ἀρετῆς. Οὐδεὶς κακὸς κακῶς ἀκούειν βούλεται· ἡ γὰρ φύσις τὸ ἴδιον ἀσπά-
ζεται, εἰ καὶ ἡ προαίρεσις τοὐναντίον αἱρεῖται. Μὴ τοίνυν λέγωμεν, ὅτι ὁ δεῖνα φύσει κα-
λός, καὶ ὁ δεῖνα φύσει κακός. εἰ γὰρ φύσει ἀγαθός, οὐδέποτε δυνήσεται γενέσθαι κακός·
καὶ εἰ φύσει κακός, οὐκ ἄν ποτε γενήσεται ἀγαθός. Εἰ γὰρ μὴ ἐν τῇ προαιρέσει ἡμῶν
ἔκειτο τὸ πονηροὺς εἶναι καὶ ἀγαθούς, μηδὲ αὐτεξούσιον ἡμῶν τὴν φύσιν ὁ φιλάνθρωπος κα-
τεσκεύασεν, ἐχρῆν ἅπαντας εἶναι κακοὺς τοὺς τῆς φύσεως κοινωνοῦντας, καὶ τοῖς αὐτοῖς πάθεσιν
ὑποκειμένους, ἢ πάντας εἶναι ἐναρέτους. ὅταν δὲ ἴδωμεν τοὺς ὁμογενεῖς ἡμῶν, καὶ ὑπὸ τῶν
αὐτῶν παθῶν ἐνοχλουμένους, οὐ τὰ αὐτὰ ἡμῖν ὑπομένοντας, ἀλλὰ καὶ ἐρρωμένῳ τῷ λογισμῷ
ἡνιοχοῦντας τὴν φύσιν, καὶ περιγινομένους τῶν ἀτάκτων σκιρτημάτων, καὶ πάσης τῆς τοῦ πα-
ρόντος βίου ἀνημερείας καταγελῶντας, καὶ πρὸς τὴν ἀληθῆ δόξαν ἐπτοημένους, οὐκ εὔδη-
λον ὅτι τῇ οἰκείᾳ σπουδῇ ταῦτα κατορθοῦν δύνανται μετὰ τὴν ἄνωθεν χάριν; καὶ ἡμεῖς τῇ
οἰκείᾳ ῥαθυμίᾳ κεχρημένοι προδιδόαμεν ἡμῶν τὴν σωτηρίαν, ἐρήμους ἑαυτοὺς καθιστῶντες
τῆς ἄνωθεν εὐνοίας; Μηδεὶς τοίνυν ἕτερόν τινα αἰτιάσθω, ὡς πρὸς τοὺς τῆς ἀρετῆς πό-
νους αὐτὸν ἐμποδίζοντα, ἀλλὰ τῇ οἰκείᾳ ῥαθυμίᾳ τὸ πᾶν ἐπιγραφέτω. καὶ τί λέγω ἕτερον;
μηδὲ αὐτὸν τὸν διάβολον νομιζέτω τις ἱκανὸν εἶναι κωλῦσαι τὴν ἐπὶ τὴν ἀρετὴν φέρου-
σαν

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ.

Ἐκ τοῦ λόγ. τοῦ ἐς τὴν περὶ φύσεως νόμων

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. ἁγ.

Ἐκ τῆς ἑξαημ.

Ἐκ τῆς ἑξαημ.

σαι ὁδὸν δύνασθαι· ἀλλ' ἀπατᾷ μὲν καὶ ὑποσκελίζει τοὺς ῥαθυμοτέρους, οὐ μὴν κωλύει καὶ βιάζεται. καὶ τοῦτο αὐτὴ τῶν πραγμάτων ἡ πεῖρα δείκνυσιν, ὅτι ἡνίκα ἂν βουλώμεθα νήφειν, τοσοῦτον τὸν τόνον ἐπιδεικνύμεθα, ὡς μηδὲ πολλῶν ὄντων τῶν προτρεπόντων ἐπὶ τὴν τῆς κακίας ὁδὸν ἀνέχεσθαι τῆς συμβουλῆς, ἀλλὰ παντὸς ἀδάμαντος στερροτέρους ἡμᾶς γίνεσθαι, καὶ ἀποφράττειν τοῖς τὰ φαῦλα συμβουλεύουσι τὰς ἀκοάς. ὅταν δὲ ῥαθυμῶμεν, καὶ μηδενὸς ὄντος τοῦ συμβουλεύοντος ἢ ὑποσκελίζοντος, οἴκοθεν κινούμενοι ἐπὶ τὴν κακίαν ὁρμῶμεν.

Ἐκ τῆς ἑρμην. τ. ἑξαημ.

Ἔστι μὲν οὖν καὶ καθ' ἑαυτὴν ἡ ἀρετὴ θαυμαστή· ὅταν δὲ ἐν μέσῳ τῶν κωλυόντων τυγχάνων τις ταύτην μετίῃ, πολλῷ μᾶλλον θαυμαστοτέραν ταύτην ἀποφαίνει. οὐ γὰρ ὁ τόπος τὴν ἀρετήν, ἀλλ' ἡ ἀρετὴ πέφυκε τὸν τόπον σεμνύνειν.

Ἐκ τοῦ λόγ. ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν.

Καὶ τῆς μὲν ἑνὸς ἀρετῆς πολλοὶ συναπολαύουσι καὶ τῶν πονηρῶν· τῇ δὲ πολλῶν κακίᾳ, κἂν εἷς ὁ κατορθῶν ᾖ μεταξὺ δήμου πολλοῦ, οὐ συγκαταφέρεται. καὶ εἷς μὲν ἄνθρωπος ὀρθῶς ζῶν, δῆμον ὁλόκληρον ἐξαρπάσαι δύναται τῆς ὀργῆς τοῦ Θεοῦ· πόλις δὲ ὁλόκληρος διεφθαρμένη πρὸς τὴν οἰκείαν κόλασιν καὶ τιμωρίαν ἐπισπάσασθαι τὸν εὖ βιοῦντα καὶ καθελεῖν οὐ δύναται. καὶ τοῦτο ἀπὸ τοῦ Νῶε δῆλον. πάντων οὖν ἀπολλυμένων διεσώζετο μόνος. καὶ ἀπὸ τοῦ Μωϋσέως φανερόν· μόνος γοῦν ἴσχυσε δῆμον τοσοῦτον παραιτήσασθαι. ἐγὼ δὲ καὶ ἕτερον ἔχω τῆς φιλανθρωπίας τοῦ Θεοῦ δεῖγμα εἰπεῖν. ὅταν γὰρ ζῶντας ἀνθρώπους καὶ παρρησίαν ἔχοντας μὴ εὕρῃ δυναμένους ἐξαιτήσασθαι τοὺς ἡμαρτηκότας, ἐπὶ τοὺς τελευτήσαντας καταφεύγει, καὶ δι' ἐκείνους φησὶν ἀφίεσθαι τὰ ἁμαρτήματα. ὥσπερ οὖν τῷ Ἐζεκίᾳ φησίν· Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου, τὸν ἤδη τετελευτηκότα.

Ἐκ τῶν λόγ. τῶν εἰς τοὺς ἀνδριάντ.

Εἶδες πόση τῶν ἁγίων ἡ ἀρετή; οὐ γὰρ τὰ ῥήματα αὐτῶν μόνα, ἀλλὰ καὶ αὐτὰ τὰ ἱμάτια τῇ κτίσει πάσῃ πάντοτέ ἐστιν αἰδέσιμα. ἡ τοῦ Ἡλίου μηλωτὴ τὸν Ἰορδάνην ἔσχισε· τὰ ὑποδήματα τῶν τριῶν παίδων τὸ πῦρ κατεπάτησαν· τὸ ξύλον τοῦ Ἐλισσαίου τὰ ὕδατα μετέβαλε, καὶ σίδηρον ὑπὲρ τῆς ἐμφανείας βαστάζειν ἐποίησεν· ἡ ῥάβδος Μωϋσέως τὴν ἐρυθρὰν ἔσχισε θάλατταν, τὴν πέτραν ἔρρηξε· τὰ ἱμάτια Παύλου δαίμονας ἤλασαν· αἱ σκιαὶ Πέτρου θάνατον ἐφυγάδευσαν· ἡ τέφρα τῶν ἁγίων μαρτύρων πονηροὺς ἀπελαύνει δαίμονας. διὰ τοῦτο μετ' ἐξουσίας ἅπαντα πράττουσι, καθάπερ ὁ Ἠλίας. οὐ γὰρ δὴ μόνον ἑώρα τὸ διάδημα καὶ τὴν ἔξωθεν φαντασίαν τοῦ βασιλέως, ἀλλ' ἑώρα καὶ τὴν ψυχὴν ῥάκια περιβεβλημένην, αὐχμῶσαν, ῥυπῶσαν, καὶ καταδίκου παντὸς ἀθλιώτερον διακειμένην· καὶ ἰδὼν αὐτὸν αἰχμάλωτον καὶ δοῦλον ὄντα τῶν παθῶν, κατεφρόνησεν αὐτοῦ τῆς ἀρχῆς. καθάπερ γὰρ ἐπὶ τῆς σκηνῆς, ἀλλ' οὐκ ἐπὶ τῆς ἀληθείας ἐδόκει βασιλέα βλέπειν. τί γὰρ ὄφελος τῆς ἔξωθεν εὐπορίας, ὅταν τὰ ἔνδον ἐν πενίᾳ τοσαύτῃ ᾖ; τί δὲ βλάβος τῆς ἔξωθεν πενίας, ὅταν ἔνδον τοσοῦτος ἀπόκειται θησαυρός; τοιοῦτος λέων ἦν καὶ ὁ μακάριος Παῦλος. εἰσελθὼν γὰρ εἰς τὸ δεσμωτήριον, καὶ βοήσας μόνον, τὰ θεμέλια πάντα ἔσεισε· τὰ δεσμὰ κατέφαγεν, οὐκ ὀδοῦσι χρησάμενος, ἀλλὰ ῥήμασι. διόπερ οὐχὶ λέοντας αὐτοὺς μόνον, ἀλλὰ καὶ ἕτερόν τι πλέον λεόντων χρὴ καλεῖν. ὁ μὲν γὰρ λέων εἰς δίκτυον πολλάκις ἐμπεσὼν ἁλίσκεται· οἱ δὲ ἅγιοι δεθέντες, τότε ἰσχυρότεροι γίνονται. ὁ λέων φθέγγεται, καὶ τὰ θηρία φυγαδεύει πάντα· ὁ ἅγιος φθέγγεται, καὶ τοὺς δαίμονας φυγαδεύει πάντοθεν.

Ἐκ τοῦ α. λόγ. εἰς τὸν Παῦλ.

Ἀλλὰ τίς ἄρα λόγος ἀρκέσει τοῖς Παύλου κατορθώμασιν; ἢ ποία δυνήσεται γλῶσσα ἐφικέσθαι τῶν ἐγκωμίων τῶν τούτου; εἴτε γὰρ προφῆται ἐπεδείξαντό τι γενναῖον, εἴτε πατριάρχαι, εἴτε δίκαιοι, εἴτε ἀπόστολοι, εἴτε μάρτυρες, πάντα ταῦτα ὁμοῦ συλλαβὼν ἔχει μετὰ τοσαύτης ὑπερβολῆς, μεθ' ὅσης οὐδεὶς ἐκείνων, ὅπερ ἕκαστος εἶχε καλόν, ἐκέκτητο. ὅταν οὖν ἅπαντα τὰ ἐν ἀνθρώποις καλὰ συλλαβοῦσα ἔχῃ ψυχὴ μία, καὶ πάντα μεθ' ὑπερβολῆς, οὐ μόνον δὲ τὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰ τῶν ἀγγέλων, πῶς περιεσόμεθα ἐκ τοῦ μεγέθους τῶν ἐγκωμίων; πόσης οὖν οὐκ ἂν εἴημεν καταγνώσεως ἄξιοι, ὅταν ἑνὸς ἀνθρώπου πάντα συνειλοχότος ἐν ἑαυτῷ τὰ κα-

λά,

λά, ἡμεῖς οὐδὲ τὸ πολλοστὸν μέρος αὐτοῦ μιμεῖσθαι σπουδάζωμεν; Ἐκ πολλῶν μὲν γὰρ καὶ ἄλλων κατορθωμάτων ὁ πατριάρχης θαυμάζεται Ἀβραάμ, μάλιστα δὲ ἐκ τοῦ τὸν υἱὸν καταθῦσαι τὸν ἑαυτοῦ. ὁ δὲ Ἰσαὰκ ἐπὶ τῇ ἀνεξικακίᾳ, ὅτι τῶν οἰκείων ἐλαυνόμενος ἔργων, οὐκ ἐπεξῄει, ἀλλὰ παρεχώρει πανταχοῦ τῶν οἰκείων κτημάτων, ἕως τῶν λυπούντων τὴν ἄδικον ἐκόρεσεν ἐπιθυμίαν. καὶ ὁ Ἰακὼβ δὲ ἐπὶ τῇ καρτερίᾳ καὶ τῇ ὑπομονῇ, καὶ ὁ Δαβὶδ ἐπὶ τῇ

5 πραότητι· καὶ ὁ Ἠλίας, ὅτι ὑπὲρ τοῦ δεσπότου ἐζήλωσεν. ἀλλὰ τί Παύλου γένοιτ᾽ ἂν ἴσον, ὃς πάντα ταῦτα ὁμοῦ συλλαβὼν ἔχει καὶ μεθ᾽ ὑπερβολῆς; οὐδὲ γὰρ υἱὸν κατέθυσεν οὗτος, ἀλλ᾽ ἑαυτὸν μυριάκις κατέθυσε· καὶ οὐδὲ τῶν οἰκείων ὅρων ἠλαύνετο μόνον, ἀλλὰ καὶ γῆν καὶ θάλατταν, καὶ Ἑλλάδα καὶ βάρβαρον, καὶ πᾶσαν ἁπαξαπλῶς, ὅσην ἥλιος ἐφορᾷ γῆν, ὥσπερ τις ὑπό-

10 πτερος περιῄει, συρόμενος, τυπτόμενος, λιθαζόμενος, καὶ καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκων· οὐδὲ δὶς ἑπτὰ ἔτη ἐδούλευσε συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός, ἀλλὰ τὸν ἅπαντα βίον ἐν λιμῷ καὶ γυμνότητι, καὶ ἁλύσεσι, καὶ δεσμωτηρίοις καὶ ἐπιβουλαῖς καὶ κινδύνοις διατελῶν. ἐπιείκειαν δὲ καὶ πραότητα τίς μὲν μᾶλλον, τίς δὲ ἴσον τῆς Παύλου ψυχῆς ἀμφότερα ταῦτα κατώρθωσεν; Εἰ δὲ τὸν ζῆλον ἴδοις αὐτοῦ, τοσοῦτον ὄψει κρα-

15 τοῦντα τοῦ Ἠλιοῦ, ὅσον ἐκεῖνος τῶν ἄλλων προφητῶν περιῆν. ἀλλ᾽ ὁ Ἰωάννης ἀκρίδας ἤσθιε καὶ μέλι ἄγριον· ἀλλ᾽ οὗτος ἐν μέσῃ τῇ οἰκουμένῃ, καθάπερ ἐκεῖνος ἐν τῇ ἐρήμῳ, διετέλεσεν, ἀκρίδας μὲν καὶ μέλι ἄγριον οὐ σιτούμενος, πολὺ δὲ εὐτελεστέραν ταύτης παρατιθέμενος τράπεζαν, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς, διὰ τὴν ὑπὲρ τοῦ κηρύγματος σπουδήν. λείπεται περὶ τοὺς ἀγγέλους αὐτὸν ἐξετάσαι λοιπόν. καὶ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. εἰ γὰρ τὸν

20 Ἰωάννην ἄγγελον ἐκάλεσεν ἡ γραφή, τί θαυμαστόν, εἰ τὸν ἁπάντων ἀμείνω τῇ δυνάμει παραβάλλωμεν ἐκείναις; Καὶ γὰρ τί ποτέ ἐστιν ἄνθρωπος, καὶ ὅσον τῆς φύσεως τῆς ἡμετέρας ἡ εὐγένεια, καὶ ὅσης ἐστὶ δεκτικὸν ἀρετῆς τουτὶ τὸ ζῶον, ἔδειξε μάλιστα πάντων ἀνθρώπων Παῦλος· καὶ νῦν ἕστηκεν ἐκεῖθεν, οὗ γέγονε λαμπρᾷ τῇ φωνῇ, πρὸς ἅπαντας τοὺς ἐγκαλοῦντας ἡμῶν τῇ κατασκευῇ, ἀπολογούμενος ὑπὲρ τοῦ δεσπότου, καὶ δεικνὺς ὅτι ἀγγέλων καὶ ἀνθρώπων οὐ πολὺ τὸ μέσον, ἐὰν

25 ἑαυτοῖς προσέχειν ἐθέλωμεν. οὐ γὰρ ἄλλην φύσιν λαχών, οὐδὲ ἑτέραν κοινωνήσας ψυχῆς, οὐδὲ ἄλλον οἰκήσας κόσμον, ἀλλ᾽ ἐν τῇ αὐτῇ γῇ καὶ χώρᾳ, καὶ νόμοις καὶ ἔθεσι τραφείς, πάντας ἀνθρώπους ὑπερηκόντισε, τοὺς ἐξ οὗ γεγόνασιν ἄνθρωποι, γενομένους. καὶ ὡς ἂν νεκρὸς πρὸς νεκρὸν ἀκίνητος γένοιτο, οὕτω μετὰ ἀκριβείας τῆς φύσεως τὰ σκιρτήματα καταβιαζων, οὐδὲν οὐδέποτε πρὸς οὐδὲν ἀνθρώπινον ἔπαθε. Καθάπερ γὰρ ἐπὶ τῶν χρημάτων ὁ δύο

30 κερδάνας χρυσίνους, πλείονα λαμβάνει προθυμίαν πρὸς τὸ δέκα καὶ εἴκοσι συλλέξαι καὶ συναγαγεῖν, οὕτω καὶ ἐπὶ τῆς ἀρετῆς γίνεται· ὁ ποιήσας τι καλὸν ἔργον καὶ κατορθώσας τῆς ἐργασίας, παράκλησίν τινα λαμβάνει καὶ παραίνεσιν, ὥστε καὶ ἑτέρων πλειόνων ὁμοίως ἅψασθαι. Καὶ μή μοι λεγέτω τις, ὅτι πολλοὶ κατώρθωσαν. οὐ γὰρ τοῦτο ἐστὶ τὸ ζητούμενον, ἀλλ᾽ ἵνα πάντες. οὐχ ὁρᾷς καὶ ἐπὶ τοῦ σώματος τοῦτο γινόμενον; ἐὰν γὰρ τὸν ὄνυχα μόνον προσπταί-

35 σαντες διαστρέψωμεν, ὅλον τοῖς μέλεσι συναλγεῖ τὸ σῶμα. μὴ τοίνυν τοῦτο εἴπῃς, ὅτι ὀλίγοι τινὲς ὑπελείφθησαν οἱ μὴ κατορθώσαντες, ἀλλ᾽ ἐκεῖνο σκόπει, ὅτι οὗτοι οἱ ὀλίγοι οἱ μὴ διορθώσαντες πολλοὺς διαφθείρουσιν ἑτέρους. καὶ γὰρ εἷς ἦν ὁ πεπορνευκὼς παρὰ Κορινθίοις, καὶ ὅμως οὕτως ἔστενεν ὁ Παῦλος, ὡς ὅλης τῆς πόλεως ἀπολωλυίας. καὶ μάλα εἰκότως· ἤδει γὰρ ὅτι μὴ σωφρονισθέντος ἐκείνου, ταχέως τὸ νόσημα ὁδῷ βαδίζον καὶ τοὺς

40 ἄλλους ἐπιδραμεῖται πάντας. Εἰ γὰρ ἐν τοῖς μέλεσι τὸ σεσηπὸς καὶ ἀνιάτως ἔχον ἐκκόπτομεν, φοβούμενοι μὴ καὶ τὸ λοιπὸν τὴν αὐτὴν λύμην ὑποδέξηται σῶμα· καὶ ποιοῦμεν τοῦτο, οὐκ ἐκείνου καταφρονοῦντες, ἀλλὰ τὸ λοιπὸν διαφυλάξαι μᾶλλον βουλόμενοι· πόσῳ μᾶλλον ἐπὶ τῶν σειόντων ἡμῖν ἐπὶ κακίᾳ τοῦτο προσάγειν ἀναγκαῖον; Εἰ μὲν γὰρ δυνάμεθα κἀκείνους διορθῶσαι, καὶ αὐτοὶ μὴ παραβλαβῆναι, πάντα ποιεῖν χρή. Εἰ δὲ

κἀκεῖνοι

Ἐκ τοῦ α. λόγ. εἰς τὸν ἀπόστολον Παῦλον.

Ἐκ τοῦ ϛ. λόγ. τοῦ εἰς τὸν ἀπόστολον Παῦλον.

Ἐκ τοῦ λόγ. τοῦ κατ᾽ Ἰουδαίων.

Ἐκ τοῦ ἀνδριάντ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

κἀκεῖνοι μένοιεν ἀδιόρθωτοι, καὶ ἡμᾶς παραβλάπτοιεν, ἐκκόπτειν αὐτοὺς καὶ ῥίπτειν ἀναγκαῖον. εἰ γὰρ υἱοὺς φαύλους ἔχοντες ἐκκηρύττομεν, καὶ οὐδὲ τὴν φύσιν αἰδούμεθα, πολλῷ μᾶλλον τοὺς συνήθεις καὶ γνωρίμους φεύγειν δεῖ πονηροὺς ὄντας.

Ἐκ τοῦ ἰζ΄ ὁμιλ. τοῦ ιγ΄ Ματθ. εὐαγγ.

Ἀλλὰ σκανδαλίζονται, φησί, καὶ κακῶς ἀποπηδῶσι. καὶ τί τοῦτο; σὺ σαυτὸν τίμησον, καὶ οὐδείς σε ὑβρίσαι δυνήσεται. ἂν δὲ σὺ σαυτὸν ἀτιμάζῃς, κἂν ἅπαντές σε τιμήσωσιν, οὐ τιμηθήσῃ ποτέ. ὁ μὲν γὰρ πονηροῦ δόξαν λαβὼν ἀγαθὸς ὤν, οὐδὲν ἐντεῦθεν βλάπτεται, εἰς τὸ εἶναι τοιοῦτος οἷός ἐστιν· ἀλλ' ὁ ὑποπτεύσας εἰκῆ καὶ μάτην, τὴν ἐσχάτην δίδωσι δίκην· ὁ δὲ πονηρός, ἂν ἐπὶ τοῖς ἐναντίοις ὑποπτεύηται, οὐδὲν ἐντεῦθεν κερδαίνει, ἀλλὰ καὶ κρίμα ἕξει μεῖζον, καὶ εἰς πλείονα ἐμπεσεῖται ῥᾳθυμίαν. ὁ μὲν γὰρ ὢν τοιοῦτος καὶ ὑποπτευόμενος, κἂν ταπεινωθείη καὶ ἐπιγνοίη τὰ ἁμαρτήματα ἑαυτοῦ· ὅταν δὲ λανθάνῃ, καὶ εἰς ἀναλγησίαν ἐκπίπτει. εἰ γὰρ πάντων κατηγορούντων μόλις διανίστανται οἱ πλημμελοῦντες εἰς τὸ καταδύεσθαι, ὅταν μὴ μόνον κατηγορῶσιν, ἀλλὰ καὶ ἐπαινῶσί τινες αὐτούς, πότε ἀναβλέψαι δυνήσονται;

Ἐκ τῆς ἑρμην. τοῦ κγ΄ Ματθ. εὐαγγ.

Ὥστε οὐ δυνατὸν τοὺς ἐν ἀρετῇ ὄντας παρὰ πάντων ἀκούειν καλῶς· οὐδέ ἐστι τῶν ἀρετῆς ἐπιμελουμένων, μὴ πολλοὺς ἔχειν ἐχθρούς. ἡ γὰρ παρὰ πάντων εὐφημία τεκμήριον ἂν εἴη μέγιστον τοῦ μὴ πολλὴν τῆς ἀρετῆς ποιεῖσθαι λόγον. πῶς γὰρ παρὰ πάντων ἐπαινεθείη ὁ ἐνάρετος, εἰ βούλοιτο τοὺς ἀδικουμένους ἐξαρπάζειν τῶν ἀδικούντων; πάλιν, εἰ βούλοιτο διορθοῦν τοὺς ἁμαρτάνοντας, καὶ ἐπαινεῖν τοὺς κατορθοῦντας, οὐκ εἰκὸς τοὺς μὲν ἐπαινεῖν, τοὺς δὲ ψέγειν; ὥστε τὸν μετ' ἀκριβείας τὴν ἀρετὴν μετιόντα, καὶ τὸν παρὰ τοῦ Θεοῦ μόνον διωκόμενον ἔπαινον, ἀδύνατον ἂν εἴη παρὰ πάντων ἀνθρώπων ἐπαινεῖσθαι καὶ καλῶς ἀκούειν.

Ἐκ τοῦ ἑξαημ.

Πολλὴν γὰρ ἀεὶ τὴν μανίαν ἐπιδείκνυται ἡ κακία κατὰ τῆς ἀρετῆς· ἀλλ' οὐ μόνον οὐδὲν αὐτὴν βλάπτει, ἀλλὰ καὶ περιφανεστέραν ταύτην ἀπεργάζεται. τοσαύτη γὰρ τῆς ἀρετῆς ἡ ἰσχύς, ὅτι καὶ ἐν τῷ πάσχειν τῶν τοιούτων περιγίνεται, καὶ ἐν τῷ πολεμεῖσθαι τῶν πολεμούντων δυνατωτέρα καθίσταται. ἐννόησον γάρ μοι τὸν Ἄβελ· οὐχὶ ᾐρέθη ὑπὸ τοῦ Κάϊν; ἀλλ' ὁ μὲν ἀναιρεθεὶς ἐξ ἐκείνου μέχρι τοῦ νῦν ἀνακηρύττεται καὶ στεφανοῦται, καὶ ὁ τοσοῦτος χρόνος τὴν μνήμην οὐκ ἐμάρανεν· ὁ δὲ ἀνελὼν καὶ περιγενόμενος καὶ τότε ζωὴν βαρυτέραν θανάτου ὑπέμεινε, καὶ ἐξ ἐκείνου μέχρι τοῦ νῦν στηλιτεύεται, καὶ τὰς παρὰ πάντων κατηγορίας δέχεται. καὶ ταῦτα μὲν ἐν τῷ παρόντι βίῳ· τὰ δὲ ἐν τῷ μέλλοντι αἰῶνι ποῖος λόγος, ποία διάνοια παραστῆσαι δυνήσεται;

Ἐκ τοῦ λόγ. τοῦ εἰς τί, τίνος ἕνεκεν οὐκ ἐκ τοῦ μέσου γέγονεν ὁ διάβολος;

ἄκουσον δὲ καὶ τοῦ Χριστοῦ λέγοντος. Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν γυναικί, ἥτις λαβοῦσα ζύμην ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία. ὥστε ζύμης δύναμιν ἔχουσιν οἱ δίκαιοι, ἵνα πρὸς τὴν ἑαυτῶν ποιότητα τοὺς πονηροὺς μεταστήσωσιν. ἀλλ' ὀλίγοι οἱ δίκαιοι· καὶ γὰρ καὶ ἡ ζύμη μικρά· ἀλλ' ἡ μικρότης ἐκείνη ἅπαν τὸ φύραμα πρὸς ἑαυτὴν μεθίστησι διὰ τῆς ἐνούσης αὐτῇ δυνάμεως. οὕτω καὶ ἡ δύναμις τῶν δικαίων οὐκ ἐν τῇ ποσότητι τοῦ ἀριθμοῦ, ἀλλ' ἐν τῇ τοῦ πνεύματος χάριτι τὴν ἰσχὺν ἔχει. καὶ ὅπως, ἄκουε. δώδεκα ἦσαν οἱ ἀπόστολοι· εἶδες πῶς μικρὰ ἡ ζύμη; ὅλη ἡ οἰκουμένη ἐν ἀπιστίᾳ ἦν· εἶδες πόσον τὸ φύραμα; ἀλλ' ἐκεῖνοι οἱ δώδεκα πᾶσαν τὴν οἰκουμένην πρὸς ἑαυτοὺς ἐπέστρεψαν. καὶ γὰρ καὶ ἡ ζύμη καὶ τὸ φύραμα τῆς αὐτῆς φύσεως, ἀλλ' οὐ τῆς αὐτῆς ποιότητος.

Ἐκ τοῦ λόγ. τοῦ περὶ μετανοίας καὶ εἰς τὸν ν΄ ψαλμ. καὶ εἰς Ἰωάννην τὸν πρόδρομον. Μάρκ. ς.

Εἰ δὲ βούλει καὶ ἑτέρωθεν γνῶναι ὅσον δύναται πλέον παρρησία δικαίου δυναστείας τυραννικῆς, τοῦ Ἰωάννου ἄκουσον λέγοντος τῷ Ἡρώδῃ, Οὐκ ἔξεστί σοι ἔχειν τὴν τοῦ ἀδελφοῦ σου γυναῖκα. ὁ Ἡρώδης, βασιλεύς, δορυφόρους ἔχων, πλοῦτον περιβεβλημένος, δυναστεύων δυναστείαν βασιλικήν· ὁ Ἰωάννης πτωχός, ἀνέστιος, ἄπολις, ἀκτήμων, ἄσιτος, ἀκρίδας ἐκ βοτανῶν ἐσθίων, καὶ μέλι ἄγριον· ἀλλ' οὗτος ὁ πτωχός, ὁ ἐν ταῖς ἐρήμοις πορευόμενος, τῷ τῶν πολυάνδρων ἄρχοντι πόλεων ἐξ αὐθεντίας προσέταττεν, οὐκ ἔξεστί σοι. βλέπεις πῶς κατὰ φύσιν τῇ ἀρετῇ τὸ ἄρχειν τῆς κακίας; ἀλλ' ὑπὲρ τούτων ἐμβάλλεται εἰς δεσμωτήριον ὁ δίκαιος· γίνεται τὸ πικρὸν ἐκεῖνο συμπόσιον, καὶ εἴσεισιν ὀρχουμένη

τὸ

τὸ κοράσιον ἐν μέσῳ τοῦ συμποσίου, καὶ ἀρέσκει τῷ Ἡρώδῃ καὶ τοῖς συνανακειμένοις, ὥστε τὸν
Ἡρώδην ὀμόσαι, Αἴτησαι ὃ θέλεις, καὶ δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. βλέπεις
ποῦ τὴν βασιλείαν ἀπέρριψεν; ὃ ἐὰν αἰτήσῃς, δώσω σοι, καὶ ἕως ἡμίσους τῆς βασιλείας μου.
ἄθλιε καὶ ταλαίπωρε, οὕτω περιδιεφθάρης τῆς διανοίας τοὺς ὀφθαλμούς; τοσούτου κρίνεις τὴν
5 βασιλείαν ἀξίαν; ἅπαξ ὠρχήσατο τὸ κοράσιον, καὶ ἀπεδίδοσο τὸ ἥμισυ· ἐὰν δὲ δεύτερον ὀρ-
χήσηται, τί ποιήσεις; εὔξαι μὴ πάλιν αὐτὴν ὀρχήσασθαι, ἢ μὴ πάλιν ὀρχησαμένην εὐδοκι-
μεῖν· εἰ δὲ μή, λείπεταί σοι τὸ περισσὸν αὐτῆς. Οἱ γὰρ περὶ τὰ παρόντα κεχηνότες, κἂν μυρι-
άκις πλουτῶσι, κἂν δυναστείαν ὦσι περιβεβλημένοι πολλήν, ἐν τάξει δούλων καὶ ἀνδραπό-
δων τοῖς τὴν ἀρετὴν μετιοῦσίν εἰσιν. Ἔστω γὰρ τὶς βασιλεὺς πονηρός, καὶ ἰδιώτης χρηστός· ἴδω-
10 μεν τίς τίνος κύριός ἐστι, καὶ τοῦ τὰ τῆς δεσποτείας διαλάμπει· καὶ τίς ὁ κρατῶν, καὶ τίς ὁ
κρατούμενος. πῶς οὖν εἰσόμεθα τοῦτο; ἐπιτάττει τῷ ἰδιώτῃ ὁ βασιλεὺς πονηρόν τι πρᾶ-
γμα, καὶ πλημμελείας γέμον. τί οὖν ὁ χρηστὸς ἰδιώτης καὶ ὑπήκοος; οὐ μόνον οὐκ εἶξεν, οὐ-
δὲ ὑπακούσεται, ἀλλὰ πειράσεται καὶ τὸν ἐπιτάττοντα ἀπαγαγεῖν τοῦ προκειμένου, κἂν
ἀποθανεῖν δέῃ. τίς οὖν ἐλεύθερος; ὁ ποιῶν ὃ βούλεται, καὶ μηδὲ τὸν βασιλέα δεδοικώς, ἢ
15 ὁ παρὰ τοῦ ὑπηκόου καταφρονούμενος; ὥσπερ γὰρ ὁ αἰχμάλωτος κἂν μυρίον ἔχῃ πλοῦ-
τον, δι' αὐτὸ τοῦτο μάλιστα πᾶσιν εὐάλωτός ἐστιν· οὕτω καὶ ὁ ὑπὸ τῶν παθῶν ἁλισκόμενος, κἂν
αὐτὸ περίκειται τὸ διάδημα, ἀράχνης πάσης ἐστὶν εὐτελέστερος. Τί τοίνυν ἐλεεινότερον
γένοιτο τῶν τὴν κακίαν μετιόντων, ὅταν καὶ αὐτῆς τῆς προσηγορίας τοῦ καλεῖσθαι ἄνθρω-
ποι ἀποστερῶνται, καὶ τιμωρίαν ὑπέχωσιν, ὅτι πολλὰς ἀπὸ τῆς φύσεως ἀφορμὰς δεξά-
20 μενοι, ταύτας προδεδώκασιν, ἑκόντες ὑποσυρέντες, καὶ πρὸς τὴν κακίαν αὐτομολήσαν-
τες; Εἰ γὰρ ὁ τὸ δοθὲν ἀποδιδοὺς πονηρός, ἐπεὶ μὴ ἐδιπλασίασεν· ὁ καὶ τοῦτο διαφθεί-
ρας τί ἀκούσεται; Εἰ ἐκεῖνος δεθεὶς ἐξηνέχθη, ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων· ἡμεῖς τί πεισό-
μεθα, μυρίων ἡμᾶς ἑλκόντων ἐπὶ ἀρετὴν ἀναδυόμενοι καὶ ὀκνοῦντες; οὐχ ὁρᾷς τὸ εὐτελὲς
τοῦ βίου καὶ τὸ ἄδηλον τῆς ζωῆς, καὶ τοὺς ἐν τοῖς παροῦσι πόνους; μὴ γὰρ τὴν μὲν ἀρετὴν μετὰ
25 πόνου, τὴν δὲ κακίαν ἄνευ πόνων ἐστὶ μετελθεῖν; Εἰ οὖν καὶ ἐνταῦθα καὶ ἐκεῖ πόνος, διατί μὴ
ταύτην εἵλου τὴν πολὺ κέρδος ἔχουσαν; Μὴ οὖν, ἐὰν ἱερέα ἴδῃς ἀνάξιον, τὴν ἱερωσύ-
νην διαβάλῃς. οὐ γὰρ τὸ πρᾶγμα διαβάλλειν δεῖ, ἀλλὰ τὸν κακῶς τῷ καλῷ κεχρημένον·
ἐπεὶ καὶ Ἰούδας προδότης ἐγένετο, ἀλλ' οὐ κατηγορία τοῦτο τῆς ἀποστολῆς, ἀλλὰ τῆς ἐκεί-
νου γνώμης. καὶ ἰατροὶ πολλοὶ δήμιοι γίνονται, καὶ δηλητήρια δεδώκασιν ἀντὶ φαρμάκων.
30 ἀλλ' οὐ τὴν τέχνην διαβάλλω, ἀλλὰ τὸν κακῶς τῇ τέχνῃ χρησάμενον. καὶ ναῦται πολλοὶ
κατεπόντισαν πλοῖα, ἀλλ' οὐχ ἡ ναυτιλία, ἀλλ' ἡ κακὴ γνώμη ἐκείνων. Ἀνάγκη μὲν ἐλθεῖν
τὰ σκάνδαλα, φησὶν ὁ σωτήριος λόγος· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὰ σκάνδαλα
ἔρχεται. τί οὖν; ἡ πρόρρησις αὐτοῦ τὰ σκάνδαλα ἄγει; οὐχ ἡ πρόρρησις αὐτοῦ, ἄπαγε· οὐδὲ
ἐπειδὴ προεῖπε, διὰ τοῦτο γέγονεν· ἀλλ' ἐπειδὴ πάντως ἔμελλεν ἔσεσθαι, διὰ τοῦτο προείρηκεν· ὡς εἴ-
35 γε μὴ ἐβούλοντο οἱ φέροντες αὐτὰ πονηρεύεσθαι, οὐδ' ἂν ἦλθον· εἰ δὲ μὴ ἔμελλον ἔρχεσθαι,
οὐδ' ἂν προερρήθη. ἐπειδὴ δὲ ἐκακούργησαν ἐκεῖνοι, καὶ ἀνίατα ἐνόσησαν, ἦλθον, καὶ προ-
λέγει τὸ μέλλον ἔσεσθαι. καὶ εἰ διωρθώθησαν ἐκεῖνοι, φησί, καὶ μηδεὶς ἦν ὁ τὰ σκάνδαλα
κομίζων, οὐκ ἔμελλεν ὁ λόγος οὗτος ψευδὴς ἁλίσκεσθαι; οὐδαμῶς. οὐ γὰρ ἂν ἐλέχθη· εἰ γὰρ
ἔμελλον διορθοῦσθαι πάντες, οὐκ ἂν εἶπεν, ὅτι ἀνάγκη ἐλθεῖν· ἀλλ' ἐπειδὴ προῄδει ἀδιορ-
40 θώτους ἐσομένους οἴκοθεν, διὰ τοῦτο εἶπεν ὅτι πάντως ἥξουσι. καὶ τίνος ἕνεκεν αὐτοὺς οὐκ ἀ-
νεῖλε, φησίν; ὅτι οὐκ ἐκεῖθεν οἱ βλαπτόμενοι ἀπόλλυνται, ἀλλ' ἐκ τῆς ἑαυτῶν ῥαθυμίας.
εἰ δὲ παρὰ τὰ σκάνδαλα ἡ ἀπώλεια, πάντας ἀπολέσθαι ἔδει. ὥστε ἂν νήφωμεν, οὐ μικρὸν
ἐντεῦθεν καρπούμεθα κέρδος, τὸ διηνεκῶς ἐγρηγορέναι. Εἰ γὰρ καὶ πολεμίων ὄντων καὶ τοσού-
των πειρασμῶν ἐπικειμένων καθεύδομεν, τίνες ἂν εἴημεν ἐν ἀδείᾳ ζῶντες; καί, εἰ βούλει,

τὸν

Ἐκ τῆς ἑρμην. τοῦ μη. ψα.

Ἐκ τῆς ἑξαημ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τοῦ β λόγ. τῆς εἰς τὴν Ὀζίαν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ.

τὸν πρὸ τοῦ ἄνθρωπον σκόπει. εἰ γὰρ ὀλίγον χρόνον, μᾶλλον δὲ οὐδὲ ἡμέραν ὅλην ἐν τῷ παραδείσῳ ζήσας, καὶ τρυφῆς ἀπολαύσας, εἰς τοσοῦτον ἤλασε κακίας, ὡς καὶ ἰσοθεΐαν φαντασθῆναι, καὶ τὸν ἀπατεῶνα εὐεργέτην νομίσαι, καὶ μηδὲ μιᾶς κατασχεῖν ἐντολῆς· εἰ καὶ τὸν ἐφεξῆς βίον ἔζη, τί οὐκ ἂν εἰργάσατο; ὅταν γὰρ ἅπαξ τις ἐλευθερωθεὶς τῶν κακῶν μὴ σωφρονισθῇ, πολλῷ χαλεπώτερα πείσεται τῶν προτέρων. καὶ γὰρ ἀπὸ πολλῶν τοῦτον σωφρονισθῆναι ἔδει, ἀπό τε τοῦ παθεῖν πρότερον, ἀπό τε τοῦ ἀπαλλαγῆναι, ἀπό τε τοῦ προσδοκᾶν χείρονα πείσεσθαι, εἰ μὴ μεταβάλλοιτο. ὅταν δὲ μηδενὶ τούτων γένηται βελτίων, πῶς οὐ πολλῷ χαλεπώτερα πείσεται τῶν προτέρων κακῶν; καὶ γὰρ ὁ Φαραὼ ἐκ πρώτης τῆς πληγῆς εἰ ἐπαιδεύθη, οὐκ ἂν ἔλαβε πεῖραν τῶν ὑστέρων, οὐκ ἂν μετὰ ταῦτα ἅμα αὐτῷ τῷ στρατεύματι κατεποντίσθη παντί. ἀλλ' ὁ ὑπὸ τοῦ δεσμοῦ γινόμενος καλός, οὐκ ἔσται ποτὲ καλός· ἀλλὰ τῆς ἀνάγκης ἀπαλλαγεὶς ἐπανήξει πάλιν. μὴ οὖν τοῦτο ἐρωτῶντες λέγωμεν, ὁ μηδὲν πεποιηκὼς κακόν, μηδὲ ἀγαθόν, ποῖον δέξεται τόπον; τὸ γὰρ μὴ ποιῆσαι ἀγαθόν, τοῦτο ποιῆσαί ἐστι κακόν. εἰπὲ γάρ μοι, εἴ τινα οἰκέτην ἔχεις, μηδὲ κλέπτοντα, μήτε ὑβρίζοντα, μήτε ἀντιλέγοντα, ἀλλὰ καὶ μέθης κρατοῦντα καὶ τῶν ἄλλων ἁπάντων, καθήμενον δὲ διαπαντὸς ἀργόν, καὶ οὐδὲν τῶν ὀφειλόντων παρὰ οἰκέτου δεσπότῃ πληροῦσθαι ποιοῦντα, οὐ μαστιγώσεις, οὐ στρεβλώσεις αὐτόν, εἰπέ μοι; καίτοι γε οὐδὲν εἰργάσατο κακόν. ἀλλὰ μὲν οὖν ἐστι κακὸν τοῦτο τὸ μὴ ποιεῖν ἀγαθόν. ἔστω δὲ γεωργός τις ἡμῖν, καὶ μηδὲν λυμαινέσθω τῶν ἡμετέρων, μήτε ἐπιβουλευέτω, μήτε κλεπτέτω, μόνον δὲ τὰς αὐτοῦ χεῖρας δήσας οἴκοι καθεζέσθω, μήτε σπείρων, μήτε αὔλακα τέμνων, μήτε ἀμπέλους θεραπεύων, μήτε ἄλλο τι τῶν περὶ τὴν γῆν πονῶν· ἆρα οὐ κολάσομεν τὸν τοιοῦτον; καίτοι γε οὐδὲν ἠδίκησεν, οὐδὲ ἔχομεν ἐγκαλεῖν αὐτῷ. ἀλλὰ μὲν οὖν τοῦτο ἠδίκησε. καὶ ἐπὶ τοῦ σώματος δὲ τοῦ ἡμετέρου ἔστω ἡ χεὶρ μὴ πλήττουσα τὴν κεφαλήν, μηδὲ ἐκκόπτουσα τὴν γλῶτταν, μηδὲ ἐξορύττουσα τὸν ὀφθαλμόν, μηδὲ ἄλλο τι τοιοῦτον ἐργαζομένη κακόν, μόνον δὲ ἀργὴ μενέτω, καὶ τὴν παρὰ ἑαυτῆς λειτουργίαν μὴ πληρούτω τῷ παντὶ σώματι· ἆρα οὐκ ἄξιον ἐκκόψαι αὐτήν, ἢ περιφέρειν ἀργοῦσαν, καὶ παντὶ λυμαινομένην τῷ σώματι; τί δέ, ἂν τὸ στόμα μὴ καταπατῇ τὴν χεῖρα, μηδὲ δάκνῃ τὸ στῆθος, τὰ δὲ παρ' ἑαυτοῦ ἐλλείπῃ πάντα, οὐ βέλτιον ἐμπεφράχθαι μᾶλλον; εἰ τοίνυν ἐπὶ τούτων οὐ μόνον τὸ κακόν τι πρᾶξαι, ἀλλὰ καὶ ἡ τῶν ἀγαθῶν ἔλλειψις ἀδικία μεγάλη, πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν.

Ἐκ τῶν αἰδεσι- αὐτ.

Εἴθε μὲν γὰρ δυνατὸν ἦν ὑπὲρ ὑμῶν ἐμὲ κατορθοῦν, καὶ τὰ ἔπαθλα ὑμᾶς λαμβάνειν τῶν κατορθωμάτων, καὶ οὐκ ἂν τοσοῦτον ἠνώχλησα. ὥσπερ γὰρ μήτηρ ὁρῶσα παιδίον πυρέττον παρεστῶσα ἀχθομένῳ καὶ καιομένῳ, θρηνοῦσα πολλάκις εἶπεν· εἴθε μοι δυνατὸν ἦν, τέκνον, τὸν πυρετὸν ἀναδέξασθαι τὸν σόν, καὶ ἐπ' ἐμαυτὴν ἑλκύσαι τὴν φλόγα· οὕτω κἀγὼ λέγω, εἴθε δυνατὸν ἦν ἐμὲ ποιήσαντα ὑπὲρ ὑμῶν κατορθῶσαι πάντων· ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν.

Ἐκ τῆς ἑρμην. τοῦ ψαλμ. ψλζ.

Ὁ τοίνυν δυνάμενος καὶ ἑτέρους διορθῶσαι, μιγνύσθω τοῖς μέλλουσι δέχεσθαι τὴν θεραπείαν, καὶ ποιείτω βελτίους· ὁ δὲ ἀτονώτερος ὤν, φευγέτω τοὺς πονηρούς, ὥστε μὴ τὴν παρ' ἐκείνων δέχεσθαι λύμην. οὕτω γὰρ καὶ τὸν παρόντα βιώσεται βίον μετὰ ἀσφαλείας, καὶ τῶν μελλόντων ἐπιτεύξεται ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

ΠΕΡΙ ΑΡΡΩΣΤΙΑΣ ΚΑΙ ΙΑΤΡΩΝ.

Ἐκ τοῦ λόγ. ὅτι ἐκ ῥαθυμίας ἡ κακία.

Ὅταν ἀῤῥωστίᾳ περιπέσῃς, ἄνθρωπε, ἀναμνήσθητι τοῦ σώματος τοῦ Ἰὼβ, καὶ τῆς ἁγίας ἐκείνης σαρκός· ἁγία γὰρ ἦν καὶ καθαρά, καὶ τοιαῦτα ἔχουσα τραύματα. τίς γὰρ οὕτως ἠῤῥώστησέ ποτε; τίς τοσαύτην πληγὴν ἐδέξατο, ἢ ἑτέραν δεξάμενον εἶδεν; οὐκ ἔστιν οὐδείς, οὐκ ἔστι. κατὰ μικρὸν αὐτῷ τὸ σῶμα ἐδαπανᾶτο, καὶ πηγὴ σκωλήκων αὐτῷ πάντοθεν ἔβρυεν ἀπὸ τῶν μελῶν, καὶ διηνεκὴς ἦν αὕτη ἡ ἐπιῤῥοή, καὶ πολλὴ πάντοθεν ἡ δυσωδία, καὶ τὸ σῶμα κατὰ μικρὸν διαιρούμενον, καὶ τοιαύτῃ σηπεδόνι τηκόμενον, ἀηδῆ τὰ σιτία ἐποίει· καὶ λιμὸς ἦν αὐτῷ ξένος τε καὶ παράδοξος. οὐ γὰρ διδομένης ἠδύνατο τῆς τροφῆς ἀπολαύειν. Βρόμον γάρ, φησιν, ὁρῶ τὰ σιτία μου. ἀλλ' ἰσχυρὰν εἶχεν ἔτι παράκλησιν καὶ παραμυθίαν, φησί, τὸ εἰδέναι τὸν Θεὸν αὐτῷ ταῦτα ἐπάγοντα. τοῦτο μὲν οὖν αὐτὸν μάλιστα ἐτάραττε καὶ ἐθορύβει, ὅτι τὸν δίκαιον Θεόν, καὶ πάντα τὸν ἔμπροσθεν χρόνον ὑπ' αὐτοῦ θεραπευθέντα, τοῦτον ἐνόμιζεν αὐτῷ πολεμεῖν, καὶ πρόφασίν τινα εὔλογον εὑρεῖν τῶν γινομένων οὐκ εἶχεν. εἰ δὲ ἀρκεῖν τοῦτο εἰς παράκλησιν νομίζεις, δυνήσῃ δὴ καὶ αὐτὸς ταύτην τὴν παραμυθίαν ἔχειν. κἂν γὰρ μὴ διὰ τὸν Θεὸν πάθῃς τι τῶν δεινῶν, ἀλλ' ἐξ ἀνθρώπων ἐπηρείας, εὐχαριστήσῃς δέ, καὶ μὴ βλασφημήσῃς τὸν δυνάμενον κωλῦσαι μέν, ἀφέντα δὲ τῆς σῆς ἕνεκεν δοκιμῆς, ὥσπερ οἱ διὰ τὸν Θεὸν παθόντες στεφανοῦνται, οὕτω καὶ σὺ τῶν αὐτῶν ἐπιτεύξῃ μισθῶν, ὅτι τὰς παρὰ ἀνθρώπων ἐπαχθείσας σοι συμφορὰς γενναίως ἤνεγκας, καὶ τῷ δυναμένῳ αὐτὰς κωλῦσαι, μὴ βουληθέντι δέ, ηὐχαρίστησας. Οὔτε γὰρ ἀγαθός τίς ἐστι χωρὶς ἁμαρτίας, οὔτε κακός τις ἐστὶ χωρὶς δικαιοσύνης· ἀμφοτέροις δὲ ἀμοιβὴ καὶ ἀντίδοσις. ἐὰν οὖν τις δίκαιος, καὶ φαῦλον ἐργάσηταί τι, καὶ νοσήσῃ, καὶ τιμωρίᾳ παραδοθῇ, μὴ θορυβηθῇς· ἀλλ' εἰπέ, ὅτι οὗτος ὁ δίκαιος μικρόν ποτε κακὸν ἐποίησε, καὶ ἀπολαμβάνει ὧδε, ἵνα ἐκεῖ μὴ κολασθῇ. πάλιν ἐὰν ἴδῃς ἁμαρτωλὸν ἁρπάζοντα, πλεονεκτοῦντα, εὐθηνούμενον, μυρία ποιοῦντα κακά, μηδὲ οὕτω θορυβηθῇς, ἀλλ' εἰπέ· οὗτος ὁ ἁμαρτωλὸς ὁ μυρία κακὰ ποιῶν, ποτέ τι ἀγαθὸν ἐποίησε, καὶ ἀπολαμβάνει ὧδε τὰ ἀγαθά, ἵνα μὴ μισθὸν ἐκεῖ ἀπαιτήσῃ. τοῦτο δὲ καὶ ἐπὶ τοῦ Λαζάρου ἐστὶν ἰδεῖν· ἐπειδὴ συνέβαινε καὶ αὐτὸν ἔχειν τινὰ ἁμαρτήματα, καὶ τὸν πλούσιον πάλιν τι ἔχειν ἀγαθόν. ἄκουσον τί φησιν ὁ Ἀβραάμ· Ἀπέλαβες τὰ ἀγαθά σου ἐκεῖ, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ. ὁποῖα; ἐποίησάς τι ἀγαθόν; ἀπέλαβες ἀντ' ἐκείνου τὸν πλοῦτον, τὴν ὑγείαν, τὴν τρυφήν, τὴν δυναστείαν, τὴν τιμήν, καὶ οὐδέν σοι κεχρεώστηται. τί οὖν; ὁ Λάζαρος οὐδὲν ἥμαρτε; ναί· διὰ τοῦτο λέγει, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ· ὅτε γὰρ σὺ τὰ ἀγαθά σου ἀπελάμβανες, τότε καὶ ὁ Λάζαρος τὰ κακά. ὥστε ὅταν ἴδῃς δίκαιον κολαζόμενον, μακάριζε αὐτὸν καὶ λέγε· οὗτος ὁ δίκαιος ἁμαρτίαν τινὰ ἔχει, καὶ ἀπολαμβάνει αὐτήν, καὶ ἀπέρχεται ἐκεῖ καθαρός. εἰ δὲ πλέον τῶν ἁμαρτημάτων κολάζεται, προσθήκη δικαιοσύνης αὐτῷ λογίζεται. καὶ παράστασις ὃ λέγω. ὁ Ἰὼβ δίκαιος ἦν, ἄμεμπτος, ἀληθινός, θεοσεβής· καὶ ἐκολάσθη αὐτοῦ τὸ σῶμα ὧδε, ἵνα ἐκεῖ μισθὸν ἀπαιτήσῃ. φησὶ γὰρ ὁ Θεὸς πρὸς αὐτόν· Οὐκ ἄλλως σοι οἴει με κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; Ἆρα οὖν μή τι παρέτρεψε τὸν ἅγιον ἐκεῖνον Ἰὼβ ἡ τῆς γυναικὸς συμβουλή; τοὐναντίον μὲν οὖν μᾶλλον ἐποίησε, καὶ ἐπέῤῥωσε μειζόνως αὐτόν, ὡς καὶ ἐπιτιμῆσαι τῇ γυναικί. ᾑρεῖτο γὰρ μᾶλλον ὀδυνᾶσθαι, καὶ ταλαιπωρεῖσθαι, καὶ μυρία πάσχειν δεινά, ἢ μετὰ βλασφημίας ἀπαλλαγὴν ἵνα τῶν τοσούτων εὑρέσθαι κακῶν. Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων ἐπειδὰν ἀῤῥωστίᾳ τινὶ περιπέσωσι, βλασφημοῦσιν ἀθέως, καὶ τὸν μὲν πόνον ὑφίστανται τοῦ νοσήματος, τοῦ κέρδους δὲ τοῦ ἐξ αὐτοῦ διὰ τῆς ὑπομονῆς ἀποστεροῦνται. τί ποιεῖς, ἄνθρωπε; τὸν εὐεργέτην καὶ σωτῆρα καὶ προστάτην καὶ

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν σεισμὸν, καὶ τὸν πλούσιον καὶ τὸν Λάζαρον.

Ἐκ τοῦ έ. λόγ. κατὰ Ἰουδαίων.

Ἐκ τοῦ γ'. λόγ. εἰς τὸν πλούσιον καὶ Λάζαρον.

κηδεμόνα βλασφημεῖς; οὐκ αἰσθάνῃ κατὰ κρημνοῦ φερόμενος, καὶ εἰς βάραθρον σαυτὸν ἐμ-
βάλλων ἀπωλείας ἐσχάτης; διὰ γὰρ τοῦτο ὁ διάβολος μυρία ἐπάγει δεινά, ἵνα εἰς ἐκεῖνό σε
καταγάγῃ τὸ βάραθρον. κἂν μὲν ἴδῃ βλασφημοῦντα, ῥᾳδίως αὔξει τὴν ἀλγηδόνα καὶ
μείζονα ποιεῖ, ἵνα κεντούμενος ἀποδυσπετήσῃς πάλιν. ἂν δὲ ἴδῃ γενναίως φέροντα, καὶ ὅσῳ τὸ
πάθος ἐπιτείνεται, τοσούτῳ μᾶλλον εὐχαριστοῦντα τῷ Θεῷ, ἀφίσταται εὐθέως, ὡς εἰκῇ καὶ 5
Ἐκ τῆς αὐτῆς. μάτην προσεδρεύων λοιπόν. Τίνος γὰρ ἕνεκεν δυσχεραίνεις, ἄνθρωπε, καὶ βλασφημεῖς,
εἴ τινι τῶν ἀδοκήτων περιπέσοις ποτέ; μὴ γὰρ ἐὰν βλασφημήσῃς, κουφότερον τὸ πάθος
ποιεῖς; ἐπιτείνεις μὲν οὖν αὐτό, καὶ χαλεπωτέραν ἐργάζῃ μάλιστα τὴν ὀδύνην. ἀλλ' οὐ δύ-
νασαι σιγᾶν, ὑπὸ τῆς ὀδύνης κεντούμενος; ἀλλ' ἀντὶ τῆς βλασφημίας εὐχαρίστησον, εὐ-
φήμησον, δόξασον τὸν Θεόν. ἂν μὲν γὰρ βλασφημήσῃς, καὶ τὴν τοῦ Θεοῦ συμμαχίαν ἀ- 10
πεκρούσω, καὶ σφοδρότερον εἰργάσω κατὰ σοῦ τὸν διάβολον· ἂν δὲ εὐχαριστήσῃς, τάς τε ἐπι-
βουλὰς ἀπεκρούσω τὰς τοῦ πονηροῦ δαίμονος, καὶ τὴν τοῦ κηδεμόνος Θεοῦ θεραπείαν πρὸς
ἑαυτὸν ἐπεσπάσω. ἀλλ' ὑπὸ τῆς συνηθείας ὁρμᾷ πολλάκις ἡ γλῶσσα τὸ πονηρὸν ἐκεῖ-
νο φθέγξασθαι ῥῆμα; ἀλλ' ἐπειδὰν ὁρμήσῃ, πρὶν ἢ τὸ ῥῆμα ἐξενεγκεῖν, κατάδακε τοῖς ὀδοῦ-
σιν αὐτὴν πάντοθεν σφοδρῶς. βέλτιον αὐτὴν αἷμα ῥέειν νῦν, ἢ κατ' ἐκείνην τὴν ἡμέραν 15
σταγόνος ἐπιθυμοῦσαν, μὴ δυνηθῆναι τῆς παραμυθίας τυχεῖν, ὡς ἐπὶ τοῦ πλουσίου. βέλτιον
Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσ. α΄. ἐπισ. αὐτὴν πρόσκαιρον ὑπομεῖναι πόνον, ἢ διηνεκῆ καὶ ἀθάνατα τηγανίζεσθαι τότε. Ὅταν
οὖν νόσῳ περιπέσῃς χαλεπῇ, καὶ πολλοὶ παραγίνωνται ἀναγκάζοντες, τοὺς μὲν ἐπῳδαῖς, τοὺς
δὲ περιάμμασι, τοὺς δὲ ἑτέροις τισὶ παραμυθήσασθαι τὸ κακόν· σὺ δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον
ἐνέγκῃς γενναίως τὸν ἐκ τῆς νόσου πόνον καὶ ἀκλινῶς, καὶ πάντα ἂν ἕλῃ παθεῖν ἢ ὑποστῆ- 20
ναί τι τῶν τοιούτων πρᾶξαι, τοῦτό σοι μαρτυρίου στέφανον φέρει. καὶ μὴ ἀμφίβαλλε. καθά-
περ γὰρ ἐκεῖνος τὰς ἀπὸ τῶν βασάνων ὀδύνας φέρει γενναίως, ὥστε μὴ προσκυνῆσαι τὸ εἴ-
δωλον· οὕτω καὶ σὺ τὰς ἀπὸ τῆς νόσου φέρεις ἀλγηδόνας, ὥστε μηδενὸς δεηθῆναι τῶν παρ'
ἐκείνου, μηδὲ πρᾶξαι ἅπερ ἐπιτάττει. ἀλλὰ σφοδρότεραι ἐκεῖναι; ἀλλ' αὗται μακρό-
τεραι· ὥστε εἰς ἴσον καταλήγει, πολλάκις δὲ καὶ σφοδρότερον. ὅταν γὰρ καύσων ἔνδον ἐνοχλῇ 25
καὶ φλέγῃ, καὶ τῶν ἄλλων παραινούντων ἀποσείσῃ τὴν ἐπῳδήν, οὐχὶ μαρτυρίου στέφανον
Ἐκ τῆς ς. λόγ. τῆς κατὰ Ἰουδαίων ἀνεδήσω; Ὅταν γὰρ ἐκβάλλῃς τοὺς ἐπῳδοὺς μετὰ πολλῆς τῆς ὕβρεως ἐκ τῆς οἰκίας,
πάντες ἀκούσαντες ἐπαινέσονται καὶ θαυμάσονται, καὶ πρὸς ἀλλήλους ἐροῦσιν· ὁ δεῖνα ἀρρωστῶν,
μυρία παρακαλούντων τινῶν καὶ παραινούντων καὶ συμβουλευόντων ἐπῳδαῖς χρήσασθαι
μαγικαῖς τισιν, οὐ προσήκατο, ἀλλ' εἶπε· βέλτιον ἀποθανεῖν οὕτως, ἢ προδοῦναι τὴν εὐ- 30
σέβειαν. εἰ δὲ ἐνταῦθα τοσοῦτοι οἱ ἔπαινοι, ἐννόησον πηλίκους ἐκεῖ λήψῃ στεφάνους, ὅταν
τῶν ἀγγέλων παρόντων, τῶν ἀρχαγγέλων, παρελθὼν ὁ Χριστὸς καὶ τῆς χειρός σου λαβό-
μενος, εἰς μέσον περιαγάγῃ τὸ θέατρον ἐκεῖνο, καὶ πάντων ἀκουόντων, εἴπῃ· οὗτος ὁ ἄνθρω-
πος πυρετῷ ποτε ληφθείς, μυρίων αὐτῷ παραινούντων ἀπαλλαγῆναι τοῦ πυρετοῦ, διὰ τὸ
ὄνομα τὸ ἐμόν, καὶ τὸν φόβον τὸν εἰς ἐμέ, ἵνα ἐν μηδενὶ προσκρούσῃ, διώσατο καὶ ἠτίμασε 35
τοὺς ὑπισχνουμένους αὐτὸν θεραπεύειν ἐκείνῳ τῷ τρόπῳ· καὶ εἵλετο μᾶλλον ἐναποθανεῖν
τῷ νοσήματι, ἢ προδοῦναι τὴν εἰς ἐμὲ εὔνοιαν. εἰ γὰρ τοὺς ποτίσαντας αὐτὸν καὶ θρέψαντας
καὶ ἐνδύσαντας εἰς μέσον παράγει, πολλῷ μᾶλλον τοὺς δι' αὐτὸν ἑλομένους ἀνέχεσθαι πυρε-
τῷ. οὐ γάρ ἐστιν ἴσον δοῦναι ἄρτον καὶ ἱμάτιον, καὶ νόσον μακρὰν ὑπομεῖναι, ἀλλὰ πολλῷ μεῖ-
ζον τοῦτο ἐκείνου· οὕτω καὶ ὁ στέφανος ἔσται λαμπρότερος. Ταῦτα καὶ ὑγιαίνοντες μελετῶμεν, 40
καὶ πρὸς ἀλλήλους λέγωμεν, ἀναμνήσθητι τοῦ μακαρίου Τιμοθέου, ὅτι οὐδέποτε ἐκ τῆς
ἀρρωστίας ἀνέπνευσεν, ἀλλὰ σύντροφος ἦν διηνεκεῖ τῷ νοσήματι. Εἰ δὲ ὁ δίκαιος ἐκεῖνος καὶ
ἅγιος, καὶ τὴν τῆς οἰκουμένης προστασίαν ἐγκεχειρισμένος, καὶ νεκροὺς ἐγείρων, καὶ δαίμονας ἐ-
λαύνων, καὶ μυρία νοσήματα διορθωσάμενος ἐν ἑτέροις, τοσαῦτα ἔπασχε δεινά, τίνα ἕξεις ἀπο-

λογίαν

λογίαν οὐ θορυβούμενος καὶ ἀγανακτῶν ἐπὶ προσκαίροις νοσήμασι; Καὶ οἱ μὲν πολλάκις, πατέρων οὐδὲ δεόντως κολαζόντων αὐτούς, ὑπομένειν κελεύονται· σὺ δὲ οὐκ ἀνέξῃ τοῦ Θεοῦ παιδεύοντός σε, τοῦ καὶ πατέρων μᾶλλόν σε φιλοῦντος, καὶ πάντα πρὸς τὸ συμφέρον πραγματευομένου; ἀλλ' ἂν μικρά τις γένηται νόσος, εὐθέως ἀποπηδᾷς αὐτοῦ τῆς δεσποτείας, καὶ πρὸς τοὺς δαίμονας τρέχεις; καὶ ποίας τεύξῃ συγγνώμης; πῶς δὲ ἀπολογήσῃ τῷ Χριστῷ; πῶς αὐτὸν καλέσεις ἐν ταῖς εὐχαῖς; ποίῳ συνειδότι λοιπὸν ἐπιβήσῃ τῆς ἐκκλησίας; ποίοις ὀφθαλμοῖς ὄψει τὸν ἱερέα; ποίᾳ χειρὶ τῆς ἱερᾶς ἅψῃ τραπέζης; ποίαις ἀκοαῖς ἀκούσῃ τῶν ἀναγινωσκομένων ἐκ τῶν γραφῶν, τοιαῦτα κατὰ σαυτοῦ πράττων παρανομήματα; πῶς δὲ δυνήσῃ τὸν Θεὸν παρακαλέσαι πάλιν; μᾶλλον δὲ οὐδὲ ἕτερος, κἂν τὴν Μωϋσέως σχῇ παῤῥησίαν, δυνήσεται περὶ σοῦ δεηθῆναι. ἢ οὐκ ἀκούεις τί περὶ τῶν Ἰουδαίων φησὶ πρὸς τὸν Ἱερεμίαν· Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου· ὅτι ἂν στῇ Μωϋσῆς καὶ Σαμουήλ, οὐκ εἰσακούσομαι αὐτῶν;

Ex τοῦ ϛ'. λόγου τοῦ κατὰ Ἰουδαίων

Καὶ καθάπερ οἱ ἀνδραποδισταὶ πλακοῦντας καὶ τρωγάλια, καὶ ἕτερά τινα τοιαῦτα πολλάκις τοῖς μικροῖς προτεινόμενοι παιδίοις, καὶ δελεάζοντες, τῆς ἐλευθερίας αὐτὰ καὶ τῆς ζωῆς ἀποστεροῦσιν αὐτῆς· οὕτω δὴ καὶ οἱ γόητες, μέλους ὑπισχνούμενοι θεραπείαν, ὅλην τῆς ψυχῆς καταποντίζουσι τὴν σωτηρίαν.

Ex τοῦ α'. λογ. τοῦ κατὰ Ἰουδαίων

Πολλοὶ δὲ τῶν εἰς ἐσχάτην ἀλογίαν ἐκπεπτωκότων, οὐ μόνον πλοῦτον καὶ δυναστείαν καὶ ὅσα τοιαῦτα παρὰ τοῦ Θεοῦ τῶν ὅλων αἰτοῦσιν, ἀλλὰ καὶ τοῖς ἐχθροῖς ἐπαρῶνται, καὶ ἵνα τιμωρίαν ἐπενεχθῆναι αὐτοῖς ἱκετεύουσι· καὶ ὃ ἐν ἑαυτοῖς ἥμερον ἐστὶ καὶ φιλάνθρωπον εὔχονται, τοῦτο τοῖς ἐχθροῖς αἰτούμενοι γενέσθαι καὶ ἀπάνθρωπον βούλονται. καὶ τοὺς μὲν κυβερνήτας οἱ πλέοντες οὐ κελεύουσι πῶς δεῖ κατέχειν τοὺς οἴακας, καὶ τὸ σκάφος ἰθύνειν· ἀλλ' ἐπὶ τῶν καταστρωμάτων καθήμενοι, τῇ ἐκείνου ἐπιστήμῃ ἀνέχονται, οὐ μόνον ἐξ οὐρίας φερομένης τῆς νεώς, ἀλλὰ καὶ τὸν ἔσχατον ὑπομένοντες κίνδυνον ἀπειλούσης· τῷ Θεῷ δὲ μόνῳ τῷ τὰ συμφέροντα ἡμῖν ἀκριβῶς οἰκονομοῦντι παραχωρεῖν οὐκ ἀνέχονται, ἀῤῥώστῳ ἐοικότες τῷ τὸν ἰατρὸν δοῦναι αὐτῷ παρακαλοῦντι, οὐχ ὅσα λύει τὴν νόσον, ἀλλ' ὅσα τρέφει τὴν ὕλην τὴν τῆς νόσου μητέρα. ἀλλ' οὐκ ἀνέχεται ὁ ἰατρὸς τῆς τοῦ κάμνοντος ἱκεσίας· ἀλλὰ κἂν δακρύοντα ἴδῃ καὶ ὀλοφυρόμενον, τῷ νόμῳ τῆς τέχνης ἀκολουθεῖ μᾶλλον, ἢ τοῖς τούτου δάκρυσιν ἐπικάμπτεται· καὶ τὴν ἀπείθειαν, οὐκ ἀπανθρωπίαν, ἀλλὰ φιλανθρωπίαν ὀνομάζομεν. πειθόμενος γὰρ τῷ νοσοῦντι, καὶ τὰ πρὸς ἡδονὴν χαριζόμενος, τὰ πολεμίων εἰς αὐτὸν ἐργάζεται· ἀντιτείνων δὲ καὶ τῇ ἐπιθυμίᾳ μαχόμενος τῇ ἐκείνου, ἐλέῳ κέχρηται καὶ φιλανθρωπίᾳ. ἀλλὰ καὶ οἱ φιλόστοργοι πατέρες τοῖς κομιδῇ νηπίοις μαχαίρας ἐπιζητοῦσιν, ἢ πυρὸς ἄνθρακας, οὐδαμῶς ὀρέγειν ἀνέχονται· ἴσασι γὰρ σαφῶς βλαβερὰν οὖσαν αὐτοῖς τὴν τούτων ἐπίδοσιν. οὕτω καὶ ὁ Θεὸς τοῖς αἰτοῦσιν ὡς ὠφέλιμα τὰ ὀλέθρια, οὐκ ἀνέχεται δοῦναι, ὡς εἰς βλάβην αὐτοῖς γινώσκων ἐσόμενα. οἶμαι καὶ τοὺς ἀρχαίους τῶν ἰατρῶν οὐχ ἁπλῶς, οὐδὲ ἀλόγως νομοθετῆσαι, δημοσιεύεσθαι τὴν τῶν ποικίλων ἐργαλείων ἐπίδειξιν· ἀλλ' ἵνα τοὺς ὑγιαίνοντας ἀσφαλίζωνται, προδεικνύντες αὐτοῖς, ὁπόσων ἀτακτοῦντες δεήσονται.

Ex τοῦ ὅτι ... εἰς τὸ πάτερ ἡμῶν

Τὸν Χριστὸν ποιῶν καὶ γεέννης φοβερώτερον ἡμῖν εἶναι δεῖ, καὶ βασιλείας ποθεινότερον· κἂν νοσήσωμεν, βέλτιον ἐν ταῖς ἀῤῥωστίαις μεῖναι, ἢ διὰ τὴν ἀπαλλαγὴν τῆς ἀσθενείας εἰς ἀσέβειαν καταπεσεῖν. κἂν γὰρ θεραπεύσῃ γόης, μεῖζον κατέβλαψεν, ἢ ὠφέλησεν· ὠφέλησε μὲν γὰρ πολλάκις τὸ σῶμα, τὸ πάντως ἀποθανούμενον μικρὸν ὕστερον καὶ σήπεσθαι μέλλον, κατέβλαψε δὲ τὴν ψυχὴν τὴν ἀθάνατον. τὸν γὰρ οὐκ ἰατρὸν βέλτιον μηδὲ ἔχειν φάρμακα. ὁ μὲν οὕτω μὴ ἔχων, οὔτε σώζει, οὔτε ἀπόλλυσιν, ὁ δὲ ἔχων ἀπόλλυσιν, οὐκ εἰδὼς ὅπως χρήσεται· ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος.

Ex τοῦ α' λογ. τοῦ κατὰ Ἰουδαίων

Οὐκ ἄρα τὸ [illegible] ἔχειν ἰατροῦ, ἰατρόν ἐστιν εἶναι. ἤκουσας τὰ περὶ τοῦ Λαζάρου, πῶς λιμῷ καὶ νόσῳ καὶ ἐρημίᾳ πάντα τὸν αὐτοῦ χρόνον ἐπάλαισεν, ὥστε καὶ αὐτὴν τὴν ζωὴν καταλῦσαι ἐν τῷ τοῦ πλουσίου πυλῶνι, καταφρο-

Ex τοῦ ϛ'. λογ. τοῦ κατὰ Ἰουδαίων

νούμενος, λιμώττων, τοῖς κυσὶ βορὰ προκείμενος; οὕτω γὰρ αὐτοῦ τὸ σῶμα παρεῖτο, ὡς μηδὲ τοὺς κύνας ἀποσοβεῖν δύνασθαι ἐπιόντας, καὶ τὰ τραύματα λιχμωμένους· ἀλλ' ὅμως οὐκ ἐπαοιδὸν ἐζήτησεν, οὐ πέταλα περιῆψεν, οὐ μαγγανείας ἐκίνησεν, οὐ γόητας πρὸς ἑαυτὸν ἐκάλεσεν, οὐκ ἄλλο τι τῶν κεκωλυμένων ἐποίησεν· ἀλλ' εἵλετο μᾶλλον ἐναποθανεῖν τοῖς κακοῖς ἐκείνοις, ἢ τῆς εὐσεβείας μικρόν τι προδοῦναι μέρος. τίνα οὖν ἕξομεν συγγνώμην ἡμεῖς, τοσαῦτα πάσχοντος ἐκείνου δεινὰ καὶ καρτεροῦντος, εἰ διὰ πυρετὸν ἢ διὰ τραύματα φαρμακοὺς καὶ γόητας εἰς τὰς οἰκίας καλοῦμεν τὰς ἑαυτῶν;

Ἐκ τοῦ λόγ. τοῦ μετὰ τὰς καλάνδας.

Πολλοὶ μὲν γὰρ πολλάκις ἀρρωστοῦσιν, ἀλλὰ τῆς ἀναγκαίας εὐποροῦσι τροφῆς. ἄλλοι πενίᾳ συζῶσιν ἐσχάτῃ, ἀλλ' ὑγιείας ἀπολαύουσιν. ὁ δὲ Λάζαρος οὕτως ἦν ἐξησθενηκώς, ὡς μηδὲ τοὺς κύνας ἀποσοβῆσαι δύνασθαι, ἀλλὰ νεκρὸς ἔμψυχος ἔκειτο, ἐπιόντας μὲν αὐτοὺς θεωρῶν, ἀμύνασθαι δὲ οὐκ ἰσχύων· οὕτως αὐτῷ τὰ μέλη παρεῖτο, οὕτω τετάριχευτο τῇ ἀρρωστίᾳ, οὕτω δεδαπάνητο τῷ πειρασμῷ. εἰ δὲ καθ' ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον καὶ δεινόν, ὅταν ὁμοῦ συμπεπλεγμένα ᾖ, πῶς οὐκ ἀδάμας τις ἦν ὁ ταῦτα ὑπομένων; εἰ μὲν γὰρ ἐπὶ τῆς ἐρήμου καὶ τῆς ἀοικήτου κείμενος ταῦτα ἔπασχε, καὶ ἐταλαιπωρεῖτο, οὐκ ἂν οὕτως ἤλγησεν. τὸ γὰρ μηδένα παρεῖναι καὶ ἄκοντα φέρειν ἐπιθέντα τὰ συμβαίνοντα· τὸ δὲ ἐν μέσῳ τοσούτων κείμενον καὶ εὐημερούντων, παρὰ μηδενὸς μηδὲ τῆς τυχούσης ἐπιμελείας τυγχάνειν, δριμυτέραν ἐποίει τῆς ὀδύνης γίνεσθαι τὴν αἴσθησιν. ἐννόησον δὲ ὅσα εἰκὸς αὐτὸν εἶναι ὁρῶντα παρασίτους, κόλακας καταβαίνοντας, ἀναβαίνοντας, ἐξιόντας, εἰσιόντας, τρυφοῦντας, μεθύοντας. ἡμεῖς μὲν γάρ, κἂν μυρία πάθωμεν δεινά, ἀλλ' ἔχομεν πρὸς ἐκείνους ἰδόντες, ἱκανὴν δέχεσθαι παράκλησιν. τὸ γὰρ κοινωνοὺς εὑρίσκειν τῶν οἰκείων κακῶν, πολλὴν φέρει τοῖς ὀδυνωμένοις παράκλησιν· ἐκεῖνος δὲ οὐδένα ἕτερον εἶχεν ἰδεῖν τῶν τὰ αὐτὰ αὐτῷ παθόντα· ἀλλὰ καὶ μέχρι τοῦ παρόντος βίου τὰ παρόντα ἐνόμιζε συγκεκλεῖσθαι πράγματα· τῶν γὰρ πρὸ τῆς χάριτος ἦν. εἰ δὲ νῦν ἐφ' ἡμῶν μετὰ τοσαύτην θεογνωσίαν, καὶ τὰς χρηστὰς τῆς ἀναστάσεως ἐλπίδας, καὶ τὰ ἡτοιμασμένα τοῖς κατορθοῦσιν ἀγαθά, οὕτω μικροψύχως τινὲς διάκεινται, ὡς μηδὲ ταύταις διορθοῦσθαι ταῖς προσδοκίαις, τί πάσχειν ἐκεῖνον εἰκὸς ἦν; ζηλώσωμεν τὸν Λάζαρον καὶ πλούσιοι καὶ πένητες. οὐ γὰρ ἕνα καὶ δύο καὶ τρεῖς μόνον, ἀλλὰ καὶ πολλῷ πλείους ἄθλους ἀρετῆς ὑπέμεινε, τὴν πενίαν, τὴν ἐρημίαν τῶν προστησομένων, τὴν ἀρρωστίαν, τὸ μὴ μέχρι δύο καὶ τριῶν ἡμερῶν, ἀλλὰ διὰ παντὸς τοῦ βίου, καὶ ταῦτα ἐν τούτοις, καὶ τὸν πλούσιον ἐν τοῖς ἐναντίοις ὁρᾶν, τὸ μὴ πρὸς Λάζαρον ἕτερον ἔχειν ἰδεῖν, τὸ μηδὲν περὶ ἀναστάσεως δύνασθαι φιλοσοφεῖν, τὸ μετὰ τῶν εἰρημένων κακῶν καὶ πονηρὰν παρὰ τοῖς πολλοῖς ἔχειν ὑπόληψιν ἀπὸ τῶν συμφορῶν ἐκείνων. τίνα οὖν ἕξομεν ἀπολογίαν, εἰ τούτου πάντα ὁμοῦ τὰ δεινὰ μετὰ τοσαύτης φέροντος ἀνδρείας, ἡμεῖς μηδὲ τὰ ἥμισυ τούτου οἴσομεν; οὐ γὰρ ἔχεις, οὐκ ἔχεις δεῖξαι οὐδὲ εἰπεῖν ἄλλον τινά, τοσαῦτα καὶ τοιαῦτα πεπονθότα κακά. διὰ γὰρ τοῦτο αὐτὸν καὶ εἰς μέσον προὐθήκεν ὁ Χριστός, ἵνα ὅσαπερ ἂν ἐμπέσωμεν τῶν δεινῶν, ὁρῶντες παρὰ τούτῳ τὴν ὑπερβολὴν οὖσαν, ἱκανὴν ἐκ τῆς ἐκείνου φιλοσοφίας ἀναλαβώμεν παράκλησιν καὶ παραμυθίαν. κοινὸς γὰρ τῆς οἰκουμένης διδάσκαλος πρόκειται τοῖς ὁπουοῦν πάσχουσι δεινόν, πρὸς αὐτὸν παρέχων πᾶσιν ὁρᾶν, καὶ πάντας νικῶν τῇ τῶν οἰκείων κακῶν ὑπερβολῇ.

Ἐκ τοῦ γ' λόγ. εἰς τὸν Ὀζίαν.

Καὶ γὰρ τῶν σοφοὶ τῶν ἰατρῶν, ὅταν σεσηπότα μέλλωσι τέμνειν μέλη, ἢ λίθους τοῖς πόροις ἐναποσφηνωθέντας ἐξέλκειν, ἢ ἄλλο τι τῆς φύσεως ἁμάρτημα διορθοῦν, οὐκ εἰς γωνίαν λαβόντες τὸν κάμνοντα οὕτω ποιοῦσιν· ἀλλ' ἐν μέσαις αὐτὸν προθέντες ταῖς ἀγοραῖς, καὶ θέατρον ἐκ τῶν παριόντων περιστήσαντες, οὕτως ἐπάγουσι τὴν τομήν. ποιοῦσι δὲ τοῦτο, οὐχὶ τὰς ἀνθρωπίνας ἐμπομπεύειν βουλόμενοι συμφοραῖς, ἀλλὰ τοὺς ὁρῶντας ἐν ἀλλοτρίοις παιδεύοντες σώμασι πολλὴν τῆς οἰκείας ὑγιείας ποιεῖσθαι τὴν πρόνοιαν.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν ὑδρωπ.

Ὅταν οὖν ἴδῃς δίκαιον στενοχωρούμενον, κακουχούμενον, ἐν ἀρρωστίᾳ καὶ μυρίοις ἑτέροις δεινοῖς τὸν παρόντα βίον καταλύσαντα, εἰπὲ πρὸς ἑαυτόν, ὅτι

εἰ μὴ ἀνάστασις ἦν καὶ κρίσις, οὐκ ἂν ὁ Θεὸς τὸν τοσαῦτα δι' αὐτὸν πεπονθότα κακὰ ἀφῆκε
μηδενὸς ἀπολαύσαντα ἀγαθοῦ ἀπελθεῖν ἐντεῦθεν. ὅθεν δῆλον, ὅτι ἑτέραν αὐτοῖς ἡτοίμασε
ζωὴν, ἡδίω τῆς παρούσης, καὶ ἀνεκτοτέραν πολλῷ. ἐπεὶ πῶς ἂν ἔχοι λόγον, ὅτι τὸν μὲν πονη-
ρὸν εἴασε πολλοὺς τρυφᾶν κατὰ τὸν παρόντα βίον, τὸν δὲ δίκαιον πολλοῖς ἐν μυρίοις ἀφίησι κα-
5 κοῖς, δίκαιος ὢν καὶ ὀνομαζόμενος, καὶ δικαίως ἑκάστῳ κατὰ τὴν ἀξίαν ἀποδιδόναι εἰδώς; ᾧ
πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων. Ἀμήν.

ΠΕΡΙ ΑΡΧΗΣ ΚΑΙ ΕΞΟΥΣΙΑΣ ΚΑΙ ΔΟΞΗΣ. Λογ. η.

10
Ὁ Μακάριος λέγεται Κωνσταντῖνος, τῆς εἰκόνος αὐτοῦ καταλιθωθείσης
ποτὲ, παροξυνόντων αὐτὸν πολλῶν ἐπεξελθεῖν τοῖς ὑβρικόσι καὶ δίκην ἀ-
παιτῆσαι, λεγόντων, ὅτι πᾶσαν αὐτοῦ τὴν ὄψιν ἔτρωσαν τοῖς λίθοις ἐξα-
κοντίζοντες, ψηλαφήσας ἑαυτοῦ τῇ χειρὶ τὸ πρόσωπον, καὶ ἠρέμα μειδιά-
15 σας εἰπεῖν, ὅτι οὐδαμοῦ πληγὴν ἐπὶ τοῦ μετώπου ὁρῶ γεγενημένην·
ἀλλ' ὑγιὴς μὲν ἡ κεφαλὴ, ὑγιὴς δὲ ἡ ὄψις ἅπασα· κἀκείνους ἐρυθριάσαντας
καὶ αἰσχυνθέντας ἀποστῆναι τῆς ἀδίκου ταύτης συμβουλῆς ἐποίησεν. Εἰ δὲ παρὰ ἀνθρώ-
ποις τοσαύτης ἀπέλαυσε δόξης διὰ ἐκεῖνο τὸ ῥῆμα, πόσων ἀγαθῶν ἀπολαύσεται παρὰ τῷ
φιλανθρώπῳ Θεῷ; Καὶ γὰρ οὗτος ἐστιν ἀληθῶς βασιλεὺς, ὁ θυμοῦ καὶ φθόνου καὶ ἡδο-
20 νῆς κρατῶν, καὶ πάντα ὑπὸ τοὺς νόμους ἄγων τοῦ Θεοῦ, καὶ τὸν νοῦν ἐλεύθερον τηρῶν, καὶ οὐκ
ἐῶν ἐνδυναστεύουσαν τῇ ψυχῇ τὴν δεσποτείαν τῶν ἡδονῶν. Τὸν τοιοῦτον ἡδέως ἂν εἶδον καὶ
γῆς καὶ θαλάττης ἄρχοντα, καὶ πόλεων καὶ δήμων καὶ στρατοπέδων. ὁ γὰρ τοῖς πάθεσι τῆς ψυ-
χῆς τὸν λογισμὸν ἐπιστήσας, ῥᾳδίως ἂν ἐπισταίη καὶ ἀνθρώποις μετὰ τῶν θείων νόμων, ὥστε αὐ-
τὸν ἐν πατρὸς τάξει τοῖς ἀρχομένοις εἶναι, μετὰ πάσης ἡμερότητος ὁμιλοῦντα ταῖς πόλεσιν. ὁ
25 δὲ ἀνθρώπων μὲν ἄρχειν δοκῶν, θυμῷ δὲ καὶ φιλαρχίᾳ καὶ ἡδοναῖς δουλεύων, πρῶτον μὲν κατα-
γέλαστος εἶναι δόξειεν ἂν τοῖς ἀρχομένοις, ὅτι στέφανον μὲν φορεῖ λιθοκόλλητον καὶ χρυσοῦν, σω-
φροσύνῃ δὲ οὐκ ἐστεφάνωται· καὶ ἁλουργίδι μὲν ὅλον τὸ σῶμα λάμπεται, τὴν δὲ ψυχὴν ἀκόσ-
μητον ἔχει· ἔπειτα δὲ, οὐδὲ ὅπως μεταχειρίσεται τὴν ἀρχὴν ἐπιστήσεται. ὁ γὰρ ἑαυτοῦ μὴ
δυνηθεὶς ἄρχειν, πῶς ἂν ἑτέρους δυνηθείη κατευθύνειν τοῖς νόμοις; Μηδὲ οὕτω σκο-
30 πῶμεν, ὅπως ἐν τιμαῖς ὦμεν καὶ ἐξουσίαις, ἀλλ' ὅπως ὦμεν ἐν ἀρετῇ καὶ φιλοσοφίᾳ. αἱ γὰρ
ἐξουσίαι πολλὰ τῶν τῷ Θεῷ μὴ δοκούντων ποιεῖν πείθουσι καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς, ὥστε
εἰς δέον χρήσασθαι τῇ δεδομένῃ τιμῇ καὶ δόξῃ καὶ ἐξουσίᾳ. ὁ μὲν ἀπεστερημένος δόξης, καὶ ἄ-
κων φιλοσοφεῖ· ὁ δὲ ἀπολαύων αὐτῆς τοιοῦτόν τι πάσχει, οἷόν ἂν εἴ τις κόρῃ συνοικῶν εὐειδεῖ καὶ
καλῇ, νόμους δέξηται τὸ μηδέποτε εἰς αὐτὴν ἀκολάστως ἰδεῖν. Τοιοῦτον γὰρ ἡ ἐξουσία.
35 διὸ πολλοὺς καὶ ἄκοντας εἰς τὸ ὑβρίζειν ἐνέβαλε, καὶ θυμὸν ἤγειρε, καὶ χαλινὸν γλώττης ἀφεῖλε,
καὶ θύραν διεπέτασε στόματος, ὥσπερ ὑπὸ πνεύματος τὴν ψυχὴν ἀναρριπίζουσα, καὶ εἰς τὸ
ἔσχατον τῶν κακῶν βυθὸν τὸ σκάφος καταποντίζουσα. Τιμῆς γὰρ μέγεθος τοῖς οὐκ ἀξί-
ως τῆς τιμῆς ζῆν προαιρουμένοις προσθήκη τιμωρίας ἐστί. Τὸ γὰρ εὐδοκιμεῖν καὶ προεστά-
ναι ἐν δήμῳ, ὅσῳ λαμπροτέρους ποιεῖ, τοσούτῳ μείζονας τοὺς κινδύνους ἔχει, καὶ τὰς φροντί-
40 δας. ἀναπνεῦσαι γὰρ καὶ στῆναι ὁ τοιοῦτος ὅλως οὐ δύναται, οὕτω πικρὸν ἔχων καὶ βαρὺν τὸν
δεσπότην. καὶ τί λέγω στῆναι καὶ ἀναπνεῦσαι; κἂν μυρία ἔχῃ κατορθώματα ὁ τοι-
οῦτος, δυσκόλως εἰς βασιλείαν εἰσέρχεται. οὐδὲν γὰρ οὕτως ἐκτραχηλίζειν εἴω-
θεν, ὡς ἡ παρὰ τῶν πολλῶν δόξα. Τὸ μὲν γὰρ ἀτιμίαν ἐνεγκεῖν, μέγα καὶ γεν-
ναῖον, τὸ δὲ δόξης μετασχεῖν, νεανικῆς δεῖται ψυχῆς, καὶ σφόδρα μεγάλης, ὥστε δόξης ἀπο-

Marginal notes:
Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς ἀνδριάντ.
Ἐκ τοῦ λόγ. τοῦ σύγκρισις βασιλικῆς δυναστείας πρὸς μοναχόν
Ἐκ τῆς ἑρμηνεί. τοῦ κατὰ Ματθ. εὐαγγ.
Ἐκ τῆς αὐτῆς.
Ἐκ τῆς αὐτῆς.
Ἐκ τῆς αὐτῆς.

λαύοντα μὴ ἐκτραχηλιασθῶσι. ἀλλ' εἰ βούλει δόξαν λαβεῖν, διάκρουσαι δόξαν· εἰ δὲ διώκεις δόξαν, ἐκπέσῃς δόξης. σκιὰ γάρ ἐστι δόξης αὕτη ἡ δόξα. οὐδεὶς ἄρτον ἰδὼν ἐζωγραφημένον, κἂν μυριάκις ὑπὸ λιμοῦ κατέχηται, τῆς γραφῆς ἅψεται.

Ἐκ τοῦ α'. λόγ. τοῦ περὶ ἀκαταλήπτου.

Οἱ δὲ κατὰ τὸ παρὸν λέγοντες ἀπειληφέναι τὸ πᾶν, εἰς τὸ μέλλον ἐρήμους ἑαυτοὺς παντελῶς καθιστῶσιν. οὕτω καὶ ὁ Ἀδὰμ ἐλπίδι πλείονος τιμῆς, καὶ τῆς οὔσης ἐξέπεσε· καὶ πολλοὶ πολλάκις μειζόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀπώλεσαν, καὶ τὸν προσδοκῶντες [τὸν] ἐνταῦθα τὸ πᾶν ἔχειν, καὶ τοῦ μέρους ἐξέπεσον.

Ἐκ τοῦ λόγου τοῦ εἰς νεωτέραν χηρεύσασαν.

Τὰ γὰρ ἀνθρώπινα πράγματα, ὅσον ἂν ἐπαρθῇ καὶ λάμψῃ, τοσοῦτον μείζονα τὴν πτῶσιν ἐργάζεται, οὐ τὰ τῶν ἀρχομένων μόνον, ἀλλὰ καὶ τὰ τῶν βασιλευόντων αὐτῶν. οὐδὲ γὰρ ἂν εὕροι τις οἰκίαν ἰδιωτικὴν τοσούτων ἐμπεπλησμένην συμφορῶν, ὅσων τὰ βασίλεια γέμει τῶν κακῶν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Τίνος ἕνεκεν, εἰπέ μοι, βασκαίνεις τῷ πλησίον, ὅτι τιμῆς ἀπολαύοντα βλέπεις καὶ δόξης πολλῆς; εἶτα οὐκ ἐννοεῖς τὸ τούτων ὄλεθρον, καὶ ὅσον ἐντεῦθεν τίκτεται [τὸ] κακόν; τὸ γὰρ δὴ χαλεπώτατον τούτων, ὅτι τὰ μὲν ἐξ αὐτῶν κακὰ ἀθάνατα μένει, ἡ δὲ ἡδονὴ οὔπω ἐφάνη καὶ ἀπέπτη. ἀλλ' ἐξουσίαν ἔχει παρὰ τῷ κρατοῦντι πολλήν, καὶ ἄγει καὶ φέρει πάντα ὅπου θέλει, καὶ τοὺς ἐχθροὺς λυπεῖ, καὶ τοὺς κολακεύοντας εὐεργετεῖ, καὶ πολλὴν ἔχει δύναμιν. τί οὖν ἐργάσασθαι δύναται δεινόν; ἀποχειροτονήσει τῆς ἀξίας; καὶ τί τοῦτο; ἂν μὲν γὰρ δικαίως, καὶ ὠφελεῖ· οὐδὲν γὰρ οὕτω παροξύνει Θεόν, ὡς τὸ παρὰ ἀξίαν τιμᾶσθαι. ἂν δὲ ἀδίκως, τὸ ἔγκλημα πάλιν ἐπ' ἐκεῖνον, οὐκ ἐπὶ τοῦτον χωρεῖ. ὁ γὰρ ἀδίκως τι παθών, καὶ γενναίως ἐνεγκών, πλείονα ταύτῃ πρὸς τὸν Θεὸν κέκτηται τὴν παρρησίαν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ. Ῥωμ. ιγ. α.

Ὁ γὰρ τοῖς ἄρχουσιν ὑποταττόμενος, οὐ τοῖς ἄρχουσιν ὑποτάσσεται, ἀλλὰ τῷ Θεῷ τῷ ταῦτα νομοθετήσαντι πείθεται· καὶ ὁ μὲν οὐχ ὑπακούων ἐκείνοις, τῷ Θεῷ πολεμεῖ. Οὐ γάρ ἐστιν ἐξουσία, φησίν, εἰ μὴ ἀπὸ Θεοῦ. τὸ γὰρ ἀρχὰς εἶναι, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δὲ ἄρχεσθαι, καὶ μὴ ἁπλῶς ἀνέδην ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων, τῇδε κἀκεῖσε τῶν δήμων περιαγομένων, τῆς τοῦ Θεοῦ σοφίας ἔργον ἐστί. διὸ καὶ σφοδρός ἐστι τιμωρός, καταφρονουμένων τούτων. οὐ γὰρ τὴν τυχοῦσάν σοι δίκην ἀπαιτήσει παρακούσοντα, ἀλλὰ καὶ σφόδρα μεγίστην· καὶ οὐδέν σε ἐξαιρήσεται ἀντιλέγοντα· ἀλλὰ καὶ παρὰ ἀνθρώπων ὑποστήσῃ τιμωρίαν χαλεπωτάτην, καὶ τὴν τοῦ Θεοῦ παροξυνεῖς μειζόνως.

Ἐκ τοῦ ἀνδριάντ.

Ὥσπερ γὰρ ἐὰν τὸν κυβερνήτην ἀποστήσῃς, κατεπόντισας τὸ σκάφος· καὶ στρατηγὸν ἂν ἀπαγάγῃς τοῦ στρατοπέδου, δεδεμένους τοῖς πολεμίοις παρέδωκας τοὺς στρατιώτας· οὕτω τῶν πόλεων ἂν τοὺς ἄρχοντας ἀνέλῃς, θηρίων ἀλόγων ἀλογώτερον βιωσόμεθα βίον. ὅπερ γάρ εἰσιν ἐν ταῖς οἰκίαις τῶν ξύλων αἱ ἱμαντώσεις, τοῦτο οἱ ἄρχοντες ἐν ταῖς πόλεσιν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. β'. ἐπιστ.

Ὅταν οὖν ἀρχὴ ἀνεπίληπτος ᾖ πᾶσι, τότε δυνήσεται μεθ' ὅσης βούλεται ἐξουσίας, καὶ κολάζειν καὶ συγχωρεῖν τοὺς ὑπ' αὐτὸν τεταγμένους ἅπαντας. τὸ μὲν γὰρ μὴ κολάσαι τοὺς ὑπευθύνους, καὶ συγγνώμην δοῦναι τοῖς ἀσύγγνωστα ἡμαρτηκόσιν, εἰ ἄρα τις ἢ δευτέρου μόλις ἐστὶν ἀνθρώπου· καὶ μάλιστα, ὅταν βασιλεὺς ὁ ὑβρισμένος ᾖ. καὶ τῷ φόβῳ δὲ ὑποτάξαι πάλιν εὔκολον, τὸ δὲ πάντας ἐραστὰς καταστῆσαι, καὶ μετ' εὐνοίας πεῖσαι διακεῖσθαι περὶ τὴν βασιλείαν, δυσκατόρθωτον, κἂν μυρία τις ἀναλώσῃ χρήματα, κἂν μυρία κινήσῃ στρατόπεδα, κἂν ὁτιοῦν ἐργάσηται, οὐκ εὐκόλως τοσούτων ἀνδρῶν διάθεσιν πρὸς ἑαυτὸν ἐπισπάσασθαι δυνήσεται.

Ἐκ τῆς αὐτῆς.

Οὐδὲν γὰρ οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα, ὡς ἡ φιλοστοργία ἡ περὶ τοὺς ἀρχομένους. καὶ γὰρ πατέρα, οὐ τὸ γεννῆσαι μόνον ποιεῖ, ἀλλὰ καὶ τὸ φιλεῖν μετὰ τὸ γεννῆσαι· εἰ δὲ ἔνθα φύσις ἀγάπης χρεία, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις.

Ἐκ τοῦ ε'. λόγ. τοῦ εἰς τὸν Ὀζίαν.

Μείζων ὄντως ἡ τῆς ἱερωσύνης ἀρχὴ τῆς ἀρχῆς τῆς βασιλικῆς· καὶ τοσοῦτον μείζων, ὅσον ὁ μὲν βασιλεὺς σώματα ἐμπεπίστευται, ὁ δὲ ἱερεὺς ψυχάς. καὶ ὁ μὲν λοιπάδας χρημάτων ἀφίησιν, ὁ δὲ λοιπάδας ἁμαρτημάτων· κἀκεῖνος ἀναγκάζει, οὗτος παρακαλεῖ· ἐκεῖνος ὅπλα αἰσθητά, οὗτος ὅπλα πνευματικά· ἐκεῖνος πολεμεῖ πρὸς βαρβάρους, οὗτος πρὸς δαίμονας. διὰ τοῦτο καὶ ἐν τῇ παλαιᾷ ἱερεῖς τοὺς βασιλεῖς ἔχριον, καὶ νῦν τὴν

κεφαλὴν

κεφαλὴν ὑπὸ τὰς τοῦ ἱερέως χεῖρας φέρων τίθησιν ὁ Θεός, παιδεύων ἡμᾶς, ὅτι οὗτος ἐκείνου
μείζων ἄρχων· τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Εἰσῆλθε γάρ ποτε ὁ βα-
σιλεὺς Ὀζίας εἰς τὸν ναὸν τοῦ Κυρίου θυμιάσαι θέλων, καὶ εἰσῆλθεν Ἀζαρίας ὁ ἱερεὺς ὀπί-
σω αὐτοῦ, οὐ γὰρ ὡς βασιλέα μέλλων ἐξελαύνειν, ἀλλ' ὡς δραπέτην καὶ οἰκέτην ἀγνώμονα, οὕ-
5 τως ἐπεισῆλθε μετὰ σφοδρότητος, ὥσπερ τις σκύλαξ γενναῖος ἐπεισδραμὼν τῷ ἀκαθάρτῳ
θηρίῳ, ὥστε αὐτὸν τῆς δεσποτικῆς ἐξαγαγεῖν οἰκίας. οὐκ εἶδεν εἰς τὸν τῆς ἀρχῆς ὄγκον,
οὐκ ἤκουσε τοῦ Σολομῶντος λέγοντος, Ἀπειλὴ βασιλέως ὁμοία θυμῷ λέοντος· ἀλλὰ πρὸς
τὸν ἀληθινὸν βασιλέα τῶν οὐρανῶν ἰδών, καὶ τούτῳ τῷ φόβῳ ἑαυτὸν ὀχυρώσας, οὕτως ἐπεπή-
δησε τῷ τυράννῳ. ἀλλ' εἰσέλθωμεν καὶ ἡμεῖς, εἰ δοκεῖ, ἵνα ἴδωμεν τί πρὸς τὸν βασιλέα
10 διαλέγεται. Οὐκ ἔξεστί σοι, φησίν, Ὀζία, θυμιάσαι τῷ Κυρίῳ. οὐκ ὠνόμασεν αὐτὸν βασιλέα,
ἐπειδὴ αὐτὸς ἑαυτὸν προλαβὼν ἐξέβαλε τῆς τιμῆς. ὁ μὲν γὰρ τὴν ἁμαρτίαν ποιῶν δοῦλός ἐστι, κἂν
μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους· ὁ δὲ τὴν δικαιοσύνην ἐργαζόμενος, κἂν ἁπάντων ἔσχα-
τος ᾖ, καὶ αὐτοῦ τοῦ βασιλέως βασιλικώτερός ἐστι. καὶ προσέχετε ὃ λέγω. Ἐδέησέ ποτε βασι-
λέα γενέσθαι τοῖς Ἰουδαίοις, ἐπειδὴ ὁ πρότερον γενόμενος ἀνάξιος ἦν. πέμπεται οὖν ὁ Σαμουὴλ
15 πρὸς τὸν Ἰεσσαί, καί φησιν· Ἐπέμψέ με ὁ Θεὸς ποιῆσαι βασιλέα ἐκ τῶν υἱῶν σου. ὁ Ἰεσσαὶ ἀκούσας
βασιλέα, νομίσας ἐπιτήδειον εἶναι πρὸς τὸ [ποιῆσαι] ἀξίωμα, ἄγει τὸν πρῶτον υἱόν. ἄπαγε αὐτόν,
φησίν, οὐκ εὐδόκησεν ὁ Θεὸς ἐν αὐτῷ. ἄγει τὸν δεύτερον, οὐδὲ οὕτως· ἄγει τὸν τρίτον, οὐδὲ
οὕτω· τὸν τέταρτον, τὸν πέμπτον, τὸν ἕκτον, οὐδὲ οὕτω. καὶ ἀνηλώθη ὁ χορὸς τῶν παίδων, καὶ
ὁ ζητούμενος οὐχ εὑρίσκετο. λέγει αὐτῷ, Ἔχεις ἄλλον υἱόν; ἠπορήθη ὁ πατήρ· ἔχω ἕνα, φησί,
20 μικρόν, εὐτελῆ, ποιμένα. τί οὖν; βασιλέα ποιῆσαι ζητεῖς, καὶ τὸν ἐλάττω κρείττονα ἡγῇ τοῦ
κρείττονος; ἄνθρωπος ἄνθρωπον ἐξουθενεῖ, ὁ δὲ Θεὸς στεφανοῖ. οὐ γὰρ ὡς ὄψεται ἄνθρω-
πος, ὄψεται Θεός· ἄνθρωπος εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν. μὴ γὰρ πολυσαρκί-
αν ζητοῦμεν; ψυχῆς εὐγένειαν ἐπιθυμοῦμεν. καὶ διατί μὴ ἐξ ὀνόματος εἶπεν ὁ Θεός· ἄ-
πελθε, χρῖσόν μοι τὸν Δαβὶδ εἰς βασιλέα, ἀλλ' ἕνα τῶν υἱῶν Ἰεσσαί; ἵνα μὴ πάθῃ ὁ Δαβίδ,
25 ὅπερ ἔπαθεν Ἰωσήφ. ὥσπερ γὰρ μαθόντες ἐκεῖνοι τὸν ζητούμενον αὐτῶν βασιλέα, ἐπεβού-
λευσαν· οὕτω δέος ἦν μὴ καὶ οὗτοι τοῦτο ἐργάσωνται. ὥστε ἡ ἄγνοια ἀσφαλείας μήτηρ ἐγένετο
τῷ Δαβίδ. ἦλθε τοίνυν ὁ Δαβίδ, καὶ χρίεται τῷ ἐλαίῳ, καὶ ἀπῆλθεν ἔχων τὴν βασιλείαν, οὐ
θώρακα, οὐκ ἀσπίδα περιβεβλημένος, οὐδὲ δόρατα, ἀλλὰ τὴν τοῦ Θεοῦ ψῆφον, τὴν πάν-
των δυνατωτέραν. καὶ πολέμου καλοῦντος, ἀπῆλθεν ἰδεῖν τὴν παράταξιν, καὶ εὗρε τὸν βάρ-
30 βαρον προσκαλούμενον εἰς μονομαχίαν, καὶ οὐδεὶς ἐτόλμα προσπηδῆσαι, οὐδὲ ἐξελθεῖν κατ'
αὐτοῦ, εἱστήκει καὶ λέγει· Τίς ἐστιν ὁ ἀπερίτμητος οὗτος, ὃς ὠνείδισε παράταξιν Θεοῦ ζῶντος;
καὶ λέγουσιν αὐτῷ, πόθεν σοι ἡ ἀπόνοια αὕτη; ὁ δέ, οὐκ ἀπόνοιαν, ἀλλὰ πίστιν· οὐ θώρακα, ἀλλὰ
θεοσέβειαν καθοπλίζομαι· οὐ σκοπῶ αὐτοῦ τὸ μέγεθος, ἀλλὰ τὴν ἐρημίαν τῆς διανοίας
αὐτοῦ· οὐ βλέπω ὅτι μέγα τὸ πλοῖον, ἀλλ' ὅτι κυβερνήτην οὐκ ἔχει. τί οὖν οἱ ἀδελφοί; πά-
35 λιν φθόνος, πάλιν βασκανία. ἐπὶ τίνα ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα; ἡμεῖς οἴδα-
μεν τὴν ὑπερηφανίαν καὶ τὴν κακίαν τῆς καρδίας σου, ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης. ὁ δὲ ὑπο-
τεμνόμενος τοῦ ἕλκους ἀπέστη ἀπ' αὐτῶν, καὶ μεταγενόμενος εἰς τὸ ἕτερον μέρος τοῦ πολέμου, λέγει·
τί ἔσται τῷ ἀνθρώπῳ τῷ αἴροντι τὴν κεφαλὴν αὐτοῦ; οἱ δὲ εὐάγουσιν αὐτὸν πρὸς τὸν βασιλέα. εἶδε
τοίνυν τὸν βασιλέα καταπεπληγότα, δεδοικότα καὶ τρέμοντα, καὶ λέγει πρὸς αὐτόν· ἵνα τί συμπέ-
40 πτωκε τὸ πρόσωπον τοῦ κυρίου μου, καὶ ἐν τῇ εὐημερίᾳ τὴν δουλείαν ὁμολογεῖς; τίς ἐστιν οὗτος; οὐχὶ πο-
ρεύσομαι, καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ; τί οὖν ὁ βασιλεύς; καὶ πῶς δυνήσῃ; σὺ παιδάριον
εἶ μικρόν, αὐτὸς δὲ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ. ἀπιστεῖ ὁ βασιλεύς· ἀναγκάζεται ὁ Δαβὶδ
τὰ κατορθώματα εἰπεῖν· Ἐγώ, φησί, παιδίον ἤμην μικρὸν ποιμαίνων τὰ πρόβατα τοῦ πα-
τρός μου· καὶ ὅτε ἤρχετο λέων ἢ ἄρκος, καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ποίμνης μου, ἐξεπο-
ρευόμην

Ἐκ τοῦ γ. λόγ. τῶν εἰς τὸν Ὀζίαν.

Παροιμ. κ.

Ἐκ τοῦ λόγ. τῶν εἰς τὴν ἐπιγραφὴν τοῦ ν. ψαλμ.

ρευομένην ὀπίσω αὐτῶν, καὶ ἐξέωσαν ἐκ τοῦ στόματος αὐτῶν, καὶ ἐπάταξαν τὸν λέοντα καὶ τὴν ἄρκον· καὶ ἔσται οὗτος ὡς ἓν τῶν θηρίων ἐκείνων, διότι ὠνείδισε παράταξιν Θεοῦ ζῶντος. καὶ εἶπε Σαοὺλ πρὸς τὸν Δαβίδ, πορεύου, καὶ Κύριος μετὰ σοῦ. ἔδωκε δὲ αὐτῷ ὁ βασιλεὺς τὰ ἑαυτοῦ ὅπλα, καὶ οὐκ ἐδύνατο βαστάξαι. διὰ τί; οὐ συνεχώρει τοῦτο ὁ Θεός, ἵνα μὴ τὰ ὅπλα συμμερίσηται τὴν νίκην τῶν κατορθωμάτων· ἵνα μὴ εἴπῃ ὁ βασιλεὺς, ὅτι τὰ ὅπλα μου ἐνίκησε. ῥίπτει τὰ ὅπλα, καὶ ἐνδύεται τὴν πίστιν· ἀφίησι βαλὼν· ἔπεσεν ὁ ἀλλόφυλος. οὐ γὰρ τῇ φύσει τοῦ σώματος, ἀλλὰ τῇ δυνάμει τοῦ πνεύματος τὴν νίκην ἀπηνέγκατο. ἔδραμε καὶ ἔλαβεν αὐτοῦ τὸ ξίφος, καὶ ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν· καὶ ἐπληρώθη τὸ γεγραμμένον· Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ.

Εἰ τοίνυν δόξης ἐρᾷς καὶ τιμῆς, μὴ τὴν οἰκίαν, μηδὲ τοὺς ἵππους, ἀλλὰ τὴν ψυχὴν καλλώπιζε καὶ θεράπευε· ὡς νῦν γε οὐδέν σου γένοιτ' ἂν ἀτελέστερον ἐρήμην ἔχοντος ψυχὴν, καὶ τὸ τῆς οἰκίας, καὶ τὸ τοῦ ἵππου περιβαλλομένου κάλλος. Ἀλλὰ κἀκεῖνα καὶ ταῦτα Θεοῦ, φησί. τί φῇς; οὐ δέδοικας ταῦτα φθεγγόμενος, καὶ μετὰ τῶν ἵππων καὶ τῶν λίθων τὸν Χριστὸν ἀριθμῶν; οὐκ οἶσθα ὅτι καὶ σῶμα αὐτὸς διέπλασε, καὶ ψυχὴν ἐχαρίσατο, καὶ τὸν κόσμον ἀπένειμεν ἅπαντα; σὺ δὲ οὐδὲ μικρὰν τούτῳ ἀντιδίδως τὴν ἀμοιβήν; κἂν μὲν οἰκίσκον μικρὸν ἐκμισθώσῃς, μετὰ πολλῆς ἀκριβείας τὸν μισθὸν ἀπαιτεῖς· τὴν δὲ κτίσιν αὐτοῦ πᾶσαν καρπούμενος, καὶ κόσμον τοσοῦτον οἰκῶν, οὐδὲ ὀλίγον ἀνέχῃ τὸν μισθὸν καταβαλεῖν; καὶ ποίας ἂν εἴης ἀπολογίας ἄξιος;

Ἐκ τοῦ γ. λόγ. τοῦ περὶ ἀκαταλήπτου.

Καθάπερ γὰρ ὁ λίθον πρὸς τὸ ὕψος ἀκοντίζων, τοῦ οὐρανοῦ μὲν τὸ σῶμα διατεμεῖν οὐ δυνήσεται, οὐδὲ πρὸς τὸ ὕψος φθάσαι ἐκεῖνο, τὴν δὲ πληγὴν τῇ οἰκείᾳ δέχεται κορυφῇ, πρὸς τὸν ἀκοντίζοντα ἐπανιόντος τοῦ λίθου· οὕτω δὴ καὶ ὁ τὴν μακαρίαν ἐκείνην οὐσίαν τοῦ Θεοῦ βλασφημῶν, ἐκείνην μὲν οὐδὲν παραβλάψει ποτὲ, πολλῷ μείζονα οὖσαν καὶ ὑψηλοτέραν, ὥστε δέξασθαί τινα βλάβην, κατὰ δὲ τῆς ἑαυτοῦ κεφαλῆς τὸ ξίφος ἀκονᾷ, ἀγνώμων περὶ τὸν εὐεργέτην γενόμενος.

Ἐκ τοῦ αὐτοῦ. *γ. ψυχ.*

Ἀκουέτωσαν οἱ τὴν μακαρίαν τῆς θεότητος οὐσίαν περιεργαζόμενοι, καὶ τὴν ἀκατάληπτον ἐκείνην φύσιν, καταληπτὴν εἶναι λέγοντες, ἵνα γνῶσιν, ὡς οὐδὲ ἀγγέλου οὐσίαν δυνατὸν ἀνθρώπῳ μετὰ ἀδείας ἰδεῖν. ὁ ἅγιος προφήτης Δανιὴλ, ὁ τοῦ Θεοῦ φίλος, ὁ ἔχων παρρησίαν πολλὴν πρὸς αὐτὸν, τρεῖς ἑβδομάδας ἐνήστευσεν ἡμερῶν, καὶ ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγεν, οὐδὲ οἶνος καὶ κρέας οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ, οὐδὲ ἄλειμμα ἠλείψατο· καὶ ὅτε ἐπιτηδειοτέρα αὐτῷ ἦν ἡ ψυχὴ, πρὸς τὴν τῆς τοιαύτης θεωρίας ὑποδοχὴν, ὑπὸ τῆς νηστείας κουφοτέρα καὶ πνευματικωτέρα γενομένη, τότε τὸν ἄγγελον εἶδε, καί φησιν· Ἐστράφη τὰ ἐντός μου ἐν τῇ ὁράσει μου, καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοὶ, οὔτε ἰσχύς· καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν. ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν ὁ νεανίας, ὁ δὲ φόβος τῆς παρουσίας τοῦ ἀγγέλου καθάπερ τοὺς ἐκπνέοντας οὕτως αὐτὸν διέθηκε, πολλὴν κατασκεδάσας τὴν ὠχρίαν, *γ. ἀχ...* καὶ ἀναλώσας τὸ ἄνθος τῆς ὥρας, καὶ δαπανήσας τὴν εὐχροιαν τῆς ἐπιφανείας ἅπασαν, διὰ τοῦτό φησι· μετεστράφη ἡ δόξα μου εἰς διαφθοράν. ἀνέστησε τοίνυν αὐτὸν ὁ ἄγγελος· ὁ δὲ ἀνέστη ἔντρομος. καὶ ἀρχομένου τοῦ ἀγγέλου διαλέγεσθαι πρὸς αὐτὸν, πάλιν κατέπεσεν ἐπὶ τὴν γῆν. καὶ καθάπερ οἱ ἀπὸ τοῦ φόβου ἐκλελυμένοι, διεγερθέντες καὶ εἰς ἑαυτοὺς ἐπανελθόντες καὶ διαβλέψαντες, κατεχόντων ἡμῶν αὐτοὺς, καὶ ῥαινόντων τὸ πρόσωπον ψυχροῖς νάμασιν, ἐν αὐταῖς ἡμῶν πολλάκις ἐκλύονται μεταξὺ ταῖς χερσίν· οὕτω καὶ ὁ προφήτης ἔπασχεν. ἡ γὰρ ψυχὴ φοβηθεῖσα, καὶ τὴν ὄψιν τῆς παρουσίας οὐ φέρουσα τοῦ συνδούλου, οὐδὲ τὸ φῶς ἐκεῖνο δυναμένη βαστάζειν, ἐθορυβεῖτο καθάπερ τινὸς ἀλύσεως τοῦ δεσμοῦ τῆς σαρκὸς ἑαυτὴν ἀπορρῆξαι ἐπειγομένη· ἀλλ' ἐκεῖνος κατεῖχεν. Εἰ δὲ ὁ Δανιὴλ, ὃν ᾐδέσθησαν ὀφθαλμοὶ λεόντων, Δανιὴλ, ὁ τὰ ὑπὲρ ἄνθρωπον ἐν ἀνθρωπίνῳ σώματι δυνηθεὶς, ὁ ἐπὶ σοφίᾳ καὶ δικαιοσύνῃ καὶ ἐπὶ πολλοῖς ἑτέροις μαρτυρηθεὶς κατορθώμασι, συνδούλου παρουσίαν οὐκ ἤνεγκεν, ἀλλ' ἄπνους ἔκειτο· οἱ

τοσοῦτον

τοσοῦτον τῆς ἀρετῆς ἀφεστηκότες τοῦ δικαίου, καὶ τὸν τῶν ἀγγέλων δεσπότην περιεργαζόμενοι
καὶ αὐτὴν ὑπισχνούμενοι τὴν οὐσίαν εἰδέναι μετὰ ἀκριβείας ἁπάσης, τὴν ἀνωτάτω καὶ πρώ-
την, καὶ τὰς μυριάδας τῶν ἀγγέλων τούτων παραγαγοῦσαν, ὧν ἕνα ἰδεῖν ὁ Δανιὴλ οὐκ ἴσχυσε,
τί πείσονται; καθάπερ γὰρ τὸ τῶν ἀκτίνων τῶν ἡλιακῶν ἀπρόσιτον οὐχ οὕτως οἶδεν ὁ τυφλὸς,
5 ὡς ὁ βλέπων· οὕτω καὶ τὸ τοῦ Θεοῦ ἀκατάληπτον οὐχ οὕτως ἡμεῖς ἴσμεν, ὡς αἱ τῶν ἀγγέλων δυ-
νάμεις, ὅσῳ καθαρώτεραι καὶ σοφώτεραι καὶ διορατικώτεραι τῆς ἀνθρωπίνης εἰσὶ φύσεως.
ὅσον γὰρ τυφλοῦ καὶ βλέποντος τὸ μέσον, τοσοῦτον ἡμῶν κἀκείνων τὸ διάφορον. ὥστε κἂν τοῦ
προφήτου λέγοντος ἀκούσῃς, Εἶδον τὸν Κύριον, μὴ τοῦτο ὑποπτεύσῃς, ὅτι τὴν οὐσίαν εἶδεν ‖ Ησ. ς. α.
ἐκείνην· ἀλλὰ τὴν συγκατάβασιν, καὶ ταύτην δὲ ἀμυδρότερον, ἤπερ αἱ ἄνω δυνάμεις. τοῦτο
10 δὲ καὶ ἀπὸ τῶν ἀποστόλων φανερόν. Ἀνέβη γὰρ, φησιν, εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ μετεμορφώ- ‖ Ἐκ τοῦ λόγ. εἰς τὸ, Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.
θη ἔμπροσθεν αὐτῶν. τί ἐστι, μετεμορφώθη; παρήνοιξε, λέγει, ὀλίγον τῆς θεότητος, καὶ ἔδει-
ξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεόν· καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ τὰ ἱμάτια αὐτοῦ
ἐγένετο λευκὰ ὡσεὶ χιών. ἠθέλησε δεῖξαι τὴν λαμπηδόνα αὐτοῦ ὁ εὐαγγελιστὴς, καὶ λέγει, ἔ-
λαμψεν. ἔλαμψε, πῶς; ἔλαμψε σφοδρῶς, εἰπέ μοι, καὶ πῶς; ὡς ὁ ἥλιος. ὡς ὁ ἥλιος, λέ-
15 γεις; ναί. διατί; οὐκ ἔχω ἄλλο ἄστρον φαιδρὸν καὶ λευκόν. λευκὸς ἦν ὡς χιών· οὐκ ἔχω ἄλ-
λην ὕλην λευκοτέραν. ὅτι γὰρ οὐχ οὕτως ἔλαμψεν, ἀπὸ τοῦ ἑξῆς δείκνυται· καὶ ἔπεσον χα-
μαὶ οἱ μαθηταί. εἰ δὲ ὡς ὁ ἥλιος ἔλαμψεν, οὐκ ἔπιπτον οἱ μαθηταί· ἥλιον μὲν γὰρ ἔβλε-
πον καθ' ἡμέραν, καὶ οὐκ ἔπιπτον. ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψε, καὶ ὑπὲρ τὴν χιόνα,
διὰ τοῦτο μὴ φέροντες τὴν λαμπηδόνα, κατέπεσον. ἀλλὰ τί ποθῶ; ἄνθρωπός εἰμι καὶ
20 ἀνθρώποις διαλέγομαι, πηλίνην κέκτημαι γλῶτταν· συγγνώμην αἰτῶ παρὰ τοῦ δεσπό-
του. οὐ γὰρ ἐξ ἀπονοίας ταῖς λέξεσι ταύταις κέχρημαι, ἀλλὰ δι' ἀπορίαν τῆς ἀσθενείας καὶ τῆς
φύσεως τῆς γλώττης τῆς ἡμετέρας. ἵλεως ἔσο, δέσποτα· οὐ γὰρ ἀπονοίᾳ κεχρημένος ταύ-
τας λέγω τὰς λέξεις· ἀλλ' οὐκ ἔχω ἄλλας. οὐ μὴν ἵσταμαι ἐν τῇ εὐτελείᾳ τῆς λέξεως,
ἀλλ' ἀναβαίνω τῷ πτερῷ τοῦ νοήματος. Διὰ τοῦτο δὲ καὶ ταῦτα εἰρήκαμεν, καὶ τὴν κατὰ τὸν ‖ Ἐκ τοῦ δ. λόγ. τοῦ περὶ ἀκαταλήπτου.
25 μακάριον Δανιὴλ ἱστορίαν ὑμῖν ἀνέγνωμεν, καὶ συνεχῶς ἐδείκνυμεν αὐτὸν ἀγωνιῶντα, τρέ-
μοντα, τῶν ψυχορραγούντων οὐδὲν ἄμεινον διακείμενον, τῆς ψυχῆς ἐπιχειρούσης ἀποῤῥῆξαι τοὺς
τῆς σαρκὸς δεσμοὺς, ἵνα ἐκ πολλῆς τῆς περιουσίας εἰδῆτε οἱ τὸν Θεὸν καταληπτὸν εἶναι λέ-
γοντες, ὅτι οὐχὶ τοῦ Θεοῦ ἐπιφάνειαν μόνον, ἀλλ' οὐδὲ ἀγγέλου φορητὸν κατιδεῖν. καθάπερ
γὰρ περιστερὰ χλοερήθης καὶ ἥμερος ἐν οἰκίσκῳ τινὶ διατρίβουσα, ὅταν ποτὲ αἴσθηταί τινος φόβου,
30 πτοηθεῖσα πρὸς τὴν ὀροφὴν ἵπταται, καὶ διὰ τῶν θυρίδων ἔξοδόν τινα ἐπιζητεῖ, τῆς ἀγωνίας
ἀπαλλαγῆναι ἐπιθυμοῦσα· οὕτω δὴ καὶ ἡ ψυχὴ τοῦ μακαρίου τότε ἐκείνου ἐκ τοῦ σώματος
ἀναβῆναι ἔσπευδε, καὶ πρὸς τὰ ἔξωθεν ἠπείγετο. καὶ ἐξῆλθεν ἂν καὶ ἀπέπτη, καὶ τὸ σῶμα κα-
τέλιπεν ἔρημον, εἰ μὴ ταχέως ὁ ἄγγελος προκαταλαβὼν αὐτὴν ἀπήλλαξε τῆς ἀγω-
νίας, καὶ πρὸς τὸ οἰκεῖον πάλιν ἐπανήγαγε καταγώγιον. εἰ δὲ ὁ δίκαιος ἐκεῖνος, ὁ παῤ-
35 ῥησίαν τοσαύτην ἔχων, ἄγγελον ἰδὼν οὐκ ἤνεγκεν, οἱ τοσοῦτον ἀφεστηκότες αὐτοῦ, καὶ οὐχὶ
ἄγγελον, ἀλλ' αὐτὸν τὸν τῶν ἀγγέλων περιεργαζόμενοι δεσπότην, τί πείσονται; ἐκεῖνος
λεόντων θυμὸν ἐδάμασεν· ἡμεῖς δὲ οὐδὲ ἀλωπέκων περιγενέσθαι δυνάμεθα. ἐκεῖνος δρά-
κοντα μέσον ἔῤῥηξεν· ἡμεῖς δὲ καὶ τὰ ψιλὰ ἑρπετὰ δεδοίκαμεν. καὶ εἰ ὁ τοιοῦτος καὶ τηλικοῦτος
ἄγγελον ἐλθόντα πρὸς αὐτὸν ἰδὼν, σκοτοδινίᾳ κατείχετο χαλεπῇ, τίνα ἕξουσιν ἀπολογίαν, οἱ
40 τὴν μακαρίαν ἐκείνην φύσιν ἐμβατεύειν ἐπιχειροῦντες; διὰ τοῦτο Παῦλος ἐκπληττό-
μενος ἔλεγεν· Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίμα- ‖ Ἐκ τοῦ α λόγ. τοῦ περὶ ἀκατ.
τα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; οὐκ εἶπεν, ἀκατάληπτα, ἀλλ', ἀνεξερεύνητα. εἰ δὲ
ἐξερευνηθῆναι οὐ δύνανται, πολλῷ μᾶλλον καταληφθῆναι ἀδύνατον. καὶ ἀνεξιχνίαστοι αἱ
ὁδοὶ αὐτοῦ· αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, καὶ αὐτὸς καταληπτὸς, εἰπέ μοι; τί λέγεις; τὰ κρί-

ματα

ματα αὐτοῦ ἀνεξερεύνητα, αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, ἃ ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτὸν οὐκ ἀνέβη ἐπὶ καρδίαν ἀνθρώπου, ἡ μεγαλωσύνη αὐτοῦ πέρας οὐκ ἔχει, ἡ σύνεσις ἀριθμὸν οὐκ ἔχει, πάντα ἀκατάληπτα· καὶ αὐτὸς μόνος καταληπτός; καὶ ποίαν οὐκ ἂν ἔχοι τοῦτο μανίας ὑπερβολήν; τίς δὲ οὐκ ἂν θρηνήσειεν ὑμᾶς τῆς παραπληξίας καὶ τῆς ἐσχάτης ταύτης ἀνοίας; ἣν ἀποβαλέσθαι σπουδάσωμεν, ἀγαπητοί, ὅση δύναμις, τὸν Παῦλον ἀεὶ πρὸ τῶν ὀφθαλμῶν ἑστάναι δοκοῦντες τῶν ἡμετέρων, μετ' ἐκπλήξεως βοῶντα καὶ λέγοντα· Ὢς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ; αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΕΟΡΤΗΝ ΤΩΝ ΒΑΪΩΝ.

Λογ. θ.

Ἰωάν. ιβ. α. Ἐκ τῆς ὁμιλ. ξϛ' εἰς τὸ κατ' Ἰωάν. εὐαγγ.

Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος, εἰς τὸν οἶκον Μαρίας καὶ Μάρθας, καὶ εἱστιᾶτο παρ' αὐτοῖς· ἡ δὲ Μάρθα διηκόνει, καὶ Λάζαρος ἤσθιε. τοῦτο δὲ τῆς εἰλικρινοῦς ἀναστάσεως σημεῖον ἦν, τὸ μεθ' ἡμέρας πολλὰς καὶ ζῆν καὶ ἐσθίειν. ὅθεν δῆλον ὅτι ἐν τῇ οἰκίᾳ τῆς Μάρθας τὸ ἄριστον ἦν. ἅτε γὰρ φίλοι καὶ φιλούμενοι δέχονται τὸν Ἰησοῦν, τινὲς δέ φασιν, ὅτι ἐν ἀλλοτρίᾳ οἰκίᾳ τοῦτο ἐγένετο· ἡ δὲ Μαρία διηκόνει. μαθήτρια γὰρ ἦν. πάλιν ἐνταῦθα αὕτη πνευματικωτέρα διακονίᾳ ὑπηρέτει. οὐ διηκόνει γὰρ ὡς κεκλημένη, οὐδὲ κοινὴν ποιεῖται τὴν ὑπηρεσίαν, ἀλλ' εἰς αὐτὸν μόνον περιΐστησι τὴν τιμήν, καὶ οὐχ ὡς ἀνθρώπῳ προσίεισιν, ἀλλ' ὡς Θεῷ. τὸ γὰρ μύρον διὰ τοῦτο ἐξέχεε, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἀπέμαξεν, ἅτινα οὐκ ἦν ὑπόληψιν ἐχούσης περὶ αὐτοῦ τοιαύτην, οἵαν οἱ πολλοί. ἀλλ' ἐπετίμησεν Ἰούδας, προσχήματι δῆθεν εὐλαβείας. τί οὖν ὁ Χριστός; Ἄφες αὐτήν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. τί δήποτε δὲ οὐκ ἤλεγξε τὸν μαθητὴν ἐπὶ τῆς γυναικός, οὐδὲ εἶπε τοῦτο, ὅπερ ὁ εὐαγγελιστὴς εἶπεν· ὅτι διὰ τὴν οἰκείαν κλοπὴν ἐπετίμα τῇ γυναικί; τῇ πολλῇ μακροθυμίᾳ ἐντρέψαι αὐτὸν ἠβούλετο. ὅτι γὰρ ᾔδει ὅτι προδότης ἦν, ἄνωθεν αὐτὸν ἤλεγξε, πολλάκις λέγων· Οὐ πάντες πιστεύουσι· καί, Εἷς ἐξ ὑμῶν διάβολός ἐστιν. ἐδήλωσε μὲν οὖν, ὅτι οἶδεν αὐτὸν προδότην· οὐκ ἤλεγξε δὲ φανερῶς, ἀλλὰ συνεχώρησεν, ἀνακαλέσασθαι αὐτὸν θέλων. πῶς οὖν ἄλλος φησίν, ὅτι πάντες οἱ μαθηταὶ τοῦτο ἐφθέγξαντο; καὶ πάντες, κἀκεῖνος. ἀλλ' οἱ λοιποὶ οὐ τῇ αὐτῇ προαιρέσει. εἰ δέ τις ἐξετάζοιτο τί δήποτε κλέπτῃ ὄντι τὸ γλωσσόκομον ἐνεχείρισε τῶν πτωχῶν, καὶ οἰκονόμον ἐποίησε φιλάργυρον ὄντα· ἐκεῖνο ἂν εἴποιμεν, ὅτι τὸν ἀπόρρητον λόγον ὁ Ἰησοῦς οἶδεν· εἰ δὲ χρή τι καὶ ἡμᾶς στοχαζομένους εἰπεῖν, ἵνα πᾶσαν ἐκκόψῃ πρόφασιν. οὐ γὰρ εἶχεν εἰπεῖν, ὅτι διὰ χρημάτων ἔρωτα τοῦτο ἐποίησε· καὶ γὰρ ἱκανὴν εἶχεν ἐκ τοῦ γλωσσοκόμου τῆς ἐπιθυμίας παραμυθίαν· ἀλλὰ διὰ πονηρίαν πολλήν, ἣν εἰ ἐβούλετο κατέχειν, τὴν εὐεργεσίαν οὐκ ἂν προέδωκεν. ὁ δὲ Χριστὸς πολλῇ συγκαταβάσει πρὸς αὐτὸν κεχρημένος, ἀνείχετο αὐτοῦ μακροθυμῶν. διὸ οὐδὲ ἐνεκάλει αὐτῷ κλέπτοντι, καίτοι γε εἰδώς, ἐμφράττων αὐτοῦ τὴν πονηρὰν ἐπιθυμίαν καὶ πᾶσαν ἐξαίρων ἀπολογίαν. διὸ καὶ ἔλεγεν, Ἄφες αὐτήν· εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. πάλιν τὸν προδότην αἰνίττεται, ἐνταφιασμὸν εἰπών. ἀλλ' οὐ καθικνεῖτο αὐτοῦ ὁ ἔλεγχος, οὐδὲ ἐμάλαξε τὸ ῥῆμα, καίτοι ἱκανὸν ἦν αὐτὸν εἰς οἶκτον ἐμβαλεῖν. ὥσπερ ἂν εἰ ἔλεγεν, ἐπαχθής εἰμι καὶ φορτικός, ἀλλὰ ἀνάμεινον μικρὸν καὶ ἀπελεύσομαι. καὶ γὰρ καὶ τοῦτο κατασκευάζει ἐν τῷ λέγειν, Ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. ἀλλ' οὐδὲν τούτων τὸν θηριώδη καὶ μαινόμενον ἐκεῖνον ἀπέκαμψε· καίτοι πολλῷ πλείονα καὶ εἶπε καὶ ἐποίησε, καὶ τοὺς πόδας αὐτοῦ ἔνιψε κατ' αὐτὴν τὴν νύκτα, καὶ

Ἰωάν. ιβ. η.

τραπέζης

τραπέζης αὐτῷ μετέδωκεν. Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων, ὅτι εἰς Βηθανίαν ἐστὶν ὁ Ἰησοῦς, καὶ ἦλθον, οὐ δι' αὐτὸν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν· καὶ ἐν τούτῳ τὸ θαῦμα θεασάμενοι ἐπίστευον οἱ πολλοί· οἱ δὲ ἄρχοντες οὐκ ἠρκοῦντο μόνον τοῖς οἰκείοις κακοῖς, ἀλλὰ καὶ τὸν Λάζαρον ἀνελεῖν ἐπεχείρουν. ἐβουλεύσαντο γὰρ οἱ ἀρχιερεῖς, ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν. ἔστω, τὸν Χριστὸν ἀνελεῖν ἠβούλοντο, ὅτι τὸ σάββατον ἔλυεν, ὅτι ἴσον ἑαυτὸν ἐποίει τῷ πατρί, καὶ διὰ τοὺς Ῥωμαίους, ὥς φασιν, ἵνα μὴ ἄρωσιν αὐτῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος· τῷ Λαζάρῳ τί ἔχοντες ἐγκαλεῖν ἐπεχείρουν αὐτὸν ἀνελεῖν, εἰ μὴ ἄρα τὸ καλῶς παθεῖν ἔγκλημα; ὁρᾷς πῶς αὐτῶν φονικὴ ἦν ἡ προαίρεσις; καίτοι πολλὰ σημεῖα εἰργάσατο, ἀλλ' οὐδὲν αὐτοὺς οὕτως ἐξεθηρίωσεν, οὐχ ὁ παράλυτος, οὐχ ὁ τυφλός. τοῦτο γὰρ καὶ τῇ φύσει θαυμαστότερον ἦν, καὶ μετὰ πολλὰ ἐγεγόνει, καὶ ἦν παράδοξον, νεκρὸν τετραήμερον ἰδεῖν περιπατοῦντα καὶ φθεγγόμενον. ὢ ἀνοίας τῶν δῆθεν ἀρχιερέων. καὶ γὰρ τῆς ἑορτῆς αὐτῶν ἦν κατόρθωμα φόνοις ἀναμιγνῦναι τὴν πανήγυριν· ἄλλως δέ, ἐκεῖ μὲν ἐδόκουν ἐγκαλεῖν τὸ σάββατον, καὶ ταύτῃ τῇ πλάνῃ ἀπάγειν τοὺς ὄχλους· ἐνταῦθα δέ, ἐπειδὴ μηδὲν εἶχον ψεύσασθαι, κατὰ τοῦ τεθεραπευμένου ποιοῦνται τὴν ἐπιχείρησιν. ἐνταῦθα γάρ, οὐδὲ ὅτι ἐναμποδοῦται τῷ πατρὶ εἶχον εἰπεῖν· ἡ γὰρ εὐχὴ αὐτοὺς ἐπεστόμιζεν. ἐπεὶ οὖν καὶ ὃ ἀεὶ ἐνεκάλουν ἀνῄρητο, καὶ τὸ σημεῖον λαμπρὸν ἦν, ἐπὶ τὸν φόνον ὁρμῶσιν. ὥστε καὶ ἐπὶ τοῦ τυφλοῦ τοῦτο ἂν ἐποίησαν, εἰ μὴ εἶχον ἐγκαλεῖν τὸ σάββατον· ἄλλως δέ, ἐκεῖνος ἄσημος ἦν, καὶ ἐξέβαλον αὐτὸν ἐκ τοῦ ἱεροῦ· οὗτος δὲ ἐπισημότερος (καὶ δῆλον ἐκ τοῦ πολλοὺς ἐλθεῖν εἰς παραμυθίαν τῶν ἀδελφῶν) καὶ πάντων ὁρώντων τὸ θαῦμα ἐγένετο, καὶ μετὰ πολλῆς τῆς παραδοξοποιίας· διὰ τοῦτο πάντες ἔτρεχον ὀψόμενοι. τοῦτ' οὖν αὐτοὺς ἔδακνε, τὸ τῆς ἑορτῆς ἐνεστώσης πάντας ἀφέντας ἐπὶ τὴν Βηθανίαν ἔρχεσθαι. ἐπεχείρησαν οὖν αὐτὸν ἀνελεῖν, καὶ οὐδὲ φαῦλον ἐδόκουν τολμᾶν. οὕτως ἦσαν φονικοί. διὰ τοῦτο καὶ ἀρχόμενος ὁ νόμος ἀπὸ τούτου ἄρχεται, Οὐ φονεύσεις, λέγων. καὶ ὁ προφήτης τοῦτο ἐγκαλεῖ λέγων· Αἱ χεῖρες αὐτῶν αἵματος πλήρεις. Τῇ ἐπαύριον ὄχλος πολὺς ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι Ἰησοῦς ἔρχεται εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἔκραζον· ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, βασιλεὺς τοῦ Ἰσραήλ. πῶς οὖν παρρησίᾳ μὴ περιπατῶν ἐν τῇ Ἰουδαίᾳ, καὶ εἰς τὴν ἔρημον ἀναχωρῶν, πάλιν εἰσέρχεται μετὰ παρρησίας; σβέσας τὸν θυμὸν αὐτῶν τῇ ἀναχωρήσει, πεπαυμένοις αὐτοῖς ἐφίσταται· ἄλλως δέ, τὸ πλῆθος τὸ προάγον καὶ τὸ ἑπόμενον ἱκανὸν ἦν εἰς ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν. οὐδὲν γὰρ οὕτως ἐπεσπάσατο αὐτοὺς σημεῖον, ὡς τὸ τοῦ Λαζάρου· καὶ ἄλλος δὲ εὐαγγελιστής φησιν, ὅτι ὑπέστρωσαν τοῖς ποσὶν αὐτοῦ τὰ ἱμάτια, καὶ ὅτι πᾶσα ἡ πόλις ἐσείσθη· μετὰ τοσαύτης εἰσῄει τιμῆς. Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ' αὐτῷ, καθώς ἐστι γεγραμμένον· Μὴ φοβοῦ, θύγατερ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου. ἐποίει δὲ τοῦτο, προφητείαν τὴν μὲν πληρῶν, τὴν δὲ τυπῶν, καὶ τὸ αὐτὸ τῆς μὲν ἐγίνετο ἀρχή, τῆς δὲ τέλος. τὸ μὲν γάρ, μὴ φοβοῦ, θύγατερ Σιών, χαῖρε ὅτι ὁ βασιλεύς σου ἔρχεταί σοι πρᾶος, προφητεία πεπληρωμένη ἦν· τὸ δέ, ἐπὶ ὄνον καθίσαι, μέλλον πρᾶγμα προδιατυποῦντος, ὅτι τὸ ἀκάθαρτον τῶν ἐθνῶν γένος ἔμελλεν ὑποχείριον ἔχειν. πῶς δὲ οἱ εὐαγγελισταί φασιν, ὅτι μαθητὰς ἔπεμψε καὶ εἶπε, Λύσατε τὴν ὄνον καὶ τὸν πῶλον· οὗτος δὲ οὐδὲν τοιοῦτόν φησιν, ἀλλ' ὅτι ὀνάριον εὑρὼν ἐκάθισεν ἐπ' αὐτῷ; ὅτι ἀμφότερα εἰκὸς ἦν γενέσθαι, καὶ μετὰ τὸ λυθῆναι τὴν ὄνον, ἐλθόντων τῶν μαθητῶν, εὑρόντων αὐτῶν τὸν πῶλον, ἐπικαθίσαι. τὰ δὲ βαΐα τῶν φοινίκων καὶ τῶν ἐλαιῶν καὶ τὰ ἱμάτια ὑπέστρωσαν, δεικνύντες, ὅτι λοιπὸν μείζονα ἢ περὶ προφήτου δόξαν εἶχον περὶ αὐτοῦ, καὶ ἔλεγον· Ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. ὁρᾷς ὅτι τοῦτο μά-

λιστα

Ἐκ τοῦ ὁμιλ. ξς. εἰς τὸ κατ' Ἰωαν. εὐαγγ.
Ἰωαν. ιβ. θ.
Ἡσ. α. ι.
Ἰωαν. ιβ. ιβ.
Λουκ. ιθ. λς.
Ἰωαν. ιβ. ιδ.
Μαρκ. ια. ια.
Ἰωαν. ιβ. ιγ.

λιστα τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς ἀπέπνιγε, ὃ πεισθῆναι πάντας ὅτι οὐκ ἔστιν ἀντίθεος· καὶ τοῦτο μάλιστα ἐτήρει τὸν δῆμον, ὃ λέγει αὐτὸν παρὰ τοῦ πατρὸς ἥκειν. τὸ δὲ, μὴ φοβοῦ, χαῖρε σφόδρα, θύγατερ Σιών, φησὶν ὁ προφήτης, ἐπειδὴ πάντες αὐτῶν οἱ βασιλεῖς ὡς ἐπὶ τὸ πολὺ ἄδικοί τινες ἦσαν καὶ πλεονέκται, καὶ παρέδωκαν αὐτοὺς τοῖς ἐχθροῖς, καὶ τὸ πλῆθος διέστρεφον, καὶ ὑποθυμίους ἐποίουν τοῖς πολεμίοις. θάρσει, φησίν· οὐκ ἔστιν οὗτος τοιοῦτος, ἀλλὰ πρᾶος καὶ ἐπιεικὴς, καὶ δείκνυται ἀπὸ τῆς ὄνου. οὐ γὰρ στρατόπεδα ἐπισυρόμενος εἰσῆλθεν, ἀλλ' ὄνον ἔχων μόνον. ταῦτα δὲ, φησὶν, οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὰ γεγενημένα, ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. ὁρᾷς ὅτι τὸ πλεῖον ἀγνοοῦντες ἐποίουν; ἀλλ' ὅτε ἀνέστη ἐκ νεκρῶν, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ, καὶ αὐτοὺς οὐκ ἀπεκάλυψε. καὶ γὰρ ὅτε εἶπε, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, οὐδὲ τοῦτο ᾔδεισαν οἱ μαθηταί. καὶ ἄλλος δὲ εὐαγγελιστὴς λέγει, ὅτι κεκρυμμένος ὁ λόγος ἦν ἀπ' αὐτῶν, καὶ οὐκ ᾔδεισαν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. ἀλλὰ τοῦτο μὲν εἰκότως ἐκρύπτετο. διὸ καὶ ἄλλος λέγει εὐαγγελιστὴς, ὅτι καθ' ἑκάστην ἀκούοντες περὶ τοῦ πάθους, ἠλγοῦν, καὶ ἦσαν ἐν κατηφείᾳ· τοῦτο δὲ ἐκ τοῦ μὴ εἰδέναι τὸν τῆς ἀναστάσεως λόγον. τοῦτο μὲν οὖν εἰκότως ἐκρύπτετο, ἅτε μεῖζον ἢ κατ' αὐτούς. τὸ μέντοι τῆς ὄνου διὰ τί αὐτοῖς οὐκ ἀπεκαλύφθη; ὅτι καὶ τοῦτο μέγα ἦν. ὅρα δὲ φιλοσοφίαν εὐαγγελιστοῦ, πῶς οὐκ ἐπαισχύνεται τὴν προτέραν ἄγνοιαν αὐτῶν ἐκπομπεύων. ὅτι μὲν γὰρ γέγραπται, ᾔδεισαν· ὅτι δὲ ἐπ' αὐτῷ, οὐκ ᾔδεσαν. καὶ γὰρ ἂν ἐσκανδαλίσθη αὐτοὺς, εἰ βασιλεὺς τοιαῦτα μέλλει πάσχειν· καὶ ἄλλως δὲ, οὐκ ἂν εὐθέως ἐχώρησαν τὴν γνῶσιν τῆς βασιλείας, ἣν ἔλεγεν. καὶ γὰρ ἄλλος εὐαγγελιστής φησιν, ὅτι περὶ τῆς βασιλείας ἐδόκουν ταύτης λέγεσθαι. Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτι τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. διὰ τοῦτο ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. οὐ γὰρ ἂν τοσοῦτοι μετέθεντο, φησὶν, ἐξαίφνης, εἰ μὴ ἐπίστευσαν τῷ σημείῳ. Οἱ δὲ φαρισαῖοι εἶπον πρὸς ἑαυτοὺς· θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθε. δοκεῖ μοι τοῦτο εἶναι τῶν ὑγιαινόντων μὲν, οὐ τολμώντων δὲ παρρησιάζεσθαι. Καὶ περὶ τῆς ἀναστάσεως δὲ διαλεγόμενος ὁ Παῦλος, τοῦτον τὸν λόγον ἐκίνησε. ποίαν οὖν ἕξουσιν ἀπολογίαν οἱ τῇ ἀναστάσει διαπιστοῦντες; διόπερ, ἀγαπητοὶ, ἵνα μὴ ματαίως ὑμᾶς ἀπασχολήσωμεν, καὶ λανθάνειν τοῖς λόγοις ἀναδείξωμεν, ταῦτα ἀφέντες ἐκεῖνο ἐρῶμεν, τῆς ἀκροάσεως τῶν θείων γραφῶν ἔχεσθαι, καὶ μὴ λογομαχεῖν εἰς οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων. καὶ Παῦλος γὰρ παραινεῖ Τιμοθέῳ, καίτοιγε πολλῆς σοφίας ἐμπεπλησμένῳ, καὶ τὴν ἀπὸ τῶν σημείων ἔχοντι δύναμιν. πειθώμεθα τοίνυν ἐκείνῳ, καὶ τὰς φλυαρίας ἀφέντες, τῶν ἔργων ἐχώμεθα, φιλαδελφίας λέγω καὶ φιλοξενίας, καὶ πολλὴν ποιησώμεθα τῆς ἐλεημοσύνης λόγον, ἵνα τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ιζ. κγ.

Ματθ. κ. κα.
Ιωαν. ιϛ. ιζ.

Εκ τῆς αὐτῆς.

Λογ. ι. ΠΕΡΙ ΓΑΣΤΡΙΜΑΡΓΙΑΣ ΚΑΙ ΜΕΘΗΣ.

Εκ τοῦ λόγ. ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δυνήσεται.

Βούλεσθε ἴδωμεν τίνα ἡδονὴν ὁ πλοῦτος ἔχει καὶ τίνα τιμήν; τὰς τραπέζας τῶν πλουτούντων ἐξετάσωμεν καὶ τῶν πενομένων· καὶ ἐρώμεθα τοὺς ἑστιωμένους, τίνες μάλιστά εἰσιν οἱ καθαρὰν καὶ γνησίαν καρπούμενοι ἡδονήν· οἱ πρὸς διαμεμετρημένην τὴν ἡμέραν ἐπὶ τῶν στιβάδων κατακείμενοι, καὶ τὰ δεῖπνα τοῖς ἀρίστοις συνάπτοντες, καὶ τὴν γαστέρα διαρρηγνύντες, καὶ τὰς αἰσθήσεις πηροῦντες, καὶ τῷ ὑπερόγκῳ τῶν

τῶν ἐδεσμάτων φορτίῳ τὸ πλοῖον καταποντίζοντες, καὶ ὑπέραντλον ποιοῦντες τὴν ναῦν, καθάπερ ἐν ναυαγίῳ τοῦ σώματος καταποντίζοντες αὐτὴν, καὶ πέδας καὶ χειροπέδας καὶ γλωσσοπέδας ἐπινοοῦντες, καὶ ἁπλῶς καταδεσμοῦντες τὸ σῶμα ἁλύσεως σιδηρᾶς χαλεπωτέρῳ δεσμῷ, τῷ τῆς μέθης καὶ τρυφῆς, καὶ μήτε ὕπνου αἱρούμενοι γνησίου καὶ εἰλικρινοῦς, μήτε ὀνειράτων ἀπηλλαγμένοι φοβερῶν, τῶν τε μαινομένων ὄντες ἀθλιώτεροι, καὶ αὐθαίρετον τὸν δαίμονα ἐπεισάγοντες τῇ ψυχῇ, καὶ γέλως προκείμενοι τῷ θεάτρῳ τῶν οἰκετῶν, καὶ μηδένα εἰδότες τῶν παρόντων, μήτε εἰπεῖν, μήτε ἀκοῦσαι δυνάμενοι· ἀλλὰ φοράδην ἀπὸ τῶν στιβάδων ἐπὶ τὴν κλίνην ἀγόμενοι· ἢ τὸ νήφοντες καὶ ἐγρηγορότες καὶ τῇ χρείᾳ τὸ μέτρον ὁρίζοντες, καὶ μέγιστον ἥδυσμα τὸ πεινῆν καὶ τὸ διψῆν ἔχοντες; οὐδὲν γὰρ οὕτως ἡδονὴν καὶ ὑγίειαν ἐργάζεται, ὡς τὸ πεινῶντα καὶ διψῶντα οὕτω τῶν προκειμένων ἅπτεσθαι, καὶ κόρον εἰδέναι τὴν χρείαν μόνην, καὶ μὴ μεῖζον τῆς δυνάμεως ἐπιτιθέναι τὸ ἄχθος τῷ σώματι. Εἰ δὲ ἀπιστεῖς μου τῷ λόγῳ, κατάμαθε τὰ ἑκατέρων σώματα, καὶ τὴν ἑκάστου ψυχήν. οὐχὶ τῶν μὲν συμμέτρως ἑστιωμένων εὔρωστα τὰ σώματα, καὶ αἱ αἰσθήσεις τὴν οἰκείαν χρείαν πληροῦσαι μετὰ πολλῆς τῆς εὐκολίας· ἐκείνων δὲ πλαδαρὰ, καὶ κηροῦ παντὸς μαλακώτερα, καὶ ἑσμῷ νοσημάτων πολιορκούμενα; καὶ γὰρ ποδαλγίαι ταχέως αὐτοῖς ἐφίστανται, καὶ τρόμος ἄκαιρος, καὶ γῆρας ἄωρον, καὶ κεφαλαλγίαι καὶ διατάσεις, καὶ στομάχων πληρώσεις, καὶ ὀρέξεων ἀναιρέσεις, καὶ διηνεκῶν δέονται ἰατρῶν καὶ συνεχῶν τῶν φαρμάκων, καὶ καθημερινῆς τῆς θεραπείας. ταῦτ' οὖν ἡδονῆς, εἰπέ μοι; καὶ τίς ἂν εἴποι τῶν εἰδότων, ὅτι ποτέ ἐστιν ἡδονή; ἡδονὴ γάρ ἐστι τότε, ὅταν ἐπιθυμίας ἡγουμένης, ἀπόλαυσις ᾖ· ἐπεὶ ἐὰν ἀπόλαυσις μὲν ᾖ, ἐπιθυμία δὲ μηδαμοῦ φαίνηται, τὰ τῆς ἡδονῆς πάντως οἴχεται καὶ ἠφάνισται.

Καὶ καθάπερ πλοῖον μεῖζον τῆς οἰκείας συμμετρίας τὸ πλῆθος τῶν ἀγωγίμων δεξάμενον, τῷ μεγέθει τοῦ φόρτου βαρυνόμενον ὑποβρύχιον γίνεται· οὕτω καὶ ἡ ψυχὴ καὶ τοῦ σώματος ἡμῶν ἡ φύσις πλείονα δεξαμένη τῆς οἰκείας δυνάμεως τὰ σιτία, ὑπέραντλος γίνεται, καὶ τὸ βάρος οὐ στέργουσα τῶν ἐπιβληθέντων, εἰς τὸ τῆς ἀπωλείας καταποντίζεται πέλαγος, καὶ ναύτας καὶ κυβερνήτην, καὶ πρωρέα, καὶ ἐπιβάτας, καὶ αὐτὸν τὸν φόρτον μετὰ πάντων προσαπολλύει. ὥσπερ οὖν ἐπὶ τῶν οὕτω διακειμένων πλοίων, οὐ γαλήνη θαλάσσης, οὐκ ἐπιστήμη κυβερνήτου, οὐ ναυτῶν πλῆθος, οὐ κατασκευῆς ἐπιτηδειότης, οὐχ ὥρα ἔτους εὔκαιρος, οὐκ ἄλλο οὐδὲν τὴν οὕτω χειμαζομένην ὀνίνησι ναῦν· οὕτω δὴ καὶ ἐπὶ τῶν τρυφώντων γίνεται· οὐ διδασκαλία καὶ παραίνεσις, οὐ νουθεσία καὶ συμβουλία, οὐ φόβος τῶν μελλόντων, οὐκ αἰδὼς, οὐ κατηγορία τῶν παρόντων, καὶ ἄλλο οὐδὲν διασῶσαι δύναται τὴν οὕτω χειμαζομένην ψυχήν· ἀλλὰ καὶ πρὸς τὴν παροῦσαν ζωὴν ὁ τοιοῦτος ἄχρηστος γίνεται, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμος· ἐντεῦθεν οὐκ ἄλλοθεν χαλεποῖς καὶ ἀνιάτοις ἁλίσκονται νοσήμασι τῇ τρυφῇ συζῶντες διηνεκῶς, καὶ διὰ τοῦτο νομίζοντες εἰς τόνδε παρῆχθαι τὸν βίον, ἵνα τρυφήσαντες, καὶ τὴν γαστέρα διαῤῥήξαντες, τὸ σῶμα πιάναντες, οὕτως ἀπέλθωσι, δαψιλεστέραν τῷ σκώληκι παρασκευάζοντες τράπεζαν, τὴν ἐξ οἰκείων σαρκῶν. καὶ γὰρ τρόμοις, καὶ παρέσει, καὶ φθόῃ, καὶ κορύζαις, καὶ ποδαλγίαις, καὶ ἑτέροις πλείοσιν, ἅπερ ἰατρῶν λέγουσι παῖδες, ἁλώσιμοι γίνονται. δηλητηρίων γὰρ φαρμάκων οὐδὲν ἄμεινον αἱ τοιαῦται διακείσονται τράπεζαι· μᾶλλον δὲ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ πολλῷ χεῖρον. τὰ μὲν γὰρ ἀδεῶς ἀπήνεγκε τὸν λαβόντα, καὶ τὴν τελευτὴν ἀναισθήτως ἐπήγαγεν, ὡς μηδὲ αὐτῷ τούτῳ λυπῆσαι τὸν ἀποθανόντα· αὗται δὲ ζωὴν μυρίων θανάτων χαλεπωτέραν ἐπάγουσι τοῖς αὐτὰς περὶ πολλοῦ ποιουμένοις. καὶ τὰ μὲν ἄλλα πάθη πολλοὺς ἔχει τοὺς συναλγοῦντας· ὅσα δὲ ἀπὸ τρυφῆς καὶ μέθης γίνεται, οὐδὲ βουλομένους τοὺς ὁρῶντας ἀφίησι συναλγῆσαι τοῖς ὑπ' αὐτῶν χειρωθεῖσιν· ἀλλ' ἡ μὲν ὑπερβολὴ τοῦ κακοῦ πρὸς ἔλεον ἐπικάμπτει, ἡ δὲ ὑπόθεσις τοῦ νοσήματος παροξύνει τὸν εἰδότα. οὐδὲ γὰρ ὑπὸ τῆς φύσεως ἐπηρεάσθησαν, καθάπερ ἐκεῖνοι, οὐδὲ ὑπὸ τῶν ἀνθρώπων ἐπεβουλεύθησαν· ἀλλ' αὐτοὶ δημιουργοὶ τῶν νοση-

Ἐκ τοῦ α΄ λόγου τοῦ περὶ εἱμαρμένης.

μάτων ἑαυτοῖς τούτων ἐγίνοντο, ἑκόντες ἑαυτοὺς ἐκριπτοῦντες εἰς τὸ τῶν κακῶν βάρα-
θρον. οὐχ οὕτω σκορπίος ἢ ὄφις τοῖς σπλάγχνοις ἡμῶν ἐγκαθήμενος λυμαίνεται πανταχό-
σε, ὡς ἡ τῆς τρυφῆς ἐπιθυμία πάντα διατρέπει καὶ ἀπόλλυσι. τοῖς μὲν γὰρ θηρίοις ἐκεί-
νοις μέχρι τοῦ σώματος ἡ ἐπιβουλή· αὕτη δὲ ὅταν ἐγκαθεσθῇ, μετὰ τοῦ σώματος καὶ τὴν
ψυχὴν προσαπόλλυσιν. Εἰ οὖν λύμη πάντων ἐστὶ τὸ πρᾶγμα καὶ κατάγελως ἔσχατος,
ὑμῶν αὐτῶν φείσασθε τῆς τοῦ σώματος ὑγιείας· οὐ λέγω πρὸς σκληραγωγίαν ἑαυτοὺς ἀγα-
γεῖν, ἂν μὴ βούλεσθε· τὸ περιττὸν ἀνέλωμεν, τὸ τῆς χρείας ἔξω περικόψωμεν. ποίαν γὰρ
συγγνώμην ἕξομεν, ὅταν ἕτεροι μὲν μηδὲ τῆς χρείας ἀπολαύωσι κύριοι ὄντες, ἡμεῖς δὲ ὑπὲρ
τὴν χρείαν τρυφῶντες ὦμεν; Τίνα γὰρ ἂν εἴποιμεν τρυφᾶν μᾶλλον, τὸν λαχάνοις τρε-
φόμενον καὶ ὑγιαίνοντα, καὶ μηδὲν ἔχοντα ἀηδὲς, ἢ τὸν Συβαριτικὴν παρατιθέμενον τράπεζαν,
καὶ μυρίων γέμοντα νοσημάτων; εὔδηλον ὅτι ἐκεῖνον. Οὐκοῦν μηδὲν πλέον ζητῶμεν τῆς χρεί-
ας, ἀλλ' ὁ μὲν ὀσπρίοις δυνάμενος ἀρκεῖσθαι καὶ ὑγιαίνειν, μηδὲν πλέον ἐπιζητείτω. ὁ δὲ
ἀσθενέστερος, καὶ τῆς διὰ τῶν λαχάνων δεόμενος θεραπείας, μὴ κωλυέσθω. Εἰ δὲ καὶ τούτου
τις ἀσθενέστερος εἴη, καὶ τῆς συμμέτρου τῆς ἀπὸ τῶν κρεῶν δέοιτο βοηθείας, οὐδὲ τούτου ἀ-
πειρξόμεθα. οὐδὲ γὰρ ἵνα ἀνέλωμεν τοὺς ἀνθρώπους καὶ διαφθείρωμεν, ταῦτα συμβου-
λεύομεν, ἀλλ' ἵνα τὰ περιττὰ περικόψωμεν. περιττὸν δέ ἐστιν, ὃ τῆς χρείας πλέον ἐστίν. ὅ-
ταν γὰρ καὶ χωρὶς τούτου δυνάμεθα διάγειν ὑγιεινῶς καὶ εὐσχημόνως, περιττὸν πάντως ἐκεῖνό
ἐστι προστεθέν.

Εκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β. ἐπιστ.

Οὐχ ὁρᾶτε πρὸς τίνας ἡμῖν ἡ πάλη; πρὸς τὰς ἀσωμάτους δυνάμεις.
πῶς οὖν σάρκες ὄντες τούτων περιεσόμεθα; Εἰ γὰρ πρὸς ἀνθρώπους τις παλαίων δεῖται
σωφρόνως ἑστιᾶσθαι, πολλῷ μᾶλλον πρὸς δαίμονας. ὅταν δὲ μετὰ τῆς πολυσαρκίας καὶ τῷ
πλούτῳ ὦμεν προσδεδεμένοι, πόθεν κρατήσαιμεν τῶν ἀντιπάλων;

Εκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α. ἐπιστ.

Ὥσπερ γὰρ ἐπὶ
τῆς κιθάρας, ὅταν ὦσι φθόγγοι ἁπαλοὶ καὶ μαλθακοὶ, καὶ μὴ διατεταμένοι καλῶς, καὶ ἡ τῆς τέ-
χνης ἀρετὴ ὑποτέμνεται, ἀναγκαζομένη δουλεύειν τῇ κακίᾳ τῶν νευρῶν· οὕτω καὶ ἐπὶ τοῦ
σώματος, ὅταν πολλῆς ἀπολαύῃ παρ' ἡμῶν τῆς θεραπείας, πικρὰν ὑπομένει τὴν δουλείαν
ἡ ψυχή. μὴ τοίνυν λιπαίνωμεν τὸ σῶμα, μηδὲ ἐξίτηλον αὐτὸ καὶ χαῦνον τῇ τρυφῇ καθιστῶμεν.
οὐ λέγω κατατρύχειν ἑαυτοὺς, οὐδὲ σκληραγωγεῖν· ἀλλὰ τοσοῦτον σιτεῖσθαι, ὃ καὶ ἡδονὴν ἔχει
τὴν ὄντως ἡδονὴν, καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον ἡμῖν καὶ εὐάρμοστον πρὸς τὰς
ἐνεργείας παρέχειν τῆς ψυχῆς, πεπηγὸς καλῶς καὶ συνηρμοσμένον. ὅταν γὰρ ὑπέραντλοι
γίνηται τῇ τρυφῇ, τοὺς γόμφους αὐτοὺς, ὡς ἄν τις εἴποι, καὶ τὰς ἁρμονίας, τῇ πλημμύρᾳ κα-
τέχειν οὐ δύναται συμπεπηγυίας. ἐπεισελθοῦσα γὰρ ἡ πλημμύρα τὸ πᾶν διαλύει καὶ δια-
χεῖ. τὸ μὲν γὰρ αὔταρκες, καὶ τροφὴ, καὶ ἡδονὴ, καὶ ὑγίεια· τὸ δὲ πλέον, λύμη καὶ ἀηδία καὶ νόσος,
καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ αὐτὴν τὴν ψυχὴν μετὰ τοῦ σώματος προσαπολλύει. καὶ κα-
θάπερ ἡ σφόδρα δίυγρος γῆ τίκτει τοὺς σκώληκας, οὕτω καὶ ἡ ἔμφυτος τοῦ σώματος ἐπιθυμία,
τῇ τρυφῇ διαβρεχομένη, τίκτει τὰς ἡδονάς· καὶ τοῦ σώματος γινομένου μαλακωτέρου, ἀ-
νάγκη καὶ τὴν ψυχὴν συναπολαύειν τῆς λύμης.

Εκ τῆς ἑρμην. τῆς πρὸς Εβρ. ἐπιστ.

Εἰ γὰρ τοὺς τὸν διϋλισμένον οἶνον πίνοντας
ἐν μέμψει, τί ἂν εἴποιμεν πρὸς τοὺς ἀποδημίας διαποντίους στελλομένους ὑπὲρ οἴνου, καὶ
πάντα κινοῦντας, ὥστε μηδὲν γένος λαθεῖν ἀμπέλου· καθάπερ μέλλοντας εὐθύνας διδόναι, ἢ
ἐπὶ τοῖς ἐσχάτοις καταγινώσκεσθαι, εἰ μὴ παντὸς γένους ἐμφορηθεῖεν οἴνου;

Εκ τῆς δ. λόγ. περὶ εἱμαρμένης.

Οὕτως οὐδὲν
οὕτω τῷ δαίμονι φίλον, ὡς τρυφὴ καὶ γαστριμαργία. τί γὰρ οὐκ ἐργάζεται κακὸν ἡ τρυφή;
χοίρους ἐξ ἀνθρώπων ποιεῖ, καὶ χοίρων χείρους. ὁ μὲν γὰρ χοῖρος βορβόρῳ ἐγκαλινδεῖται, καὶ κό-
πρῳ τρέφεται· οὗτος δὲ ἐκείνης βδελυκτοτέραν σιτεῖται τράπεζαν, μίξεις ἐπινοῶν ἀθέσμους, καὶ
παρανόμους ἔρωτας. ὁ τοιοῦτος οὐδὲν δαιμονῶντος διενήνοχε. καὶ τὸν μὲν δαιμονῶντα κἂν ἐ-
λεοῦμεν, τοῦτον δὲ ἀποστρεφόμεθα καὶ μισοῦμεν. τί δήποτε; ὅτι αὐθαίρετον ἐπισπᾶται μανίαν,
καὶ τὸ στόμα, καὶ τοὺς ὀφθαλμοὺς, καὶ ῥῖνας, καὶ πάντα ἁπλῶς τὰ μέλη, ὀχετοὺς ἁμαρτίας ἐρ-
γάζεται.

Εκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγ.

γάζεται. Εἰ δὲ καὶ τὰ ἔνδον ἴδοις, ὄψει καὶ τὴν ψυχὴν καθάπερ ἔν τινι χειμῶνι καὶ κρυμῷ πεπη-
γυῖαν καὶ ναρκῶσαν, καὶ οὐδὲ τὸ σκάφος ὠφελῆσαι δυναμένην διὰ τὴν τοῦ χειμῶνος ὑπερ-
βολήν. Οἱ γὰρ μέθῃ καὶ ἀδηφαγίᾳ δεδουλωμένοι, οὔτε ὕπνον αἱροῦνται γνήσιον καὶ εἰλι-
κρινῆ, οὔτε ὀνειράτων ἀπαλλάττονται φοβερῶν. Πῶς οὖν οὐκ ἄτοποι, τὰ μὲν ἄλογα ζῶα
μηδὲν πλέον τῆς χρείας ἐπιζητεῖν, ἀνθρώπους δὲ λογικοὺς καὶ εἰκόνι Θεοῦ τετιμημένους κἀ-
κείνων ἀλογωτέρους γίνεσθαι, τοὺς τῆς συμμετρίας ὑπερβαίνοντας ὅρους; πόσῳ γὰρ τῶν οὕ-
τω διακειμένων ἀνθρώπων βελτίων ὁ ὄνος; πόσῳ ἀμείνων ὁ κύων; τὰ μὲν γὰρ αὖ τε φαγεῖν,
ἄν τε πιεῖν δέῃ, ὅρον τὴν αὐτάρκειαν οἶδε, καὶ πέρα τῆς χρείας οὐ πρόεισι· κἂν μυρίοι τῶν κα-
ταναγκάζοντες ὦσι πολλάκις, οὐκ ἀνέξεται ἐξελθεῖν εἰς ἀμετρίαν· οὗτοι δὲ, καὶ τούτων ἑαυ-
τοὺς ἀτιμοτέρους εἶναι κεκρίκασι. καὶ τὰ μὲν ἄλογα πέρα τοῦ μέτρου τροφῆς ἀπολαύειν οὐκ
ἀναγκάζουσι· κἂν ἔρηταί τις διὰ τί; ἵνα μὴ καταβλάψωσιν, ἐροῦσιν· ἑαυτοὺς δὲ οὐδὲ ταύτην
περιέχουσι τὴν πρόνοιαν, οὕτω κἀκείνων ἑαυτοὺς εὐτελεστέρους εἶναι νομίζουσι, καὶ περιορῶσι
χειμαζομένους διηνεκῶς. οὐδὲ γὰρ ἐν τῇ ἡμέρᾳ τῆς μέθης μόνον τὴν ἐκ τῆς μέθης βλά-
βην ὑπομένουσιν, ἀλλὰ καὶ μετὰ τὴν ἡμέραν ἐκείνην. καὶ καθάπερ πυρετοῦ παρελθόν-
τος, ἡ ἐκ τοῦ πυρετοῦ μένει λύμη· οὕτω καὶ μέθης ἀπελθούσης, ἡ τῆς μέθης ζάλη καὶ ἐν τῇ
ψυχῇ καὶ ἐν τῷ σώματι στρέφεται· καὶ τὸ μὲν ἄθλιον σῶμα κεῖται παραλυθὲν, καθά-
περ ὑπὸ ναυαγίου σκάφος· ἡ δὲ τούτου ταλαιπωροτέρα ψυχὴ, καὶ τούτου διαλυθέντος, τὸν
χειμῶνα διεγείρει, καὶ τὴν ἐπιθυμίαν ἀνάπτει σφοδρότερον. ὅσα μὲν οὖν ἀπὸ μέθης προσ-
γίνεται τοῖς ἀνθρώποις κακὰ, εἰπεῖν αἰσχύνομαι· τὸ δὲ αὐτὸ καταλείπω συνειδότι, τῷ
ταῦτα ἀκριβέστερον εἰδότι. τί γὰρ αἴσχιον τοῦ μεθύοντος, καὶ ἁπλῶς περιφερομένου, καὶ τὸ
χαλεπὸν ἐκεῖνο ναυάγιον ὑπομένοντος, καὶ τὰ τοῦ Θεοῦ δῶρα παρὰ τῶν ἀνοήτων βλασφη-
μεῖσθαι παρασκευάζοντος; πολλῶν γὰρ ἀκούω λεγόντων, ὅταν ταῦτα συμβαίνῃ τὰ πάθη,
μὴ ἔστω οἶνος. ὢ τῆς ἀνοίας, ὢ τῆς παραπληξίας· ἄλλων ἁμαρτανόντων, τὰς τοῦ Θεοῦ δωρεὰς
ἐγκαλεῖς; μὴ γὰρ οἶνος ἐποίησεν, ἄνθρωπε, τοῦτο τὸ κακόν; οὐχ ὁ οἶνος, ἀλλ' ἡ ἀκολασία τῶν
ἀπολαυόντων κακῶς. Εἰπὲ τοίνυν, μὴ ἔστω μέθη, μὴ ἔστω τρυφή. Εἰ δὲ λέγεις, μὴ ἔστω
οἶνος, ἐρεῖς κατὰ μικρὸν προβαίνων, μὴ ἔστω σίδηρος διὰ τοὺς ἀνδροφόνους· μὴ ἔστω νὺξ, διὰ τοὺς
κλέπτας· μὴ ἔστω φῶς, διὰ τοὺς συκοφάντας· μὴ ἔστω γυνὴ, διὰ τὰς πορνείας· καὶ πάντα
ἁπλῶς ἀναιρήσεις τὰ πράγματα. μὴ τοίνυν τὸν οἶνον διάβαλλε, ἀλλὰ τὴν μέθην, καὶ τὸν κακῶς
τῷ καλῷ χρησάμενον· καὶ λαβὼν τοῦτον αὐτὸν νήφοντα, ὑπόγραψον πᾶσαν αὐτοῦ τὴν ἀ-
σχημοσύνην, καὶ εἰπὲ πρὸς αὐτόν· οἶνος ἐδόθη, ἵνα εὐφραινώμεθα, οὐχ ἵνα ἀσχημονῶμεν· ἵνα
γελῶμεν, οὐχ ἵνα γελώμεθα· ἵνα ὑγιαίνωμεν, οὐχ ἵνα νοσῶμεν· ἵνα ἀσθένειαν σώματος διορθώ-
μεθα, οὐχ ἵνα ψυχῆς ἰσχὺν καταβάλλωμεν. ἐτίμησέ σε ὁ Θεὸς τῷ δώρῳ, τί σαυτὸν ὑβρίζεις
τῇ ἀμετρίᾳ; Εἰ γὰρ ὁ ἅγιος ἐκεῖνος Τιμόθεος καὶ νόσῳ κατεχόμενος, καὶ ἐπαλλήλους ἀῤῥωστίας
ὑπομένων, οὐ μετέλαβεν οἴνου, ἕως αὐτῷ ἐπέτρεψεν ὁ διδάσκαλος· τίνα ἂν σχοίημεν συγγνώ-
μην ἡμεῖς ἐν ὑγείᾳ μεθύοντες; ἐκείνῳ μὲν γὰρ ἔλεγεν, Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν
σου, καὶ τὰς πυκνάς σου ἀσθενείας· ἡμῶν δὲ ἑκάστῳ [τῶν μεθυόντων] ἐρεῖ, οἴνῳ ὀλίγῳ χρῶ διὰ τὰς
πορνείας, διὰ τὰς πυκνάς σου αἰσχρολογίας, καὶ τὰς ἑτέρας ἐπιθυμίας τὰς πονηρὰς, ἃς ἡ μέθη
τίκτειν εἴωθεν. οἶνος εἰς εὐφροσύνην ἐδόθη· Οἶνος γὰρ, φησιν, εὐφραίνει καρδίαν ἀνθρώ-
που· ὑμεῖς δὲ καὶ ταύτην αὐτοῦ λυμαίνεσθε τὴν ἀρετήν. ποία γὰρ εὐφροσύνη τὸ μὴ εἶναι ἐν
ἑαυτοῖς, καὶ ἀλγηδόνας μυρίας ἔχειν, καὶ πάντα ὁρᾷν περιφερόμενα, καὶ σκότῳ δεινῷ κατέχε-
σθαι, καὶ κατὰ τοὺς πυρέττοντας δεῖσθαι τῶν ἐλαίῳ καταβρεχόντων τὰς κεφαλάς· καὶ τὰς ἡμέ-
ρας νύκτας ἐργάζεσθαι, καὶ τὸ φῶς σκότος, καὶ τῶν ὀφθαλμῶν ἀνεῳγμένων μηδὲ τὰ ἐν ποσὶ
βλέπειν, καὶ τοῖς τοσούτοις καὶ τοιούτοις ἑαυτοὺς περιπείρειν κακοῖς; Τοῖς γὰρ ἐν μέθῃ καὶ ἀ-
κολασίᾳ βιοῦσιν ἡ ἡμέρα πρὸς τὸ τῆς νυκτὸς μεταστρέφεται σκότος, οὐ τοῦ ἡλίου σβεννυμένου,

Εἰς τὴν ἑρμην. τοῦ κατὰ Ἰωαν. εὐαγγ.
Εἰς τὴν ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.
ἢ δέχον
α. Τιμ. ε. κγ.
Ψαλμ. ργ. ιε.
Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωαν. εὐαγγ.

ἀλλὰ τῆς ἐκείνων διανοίας σκοτιζομένης τῇ μέθῃ. Οἱ τῇ μέθῃ ἑαυτοὺς ἐκδιδόντες ὅσῳ ἂν ἐκχέωσιν ἑαυτοῖς τὸν ἄκρατον, τοσούτῳ μᾶλλον πρὸς τὸ δίψος ἐκκαίονται, καὶ ἡ μετάληψις ἀεὶ ὑπέκκαυμα τῆς δίψης γίνεται· καὶ τὰ μὲν τῆς ἡδονῆς ἠμαύρωται λοιπόν, τὸ δὲ δίψος ἀκατάπαυστον γενόμενον, εἰς αὐτὸν τὸν κρημνὸν τῆς μέθης κατάγει τοὺς ὑπ' αὐτῆς αἰχμαλώτους γεγενημένους.

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ.

Ἐντεῦθεν μάλιστα ἄν τις ἐκπλαγείη τῆς ἀνοίας τοὺς τῇ μέθῃ προσηλωμένους, ὅτι οὐδὲ ὅσην ἐπὶ τῶν ἀσκῶν ἔχουσιν ἕτεροι τὴν φειδώ, τοσαύτην ἐφ' ἑαυτῶν ἐπιδείκνυσθαι θέλουσιν οὗτοι. ἐκείνοις μὲν γὰρ οἱ τῶν οἴνων πρᾶται οὐκ ἐῶσι πλέον τοῦ δέοντος ἐμβαλεῖν, ὥστε μὴ διαρραγῆναι· τὴν δὲ ἀθλίαν οὗτοι γαστέρα οὐδὲ ταύτης ἀξιοῦσι τῆς προνοίας, ἀλλ' ἐπειδὰν αὐτὴν ἐμπλήσωσι καὶ διαρρήξωσι μέχρι τῶν ὤτων, μέχρι τῶν ῥινῶν, μέχρι τῆς φάρυγγος αὐτῆς πληροῦσιν ἅπαντα, πολλὴν ἐντεῦθεν τῷ πνεύματι, τῇ τὸ ζῶον οἰκονομούσῃ δυνάμει, κατασκευάζοντες τὴν στενοχωρίαν. μὴ γὰρ διὰ τοῦτό σοι γέγονε φάρυγξ, ἵνα μέχρι τοῦ στόματος ἄνω σεσηπότος οἴνου, καὶ τῆς ἄλλης αὐτὸν ἀποπληρώσῃς διαφθορᾶς; οὐ διὰ τοῦτο· ἀλλ' ἵνα τὰς ἱερὰς ἀναπέμπῃς εὐχὰς τῷ Θεῷ, καὶ τοὺς θείους ἀναγινώσκῃς νόμους, καὶ τοῖς πλησίον τὰ συμφέροντα συμβουλεύῃς.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγ.

Οὐδὲ γὰρ οὕτω τὰ σφόδρα τῶν ποταμίων ῥευμάτων τὰς ὄχθας εἴωθε διατρώγειν καὶ ποιεῖν ὑφιζάνειν, ὡς τρυφὴ καὶ ἀσωτία τὰ τῆς ὑγιείας ἡμῶν ἐρείσματα πάντα ὑποσύρει ῥᾳδίως. τῷ γὰρ περιέναι μετὰ ῥύμης τὰ βρώματα, τὸ ἰσχυρὸν ἀποξέει τοῦ σώματος, καὶ τὸ τῆς ψυχῆς ἀνδρεῖον καταστόρει καὶ χαυνοῖ. καὶ οὐ τοῦτο μόνον ἐστὶ τῷ τρυφῶντι τὸ δεινόν, ὅτι διασπᾶται, καὶ τὴν γαστέρα τὴν ἑαυτοῦ διαρρήγνυσι, καὶ τὴν τοῦ σώματος καὶ τῆς ψυχῆς ὑγίειαν ὑποτέμνεται· ἀλλ' ὅτι τάχιον παραρρεῖ καὶ παρατρέχει, καὶ μέχρι μιᾶς ἡμέρας τὴν ἐκ τούτων ἐγγινομένην αὐτῷ χορηγίαν κατασχεῖν οὐ δύναται, ἀλλὰ διαπνευσθείσης ἐκείνης, ἕτερα ἐπεμβάλλειν ἀναγκάζεται πάλιν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγ.

Οὐ τοίνυν τὸ φαγεῖν κακόν, μὴ γένοιτο· ἀλλ' ἡ ἀδηφαγία, καὶ τὸ ὑπὲρ τὴν χρείαν ἐμπίπλασθαι, καὶ διαρρήγνυσθαι τὴν γαστέρα. ὥσπερ οὖν οὐδὲ τὸ οἴνου συμμέτρου μεταλαβεῖν πονηρόν, ἀλλὰ τὸ μέθῃ ἑαυτὸν ἐκδοῦναι, καὶ τῶν λογισμῶν τὸ κριτήριον παρατρέψαι διὰ τῆς ἀμετρίας. σώματι γὰρ τοιούτῳ συνέπλεξεν ἡμᾶς ὁ δεσπότης, ὃ μὴ δυνατὸν ἑτέρως συνεστάναι, εἰ μὴ ταύτης μεταλάβοι· μόνον τὰ τῆς ἀμετρίας ἐκκοπτέσθω. τοῦτο γὰρ ἡμῖν καὶ πρὸς τὴν ὑγίειαν τούτου καὶ εὐεξίαν τὰ μέγιστα συμβάλλεται. ἢ οὐχ ὁρᾶτε καθ' ἑκάστην ἡμέραν ἀπὸ τῶν πολυτελῶν τραπεζῶν, καὶ τῆς ἀμέτρου ἀδηφαγίας τὰ μυρία ἐπαγόμενα νοσήματα; πόθεν ποδαλγίαι; πόθεν καρηβαρίαι; πόθεν ὁ τῶν χυμῶν τῶν διεφθαρμένων πλεονασμός; πόθεν τὰ ἄλλα μυρία νοσήματα; οὐκ ἀπὸ τῆς ἀμετρίας, καὶ τοῦ πλέον τοῦ δέοντος ἐκχέειν ἑαυτοῖς τὸν ἄκρατον; καθάπερ γὰρ πλοῖον ὑπέραντλον γενόμενον, ταχέως καταβαπτίζεται καὶ ὑποβρύχιον γίνεται· οὕτω καὶ ἄνθρωπος, ὅταν τῇ ἀδηφαγίᾳ καὶ μέθῃ ἑαυτὸν ἐκδῷ, κατὰ κρημνῶν ἄπεισι, καὶ ὑποβρύχιον ἐργάζεται τὸν λογισμόν, καὶ κεῖται λοιπὸν καθάπερ νεκρὸς ἔμψυχος, πρὸς μὲν τὰ κακὰ πολλάκις ἐνεργεῖν δυνάμενος, πρὸς δὲ τὰ ἀγαθὰ ἅπαντα οὐδὲν ἄμεινον τῶν νεκρῶν διακείμενος. τοσοῦτόν ἐστιν ἡ μέθη δεινόν, ὡς καὶ τὰς αἰσθήσεις πηρῶσαι δύνασθαι, καὶ τὸν λογικὸν ἄνθρωπον, καὶ τὴν κατὰ πάντων ἀρχὴν ἀναδεδεγμένον, καθάπερ νεκρὸν ἀνενέργητον, δεσμοῖς τισιν ἀλύτοις πεδήσασα, κεῖσθαι παρασκευάζει· μᾶλλον δὲ καὶ νεκροῦ χεῖρον. ὁ μὲν γὰρ καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ κακὰ ἀνενέργητος· οὗτος δὲ κοινὸς ἅπασι γέλως πρόκειται. οἱ μὲν γὰρ φίλοι, οἰκείαν τὴν αἰσχύνην λογιζόμενοι, ἐγκαλύπτονται καὶ αἰσχύνονται· οἱ δὲ ἐχθροὶ ἐφήδονται καὶ κωμῳδοῦσι καὶ ἐπαρῶνται, μονονουχὶ ταῦτα λέγοντες τὰ ῥήματα· τοῦτον δεῖ ὅλως ζῆν; τοῦτον δεῖ ἀναπνεῖν τὸν ἀέρα; τὸ βόσκημα, τὸν χοῖρον, καὶ τὰ ἔτι τούτων χαλεπώτερα φθεγγόμενοι. ἅπερ φυγόντες, ἀγαπητοί, ὅση δύναμις, τοσοῦτον σιτίων σπουδάσωμεν, ὃ καὶ ἡδονὴν ἔχει τὴν ὄντως ἡδονήν, καὶ θρέψαι δύναται τὸ σῶμα, καὶ εὔτακτον ἡμῖν καὶ εὐάρμοστον πρὸς τὰς ἐνεργείας παρέχει τῶν ἐντολῶν τοῦ Χριστοῦ· ἵνα καὶ

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ.

τὸν παρόντα βίον εὐλαβῶς διανύσωμεν, καὶ τῶν μελλόντων ἐπιτευξώμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Λογ. ια.

Ἡ πασῶν τῶν ἑορτῶν ἐπιδήμησιν ἑορτή, καὶ τὴν οἰκουμένην εὐφροσύνης ἐπλήρωσεν· ἑορτὴ ἡ τῶν καλῶν ἁπάντων ἀκρόπολις, ἡ πηγὴ καὶ ῥίζα τῶν παρ' ἡμῖν ἀγαθῶν, δι' ἧς ὁ οὐρανὸς ἀνεῴχθη, πνεῦμα κατεπέμφθη, τὸ μεσότοιχον ἀνῃρέθη, ὁ φραγμὸς ἐλύθη, τὰ διεστῶτα ἡνώθη, τὸ σκότος ἐσβέσθη, τὸ φῶς ἔλαμψεν, οὐρανὸς ἐδέξατο τὴν φύσιν τὴν ἀπὸ γῆς, γῆ τὸν ἐπὶ τῶν χερουβὶμ καθήμενον· οἱ δοῦλοι γεγόνασιν ἐλεύθεροι, οἱ ἐχθροὶ υἱοί· οἱ ἀλλότριοι, κληρονόμοι. δι' αὐτῆς ἡ χρονία ἔχθρα κατελύθη καὶ ὁ μακρὸς πόλεμος, καὶ ἡ πάλαι ποθουμένη καὶ ἀγγέλοις καὶ δικαίοις παραγέγονεν εἰρήνη. καὶ βοᾷ Παῦλος λέγων· Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. (Ἐφ. β. ιδ.) δι' αὐτῆς τὸ τρόπαιον ἔστη τοῦ σταυροῦ τὸ λαμπρὸν καὶ περιφανές, τὰ λάφυρα τοῦ Χριστοῦ, τὰ ἀκροθίνια τῆς φύσεως τῆς ἡμετέρας, τὰ σκῦλα τοῦ βασιλέως ἡμῶν. τί ποτ' οὖν τῆς ἑορτῆς ταύτης ἴσον γένοιτ' ἄν; Θεὸς ἐπὶ γῆς, ἄνθρωπος ἐν οὐρανῷ, ἄγγελοι συγχορεύουσιν ἀνθρώποις, ἄνθρωποι τοῖς ἀγγέλοις κοινωνοῦσι καὶ ταῖς ἄλλαις ταῖς ἄνω δυνάμεσι· δαίμονες δραπετεύουσι, θάνατος λέλυται, παράδεισος ἀνέῳκται, κατάρα ἠφάνισται, ἁμαρτία ἐκποδὼν ἐγένετο, πλάνη ἀπελήλαται, ἀλήθεια ἐπανῆλθε, καὶ ἡ φύσις, δι' ἣν ἐφύλαττε τὸν παράδεισον τὰ χερουβίμ, τῷ Θεῷ ἥνωται σήμερον. μὴ οὖν ἀπορείᾳ συνέχου ταῦτα ἀκούων. τὸ γὰρ ἐκπλήξεως γέμον, καὶ ὑπὲρ ἐλπίδα καὶ προσδοκίαν ἅπασαν, ἄνθρωπον γενέσθαι Θεόν· τούτου δὲ γενομένου, τὰ μετὰ ταῦτα ἅπαντα κατὰ λόγον καὶ ἀκολουθίαν ἕπεται. οὐδὲ γὰρ εἰκῇ καὶ μάτην τοσοῦτον ἑαυτὸν ἐταπείνωσεν, εἰ μὴ ἔμελλεν ἡμᾶς ἀνυψοῦν. ἐγεννήθη τοίνυν κατὰ σάρκα, ἵνα γεννηθῇς κατὰ πνεῦμα· ἐγεννήθη ἐκ γυναικός, ἵνα παύσῃ γυναικὸς ὢν υἱός· ἠνέσχετο πατέρα αὐτοῦ γενέσθαι δοῦλον, ἵνα σοὶ τῷ δούλῳ πατέρα ποιήσῃ τὸν δεσπότην. οὐκοῦν ἀγαλλιασώμεθα καὶ σκιρτήσωμεν ἅπαντες ἐν τοῖς ἡμετέροις ἀγαθοῖς εὐφραινόμενοι. Εἰ γὰρ ὁ πατριάρχης Ἀβραὰμ ἠγαλλιάσατο ἰδεῖν τὴν ἡμέραν Κυρίου, καὶ εἶδε, καὶ ἐχάρη· (Ἰωαν. η. κς.) πολλῷ μᾶλλον ἡμᾶς Θεὸν ἐν σπαργάνοις ὁρῶντας, τὸ φρικτὸν ἐκεῖνο καὶ παράδοξον θέαμα, χαίρειν καὶ ἀγάλλεσθαι χρή, καὶ θαυμάζειν καὶ ἐκπλήττεσθαι τῆς τοσαύτης αὐτοῦ εὐεργεσίας τὸ μέγεθος. ἀλλὰ πῶς τοῦτο γέγονε τὸ θαυμαστὸν καὶ μέγα; πῶς ἡμεῖς οἱ προσκεκρουκότες, οἱ τῆς γῆς ἀνάξιοι φανέντες, καὶ τῆς ἀρχῆς τῆς κάτωθεν ἐκπεσόντες, πρὸς τοσοῦτον ὕψος ἀνήχθημεν; πῶς ὁ πόλεμος κατελύθη; πῶς ἡ ὀργὴ ἀνῃρέθη; πῶς; τοῦτο γάρ ἐστι τὸ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, ὅτι οὐχ ἡμῶν τῶν προσκεκρουκότων προσδραμόντων, οὐ τῶν ἐχθρῶν καὶ πολεμίων καταβληθέντων, ἀλλ' αὐτοῦ τοῦ δικαίως ἀγανακτοῦντος παρακαλέσαντος ἡμᾶς, οὕτως εἰρήνη γέγονεν. Ὑπὲρ Χριστοῦ γὰρ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. (β. Κορ. ε. κ.) τί τοῦτο; αὐτὸς ὑβρίσται, καὶ αὐτὸς παρακαλεῖ; ναί, φησιν· ἀγαθὸς γάρ ἐστι, καὶ διὰ τοῦτο παρακαλεῖ. καί, εἰ βούλεσθε, ἀνωτέρω τὸν λόγον ἀναγαγόντες πειρασόμεθα δεῖξαι, ὅτι καὶ μηδενὸς προϋπηργμένου τῷ ἀνθρώπῳ κατορθώματος, δι' ἀγαθότητα μόνην, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα αὐτῷ ἐδωρήσατο. ἀλλὰ πρόσεχε μετὰ ἀκριβείας. πρὶν τοὺς ἀγγέλους γενέσθαι, καὶ τὰς ἄλλας δυνάμεις τὰς ἐν τοῖς οὐρανοῖς, ἦν ὁ Θεός, ἀρχὴν οὐδέποτε τοῦ εἶναι λαβών, ἀνενδεὴς δὲ ὢν ἀεί. τοιοῦτον γὰρ τὸ θεῖον. ἐποίησεν ἀγγέλους, ἀρχαγγέλους, καὶ ἄλλας τῶν ἀσωμάτων οὐσίας· ἐποίησε δὲ δι' ἕτερον μὲν

οὐδέν, δι' ἀγαθότητα δὲ μόνην. ὧν γὰρ τῆς θεραπείας οὐκ ἔχρῃζε, τούτων οὐδ' ἂν δημιουρ-
γὸς ἐγένετο, μὴ σφόδρα ὢν ἀγαθός. μετὰ δὲ τὴν τούτων δημιουργίαν ποιεῖ καὶ τὸν ἄνθρωπον
διὰ τὴν αὐτὴν ταύτην πάλιν αἰτίαν, καὶ τὸν κόσμον ἅπαντα τοῦτον, καὶ μυρίων αὐτὸν ἐμ-
πλήσας ἀγαθῶν, τὸν μικρὸν ἐκεῖνον καὶ εὐτελῆ τοῖς τοσούτοις ἔργοις ἐπέστησε, τοῦτο αὐτὸν ἀπο-
φήνας ἐπὶ τῆς γῆς, ὅπερ ἐστὶν αὐτὸς ἐν τοῖς οὐρανοῖς. ποιήσας δὲ αὐτόν, καὶ ἐν τοσαύτῃ κατα- 5
στήσας τιμῇ, καθάπερ βασιλεῖα βασιλεῖ, τὸ κάλλιστον τῶν ἐπὶ τῆς γῆς ἀπέταξε τὸν παρά-
δεισον. οὐ τούτῳ δὲ μόνον αὐτὸν ἀπεσέμνυνεν, ἀλλὰ καὶ λόγον μόνῳ τῶν πάντων ἐχαρίσατο,
καὶ τῆς αὐτοῦ γνώσεως κατηξίωσε, καὶ τῆς πρὸς αὐτὸν ὁμιλίας ἀπολαύειν ἔδωκεν, ὡς ἀπο-
λαύειν ἐκείνῳ δυνατὸν ἦν, καὶ ἀθανασίαν παρέξειν ὑπέσχετο, καὶ πολλῆς τῆς σοφίας ἐνέπλησε,
καὶ πνευματικὴν χάριν ἐνέθηκεν, ὡς καὶ προφητεῦσαί τινα. τί οὖν μετὰ τοσαῦτα καὶ τηλι- 10
καῦτα ἀγαθά; πιστότερον τοῦ ταῦτα δωρησαμένου τὸν ἐχθρὸν ἐνόμισε, καὶ τῆς ἐντολῆς τοῦ ποιή-
σαντος ἀλογήσας, προετίμησε τὴν ἀπάτην τοῦ παντελῶς αὐτὸν ἀφαιρῆσαι σπουδάσαντος.
ἆρ' οὖν ἐξήλειψεν αὐτὸν ὁ Θεός, τοσαύτην ἀγνωμοσύνην ἐξ ἀρχῆς καὶ ἀπ' αὐτῆς εἰπεῖν
γραμμῆς ἐπιδειξάμενον, ὅπερ κατὰ τὸν τοῦ δικαίου λόγον ἀκόλουθον ἦν; οὐδαμῶς, ἀλλὰ μᾶλ-
λον τοῦ παραπεπτωκότος ἐφρόντισεν, ἢ πρότερον. μετὰ ταῦτα τοῦ γένους ἡμῶν κακῶς πράτ- 15
τοντος, ὡς κινδυνεῦσαι καὶ τῆς γῆς αὐτῆς ἐκπεσεῖν, οὐκ ἀπεβάλετο, ἀλλὰ τοσοῦτον τῶν προσ-
κεκρουκότων ἐκήδετο, ὡς καὶ ἀπολογεῖσθαι τῷ δούλῳ τὸν Κύριον, καὶ ὡς ὁμοτίμῳ φίλῳ δια-
λέγεσθαι καὶ λέγειν τὰς αἰτίας τῆς μελλούσης ἀπωλείας ἔσεσθαι. Εἶτα νόμον ἔδωκεν εἰς βο-
ήθειαν, προφήτας ἔπεμψε, περὶ τῶν πρακτέων εἰσηγουμένους· ὕστερον, αὐτὸν ἀπέστειλε τὸν
υἱὸν αὐτοῦ τὸν μονογενῆ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξα- 20
γοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. ὅθεν καὶ ὁ προφήτης τὴν πολλὴν αὐτοῦ ὑπὲρ τῆς
οἰκουμένης κηδεμονίαν ἐκπληττόμενος, ἀνεβόησε μέγα καὶ λαμπρὸν οὕτω λέγων· Ὁ Θεὸς ἡ-
μῶν ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνεστράφη. καὶ γὰρ σφόδρα παράδοξον ἀκοῦ-
σαι, ὅτι Θεὸς ὁ ἀπόρρητος καὶ ἀνέκφραστος καὶ ἀπερινόητος, καὶ τῷ πατρὶ ἴσος, καὶ γνήσιος υἱὸς τοῦ
ἀνάρχου Θεοῦ, διὰ μήτρας ἦλθε παρθενικῆς, καὶ γεννηθῆναι ἐκ γυναικὸς κατεδέξατο· ὃς 25
οὐ πρότερον ἀπέστη πάντα ποιῶν καὶ πραγματευόμενος, ἕως τοὺς πολεμίους ἡμᾶς καὶ ἐχθροὺς
ἀπήγαγεν αὐτῷ τῷ Θεῷ, καὶ φίλους ἐποίησε. καὶ καθάπερ τις ἐν μεταιχμίῳ στάς, δύο τινῶν
ἀλλήλων διεστηκότων, ἀμφοτέρας ἁπλώσας τὰς χεῖρας ἑκατέρωθεν λαβὼν συνάψειεν· οὕ-
τω καὶ αὐτὸς ἐποίησε, τὴν θείαν φύσιν τῇ ἀνθρωπίνῃ, τὰ αὐτοῦ τοῖς ἡμετέροις. Εἶδες ἀγα-
θότητος ὑπερβολήν; αὐτὸς ὁ ὑβρισμένος καὶ παρεκάλεσε, καθάπερ ἔφθην εἰπών, καὶ τὴν 30
καταλλαγὴν εἰργάσατο. Ὅρα λοιπὸν πῶς καὶ τὸν τύραννον, οἷα βασιλεὺς τὴν ἁλουργίδα
ἀφεὶς καὶ τὸ διάδημα, στρατιώτου σχῆμα ὑπεδύετο πολλάκις, ἵνα μὴ γνώριμος γενόμενος,
ἐφ' ἑαυτὸν ἑλκύσῃ τοὺς πολεμίους. ἐνταῦθα δὲ τοὐναντίον· ἐν τῷ ἡμετέρῳ σχήματι ἦλθεν ὁ
Χριστός, ἵνα μὴ γνώριμος γενόμενος, φυγεῖν παρασκευάσῃ τὴν πρὸς αὐτὸν συμπλοκὴν
τὸν πολέμιον, καὶ τοὺς οἰκείους διαταράξῃ πάντας. σῶσαι γάρ, οὐκ ἐκπλῆξαι ἐσπούδασε. 35
καὶ τίνος ἕνεκεν ἡ τοιαύτη καταλλαγή, φησίν, οὐχὶ διά τινος τῶν ἀσωμάτων δυνάμεων, ἢ δι' ἀνθρώ-
που ψιλοῦ, ἀλλὰ διὰ τῆς τοῦ λόγου κενώσεως γέγονεν; ἐπειδή, εἰ δι' ἑτέρου τινὸς ἐδικαίου τὴν κοινὴν τοῦ
γένους σωτηρίαν ἡμᾶς δέξασθαι, οὐκ ἂν τὸ περὶ ἡμᾶς αὐτοῦ προνοίας τὸ μέγεθος ἐγνωρίζομεν,
ἀλλὰ καὶ τὸ παρὰ πάντα τὸν αἰῶνα θαυμαζόμενον, εἰς εὐτελῆ καὶ οὐδὲν ἀληθῶς θαῦμα παρε-
χομένην πρᾶξιν ἐξέπεσεν ἄν. κτίσεως γὰρ κτίσει συνούσης καὶ προσλαμβανούσης τὸ ὁμό- 40
δουλον, οὐδὲν οὔτε τῶν ἀπορρήτων παρέπεται, οὔτε τῶν παραδόξων ἔχει τὴν ἔκπληξιν. ἄλ-
λως δέ, Θεοῦ καὶ θεῖον ἔργον πῶς ἂν ἦν ἀνθρώπῳ δυνατὸν διαπράξασθαι; Εἰ δὲ καὶ
ἐγένετο, ὅπερ οὐχ οἷόν τε, θᾶττον ἂν τὸ πλῶμα καὶ ῥᾳδίως ἢ πρὸς ἑαυτὸν ἐπανέστρεφεν, ἢ πρὸς
τὸ χεῖρον ηὔξανεν. Εἰ γὰρ Μωϋσέα, καθ' οὗ πολλάκις ἐγόγγυζον, καὶ τὴν ἄνωθεν δι' αὐτοῦ

Βαρουχ. γ. κγ.

κατιοῦσαν σωτηρίαν τὴν ἐν Αἰγύπτῳ καὶ πρὸ ἐποιοῦντο χείρονα, ὅμως Θεὸν ἀνειπεῖν μετὰ θά-
νατον ἐμελέτησαν, ὡς διὰ ταύτην αὐτὴν τὴν αἰτίαν, καθώς φασί τινες, καὶ ὁ τούτου τάφος
ὀφθαλμοῖς Ἰουδαίων μέχρι νῦν ἀθέατός τε καὶ ἀνεπίγνωστος ἔμεινε· πῶς οὐκ ἂν τὸν μείζονος ἀ-
παλλάξαντα τυραννίδος, εἰ καὶ τῆς αὐτῆς φύσεως ἦν ἰδόντες, οὐ Θεὸν ἂν ἠγόρευσαν; τοῦτο δὲ δῆ-
5 λον, ὡς οὐκ ἦν τοῦ σώματος ὕβρις, ἀλλὰ χαλεπωτέρα καὶ ἀδιόρθωτος ἐκπτωσις. μετὰ δὲ
ταῦτα καὶ ἑτέραν αἰτίαν ἐστὶν εἰπεῖν, δι᾽ ἣν μάλιστα εἴπερ ἄγγελος, ἢ ψιλὸς ἄνθρωπος ἀ-
νασώσασθαι ἡμᾶς τοῦ σώματος περιεβέβλητο, οὐχὶ σωτηρίας μᾶλλον ἀπηλαύομεν, ἀλλὰ
τοῦ κάλλιστου καὶ τιμιωτάτου τῆς ἀνεκφράστου δόξης ὁ λόγος κατέπιπτε. ποίαν δὴ ταύτην;
ὅπερ οὐκ ἦν ἡμῖν δυνατὸν οὐδὲ εἰς τυχεῖν, οἷς νῦν, τοῦ λόγου σαρκωθέντος, ἐντρυφῶμεν καὶ
10 ἀπολαύομεν. πῶς γὰρ ἂν τῷ ἡμετέρῳ γένει ἐχαρίσατο, ἀνθρωπίνης φύσεως ἢ ἀγγελικῆς
τὴν περὶ ἡμᾶς οἰκονομίαν ὑπερχομένης, ἐν δεξιᾷ τοῦ πατρὸς ἱδρυνθῆναι, καὶ πάσης ἀγ-
γελικῆς καὶ ἀρχαγγέλων προσκυνήσεως ὑπεραίρω γενέσθαι, καὶ τιμῆς καὶ δόξης ἀπολαῦσαι
τοσαύτης καὶ τηλικαύτης, ὡς καὶ αὐτῶν τῶν ἄνω δυνάμεων καὶ ἐγγυτάτω Θεοῦ ἑστηκό-
των, ἐπιθυμούντων μὲν εἰς τὴν ἡμετέραν δόξαν, ἧς διὰ τοῦ φυράματος ἀπολαύομεν,
15 παρακύψαι, μείζονα δὲ τὴν ἐπιτυχίαν τῆς ἐπιθυμίας εὑρισκόντων, ταύτης δὲ τῆς μακα-
ρίας λήξεως τὸ ἀνθρωπίνου γένους τὴν στέρησιν ὑπομένοντος, ἅτε δὴ μηδὲ τοῦ φυράματος
ἡμῶν δι᾽ ἀνθρωπίνης ἢ ἀγγελικῆς ἐνώσεως, τῆς δόξης, ἐν ᾗ νῦν ἐκλάμπει, τὴν ἀπόλαυσιν
περιεσχηκότος, μηδὲ πρὸς τὴν τοιαύτην ἡμῶν ἀναδραμόντων ἰσχὺν καὶ ῥώμην καὶ τῆς τιμῆς
τὸ ἐξαίρετον; τίνα ἂν ἀφῆκεν ὁ ἐχθρὸς καθ᾽ ἡμῶν τόλμαν; τίνας δὲ οὐκ ἂν ἐκίνει μηχανάς,
20 δι᾽ ὧν πάλιν ἐλπίδας ἔτρεφεν ὑποχείριον λαβεῖν τὸ γένος, καὶ ὑπὸ τὴν ἀρχαίαν αὐτοῦ κα-
θελκῦσαι τυραννίδα; κατὰ τίνων δὲ τὸ κράτος ἀναλαβὼν οὐκ ἐπήρθη, καὶ τὸ φρύαγμα τοῦ προ-
τέρου μεῖζον οὐκ ἂν ἐπεδείκνυ, καὶ τὸν οὐρανὸν αὖθις πολυπραγμονεῖν οὐχ ἡγεῖτο τόλμαν;
διὰ γοῦν ταῦτα καὶ πολλὰ τοιαῦτα ὁ τοῦ Θεοῦ λόγος καὶ υἱὸς καὶ Θεὸς ἀληθινός, καὶ οὐχ ἕτερός
τις, τὴν ἡμετέραν ἀναλαβόμενος σάρκα, τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἀπειργάσατο. καὶ
25 μηδεὶς ἐγκαλείτω ἡμῖν ἀνάξια τοῦ Θεοῦ λέγειν, ὅτι ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης ἁπάσης ναὸν
ἑαυτῷ κατασκευάσας ὁ Θεὸς ζῶντα ἐν τῇ παρθενικῇ μήτρᾳ, δι᾽ ἐκείνου τὴν τῶν οὐρανῶν
πολιτείαν εἰς τὸν βίον εἰσήγαγε τὸν ἡμέτερον. ποίαν γὰρ ἂν καὶ βλάβην γένοιτο τῷ Θεῷ
ἀπὸ τῆς οἰκονομίας ταύτης; οὐχ ὁρᾷς τουτονὶ τὸν ἥλιον τὸν ἐν σώματι αἰσθητὸν καὶ φθαρτὸν καὶ
ἐπίκηρον, κἂν ἔλλειπες ἀποπνίγωνται, βορβόροις προσομιλοῦντα, καὶ πολλοῖς ἄλλοις τοιού-
30 τοις πράγμασι, καὶ μηδὲ τὸ τυχὸν τῆς κακίας προσλαμβανόμενον; τοὐναντίον δέ, καὶ τὴν
δυσώδη καταξηραίνει ὀσμὴν τῇ τῆς ἀκτῖνος προσβολῇ. ἢ οὐδὲ τῷ φθαρτῷ τούτῳ στοιχείῳ
ἴσον δίδως ἐνεργῆσαι τὸν μονογενῆ τοῦ Θεοῦ παῖδα ἐπὶ τῆς ἡμετέρας σαρκός, ὡς μὴ μόνον ἐξ
αὐτῆς μὴ μολυνθῆναι, ἀλλ᾽ αὐτὴν ταύτην καὶ καθαρωτέραν καὶ ἁγιωτέραν ἐργάσασθαι;
καὶ σὺ μὲν εἰς ξύλα καὶ λίθους καὶ εἰς ἔτι τούτων ἀτιμότερα τοῦ Θεοῦ κατάγειν τολμῶν τὴν οὐ-
35 σίαν, οὐ φείδῃ, ἡμῖν δὲ ἐγκαλεῖς καὶ λέγεις, ὅτι ἀπρεπὲς Θεῷ σῶμα οἰκῆσαι καθαρὸν καὶ ἄμω-
μον, καὶ δι᾽ αὐτοῦ τὴν οἰκουμένην διορθώσασθαι; εἰ γὰρ αἰσχρὸν Θεῷ ἐνανθρωπῆσαι, ὡς σὺ
φῄς, πολλῷ μᾶλλον ἐν λίθῳ καὶ ξύλῳ, ὅσον λίθος καὶ ξύλον ἀτιμότερον ἀνθρώπου· εἰ μὴ
ἄρα καὶ τὸν αἰσθητὸν τούτων ὑλῶν πλέον τι τὸ γένος ἡμῶν εἶναι σοι δοκεῖ. ἀλλ᾽ ὁ μὲν περὶ
τῶν τοιούτων λόγος εἰς ἕτερον ἡμῖν ὑπερκείσθω καιρόν· ἀναγκαῖον δὲ ἐστιν αὖ ἐπὶ τὸ τῶν εὐαγ-
40 γελίου ῥημάτων τὸν λόγον ἀναγαγεῖν. φησὶ γάρ· Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. ποί-
αν μοι γέννησιν λέγεις; τὴν ἔνσαρκον δηλονότι. Περὶ γὰρ τῆς ἀνάρχου γεννήσεως οὐδεὶς
οἶδεν, εἰ μὴ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. πῶς οὖν ἐστιν
ἡ κατὰ σάρκα τοῦ Χριστοῦ γέννησις; Μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ,
πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. παρατηρητέον δὲ, ὅτι
οὐκ

Ματθ. α ἐν. Ε. ἑρμην. τῆς κτ᾽ Ματθ. εὐαγγ. ὁμιλ. δ.

οὐκ εἶπε, μνηστευθείσης τῆς παρθένου, ἀλλ' ἁπλῶς, μνηστευθείσης τῆς μητρὸς αὐτοῦ. τοῦτο δὲ ἐποίει, ὥστε οὐ παράδεικτον γενέσθαι τὸν λόγον, καὶ μὴ καταπλῆξαι τῇ τοῦ παραδόξου πράγματος ἐπαγωγῇ λέγων· ὅτι πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. τίνος δὲ χάριν οὐ πρὸ τῆς μνηστείας οὕτω ἔλαβε καὶ ἐκύησεν; ἵνα συσκιάσῃ τὸ γινόμενον τέως, καὶ ἵνα πᾶσαν πονηρὰν διαφύγῃ ἡ παρθένος ὑπόνοιαν. τοῦ γὰρ ὀφείλοντος ζηλοτυπεῖν μνηστῆρος, οὐ μόνον οὐ θριαμβεύοντος αὐτὴν, ἀλλὰ καὶ δεχομένου καὶ θεραπεύοντος μετὰ κύησιν, εὔδηλον τοῦτο πᾶσι ποιεῖ, ὡς ὅτιπερ πεισθέντος αὐτοῦ ἐκ πνεύματος ἁγίου τὴν ἐνέργειαν εἶναι τοῦ γεγεννημένου, κατεῖχε καὶ ἐξυπηρέτησεν. ὅπερ δὲ ἐπὶ τῶν παραδόξων πραγμάτων εἴωθε λέγεσθαι, τοῦτο καὶ ἐνταῦθα δηλοῖ φησιν, ὅτι εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου. ἀκούσας δὲ ὅτι ἐκ πνεύματος ἁγίου, μηδὲν ἕτερον περιεργάζου· εἰ δὲ, πῶς ὁ ἄπειρος ἐν μήτρᾳ ἐστί; πῶς ὁ πάντα συνέχων κυοφορεῖται ὑπὸ γυναικός; πῶς τίκτει ἡ παρθένος, καὶ μένει παρθένος; πῶς ἐπλάσε τὸ πνεῦμα τὸ ἅγιον τὸν ναὸν ἐκεῖνον; καὶ ὅσα τοιαῦτα. καὶ γὰρ δύναμις ὑψίστου ἦν ἡ ἐπισκιάσασα τῇ παρθένῳ, καὶ υἱὸς Θεοῦ τὸ γεννώμενον. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. τοσοῦτον γὰρ ἦν θαυμαστὸς ὁ ἀνὴρ, ὅτι οὐ μόνον οὐκ ἐκόλασεν, ἀλλ' οὐδὲ εἶπέ τινι, οὐδὲ αὐτῇ τῇ ὑποπτευομένῃ, ἀλλὰ καθ' ἑαυτὸν ἐλογίζετο, οὐχὶ ἐκβαλεῖν, ἀλλὰ ἀπολῦσαι. διὸ καὶ ὅτι εἰς ἀπορίαν τῶν τοιούτων λογισμῶν κατέστη, τότε ἐπέστη ὁ ἄγγελος λύων τὴν ἐκ τῶν λογισμῶν. ὅτι γὰρ διηπορεῖτο, ἐξ ὧν διενοεῖτο, δῆλον. ἐβουλήθη γάρ, φησιν, ἀπολῦσαι αὐτὴν λάθρα· οὐκ ἂν οὔτε λάθρα, οὔτε ὅλως ἐκπέμψαι βουληθεὶς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπίστευε γαστρός, ἀλλὰ καὶ νόμῳ καὶ τιμωρίᾳ δίκαιος ὢν, μάλιστα αἰ ... ἀλλὰ τοῦτο μὲν οὐκ ἐπίστευσεν, οὐδὲ ἐκεῖνο πάλιν θείας ἐνεργείας εἶναι τὴν κύησιν. ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην τὸ ἔργον ἦν. διὸ καὶ τοῖς λογισμοῖς ἐκυμαίνετο. ὅτι οὖν ἐν τούτοις ἐκυλινδεῖτο τοῖς διαλογισμοῖς, τότε ἐπέστη ὁ ἄγγελος, καὶ φησι, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. ἔδειξεν αὐτὸν δεδοικότα καὶ τρέμοντα μὴ προσκρούσῃ τῷ Θεῷ διὰ τοῦ εἰπεῖν, μὴ φοβηθῇς, ἔνδον δὲ κατέχειν. τοῦτο γάρ ἐστι, τὸ παραλαβεῖν, καὶ μὴ, ὡς ἐνεθυμήθη, ἀπολῦσαι αὐτήν. οὐ μόνον γάρ, φησι, παρανόμου ἀπήλλακται μίξεως, ἀλλὰ καὶ ὑπὲρ φύσιν συνείληφε. τοῦτο γὰρ δηλοῖ, ὅπερ ἐπήγαγε, λέγων· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Μὴ νομίσῃς, φησίν, ἐπειδήπερ εἶπον, ὅτι ἐκ πνεύματός ἐστιν ἁγίου, ἀλλότριον σε τῆς διακονίας εἶναι τῆς κατὰ τὴν οἰκονομίαν. σοὶ δίδωμι τὸ ὄνομα ἐπιθεῖναι τῷ τικτομένῳ. εἰ γὰρ καὶ εἰς τὴν γέννησιν οὐδὲν συντελεῖς, ἀλλ' ὅμως σὺ αὐτοῦ καλέσεις τὸ ὄνομα. εἰ γὰρ καὶ μὴ σὸς ὁ τόκος, ἀλλὰ τὰ πατρὸς ἐπιδείξῃ περὶ αὐτόν, καὶ ἀπὸ τοῦ ὀνόματος θέσεως οἰκειῶσαι τῷ τικτομένῳ. οὐκ εἶπε δὲ, τέξεταί σοι υἱὸν, ἀλλὰ, τέξεται. οὐ γὰρ αὐτῷ ἔτικτεν, ἀλλὰ τῇ οἰκουμένῃ πάσῃ. διὸ καὶ ἐπήγαγεν, αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Εἰπὼν δὲ τὸν λαὸν αὐτοῦ, οὐ περὶ τῶν Ἰουδαίων εἶπε μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐθνῶν. λαὸς γὰρ αὐτοῦ πάντες οἱ δεχόμενοι τὴν περὶ αὐτοῦ γνῶσιν. καὶ ὅτι ἐν τούτῳ δείκνυται υἱὸς Θεοῦ ὁ τικτόμενος, ἐν τῷ ἀφιέναι ἁμαρτίας. οὐδὲ γὰρ ἀφιέναι ἁμαρτίας, ἑτέρας ἐστὶ δυνάμεως, εἰ μὴ τῆς οὐσίας τῆς θεϊκῆς μόνης. τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. ἐξὸν λοιπὸν ἐντεῦθεν παρελθεῖν Ἰουδαίους καὶ Ἕλληνας ἀπολύσαι, καὶ τὸ βιβλίον οὕτω παρὰ Ἰουδαίων λαβὼν, οὕτως ἀναγνῶναι τὴν προφητείαν. ἴστε γὰρ δήπου τοῦτο, ὅτι καὶ ἐν τοῖς δικαστηρίοις καὶ πανταχοῦ τότε μάλιστα ἀνύποπτος ἡ μαρτυρία γίνεται, ὅταν παρὰ τῶν ἐχθρῶν αὐτὴν φέρῃ. οὐ γὰρ δήπου πεπλάσθαι παρ' ἡμῶν αὐτὰ δυνήσονται λέγειν, οὐχ ἡμῶν, ἀλλὰ τῶν τὸν Χριστὸν σταυρωσάντων τὰ βιβλία παρεχομένων ἡμῖν

τὰ

Ματθ. α. ιη.

Εκ τ' αὐτ. ς.

Ματθ. α. κς.

τὰ περὶ τῆς αὐτοῦ οἰκονομίας διαλεγόμεθα. ἀλλ' εἰ πάρεισιν, εἴτε μὴ πάρεισιν οὗτοι, ἡμεῖς
τὸ ἡμέτερον ποιήσομεν, καὶ τῆς ἑρμηνείας ἁψόμεθα. ἀλλ', εἰ δοκεῖ, μικρὸν ἄνωθεν τὴν προ-
φητείαν ἀναλαβώμεθα, ἵν' εὐσύνοπτα ὑμῖν τὰ εἰρημένα γένηται. Καὶ προσέθετο Κύριος λα-
λῆσαι, φησὶ, τῷ Αχαζ λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βά-
5 θος ἢ εἰς ὕψος. καὶ εἶπεν Αχαζ, οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον. καὶ εἶπεν
Ησαΐας, ἀκούσατε δὴ οἶκος Ισραήλ, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς
Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ παρθένος ἐν γα-
στρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Εμμανουήλ. Επειδὴ γὰρ ὁ

Εκ τῆς ἑρμην. τοῦ ζ. κεφ. τῆς τοῦ Ησαΐου προφητείας.

Ησ. ζ. ι.

μὲν προφήτης εἶπεν· αἴτησαι σεαυτῷ σημεῖον, ἐκεῖνος δὲ τὸ σφόδρα πιστὸν ὑποκρινόμενος ἔ-
10 λεγεν, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω τὸν Κύριον, ὅρα πῶς μετὰ πολλῆς τῆς σφοδρότη-
τος ἐπάγει τὴν τόλμαν ὁ προφήτης, εἰκότως μετὰ τὴν ἀπόδειξιν βαρυτέραν ποιούμενος
τὴν κατηγορίαν. διὰ δὴ τοῦτο ἐκεῖνον μὲν οὐδὲ ἀποκρίσεως ἀξιοῖ· πρὸς δὲ τὸν δῆμον ἀ-
ποστρέφεται λέγων· ἀκούσατε οἶκος Δαβίδ, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις;
καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; ἀσαφὲς τὸ εἰρημένον· διὸ δεῖ τὴν ῥῆσιν ἀναπτύξαι μετ'
15 ἀκριβείας. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι· μὴ γὰρ ἐμά ἐστι τὰ ῥήματα, μὴ γὰρ ἐμὴ ἡ ἀπόφα-
σις; εἰ δὲ ἀνθρώποις ἀπιστεῖν ἁπλῶς καὶ αὐτὸ λόγου βαρὺ καὶ ἐγκλημάτων ἄξιον, πολλῷ
μᾶλλον Θεῷ. τὸ οὖν ἀγῶνα παρέχειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀπιστεῖν. τοῦτο οὖν, φησι, μικρὸν
ἐστιν ἔγκλημα; μὴ ἡ τυχοῦσα κατηγορία τὸ ἀνθρώποις ἀπιστεῖν; εἰ δὲ τοῦτο βαρὺ, πολλῷ
μᾶλλον τῷ Θεῷ. καὶ τοῦτο δὲ ἔλεγεν, ἵνα μάθωσι πάντες, ὅτι ἀνεξαπάτητος ἔμενεν ὁ προ-
20 φήτης, οὐκ ἀπὸ τῶν ῥημάτων παραλογιζόμενος τῶν εἰρημένων, ἀλλὰ ἀπὸ τῶν ἐν τῇ διανοίᾳ
τοῦ Αχαζ φέρων τὴν ψῆφον. Επειδὴ γὰρ μετὰ πολλῆς τῆς ἐπιεικείας διελέχθη αὐτῷ καὶ

Εκ τῆς αὐτῆς.

τῶν δεινῶν ἀπήλλαξε καὶ θαρρεῖν ἐκέλευσεν ὑπὲρ τῶν παρόντων, καὶ τεκμήρια τούτου πα-
ρέσχε, τὸ τὴν βουλὴν ἐξαλεῖψαι τῶν ἐπιστρατευσάντων, καὶ τὴν προσδοκίαν ἐλέγξαι, καὶ τὴν
ἅλωσιν τοῦ Ισραὴλ προείρηκεν τὴν παντελῆ καὶ ὁλόκληρον, καὶ τὸν χρόνον προσθεῖναι, οὐκ
25 ἠρκέσθη τούτοις, ἀλλὰ καὶ περαιτέρω πρόεισι, καὶ οὐκ ἀναμένει σημεῖον αὐτὸν αἰτῆσαι,
ἀλλὰ καὶ μὴ βουλόμενον διὰ ὑπερβολὴν ἀπιστίας προτρέπεται· καὶ οὐδὲ ἁπλῶς,
ἀλλὰ καὶ κύριον τῆς αἱρέσεως ποιεῖ. οὐδὲ γὰρ φησι, τὸ καὶ τὸ σημεῖον, ἀλλ' ὅπου βού-
λει, φησὶ, πλούσιος ὁ δεσπότης, παμμεγέθης ἡ δύναμις, ἄφατος ἡ ἐξουσία· ἂν ἐκ
τῶν οὐρανῶν βουληθῇς, οὐδὲν τὸ κωλῦον· ἂν ἐκ τῆς γῆς, οὐδὲν τὸ ἐμποδίζον. τοῦτο
30 γάρ ἐστι τὸ εἰς βάθος, ἢ εἰς ὕψος. ἐπειδὴ δὲ οὐδὲ οὕτως αὐτὸν ἐπεσπάσατο, οὐδὲ ἐνταῦ-
θα ἐσίγησεν, ἀλλ' ἔλεγχον ἐπαγαγὼν, καὶ τοῦτον ὑπὲρ διορθώσεως τοῦ ἀκούοντος, καὶ τοῦ δεῖξαι
ὡς οὐκ ἠπάτησεν οὐδὲ παρελογίσατο, ἀνακαλύπτει προφητείαν ἀπόρρητον, τὴν ἐπὶ σωτηρίᾳ
τῆς οἰκουμένης ἐσομένην, ἐπὶ διορθώσει τῶν πραγμάτων ἁπάντων· καί φησι τὸ σημεῖον οὐχὶ
τῷ Αχαζ δίδοσθαι λοιπὸν, ἀλλὰ τῷ κοινῷ τῶν Ιουδαίων δήμῳ. παρὰ μὲν γὰρ τὴν ἀρχὴν
35 πρὸς αὐτὸν τὸν λόγον ἀπέτεινεν· ἐπειδὴ δὲ ἀνάξιον ἑαυτὸν ἐκεῖνος ἀπέφηνε, τῷ κοινῷ τοῦ λαοῦ
διαλέγεται. διὰ τοῦτο γάρ φησι, δώσει, οὐχὶ σοὶ, ἀλλ' ὑμῖν σημεῖον. ὑμῖν· τίσι; τοῖς ἐν τῷ
οἴκῳ Δαβίδ. καὶ γὰρ ἐκεῖνος ἐβλασφήμησε τὸ σημεῖον. τί οὖν τὸ σημεῖόν ἐστιν; ἰδοὺ, ἡ παρθένος
ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Εμμανουήλ. παρατηρητέον,
ὅπερ καὶ ἔμπροσθεν εἶπον, ὅτι οὐ τῷ Αχαζ δίδοται λοιπὸν τὸ σημεῖον. καὶ ὅτι οὐ στοχασμὸς, αὐτὸς
40 ὁ προφήτης καὶ ἐνεκάλεσε, καὶ κατηγόρησε λέγων· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώ-
ποις; καὶ προσέθηκε· διὰ τοῦτο δώσει Κύριος ὑμῖν σημεῖον· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει.
εἰ δὲ λέγοιεν οἱ Ιουδαῖοι, ὅτι οὐκ εἶπε παρθένον ὁ προφήτης, ἀλλὰ νεάνιν, καὶ οὕτω τὰ νι-
κητήρια παρ' ἡμῖν. Καὶ γὰρ καὶ τὸ τῆς νεάνιδος ὄνομα, ἐπὶ τῆς παρθενίας εἴωθεν ἡ γρα-
φὴ τιθέναι, ὡς ἐν τοῖς ψαλμοῖς ἀναγέγραπται· Νεανίσκοι γὰρ, φησι, καὶ παρθένοι, πρεσβύ-

Εκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ. ὁμιλ. ε.

τεροι

περὶ τῶν νεωτέρων, ἀπεσπάτωσαν τὸ ὄνομα Κυρίου. καὶ περὶ κόρης δὲ ἐπιβουλευομένης λέγει Μωϋσῆς· ἐβόησεν ἡ νεᾶνις, τουτέστιν, ἡ παρθένος. Ὥστε εἰ μὴ παρθένος ἦν, οὐδὲ σημεῖον ἦν. τὸ γὰρ σημεῖον ἐκβαίνειν δεῖ τὴν κοινὴν ἀκολουθίαν, καὶ τὴν τῆς φύσεως ὑπερβαίνειν συνήθειαν, καὶ ξένον εἶναι καὶ παράδοξον, ὥστε ἕκαστον ἐπισημαίνεσθαι τῶν ὁρώντων καὶ ἀκουόντων. διὰ γὰρ τοῦτο καὶ σημεῖον λέγεται, διὰ τὸ ἐπίσημον· ἐπίσημον δὲ οὐκ ἂν γένοιτο, εἰ μέλλοι κρύπτεσθαι τῇ κοινωνίᾳ τῶν ἄλλων πραγμάτων. ὥστε εἰ περὶ γυναικὸς ὁ λόγος ἦν νόμῳ φύσεως τικτούσης, τίνος ἕνεκεν σημεῖον καλεῖ τὸ καθ' ἑκάστην γινόμενον τὴν ἡμέραν; διὰ δὲ τοῦτο καὶ ἀρχόμενος οὐχ ἁπλῶς εἶπεν, ἰδοὺ παρθένος, ἀλλά, ἰδοὺ ἡ παρθένος, τῇ προσθήκῃ τοῦ ἄρθρου, ἐπίσημόν τινα καὶ μόνην τοιαύτην γεγενημένην ἡμῖν αἰνιττόμενος. ὅτι γὰρ ἡ προσθήκη αὕτη τοῦτο ἐνδείκνυται, δυνατὸν καὶ ἀπὸ τῶν εὐαγγελίων μαθεῖν. ἐπειδὴ γὰρ ἔπεμψαν πρὸς τὸν Ἰωάννην οἱ Ἰουδαῖοι ἐρωτῶντες τίς εἶ; οὐκ ἔλεγον, σὺ εἶ Χριστός; ἀλλά, σὺ εἶ ὁ Χριστός; οὐδὲ ἔλεγον, εἰ σὺ εἶ προφήτης; ἀλλά, σὺ εἶ ὁ προφήτης; ὧν ἕκαστον ἐξαίρετον ἦν. διὰ τοῦτο καὶ ἀρχόμενος ὁ Ἰωάννης, οὐκ ἔλεγεν, ἐν ἀρχῇ ἦν λόγος, ἀλλ', Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ εἶπεν, ἰδοὺ παρθένος, ἀλλ', ἰδοὺ ἡ παρθένος· καὶ μετὰ ἀξιώματος προφήτῃ πρέποντος, τὸ ἰδού. μονονουχὶ γὰρ ὁρῶντος ἦν τὰ γινόμενα καὶ φανταζομένου, καὶ πολλὴν ἔχοντος ὑπὲρ τῶν εἰρημένων πληροφορίαν. τῶν γὰρ ἡμετέρων ὀφθαλμῶν ἐκεῖνοι σαφέστερον τὰ μὴ ὁρώμενα ἔβλεπον. τὴν μὲν γὰρ αἴσθησιν εἰκὸς καὶ ἀπατηθῆναι· ἡ δὲ τοῦ πνεύματος χάρις ἀνεξαπάτητον παρείχετο τὴν ἀπόφασιν. καὶ τίνος ἕνεκεν οὐ προσέθηκε, φησιν, ὅτι ἐκ πνεύματος ἔσται; προφητεία ἦν τὸ λεγόμενον, καὶ συνεσκιασμένως ἀπαγγεῖλαι ἔδει, ὃ πολλάκις εἶπον, διὰ τὴν τῶν ἀκουόντων ἀγνωμοσύνην, ἵνα μὴ σαφῶς ταῦτα μαθόντες, καὶ τὰ βιβλία πάντα κατακαύσωσιν. εἰ γὰρ τῶν προφητῶν οὐκ ἐφείσαντο, πολλῷ μᾶλλον τῶν γραμμάτων οὐκ ἂν ἀπέσχοντο. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἕτερός τις βασιλεὺς ἐπὶ τοῦ Ἱερεμίου αὐτὰ τὰ βιβλία λαβὼν κατέτεμε, καὶ πυρὶ παρεδίδου. εἶδες μανίαν ἀφόρητον; εἶδες ὀργὴν ἀλόγιστον; οὐκ ἤρκεσεν αὐτῷ τὸ ἀφανίσαι τὰ γράμματα, ἀλλὰ καὶ ἐνεπύρησε, τὸ ἀλόγιστον αὐτοῦ πάθος πληρῶσαι βουλόμενος. ἀλλ' ὅμως καὶ ἀσαφῶς εἰπὼν ὁ θαυμάσιος οὗτος προφήτης, τὸ πᾶν ἐνεδείξατο. παρθένος γάρ, ἕως ἂν μένῃ παρθένος, πόθεν ἂν ἄλλοθεν κυήσειεν, εἰ μὴ ἀπὸ πνεύματος ἁγίου; τὸ γὰρ νόμους λῦσαι φύσεως, οὐδενὸς ἑτέρου ἦν, ἀλλ' ἢ τοῦ δημιουργοῦ τῆς φύσεως. ὥστε εἰπών, τέξεται ἡ παρθένος, τὸ πᾶν ἐνέφηνεν. εἰπὼν τοίνυν τὸν τόκον, λέγει καὶ τὸ ὄνομα τοῦ τικτομένου, καί φησι, τέξεται δὲ υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Καὶ πῶς, φησιν, οὐκ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὡς ὁ προφήτης εἶπεν, ἀλλὰ Ἰησοῦς Χριστός; ὅτι οὐκ εἶπε, καλέσεις, ἀλλά, καλέσουσιν οἱ ὄχλοι, τουτέστιν, ἡ τῶν πραγμάτων ἔκβασις. Ὥσπερ γὰρ τὴν Ἱερουσαλὴμ καλεῖ πόλιν δικαιοσύνης, καίτοιγε οὐδαμοῦ δικαιοσύνη ἐκλήθη ἡ πόλις, ἀλλὰ ἀπὸ τῶν πραγμάτων ταύτην εἶχε τὴν προσηγορίαν, διὰ τὸ πολλὴν γεγενῆσθαι τὴν ἐπὶ τὸ βέλτιον αὐτῆς μεταβολήν, καὶ τὴν τοῦ δικαίου προστασίαν. καὶ γὰρ ὅταν πόρνην καλῇ, οὐχ ὡς τῆς πόλεως οὕτω ποτὲ κληθείσης, ἀλλ' ἀπὸ τῆς κακίας τὸ ὄνομα τίθησιν· οὕτω δὴ καὶ μετὰ ταῦτα ἀπὸ τῆς ἀρετῆς. τὸ αὐτὸ τοίνυν καὶ ἐπὶ τοῦ Χριστοῦ λεκτέον, ὅτι τὸ ἀπὸ τῶν πραγμάτων αὐτῷ ὄνομα τέθεικε. τότε γὰρ μάλιστα μεθ' ἡμῶν ὁ Θεὸς γέγονεν, ἐπὶ τῆς γῆς ὀφθείς, καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενος, καὶ τὴν πολλὴν ἐπιδεικνύμενος περὶ ἡμᾶς κηδεμονίαν. οὐκέτι γὰρ ἄγγελος, οὐδὲ ἀρχάγγελος μεθ' ἡμῶν, ἀλλ' αὐτὸς καταβὰς ὁ δεσπότης, τὴν πᾶσαν ἀνεδέξατο διόρθωσιν, πόρναις διαλεγόμενος, τελώναις συνανακείμενος, εἰς ἁμαρτωλῶν οἰκίας εἰσιών, λῃσταῖς παρρησίαν διδούς, μάγους ἐφελκόμενος, πάντα περιϊὼν καὶ διορθούμενος, καὶ αὐτὴν τὴν φύσιν εἰσάγων πρὸς ἑαυτόν. Ταῦτα οὖν πάντα ὁ προφήτης προαναφωνεῖ, ὁμοῦ καὶ τὸν τόκον λέγων, καὶ τὸ κέρδος

Ἐκ τῆς ἑρμην. τοῦ ζ. κεφ. τῆς τοῦ Ἡσαΐου προφητείας.

Ἰωάν. α. α.

Ἱερ. λϛ. κγ.

Ἐκ τῆς ϛ. ὁμιλ. τῆς ἑρμην. εἰς τὸ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ἑρμην. εἰς τὸ ζ. κεφ. τῆς Ἡσαΐου προφητείας.

τῶν ὠδίνων τὸ ἄφατον ἐκεῖνο καὶ ἄπειρον. ὅταν γὰρ ὁ Θεὸς μετὰ ἀνθρώπων ᾖ, οὐδὲν δεῖ λοι-
πὸν δεδοικέναι, οὐδὲ τρέμειν, ἀλλ' ὑπὲρ ἁπάντων θαρρεῖν· ὅπερ οὖν καὶ ἐγένετο. καὶ γὰρ τὰ
ἀρχαῖα ἐκεῖνα καὶ ἀκίνητα ἐλύθη κακά, καὶ ἡ κατὰ τοῦ κοινοῦ γένους ἀπόφασις ἀνῄρητο, καὶ τῆς ἁ-
μαρτίας τὰ νεῦρα ἐκέκοπτο, καὶ διαβόλου τυραννὶς κατελύετο, καὶ ὁ πᾶσιν ἄβατος παράδει-
5 σος, ἀνδροφόνῳ καὶ λῃστῇ πρῶτον ἠνοίγετο, καὶ οὐρανοῦ ἁψῖδες ἀνεπετάννυντο, καὶ ἀγγέλοις
ἄνθρωποι ἀνεμίγνυντο, καὶ πρὸς τὸν βασιλικὸν θρόνον ἡ φύσις ἡ ἡμετέρα ἀνήγετο, καὶ τοῦ ᾅδου
τὸ δεσμωτήριον ἄχρηστον ἦν, καὶ ὁ θάνατος ὄνομα λοιπὸν ἔμενεν ὄν, πράγματος ἀπεστερημένον,
καὶ μαρτύρων χοροί, καὶ γυναῖκες κατακλῶσαι τοῦ ᾅδου τὰ κέντρα. ταῦτα οὖν πάντα προ-
ορῶν ὁ προφήτης, ἐσκίρτα καὶ ἐχόρευε, καὶ δι' ἑνὸς ῥήματος ἡμῖν ταῦτα ἐνεδείκνυτο, προ-
10 φητεύων ἡμῖν τὸν Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν, ἢ προελέ- Ἡσ. ζ. ιε.
σθαι πονηρά, ἐκλέξεται τὸ ἀγαθόν. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν, ἢ κακὸν, ἀπει-
θεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. ἐπειδὴ τὸ τικτόμενον παιδίον, οὔτε ἄνθρωπος ἦν
ψιλὸς, οὔτε Θεὸς μόνον, ἀλλὰ Θεὸς ἐν ἀνθρώπῳ, εἰκότως καὶ ὁ προφήτης ποικίλλει τὸν λό-
γον, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο λέγων, καὶ τὰ παράδοξα τιθεὶς, καὶ οὐκ ἀφιεὶς ἀπιστηθῆναι
15 τὴν οἰκονομίαν διὰ τὴν τοῦ θαύματος ὑπερβολήν. εἰπὼν γὰρ, ὅτι τέξεται παρθένος, ὅ-
περ ἦν ἀνώτερον φύσεως, καὶ ὅτι κληθήσεται Ἐμμανουήλ, ὃ καὶ αὐτὸ μεῖζον προσδοκίας ἦν·
ἵνα μή τις τὸν Ἐμμανουὴλ ἀκούσας, τὰ Μαρκίωνος πάθῃ, καὶ νοσήσῃ τὰ Οὐαλεντίνου, διὰ τὴν οἰκο-
νομίαν διαρρήδην ἐπήγαγε καὶ τῆς οἰκονομίας τὴν σαφεστάτην ἀπόδειξιν, ἀπὸ τῆς τραπέζης αὐτοῦ
πιστούμενος. τί γάρ φησι; βούτυρον καὶ μέλι φάγεται· τοῦτο δὲ οὐκ ἂν εἴη θεότητος, ἀλλὰ τῆς φύ-
20 σεως τῆς ἡμετέρας. διὰ γάρ τοι τοῦτο, οὐδὲ ἄνθρωπον ἁπλῶς πλάσας ἐνῴκησεν ἐν αὐτῷ, ἀλλὰ
καὶ κυήσεως ἠνέσχετο, καὶ ταύτης ἐννεαμηνιαίου, καὶ ὠδίνων, καὶ σπαργάνων, καὶ τῆς ἐκ πρώτης
ἡλικίας τροφῆς, ἵνα διὰ πάντων ἐμφράξῃ τὰ στόματα τῶν ἀρνεῖσθαι τὴν οἰκονομίαν ἐ-
πιχειρούντων. ταῦτα οὖν ἄνωθεν προορῶν ὁ προφήτης, οὐχὶ τὰς ὠδῖνας λέγει καὶ τὸν θαυ-
μαστὸν τόκον μόνον, ἀλλὰ καὶ τὴν ἐν πρώτῃ ἡλικίᾳ τροφὴν, τὴν ἐν αὐτοῖς τοῖς σπαργάνοις,
25 οὐδὲν τῶν λοιπῶν διαλλάττουσαν ἀνθρώπων, οὐδέ τι ξένον κατὰ τοῦτο ἔχουσαν. οὔτε γὰρ ἅπαν-
τα διηλλαγμένα ἦν αὐτῷ, οὔτε πάντα κοινά. τὸ μὲν γὰρ ἐκ γυναικὸς τεχθῆναι, κοινόν· τὸ
δὲ ἀπὸ παρθένου, μεῖζον ἢ καθ' ἡμᾶς. τὸ δὲ τραφῆναι πάλιν τῷ κοινῷ τῆς φύσεως νόμῳ, καὶ
τῷ αὐτῷ τοῖς πολλοῖς κοινόν· τὸ δὲ ἄβατον γενέσθαι πονηρίᾳ τὸν ναὸν ἐκεῖνον, καὶ μηδὲ εἰς
πεῖραν ἐλθεῖν πονηρίας, τοῦτο ξένον καὶ παράδοξον καὶ αὐτοῦ μόνου. διὸ δὴ κἀκεῖνο καὶ τοῦτο τέθει-
30 κεν· εἰπὼν γὰρ, βούτυρον καὶ μέλι φάγεται, ἐπήγαγε· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγα-
θὸν, ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. πάλιν ταῖς αὐταῖς λέξεσι τὸ αὐτὸ
νόημα αἰνίττεται, καὶ ἐνδιατρίβει τῷ λόγῳ. ἐπειδὴ γὰρ σφόδρα ἦν ὑψηλὸν τὸ εἰρημένον, τῇ
συνεχείᾳ τῆς διηγήσεως αὐτὸ πιστοῦται. ὅπερ γὰρ ἀνωτέρω ἐδήλωσεν εἰπὼν, πρὶν ἢ γνῶναι
αὐτὸν ἢ προελέσθαι πονηρά, τοῦτο προϊὼν ἠνίξατο, τῷ εἰπεῖν· πρὶν ἢ γνῶναι τὸ παιδίον,
35 καὶ ἐπεξηγήσει κέχρηται πάλιν λέγων, ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ
ἀγαθόν. τοῦτο γὰρ αὐτοῦ μόνου ἦν τὸ ἐξαίρετον. διὸ καὶ ὁ Παῦλος αὐτὸ στρέφει συνεχῶς. ἐπειδὴ
γὰρ ἔμελλεν ἀποθνήσκειν, ἵνα μή τις νομίσῃ τῶν ἀπίστων, ὅτι οἰκείας ἁμαρτίας τίνει δίκην, συν-
εχῶς αὐτοῦ τὸ ἀναμάρτητον εἰς μέσον ἄγει· ἵνα τὸν θάνατον αὐτοῦ τῆς ἡμετέρας ἁμαρτίας λυ-
τήριον ὄντα δείξῃ. διὸ καὶ ἔλεγε, Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει. ὃ γὰρ ἀ- Ῥωμ. ϛ. θ.
40 πέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν· οὐδὲ ἐκεῖνον τὸν θάνατον ὡς ὑπεύθυνος ὤν, φησι, κατὰ τὸν
τῆς ἁμαρτίας λόγον ἀπέθανεν, ἀλλ' ὑπὲρ τῆς κοινῆς ἁπάντων πλημμελείας. εἰ τοίνυν
τῷ προτέρῳ κατὰ τοῦτο ὑπεύθυνος οὐκ ἦν, ἐκ φιλοτιμίας ἀποδέδεικται, ὅτι οὐκέτι ἀπο-
θανεῖται. ἀλλὰ ταῦτα μὲν ὡς ἐν παρόδῳ εἴρηται. ὥρα δὲ πάλιν, τῶν τοῦ εὐαγγελίου ἅψα-
σθαι ῥημάτων. καὶ ἐγερθεὶς, φησιν, ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγ- Ματθ. α. κδ.

γελος

Εκ τῆς ὁμιλ. ε. εἰς τὸ κατὰ Ματθ. εὐαγ.

γελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ. Ὅρα καὶ ἐνταῦθα τὸ φιλόσοφον τοῦ ἀνδρός, καὶ ἐν πᾶσιν ἀδέκαστον. ὅτε γὰρ ἡνίκα ὑπώπτευεν ἀνδρός τι καὶ ἄτοπον, κατασχεῖν ἠνέχετο τὴν παρθένον, οὔτε ἐπειδὴ ταύτης ἀπηλλάγη τῆς ὑποψίας, ἐκβαλεῖν ὑπέμεινεν, ἀλλὰ καὶ κατέχει καὶ διακονεῖται τῇ οἰκονομίᾳ πάσῃ. τὸ τῆς γυναικὸς δὲ ὄνομα συνεχῶς τίθησιν ὁ εὐαγγελιστής, οὐ βουλόμενος ἐκκαλύψαι τὸ μυστήριον ἐκεῖνο τέως, καὶ τὴν πονηρὰν αἰρῶν ὑποψίαν. Παραλαβὼν δὲ αὐτήν, οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. τό, ἕως, ἐνταῦθα εἴρηκεν, οὐχ ἵνα ὑποπτεύσῃς, ὅτι μετὰ ταῦτα αὐτὴν ἔγνω, ἀλλ' ἵνα μάθῃς, ὅτι πρὸ τῶν ὠδίνων πάντως ἀνέπαφος ἦν ἡ παρθένος. τίνος οὖν ἕνεκεν, φησι, τό, ἕως, τέθεικεν; ὅτι ἔθος τῇ γραφῇ πολλάκις τοῦτο ποιεῖν, καὶ τὴν ῥῆσιν ταύτην μὴ ἐπὶ διωρισμένοις τιθέναι χρόνοις· οἶδα, ὅτι οὐκ ἀνέστρεψε πρὸς τὸν Νῶε ὁ κόραξ, ἕως οὗ ἐξηράνθη ἡ γῆ.

Γεν. η ζ.

καίτοιγε οὐδὲ μετὰ ταῦτα ἀνέστρεψε. λέγει δὲ καὶ ἐν τοῖς ψαλμοῖς· Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· καὶ ὁ Παῦλος δὲ φησι· Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. ἀλλ' οὔτε ἐκεῖ τό, ἕως, οὔτε ἐνταῦθα τὸ μέχρις, χρόνων ἐστὶν ὅροι. ἐπεὶ πῶς ἔστηκε τὸ προφητικὸν ἐκεῖνο τὸ λέγον· Ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία, ἥτις οὐ διαφθαρήσεται, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, εἴγε μέχρι τότε μέλλει βασιλεύειν; οὕτω δὴ καὶ ἐνταῦθα τὸ ἕως εἶπε, τὰ πρὸ ὠδίνων ἀσφαλιζόμενος· τὰ δὲ μετὰ ταῦτα, σοὶ καταλιπεῖν συλλογίζεσθαι. ὃ μὲν γὰρ ἀναγκαῖον ἦν μαθεῖν σε παρ' αὐτοῦ, τοῦτο αὐτὸς εἴρηκεν, ὅτι ἀνέπαφος ἦν ἡ παρθένος ἕως τοῦ τόκου· ὃ δὲ ἐκ τῶν εἰρημένων ἀκόλουθον ἐφαίνετο καὶ ὡμολογημένον, τοῦτό σοι λοιπὸν ἀφίησι συνιδεῖν· οἶδα, ὅτι οὐκ ἂν οὐδὲ μετὰ ταῦτα τὴν οὕτω γενομένην μητέρα, καὶ καινῶν ὠδίνων καὶ ξένων καταξιωθεῖσαν λοχευμάτων, δίκαιος ὢν ἐκεῖνος ὑπέμεινε γνωρίσαι λοιπόν.

Ψαλ. ρθ. α. — α. Κορ. ιε. κε. — Δαν. ζ. λα.

Ματθ. β. α.

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ταῖς ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτόν. ἐνταῦθά τινες τῶν τῆς ἀληθείας ἐχθρῶν ἐπιλαβόμενοι τοῦ ῥητοῦ, φασιν· ἰδού, φησι, καὶ τοῦ Χριστοῦ γεννηθέντος, ἀστὴρ ἐφάνη, ὅπερ ἐστὶ σημεῖον τοῦ τὴν ἀστρολογίαν εἶναι βεβαίαν.

Εκ τῆς ὁμιλ. ς. εἰς τὸ κατὰ Ματθ. εὐαγ.

Τί οὖν πρὸς ταῦτα ἐροῦμεν; ἀπ' αὐτοῦ τοῦ ἀστέρος τῆς λύσεως τὴν ἀρχὴν ποιησώμεθα. οὐδὲ γὰρ τῶν πολλῶν εἷς ἦν ὁ ἀστὴρ οὗτος, μᾶλλον δὲ οὐδὲ ἀστὴρ ἦν, ἀλλὰ δύναμίς τις ἀόρατος εἰς ταύτην σχηματισθεῖσα τὴν ὄψιν. δῆλον δὲ τοῦτο, ὅτι πρότερον μὲν καὶ ἥλιον καὶ σελήνην καὶ ἀστέρας ἐξ ἀνατολῶν ὁρῶμεν ἐπὶ δύσιν χωροῦντας· οὗτος δὲ ἀπὸ ἄρκτου εἰς μεσημβρίαν ἐφέρετο. οὕτω γὰρ ἡ Παλαιστίνη πρὸς τὴν Περσίδα κεῖται. δεύτερον δέ, ὅτι οὐκ ἐν νυκτὶ ἐφαίνετο, ἀλλ' ἐν ἡμέρᾳ μέσῃ, ἡλίου λάμποντος. τρίτον, ἀπὸ τοῦ φαίνεσθαι καὶ κρύπτεσθαι. ἕως μὲν γὰρ τῆς Παλαιστίνης ἐφαίνετο χειραγωγῶν τοὺς μάγους· ἐπειδὴ δὲ ἐπέβησαν τῶν Ἱεροσολύμων, ἔκρυψεν ἑαυτόν. εἶτα πάλιν δείκνυσιν ἑαυτόν, μετὰ τὸ ἐξελθεῖν αὐτοὺς ἐκ τοῦ Ἡρώδου· ὅπερ οὐκ ἔστιν ἰδεῖν ἀστέρος, ἀλλὰ δυνάμεώς τινος λογικωτάτης. τέταρτον, ἀπὸ τοῦ τρόπου τῆς δείξεως. κάτω γὰρ καταβὰς τὸν τόπον ἐδείκνυ. ἀδύνατον γὰρ ἦν αὐτὸν μένοντα τοῦτο ποιεῖν, ἐπὶ τὸ ἄπειρον τὸ ὕψος, καὶ οὐκ ἤρκει οὕτω στενὸν τόπον χαρακτηρίσαι καὶ γνωρίσαι τοῖς βουλομένοις ἰδεῖν. ὁρᾷς δὲ ὅσων δείκνυται οὐ τῶν πολλῶν εἷς ὢν οὗτος ὁ ἀστήρ; οὐδὲ κατὰ τὴν ἀκολουθίαν τῆς ἔξω γεννήσεως δεικνὺς ἑαυτόν; καὶ τίνος ἕνεκεν ἐφάνη, φησίν; ὥστε καθικέσθαι τῆς Ἰουδαίων ἀναισθησίας. ἐπειδὴ γὰρ τῶν προφητῶν συνεχῶς ἀκούοντες λεγόντων περὶ τῆς αὐτοῦ παρουσίας οὐ σφόδρα προσεῖχον, ἐποίησε καὶ βαρβάρους ἐλθεῖν ἀπὸ γῆς μακρᾶς, τὸν παρ' αὐτοῖς τοῖς Ἰουδαίοις βασιλέα ἐπιζητοῦντας, καὶ παρὰ Περσικῆς φωνῆς μανθάνουσιν, ἃ οὐκ ἠνέσχοντο μαθεῖν παρὰ τῶν προφητῶν· ἵνα, ἂν μὲν ἀγνωμονῶσι, μεγίστην ἔχωσι τοῦ πεί-

θεσθαι

θεσθαι πρόφασιν, ἀλλ' ἵνα φιλονεικοῦσιν, ἀπεστερημένοι λοιπὸν ὦσι πάσης ἀπολογίας. ἕλκυε δὲ τοὺς μάγους δι' ἀστέρος ὁ Θεὸς, διὰ τὴν συνήθειαν αὐτοὺς καλῶν, καὶ δείκνυσιν ἀστέρα μέγα καὶ ἐξηλλαγμένον, ὥστε καὶ τῷ μεγέθει καὶ τῷ κάλλει τῆς ὄψεως αὐτοὺς ἐκπλῆξαι, καὶ τῷ τρόπῳ τῆς πορείας. ἐπειδὴ οὖν ἤγαγε καὶ ἐχειραγώγησε καὶ πρὸς τὴν φάτνην ἔστησεν, οὐκέτι δι' ἀστέρος, ἀλλὰ δι' ἀγγέλου λοιπὸν αὐτοῖς διαλέγεται. καὶ τούτους μὲν δι' ἀστέρος καὶ δι' ἀγγέλου, ἡμᾶς δὲ δι' αὐτοῦ τοῦ μονογενοῦς τὰ ὑψηλὰ καὶ ἀπόρρητα καὶ τὸν νοῦν ἡμῶν ὑπερβαίνοντα μαθεῖν κατηξίωσεν.

Ἐννοοῦντες τοίνυν τῆς τοσαύτης συγκαταβάσεως τὸ μέγεθος, ἀξίαν ἀποδῶμεν αὐτῷ καὶ τὴν τιμὴν καὶ τὴν ἀμοιβήν. Θεῷ δὲ ἀμοιβὴ παρ' ἡμῶν οὐδεμία γένοιτ' ἂν, ἀλλ' ἢ μόνον ἡ σωτηρία ἡμῶν καὶ τῶν ἡμετέρων ψυχῶν, καὶ ἡ περὶ τὴν ἀρετὴν ἐπιμέλεια, καὶ ἡ πρὸς τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους πρόνοια. καὶ γὰρ οὐδὲν οὕτω γνώρισμα καὶ χαρακτὴρ γένοιτ' ἂν τοῦ πιστοῦ καὶ τὸν Χριστὸν φιλοῦντος, ὡς τὸ τῶν ἀδελφῶν κήδεσθαι, καὶ τὸ τῆς σωτηρίας ἐπιμελεῖσθαι τῆς ἐκείνων· ἐπεὶ καὶ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ τοῖς πολλοῖς. οὕτω καὶ ὁ Παῦλός φησιν· Οὐ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι. (α. Κορ. ι λγ.)

(Ἐκ τῆς κδ. ὁμιλ. εἰς τὴν πρὸς Κορινθ. α. ἐπισ.) Ταῦτ' οὖν εἰδότες, ἀγαπητοὶ, καὶ τὸν ἑαυτῶν βίον ῥυθμίζωμεν, καὶ πολλὴν τὴν φροντίδα τῶν ἀδελφῶν ἡμῶν ποιώμεθα, καὶ τὴν ἑνότητα τὴν πρὸς αὐτοὺς διατηρῶμεν. εἰς τοῦτο γὰρ ἡμᾶς ἡ θυσία ἐνάγει ἡ φοβερὰ ἐκείνη καὶ φρικώδης, κελεύουσα ἡμῖν μεθ' ὁμονοίας αὐτῇ μάλιστα προσιέναι καὶ θερμῆς ἀγάπης, καὶ ἀετοὺς γινομένους ἐντεῦθεν, οὕτω πρὸς αὐτὸν ἵπτασθαι τὸν οὐρανόν. Ὅπου γὰρ τὸ πτῶμα, φησιν, ἐκεῖ καὶ οἱ ἀετοί· πτῶμα καλῶν τὸ σῶμα διὰ τὸν θάνατον. (Ματθ. κδ. κη.) εἰ μὴ γὰρ ἐκεῖνος ἔπεσεν, ἡμεῖς οὐκ ἂν ἀνέστημεν. ἀετοὺς δὲ καλεῖ, δεικνὺς, ὅτι καὶ ὑψηλὸν εἶναι δεῖ τὸν προσιόντα τῷ σώματι τούτῳ, καὶ μηδὲν πρὸς τὴν γῆν κοινὸν ἔχειν, μηδὲ κάτω σύρεσθαι καὶ ἕρπειν, ἀλλ' ἄνω πέτεσθαι διηνεκῶς, καὶ πρὸς τὸν ἥλιον τῆς δικαιοσύνης ἐνορᾷν, καὶ ὀξυδερκὲς τὸ ὄμμα τῆς διανοίας ἔχειν. ἀετῶν γὰρ, οὐ κολοιῶν αὕτη ἡ τράπεζα. οὗτοι καὶ τότε ἀπαντήσονται ἐκ τῶν οὐρανῶν καταβαίνοντι οἱ νῦν ἀξίως ἀπολαύοντες, ὥσπερ οἱ ἀναξίως τὰ ἔσχατα πείσονται. Εἰ γὰρ βασιλέα τις οὐκ ἂν ἁπλῶς δέξοιτο, τί λέγω βασιλέα; ἱμάτιον μὲν οὖν βασιλικὸν οὐκ ἄν τις ἁπλῶς ἅψαιτο χερσὶν ἀκαθάρτοις, κἂν ἐν ἐρημίας ᾖ, κἂν μόνος ᾖ, κἂν μηδεὶς ὁ παρών· καίτοιγε οὐδέν ἐστιν ἕτερον τὸ ἱμάτιον, ἢ σκωλήκων νήματα καὶ σητῶν· εἰ δὲ τὴν βαφὴν θαυμάζεις, καὶ αὐτὴ νεκρωθέντος ἰχθύος ἐστὶν αἷμα· ἀλλ' ὅμως οὐκ ἄν τις ἕλοιτο ῥυπαραῖς αὐτὸ καταστολμῆσαι χερσίν. Εἰ δὲ ἀνθρωπίνου ἱματίου οὐκ ἄν τις τολμήσειεν ἁπλῶς θιγεῖν, πῶς τὸ σῶμα τοῦ ἐπὶ πάντων Θεοῦ, τὸ ἄμωμον, τὸ καθαρὸν, τὸ τῇ θείᾳ ἐκείνῃ φύσει ὁμιλῆσαν, δι' οὗ ἐσμὲν καὶ ζῶμεν, δι' οὗ πύλαι θανάτου κατεκλάσθησαν, καὶ οὐρανοῦ ἁψῖδες ἀνεῴχθησαν, τοῦτο μετὰ τοσαύτης ὕβρεως ληψόμεθα; μὴ, παρακαλῶ, μὴ κατασφάξωμεν ἑαυτοὺς διὰ τῆς ἀναισχυντίας, ἀλλὰ μετὰ φρίκης καὶ καθαρότητος ἁπάσης αὐτῷ προσίωμεν, ἵνα μὴ χαλεπωτέραν ὑπομείνωμεν τιμωρίαν. (Ἐκ τῆς αὐτῆς.) Ὅσῳ γὰρ ἂν ὦμεν εὐηργετημένοι μεγάλα, τοσούτῳ μᾶλλον κολαζόμεθα μειζόνως, ὅταν ἀνάξιοι τῆς εὐεργεσίας φανῶμεν. καὶ γὰρ τοῦτο δὴ τὸ σῶμα καὶ ἐπὶ φάτνης κείμενον ᾐδέσθησαν Μάγοι, καὶ ἄνδρες ἀσεβεῖς καὶ βάρβαροι τὴν πατρίδα καὶ τὴν οἰκίαν ἀφέντες, καὶ ὁδὸν ἐστείλαντο μακρὰν, καὶ ἐλθόντες μετὰ φόβου καὶ τρόμου πολλοῦ προσεκύνησαν. μιμησώμεθα τοίνυν κἂν τοὺς βαρβάρους ἡμεῖς οἱ τῶν οὐρανῶν πολῖται. ἐκεῖνοι μὲν γὰρ καὶ ἐπὶ φάτνης ἰδόντες καὶ ἐν καλύβῃ, καὶ οὐδὲν τοιοῦτον ἰδόντες, οἷον σὺ νῦν, μετὰ πολλῆς τῆς φρίκης προσῄεσαν· σὺ δὲ οὐκ ἐν φάτνῃ ὁρᾷς, ἀλλ' ἐν θυσιαστηρίῳ, οὐ γυναῖκα κατέχουσαν, ἀλλ' ἱερέα παρεστῶτα, καὶ πνεῦμα μετὰ πολλῆς τῆς δαψιλείας τοῖς προκειμένοις ἐφιπτάμενον. οὐχ ἁπλῶς αὐτὸ τοῦτο τὸ σῶμα ὁρᾷς, ὥσπερ ἐκεῖνοι, ἀλλ' οἶσθα αὐτοῦ καὶ τὴν δύναμιν καὶ τὴν οἰκονομίαν ἅπασαν, καὶ οὐδὲν ἀγνοεῖς τῶν δι' αὐτοῦ τελεσθέντων, μετὰ ἀκριβείας μυσταγωγηθεὶς ἅπαντα.

πάντα διαμασήσωμεν τοίνυν ἑαυτοὺς καὶ φρίξωμεν, καὶ πολλῷ τῶν βαρβάρων ἐκείνων πλείονα ἐπιδειξώμεθα τὴν εὐλάβειαν· ἵνα μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε προσελθόντες, πῦρ ἐπὶ τὴν ἑαυτῶν σωρεύσωμεν κεφαλήν. ταῦτα δὲ λέγω, οὐχ ἵνα μὴ προσίωμεν, ἀλλ' ἵνα μὴ ἁπλῶς προσίωμεν. ὥσπερ γὰρ τὸ ὡς ἔτυχε προσιέναι, κίνδυνος· οὕτω τὸ μὴ κοινωνεῖν τῶν μυστικῶν δείπνων ἐκείνων, λιμὸς καὶ θάνατος. αὕτη γὰρ ἡ τράπεζα, τῆς ψυχῆς ἡμῶν τὰ νεῦρα, τῆς διανοίας ὁ σύνδεσμος, τῆς παρρησίας ἡ ὑπόθεσις, ἡ ἐλπίς, ἡ σωτηρία, τὸ φῶς, ἡ ζωή. μετὰ ταύτης ἀπελθόντες ἐκεῖ τῆς θυσίας, ἐν παρρησίᾳ πολλῇ τῶν ἱερῶν ἐπιβησόμεθα προθύρων, ὥσπερ πᾶσιν ὅπλοις χρυσοῖς πεφραγμένοι πάντοθεν. καὶ τί λέγω τὰ μέλλοντα; ἐνταῦθα γάρ σοι τὴν γῆν οὐρανὸν ποιεῖ τοῦτο τὸ μυστήριον. ἀνάπτασον γοῦν τοῦ οὐρανοῦ τὰς πύλας, καὶ διάκυψον, μᾶλλον δὲ οὐχὶ τοῦ οὐρανοῦ, ἀλλὰ τοῦ οὐρανοῦ τῶν οὐρανῶν, καὶ τότε ὄψει τὸ εἰρημένον. τὸ γὰρ πάντων ἐκεῖ τιμιώτερον, τοῦτό σοι ἐπὶ τῆς γῆς δείξω κείμενον. ὥσπερ γὰρ ἐν τοῖς βασιλείοις τὸ πάντων σεμνότερον, οὐ τοῖχοι, οὐκ ὄροφος χρυσοῦς, ἀλλὰ τὸ βασιλικὸν σῶμα τὸ καθήμενον ἐπὶ τοῦ θρόνου· οὕτω καὶ ἐν τοῖς οὐρανοῖς τὸ τοῦ βασιλέως σῶμα. ἀλλὰ τοῦτό σοι ἔξεστιν ἐπὶ γῆς ἰδεῖν. οὐ γὰρ ἀγγέλους, οὐδὲ ἀρχαγγέλους, οὐδὲ οὐρανοὺς καὶ οὐρανοὺς οὐρανῶν, ἀλλ' αὐτὸν τούτων σοι δείκνυμι δεσπότην. εἶδες πῶς τὸ πάντων τιμιώτερον ὁρᾷς ἐπὶ γῆς; καὶ οὐχ ὁρᾷς μόνον, ἀλλὰ καὶ ἅπτῃ; καὶ οὐχ ἅπτῃ μόνον, ἀλλὰ καὶ ἐσθίεις, καὶ λαβὼν οἴκαδε ἀναχωρεῖς; ἀπόσμηχε τοίνυν τὴν ψυχήν, παρασκεύαζε τὴν διάνοιαν πρὸς τὴν τούτων ὑποδοχὴν τῶν μυστηρίων. καὶ γὰρ εἰ παιδίον βασιλικὸν μετὰ τοῦ κόσμου καὶ τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος ἐνεχειρίσθης φέρειν, πάντα ἂν ἔρριψας τὰ ἐν τῇ γῇ· νυνὶ δὲ οὐ παιδίον ἀνθρώπου βασιλικόν, ἀλλ' αὐτὸν τὸν μονογενῆ λαμβάνων τοῦ Θεοῦ παῖδα, οὐ φρίττεις, εἰπέ μοι, καὶ πάντα τὸν τῶν βιωτικῶν ἐκβάλλεις ἔρωτα, καὶ τῷ κόσμῳ καλλωπίζῃ μόνον ἐκείνῳ, ἀλλ' ἔτι πρὸς τὴν γῆν ὁρᾷς, καὶ χρημάτων ἐρᾷς, καὶ πρὸς χρυσὸν ἐπτόησαι; καὶ τίνα ἂν σχοίης συγγνώμην; ποίαν ἀπολογίαν; οὐκ οἶσθα πῶς ἅπασαν τὴν βιωτικὴν πολυτέλειαν ἀποστρέφεταί σου ὁ δεσπότης; οὐ διὰ τοῦτο ἐν φάτνῃ ἐτέθη τεχθείς, καὶ μητέρα ἔλαβεν εὐτελῆ; οὐ διὰ τοῦτο ἐκείνῳ τῷ πρὸς καπηλείαν βλέποντι ἔλεγεν· Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ; τί δαὶ οἱ μαθηταί; οὐ τὸν αὐτὸν διετήρουν νόμον εἰς τὰς τῶν πενήτων οἰκίας καταγόμενοι; καὶ ὁ μὲν πρὸς βυρσέα, ὁ δὲ πρὸς σκηνορράφον κατέλυον; οὐ γὰρ οἰκίας [illegible], ἀλλὰ ψυχῶν ἀρετὰς ἐπεζήτουν. τούτους τοίνυν καὶ ἡμεῖς ζηλώσωμεν, τὰ μὲν κάλλη τῶν κιόνων καὶ τῶν μαρμάρων παρατρέχοντες, ζητοῦντες δὲ τὰς ἄνω μονάς, καὶ πάντα τῦφον τὸν ἐνταῦθα πατήσωμεν μετὰ τῆς τῶν χρημάτων ἐπιθυμίας, καὶ ὑψηλὸν λάβωμεν φρόνημα. ἂν γὰρ νήφωμεν, οὐδὲ ὁ κόσμος ἡμῶν οὗτος ἄξιος, μήτιγε στοαὶ καὶ περίπατοι. διό, παρακαλῶ, τὴν ψυχὴν τὴν ἑαυτῶν καλλωπίζωμεν, ἣν καὶ λαβόντες ἀπελευσόμεθα, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν σκηνῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν

Ματθ. η. κ.

ΤΟΥ ΑΥΤΟΥ ΛΟΓΟΣ ΠΕΡΙ ΓΥΝΑΙΚΩΝ καὶ κάλλους.

ΟἹ γυναῖκας ἄγεσθαι μέλλοντες, τὰ παρὰ τῷ Παύλῳ περὶ γάμων κειμένους ἀναγινωσκέτωσαν πρότερον νόμους, κἀκεῖθεν μανθανέτωσαν τί δεῖ ποιεῖν, ὅταν πονηρὰ, καὶ λοίδορος, καὶ μανίας γέμουσα, καὶ ὁποίαν ἄλλο τὴν τοιοῦτον ἔχουσα τύχῃ γυνή. ἂν τοίνυν ἴδῃς ὅτι σοι δίδωσιν ἐξουσίαν ἐπὶ τούτων τῶν ἐλαττωμάτων εὑρόντα ἐκβάλλειν μὲν ἐκείνην, εἰσάγειν δὲ ἑτέραν, ὡς πάντως ἀπηλλαγμένος κινδύνου θάῤῥει· ἂν δὲ τοῦτο μὲν μὴ ἐπιτρέπῃ, κελεύῃ δὲ πλὴν πορνείας πάντα τὰ ἄλλα ἐλαττώματα ἔχουσαν στέργειν, οὕτως ἀσφάλισον σεαυτὸν, ὡς μέλλων ἅπασαν φέρειν αὐτῆς τὴν πονηρίαν. Εἰ δὲ βαρὺ τοῦτο καὶ φορτικὸν, πάντα ποίει καὶ πραγματεύου, ὥστε χρηστὴν καὶ ἐπιεικῆ καὶ πειθήνιον γυναῖκα λαβεῖν.

Ἐκ τοῦ λογ. τοῦ ποίας δεῖ ἄγεσθαι γυναῖκας

Εἰ γὰρ οἰκίας ὠνεῖσθαι μέλλοντες καὶ οἰκέτας, περιεργαζόμεθα καὶ πολυπραγμονοῦμεν, τούς τε πωλοῦντας, τούς τε ἔμπροσθεν κτησαμένους, τῶν μὲν τὴν κατασκευὴν, τῶν δὲ καὶ τὴν τοῦ σώματος ἕξιν καὶ τὴν τῆς ψυχῆς προαίρεσιν· πολλῷ μᾶλλον γυναῖκας ἄγεσθαι μέλλοντες πρότερον τοσαύτην καὶ πολλὰ πλείονα ἐπιδείκνυσθαι χρή. οἰκίαν μὲν γὰρ φαύλην οὖσαν ἀποδόσθαι πάλιν ἔξεστι, καὶ οἰκέτην σκαιὸν φανέντα ἀποδοῦναι τῷ πεπρακότι πάλιν ἔνι· γυναῖκα δὲ λαμβάνοντα ἀποδοῦναι τοῖς δεδωκόσι πάλιν οὐκ ἔνι. δεινὸν οὖν πενιχροτέραν λαβεῖν γυναῖκα, δεινὸν εὐπορωτέραν. τὸ μὲν γὰρ εἰς τὴν οὐσίαν ἔβλαψε, τὸ δὲ εἰς αὐθεντίαν καὶ ἐλευθερίαν τὸν ἄνδρα. καὶ πολλοὶ τῶν πόρναις προσεχόντων, οὐ τῆς αἰωνίου καὶ ἀθανάτου μόνον ἐκείνης ἀπέστησαν, ἀλλὰ καὶ ἐνταῦθα κακοὶ κακῶς ἀπώλοντο, περιεργίας ὑπομείναντες ὑπὸ τῶν πορνευομένων γυναικῶν. φιλονεικοῦσαι γὰρ ἐκεῖναι τῷ αὐτῶν ἔρωτι προσδῆσαι πλέον τὸν ταύταις προσέχοντα, μαγγανείας ἐκίνησαν, καὶ φίλτρα κατεσκεύασαν, καὶ πολλὰς γοητείας ἔρραψαν· εἶτα οὕτως αὐτὸν εἰς ἀῤῥωστίαν ἐμβαλοῦσαι χαλεπὴν, καὶ φθορᾷ παραδοῦσαι, καὶ τηκεδόνι μακρᾷ, καὶ μυρίοις περιβαλοῦσαι κακοῖς ἀπενέγκαι τῆς παρούσης ζωῆς. Εἰ τοίνυν μὴ φοβῇ τὴν γέενναν, ἄνθρωπε, κἂν τὰς γοητείας αὐτῶν φοβήθητι. ὅταν γὰρ σαυτὸν διὰ τῆς ἀσελγείας ταύτης ἔρημον ποιήσῃς τῆς τοῦ Θεοῦ συμμαχίας, καὶ γυμνώσῃς σαυτὸν τῆς ἄνωθεν βοηθείας, λαβοῦσά σε μετὰ ἀδείας ἡ πόρνη, καὶ τοὺς αὐτῆς καλέσασα δαίμονας, καὶ τὰ πέταλα γράψασα, καὶ τὰς ἐπιβουλὰς ἐργασαμένη, μετὰ πολλῆς τῆς εὐκολίας περιγίνεταί σου τῆς σωτηρίας, ὄνειδός σε καὶ γέλωτα τῶν τὴν πόλιν οἰκούντων ἁπάντων καταστήσασα. Εἰ τοίνυν βούλει ψυχαγωγεῖσθαι, μὴ εἰς θέατρα βάδιζε, ἀλλ' εἰς παραδείσους, ἐπὶ παραῤῥέοντα ποταμὸν καὶ λίμνας. καταμάνθανε κήπους, ἄκουε τεττίγων ᾀδόντων, ἐπιχωρίαζε σηκοῖς μαρτύρων, ὅπου σώματος ὑγίεια καὶ ψυχῆς ὠφέλεια, καὶ βλάβος οὐδέν. ἔχεις γυναῖκα; ἔχεις παιδία; τί ταύτης τῆς ἡδονῆς ἴσον; ἔχεις οἰκίαν; ἔχεις φίλους; ταῦτα πολὺ τερπνὰ, μετὰ τῆς σωφροσύνης καὶ τὸ κέρδος παρέχοντα. τί γὰρ παίδων γλυκύτερον, εἰπέ μοι; τί δὲ γυναικὸς τῷ σωφρονεῖν βουλομένῳ; λέγεται γοῦν βαρβάρους ποτὲ εἰπεῖν ῥῆμα φιλοσοφίας γέμον. περὶ γὰρ τῶν θεάτρων τούτων ἀκούσαντες τῶν παρανόμων, καὶ τῆς ἀκαίρου τέρψεως, Ῥωμαῖοι, φασιν, ὡς οὐκ ἔχοντες παιδία καὶ γυναῖκας, οὕτω τοιαύτας ἐπενόησαν ἡδονάς. ὅταν οὖν ἴδῃς γυναῖκα εὔμορφον, λάμποντα ἔχουσαν ὀφθαλμὸν, φαιδρὸν στίλβουσαν ἀπὸ τῆς ὄψεως, ἀμήχανόν τινα ὥραν ἐπὶ τῆς ὄψεως φέρουσαν, φλέγουσάν σου τὸν λογισμὸν, καὶ τὴν ἐπιθυμίαν αὔξουσαν· ἐννόησον ὅτι γῆ τὸ θαυμαζόμενον, ὅτι σποδὸς τὸ ἐκκαῖον, καὶ παύσεται λυττῶσα ἡ ψυχή. ἀνακάλυψον αὐτοῦ τὸ δέρμα τῆς ὄψεως, καὶ τότε πᾶσαν ὄψει τῆς εὐμορφίας τὴν εὐτέλειαν. μὴ στῇς μέχρι τῆς ἐπιφανείας, ἀλλ' ἐνδοτέρω διάβηθι τῷ λογισμῷ, καὶ οὐδὲν ἕτερον εὑρήσεις, ἀλλ' ἢ ὀστᾶ καὶ νεῦρα καὶ φλέβας. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; λόγισαί μοι ταύτην ἀλλοιουμένην, γηράσκουσαν, ἀῤῥωστοῦσαν, ὑφιζάνοντας ὀφθαλμοὺς, καὶ κοιλαινομένας παρειὰς, ἅπαν καταῤῥέον τὸ ἄνθος ἐκεῖνο. ἐννόησον,

Ἐκ τοῦ αὐτοῦ

τί θαυμάζεις, καὶ αἰσχύνθητί σου τὴν κρίσιν. πηλὸν θαυμάζεις καὶ σποδὸν, καὶ κόνις σε ἐκπλήττει
καὶ τέφρα. Ἡ γὰρ τοῦ βλεπομένου κάλλους ὑπόστασις, οὐδὲν ἕτερόν ἐστιν, ἢ φλέγμα, καὶ
ῥεῦμα, καὶ αἷμα, καὶ τροφῆς διαμασηθείσης χυλός. τούτοις γὰρ καὶ ὀφθαλμοὶ καὶ παρειαὶ, καὶ τὰ
λοιπὰ πάντα ἄρδεται· κἂν μὴ καθ' ἑκάστην ἡμέραν δέξηται τὴν ἀρδείαν ἐκείνην, ἀπὸ
τῆς γαστρὸς καὶ τοῦ ἥπατος ἀνιοῦσαν, τοῦ δέρματος παρὰ τὸ προσῆκον ὑφιζάνοντος, τῶν τε ὀ-
φθαλμῶν κοιλαινομένων, εὐθέως ἅπασα ἀφίπταται ἡ τῆς ὄψεως ὥρα. ὥστε ἂν ἐννοήσῃς τί μὲν
τῶν καλῶν ἔνδον ἀπόκειται τῶν ὀφθαλμῶν, τί δὲ τῆς εὐθείας ῥινὸς, τί δὲ τοῦ στόματος καὶ τῶν
παρειῶν, οὐδὲν ἕτερον ἢ τάφον κεκονιαμένον εἶναι φήσεις τοῦ σώματος τὴν εὐμορφίαν· τοσαύ-
της ἔνδον ἀκαθαρσίας ἐστὶ μεστά. Εἶτα ῥάκος μὲν ἰδὼν ἔχον τι τοιοῦτον, οἷον ἢ φλέγμα, ἢ
σίελον, οὐδὲ ἄκροις ψαῦσαι τοῖς δακτύλοις ὑπομένεις, ἀλλ' οὐδὲ ἰδεῖν ἀνέχῃ· πρὸς δὲ
τὰ ταμεῖα τούτων καὶ τὰς ἀποθήκας ἐπτόησαι; Ὁ τοίνυν φιλοσώματος καὶ περὶ κόρην
ἐπτοημένος εὔμορφον, εἰ βούλοιτο μαθεῖν τῷ λόγῳ τὸ εἰδεχθὲς τῆς οὐσίας, δι' αὐτῆς αὐ-
τῆς τῆς ὄψεως εἴσεται. καὶ γὰρ πολλαὶ τῆς ἐρωμένης ὁμήλικες, πολλάκις δὲ καὶ λαμπρότε-
ραι ἀποθανοῦσαι, μετὰ μίαν καὶ δευτέραν ἡμέραν δυσωδίαν παρέχουσι καὶ ἰχῶρα, καὶ ση-
πεδόνα σκωλήκων. ἐννόησον τοίνυν οἷον κάλλος φιλεῖς, ἄνθρωπε, καὶ πρὸς ποίαν εὐμορ-
φίαν ἐπτόησαι. τίς γὰρ ἀρετὴ ὀφθαλμῶν; ἆρα τὸ ὑγροὺς εἶναι καὶ εὐστρόφους καὶ στρογγύ-
λους, καὶ κυανοῦς· ἢ τὸ ὀξεῖς καὶ διορατικούς; καὶ τίς ἀρετὴ λύχνου; τὸ λαμπρῶς φαίνειν καὶ
πᾶσαν καταυγάζειν τὴν οἰκίαν, ἢ τὸ καλῶς πεπλάσθαι; οὐ γὰρ ἀπὸ τῆς διαπλάσεως,
ἀλλ' ἀπὸ τῶν τρόπων καὶ τῆς κοσμιότητος τὸ κάλλος χαρακτηρίζεται. διὰ γὰρ τοῦτο τὸν
ἀκολάστως εἰς γυναῖκα ὁρῶντα ἐκόλασεν ὁ Χριστὸς, ἵνα τοῦ πλείονος ἡμᾶς ἀπαλλάξῃ
πόνου. οὐ γὰρ τοσοῦτος πόνος τὸ μὴ ὁρᾶν γυναῖκας ὡραίας, ὅσος ὁρῶντας κατέχειν. ὁ μὲν γὰρ
μὴ ἰδὼν τὴν εὔμορφον ὄψιν, καὶ τῆς ἐπιθυμίας ἔσται τῆς ἐντεῦθεν καθαρός· ὁ δὲ ἐπιθυμή-
σας ἰδεῖν, πρότερον καταβαλὼν τὸν λογισμὸν, καὶ μολύνας αὐτὸν μυριάκις, τότε τὴν ἀπὸ
τῆς ἐπιθυμίας ἐκβάλλει κηλῖδα, ἐὰν ἐκβάλλῃ ἄρα. ὅταν οὖν καὶ ὁ πόνος ἐκείνοις τοῖς
ἀκολάστοις ἐλάττων ᾖ, καὶ τὸ κέρδος μεῖζον, τί σπουδάζομεν εἰς τὸ πέλαγος τῶν μυρίων ἐκεί-
νων κακῶν ἐμπεσεῖν; ὅταν οὖν ἴδῃς γυναῖκα καλὴν, καὶ πάθῃς τι πρὸς αὐτὴν, μηκέτι ἴ-
δῃς, καὶ ἀπηλλάγης. καὶ πῶς δυνήσομαι μηκέτι ἰδεῖν ὑπὸ τῆς ἐπιθυμίας ἑλκόμενος,
φησίν; ἂν ἐννοήσῃς, ὅτι οὐδὲν ἕτερόν ἐστι τὸ ὁρώμενον, ἢ φλέγμα, καὶ αἷμα, καὶ τροφῆς διασε-
σηπυίας χυλός. ἀλλὰ φαιδρὸν τὸ ἄνθος τῆς ὄψεως, φησίν. ἀλλ' οὐδὲν τῶν ἀνθέων τῶν
ἐπὶ τῆς γῆς φαιδρότερον, ἀλλὰ καὶ ταῦτα σήπεται καὶ μαραίνεται. μὴ τοίνυν μηδὲ ἐνταῦ-
θα τῷ ἄνθει πρόσεχε, ἀλλ' ἐνδοτέρω διάβηθι τῇ διανοίᾳ, καὶ τὸ δέρμα τὸ καλὸν ἐκεῖνο
περιελὼν τῷ λογισμῷ, περιεργάζου τὰ ὑπὸ τοῦτο κείμενα. ἐπεὶ καὶ τὸ τῶν ὑδεριώντων
σῶμα, ἀποστίλβει λαμπρὸν, καὶ οὐδὲν ἡ ἐπιφάνεια φαῦλον ἔχει, ἀλλὰ τῇ ἐννοίᾳ τοῦ ἔν-
δον ἀποκειμένου χυμοῦ πληττόμενοι φιλεῖν τοὺς τοιούτους οὐ δυνάμεθα. Ὅταν δὲ ἀνὴρ
ἐκβαλεῖν βούληται γυναῖκα, ἢ ἡ γυνὴ τὸν ἄνδρα ἀφεῖναι, ταύτης ἀναμιμνησκέσθω τῆς
ῥήσεως, καὶ τὸν Παῦλον νομιζέτω παρεῖναι, καὶ καταδιώκειν αὐτὴν, βοῶντα καὶ λέγοντα·
Γυνὴ δέδεται νόμῳ, ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς. Τοῦτο γοῦν δηλῶν, οὐ προσέθη-
κεν, ὅτι ἐὰν δὲ τελευτήσῃ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστίν, ἀλλ', ἐὰν δὲ κοιμηθῇ, μονονουχὶ πα-
ραμυθούμενος τὴν ἐν χηρείᾳ, καὶ πείθων μένειν ἐπὶ τῷ προτέρῳ, καὶ μὴ δεύτερον εἰσ-
αγαγεῖν νυμφίον. οὐκ ἐτελεύτησέ σου, φησὶν, ὁ ἀνὴρ, ἀλλὰ καθεύδει. τίς δὲ τὸν καθεύδοντα
οὐκ ἀναμένει; ἐλευθέραν δὲ αὐτὴν μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν γεγενῆσθαι λέγων, ἔ-
δειξεν ὅτι πρὸ τούτου δούλη ἦν ζῶντος ἐκείνου. Δούλη δὲ οὖσα καὶ ὑποκειμένη τῷ νόμῳ,
κἂν μυριάκις βιβλίον ἀποστασίου λάβῃ, καὶ τὰ τῶν παρὰ τοῖς ἔξωθεν κειμένοις νόμοις τῷ
τῆς μοιχείας ἁλίσκεται νόμῳ. οὐ γὰρ δὴ κατὰ τούτους σοι μέλλει κρίνειν τοὺς νόμους ὁ Θεὸς

Εκ τοῦ β΄ λόγ. εἰς Θεόδωρον ἔκπτωτ.

Εκ τοῦ λόγ. τοῦ εἰς τὸ, Γυνὴ δέδεται νόμῳ.

α Κορ. ζ. λθ.

Εκ τοῦ αὐτοῦ.

Εκ τοῦ αὐτοῦ.

ἐν

ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀλλὰ καθ' οὓς αὐτὸς ἔθηκε. καὶ γὰρ τῶν ἔξωθεν οἱ νόμοι οὐχ ἁπλῶς τοῦτο τεθείκασιν, ἀλλὰ καὶ αὐτοὶ κολάζουσι τὸ πρᾶγμα, καὶ ἀηδῶς πρὸς ταύτην ἔχουσι τὴν ἁμαρτίαν. ὅθεν γὰρ ἂν γένηται τῆς διαλύσεως ἡ πρόφασις, τῇ ζημίᾳ τῆς οὐσίας κολάζουσι, γυμνοὺς καὶ χρημάτων ἐρήμους ἐκεῖθεν τούτους ἐκβάλλοντες. λέγεταί τις τῶν ἔξωθεν φιλοσόφων, μοχθηρὰν ἔχων γυναῖκα καὶ φλύαρον καὶ πάροινον, πρὸς τοὺς ἐρωτῶντας, τίνος ἕνεκεν τοιαύτην ἔχων ἀνέχεται, εἰπεῖν, Ὥστε γυμνάσιον καὶ παλαίστραν ἐπὶ τῆς οἰκίας. ἔσομαι γὰρ τοῖς λοιποῖς πρᾳότερος, φησιν, ἐν ταύτῃ παιδευόμενος καθ' ἑκάστην τὴν ἡμέραν. ὁ μὲν οὖν φιλόσοφος λέγεται διὰ τοῦτο πονηρὰν ἔχων γυναῖκα μὴ ἐκβαλεῖν· τινὲς δὲ καὶ διὰ τοῦτο ἀγαγέσθαι αὐτὸν αὐτὴν λέγουσιν. ὅταν οὖν Ἕλληνες ἡμῶν ὦσι φιλοσοφώτεροι, ποίαν ἕξομεν ἀπολογίαν, ταύτην ὑβρίζοντες, δι' ἣν καὶ τοὺς γεγεννηκότας ὁ Θεὸς ἀφεῖναι ἐκέλευσε; Ποῖος δὲ λόγος τοιαύτην αἰσχύνην παραστῆσαι δυνήσεται, ὅταν ὀλολυγαὶ καὶ κωκυτοὶ κατὰ τοὺς στενωποὺς φέρωνται, καὶ δρόμος ἐπὶ τὴν οἰκίαν τοῦ ταῦτα ἀσχημονοῦντος, καὶ τῶν γειτόνων, καὶ τῶν παριόντων, καθάπερ θηρίου τινὸς τὰ ἔνδον λυμαινομένου; βέλτιον διαστῆναι τὴν γῆν τῷ τὰ τοιαῦτα παροινοῦντι, ἢ ἐπ' ἀγορᾶς αὐτὸν ὀφθῆναι λοιπόν. Πειθώμεθα δὴ τῷ τοῦ Θεοῦ νόμῳ, καὶ μήτε τὰς ἑαυτῶν γυναῖκας ἐκβάλλωμεν, μήτε τὰς ὑπὸ ἑτέρων ἐκβληθείσας δεχώμεθα. ποίῳ γὰρ ὄψει προσώπῳ τὸν ἄνδρα τῆς γυναικός; ποίοις ὀφθαλμοῖς τοὺς φίλους τοὺς ἐκείνου, τοὺς οἰκέτας; εἰ γὰρ τελευτήσαντός τινος τὴν γυναῖκά τις τὴν ἐκείνου λαβών, εἶτα τὴν εἰκόνα μόνην ἀνακειμένην ἰδών, ἔπαθέ τι καὶ ἐδυσχέρανεν· ὁ ζῶντα τὸν ἄνδρα ὁρῶν τῆς αὐτῷ συνοικούσης, ποῖον βιώσεται βίον, πῶς οἴκαδε εἰσελεύσεται, μετὰ ποίας γνώμης, μετὰ ποίων ὀφθαλμῶν ὄψεται τὴν ἐκείνου γυναῖκα τὴν αὐτοῦ; μᾶλλον δὲ οὔτε ἐκείνου, οὔτε αὐτοῦ δικαίως ἄν τις τὴν τοιαύτην προσείποι. ἡ γὰρ μοιχαλὶς οὐδενός ἐστι γυνή. καὶ γὰρ τὰς πρὸς ἐκεῖνον συνθήκας ἐπάτησε, καὶ πρὸς σὲ μετὰ τῶν προσηκόντων νόμων οὐκ ἦλθε. πόσης οὐκ ἂν εἴη παρανοίας, πρᾶγμα τοσούτων γέμον κακῶν εἰς τὴν οἰκίαν εἰσάγειν; μὴ γὰρ σπάνις ἐστὶ γυναικῶν, ὅτι τοσοῦτον ὄλεθρον ἕλκεις ἐπὶ τὴν σαυτοῦ κεφαλήν; Ἡ γὰρ τῷ προτέρῳ ἀνδρὶ ἀρκεσθεῖσα γυνή, ἔδειξεν ὅτι οὐδ' ἂν τοῦτον εἵλετο τὴν ἀρχήν, εἰ τοῦ πράγματος ᾔδει τὴν πεῖραν καλῶς. ἡ δὲ δευτέρῳ ἐπεισαγαγοῦσα νυμφίον τῇ τοῦ προτέρου εὐνῇ, τῆς πολλῆς περὶ τὸν κόσμον φιλίας, καὶ πρὸς τὰ γήϊνα πράγματα συμπαθείας τεκμήριον ἐξενήνοχεν οὐ μικρόν. κἀκείνη μέν, οὔτε ζῶντος τοῦ ἀνδρός, πρὸς ἕτερόν τινα ἐπτόητο· αὕτη δὲ εἰ καὶ μὴ ἥμαρτεν εἰς ἑτέρους ζῶντος ἐκείνου, ἀλλ' ἐκείνου μᾶλλον πολλοὺς ἑτέρους ἐθαύμασε. Καὶ οὔτε τὸν πρῶτον, οὔτε τὸν δεύτερον ἔχει ἐν τάξει τῆς οἰκείας σαρκός. ὁ μὲν γὰρ πρῶτος ἐκβέβληται παρὰ τοῦ δευτέρου, ὁ δεύτερος δὲ ὑπ' ἐκείνου· καὶ οὔτε τοῦ προτέρου μεμνῆσθαι δύναιτ' ἂν καλῶς τῷ ἑτέρῳ μετ' ἐκεῖνον προσέχουσαν, οὔτε τοῦτον μετὰ τῆς προσηκούσης φιλοστοργίας ὄψεται, χρηματιζομένης εἰς τὸν ἀπελθόντα τῆς διανοίας αὐτῆς. Ὥσπερ γὰρ τοῖς πράγμασι τότε μάλιστα ἐπιμένειν εἰώθαμεν, ὅταν προοιμίων πειραθῶμεν καλῶν· ὅταν δὲ ἐξ ἀρχῆς, καὶ ἀπ' αὐτῆς, ὡς ἂν εἴποι τις, τῆς γραμμῆς, χαλεπῶν καὶ δυσκόλων αἰσθώμεθα, ταχέως ἀνακρουόμεθα, τῆς προαιρέσεως σβεννυμένης ἡμῖν· οὕτω δὴ καὶ αἱ τὰς ἀώρους ὑπομένουσαι χηρείας γυναῖκες, εἰκότως ἂν τοῦ δευτέρου γάμου ἀπέχοιντο. ἡ μὲν γὰρ πολὺν τοῖς πράγμασι συγγινομένη χρόνον καὶ ἐμπλησθεῖσα καλῶς, ὡς τῶν αὐτῶν τευξομένη, τῶν ἴσων ἅψεται πάλιν· ἡ δὲ προοιμίων οὕτω χαλεπῶν πειραθεῖσα, ποίᾳ προαιρέσει καὶ ἐλπίδι πρὸς τὴν πεῖραν ἥξει τῶν χαλεπῶν; Εἰ γὰρ τὰς ἔτι περιόντων ἀπεχομένας τῶν ἀνδρῶν γυναῖκας θαυμάζομεν ἅπαντες καὶ ἀποδεχόμεθα· τὰς καὶ ἀπελθόντων τὴν αὐτὴν περὶ αὐτοὺς ἐπιδεικνυμένας εὔνοιαν, πῶς οὐκ ἐκπλήττεσθαι δεῖ καὶ ἐπαινεῖν; οὐ τοίνυν ἐκβάλλομεν δεύτερον γάμον,

Ἐκ τῆς ὁμιλ. κς. εἰς τὴν πρὸς Κορ. α' ἐπισ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, Γυνὴ δέδεται νόμῳ.

Ἐκ τοῦ β. λόγ. πρὸς νεωτέραν χηρεύσασαν.

Ἐκ τοῦ αὐτοῦ.

Ἐκ τοῦ αὐτοῦ.

τοιούτων

ἀλλὰ παραινοῦμεν, εἴ τις δύναται σωφρονεῖν, ἐπὶ τῷ προτέρῳ μένειν. μάχης γὰρ πολλάκις καὶ πολέμων καθημερινῶν ὁ δεύτερος γάμος ἀρχὴ καὶ πρόφασις γίνεται. πολλάκις γοῦν ἀνὴρ ἐπὶ τῆς τραπέζης καθήμενος, τῆς προτέρας γυναικὸς ἀναμνησθεὶς, ἐπὶ τῆς δευτέρας ἐδάκρυσεν ἠρέμα· ἡ δὲ εὐθέως ἠγρίαινε, καὶ καθάπερ θηρίον ἐπεπήδησε, τῆς φιλοστοργίας αὐτὸν τῆς πρὸς ἐκείνην ἀπαιτοῦσα δίκην. κἂν ἐπαινέσαι τὴν ἀπελθοῦσαν ἐθελήσῃ, γέγονε πολέμου καὶ μάχης πρόφασις ἡ τῶν ἐγκωμίων ὑπόθεσις· καὶ πρὸς μὲν τοὺς ἐχθροὺς ἀπελθόντας σπενδόμεθα, καὶ μετὰ τὴν ζωὴν αὐτὴν τὴν πρὸς αὐτοὺς καταλυόμεθα ἔχθραν· ἐπὶ δὲ τῶν γυναικῶν τοὐναντίον ἅπαν. ἣν γὰρ οὐκ εἶδεν, ἧς οὐκ ἤκουσε, παρ' ἧς οὐδὲν ἔπαθε δεινὸν, ταύτην μισεῖ καὶ ἀποστρέφεται, καὶ οὐδὲ ὁ θάνατος τὸ μῖσος σβέννυσι. τίς εἶδε, τίς ἤκουσε ζηλοτυπουμένην κόνιν, καὶ πολεμουμένην τέφραν; ἀλλ' οὐ μέχρι τούτου τὸ δεινὸν, ἀλλὰ κἂν γεννῶνται παῖδες ἐκ τῆς δευτέρας, κἂν μὴ γεννῶνται, πόλεμος πάλιν καὶ μάχη. μὴ γεννωμένων μὲν γὰρ ὀδυνᾶται μειζόνως, καὶ καθάπερ πολεμίους καὶ τὰ μέγιστα ἠδικηκότας τοὺς τῆς προτέρας ὁρᾷ, διὰ τῆς ἐκείνων ζωῆς, τῆς οἰκείας ἀπαιδίας σαφεστέραν λαμβάνουσα αἴσθησιν. ἂν δὲ γεννῶνται, πάλιν οὐκ ἔλαττον τὸ δεινόν. ὁ μὲν γὰρ ἀνὴρ πολλάκις φιλοστόργως πρὸς τὴν ἀπελθοῦσαν διακείμενος ἀντέχεται τούτων, φιλῶν τε ὁμοῦ καὶ ἐλεῶν τῆς ὀρφανίας αὐτούς· ἐκείνη δὲ πανταχοῦ τοὺς αὐτῆς προτιμᾶσθαι βούλεται. ἀκούσατε ἄνδρες, ἀκούσατε γυναῖκες φιλοστοργίαν συζύγων, ἣν πρὸς ἀλλήλους μέχρι κινδύνων αὐτῶν ἐπεδείξαντο. Μετὰ γὰρ τὸ κατοικῆσαι τὸν Ἀβραὰμ ἐν Γεράροις, εἶπε περὶ Σάῤῥας τῆς γυναικὸς αὐτοῦ, ἀδελφή μου ἐστίν. ἐφοβήθη γὰρ εἰπεῖν, ὅτι γυνή μου ἐστί, μήποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως δι' αὐτήν. καὶ ἀπέστειλεν Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων, καὶ ἔλαβε τὴν Σάῤῥαν.

Γεν. κ. α.

Ἐννόησόν μοι τὸν χειμῶνα τῶν λογισμῶν, ὃν ὑπέμενεν ὁ δίκαιος, ὁρῶν αὐτοῦ τὴν γυναῖκα ἀπαγομένην, καὶ οὐδὲν δυνάμενος ἐπαμῦναι. σιγῇ γὰρ ἅπαντα ἔφερεν, εἰδὼς ὅτι οὐ περιόψεται αὐτὸν ὁ δεσπότης, ἀλλὰ ταχέως παρέξει τὴν συμμαχίαν. καὶ τῆς Σάῤῥας δὲ θαυμάσαι ἐστὶ τὴν πολλὴν φιλοστοργίαν, ἣν, ἵνα τοῦ κινδύνου τὸν δίκαιον ἐξαρπάσῃ, ἐπεδείξατο. ἐξὸν γὰρ αὐτὴν ἐκκαλύψασαν τὸ δρᾶμα, διαφυγεῖν τὴν ὡμολογημένην ὕβριν· ἀλλ' ὑπέμεινεν ἅπαντα γενναίως, ἵνα τὴν σωτηρίαν τῷ δικαίῳ πραγματεύσηται· καὶ ἐπληροῦτο ἐκεῖνο τὸ εἰρημένον, ὅτι ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ὥσπερ γὰρ μία σὰρξ ὄντες, οὕτω τῆς ἀλλήλων σωτηρίας ἐκήδοντο, καὶ τοσαύτην ἐπεδείκνυντο τὴν ὁμόνοιαν, ὡς ἓν σῶμα τυγχάνοντες καὶ μία ψυχή. Ταῦτα ἀκουέτωσαν ἄνδρες, ἀκουέτωσαν γυναῖκες, ἵνα καὶ αὗται τοσαύτην περὶ τοὺς ἄνδρας φιλοστοργίαν ἐπιδείκνυνται, καὶ οὗτοι οὕτω πολλὴν τὴν περὶ αὐτὰς εὔνοιαν ἔχωσι, καὶ ὡς μίαν ψυχὴν κεκτημένοι, καὶ ἓν σῶμα ὄντες, οὕτω πάντα διαπράττωνται. Καὶ εἰσῆλθεν ὁ Θεὸς πρὸς Ἀβιμέλεχ τὴν νύκτα, καὶ εἶπεν· ἰδοὺ ἀποθνήσκεις περὶ τῆς γυναικὸς, ἧς ἔλαβες· αὕτη δέ ἐστι συνῳκηκυῖα ἀνδρί. ὅρα Θεοῦ φιλανθρωπίαν. ἐπειδὴ εἶδε τὸν δίκαιον διὰ τοῦ θανάτου φόβον γενναίως τῆς Σάῤῥας ἐνεγκόντα τὴν ἀφαίρεσιν, καὶ τὸν βασιλέα ὡς ἀδελφὴν τοῦ δικαίου οὕτως αὐτὴν ἀγόμενον, λοιπὸν τὴν οἰκείαν πρόνοιαν ἐπιδείκνυται, ὁμοῦ καὶ τὸν δίκαιον περιφανέστερον ἀποδεικνὺς, καὶ τὴν Σάῤῥαν τῆς ὕβρεως ἐλευθερῶν, καὶ τὸν βασιλέα ἀπαλλάττων τῆς παρανομίας. Ἀβιμέλεχ δέ, φησιν, οὐχ ἥψατο αὐτῆς, ἀλλὰ καὶ ἀπολογεῖται ὑπὲρ τοῦ τολμήματος, καί φησι· Κύριε, ἔθνος δίκαιον καὶ ἀγνοοῦν ἀπολεῖς; μὴ γὰρ εἰδὼς γυναῖκα αὐτοῦ τοῦτο πεποίηκα; μὴ γὰρ ἀδικῆσαι βουλόμενος τὸν ξένον; μὴ γὰρ ὡς γυναῖκα ἀφαιρούμενος; ὡς ἀδελφὴν μέλλων λαμβάνειν τοῦτο διεπραξάμην, νομίζων καὶ ταύτῃ τιμήσειν αὐτόν. οὐκ αὐτός μοι εἶπεν, ὅτι ἀδελφή μου ἐστί, καὶ αὕτη μοι εἶπεν, ὅτι ἀδελφός μου ἐστί; τί οὖν ὁ φιλάνθρωπος δεσπότης; Κἀγὼ ἔγνων, ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο, ὅτι αὐτοὶ τοῦτο τὸ δρᾶμα κατεσκεύασαν, καὶ ὅτι ἀπατηθεὶς τοῖς παρ' αὐτῶν λεγομένοις, τοῦτο πεποίηκας;

Marginal notes: Ἐκ τῆς λίν. μεἰς τὴν γλῶτταν. — Γεν. β. κδ. — Γεν. κ. γ. — Γεν. κ. δ. — Γεν. κ. ϛ. — χ. ἰχῶ

πεποίηκας· καὶ διὰ τοῦτο, ἵνα μὴ διὰ τὴν ἀπάτην ἐκείνων ἁμάρτῃς, ἐφεισάμην τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ. μὴ δὴ ἁπλῶς, ὡς ἑνὶ τῶν τυχόντων, προσέσχες τῷ ἀνδρί, ἀλλὰ μάνθανε ὅτι τῶν ἐμοὶ περισπουδάστων ἐστί, καὶ τῶν πολλὴν ἐχόντων πρὸς ἐμὲ τὴν οἰκείωσιν. Ἀπόδος τοίνυν τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστί, καὶ προσεύξεται περὶ σοῦ, καὶ ζήσῃ. ἐκεῖνος μὲν γὰρ δεδοικὼς τὸν παρὰ σοῦ θάνατον, τὸ δρᾶμα τοῦτο παρεσκεύασε, καὶ μονονουχὶ συνέπραξε πρὸς τὴν τῆς Σάῤῥας ὕβριν. γίνωσκε δέ, ὅτι αἱ παρ' ἐκείνου προσευχαὶ τὴν ζωήν σοι παρέξουσιν. Εἰ δὲ μὴ ἀποδῷς, γνῶθι ὅτι ἀποθανῇ σύ, καὶ πάντα τὰ σά. οὐ μόνον γὰρ αὐτὸς τῆς παρακοῆς ὑφέξεις τὴν τιμωρίαν, ἀλλὰ καὶ πάντα τὰ σά. ἐγερθεὶς δὲ Ἀβιμέλεχ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ, καὶ ἐλάλησε πάντα τὰ ῥήματα εἰς τὰ ὦτα αὐτῶν· εἶτα ἐκάλεσε καὶ τὸν Ἀβραάμ. ἐννόει μοι μεθ' ὅσης λοιπὸν τῆς περιφανείας εἰσάγεται ὁ δίκαιος πρὸς τὸν βασιλέα· ὁ πρὸ μικροῦ εὐκαταφρόνητος νομιζόμενος καὶ οὐδὲν τούτων εἰδώς, ἐμάνθανε λοιπὸν παρ' αὐτοῦ τοῦ βασιλέως τὰ παρὰ τοῦ Θεοῦ δι' αὐτὸν εἰς ἐκεῖνον γεγενημένα. Εἶπε γὰρ αὐτῷ, τί τοῦτο ἐποίησας ἡμῖν; τί ἡμάρτομεν εἰς σέ, ὅτι ἐπήγαγες ἐπ' ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; μικροῦ γὰρ μέχρις ἐμοῦ, φησιν, εἶχε στῆναι τὰ τῆς τιμωρίας; πᾶσά μου ἡ βασιλεία ἄρδην ἔμελλεν ἀφανίζεσθαι ἐκ τῆς ἀπάτης τῆς παρὰ σοῦ γεγενημένης. τί οὖν ἐνιδὼν ἐποίησας τοῦτο; τίνος ἕνεκεν; τί ἐννοήσας; τί οὖν ὁ Ἀβραάμ; ἐναγώνιος, φησι, γέγονα, μήποτε διὰ τὸ ἐπὶ τῇ πλάνῃ ὑμᾶς κατέχεσθαι, οὐδεμίαν τοῦ δικαίου πρόνοιαν ποιῆσθε, καὶ μαθόντες αὐτὴν γυναῖκά μου γεγενῆσθαι, διὰ τὴν περὶ ταύτην ἐπιθυμίαν ἐμὲ ἀνελεῖν ἐπιχειρήσητε. μὴ οὖν νομίσητέ με καὶ οὕτως ἐψεῦσθαι. Καὶ γὰρ ἀδελφή μου ἐστὶν ἐκ τοῦ πατρός, ἀλλ' οὐκ ἐκ μητρός. ἐγενήθη δέ μοι εἰς γυναῖκα. μὴ τοίνυν καταγνῶτέ μου. εἰ γὰρ καὶ ὁ φόβος τοῦ θανάτου εἰς τὴν ἀνάγκην με ταύτην κατέστησε, καὶ τὸ δεδοικέναι μήποτε διὰ ταύτην ἐμὲ μὲν ἀποκτείνητε, ταύτην δὲ περιποιήσησθε, ἀλλ' ὅμως οὐδὲ οὕτως ἐστὶ ψεῦδος τὸ παρ' ἐμοῦ εἰρημένον. Ταῦτα εἰπὼν ὁ δίκαιος, καὶ τὸν θυμὸν τοῦ βασιλέως κατεμάλαξε, καὶ τὴν οἰκείαν ἀρετὴν ἐξεκάλυψε, καὶ ἀρκοῦσαν αὐτοῖς διδασκαλίαν θεοσεβείας ἐνέθηκεν. αἰδεσθεὶς τοίνυν ὁ βασιλεὺς τοῦ δικαίου τὴν πολλὴν ἐπιείκειαν, τῇ οἰκείᾳ φιλοτιμίᾳ ἀμείβεται τὸν πατριάρχην. Ἔλαβε γάρ, φησιν, Ἀβιμέλεχ χίλια δίδραχμα, καὶ πρόβατα, καὶ μόσχους, καὶ παῖδας καὶ παιδίσκας, καὶ ἀπέδωκεν αὐτῷ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ. Εἶδες τὴν εὐμήχανον τοῦ Θεοῦ σοφίαν; ὁ γὰρ περὶ τοῦ θανάτου δεδοικώς, καὶ πάντα ποιῶν ὥστε δυνηθῆναι τοῦτον διαφυγεῖν, οὐ μόνον τὸν θάνατον διέφυγεν, ἀλλὰ καὶ τοσαύτης ἠξίωται παῤῥησίας, καὶ περιφανὴς ἀθρόον γέγονε. τοιαῦτα γὰρ τὰ παρὰ τοῦ Θεοῦ· οὐ μόνον τῶν λυπηρῶν ἐλευθεροῖ τοὺς γενναίως ἀντέχειν πρὸς τοὺς ἐπιόντας πειρασμοὺς σπουδάζοντας, ἀλλὰ καὶ τοσαύτην ἐν αὐτοῖς τοῖς λυπηροῖς παρέχει τὴν εὐφροσύνην, ὡς καὶ λήθην αὐτῶν ἡμᾶς ἔχειν παντελῆ, καὶ ἐν πολλῇ γίνεσθαι τῇ τῶν ἀγαθῶν περιουσίᾳ· ὅπερ καὶ ἐπὶ τοῦ δικαίου τούτου γέγονεν. οὐ μόνον γὰρ τοῖς τοσούτοις δώροις αὐτὸν τιμᾷ, ἀλλὰ καὶ τὴν ἐξουσίαν αὐτῷ δίδωσι τῆς ἐν τῇ γῇ αὐτοῦ κατοικήσεως. Ἰδοὺ γάρ, φησιν, ἡ γῆ μου ἐνώπιόν σου ἐστίν· οὗ ἐάν σοι ἀρέσκῃ, κατοίκει. ἐπειδὴ γὰρ ἔμαθεν ὅτι δι' ἐκεῖνον καὶ τὰς ἐκείνου προσευχὰς ἡ ζωὴ αὐτῷ κεχάρισται, ὡς εὐεργέτην λοιπὸν καὶ κηδεμόνα, τὸν ξένον, τὸν ἀλήτην, τὸν οὐδαμόθεν γνώριμον, οὕτω θεραπεύειν ἐπείγεται. Καὶ ἐγένετο, ἡνίκα πρὸς ἔσχατον γῆρας ἤλασεν Ἀβραάμ, βουλόμενος τὸν Ἰσαὰκ τῆς τῶν Χαναναίων συγγενείας ἀπαλλάξαι, ἵνα μὴ ἐκεῖθεν ἀγάγηται γυναῖκα, καλέσας τῶν οἰκετῶν τὸν εὐνούστερον, ἐντέλλεται αὐτῷ περὶ τούτου· καί φησι, Θὲς τὴν χεῖρά σου ἐπὶ τὸν μηρόν μου, καὶ ἐξορκιῶ σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων Χαναναίων, μεθ' ὧν ἐγὼ κατοικῶ ἐν αὐτοῖς· ἀλλ' εἰς τὴν γῆν μου, οὗ ἐγεννήθην, πορεύσῃ, καὶ εἰς τὴν φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. Εἶδες τὴν ἐντολὴν τοῦ πατριάρχου τὴν πρὸς τὸν οἰκέτην

Margin notes: Γεν. κ. ζ. — Γεν. κ. ιϐ. — Γεν. κ. ιδ. — Γεν. κδ. β. — Ἐκ τῶν μη. λόγ. τῶν εἰς τὴν γένεσιν.

κέτην γινομένην; ἐννόησον ὅπως τὸ παλαιὸν ἐποιοῦντο σπουδὴν, οὐ χρημάτων ζητοῦν-
τες περιουσίαν, οὐ πολὺν πλοῦτον καὶ ἀνδράποδα καὶ πλέθρα γῆς τόσα καὶ τόσα, οὐ τὸ ἔξω-
θεν κάλλος τὴν εὐμορφίαν, ἀλλὰ τῆς ψυχῆς τὸ κάλλος ἐπεζήτουν, καὶ τρόπων εὐγένειαν. διὸ
ὁ μὲν πατριάρχης τῆς κατὰ ψυχὴν ἀρετῆς ἐπιμελούμενος, καὶ φεύγων τῶν ἐγχωρίων τὴν
πονηρίαν, τοῦτο ποιεῖ. οἱ δὲ νῦν ἅπαντες οὐκ ἄν ποτε ἀνάσχοιντο τοιοῦτόν τι ἐννοῆσαι, ἀλλὰ 5
κἂν μυρίων ᾖ κακῶν ἀνάμεστος, ἓν μόνον ἐπιζητοῦσι, τὴν χρημάτων τὴν περιουσίαν, καὶ τὰ
ἄλλα πάντα δεύτερα αὐτοῖς νενόμισται· οὐκ εἰδότες ὅτι γνώμης διεφθαρμένης οὔσης, κἂν
ἄφατος ἐπιῤῥέῃ πλοῦτος, θᾶττον αὐτοὺς εἰς ἐσχάτην πενίαν ἐπλυνήξει, καὶ οὐδὲν ὄφελος ἔσται τῆς

Γεν κδ.

περιουσίας, οὐκ οὔσης τῆς οἰκονομεῖν ταῦτα δυναμένης δεόντως ψυχῆς. Λαβὼν τοίνυν ὁ παῖς
τὰς καμήλους, καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ, ἀναστὰς ἐπορεύθη εἰς τὴν Με- 10
σοποταμίαν, εἰς τὴν πόλιν Ναχὼρ τοῦ ἀδελφοῦ Ἀβραὰμ, καὶ ἀνέπαυσε τὰς καμήλους ἔξω
τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος, καὶ εἶπε· Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραὰμ, εὐ-
όδωσον ἐναντίον μου σήμερον, καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ· καὶ ἰδοὺ ἐγὼ ἕστηκα
ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν οἰκούντων ἐκπορεύονται ἀντλῆσαι ὕδωρ, καὶ
ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, ἐπίκλινον τὴν ὑδρίαν σου ἵνα πίω, καὶ εἴπῃ μοι, πίε, καὶ 15
τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πᾶσαι πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου
Ἰσαὰκ, καὶ ἐν τούτῳ γνώσομαι, ὅτι ἐποίησας ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ. ὅρα τοῦ
οἰκέτου τὴν σύνεσιν. ἐπειδὴ γὰρ ᾔδει τοῦ πατριάρχου τὸ φιλόξενον, καὶ ὅτι τὴν κόρην τὴν
ἐκεῖ μέλλουσαν ἀπάγεσθαι, ὁμότροπον προσήκει εἶναι τῷ δικαίῳ, οὐδὲν ἕτερον τεκμήριον ἐ-
πιζητεῖ, ἀλλ' ἀπὸ τῆς γνώμης τὴν φιλοξενίαν χαρακτηρίσαι βούλεται τῆς κόρης, καὶ φη- 20
σιν· ἐὰν ἐμοῦ αἰτήσαντος παρ' αὐτῆς τὸ ὕδωρ, ἐπικλίνῃ μοι τὴν ὑδρίαν, καὶ μὴ μόνον τὸ αἰτηθὲν
ποιήσῃ, ἀλλὰ καὶ τὴν δουλείαν τῆς οἰκείας γνώμης ἐπιδείξηται, καὶ εἴπῃ, καὶ ταῖς καμήλοις
σου ἐφυδρεύσομαι· ἀρκοῦσαν ἀπόδειξιν παρέξει διὰ τῆς τοῦ ὕδατος παροχῆς τῆς τῶν τρόπων
ἐπιεικείας. Εἶτα, ἐπειδὴ εἶδε διὰ τῶν ἔργων τὴν ἐνέργειαν τῶν εὐχῶν τοῦ πατριάρχου, καὶ
ἐπέτυχε, καθάπερ ἐπεθύμει, τῆς κόρης, καὶ εἶδεν αὐτῆς τὴν ὑπερβάλλουσαν φιλοξενίαν· 25

Γεν κδ. κ.

Ἔσπευσε γὰρ καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτήριον, καὶ ἔδραμεν ἔτι ἐπὶ τὸ φρέαρ ἀντλῆσαι, καὶ
ὑδρεύσασα πάσαις ταῖς καμήλοις αὐτοῦ, καὶ οὔτε ὡς ξένον ἀπέφυγεν, οὔτε προφάσει τῆς σωφρο-
σύνης ἀνένευσε πρὸς τὴν αἴτησιν. κατεμάνθανε λοιπὸν καὶ περιειργάζετο μετὰ ἀκριβείας τὰ
κατ' αὐτὴν, καὶ ἐρώτα τίνος θυγάτηρ; καὶ, εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος ἡμῖν καταλῦ-
σαι; καὶ σκόπει τῆς κόρης τὴν ἀπόκρισιν. πυθομένου γὰρ τοῦ παιδὸς, τίνος εἴη θυγάτηρ, οὐ μό- 30

Γεν κδ. κδ.

νον τὸν πατέρα καταμηνύει, ἀλλὰ καὶ τοῦ πατρὸς τὸν πατέρα, καὶ φησι· Θυγάτηρ μέν εἰμι
Βαθουὴλ τοῦ Μελχᾶς, ὃν ἔτεκεν αὐτῷ Ναχώρ. καὶ πάλιν περὶ τοῦ τόπου, εἰ ἔστι μένειν κατα-
λῦσαι αὐτοὺς, πυθομένου τοῦ παιδὸς, φησὶν, οὐ μόνον τόπος, ἀλλὰ καὶ ἄχυρα καὶ χορτάσ-

Ἐκ τῶν αὐτῶν.

ματα πολλὰ παρ' ἡμῖν. Εἶδες ἐν ἡλικίᾳ τοιαύτῃ πόση καὶ τῆς σωφροσύνης ἡ ἀκρίβεια,
καὶ τῆς ταπεινοφροσύνης ἡ ὑπερβολὴ, καὶ τῆς φιλοξενίας ἡ ἐπίτασις; πόσου πλούτου οὐκ ἂν 35
εἴη τιμιωτέρα, πόσων θησαυρῶν προτιμότερα τις ταῦτα ἡγήσεται; τοῦτο ἡ μεγίστη προίξ,
τοῦτο τὰ μυρία ἀγαθὰ, τοῦτο ὁ θησαυρὸς ὁ μηδέποτε δαπανώμενος. Ταῦτα ἀκούσας ὁ
οἰκέτης καὶ θαυμάσας τῆς δαψιλοῦς φιλοξενίας, καὶ μαθὼν ὡς οὐ πρὸς ἀγνῶτάς τινας παρα-
γέγονεν, ἀλλ' εἰς τὴν οἰκίαν τοῦ Ναχὼρ, ὃς ἦν ἀδελφὸς Ἀβραὰμ τοῦ κυρίου αὐτοῦ, ἡσθεὶς
ἐπὶ τοῖς εἰρημένοις παρὰ τῆς παιδὸς, προσεκύνησε τῷ Κυρίῳ τῷ διὰ τὴν εἰς τὸν πα- 40
τριάρχην εὔνοιαν τοσαύτην καὶ περὶ αὐτὸν ἐπιδειξαμένῳ τὴν κηδεμονίαν, οὕτω πάντα

Γεν. κδ. κζ.

μετ' εὐκολίας αὐτῷ κατευοδώσαντι· Καί φησιν, εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ κυρίου μου Α-
βραὰμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην καὶ τὴν ἀλήθειαν αὐτοῦ ἀπὸ τοῦ κυρίου μου Α-
βραάμ· καὶ λοιπὸν καὶ αὐτὸς γνωρίζει τῇ κόρῃ ὅστις ἐστὶ, καὶ διὰ τῆς εὐχαριστίας τῆς εἰς τὸν Θε-

ὸν,

ὂν, καταδήλην αὐτὴν ποιεῖ, ὅτι οὐκ ἐξ ἀλλοτρίας οἰκίας παραγέγονεν, ἀλλὰ καὶ ἀδελφὸς τοῦ
Ναχὼρ ἐστὶν ὁ τοῦτον διαπεμψάμενος. Ταῦτα πυθομένη ἡ παῖς, μετὰ πολλῆς τῆς περιχα-
ρείας δραμοῦσα, ἀπήγγειλε τοῖς γονεῦσιν αὐτῆς, ἅπερ ἤκουσε παρὰ τοῦ παιδός. Καὶ ἔδραμε (Γεν. κδ. κθ.)
Λάβαν ἔξω πρὸς τὸν ἄνθρωπον ἐπὶ τὴν γῆν. καὶ ἰδὼν αὐτὸν ἑστῶτα μετὰ τῶν καμήλων, εἶ-
πεν αὐτῷ· τί ἕστηκας ἔξω; δεῦρο εἴσελθε. προλαβὼν γὰρ ἡτοίμασα τὴν οἰκίαν, καὶ τόπον
ταῖς καμήλοις. Εἶτα εἰσελθόντος αὐτοῦ, ἀπέσαξε τὰς καμήλους, καὶ ἔδωκεν ἄχυρα καὶ χορ-
τάσματα, καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ, καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ᾽ αὐτοῦ, καὶ παρέ-
θηκεν αὐτοῖς ἄρτους φαγεῖν. ἀλλ᾽ ἐνταῦθα σκόπει μοι τὴν πολλὴν τοῦ οἰκέτου σύνεσιν. τί
γάρ φησιν; Οὐ μὴ φάγω μέχρις ἂν τὴν αἰτίαν ὑμᾶς διδάξω, δι᾽ ἣν ἐστειλάμην τὴν το- (Γεν. κδ. λβ.)
σαύτην ὁδὸν, καὶ τίνος ἕνεκεν ἀπὸ τῆς Χαλδαίας ἐνταῦθα παραγέγονα, καὶ πῶς εἰς τὸν οἶ-
κον τὸν ὑμέτερον ὡδηγήθην, ἵνα πάντα μαθόντες, οὕτω καὶ ὑμεῖς τὴν οἰκείαν εὐγνωμοσύνην
ἐπιδείξησθε πρὸς τὸν ἐμὸν δεσπότην. καὶ ἀρξάμενος διηγεῖσθαί, φησι· Παῖς Ἀβραὰμ ἐγὼ (Γεν. κδ. λδ.)
εἰμί· Κύριος δὲ εὐλόγησε τὸν κύριόν μου σφόδρα· καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους, χρυ-
σίον καὶ ἀργύριον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους· καὶ ἔτεκε Σάρρα ἡ γυνὴ τοῦ κυ-
ρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηρᾶσαι αὐτὸν, καὶ ἔδωκεν αὐτῷ πάντα, ὅσα ἦν αὐτῷ.
καὶ ὥρκωσέ με ὁ κύριός μου λέγων· οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων
τῶν Χαλδαίων, ἐν οἷς ἐγὼ παροικῶ· ἀλλ᾽ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ, καὶ εἰς τὴν
φυλήν μου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν. καὶ αὐτὸς μὲν ταῦτα ἐνετείλατο· ἐγὼ δὲ
τὰς δυσκολίας ἐννοῶν, καὶ τοῦ πράγματος τὸ δυσχερὲς λογιζόμενος, ἐπυθόμην τοῦ κυρί-
ου μου· Εἰ μὴ βούλοιτο ἡ γυνὴ πορευθῆναι μετ᾽ ἐμοῦ, Καὶ εἶπέ μοι· Κύριος, ᾧ εὐη-
ρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ, καὶ εὐοδώσει τὴν
ὁδόν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκ τῆς φυλῆς μου, καὶ ἐκ τοῦ οἴκου τοῦ πα-
τρός μου. Ταῦτα ἐντειλάμενος, καὶ ταύταις με ταῖς εὐχαῖς ἐφοδιάσας ἐξέπεμψεν. ἐ-
πεὶ δὲ αἱ παρ᾽ αὐτοῦ γενόμεναι προσευχαὶ ἐληλύθασι, καὶ οὕτως ἅπαντα ἐναργῶς ᾠκονομή-
θη παρὰ τοῦ Θεοῦ, ὥστε φθάσαι με πρὸς ὑμᾶς, λοιπὸν καὶ ὑμεῖς τὰ παρ᾽ ἑαυτῶν ἐπιδείκνυ-
σθε, καὶ εἰ ποιεῖτε ἔλεος πρὸς τὸν κύριόν μου, ἀπαγγείλατέ μοι, ἵνα εἰδέναι ἔχω, ὅ, τι δεῖ με
διαπράξασθαι· εἰ δὲ μή γε, ἵνα ἑτέρωθι τὴν ὁδὸν ποιήσωμαι. καί φησι πρὸς αὐτὸν ὁ πα-
τὴρ τῆς κόρης, καὶ ὁ ἀδελφός· Παρὰ Κυρίου ἐξῆλθε τὸ ῥῆμα τοῦτο, οὐ δυνησόμεθά σοι ἀν- (Γεν. κδ. ν.)
τειπεῖν καλὸν, ἢ κακόν. οὐδὲ γὰρ οἷόν τε τοῦτο παρ᾽ ἡμῶν γενέσθαι. ἰδοὺ ἔχεις τὴν κόρην, λα-
βὼν ἀπότρεχε, καὶ ἔσται γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου, καθὰ ἐλάλησε Κύριος. ταῦτα ἀκού-
σας ὁ παῖς παρὰ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ, προσεκύνησε τῷ Κυρίῳ ἐπὶ τὴν γῆν, καὶ
ἐξενέγκας σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμὸν, ἔδωκε τῇ Ῥεβέκκᾳ, καὶ λοιπὸν μετὰ παρρησί-
ας αὐτὴν θεραπεύει, ὡς ἤδη διὰ τῶν ῥημάτων ἐγγυηθεῖσαν τῷ Ἰσαάκ. τιμᾷ δὲ δώροις καὶ τοὺς
ἀδελφοὺς καὶ τὴν μητέρα· καὶ ὅτε εἰς ἔργον εἶδεν ἐκβᾶσαν τὴν παρὰ τοῦ δεσπότου ἐντολὴν,
τότε λοιπὸν τῆς οἰκείας ἀναπαύσεως μετέχει. Ἔφαγον γάρ, φησι, καὶ ἔπιον αὐτὸς, καὶ οἱ ἄνδρες
οἱ μετ᾽ αὐτοῦ, καὶ ἐκοιμήθησαν. καὶ ἀναστὰς πρωῒ εἶπεν· ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς (Γεν. κδ. νδ.)
τὸν κύριόν μου. Εἶπον δέ, φησιν, οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ· μενάτω ἡ παρθένος μεθ᾽ ἡμῶν
ὡσεὶ ἡμέρας δέκα, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε. ὁ δὲ εἶπε πρὸς αὐτοὺς, τίνος ἕνεκεν ὑποτρέ-
πεσθε καὶ ἀναβάλλεσθε, τοῦ Θεοῦ τοσαύτην εὐκολίαν ἐν πᾶσί μοι παρεσχηκότος; οἱ δὲ εἶπαν·
καλέσωμεν τὴν παῖδα, καὶ ἐρωτήσωμεν αὐτήν. καὶ ἐκάλεσαν καὶ εἶπον αὐτῇ· πορεύσῃ μετὰ
τοῦ ἀνθρώπου; ἡ δὲ εἶπε, πορεύσομαι. καὶ ἐξέπεμψαν Ῥεβέκκαν καὶ τὰ ὑπάρχοντα αὐ-
τῆς, καὶ τὸν παῖδα τοῦ Ἀβραὰμ, καὶ τοὺς μετ᾽ αὐτοῦ· καὶ εὐλόγησαν Ῥεβέκκαν, καὶ εἶπον αὐτῇ·
Γενοῦ εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπε-
ναντίων. καὶ ἀναστᾶσα Ῥεβέκκα, καὶ αἱ ἅβραι αὐτῆς, ἐπέβησαν ἐπὶ τὰς καμήλους, καὶ ἐπορεύ-

θησαν

θησαν μετὰ τοῦ ἀνθρώπου. Εἶδες οἵαν ἄγεται νύμφην ὁ πατριάρχης; ὑδρευομένην, καὶ τὴν
ὑδρίαν ἐπὶ τῶν ὤμων φέρουσαν, καὶ ἐπὶ τὰς καμήλους ἐπιβαίνουσαν; μήπου ἡμίονοι ἀργύρῳ
περιλαμπόμενοι τοὺς τραχήλους; μήπου οἰκετῶν ἑσμός, ἢ ἡ πολλὴ βλακεία ἡ νῦν γινομένη;
οὐδαμοῦ. ἀλλὰ τοσαύτη ἦν τῶν παλαιῶν γυναικῶν ἡ ἀνδρεία, ὡς καὶ ἐπὶ τὰς καμήλους αὐ-
τὰς ἐπιβαίνειν, καὶ οὕτως ὁδοιπορεῖν. Εἴδετε ἐκ τῶν παρὰ τοῦ Ἀβραὰμ εἰς τὸν υἱὸν γενομέ- 5
νων, ὅπως τὸ παλαιὸν ἐσπούδαζον γυναῖκας ἄγεσθαι τοῖς ἑαυτῶν παισὶν οἱ γονεῖς; ὅπως
πρὸ τῶν χρημάτων ψυχῆς εὐγένειαν ἐπεζήτουν; μήπου γραμματεῖα; μήπου συνθῆ-
και, καὶ τὰ ἄλλα τὰ καταγέλαστα, ἃ νῦν γίνεται; οὐδὲν γὰρ ἐκείνοις τοιοῦτον. ἀλλὰ τὸ μέγιστον καὶ
ἀσφαλὲς γραμματεῖον, τῆς κόρης ὁ τρόπος. καὶ τοῦτο εἴσεσθε, ἐπειδὰν πρὸς τὸν νυμφίον εἴ-
δητε τὴν κόρην ἐπανελθοῦσαν. Ἐξῆλθε γάρ, φησιν, Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον, καὶ ἀ- 10

Γεν. κδ. ξγ.

ναβλέψας τοῖς ὀφθαλμοῖς, εἶδε τὰς καμήλους ἐρχομένας, ἐν αἷς ἐπεκάθητο Ῥεβέκκα. ἡ δὲ
Ῥεβέκκα ἰδοῦσα τὸν Ἰσαάκ, κατεπήδησεν ἀπὸ τῆς καμήλου, καὶ εἶπε τῷ παιδί· τίς ἐστιν ὁ ἄν-
θρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῶν; καὶ μαθοῦσα, ὅτι αὐτός
ἐστιν ὁ μέλλων ταύτην ἀγαγέσθαι, περιεβάλετο, φησι, τὸ θέριστρον· καὶ παραγενόμενος ὁ
παῖς διηγήσατο πάντα μετ' ἀκριβείας τῷ Ἰσαάκ. σκόπει πῶς οὐδαμοῦ τὰ περιττὰ ταῦτα 15
καὶ ἀνόητα· οὐδαμοῦ πομπὴ διαβολική, οὐδαμοῦ κύμβαλα καὶ αὐλοὶ καὶ χορεῖαι, καὶ τὰ σα-
τανικὰ ἐκεῖνα συμπόσια, ἀλλὰ πᾶσα σεμνότης, πᾶσα σοφία, πᾶσα ἐπιείκεια. Εἰσῆλθε

Γεν. κδ. ξζ.

γάρ, φησιν, Ἰσαὰκ εἰς τὸν οἶκον τῆς μητρὸς αὐτοῦ, καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτῷ
γυνή, καὶ ἠγάπησεν αὐτήν. Ταύτην μιμείσθωσαν γυναῖκες· τοῦτον ζηλούτωσαν ἄνδρες, καὶ
οὕτω τὰς νύμφας ἄγεσθαι σπουδαζέτωσαν, ἵνα καὶ ὁ πόθος τοῦ νυμφίου αὔξηται, καὶ τῆς κόρης 20
ἡ σωφροσύνη ἐπιτείνηται, καὶ μεθ' ἡδονῆς τὸν βίον διάξωσιν, ὑπὸ τῆς τοῦ Θεοῦ ῥοπῆς συγ-
κροτούμενοι. Εἰ δέ τι βούλει φιλοτιμίαν ἐπὶ γάμου ἐπιδείξασθαι κέρδος ἔχουσαν, κάλεσον
χοροὺς πενήτων. ἀλλ' αἰσχύνῃ καὶ ἐρυθριᾷς; καὶ τί ταύτης τῆς ἀλογίας χεῖρον γένοιτ' ἄν;
τὸν μὲν διάβολον ἕλκων εἰς τὴν οἰκίαν, μηδὲν νομίζεις αἰσχρὸν ποιεῖν· τὸν δὲ Χριστὸν μέλλων
εἰσάγειν, ἐρυθριᾷς; ἀλλ' οὐδεὶς ἐπὶ τῆς πόλεως τοῦτο εἰργάσατο, φησιν· ἀλλὰ σὺ κα- 25
τάρξαι σπούδασον, καὶ ἀρχηγὸς γενέσθαι τῆς καλῆς ταύτης συνηθείας, ἵνα καὶ οἱ μετὰ ταῦτα
εἰς σὲ ἀναφέρωσι. κἂν ζηλώσῃ τις καὶ μιμήσηται τοῦτο τὸ ἔργον, πρὸς τοὺς ἐξετάζοντας ἔ-
χουσι λέγειν οἱ ἔγγονοι, καὶ οἱ ἐξ ἐγγόνων, ὅτι ὁ δεῖνα τὸν καλὸν τοῦτον νόμον πρῶτος εἰσήγα-
γε, καὶ τὸ ὑφ' ἑτέρων κατορθούμενον, σοὶ τῷ πρώτῳ φυτευσαμένῳ τῶν καρπῶν ἐκείνων οἴσει
τὴν ἀμοιβήν. καὶ ὥσπερ μαλακῶν καὶ μίμων ἐκεῖ χορευόντων, ὁ διάβολος ἐν τῷ μέσῳ 30
κωμάζει· οὕτω καὶ πενήτων εἰσιόντων, ὁ Χριστὸς παραγίνεται. καὶ ἀπὸ μὲν τῆς δαπάνης
ἐκείνης κέρδος οὐδέν, ἀλλὰ καὶ πολλὴ γένοιτ' ἂν ἡ βλάβη· ἀπὸ δὲ τῶν εἰς τούτους ἀναλω-
μάτων πολλήν τινα λήψῃ τὸν καρπὸν ταχέως. καὶ ὅτι τοῦτο ἐστιν ἀληθές, ἀπὸ τῆς κόρης μάν-
θανε τῆς ἐν Ἰόππῃ. καὶ γὰρ ταύτην ποτὲ νεκρὰν κειμένην, περιστάντες οἱ παρ' αὐτῆς τρε-
φόμενοι πένητες καὶ δακρύσαντες ἀνέστησαν, καὶ πρὸς ζωὴν ἐπανήγαγον, ἐν Χριστῷ Ἰησοῦ τῷ 35
Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

40

ΠΕΡΙ

ΠΕΡΙ ΔΙΔΑΧΗΣ ΚΑΙ ΝΟΥΘΕΣΙΑΣ.

Πρώην μὲν ἐνεκαλοῦμεν τοῖς καταλιμπάνουσι τὴν εὐχήν, καὶ κατὰ τὸν καιρὸν ἐκεῖνον ἔξω τῆς ἐκκλησίας διατρίβουσι· νυνὶ δὲ τοῖς ἔνδον οὖσιν ἐγκαλέσαι βούλομαι, οὐχ ὅτι μένουσιν ἔνδον, ἀλλ᾽ ὅτι μένοντες, τῶν ἔξω διατριβόντων οὐδὲν ἄμεινον διάκεινται, κατὰ τὸν φρικωδέστατον ἐκεῖνον καιρὸν ἀλλήλοις διαλεγόμενοι, καὶ τῶν θείων ὑπερορῶντες λογίων. τί ποιεῖς, ἄνθρωπε; ὁρᾷς τοσούτους δεσμώτας ἀπὸ τῶν ἀδελφῶν τῶν σῶν ἑστηκότας πλησίον (καὶ γὰρ ἅλωσις πονηρὰ καὶ χαλεπὴ τῶν δαιμόνων ἐστὶν ἡ ἐνέργεια, καὶ παντὸς σιδήρου χαλεπωτέρα) καὶ σὺ περὶ τῶν οὐδὲν προσηκόντων διαλέγῃ πραγμάτων; ἡ γὰρ ὄψις μόνη οὐκ ἰσχύει σε καταπλῆξαι, καὶ εἰς συμπάθειαν ἀγαγεῖν; ὁ ἀδελφός σου ἐν δεσμοῖς, καὶ σὺ ἐν ῥᾳθυμίᾳ; ποίαν ἕξεις συγγνώμην, εἰπέ μοι, οὕτως ἀσυμπαθὴς ὤν, οὕτως ἀπάνθρωπος, οὕτως ὠμός; οὐ θέλεις συναλγῆσαι τῷ ἀδελφῷ; κἂν ὑπὲρ σαυτοῦ δεῖσον καὶ διαναστῆθι. οὐ δέδοικας μήποτέ σου διαλεγομένου, ῥᾳθυμοῦντος, ὀλιγωροῦντος, δαίμων τις ἔξωθεν ἐκπηδήσας, σχολάζουσαν καὶ σεσαρωμένην εὑρὼν τὴν ψυχήν, ἐπεισέλθῃ μετὰ ἀδείας πολλῆς, ἀθύρωτον τὴν οἰκίαν εὑρών; οὐ γὰρ δεῖ πηγὰς δακρύων ἀφεῖναι κατὰ τὴν ὥραν ἐκείνην, καὶ διαβρόχους ὁρᾶσθαι πάντων τοὺς ὀφθαλμούς, καὶ θρήνους καὶ οἰμωγὰς γίνεσθαι παρὰ τῆς ἐκκλησίας ἁπάσης; μετὰ τὴν κοινωνίαν τῶν μυστηρίων, μετὰ τὴν ἀπόλαυσιν τοῦ λουτροῦ, μετὰ τὸ συντάξασθαι τῷ Χριστῷ, ἴσχυσεν ὁ λύκος ἐκεῖνος ἁρπάσαι ἐκ τῆς ποίμνης τοὺς ἀρνίας, καὶ κατέχει μεθ᾽ ἑαυτοῦ, καὶ σὺ ὁρῶν τὴν συμφοράν, οὐ δακρύεις; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια; Εἰ τὴν τοῦ γείτονος οἰκίαν εἶδες ἐμπυριζομένην, εἰπέ μοι, εἰ καὶ πάντων πολεμιώτατος ἦν ὁ γείτων, οὐκ ἂν ἔδραμες ἐπὶ τὸ σβέσαι τὴν πυράν, δεδοικώς, μὴ τὸ πῦρ ὁδῷ βαδίζον καὶ τῶν σῶν ἅψηται προθύρων; τοῦτο καὶ ἐπὶ τῶν ὑπὸ τῶν πονηρῶν δαιμόνων ἐπηρεαζομένων ἀδελφῶν ποίει. καὶ γὰρ πυρά τις ἐστὶ καὶ ἐμπρησμὸς χαλεπὸς τῶν δαιμόνων ἡ ἐνέργεια. σκόπει δὴ μὴ καὶ τὴν σὴν προκαταλάβῃ ψυχὴν ὁδῷ βαδίζων ὁ δαίμων· καὶ ὅταν ἴδῃς προσιόντα, μετὰ πολλῆς τῆς σπουδῆς πρόσφυγε τῷ δεσπότῃ, ἵν᾽ ἰδών σου τὴν θερμὴν καὶ διεγηγερμένην ψυχὴν ὁ δαίμων, ἄβατον αὐτῷ νομίσῃ λοιπὸν εἶναι τὴν διάνοιαν τὴν σήν. ἂν μὲν γὰρ ἴδῃ χασμώμενον καὶ ῥᾳθυμοῦντα ὡς εἰς ἔρημον καταγώγιον, ταχέως ἐπεισελεύσεται· ἂν δὲ καὶ συντεταμένον καὶ διεγηγερμένον, καὶ τοῦ οὐρανοῦ αὐτὸν ἐκκρεμάμενον, οὐδὲ ἀντιβλέψαι τολμήσει λοιπόν. ὥστε εἰ καὶ τῶν ἀδελφῶν καταφρονεῖς, ἀλλὰ σαυτοῦ φεῖσαι, καὶ τὴν κατὰ τῆς σῆς ψυχῆς εἴσοδον ἀπόφραξον τῷ πονηρῷ δαίμονι. οὐδὲν γὰρ οὕτως αὐτοῦ τὴν καθ᾽ ἡμᾶς ἔφοδον ἀποτειχίζειν εἴωθεν, ὡς εὐχὴ καὶ δέησις ἐκτενής. Εἰ δὲ βούλει μαθεῖν ὅσον ἐστὶν ἀγαθὸν τὸ δυνηθῆναι μετὰ τῆς οἰκείας σωτηρίας καὶ ἑτέραν κερδῆναι, ἄκουσον ἐκ προσώπου τοῦ Θεοῦ λέγοντος τοῦ προφήτου· Ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἐστίν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὁ ἐκ τῆς πλάνης, φησί, πρὸς τὴν ἀλήθειαν χειραγωγῶν, ἢ ἀπὸ τῆς κακίας πρὸς τὴν ἀρετὴν ὁδηγῶν τὸν πλησίον κατὰ δύναμιν [τὴν] ἀνθρωπίνην, ἐμὲ μιμεῖται. εἰ γὰρ αὐτὸς Θεὸς ὤν, καὶ τῆς οὐσίας ἐκείνης τῆς ἀπορρήτου τυγχάνων, καὶ σταυρὸν κατεδέξατο, καὶ τὰ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπέμεινε δι᾽ ἡμᾶς, καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν· τί οὐκ ἂν εἴημεν αὐτοὶ δίκαιοι περὶ τοὺς ὁμογενεῖς ἐπιδείξασθαι, καὶ τὰ μέλη τὰ ἡμέτερα, ὥστε καὶ τῆς φάρυγος αὐτοὺς ἐξαρπάσαι τοῦ διαβόλου, καὶ πρὸς τὴν τῆς ἀρετῆς χειραγωγῆσαι ὁδόν; Εἰ γὰρ ἐπὶ τῶν αἰσθητῶν ἐδεσμάτων, οἱ τὰ τῆς τραπέζης τοῖς αὐτῶν γνωρίμοις διαφυλάττοντες, μέγιστον ἀγάπης τεκμήριον ἐκφαίνουσι· πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο γινόμενον πολλὴν ἡμῖν παρέξει

Ἐκ τοῦ δ. λόγ. τοῦ περὶ ἀκαταλήπτου.

Ἐκ τοῦ αὐτοῦ.

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημέρ.

Ἱερ. 15. 19.

Ἐκ τῶν λόγ. τῶν ἀνδριάντ.

ῥέξει τῶν ἔπαινον. ὁ γὰρ τὸν πλησίον διδάσκειν σπουδάζων οὐ τοσοῦτον ἐκεῖνον εὐεργετεῖ, ὅσον ἑαυτῷ μείζονα προξενεῖ τὸν μισθὸν, καὶ διπλοῦν καρποῦται τὸ κέρδος, τό τε παρὰ τοῦ Θεοῦ ἀμοιβῆς πλείονος ἀπολαύων· καὶ αὐτὸς, ὅτε τὸν ἀδελφὸν διδάσκειν ἐπιχειρεῖ, εἰς ὑπόμνησιν ἐρχόμενος, καὶ ἀνανεοῦν τὴν μνήμην τῶν παρ' ἑαυτοῦ εἰρημένων.

[Ἐκ τῶν ἀνδριάντ.] Εἰ γὰρ εἰκόνα τις ἄψυχον ἀναθεὶς παιδὸς, ἢ φίλου, ἢ συγγενοῦς, νομίζει παρεῖναι ἐκεῖνον τὸν ἀπελθόντα, καὶ διὰ τῆς εἰκόνος αὐτὸν φαντάζεται τῆς ἀψύχου· πολλῷ μᾶλλον ἡμεῖς διὰ τῶν θείων γραφῶν τῆς τῶν ἁγίων παρουσίας ἀπολαύομεν, οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες. τὰ γὰρ παρ' αὐτῶν εἰρημένα, τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσίν.

[Ἐκ τοῦ ς. λόγ. τῶν κατὰ Ἰουδαίων.] Ὥσπερ οὖν οἱ ἰατροὶ οὐκ ἀναγκάζουσι τοὺς ἀῤῥώστους ἐπὶ τῶν κλινιδίων κατακειμένους εἰς τὰς οἰκίας αὐτῶν φέρεσθαι, ἀλλ' αὐτοὶ τρέχουσι πρὸς ἐκείνους τὰς ἀῤῥωστίας θεραπεύσοντες· οὕτω καὶ σὺ ποίησον κατὰ δύναμιν τὴν σὴν, καὶ πᾶσαν σπουδὴν ἐπίδειξαι καὶ πρόνοιαν εἰς τὴν τῶν ἀῤῥωστούντων κατὰ ψυχὴν ἀδελφῶν ἀνάῤῥωσιν, εἰδὼς ὅτι βραχὺς ὁ παρὼν βίος. κἂν μὴ ταῦτα κερδάνωμεν τὰ κέρδη, οὐδεμίαν ἕξομεν ἐκεῖ σωτηρίαν. δύναται γὰρ πολλάκις μία κερδηθεῖσα ψυχὴ, μυρίων ὄγκον ἁμαρτημάτων ἀφανίσαι, καὶ γενέσθαι ἡμῖν κατ' ἐκείνην τὴν ἡμέραν ἀντίψυχον.

[Ἐκ τοῦ ε. λόγ. τῶν κατὰ Ἰουδ. Πράξ. θ. λθ.] Εἰ γὰρ χήρας ἐνδύσασα, καὶ πενίαν διορθωσαμένη ἡ Ταβιθὰ ἐκείνη, ἀπὸ θανάτου πάλιν εἰς ζωὴν ἐπανῆλθε, καὶ τὰ δάκρυα τῶν ἐλεηθέντων ψυχὴν ἀπελθοῦσαν ἐπανήγαγεν εἰς σῶμα πάλιν, οὔπω τῆς ἀναστάσεως φανείσης· τί οὐκ ἂν ἐργάσεται τῶν ἀνθρώπων τὰ δάκρυα, ὅσοι ὑπὸ σοῦ διασωθῶσιν; ὥσπερ γὰρ ταύτην περιστᾶσαι αἱ χῆραι ζῶσαν ἀπὸ νεκρᾶς ἔδειξαν· οὕτω καὶ σὲ τότε περιστάντες οἱ διασωθέντες νῦν, ποιήσουσι πολλῆς ἀπολαῦσαι φιλανθρωπίας, καὶ τῆς γεέννης τοῦ πυρὸς ἐξαρπάσουσιν. Εἰ γὰρ ὅπου χρημάτων δαπάνη, τοσοῦτοι οἱ στέφανοι, τοσοῦτος ὁ μισθὸς, τοσαύτη ἡ ἀμοιβή· ὅπου ψυχῆς ὠφέλεια, πῶς οὐ πολλὰ ἡμῖν ἔσται τὰ ἀγαθά;

[Ἐκ τοῦ αὐτοῦ.] Οὐδεὶς γὰρ ἑαυτὸν κατορθῶσαι δύναται χωρὶς τῆς τοῦ πλησίον σωτηρίας. καὶ γὰρ καὶ ὁ Παῦλός φησι· Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος, [α. Κορ. ι. κδ.] εἰδὼς ὅτι τὸ ἑαυτοῦ ἐν τῷ τοῦ πλησίον κεῖται συμφέροντι. καθάπερ γὰρ οἱ ἀδικοῦντες καὶ πλεονεκτοῦντες ἀπελθόντες ἐκεῖ, καὶ τοὺς ταῦτα παθόντας ἰδόντες (ὄψονται γάρ, φησι, πάντως, καὶ δηλοῖ ἐκ τοῦ πλουσίου καὶ τοῦ Λαζάρου τοῦτο) οὐδὲ ἀνοῖξαι τὸ στόμα δυνήσονται, οὐδὲ εἰπεῖν τι καὶ ἀπολογήσασθαι, ἀλλ' αἰσχύνης πολλῆς ἐμπλησθέντες, καὶ καταγνώσεως ἀπὸ τῆς ὄψεως τῆς ἐκείνων ἐπὶ τὴν κόλασιν ἀπελεύσονται· οὕτω καὶ οἱ διδάσκοντες καὶ νουθετοῦντες, ἰδόντες τοὺς ὑπ' αὐτῶν διασωθέντας συμπαρεστῶτας αὐτοῖς ἐκεῖ, πολλῆς ἐμπλησθήσονται τῆς παῤῥησίας.

[Ἐκ τοῦ ζ. λόγ. τῶν κατὰ Ἰουδ.] Καὶ μή μοι λεγέτω τις, τί γὰρ ἔχω κοινὸν πρὸς ἐκεῖνον; ἀλλότριός ἐστι καὶ ἄγνωστος. ἕως ἂν ᾖ πιστὸς, καὶ τῶν αὐτῶν σοι μετέχῃ μυστηρίων, καὶ εἰς τὴν αὐτὴν ἐκκλησίαν ἀπαντᾷ, καὶ ἀδελφῶν καὶ συγγενῶν ἁπάντων ἐστὶν οἰκειότερος. ὥσπερ γὰρ οὐχ οἱ κλέπτοντες μόνοι, ἀλλὰ καὶ οἱ κύριοι μὲν ὄντες κωλῦσαι, μὴ ποιοῦντες δὲ, τὴν αὐτὴν ἐκείνοις διδόασι δίκην· οὕτως οὐχ οἱ ἀσεβοῦντες μόνον, ἀλλὰ καὶ οἱ δυνάμενοι μὲν ἀπαγαγεῖν τῆς ἀσεβείας, μὴ βουλόμενοι δὲ, τὴν αὐτὴν ἐκείνοις ὑποστήσονται τιμωρίαν. ἕκαστος ὑμῶν ἕνα τῶν ἀδελφῶν ἀνασωσάτω, περιεργασάσθω, πολυπραγμονησάτω, ἵνα εἰς τὴν ἐπιοῦσαν σύναξιν μετὰ πολλῆς παῤῥησίας ἀπαντήσωμεν, δῶρα τῷ Θεῷ κομίζοντες, δῶρα πάντων τιμιώτερα, τὰς ψυχὰς τῶν πεπλανημένων ἐπαναγαγόντες. κἂν ὑβρισθῆναι δέῃ, κἂν πληγὰς λαβεῖν, κἂν ὁτιοῦν ἕτερον ὑπομεῖναι, πάντα ποιήσωμεν, ὥστε αὐτοὺς ἀνακτήσασθαι. καὶ γὰρ καὶ οἱ νοσοῦντες πολλάκις λακτίζουσι καὶ ὑβρίζουσιν· ἀλλ' ὅμως ἀνεχόμεθα, καὶ ταῖς ὕβρεσιν οὐ δακνόμεθα, ἀλλ' ἓν μόνον ἐπιθυμοῦμεν, τοὺς ταῦτα ἀσχημονοῦντας τὴν ὑγείαν ἰδεῖν. πῶς οὖν οὐκ ἄτοπον τοὺς μὲν τῶν σωμάτων προνοοῦντας τοσαύτην ποιεῖσθαι τὴν ἐπιμέλειαν, ψυχῶν δὲ τοσούτων ἀπολλυμένων ῥαθυμεῖν, καὶ μηδὲν ἡγεῖσθαι πάσχειν δεινὸν, τῶν μελῶν ἡμῶν σηπομένων;

[Ἐκ τοῦ λόγ. ὅτι χρήσιμον φέρειν ἐλέγχους.] Τί ποιεῖς, ἄνθρωπε; ὁρᾷς τὸν ἀδελφὸν, εἰπέ μοι, κατὰ

κρημνοῦ

κρημνοῦ φερόμενον, ἢ μαινόμενον ἔχοντα βίον, οὐ συνορᾷς τὸ δέον, καὶ οὐκ ὀρέγεις χεῖρα;
οὐκ ἐγκαλεῖς καὶ ἐλέγχεις; ἀλλ᾽ ὁ δὲ μὴ προσκρούσαι αὐτῷ, καὶ φανῆναι ἐπαχθής, περιπι-
μᾶς τῆς ἐκείνου σωτηρίας; καὶ ποίαν ἕξεις συγγνώμην παρὰ τῷ Θεῷ, καὶ τίνα ἀπολογίαν;
οὐκ ἤκουσας τί τοῖς Ἰουδαίοις ἐκέλευσεν ὁ Θεός, τὰ ὑποζύγια τῶν ἐχθρῶν μὴ περιορᾷν
5 πλανώμενα, μηδὲ παρατρέχειν πεπτωκότα; εἶτα Ἰουδαῖοι μὲν τὰ ἄλογα κελεύονται μὴ
περιορᾷν τῶν ἐχθρῶν, ἡμεῖς δὲ τὰς ψυχὰς τῶν ἀδελφῶν καθ᾽ ἑκάστην ὑποσκελιζομένας περι-
ορώμεθα; καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ὠμότητος καὶ θηριωδίας, μηδὲ τοσαύτην ἀπονέμειν ἀν-
θρώποις πρόνοιαν, ὅσην τοῖς ἀλόγοις ἐκεῖνοι; τοῦτο πάντα ἀνέτρεψε, τοῦτο τὸν βίον ἡμῶν συν-
έχεεν, ὅτι οὔτε ἐλεγχόμενοι φέρομεν γενναίως, οὔτε ἑτέρους ἐλέγχειν βουλόμεθα. Διὰ γὰρ
10 τοῦτο καὶ ἐπαχθεῖς ἐσμεν ἐλέγχοντες, ἐπειδὴ ἐκθηριούμεθα ἐλεγχόμενοι. Εἰ γὰρ ᾔδει ὁ ἀδελ-
φός, ὅτι ἐλέγξας σε εὐφραίνετο παρὰ σοῦ, καὶ αὐτὸς ἐλεγχόμενος τὴν αὐτὴν ἀμοιβὴν ἀπέδωκεν
ἄν. Βούλει διορθῶσαι τὸν ἀδελφόν; δάκρυσον, εὖξαι τῷ Θεῷ, κατ᾽ ἰδίαν λαβὼν παραίνεσον, *Ἐκ τῶν λόγ. τῶν ἀνδριάντ.*
συμβούλευσον, παρακάλεσον, δεῖξον ἀγάπην περὶ τὸν ἡμαρτηκότα, πεῖσον αὐτὸν ὅτι κηδό-
μενος καὶ φροντίζων, οὐκ ἐμπομπεῦσαι βουλόμενος περὶ τῆς ἁμαρτίας αὐτὸν ὑπομιμνή-
15 σκεις· κατάσχε πόδας, καταφίλησον χεῖρας, μὴ ἐπαισχυνθῇς, εἴπερ ἀληθῶς ἰατρεῦσαι βούλει.
ταῦτα γὰρ καὶ ἰατροὶ ποιοῦσι πολλάκις, δυσαρέστως ἐχόντων τῶν καμνόντων καταφιλοῦντες, πα-
ρακαλοῦντες, ἀναπείθουσι σωτήριον δέξασθαι φάρμακον. [τίνος ἕνεκεν οὐκ ἐπὶ διορθώσει
τῶν ἀδελφῶν ἀγωνίζῃ; κἂν τὸν ὁμόδουλον, κἂν τὸν ὁμότιμον διορθώσῃ] κἂν ἀποθανεῖν
δέῃ ὑπὲρ τοῦ σωφρονίσαι τὸν ἀδελφόν, μὴ ἀποκνήσῃς. μαρτύριον γὰρ τοῦτό ἐστιν· ἐπεὶ
20 καὶ Ἰωάννης μάρτυς ἦν· καίτοιγε οὐχὶ θῦσαι ἐκελεύσθη, οὐδὲ εἴδωλον προσκυνῆσαι, ἀλλ᾽
ὑπὲρ τῶν ἱερῶν νόμων ὑβριζομένων τὴν κεφαλὴν ἀπέθετο. καὶ σὺ τοίνυν ἀγώνισαι μέχρι
θανάτου ὑπὲρ τῆς ἀληθείας, Καὶ Κύριος πολεμήσει ὑπὲρ σοῦ. ἀρκεῖ εἷς ἄνθρωπος ζή-
λῳ πεπυρωμένος ὁλόκληρον διορθώσασθαι δῆμον. καὶ μή μοί τις λεγέτω, οὐδὲν ἔχω κοινὸν
πρὸς τὸν ἀδελφόν. πρὸς τὸν διάβολον οὐδὲν ἔχομεν κοινὸν μόνον, πρὸς δὲ τοὺς ἀνθρώπους
25 πολλὰ ἔχομεν κοινά. τῆς φύσεως ἡμῖν τῆς αὐτῆς μετέχουσι, τὴν αὐτὴν γῆν οἰκοῦσι, καὶ ταῖς
αὐταῖς τρέφονται τροφαῖς, τὸν αὐτὸν ἔχουσι δεσπότην, τοὺς αὐτοὺς ἐδέξαντο νόμους. μὴ τοί-
νυν ταῦτα λέγωμεν, ἀλλὰ τὴν πρέπουσαν ἀδελφοῖς κηδεμονίαν ἐπιδειξώμεθα. πῶς
γὰρ οὐκ ἄτοπον, εἰ μὲν μάχην ἴδοιμεν ἐπὶ τῆς ἀγορᾶς, προστρέχειν καὶ καταλλάττειν τοὺς
μαχομένους; καὶ τί λέγω μάχην; εἰ καταπεσόντα ἴδωμεν ὄνον, πάντες χεῖρα ὀρέγομεν καὶ *Ἐκ τοῦ ϛ΄. λόγ. τῶν κατ᾽ Ἰουδαίων*
30 ἀναστῆσαι σπεύδομεν· τῶν δὲ ἀδελφῶν ἀπολλυμένων ἀμελεῖν, καὶ πῶς οὐ δεινόν; Μὴ τοίνυν
παύσῃ παραινῶν τὸν ἀδελφὸν ὁρῶν ἀπολλύμενον, κἂν λοιδορῇ, κἂν ὑβρίζῃ, κἂν ἀπειλῇ ἐχ-
θρὸς γενέσθαι, κἂν ὁποιονοῦν ἕτερον ἐπανατείνηται, πάντα φέρε γενναίως, ὅπως αὐτοῦ κερδά-
νῃς τὴν σωτηρίαν. ἐὰν οὗτος ἐχθρός σου γένηται, ὁ Θεὸς ἔσται σοι φίλος, καὶ μεγάλοις σε κατὰ τὴν
ἡμέραν ἐκείνην ἀμείψεται τοῖς ἀγαθοῖς. Μέγα μὲν γὰρ ἀγαθόν, καὶ τὸ ἐλεεῖν τοὺς πεινῶντας·
35 ἀλλ᾽ οὐδὲν τοιοῦτον, οἷον τὸ πλάνης ἀπαλλάττειν. οὐδὲν γὰρ ψυχῆς ἀντάξιον, οὐδὲ ὁ κόσμος
ἅπας. ὥστε κἂν μυρία δῷς χρήματα πένησιν, οὐδὲν τοσοῦτον ἐργάσῃ, οἷον ὁ μίαν ἐπιστρέφων
ψυχήν. ὁ γὰρ τοῦτο ποιῶν, κατὰ Παῦλον ἔσται καὶ Πέτρον, οὐχὶ κινδυνεύων, καθάπερ ἐκεῖνοι, καὶ
λιμοὺς καὶ λοιμούς, καὶ τὰ ἄλλα ὑποφέρων κακά· εἰρήνης γὰρ ὁ παρὼν καιρός· ἀλλὰ τὰ ἀπὸ
τῆς προθυμίας ἐπιδεικνύμενος. καὶ τί λέγω Πέτρον καὶ Παῦλον; στόμα ἔσται τοῦ Χριστοῦ.
40 Ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου, ὡς στόμα μου ἔσται, φησίν. ἔξεστι τοίνυν καὶ οἴκοι καθημένῳ *Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α΄ ἐπισ.*
ταύτην τὴν ἀρετὴν ἐργάζεσθαι. Εἴ τις ἔχει φίλον καὶ συγγενῆ καὶ οἰκεῖον, ταῦτα ποιείτω,
καὶ ἔσται κατὰ Πέτρον καὶ Παῦλον. κἂν μὴ σήμερον πείσῃς, αὔριον πείσεις· κἂν μηδέποτε πεί- *Ἱερ. ιε ιθ.*
σῃς, σὺ τὸν μισθὸν ἕξεις ἀπηρτισμένον· κἂν μὴ πάντας πείσῃς, ὀλίγους ἀπὸ τῶν πολλῶν δυ-
νήσῃ. καὶ γὰρ καὶ οἱ ἀπόστολοι, εἰ καὶ μὴ πάντας ἔπεισαν, ἐπεὶ πᾶσι διελέχθησαν, τὸν ἐπὶ

πᾶσι μισθὸν ἐκαρπώσαντο. μὴ τοίνυν, ἐπειδὴ πολλοὺς οὐ δύνασαι διδάξαι, καὶ τῶν ὀλίγων καταφρόνει, μηδὲ τῇ τῶν μεγάλων ἐπιθυμίᾳ, καὶ τῶν μικρῶν σεαυτὸν ἀφελκύσῃς. κἂν ἑκατὸν μὴ δυνηθῇς, τῶν δέκα ἐπιμελήθητι· κἂν δέκα μὴ δυνηθῇς, μηδὲ τῶν πέντε καταφρονήσῃς· κἂν πέντε μὴ δυνηθῇς, τοῦ ἑνὸς μὴ ὑπερίδῃς. οὐ γὰρ πρὸς τὸ τέλος τῶν κατορθουμένων, ἀλλὰ πρὸς τὴν γνώμην τῶν κατορθούντων ὁ Θεὸς τοὺς στεφάνους ὁρίζειν εἴωθε.

Εκ τοῦ λόγ. α. εἰς πλούσιον καὶ Λάζαρον.

Καὶ γὰρ τοῦ μὴ πεῖσαι τοὺς ἀκούοντας οὐκ ἐσμὲν ὑπεύθυνοι οἱ διδάσκοντες, ἀλλὰ τοῦ μὴ συμβουλεῦσαι μόνον· τὸ μὲν γὰρ παραινέσαι μόνον ἡμέτερον, τὸ δὲ πεισθῆναι, ἐκείνων. καὶ καθάπερ ἡμῶν μὴ παραινεσάντων, κἂν μυρία κατορθώσωσιν ἐκεῖνοι, μόνοις αὐτοῖς ἅπας ὁ μισθὸς κείσεται, ἡμῖν δὲ οὐδὲν ἔσται κέρδος· οὕτως ἐὰν ἡμῶν παραινεσάντων ἐκεῖνοι μὴ προσέχωσιν, ἅπασα αὐτοὺς ἡ τιμωρία καταλήψεται, ἡμῖν δὲ οὐδὲν ἔσται ἔγκλημα, ἀλλὰ καὶ πολὺς ὁ μισθὸς ἀπαντήσεται παρὰ τοῦ Θεοῦ· τὸ γὰρ ἡμῶν ἅπαν ἐπληρώσαμεν.

Εκ τῆς ἑρμην. τοῦ κατὰ Ιωάν. εὐαγγ.

Ὁ μὲν γὰρ τοῖς προσέχουσι λέγων, ἔχει παραμυθίαν τοῦ λέγειν, τὴν πειθὼ τῶν ἀκροωμένων· ὁ δὲ συνεχῶς λέγων, καὶ μὴ ἀκουόμενος, εἶτα οὐ παυόμενος τοῦ λέγειν, πλείονος ἂν εἴη τιμῆς ἄξιος, διὰ τὸ τῷ Θεῷ δοκοῦν, καὶ μηδενὸς προσέχοντος, τὸ αὐτοῦ πᾶν πληρῶν. ἀλλ᾽ εἰ καὶ ἡμῖν ὁ μισθὸς μείζων ἐκ τῆς ὑμετέρας παρακοῆς, ὅμως ἐπιθυμοῦμεν τοῦτον ἐλαττωθῆναι μᾶλλον, καὶ τὴν ὑμετέραν αὐξηθῆναι σωτηρίαν, μισθὸν μέγαν τὴν ὑμετέραν εὐδοκίμησιν εἶναι νομίζοντες.

Εκ τοῦ ε. λόγ. τῶν κατὰ Ιουδαίων.

Ἂν τοίνυν ἴδῃς τινὰ δεόμενον ψυχικῆς ἢ σωματικῆς θεραπείας, μὴ λέγε πρὸς ἑαυτόν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸν οὐκ ἐθεράπευσαν; ἢ, ὅτι ἐγὼ κοσμικός εἰμι, γυναῖκα ἔχω καὶ παιδία· ταῦτα τῶν ἱερέων ἐστί, ταῦτα τῶν μοναχῶν. εἰπὲ δή μοι, ἐὰν εὕρῃς χρυσίον κείμενον, μὴ λέγεις πρὸς ἑαυτόν, τίνος ἕνεκεν ὁ δεῖνα καὶ ὁ δεῖνα αὐτὸ οὐκ ἀνείλοντο; οὐδαμῶς· ἀλλὰ σπουδάζεις πρὸ τῶν ἄλλων διαρπάσαι. οὕτω καὶ ἐπὶ τῶν πεπτωκότων ἀδελφῶν λογίζου, καὶ νόμιζε θησαυρὸν εὑρηκέναι τὴν ἐπιμέλειαν τὴν ἐκείνων.

Ιερ. ιε. ιθ.

Ὁ γὰρ ἐξάγων τίμιον ἐξ ἀναξίου, φησίν, ὡς στόμα μου ἔσται. καὶ τί τούτου γένοιτ᾽ ἂν ἴσον; ὃ γὰρ οὔτε νηστεία, οὔτε χαμευνία, οὐκ ἄλλο τι δύναται ἐργάσασθαι, τοῦτο ἡ τοῦ ἀδελφοῦ σωτηρία ποιεῖ. μὴ γὰρ ἐγὼ ταῦτα ἐπαγγέλλομαι; αὐτὸς ὁ Θεὸς τοῦτο εἶπεν· ὅτι κἂν ἕνα τινὰ ἐξαγάγῃς, φησίν, ὡς στόμα μου ἔσται τὸ στόμα σου. μὴ τοίνυν παρειόντες λέγωμεν, τίνες ἥμαρτον, ἀλλὰ σπουδάσωμεν, ὅπως αὐτοὺς διορθώσωμεν· καὶ μὴ τοῦτο σκοπῶμεν μόνον, εἰ πολλοὶ οἱ παρασυρόμενοι, ἀλλ᾽ ἐκεῖνο σκοπήσωμεν, ὅπως αὐτοὺς ἀπαγάγωμεν.

Εκ τοῦ αὐτοῦ.

Τὸ μὲν γὰρ πρὸ τῆς ἁμαρτίας ἀσφαλίζεσθαι τοὺς ἀδελφοὺς μὴ πεσεῖν, οὐκ ὀλίγην ἡμῖν προξενεῖ σωτηρίαν· τὸ δὲ καὶ μετὰ τὴν ἁμαρτίαν, πολλὴν τὴν περὶ αὐτοὺς ἐπιδείκνυσθαι ἐπιμέλειαν, οὐ μικρὸν καὶ τοῦτο παρέχει τὸν ἔπαινον. καὶ γὰρ καὶ ἰατροὶ λέγουσι μὲν καὶ ὑγιαίνουσι τοῖς ἀνθρώποις ἃ δύναται τὴν ὑγίειαν διατηρῆσαι αὐτοῖς, καὶ πᾶσαν ἀποκρούσασθαι νόσον· ἀμελήσαντας δὲ τῶν ἐπιταγμάτων, καὶ ἀρρωστίᾳ περιπεσόντας, οὐ περιορῶσιν· ἀλλὰ καὶ πολλὴν τότε μάλιστα ἐπιδείκνυνται πρόνοιαν, ὅπως αὐτοὺς ἀπαλλάξωσι τῶν νοσημάτων.

Εκ τοῦ λόγ. β. κατ᾽ Ιουδ.

Καὶ σὺ τοίνυν, ὅταν ἀδελφὸν δέῃ διορθῶσαι, κἂν τὴν ψυχὴν ἐπιδοῦναι δέῃ, μὴ παραιτήσῃ. ὁ δεσπότης ἡμῶν δι᾽ ἡμᾶς ἀπέθανε· σὺ δὲ οὐδὲ λόγον προΐεσαι; καὶ ποίαν ἕξεις συγγνώμην; ποίας ἀπολογίας τεύξῃ; πῶς ἐπὶ τοῦ βήματος στήσῃ τοῦ Χριστοῦ μετὰ παρρησίας, εἰπέ μοι, τοσούτων ψυχῶν ἀπώλειαν περιορῶν; εἴθε μοι δυνατὸν ἦν τούτους εἰδέναι, καὶ οὐκ ἂν ἐδεήθην ὑμῶν, ἀλλὰ τὴν ταχίστην ἐποιησάμην διόρθωσιν.

Εκ τοῦ α. λόγ. τῶν κατὰ Ιουδ.

Εἰπὲ δή μοι, εἴ τινα εἶδες ἀπαγόμενον δικαίᾳ ψήφῳ καταδικασθέντα, εἶτα κύριος ἦς ἐξαρπάσαι τῶν τοῦ δημίου χειρῶν, οὐκ ἂν ἅπαντα ἔπραξας, ὥστε αὐτὸν ἀπαλλάξαι τῆς ἀπαγωγῆς; τὸν δὲ ἀδελφὸν ὁρῶν οὐχ ὑπὸ δημίου, ἀλλ᾽ ὑπὸ τοῦ διαβόλου πρὸς τὸ βάραθρον τῆς ἀπωλείας ἑλκόμενον, οὐδὲ συμβουλὴν προΐεσθαι ὑπομένεις, ὥστε αὐτὸν ἐξελέσθαι τοῦ χαλεποῦ τούτου θηρίου; καὶ ποίας ἂν τύχοις συγγνώμης; ἀλλ᾽ ἰσχυρότερός σου καὶ δυνατώτερός ἐστιν; ἐμοὶ

ἐμοὶ δῆλον αὐτὸν κατάστησον, αἱρήσομαι τὴν κεφαλὴν ἀποθέσθαι μᾶλλον, ἢ τῶν ἱερῶν αὐτὸν ἀφεῖναι ἐπιβῆναι προθύρων. Πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν παῖδας μετὰ ταλαιπωρίας ἄγειν τὴν ἀρχὴν ἐπὶ πράγματα, προοίμια μὲν ἔχοντα ἐπίμοχθα, τὸ δὲ τέλος χρηστόν, ἡμᾶς δὲ αὐτοὺς ἀπενδυτίας περὶ τὴν πνευματικὴν διακεῖσθαι πραγματείαν; Καὶ γὰρ εἴ τις ἔξωθέν ποθεν ἡμῖν ἐπιστάς, καὶ τοῦ Χριστοῦ τὰ προστάγματα καὶ τῆς πολιτείας τῆς ἡμετέρας τὴν σύγχυσιν καταμάθοι καλῶς, οὐκ οἶδα τίνας ἑτέρους, μᾶλλον ἢ ἡμᾶς, ἐχθροὺς ὑπολήψεται εἶναι τοῦ Χριστοῦ. καθάπερ γὰρ ἐσπουδακότες τὴν ἐναντίαν αὐτοῦ ἐλθεῖν τοῖς ἐπιτάγμασιν, οὕτω ταύτην ὠδεύσαμεν τὴν ὁδόν. ὅταν γὰρ ἃ μὲν ἐπιτάττει ποιεῖν, εὔκολα καὶ ῥᾷστα τοῖς βουλομένοις, ἃ δὲ ἀπαγορεύει, χαλεπὰ καὶ ἐπίπονα· ἡμεῖς δὲ τὰ προστεταγμένα ἀφέντες, τὰ κεκωλυμένα πράττωμεν, ἆρα οὐχὶ φιλονεικοῦντας αὐτῷ ταῦτα ἀντιτείνειν φήσουσιν ἡμᾶς ὡς ἐχθρούς; Ἀλλ' ὥσπερ τοῖς ἀγαθοῖς ἔθος ταῦτα τοῖς πλησίον παραινεῖν, δι' ὧν αὐτοὶ γεγόνασιν ἀγαθοί· οὕτω καὶ τοῖς πονηροῖς ἔθος ταῦτα εἰσηγεῖσθαι τοῖς πλησίον, δι' ὧν αὐτοὶ γεγόνασι φαῦλοι. ἓν γὰρ [αὐτοῖς] καὶ τοῦτο τῆς πονηρίας αὐτῶν εἶδός ἐστι· καὶ παραμυθίαν ἡγοῦνται τῆς οἰκείας κολάσεως, τὴν ἑτέρων ἀπώλειαν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. α' ἐπισ. — *Ἐκ τοῦ λόγου πρὸς Δημήτριον μοναχ.* — *Ἐκ τοῦ ε' λόγ. εἰς τὸν Ὀζίαν.*

Τίς ὑμῶν, εἰπέ μοι, ἐν οἰκίᾳ γενόμενος πυκτίον ἔλαβε χριστιανικὸν μετὰ χεῖρας, καὶ τὰ ἐγκείμενα ἐπῆλθε καὶ ἠρεύνησε τὴν γραφήν; οὐδεὶς ἂν ἔχοι ταῦτα εἰπεῖν· ἀλλὰ πεττοὺς μὲν καὶ κύβους παρὰ τοῖς πλείοσιν εὑρήσομεν, βιβλία δὲ οὐδαμοῦ, ἀλλὰ παρ' ὀλίγοις· καὶ οὗτοι δὲ τοῖς οὐκ ἔχουσιν ὁμοίως διάκεινται, δήσαντες αὐτὰ καὶ ἀποθέμενοι ἐν κιβωτίοις διαπαντός· καὶ ἡ πᾶσα αὐτοῖς σπουδὴ περὶ τὴν τῶν ὑμένων λεπτότητα, καὶ τὸ τῶν γραμμάτων κάλλος, οὐ περὶ τὴν ἀνάγνωσιν. οὐ γὰρ ὑπὲρ ὠφελείας ἢ κέρδους τὴν κτῆσιν αὐτῶν πεποίηνται· ἀλλὰ πλούτου καὶ φιλοτιμίας ἐπίδειξιν ποιούμενοι, περὶ ταῦτα ἐσπουδάκασι. τοσαύτη τῆς κενοδοξίας ἡ ὑπερβολή. οὐδενὸς γὰρ ἀκούω φιλοτιμουμένου, ὅτι οἶδε τὰ ἐγκείμενα, ἀλλ' ὅτι χρυσοῖς ἔχει γράμμασιν ἐγγεγραμμένα.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωαν. εὐαγγ.

Ὁ εὐνοῦχος ἐκεῖνος βάρβαρος ὤν, καὶ μυρίαις συνεχόμενος φροντίσιν, οὐκ εἰδὼς ἅπερ ἀνεγίνωσκεν, ὅμως ἀνεγίνωσκεν ἐπὶ τοῦ ὀχήματος καθήμενος. εἰ δὲ ἐν ὁδῷ τοσαύτην τὴν σπουδὴν ἐπεδείκνυτο, ἐννόησον πόσην ἐν οἴκῳ διατρίβων· εἰ τὸν καιρὸν τῆς ὁδοιπορίας οὐκ ἠνείχετο χωρὶς ἀναγνώσεως μένειν, πολλῷ μᾶλλον ἐν τῇ οἰκίᾳ καθήμενος· εἰ μηδὲν εἰδὼς ὧν ἀνεγίνωσκεν οὐκ ἀφίστατο τῆς ἀναγνώσεως, πολλῷ μᾶλλον μετὰ τὸ μαθεῖν.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν πλούσιον καὶ Λάζαρον.

Ὥσπερ γὰρ τὸ πεινῆν, σωματικῆς εὐεξίας ἐστὶ σημεῖον· οὕτω καὶ τὸ περὶ τὴν ἀκρόασιν τῶν θείων λογίων ἐσπουδακέναι, τῆς κατὰ ψυχὴν ὑγιείας τεκμήριον ἄν τις μέγιστον ποιήσαιτο.

Ἐκ τῆς ἑξαημ.

Τίνος γὰρ ἕνεκεν πολλάκις ὑμῖν ζητήματα κινοῦντές τινα, τὴν λύσιν αὐτῶν οὐκ ἐπαγόμεθα; ἐθίζοντες ὑμᾶς μὴ διαπαντὸς μεμασημένην δέχεσθαι τὴν τροφήν, ἀλλὰ πολλάκις καὶ αὐτοὺς ἐπάγειν τὴν λύσιν τοῦ νοήματος· ὅπερ ποιοῦσιν αἱ περιστεραί. καὶ γὰρ ἐκεῖναι τοὺς νεοττούς, ἕως μὲν ἂν ἐν τῇ καλιᾷ μένωσι, τῷ οἰκείῳ τρέφουσι στόματι· ἐπειδὰν δὲ αὐτοὺς ἴδωσιν ἐξαγαγεῖν τῆς νοσσιᾶς, καὶ ἴδωσιν αὐτοὺς τὰ πτερὰ ἐκτείνοντας, οὐκέτι τοῦτο λοιπὸν ποιοῦσιν, ἀλλὰ φέρουσι μὲν τὸν κόκκον ἐπὶ τοῦ στόματος, καὶ ἐπιδεικνύουσιν· ἐπειδὰν δὲ οἱ νεοττοὶ προσδοκήσαντες πλησίον ἔλθωσιν, αἱ μητέρες ἀφεῖσαι τὴν τροφὴν ἐπὶ τοῦ ἐδάφους, δι' ἑαυτῶν κελεύουσιν ἀναλέγεσθαι· οὕτω καὶ ἡμεῖς ποιοῦμεν, λαμβάνοντες τὴν πνευματικὴν τροφὴν ἐπὶ τοῦ στόματος, κινοῦμεν ὑμᾶς, ὡς δηλώσοντες ὑμῖν συνήθως τὴν λύσιν· ἐπειδὰν δὲ προσέλθητε καὶ προσδοκήσητε δέξασθαι, ἀφίεμεν ῥήματα, ὥστε ὑμᾶς δι' ὑμῶν αὐτῶν ἀναλέξασθαι τὰ νοήματα.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ Σαῦλος ἔτι ἐμπν.

Καὶ καθάπερ οἱ κιθαρῳδοί, τοὺς δακτύλους τῶν μαθητῶν αὐτῶν λαμβάνοντες ἠρέμα τοῖς φθόγγοις προσάγουσι, καὶ διαψηλαφᾶν μετ' ἐμπειρίας παιδεύουσι, διδάσκοντες ἐκ τῶν ἀφώνων δακτύλων τε καὶ νεύρων πάσης φωνῆς ἡδεῖάν τε καὶ γλυκυτέραν κατασκευάζειν φωνήν· οὕτω δὴ καὶ ἡμεῖς ποιοῦμεν. ὥσπερ γὰρ ἐπὶ τῆς κιθάρας ἅπτεται μὲν ὁ τεχνίτης τῶν νεύρων, ἅπτεται δὲ καὶ ὁ ἄτεχνος· καὶ ὁ μὲν λυπεῖ τῶν ἀκροατῶν, ὁ δὲ ψυχαγωγεῖ καὶ τέρπει· καίτοιγε οἱ αὐτοὶ δάκτυλοι, καὶ αἱ αὐταὶ νευραί, ἀλλ' οὐχ ἡ αὐτὴ ἐμπειρία· οὕτω δὴ καὶ ἐπὶ

Ἐκ λόγου εἰς τὸ ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ.

τῶν θείων γραφῶν. ἐπέρχονται μὲν πολλοὶ τὰ θεῖα λόγια, ἀλλ' οὐ πάντες κερδαίνουσιν, οὐδὲ καρποῦνται πάντες. τὸ δὲ αἴτιον, ἐπειδὴ οὔτε τοῖς εἰρημένοις ἐμβαθύνουσιν, οὔτε μετὰ τέχνης τῆς κιθάρας ἅπτονται. ὃ γὰρ ἐπὶ τῆς κιθαρῳδίας ἡ τέχνη, τοῦτο ἐπὶ τῶν τοῦ Θεοῦ νόμων ἡ διὰ τῶν ἔργων ἐπίδειξις.

Ἐκ τοῦ λόγ. εἰς τὸ χρησίμως τὰς περὶ τοῦ Χριστοῦ καὶ ἐθνῶν καὶ τῆς ἐκπτώσεως Ἰουδαίων προφητείας ἀκροᾶσθαι.

Καὶ καθάπερ ἐπὶ τῶν ἀρρωστούντων οὐκ ἀναγκαῖον ζωμοὺς καὶ ἐξεζησμένην παραθεῖναι τράπεζαν, ἀλλὰ δεῖ παρασκευάσαι τὰ σιτία, ἵνα, ἂν τοῦτο ὁ κάμνων μὴ βουληθῇ, τὸ ἕτερον λάβῃ, κἂν ἐκεῖνο μὴ προσίηται, τὸ ἄλλο δέξηται, κἂν τοῦτο διακρούσηται, ἐπιλάβηται θατέρου, καὶ τῇ ποικιλίᾳ τὴν δυσκολίαν νικήσωμεν, καὶ τῷ πολυτρόπῳ τῆς τραπέζης τὸ δυσάρεστον τῆς γνώμης θεραπεύσωμεν· οὕτω καὶ ἐπὶ τῆς πνευματικῆς ἑστιάσεως χρὴ ποιεῖν, ὅταν ἀσθενεῖς ὦμεν· ἵνα ἐκ πολλῶν καὶ ποικίλων παραδειγμάτων ῥᾳδία γένηται ἡμῖν τῶν συμφερόντων ἡ αἵρεσις.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Μὴ δὴ βαρύνεσθε τὴν παραίνεσιν· εἰ γὰρ βαρύνεσθαι ἔδει, ἐμὲ ἔδει τὰ αὐτὰ πολλάκις λέγοντα καὶ οὐκ ἀκουόμενον, οὐχὶ δὲ ὑμᾶς, τοὺς ἀεὶ μὲν ἀκούοντας, ἀεὶ δὲ παρακούοντας.

Ἐκ τοῦ λόγ. εἰς τὸ, Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς.

Ἢ οὐκ οἴδατε, ὅτι τῆς θείας ἀκροάσεως ὑπερορῶντες, καὶ τὸ εἶναι ἄνθρωποι διὰ τῆς ὑπεροψίας ταύτης ἀπώλεσαν, καὶ τῆς εὐγενείας αὐτῆς ἐξέπεσον; ὁ μεγαλοφωνότατος Ἡσαΐας εἰς τὴν πόλιν τῶν Ἰουδαίων τὴν μητρόπολιν εἰσελθὼν τὴν πολυάνθρωπον, τὰ Ἱεροσόλυμα λέγω, ἐν μέσαις ταῖς ἀγοραῖς ἑστώς, τοῦ δήμου παντὸς αὐτῷ περιεστῶτος, βουλόμενος δεῖξαι, ὅτι ὁ μὴ τοῖς θείοις προσέχων λογίοις, οὐκ ἔστιν ἄνθρωπος, ἐβόα λέγων· Ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος. διὰ τοῦτο ἐπειδὴ ἦλθε, καὶ οὐκ ἦν ἄνθρωπος, ἐκάλεσε, καὶ οὐκ ἦν ὁ ὑπακουσόμενος, πρὸς τὰ στοιχεῖα τρέπει τὸν λόγον, καί φησιν· Ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ· ἐγὼ μὲν γάρ, φησι, πρὸς ἀνθρώπους ἀπεστάλην, πρὸς ἀνθρώπους νοῦν ἔχοντας· ἐπειδὴ δὲ οὔτε λόγον, οὔτε αἴσθησιν ἔχουσι, διὰ τοῦτο τοῖς οὐκ ἔχουσιν αἴσθησιν στοιχείοις διαλέγομαι, εἰς κατηγορίαν τῶν αἰσθήσει τετιμημένων μέν, οὐ χρωμένων δὲ τῇ τιμῇ. καὶ ὁ Ἱερεμίας ἐν μέσῳ τῷ πλήθει τῶν Ἰουδαίων ἑστώς, ἐν αὐτῇ τῇ πόλει, ὥσπερ οὐδενὸς παρόντος, οὕτως ἐβόα· Πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι; τί λέγεις; τοσοῦτον πλῆθος ὁρῶν, ἐρωτᾷς πρὸς τίνα λαλήσεις; ναί, φησι· τὸ πλῆθος γὰρ τοῦτο, σωμάτων ἐστὶ πλῆθος οὐκ ἐχόντων ἀκοήν· ἀπερίτμητα γὰρ τὰ ὦτα αὐτῶν, καὶ οὐ δύνανται ἀκούειν. Εἰ δὲ οὐδὲ παρόντας, ἐπειδὴ μὴ προσέχουσι μετὰ σπουδῆς τοῖς λεγομένοις, οὐδὲ ἀνθρώπους εἶναί φασιν οἱ προφῆται· τί ἂν εἴποιμεν ἡμεῖς περὶ τῶν οὐ μόνον οὐκ ἀκροωμένων, ἀλλ' οὐδὲ ἐπιβαίνειν τῶν ἱερῶν τούτων προθύρων ἀνεχομένων; οὐδὲ γὰρ εἴ τις σῶμα ἀνθρώπου καὶ φωνὴν ἔχοι, οὗτος ἄνθρωπος· ἀλλ' εἴ τις ψυχὴν ἀνθρώπου καὶ διάθεσιν ἔχοι.

Ἡσ. ν. β.

Ἡσ. α. β.

Ἱερ. ς. ι.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Οἶδα ὅτι πολλοὶ ἀηδῶς τὸν περὶ [illegible] ἀκούουσι λόγον· ἀλλὰ τί τὸ κέρδος τῆς σιγῆς; κἂν γὰρ σιγήσω καὶ μηδὲν ἐνοχλήσω διὰ ῥημάτων, ἀδύνατον διὰ τῆς σιγῆς ταύτης τῆς κολάσεως ἀπαλλάξαι ὑμᾶς· ἀλλὰ καὶ τοὐναντίον ἅπαν ἐντεῦθεν γίνεται· ἐπιτείνεται τὰ τῆς τιμωρίας, καὶ οὐχ ὑμῖν μόνον, ἀλλὰ καὶ ἐμοὶ προξενεῖ τὴν κόλασιν ἡ τοιαύτη σιγή. τίς οὖν ἡ τῶν ῥημάτων χάρις, ὅταν εἰς τὰ ἔργα μὴ βοηθῇ, ἀλλὰ καὶ καταβλάπτῃ; τί δὲ κέρδος εὐφραίνειν λόγῳ, καὶ λυπῆσαι πράγμασι, καὶ τέρψαι τὴν ἀκοήν, καὶ κολάσαι τὴν ψυχήν; διόπερ ἀναγκαῖον ἐν τῷ λυπεῖν, ἵνα μὴ τὴν ἐσχάτην ἀποδῶμεν ἐκεῖ τιμωρίαν, καὶ τὴν ἀνύποιστον ὑποστησώμεθα κόλασιν.

Ἐκ τοῦ λόγ. ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν.

Οὐ τοίνυν δυσχεραίνειν ἐπὶ τοῖς εἰρημένοις χρή, ἀλλ' ἀποδέχεσθαι καὶ ἐπαινεῖν. εἰ δέ τινες ἀηδέστερον διάκεινται, καὶ δυσχεραίνουσι ταύτης ἡμῶν τῆς ἀπολογίας, ἐκεῖνο ἂν εἴποιμι πρὸς αὐτούς, ὅτι οὐκ ἐμαυτοῦ νόμους [ὑμῖν] ἐκτίθεμαι, ἀλλ' ἐκ τῶν οὐρανῶν καταβάντα ἀναγινώσκω γράμματα· καὶ ἀνάγκη τὸν ταύτην ἐμπιστευθέντα τὴν διακονίαν, ἢ πάντα μετὰ παρρησίας εἰπεῖν τὰ ἐγκείμενα, τὸ συμφέρον, ἀλλὰ μὴ τὸ ἡδὺ καὶ πρὸς χάριν τοῖς ἀκροαταῖς ἐκζητοῦντα· ἢ τὴν τῶν ἀκουόντων ὑποϊδόμενον ἀπέχθειαν, καὶ τὴν ἑαυτοῦ, καὶ τὴν ἐκείνων προέσθαι σωτηρίαν, διὰ τῆς ἀκαίρου ταύτης χάριτος. ὅτι γὰρ καὶ τοῖς λέγουσι, καὶ τοῖς ἀκούουσι σφόδρα ἐπικίνδυνον, τὸ τῶν θείων ἀποκρύπτεσθαί τι νόμων· καὶ ὅτι φόνων ὑπεύθυνοι οἱ διδάσκαλοι κρίνον-

ται, ὅταν μὴ πάντα χωρὶς ὑποστολῆς ἐξηγῶνται τοῦ Θεοῦ τὰ δικαιώματα, Παῦλον ὑμῖν καὶ
τούτων πάλιν παρέξομαι μάρτυρα. διὰ γὰρ τοῦτο συνεχῶς ὑπὲρ ἁπάντων ἐπὶ τὴν ἁγίαν
ἐκείνην καταφεύγω ψυχήν, ὅτι χρησμοί τινές εἰσι θεῖοι νόμοι τὰ Παύλου ῥήματα. οὐ γὰρ
Παῦλός ἐστιν ὁ λαλῶν, ἀλλὰ Χριστὸς ὁ τὴν ἐκείνου ψυχὴν κινῶν· δι᾽ ἐκείνου γὰρ φθέγγεται
5 πάντα, ἅπερ ἐκεῖνος εἶπε. τί τοίνυν φησί; Καθαρὸς εἰμὶ ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. Πράξ. κ. κζ.
διὰ τί; οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. ὡς
εἰ ὑπεστείλατο τοῦ μὴ ἀναγγεῖλαι, οὐκ ἂν ἦν καθαρὸς ἐκ τοῦ αἵματος, ἀλλ᾽ ὡς ἀνδροφό-
νος ἐκρίνετο. καὶ μάλα εἰκότως. ὁ μὲν γὰρ ἀνδροφόνος τὸ σῶμα ἀναιρεῖ μόνον, καὶ τῷ παρ᾽ ὄντι
παραδίδωσι θανάτῳ· ὁ δὲ πρὸς χάριν δημηγορῶν, καὶ ῥαθυμοτέρους ποιῶν τοὺς ἀκροατάς,
10 τὴν ψυχὴν ἀπόλλυσι, καὶ πρὸς ἀθανάτους παραπέμπει κολάσεις καὶ τιμωρίας. τίς
οὖν οὕτως ὠμὸς καὶ ἀπάνθρωπος καὶ ἀσυμπαθής, ὡς ἐγκαλεῖν τῷ λέγοντι καὶ διαλεγομένῳ
περὶ τῆς τοῦ Θεοῦ συνεχῶς ὀργῆς, τοσαύτην κόλασιν ὑφίστασθαι μέλλοντι, εἰ σιγήσειεν; εἰ
μὲν γὰρ ἐγὼ σιγήσας ἀπέκρυπτον τῇ σιγῇ τὰ ἁμαρτήματα, καλῶς ἐδυσχέραινεν ἕκαστος καὶ
ἠγανάκτει δικαίως, μὴ σιγῶντος ἐμοῦ. εἰ δὲ καὶ ἡμῶν σιγώντων νῦν, ἀνάγκη πάντως ἐκεῖ
15 φανῆναι τὰ πλημμελήματα, τί τὸ ὄφελος ἀπὸ τῆς σιγῆς γένοιτ᾽ ἄν; Ὁ πρὸς τὸ Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β ἐπι.
συμφέρον τῶν ἀκουόντων ὁρῶν, κἂν ἐγκωμιάζῃ αὐτούς, οὐ μόνον οὐκ ἐγκαλεῖσθαι ἄξιος,
ἀλλὰ καὶ στεφανοῦσθαι· κἂν σιγᾷ, τότε ἐγκαλεῖσθαι. ἐπεὶ καὶ ὁ Δαβὶδ εἰ ἐσίγησεν ἐπὶ τοῦ
Γολιάθ, οὐκ ἂν εἴασεν αὐτὸν ἐξελθεῖν εἰς τὴν παράταξιν, οὐδὲ τὸ λαμπρὸν ἐκεῖνο
στῆσαι τρόπαιον. Διὰ τοῦτο καὶ ἤδη διελέχθην ὑμῖν πολλάκις, καὶ νῦν προλέγω, οὐκέτι Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κολασσαεῖς.
20 παραινῶν, ἀλλ᾽ ἐπιτάττων καὶ παραγγέλλων· ὁ βουλόμενος ἀκουέτω, ὁ δὲ μὴ βουλόμενος, ἀ-
πειθείτω· ὅτι ἂν ἐπιμείνητε τοῖς παρ᾽ ὑμῶν γινομένοις κακοῖς, οὐκ ἀνέξομαι, οὐδὲ δέξομαι
ὑμᾶς, οὐδὲ ἀφήσω τὸν οὐδὸν ὑπερβῆναι τούτων. τί γάρ μοι δεῖ πλήθους νοσούντων; δώ-
δεκα ἦσαν μόνον μαθηταί, καὶ ἄκουσον τί φησιν ὁ Χριστὸς πρὸς αὐτούς, Μὴ καὶ ὑμεῖς θέλετε ὑπά- Ἰωάν. ς. ξζ.
γειν; ἂν γὰρ δι᾽ ὅλου κολακεύωμεν, πότε ἀνακτησόμεθα, πότε ὠφελήσομεν; ἀλλ᾽ εἰσί, φη-
25 σιν, αἱρέσεις [πολλαὶ] ἕτεραι, καὶ μετατίθενται. ψυχρὸς οὗτος ὁ λόγος· Κρείσσων εἷς ποιῶν τὸ θέ-
λημα Κυρίου, ἢ μύριοι παράνομοι. ἐπεὶ καὶ σὺ τί βούλει, εἰπέ μοι, μυρίους δραπέτας ἔχειν
καὶ κλέπτας οἰκέτας, ἢ ἕνα εὔνουν; ὁ βουλόμενος ἀποπηδάτω, οὐκ ἀνέχομαι οὐδενός. Ταῦ-
τα τὰ ῥήματα τὰ πάντα διέφθειρεν· ἵνα ἀπέλθῃ, φησί, καὶ μετατεθῇ πρὸς ἑτέραν αἵρεσιν.
ἀσθενής ἐστι, συγκατάβηθι. μέχρι τίνος; μέχρι πότε; ἅπαξ καὶ δὶς καὶ τρίς; μὴ διαπαν-
30 τός; ἰδοὺ προλέγω πάλιν καὶ διαμαρτύρομαι κατὰ τὸν μακάριον Παῦλον· ὅτι ἂν ἔλθω εἰς τὸ
πάλιν, οὐ φείσομαι. καὶ γὰρ ὅταν μέλλω κρίνεσθαι ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ, μακρὰν καὶ ὑ-
μεῖς στήσεσθε, καὶ ἡ παρ᾽ ὑμῶν χάρις, ἐμοῦ τὰς εὐθύνας παρέχοντος. ὥστε συμφέρει δάκνεσθαι
διὰ τῆς τῶν ῥημάτων ἀλγηδόνος τοὺς ἁμαρτάνοντας, ἵνα τῆς διὰ τῶν πραγμάτων αἰωνίας
ἀπαλλαγῶσιν. Οἶδα ὅτι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις, καὶ ὅτι οὐδεὶς καυχήσεται ἁγνὴν Ἐκ τοῦ λόγ. τοῦ εἰς τὰ Σεραφείμ.
35 ἔχειν τὴν καρδίαν. ἀλλ᾽ οὐ τοῦτό ἐστι τὸ δεινόν, ὅτι ἁγνὴν καρδίαν οὐκ ἔχομεν, ἀλλ᾽ ὅτι τοιαύ-
την μὴ ἔχοντες, οὐδὲ τῷ δυναμένῳ ποιῆσαι ταύτην ἁγνὴν προσερχόμεθα. οἶδα ὅτι δάκνει
τὰ ῥήματα. ἀλλὰ τί πάθω; εἰ μὴ πικρὰ ἐπιθῶμαι τὰ φάρμακα, τὰ τραύματα οὐκ ἀφαι-
ρεθήσεται· ἂν πικρὰ ἐπιθῶμαι, ὑμεῖς τὴν ὀδύνην οὐ φέρετε. στενά μοι πάντοθεν, πλὴν ἀλλὰ
ἀναγκαῖον ἀναχεῖν τὴν χρείαν λοιπόν· καὶ γὰρ ἱκανὰ τὰ εἰρημένα πρὸς διόρθωσιν τῶν προσεχόντων.
40 ἂν δὲ ἀδιόρθωτοι μείνωμεν, εἰς αὐτὰς τὰς τοῦ κριτοῦ παραδοθησόμεθα χεῖρας· ἴστε δὲ πάντως, ὡς
φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. Καὶ γὰρ ὁ μηδὲν κατωρθωκὼς ὅλως ῥαθυ- Ἐκ τῶν ἀνδριάντ.
μεῖ, καὶ ἀναπίπτει ταχέως· ὁ δὲ συνειδὼς ἑαυτῷ, ὅτι μίαν γοῦν ἐντολὴν ἐπλήρωσέ τινα, εὔελπις
ἀπὸ ταύτης γενόμενος, μετὰ πλείονος σπουδῆς ἐπὶ τὰς λοιπὰς βαδιεῖται πάλιν· εἶτα ἑτέραν
προσλαβών, ἐφ᾽ ἑτέραν ἀποστήσεται. εἰ γὰρ ἐπὶ τῶν χρημάτων ὅσῳπερ ἄν τις πλείονα περιβάλληται,

τοσούτῳ πλειόνων ἐφίεται· πολλῷ μᾶλλον ἐπὶ τῶν κατορθωμάτων τῶν πνευματικῶν τοῦτο συμβαῖνον ἴ-
δοι τις ἄν. διὰ τοῦτο δέομαι καὶ ἀντιβολῶ, τούτων μου τῶν ῥημάτων μὴ κατὰ τὴν πρώτην ἡμέραν μεμνῆσθαι
μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκίας καὶ ἐπὶ τῆς ἀγορᾶς, καὶ ὅπουπερ ἂν διατρίβητε. εἴθε μοι δυνατὸν ἦν
ὑμῖν ἀεὶ συγγίνεσθαι, καὶ οὐκ ἂν μοι τῆς μακρᾶς ταύτης ἔδει νῦν κατηγορίας. νῦν δὲ ἐπειδὴ τοῦτο
οὐκ ἔνι, ἀντ' ἐμοῦ τῶν ἐμῶν μέμνησθε ῥημάτων· καὶ ἐπὶ τραπέζης καθήμενοι, ἐπεισιέναι με 5
νομίζετε καὶ παρεστάναι, καὶ ταῦτα ἐπηχεῖν, ἅπερ ἐνταῦθα λέγω νῦν. καὶ ὅπουπερ ἂν περὶ ἐμοῦ
λόγος γίνηται ὑμῖν, ἀντὶ πάντων ταύτης μέμνησθε τῆς ἐντολῆς· καὶ ταύτην μοι τῆς περὶ
ὑμᾶς ἀγάπης ἀπόδοτε τὴν ἀμοιβήν. καὶ τοῦτο δὲ παραινοῦμεν, οὐ τοῖς κακῶς μόνον λέ-
γουσιν, ἀλλὰ καὶ τοῖς ἀκούουσι, διαλεγομένων ἑτέρων τὰς ἀκοὰς ἀποφράττειν, καὶ τὸν προ-
φήτην μιμεῖσθαι τὸν λέγοντα· Τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. 10

(Ψαλ. ρ. ε.)

καὶ εἰπὲ πρὸς τὸν κατηγοροῦντα, εἰ εἶχες ἐπαινέσαι ἵνα καὶ ἐγκωμιάσαι, ἤνοιξα ἂν τὰς
ἀκοάς, καὶ ἐδεξάμην τὸν λόγον· εἰ δὲ κακῶς θέλεις εἰπεῖν, ἀποφράττω τὴν εἴσοδον τοῖς
ῥήμασιν· οὐ γὰρ ἀνέχομαι κόπρον καὶ βόρβορον δέχεσθαι. τί γάρ μοι κέρδος μαθεῖν, ὅτι πο-
νηρὸς ὁ δεῖνα; μέγιστον μὲν οὖν ἀπὸ τούτου βλάβος καὶ ἐσχάτη ζημία. ποίαν γὰρ ἕξομεν ἀπολο-
γίαν ἢ συγγνώμην, ὅταν τὰ ἡμέτερα μηδὲ εἰς νοῦν λαμβάνοντες, ὑπὲρ τὰ ἀλλότρια πο- 15
λυπραγμονῶμεν καὶ περιεργαζώμεθα; Βέλτιον γὰρ ἀγνοεῖν καλῶς, ἢ μανθάνειν κακῶς.

(Ἐκ τῆς ἑξ. τῆς κατὰ Ματθ. εὐαγγ.)

ὁ μὲν γὰρ οὐκ εἰδὼς τὴν αἰτίαν, ταχέως ἐπὶ τὴν ἀλήθειαν ἥξει· ὁ δὲ, ἐπειδὴ τὴν οὖσαν οὐκ οἶδε,
τὴν οὐκ οὖσαν πλάττων, οὐ δυνήσεται τὴν οὖσαν ῥᾳδίως δέξασθαι· ἀλλὰ δεῖ πλείονος
αὐτῷ καὶ πόνου καὶ ἱδρῶτος, ὥστε τὸ πρότερον ἀνελεῖν. Καὶ εἴ τινα ἴδῃς σκεύη κατασκευ-

(Ἐκ τῆς αὐτῆς.)

άσαντα ἱερά, ἢ ἄλλον τινὰ ἐκκλησίας κόσμον περὶ τοίχους καὶ ἔδαφος, μὴ κέλευε πραθῆ- 20
ναι, ἢ ἀνατραπῆναι τὸ γινόμενον, ἵνα μὴ πηρώσῃς αὐτοῦ τὴν προθυμίαν· ἂν δὲ πρὶν ἢ κατα-
σκευάσαι τις ἔρηται, κέλευε δοθῆναι πτωχοῖς. καταφρονεῖ δὲ καὶ τῶν τοῦ βίου τερπνῶν ὡς οὐ
μενόντων· καὶ τῶν λυπηρῶν ὡς οὐ βλαπτόντων. ὡς γὰρ οἱ ἐπ' ἀλλοτρίας διατρίβοντες, πάν-
τα ποιοῦσι καὶ πραγματεύονται πρὸς τὴν ἐπὶ τῇ πατρίδι κατάστασιν, καὶ καθ' ἑκάστην ἐ-
πείγονται τὴν ἡμέραν, τὴν ἐπανάγουσαν ἰδεῖν· οὕτω καὶ ὁ τῶν μελλόντων ἐρῶν, οὔτε τοῖς λυπη- 25
ροῖς παροῦσι ταπεινωθήσεται, οὔτε τοῖς χρηστοῖς ἐπαρθήσεται, ἀλλ' ἑκάτερα παραδραμεῖται,
καθάπερ ὁδὸν βαδίζων. οὕτω τοίνυν καὶ ἡμᾶς διακεῖσθαι χρή, κἂν ὀλίγα ἔτη ζήσωμεν (γρ. ἰδοῦ)
ἐνταῦθα, πολλὰ νομίζειν αὐτὰ τῇ ἐπιθυμίᾳ τῶν μενόντων. ταῦτα δὲ λέγω, οὐ τῆς παρού-
σης ζωῆς κατηγορῶν (μὴ γένοιτο· καὶ γὰρ καὶ τοῦτο ἔργον Θεοῦ) ἀλλὰ πρὸς τὸν ἔρωτα τῶν
μενόντων ὑμᾶς ἀλείφων, ὥστε μὴ ἐμφιλοχωρεῖν τοῖς παροῦσι, μηδὲ προσηλῶσθαι τῷ 30
σώματι, μηδὲ κατὰ τοὺς μικροψύχους τῶν πολλῶν διακεῖσθαι, οἳ, κἂν μυρία ζήσωσιν ἔτη, ὀλίγα
ταῦτα εἶναί φασιν. ὧν τί γένοιτ' ἂν ἀλογώτερον, εἰ οὐρανοῦ προκειμένου, καὶ τῶν ἐν τοῖς οὐ-
ρανοῖς ἀγαθῶν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, πρὸς τὰς σκιὰς κεχήνασι· καὶ τὸν
εὔριπον τοῦ παρόντος διαπερᾶν οὐ βούλονται βίου, κύμασι διηνεκέσι, καὶ χειμῶσι καὶ ναυαγίοις ἐγ-
καλινδούμενοι; ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ἔσπευδε καὶ ἠπείγετο· καὶ ἓν αὐτὸν κατεῖχε 35
μόνον, ἡ τῶν ἀνθρώπων σωτηρία, καὶ τὸ μὴ τῆς βασιλείας τοῦ Θεοῦ αὐτοὺς ἐκπεσεῖν· ἧς γέ- (γρ. τῶν ἱερῶν)
νοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ
ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

40

ΠΕΡΙ ΕΛΕΗΜΟΣΥΝΗΣ ΚΑΙ ΦΙΛΟΞΕΝΙΑΣ.

Λογ. ιη.

Ὁ τῆς ἐλεημοσύνης λόγος, ἀγαπητοί, οὐ πρὸς τοὺς πλουσίους ἁρμόζει μόνον, ἀλλὰ καὶ πρὸς τοὺς πένητας· κἂν ᾖ τις ἐκ τοῦ προσαιτεῖν τρεφόμενος, καὶ πρὸς αὐτόν ἐστιν ὁ λόγος οὗτος. οὐ γάρ ἐστιν οὕτως οὐδεὶς πένης, κἂν σφόδρα πένης ᾖ, ὡς δύο λεπτῶν μόνον μὴ εὐπορεῖν. ἔνεστι τοίνυν καὶ ἐξ ὀλίγων ὀλίγα δόντα τοὺς πολλὰ κεκτημένους ὑπερβαλέσθαι πλείονα διδόντας· καθάπερ κἀκείνη ἡ χήρα. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων, ἀλλὰ τῇ δυνάμει καὶ τῇ προαιρέσει τῶν διδόντων κρίνεται τῆς ἐλεημοσύνης τὸ μέγεθος.

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Οὐ γὰρ τοῦτο χρὴ σκοπεῖν, ὅτι δύο κατέβαλεν ὀβολοὺς ἡ χήρα, ἀλλ' ὅτι μόνους ἔχουσα τούτους οὐκ ἐφείσατο, ἀλλ' ὁλόκληρον τὴν οὐσίαν εἰσήνεγκεν. οὐ τοίνυν περιουσίας, ἀλλὰ προθυμίας ἡμῖν δεῖ. ὥσπερ γὰρ ταύτης παρούσης, οὐδὲν βλάβος γένοιτ' ἂν ἀπὸ πενίας· οὕτως ἀπούσης, οὐδὲν ὄφελος γένοιτ' ἂν ἐξ εὐπορίας.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ χήρα καταλεγ.

Διὰ γὰρ τοῦτο οἱ πλουτοῦντες τῶν πενήτων μᾶλλον κολασθήσονται κακοὶ ὄντες, ὅτι μηδὲ ἐν εὐθηνίᾳ γεγόνασιν ἥμεροι. μὴ γάρ μοι λέγε, ὅτι ἔδωκαν ἐλεημοσύνην. εἰ γὰρ μὴ κατ' ἀξίαν ἔδωκαν τῆς οὐσίας, οὐδ' οὕτως τὴν κόλασιν διαφεύξονται. οὐ γὰρ τῷ μέτρῳ τῶν διδομένων ἡ ἐλεημοσύνη κρίνεται, ἀλλὰ τῇ δαψιλείᾳ τῆς γνώμης.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ.

Ἆρά γε δυνατὸν πλούσιον σωθῆναι; καὶ πάνυ. ὁ Ἀβραὰμ πλούσιος ἦν. εἶδες αὐτοῦ τὸν πλοῦτον; βλέπε αὐτοῦ καὶ τὴν φιλοξενίαν. κατὰ γὰρ τὸ μεσημβρινὸν ὤφθη αὐτῷ Κύριος πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ καθημένῳ, καὶ τρεῖς ἄνδρες. καὶ ἀνάστας (οὐ γὰρ ἐνόμιζεν ὅτι Θεὸς ἦν ὁ παρών, πῶς γάρ;) προσεκύνησε καὶ λέγει, εἰ κεκρίκατέ με ἄξιον, ἵνα εἰσέλθητε εἰς τὴν σκηνὴν τοῦ δούλου μου. εἶδες τί ἐποίει ἐν μεσημβρίᾳ ὁ γέρων; οὐχ ὑπὸ στέγην καθήμενος, ἀλλ' ὡς ξένος καὶ ὁδοιπόρος, ὁ πλούσιος καὶ εὐγενής· καταλιπὼν οἰκίαν, γυναῖκα, παῖδας, οἰκέτας, ἐξῆλθεν ἁλιεῦσαι, σαγήνην ἁπλώσας φιλοξενίας, μήπου ξένος, μήπου ὁδοιπόρος, καὶ παραδράμῃ τὴν οἰκίαν. καὶ βλέπε τί ποιεῖ. οὐκ ἐπιτρέπει οἰκέτῃ· καίτοι τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων (ᾔδει γὰρ ὅτι ῥᾴθυμόν ἐστι τὸ γένος τῶν οἰκετῶν) μήπου ἀπονυστάξῃ ὁ οἰκέτης, καὶ παραδράμῃ ὁ ξένος, καὶ ἀπολέσωμεν τὴν ἄγραν· ἀλλ' αὐτὸς ἐκάθητο, τὴν θερμὴν ἀκτῖνα ὡς δρόσον ἐν καύματι δεχόμενος· καὶ σκιὰ ἦν αὐτῷ ἡ ἐπιθυμία τῆς φιλοξενίας. ἰδὲ ὁ Ἀβραάμ· ἰδὲ ὁ πλούσιος. καταξιοῖς σὺ ὅλως κἂν ἰδεῖν πένητα; κἂν ἀποκριθῆναι; κἂν διαλεχθῆναι; [θέλεις μιμήσασθαι τὸν Ἀβραάμ; οὐ κωλύω, ἀλλὰ καὶ βούλομαι. καίτοι μείζονα τοῦ Ἀβραὰμ ἀπαιτούμεθα. καὶ τί, φησιν, εἶχεν ὁ Ἀβραάμ; φιλόξενος ἦν.] καὶ ἀνέστη, φησίν, Ἀβραάμ, καὶ προσεκύνησεν, οὐδὲ εἰδὼς τίνες ἦσαν οἱ παρόντες. εἰ γὰρ ᾔδει, οὐδὲν θαυμαστὸν ἐποίει, ὅτι Θεὸν ἐθεράπευεν· ἀλλ' ἡ ἄγνοια τῶν παραγενομένων μείζονα αὐτοῦ δείκνυσι τῆς φιλοξενίας τὴν προθυμίαν. καὶ καλεῖ καὶ τὴν Σάρραν, κοινωνὸν ποιῶν τῆς φιλοξενίας· κοινά, φησι, τὰ τοῦ γάμου ἔσω, καὶ τὰ τῆς ἀρετῆς· σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως. καὶ οὐκ εἶπέ τι τοιοῦτο· ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἔλαχον, ἵνα με μυλωθρίδα καὶ ἀρτοποιὸν ποιήσῃς, τὸν πλοῦτον ἔχουσα τοσοῦτον; τριακοσίους δέκα καὶ ὀκτὼ δούλους ἔχεις, καὶ οὐκ ἦλθες ἐκείνοις ἐπιτάξαι, ἀλλ' ἐμὲ εἰς τὴν διακονίαν ταύτην ἐμβάλλεις; ἀλλ' ἀκούει, σπεῦσον, καὶ ἁρπάζει τὸ ἐπίταγμα. ποῦ αἱ νῦν γυναῖκες; ἆρα τοιαῦτα ἐπιτάγματα δέχονται; ἔκβαλέ μοι αὐτῆς τὴν χεῖρα, καὶ ὁρᾷς αὐτὴν κεχρυσωμένην ἔξωθεν, ἔσωθεν δὲ πολιορκίαν κεκτημένην. πόσων πενήτων πλεονεξίαν ἡ χείρ σου βαστάζει; ἔκβαλέ μοι τὴν χεῖρά σου, δεῖξον αὐτήν, τί ἐνδέδυται; πλεονεξίαν. ἔκβαλε τὴν χεῖρα τῆς Σάρρας, τί ἐνδέδυται; φιλοξενίαν, ἐλεημοσύνην, ἀγάπην, φιλοπτωχίαν. σπεῦσον, καὶ φύρασον τρία

Ἐκ τοῦ λόγ. εἰς τὸ, Μὴ φοβοῦ ὅταν πλουτίσῃ.

μέτρα σεμιδάλεως. καὶ αὐτὸς ἔδραμεν ἐπὶ τὴν ἀγέλην τῶν βοῶν. μερίζονται τὸν πόνον, ἵνα μερίσωνται τὸν στέφανον. Εἶτα ἔθυσε τὸν μόσχον. ὁμοῦ δρομεὺς ἐγένετο ὁ γέρων. οὐδὲ γὰρ ἐχαυνοῦτο αὐτῷ τῆς σαρκὸς ὁ τόνος, ἀλλ' ἐπενεύρωτο τῆς φιλοσοφίας ἡ διάνοια· ἐνίκησε τὴν φύσιν ἡ προθυμία· ὁ δεσπότης τριακοσίων δέκα καὶ ὀκτὼ οἰκετῶν, μόσχον βαστάζων οὐκ ἐβαρύνετο τῷ ἄχθει, ἀλλ' ἐκουφίζετο τῇ διανοίᾳ καὶ τῇ προθυμίᾳ. ὁ δρόμος τῷ γέροντι προὔκειτο. πόσος ὁ πόνος; ἀλλ' οὐκ ᾐσθάνετο τοῦ πόνου διὰ τὴν ἐλπίδα τοῦ κέρδους. τί οὖν ὁ ἐπαγγελλόμενος; Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός. Εἶδες οἷον καρπὸν ἐβλάστησεν ἡ τράπεζα; πῶς καλόν; πῶς ταχύν; πῶς ὥριμον; πῶς ὁ βότρυς περκάζων καὶ ἀπηρτισμένος; τοιοῦτοι τῆς φιλοξενίας οἱ καρποί.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, χήρα καταλεγέσθω.

Μὴ τοίνυν νομίζωμεν ἡμῖν ἐλαττοῦσθαι τὴν οὐσίαν, ὅταν ἐλεημοσύνην παρέχωμεν. οὐ γὰρ ἐλαττοῦται, ἀλλ' αὔξεται· οὐ δαπανᾶται, ἀλλὰ πλεονάζει καὶ πραγματεία τίς ἐστι καὶ σπόρος τὸ γινόμενον· μᾶλλον δὲ ἀμφοτέρων τούτων κερδαλεωτέρα καὶ ἀσφαλεστέρα. ἡ μὲν γὰρ ἐμπορία καὶ πνεύμασι καὶ κύμασι θαλάσσης ὑπόκειται, καὶ ναυαγίοις πολλοῖς· καὶ τὰ σπέρματα καὶ αὐχμοῖς, καὶ ἐπομβρίαις, καὶ ἑτέραις ἀέρων ἀνωμαλίαις· τὰ δὲ εἰς τὴν χεῖρα τοῦ Κυρίου καταβαλλόμενα χρήματα ἀνώτερα πάσης ἐστὶν ἐπιβουλῆς, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ λαβόντος τὰ δοθέντα ἅπαξ· ἀλλὰ μένει πολλὴν ἡμῖν καὶ ἄφατον ἐργαζόμενα τὸν καρπόν, καὶ τὸν ἀμητὸν ἐν καιρῷ φέροντα πλούσιον.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β. ἐπισ.

Εἰ γὰρ ἄνθρωπος οὐ προΐεται λαβών, ἀλλ' ἀποδώσει τὴν χάριν, πολλῷ μᾶλλον ὁ Χριστός. ὁ γὰρ καὶ χωρὶς τοῦ λαβεῖν διδούς, πῶς μετὰ τὸ λαβεῖν οὐ δώσει;

Παροιμ. ιθ. ιζ. Ἐκ τῆς ἑξαημ.

ἄκουε Σολομῶντος· Ὁ ἐλεῶν πτωχόν, φησι, δανείζει Θεῷ. Εἶδες δανείου φύσιν ξένην καὶ παράδοξον; ἕτερός ἐστιν ὁ λαμβάνων, καὶ ἕτερος ὁ τῷ δανείῳ ὑπεύθυνον ἑαυτὸν καθιστῶν.

Ἐκ τοῦ λόγ. περὶ μετανοίας.

Διὰ τί οὐκ εἶπεν, ὁ ἐλεῶν πτωχὸν δίδωσι Θεῷ, ἀλλά, δανείζει; ἵνα μὴ ἁπλῶς τὴν ἀντιμισθίαν νομίσῃς. οἶδεν ἡ γραφὴ τὴν ἡμετέραν πλεονεξίαν προσέχειν ὅτι ἡ ἀπληστία ἡμῶν πρὸς πλεονεξίαν βλέπουσα, τὸν πλεονασμὸν ζητεῖ, καὶ μηδαμοῦ τὸν χρήματα ἔχοντα δανείζειν θέλοντα τῷ πτωχῷ, ἄνευ ἀσφαλείας, ἢ ὑποθήκης, ἢ ἐνεχύρων, ἢ ἐγγύης. καὶ ἐπειδὴ εἶδεν ὁ Θεός, ὅτι ἐκτὸς τούτων οὐδεὶς δανείζει, οὐδὲ εἰς φιλανθρωπίαν βλέπει, ἀλλ' εἰς μόνον τὸ κέρδος ὁρᾷ, πάντων δὲ τούτων ἔρημος ὁ πτωχός, οὐχ ὑποθήκην ἔχων (οὐ κέκτηται γὰρ οὐδέν) οὐκ ἐνέχυρα φέρων (γεγύμνωται γάρ) οὐ τὸν ἀντιφωνοῦντα παρέχων (ἀπιστεῖται γὰρ διὰ τὴν ἀπορίαν) ὡς εἶδεν αὐτοὺς μὲν διακινδυνεύοντας τῇ ἀπορίᾳ, τοὺς δὲ ἔχοντας χρήματα κινδυνεύοντας διὰ τὴν ἀπανθρωπίαν, μέσον ἑαυτὸν παρενέθηκεν, ἔγγυος μὲν τῷ πένητι, ἐνέχυρον δὲ τῷ δανείζοντι.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ρωμ. ἐπισ.

Ὁ ἐλεῶν πτωχόν, φησι, δανείζει Θεῷ. καὶ μὴν ἂν δανείζειν δέῃ, τοὺς πολὺ διδόντας περιεργαζόμεθα, καὶ τοὺς εὐγνώμονας περισκοποῦμεν· ἐνταῦθα δὲ τοὐναντίον ποιοῦμεν· τὸν μὲν εὐγνωμονοῦντα Θεόν, καὶ ἑκατονταπλασίονα παρέχοντα ἀφίεμεν, τοὺς δὲ ἀποδώσοντας ἡμῖν οὐδὲ τὸ κεφάλαιον, τούτους ἐπιζητοῦμεν. τί γὰρ ἡμῖν ἡ γαστὴρ ἀποδώσει, τὰ πλείονα καταναλίσκουσα; κόπρον καὶ φθοράν. τί δὲ ἡ κενοδοξία; φθόνον καὶ βασκανίαν. τί δὲ ἡ φειδωλία; φροντίδα καὶ μέριμναν. τί δὲ ἡ ἀσέλγεια; γέενναν καὶ σκώληκα ἰοβόλον. οὗτοι γὰρ τῶν πλουτούντων οἱ χρεῶσται, τούτους τοῦ κεφαλαίου τοὺς τόκους καταβάλλοντες, τὰ ἐνταῦθα κακά, καὶ τὰ προσδοκώμενα δεινά. τίνος οὖν ἕνεκεν οὐ δίδως τῷ καὶ δώσοντι πάντως, καὶ πλείονα δώσοντι; τάχα ὅτι διὰ πολλοῦ δίδωσι χρόνου. καίτοιγε καὶ ἐνταῦθα δίδωσιν. ἀψευδὴς γὰρ ὁ λέγων· Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ματθ. ς. λγ.

χωρὶς δὲ τούτων, καὶ τὸ διὰ μακροῦ λαβεῖν τοῦ χρόνου, πλεονάζει σοι τὸν πλοῦτον· ὁ γὰρ τόκος γίνεται πλείων. καὶ γὰρ καὶ ἐπὶ τῶν δανειζομένων τοῦτο ὁρῶμεν τοὺς δανειστὰς ποιοῦντας, προθυμότεροι τοῖς μετὰ πολὺν καταβάλλουσι χρόνον δανείζοντας. ὁ μὲν γὰρ τὸ πᾶν εὐθέως ἀποδούς, ἐνέκοψε τοῦ τόκου τὸν δρόμον· ὁ δὲ ἐπὶ πλείονα κατασχὼν χρόνον, καὶ τὴν ἐργασίαν πλείω πεποίηκεν. Εἶτα ἐπὶ ἀνθρώπων μὲν οὐ δυσχεραίνομεν

χρεωστοῦμεν τὴν ἀναβολήν, ἀλλὰ καὶ σφιζόμεθα αὐτὴν πλείω γενέσθαι, ἐπὶ Θεοῦ δὲ οὕτω μικροψύχως διακεισόμεθα; Ὁ ἐλεῶν πτωχόν, δανείζει Θεῷ. Καὶ δανείζῃ παρ' ἐμοῦ, Κύριε, τὴν εἰς τοὺς πτωχοὺς ἐλεημοσύνην; ἵνα ποτέ μοι ταῦτα ἀποδῷς, δός μοι τῆς ἀντιδόσεως τὸν καιρόν· ὅρισον τῆς ἀπολήψεως τὴν προθεσμίαν. πότε καὶ ποῦ σοι τὴν ὀφειλὴν ἀποδίδωμι; ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ στήσῃ τὰ μὲν πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· καὶ ἐρεῖ τοῖς ἐκ δεξιῶν αὐτοῦ, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. ὑπὲρ τίνων; Ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· γυμνὸς ἤμην, καὶ ἐνεδύσατέ με. καὶ διὰ τί, ὦ Κύριε, οὐκ ἄλλων οὐδενὸς φέρεις μνήμην, ἀλλ' ἢ τῆς ἐλεημοσύνης; οὐ κρίνω, φησί, τὴν ἁμαρτίαν, ἀλλὰ τὴν ἀπανθρωπίαν· οὐ κρίνω τοὺς ἁμαρτήσαντας, ἀλλὰ τοὺς μὴ μετανοήσαντας. ὑπὲρ ἀπανθρωπίας ὑμᾶς καταδικάζω, ὅτι ἔχοντες τοσοῦτον καὶ τηλικοῦτον φάρμακον σωτηρίας τὴν ἐλεημοσύνην, ἐν ᾗ ἐξαλείφεται πάντα τὰ ἁμαρτήματα, παρήκατε τοσαύτην εὐεργεσίαν. Οὐ γὰρ διὰ τοῦτο τὰ χρήματα ἔλαβες, ἵνα εἰς τρυφὴν καταναλώσῃς, ἀλλ' ἵνα εἰς ἐλεημοσύνην ἀναλώσῃς. μὴ γὰρ τὰ σαυτοῦ ἔχεις; τὰ τῶν πενήτων ἐνεπιστεύθης· κἂν ἐκ πόνων δικαίων, κἂν ἀπὸ κλήρου πατρῴου κεκτημένος τύχῃς. μὴ γὰρ ἐπειδὴ ἀπὸ πολλῆς φιλανθρωπίας ἐκ τῶν σῶν ἐκελεύσθης διδόναι, διὰ τοῦτο καὶ σαυτοῦ νομίζῃς εἶναι ταῦτα, μηδὲ τὴν ὑπερβολὴν τῆς φιλανθρωπίας ὑπόθεσιν ποιοῦ ἀγνωμοσύνης. μὴ γὰρ οὐκ ἠδύνατο αὐτὰ ὁ Θεὸς ἀφελέσθαι σου; ἀλλ' οὐ ποιεῖ τοῦτο, σὲ κύριον ποιῶν τῆς εἰς τοὺς δεομένους φιλοτιμίας. Τίνος οὖν ἕνεκεν οὐκ ἔδωκας; ἀπιστεῖς ὅτι λήψῃ πάλιν; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; ὁ γὰρ τῷ μὴ διδόντι δούς, πῶς [ἂν] οὐ πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν δώσει; Διὰ γὰρ τοῦτό σοι πλείονα τῶν ἄλλων ἔχειν συνεχώρησεν ὁ Θεός, οὐχ ἵνα εἰς πορνείας καὶ μέθην καὶ ἀδηφαγίαν καὶ ἱματίων πολυτέλειαν καὶ τὴν ἄλλην βλακείαν ἀναλώσῃς, ἀλλ' ἵνα τοῖς δεομένοις αὐτὰ διανέμῃς. ἂν γὰρ πλέον τι τῆς χρείας εἰς σαυτὸν ἀναλώσῃς τῆς ἀναγκαίας, χρεωστήσας ἐκεῖ τὰς εὐθύνας ὑφέξεις. Ἀλλ' οἶδα πολλοὺς εἰς τοῦτο θηριωδίας ἐλθόντας, ὡς δι' ὄκνον μικρὸν λιμώττοντας περιορᾶν τοὺς πένητας, καὶ ταῦτα πρὸς αὐτοὺς λέγοντας· οὐ πάρεστιν οἰκέτης ἐμοὶ νῦν· πόῤῥω τῆς οἰκίας εἰμί· οὐδεὶς τῶν ἐνταῦθα ἐστί μοι γνώριμος. ὢ τῆς ὠμότητος· ὢ τῆς ὕβρεως. εἰ καὶ δέκα στάδια βαδίσαι ἐχρῆν, οὐδὲ οὕτως ὀκνῆσαι ἔδει, ὅτι μείζων ὁ μισθός. ὅταν μὲν γὰρ δίδῳς, ὑπὲρ τοῦ διδομένου λαμβάνεις μισθὸν μόνον· ὅταν δὲ καὶ αὐτὸς βαδίσῃς, καὶ τούτου σοι πάλιν κεῖται ἡ ἀμοιβή. ἐπεὶ καὶ τὸν πατριάρχην Ἀβραὰμ διὰ τοῦτο μάλιστα θαυμάζομεν, ὅτι τριακοσίους δέκα καὶ ὀκτὼ οἰκογενεῖς ἔχων, οὐδενὶ τούτων ἐπέταξεν, ἀλλ' αὐτὸς ἐπὶ τὰς βοῦς ἔδραμε καὶ τὸ μοσχάριον ἥρπασε. Μὴ οὖν ἐπαισχυνθῇς διὰ τῆς σαυτοῦ χειρὸς θεραπεῦσαι τὸν πένητα. ὁ Χριστὸς οὐκ ἐπαισχύνεται χεῖρα ἐκτεῖναι καὶ λαβεῖν διὰ τοῦ πένητος· καὶ σὺ χεῖρα ἐκτεῖναι καὶ δοῦναι ἀργύριον ἐπαισχύνῃ; καὶ πῶς ταῦτα οὐκ αἰσχύνης ἄξιον; Εἰ γὰρ ποτήριον ψυχροῦ μόνον βασιλείαν οὐρανῶν προξενεῖ, τὸ καὶ ὑπωρόφιον ποιῆσαι καὶ τραπέζης κοινωνόν, καὶ ἀναπαῦσαι τὸν πένητα, πόσον οἴσει τὸν καρπόν; εἰπέ μοι; μὴ τοίνυν ἐπαισχυνώμεθα ταῖς τῶν πενήτων θεραπείαις· μηδὲ παραιτώμεθα δι' ἑαυτῶν θεραπεύειν αὐτούς. ἁγιάζονται γὰρ ἡμῶν αἱ χεῖρες διὰ τῆς τοιαύτης διακονίας· κἂν εἰς εὐχὴν αὐτὰς ἀνατείνωμεν ἀπὸ τῆς θεραπείας ἐκείνης, ὁρῶν αὐτὰς ὁ Θεός, δυσωπεῖται μᾶλλον, καὶ τὴν αἴτησιν δίδωσι. τὸ μὲν γὰρ χρήματα δοῦναι, πολλῶν ἂν εἴη· τὸ δὲ δι' ἑαυτῶν θεραπεῦσαι τοὺς δεομένους καὶ μετὰ προθυμίας ποιῆσαι τοῦτο, μεγάλης ψυχῆς δεῖται καὶ φιλοσόφου. Εἴ τινα ἴδῃς ἐν τοῖς βιωτικοῖς σοι βοηθοῦντα πράγμασιν, ἢ ἐν δικαστηρίῳ συμπράττοντα, ἢ ἐν ἄλλῳ τινὶ τοιούτῳ, καὶ ἀσπάζῃ, καὶ μετὰ πολλῆς δέχῃ τῆς εὐνοίας, καὶ χεῖρας καταφιλεῖς, καὶ ἀργύρια καταβάλλεις, καὶ τὸν τῶν θεραπόντων ποιεῖς· ἂν δὲ τὸν Χριστὸν εἰσελθόντα

> Ἐκ τοῦ λόγ. τοῦ περὶ μετανοίας.
>
> Ματθ. κε. λδ.
>
> Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.
>
> Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ.
>
> Ἐκ τοῦ ς' λόγ. τοῦ εἰς τὸν πλούσιον καὶ τὸν Λάζαρον.
>
> Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.
>
> Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, χήρα καταλεγέσθω.
>
> Ἐκ τοῦ αὐτοῦ.

εἰσελθόντα ἴδῃς, οὕτως καὶ ἀναδύῃ πρὸς τὴν αὐτοῦ θεραπείαν; εἰ μὴ ὡς τὸν Χριστὸν δέχῃ τὸν ξένον, μὴ δέξῃ· εἰ δὲ ὡς τὸν Χριστὸν δέχῃ, μὴ ἐπαισχυνθῇς τοῦ Χριστοῦ νίψαι τοὺς πόδας.

Ἐκ τοῦ λόγ. τοῦ περὶ μετανοίας.

Ἀλλ' ἐν ὅσῳ πρόκειται ἡ πανήγυρις, ἀγοράσωμεν ἐλεημοσύνην· μᾶλλον δὲ διὰ τῆς ἐλεημοσύνης ἀγοράσωμεν τὴν σωτηρίαν. Χριστὸν ἐνδύεις, πτωχὸν ἐνδύων. εἰ γὰρ ποτήριον ψυχροῦ ἔμμισθον, ἱμάτια καὶ χρήματα διδόμενα δι' εὐεργεσίαν, οὐκ ἔμμισθα; τοὐναντίον μὲν οὖν καὶ πολύμισθα. Εἰ γὰρ ὅπου ἀδάπανος ἡ δόσις, τοσαύτη τῆς εὐεργεσίας ἡ χάρις· ὅπου ἱματίων ἀφθονία, χρημάτων χορηγία, τῶν ἄλλων ἀγαθῶν ἡ περιουσία, πόσον ἀπεκδέχεσθαι χρὴ μισθὸν παρὰ τοῦ δικαίου κριτοῦ; οἶδα ὅτι ταῦτα καὶ τὰ τοιαῦτα πολλάκις μεμαθήκατε. ἀλλ' εἴθε πολλάκις μαθόντες, κἂν ὀλιγάκις τὸ καλὸν ἐργαζοίμεθα. καὶ γὰρ πολλῆς ἀλογίας, ἀγρὸν μὲν βουλόμενος ὠνήσασθαι, τὴν εὐφορωτέραν ζητεῖς γῆν· οὐρανοῦ δὲ ἀντὶ γῆς παρεχομένου, παρὸν ἐκεῖ κτήσασθαι χωρίον, μένειν ἐπὶ τῆς γῆς, καὶ τὴν ἐκ ταύτης ἀνέχεσθαι πόνον.

Ἐκ τοῦ, εἰρήνην ἀφίημι μετ' αὐτῶν.

Εἰπὲ δή μοι, εἴ τις σοι ἔλεγεν, ὅτι μετ' ἐνιαυτὸν πεσεῖται αὕτη ἡ πόλις, ἢ δέκα δὲ ἔτη, ἆρα ἂν ᾠκοδόμησας οἰκίας ἐν τῇ μελλούσῃ καταπίπτειν; μὴ τοίνυν οἰκοδομῶμεν ἐν τῷ κόσμῳ τούτῳ· πεσεῖται γὰρ μικρὸν ὕστερον καὶ ἀπόλλυται. τί δὲ λέγω, πεσεῖται; πρὸ τῆς πτώσεως ἡμεῖς ἀπολλύμεθα, καὶ δεινὰ πεισόμεθα. οἰκοδομήσωμεν δὲ μᾶλλον ἡμεῖς ἐν οὐρανοῖς τὴν οἰκοδομήν, ἔνθα οὐ χρεία τεκτόνων ἡμῖν, οὐδὲ οἰκοδόμων, ἀλλ' αἱ τῶν πενήτων χεῖρες τὰς τοιαύτας οἰκοδομοῦσιν οἰκοδομάς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ βασιλείαν οὐρανῶν παρέξουσι, καὶ παρρησίαν διδόασι πρὸς τὸν Θεόν. τοιοῦτον τὸ τῆς ἐλεημοσύνης ὕψος. καὶ καθάπερ βασιλίδος εἰσιούσης οὐδεὶς τολμᾷ τῶν φυλαττόντων τὰς θύρας ἐξετάσαι, τίς εἴη καὶ πόθεν, ἀλλὰ πάντες μετὰ χαρᾶς ὑποδέχονται· οὕτω δὴ καὶ τοὺς ταύτην ἐργαζομένους ἀκωλύτως παρὰ τὸν θρόνον ἵστησι τὸν βασιλικόν. φιλεῖ γὰρ αὐτὴν ὁ Θεός, καὶ ἀεὶ πλησίον αὐτοῦ ἕστηκε, καὶ ὑπὲρ ὧν ἂν αἰτήσῃ χάριν, εὐθέως λαμβάνει.

Ἐκ τῆς ἑξαημ.

Τοσαύτη τῆς ἐλεημοσύνης ἡ περιουσία, ὡς μὴ μόνον ἁμαρτήματα ἐκκαθαίρειν, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον φυγαδεύειν. καὶ πῶς, φησιν, ἐλεημοσύνην ἐπιδειξάμενος, τοῦ θανάτου κρείττων γέγονε; καὶ μὴν ἅπαντας ὁρῶμεν ὑπὸ τὴν τυραννίδα τοῦ θανάτου γινομένους. μὴ θορυβηθῇς, ἀλλὰ δι' αὐτῶν τῶν πραγμάτων μάνθανε, ὅπως ἡ τῆς ἐλεημοσύνης δύναμις ἐνίκησε τὴν τυραννίδα.

Πράξ. θ.

καὶ γὰρ Ταβιθά τις ἐγένετο γυνή, ἥτις ἔργον ἐποιεῖτο καθ' ἑκάστην τὴν ἀπὸ τῆς ἐλεημοσύνης εὐπορίαν συλλέγειν· καὶ ἐνεδίδυσκε, φησί, τὰς χήρας, καὶ τὴν ἄλλην ἅπασαν εὐπορίαν αὐταῖς παρεῖχεν. ἐγένετο δὲ ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. τί οὖν αἱ τῆς θεραπείας ἀπολαύουσαι, καὶ τὰ σώματα σκεπόμεναι ἀπ' αὐτῆς; ἐν καιρῷ τὴν εὐεργεσίαν τὴν αὐτῆς ἀμείβονται. περιεστῶσαι γὰρ τὸν ἀπόστολον ἐδείκνυον τὰ ἱμάτια, καὶ ὅσα ἐποίει μετ' αὐτῶν, καὶ δάκρυα ἐπέχεον, καὶ εἰς οἶκτον τοῦτον ἔφερον. τί οὖν ὁ Πέτρος; τὰ γόνατα θείς, φησι, προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα,

Πράξ. θ. μ.

εἶπε· Ταβιθά, ἀνάστηθι. ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε· δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησε, καὶ φωνήσας τὰς χήρας καὶ τοὺς πρεσβυτέρους, παρέδωκεν αὐτὴν ζῶσαν. Εἶδες ὅση τῆς εὐποιίας ἡ παρὰ τὰς χήρας ἀμοιβή; ἦ γὰρ τοσοῦτον, εἰπέ μοι, παρέσχεν αὕτη ταῖς χήραις, ὅσον αὗται αὐτὴν ἠμείψαντο; τὸ γὰρ τῆς ἐλεημοσύνης μέγεθος οὐκ ἐν τῷ πλήθει τῶν διδομένων κρίνεται, ἀλλ' ἐν τῇ προθυμίᾳ τῶν διδόντων.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, χήρα καταλεγέσθω.

Οὕτως μεγάλα δύνανται πόδες ἁγίων εἰς οἰκίαν εἰσιόντες. αὐτὸ τὸ ἔδαφος ἁγιάζουσι, θησαυροὺς μυρίων εἰσάγουσιν ἀγαθῶν· φύσιν πεπηρωμένην διορθοῦνται· λιμὸν λύουσι, καὶ πολλὴν εἰσάγουσι τὴν εὐπορίαν. οἱ γὰρ καὶ τοῦ Ἠλία πόδες εἰς τὴν οἰκίαν τῆς χήρας εἰσελθόντες, καινόν τινα καὶ παράδοξον εὐεργεσίας ἐπεδείξαντο τρόπον· ἄρουραν τὴν οἰκίαν τῆς χήρας ἐποίησαν, καὶ τὴν ὑδρίαν ἅλωνα. καινός τις τρόπος σπόρου καὶ ἀμητοῦ ἐγένετο τότε. πῶς; ἔσπειρεν εἰς τὸ τοῦ δικαίου στόμα, καὶ τὰ καταβληθέντα μετὰ πολλῆς τῆς ἀφθονίας ἐκ τῆς ὑδρίας ἐθέριζεν. ἔσπειρεν ἄλευρον, καὶ ἐθέριζεν ἄλευρον. οὐκ ἐδεήθη βοῶν καὶ ζευγῶν καὶ

ἀρότρου

ὀρύττε τὰς αὔλακας· οὐδὲ ὑετοῦ καὶ ἀέρος καὶ δρεπάνης· οὐδὲ ἅλωνος καὶ δραγμάτων· οὐδὲ ἀνέμων διακρινόντων ἀπὸ τοῦ καρποῦ τὰ ἄχυρα· οὐδὲ μύλης τριβούσης· ἀλλ' ἐν μιᾷ καιροῦ ῥοπῇ τούτων ἁπάντων τὸ τέλος εὗρεν ἐπὶ τῆς ὑδρίας. τοιαῦτα τῶν ἁγίων τὰ δῶρα· τοιαῦτα χαρίζονται πόδες ἁγίων· μᾶλλον δὲ καὶ πολλῷ πλείονα τούτων. καὶ εἰ μὴ μακρὸν ἐποίουν τὸν λόγον, πολλὰς ἂν ἀπηριθμησάμην τοιαύτας δωρεάς. ἀλλ' ὥσπερ τιμώμενοι τοιαῦτα φέρουσι δῶρα, οὕτως ἀτιμαζόμενοι μεγάλην ἐπάγουσι κόλασιν, καὶ πῦρ ἀπαραίτητον. Ἀλλ' ἐκεῖνος Πέτρος ἦν, φησί, καὶ ἐκεῖνος Ἠλίας ἦν. τί λέγεις, εἰπέ μοι; εἰ καὶ Πέτρος καὶ Ἠλίας ἦν, οὐ τῆς αὐτῆς μετεῖχον φύσεως σοί; οὐ διὰ τῆς αὐτῆς ὁδοῦ παρῆλθον εἰς τὸν βίον ἡμῖν; οὐ ταῖς αὐταῖς τροφαῖς ἐτράφησαν; οὐ τοῖς αὐτοῖς ἐχρήσαντο πράγμασι; οὐ τινὲς αὐτῶν καὶ γυναῖκας εἶχον καὶ παῖδας; οἱ δὲ καὶ τέχνας βιωτικάς; ἕτεροι [δὲ] καὶ εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον κατηνέχθησαν; ἀλλὰ πολλῆς ἀπέλαυσαν, φησί, τῆς χάριτος. ἀλλ' εἰ μὲν νεκροὺς ἀναστῆσαι ἐκελευόμεθα, καὶ ὀφθαλμοὺς ἀνοῖξαι τυφλῶν, καὶ καθᾶραι λεπρούς, καὶ χωλοὺς ὀρθῶσαι, καὶ δαίμονας ἐκβαλεῖν, καὶ τὰς ἄλλας τὰς τοιαύτας ἰᾶσθαι νόσους, καιρὸν ἂν εἶχε τὰ τῆς ἀπολογίας ταύτης ἡμῖν. εἰ δὲ πολιτείας ἐξέτασις πρόκειται νῦν, καὶ ὑπακοῆς ἐπίδειξις, καὶ τῶν κακῶν ἀλλοτρίωσις, ποῖον ταῦτα πρὸς ἐκεῖνα ἔχει λόγον; καὶ γὰρ καὶ ὁ Χριστὸς οὐ τοῖς τὰ σημεῖα ἐργασαμένοις ἁπλῶς τὰ ἔπαθλα δίδωσιν, ἀλλὰ τοῖς τὰ προστάγματα πεποιηκόσι τὰ αὐτοῦ. Δεῦτε γάρ, φησιν, οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· οὐχ ὅτι ἐθαυματουργήσατε, ἀλλ', ὅτι ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με. ὥστε εἰ καὶ ἐκεῖνα συνέπλεκεν ἡ χάρις, οὐδὲν ἡμᾶς τοῦτο παραβλάψαι δυνήσεται· ἀλλ' οὐδὲ ἀπολογήσασθαι ὑπὲρ ἡμῶν, ὅταν τὰς εὐθύνας τῶν πεπραγμένων ὑπέχωμεν. πολιτεία μὲν γὰρ ὀρθή, καὶ χωρὶς σημείων ἀπολήψεται τὸν στέφανον· βίος δὲ παράνομος οὐδὲ μετὰ σημείων δυνήσεται τὴν κόλασιν ἐκφυγεῖν. Τοιαύτας τοίνυν μετίωμεν ἀρετάς, αἳ μετὰ τῆς ἡμετέρας σωτηρίας, καὶ τὸν πλησίον ὠφελῆσαι δύναιντ' ἄν. τοιοῦτον ἡ ἐλεημοσύνη· ἐντεῦθεν καὶ εὐχή, καὶ νηστεία, καὶ πᾶσα ἄλλη ἀρετὴ τὰ νεῦρα ἔχει. κἂν γὰρ νηστεύῃς χωρὶς ἐλεημοσύνης, οὐδὲ νηστεία τὸ πρᾶγμα λογίζεται, ἀλλὰ γαστριζομένου καὶ μεθύοντος χεῖρον, ὅσῳ τρυφῆς ὠμότης χαλεπωτέρα. τί λέγω νηστείαν; κἂν γὰρ σωφρονῇς, κἂν παρθενεύῃς, ἐκτὸς ἕστηκας τοῦ νυμφῶνος, ἐλεημοσύνην οὐκ ἔχων. καίτοι τί παρθενίας ἴσον, ὃ μηδὲ ἐν τῇ καινῇ ὑπὸ νόμον ἦλθεν ἐξ ἀνάγκης διὰ τὸ ὑπερέχον; εἰ δὲ παρθένοι ἐκβάλλονται, ἐπειδὴ ταύτην μετὰ δαψιλείας τῆς προσηκούσης οὐκ ἔχουσι, τίς δυνήσεται ταύτης ἄνευ συγγνώμης τυχεῖν; οὐκ ἔστιν οὐδείς, οὐκ ἔστιν, ἀλλ' ἀπολέσθαι πάντως ἀνάγκη τὸν ταύτην οὐκ ἔχοντα. εἰ γὰρ ἐν τοῖς βιωτικοῖς οὐδεὶς ἑαυτῷ ζῇ, ἀλλὰ καὶ χειροτέχνης καὶ στρατιώτης, καὶ γεωργὸς καὶ ἔμπορος, πρὸς τὸ κοινῇ συμφέρον καὶ τὸ τοῦ πλησίον ὠφέλιμον συντελοῦσιν ἅπαντες· πολλῷ μᾶλλον ἐπὶ τῶν πνευματικῶν τοῦτο δεῖ ποιεῖν. τοῦτο γὰρ μάλιστά ἐστι ζῆν. ὡς ὅγε ἑαυτῷ ζῶν μόνῳ καὶ πάντων ὑπερορῶν περιττός ἐστι, καὶ οὐδὲ ἄνθρωπος, οὐδὲ τοῦ γένους τοῦ ἡμετέρου. Ὁ τοίνυν βουλόμενος γενέσθαι πλούσιος, γενέσθω πένης, ἵνα γένηται πλούσιος· ἀναλισκέτω, ἵνα συλλέξῃ· σκορπιζέτω, ἵνα συναγάγῃ. εἰ δὲ καινὰ ταῦτα καὶ παράδοξα, τὸν σπείροντα σκόπει, καὶ λογίζου, ὅτι οὐδὲ ἐκεῖνος δυνήσεται ἑτέρως πλείω συναγαγεῖν, ἂν μὴ τὰ ὄντα σκορπίσῃ, καὶ τὰ ἕτοιμα προῆται. Διὰ τί γὰρ μὴ τοῖς δεομένοις παρέχεις; παίδων μοι χορὸς περιέστηκε, φησί, καὶ ἐπιθυμῶ πλουτοῦντας αὐτοὺς καταλιπεῖν. τίνος οὖν ἕνεκεν πένητας αὐτοὺς ποιεῖς; ἂν μὲν γὰρ αὐτοῖς τὰ πάντα ἀφῇς, πάλιν ἐπισφαλεῖ φυλακῇ τὰ σὰ πάντα ἐπέτρεψας· ἂν δὲ τὸν Θεὸν αὐτοῖς καταλίπῃς συγκληρονόμον καὶ ἐπίτροπον, θησαυρὸν μυρίον κατέλιπες. Εἰ τοίνυν βούλει τοῖς παιδίοις καταλιπεῖν πλοῦτον πολύν, κατάλιπε τοῦ Θεοῦ τὴν πρόνοιαν. ὁ γὰρ μηδὲν σοῦ ποιήσαντος, καὶ ψυχὴν ἔδωκε, καὶ σῶμα

διαπλάσας

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ μὴ πλησιάζειν θεάτροις, καὶ εἰς τὸν Ἀβραάμ.

Ματθ. κε. λδ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ.

Ἐκ τῆς αὐτῆς.

διαπλάσας καὶ ζωὴν χαρισάμενος, ὅταν ἴδῃ τοσαύτην ἐπιδεικνύμενον φιλοτιμίαν, πῶς οὐ πάντα αὐτοῖς ἀνοίξει πλοῦτον; εἰ γὰρ Ἠλίας ὀλίγῳ τραφεὶς ἀλεύρῳ, ἐπειδὴ εἶδε τὴν γυναῖκα ἐκείνην τῶν παίδων αὐτοῦ προτιμήσασαν, ἅλωνας καὶ ληνοὺς ἐπὶ τοῦ δωματίου τῆς χήρας ἔδειξεν· ἐννόησον ὁ τοῦ Ἠλία δεσπότης πόσην ἐπιδείξεται φιλοσοφήσασιν. Εἰ βούλει πλουσίους τοὺς παῖδας καταλιπεῖν, τὸν Θεὸν κατάλιπε ὀφειλέτην αὐτοῖς. αὐτοὶ μὲν γὰρ τὰ χρήματα ἂν λάβωσιν, οὐδὲ ὅπου διώσουσιν ἴσασιν· ἂν δὲ σὺ παραλαβὼν αὐτὰ τῷ Θεῷ δανείσῃς, ἄσυλος μένει λοιπὸν ὁ θησαυρὸς, καὶ μετὰ πολλῆς ἔσται τῆς εὐκολίας ἡ ἀνταπόδοσις. καὶ γὰρ χάριν ἔχει καὶ ὀφείλων καὶ καταβάλλων ἡμῖν ὁ Θεὸς, καὶ τοὺς δανειστὰς αὐτοῦ, τῶν οὐ δεδανεικότων μᾶλλον ἐρᾷ· καὶ οἷς μάλιστα ὀφείλει, τούτους μάλιστα φιλεῖ. ὥστε, εἰ βούλει φίλον αὐτὸν ἔχειν, κατάστησον χρεώστην. οὐ γὰρ οὕτω χαίρει δανειστὴς ὀφειλέτας ἔχων, ὡς ὁ Θεὸς εὐφραίνεται δανειστὰς ἔχων. καὶ οἷς μὲν οὐδὲν ὀφείλει, τούτους καὶ ἀποφεύγει· οἷς δὲ ὀφείλει, τούτοις καὶ ἐπιτρέχει.

[Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς ἀνδριάντ.]

Τί τοίνυν τοῖς ἀνθρώποις τὰς παρακαταθήκας παρέχεις; ἕστηκεν ὁ Χριστὸς ἕτοιμος ὑποδέξασθαι καὶ τηρῆσαι· οὐχὶ τηρῆσαι δὲ μόνον, ἀλλὰ καὶ πλεονάσαι, καὶ μετὰ πολλῆς ἀποδοῦναί σοι τῆς προσθήκης. ἐκ τῆς ἐκείνου χειρὸς οὐδεὶς ἁρπάζει. οὐ τηρεῖ δὲ ταύτας μόνον, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ τούτου λύει σου τοὺς κινδύνους. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οἱ δεξάμενοι τὰς παρακαταθήκας χάριν ἡμῖν δεδωκέναι νομίζουσι, φυλάττοντες ἅπερ ἔλαβον· ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον. οὐ γὰρ δεδωκέναι χάριν, ἀλλ' εἰληφέναι ὁμολογεῖ, ὅταν παρὰ σοῦ ταύτας δέξηται. καὶ ὁ μὲν τὰς παρακαταθήκας λαβὼν, καὶ μισθοὺς ἀπαιτεῖ παρὰ σοῦ· ὁ δὲ Χριστὸς μᾶλλον καὶ μισθὸν ὑπὲρ τούτου σοι δίδωσι.

[Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ.]

Διὰ γὰρ τοῦτο σοι τὰ χρήματα ἐκέλευσεν ὁ Θεὸς δοῦναι ἑτέρῳ, ἵνα σὺ αὐτὰ ἔχῃς. ἕως μὲν γὰρ ἂν μόνος κατέχῃς, οὐδὲ αὐτὸς ἔχεις· ὅταν δὲ ἑτέρῳ δῷς, τότε καὶ αὐτὸς ἔλαβες. ὥσπερ γὰρ εἴ παιδίῳ τις ἀργύριον μικρῷ δῷη, καὶ κελεύει κατέχειν σφοδρῶς, ἢ καὶ τῷ οἰκέτῃ δῷη φυλάττειν σφοδρῶς, ὥστε μὴ ἐξεῖναι ἁρπάσαι τῷ βουλομένῳ· οὕτω καὶ ὁ Θεὸς ποιεῖ. Δὸς τῷ δεομένῳ, φησὶν, ἵνα μὴ ἁρπάσῃ τις αὐτὰ ἀπὸ σοῦ, οἷον ἢ συκοφάντης, ἢ διάβολος, ἢ κλέπτης, ἢ μετὰ πάντα ὁ θάνατος. ἕως μὲν γὰρ αὐτὸς ταῦτα κατέχεις, οὐκ ἀσφαλῶς κατέχεις· ἐὰν δὲ ἐμοὶ ταῦτα δῷς διὰ τῶν πενήτων, ἐγώ σοι φυλάττω μετὰ ἀκριβείας ἅπαντα. οὐ γὰρ ἵνα ἀφέλωμαι, λαμβάνω, ἀλλ' ἵνα πλείονα ποιήσω· ἵνα ἀκριβέστερον φυλάξω· ἵνα κατ' ἐκεῖνον σοι αὐτὰ τηρήσω τὸν χρόνον, καθ' ὃν οὐδεὶς ὁ δανείζων, οὐδὲ ὁ ἐλεῶν ἐστι. τί ματαιοπονεῖς, ὦ πλούσιε, τὰ τῶν πενήτων ἐν τοῖς σοῖς θησαυροῖς ἀποκρύπτων; τί αἰτούμενος παρ' αὐτῶν ἀγανακτεῖς, ὡς οἴκοθεν ἀναλίσκων; τὰ πατρῷα θέλουσιν, οὐ τὰ σά· τὰ ἐγχειρισθέντα σοι δι' αὐτοὺς, οὐ μετὰ σοῦ γεννηθέντα. ἃ ἔλαβες δὸς, καὶ τὴν χρῆσιν κέρδανον· ἀρκεῖ σοι, ὅτι διδόναι, οὐ λαμβάνειν ἐτάχθης. τί τῇ γῇ παραδίδως τὸν θησαυρόν; δὸς τῇ ἐμῇ χειρὶ, φησίν.

[Ἐκ τῆς ἑρμ. τοῦ κατὰ Ματθ. εὐαγγ.]

Οὐ δοκεῖ σοι τῆς γῆς ἀξιοπιστότερος εἶναι ὁ τῆς γῆς δεσπότης;

[Ἐκ τῆς πρὸς Κορινθ. β'. ἐπιστ.]

Ἔδωκα, φησίν. ἀλλ' οὐ χρὴ διαλιμπάνειν ταῦτα ποιοῦντα· τότε γὰρ μόνον ἀπολογήσῃ, ὅταν μὴ ἔχῃς, ὅταν μηδὲν κεκτημένος ᾖς· ἕως δ' ἂν ἔχῃς, κἂν μυρίοις ᾖς δεδωκὼς, ὦσι δὲ καὶ ἕτεροι πεινῶντες, οὐδεμία σοι ἀπολογία ἐστί.

[Ἐκ τῆς πρὸς Ῥωμ. ἐπιστ.]

Μήτε γοῦν ὁ πλούσιος μέγα φρονείτω πολλὰ διδοὺς, μήτε ὁ πένης καταπιπτέτω, ὡς ὀλίγα παρέχων· πολλάκις γὰρ οὗτος ἐκείνου πλείονα δέδωκε. τὸ γὰρ πολὺ καὶ τὸ ἔλαττον, οὐ τῷ μέτρῳ τῶν διδομένων κρίνεται, ἀλλὰ τῇ δυνάμει τῆς οὐσίας τῶν παρεχόντων.

[Ἐκ τῆς πρὸς Κορινθ. β'. ἐπ.]

Σὺ δὲ παρασίτους μὲν τρέφων καὶ κόλακας, ὡς ἀπὸ πηγῶν δαπανᾷς, οὕτω χαίρεις· εἰ δὲ πτωχὸν ἴδοις, τότε σοι ὁ τῆς πενίας ἐπιτίθεται φόβος.

[Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.]

Δὸς τῷ δεομένῳ, καὶ μὴ δὸς τῷ ὀρχουμένῳ, ἵνα μὴ μετὰ τῶν σῶν χρημάτων καὶ τὴν ψυχὴν ἀπολέσῃς τὴν ἐκείνου. σὺ γὰρ αἴτιος εἶ τῆς ἐκείνου ἀπωλείας, διὰ τῆς ἀκαίρου φιλοτιμίας. εἰ γὰρ οἱ ἐπὶ τῆς ὀρχήστρας ᾔδεσαν, ὅτι τὸ ἐπιτήδευμα αὐτοῖς ἀκερδὲς ἔμελλεν ἔσεσθαι, πάλαι ἂν ἐπαύσαντο ταῦτα ἐπιτηδεύοντες. τυφλὸς οὐδὲν ἐλεούμενος εἰς οὐρανῶν βασιλείαν χειραγωγεῖν, καὶ

τοίχοις περισκεπομένων καὶ βορβόροις ἐνολισθαίνων, τοῦτ' ὁδοιπορίας ἐστὶ τῆς εἰς οὐρανὸν ἀναβά-
σεως. Ὅταν γὰρ μὴ πρὸς ἐπίδειξιν ἀνθρώπων ποιῇς, κἂν ἡ οἰκουμένη οἶδεν, οὐδεὶς οἶδεν,
ἐπειδὴ οὐχ οὕτως ἐποίησας. οὐ γὰρ εἶπε, μὴ ποιεῖτε ἁπλῶς ἔμπροσθεν τῶν ἀνθρώπων,
ἀλλὰ προσέθηκε, πρὸς τὸ θεαθῆναι αὐτοῖς. ὢ πηλίκον ἀξίωμα τῆς πενίας. τοῦ Θεοῦ
γάρ ἐστι προσωπεῖον, κρύπτεσθαι ἐν πενίᾳ Θεός, καὶ πένης μὲν ὁ τὴν χεῖρα προτείνων, Θεὸς δὲ ὁ
δεχόμενος. Ὅταν σοι λυπηρόν τι συμβῇ, δὸς ἐλεημοσύνην εὐθέως, εὐχαρίστησον ὅτι συνέ-
βη, καὶ ὄψει πόσην χαρὰν ἐπεισέρχεται. τὸ γὰρ κέρδος τὸ πνευματικὸν κἂν ὀλίγον ᾖ, τοσοῦτόν ἐστιν,
ὡς πᾶσαν ἀποκρύψαι ζημίαν σωματικήν. Καὶ εἰ ἀπιστεῖτε, πειράσατε καὶ ὄψεσθε τὴν
δόξαν τοῦ Θεοῦ. ἀλλ' ὢ τῆς ῥαθυμίας, ὢ τῆς ἀγνωμοσύνης, ὅτι διαπαντὸς μὲν ἐν ἁμαρ-
τίαις καὶ πονηρίαις ζῶμεν. ἂν δέ ποτέ τι καὶ ποιήσωμεν μικρὸν ἀγαθόν, κατὰ τοὺς ἀγνώμονας τῶν
οἰκετῶν, μετὰ πολλῆς τῆς καπηλείας ἐξετάζομεν, καὶ ἀκριβολογούμεθα περὶ τῆς ἀντιδόσεως,
εἴ γε ἔχει μισθόν τινα τὸ γινόμενον. καίτοι μείζων ὁ μισθός, ἐὰν μὴ ἐπ' ἐλπίδι μισθῶν ποι-
ῇς. δεῖ γὰρ πάντα διὰ τὸν Χριστόν, καὶ μὴ διὰ τὴν ἐλπίδα ποιεῖν τοῦ μισθοῦ. Εἰ γὰρ
ποιήσας ἡμᾶς ὁ Θεὸς ἐξ ἀρχῆς, οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου καλοῦ, τοσαῦτα ἡμῖν
εὐθέως ἐχαρίσατο· τοῖς τοσαῦτα πεπονηκόσι καὶ ἠθληκόσι καὶ ὑπὲρ αὐτοῦ ὑπομείνασι τί
οὐ χαρίσεται; καὶ ἡμεῖς μὲν ὑπὲρ ἡμῶν αὐτῶν μόλις ὀλίγου χρυσίου καταφρονοῦμεν, αὐτὸς δὲ
ὑπὲρ ἡμῶν καὶ τὸν υἱὸν αὐτοῦ δέδωκε. καὶ ὑπὲρ μὲν φιλίας ἀνθρώπων καὶ κινδυνεύειν πολλάκις
αἱρούμεθα· ὑπὲρ δὲ τῆς τοῦ Θεοῦ φιλίας οὐδὲ χρήματα προϊέμεθα; Καὶ πῶς οὐ δεινόν, ὅτι
ὁ μὲν Χριστὸς καὶ τὴν ψυχὴν ἔθηκεν ὑπὲρ ἡμῶν, καὶ τὸ αἷμα τὸ τίμιον ἐξέχεε δι' ἡμᾶς, τοὺς οὐκ
εὐγνώμονας οὐδὲ ἀγαθοὺς γεγενημένους· ἡμεῖς δὲ οὐδὲ χρήματα προχεόμεθα δι' ἑαυτούς, ἀλλὰ περιο-
ρῶμεν γυμνὸν καὶ ξένον τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα; καὶ τίς ἡμᾶς τῆς μελλούσης ἐξαιρήσεται κο-
λάσεως; εἰ γὰρ μὴ ὁ Θεός, ἀλλ' ἡμεῖς ἑαυτοὺς ἐκολάζομεν. ἆρα οὐκ ἂν καθ' ἑαυτῶν τὴν ψῆφον
ἐξηνέγκαμεν; ἆρα οὐκ ἂν τῷ τῆς γεέννης ἑαυτοὺς κατεδικάσαμεν πυρί, τὸν ὑπὲρ ἡμῶν τὴν
ψυχὴν θέντα λιμῷ τηκόμενον περιορῶντες; καὶ τί λέγω χρήματα; εἰ γὰρ μυρίας εἴχομεν ψυ-
χάς, οὐχὶ ἁπάσας ὑπὲρ αὐτοῦ θεῖναι ἐχρῆν; εἴ τις ἡμῶν ἐπὶ θάνατον ἤγετο, εἶτα προὔκειτο
πάντα τὰ ὄντα προεμένον ἀπαλλαγῆναι, καὶ χάριν ἂν τὸ πρᾶγμα ἐνόμισε· νῦν δὲ ἐπὶ
γέενναν ἀγόμενοι ὁδόν, παρὸν τὰ ἡμίση διδόντας ἐλευθερωθῆναι, αἱρούμεθα καὶ κολάζεσθαι
καὶ κατέχειν εἰκῇ τὰ ἡμέτερα, ὥστε τὰ ἡμέτερα προέσθαι; καὶ ποίαν ἕξομεν ἀπολογίαν, τίνα
συγγνώμην, καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἑαυτοὺς ἀποστεροῦντες, παρὸν ἀμφότερα μετὰ ἀδεί-
ας καρπώσασθαι; Εἰ ὑπὲρ ἀξιώματός τις βιωτικοῦ ὅλην πολλάκις τὴν οὐσίαν ἐπέδω-
κεν, ἀξιώματος οὐ μέλλοντος ἐνταῦθα μένειν, καὶ οὐδὲ ἐνταῦθα πολὺν παραμένοντος χρόνον (πολ-
λοὶ γὰρ καὶ πρὸ πολλοῦ τῆς τελευτῆς ταύτην ἀπεδύσαντο τὴν ἀρχήν, ἕτεροι δὲ διὰ ταύτην
καὶ τὴν ζωὴν αὐτὴν πολλάκις, ἀλλ' ὅμως καὶ ταῦτα εἰδότες, πάντα κινοῦσιν ὑπὲρ αὐ-
τῆς) εἰ τοίνυν ὑπὲρ ταύτης τοσαῦτα ποιοῦσιν, ὑπὲρ τῆς μενούσης ἐκείνης καὶ ἀναφαιρέτου
τί γένοιτ' ἂν ἡμῶν ἀθλιώτερον μηδὲ ὀλίγα προϊεμένων, μηδὲ ταῦτα παρ' ἑτέρων, ἃ καὶ μικρὸν
ὕστερον ἄκοντες ἐνταῦθα ἀφήσομεν; ποίας ἐνταῦθα οὐκ ἂν εἴη μανίας, ἅπερ ἄκοντες ἀφαιρού-
μεθα, ταῦτα παρὸν ἑκόντας δοῦναι καὶ μεθ' ἑαυτῶν λαβεῖν, μὴ βουληθῆναι; ἀλλὰ οἰκέταις μὲν καὶ ἡ-
μιόνοις καὶ ἵπποις περιδέρραια χρυσᾶ περιτίθεμεν· τὸν δεσπότην δὲ γυμνὸν περιιόντα καὶ θυραυ-
λοῦντα καὶ χεῖρα ἐκτείνοντα περιορῶμεν, καὶ πολλάκις ἀπηνεῖ βλέπομεν ὀφθαλμῷ. τί ταύτης τῆς
μανίας χεῖρον γένοιτ' ἄν; Ὅταν γὰρ ὁ Θεὸς πρὸς ἡμᾶς ἀποστέλλῃ τοὺς πένητας, ἐκ τῶν ἐκείνου δοῦναι
κελεύων αὐτοῖς, ἡμεῖς δὲ πρὸς τῷ μὴ δοῦναι καὶ ὑβρισθέντας ἐκπέμπωμεν, ἐννόησον πόσων σκηπτῶν,
πόσων κεραυνῶν ἄξιον πρᾶγμα ποιοῦμεν. εἰ γὰρ σὸς οἰκέτης παρὰ σοῦ κελευσθεὶς εἰς ἕτερον ἀπελ-
θεῖν οἰκέτην ἀργύριον ἔχοντα σὸν λαβεῖν, οὐ μόνον κεναῖς ἐπανῆλθε χερσίν, ἀλλὰ καὶ ὑβρισθείς, τί
οὐκ ἂν εἰργάσω τὸν ὑβρικότα; πόσην οὐκ ἂν δίκην ἀπῄτησας, ἅτε λοιπὸν αὐτὸς ὢν ὁ ὑβρισμένος;

Ἐκ τῆς αὐτῆς.

Ἐκ τῆς πρὸς Θεσσαλο. α. ἐπιστ.

Ἐκ τῆς πρὸς Ἑβραί. ὁμι. ἐπιστ.

Ἐκ τῆς λβʹ τῆς εἰς ... κατὰ Ματθαῖον.

Ἐκ τῆς ἑρμηνεί. τῆς κατὰ Ἰωάν. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τῆς κατὰ Ματθ. λαʹ.

εἰ δὲ ἐπὶ ἀνθρώπων τοῦτο, ἐπὶ οὖν καὶ τῶν ἀνθρώπων καὶ τῶν ἁπάντων δεσπότου πόσῳ μᾶλλον; εἰ μηδὲν βούλει δοῦναι αἰτοῦντι τῷ πένητι, τί καὶ ὀνειδίζων πλήττεις τὴν ἐκείνου ψυχήν; μὴ γάρ, εἰ προσεδόκησε τοιαῦτα ἀκούσεσθαι, προσῆλθέ σοι ἄν; ἀλλ' ἀναίσχυντός ἐστι, φησί, καὶ ἐπιτρέχων βοᾷ. τί λέγεις; ποσάκις τραπέζης παρακειμένης τὸν ὑπηρετοῦντα οἰκέτην καλέσας, ἵνα σχολαιότερον βαδίσῃ, πάντα ἀνέτρεψας ὑπὲρ ἀναβολῆς μόνον μικρᾶς, καίτοιγε σφόδρα εἰδώς, ὅτι κἂν μὴ εὐθέως, ἀλλὰ μικρὸν ὕστερον ἀπολαύσῃ τῆς ἡδονῆς· καὶ σαυτὸν μὲν ὑπὲρ τοῦ μηδενὸς ἐκθηριούμενον οὐ καλεῖς ἀναίσχυντον, τὸν δὲ πένητα τὸν ὑπὲρ τῶν μειζόνων δεδοικότα καὶ τρέμοντα (οὐδὲ γὰρ περὶ μεθύσεως, ἀλλὰ περὶ λιμοῦ ἅπας ὁ φόβος αὐτῷ) τοῦτον ἰταμὸν καλεῖς καὶ ἀναίσχυντον; καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ἀναισχυντίας;

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α. ἐπιστ.

Εἰ σὺ μικράν τινα σταγόνα κατενεχθεῖσαν ἀπὸ τῆς στέγης ἰδών, καὶ οἰκέτας καλεῖς, καὶ τεχνίτας, καὶ πάντα ἀνατρέπεις τὸν οἶκον· πῶς τὸν πένητα ἐν ῥακίοις καὶ χόρτοις καὶ πηλῷ κείμενον, καὶ ἀπάντα κρυμὸν ὑπομένοντα περιορᾷς; ποῖον θηρίον τούτοις οὐ κατακλασθείη τοῖς πράγμασι; τίς οὕτως ὠμὸς καὶ ἀπάνθρωπος, ὡς μὴ γίνεσθαι τούτοις ἥμερος; ἀλλὰ γάρ εἰσί τινες, οἳ πρὸς τοσοῦτον ἀπονοίας ἥκουσιν, ὡς οὐ μόνον οὐκ ἐλεεῖν καὶ δακρύειν καὶ συνοδύρεσθαι τὰς συμφοράς, ἀλλὰ καὶ ὑβρίζειν πολλάκις καὶ λέγειν ἄξια πάσχειν αὐτούς. τίνος ἕνεκεν ἄξια πάσχουσιν, εἰπέ μοι; ὅτι τρέφεσθαι βούλονται, καὶ μὴ λιμώττειν; οὐχί, φησιν· ἀλλ' ὅτι ἀργοῦσι. σὺ δὲ οὐκ ἀργῶν σπαταλᾷς; οὐχὶ καὶ ἐργασίαν πολλάκις πάσης ἀργίας χαλεπωτέραν ἐργάζῃ, ἁρπάζων, καὶ βιαζόμενος, καὶ πλεονεκτῶν; κρεῖττον ἦν, εἰ καὶ σὺ τοιαύτην ἤργεις ἀργίαν· τοῦ γὰρ πλεονεκτεῖν καὶ ἁρπάζειν τὸ οὕτως ἀργεῖν κατὰ πολὺ βέλτιον.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγ.

Ὅταν οὖν ἴδῃς πένητα, καὶ εἴπῃς, ὅτι ἀποπνίγομαι ὅτι νέος ὤν, οὕτως ὑγιής, μηδὲν ἔχων βούλεται τρέφεσθαι ἀργὸς ὤν. ταῦτα, ἅπερ εἶπας, εἰπὲ πρὸς ἑαυτόν· μᾶλλον δὲ ἐκείνῳ δὸς αὐτὰ μετὰ παρρησίας εἰπεῖν πρὸς σέ, ὅτι ἀποπνίγομαι, ὅτι ὑγιὴς ὢν ἀργεῖς, καὶ οὐδὲν πράττεις ὧν προσέταξεν ὁ Θεός. καὶ σὺ μὲν ὑπὲρ ἀργίας ἐγκαλεῖς, αὐτὸς δέ σοι καὶ ὑπὲρ ἔργων πονηρῶν, ὅτι ἁρπάζεις καὶ πλεονεκτεῖς, καὶ τὰς ἑτέρων ἀνατρέπεις οἰκίας. ἀλλὰ ψεύδεται πολλὰ καὶ πλάττεται. ἀλλὰ καὶ ἐντεῦθεν ἄξιος ἐλεεῖσθαι, ὅτι εἰς τοιαύτην ἐνέπεσεν ἀνάγκην, ὡς καὶ τοιαῦτα ἀναισχυντεῖν. ἡμεῖς δὲ οὐ μόνον οὐκ ἐλεοῦμεν, ἀλλὰ καὶ τὰ ὠμὰ ἐκεῖνα προστίθεμεν ῥήματα· οὐκ ἔλαβεν ἅπαξ καὶ δίς, λέγοντες; τί οὖν; οὐ δεῖ τραφῆναι πάλιν, ἐπειδὴ ἅπαξ ἐτράφη; διατί μὴ καὶ τῇ σαυτοῦ γαστρὶ τούτους τίθης τοὺς νόμους, καὶ λέγεις πρὸς αὐτήν, ἐνεπλήσθης χθές, μὴ ζήτει νῦν· ἀλλ' ἐκείνην μὲν καὶ ὑπὲρ τὸ μέτρον διαρρηγνύεις, τοῦτον δὲ καὶ τὰ σύμμετρα αἰτοῦντα ἀποστρέφῃ; καὶ πῶς αὐτὸς εἰσακουσθῆναι βούλει παρακαλῶν; ὁ γὰρ περιιδὼν τὸν θλιβόμενον, καὶ μὴ δοὺς ἐκ τῶν αὐτοῦ, πῶς ζητήσει λαβεῖν ἐκ τῶν οὐκ αὐτοῦ;

Ἐκ τῆς πρὸς Ἑβρ. ἐπιστ.

Ἆρα οὐχὶ κατηγορίας ἄξια ταῦτα, ὅτι παρασίτους μὲν τρέφων καὶ κόλακας, ζημίαν τὸ πρᾶγμα οὐχ ἡγούμεθα εἶναι· εἰ δὲ πένητα προσιόντα λιμῷ καὶ κρυμῷ κατατεινόμενον ἴδωμεν, οὐ μόνον περιορῶμεν αὐτόν, ἀλλὰ καὶ κατεπεμβαίνομεν εὐθέως; τί γὰρ οὐκ ἐργάζεται, φησί; τί δὲ ἀργὸς τρέφεται; σὺ δὲ ἐργαζόμενος ἔχεις ἃ ἔχεις, οὐχὶ κλῆρον πατρῷον λαβών; εἰ δὲ καὶ ἐργάζῃ, διατί τοῦτο ὀνειδίζεις ἑτέρῳ; ἀλλ' ἐπιθέτης ἐστί. τί λέγεις; ἄρτου ἑνὸς ἕνεκεν καὶ ἱματίου ἐπιθέτην καλεῖς; ἀλλ' εὐθέως πωλεῖ αὐτό, φησί· σὺ δὲ πάντα τὰ σαυτοῦ καλῶς διοικεῖς; τί δέ; πάντες ἀπὸ ἀργίας πένονται; οὐδεὶς ἀπὸ ναυαγίου; οὐδεὶς ἀπὸ δικαστηρίων; οὐδεὶς ἀπὸ κλοπῆς; οὐδεὶς ἀπὸ νόσου; οὐδεὶς ἀπὸ κινδύνων; οὐδεὶς ἀπὸ ἄλλης περιστάσεως; ἀλλ' ἂν ἀκούσωμέν τινος τοιαῦτα ἀποδυρομένου καὶ μεγάλα βοῶντος, καὶ γυμνοῦ ἀναβλέποντος εἰς τὸν οὐρανόν, εὐθέως τὸν ἐπιθέτην, τὸν ἀπατεῶνα, τὸν εἴρωνα καλοῦμεν. οὐκ αἰσχύνῃ ἵνα ἐπιθέτην καλεῖς; μηδὲν δῷς, καὶ μὴ κατηγορήσῃς τοῦ πένητος. ἀλλ' ἔχει, φησί, καὶ σχηματίζεται. τοῦτό σου κατηγορία, οὐκ ἐκείνου. οἶδε πρὸς ὠμοὺς ἔχων, πρὸς θηρία μᾶλλον, ἢ πρὸς ἀνθρώποις· καὶ ὅτι κἂν ἐλεεινὸν φθέγ-

ξηται

ζηται ῥῆμα, οὐδένα ἐφέλκεται· καὶ διὰ τοῦτο ἀναγκάζεται καὶ σχῆμα περιθεῖναι ἑαυτῷ ἐλεεινότερον, ἵνα σου τὴν ψυχὴν ἐπικλάσῃ. ὢ τῆς ὠμότητος· ὢ τῆς ἀπονοίας· ὢ τῆς ἀπανθρωπίας [τῶν ἀνελεημόνων ἀνθρώπων]· ἐὰν ἴδωμεν πένητα ἐν ἐλευθερίῳ σχήματι προσιόντα, ἐπιθέτης ἐστί, φησι· καὶ ἵνα ἀπὸ εὐγενῶν εἶναι δόξῃ, οὕτω προσέρχεται· ἐὰν ἴδωμεν γυμνὸν ἢ ῥακενδυτοῦντα, καὶ τοῦτον κακίζομεν. ὢ τῆς ἀναισχύντου ταύτης θηριωδίας. ἂν μὲν βούλῃ, δὸς· ἂν δὲ μὴ βούλῃ, ἀπόπεμψον. διὰ τί ἄθλιος εἶ καὶ ταλαίπωρος; διὰ τί οὐδὲ αὐτὸς ἐλεεῖς, καὶ τοὺς θέλοντας ἀποτρέπεις; ὅταν γὰρ ὁ δεῖνα ἀκούσῃ παρὰ σοῦ, ὅτι οὗτος ἀπατεών, ἐκεῖνος ὑποκριτής, οὐδὲ τούτοις δίδωσιν, οὔτε ἐκείνοις· πάντας γὰρ ὑποπτεύσει τοιούτους εἶναι. καὶ τίνος ἕνεκεν, φησι, τὰ ἠκρωτηριασμένα μέλη γυμνοῦσι; διὰ σέ. εἰ ἐλεήμονες ἦμεν, οὐκ ἔδει τούτων αὐτοῖς τῶν τεχνῶν. εἰ ἐκ πρώτης προσόδου ἔπειθον, οὐκ ἂν τοσαῦτα ἐμηχανήσαντο. τίς γάρ ἐστιν οὕτως ἄθλιος, ὡς θέλειν ἀποδύεσθαι δημοσίᾳ μετὰ τῆς γυναικὸς γεγυμνωμένης καὶ τῶν παίδων; πόσης ταῦτα πενίας οὐ χείρονα; καὶ οὐ μόνον οὐκ ἐλεοῦνται, ἀλλὰ καὶ κατηγοροῦνται παρ' ἡμῶν ὡς ἀναίσχυντοι. καὶ σὺ μὲν ἁρπάζων οὐκ ἀναίσχυντος, ἐκεῖνος δὲ ὑπὲρ ἄρτου δεόμενος ἀναίσχυντος; παντὶ τῷ αἰτοῦντί σε δίδου· καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. Πῶς γὰρ οὐκ ἄτοπον, ὅτι σὺ μὲν γαστριζόμενος καὶ πιαινόμενος, καὶ εἰς ἑσπέραν βαθεῖαν τὸν πότον παρασύρων, καὶ μαλακοῖς ἐναπλόμενος στρώμασι τὸν βίον διατελεῖς· τὸν δὲ πένητα γυμνὸν καὶ τρέμοντα καὶ λιμώττοντα περιορᾷς; καὶ τί λέγω γύμνωσιν καὶ λιμόν, ὅπου γε καὶ παῖδας ἠναγκάσθησαν πηρῶσαί τινες ἄωρον ἄγοντας ἡλικίαν, ἵνα τῆς ἡμετέρας ἀναισθησίας καθίκωνται; ἐπειδὴ γὰρ βλέποντες καὶ γυμνοὶ περιιόντες, οὔτε ἀπὸ τῆς ἡλικίας, οὔτε ἀπὸ τῆς συμφορᾶς τοὺς ἀνελεεῖς ἐπισπάσαιντο, προσέθηκαν τοῖς τοσούτοις κακοῖς ἑτέραν χαλεπωτέραν τραγῳδίαν, ἵνα λύσωσι τὸν λιμόν· κουφότερον εἶναι νομίζοντες ἀποστερεῖσθαι τοῦ κοινοῦ τούτου φωτός, καὶ τῆς πᾶσι δεδομένης ἀκτῖνος, ἢ λιμῷ παλαίειν διηνεκεῖ, καὶ τὸν οἴκτιστον ὑπομένειν θάνατον. Οὕτως μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. ἐλεημοσύνη γάρ ἐστιν, ὅταν μετὰ προθυμίας γίνηται, ὅταν μετὰ δαψιλείας, ὅταν μὴ νομίσῃς διδόναι, ἀλλὰ λαμβάνειν, ὅταν ὡς εὐεργετούμενος, ὅταν ὡς κερδαίνων καὶ μὴ ἀπολλύς· ἐπεὶ τοῦτο οὐδὲ χάρις. τὸν γὰρ ἕτερον ἐλεοῦντα χαίρειν, οὐ δυσχεραίνειν χρή. πῶς γὰρ οὐκ ἄτοπον, εἰ τὴν ἑτέρου λύων ἀθυμίαν αὐτὸς ἀθυμεῖς; εἰ γὰρ ἀθυμεῖς, ὅτι ἕτερον ἀπήλλαξας ἀθυμίας, ἐσχάτης ὠμότητος καὶ ἀπανθρωπίας δεῖγμα ἐκφέρεις. βέλτιον γὰρ μὴ ἀπαλλάττειν, ἢ οὕτως ἀπαλλάττειν. τί δὲ καὶ ὅλως ἀθυμεῖς, ἄνθρωπε; μὴ ἔλαττόν σοι γίνεται τὸ χρυσίον; ὅλως εἰ τοιαύτην ἔχεις προαίρεσιν, μηδὲ δῷς· εἰ μὴ θαῤῥεῖς, ὅτι πολυπλασιάζεταί σοι ἐν οὐρανοῖς, μὴ παράσχῃς. ἀλλ' ἐνταῦθα ζητεῖς τὴν ἀντίδοσιν; διὰ τί; ἄφες τὴν ἐλεημοσύνην ἐλεημοσύνην εἶναι, καὶ μὴ ἐμπορείαν. πολλοὶ μὲν οὖν καὶ ἐνταῦθα ἀπέλαβον, ἀλλ' οὐχ οὕτως ἔλαβον, ὡς ταύτῃ πλέον ἕξοντες τῶν οὐ λαβόντων. οἱ δὲ ἐνταῦθα ἐπιζητοῦντες καὶ λαμβάνοντες, τὸν μισθὸν ἐλαττοῦσι τὸν ἐκεῖ. Μὴ τοίνυν λέγωμεν, ὅτι ὁ δεῖνα πονηρὸς καὶ οὐκ ἄξιος εὖ παθεῖν, ὁ δεῖνα εὐτελής, ὁ δεῖνα ἀπεῤῥιμμένος. μὴ πρὸς τὴν ἀξίαν ἴδῃς τοῦ δεομένου τῆς θεραπείας, ἀλλὰ πρὸς τὴν χρείαν μόνον. κἂν γὰρ εὐτελὴς ᾖ καὶ ἀπεῤῥιμμένος, κἂν εὐκαταφρόνητος, οὕτω σοι ὁ Χριστὸς λογίζεται τὸν μισθόν, ὡς αὐτὸς εὖ παθὼν δι' ἐκείνου. Πέτρος καὶ Ἰωάννης ἀνέβαινον ποτὲ εἰς τὸ ἱερὸν προσεύξασθαι, καὶ ἰδοὺ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ βασταζόμενος, ἔκειτο πρὸς τὴν θύραν τοῦ ἱεροῦ· καὶ ἰδὼν αὐτοὺς εἰσιόντας προσεῖχεν αὐτοῖς ζητῶν ἐλεημοσύνην λαβεῖν παρ' αὐτῶν. τί οὖν ὁ Πέτρος; βλέψον εἰς ἡμᾶς, φησιν, ἱκανὴ ἀπὸ τῆς ὄψεως ἡ ἀπόδειξις τῆς ἀκτημοσύνης· οὐ χρεία λόγων, οὐδὲ ἀποκρίσεως· ὁ στολισμὸς δείκνυσί σοι τὸν ἀκτήμονα. τί οὖν; τοῦτο ὅλον τὸ κατόρθωμα τῆς ἀποστολῆς πρὸς τὸν πένητα, ἵνα μὴ διορθώσῃ τὴν πενίαν, ἵνα εἴπῃς αὐτῷ, οὐκ ἔχω χρυσίον καὶ ἀργύριον; ἀνάμεινον μικρόν, καὶ ὄψει μείζονα πλοῦτον. ἀργύριον, φησι, καὶ χρυσίον οὐχ ὑπάρχει

Ἐκ τοῦ ἑρμην. τῆς πρὸς Κορινθ. α' ἐπισ.

Ἐκ τῆς πρὸς Κορινθ. β' ἐπ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, χήρα καταλεγέσθω.

Πράξ. γ. α.
Ἐκ τοῦ λόγ. τοῦ εἰς τὴν ἐπιγραφὴν τῶν πράξεων τῶν ἀποστόλων.

μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἔγειρε καὶ περιπάτει. Εἶδες πενίαν χρημάτων, καὶ πλοῦτον χαρισμάτων; ὅρα λοιπὸν αὐτοῦ καὶ τὴν ἐπιείκειαν. Βλέψον εἰς ἡμᾶς, φησίν· οὐχ ὕβρισεν, οὐκ ἐλοιδόρησεν, οὐκ ἀπεκρούσατο, ὃ πολλάκις ποιοῦμεν ἡμεῖς πρὸς τοὺς ἐντυγχάνοντας ἡμῖν, εὐθύνας αὐτοὺς ἀπαιτοῦντες, πρὸς ἐργασίαν αὐτοὺς παραπέμποντες, ἐγκαλοῦντες αὐτοῖς ὅτι καθεύδουσι. μὴ γὰρ τοῦτο ἐπαιδεύθης, ἄνθρωπε; οὐκ ἐκελεύσθης ἀργίαν ἐγκαλεῖν, οὐδὲ κακίαν κατηγορεῖν, οὐδὲ νωθρείαν ὀνειδίζειν· ἀλλὰ πενίαν διορθοῦσθαι, καὶ συμφορὰν ἰᾶσθαι, καὶ χεῖρα τοῖς κειμένοις ὀρέγειν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ.

Μὴ τοίνυν βίους καὶ πράξεις πολυπραγμόνει μέλλων ἐλεημοσύνην ποιεῖν. καὶ γὰρ ἐσχάτης τοῦτο ἀπειροκαλίας ἐστίν, ὑπὲρ ἑνὸς ἄρτου ζωὴν ὁλόκληρον περιεργάζεσθαι. εἰ γὰρ ἀνδροφόνος, εἰ γὰρ λῃστής, εἰ γὰρ ὁτιοῦν ὁ προσαιτῶν ἐστιν, ἄρτου καὶ ἀργυρίων ὀλίγων οὐ δοκεῖ σοι ἄξιος εἶναι; ἀλλ' ὁ μὲν δεσπότης σου καὶ ἥλιον αὐτῷ ἀνατέλλει· σὺ δὲ καὶ τῆς ἐφημέρου τροφῆς ἀνάξιον κρίνεις; οὐκ οἶσθα ὅτι καὶ ὁ Ἀβραὰμ ἐντεῦθεν μάλιστα μειζόνως θαυμάζεται, ὅτι μηδὲ εἰδὼς τίνες ἦσαν οἱ παραγεγονότες, ἰδὼν ἀνεπήδησε, καὶ εἰς ἀπάντησιν ἔδραμε, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε· Κύριε, εἰ εὗρον χάριν ἐνώπιόν σου, μὴ παρέλθῃς τὸν παῖδά σου. μὴ τοίνυν μηδὲ σὺ πολυπραγμόνει· διὰ γὰρ τὸν Χριστὸν δίδῃ. ἂν γὰρ ἀεὶ περιεργάζεσθαι μέλλῃς, πολλάκις καὶ δόκιμον ἄνδρα παραδραμῇ, καὶ τὸν ἐκ τούτου μισθὸν ἀπολεῖς.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἑβραίους.

Μηδὲ τῶν οἰκείων μόνων τῆς πίστεως φροντίζωμεν, τῶν δὲ ἄλλων ἀμελῶμεν· ἀλλ' ἐὰν τινὰ ἴδωμεν κακῶς πάσχοντα, μηδὲν ἕτερον περιεργαζώμεθα. ἔχει γὰρ τὸ δικαίωμα τῆς βοηθείας, τὸ κακῶς πάσχειν αὐτόν. ἀλλ' οὐκ οἶδα πόθεν αὕτη κεκράτηκεν ἡ συνήθεια· κἂν μὲν κοσμικὸν ἴδωμεν ἐν περιστάσει, οὐκ ὀρέγομεν χεῖρα· πρὸς δὲ τοὺς ἐν ὄρεσι μόνον καθημένους ἐσμὲν σπουδαῖοι. κἂν Ἕλληνα, κἂν Ἰουδαῖον, κἂν ἕτερόν τινα ἴδῃς ἐν περιστάσει, εὖ ποιεῖν δεῖ. καὶ γὰρ τοὺς μονάζοντας μόνους ἐπιζητῶν, κἀκείνους μόνους εὖ ποιεῖν ἐθέλων, κἀκείνους δὲ πάλιν περιεργαζόμενος, ἐὰν μὴ ᾖ ἄξιος, ἐὰν μὴ ᾖ δίκαιος, ἐὰν μὴ σημεῖα ποιῇ, [καὶ] οὐκ ὀρέγων χεῖρα, τὸ πλέον τῆς ἐλεημοσύνης ἐξέβαλε· καὶ τοῦτο δὲ αὐτὸ τῷ χρόνῳ πάλιν ἀναιρήσει. Εἰ γὰρ, ὄνον ἐὰν ἴδῃς ἀγχόμενον, ἐγείρεις, καὶ οὐ περιεργάζῃ τίνος ἐστί· πολλῷ μᾶλλον ἄνθρωπον οὐ δεῖ περιεργάζεσθαι τίνος ἐστί. τοῦ Θεοῦ ἐστι, κἂν Ἕλλην ᾖ, κἂν Ἰουδαῖος· ἀλλὰ βοηθείας δεῖται. Εἰ μὲν γὰρ εὐθηνοῦντα αὐτὸν ἢ εὐδοκιμοῦντα εἶδες, καλῶς ταῦτα ἔλεγες· εἰ δὲ κακῶς πάσχοντα ὁρᾷς, μὴ λέγε ὅτι πονηρός ἐστι καὶ φαῦλος· ὠμότητος γὰρ τοῦτο καὶ ἀπανθρωπίας, καὶ μεγίστης ἀλαζονείας τεκμήριον.

Ἐκ τοῦ β' λόγου τοῦ εἰς τὸν πλούσιον καὶ Λάζαρον.

Ἐλεημοσύνη διὰ τοῦτο λέγεται, ἵνα καὶ τοῖς ἀξίοις καὶ τοῖς ἀναξίοις παρέχωμεν. ἂν γὰρ τοὺς ἀναξίους περιεργαζώμεθα καὶ πολυπραγμονῶμεν, οὐδὲ ἄξιοί ποτε ῥᾳδίως ἐμπεσοῦνται ἡμῖν· ἂν δὲ καὶ τοῖς ἀναξίοις παρέχωμεν, πάντως καὶ οἱ ἄξιοι, καὶ πάντων ἐκείνων ἀντάξιοι εἰς τὰς ἡμετέρας ἥξουσι χεῖρας. Εἰ γὰρ μέλλοιμεν τὴν ἀξίαν ἐπιζητεῖν ἐπὶ τῶν συνδούλων τῶν ἡμετέρων καὶ ἀκριβολογεῖσθαι, τοῦτο καὶ ὁ Θεὸς ἐφ' ἡμῶν ἐργάσεται· καὶ ζητοῦντες τοῖς ὁμοδούλοις ἀπαιτῆσαι εὐθύνας, αὐτοὶ τῆς ἄνωθεν ἐκπεσούμεθα φιλανθρωπίας. τὸν γὰρ φιλοφροσύνην ἐπιδεικνύμενον οὐκ εὐθύνας ἀπαιτῆσαι δεῖ βίου, ἀλλὰ πενίαν διορθοῦν καὶ τὴν χρείαν πληροῦν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἑβραίους ἐπισ.

Τοιγαροῦν ὅταν ἴδῃς πένητα, μὴ παραδράμῃς, ἀλλ' εὐθέως ἐννόησον τίς ἂν ἦς, εἰ σὺ ἦς ἐκεῖνος. ἐννόησον ὅτι ὅμοιός σοι ἐλεύθερός ἐστι, καὶ τῆς αὐτῆς σοι κοινωνίας, καὶ πάντα σοι κοινὰ κέκτηται, καὶ οὐδὲ τῶν κυνῶν τῶν σῶν πολλάκις ἴσον ποιεῖς αὐτόν· ἀλλ' οἱ μὲν κορέννυνται, οὗτος δὲ πολλάκις ἐκοιμήθη πεινῶν· καὶ τῶν δούλων τῶν σῶν ὁ ἐλεύθερος ἀτιμότερος γέγονεν. ἀλλ' ἐκεῖνοί σοι χρείαν πληροῦσι καὶ δουλεύουσί σοι καλῶς. ἐγὼ οὖν δείξω καὶ τοῦτον χρείαν σοι πληροῦντα πολλῷ μείζονα ἐκείνων. παραστήσεται γὰρ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καὶ ἐξαιρήσεταί σε τοῦ πυρός. τί τοιοῦτον οἱ δοῦλοί σου ποιῆσαι δύνανται; ὅτε ἡ Ταβιθὰ ἐτελεύτησε, τίς ἀνέστησεν αὐτήν; δοῦλοι περιστάντες, ἢ πτωχοί; σὺ δὲ οὐδὲ τῶν δούλων τὸν ἐλεύθερον ἐν ἴσῳ ποιεῖν ἐθέλεις, τὸν καὶ ἀπὸ μόνου τοῦ σχήματος καὶ τῆς ὄψεως ἱκανὸν ὄντα σε πρὸς ἔλεον ἐπικάμψαι.

ἐπικάμψαι. καὶ τοὺς ἀξίους τὸν Θεὸν ἐν συμφορᾷ σε ὄντα ἐξελέσθαι, εἰ σὺ τὸν Θεὸν ἁμαρτόντα εἰς σέ, ἀλγοῦντα καὶ κατολλύμενον καὶ βασανιζόμενον ὑπὸ λιμοῦ καὶ κρυμοῦ παρορᾷς; πῶς σε τὸν ἁμαρτόντα εἰς αὐτὸν ἀτιμώρητον ἀφήσει; Ὃς γὰρ ἀποφράττει, φησὶ, τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι πτωχοῦ, τῆς δεήσεως αὐτοῦ οὐκ εἰσακούσεται ὁ Θεός. [Ἐκ τοῦ κατὰ Ἰωάν. εὐαγγ.] Τοιοῦτοι τοίνυν περὶ τοὺς συνδούλους γινώμεθα, οἷοι βουλόμεθα περὶ ἡμᾶς τὸν δεσπότην φανῆναι. ἐλεημοσύνη καὶ εὐχῆς καὶ νηστείας καὶ πολλῶν ἑτέρων μείζων ἐστὶ θυσία, μόνον ἂν ἐκ δικαίου γίνηται κέρδους καὶ πόνων τοιούτων, καὶ πάσης ᾖ καθαρὰ πλεονεξίας καὶ ἁρπαγῆς καὶ βίας. τοιαύτας γὰρ προσίεται προσφορὰς ὁ Θεός· τὰς δὲ ἑτέρας ἀποστρέφεται καὶ μισεῖ. οὐδὲ γὰρ βούλεται ἐξ ἀλλοτρίων τιμᾶσθαι συμφορῶν. ἀκάθαρτος γὰρ καὶ βέβηλος ἡ τοιαύτη θυσία, καὶ παροξύνει ἂν μᾶλλον ἢ ἐξιλεώσαιτο τὸν Θεόν. ἐλεημοσύνη γὰρ διὰ τοῦτο εἴρηται, ἵνα ἐλεῶμεν, οὐχ ἵνα κολάζωμεν τοὺς ὁμοδούλους. ὁ δὲ τὰ ἑτέρων λαμβάνων, καὶ ἑτέρῳ διδοὺς, οὐκ ἠλέησεν, ἀλλ' ἐτιμωρήσατο μᾶλλον, καὶ ἀδικίαν οὐ τὴν τυχοῦσαν ἠδίκησεν. [Ἐκ τῆς λβ'. εἰς τὸ μὴ φοβεῖσθαι ὅταν πλουτήσῃ ἄνθρωπος] Ὁ βουλόμενος πλουτεῖν χρείαν ἔχει χρημάτων· ὁ μὴ βουλόμενος πλουτεῖν, ἀεὶ ἐστὶν ἐν εὐπορίᾳ. οὐ γὰρ τὸ πλουτεῖν, ἀλλὰ τὸ μὴ βούλεσθαι πλουτεῖν, τοῦτό ἐστι πλοῦτος. οἷόν τι λέγω. ἔστι πλούσιος τὰ πάντων ἁρπάζων, καὶ ἔστι πλούσιος τὰ ἑαυτοῦ τοῖς πένησι παρέχων· ὁ μὲν ἐν τῷ συνάγειν, ὁ δὲ ἐν τῷ ἀναλίσκειν πλουτῶν· καὶ ὁ μὲν σπείρει τὴν γῆν, ὁ δὲ γεωργεῖ τὸν οὐρανόν. ἀλλ' ὅσον ὁ οὐρανὸς τῆς γῆς βελτίων, τοσοῦτον τούτου ἡ εὐφορία ἐκείνης ἀσθενεστέρα. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι ἐπὶ μὲν τοῦ ἅρπαγος, οὐ μόνον οἱ ἠδικημένοι, ἀλλὰ καὶ οἱ μηδὲν παθόντες κακὸν μισοῦσιν ἐκεῖνον, συναλγοῦντες τοῖς κακῶς πεπονθόσιν. εἰ δὲ καὶ πέσῃ, βοαὶ μυρίαι παρὰ πάντων· ὁ μιαρὸς, ὁ πονηρὸς, ὁ παμπόνηρος· καὶ πάντες ἐπεμβαίνουσιν αὐτῷ. ἐπὶ δὲ τοῦ ἐλεήμονος, οὐ μόνον οἱ ἐλεηθέντες, ἀλλὰ καὶ οἱ μὴ ἐλεηθέντες φιλοῦσιν αὐτὸν, τὴν εἰς ἐκείνους γινομένην εὐποιίαν εἰς ἑαυτοὺς λογιζόμενοι. εἰ δέ τι καὶ ἀηδὲς πάθῃ, εὔχονται πάντες, ὁ Θεὸς αὐτὸν ἐλεήσει· ποιήσει αὐτῷ καλῶς, παραμείνειεν αὐτῷ τὰ ἀγαθά. εἶδες πῶς ἡ κακία καὶ τοὺς μὴ ἀδικηθέντας πολεμίους ἔχει, ἡ δὲ ἐλεημοσύνη καὶ τοὺς μὴ ἐλεηθέντας ἐραστὰς κέκτηται; [Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.] Πρῶτον τοίνυν ἀπαλλάγηθι τοῦ ἁρπάζειν, καὶ τότε τὴν ἐλεημοσύνην ἐπιδεῖξαι· ἔκνιψον τὰς χεῖρας ἀπὸ πλεονεξίας, καὶ οὕτως αὐτὰς ἐπὶ τὴν ἐλεημοσύνην ἄγε. ἂν δὲ τὸν αὐτοῖς καὶ τοὺς πτωχοὺς ἀποδύωμεν, εἰ μὴ τοῖς ἐξ ἐκείνων διδομένοις ἐνδυόμεθα, ἀλλ' οὐδὲ οὕτω τὴν κόλασιν διαφύγωμεν. ἡ γὰρ ὑπόθεσις τοῦ ἱλασμοῦ πάσης πλημμελείας ὑπόθεσις γίνεται. τοῦ γὰρ οὕτως ἐλεεῖν τὸ μὴ ἐλεεῖν κρεῖττον. εἰ γὰρ τὰ ἐλάττω κομίσας ὁ Κάϊν τὸν Θεὸν παρώξυνεν, ὁ καὶ τὰ ἀλλότρια διδοὺς πῶς οὐ παροξυνεῖ; [Ἐκ τῆς πρὸς Ἑβρ. ὁμιλ.] Ἡ ἐλεημοσύνη τέχνη τίς ἐστιν ἀσινὴς καὶ προστάτις τῶν ἐργαζομένων αὐτήν. φίλη γὰρ τῷ Θεῷ ἐστιν, εἰ μὴ ἀδικεῖται παρ' ἡμῶν· ἀδικεῖται δὲ, ὅταν ἐξ ἁρπαγῆς αὐτὴν ἐργαζώμεθα· ὡς ἐάν γε ᾖ καθαρά, πολλὴν τοῖς ἀναπέμπουσιν αὐτὴν δίδωσι τὴν παρρησίαν, καὶ ὑπὲρ προσκεκρουκότων δεῖται. τοσαύτη γὰρ αὐτῆς ἡ ἰσχύς. αὕτη διαρρήγνυσι τὰ δεσμά, λύει τὸ σκότος, σβέννυσι τὸ πῦρ, καὶ ὁμοίους Θεῷ καθίστα τοὺς ἐργαζομένους αὐτήν. Γίνεσθε γὰρ, φησιν, οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστί. [Λουκ. ϛ'. λϛ'.] [Ἐκ τῆς πρὸς Ῥωμ. ὁμιλ.] Μὴ δὴ περιδῶμεν τὴν εὐκαιρίαν τοῦ παρόντος βίου, ἀλλ' ἐχώμεθα σφοδρῶς τῆς σωτηρίας τῆς ἡμετέρας. ἔστι γὰρ, ἔστι καὶ εἰς ἐσχάτας ἀναπνοὰς εὐαρεστῆσαι τῷ Θεῷ. ἔστι καὶ ἀπὸ διαθήκης εὐδοκιμῆσαι, οὐχ οὕτω μὲν ὡς ζῶντας· ἔστι δὲ ὅμως. πῶς, καὶ τίνι τρόπῳ; ἂν τὸν Θεὸν ἐπιγράψῃς μετὰ τῶν σῶν κληρονόμων, καὶ μοῖραν καὶ αὐτῷ τοῦ παντὸς ἀπονείμῃς κλήρου. οὐκ ἔθρεψας αὐτὸν ζῶν; κἂν ἀπελθὼν, ὅτι οὐκέτι κύριος εἶ, μετάδος αὐτῷ τῶν σῶν. μείζονος μὲν γὰρ πόθου καὶ πλείονος μισθοῦ τὸ ζῶντα σε τρέφειν αὐτόν· εἰ δὲ τοῦτο αὐτῷ μὴ πεποίηκας, κἂν ἐπὶ τὸ δεύτερον ἐλθέ. εἰ δὲ καὶ τοῦτο ὀκνεῖς, ἐννόησον ὅτι ὁ πατὴρ αὐτοῦ συγκληρονόμον αὐτοῦ σε πεποίηκε, καὶ κατάλυσον τὴν ἀπανθρωπίαν. ποίας γὰρ τεύξῃ συγγνώμης, ὅταν πρὸς τῷ μὴ θρέψαι αὐτὸν ζῶν, μηδὲ μέλλων ἀπιέναι πρὸς αὐτὸν, ἀπὸ τῶν χρημάτων τούτων, ὧν οὐκ εἶ κύριος λοι-

πον, βουληθῇς αὐτῷ μικρόν τι χαρίσασθαι, ἀλλ' οὕτως ἐχθρῶς διάκεισαι καὶ πολεμίως, ὡς
μηδὲ τῶν ἀχρήστων σοι γινομένων αὐτῷ μεταδοῦναι; οὐχ ὁρᾷς ὅσοι τῶν ἀνθρώπων οὐδὲ τού-
του κατηξιώθησαν τοῦ τέλους, ἀλλὰ ἁρπαγέντες ἀπῆλθον; σὲ δὲ ὁ Θεὸς καὶ ἐπισκῆψαι τοῖς
προσήκουσι, καὶ εἰπεῖν περὶ τῶν ὄντων, καὶ τὰ κατὰ τὴν οἰκίαν ἅπαντα διαθέσθαι ἐποίησε κύριον.
ποίαν οὖν ἀπολογίαν ἕξεις, ὅταν καὶ ταύτην πρὸ αὐτοῦ λαβὼν τὴν χάριν, προδῷς τὴν 5
εὐεργεσίαν, καὶ μηδὲ ὑπὸ τῆς ἀνάγκης ἕλῃ γενέσθαι φιλάνθρωπος; τὸ μὲν γὰρ ἅμα ποιεῖ καὶ
"πολλὴν παρρησίαν παρέχον, ζῶντα διορθοῦν πενίαν· εἰ δὲ ἐκεῖνο μὴ βουληθῇς, κἂν τελευ-
τῶν ποίησόν τι γενναῖον. οὐ πολλῆς μὲν γὰρ ἐστιν ἀγάπης, ἔστι δ' οὖν ὅμως. εἰ γὰρ μὴ τὴν
παρρησίαν ἕξεις τὴν μετὰ τῶν ἀρίστων, ἀλλ' οὐ μικρὸν τὸ κἂν μετ' ἐκείνους γενέσθαι, καὶ μὴ στῆ-
ναι μετὰ τῶν ἀσείφων. ἂν δὲ μηδὲ τοῦτο ποιῇς, τίς σε λοιπὸν ἐξαιρήσεται λόγος; ὅταν γὰρ ἔζης, 10
ὡς ἀθάνατος οὕτως ἀντεῖχες τῶν ὄντων· νυνὶ δὲ, ἐπειδὴ ἔμαθες ὅτι θνητὸς γέγονας, κἂν νῦν τὸ δόγ-
μα κατάλυσον, καὶ ὡς θνητὸς περὶ τῶν σαυτοῦ βούλευσαι. εἰ γὰρ καὶ φορτικὸν τὸ μέλλον ῥηθή-
σεσθαι καὶ φρίκης γέμον, ἀλλ' ὅμως ἀναγκαῖον εἰπεῖν. ἀρίθμησον μετὰ τῶν δούλων
σου τὸν δεσπότην. ἐλευθεροῖς τοὺς δούλους; ἐλευθέρωσον τὸν Χριστὸν λιμοῦ καὶ ἀνάγ-
κης καὶ δεσμωτηρίων καὶ γυμνότητος. ἔφριξας ἀκούσας; οὐκοῦν φρικωδέστερον, ὅταν 15
μηδὲ αὐτὸ τοῦτο ποιῇς. καὶ ἐνταῦθα μὲν τὸ ῥῆμά σε ναρκᾶν ἐποίησεν· ὅταν δὲ ἀπέλθῃς
ἐκεῖ, καὶ τὰ πολλῷ χαλεπώτερα τούτων ἀκούσῃς, καὶ τὰ ἀνήκεστα βλέπῃς βασα-
νιστήρια, τί ἐρεῖς; πρὸς τίνα καταφεύξῃ; τίνα καλέσεις σύμμαχον καὶ βοηθόν; τὸν
Ἀβραάμ; ἀλλ' οὐκ ἀκούσεται· ἀλλὰ τὸν πατέρα; ἀλλὰ τὸν πάππον; ἀλλ' οὐδὲ τούτων οὐ-
δεὶς ἔσται κύριος, κἂν σφόδρα ἅγιος ᾖ, λῦσαι τὴν ψῆφον ἐκείνην. Ἀλλ' ἀπάνθρωπος 20
εἶ καὶ ὠμὸς καὶ ἀνηλεής; αἰδέσθητι τὸ ἀξίωμα τοῦ αἰτοῦντος. ἀλλ' οὐ δυσωπεῖ σε τὸ ἀξίωμα;
πρὸς τὴν συμφορὰν ἐπικάμφθητι. ἀλλ' οὔτε τὰ τῆς συμφορᾶς εἰς ἔλεόν σε ἐπικάμ-
πτει; διὰ τὸ τῆς αἰτήσεως εὔκολον δός. εἰ δὲ οὔτε τὸ ἀξίωμα, οὔτε τὸ ἀναγκαῖον τῆς χρείας,
οὔτε τὸ εὔκολον τῆς δόσεως δύναταί σε πεῖσαι· οὐκοῦν διὰ τὸ μέγεθος τῶν ἐπηγγελμένων ἀ-
γαθῶν πάρεχε τοῖς δεομένοις. τίς γὰρ ἔσται συγγνώμη τοῖς μετὰ τοσαύτην παραίνεσιν τῶν 25
δεομένων ὑπερορῶσιν; ἀκουέτωσαν οἱ μεμυημένοι· αὐτὸς, ὅταν δέῃ σε θρέψαι, οὐδὲ τῆς
σαρκὸς φείδεται τῆς ἑαυτοῦ· ὅταν δέῃ ποτίσαι, οὐδὲ τοῦ αἵματος φείδεται· σὺ δὲ οὐδὲ ἄρτου
μεταδίδως, οὐδὲ ποτηρίου; καὶ ποίαν ἕξεις συγγνώμην τοιαῦτα λαμβάνων, καὶ τῶν εὐτελῶν
φειδόμενος; Οὐδὲ γὰρ, ἂν διὰ τὸν Χριστὸν μὴ δῷς τὰ χρήματα, ἔχων αὐτὰ ἀπο-
λαύσῃ· οὐδὲ γὰρ, ἂν διὰ τὸν Χριστὸν μὴ ἀποθάνῃς, ἀθάνατος ἔσῃ. ταῦτα ἀπαι- 30
τεῖ παρὰ σοῦ, ἃ καὶ μὴ ἀπαιτοῦντος δώσεις, διὰ τὸ θνητὸν εἶναι· ταῦτά σε βούλεται ποιεῖν
σῇ γνώμῃ, ἃ καὶ ἀνάγκῃ σε δεῖ ποιῆσαι· ἃ πάντως ἀνάγκη σε παθεῖν, ἑλοῦ παθεῖν δι' ἐμέ.
τοῦτο προσκείσθω μόνον, καὶ ἀρκοῦσαν ἔχω τὴν ὑπακοήν. Ἆρά γε φορητὰ ταῦτα, ὅτι
ὁ μὲν Θεὸς καὶ τὸν υἱὸν ἐξέδωκεν ὑπὲρ σοῦ, σὺ δὲ οὐδὲ ἄρτου μεταδίδως αὐτῷ τῷ διὰ σὲ ἐκ-
δοθέντι, τῷ διὰ σὲ σφαγέντι; ὁ πατὴρ διὰ σὲ αὐτοῦ οὐκ ἐφείσατο, καὶ ταῦτα γνησίου ὄντος· 35
σὺ δὲ καὶ λιμῷ τηκόμενον περιορᾷς, καὶ ταῦτα ἀπὸ τῶν αὐτοῦ μέλλων ἀναλίσκειν, καὶ διὰ σαυ-
τὸν ἀναλίσκειν; καὶ τί ταύτης τῆς παρανομίας χεῖρον γένοιτ' ἄν; ἐξεδόθη διὰ σέ, ἐσφάγη
διὰ σέ, περιέρχεται πεινῶν διὰ σέ· ἐκ τῶν αὐτοῦ δίδως, ἵνα αὐτὸς ὠφεληθῇς, καὶ οὐδὲ οὕτω
δίδως; καὶ πόσων οὐκ ἂν εἴης ἀναισθητότερος λίθων, τοσούτων σε ἑλκόντων πραγμάτων,
ἐπὶ τῆς διαβολικῆς ταύτης μένων ὠμότητος; εἰ γὰρ μὴ ἀμείβῃ με, φησὶν, ὡς ὑπὲρ σοῦ 4
τι παθόντα, διὰ τὴν πενίαν ἐλέησον· εἰ δὲ μὴ βούλει διὰ τὴν πενίαν ἐλεῆσαι, διὰ τὴν νό-
σον ἐπικάμφθητι, διὰ τὸ δεσμωτήριον ἐπικλάσθητι. εἰ δὲ μηδὲ ταῦτά σε ποιεῖ φιλάν-
θρωπον, διὰ τὸ κοῦφον τῆς αἰτήσεως ἐπίνευσον· οὐδὲν γὰρ αἰτεῖ πολυτελές, ἀλλ' ἄρτον,
καὶ στέγην, καὶ ῥημάτων παράκλησιν. εἰ δὲ καὶ μετὰ ταῦτα ἐπιμένεις ἄγριος ὤν, κἂν διὰ
τὴν

γρ. πολλῷ πλείονα χάριν, γρ. θ…

Ἐκ τοῦ λόγου εἰς τὸ, χήρα καταλεγέσθω.

Ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθαῖον εὐαγγ.

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ῥωμαίους.

τὴν βασιλείαν γίνου βελτίων. ἀλλ' οὐδὲ ἐκείνης σοί ἐστί τις λόγος; κἂν πρὸς τὴν φύσιν αὐτὴν ἐπικλάσθητι γυμνὸν ὁρῶν, καὶ τῆς γυμνότητος ἀναμνήσθητι ἐκείνης, ἣν ἐγυμνώθην ἐπὶ τοῦ σταυροῦ διὰ σέ. Εἰ δὲ ἐκείνης οὐ βούλει, κἂν ταύτης, ἣν διὰ τῶν πενήτων γυμνοῦμαι. οὐ λέγω, λῦσόν μου τὴν πενίαν, οὐδὲ, χάρισαί μοι πλοῦτον, ἀλλ' ἄρτον αἰτῶ καὶ ἱμάτιον

5 καὶ λιμοῦ παραμυθίαν μικράν· κἂν εἰς δεσμωτήριον ἐμπέσω, οὐκ ἀναγκάζω τὰ δεσμὰ λῦσαι, καὶ ἐκβαλεῖν, ἀλλ' ἓν ἐπιζητῶ μόνον, ἵνα ἴδῃς δεδεμένον διὰ σέ, καὶ ἀρκοῦσαν ἔλαβον χάριν. δυνάμενος μὲν γὰρ καὶ χωρὶς τούτων σε στεφανοῦν, βούλομαι δέ σοι καὶ ὀφειλέτης εἶναι, ἵνα φέρῃ σοί τινα καρπὸν καὶ παρρησίαν ὁ στέφανος. Διὰ τοῦτο καὶ δυνάμενος ἐμαυτὸν θρέψαι, περιέρχομαι προσαιτῶν, καὶ ταῖς θύραις σου παριστάμενος προτείνω χεῖρα παρὰ σοῦ τρα-

10 φῆναι ἐπιθυμῶν. καὶ ἐγκαλλωπίζομαι τούτῳ, ἵνα τοῦ θεάτρου παρόντος τῆς οἰκουμένης διακηρύττω σε τότε, καὶ πάντων ἀκουόντων ἐνδείκνυμαι τὸν τροφέα τὸν ἐμόν. καίτοιγε ὑμεῖς ὅταν παρά τινος τραφῆτε, αἰσχύνεσθε τοῦτο καὶ συσκιάζετε· ἐγὼ δὲ ἐπειδὴ σφόδρα ὑμᾶς φιλῶ, κἂν ὑμεῖς σιγᾶτε, ἀναγορεύω δὲ γεγηθότες μετὰ πολλῶν τῶν ἐγκωμίων· καὶ οὐκ αἰσχύνομαι εἰπεῖν, ὅτι γυμνὸν ὄντα με περιεβάλετε, καὶ πεινῶντα ἐθρέψατε· ἀλλὰ καὶ μᾶλλον ἐγ-

15 καλλωπίζομαι τούτοις, ἵν' ὑμεῖς κληρονόμοι τῆς βασιλείας ἀναδειχθῆτε τῶν οὐρανῶν. Ταῦτα τοίνυν ἐννοοῦντες, ἀγαπητοὶ, ἐχώμεθα σφοδρῶς τῆς σωτηρίας, ἵνα καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

20 ΠΕΡΙ ΕΥΤΥΧΙΑΣ ΚΑΙ ΔΥΣΤΥΧΙΑΣ. Λογ. ιε.

Οἱ πολλοὶ τῶν ἀνθρώπων ὅταν πλουτῶσιν, ὅταν εὐδοκιμῶσιν, ὅταν αὐτοῖς κατὰ ῥοῦν ἅπαντα φέρηται, ὅταν τῶν ἐχθρῶν κρατῶσι, τότε μεμνῆσθαι νομίζουσιν αὐτῶν τὸν Θεόν· διὰ τοῦτο οὔτε, ὅταν αὐτῶν ἐπιλανθάνηται, ἴσασιν. Οἱ γὰρ τῆς μνήμης τὰ σημεῖα οὐκ εἰδότες, οὐδὲ τὰ τῆς λήθης

25 ἐπίστανται. μνήμην γὰρ οὐδὲν οὕτω ποιεῖ παρὰ τῷ Θεῷ, ὡς τὸ τῆς ἀρετῆς ἐπιμελεῖσθαι· ὥσπερ οὖν λήθην οὐδὲν ἕτερον, ἢ τὸ ἐν ἁμαρτίαις εἶναι. καὶ σὺ τοίνυν ὅταν ἐν συμφοραῖς ᾖς, ἄνθρωπε, μὴ λέγε, ὅτι ἐπελάθετό μου ὁ Θεὸς, ἀλλ' ὅταν ἐν ἁμαρτίαις ᾖς, κἂν πάντα σοι κατὰ ῥοῦν φέρηται, τότε μᾶλλον. Ἡ γὰρ

30 τύφουσα καὶ ἐγρηγορυῖα ψυχὴ, οὐ μόνον ἐπειδὰν κατὰ ῥοῦν φέρηται τὰ πράγματα, τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδείκνυται, ἀλλὰ κἂν ἐναντία τις πραγμάτων περίστασις παρακολουθήσῃ, καὶ τότε τὴν ἴσην εὐχαριστίαν ἀναφέρει, οὐδὲν ἀπὸ τῆς τῶν πραγμάτων μεταβολῆς ζημιουμένη. ὥσπερ γὰρ ἡ τῶν πλουσίων ὑδάτων φορὰ δεξαμένη τὸ ἐπιρρέον, πομφόλυγας διανίστησι, καὶ αἱ μὲν αὐτῶν ἅμα τῷ γενέσθαι ἐρράγησαν, αἱ δὲ πλεῖον ὀγκωθεῖσαι

35 μετέπειτα καὶ αὗται ἐρράγησαν· τὸν αὐτὸν τρόπον ἡ θάλασσα τοῦ βίου τούτου τοὺς μὲν ὀλίγον φανέντας ἐκάλυψε, τοὺς δὲ ἐπὶ πλεῖον διαρκέσαντας καὶ αὐτοὺς κατεπόντισε. Καὶ τί παρέστη, φησὶν, εἰ ὁ δεῖνα ἐξεβλήθη, καὶ ὁ δεῖνα εἰσηνέχθη; ὁ Χριστὸς ἐσταυροῦτο, καὶ Βαραββᾶς ὁ λῃστὴς ἐζήτετο, προκριθεὶς τοῦ σωτῆρος ὁ ἀνδροφόνος. Ὅταν γὰρ μεταβολή τις γένηται πρὸς τὸ χεῖρον, τότε τῶν κολάκων ἀφαιρεῖται τὰ προσωπεῖα· τότε ὁ χορὸς ἐλέγ-

40 χεται τῶν ὑποκριτῶν, καὶ ἡ σκῆψις τοῦ πράγματος· ἀνοίγεται πάντων τὰ στόματα, ὁ μιαρὸς, λέγοντες, ὁ πονηρὸς, ὁ παμπόνηρος, οὐ σὺ δὲ τὸν αὐτὸν ἐκολάκευες; οὐ τὰς χεῖρας αὐτοῦ κατεφίλεις; προσωπεῖον ἦν ἐκεῖνα, ἦλθεν ὁ καιρὸς, καὶ ἔρριψα τὸ προσωπεῖον, καὶ ἀπεφηνάμην τὴν διάνοιαν. Πολλοὶ δὲ κακοπραγοῦσι μὲν συναλγοῦσι τοῖς φίλοις, εὐδοκιμοῦσι δὲ οὐκ ἔτι συνήδονται. Τὸ γὰρ μετὰ χαιρόντων χαίρειν, οὐ μικρόν ἐστι κατόρθωμα

ἀλλὰ

Ἐκ τοῦ ἑρμην. τοῦ ιϛ'. Ψαλμ.

Ἐκ τῆς ἑξαημ.

Ἐκ τῆς πρὸς Ὀλυμπιάδα α. ἐπιστολῆς.

Ἐκ τῆς αὐτῆς.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. ϛ'. ἐπι.

Ἐκ τῆς πρὸς Ῥωμ. ἐπισ.

ἀλλὰ καὶ τοῦ κλαίειν μετὰ κλαιόντων, καὶ τοῦ παρίστασθαι τοῖς ἐν κινδύνοις, κατὰ πολὺ μεῖζον. πολλοὶ γὰρ κινδυνεύουσι μὲν συνεκινδύνευσαν· εὐδοκιμοῦσι δὲ οὐ συνήσθησαν, ἀλλὰ καὶ ἐδήχθησαν· καὶ τὸ χαλεπώτερον ὑπομείναντες, πρὸς τὸ εὐκολώτερον ἡττήθησαν. [Καὶ γὰρ οὐδὲν οὕτω παρανόμους ποιεῖ καὶ ἀνοήτους, ὡς τὸ πρὸς τὴν τῶν πολλῶν κεχηνέναι δόξαν· καὶ οὐδὲν εὐδοκίμους καὶ ἀδαμαντίνους ποιεῖ, ὡς τὸ αὐτῆς ὑπερορᾶν. διὸ καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς τῷ μέλλοντι πρὸς τοσαύτην ἀντέχειν ῥύμην καὶ βίαν πνεύματος. καὶ γὰρ ὅταν μὲν εὐημερῇ, πάντων ἑαυτὸν τῶν ἄλλων προτίθησιν· ὅταν δὲ τἀναντία ὑπομένῃ, κατορύξαι ἑαυτὸν βούλεται, ὑποβρύχιος ὑπὸ τοῦ πάθους γινόμενος].

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῶν λόγ. τῶν ἀνδριάντ.

Ἀλλ' οἱ τρεῖς παῖδες εἰς κάμινον ἐνεβλήθησαν, καὶ οὐδὲ οὕτως ἐπελάθοντο τῆς εὐλαβείας· διὰ τοῦτο τεῖχος αὐτοῖς ἐγένετο τὸ πῦρ, καὶ στολὴ ἡ φλόξ, καὶ πηγὴ ἡ κάμινος· καὶ δεδεμένους λαβοῦσα, λελυμένους παρέδωκεν· ἔλαβε θνητὰ σώματα, καὶ ὡς ἀθανάτων ἀπέσχετο· οὐκ ἔγνω τὴν φύσιν, ἀλλ' ᾐδέσθη τὴν εὐλάβειαν. ἔδησε τοὺς πόδας ὁ τύραννος, καὶ ἔδησαν οἱ πόδες τοῦ πυρὸς τὴν ἐνέργειαν. ὢ παραδόξου θαύματος· τοὺς δεδεμένους ἔλυσεν ἡ φλόξ, καὶ αὐτὴ λοιπὸν ὑπὸ τῶν δεδεμένων ἐδέδετο. μετέβαλε γὰρ τῶν πραγμάτων τὴν φύσιν ἡ τῶν νεανίσκων εὐλάβεια· μᾶλλον δὲ οὐ τὴν φύσιν μετέβαλεν, ἀλλ', ὃ πολλῷ θαυμαστότερον ἦν, μενούσης τῆς φύσεως, τὴν ἐνέργειαν ἔστησεν. οὐ γὰρ ἔσβεσε τὸ πῦρ, ἀλλὰ καιόμενον ἀργὸν ἐποίησε. καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον, οὐκ ἐπὶ τῶν σωμάτων τοῦτο τῶν ἁγίων μόνον ἐγένετο, ἀλλὰ καὶ ἐπὶ τῶν ἱματίων αὐτῶν. καὶ καθάπερ ἐπὶ τῶν ἀποστόλων τὰ ἱμάτια Παύλου νοσήματα καὶ δαίμονας ἤλαυνε, καὶ αἱ σκιαὶ Πέτρου θάνατον ἐφυγάδευον· οὕτω δὴ καὶ ἐνταῦθα τῶν παίδων τούτων τὰ ὑποδήματα τὴν τοῦ πυρὸς δύναμιν ἔσβεσαν. οὐκ οἶδα πῶς εἴπω· τὸ γὰρ θαῦμα πᾶσαν ὑπερβαίνει λόγου διήγησιν· καὶ γὰρ ἐσβέσετο ἡ ἐνέργεια, καὶ οὐκ ἐσβέσετο. ὅτε μὲν γὰρ τοῖς σώμασιν ὡμίλει τῶν ἁγίων ἐκείνων, ἐσβέσετο· ὅτε δὲ διαρρῆξαι τὰ δεσμὰ ἔδει, οὐκ ἐσβέσετο. τὰ γοῦν δεσμὰ διέρρηξε, καὶ τῶν ἀστραγάλων οὐχ ἥψατο. εἶδες πόση ἡ [illegible], καὶ οὐκ ἠπατήθη τὸ πῦρ, οὐδὲ ἐνδοτέρω τῶν δεσμῶν προελθεῖν ἐτόλμησε; τίνος δὲ ἕνεκεν ἔδησεν ἐμβαλεῖν μέλλων; ἵνα μεῖζον τὸ θαῦμα γένηται· ἵνα παραδοξότερον τὸ σημεῖον δειχθῇ· ἵνα μὴ νομίσῃς ὀφθαλμῶν ἀπάτην εἶναι τὰ ὁρώμενα. εἰ γὰρ μὴ πῦρ ἦν ἐκεῖνο τὸ πῦρ, οὐκ ἂν τὰ δεσμὰ κατέφαγεν· οὐκ ἂν τοὺς ἔξω καθημένους ἥρπασε. νῦν δὲ ἐν μὲν τοῖς ἔξω τὴν δύναμιν ἐπεδείξατο, ἐν δὲ τοῖς ἔνδον τὴν ὑπακοὴν ἔδειξε. καὶ ἐπειδὴ εἶδεν ὁ τύραννος τοὺς παῖδας μηδὲν παθόντας δεινόν, ἄκουσον πῶς μετεβάλετο. Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου ἐξέλθετε, καὶ δεῦτε, φησίν. οὐ πρὸ βραχέος ἔλεγε, Καὶ τίς ἐστι Θεός, ὃς δυνήσεται ἐξελέσθαι ὑμᾶς ἐκ τῶν χειρῶν μου; τί γέγονε; πόθεν ἡ μεταβολὴ αὕτη; τοὺς ἔξω διαφθαρέντας εἶδες, καὶ τοὺς ἔνδον καλεῖς; πόθεν ἐπῆλθέ σοι τοιαῦτα φιλοσοφεῖν; εἶδες πόση μεταβολὴ τῷ βασιλεῖ γέγονε; διὰ τοῦτο καὶ ὁ Θεὸς συνεχώρησεν ἅπαντα γενέσθαι, ὅσα ὁ τύραννος ἠθέλησεν, ἵνα δείξῃ, ὅτι τοὺς ὑπ' αὐτοῦ φυλαττομένους οὐδεὶς παραβλάψαι δυνήσεται. καὶ γὰρ καὶ ἐπὶ τοῦ Ἰὼβ τοῦτο ἐποίησεν· ἀφῆκε τὸν διάβολον πᾶσαν αὐτοῦ τὴν δύναμιν ἐπιδείξασθαι· καὶ ὅτε ἐκένωσε τὰ βέλη πάντα, καὶ οὐδεὶς ἐπιβουλῆς ἐλείπετο τρόπος, τότε ἀνεβίβασε τὸν ἀθλητὴν ἀπὸ τοῦ σκάμματος, ἵνα λαμπροτέρα καὶ ἀναμφισβήτητος ἡ νίκη γένηται.

Δαν. γ. ϟγ.

Δαν. γ. ιε.

[Ἀλλὰ καὶ ὁ μακάριος Παῦλος, ὁ τὴν οἰκουμένην φωτίσας πᾶσαν, ἐν τῷ καιρῷ τῆς κλήσεως ἐτυφλώθη ποτέ· ἀλλ' ἡ πήρωσις ἐκείνου, φωτισμὸς τῆς οἰκουμένης ἐγένετο. ἐπειδὴ γὰρ ἔβλεπε κακῶς, ἐπήρωσεν αὐτὸν καλῶς ὁ Θεός, ὥστε ἀναβλέψαι χρησίμως. καὶ ἐπειδὴ καθ' ὑπερβολὴν ἐδίωκε τὴν ἐκκλησίαν, καὶ οὕτω σφοδρὸς ἦν καὶ ἀπαραίτητος, σφοδροτέρου δεῖται τοῦ χαλινοῦ, ἵνα μὴ τῇ ῥύμῃ τῆς προθυμίας ἐκείνης ἀγόμενος, παρακούσῃ τῶν λεγομένων· καὶ ἵνα μάθῃ τίνα πολεμεῖ, ὃν οὐ μόνον κολάζοντα, ἀλλ' οὐδὲ εὐεργετοῦντα ἐνεγκεῖν δύναται. οὐ γὰρ σκότος αὐτὸν ἐπήρωσεν, ἀλλ' ὑπερβολὴ φωτὸς αὐτὸν ἐσκότισε.] [Τί δὲ ὁ Πέτρος;

Ἐκ τοῦ λόγ. εἰς τὴν λίμνην Γεννησαρέτ, καὶ εἰς Πέτρον τὸν ἀπ.

τρος;

τέρος; Ἐμβὰς, φησιν, ὁ Ἰησοῦς εἰς ἓν τῶν πλοίων τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπανα- Λουκ. ε. γ.
γαγεῖν ὀλίγον. ὁρᾷς πῶς ἐπεμβαίνει τῷ πλοίῳ ὁ μὴ χρήζων πλοίου, ἵνα τὸν τοῦ πλοίου δεσπό-
την κερδήσῃ; διὰ τί γὰρ καὶ παρακαλεῖ τὸν Σίμωνα ὁ Κύριος; διὰ τί ὁ Σίμων διὰ πάσης
τῆς νυκτὸς κοπιάσας, καὶ μηδὲν ἀνύσας, ἄπρακτος ἔμεινεν; ἐδυσφόρει δὲ σφόδρα κεναῖς χερ-
5 σὶν ἀποπλυνῶν τὰ δίκτυα, καὶ κόπον κόπῳ συνάπτων, καὶ μηδὲν πορίσασθαι ἔχων, ἠθύμει.
τούτου χάριν ὁ Κύριος θεωρήσας αὐτὸν κατασυγνάσαντα, φησὶ πρὸς αὐτόν· μικρόν μοι δανεί-
σον τὸ πλοιάριόν σου, ναῦτα, ὅπως εἰσελθὼν, διδάξω ὅπερ βλέπεις κατακολουθοῦν μοι
πλῆθος. ὁ δὲ Σίμων ἔτι βεβαπτισμένος τῇ λύπῃ τῆς ἀποτυχίας, φησὶ πρὸς τὸν Κύριον· πό-
θεν παραγέγονας, ὦ ἄνθρωπε; τί μοι δι᾽ ὄχλου γίνῃ; ἄλλην περίβλεψαι σκάφην, εἴγε βού-
10 λει τὴν λίμνην περιαυλίζεσθαι, ὁρᾷς με πενθοῦντα, ὡς ἄρτου μὴ εὐποροῦντα, καὶ λόγον
Θεοῦ χορηγεῖν ἐπαγγέλλῃ; οὐ περιβλέψομαι πόθεν ἀργύρια δανείσομαι, ἵνα τὴν πενθε-
ράν μου, καὶ τὴν γυναῖκά μου θρέψω; ἀλλὰ σοὶ τὸ πλοιάριον ὑποστρώσω, ἵνα καὶ τὴν ἡμέραν,
ὡς τὴν νύκτα, ματαιοπονήσω; εἰ ἐπιφέρῃ ναῦλον, ἐπίβηθί μου τῷ πλοίῳ· εἰ δὲ μὴ βαστά-
ζεις, ἄπελθε, παρακαλῶ. ἐμὲ γὰρ δόσις, οὐ λόγος τρέφει. ὁ δὲ Κύριος πρὸς αὐτόν· μὴ
15 δυσχέραινε, Σίμων· οὕτως ὡς ναύτης λαλεῖς, μή μου ζημίαν τὴν παρουσίαν ἡγήσῃ, ἀλλ᾽ εὐπο-
ρίαν μᾶλλον, ἢ ἀπορίαν. Ταῦτα ἀκούσας ὁ Σίμων, καὶ τῇ ἐλπίδι τῆς μισθαποληψίας μι-
κρὸν ἱλαρωθεὶς τῷ προσώπῳ, ἐν τῷ πλοίῳ τὸν Κύριον ὑποδέχεται. ὁ δὲ Ἰησοῦς καθί-
σας, φησὶν, ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους· ὁ δὲ Σίμων ἀκούων ἤρξατο γογγύζειν, καὶ
λέγειν ἐν ἑαυτῷ· παρὰ τούτου μισθὸν προσδοκῶ λαβεῖν; ἐπὶ ζημίᾳ νυχθημερινῇ περιέπε-
20 σον, ἆρα τίς μοι συνώτησε σήμερον; οὗτος περὶ ἀκτημοσύνης διαλέγεται, μηδένα μη-
δὲν ἔχειν διδάσκει· τάχα με θέλει καὶ τὸ πλοῖόν μου πωλῆσαι, ἵνα πτωχοῖς διανείμω. παρὰ
τούτου μισθὸν προσδοκῶ λαβεῖν; εἶτα προσελθὼν τῷ Κυρίῳ, φησί· τὰ μὲν ῥήματά σου
καλὰ, καὶ ἡ φωνή σου ἡδεῖα, καὶ ἡ διδασκαλία σου τιμία· ἀλλ᾽ ὅμως ἐμοὶ τὸ τῆς συντάξεως πλή-
ρωσον. καὶ ὁ Κύριος πρὸς τὸν Σίμωνα· μισθὸν λαβεῖν ἐπιζητεῖς παρ᾽ ἐμοῦ; ἐπανάγαγε εἰς τὸ
25 βύθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. ὁ δὲ Σίμων πρὸς τὸν Κύριον· πάλιν ἁλι-
εύσω, καὶ δίκτυα χαλάσω, καὶ κόπον ὑπομείνω; εἴθε μὴ τὴν νύκτα κεναῖς ταῖς χερσὶν ἐψηλά-
φησα. μὴ γὰρ τεχνικώτερος εἶ τῆς ἐμῆς ναυτιλίας; ἢ κέκτησαί τι ἐν τῷ ἀφανεῖ βύθῳ;
ὁδηγὴ διδάσκαλος εἶ; μὴ γὰρ καὶ ἰχθύων θηρευτής; ἔξελθε ἀπ᾽ ἐμοῦ· βλέπω γάρ σε μη-
δὲν βαστάζοντα. τί τὸν καιρὸν ἀπόλλω; οὐ ταῦτα παρὰ τὴν ἀρχὴν ἐμαρτυράμην σοι;
30 ὁ δὲ Κύριος πρὸς τὸν Σίμωνα ἔφη· μὴ ὡς ἄπορόν με πρόσεχε, Σίμων· μὴ τὰς χεῖρας καὶ
τὸν κόλπον μου κατανόει· οὐκ ἐν ταῖς χερσὶν, ἀλλὰ ἐν τῷ στόματί μου τὸν μισθόν σου βαστά-
ζω. ἐπανάγαγε εἰς τὸ βάθος, καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. ὁ δὲ πρὸς αὐτὸν,
ἐπιστάτα, δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω
τὰ δίκτυα· καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων πολύ. διερρήγνυτο δὲ τὰ δίκ-
35 τυα αὐτῶν. ὢ τῶν παραδόξων πραγμάτων· οὐ λείπει τῷ Πέτρῳ φροντίς. διερρήγνυτο τὸ
δίκτυον, καὶ τὸν Χριστὸν περιεβλέπετο, καὶ τοὺς ἰχθύας κατενόει, καὶ τὸ θαῦμα ἐνενόει. οὐκ ἴσχυε
τὸν φόρτον ἑλκύσαι, καὶ βοηθοὺς ἐπεσπᾶτο. Συνδραμόντες γάρ, φησι, καὶ οἱ τοῦ ἑτέρου πλοί-
ου, ἔνθα ἦν Ἰάκωβος, καὶ Ἰωάννης, ἤρξαντο τοὺς ἰχθύας συλλέγειν· καὶ ὅσον συνῆγον, τοσοῦτον ἐ-
πληθύνοντο. ἔσπευδον γὰρ οἱ ἰχθύες τις προθύμως ὑπουργῆσαι τῷ δεσποτικῷ προστά-
40 γματι. οἱ μικροὶ τοὺς μεγάλους προέτρεχον, οἱ μέσοι τοὺς μείζονας ὑπερεπλεόναζον, οἱ
μεγάλοι τοὺς μικροὺς ὑπερήλαυνον. τὰς χεῖρας τῶν ἁλιέων οὐ περιέμενον, ἀλλ᾽ ἑαυτοὺς
εἰς τὸ πλοῖον ἐκυβίστων. ὁ πυθμὴν τῆς λίμνης ἐκεκένωτο· οὐδεὶς τῶν ἰχθύων κάτω μέ-
νειν ἠνείχετο· ἀλλὰ τῶν δικτύων διαρρηγνυμένων, οἱ μὲν εἰς τὸ πλοῖον ἑαυτοὺς ἐκυβί-
στων, οἱ δὲ ἔξωθεν τῶν δικτύων περιεστήκασι πρὸς τὸ θεάσασθαι κεχηνότες, καὶ πόρρω τούτων

μένειν

μένειν οὐκ ἀνεχόμενοι. τί οὖν ὁ Σίμων; ὁ δυσὶ πράγμασι περιπεσών, ὁ τὴν νύκτα κοπιάσας, καὶ μηδὲν πιάσας, καὶ τῇ ἡμέρᾳ ἐπὶ τῷ ῥήματι τοῦ Ἰησοῦ πάντα θηρεύσας, ὡς εἶδε ταῦτα, προσέπεσε τῷ Κυρίῳ λέγων, Ἔξελθε ἀπ' ἐμοῦ, Κύριε, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι. ἔγνων λοιπὸν ὅστις εἶ. οὐκ εἶδον ἰχθύων ἄγραν ποτὲ τοιαύτην. ἔθος γάρ, δέσποτα, τοὺς ἰχθύας τῆς σαγήνης εἴσω ἀποκλείεσθαι, τοὐναντίον δὲ βλέπω γενόμενον θαῦμα. ἔξωθεν οἱ ἰχθύες τὴν σαγήνην κρατοῦσιν. ἐπίσχες λοιπὸν τὸ θεϊκόν σου τὸ πρόσταγμα, κατάλιπε τῇ λίμνῃ κἂν δύο πρὸς γονὴν ἰχθύας. ἔξελθε ἀπ' ἐμοῦ, δέσποτα, οὐ σὲ ἀπωθούμενος, ἀλλ' ἐμαυτὸν ταλανίζω. ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι. τί οὖν ὁ Ἰησοῦς; μὴ φοβοῦ, Πέτρε· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. ὢ τῆς τοῦ Κυρίου δυνάμεως· ὢ τῆς τοῦ Πέτρου συνέσεως. μόνον ἤκουσε, καὶ εὐθέως ὑπήκουσεν. οὐ τοὺς ἰχθύας ἐπώλησεν, οὐ τῇ γυναικὶ συνετάξατο, ἀλλὰ καταγαγὼν τὸ πλοῖον ἐπὶ τὴν γῆν, ἀφεὶς ἅπαντα ἠκολούθησεν αὐτῷ.]

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν πλούσιον καὶ Λάζαρον.

Διὰ τοῦτο δὲ καὶ τὸν Λάζαρον ἐν τοῖς κόλποις ὄντα τοῦ Ἀβραὰμ ἑώρα ὁ πλούσιος, ἵνα ὥσπερ ἐκείνῳ χαλεπωτέραν ἐποίει τὴν βάσανον τὸ ἐν τῷ πυλῶνι τοῦ πλουσίου κεῖσθαι, καὶ ὁρᾶν τὰ ἀλλότρια ἀγαθά· οὕτω δὴ καὶ τούτῳ χαλεπωτέραν ποιῆται νῦν τὴν τιμωρίαν "τοῦ ἐν τῇ γεέννῃ κεῖσθαι," τὸ ὁρᾶν τοῦ Λαζάρου τὴν τρυφήν· ἵνα μὴ τῇ φύσει τῶν βασάνων μόνον, ἀλλὰ καὶ τῇ παραθέσει τῆς ἐκείνου τιμῆς, ἀφορητοτέραν ἔχῃ τὴν κόλασιν. καὶ καθάπερ τὸν Ἀδὰμ ἐκβαλὼν τοῦ παραδείσου, κατέναντι τοῦ παραδείσου κατῴκισεν ὁ Θεός, ἵνα ἡ συνεχὴς ὄψις ἀνανεοῦσα τὸ πάθος ἀκριβεστέραν αὐτῷ παράσχῃ τῆς ἐκπτώσεως τῶν ἀγαθῶν τὴν αἴσθησιν· οὕτω δὴ καὶ τοῦτον κατέναντι τοῦ Λαζάρου κατῴκισεν, ἵνα εἰδῇ τίνων ἀγαθῶν ἑαυτὸν ἀπεστέρησε. καὶ τίνος ἕνεκεν οὐχὶ πρὸς τὸν Λάζαρον τὴν ἱκεσίαν, ἀλλὰ πρὸς τὸν Ἀβραὰμ ὁ πλούσιος ἐποιήσατο; ᾐσχύνθη καὶ ἠρυθρίασε, καὶ ἐκ τῶν καθ' ἑαυτὸν πραγμάτων ἐνόμισεν αὐτὸν μνησικακήσειν πάντως. εἰ γὰρ ἐγώ, φησι, τοσαύτης ἀπολαύων εὐπορίας, καὶ οὐδὲν ἠδικημένος, ἐν τοσούτοις ὄντα κακοῖς ὑπερεῖδον τὸν ἄνθρωπον, καὶ οὐδὲ ψιχίων μετέδωκα, πολλῷ μᾶλλον αὐτὸς ὁ οὕτως ὑπεροφθεὶς, οὐκ ἐπινεύσει τῇ χάριτι. καὶ τὸν Ἀβραὰμ ἐκάλεσεν, ὃν ἐνόμιζεν ἀγνοεῖν τὰ γεγενημένα, οὐκ εἰδώς, ὡς οὐκ οἴκοθεν ἔλεγεν ὁ πατριάρχης, ἅπερ ἔλεγεν, ἀλλὰ θείους ἀνεγίνωσκε νόμους αὐτῷ· καὶ τὸν δάκτυλον ἐπεζήτησεν ἐκεῖνον, ὃν ταῖς γλώσσαις τῶν κυνῶν ἀφῆκε προσδοθῆναι πολλάκις. ἀλλ' ὅρα φιλοστοργίαν δικαίου· οὐκ εἶπεν, ἀπάνθρωπε καὶ ὠμὲ καὶ παμπόνηρε, τοσαῦτα κακὰ διαθεὶς τὸν ἄνθρωπον, φιλανθρωπίας μέμνησαι νῦν καὶ ἐλέους καὶ συγγνώμης; οὐκ αἰσχύνῃ οὐδὲ ἐρυθριᾷς; οὐδὲν

Λυκ. ις. κε.

τούτων εἶπεν· ἀλλὰ τί; Τέκνον, ἀπέλαβες τὰ ἀγαθά σου (ψυχὴν γὰρ τεταπεινωμένην μὴ προσταράξῃς, φησίν· ἀρκεῖ τὰ τῆς τιμωρίας αὐτῷ, μὴ προσεπεμβαίνωμεν αὐτοῦ ταῖς συμφοραῖς) οὐ κύριός εἰμι, φησι, μεταδίδωμί σοι· τὸ δὲ ἐνταῦθεν ἀπελθεῖν ἐκεῖ, οὐκ ἔστιν ἡμέτερον.

Σειρ. δ γ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς αἰδιμαίτ.

[Ἀκούσωμεν τί φησιν ὁ πλούσιος πρὸς τὸν Ἀβραάμ. Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν

Λυκ. ις. κδ.

γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. διὰ τί οὖν οὐ ποιεῖται πρὸς τὸν Λάζαρον τὴν ἱκετηρίαν, ἀλλὰ πρὸς τὸν πατριάρχην; καὶ εἰκότως. οὐδὲ γὰρ ἀντιβλέψαι ἐτόλμα τῷ πένητι. ἐνενόει γὰρ τὴν οἰκείαν ἀπανθρωπίαν, καὶ τὸ ἀνηλεὲς λογιζόμενος, ὅπερ εἰς αὐτὸν ἐπεδείξατο, ὑπώπτευεν αὐτὸν ἴσως μηδὲ ἀποκρίσεως ἀξιῶσαι. διὸ οὐδὲ πρὸς αὐτὸν ποιεῖται τὴν παράκλησιν, ἀλλὰ πρὸς τὸν πατριάρχην ἱκετεύει. ἀλλ' ὅμως οὐδὲ οὕτως

Ἐκ τῶν αὐτῶν.

ἐκέρδανέ τι πλέον.] Ὁρᾷς πόσης ἀπολαύει τῆς τιμῆς καὶ τῆς προεδρίας ὁ παρὰ τὸν πυλῶνα "κείμενος, ὁ εὐκαταφρόνητος, ὁ πένης, ὁ τῷ λιμῷ διηνεκῶς παλαίων, ὁ τοῖς ἕλκεσι πολιορκούμενος, ὁ τοῖς κυσὶ προκείμενος; ἡδέως γὰρ ταῦτα στρέφω συνεχῶς, ἵνα μηδεὶς τῶν ἐν πενίᾳ ἢ τῶν ἐν νόσοις ὄντων καὶ λιμῷ, καταφρονήσῃ ἑαυτὸν ταλανίζων· ἀλλὰ μεθ' ὑπομονῆς καὶ εὐχαριστίας ἅπαντα φέρων, ἤδη ταῖς χρησταῖς ἐλπίσι τρέφηται), τὰς ἀπορρήτους ἐκεί-

νας

νας ἀνταμοιβὰς, καὶ τῶν πόνων τὰς ἀντιδόσεις· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΕΥΧΗΣ.

Λογ. ιϛ.

ΜΕγα ἀγαθὸν ἡ εὐχὴ, ἐὰν μετὰ διανοίας εὐχαρίστου γίνηται· ἐὰν παιδεύσωμεν ἑαυτοὺς, μὴ μόνον λαμβάνοντες, ἀλλὰ καὶ μὴ λαμβάνοντες, εὐχαριστεῖν τῷ Θεῷ. καὶ γὰρ ποτὲ μὲν δίδωσι, ποτὲ δὲ οὐ δίδωσιν· ἀμφότερα χρησίμως· ὥστε, κἂν λάβῃς, κἂν μὴ λάβῃς, ἔλαβες ἐν τῷ μὴ λαβεῖν· κἂν ἐπιτύχῃς, κἂν μὴ ἐπιτύχῃς, ἔτυχες ἐν τῷ μὴ ἐπιτυχεῖν. ἔστι γὰρ ὅτε τὸ μὴ λαβεῖν λυσιτελέστερον. εἰ γὰρ μὴ συμφέρον ἡμῖν ἦν πολλάκις τὸ μὴ λαβεῖν, πάντως ἔδωκεν ἄν· τὸ δὲ συμφερόντως ἀποτυχεῖν, ἐπιτυχεῖν ἐστι. Μὴ δὴ πρὸς τὴν βραδυτῆτα τῆς τῶν αἰτουμένων δόσεως δυσχεραίνωμεν, ἀλλὰ ταύτῃ μᾶλλον πολλὴν τὴν καρτερίαν καὶ τὴν μακροθυμίαν ἐπιδεικνύμεθα. μὴ γὰρ καὶ πρὶν ἢ αἰτήσωμεν, οὐκ ἠδύνατο παρασχεῖν ὁ Θεός; ἀλλὰ διὰ τοῦτο ἀναμένει, ἵνα ἀφορμὴν λάβῃ παρ' ἡμῶν τοῦ δικαίως ἡμᾶς ἀξιοῦν τῆς παρ' αὐτοῦ προνοίας. κἂν ἐπιτύχωμεν τοίνυν τῶν αἰτηθέντων, κἂν μὴ ἐπιτύχωμεν, παραμένωμεν τῇ αἰτήσει· καὶ μὴ μόνον ἐπιτυγχάνοντες εὐχαριστῶμεν, ἀλλὰ καὶ ἀποτυγχάνοντες. τὸ γὰρ ἀποτυχεῖν ὅταν ὁ Θεὸς βούληται, οὐκ ἔλαττόν ἐστι τοῦ ἐπιτυχεῖν. οὐδὲ γὰρ ἴσμεν ἡμεῖς τὰ συμφέροντα ἡμῖν, ὡς αὐτὸς ἐπίσταται. ὥστε οὖν κἂν ἐπιτύχωμεν, κἂν ἀποτύχωμεν, εὐχαριστεῖν ὀφείλομεν, καὶ μετὰ χαρᾶς δέχεσθαι ἅπερ αὐτὸς δοκιμάσει. οὐ γὰρ ἀνανεύων ἡμῶν πρὸς τὰς αἰτήσεις ὑπερτίθεται πολλάκις ὁ Θεός, ἀλλὰ σοφιζόμενος ἡμῶν τὴν προσεδρείαν, καὶ βουλόμενος ἡμᾶς διηνεκῶς πρὸς ἑαυτὸν ἐφέλκεσθαι· ἐπεὶ καὶ πατὴρ φιλόστοργος αἰτούμενος πολλάκις παρὰ τοῦ παιδὸς οὐκ ἐπινεύει, οὐχὶ βουλόμενος μὴ δοῦναι, ἀλλὰ τοῦ παιδὸς τὴν προσεδρείαν διὰ τούτου ἐπισπώμενος. Τὸ γὰρ ἀκούεσθαι εὐχόμενον, πρῶτον μὲν ἐκ τοῦ ἀξίους εἶναι λαβεῖν γίνεται· δεύτερον δὲ ἐκ τοῦ κατὰ τοὺς νόμους τοῦ Θεοῦ προσεύχεσθαι· τρίτον ἐκ τοῦ συνεχῶς· τέταρτον, ἐκ τοῦ μηδὲν βιωτικὸν αἰτεῖν· πέμπτον ἐκ τοῦ παρ' ἑαυτοῦ συνεπιφέρειν ἅπαντα, καὶ πάλιν ἐκ τοῦ τὰ συμφέροντα ζητεῖν. ὥσπερ οὖν ἐκ τούτων τὸ ἀκούεσθαι γίνεται, οὕτως ἐπρώθη τὸ μὴ ἀκούεσθαι, κἂν δίκαιοι ὦσιν οἱ αἰτοῦντες. τί γὰρ τοῦ Παύλου δικαιότερον γέγονεν; ἀλλ' ἐπειδὴ ἀσύμφορα ᾔτησεν, οὐκ ἠκούσθη· ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, φησι, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου. τί δὲ Μωϋσέως πάλιν δικαιότερον; ἀλλ' οὐδὲ ἐκεῖνος ἠκούετο, λέγοντος τοῦ Θεοῦ· Ἱκανούσθω σοι. ἐπειδὴ γὰρ ᾔτει εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν, ἀσύμφορον δὲ τοῦτο ἦν, οὐκ ἐπέτρεψεν ὁ Θεός. μετὰ τούτων καὶ ἕτερόν ἐστι τὸ μὴ ποιοῦν ἀκούεσθαι· ὅταν τοῖς ἁμαρτήμασιν ἐπιμένοντες προσευχώμεθα· ὃ καὶ περὶ τῶν Ἰουδαίων ἔλεγεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ, Μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου· ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν; οὐκ ἀπέστησαν, φησι, τῆς ἀσεβείας, καὶ σὺ ὑπὲρ αὐτῶν δέησιν ἀναφέρεις; ἀλλ' οὐκ ἀκούσομαί σου. πάλιν ὅταν κατ' ἐχθρῶν αἰτῶμεν, οὐ μόνον οὐκ ἀκουόμεθα, ἀλλὰ καὶ παροξύνομεν τὸν Θεόν. φάρμακον γάρ ἐστιν ἡ εὐχή· ἀλλ' ἐὰν μὴ εἰδῶμεν τὸ φάρμακον πῶς ἐπιθεῖναι χρὴ, οὐδὲ τὴν δύναμιν αὐτοῦ καρπωσόμεθα πώποτε. Τοσοῦτον οὖν ἐστιν ἡ τῆς εὐχῆς προσεδρεία καλὸν, ὡς ἀπὸ τῆς Χαναναίας ἐκείνης παιδευόμεθα, ὅτι ὃ τῶν ἀποστόλων ἀξιωσάντων ὁ Χριστὸς οὐκ ἐπένευσεν, αὕτη ἤνυσε, καὶ τῇ καρτερίᾳ εἰς ἔργον ἐξήνεγκε. καὶ γὰρ ὑπὲρ τῶν ἡμετέρων παρ' ἡμῶν βούλεται μᾶλλον τῶν ὑπευθύνων ἀξιοῦσθαι, ἢ παρ' ἑτέρων ὑ-

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὰ ξίδρια [illegible]

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ. ρ.

Ἐκ τῆς ἑρμην. τοῦ ζ. ψαλ.

β Κορ ιβ.

Δευτ γ. κϛ.

Ἱερ ζ

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Εκ τῆς αὐτῆς.

πὲρ ἡμῶν. Ἀνθρώπων μὲν γὰρ δεόμενοι, καὶ δαπάνης χρημάτων δεόμεθα, καὶ κολακείας δουλοπρεπεστέρας, καὶ πολλῆς περιόδου καὶ πραγματείας. οὐ γὰρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τὴν χάριν ἐστὶ καὶ διαλεχθῆναι πολλάκις, ἀλλ' ἀνάγκη πρότερον διακόνους καὶ οἰκονόμους αὐτῶν καὶ ἐπιτρόπους καὶ χρήμασι καὶ ῥήμασι καὶ παντὶ θεραπεῦσαι τρόπῳ, καὶ τότε δι' ἐκείνων δυνηθῆναι τὴν αἴτησιν λαβεῖν. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστιν οὕτως· οὐ γὰρ δεῖται με- 5 σιτῶν ἐπὶ τῶν ἀξιούντων, οὐδὲ οὕτω δι' ἑτέρων παρακαλούμενος, ὡς δι' ἡμῶν αὐτῶν δεομένων ἐπινεύει τῇ χάριτι. πολλὰ γὰρ βούλεται ἀπαιτεῖσθαι παρ' ἡμῶν ὁ Θεός· καὶ χάριν ἔχει τούτου πολλήν· μόνος γὰρ οὗτός ἐστιν ὁ χρεώστης ὅταν ἀπαιτῆται χάριν ἔχει, καὶ ἃ μὴ ἐδανείσαμεν δίδωσι. κἂν μὲν σφοδρῶς ἴδῃ ἐγκείμενον τὸν ἀπαιτοῦντα, καὶ ἃ μὴ ἔλαβε παρ' ἡμῶν, καταβάλλει· ἂν δὲ νωθρῶς, καὶ αὐτὸς διαναβάλλεται, οὐ διὰ τὸ μὴ βούλεσθαι δοῦναι, ἀλλὰ διὰ τὸ ἡδέως 10 ἔχειν παρ' ἡμῶν ἀπαιτεῖσθαι.

Εκ τοῦ λόγου τοῦ πρὸς τοὺς εἰς δέον χρωμένους τοῦ ἀποστόλου ῥητῷ τῷ λέγοντι· Εἴτε προφάσει, εἴτε ἀληθ. Χριστὸς καταγγέλ.

Οὐδὲ γὰρ μισῶν, οὐδὲ ἀποστρεφόμενος ἡμᾶς ἀναβάλλεται τῶν αἰτουμένων τὴν δόσιν ὁ Θεός· ἀλλὰ τῇ μελλήσει τῆς δόσεως διηνεκῶς παρ' ἑαυτῷ κατέχειν βουλόμενος. καθάπερ καὶ πατέρες φιλόστοργοι ποιοῦσι· καὶ γὰρ ἐκεῖνοι τῶν ῥαθυμοτέρων παίδων τὴν διηνεκῆ προσεδρείαν τῇ τῆς δόσεως ἀναβολῇ σοφίζονται. ἠκούσθης; ἐπὶ τούτῳ εὐχαρίστησον, ὅτι ἠκούσθης. οὐκ ἠκούσθης; παράμενον ἵνα ἀκουσθῇς. οὐ χρεία σοι με- 15 σιτῶν, οὐδὲ πολλῆς τῆς περιδρομῆς, καὶ τοῦ κολακεῦσαι ἑτέρους· ἀλλὰ κἂν ἔρημος ᾖς, κἂν ἀπροστάτευτος, αὐτὸς διὰ σαυτοῦ παρακαλέσας τὸν Θεὸν ἐπιτεύξῃ πάντως. Εἰ γὰρ ἐπ' ἀνθρώπων, κἂν μυρία προσκεκρουκότες ὦμεν, ὅταν καὶ ἀπὸ τῆς ἕω, καὶ μέσης ἡμέρας, καὶ ἐν ἑσπέρᾳ φαινώμεθα τοῖς πρὸς ἡμᾶς λελυπημένοις, τῇ συνεχείᾳ καὶ τῇ διηνεκεῖ τῆς ὄψεως συντυχίᾳ καταλυόμεθα ῥᾳδίως αὐτῶν τὴν ἔχθραν· πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο γέ- 20 νοιτ' ἄν. οὐ γὰρ οὕτω δι' ἑτέρων ὑπὲρ ἡμῶν παρακαλούμενος ἐπινεύειν εἴωθεν, ὡς δι' ὑμῶν αὐτῶν τῶν δεομένων, κἂν μυρίων ὦμεν γέμοντες κακῶν.

Εκ τοῦ λόγ. τοῦ εἰς τὴν ἐπιλ. τῆς Χαναναίας.

Ἀκουέτωσαν οἱ μετὰ ῥαθυμίας εὐχόμενοι, καὶ τῇ μελλήσει τῆς δόσεως δυσχεραίνοντες. ὅταν γὰρ εἴπω, παρακάλεσον τὸν Θεόν, δεήθητι αὐτοῦ, ἱκέτευσον αὐτόν, λέγει· προσεκάλεσα ἅπαξ, δεύτερον, τρίτον, δέκατον, εἰκοστόν, καὶ οὐκ ἔλαβον. μὴ ἀποστῇς, ἕως ἂν λάβῃς· τότε ἀπόστηθι ὅταν λάβῃς· μᾶλ- 25 λον δὲ μηδὲ τότε, ἀλλὰ καὶ τότε παράμενε. κἂν μὴ λάβῃς, αἴτει ἵνα λάβῃς· ὅταν δὲ λάβῃς, εὐχαρίστησον ὅτι ἔλαβες. Εἰσέρχονται πολλοὶ ἐν τῇ ἐκκλησίᾳ, ἀπαρτίζουσι μυρίους στίχους εὐχῆς, καὶ ἐξέρχονται, καὶ οὐκ οἴδασι τί εἶπον. τὰ χείλη κινεῖται, ἡ δὲ ἀκοὴ οὐκ ἀκούει. σὺ οὐκ ἀκούεις τῆς εὐχῆς σου, καὶ τὸν Θεὸν θέλεις ταύτης ἀκοῦσαι; ἔκλινα, λέγεις, γόνατα· ἀλλ' ἡ διάνοιά σου ἔξω ἐπέτετο. τὸ σῶμα ἔνδον, καὶ ἡ γνώμη σου ἔξω. τὸ στόμα σου ἔλεγε τὴν εὐ- 30 χήν, καὶ ἡ διάνοιά σου ἠρίθμει τοὺς τόκους, τὰ συμβόλαια, τὰ συναλλάγματα, τὰ κτήματα, τὰς τῶν φίλων συνουσίας. ὁ γὰρ διάβολος πονηρὸς ὤν, καὶ εἰδὼς ὅτι ἐν καιρῷ εὐχῆς μεγάλα ἀνύομεν, τότε ἐπέρχεται· πολλάκις γὰρ ὕπτιοι κείμεθα ἐν κλίνῃ, καὶ οὐδὲν λογιζόμεθα· ἤλθομεν εὔξασθαι, καὶ τότε μυρίοι λογισμοὶ ἐπεισέρχονται, ἵνα ἀπὸ τῶν ἐκεῖθεν κενοὺς καὶ ἀπράκτους δι' ὅλου ποιήσηται.

Εκ τῶν ἀνδριάντ.

Καὶ πολλάκις πληρώσαντες τὴν εὐχήν, μηδὲ ὡς ἀκού- 35 σαντες ἃ εἰρήκαμεν, ἀπήλθομεν. ἂν οὖν ἐννοήσωμεν τοῦτο, εὐθέως αὐτὴν ἀναλάβωμεν, κἂν τὸ αὐτὸ πάθωμεν πάλιν, καὶ τρίτον, καὶ τέταρτον αὐτὴν εἴπωμεν, καὶ μὴ πρότερον ἀποστῶμεν εὐχόμενοι, ἕως ἂν ἅπασαν αὐτὴν μετὰ διανοίας νηφούσης καὶ λογισμοῦ προσέχοντος ἐκχέωμεν ἔμπροσθεν τοῦ Θεοῦ. κἂν αἴσθηται ὁ διάβολος ὅτι οὐ πρότερον ἀφιστάμεθα, ἕως ἂν μετὰ σπουδῆς αὐτὴν καὶ διανοίας νηφούσης εἴπωμεν· ἀποστήσεται λοιπὸν ἐφεδρεύ- 40 ων, εἰδώς, ὅτι οὐδὲν πλέον ἔσται αὐτῷ τῆς ἐπιβουλῆς, ἢ τὸ πολλάκις ἀναγκάζειν τὴν αὐτὴν ἡμᾶς ἀναλαμβάνειν εὐχήν.

κειμεν

Εκ τῆς ἑρμην. τῆς ἐξήμ.

Εἰ γὰρ ἀνθρώπῳ προσιόντες τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδήν, ὡς μηδὲ τοὺς πλησίον παρεστῶτας πολλάκις ὁρᾶν, ἀλλὰ συντείνειν ἑαυτῶν τὴν διάνοιαν, κἀκεῖνον μόνον φαντάζεσθαι, ᾧ προσίεμεν· πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦ-

τὸ ποιεῖν ἡμᾶς χρή, καὶ ταῖς εὐχαῖς προσκαρτερεῖν; μὴ ὡς ἔτυχε τὸν λογισμὸν περιαγομένους. ἂν γὰρ ἡ γλῶττα μὲν προφέρῃ τὰ ῥήματα, ἡ δὲ διάνοια ἔξω ῥέμβηται, τὰ κατὰ τὴν οἰκίαν περισκοποῦσα, τὰ κατὰ τὴν ἀγορὰν φανταζομένη, οὐδὲν ἡμῖν ὄφελος ἔσται λοιπόν, ἀλλὰ καὶ πλείων ἡ κατάκρισις. Εἰ γὰρ ἄνθρωποι μὲν τοσοῦτον προσεδρεύοντες χρόνον, στρατευόμενοι καὶ ταλαιπωρούμενοι, διακονοῦντες τοῖς ἄρχουσι, καὶ περὶ τὰ τέλη πολλάκις καὶ αὐτῆς τῆς ἐλπίδος ἐκπίπτοντες· τῷ δεσπότῃ τῷ ἡμετέρῳ, ἔνθα πάντως ἐστὶν ἀπολαβεῖν τὴν ἀμοιβήν, πολλῷ μείζω τῶν πόνων οὐ καρτεροῦμεν προσεδρεῦσαι μετὰ τῆς προσηκούσης σπουδῆς; καὶ πόσης ταῦτα κολάσεως ἄξια; Εἰ γὰρ καὶ μηδὲν λαβεῖν ἦν, αὐτὸ τοῦτο τὸ συνεχῶς αὐτῷ διαλέγεσθαι, οὐχὶ μυρίων αἴτιόν ἐστιν ἀγαθῶν; Καὶ γὰρ μέγα ἀγαθὸν εὐχή, καὶ τὸ διὰ ταύτης τῷ Θεῷ διαλέγεσθαι. Εἰ γὰρ ἀνθρώπῳ τις διαλεγόμενος ἐναρέτῳ οὐ μικρὰν ἐξ αὐτοῦ καρποῦται τὴν ὠφέλειαν· ὁ Θεῷ διαλέγεσθαι καταξιωθείς, πόσων ἀπολαύσεται τῶν ἀγαθῶν; Πῶς δὲ οὐκ ἄτοπον, τοὺς μὲν οἰκέτας ἡμῖν κελεύειν ἅπαντα δουλεύειν τὸν χρόνον, ἡμᾶς δὲ μηδὲ τὴν ἐλαχίστην σχολὴν ἀπονέμειν τῷ Θεῷ; Οὐκ οἶδας τὰ συμφέροντα, ἄνθρωπε· πολλάκις αἰτεῖς ἐπιβλαβῆ καὶ σφαλερά· ἀλλ' ἐκεῖνος ὁ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει σου προσέχει, ἀλλὰ παρὰ τῆς αἰτήσεως τὸ συμφέρον σοι προνοεῖται. Εἰ γὰρ οἱ πατέρες οἱ σαρκικοί, οὐ πάντως ἃ αἰτοῦσιν οἱ παῖδες διδόασιν, οὐκ ἐπειδὴ καταφρονοῦσι τῶν αἰτούντων, ἀλλ' ἐπειδὴ αὐτῶν μᾶλλον κήδονται· πολλῷ μᾶλλον ὁ Θεός, ὁ καὶ μᾶλλον φιλῶν, καὶ πλέον ἁπάντων εἰδώς, τὸ συμφέρον ἡμῖν ποιεῖ. Ὅταν οὖν ἀποκάμνῃς εὐχόμενος, καὶ μὴ λαμβάνῃς, ἐννόησον ποσάκις ἤκουσας πένητός σε καλοῦντος, καὶ οὐχ ὑπήκουσας, καὶ οὐκ ἠγανάκτησεν ἐκεῖνος, οὐδὲ ὕβρισέ σε· καίτοι σὺ μὲν ἀπὸ ὠμότητος τοῦτο ποιεῖς, ὁ δὲ Θεὸς ἀπὸ φιλανθρωπίας. Εἰ τοίνυν αὐτὸς τοῦ ὁμοδούλου δι' ὠμότητα μὴ ἀκούων οὐκ ἀξιοῖς ἐγκαλεῖσθαι, τῷ δεσπότῃ τοῦ δούλου διὰ φιλανθρωπίαν οὐκ ἀκούοντι ἐγκαλεῖς; Εἰ δὲ ὁ μακάριος Δαβὶδ βασιλεὺς ὤν, καὶ μυρίαις βαπτιζόμενος φροντίσι, καὶ πάντοθεν περιελκόμενος, ἑπτάκις τῆς ἡμέρας παρεκάλει τὸν Θεόν, τίνα ἂν ἔχοιμεν ἀπολογίαν καὶ συγγνώμην ἡμεῖς, τοσαύτην σχολὴν ἄγοντες, καὶ μὴ συνεχῶς αὐτὸν ἱκετεύοντες, καὶ ταῦτα τοσοῦτον μέλλοντες καρποῦσθαι κέρδος; ἀμήχανον γάρ, ἀμήχανον, ἄνθρωπον μετὰ τῆς προσηκούσης προθυμίας εὐχόμενον, καὶ παρακαλοῦντα τὸν Θεὸν συνεχῶς, ἁμαρτεῖν ποτε. ὁ γὰρ διαθερμάνας αὐτοῦ τὴν διάνοιαν, καὶ τὴν ψυχὴν ἀναστήσας, καὶ πρὸς τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ οὕτω τὸν δεσπότην τὸν ἑαυτοῦ καλέσας, καὶ τῶν ἁμαρτημάτων ἀναμνησθείς, καὶ περὶ τῆς συγχωρήσεως τούτων αὐτῷ διαλεχθείς, καὶ παρακαλέσας ἵλεω γενέσθαι καὶ ἥμερον, ἀπὸ τῆς ἐν τοῖς λόγοις τούτοις διατριβῆς πᾶσαν ἀποτίθεται βιωτικὴν φροντίδα, καὶ πτεροῦται, καὶ τῶν ἀνθρωπίνων παθῶν ὑψηλότερος γίνεται. Οὐδὲ γὰρ οὕτω τοὺς κήπους αἱ πηγαὶ τῶν ναμάτων εὐθαλεστέρους ποιοῦσιν, ὡς τὸ φυτὸν τῆς εὐχῆς αἱ πηγαὶ τῶν δακρύων ποτίζουσαι, πρὸς ὕψος μέγιστον ἀνατρέχειν ποιοῦσι· καὶ ἐνώπιον Κυρίου τὸν εὐχόμενον ἵστασθαι παρασκευάζουσιν. ἐντεῦθεν γὰρ μάλιστα καὶ τὸ ἀκουσθῆναι γίνεται. ἐπεὶ ἂν τοῦ σώματος ἐπὶ γῆς κειμένου, καὶ τοῦ στόματος εἰκῇ ληροῦντος, ἡ διάνοια πανταχοῦ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς περιέρχηται, πῶς ὁ τοιοῦτος δυνήσεται εἰπεῖν, ὅτι ἐνώπιον τοῦ Θεοῦ ηὔξατο; ἐνώπιον γὰρ Κυρίου εὔχεται ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συλλέγων, καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν, ἀλλὰ πρὸς αὐτὸν ἑαυτὸν μετοικίσας τὸν οὐρανόν, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀπὸ τῆς ψυχῆς ἐκβαλών. Οὕτω γὰρ δεῖ τοὺς εὐχομένους εὔχεσθαι, ὡς ὅλην ἑαυτοῦ συναγαγόντα καὶ συντείνοντα τὴν διάνοιαν, καλεῖν τὸν Θεὸν μετὰ ὀδυνωμένης ψυχῆς, καὶ μηδὲ μακροὺς ἀποτείνοντα λόγους, μηδὲ εἰς μῆκος τὴν ἱκετείαν ἐκτείνοντα, ἀλλ' ὀλίγα καὶ ψιλὰ λέγοντα ῥήματα. οὐ γὰρ ἐν τῷ πλήθει τῶν ῥημάτων, ἀλλ' ἐν τῇ νήψει τῆς διανοίας κεῖται τὸ ἀκουσθῆναι. καὶ τοῦτο ἀπὸ τῶν κατὰ τὴν τοῦ Σα-

Ἐκ τῆς κε' ἑρμην. τῆς κατ' Ἰωάν. εὐαγγ.

Ἐκ τοῦ ἐξαημ.

Ἐκ τῆς ἑρμην. τοῦ κατ' Ἰωάν. εὐαγγ.

Ἐκ τοῦ α. λόγ. τοῦ εἰς ἀπ. Παῦλον.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσσαλο. α. ἐπισ.

Ἐκ τοῦ ε. λόγ. τοῦ εἰς προφῆτ. Ἄνναν.

Ἐκ τοῦ γ'. λόγ. τοῦ εἰς προφῆτ. Ἄνναν.

Ἐκ τοῦ ε'. λόγ. τοῦ εἰς τὴν προφῆτ. Ἄνναν.

ὧν

ἔχηται

α. Βασ. α. ια.

μυῆλ μητέρα, τὴν Ἄνναν ἐπὶ ἱεροῦ· φησὶ γοῦν ἐκείνη, Ἀδωναὶ Κύριε, ἐλωὶ σαβαώθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου, καὶ μνησθῇς μου, καὶ μὴ ἐπιλάθῃ τῆς δούλης σου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, δώσω αὐτὸν ἐνώπιόν σου δοτὸν, ἕως ἡμέρας θανάτου αὐτοῦ· καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ποῖον τοῦτο πλῆθος ῥημάτων; ἀλλ' ὅμως ἐπειδὴ μετὰ προσοχῆς καὶ νήψεως ταύτην ἐποιήσατο τὴν εὐχὴν, πάντα ὅσα ἠθέλησεν ἤνυσε, καὶ φύσιν πεπηρωμένην διώρθωσε, καὶ μήτραν ἀποκεκλεισμένην ἀνέῳξε, καὶ πρὸς παρρησίαν ἑαυτῆς πολλὴν ἐπεμηχανήσατο, ἐκ πέτρας ἀγόνου στάχυν κομῶντα θερίσασα. δεῖ τοίνυν τὸν εὐχόμενον καὶ μὴ μακροὺς ἀποτείνειν λόγους, καὶ συνεχῶς εὔχεσθαι· βραχείας γὰρ καὶ πυκνὰς ποιεῖσθαι τὰς εὐχὰς καὶ ὁ Χριστὸς καὶ ὁ Παῦλος ἐκέλευσαν ἐξ ὀλίγων διαλειμμάτων. ἂν μὲν γὰρ εἰς μῆκος ἐκτείνῃς τὸν λόγον, ὀλιγωρήσας πολλάκις, πολλὴν ἔδωκας τὴν ἄδειαν τῷ διαβόλῳ προσελθεῖν καὶ ὑποσκελίσαι, καὶ τὴν διάνοιαν ἀπαγαγεῖν τῶν λεγομένων· ἂν δὲ συνεχεῖς καὶ πυκνὰς ποιῇ τὰς εὐχὰς, τόν τε καιρὸν ἅπαντα τῇ πυκνότητι διαλαμβάνων, δυνήσῃ σωφρονεῖν εὐκόλως, καὶ αὐτὰς τὰς εὐχὰς μετὰ πολλῆς ποιήσῃ τῆς νήψεως.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἐφ. ἐπισ.

α. Βασ. α. θ.

Βούλει μαθεῖν ἀγρυπνίαν προσευχῆς καὶ νῆψιν καὶ προθυμίαν; ἄπιθι πρὸς τὴν Ἄνναν, μάθε τί ἐποίησεν ἐκείνη. Ἀνέστησαν, φησι, πάντες ἀπὸ τῆς τραπέζης, καὶ ἐκείνη εὐθέως οὐ πρὸς ὕπνον ἐτράπετο, οὐ πρὸς ἀνάπαυσιν. ὅθεν μοι δοκεῖ καὶ ἐπὶ τῆς τραπέζης καθημένη, κούφη τις εἶναι καὶ μὴ βεβαρημένη σιτίοις τισίν· οὐ γὰρ ἂν τοσαῦτα ἠφίει δάκρυα. εἰ γὰρ ἡμεῖς νηστεύοντες καὶ ἄσιτοι, μόλις οὕτως εὐχόμεθα, μᾶλλον δὲ οὐδέποτε οὕτως εὐχόμεθα· πολλῷ μᾶλλον ἐκείνη μετὰ τράπεζαν οὐκ ἂν ηὔξατο οὕτως, εἰ μὴ καὶ ἐν τῇ τραπέζῃ τοῖς ἀσίτοις ἐῴκει. αἰσχυνθῶμεν οἱ ἄνδρες τὴν γυναῖκα, αἰσχυνθῶμεν οἱ ὑπὲρ βασιλείας ἱκετεύοντες καὶ χασμώμενοι, τὴν ὑπὲρ παιδίου δεομένην καὶ δακρύουσαν. καὶ θέα μοι κἀντεῦθεν τὴν εὐλάβειαν· φωνὴ αὐτῆς, φησιν, οὐκ ἠκούετο, τὰ δὲ χείλη αὐτῆς ἐκινεῖτο. οὕτως ὁ βουλόμενος ἀνύσαι προσέρχεται τῷ Θεῷ, οὐ μαλακιζόμενος, οὐδὲ χασμώμενος, οὐδὲ ἐκλελυμένος, οὐδὲ κνώμενος, οὐδὲ ἀκηδιῶν. μὴ γὰρ οὐκ ἠδύνατο ὁ Θεὸς καὶ χωρὶς εὐχῆς δοῦναι; μὴ γὰρ οὐκ ᾔδει καὶ πρὸ τῆς αἰτήσεως τὴν ἐπιθυμίαν τῆς γυναικός; ἀλλ' εἰ ἔδωκε πρὸ τῆς αἰτήσεως, οὐκ ἂν ἐφάνη τῆς γυναικὸς ἡ προθυμία, οὐκ ἂν ἡ ἀρετὴ αὐτῆς δήλη, οὐκ ἂν τοσοῦτον ἐντεῦθεν ἐκτήσατο μισθόν. ἀλλ' ἴδωμεν αὐτῆς καὶ τὴν φιλοσοφίαν. ἐπειδὴ γὰρ ἐλογίσατο αὐτὴν Ἡλεὶ ὁ ἱερεὺς εἰς μεθύουσαν, ὅρα τί πρὸς αὐτόν

α. Βασ. α. ις.

φησι· Μὴ δῷς τὴν δούλην σου εἰς θυγατέρα λοιμήν, ὅτι ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα καὶ ἕως τοῦ νῦν. τοῦτο ἀληθῶς καρδίας συντετριμμένης, ὅταν πρὸς τοὺς ὑβρίζοντας μὴ χαλεπαίνωμεν, μηδὲ δυσχεραίνωμεν, ἀλλὰ καὶ ἀπολογώμεθα. οὐδὲν γὰρ οὕτω ποιεῖ καρδίαν φιλόσοφον, ὡς θλίψις καὶ πένθος τὸ κατὰ Θεόν.

Ἐκ τῆς βιβλ. τῆς εἰς τὴν προφήτ. Ἄνναν.

Δέον οὖν ἡμᾶς καὶ ἀρχομένους τραπέζης καὶ λήγοντας εὐχαριστεῖν τῷ Θεῷ. ὁ γὰρ πρὸς τοῦτο παρεσκευασμένος, οὐδέποτε εἰς μέθην καὶ παροινίαν ἐκπεσεῖται· οὐδέποτε ὑπὸ ἀδηφαγίας διαρραγήσεται· ἀλλὰ τὴν προσδοκίαν τῆς εὐχῆς ἀντὶ χαλινοῦ τοῖς λογισμοῖς ἐπικειμένην ἔχων, μετὰ τοῦ προσήκοντος μέτρου τῶν παρακειμένων ἅψεται πάντων, καὶ πολλῆς μὲν τὴν ψυχὴν, πολλῆς δὲ τῆς εὐλογίας ἐμπλήσει τὸ σῶμα. τράπεζα γὰρ ἀπὸ εὐχῆς ἀρχομένη, καὶ εἰς εὐχὴν καταλήγουσα, οὐδέποτε ὑστερηθήσεται, ἀλλὰ πηγῆς δαψιλέστερον ἅπαντα ἡμῖν οἴσει τὰ ἀγαθά. μὴ δὴ τοσοῦτον παρῶμεν κέρδος. καὶ γὰρ ἄτοπον, τοὺς μὲν οἰκέτας τοὺς ἡμετέρους, εἴ ποτε τι τῶν παρακειμένων λάβοιεν παρ' ἡμῶν μέρος, εὐχαριστεῖν τε ἡμῖν, καὶ μετ' εὐφημίας ἀναχωρεῖν, ἡμᾶς δὲ τοσούτων ἀπολαύοντας ἀγαθῶν, μηδὲ τοσαύτην ἀποδιδόναι τῷ Θεῷ τὴν τιμήν.

Ἐκ τοῦ λόγ. εἰς ῥητὸν, τὸ, Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν.

Διὰ γὰρ τοῦτο πολλὰ καὶ ἐν τοῖς κοινοῖς, καὶ ἐν τοῖς ἰδίοις πράγμασι παρὰ γνώμην ἡμῖν ἀπαντᾷ, ὅτι οὐ περὶ τὰ πνευματικὰ πρῶτον, καὶ τότε περὶ τὰ βιωτικὰ σπουδάζομεν πράγματα. οὐκ οἶδας ὅτι ἐὰν ἐλθὼν προσκυνήσῃς τὸν Θεὸν, καὶ μετάσχῃς τῆς ἐν-

ταῦτα διατελεῖς, μᾶλλόν σοι τὰ ἐν χερσὶν εὐοδοῦται πράγματα; ἀλλὰ βιωτικὰς ἔχεις φροντίδας; διὰ ταύτας μὲν οὖν ἐν τούτῳ ἀπολύτησον, ἵνα τὴν εὔνοιαν ἐπισπασάμενος τοῦ Θεοῦ διὰ τῆς ἐν τούτῳ διατελεῖς, οὕτω μετ' ἀσφαλείας ἐξέλθῃς· ἵνα ἔχῃς αὐτὸν σύμμαχον, ἵνα ἀκαταγώνιστος γένῃ τοῖς δαίμοσιν, ὑπὸ τῆς ἄνωθεν χειρὸς βοηθούμενος. ἂν γὰρ ἀπολαύσῃς εὐχῶν πνευματικῶν, ἂν μετάσχῃς εὐχῆς κοινῆς, ἂν ἐπισπάσῃ τοῦ Θεοῦ τὴν βοήθειαν, ἂν αὐτοῦ τοῖς ὅπλοις φραξάμενος οὕτως ἐξέλθῃς, οὐδὲ αὐτὸς ὁ διάβολος ἀντιβλέψαι δυνήσεταί σοι λοιπὸν, μήτιγε ἄνθρωποι πονηροὶ σπουδάζοντες ἐπηρεάζειν καὶ συκοφαντεῖν. ἂν δὲ ἀπὸ τῆς οἰκίας ἐπὶ τὴν ἀγορὰν ἔλθῃς, καὶ γυμνὸς τῶν ὅπλων τούτων εὑρεθῇς, εὐχείρωτος ἔσῃ τοῖς ἐπηρεάζουσιν ἅπασι. Καὶ μή μοι λεγέτω τις, ὡς ἀδύνατον ἄνθρωπον βιωτικὸν, δικαστηρίῳ προσηλωμένον, συνεχῶς εὔχεσθαι τῆς ἡμέρας, καὶ εἰς ἐκκλησίαν ἐκτρέχειν. δυνατὸν γὰρ, καὶ σφόδρα εὔκολον. κἂν γὰρ εἰς ἐκκλησίαν δραμεῖν μὴ ῥᾴδιον ἑστῶτα ἐκεῖ παρὰ τὴν θύραν, καὶ τῷ δικαστηρίῳ προσηλωμένον, εὔξασθαι δυνατόν. καὶ τοῦτο πολλοὶ πολλάκις ἐποίησαν, καὶ βοῶντος τοῦ ἄρχοντος ἔνδοθεν, ἀπειλοῦντος, διατεινομένου, μαινομένου, παρὰ τὴν θύραν ἑστῶτες σφραγισάμενοι, καὶ ὀλίγα ῥήματα κατὰ διάνοιαν εὐξάμενοι, εἰσελθόντες μετέβαλον αὐτὸν καὶ ἐπράϋναν, καὶ ἥμερον ἐξ ἀγρίου κατέστησαν· καὶ οὐδὲν οὔτε ἀπὸ τοῦ τόπου, οὔτε ἀπὸ τοῦ καιροῦ, οὔτε ἀπὸ τῆς σιγῆς πρὸς τὴν εὐχὴν ταύτην ἐνεποδίσθησαν. οὐδὲ γὰρ οὕτω φωνῆς χρεία, ὡς διανοίας· οὐδὲ ἐκτάσεως χειρῶν, ὡς συντεταμένης ψυχῆς· οὐδὲ σχήματος, ἀλλὰ φρονήματος. ἐπεὶ καὶ ἡ τοῦ Σαμουὴλ μήτηρ Ἄννα, οὐκ ἐπειδὴ λαμπρὰν καὶ μεγάλην ἀφῆκε φωνὴν, διὰ τοῦτο ἠκούετο, ἀλλ' ἐπειδὴ μεγάλα ἔνδον μετὰ τὴν καρδίαν ἐβόα. Ἡ φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησὶ, καὶ εἰσήκουσεν αὐτῆς ὁ Θεός. μὴ δὴ οὖν προφασιζώμεθα λέγοντες, ὡς οὐκ ἔστιν εὔκολον εὔξασθαί τινα, τοῖς βιωτικοῖς ἐνασχολούμενον πράγμασι, καὶ μηδὲ πλησίον εὐκτήριον οἶκον εὑρίσκοντα. ὅπου γὰρ ἂν ᾖς, δύνασαι στῆσαί σου τὸ θυσιαστήριον· οὐδὲν γὰρ κωλύει τόπος, οὐδὲ ἐμποδίζει καιρός. ἀλλὰ κἂν μὴ γόνατα κλίνῃς, κἂν μὴ στῆθος τύψῃς, καὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνῃς, διάνοιαν δὲ μόνον ἐπιδείξῃ θερμὴν, τὸ πᾶν ἀπήρτισας τῆς εὐχῆς. ἔξεστι γὰρ καὶ εἰς ἀγορὰν ἐμβάλλοντα, καὶ καθ' ἑαυτὸν βαδίζοντα, εὐχὰς ἐκτενεῖς ποιεῖσθαι. ἔξεστι καὶ ἔσω ἐργαστηρίου καθήμενον, καὶ δέρματα ῥάπτοντα, τὴν ψυχὴν ἀναθεῖναι πρὸς τὸν δεσπότην. ἔξεστι καὶ οἰκέτῃ καὶ ὠνουμένῳ, καὶ ἀναβαίνοντι καὶ καταβαίνοντι, καὶ ἐν μαγειρείῳ παρεστῶτι, ὅταν μὴ δυνατὸν εἰς ἐκκλησίαν ἐλθεῖν, εὐχὴν ποιεῖσθαι ἐκτενῆ καὶ διεγηγερμένην. οὐ γὰρ ἐπαισχύνεται τόπον ὁ Θεὸς, ἀλλ' ἓν ζητεῖ μόνον, διάνοιαν θερμὴν, καὶ ψυχὴν σωφρονοῦσαν. καὶ γὰρ ὁ Παῦλος οὐκ ἐν οἴκῳ εὐκτηρίῳ, ἀλλ' ὕπτιος ἐπὶ τοῦ δεσμωτηρίου κείμενος, καὶ οὐκ ὀρθὸς ἑστὼς, οὐδὲ γόνατα κλίνων (οὐ γὰρ ἠφίει τὸ ξύλον ᾧ τοὺς πόδας ἐδέδετο) ἐπειδὴ μετὰ προθυμίας ηὔξατο κείμενος, τὸ δεσμωτήριον ἔσεισε, καὶ τὰ θεμέλια διεσάλευσε, καὶ τὸν δεσμοφύλακα ἔδησε, καὶ πρὸς τὴν ἱερὰν μετὰ ταῦτα μυσταγωγίαν ἐχειραγώγησε. καὶ ὁ Ἐζεκίας οὐκ ὀρθὸς ἑστὼς, οὐδὲ γόνατα κλίνων, ἀλλ' ὕπτιος ἐπὶ τῆς κλίνης κείμενος διὰ τὴν ἀρρωστίαν, στρέψας ἑαυτὸν ἐπὶ τὸν τοῖχον, ἐπειδὴ τὸν Θεὸν θερμῶς ἐκάλεσε, καὶ μετὰ ψυχῆς σωφρονούσης, καὶ ἀπόφασιν ἐξενεχθεῖσαν ἀνεκαλέσατο, καὶ πολλὴν ἐπεσπάσατο τὴν εὔνοιαν, καὶ πρὸς τὴν προτέραν ἐπανῆλθεν ὑγίειαν. καὶ ὁ λῃστὴς ἐπὶ τοῦ σταυροῦ τεταμένος, ἀπὸ ῥημάτων ὀλίγων τῆς βασιλείας τῶν οὐρανῶν ἔτυχε· καὶ ὁ Ἱερεμίας ἐν βορβόρῳ καὶ λάκκῳ, καὶ ὁ Δανιὴλ ἐν λάκκῳ καὶ θηρίοις, καὶ ὁ Ἰωνᾶς ἐν αὐτῇ τοῦ κήτους τῇ νηδύϊ τὸν Θεὸν παρακαλέσαντες, τὰ ἐπικείμενα δεινὰ διέλυσαν ἅπαντα, καὶ τὴν ἄνωθεν εὔνοιαν ἐπεσπάσαντο. Τί τοίνυν λέγειν ὀφείλεις εὐχόμενος; ὅπερ ἡ Χαναναία. ὡς γὰρ ἐκείνη ἔλεγεν· Ἐλέησόν με, ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται· οὕτω

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὴν προσφύτ. Ἄννην.

α. Βασ. α. ιγ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὴν ἀπολ. τῆς Χαναν.

Ματθ. ιε. κβ.

Ματθ. ιε. κϐ.

οὕτω λέγε καὶ σύ· ἐλέησόν με, ἡ ψυχή μου κακῶς δαιμονίζεται. μέγας γὰρ δαίμων ἡ ἁμαρ-
τία. ὁ δαιμονῶν ἐλεεῖται· ὁ ἁμαρτάνων μισεῖται. ἐλέησόν με, βραχὺ τὸ ῥῆμα, καὶ πέλαγος
[τῆς] φιλανθρωπίας· ὅπου γὰρ ἔλεος, πάντα τὰ ἀγαθά. κἂν ἔξω ἐκκλησίας ἦς, κρά-
ζε καὶ λέγε· ἐλέησόν με· εἰ καὶ μὴ κινεῖς τὰ χείλη, ἀλλὰ τῇ διανοίᾳ βοῶν, καὶ σιωπών-
των γὰρ ἀκούει ὁ Θεός. οὐ ζητεῖται τόπος, ἀλλ' ἀρχὴ τρόπου. ὁ Ἱερεμίας ἐν βορβόρῳ 5
ἦν, καὶ τὸν Θεὸν ἐπεσπάσατο· καὶ ὁ Ἰὼβ ἐν κοπρίᾳ ἦν, καὶ τὸν Θεὸν ἵλεων κατεσκεύασε·
ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους, καὶ τὸν Θεὸν ὑπήκοον εἶχε. κἂν ἐν βαλανείῳ ἦς, εὔχου·
ὅπου ἐὰν ἦς, εὔχου. ναὸς εἶ, μὴ ζήτει τόπον. θάλαττα ἦν ἔμπροσθεν, ὄπισθεν Αἰγύ-
πτιοι, καὶ μέσος ὁ Μωϋσῆς μηδὲν λαλῶν· πολλὴ γὰρ ἐν τῇ εὐχῇ ἡ στενοχωρία· καὶ λέ-

Ἐξοδ. ιδ. ιε.

γει αὐτῷ ὁ Θεός, Τί βοᾷς πρός με; καὶ σὺ τοίνυν, ὅταν πειρασμὸς ἐπέλθῃ σοι, ἐπὶ τὸν 10
Θεὸν κατάφυγε, τὸν δεσπότην κάλεσον. μὴ γὰρ ἄνθρωπός ἐστιν, ἵνα ἀπέλθῃς εἰς τόπον;
Θεὸς ἀεὶ ἐγγύς ἐστιν. ἔτι γὰρ λαλοῦντός σου ἐρεῖ· ἰδοὺ πάρειμι. οὐδέπω τελεῖς τὴν εὐχήν,
καὶ αὐτὸς τὴν ἴασιν δίδωσιν.

Ἐκ τ. ἑξαημ.

Ἂν γὰρ τὴν διάνοιαν ἔχῃς καθαρεύουσαν τῶν ἀτόπων
παθῶν, κἂν ἐν ἀγορᾷ ἦς, κἂν ἐν ὁδῷ, κἂν ἐν δικαστηρίῳ παρεστώς, κἂν ἐν θαλάσσῃ, κἂν ἐν
πανδοχείῳ, κἂν ἐν ἐργαστηρίῳ ἑστηκώς, κἂν ὅπου περ ἂν ἦς, δυνήσῃ τὸν Θεὸν καλέσας ἐπι- 15
τυχεῖν τῆς αἰτήσεως.

Ἐκ τ. ἑρμην. τοῦ ρμ. ψαλ.

Τί γὰρ βούλεται τῶν χειρῶν ἡ ἔκτασις ἐν τῇ εὐχῇ; πολλαῖς πονη-
ρίαις διακονοῦσιν αὗται· καὶ διὰ τοῦτο κελευόμεθα αὐτὰς ἀνατείνειν, ἵνα ἡ τῆς εὐχῆς διακονία
δεσμὸς αὐταῖς γένηται τῆς κακίας, καὶ ἀπαγωγὴ τῆς πονηρίας· ἵν', ὅταν μέλλῃς ἁρπάζειν,
ἢ πλεονεκτεῖν, ἢ τύπτειν ἕτερον, ἀναμνησθῇς, ὅτι ταύτας μέλλεις ἀντὶ συνηγόρων πρὸς
τὸν Θεὸν πέμπειν, καὶ διὰ τούτων τὴν θυσίαν ἀναφέρειν ἐκείνην τὴν πνευματικήν, 20
καὶ μὴ καταισχύνῃς αὐτάς, μηδὲ ἀπαρρησιάστους ἐργάσῃ τῇ διακονίᾳ τῆς πονηρᾶς ἐρ-
γασίας. καθαῖρε τοίνυν αὐτὰς ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, προστασίᾳ τῶν δεομένων,
καὶ οὕτως αὐτὰς εἰς εὐχὴν ἄγε. εἰ γὰρ ἀνίπτοις αὐτὰς οὐκ ἐπιτρέπεις εἰς εὐχήν, πολ-
λῷ μᾶλλον ἁμαρτήμασιν οὐκ ἂν εἴης δίκαιος αὐτὰς μιαίνειν. εἰ δὲ ἔλαττον δέδοικας, τὸ
ἀνίπτοις χερσὶν εὔχεσθαι, πολλῷ μᾶλλον τὸ μεῖζον φρίξον. τὸ μὲν γὰρ ἀνίπτοις χερσὶ προσ- 25
εύχεσθαι, οὐ τοσοῦτον ἄτοπον· τὸ δὲ καταρρυπωθείσας αὐτὰς μυρίοις ἁμαρτήμασι προσ-
άγειν, τοῦτο πολλὴν φέρει τὴν ὀργὴν καὶ τὸν ὄλεθρον.

Ἐκ τοῦ λόγ. τοῦ περὶ τοῦ μὴ κατηγορεῖν.

Βούλει μαθεῖν πόση ἡ δύνα-
μις τῆς εὐχῆς τῆς ἐν τῇ ἐκκλησίᾳ γινομένης; ἐδέδετό ποτε ὁ Πέτρος, καὶ ἁλύσεις περιέ-
κειτο πολλάς· προσευχὴ δὲ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας περὶ αὐτοῦ γινομένη, καὶ
εὐθέως αὐτὸν ἀπήλλαξε τοῦ δεσμωτηρίου. τί τοίνυν δυνατώτερον ταύτης γένοιτ' ἂν τῆς 30
εὐχῆς, ἣ τὸν στῦλον καὶ πύργον τῆς ἐκκλησίας ὠφέλησε; καὶ τοῖς μὲν κατηχουμένοις οὐ-
δέπω τοῦτο ἐπιτέτραπται, ἐπειδὴ οὐδέπω πρὸς τὴν παρρησίαν ἔφθασαν ταύτην· ὑ-
μῖν δὲ καὶ ὑπὲρ τῆς οἰκουμένης, καὶ ὑπὲρ τῆς ἐκκλησίας τῆς μέχρι τῶν περάτων
τῆς γῆς ἐκτεταμένης, καὶ ὑπὲρ τῶν διοικούντων ταύτην καὶ ἐπισκοπούντων παρα-
κελεύεται ποιεῖσθαι τὰς δεήσεις. καὶ ὑπακούετε μετὰ προθυμίας, ἔργῳ μαρτυροῦντες, 35
ὅτι μεγάλη τῆς εὐχῆς ἡ δύναμίς ἐστι, τῆς ἐν ἐκκλησίᾳ ἀπὸ τοῦ δήμου συμφώνως ἀναφερο-
μένης.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσσα. λό. β΄.

Εἰ γὰρ ἐπὶ ἀνθρώπων καταδίκους ἄνδρας ἀπαγομένους εἰς θάνατον δῆμος
προσελθὼν ἐξῃτήσατο, καὶ τὸ πλῆθος δυσωπηθεὶς ὁ βασιλεὺς τὴν γνώμην ἀνέθετο·
πολλῷ μᾶλλον παρ' ὑμῶν ὁ ἐπουράνιος δυσωπηθεὶς βασιλεὺς παρέξει τὴν αἴτησιν. οὐκ
ἠκούσατε ὅτι Πέτρος οὕτως ἐξηρπάγη τοῦ δεσμωτηρίου, ἐπειδὴ ἦν εὐχὴ ἐκτενὴς ὑπὲρ αὐ- 40
τοῦ γινομένη; πόσῳ νομίζετε μεῖζον εἶναι τῆς ἡμετέρας σμικρότητος, τὸ ὑπὲρ δήμου το-
σούτου προσιέναι τῷ Θεῷ καὶ παρακαλεῖν; εἰ γὰρ αὐτὸς ὑπὲρ ἐμαυτοῦ δεηθῆναι παρ-
ρησίαν οὐκ ἔχω, πολλῷ μᾶλλον ὑπὲρ ἑτέρων· τῶν γὰρ εὐδοκιμούντων ἐστὶ τοῦτο. ὅ-
ταν οὖν καὶ αὐτὸς προσκεκρουκὼς ὦ, πῶς ὑπὲρ ἄλλου δεηθήσομαι; ἕνα μὲν γὰρ ὑ-

πὲρ

πῶρ πολλῶν ἀξιοῦν, σφόδρα τολμηρὸν καὶ πολλῆς δεόμενον παρρησίας· πολλοὺς δὲ ὁμοῦ συνελθόντας ὑπὲρ ἑνὸς ποιεῖσθαι τὴν δέησιν, οὐδὲν φορτικὸν φανήσεται. Εὔξασθαι μὲν γὰρ καὶ ἐπὶ τῆς οἰκίας δυνατόν· οὕτω δὲ εὔξασθαι ὡς ἐπὶ τῆς ἐκκλησίας, ἀδύνατον· ὅπου πατέρων πλῆθος τοσοῦτον, ὅπου βοὴ πρὸς τὸν Θεὸν ὁμοθυμαδὸν ἀναπέμπεται. οὐχ οὕτως ἀκούῃ καθ' σαυτὸν τὸν δεσπότην παρακαλῶν, ὡς μετὰ τῶν ἀδελφῶν τῶν σῶν. ἐνταῦθα γάρ ἐστί τι πλέον, οἷον ἡ ὁμόνοια, καὶ ἡ συμφωνία, καὶ τῆς ἀγάπης ὁ σύνδεσμος, καὶ αἱ τῶν ἱερέων εὐχαί. διὰ γὰρ τοῦτο ἱερεῖς προεστήκασιν, ἵνα αἱ τοῦ πλήθους εὐχαὶ ἀσθενέστεραι οὖσαι, τῶν δυνατωτέρων τούτων ἐπιλαβόμεναι, ὁμοῦ συνέλθωσιν αὐταῖς εἰς τὸν οὐρανόν. εἰ γὰρ Πέτρον ὠφέλησε τῆς ἐκκλησίας ἡ εὐχή, καὶ τὸν στύλον ἐκεῖνον ἐξέβαλε τοῦ δεσμωτηρίου, πῶς σὺ καταφρονεῖς τῆς δυνάμεως αὐτῆς, εἰπέ μοι; Ὥσπερ γὰρ ἡ τῆς ἀγάπης δύναμις οὐ διείργεται διαστήματι τόπου, οὕτως οὐδὲ ἡ τῆς εὐχῆς ἐνέργεια· ἀλλ' ὥσπερ ἐκείνη τοὺς ἀλλήλων ἀφεστηκότας συνδεῖ, οὕτω καὶ αὕτη τοὺς πόρρωθεν ὄντας τὰ μέγιστα ὠφελεῖν δυνήσεται. καὶ γὰρ Μωϋσῆς, εἰ καὶ μὴ παρῆν τῷ σώματι τοῖς πολεμοῦσιν, οὐδὲν ἔλαττον τῶν πολεμούντων, ἀλλὰ καὶ πολλῷ πλέον εἰς τὴν μάχην συνετέλεσεν ἐκείνην, τῇ τῶν χειρῶν ἐκτάσει τὰ πράγματα τῶν οἰκείων ἑταίρων, καὶ φοβερὰ τοῖς ἐναντίοις ποιῶν. Οὐδὲν γὰρ κατόρθωμα σφόδρα μέγα ἔσται δυνατὸν ἄν, ὅταν μὴ τὸ κέρδος καὶ εἰς ἑτέρους διαβῇ. κἂν γὰρ ἄσιτος μένῃς, κἂν χαμαὶ καθεύδῃς, κἂν τέφραν ἐσθίῃς, κἂν θρηνῇς διαπαντός, καὶ μηδένα ἕτερον ὠφελῇς, οὐδὲν μέγα ἐργάζῃ. καὶ γὰρ τῷ Μωϋσεῖ πολλὰ καὶ μεγάλα εἰργάσθη θαύματα καὶ σημεῖα· ἀλλ' οὐδὲν οὕτως αὐτὸν μέγαν ἐποίησεν, ὡς ἡ μακαρία ἐκείνη φωνή, ἣν πρὸς τὸν Θεὸν ἀφῆκε λέγων· Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον. καὶ ὁ Δαβὶδ δὲ τὸ αὐτὸ τοῦτο ἐνδεικνύμενος ἔλεγεν· Ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ ἐγὼ ἐκακοποίησα· καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν; γενέσθω ἡ χείρ σου ἐπ' ἐμέ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. μεγάλα μὲν οὖν καὶ ταῦτα, καὶ ἀγγελικῆς ἄξια πολιτείας· τὸ δὲ τοῦ Παύλου πολλὴν ἔχει τὴν ὑπερβολὴν πρὸς ταῦτα. τῆς γὰρ δόξης τῆς μελλούσης ηὔξατο ἐκπεσεῖν ὑπὲρ τῆς ἑτέρων σωτηρίας. ὁ δὲ Ἰωνᾶς, ἐπειδὴ τὸ ἑαυτοῦ συμφέρον ἐζήτησε, καὶ ἀπολέσθαι ἐκινδύνευσε, καὶ ἡ μὲν πόλις εἱστήκει, αὐτὸς δὲ κατεποντίζετο. Μεγάλα μὲν οὖν καὶ τὰ ἄλλα τῆς τοῦ Μωϋσέως ἀρετῆς κατορθώματα· τὸ δὲ κεφάλαιον καὶ ἡ κορωνὶς τῆς ἁγίας ψυχῆς ἐκείνης, ὅτι ἐξαλειφθῆναι εἵλετο τῆς βίβλου ὑπὲρ τῆς σωτηρίας τῶν Ἰουδαίων· τὸ δὲ τοῦ Παύλου, ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισεν. ὁ μὲν γὰρ συναπολέσθαι ἑτέροις ἠρεῖτο· οὗτος δὲ οὐ συναπολέσθαι, ἀλλ' ἑτέρων σωζομένων αὐτὸς ἐκπεσεῖν ηὔχετο τῆς δόξης τῆς ἀπεράντου. Καλὸν οὖν εὐχῆς ἀπολαύειν τῆς τῶν ἁγίων, ἀλλ' ὅταν καὶ αὐτοὶ ἐνεργοὶ ὦμεν· ὡς ἂν μὴ τοῦτο προσῇ, οὐδὲ ἡ ἑτέρων ὀνίνησι βοήθεια· ἀλλὰ καὶ μετ' ἐκείνης ἀπολλύμεθα. τί γὰρ ὠφέλησεν Ἱερεμίας τοὺς Ἰουδαίους; οὐχὶ τρίτον προσῆλθε τῷ Θεῷ, καὶ τρίτον ἤκουσε, Μὴ προσεύχου, καὶ μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου; τί ὠφέλησε τὸν Σαοὺλ ὁ Σαμουήλ, μέχρις ἐσχάτης ἡμέρας εὐχόμενος καὶ πενθῶν περὶ αὐτοῦ; τί δαὶ καὶ τοὺς Ἰσραηλίτας ὠφέλησεν; οὐχὶ ἔλεγεν, Ἐμοὶ δὲ μὴ γένοιτο ἁμαρτεῖν διαλείποντα εὐχόμενον ὑπὲρ ὑμῶν; οὐχὶ πάντες ἀπώλοντο; ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος διὰ τοῦ προφήτου· Ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιήλ, οὐκ ἐξελοῦνται τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας, ἐπειδὴ ὑπερίσχυσεν ἡ κακία αὐτῶν. τί οὖν; οὐδὲν ὠφελοῦσιν αἱ εὐχαί; ὠφελοῦσι καὶ μεγάλα· ἀλλ' ὅταν καὶ ἡμεῖς συμπράττωμεν. καί, εἰ βούλει μαθεῖν ὅσα ὠφέλησαν, ἐννόει μοι τὸν Κορνήλιον, τὴν Ταβιθά· ἄκουε δὲ καὶ τοῦ Θεοῦ λέγοντος· Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμέ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. ἀλλὰ πότε; ἐπὶ Ἐζεκίου τοῦ δικαίου. ἐπεὶ εἴγε ἴσχυ-

Marginal notes: Ἐκ τοῦ γ λόγ. τοῦ περὶ ἀκαταλήπτου. — Ἐκ τοῦ λόγ. κατὰ τῶν πειραζόντων τοὺς νέους. — Ἐκ τῆς πρὸς Κορ. α ἐπισ. — β. Βασ. κδ. ιζ. — Ἐκ τοῦ α λόγ. τοῦ εἰς τὸν ἀπόστολον Παῦλ. — Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσ. α. ἐπισ. — Ἱερ. ζ. ιϛ. — α Βασ. ιβ. κγ. — Ησ. λζ. λε.

οἱ εὐχαὶ καὶ ἐπὶ τῶν σφόδρα πονηρῶν, διὰ τί μὴ τότε ὅτε ὁ Ναβουχοδονόσορ ἦλθεν, εἶπε τοῦτο ὁ Θεὸς, ἀλλ' ἐξέδωκε τὴν πόλιν; ἐπειδὴ μεῖζον ἴσχυσεν ἡ πονηρία. καὶ αὐτὸς οὗτος πάλιν ὁ Σαμουὴλ ηὔξατο ὑπὲρ τῶν Ἰσραηλιτῶν καὶ ἤκουσεν. ἀλλὰ πότε; ὅτε καὶ αὐτοὶ εὐηρέστουν, τότε ἐτροπώσαντο τοὺς ἐχθρούς. καὶ τί μοι δεῖ τῆς παρ' ἑτέρων εὐχῆς, φησὶν, ὅταν ἐγὼ εὐαρεστῶ; τί λέγεις, ἄνθρωπε; Παῦλος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς, καίτοι γε τῶν εὐχομένων οὐκ ὄντων ἀξίων αὐτοῦ, μᾶλλον δὲ οὐδὲ ἴσων· καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; Πέτρος οὐκ εἶπε, τί μοι δεῖ εὐχῆς; Εὐχὴ γὰρ ἦν, φησὶν, ὑπὸ τῆς ἐκκλησίας ἐκτενὴς γινομένη πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ· καὶ εὐθέως αὐτὸν ἐξείλετο τῶν δεσμῶν· καὶ σὺ λέγεις, τί μοι δεῖ εὐχῆς; διὰ τοῦτό σοι δεῖ, ἐπειδὴ νομίζεις μὴ δεῖσθαι.

Πραξ. ιβ. ε.

Ἐκ τῶν λόγ. τῶν εἰς τοὺς ἀνδριάντας.

Ἐὰν γὰρ ὁ Θεὸς ἐξετάσῃ τὴν ῥᾳθυμίαν ἡμῶν τὴν ἐν ταῖς εὐχαῖς, καὶ τὴν ὀλιγωρίαν, καὶ ὅτι ἔμπροσθεν αὐτοῦ ἑστῶτες καὶ παρακαλοῦντες αὐτὸν, οὐδὲ τοσαύτην αὐτῷ παρέχομεν τιμὴν, ὅσην τοῖς δεσπόταις οἱ δοῦλοι, ὅσην τοῖς ἄρχουσιν οἱ στρατιῶται, ὅσην τοῖς φίλοις οἱ φίλοι. φίλῳ μὲν γὰρ διαλεγόμενος, μετὰ τοῦ προσέχειν τοῦτο ποιεῖς· Θεῷ δὲ ἐντυγχάνων ὑπὲρ ἁμαρτημάτων, ὑπὲρ πλημμελημάτων τοσούτων συγχώρησιν αἰτῶν, καὶ συγγνώμην ἀξιῶν σοι γενέσθαι, ῥᾳθυμεῖς· καὶ τῶν γονάτων σου χαμαὶ κειμένων, πολλάκις περὶ τὴν ἀγορὰν καὶ τὴν οἰκίαν πλανᾶσθαι τὴν διάνοιαν ἐᾷς, τοῦ στόματός σου ληροῦντος εἰκῆ καὶ μάτην; καὶ τοῦτο οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καὶ πολλάκις πάσχομεν. ἐὰν τοῦτο μόνον θελήσῃ ὁ Θεὸς ἐξετάσαι, ἆρα ἕξομεν συγγνώμην; ἆρα δυνησόμεθα ἀπολογίας τυχεῖν; οὐκ ἔγωγε οἶμαι. ἐὰν δὲ τὰς περιεργίας ἡμῶν ὀψὲ ὁ Θεὸς ἐξετάσῃ, καὶ τὰς πονηρὰς ἐπιθυμίας, ἃς ἔχομεν ἐν διανοίᾳ, αἰσχροὺς καὶ ἀκαθάρτους δεχόμενοι λογισμοὺς ἀπὸ τῆς ἀνεξετάστου τῶν ὀφθαλμῶν πλάνης· ἐὰν τὰς κακηγορίας, ἃς καθ' ἑκάστην ἡμέραν ἀλλήλοις λέγομεν κακῶς, εἰς μέσον παραγάγῃ, καὶ τὰς κρίσεις τὰς ἀκαίρους, ἃς κατακρίνομεν τὸν πλησίον, μηδὲν ἔχοντες πρᾶγμα, τούς τε δόλους, οὓς κατ' ἀλλήλων ῥάπτομεν, νῦν μὲν παρόντα ἐπαινοῦντες τὸν ἀδελφὸν, καὶ ὡς φίλῳ διαλεγόμενοι, ἀπόντα δὲ κατηγοροῦντες· ἆρα οὐχ ὑποστησόμεθα τὰς ὑπὲρ τούτων εὐθύνας; τί δὲ τὴν βασκανίαν, ἣν βασκαίνομεν πολλάκις εὐδοκιμοῦσιν, οὐ μόνον ἐχθροῖς, ἀλλὰ καὶ φίλοις· καὶ ἡδόμεθα πασχόντων ἑτέρων κακῶς, καὶ νομίζομεν παραμυθίαν εἶναι τῆς οἰκείας συμφορᾶς, τὰς ἀλλοτρίας δυσημερίας;

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Εἰ γὰρ τῶν βιωτικῶν καὶ παρόντων ἀπέχεσθαι κελευόμεθα· πῶς οὐκ ἐσμὲν ἄθλιοι καὶ ταλαίπωροι, ταῦτα αἰτοῦντες παρὰ τοῦ Θεοῦ, ἃ ἐκέλευσε καὶ ἔχοντας ἐκβάλλειν;

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Τιμοθ. ἐπιστ. α.

Εἰ οὐχὶ τῶν πιστῶν μόνον, ἀλλὰ καὶ τῶν ἀπίστων ὑπερεύχεσθαι προσταττόμεθα, ἐννόησον πόσον ἐστὶ κακὸν κατεύχεσθαι τῶν ἀδελφῶν. τί ποιεῖς, ἄνθρωπε; προσέρχῃ τὸν Θεὸν ἵλεω ποιῆσαι, καὶ ἑτέρου κατεύχῃ; ἐὰν μὴ ἀφῇς, οὐκ ἀφεθήσεταί σοι· καὶ οὐ μόνον αὐτὸς οὐκ ἀφίης, ἀλλὰ καὶ τὸν Θεὸν παρακαλεῖς μὴ ἀφεῖναι; εἰ τῷ μὴ ἀφιέντι οὐκ ἀφίεται, τῷ καὶ τὸν δεσπότην παρακαλοῦντι μὴ ἀφιέναι, πῶς ἀφεθήσεται;

Ἐκ τῆς ἑρμην. πρὸς Κορινθ. β. ἐπιστ.

Εἰ γὰρ τὸ ἔχειν ἐχθροὺς, ὄνειδος, τὸ κατεύχεσθαι αὐτῶν ἐννόησον ἡλίκον κακόν. δέον γάρ σε ἀπολογήσασθαι, διὰ τί ἐχθροὺς ἔχεις, σὺ δὲ αὐτῶν καὶ κατηγορεῖς; καὶ πῶς τεύξῃ συγγνώμης καὶ κακηγορῶν, καὶ ἐν καιρῷ τοιούτῳ, ὅτε ἐλέους σοι δεῖ πολλοῦ; καὶ γὰρ ὑπὲρ οἰκείων προσῆλθες ἁμαρτημάτων δεόμενος. μὴ τοίνυν μνημονεύσῃς τῶν ἀλλοτρίων, ἵνα μὴ τῶν ἰδίων ἀναμνήσῃς. ἂν γὰρ εἴπῃς, πάταξον τὸν ἐχθρὸν, ἐνέφραξάς σου τὸ στόμα, οὐκέτι παρρησίαν ἔδωκας τῇ γλώττῃ. πρῶτον μὲν, ὅτι παρώργισας τὸν δικαστὴν ἐκ προοιμίων εὐθέως· δεύτερον, ὅτι ἐναντία αἰτεῖς τῷ σχήματι τῆς εὐχῆς. εἰ γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτημάτων προσέρχῃ, πῶς ὑπὲρ κολάσεως διαλέγῃ; τοὐναντίον μὲν οὖν ἔδει ποιεῖν, καὶ δεῖσθαι ὑπὲρ αὐτῶν, ἵνα καὶ ὑπὲρ ἑαυτῶν μετὰ παρρησίας παρακαλέσωμεν. ἂν γὰρ ὑπὲρ αὐτῶν εὔξῃ, κἂν μηδὲν ὑπὲρ τῶν σῶν εἴπῃς, τὸ πᾶν ἤνυσας. Εἰ τοίνυν οὐδὲν ψυχῆς ὀργωμένης μιαρώτερον, οὐδὲ γλώσσης τοιαῦτα φθεγγομένης ἀκαθαρτότερον· τίνος ἕνεκεν οὐ πάντα ποιεῖς, ὥστε μηδὲν εἰπεῖν εὐχόμενος τῶν παρ-

οξυνόντων

ὀξυνόντων σου τὸν δεσπότην; ἄνθρωπος εἶ· μὴ ἀσπίδων ἰὸν ἐμέσῃς. ἄνθρωπος εἶ· μὴ γίνῃ θηρίον. διὰ τοῦτό σοι στόμα γέγονεν, οὐχ ἵνα δάκνῃς, ἀλλ' ἵνα θεραπεύῃς. ἀναμνήσθητι τί σοι προσήνεσα, φησὶν ὁ Θεός· συγχωρεῖν καὶ ἀφιέναι· σὺ δὲ καὶ ἐμὲ παρακαλεῖς κοινωνὸν γενέσθαι τῆς ἀνατροπῆς τῶν ἐμῶν προσταγμάτων, καὶ ἐσθίεις τὸν ἀδελφόν, καὶ φοινίσσεις τὴν γλῶτταν, καθάπερ οἱ μαινόμενοι ἀπὸ τῶν οἰκείων μελῶν τοὺς ὀδόντας; πῶς οἴει τὸν διάβολον ἥδεσθαι καὶ γελᾶν, ὅταν τοιαύτης εὐχῆς ἀκούσῃ; πῶς τὸν Θεὸν προσκρούεσθαι καὶ ἀποστρέφεσθαι καὶ μισεῖν, ὅταν τοιαῦτα παρακαλῇς; ἐννόησον τίνι προσέρχῃ κατὰ τῶν ἐχθρῶν, ἄνθρωπε. μὴ γὰρ ἄλλῳ προσέρχῃ Θεῷ; ἐκείνῳ προσέρχῃ τῷ εἰπόντι, Εὔχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν. πῶς οὖν αὐτὸν καταβοᾷς; πῶς παρακαλεῖς τὸν Θεὸν τὸν οἰκεῖον λῦσαι νόμον; οὐκ ἔστι τοῦτο ἱκέτου σχῆμα· οὐδεὶς ἱκετεύει, ἵνα ἄλλος ἀπόληται, ἀλλ' ἵνα αὐτὸς σωθῇ. τί τοίνυν σχῆμα μὲν ἱκέτου περίκεισαι, ῥήματα δὲ ἔχεις κατηγόρου; καὶ ὅταν μὲν ὑπὲρ ἑαυτῶν εὐχώμεθα, καὶ κνώμεθα καὶ χασμώμεθα καὶ εἰς μυρίους ἐμπίπτομεν λογισμούς· ὅταν δὲ κατ' ἐχθρῶν, νήφοντες τοῦτο ποιοῦμεν. ἐπειδὴ γὰρ οἶδεν ὁ διάβολος, ὅτι καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦμεν, οὐ περιέλκει, οὐδὲ περισπᾷ τότε, ἵνα μειζόνως ἡμᾶς λυμήνηται· ἀλλὰ ἠδίκημαι, φησὶ, καὶ θλίβομαι. οὐκοῦν κατὰ τοῦ διαβόλου εὖξαι, τοῦ πάντων μάλιστα ἀδικοῦντος ἡμᾶς. τοῦτο γὰρ τίκτει καὶ τοὺς ἐχθρούς. ἂν δὲ κατ' ἐχθρῶν εὔξῃ, ταύτην εὐχὴν, ἣν ἐκεῖνος βούλεται, εὔχῃ. ὥσπερ οὖν ἂν ὑπὲρ ἐχθρῶν, κατὰ τούτου. οὗτος γάρ ἐστιν ὁ ἀκατάλλακτος ἐχθρός· ἄνθρωπος δὲ ὅσα ἂν ποιῇ, φίλος ἐστὶ καὶ ἀδελφός. τί τοίνυν τὸν ὄντως ἐχθρὸν ἀφεὶς, τὰ μέλη δάκνεις τὰ σά; ταῦτα οὖν εἰδότες, ἀγαπητοὶ, σπουδάσωμεν κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου καὶ τὰ θελήματα αὐτοῦ πολιτεύεσθαι, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. ε. μδ.

ΠΕΡΙ ΘΑΝΑΤΟΥ.

Λογ. ιζ.

Ὅλα μὲν ἐπείγεται μανθάνειν ἤδη καὶ καταλαμβάνειν ἡμῶν ἡ διάνοια, ἀγαπητοί· μάλιστα δὲ τὸν περὶ συντελείας καιρόν. διὰ τοῦτο τοὺς ταύτην τὴν ἀκμὴν νοσοῦντας πολυπραγμοσύνην καταστέλλων ὁ Παῦλός φησι· Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν. ποῖον γὰρ, εἰπέ μοι, τὸ κέρδος; γνῶμεν εἰ τὴν συντέλειαν μετὰ εἴκοσιν ἔτη, μετὰ τριάκοντα ἔτη, μετὰ ἑκατόν· τί τοῦτο πρὸς ἡμᾶς; οὐχὶ ἑκάστου ἡ συντέλεια τὸ τῆς ζωῆς αὐτοῦ πέρας ἐστί; τί πολυπραγμονεῖς καὶ ὠδίνεις ὑπὲρ τοῦ κοινοῦ τέλους; ἀλλ' ὥσπερ ἐν τοῖς ἄλλοις τὰ ἴδια ἀφέντες, τὰ κοινὰ μεριμνῶμεν, καὶ πάντων φροντίζομεν μᾶλλον, ἢ τῶν οἰκείων· οὕτω καὶ ἐνταῦθα ἀφέντες τὸ οἰκεῖον ἕκαστος τέλος μεριμνᾶν, τὴν κοινὴν κατάλυσιν διδαχθῆναι βουλόμεθα. εἰ δὲ μαθεῖν βούλεσθε διὰ τί ἡμῖν ἡ τελευτὴ ἀποκέκρυπται, καὶ διὰ τί ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται, ἐγὼ, ὡς ἐμαυτῷ δοκῶ, καλῶς ἔχει ἐρῶ. οὐδεὶς ἂν ἀρετῆς ἐπεμελήθη ποτὲ παρὰ τὸν ἅπαντα βίον, εἰ τὸ τέλος ᾔδει· ἀλλ' εἰδὼς αὐτοῦ τὴν τελευταίαν ἡμέραν, μυρία ἐργασάμενος πρότερον δεινά, καὶ τῇ μετανοίᾳ τότε προσελθὼν, οὕτως ἂν ἀπῆλθεν. εἰ γὰρ νῦν τοῦ τῆς ἀδηλίας φόβου κατασείοντος τὰς ἁπάντων ψυχὰς, πάντες τὸν ἔμπροσθεν βίον ἅπαντα ἐν κακίᾳ καταναλώσαντες, εἰς ἐσχάτας ἀναπνοὰς τῇ μετανοίᾳ διδόασιν ἑαυτούς· εἰ σφόδρα ἦσαν ὑπὲρ τούτου πεπεικότες ἑαυτοὺς, τίς ἂν ποτε ἀρετῆς ἐπεμελήθη; ἀλλ' ὥστε εἰ ᾔδει ἕκαστος, ὅτι αὔριον πάντως τεθνήξεται, οὐδὲν ἂν παρῃτήσατο τολμῆσαι πρὸ τῆς ἡμέρας ἐκείνης· ἀλλὰ καὶ ἔσφαξεν, οὓς ἂν ἠθέλησε,

Ἐκ τῆς πρὸς Θεσσαλον. α. ἐπισ.

α. Θεσ. ε.

θέλησι, καὶ ἀνεκτήσατο ἑαυτὸν τοὺς ἐχθροὺς ἀμυνῶν, καὶ περιττότερον ἀναπαύσας αὐτοῦ τὴν ψυχήν, οὕτως ἂν ἐδέξατο τὴν τελευτήν. πρὸς τούτῳ, οὐδ᾽ αὐτοί εἰσι γενναῖοι ἄνδρες μισθὸν ἂν ἔχοιεν κατατολμῶντες τῶν δεινῶν, τῷ θαρρεῖν ἐκ τοῦ μήπω πεπεῖσθαι τὴν τελευτὴν ἔχοντες· καὶ ὁ τῶν θερμότατος εἰς πῦρ ἐνέβη, εἴ τινα ἀξιόπιστον ἐγγυητὴν εὗρε τῆς ἀσφαλείας. ὁ γὰρ ἐξ ἑκάστου κινδύνου προσδοκῶν τεθνήξεσθαι, καὶ εἰδὼς ὅτι ζήσεται μὲν μὴ παραβουλευσάμενος, τεθνήξεται δὲ τοιαῦτα κατατολμῶν, τῆς αὐτοῦ προθυμίας, καὶ τοῦ καταφρονεῖν τῆς ἐνταῦθα ζωῆς μέγιστον ἐξήνεγκε τεκμήριον.

Ἐκ τῆς ἑρμην. τῆς ιϛ. ψαλ.

Ὁ γὰρ τῷ ὄντι φιλοσοφῶν, καὶ ταῖς τῶν μελλόντων ἐλπίσιν ὀρθούμενος, οὐδὲ τὸν θάνατον ἡγήσεται θάνατον· ἀλλ᾽ ὁρῶν πρὸ τῶν ὀφθαλμῶν κείμενον τεθνηκότα, οὐ πείσεται τὰ τῶν πολλῶν, τοὺς στεφάνους ἀναλογιζόμενος. καὶ ὥσπερ ὁ γηπόνος τὸν σῖτον διαλυόμενον ὁρῶν, οὐ καταπίπτει, οὐδὲ κατηφής ἐστιν· οὕτω καὶ ὁ δίκαιος κατορθώμασι κομῶν, καὶ τὴν βασιλείαν καθ᾽ ἑκάστην προσδοκῶν τὴν ἡμέραν, ὅταν ἴδῃ τὸν θάνατον παρὰ τῶν ὀφθαλμῶν κείμενον, οὐκ ἀλύει, καθάπερ οἱ πολλοί, οὐ θορυβεῖται καὶ ταράττεται. οἶδε γὰρ ὅτι θάνατος τοῖς ὀρθῶς βεβιωκόσι μετάστασίς ἐστιν ἐπὶ τὰ βελτίω, καὶ ἀποδημία πρὸς τὰ ἀμείνω, καὶ δρόμος πρὸς τοὺς στεφάνους.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν περὶ φύσεως νόμον.

Διὰ τοῦτο τάφοι πρὸ τῶν πόλεων, τάφοι πρὸ τῶν ἀγρῶν, καὶ πανταχοῦ τὰ διδασκάλια τῆς ταπεινώσεως ἡμῖν πρόκειται, ἵνα συνεχῶς τῆς ἑαυτῶν ὑπομιμνησκώμεθα ἀσθενείας. ἐπείγεταί τις εἰσελθεῖν εἰς πόλιν βασιλεύουσαν καὶ κομῶσαν πλούτῳ καὶ δυναστείαις καὶ τοῖς ἄλλοις ἀξιώμασι· καὶ πρὶν ἴδῃ ὃ φαντάζεται, βλέπει πρῶτον ὅ ἐστι. καὶ παιδευόμεθα πρῶτον εἰς τί καταλήγομεν, καὶ τότε ὁρᾷ τὰ ἔσω φαντάσματα. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἀνὴρ πολλάκις, ἐπειδὰν γυναῖκα τέλη λάβῃ, ὑπαγορεύει τῷ νόμῳ, γράφει τὰ προικῷα, καὶ οὐδέπω συνάφεια, καὶ θάνατος εὐθὺς ἀναγράφεται· οὐδέπω εἶδε τὴν γυναῖκα, καὶ θανάτου ψῆφος καθ᾽ ἑαυτοῦ καὶ κατ᾽ ἐκείνης περιϋποτίθεται, καὶ γράφει τοιαῦτα· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ πρὸ τῆς γυναικός· ἐὰν ἡ γυνὴ πρὸ τοῦ ἀνδρός, τὸ καὶ τὸ διατυποῦται. καὶ οὐ μόνον περὶ τῶν ὄντων καὶ ζώντων αἱ τοῦ θανάτου τίθενται ψῆφοι, ἀλλὰ καὶ κατὰ τῶν οὐδέπω γεγονότων. τί γάρ φησιν; ἐὰν δὲ τὸ τεχθὲν παιδίον ἀποθάνῃ· οὔπω ὁ καρπός, καὶ ἡ ἀπόφασις ἔδραμεν. εἶτα ἐν μὲν τοῖς γραμματείοις ἐπιγινώσκει τὴν φύσιν· εἰ δέ τι τῶν κατὰ ἄνθρωπον πάθῃ, ἢ τὸ γύναιον ἀποθάνῃ, ἐπιλανθάνεται ὧν ἔγραψε, καὶ ἑτέρας τραγῳδίας περιφέρει ῥήματα, καὶ ταῦτα, φησίν, ἔδει με παθεῖν; ταῦτα ἐγὼ προσεδόκησα παθεῖν καὶ ἀποστερεῖσθαι τῆς συζυγίας; τί λέγεις, ἄνθρωπε; ἔξω εἶ τῶν πραγμάτων, καὶ ἐπεγίνωσκες τοὺς ὅρους τῆς φύσεως· ὅτι περιέπεσας τοῖς πάθεσιν, ἐπελάθου τῶν νόμων τῆς φύσεως;

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, Περὶ τῶν κεκοιμημ.

Ὅταν οὖν ἴδῃς τινὰ τῶν προσηκόντων ἀπελθόντα ἐντεῦθεν, μὴ δυσχεράνῃς· πρὸς ἑαυτὸν ἐπάνελθε, τὸ συνειδὸς ἐξέτασον, σκόπησον ὅτι μικρὸν ὕστερον καὶ σὲ μένει τοῦτο τὸ τέλος. ἀλλ᾽ ὁ τελευτήσας σήπεται, φησί, καὶ κόνις ἐστὶ καὶ τέφρα. διὰ τοῦτο μὲν οὖν μάλιστα χαίρειν δεῖ. καὶ γὰρ οἰκίαν τις μέλλων οἰκοδομεῖν σαθρωθεῖσαν καὶ παλαιὰν γενομένην, ἐκβαλὼν πρῶτον τοὺς οἰκοῦντας, οὕτω κατασκάπτει τὴν οἰκίαν, καὶ ἀνοικοδομεῖ λαμπροτέραν· καὶ τοὺς ἐκβληθέντας οὐ λυπεῖ τὸ γινόμενον, ἀλλὰ καὶ εὐφραίνει πλέον. οὐ γὰρ τῇ καθαιρέσει προσέχουσι τῇ βλεπομένῃ, ἀλλὰ τὴν μέλλουσαν οἰκοδομὴν φαντάζονται τὴν οὐ βλεπομένην. οὕτω δὴ καὶ ὁ Θεὸς ποιεῖ, μέλλων καταλύειν ἡμῶν τὸ σῶμα, * τὴν ἐνοικοῦσαν ἐν αὐτῷ ψυχὴν ἐξάγει πρότερον, καθάπερ ἐξ οἰκίας τινός, ἵνα λαμπροτέραν αὐτὴν οἰκοδομήσας, μετὰ πλείονος ταύτην δόξης εἰσαγάγῃ πάλιν.

* καὶ

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν περὶ φύσεως νόμον.

Καὶ γὰρ ὁ Ἀδὰμ ὅτε ἐπλάττετο, οὐκ εἶδεν, ὅτι ἀπὸ γῆς ἀνέστη· οὐ γὰρ προγενεστέραν ἐποίησε τὴν ψυχὴν τοῦ σώματος ὁ Θεός, ἵνα μὴ βλέπῃ τὴν δημιουργίαν· διὰ τοῦτο καὶ ἠγνόησεν αὐτοῦ τὴν εὐτέλειαν. ὅτε μέντοι ἐγείρεται ἐν τῇ ἀναστάσει, οἶδεν, ὅτι χοῦν ἀποδυσάμενος ἐγείρεται. εἰ γὰρ καὶ ἑαυτὸν μὴ βλέπει ὁ νεκρός, ἀλλὰ τὸν πρὸ αὐτοῦ ὁρᾷ εἰς χοῦν ἀναλυθέντα, καὶ δι᾽ ὧν ὁρᾷ παιδεύεται. οὐκ εἶδες θρασεῖς ἄνδρας καὶ ὑπερηφάνους, πῶς

κατεσταλμένοι

κατεσταλμένοι εἰσὶν ἐν τοῖς θανάτοις; ἀπαγγέλλεται θάνατος, καὶ πάντων ἡ καρδία πλήσσει. καὶ φιλοσοφοῦμεν περὶ τὰ μνήματα, τί γινόμεθα, καὶ φλυαροῦμεν. ἐξήλθομεν τῶν τάφων, καὶ ἐπιλαθόμεθα τῆς ταπεινώσεως. ἐν τῷ τάφῳ πρὸς τὸν πλησίον ἕκαστος ὧδέ πῃ φθέγγεται· ὢ τῆς ταλαιπωρίας· ὢ τῆς οἰκτρᾶς ἡμῶν ζωῆς· ὅρα τί γινόμεθα, καὶ ὅλως φθεγγόμεθα, καὶ ἁρπάζομεν καὶ μνησικακοῦμεν, καὶ ἕκαστος ἁπλῶς οὕτω φιλοσοφεῖ, ὡς μέλλων πάντη τῇ κακίᾳ εὐθὺς ἀποτάττεσθαι· καὶ ἔσω μὲν λόγοις φιλοσοφεῖ, ἔξω δὲ τοῖς ἔργοις θεομαχεῖ. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Τίνος ἕνεκεν, εἰπέ μοι, οὕτω δακρύεις τὸν ἀπελθόντα; ὅτι πονηρὸς ἦν; οὐκοῦν διὰ τοῦτο εὐχαριστεῖν δεῖ, ὅτι ἐνεκόπη τὰ τῆς κακίας αὐτῷ. ἀλλὰ χρηστὸς ἦν καὶ ἐπιεικής; καὶ διὰ τοῦτο χαίρειν δεῖ, ὅτι ταχέως ἡρπάγη, πρὶν ἢ τὴν κακίαν ἀλλάξῃ τὴν σύνεσιν. ἀλλὰ νέος ἦν; καὶ διὰ τοῦτο εὐχαρίστησον, καὶ τὸν λαβόντα δόξασον πάλιν. καθάπερ γὰρ τοὺς ἐπὶ ἀρχὴν καλουμένους πολλοὶ προπέμπουσι μετ' εὐφημίας· οὕτω καὶ τῶν ἁγίων τοὺς ἀπιόντας, ἅτε ἐπὶ μείζονα κληθέντας τιμήν, μετὰ πολλῆς δεῖ προπέμπειν τῆς εὐφημίας.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, Περὶ τῶν κοιμωμένων.

Οὐ γὰρ λέγω μὴ λυπεῖσθαι ἐπὶ τοῖς ἀπελθοῦσιν ὑμᾶς, ἀλλὰ μὴ ἀμέτρως τοῦτο ποιεῖν. ἂν γὰρ ἐννοήσωμεν ὅτι θνητὸς ὁ ἀπελθὼν ἦν, καὶ ὅτι ὁ Θεὸς αὐτὸν ἀφείλετο, οὐ τῆς τυχούσης παραμυθίας ληψόμεθα. ὁ γὰρ ἐν τούτοις ἀγανακτῶν, μεῖζόν τι τῆς φύσεως ἐπιζητοῦντός ἐστιν. ἄνθρωπος ἐγεννήθης καὶ θνητός· τί οὖν ἀλγεῖς, ὅτι τὸ κατὰ φύσιν ἐγένετο; μὴ ἀλγεῖς ὅτι ἐσθίων τρέφῃ; μὴ ζητεῖς χωρὶς τροφῆς ζῆν; οὕτω καὶ ἐπὶ τοῦ θανάτου, μὴ ζήτει πῶς ἀθανασίαν θνητὸς γεγονώς. Ἅπαξ γὰρ τοῦτο ὥρισται καὶ νενομοθέτηται.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγ.

ἀλλ' ὅταν ὁ Θεὸς καλῇ καὶ βούληταί τι λαβεῖν παρ' ἡμῶν, μὴ κατὰ τοὺς ἀγνώμονας τῶν οἰκετῶν τὰ δεσποτικὰ νοσφιζώμεθα. κἂν γὰρ χρήματα λάβῃ, κἂν [τὴν] τιμὴν καὶ δόξαν, κἂν τὸ σῶμα, κἂν αὐτὴν τὴν ψυχήν, τὰ ἑαυτοῦ ἔλαβε· κἂν τὸν υἱὸν τὸν σὸν λάβῃ, οὐ τὸν σὸν ἔλαβεν υἱόν, ἀλλὰ τὸν δοῦλον τὸν ἑαυτοῦ. Εἰ τοίνυν ἡμεῖς οὐκ ἐσμὲν ἑαυτῶν, πῶς τὰ ἐκείνου ἡμῶν; εἰ γὰρ ἡ ψυχή σου οὐκ ἔστι σή, πῶς τὰ χρήματα σά; εἰ δὲ οὐκ ἔστι σά, πῶς εἰς οὐδὲν δέον ἀναλίσκεις τὰ μὴ σά; μὴ τοίνυν λέγε, ὅτι τὰ ἐμαυτοῦ ἀναλίσκω, καὶ ἐκ τῶν ἐμαυτοῦ τρυφῶ· οὐ γὰρ ἀπὸ τῶν σαυτοῦ, ἀλλ' ἀπὸ τῶν ἀλλοτρίων. ἀλλοτρίων δὲ λέγω, ἐπειδὴ σὺ βούλει· ἐπεὶ σὰ βούλεται ὁ Θεὸς εἶναι, τὰ ὑπὲρ τῶν πενήτων ἐγχειρισθέντα σοι, γίνεται δὲ σὰ τὰ ἀλλότρια, ἐὰν εἰς αὐτοὺς ἀναλώσῃς· ἂν δὲ εἰς σαυτὸν ἀναλώσῃς, ἀλλότρια γέγονε τὰ σά. οὐχ ὁρᾷς, ὅτι ἐπὶ τῶν σωμάτων τῶν ἡμετέρων χεῖρες διακονοῦσι, καὶ στόμα λεαίνει, καὶ γαστὴρ δέχεται; μὴ λέγει ἡ γαστήρ, ἐπειδὴ ἐδεξάμην, ὀφείλω τὸ πᾶν κατέχειν; καὶ ὀφθαλμὸς δὲ πάλιν, ἐπειδὴ τὸ πᾶν δέχεται φῶς, μὴ διὰ τοῦτο αὐτὸ κατέχει μόνος, ἀλλ' οὐχὶ καὶ ὁλόκληρον φωτίζει τὸ σῶμα; καὶ οἱ πόδες, ἐπειδὴ μόνοι βαδίζουσιν, ἆρα ἑαυτοὺς μετατιθέασι μόνον, ἀλλ' οὐχὶ καὶ ὅλον μετατιθέασι τὸ σῶμα; καὶ ἕκαστος δὲ τῶν ἀναγκαῖον ἐπιτήδευμα μετιόντων, εἰ βουληθείη μὴ μεταδοῦναι ἑτέρῳ τὴν ἀπὸ τῆς τέχνης ὠφέλειαν, οὐχὶ τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ ἑαυτὸν προσαπόλλυσι. καὶ γὰρ οἱ πένητες εἰ τὴν ὑμετέραν τῶν πλεονεκτούντων καὶ πλουτούντων κακίαν μετῆλθον, ταχέως ἂν ὑμᾶς ἐποίησαν πένητας, εἰ μὴ δεομένοις τῶν ἑαυτῶν μεταδοῦναι ἐβουλήθησαν.

Ἐκ τῆς πρὸς Κορινθ. ά. ἐπι.

Ἀλλὰ παιδίον ἀπώλεσα, φησι, μονογενές, ἐν πλούτῳ πολλῷ τρεφόμενον, ἐλπίδας ὑποφαῖνον χρηστάς, αὐτό μοι μέλλον διαδέχεσθαι τὴν κληρονομίαν. καὶ τί τοῦτο; μὴ στενάξῃς, ἀλλ' εὐχαρίστησον τῷ Θεῷ, καὶ δόξασον τὸν εἰληφότα, καὶ οὐδὲν ἔσῃ τοῦ Ἀβραὰμ κατὰ τοῦτο χείρων. καθάπερ γὰρ ἐκεῖνος ἔδωκε τῷ Θεῷ κελεύσαντι, οὕτω καὶ σὺ λαβόντος αὐτοῦ οὐκ ἐστέναξας.

Ἐκ τῆς πρὸς Θεσσαλο.

Εἰ γὰρ τελευτῶντα ἰδὼν τὸν υἱὸν εὐχαριστήσῃς τῷ φιλανθρώπῳ Θεῷ, οὐκ ἔλαττον λήψῃ μισθὸν τούτου τὸν υἱὸν ἀναγαγόντος καὶ καταθύσαντος. κἂν τοὺς κωκυτοὺς καὶ τοὺς θρήνους διαλύσῃς, καὶ εἰς δοξολογίαν ἅπαντας διεγείρῃς, μυρία ἄνωθεν, μυρία κάτωθεν δέξῃ τὰ βραβεῖα, ἀνθρώπων σε θαυμαζόντων, ἀγγέλων κροτούντων, καὶ τοῦ Θεοῦ στεφανοῦντος. καὶ πῶς δυνατὸν μὴ πενθεῖν ἐκεῖνον,

Ἐκ τῆς πρὸς Κορινθ. β. ἐπι.

ἐκεῖνόν, φησι, παρ' οὗ πατὴρ οὐκέτι καλοῦμαι λοιπόν; τί λέγεις; μὴ γὰρ ἀπέβαλες τὸ
παιδίον; μὴ γὰρ ἀπώλεσας τὸν υἱόν; μᾶλλον ἐκτήσω καὶ ἀσφαλέστερον ἔχεις. οὐ γὰρ τὸ πα-
τὴρ καλεῖσθαι ἀπώλεσας, ἀλλὰ τὸ μειζόνως καλεῖσθαι προσέλαβες. οὐ γὰρ θνητοῦ
παιδίου, ἀλλ' ἀθανάτου λοιπὸν κληθήσῃ πατήρ. μὴ γάρ, ἐπειδὴ μὴ πάρεστι, καὶ ἀπολωλέναι
αὐτὸν νόμιζε. οὐδὲ γὰρ ἂν ἀποδημῶν ἐτύγχανεν, ἀπίστει ἂν σὺ καὶ τοὔνομα τῆς συγγενείας μετὰ
τοῦ σώματος. οὐχ οὗτος ἐστὶ τὸ παιδίον τὸ κείμενον, ἀλλ' ἐκεῖνος ὁ ἀποπτὰς καὶ ἀναδραμὼν εἰς
τὸν οὐρανόν. ὅταν οὖν ἴδῃς τοὺς ὀφθαλμοὺς καθῃρημένους, καὶ τὸ στόμα σεσιγημένον, καὶ τὸ σῶ-
μα ἀκίνητον, μὴ τοῦτο ἐννόει, ὅτι τοῦτο μὲν τὸ στόμα οὐκέτι φθέγγεται, οὗτοι οἱ ὀφθαλμοὶ οὐκέτι
βλέπουσιν, οὗτοι οἱ πόδες οὐκέτι βαδίζουσιν· ἀλλ' ὅτι τοῦτο μὲν τὸ στόμα ἄμεινον φθέγξεται,
καὶ οἱ ὀφθαλμοὶ μείζονα ὄψονται, καὶ οἱ πόδες ἐπὶ νεφελῶν ἀρθήσονται, καὶ τὸ διαφθει-
ρόμενον τοῦτο σῶμα ἀθανασίαν ἐνδύσεται, καὶ λαμπρότερον τὸν υἱὸν ἀπολήψομαι. Ἀκού-
σωμεν τί φησιν ὁ Ἰώβ, ὁλοκλήρου τοῦ χοροῦ τῶν παίδων ἀπελθόντος· Ὁ Κύριος ἔδωκεν, ὁ Κύ-
ριος ἀφείλετο, ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο. θαυμαστὰ μὲν οὖν ταῦτα καὶ ἁπλῶς
ἀκουόμενα· ἂν δὲ καὶ μετ' ἀκριβείας ἐξετάσῃς αὐτά, τότε μειζόνως ὄψει τὸ θαῦμα. ἐννόησον
γὰρ ὅτι οὐχὶ τοὺς ἡμίσεις ἔλαβεν ὁ διάβολος, καὶ τοὺς ἡμίσεις ἀφῆκεν, οὐδὲ τοὺς πλείονας ἔ-
λαβε, καὶ τοὺς ἐλάττους ἀφῆκεν· ἀλλ' ὁλόκληρον ἐτρύγησε τὸν καρπόν, καὶ τὸ δένδρον οὐ κατέ-
βαλε· πᾶσαν ἐπήγαγε τὴν θάλασσαν μετὰ τῶν κυμάτων, καὶ τὸ σκάφος οὐ κατεπόντι-
σεν· ὅλην τὴν δύναμιν ἐκένωσε, καὶ τὸν πύργον οὐκ ἔσεισεν, ἀλλ' εἱστήκει πάντοθεν βαλλό-
μενος καὶ ἀκλινὴς μένων· καὶ νιφάδες ἐφέροντο βελῶν, καὶ οὐκ ἐπλήττετο, μᾶλλον δὲ ἐπέμ-
ποντο μέν, οὐκ ἐτίτρωσκον δέ. ἐννόησον ὅσον ἐστὶ τοσούτους παῖδας ἀπολωλέναι. τί γὰρ οὐκ
ἦν ἱκανὸν δακρύειν; οὐχὶ τὸ πάντας ἀναρπασθῆναι; οὐχὶ τὸ πάντας ἀθρόον καὶ ἐν μιᾷ ἡ-
μέρᾳ; οὐχὶ τὸ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει; οὐχὶ τὸ πολλὴν ἀρετὴν ἐπιδεικνυμένους, καὶ
τὸ ἐσχάτῳ τιμωρίας τοιούτῳ καταλῦσαι τὸν βίον; οὐχὶ τὸ μετὰ τοσαύτας πληγὰς ἐσχάτην
ἐπενεχθῆναι ταύτην; οὐχὶ τὸ φιλόστοργον εἶναι τὸν γεγεννηκότα; οὐ τὸ ποθεινοὺς εἶναι τοὺς ἀπελθόν-
τας; ὅταν μὲν γὰρ πονηροὺς τις ἀποβάλληται παῖδας, δάκνεται μὲν καὶ οὕτω, πλὴν ἀλλ' οὐ μετὰ
τοσαύτης τῆς σφοδρότητος· ἡ γὰρ πονηρία τῶν ἀπελθόντων δριμυτέραν οὐκ ἀφίησι γενέσθαι τὴν
ὀδύνην. ὅταν δὲ καὶ ἐνάρετοι ὦσι, μόνιμον τὸ τραῦμα γίνεται, οὐχὶ τὸν ἀπὸ τῆς φύσεως μόνον ἐπιδει-
κνυμένῳ πόθον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς εὐλαβείας. πάλιν, ὅταν κατὰ μέρος ἀναρπάζωνται, ἔχει τινὰ
παραμυθίαν τὸ πάθος· οἱ γὰρ ἐπιλειπόμενοι τὴν ἐπὶ τοῖς ἀπελθοῦσι συσκιάζουσιν ἀθυμί-
αν. ὅταν δὲ ὁλόκληρος ὁ χορὸς ἀπέλθῃ, πρὸς τίνα δυνήσεται ἰδεῖν ὁ πολύπαις, ἀθρόον ἄπαις
γενόμενος; εἰ γὰρ ἐν τρισὶν ἢ πέντε ἡμέραις ἀπελθόντων αὐτῶν, αἱ γυναῖκες καὶ οἱ προσήκοντες ἅ-
παντες τοῦτο μάλιστα πάντων ἐλοφύροντο, ὅτι ταχέως καὶ ἐξαίφνης ἀνηρπάγη τῶν ἐκείνων ὄψε-
ως ὁ τετελευτηκώς· πολλῷ μᾶλλον οὗτος ἂν ἤλγησεν, οὐκ ἐν ἡμέραις τρισὶ καὶ δύο καὶ μιᾷ, ἀλλ'
ἐν ὥρᾳ μιᾷ ἅπαντας οὕτως ἀφαιρεθείς. τὸ γὰρ μελετηθὲν τῷ χρόνῳ δεινόν, κἂν σφόδρα ἀφόρη-
τον ᾖ, τῇ προσδοκίᾳ κοῦφον ἂν γένοιτο ῥᾳδίως. τὸ δὲ παρ' ἐλπίδα συμβὰν καὶ ἐξαίφνης, κἂν φύσει
κοῦφον ᾖ, τῷ παρ' ἐλπίδα συμβῆναι καὶ ἐξαίφνης, ἀφόρητον γίνεται. ὅταν οὖν τι καὶ καθ' ἑαυτὸ
χαλεπὸν ᾖ, καὶ τὴν ἐκ τοῦ παρ' ἐλπίδα συμβῆναι λάβῃ προσθήκην, ἐννόησον πῶς ἀφόρητον γίνεται
καὶ πάντα ὑπερβαίνει λόγον. οὐδὲ γὰρ ἐπὶ κλίνης εἶδεν αὐτοὺς ἀποπνέοντας καὶ ψυχορραγοῦντας,
ἀλλὰ τῇ οἰκίᾳ καταχωσθέντας ἅπαντας. ἐννόησον τοίνυν τίς [ἀρ' ἦν] ἦν ἀνορύττων ἐκεῖνο τὸ χῶμα
καὶ νῦν μὲν λίθον, νῦν δὲ μέλος ἀνέλκων παιδίου, καὶ χεῖρα ἰδὼν ἔτι φιάλην κατέχουσαν, καὶ δεξιὰν
ἑτέραν ἐπικειμένην τῷ πίνακι, καὶ αὐτὸν τοῦ σώματος διεφθαρμένον τὸν τύπον· ῥινὸς συντριβείσης,
κεφαλῆς διακλασθείσης, ὀφθαλμῶν ἀφανισθέντων, ἐγκεφάλου διεσπαρμένου, πάσης ἁ-
πλῶς τῆς μορφῆς διεφθαρμένης, καὶ τῇ τῶν τραυμάτων ποικιλίᾳ οὐκ ἀφιείσης τὸν πατέ-
ρα τῶν ποθουμένων ὄψεων ἐπιγνῶναι τὸν τύπον. Συνεχύθητε ταῦτα ἀκούοντες καὶ δακρύ-

ετε;

Ἐκ τοῦ λόγου εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, Περὶ δὲ τῶν κεκοιμημένων. Ἰὼβ α. κα.

κάμ[illegible]

ἐστι; ἐννοήσατε τοίνυν τίς ἦν ἐκεῖνος ταῦτα ὁρῶν. εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτον χρόνον οὐ δυνάμεθα ἀ-
δακρυτὶ τῆς τραγῳδίας ἐκείνης τὴν ἀκρόασιν ἐνεγκεῖν, καὶ ταῦτα ἀλλοτρίας ἀκούοντες συμ-
φορᾶς, τίς ἦν ὁ ἀδάμας ἐκεῖνος, ἵνα ταῦτα περιλαμβάνων, οὐκ ἐν ἀλλοτρίοις, ἀλλ' ἐν
οἰκείοις φιλοσοφῇ κακοῖς; οὐδὲ γὰρ ἀπεδυσπέτησεν, οὐδὲ εἶπε, τί ποτε τοῦτό ἐστιν; αὕτη
5 μοι τῆς φιλοφροσύνης ἡ ἀμοιβή; διὰ τοῦτο τοῖς ξένοις ἀνέῳξά μου τὴν οἰκίαν, ἵνα τάφον
τῶν παίδων γινομένην αὐτὴν ἐπίδω; διὰ τοῦτο πᾶσαν περὶ αὐτοὺς ἀρετὴν ἐπεδειξάμην,
ἵνα τοιοῦτον ὑπομείνω θάνατον; οὐκ εἶπε τούτων οὐδέν, οὐκ ἐσκόπησεν, ἀλλ' ἔφερε πάντα
γενναίως, καὶ μετὰ τοσαύτην ἐπιμέλειαν αὐτῶν ἀφαιρεθείς. Βούλει καὶ ἕτερον ἰδεῖν ἅγιον μο-
νογενῆ παῖδα ἔχοντα, καὶ τὴν αὐτήν, ἢ καὶ πολλῷ πλείονα ἀνδρείαν ἐπιδειξάμενον; ἀ-
10 ναμνήσθητι τοῦ πατριάρχου Ἀβραάμ, ὃς οὐκ εἶδε μὲν τὸν Ἰσαὰκ ἀποθανόντα, ἀλλ' ὃ πολ-
λῷ πικρότερον ἦν καὶ ὀδυνηρότερον, αὐτὸς αὐτὸν κατασφάξαι ἐπετάττετο· καὶ οὐκ ἀντεῖπε
πρὸς τὸ ἐπίταγμα, οὐδὲ ἐδυσχέρανεν, οὐδὲ ἐφθέγξατό τι τοιοῦτον· διὰ τοῦτό με πατέρα
ἐποίησας, ἵνα παιδοκτόνον ἐργάσῃ; βέλτιον ἦν μὴ δοῦναι τὴν ἀρχήν, ἢ δόντα τοιούτῳ τρό-
πῳ πάλιν αὐτὸν ἀφελέσθαι. βούλει λαβεῖν; τίνος ἕνεκεν ἐμὲ κατασφάττειν κελεύεις, καὶ τὴν
15 δεξιὰν μιᾶναι τὴν ἐμαυτοῦ; οὐκ ἀπὸ τούτου μοι τοῦ παιδίου τὴν οἰκουμένην ἐμπλῆσαι
τῶν ἀπογόνων ὑπέσχου; πῶς οὖν τοὺς καρποὺς δίδως, τὴν ῥίζαν ἀναιρῶν; τίς ταῦτα εἶδε;
τίς ταῦτα ἤκουσεν; ἠπάτημαι καὶ παρελογίσθην. οὐδὲν τούτων εἶπεν, οὐκ ἐνενόησεν. οὐκ ἀν-
τεῖπε τῷ κελεύοντι, οὐκ ἀπῄτησεν εὐθύνας· ἀλλ' ἀκούσας, Λάβε τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν Γεν κβ.
ἠγάπησας τὸν Ἰσαάκ, καὶ ἀνένεγκέ μοι αὐτὸν εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴ-
20 πω· μετὰ τοσαύτης προθυμίας τὸ ἐπίταγμα ἐπλήρωσεν, ὡς καὶ πλείονα τῶν ἐπιταχθέντων
ποιῆσαι. καὶ γὰρ καὶ τὴν γυναῖκα ἀπέκρυψε, καὶ τοὺς παῖδας ἔλαθε, κάτω μένειν ἀφείς. ἐν-
νόησον τοίνυν ἡλίκον ἦν μόνον μόνῳ διαλέγεσθαι τῷ παιδί, μηδενὸς παρόντος, ὅτε μᾶλλον τὰ
σπλάγχνα διεθερμαίνετο, καὶ σφοδρότερον τὸ φίλτρον ἐγίνετο· ποῖος λόγος παραστῆσαι
δυνήσεται; ἀνήγαγε τὸ παιδίον, συνεπόδισε, τοῖς ξύλοις ἐπέθηκε [καὶ] τὴν μάχαιραν ἥρ-
25 πασεν, ἐπάγειν τὴν πληγὴν ἔμελλε. πῶς εἴπω καὶ τίνι τρόπῳ, οὐκ ἔχω· μόνος
αὐτὸς οἶδεν ὁ ταῦτα ἐργασάμενος· λόγος γὰρ οὐδεὶς παραστῆσαι δυνήσεται. πῶς οὐκ
ἐνάρκησεν ἡ χείρ; πῶς οὐκ ἐλύθη τῶν νεύρων ὁ τόνος; πῶς οὐ συνεῖχεν αὐτὸν ἡ τοῦ ποθου-
μένου παιδίου ὄψις; καὶ ἦν ὁμοῦ πατέρα ὁρᾶν καὶ ἱερέα γινόμενον τοῦτον, καὶ θυσίαν χωρὶς αἵματος
ἀναφερομένην, ὁλοκαύτωμα χωρὶς πυρός. καὶ γὰρ ἔσφαξε τὸν υἱόν, καὶ οὐκ ἔσφαξεν. οὐκ ἔσφαξε τῇ
30 χειρί, ἀλλ' ἔσφαξε τῇ προθυμίᾳ· ὥστε παιδεῦσαι σε μετὰ ταῦτα πάντα, ὅτι καὶ παιδίων,
καὶ φύσεως, καὶ τῶν ὄντων ἁπάντων, καὶ αὐτῆς τῆς ψυχῆς τὰ προστάγματα τοῦ Θεοῦ προτι-
μᾶν χρή. ἐννόει γάρ μοι τοῦ ἀνδρὸς τὸ γενναῖον, ὅτε τὸν υἱὸν ἐκελεύετο σφαγιάσαι τὸν μονο-
γενῆ, τὸν ἀγαπητόν, τὸν παρ' ἐλπίδα πᾶσαν δεδομένον αὐτῷ, πόσους ἐπολιόρκει ἀθρόους αὐτῷ εἶ-
χε τοὺς λογισμούς· ἀλλ' ὅμως πάντας ὑπέταξε, καὶ πάντες αὐτὸν ἔτρεμον μᾶλλον, ἢ βα-
35 σιλέα τὸν δορυφόροι· καὶ βλέμματι μόνῳ πάντα κατέστελλε, καὶ οὐδὲ γρύξαι ἐτόλμα τούτων
οὐδείς· ἀλλ' οὕτως εὐτάκτως εἱστήκεισαν, ὡς καὶ κοσμεῖν αὐτὸν μᾶλλον ἤπερ φοβεῖν. καὶ θέα τὴν
καρτερίαν. ἡ φύσις ἔρριπτο χαμαὶ μετὰ τῶν ὅπλων αὐτῆς, καὶ αὐτὸς εἱστήκει τὴν χεῖρα ἀνα-
τείνας, οὐχὶ στέφανον ἔχουσαν, ἀλλὰ μάχαιραν στεφάνου παντὸς λαμπροτέραν· καὶ ὁ τῶν ἀγ-
γέλων ἐπεκρότει δῆμος, καὶ ὁ Θεὸς ἐκ τῶν οὐρανῶν ἀνεκήρυττεν. ἆρα τί τούτου γένοιτ' ἂν ἴσον
40 τοῦ τροπαίου; εἰ γὰρ ἀθλητοῦ νικήσαντος, μὴ κῆρυξ κάτωθεν, ἀλλ' ἄνωθεν αὐτὸν ὁ βασιλεὺς
ἀνηγόρευσε τὸν ὀλυμπιονίκην, ἆρ' οὐχὶ τοῦτο τῶν στεφάνων αὐτῷ λαμπρότερον ἔδοξεν εἶναι, καὶ
τὸ θέατρον ἅπαν ἐπέστρεψεν ἄν; ὅταν οὖν μὴ ἀνθρώπινος βασιλεύς, ἀλλ' αὐτὸς ὁ Θεός, οὐκ
ἐν θεάτρῳ τοιούτῳ, ἀλλ' ἐν θεάτρῳ τῷ τῆς οἰκουμένης, ἐν τῷ δήμῳ τῶν ἀγγέλων, τῶν ἀρ-
χαγγέλων, αὐτὸν ἀνακηρύττῃ λαμπρᾷ τῇ φωνῇ βοῶν ἄνωθεν, τί οὖν θήσομεν τὸν ἀγῶνα τοῦτον,
εἰπέ

Εἰπέ μοι· εἰ γὰρ φαύλων παίδων οὐκ ἂν εὐκόλως καταφρονήσειαν πατέρες, ἀλλὰ καὶ
τούτους ποθοῦσιν· ὅταν καὶ υἱὸς ᾖ καὶ γνήσιος, καὶ μονογενὴς, καὶ ἀγαπητὸς, καὶ ὑπ' αὐτοῦ μέλλῃ
σφάττεσθαι τοῦ πατρὸς, τίς ἂν εἴποι τὴν ὑπερβολὴν τῆς φιλοσοφίας; ὢ δεξιᾶς μακα-
ρίας, οἵας κατηξιώθη μαχαίρας· ὢ μαχαίρας θαυμαστῆς, οἵας κατηξιώθη δεξιᾶς· ὢ μα-
χαίρας θαυμαστῆς, εἰς ποίαν κατεσκευάσθη χρείαν, καὶ ποίαν ἔλυσε διακονίαν, καὶ ποίῳ ὑ- 5
πηρετήσατο τύπῳ· πῶς ἡμάχθη; πῶς οὐχ ἡμάχθη; οὐ γὰρ οἶδα τί εἴπω, οὕτω φρικτὸν
τὸ μυστήριόν ἐστιν. οὐχ ἥψατο τῆς τοῦ παιδὸς δέρρης, οὐδὲ διῆλθε διὰ τοῦ λαιμοῦ τοῦ ἁγίου ἐ-
κείνου, οὐδὲ ἐφοινίχθη αἵματι δικαίου· μᾶλλον δὲ καὶ ἥψατο, καὶ διῆλθε, καὶ ἐφοινίχθη, καὶ ἐβαπτί-
σθη, καὶ οὐκ ἐβαπτίσθη. τάχα ἐξεστηκέναι ὑμῖν δοκῶ οὕτως ἐναντιολογῶν (καὶ γὰρ ἐξέστηκα
τὸ θαῦμα ἐννοῶν τοῦ δικαίου) ἀλλ' οὐκ ἐναντιολογῶ. ἡ μὲν γὰρ τοῦ δικαίου χεὶρ ἐνέπηξεν 10
αὐτὴν τῇ φάρυγγι τοῦ παιδὸς, ἡ δὲ τοῦ Θεοῦ χεὶρ καὶ ἐμπαγεῖσαν οὐκ ἀφῆκεν αἵματι μολυν-
θῆναι τοῦ παιδός. καὶ γὰρ οὐχ ὁ Ἀβραὰμ αὐτὴν κατεῖχε μόνον, ἀλλὰ καὶ ὁ Θεός. καὶ ὁ μὲν
ὤθει διὰ τῆς γνώμης, ὁ δὲ ἀνέστελλε διὰ τῆς φωνῆς. σκόπει δέ· εἶπε, σφάξον, καὶ εὐθέως
ὡπλίζετο· εἶπε, μὴ σφάξῃς, καὶ εὐθέως ἀφωπλίζετο. εἵλετο γὰρ μὴ κληθῆναι πα-
τὴρ, ὥστε δοῦλος εὐγνώμων φανῆναι· καὶ ἐπειδὴ ἀπέστη τῶν ἑαυτοῦ διὰ τὸν Θεὸν, διὰ τοῦτο καὶ ὁ 15
Θεὸς μετὰ τούτων ἐχαρίσατο αὐτῷ καὶ τὰ αὐτοῦ· καὶ μέχρι τῆς προθυμίας ἵστησι τὸ ἐπίταγμα.
καὶ μή μοι τοῦτο εἴπῃς μόνον, ὅτι θυσιαστήριον ᾠκοδόμησε καὶ τὰ ξύλα ἐπέθηκεν, ἀλλ' ἀνα-
μνήσθητι καὶ τῆς φωνῆς τοῦ παιδίου, καὶ λόγισαι ὅσαι νιφάδες ἐπῆλθον αὐτῷ λογισμῶν, φλογί-
νοις δόρασιν ὡπλισμένοι, καὶ πάντοθεν κατακεντοῦντες αὐτὸν καὶ διατέμνοντες, ὅτε ἤκουσε τοῦ παι-
(Γεν. κβ. ζ.) δίου λέγοντος· Πάτερ, ποῦ τὸ πρόβατον; εἰ γὰρ καὶ νῦν κατακλῶνται πολλοὶ, καὶ μὴ πατέ- 20
ρες ὄντες· τί πάσχειν ἐκεῖνον εἰκὸς ἦν, τὸν αὐτὸν γεννήσαντα, τὸν θρέψαντα, τὸν ἐν γήρᾳ, τὸν
μόνον ἔχοντα τοῦτον, τὸν ὁρῶντα, τὸν ἀκούοντα, τὸν εὐθέως μέλλοντα αὐτὸν ἀναιρεῖν; ἀλλ' οὐδὲν
τούτων τὸν ἀδάμαντα ἐκεῖνον περιέτρεψεν, οὐδὲ διέσεισεν· οὐδὲ εἶπε, τί πατέρα καλεῖς
τὸν μικρὸν ὕστερον οὐκ ἐσόμενόν σου πατέρα, τὸν ἤδη ταύτην ἀπολέσαντα τὴν τιμήν; ἀλ-
(Γεν. κβ. η.) λὰ τί; Ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. ἑκάτεροι τὰ ὀνόματα 25
τῆς φύσεως καλοῦσιν· ἐκεῖνος πατέρα, καὶ τέκνον οὗτος· καὶ χαλεπὸς ἑκατέρωθεν ὁ πόλεμος
διηγείρετο, καὶ πολλὴ ἡ ζάλη, καὶ ναυάγιον οὐδαμοῦ. ὁ δὲ Ἰσαὰκ ἐπειδὴ ἤκουσε τὸν Θεὸν, οὐκέτι
εἶπεν οὐδὲν, οὐδὲ περιειργάσατο· οὕτω συνετὸν ἦν τὸ παιδίον καὶ ἐν αὐτῷ τῆς ἡλικίας τῷ
ἄνθει. ἆρα οὐ διεθερμάνθητε πάντες; οὐχὶ ἕκαστος ὑμῶν περιπτύσσεται τῇ διανοίᾳ, καὶ καταφι-
λεῖ τὸ παιδίον, καὶ θαυμάζει τὴν σύνεσιν, καὶ αἰδεῖται τὴν εὐλάβειαν; καὶ γὰρ συμποδι- 30
ζόμενος, καὶ τοῖς ξύλοις ἐπιτιθέμενος οὐκ ἐξεπλήττετο, οὐκ ἀπεσκίρτα, οὐ κατεγίνωσκε τοῦ
πατρὸς ὡς μαινομένου· ἀλλὰ καὶ ἐδεσμεῖτο καὶ ἀνεβιβάζετο, καὶ ἐπετίθετο, καὶ πάντα ἔφερε σιγῇ,
καθάπερ τις ἀρνίος· μᾶλλον δὲ καθάπερ ὁ κοινὸς πάντων δεσπότης, οὗ καὶ τὴν ἐπιείκειαν ἐ-
(Ησ. νγ. ζ.) μιμεῖτο, καὶ τὸν τύπον ἐφύλαττεν. Ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον
(Ἐκ τοῦ β΄ λόγ. τοῦ εἰς Σταγείριον.) τοῦ κείροντος αὐτὸν ἄφωνος. Καὶ μή μοι λεγέτω τις, ὅτι οὐκ ἤλγει ὁ Ἀβραὰμ, οὐδὲ 35
τὰ τῶν πατέρων ὑπέμεινε, μηδὲ πέρα τοῦ μέτρου δεῖξαι βουλόμενος φιλοσοφοῦντα, τὸ κε-
φάλαιον ἀποστερείτω τῶν ἐγκωμίων αὐτόν. Εἰ γὰρ οὖν ἐπὶ τοῖς αἰσχίστοις ἁλόντας καὶ πο-
λὺν χρόνον ταύτης ἀπολαύσαντας τῆς ζωῆς, καὶ ἀγνῶτας ὄντας, καὶ οὐδὲ ὀφθέντας ἡμῖν ποτε,
τούτους ἐξαίφνης ὁρῶντες ἐπὶ τῆς ἀγορᾶς τὴν ἐπὶ θάνατον ἀπαγομένους, συστελλόμεθα καὶ ἀλ-
γοῦμεν, πολλάκις δὲ καὶ δακρύομεν· ὁ τὸν υἱὸν τὸν αὐτοῦ τὸν γνήσιον, τὸν μονογενῆ, τὸν παρὰ ἐλπίδα 40
τεχθέντα, τὸν μετὰ χρόνον τοσοῦτον, τὸν πρὸς ἐσχάτῳ γήρᾳ, τοῦτον ἔτι νέον ὄντα ταῖς ἑαυτοῦ χερσὶ
καταθῦσαι καὶ κατακαῦσαι κελευόμενος, πῶς οὐ πάσης τιμωρίας χαλεπωτέραν θλῖψιν καὶ
ἀλγηδόνα ὑπέμεινεν; εἰ γὰρ λίθος ἦν, εἰ γὰρ σίδηρος, εἰ γὰρ ἀδάμας, οὐκ
ἂν ἐκάμφθη καὶ κατεκλάσθη πρὸς τὴν ὥραν τοῦ παιδὸς, πρὸς τὴν σύνεσιν τῶν ῥημάτων,

πρὸς τὴν εὐλάβειαν τῆς ψυχῆς; καὶ γὰρ ἤκουσεν, ὅτι ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, ὦ τέκνον, καὶ οὐδὲν περιειργάσατο πλέον· ἑώρα τὸν πατέρα δεσμεύοντα αὐτὸν, καὶ οὐκ ἀντέτεινεν· ἐπετέθη τοῖς ξύλοις, καὶ οὐκ ἀπεπήδησεν· εἶδε τὴν μάχαιραν κατ' αὐτοῦ φερομένην, καὶ οὐκ ἐταράχθη. τί ταύτης εὐλαβέστερον γένοιτ' ἂν τῆς ψυχῆς; ἔτι δὲ καὶ τολμήσει τις εἰπεῖν, ὡς οὐδὲν ὑπὸ τούτων ἁπάντων ἔπαθεν ὁ Ἀβραάμ; εἰ γὰρ ἐχθροὶ καὶ πολέμιοι καταθύειν ἔμελλον, εἰ γὰρ θεῖον ἦν, ἆρα αἰσχύνη τί ταῦτα ἐποίησεν; οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Διὰ τοῦτο δέομαι καὶ ἀντιβολῶ, ὅταν υἱὸν, ἢ θυγατέρα ἀποβάλῃς, ἄνθρωπε, μὴ οὕτως ἀσχημόνως θρήνει καὶ κόπτε σεαυτὸν, ἀλλ' ἐννόησον, ὅτι ὁ Ἀβραὰμ κατέσφαξε τὸν υἱὸν τὸν ἑαυτοῦ, καὶ οὔτε ἐδάκρυσεν, οὔτε πικρὸν ῥῆμα ἐξέβαλε. καὶ ὁ Ἰὼβ ἤλγησε μὲν, τοσοῦτον δὲ, ὅσον εἰκὸς πατέρα φιλόπαιδα· ὡς ἂν νῦν ποιούμεθα ἡμεῖς, ἐχθρῶν καὶ πολεμίων ἐστίν. οὐδὲ γὰρ, εἴ τινος εἰς βασιλέα ἀπενεχθέντος καὶ στεφανωθέντος ἐκόπτες σαυτὸν καὶ ἐθρήνεις, φίλον ἄν σε τοῦ στεφανωθέντος ἔφην εἶναι, ἀλλ' ἐχθρὸν καὶ πολέμιον. Ἀλλ' οὐκ οἶδα ποῦ κεχώρηκε, φησί. διὰ τί γὰρ οὐκ οἶδας, εἰπέ μοι; εἴτε γὰρ ὀρθῶς ἐβίω, εἴτε ἑτέρως, δῆλον ποῦ χωρήσει. διὰ γὰρ τοῦτο κόπτομαι, φησὶν, ὅτι ἁμαρτωλὸς ἀπῆλθε. δι' αὐτὸ μὲν μὲν τοῦτο δεῖ χαίρειν, ὅτι ἐνεκόπη τὰ ἁμαρτήματα, καὶ οὐ προσέθηκε τῇ κακίᾳ· καὶ βοηθεῖν, ὡς ἂν οἷόν τε ᾖ, οὐ δάκρυσιν, ἀλλ' εὐχαῖς καὶ ἱκετηρίαις καὶ ἐλεημοσύναις καὶ προσφοραῖς. οὐ γὰρ ἁπλῶς ταῦτα ἐπινενόηται, οὐδὲ μάτην ὁ πρεσβύτερος τῷ θυσιαστηρίῳ τῶν φρικτῶν παρεστώτων μυστηρίων βοᾷ, Ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας αὐτῶν ἐπιτελούντων, ἀλλὰ πνεύματος ἁγίου διατάξει ταῦτα γίνεται. εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθαιρεν ἡ τοῦ πατρὸς θυσία· τί ἀμφιβάλλεις, εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων, γίνεταί τις αὐτοῖς παραμυθία; Μὴ τοίνυν τοὺς ἀποθνήσκοντας κλαίωμεν ἁπλῶς, ἀλλὰ τοὺς ἐν πλούτῳ τετελευτηκότας, καὶ μηδεμίαν ἀπὸ τοῦ πλούτου παραμυθίαν ταῖς ἑαυτῶν ψυχαῖς ἐπινοήσαντας, τοὺς λαβόντας ἐξουσίαν ἀπολύσασθαι αὐτῶν τὰ ἁμαρτήματα, καὶ μὴ βουληθέντας, τούτους κλαίωμεν καὶ ἰδίᾳ καὶ κοινῇ πάντες, μὴ μίαν ἡμέραν, μηδὲ δευτέραν, ἀλλὰ τὸν ἅπαντα βίον ἡμῶν, καὶ βοηθῶμεν αὐτοῖς κατὰ δύναμιν· ἐπινοήσωμεν αὐτοῖς τινα βοήθειαν, μικρὰν μὲν, βοηθῶμεν δὲ ὅμως. πῶς καὶ τίνι τρόπῳ; εὐχόμενοι, καὶ ἑτέρους παρακαλοῦντες εὐχὰς ὑπὲρ αὐτῶν ποιεῖσθαι, πένησιν ὑπὲρ αὐτῶν διδόντες συνεχῶς. ἔχει τινὰ τὸ πρᾶγμα παραμυθίαν. ἄκουε γὰρ τοῦ Θεοῦ λέγοντος, Ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου. εἰ δὲ μνήμη μόνον δικαίου τοσοῦτον ἴσχυσεν, ὅταν καὶ ἔργα γίνηται ὑπὲρ αὐτοῦ, πόσον οὐκ ἰσχύσει; οὐκ εἰκῇ ταῦτα ἐνομοθετήθη ὑπὸ τῶν ἀποστόλων, τὸ ἐπὶ τῶν φρικτῶν μυστηρίων μνήμην γίνεσθαι τῶν ἀπελθόντων. ἴσασιν αὐτοῖς κέρδος πολὺ γινόμενον, πολλὴν τὴν ὠφέλειαν. ὅταν γὰρ ὁλόκληρος ἑστήκῃ λαὸς, χεῖρας ἀνατείνοντες, πλήρωμα ἱερατικὸν, καὶ προκέηται ἡ φρικτὴ θυσία, πῶς οὐ δυσωπήσομεν τὸν Θεὸν, ὑπὲρ τούτων παρακαλοῦντες; ἀλλὰ τοῦτο μὲν περὶ τῶν ἐν πίστει παρελθόντων· οἱ δὲ κατηχούμενοι οὐδὲ ταύτης καταξιοῦνται τῆς παραμυθίας, ἀλλ' ἀπεστέρηνται πάσης τοιαύτης βοηθείας, πλὴν μιᾶς τινος. ποίας δὴ ταύτης; ἔνεστι πένησιν ὑπὲρ αὐτῶν διδόναι συνεχῶς, καὶ ποιεῖ τινα αὐτοῖς τὸ πρᾶγμα παραψυχήν. ὥστε οὐ τὸ ἀποθανεῖν, κακὸν, ἀλλὰ τὸ ἀποθανεῖν κακῶς. Βούλεσθε δὲ εἴπω πρὸς τὴν ὑμετέραν ἀγάπην, πόθεν δεδοίκαμεν θάνατον; οὐκ ἔτρωσεν ἡμᾶς ὁ τῆς βασιλείας ἔρως, οὐδὲ ἀνῆψεν ἡμᾶς ὁ τῶν μελλόντων πόθος· ἐπεὶ πάντων ἂν ὑπερείδομεν τῶν παρόντων. ὁ γὰρ διαπαντὸς γέενναν δεδοικὼς, οὐδέποτε θάνατον φοβηθήσεται. ὅτε μοι πρὸς ὑμᾶς εὐκαίρως εἰπεῖν νῦν, ἀδελφοὶ, Μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. καὶ γὰρ τὰ παιδία τὰ μικρὰ προσωπεῖα μὲν δέδοικε, πῦρ δὲ οὐ δέδοικεν· ἀλλ' ἐὰν βασταζόμενα τύχῃ παρὰ λυχνίαν λύχνον ἔχουσαν, ἀπερισκέπτως τὴν χεῖ-

Ἐκ τῆς περὶ Θεοῦ β' ὁμ.

Ἐκ τῆς ὁμιλ. γ' εἰς τὴν πρὸς Κορ. α' ἐπισ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Φιλιπ. ὁμ.

δ. Βας. ιθ. λδ.

Ἐκ τῆς αὐτῆς.

ἐὰν ἐπαφίῃσι τῇ λυχνίᾳ καὶ τῇ φλογί· καὶ τὸ μὴ δύνασθαι διαφέρειν τὸ προσωπεῖον φεύγειν, τὸ δὲ
ἀληθῶς οὐ δέδοικε φοβερὸν πῦρ. βούλει εἴπω καὶ ἑτέραν αἰτίαν, δι' ἣν τὸν θάνατον δεδοίκα-
μεν; οὐ ζῶμεν μετ' ἀκριβείας, οὐδὲ ἔχομεν συνειδὸς ἀγαθόν· ὡς εἰ τοῦτο ἦν, οὐδὲν ἡμᾶς
ἂν ἐφόβησεν· οὐ θάνατος, οὐ ζημία χρημάτων, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. δός μοι τοίνυν
θαρρῆσαι περὶ τῆς βασιλείας τῶν οὐρανῶν, καί, εἰ βούλει, σήμερόν με κατάσφαξον, καὶ χάριν
εἴσομαί σοι τῆς σφαγῆς, ὅτι με ταχέως πρὸς ἐκεῖνα πέμπεις τὰ ἀγαθά. ἀλλὰ τὸ ἀδί-
κως ἀποθανεῖν δέδοικα, φησί. τί λέγεις, εἰπέ μοι; τὸ ἀδίκως ἀποθανεῖν δέδοικας; ἀλλὰ
δικαίως ἐβούλου; καὶ τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς, παρὸν ἀδίκως ἀποθανεῖν, δι-
καίως ἂν μᾶλλον ἕλοιτο; εἰ γὰρ δεδοικέναι χρὴ θάνατον, τὸν δικαίως ἡμῖν ἐπιόντα δεδοι-
κέναι χρή· ὡς ὅ γε ἀδίκως ἀποθανὼν, κατ' αὐτὸ τοῦτο κοινωνεῖ τοῖς ἁγίοις ἅπασιν. οἱ γὰρ
πλείους τῶν εὐαρεστησάντων τῷ Θεῷ ἄδικον ὑπέστησαν τελευτήν· καὶ πρῶτος Ἄβελ. οὐ
γὰρ δὴ πλημμελήσας εἰς τὸν ἀδελφὸν, οὐδὲ λυπήσας τὸν Κάϊν, ἀλλ' ἐπειδὴ τὸν Θεὸν ἐ-
τίμησε, διὰ τοῦτο ἐσφάγη· ὁ δὲ Θεὸς συνεχώρησεν. ἆρα φιλῶν αὐτὸν, ἢ μισῶν; εὔδηλον
ὅτι φιλῶν, καὶ λαμπρότερον αὐτῷ τὸν στέφανον ποιῆσαι βουλόμενος ἀπὸ ἀδικωτάτης
ταύτης σφαγῆς. ὁρᾷς ὅτι οὐ τὸ ἀδίκως ἀποθανεῖν χρὴ δεδοικέναι, ἀλλὰ τὸ ἐν ταῖς ἁμαρ-
τίαις ἀποθανεῖν; ὁ Ἄβελ ἀπέθανεν ἀδίκως, ὁ Κάϊν ἔζη στένων καὶ τρέμων. τίς οὖν, εἰπέ
μοι, μακαριώτερος ἦν; ὁ μετὰ δικαιοσύνης παυσάμενος, ἢ ὁ ἐν ἁμαρτίαις ζῶν; ὁ ἀδί-
κως ἀποθανὼν, ἢ ὁ δικαίως κολαζόμενος;

Ἐκ τοῦ λόγ. τοῦ κατὰ τῶν παρατηρούντων τὰς νεομηνίας.

Τί δαὶ φόνου χαλεπώτερον, εἰπέ μοι;
ἀλλ' ἐδυνήθη ποτὲ δικαιοσύνην τεκεῖν τῷ τοῦτο ποιήσαντι· καὶ ὅπως ἄκουε. οἱ Μαδιη-
ναῖοί ποτε βουλόμενοι τὸν Θεὸν "ἐκπολεμῶσαι τοῖς Ἰουδαίοις, καὶ ταύτῃ προσδοκῶντες αὐ-
τῶν περιέσεσθαι, εἰ τῆς εὐνοίας αὐτοὺς ἀποστερήσειεν τοῦ δεσπότου, κόρας καλλωπίσαντες καὶ
τῷ στρατοπέδῳ περιστήσαντες, ἐδελέασαν αὐτοὺς, καὶ εἰς τὴν πορνείαν ἤγαγον. τοῦτο ἰδὼν ὁ
Φινεὲς μεταχειρισάμενος ξίφος, καὶ πορνεύοντας δύο καταλαβὼν, ἐν αὐτῇ τῇ ἁμαρτίᾳ ἀμ-
φοτέρους ἐξεκέντησεν, οὐ τοὺς ἀναιρεθέντας μισῶν, ἀλλὰ τῶν λοιπῶν φειδόμενος. καὶ τὸ μὲν
γινόμενον φόνος ἦν, τὸ δὲ κατορθούμενον ἐξ ἐκείνου σωτηρία τῶν ἀπολλυμένων ἁπάντων ἐ-
γίνετο. ἀπέκτεινε δύο, καὶ ἔσωσε μυριάδας ἀπείρους. καὶ καθάπερ οἱ ἰατροὶ τὰ σεσηπότα
τῶν μελῶν ἐκτέμνοντες, ὁλόκληρον σώζουσι τὸ σῶμα· οὕτω κἀκεῖνος ἐποίησε, καὶ ἐλογίσθη
αὐτῷ εἰς δικαιοσύνην.

(marginal notes: γρ. μόνον · Ἀριθ. κε.)

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Φιλ.

Μὴ τοίνυν τοὺς ἀποθνήσκοντας ἁπλῶς κλαίωμεν, ἀλλὰ
τοὺς ἐν ἁμαρτίαις ἀποθνήσκοντας. οὗτοι θρήνων ἄξιοι, οὗτοι κοπετῶν καὶ δακρύων. ποία
γὰρ ἐλπὶς, εἰπέ μοι, μετὰ ἁμαρτημάτων ἀπελθεῖν, ἔνθα οὐκ ἔστιν ἁμαρτήματα ἀποδύ-
σασθαι; ἕως μὲν γὰρ ἦσαν ἐνταῦθα, ἴσως ἦν προσδοκία πολλὴ, ὅτι μεταμελήσονται, ὅτι
βελτίους ἔσονται· ἂν δὲ ἀπέλθωσιν εἰς τὸν ᾅδην, ἔνθα οὐκ ἔστιν ἀπὸ μετανοίας κερδᾶναί
τι (Ἐν τῷ γὰρ ᾅδῃ, φησί, τίς ἐξομολογήσεταί σοι;) πῶς οὖν οὐ θρήνων ἄξιοι; κλαί-
ωμεν οὖν τοὺς οὕτως ἀπερχομένους, οὐ κωλύω· κλαίωμεν, ἀλλὰ μὴ ἀσχημόνως, μὴ τρί-
χας τίλλοντες, μὴ βραχίονας γυμνοῦντες, μὴ ὄψιν σπαράττοντες, ἀλλὰ "μᾶλλον κατὰ ψυ-
χὴν ἠρέμα δάκρυον" ἀφιέντες μικρόν. τοῦτο δὲ ἡμᾶς ὠφελεῖ. ὁ γὰρ ἐκεῖνον πενθῶν οὕτω,
πολλῷ μᾶλλον αὐτὸς σπουδάσει μηδέποτε τοῖς αὐτοῖς περιπεσεῖν.

(marginal notes: γρ. μόνον · γρ. ἠρέμα)

Ἐκ τῆς ἑρμην. τῆς πρὸς β. Θεσσ.

Πάλιν δὲ ὅταν ἴ-
δῃς νεκρὸν ἐπ' ἀγορᾶς φερόμενον, παῖδας ὀρφανοὺς ἀκολουθοῦντας, χήραν γυναῖκα
κατακοπτομένην, οἰκέτας ὀδυρομένους, φίλους κατηφιῶντας, λόγισαι τὸ οὐδαμινὸν
τῶν παρόντων πραγμάτων, καὶ ὅτι σκιᾶς καὶ ὀνειράτων οὐδὲν διενήνοχε. σκόπει μοι
τὰς τῶν μεγάλων καὶ περιφανῶν οἰκίας, καὶ νῦν εἰς ἔδαφος κατενεχθείσας· ἐννόησον πό-
σα ἴσχυσαν, καὶ νῦν οὐδὲ μνήμη αὐτῶν ὑπολέλειπται. Πολλοὶ γὰρ τύραννοι ἐκά-
θισαν ἐπ' ἐδάφους, ὁ δὲ ἀνυπονόητος ἐφόρεσε διάδημα. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; ἐννόη-
σον καὶ περὶ θανάτου ὅταν καθεύδῃς, τίνος ἄξιος εἶ. οὐχὶ καὶ τὸ μικρὸν σε θηρίον ἀνελεῖν

(marginal note: Ἐκκλησ. ια.)

δυνήσεται;

διωχθήσεται· πολλοῖς γὰρ πολλάκις ἀπὸ τοῦ ὀρόφου καταπεσὸν μικρὸν ζωΰφιον ἢ
τὸν ὀφθαλμὸν ἐξέβαλεν, ἢ ἑτέρου τινὸς κινδύνου παραίτιον γέγονε. [Τί δαί; ὁ
Ἀλέξανδρος οὐχὶ πολλὰ καὶ μεγάλα κατώρθωσε ζῶν; οὐχὶ καὶ ἔθνη, καὶ πόλεις ὑπέ-
ταξε; καὶ πολέμους πολλοὺς καὶ μάχας ἐνίκησε, καὶ τρόπαια ἔστησεν; οὐχὶ τρισκαιδέκατος ἐνο-
5 μίσθη εἶναι Θεὸς παρὰ τῇ συγκλήτῳ Ῥωμαίων; ἀλλὰ τὸ μὲν ζῶντα κατορθοῦν πολέμους
καὶ νίκας βασιλέα ὄντα, καὶ στρατόπεδα ἔχοντα, θαυμαστὸν οὐδέν· τὸ δὲ μετὰ θάνατον καὶ τάφον το-
σαῦτα πανταχοῦ γῆς καὶ θαλάττης καθ' ἑκάστην ἡμέραν ἐργάζεσθαι, τοῦτό ἐστι τὸ μάλιστα
πολλῆς ἐκπλήξεως γέμον. ποῦ γάρ, εἰπέ μοι, τὸ σῆμα Ἀλεξάνδρου; δεῖξόν μοι, καὶ εἰπὲ
τὴν ἡμέραν, καθ' ἣν ἐτελεύτησεν. ἀλλ' οὐκ ἂν ἔχοις· τοῦ δὲ Παύλου καὶ τὸ σῆμα λαμπρὸν ἴδοι
10 τις ἂν τὴν βασιλικωτάτην καταλαβὸν τὴν πόλιν, καὶ ἡμέραν, καταφανῆ ἑορτὴν τῇ οἰκουμέ-
νῃ ποιοῦσαν. καὶ τὸ μὲν ἐκείνου καὶ οἱ οἰκεῖοι ἀγνοοῦσι· τὸ δὲ τούτου καὶ οἱ βάρβαροι ἐπίστανται).
καὶ ὁ τάφος τοῦ δούλου τοῦ Χριστοῦ λαμπρότερος τῆς βασιλικῆς ἐστιν αὐλῆς. καὶ γὰρ αὐτὸς ὁ
τὴν ἁλουργίδα περικείμενος ἀπέρχεται τὸ σῆμα τὸ ἐκείνου περιπτυξόμενος, καὶ τὸν τῦφον
ἀποθέμενος ἕστηκε δεόμενος τοῦ νεκροῦ, ὥστε αὐτοῦ προστῆναι παρὰ τῷ Θεῷ, καὶ τοῦ σκηνοποιοῦ
15 καὶ τοῦ ἁλιέως καὶ τετελευτηκότος ὡς προστάτου δεῖται ὁ τὸ διάδημα ἔχων. καὶ τοῦτο οὐκ ἐν τῇ
Ῥώμῃ ἴδοι τις ἂν γινόμενον μόνον, ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει. καὶ γὰρ καὶ ἐνταῦθα Κωνσταν-
τῖνον τὸν μέγαν μεγάλῃ τιμῇ τιμᾶν ἐνόμισεν ὁ παῖς, εἰ [πρὸς] τοῖς προθύροις αὐτὸν τοῦ
ἁλιέως καταθοῖτο. καὶ ὅπερ εἰσὶν οἱ πυλωροὶ τοῖς βασιλεῦσιν ἐν τοῖς βασιλείοις, τοῦτο ἐν
τῷ σήματι οἱ βασιλεῖς τοῖς ἁλιεῦσι· καὶ οἱ μὲν ὥσπερ δεσπόται τοῦ τόπου τὰ ἔνδον κατέχου-
20 σιν, οἱ δὲ ὡς πάροικοι καὶ γείτονες, ἠγάπησαν τὴν αὐλείαν αὐτοῖς ἀφορισθῆναι θύραν. καὶ
οἱ μὲν βασιλεῖς οἰκετῶν καὶ ὑπηρετῶν, οἱ δὲ ἀρχόμενοι βασιλέων τὴν ἀξίαν περι-
κεινται.] Ταῦτα ἐννόει· καὶ μὴ τὸ τῆς ἀνθρωπίνης ὄψεως ἄνθος θαύμαζε,
μηδὲ τὸν ἀναπεπταμένον αὐχένα, μηδὲ τὴν χλανίδα καὶ τὸν ἵππον καὶ τοὺς ἀκολού-
θους· ἀλλὰ ποῦ τελευτᾷ ταῦτα πάντα λογίζου. ἐὰν δὲ τὰ φαινόμενα θαυμάζῃς,
25 καὶ ἐγώ σοι τὰ ἐν ταῖς γραφαῖς ἐρῶ τὰ πολλῷ τούτων λαμπρότερα. ἀλλ' ὥσπερ
ἐκεῖνα διὰ τὴν ὄψιν οὐ θαυμάζομεν, τὴν οὐσίαν αὐτῶν ὁρῶντες, ὅτι πηλός ἐστι τὸ πᾶν·
οὕτω δὴ μηδὲ ταῦτα. καὶ γὰρ καὶ ταῦτα πηλός· μᾶλλον δὲ καὶ πρὶν διαλυθῆναι καὶ γενέ-
σθαι κόνιν. δεῖξόν μοι τοῦτον τὸν ἀναπεπταμένον πυρέττοντα, ψυχορραγοῦντα, καὶ τότε σοι
διαλέξομαι καὶ ἐρήσομαι, Ποῦ νῦν εἰσιν οἱ μετὰ πολλοῦ μὲν τοῦ τύφου, πολλῶν
30 δὲ τῶν ἀκολουθούντων σοβοῦντες ἐπὶ τῆς ἀγορᾶς· οἱ τὰ σηρικὰ ἐνδεδυμένοι, καὶ μύρων πνέ-
οντες, καὶ παρασίτους τρέφοντες, καὶ τῇ σκηνῇ προσηλωμένοι διαπαντός; ποῦ ἡ τῶν δείπνων
ἐκείνων πολυτέλεια, τὸ τῶν μουσικῶν πλῆθος, ἡ τῶν κολάκων θεραπεία, ὁ γέλως ὁ πολύς,
ἡ τῆς ψυχῆς ἄνεσις, ἡ τῆς διανοίας διάχυσις, ὁ βίος ὁ ὑγρὸς καὶ ἀνειμένος καὶ περιττός; πάν-
τα οἴχεται καὶ ἀπέπτη. τί γέγονε τὸ τοσαύτης ἀπολαῦον θεραπείας σῶμα καὶ καθαρότη-
35 τος; ἄπιθι πρὸς τὴν σορόν· θέασαι τὴν κόνιν, τὴν τέφραν, τοὺς σκώληκας· τοῦ τόπου τὸ
εἰδεχθές. θέασαι καὶ στέναξον πικρόν. καὶ εἴθε μέχρι τῆς τέφρας ἡ ζημία ἦν. νῦν δὲ
ἀπὸ τῆς σοροῦ καὶ τῶν σκωλήκων τούτων μετάγαγε τὸν λογισμὸν ἐπὶ τὸν ἀτελεύτητον ἐκεῖνον
σκώληκα, ἐπὶ τὸν βρυγμὸν τῶν ὀδόντων, ἐπὶ τὸ σκότος τὸ ἐξώτερον, ἐπὶ τὸ πῦρ τὸ ἄσβε-
στον καὶ τὰς κολάσεις τὰς πικρὰς καὶ ἀφορήτους ἐκείνας, τὰς εἰς ἀτελευτήτους αἰῶνας. ἐν-
40 ταῦθα μὲν γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ χαλεπὰ τέλος ἔχει, καὶ τοῦτο τάχιστον· ἐκεῖ δὲ ἀθανάτοις
ἀμφότερα παρεκτείνεται αἰῶσι· καὶ τῇ ποιότητι δὲ τοσοῦτον τῶν νῦν διενήνοχεν, ὅσον
οὐδέ ἐστιν εἰπεῖν. τί τοίνυν γέγονεν ὁ πολὺς κόσμος ἐκεῖνος; ποῦ δὲ οἴχεται ἡ πολλὴ κολα-
κεία καὶ ἡ θεραπεία τῶν δούλων, καὶ ἡ περιουσία τῶν χρημάτων, καὶ τῶν κτημάτων; ποῖος ἄ-

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Κορ. ε. ἐπισ. ὁμ. κϛ

Ἐκ τῆς πρὸς Κορινθ. β΄ ἐπ.

Ἐκ τοῦ ϛ λόγου τοῦ εἰς Θεόδωρ. ἔκπτω.

νεμος ἐπεισελθὼν ἐξεφύσησε πάντα; Τί δὲ βούλεται ἡ περιττὴ αὕτη καὶ ἀνόητος περὶ τὴν κηδείαν δαπάνη, πολλὴν μὲν φέρουσα τοῖς κηδεύουσι ζημίαν, τῷ δὲ ἀπελθόντι κέρδος οὐδέν; ὅταν ἀκούσῃς ὅτι γυμνὸς ὁ δεσπότης ἀνέστη, παῦσαι τῆς περὶ τὴν κηδείαν μανίας. οὐδὲ γὰρ εἶπεν ὁ Χριστὸς, ὅτι πεινῶντά με εἴδετε, καὶ ἐθρέψατε· διψῶντα, καὶ ἐποτίσατε· γυμνὸν, καὶ περιεβάλετε· προσέθετο, ὅτι καὶ τεθνεῶτα, καὶ ἐθάψατε. εἰ γὰρ ζῶντας κελεύει μηδὲν πλέον ἔχειν, ἀλλ' ἢ σκέπασμα, πολλῷ μᾶλλον τελευτήσαντας. ποίαν οὖν ἕξομεν ἀπολογίαν, ὅταν τὸ μὲν σῶμα εἰς ἰχῶρας καὶ σκώληκας δαπανώμενον καλλωπίζωμεν· τὸν δὲ Χριστὸν πεινῶντα, διψῶντα, γυμνὸν περιιόντα καὶ ξένον περιορῶμεν; Ἀλλὰ καὶ ἐπὶ

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

τῆς κλίνης κείμενος, φησὶν, ὁ τεθνηκὼς φέρει τοῦ πλούτου καὶ τοῦ τύφου τὰ σύμβολα, ἐσθῆτος λαμπρᾶς ἐπικειμένης, πενήτων καὶ πλουσίων παραπεμπόντων, δήμου εὐφημούντων. μάλιστα μὲν καὶ ταῦτα καταγέλως· πλὴν ἀλλὰ καὶ ταῦτα εὐθέως, ὥσπερ ἄνθος διαρρέον, ἐλέγχεται. ὅταν γὰρ τὰς οὐδὲν ὑπερβῶμεν τὰς τῆς πόλεως πύλας, καὶ τοῖς σκώληξι παραδόντες τὸ σῶμα ὑποστρέφωμεν, πάλιν σε ἐρήσομαι, ποῦ πορεύεται ὁ πολὺς ὄχλος ἐκεῖνος; τί γέγονεν ἡ κραυγὴ καὶ ὁ θόρυβος; ποῦ δὲ αἱ λαμπάδες; ποῦ δὲ τῶν χορὶ τῶν γυναικῶν; ἆρα μὴ ὄναρ ταῦτα ἐστί; τί δὲ καὶ ἐγένοντο αἱ βοαί; ποῦ τὰ στόματα τὰ πολλὰ ἐκεῖνα, τὰ κραυγάζοντα, καὶ παρακελευόμενα θαῤῥεῖν, ὅτι οὐδεὶς ἀθάνατος; οὐ νῦν ταῦτα ἔδει λέγεσθαι τῷ μὴ ἀκούοντι, ἀλλ' ὅτε ἥρπαζεν, ὅτε ἐπλεονέκτει, τότε μικρὸν παραλλάξαντας ἔδει λέγειν· οὐ δεῖ θαῤῥεῖν· οὐδεὶς ἀθάνατος. Εἰ μὲν τίς σοι κατεσκεύασεν οἰκίας, ἔνθα

Ἐκ τῆς πρὸς Κορινθ. β. ἐπιστ.

μὴ ἔμελλες μένειν, ζημίαν τὸ πρᾶγμα ἐνόμισας ἄν· νῦν δὲ ἐνταῦθα βούλει πλουτεῖν, ὅθεν καὶ πρὸ τῆς ἑσπέρας πολλάκις μέλλεις ἀποδημεῖν; ἐπίσχες τῆς μανίας, σβέσον τὴν ἐπιθυμίαν· τὸ δὲ θάρσει τῷ ἀδικουμένῳ· ἀλλ' εἰ καὶ ἐκείνῳ ταῦτα ἀνόητα λοιπὸν ἐξελθόντι τὸ στάδιον, καὶ τῶν τὰ αὐτὰ ἐκείνῳ νοσοῦντες, καὶ ἐπὶ τὸ σῆμα ἀκολουθοῦντες, ἀκουέτωσαν. ἐπεὶ γὰρ ἐμπέπρησθεν ὑπὸ τῆς μέθης τῶν χρημάτων οὐδὲν τοιοῦτον ἐννοοῦσιν· ἀλλ' ἐν τῷ καιρῷ ἐκείνῳ, ὅτε καὶ ἡ ὄψις τοῦ κειμένου πιστοῦται τὸ λεγόμενον, σωφρονισθήτωσαν, παιδευέσθωσαν, ἐννοοῦντες ὅτι μικρὸν ὕστερον καὶ αὐτοὺς ἄξουσιν τῶν ἀπάγοντες ἐπὶ τὰς φοβερὰς ἐκείνας εὐθύνας, καὶ τὸ δοῦναι δίκην ὧν ἐνταῦθα κακῶς ἐπλημμέλησαν. ἵν' οὖν

Ἐκ τῆς αὐτῆς.

μὴ καὶ ἡμεῖς τὰ αὐτὰ ἐκείνοις πεισώμεθα, μεταβαλέσθαι καὶ γενέσθαι βελτίους σπουδάσωμεν, ὅση δύναμις, ὅπως καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ, καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. η.

ΠΕΡΙ ΛΥΠΗΣ ΚΑΙ ΑΘΥΜΙΑΣ.

Ἐκ τοῦ γ'. λόγ. τῶν εἰς Σταγείριον

ΤΗν ἀθυμίαν ἐνέθηκεν ἡμῶν ὁ Θεὸς τῇ φύσει, οὐχ ἵνα ἁπλῶς καὶ ἀκαίρως καὶ ἐν τοῖς ἐναντίοις αὐτῇ χρώμεθα πράγμασιν, οὐδ' ἵνα φθείρωμεν ἑαυτοὺς, ἀλλ' ἵνα τὰ μέγιστα κερδαίνωμεν ἐξ αὐτῆς. καιρὸς γὰρ ἀθυμίας, οὐχ ὅταν πάσχωμεν κακῶς, ἀλλ' ὅταν δρῶμεν κακῶς. ἡμεῖς δὲ τὴν τάξιν ἀντεστρέψαμεν, καὶ τοὺς καιροὺς ἀντηλλαξάμεθα· καὶ ποιοῦντες μὲν μυρία κακὰ, οὐδὲ πρὸς τὸ βραχὺ συστελλόμεθα· ἂν δὲ μικρόν τι παρά τινος πάθωμεν, καταπίπτομεν καὶ ἰλιγγιῶμεν, καὶ ἀπαλλαγῆναι τοῦ παρόντος βίου εὐχόμεθα. Οὐκ εἰδότες, ὅτι αἱ θλίψεις, καὶ οἱ πειρασμοὶ, καὶ τὰ συμβαίνοντα ἡμῖν ἀναρὰ, τῶν χρηστῶν οὐχ ἧττον τὴν τοῦ Θεοῦ ἡμῖν κηδεμονίαν ἐνδείκνυνται. καὶ τί λέγω τὰς θλίψεις τὰς ἐνταῦθα; τῆς γὰρ βασιλείας τῶν οὐρανῶν οὐκ ἔλαττον ἡ τῆς γεέννης ἀπειλὴ παρί-

Ἐκ τοῦ α'. λόγ. τῶν εἰς τὸν Σταγείριον.

στησι τὴν φιλανθρωπίαν αὐτοῦ. Εἰ γὰρ μὴ γέεννα ἠπείλητο, οὐκ ἄν τις ταχέως ἐπέτυ-
χε τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν. οὐδὲ γὰρ ἀρκεῖ μόνη ἡ τῶν χρηστῶν ἐπαγγελία προτρέψαι
πρὸς ἀρετὴν, μὴ καὶ τοῦ φόβου τῶν δεινῶν ὠθοῦντος τοὺς ῥαθυμοτέρους πρὸς ἐκείνην δια-
κειμένους. Ἄλλως τε καὶ διὰ τοῦτο λύπη καὶ ἀθυμία γεγένηται, οὐχ ἵνα ἐπὶ θανάτῳ, οὐδ᾽

[marg.: Ἐκ τῶν ἀνδριάντων.]

5 ἵνα ἐπὶ ζημίᾳ χρημάτων, οὐδ᾽ ἵνα ἐπ᾽ ἄλλῳ τινὶ τῶν τοιούτων ἀλγῶμεν· ἀλλ᾽ ἵνα εἰς τὴν
τῶν ἁμαρτημάτων ἀναίρεσιν αὐτῇ καταχρώμεθα. καὶ γὰρ στρατιώτης θάνατον δεδοικὼς οὐδὲν
οὐδέποτε γενναῖον ἐργάσεται. Τὸν τοίνυν ἀλγοῦντα, οὐχ ὑπὲρ ὧν κολάζεται, ἀλλ᾽ ὑπὲρ
ὧν ἁμαρτάνων παροξυνεῖ τὸν Θεὸν, ἀλγεῖν δεῖ. τοῦτο μὲν γὰρ ἀφίστησιν ἡμῶν τὸν Θεὸν, καὶ ἐχθροὺς
ποιεῖ· ἐκεῖνο δὲ καταλλάττει τε αὐτὸν ἡμῖν μάλιστα, καὶ φίλους ἡμᾶς εἶναι παρασκευάζει. Διὰ

[marg.: Ἐκ τοῦ ι. λόγ. τοῦ εἰς τὸν Σταγείρ. — Ἐκ τῆς ἑρμην. τοῦ ψαλ. [?]]

10 γὰρ τοῦτο εἰς τὸν παρόντα βίον εἰσελήλυθας, ἀγαπητὲ, οὐχ ἵνα ἀργῶν τρέφῃ, οὐδ᾽ ἵνα μὴ πά-
σχῃς μηδὲν δεινὸν, ἀλλ᾽ ἵνα παθὼν λαμπρότερος ᾖς. οὐ γὰρ ἀνδρὸς γενναίου ἐστὶ τὴν ἄνεσιν ζη-
τεῖν καὶ τρυφῆς ἀπολαύειν, ἀλλὰ σκώληκος ἀλόγου μᾶλλον ἢ ἐπιθυμίαν ἢ λόγον ἔχοντος. καὶ
εὔχου μὲν μὴ ἐμπεσεῖν εἰς πειρασμόν· εἰ δέ ποτε ἐμβαίνῃς, μὴ δυσχέραινε, μηδὲ θορυβοῦ, μη-
δὲ ταράττου, ἀλλ᾽ ὅπως γένῃ λαμπρότερος, πάντα ποίει. ἢ οὐχ ὁρᾷς τῶν στρατιωτῶν τοὺς
15 ἀνδρειοτάτους, πῶς τῆς σάλπιγγος καλούσης πρὸς τὰ ὅπλα βλέπουσι, πρὸς τὰς νίκας, πρὸς
τοὺς κατορθωκότας τῶν πολεμίων; καὶ σὺ τοίνυν τῆς σάλπιγγος ἠχούσης τῆς πνευματικῆς, στῆθι
λέοντος σφοδρότερος· ἐμβῆθι, κἂν πῦρ ᾖ, κἂν σίδηρος. οἶδε γὰρ τὰ στοιχεῖα τοὺς οὕτως ἀνδρεί-
ους αἰδεῖσθαι· οἶδε καὶ τὰ θηρία τοὺς οὕτω γενναίους δεδοικέναι, κἂν ὑπὸ λιμοῦ, κἂν ὑπὸ τῆς
φύσεως αὐτῆς ἀγριαίνηται, πάντων ἐπιλανθάνεται καὶ κρατεῖ τοῦ πάθους. Τὸν χριστιανὸν

[marg.: Ἐκ τοῦ γ. λόγ. τοῦ εἰς Σταγείρ.]

20 οὖν εἴ ποτε λυποῖτο, δύο μόνον ὑποθέσεις ἀθυμίας ἔχειν δεῖ· ἢ ὅταν αὐτὸς, ἢ ὅταν ὁ πλησίον
προσκρούσῃ Θεῷ. Τοὺς οὖν κακηγορουμένους οὐκ ἀγωνιᾶν δεῖ καὶ τρέμειν, ἀλλὰ τοὺς κα-

[marg.: Ἐκ τῆς ἑρμην. τοῦ κζ Ματθ. εὐαγγ.]

κηγοροῦντας. οὐ γὰρ ἐκεῖνοι ἀναγκάζονται ἀπολογεῖσθαι ὑπὲρ ὧν κακῶς ἤκουσαν, ἀλλ᾽ οὗ-
τοι ὑπὲρ ὧν κακῶς εἶπον· τούτοις γὰρ ἀποκρέμαται ὁ κίνδυνος ἅπας. ὥστε τοὺς μὲν κακῶς
ἀκηκοότας, ἀμερίμνους δεῖ εἶναι· οὐ γὰρ παρέξουσιν εὐθύνας ὑπὲρ ὧν ἕτερος εἶπε κακῶς·
25 τοὺς δὲ κακῶς εἰρηκότας ἀγωνιᾶν καὶ τρέμειν, ἅτε αὐτοὺς μέλλοντας εἰς τὸ φοβερὸν δικαστή-
ριον ὑπὲρ τούτων ἕλκεσθαι. διὰ τοῦτο μὴ τῷ κακῶς ἀκούειν ἀλγῶμεν, ἀλλὰ τῷ δικαίως ἀ-
κούειν κακῶς. ἂν μὲν γὰρ ἐν πονηρίᾳ ζῶμεν, κἂν μηδεὶς ὁ κακηγορῶν ᾖ, πάντων ἐσμὲν ἀθλι-
ώτεροι· ἂν δὲ ἀρετῆς ἐπιμελώμεθα, κἂν ἡ οἰκουμένη λέγῃ κακῶς, τότε πάντων ἐσόμεθα ζηλω-
τότεροι. Ἐὰν γὰρ ἡ διάνοια καλῶς ἡμῖν ᾖ κατεσκευασμένη, κἂν μυρίοι πανταχόθεν ἐγεί-

[marg.: Ἐκ τοῦ α. λόγ. τοῦ περὶ προνοίας]

30 ρωνται χειμῶνες, ἐν γαλήνῃ καὶ λιμένι καθευδούμεθα διαπαντός· ὥσπερ οὖν οὐκ εὖ ἐχούσης
αὐτῆς, κἂν ἐξ οὐρίων ἡμῖν ἅπαντα φέρηται, τῶν ἐν ναυαγίοις ὄντων οὐδὲν ἄμεινον διακεισόμεθα.
τοῦτο γὰρ ἐπὶ τῶν σιτίων ἐστὶν ἰδεῖν. ὅταν μὲν γὰρ ἰσχυρὸν καὶ ἐρρωμένον ἡμῖν τὸ σῶμα τῆς γαστρὸς
ᾖ, πᾶν, ὅπερ ἂν δέχηται, κἂν σκληρὸν ᾖ, κἂν αὐτῷ ἀκατέργαστον, πρὸς καθαρὸν αὐτὸ μετα-
σχηματίζει χυμὸν, τῆς φυσικῆς κράσεως περιγινομένης τῆς ἐν τῷ σιτίῳ κακίας· ὅταν δὲ ὁ τό-
35 νος αὐτοῦ καταλελυμένος ᾖ καὶ χαῦνος, κἂν τὸ πάντων εὐχυμότερον αὐτῇ προσενέγκῃς ἔδε-
σμα, εἰς τὸ χεῖρον αὐτὸ μετερρύθμισε καὶ διέφθειρε, τῆς ἀσθενείας τὴν ἀρετὴν αὐτοῦ λυμαι-
νομένης. Οὐ γάρ ἐστι ψυχὴν ὀδυνωμένην τε νέφει κατεχομένην ἀθυμίας δυνηθῆναι μετὰ

[marg.: Ἐκ τῶν ἀνδρι.]

προθυμίας ἢ ἀκοῦσαί τι τῶν λεγομένων χρησίμως, ἢ εἰπεῖν. τῶν γὰρ ὀδυνωμένων αἱ ψυχαὶ
οὐ θέλουσι μακροὺς ἀποτείνειν λόγους, ἀλλ᾽ ὥσπερ νεφέλη τις πυκνὴ γενομένη, καὶ τὴν ἡλιακὴν
40 ἀκτῖνα ὑποδραμοῦσα, ἀποστρέφει τὴν αὐγὴν ἅπασαν εἰς τὰ ὀπίσω· οὕτω δὴ καὶ ἀθυμίας νέ-
φος, ἐπειδὰν στῇ περὶ τῆς ψυχῆς τῆς ἡμετέρας, οὐκ ἀφίησιν αὐτῇ εὐκόλως γενέσθαι τὴν τοῦ λόγου
διάβασιν, ἀλλ᾽ ἀποπνίγει καὶ συνέχει μετὰ πολλῆς ἀνάγκης ἔνδον αὐτόν. καὶ τοῦτο οὐκ ἐπὶ
τῶν λεγόντων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀκουόντων γίνεται. ὥσπερ γὰρ ἀπὸ τῆς τοῦ λέγοντος ψυ-
χῆς οὐκ ἀφίησιν αὐτὸν ἐκπηδῆσαι μετ᾽ εὐκολίας, οὕτως οὐδὲ εἰς τὴν τῶν ἀκουόν-

(Ἐκ τῶν αὐτῶν.) τὴν διάνοιαν ἐμπεσεῖν συγχωρεῖ μετὰ τῆς οἰκείας δυνάμεως. Καὶ γὰρ καὶ οἱ τοῦ Ἰὼβ φίλοι πρὸς τοῦτον παραγινόμενοι, καὶ τὴν τραγῳδίαν τῆς οἰκίας ἐκείνης ἰδόντες, καὶ τὸν δίκαιον ἐπὶ τῆς κοπρίας ἐκείνης καθήμενον καὶ ἡλκωμένον, διέρρηξάν τε τὰ ἱμάτια καὶ ἀνῴμωξαν, καὶ σιγῇ παρεκάθηντο, δηλοῦντες, ὅτι οὐδὲν οὕτως ἐπιτήδειον παρὰ τὴν ἀρχὴν τοῖς ὀδυνωμένοις, ὡς ἡσυχία καὶ σιγή. μάθε τοίνυν ὡς ὁ συγχωρήσας τὸν πειρασμὸν γενέσθαι, αὐτὸς οἶδε καὶ τὸν καιρὸν τῆς λύσεως τοῦ πειρασμοῦ. δυνατὸς γὰρ ὁ Θεὸς ἅπαντα λῦσαι τὰ δεινά, ἀλλ' ἕως ἂν ἴδῃ γινομένην ἐπιστροφήν, οὐ καταλύει τὴν θλῖψιν. καὶ θαύμαζε τοὺς πειραζομένους, καὶ γενναίως τοὺς πειρασμοὺς ὑπομένοντας, καθάπερ τοὺς παῖδας τοὺς τρεῖς· οὓς οὐδεὶς ἂν ἐθαύμασε μὴ κατακαέντας, εἰ πόρρω τῆς Βαβυλωνίας ἦσαν καμίνου. τὸ γὰρ ἐκπλῆξαν ἅπαντας τοῦτ' ἔστιν, ὅτι τῷ πυρὶ τοσοῦτον ὁμιλήσαντες χρόνον, τῶν οὐχ ὁμιλησάντων διέβησαν ἀλυπότεροι. οὕτω καὶ ἐπὶ τῶν ἁγίων ἐστὶν εἰπεῖν, ὅτι εἰ μηδεὶς αὐτοῖς ἐπήγετο πειρασμός, οὐκ ἂν αὐτοὺς ἐθαυμάσαμεν διηνεκῶς χαίροντας. καίτοι γὰρ μυρίοις κυκλούμενοι κύμασι πάντοθεν, τῶν γαλήνης καθαρᾶς ἀπολαυόντων ῥᾷον διέκειντο. εἰ μὲν γὰρ μηδὲν ἦν τὸ λυποῦν, οὐκ ἦν αὐτοῖς μέγα τὸ δύνασθαι διηνεκῶς χαίρειν· τὸ δὲ πολλῶν ἐπικειμένων τῶν εἰς ἀθυμίαν ἐμβαλλόντων, ἀνωτέρους ἁπάντων εἶναι, καὶ ἐν μέσοις τοῖς λυπηροῖς εὐφραίνεσθαι, τοῦτ' ἔστι τὸ παράδοξον. καὶ γὰρ ὁ θάνατος οὐ πάντων ἀφορητότερος εἶναι δοκεῖ; (Ἐκ τοῦ ἑξαημ.) ἀλλ' ἡ τούτου προσδοκία οὐ μόνον αὐτοὺς οὐ λυπεῖ, ἀλλὰ καὶ μειζόνως εὐφραίνει. Οἴδασι γὰρ ὅτι ἡ τοῦ θανάτου παρουσία, πόνων ἐστὶν ἀπαλλαγή· καὶ ὅτι ἔθος τῷ φιλανθρώπῳ Θεῷ τιμᾶν τοὺς αὐτοῦ δούλους, καὶ χαρίζεσθαι αὐτοῖς πολλάκις καὶ τὴν ἑτέρων σωτηρίαν· ὥσπερ καὶ ἐπὶ τοῦ ἁγίου Παύλου πεποίηκε τοῦ διδασκάλου τῆς οἰκουμένης, τοῦ πανταχοῦ τὰς ἀκτῖνας τῆς οἰκείας διδασκαλίας ἀφιέντος. ἡνίκα γὰρ οὗτος ἐπὶ τὴν Ῥώμην ἀνήγετο, χειμῶνος κατὰ τὴν θάλασσαν πολλοῦ γινομένου, καὶ πάντων τῶν ἐν πλοίῳ περὶ αὐτῆς τῆς σωτηρίας δεδοικότων, καὶ οὐδεμίαν ἐλπίδα χρηστὴν ἐχόντων διὰ τὸ τοῦ κλυδωνίου μέγεθος, (Πραξ. κζ. κε.) καλέσας ἅπαντας, φησίν· Εὐθυμεῖτε ἄνδρες, ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ τοῦ Θεοῦ, οὗ εἰμι καὶ λατρεύω, ἄγγελος λέγων· μὴ φοβοῦ, Παῦλε· κεχάρισται γάρ σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. τούτου συνεχῶς μνημονεύωμεν. (Ἐκ τῆς πρὸς Τίτον ἐπισ.) Οὐδὲν γὰρ οὕτως ἡμᾶς ὠφελεῖ, ὡς τὸ συνεχῶς μεμνῆσθαι τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ τῶν κοινῇ, καὶ τῶν ἰδίᾳ. εἰ γὰρ φίλου εὐεργεσιῶν ἀναμνησθέντες, ἢ ῥῆμα προσηνὲς ἀκούσαντες, ἢ πρᾶγμα, διαθερμαινόμεθα· πολλῷ μᾶλλον, ὅταν ἴδωμεν πόσοις κινδύνοις περιεπέσομεν, καὶ ἀπὸ πάντων ἡμᾶς ἐξείλετο ὁ Θεός, προθυμότεροι περὶ τὴν ἀρετὴν ἐσόμεθα· ὥσπερ οὖν καὶ ὁ Παῦλος. (Ἐκ τοῦ γ λόγ. τῶν εἰς τὸν Σταγείρ.) Οὐ τὸν μὲν λιμόν, καὶ τὸ δίψος, καὶ τὴν γύμνωσιν, καὶ τὰ ναυάγια, καὶ τοὺς φόβους, καὶ τὰς ἐπιβουλάς, καὶ τὰ δεσμωτήρια, καὶ τὰς πληγάς, καὶ τὰ ἄλλα πάντα, ὅσα τοῦ κηρύγματος ἕνεκεν ὁ μακάριος Παῦλος ὑπέμεινεν, οὐδὲν οἶμαι δεῖ λέγειν. ἱκανὸν γὰρ καὶ τούτων ἕκαστον συνταράξαι σφοδρῶς καὶ (β. Κορ. ια.) κατακλάσαι τὴν ἁγίαν ἐκείνην ψυχήν. ὅταν δὲ λέγῃ, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; τοῦτο ἔστιν ὃ πάντων μάλιστα αὐτῷ διηνεκῆ καὶ ἀφόρητον παρεῖχε τὴν ἀθυμίαν. εἰ γὰρ καθ' ἕκαστον τῶν σκανδαλιζομένων αὐτὸς ἐπυροῦτο, οὐκ ἐνῆν σβεσθῆναι τὴν πύρωσιν ταύτην ἀπὸ τῆς ἐκείνου ψυχῆς. οὐ γὰρ διέλιμπανον οἱ σκανδαλιζόμενοι, καὶ τὴν ὑπόθεσιν παρέχοντες τῷ πυρί. τὸ δὲ καὶ τοὺς Ἰουδαίους ἀπι(Ῥωμ. θ. γ.)στοῦντας ὁρᾶν, τίνα ἂν ἀθυμίας καὶ ὀδύνης μικρὰν γοῦν ἀνακωχὴν ἔχειν ἠδύνατο; Ηὐχόμην γάρ, φησιν, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· ποθεινότερον ἦν μοι εἰς γέενναν ἐμ(Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. β΄ ἐπ.)πεσεῖν, ἢ τοὺς Ἰσραηλίτας ἀπιστοῦντας ὁρᾶν. ὁ δὲ τὴν ἐν τῇ γεέννῃ κόλασιν ἑλόμενος ὑπὲρ τοῦ δυνηθῆναι προσαγαγέσθαι τοὺς Ἰουδαίους ἅπαντας, εὔδηλον ὅτι τούτου μὴ τυχών, τῶν ἐν τῇ γεέννῃ κολαζομένων διῆγε βαρύτερον. (β. Κορ. ιβ. θ.) Πρὸς ὃν εἴρηται καὶ τό, Ἀρκεῖ σοι ἡ χάρις μου·

ἡ γάρ

ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται· τουτέστιν, ἀρκεῖ σοι ὅτι νεκροὺς ἐγείρεις, ὅτι τυφλοὺς θεραπεύεις, ὅτι λεπροὺς καθαίρεις, ὅτι τὰ ἄλλα θαυματουργεῖς· μὴ ζήτει καὶ τὸ ἀκίνδυνον καὶ τὸ ἀδεές, καὶ τὸ χωρὶς πραγμάτων κηρύττειν. ἀλλὰ ἀλγεῖς καὶ ἀθυμεῖς; μὴ δόξῃς τοῦτο ἀσθενείας εἶναι ἐμῆς, τὸ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας καὶ διώκοντάς σε, καὶ ἐλαύνοντας, καὶ μαστίζοντας. τοῦτο μὲν οὖν αὐτὸ δείκνυσί μου τὴν δύναμιν. ἡ γὰρ δύναμίς μου, φησὶν, ἐν ἀσθενείᾳ τελειοῦται, ὅταν διωκόμενοι τῶν διωκόντων περιγίνησθε· ὅταν ἐλαυνόμενοι τῶν ἐλαυνόντων κρατῆτε· ὅταν δεσμούμενοι τοὺς δεσμοῦντας τρέπητε. Ἀλλὰ δεινὸν μὲν καὶ τὸ ὑφ' ὁτουοῦν ἀκούειν κακῶς· ὅταν δὲ καὶ τῶν εὐεργετηθέντων τις ὁ τοῦτο ποιῶν ᾖ, καὶ τὰς εἰς αὐτὸν εὐεργεσίας ὀνειδίζῃ καὶ προφέρῃ, τότε δή, τότε ἡ ὕβρις ἀφόρητος γίνεται, καὶ τοσοῦτον μετὰ τῆς ἀθυμίας ἐπάγει καὶ τὸν θυμόν, ὡς καὶ ἀποπνίξαι τὸν ὑβριζόμενον δύνασθαι. Ὁ μὲν ὑπό τινος μεγάλου παθὼν κακῶς, ἔχει φιλοτιμίαν οὐ μικρὰν, τὴν τοῦ ποιοῦντος ὑπεροχήν· ὁ δὲ ὑπὸ εὐτελοῦς καὶ ἀπερριμμένου, μείζονα ἔχει τὴν αἰτίαν, καὶ δυσυπομόνητον τὴν θλῖψιν λογίζεται. Ἀλλὰ μὴ τοῦτο σκόπει, εἰ σκώπτουσιν ἡμᾶς τινες, ἀλλ' εἰ καλῶς καὶ δικαίως. κἂν μὲν δικαίως, καὶ μὴ γνώντων ἐκείνων, ἡμεῖς δακρύωμεν· ἂν δὲ ἀδίκως, κἂν ἅπαντες γελῶσιν, ἡμεῖς ἑαυτοὺς μὲν μακαρίζωμεν, ἐκείνους δὲ θρηνῶμεν, ἅτε πάντων ἀθλιωτέρους ὄντας, καὶ τῶν μαινομένων οὐδὲν διαφέροντας. Εἰ καὶ μηδὲν ἀφορητότερον τοῖς ὀδυνωμένοις ἐστὶ λόγου δυναμένου δάκνειν ψυχήν. Ταῦτα καὶ ὑμῖν αὐτοῖς καὶ ἀλλήλοις λέγετε καθ' ἑκάστην, καιροῦ τυγχάνοντες. Εἰ γὰρ καὶ ὁ μέλλων δέεσθαί τινος, κἂν εὔλογα μέλλῃ παρακαλεῖν, ἐπιτηδειότητα ἀναμένει καιροῦ, ὅπως ἡμέρῳ καὶ εὖ διακεχυμένῳ προσέλθοι τῷ μέλλοντι διδόναι τὴν αἴτησιν, καὶ τὴν ἀπὸ τοῦ καιροῦ λαβὼν συμμαχίαν ἐπιτύχοι τῆς χάριτος, πολλῷ μᾶλλον τὸν λέγοντα καιρὸν ἐπιτήδειον ζητεῖν δεῖ. Οὕτω γὰρ ὑπὲρ ἀλλήλων ὀφείλομεν, ὥσπερ ὑπὲρ ἑαυτῶν μεριμνᾶν, καὶ φείδεσθαι τῶν πλησίον, καθὰ δή τοι καὶ ἡμῶν ὁ Θεός. οὐδεὶς γὰρ οὕτως ἑαυτοῦ φείδεται, ὡς πάντων ἡμῶν ὁ Θεός, ὃς πολλῷ μᾶλλον ἡμῶν αὐτῶν αὐτὸς βούλεται μηδὲν παθεῖν ἡμᾶς δεινόν· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ τοῦ γ. λόγ. τῶν εἰς Σταγείριον.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Τιμόθεον. β. ἐπ.

Ἐκ τοῦ λόγ. τοῦ περὶ ἀπιστ. πατέρ.

Ἐκ τῶν λόγων εἰς τοὺς ἀνδριάντ.

Ἐκ τοῦ γ. λόγ. τῶν εἰς Σταγείρ.

ΠΕΡΙ ΤΗΣ ΜΕΛΛΟΥΣΗΣ ΚΡΙΣΕΩΣ. Λογ. ιθ.

Πολλοὶ τῶν παρ' ἡμῖν ἀνθρώπων τῇ σαρκὶ προσηλωμένοι, καὶ τοῖς παροῦσι δουλεύοντες πράγμασιν, οὐδὲν εἶναι τὰ μετὰ ταῦτα νομίζουσι, καὶ τὸ τοῦ Θεοῦ προβαλλόμενοι φιλάνθρωπον, μὴ εἶναι κόλασιν, μηδὲ τιμωρίαν λέγουσιν. Εἰ οὖν φιλάνθρωπός ἐστιν ὁ Θεός, ὥσπερ οὖν καὶ ἔστι, καὶ δίκαιος πάντως ἂν εἴη. εἰ δὲ δίκαιος, πῶς οὐκ ἂν εἴη δίκαιον τὸν μυρία παθόντα ἐξ ἀρχῆς ἀγαθὰ, εἶτα κολάσεως ἄξια πράξαντα, καὶ μήτε ἀπειλῇ, μήτε εὐεργεσίᾳ γενόμενον βελτίω, κολάζεσθαι; εἰ γὰρ τὸ δίκαιον ἐξετάζοις, ἐξ ἀρχῆς ἡμᾶς καὶ εὐθέως ἀπολέσθαι ἔδει κατὰ τὸν τοῦ δικαίου λόγον μᾶλλον· καὶ γὰρ καὶ φιλανθρωπίαν εἶχεν, εἰ καὶ τοῦτο ἐπάθομεν τὸ μὴ γενόμενοι. ὅταν μὲν γάρ τις τὸν οὐδὲν ἠδικηκότα ὑβρίζῃ, κατὰ τὸν τοῦ δικαίου λόγον πάντως δίδωσι δίκην· ὅταν δέ τις τὸν εὐεργέτην, τὸν οὐδὲν προπαθόντα μὲν, εὖ ποιήσαντα δὲ μυρία, καὶ μόνον τοῦ εἶναι γενόμενον αἴτιον, οὐχ ὑβρίζῃ μόνον, ἀλλὰ καὶ καθ' ἑκάστην ἡμέραν λυπῇ, δι' ὧν ποιεῖ, ποίας ὁ τοιοῦτος συγγνώμης ἔσται ἄξιος; Πῶς οὐ δέδοικας, εἰπέ μοι, τολμηρὰ φθεγγόμενος, ὅταν λέγῃς, φιλάνθρωπός ἐστιν ὁ Θεός, καὶ οὐ κολάζει· εἰ δὲ κολάσει, εὑρεθήσεται κατὰ σὲ οὐκέτι φιλάνθρωπος; Διὰ τί γὰρ, εἰπέ μοι, οὐκ ἀξιοῖς κολάζεσθαι ἁμαρτωλῶν; οὐχὶ προεῖπέ σοι ἅπαντα; οὐχὶ ἠπείλησεν; οὐχὶ ἐβοήθησεν; οὐχὶ μυρία εἰργάσατο ὑπὲρ τῆς σωτηρίας τῆς σῆς; Εἰ οὖν τὸν πονηρὸν

μὴ

Ἐκ τοῦ λόγου, ὅτι ἀπελάτητος ἡ κόλασις.

Ἐκ τοῦ λόγου, ὅτι πάντες παραστησόμεθα τῷ βήματι Χριστοῦ.

μὴ κολάζονται, ἐρεῖ πάλιν ἄλλος ἴσως, ὅτι οὔτε οἱ ἀγαθοὶ στεφανοῦνται· καὶ ποῦ ἡ φιλαν-
θρωπία καὶ ἡ δικαιοκρισία τοῦ Θεοῦ; μὴ τοίνυν φενακίζετε ἑαυτοὺς, ἄνθρωποι, τῷ διαβόλῳ
πειθόμενοι· ἐκείνου γάρ εἰσι ταῦτα τὰ νοήματα. Εἰ γὰρ δικασταὶ καὶ δεσπόται καὶ διδάσκαλοι
τοὺς μὲν ἀγαθοὺς τιμῶσι, τοὺς δὲ πονηροὺς κολάζουσι· πῶς ἂν ἔχοι λόγον παρὰ τῷ Θεῷ τὰ
ἐναντία γίνεσθαι, καὶ τῆς αὐτῆς ἀξιοῦσθαι τοὺς ἀγαθοὺς καὶ τοὺς πονηρούς; πότε δὲ καὶ ἀπαλ-
λαγήσονται τῆς κακίας οἱ πονηροί; εἰ γὰρ καὶ κόλασιν προσδοκῶντες οὐκ ἀφίστανται τῆς
πονηρίας, ἂν καὶ τὸν φόβον τοῦτον ἀπόθωνται, καὶ μὴ μόνον εἰς γέενναν μὴ ἐμπέσωσιν, ἀλλὰ καὶ
βασιλείας ἐπιτύχωσι, πότε πονηρευόμενοι στήσονται; ἀκήκοα τινῶν φιλαμαρτημόνων λεγόν-
των, ὅτι πρὸς φόβον τῶν ἀνθρώπων ἠπείλησε τὴν γέενναν ὁ Θεός· μὴ γένοιτο γὰρ ὅτι ἐλε-
ήμων ὢν κολάσει τινά, καὶ μάλιστα τῶν ἐπεγνωκότων αὐτόν. λέγετε οὖν μοι οἱ ψεύστην τὸν
Θεὸν ἀποφαίνοντες, τίς τὴν οἰκουμένην ἐπέκλυσεν ἅπασαν ἐπὶ τοῦ Νῶε, καὶ τὸ χαλεπὸν ἐ-
κεῖνο ναυάγιον εἰργάσατο, καὶ τὴν πάντως τοῦ γένους ἡμῶν πανωλεθρίαν ἐποίησε; τίς τοὺς
κεραυνοὺς ἐκείνους καὶ τοὺς πρηστῆρας ἀφῆκεν ἐπὶ τὴν Σοδόμων γῆν; τίς τὴν Αἴγυπτον ἅπα-
σαν κατεπόντισε; τίς τὰς ἑξακοσίας χιλιάδας ἐπὶ τῆς ἐρήμου κατηνάλωσε; τίς τὴν συν-
αγωγὴν Ἀβειρὼν κατέφλεξε; τίς τοῖς περὶ Κορὲ καὶ Δαθὰν ἀνοῖξαι τῇ γῇ τὸ στόμα, καὶ κατα-
πιεῖν ἐκέλευσε; τίς τὰς ἑβδομήκοντα χιλιάδας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκεν ἐπὶ τοῦ
Δαβίδ; τίς ὁ τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἐν μιᾷ νυκτὶ θανατώσας ἐπὶ τῆς προ-
φητείας Ἡσαΐου; τὰς δὲ καθημερινὰς συμφορὰς οὐχ ὁρᾷς ὅσας φέρομεν ἁμαρτάνοντες;
πῶς οὖν ἂν ἔχοι λόγον, τοὺς μὲν κολάζεσθαι, τοὺς δὲ μὴ κολάζεσθαι; εἰ γὰρ οὐκ ἄδικος ὁ
Θεός, ὥσπερ οὖν οὐδὲ ἄδικος, πάντως καὶ σὺ δίκην δώσεις ἁμαρτάνων. Εἰ δὲ, ἐπειδὴ φιλάν-
θρωπός ἐστιν ὁ Θεός, οὐ κολάζει, οὐδὲ τούτους ἔδει κολασθῆναι. νυνὶ δὲ διὰ ταῦτα ὑμῖν
τὰ ῥήματα, πολλοὺς καὶ ἐνταῦθα κολάζει ὁ Θεός, ἵν᾽, ὅταν τοῖς ῥήμασι μὴ πιστεύσητε τῆς
ἀπειλῆς, κἂν τοῖς πράγμασι πιστεύσητε τῆς τιμωρίας. Ἆρα πειθόμεθα τοὺς ἀν-

Ἐκ τοῦ αὐτοῦ.

τιλέγοντας, ὅτι οὐκ ἔστι μῦθος ὁ περὶ τῆς γεέννης λόγος; οὕτω γάρ ἐστιν ἀληθής, ὅτι οὐχ ἡμεῖς
μόνον, ἀλλὰ καὶ ποιηταὶ καὶ φιλόσοφοι καὶ λογοποιοὶ περὶ τῆς μελλούσης ἀνταποδόσεως ἐφιλο-
σόφησαν, καὶ ἐν ᾅδου κολάζεσθαι τοὺς πονηροὺς εἰρήκασιν. Εἰ γὰρ καὶ μετὰ ἀληθείας, ὡς ἔχει
ταῦτα, εἰπεῖν οὐκ ἠδυνήθησαν, ἅτε ἀπὸ λογισμῶν κινηθέντες, καὶ παρὰ ἀκουσμάτων τῶν παρ᾽
ἡμῖν, ἀλλ᾽ ὅμως εἰκόνα τινὰ κρίσεως ἔλαβον. Κωκυτοὺς γάρ φασί τινας, καὶ Πυριφλεγέθον-
τας ποταμοὺς, καὶ Στυγὸς ὕδωρ καὶ Τάρταρον τοσοῦτον ἀπέχοντα τῆς γῆς, ὅσον αὐτὸ τοῦ
οὐρανοῦ, καὶ πολλοὺς κολάσεως τρόπους· καὶ πάλιν, Ἠλύσιον πεδίον, καὶ μακάρων νήσους, καὶ λει-
μῶνας εὐανθεῖς, καὶ εὐωδίαν πολλήν, καὶ αὔραν λεπτὴν, καὶ χοροὺς ἐκεῖ διατρίβοντας, καὶ λευ-
κὴν περιβεβλημένους στολήν, καὶ ᾄδοντας ὕμνους τινάς, καὶ ὅλως καὶ ἀγαθοῖς καὶ πονηροῖς
ἀποκειμένην ἀντίδοσιν μετὰ τὴν ἐντεῦθεν ἔξοδον. μὴ τοίνυν ἀπιστῶμεν τῇ γεέννῃ, ἵνα μὴ
ἐμπέσωμεν εἰς αὐτήν (ὁ γὰρ ἀπιστῶν ῥαθυμότερος γίνεται· ὁ δὲ ῥαθυμῶν εἰς αὐτὴν ἀπε-
λεύσεται πάντως) ἀλλὰ καὶ πιστεύωμεν ἀνενδοιάστως, καὶ διαλεγώμεθα συνεχῶς περὶ αὐ-
τῆς, καὶ οὐ ταχέως ἁμαρτησόμεθα. τῶν γὰρ τοιούτων λόγων ἡ μνήμη, καθάπερ τι φάρμα-
κον πικρόν, πᾶσαν κακίαν ἀποσμῆξαι δυνήσεται, συνεχῶς ἡμῶν ἐνιζάνουσα τῇ ψυχῇ. Ἂν

Ἐκ τοῦ λόγ. τοῦ περὶ τελείας ἀγάπης.

ὠμὸς καὶ ἀνελεήμων ᾖς, ἀναμνήσθητι τῶν παρθένων ἐκείνων, αἳ τῶν λαμπάδων αὐτῶν σβεσθει-
σῶν διὰ τὸ μὴ ἔχειν ἔλαιον, τοῦ νυμφῶνος ἐξέπεσον, καὶ ταχέως ἔσῃ φιλάνθρωπος. ἂν ἁρ-
πάσαι βουληθῇς, ἄκουσον τοῦ δικαστοῦ λέγοντος, Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε αὐ-

Ματθ. κβ.

τὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· καὶ ταύτην ἐκβαλεῖς τὴν ἐπιθυμίαν. ἂν μεθύειν καὶ τρυ-
φᾶν ἐπιθυμῇς, ἄκουσον τοῦ πλουσίου λέγοντος· Πέμψον Λάζαρον, ἵνα ἄκρῳ τῷ δακτύλῳ

Λουκ. ιϛ.

καταψύξῃ τὴν τηγανιζομένην γλῶσσαν, καὶ οὐ τυγχάνοντος τῆς αἰτήσεως, καὶ ταχέως
ἀποστήσῃ τοῦ πάθους. ἂν πῦρ ἔχῃς ἐπιθυμίας πονηρᾶς, ἐννόησον τῆς κολάσεως ἐκείνης τὸ
πῦρ,

πῦρ, καὶ τοῦτο κατασβεσθὲν οἰχήσεται. σκότος δὲ εἰ καὶ πῦρ μὴ ἦν, τὸ ἐκ τοῦ Θεοῦ ἀπωσθῆναι καὶ ἄτιμον ἀναχωρῆσαι, πόση κόλασις· οὐκ ἔστι, πιστεύσατε, παραστῆσαι λόγῳ τὸ πάθος, οὐκ ἔστιν. Εἰ γὰρ νῦν τὸ φῶς τὸ ἡλιακὸν μὴ θεώμενοι, παντὸς πικρότερον θανάτου ὑπομένομεν ζωήν· τί παθεῖν εἰκὸς ἡμᾶς ἀποστερηθέντας τοῦ φωτὸς ἐκείνου; τί δὲ καὶ ζῶμεν καὶ ἀναπνέομεν καὶ ἐσμέν, ἂν τῆς θεωρίας ἀποτύχωμεν ἐκείνης· ἂν τὸν δεσπότην τὸν ἡμέτερον μηδεὶς ἡμῖν τότε συγχωρήσῃ θεάσασθαι; Εἰ εἰς δεσμωτήριόν τις ἐμβληθεὶς ἐνταῦθα τῶν αὐχμωδῶς τεθραμμένων, τὴν δυσωδίαν μόνον, καὶ τὸ ἐν σκότῳ κεῖσθαι, καὶ τὸ μετὰ ἀνδροφόνων δεδέσθαι, παντὸς θανάτου χαλεπώτερον εἶναι δοκεῖ· ἐννόησον τί ἔσται, ὅταν μετὰ τῶν τῆς οἰκουμένης ἀνδροφόνων ἐκεῖ κατακαιώμεθα, μήτε ὁρῶντες, μήτε ὁρώμενοι, ἀλλ' ἐν πλήθει τοσούτῳ νομίζοντες εἶναι μόνοι. τὸ γὰρ σκότος καὶ τὸ ἀλαμπὲς οὐκ ἀφίησιν οὐδὲ τὸν πλησίον ἡμᾶς διαγινώσκειν, ἀλλ' ὡς μόνος τοῦτο πάσχων ἕκαστος, οὕτω διακείσεται. Εἰ γὰρ καὶ πῦρ εἴρηται, ἀλλὰ σκοτεινόν ἐστι καὶ φῶς οὐκ ἔχον. καὶ τοῦτό ἐστι τὸ μάλιστα θορυβοῦν ἡμᾶς καὶ παράδοξον, ὅτι καὶ σφοδρῶς ἐκκαῖον οὔτε σβέννυται, καὶ φῶς οὐκ ἔχει. Εἰ δὲ σκότος μόνον οὕτω θλίβει καθ' ἑαυτὸ τὰς ἡμετέρας ψυχὰς καὶ θορυβεῖ· τί ἔσται ἄρα, ὅταν μετὰ τοῦ σκότους καὶ ὀδύναι τοσαῦται ὦσι καὶ ἐμπρησμοί; Μὴ γὰρ, ἐπειδὴ πῦρ ἡ γέεννα λέγεται, τοιοῦτον εἶναι νομίσῃς τὸ πῦρ. τοῦτο μὲν γὰρ, ὅπερ ἂν λάβῃ, κατέκαυσε καὶ ἀπήλλαξεν· ἐκεῖνο δὲ τοὺς ἅπαξ καταληφθέντας καίει διαπαντὸς καὶ οὐδέποτε παύεται. διά τοι τοῦτο καὶ ἄσβεστον εἴρηται. καὶ γὰρ τοὺς ἡμαρτηκότας ἀφθαρσίαν ἐνδύσασθαι δεῖ, οὐ πρὸς τιμήν, ἀλλ' ὥστε διηνεκὲς ἐφόδιον τῆς τιμωρίας ἔχειν ἐκείνης. ἀλλὰ ταῦτα μὲν ἐν τῇ γεέννῃ, καὶ τὰ τούτων πικρότερα. ἡ δὲ τῶν ἀγαθῶν ἀπόπτωσις τοσαύτην ἔχει τὴν ὀδύνην, τοσαύτην τὴν θλίψιν καὶ τὴν στενοχωρίαν, ὡς εἰ καὶ μηδεμία τιμωρία τοῖς ἐνταῦθα ἁμαρτάνουσιν ἀπέκειτο, αὐτὴν καθ' ἑαυτὴν ἀρκέσαι τῶν ἐν τῇ γεέννῃ βασανιστηρίων πικρότερον δάκνειν καὶ συνταράσσειν τὰς ἡμετέρας ψυχάς. Εἰ δὲ εἰς δεσμωτήριον εἰσιόντες, καὶ τοὺς μὲν αὐχμῶντας ὁρῶντες, τοὺς δὲ σιδηραῖς ἁλύσεσι δεδεμένους, τοὺς δὲ σκότῳ κατακεκλεισμένους, κατακλώμεθα, φρίττομεν, πάντα πράττομεν ὑπὲρ τοῦ μὴ ἐμπεσεῖν εἰς τοιαύτην ἀνάγκην καὶ θλίψιν· ὅταν ἡμεῖς αὐτοὶ ἀπαγώμεθα εἰς αὐτὰ τὰ τῆς γεέννης βασανιστήρια δεδεμένοι, τίνες ἐσόμεθα; τί δὲ πράξομεν; οὐ γὰρ ἐκ σιδήρου τὰ δεσμὰ ἐκεῖνα, ἀλλ' ἀπὸ πυρὸς εἰσὶν οὐδέποτε σβεννυμένου· οὐδὲ ὁμότιμοί τινες νῦν ἐφεστῶτες ἡμῖν, οὓς καὶ ἐκμειλίξασθαι πολλάκις ἔνι, ἀλλ' ἄγγελοι φοβεροὶ καὶ ἀσυμπαθεῖς, οἷς οὐδὲ ἀντιβλέψαι δυνατόν, σφοδρῶς ὑπὲρ ὧν τὸν δεσπότην ὑβρίσαμεν, ὀργιζόμενοι. οὐκ ἔστι, καθάπερ ἐνταῦθα, τοὺς μὲν ἀργύριον, τοὺς δὲ τροφάς, τοὺς δὲ λόγους εἰσάγοντας παρακλητικοὺς ἰδεῖν καὶ παραμυθίας τυχεῖν, ἀλλὰ πάντα ἐκεῖ ἀσύγγνωστα· κἂν Νῶε ᾖ, κἂν Ἰώβ, κἂν Δανιήλ, καὶ τοὺς οἰκείους ἴδωσι κολαζομένους, οὐ τολμῶσι παραστῆναι καὶ χεῖρα ὀρέξαι. καὶ γὰρ καὶ ἐκ φύσεως συμπάθειαν ἀναιρεῖσθαι τότε συμβαίνει. ἐπειδὴ γὰρ εὑρίσκονται δίκαιοι τέκνων ἁμαρτωλῶν πατέρες, καὶ παῖδες ἀγαθοὶ γονέων πονηρῶν· δεῖ δὲ καθαρὰν αὐτοῖς εἶναι τὴν εὐφροσύνην, καὶ μὴ τῇ τῆς συμπαθείας ἀνάγκῃ κατακλᾶσθαι τούτους ἀπολαύοντας τῶν ἀγαθῶν ἐκείνων, καὶ ταύτην σβέννυσθαί φημι, καὶ αὐτοὺς συναγανακτεῖν τῷ δεσπότῃ κατὰ τῶν οἰκείων σπλάγχνων. τοιγαροῦν μηδεὶς ἐλπιζέτω χρηστά, μὴ ἐργασάμενός τι χρηστόν, κἂν μυρίους ἔχῃ προγόνους δικαίους. Ὅταν γὰρ τὸν δοθέντα ἡμῖν χρόνον ἀναλώσωμεν εἰς οὐδὲν δέον, ἀπελευσόμεθα πάντες ἐκεῖ, τῆς ἀκαίρου δαπάνης δίκην δώσοντες τὴν ἐσχάτην. Εἰ γὰρ ὁ χρήματα ἐμπορεύσασθαι λαβών, εἶτα καταφαγών, ἀπαιτηθήσεται παρὰ τοῦ πιστεύσαντος, καὶ δώσει δίκην· ὁ ζωὴν ταύτην δαπανήσας μάτην, πόσῳ μᾶλλον. Καὶ καθάπερ ἡμεῖς τοὺς οἰκέτας τοὺς ἡμετέρους, οὐχὶ τῆς ἐξόδου μόνον τῶν χρημάτων, ἀλλὰ καὶ τῆς εἰσόδου ποιούμενοι τοὺς λόγους ἐξετάζομεν πόθεν, καὶ πόσα, καὶ παρὰ τίνων, καὶ πῶς ὑπεδέξαντο τὰ χρήματα·

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἐκ τοῦ λόγ. τοῦ, Εἰρήνην διώκετε μετὰ πάντων.

Ἐκ τοῦ ϛ' λόγ. τοῦ εἰς Θεόδωρ. ἐκπεσ.

Ἐκ τοῦ λόγ. τοῦ περὶ τελείας ἀγάπης.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, ὁμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ.

ματα· οὕτω δὴ καὶ ὁ Θεὸς καὶ τῆς δαπάνης καὶ τῆς κτήσεως ἀπαιτεῖ τὰς εὐθύνας, καὶ πλουσίῳ καὶ πένητι. τῷ μὲν πλουσίῳ πότερον ἐκ δικαίων πόρων, ἢ ἐξ ἁρπαγῆς καὶ πλεονεξίας τὸν πλοῦτον συνέλεξε· πότερον εἰς πορνείας, ἢ εἰς πένητας τὰ χρήματα κατηνάλωσε· πότερον εἰς τρυφὴν καὶ ἀσωτίαν καὶ μέθην, ἢ εἰς τὴν τῶν ἐπηρεαζομένων βοήθειαν. τῷ δὲ πένητι, εἰ γενναίως καὶ εὐχαρίστως τὴν πενίαν ἤνεγκεν· εἰ μὴ ἀπεδυσπέτησεν, εἰ μὴ ἐδυσχέρανεν, εἰ μὴ κατηγόρησε τῆς τοῦ Θεοῦ προνοίας, ἑαυτὸν μὲν ἐν ἐνδείᾳ ὑπάρχοντα ὁρῶν, ἑτέρους δὲ τρυφῶντας, καὶ μὴ κατὰ τὴν οὐσίαν ἀγωνίζοντα. οὐ πλούσιοι δὲ καὶ πένητες μόνοι, ἀλλὰ καὶ ἄρχοντες καὶ δικασταὶ μετὰ πολλῆς ἐξετάζονται τῆς ἀκριβείας· εἰ διέφθειραν τὸ δίκαιον, εἰ πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἐψηφίσαντο τοῖς δικαζομένοις· εἰ κολακευθέντες ἔδωκαν παρὰ τὸ δέον τὴν ψῆφον. ὅσῳ γὰρ ἕκαστος πρὸς μείζονα ὄγκον ἀρχῆς ἀνεβέβηκε, τοσούτῳ καὶ πλείονα ἀπαιτηθήσεται λόγον.

Ἐκ τοῦ α λόγ. τοῦ εἰς τὸν Θεόδωρον ἐκπεσ. Καὶ αἱ μὲν ἄτοποι τοῦ βίου ἡδοναὶ τῶν σκιῶν καὶ ὀνειράτων διαφέρουσιν οὐδέν. πρὶν ἢ γὰρ τελεσθῆναι τὰ τῆς ἁμαρτίας, σβέννυται τὰ τῆς ἡδονῆς· αἱ δὲ ὑπὲρ τούτων κολάσεις πέρας οὐκ ἔχουσι. καὶ τὸ μὲν ἡδὺ πρὸς ὀλίγον, τὸ δὲ ὀδυνηρὸν αἰώνιον.

Ἐκ τῆς κγ´ Ματθ. εὐαγ. Διὰ δὴ τοῦτο περὶ γεέννης συνεχῶς ἡμῖν ὁ Θεὸς διαλέγεται, ἵνα πολλὴν καρπωσώμεθα ἀπὸ τῆς ἀπειλῆς καὶ τοῦ φόβου. εἰ γὰρ μέλλων ἐμβάλλειν εἰς αὐτὴν τοὺς ἁμαρτάνοντας, μὴ προεῖπε ταύτης τὴν ἀπειλήν, πολλοὶ ἐνέπεσον ἂν εἰς αὐτήν. εἰ γὰρ νῦν τοῦ φόβου κατασείοντος ἡμῶν τὰς ψυχάς, εἰσί τινες οἱ οὕτω ῥᾳδίως ἁμαρτάνοντες, ὡς οὐδὲ οὔσης αὐτῆς· εἰ μηδὲν τούτων εἴρητο, μηδὲ ἠπείλητο, τί οὐκ ἂν εἰργασάμεθα δεινόν; ὥστε οὐκ ἀπηνείας τὸ πρᾶγμα, ἀλλ' ἐλέους μᾶλλον, καὶ φιλανθρωπίας ἐστί. καὶ γὰρ εἰ μὴ ἠπειλήθη καταστροφὴ ἐπὶ Ἰωνᾶ, οὐκ ἂν ἐκωλύθη ἡ καταστροφή. εἰ μὴ εἶπεν ὅτι καταστραφήσεται Νινευΐ, οὐκ ἂν ἔστη Νινευΐ. καὶ εἰ μὴ ἠπειλήθη γέεννα, ἅπαντες ἂν εἰς γέενναν ἐνεπέσομεν. εἰ γὰρ μηδὲν μέλει τῷ Θεῷ, μήτε ἁμαρτανόντων ἡμῶν, μήτε κατορθούντων, ἵνα ἔχῃ τινὰ λόγον τὸ λέγειν μὴ εἶναι κόλασιν· εἰ δὲ τοσαύτην σπουδὴν ποιεῖται, ὥστε μὴ ἁμαρτάνειν ἡμᾶς, καὶ τοσαῦτα πραγματεύεται, ὥστε κατορθοῦν ἡμᾶς τὰς ἐντολάς· εὔδηλον ὅτι καὶ ἁμαρτάνοντας κολάζει, καὶ κατορθοῦντας στεφανοῖ. ἀλλὰ σκόπει μοι τὴν πολλῶν τὴν ἀνωμαλίαν. ἐνταῦθα μὲν γὰρ ἐγκαλοῦσι τῷ Θεῷ, ὅτι μακροθυμεῖ πολλάκις, καὶ περιορᾷ πολλοὺς μιαρούς, ἀσελγεῖς, πλεονέκτας, μὴ διδόντας δίκην· ἐκεῖ πάλιν ἐὰν ἀπειλήσῃ κολάζειν αὐτούς, σφοδροὶ καὶ βαρεῖς εἰσιν αἰτιώμενοι· καίτοιγε εἰ τοῦτο λυπεῖ, ἐκεῖνο ἀποδέχεσθαι καὶ θαυμάζειν ἐχρῆν. ἀλλ' ὢ τῆς ἀνοίας, ὢ τῆς φιλαμαρτήμονος καὶ φιληδόνου ψυχῆς, ὅτι τῆς ἀπὸ τῶν ῥημάτων καταφρονοῦντες ἀπειλῆς, τὴν ἀπὸ τῶν πραγμάτων ὑποστήσονται κόλασιν.

Ἐκ τῆς ἑρμην. τοῦ κγ´ Ματθ. εὐαγγ. Οὐδεὶς γὰρ τῶν ἐνταῦθα μὴ διαλυσαμένων τὰ ἁμαρτήματα, ἀπελθὼν ἐκεῖ δυνήσεται τὰς ἐπὶ τούτοις εὐθύνας διαφυγεῖν· ἀλλ' ὥσπερ οἱ ἀπὸ τῶν δεσμωτηρίων τούτων μετὰ τῶν ἁλύσεων προσάγονται εἰς τὸ δικαστήριον, οὕτω καὶ οἱ ἐντεῦθεν ἀπερχόμενοι τὰς ποικίλας περικείμενοι σειρὰς τῶν ἁμαρτημάτων, ἐπὶ τὸ βῆμα ἄγονται τὸ φρικτόν.

Ἐκ τοῦ β λόγ. τοῦ εἰς Θεόδωρ. ἐκπεσ. Εἴ ποτε οὖν ἐν βαλανείῳ γένοιο σφοδρότερον κατεσκευασμένῳ τοῦ δέοντος, τότε μοι τὸ τῆς γεέννης ἐννόησον πῦρ. καὶ εἴ ποτε πάλιν ὑπὸ πυρετοῦ καταφλεχθείης χαλεποῦ, πρὸς ἐκείνην τὸν νοῦν τὴν φλόγα μετάστησον, καὶ τότε δυνήσῃ διαστῆναι καλῶς. εἰ γὰρ βαλανεῖον καὶ πυρετὸς οὕτως ἡμᾶς θορυβεῖ καὶ θλίβει· ὅταν εἰς τὸν ποταμὸν τοῦ πυρὸς ἐμπέσωμεν ἐκεῖνον, τὸν ἑλκόμενον πρὸ τοῦ βήματος τοῦ φοβεροῦ, πῶς διακεισόμεθα ἄρα;

Ἐκ τοῦ αὐτοῦ. Καὶ ὁ μὲν μετὰ πολλῶν ἔργων καὶ ἀγαθῶν καὶ πονηρῶν ἀπερχόμενος ἐκεῖ, ἕξει τινὰ παραμυθίαν ἐπὶ τῇ κολάσει, καὶ τοῖς βασανιστηρίοις ἐκείνοις· ὁ δὲ τούτων μὲν ἔρημος, ἐκεῖνα δὲ μόνον ἐπάγων, οὐδέ ἐστιν εἰπεῖν, ὅσα πείσεται πρὸς τὴν ἀθάνατον παραπεμπόμενος κόλασιν. καὶ γὰρ ἀντίστασις ἔσται ἐκεῖ τῶν πονηρῶν πράξεων καὶ τῶν οὐ τοιούτων. κἂν μὲν αὗται καθελκύσωσι τὸν ζυγόν, ἔσωσαν οὐ μικρῶς τὸν ἐργάτην τὸν ἑαυτῶν, καὶ τοῦ-

πον

γρ. [illegible] γρ. [illegible]

του ἴσχυσεν ἡ τῆς τῶν πονηρῶν πράξεων ἐργασίας βλάβη, ὅσοι κατὰ πᾶσαν τὴν περὶ τῆς χώρας αὐτοί· ἂν δὲ ἐκεῖναι περιγένωνται, εἰς τὸ τῆς γεέννης ἀπάγουσι πῦρ, διὰ τὸ μὴ τοσοῦτον εἶναι τὸ πλῆθος τῶν κατορθωμάτων, ὥστε δυνηθῆναι στῆναι πρὸς τὴν βίαιον ἐκείνου ὤθησιν. οὐδὲν γὰρ ὅλως τῶν ἀγαθῶν, κἂν μικρὸν εἴη, παροφθήσεται ἐκεῖ παρὰ τῷ κριτῇ. εἰ γὰρ ἁμαρτημάτων καὶ ῥημάτων καὶ ἐνθυμημάτων τίνειν μέλλομεν τιμωρίας, πολλῷ μᾶλλον τὰ κατορθώματα, κἂν μεγάλα ᾖ, κἂν μικρά, λογισθήσεται. Οὐ τοίνυν ἀρκεῖ κακίας ἀπαλλαγῆναι, ἀλλὰ δεῖ καὶ πολλῆς τῆς τῶν ἀγαθῶν ἐργασίας. ἵνα μὲν γὰρ γεέννης ἀπαλλαγῶμεν, ἀπέχεσθαι δεῖ πονηρίας· ἵνα δὲ βασιλείας ἐπιτύχωμεν, ἀντέχεσθαι τῆς ἀρετῆς. καὶ γὰρ ἐπὶ τῶν ἔξωθεν ἔθος, οὐ τὸν μηδὲν κακὸν ἐργασάμενον στεφανοῦν (τοῦτο γὰρ αὐτῷ πρὸς τὸ μὴ δοῦναι δίκην ἀπόχρη μόνον) ἀλλὰ τὸν μεγάλας εὐεργεσίας ἐπιδειξάμενον. ἀλλὰ γὰρ μεταξύ με λογιζόμενον, ὅτι πρὸς τὸ μὴ περιπεσεῖν γεέννῃ ἡ τῶν κακῶν ἡμῖν ἀναχώρησις ἀρκεῖ, ὑπεισῆλθέ τις ἀπειλὴ φοβερά, οὐ τοῖς κακόν τι τολμήσασι τὴν τιμωρίαν ἐπάγουσα, ἀλλὰ τοὺς ἐκλελοιπότας τι τῶν ἀγαθῶν κολάζουσα. τίς οὖν ἐστιν αὕτη; Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον· ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν. τοὺς γὰρ μὴ μεταδιδόντας τοῖς δεομένοις ἐξ ὧν εἶχον αὐτοί, πιστεύομεν μὴ μέχρι τῆς τῶν ἀγαθῶν στερήσεως κολάζεσθαι, ἀλλὰ καὶ τῷ τῆς γεέννης παραπέμπεσθαι πυρί. παιδευόμεθα τοίνυν, ὅτι οἱ μὲν τὰ ἀγαθὰ πράξαντες, τῶν ἐν τοῖς οὐρανοῖς ἀπολαύσονται καλῶν· οἱ δὲ ἐγκληθῆναι μὲν οὐδὲν ἔχοντες κακόν, ἐκλελοιπότες δέ τι τῶν ἀγαθῶν, μετὰ τῶν τὰ κακὰ ἐργασαμένων εἰς τὸ τῆς γεέννης ἀπαχθήσονται πῦρ. Εἰ γὰρ τῶν ἐπὶ γῆς ἀρχόντων ὁ παραβαίνων τοὺς νόμους ἀπαραίτητον ὑφίσταται κόλασιν· πολλῷ μᾶλλον ἀφορήτοις ἐκδοθήσεται βασάνοις ὁ τοῦ ἐπουρανίου δεσπότου ἀθετῶν τὰ προστάγματα. Οἶδα ὅτι φορτικὸν ὑμῖν τὸ περὶ γεέννης διαλέγεσθαι καταφαίνεται, καὶ πολλὴν ἐμποιεῖ τὴν ὀδύνην· ἀλλ' ὅσον δάκνει τὸ συνειδός, τοσοῦτον καὶ ὠφελεῖ τὴν διάνοιαν τῶν δακνομένων. Εἰ μὲν γὰρ ἐκεῖ ταῦτα ἐλέγετο ἡμῖν, καθάπερ τῷ ἐπὶ τοῦ Λαζάρου πλουσίῳ, ὄντως θρηνεῖν ἔδει καὶ ὀδύρεσθαι καὶ πενθεῖν, ὅτι μετανοίας καιρὸς οὐκέτι ἡμῖν ὑπολέλειπται· ἐπεὶ δὲ ἐνταῦθα ὄντες ταῦτα ἀκούομεν, ὅπου καὶ ἀνανῆψαι δυνατόν, καὶ τὰ ἡμαρτημένα ἀπονίψασθαι, καὶ πολλὴν κτήσασθαι τὴν παρρησίαν, καὶ ἐκ τῶν ἑτέροις συμβάντων κακῶν φοβηθέντας μεταβαλέσθαι, εὐχαριστῶμεν τῷ φιλανθρώπῳ Θεῷ, τῷ διὰ τῆς ἑτέρων κολάσεως τὴν ἡμετέραν διεγείροντι νωθρίαν, καὶ ἀφυπνίζοντι καθεύδοντας ἡμᾶς. καὶ τίνος ἕνεκεν οἱ μὲν ἐνταῦθα κολάζονται, οἱ δὲ ἐκεῖ, καὶ οὐκ ἐνταῦθα πάντες; τίνος ἕνεκεν; ὅτι εἰ τοῦτο ἦν, πάντες ἂν ἀπωλόμεθα· πάντες γάρ ἐσμεν ἐν ἐπιτιμίοις. πάλιν, εἰ μηδεὶς ἐνταῦθα ἐκολάζετο, ῥαθυμότεροι ἂν οἱ πλείους ἐγένοντο, καὶ πολλοὶ ἂν εἶπον μὴ εἶναι πρόνοιαν· εἰ γὰρ νῦν ὁρῶντες τῶν πονηρῶν πολλοὺς κολαζομένους πολλὰ τοιαῦτα βλασφημοῦσι· εἰ μηδὲν τοιοῦτον ἦν, τί οὐκ ἂν εἶπον; ποῦ δὲ οὐκ ἂν ἦλθον μανίας; διὰ τοῦτο ὁ Θεὸς τοὺς μὲν ἐνταῦθα κολάζει, τοὺς δὲ οὐ κολάζει. κολάζει μὲν γὰρ τινάς, τὴν κακίαν αὐτῶν ἐκκόπτων, καὶ κουφοτέραν ἐκεῖ ποιῶν τὴν τιμωρίαν, ἢ καὶ τέλεον ἀπαλλάττων αὐτούς, καὶ τοὺς ἐν πονηρίᾳ ζῶντας σωφρονεστέρους ποιῶν τῇ τούτων τιμωρίᾳ. τοὺς δὲ οὐ κολάζει πάλιν, ἵνα ἂν μὲν προσέχωσιν ἑαυτοῖς μεταμελήσαντες, καὶ τὴν τοῦ Θεοῦ μακροθυμίαν αἰδεσθέντες, καὶ τῆς ἐνταῦθα κολάσεως ἀπαλλαγῶσι, καὶ τῆς ἐκεῖ τιμωρίας· ἂν δὲ ἐπιμένωσι μηδὲν ἀπὸ τῆς ἀνεξικακίας ὠφελούμενοι τοῦ Θεοῦ, μείζονα ὑποστῶσι τιμωρίαν, διὰ τὴν ἄγαν αὐτῶν καταφρόνησιν. ὅταν γὰρ ἁμαρτάνοντες τιμώμεθα παρὰ τοῦ Θεοῦ, ἀνθ' ὧν τιμωρεῖσθαι ὀφείλομεν, αὐτὸ τοῦτο ἡμᾶς μάλιστα εἰς τὸ πῦρ μειζόνως ἐμβαλεῖν δυνήσεται. Εἰ γὰρ μακροθυμίας τις ἀπολαύων μόνον, ἂν εἰς δέον αὐτῇ μὴ χρήσηται, χαλεπωτέραν ἔχει τὴν τιμωρίαν· ὅταν μετὰ τῆς μακροθυμίας καὶ τιμὰς μεγίστας ἔχῃ, εἶτα ἐπιμένῃ τῇ πονηρίᾳ, τίς αὐτὸν ἐξαιρήσεται τῆς κολάσεως; ὥσπερ δὲ τὸ μὴ δοῦναι δίκην ἐνταῦθα τῶν ἁμαρτη-

μάτων

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἐφεσ.

Ματθ. κε. μα'

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, Πάτερ ἡμῶν.

Ἐκ τοῦ ς'. λόγ. τῶν εἰς τὸν Λάζαρον.

μάτων, χαλεπωτέραν ἐκείνοις ποιεῖ τὴν τιμωρίαν· οὕτω δὲ πολλῆς ἀνέσεως ἀπολαύειν ἁμαρ-
τάνοντας, καὶ εὐπορίας, ἐφόδιον τοῖς ἁμαρτάνουσι καὶ ὑπόθεσις κολάσεως μείζονος γίνεται.

Εκ τοῦ λόγου τοῦ περὶ Δημήτριον μονάζοντα.

Εἰ ὁ μωρὸν λέγων τὸν ἀδελφὸν αὐτοῦ, τῆς ἐσχάτης κολάσεώς ἐστιν ἄξιος· ὁ κακοῦργον, καὶ βάσκα-
νον, καὶ μυρία ἄλλα τοιαῦτα κατηγορῶν, πόσον ἑαυτῷ τὸ τῆς γεέννης συνάξει πῦρ; τὸ γὰρ, μωρὲ,

Ματθ. ε. κεφ.

τῶν εἰρημένων πολλῷ κουφότερον εἰς ὕβρεως λόγον ἐστί. διόπερ ἐκεῖνα παρεὶς, τοῦτο ἔθηκεν
ὁ Χριστὸς, ἵνα μάθῃς, ὅτι εἰ τὸ φορητότερον λεχθὲν τὴν γέενναν ἐπισπᾶται κατὰ τοῦ λέγοντος,
πολλῷ μᾶλλον τὰ βαρύτατα καὶ ἀφορητότερα τοῦτο ἐργάσεται. Εἰ δέ τινες ὑπερβολὴν τοῦ
λόγου καταγινώσκοντες, ὑπὲρ τοῦ φοβῆσαι μόνον ταύτην εἰρῆσθαι τὴν ἀπειλὴν νομίζου-
σιν, ὥρα αὐτοὺς καὶ τοὺς μοιχοὺς καὶ εἰδωλολάτρας τῆς εἰρημένης ἀπαλλάττειν κολάσεως. εἰ
γὰρ φόβου ἕνεκεν τοῖς λοιδόροις ἠπείλησε, δῆλον ὅτι κἀκείνοις. ὁμοῦ γὰρ ἅπαντας συναγαγὼν,
οὕτως ἐπήγαγε τῆς βασιλείας τὴν ἔκπτωσιν. Τί οὖν, φησιν, ὁ λοίδορος μετὰ τοῦ μοιχοῦ καὶ μα-
λακοῦ κείσεται; εἰ μὲν τὴν αὐτὴν αὐτοῖς δώσει δίκην, ἑτέρου τοῦτο ζητῆσαι καιροῦ· ὅτι δὲ
τῆς βασιλείας ὁμοίως ἐκπεσεῖται ἐκείνοις, τῷ Παύλῳ πείθομαι λέγοντι, μᾶλλον δὲ τῷ ἐνερ-
γοῦντι ἐν αὐτῷ Χριστῷ, ὅτι οὔτε οὗτοι, οὔτε ἐκεῖνοι βασιλείαν Θεοῦ κληρονομήσουσιν.

α Κορ. ς. θ.

Εκ τῆς ἑρμην. τῆς πρὸς Ρωμ. ἐπισ. ὁμιλ. ς.

Εἴ τινος ἡμῶν πρᾶγμα κρυπτὸν εἰς μέσον ἠνέχθη τήμερον ἐπὶ τῆς ἐκκλησίας μόνης, οὐκ
ἂν ἀπώλετο καὶ τὴν γῆν ηὔξατο αὐτῷ διαστῆναι μᾶλλον ἂν, ἢ τοσούτους μάρτυρας κακίας
ἔχειν; τί οὖν τότε πεισόμεθα, ὅταν ἐπὶ τῆς οἰκουμένης εἰς μέσον ἅπαντα φέρηται ἐν οὕτω θεάτρῳ
λαμπρῷ καὶ περιφανεῖ, καὶ τῶν γνωρίμων καὶ τῶν ἀγνώστων ἡμῖν ἅπαντα καθορώντων; τί-
νες ἐσόμεθα, ὅταν δεθέντες εἰς τὸ ἐξώτερον ἀπαγώμεθα σκότος; μᾶλλον δὲ τί ποιήσομεν (ὃ
πάντων ἐστὶ φοβερώτερον) ὅταν τῷ Θεῷ προσκρούσωμεν; εἰ γάρ τις αἴσθησιν ἔχει καὶ νοῦν,
ἤδη καὶ τὴν γέενναν ὑπομένει, ὅταν ἔξω ὄψεως γένηται τοῦ Θεοῦ. καὶ γὰρ ἐγὼ, οὐχ ὅταν
κολαζώμεθα, ἀλγῶ, ἀλλ᾽ ὅταν ἁμαρτάνωμεν. τὸ γὰρ προσκροῦσαι τῷ Θεῷ τοῦ κολα-
σθῆναι χαλεπώτερον. Νῦν δὲ οὕτως ἀθλίως διακείμεθα, ὡς, εἰ μὴ γεέννης φόβος ἦν, μηδὲ
ἂν ἑλέσθαι ταχέως ποιῆσαί τι καλόν. διόπερ εἰ καὶ μηδενὸς ἕνεκεν ἑτέρου, τούτου γε ἕνεκεν γε-
έννης ἂν εἴημεν ἄξιοι, τὴν γέενναν μᾶλλον τοῦ Θεοῦ φοβούμενοι.

Εκ τοῦ γ΄. λόγου τοῦ εἰς τὸν Λάζαρ.

Οἱ γὰρ πολλὰ πταίον-
τες, καὶ μὴ κολαζόμενοι, φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν· αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρί-
ας διὰ τῆς ἀτιμωρησίας καὶ τῆς μακροθυμίας τοῦ Θεοῦ.

Εκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ὅταν οὖν ἴδῃς ἀδίκως πλου-
τοῦντα καὶ εὐημεροῦντά τινα, μὴ μακαρίσῃς, ἀλλὰ δάκρυσον τὸν τοιοῦτον· καὶ γὰρ προσθήκη κο-
λάσεως ὁ πλοῦτος ἐστὶν αὐτῷ. ὥσπερ γὰρ οἱ πολλὰ ἁμαρτάνοντες, καὶ μὴ βουλόμενοι μετα-
νοεῖν, θησαυρίζουσιν ἑαυτοῖς θησαυρὸν ὀργῆς· οὕτως οἱ μετὰ τοῦ μηδὲ κολάζεσθαι καὶ εὐ-
πραγίας ἀπολαύοντες, μείζονα ὑποστήσονται τὴν τιμωρίαν. οὐ γὰρ πάντων τῶν ἁμαρτημάτων
αἱ αὐταὶ κολάσεις, ἀλλὰ πολλαὶ καὶ διάφοροι, καὶ ἀπὸ χρόνων, καὶ ἀπὸ προσώπων, καὶ ἀπὸ ἀξι-
ωμάτων, καὶ ἀπὸ συνέσεως. καὶ γὰρ ἐὰν ὦσι πονηροὶ δύο, οὐ τὴν αὐτὴν ἐνταῦθα ἀπο-
λαύσαντες, ἀλλ᾽ ὁ μὲν ἐν πλούτῳ, ὁ δὲ ἐν πενίᾳ, οὐχ ὁμοίως ἐκεῖ τιμωρηθήσονται· ἀλλ᾽ ὁ εὐπο-
ρώτερος χαλεπώτερα.

Εκ τῆς αὐτῆς.

Διὰ γὰρ τοῦτο οὐδὲ πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην ὁ Θεὸς, ἵνα μὴ
ἀπογνῷς τὴν ἀνάστασιν, καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε
πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν, ἵνα μὴ πάλιν ἀπρονόητα εἶναι τὰ πάντων νομίσῃς.

[Εκ τοῦ λόγ. τοῦ εἰς ῥητὸν, τὸ, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι.]

Ἆρά γε οὐχὶ τὰ ὅμοια τοῖς πρὶν δι᾽ ἁμαρτήματα τιμωρηθεῖσι πράττουσι καὶ νῦν πολλοί; καὶ πά-
νυ. ὅταν γὰρ μὴ σαρκικὸν, ἀλλὰ πνευματικὸν ἀνέλῃς ἀδελφὸν, ὡς ὁ Κάϊν, οὐ ταὐτὰ εἰργάσω;
τί γάρ εἰ καὶ μὴ ξίφει, ἀλλ᾽ ἑτέρῳ τρόπῳ; οὐδεὶς οὖν ἐφθόνησε νῦν τῷ αὐτοῦ ἀδελφῷ; οὐ-
δεὶς περιέβαλε κινδύνοις; ἀλλ᾽ ἐνταῦθα οὐκ ἔδωκεν δίκην; ἀλλὰ δώσουσιν. Εἰ γὰρ ὁ μήτε
νόμων ἀκούσας γραπτῶν, μήτε προφητῶν, μήτε σημεῖα θεασάμενος μεγάλα, τοιαύτην
δίδωσι τιμωρίαν· ὁ ὕστερος ταῦτα δεδρακὼς, καὶ μηδὲ τοσούτοις παραδείγμασι σωφρονιζόμε-
νος, ἀτιμώρητος ἔσται; καὶ ποῦ τοῦ Θεοῦ τὸ δίκαιον; ἀλλὰ καὶ τοῦ Ηλεὶ οἱ υἱοὶ ἐπὶ τοῦ περὶ τ᾽

θυμιαματος

θυμιάματος ἦλθον, δίκην ἔδοσαν χαλεπωτάτην μετὰ τοῦ παιδός. Οὐδεὶς οὖν γέγονε πατὴρ ῥᾴθυμος περὶ παῖδας, ὅτι μοχθηροὶ παῖδες; ἀλλ᾽ οὐδεὶς ἔδωκε δίκην. πότε οὖν δώσουσιν, ἐὰν μὴ γέεννα ᾖ; τί δὲ ὁ Ἀνανίας καὶ ἡ Σαπφείρα, ἐπειδὴ ἔκλεψαν ἐξ ὧν ἀνέθηκαν, καὶ παραχρῆμα ἐτιμωρήθησαν; οὐδεὶς δὲ ἐκείνου τοῦτο ἐποίησε; πῶς οὖν οὐκ ἔδωκαν τὴν αὐτὴν δίκην; ἆρα οὐ πειθόμεθα γέενναν εἶναι, ἢ πλειόνων δεηθησόμεθα παραδειγμάτων; ἐβουλόμην καὶ αὐτὸς ἐγὼ μὴ εἶναι κόλασιν, καὶ μάλιστα πάντων ἐγώ. τί δήποτε; ὅτι ὑμῶν μὲν ἕκαστος ὑπὲρ τῆς ἑαυτοῦ δέδοικε ψυχῆς, ἐγὼ δὲ καὶ τῆς προστασίας ταύτης εὐθύνας ὑπέχω· ὥστε μάλιστα πάντων ἐμὲ ταύτην διαφυγεῖν ἀδύνατον. Οὐ τοίνυν εὐεργετῶν μόνον, ἀλλὰ καὶ κολάζων ἀγαθός ἐστι καὶ φιλάνθρωπος ὁ Θεός. καὶ γὰρ καὶ αἱ κολάσεις αὐτοῦ καὶ αἱ τιμωρίαι μέγιστον εὐεργεσίας μέρος εἰσίν. ἐπεὶ καὶ ἰατρὸς οὐχ ὅταν εἰς παραδείσους καὶ λειμῶνας ἐξάγῃ τοὺς κάμνοντας μόνον, οὐδὲ ὅταν εἰς βαλανεῖα καὶ κολυμβήθρας ὑδάτων, ἀλλὰ καὶ ὅταν ἀσίτους κελεύῃ διαμένειν, ὅταν τέμνῃ, ὅταν πικρὰ προσάγῃ φάρμακα, καὶ τότε ἰατρός ἐστιν ὁμοίως, καὶ τὴν αὐτοῦ φιλανθρωπίαν ἐπιδείκνυσι πλέον.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ὅταν οὖν ἴδῃς τινὰ ἀρετῆς ἐπιμελούμενον, καὶ μυρίους ὑπομένοντα πειρασμούς, μακάρισον, ζήλωσον, ὡς καὶ τῶν ἁμαρτημάτων αὐτῷ ἐνταῦθα διαλυομένων πάντων, καὶ πολλῶν τῆς ὑπομονῆς ἑτοιμαζομένων ἐκεῖ τῶν μισθῶν. τῶν γὰρ ἀνθρώπων οἱ μὲν ἐνταῦθα τιμωροῦνται μόνον· οἱ δὲ ἐνταῦθα μὲν οὐδὲν πάσχουσι τοιοῦτον, πᾶσαν δὲ ἐκεῖ τὴν τιμωρίαν ἀπολαμβάνουσιν· οἱ δὲ καὶ ἐνταῦθα καὶ ἐκεῖ κολάζονται. τίνας οὖν ἐκ τῶν τριῶν μακαρίζετε τούτων; πρώτους μὲν δῆλον ὅτι, τοὺς ἐνταῦθα κολαζομένους καὶ ἀποτιθεμένους τὰ ἁμαρτήματα· δευτέρους δὲ μετ᾽ ἐκείνους τίνας; ὑμεῖς μὲν ἴσως τοὺς οὐδὲν ἐνταῦθα πάσχοντας, ἀλλ᾽ ἐκεῖ πᾶσαν ὑπομένοντας τὴν τιμωρίαν· ἐγὼ δὲ οὐ τούτους, ἀλλὰ τοὺς καὶ ἐνταῦθα καὶ ἐκεῖ κολαζομένους. ὁ μὲν γὰρ ἐνταῦθα τιμωρίαν δοὺς, κουφοτέρας αἰσθήσεται ἐκεῖ τῆς κολάσεως· ὁ δὲ πᾶσαν ἀναγκαζόμενος ἐκεῖ τὴν κόλασιν ὑπομεῖναι, ἀπαραίτητον ἕξει τὴν δίκην.

Ἐκ τοῦ γ. λόγ. τοῦ εἰς τὸν πλούσιον καὶ τὸν Λάζαρον

Τίνος γὰρ ἕνεκεν ὁ Θεὸς ἃ μέλλει δεινὰ ποιεῖν προλέγει; ἵνα μὴ ποιήσῃ ἃ προλέγει. διὰ τοῦτο καὶ γέενναν ἠπείλησεν, ἵνα μὴ ἀπαγάγῃ εἰς γέενναν. Φοβείτω γάρ, φησιν, ὑμᾶς τὰ ῥήματα, καὶ μὴ λυπείτω τὰ πράγματα.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς τὸν Τιμοθ. α´ ἐπισ.

Καλαί, σου, δέσποτα, καὶ αἱ ἐπαγγελίαι· καλὴ σου καὶ ἡ προσδοκωμένη βασιλεία, καὶ γέεννα πάλιν ἀπειλουμένη. προτρέπεται γὰρ καλῶς ἡ βασιλεία, φοβεῖ δὲ χρησίμως ἡ γέεννα. ἀπειλεῖ γὰρ γέενναν ὁ Θεός, οὐχ ἵνα εἰς γέενναν ἐμβάλῃ, ἀλλ᾽ ἵνα γεέννης ἀπαλλάξῃ. εἰ γὰρ ἐβούλετο κολάσαι, οὐκ ἂν προηπείλησεν, ἵνα ἀσφαλισάμενοι διαφύγωμεν τὰ ἀπειλούμενα. ἀπειλεῖ τὴν τιμωρίαν, ἵνα φύγωμεν τὴν πεῖραν τῆς τιμωρίας· φοβεῖ τῷ λόγῳ, ἵνα μὴ κολάσῃ τῷ ἔργῳ.

Ἐκ τοῦ λόγ. τοῦ, Πάντοτε μὲν ὁ θεῖος ἀπόστολος· ἢ περὶ μετανοίας β´.

Ὁ μὲν γὰρ μὴ προσδοκῶν ἀναστήσεσθαι, μηδὲ εὐθύνας δώσειν τῶν ἐνταῦθα πεπραγμένων αὐτῷ, ἀλλὰ μέχρι τοῦ παρόντος βίου τὰ ἡμέτερα στήσεσθαι νομίζων, καὶ περαιτέρω μηδὲν εἶναι πλέον, οὔτε ἀρετῆς ἐπιμελήσεται, οὔτε κακίας ἀφέξεται· ἀλλ᾽ ἐπιδοὺς ἑαυτὸν ταῖς ἀτόποις ἐπιθυμίαις, πᾶν εἶδος ἐπελεύσεται πονηρίας. ὁ δὲ περὶ τῆς μελλούσης ἑαυτὸν πεπεικὼς κρίσεως, καὶ τὸ φοβερὸν δικαστήριον ἐκεῖνο πρὸ τῶν ὀφθαλμῶν ἔχων, καὶ τὰς ἀπαραιτήτους εὐθύνας, καὶ τὴν ἀπαραλόγιστον ψῆφον, πάντα τρόπον πειράσεται σωφροσύνης μετὰ καὶ ἐπιεικείας ἀντέχεσθαι, καὶ τῆς ἄλλης ἀρετῆς· ἀκολασίαν δὲ καὶ θρασύτητα καὶ τὴν ἄλλην ἅπασαν πονηρίαν ἐκφυγεῖν.

Ἐκ τοῦ λόγ. τοῦ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως.

Οὐ γὰρ τοσοῦτον ἐργάσασθαι δυνήσεται λόγος, ὅσον ἐργάζεται φόβος. ὁ γὰρ τῆς γεέννης φόβος τὸν τῆς βασιλείας ἡμῖν κομιεῖται στέφανον.

Ἐκ τῶν ἀνδριάντ.

Οἶδα μὲν ὅτι πολλοὶ τὴν γέενναν μόνον πεφρίκασιν· ἐγὼ δὲ τὴν ἔκπτωσιν τῆς δόξης τῶν οὐρανῶν πολὺ τῆς γεέννης κόλασιν πικροτέραν εἶναί φημι. εἰ δὲ μὴ δυνατὸν παραστῆσαι τῷ λόγῳ, θαυμαστὸν οὐδέν. οὐδὲ γὰρ ἴσμεν ἐκείνων τῶν ἀγαθῶν τὴν μακαριότητα, ἵνα καὶ τὴν ἀθλιότητα τὴν ἀπὸ τῆς στερήσεως αὐτῶν σαφῶς ἴδωμεν· ἐπεὶ Παῦλος, ὁ ταῦτα σαφῶς εἰδώς, οἶδεν ὅτι τὸ ἐκπεσεῖν τῆς δόξης τοῦ Χριστοῦ πάντων ἐστὶ χαλε-

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

 πώτερον.

πώποτε. καὶ τοῦτο εἰσόμεθα τότε, ὅταν εἰς αὐτὴν τὴν πεῖραν ἐμπέσωμεν. ἀλλὰ μή ποτε τοῦτο πάθοιμεν, ὦ μονογενὲς τοῦ Θεοῦ παῖ, μηδὲ λάβοιμέν ποτέ τινα πεῖραν τῆς ἀνηκέστου ταύτης κολάσεως. ἀφόρητος μὲν γὰρ καὶ ἡ γέεννα, καὶ ἡ κόλασις ἐκείνη· πλὴν, κἂν μυρίας τις θῇς γεέννας, οὐδὲν τοιοῦτον ἐρεῖς, οἷον τὸ τῆς μακαρίας ἐκπεσεῖν δόξης ἐκείνης, τὸ μισηθῆναι παρὰ τοῦ Χριστοῦ, τὸ ἀκοῦσαι, ὅτι οὐκ οἶδα ὑμᾶς, τὸ ἐγκληθῆναι, ὅτι πεινῶντα αὐτὸν ἰδόντες οὐκ ἐθρέψαμεν. καὶ γὰρ βέλτιον μυρίους ὑπομεῖναι κεραυνοὺς, ἢ τὸ πρόσωπον ἐκεῖνο τὸ ἥμερον ἰδεῖν ἀποστρεφόμενον ἡμᾶς, καὶ τὸν γλυκὺν ὀφθαλμὸν οὐκ ἀνεχόμενον εἰς ἡμᾶς βλέπειν. εἰ γὰρ αὐτὸς ἐχθρὸν ὄντα με, καὶ μισοῦντα αὐτὸν καὶ ἀποστρεφόμενον οὕτως ἐδίωξεν, ὡς μηδὲ ἑαυτοῦ φείσασθαι, ἀλλ᾽ ἐκδοῦναι ἑαυτὸν εἰς θάνατον· ὅταν μετὰ πάντα ἐκεῖνα μηδὲ ἄρτου ἀξιώσω αὐτὸν λιμώττοντα, ποίοις λοιπὸν αὐτὸν ὀφθαλμοῖς ὄψομαι; εἰπὲ δή μοι.

Ἐκ τοῦ λόγ. ε΄, ποίας δεῖ ἄγεσθαι γυναῖκας.

Εἴ τίς σε γεγηρακότα καὶ ἐν πενίᾳ ζῶντα ἐπηγγέλλετο ποιήσειν ἐξαίφνης νέον, καὶ εἰς αὐτὴν ἄξειν τῆς ἡλικίας τὴν ἀκμὴν, καὶ σφόδρα ἰσχυρὸν καὶ ὡραῖον ὑπὲρ πάντας κατασκευάσειν, καὶ βασιλείαν δώσειν τῆς γῆς ἁπάσης ἐπὶ ἔτεσι χιλίοις, τί οὐκ ἂν ὑπὲρ ταύτης εἵλου τῆς ὑποσχέσεως καὶ ποιῆσαι καὶ παθεῖν; τοῦ δὲ Χριστοῦ οὐχὶ ταῦτα, ἀλλὰ τὰ πολλῷ μείζονα τούτων ἐπαγγελλομένου ἃ ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτὸν, πόσα οὐκ ἄξιον προέσθαι χρήματα; μᾶλλον δὲ, πόσας οὐκ ἄξιον προέσθαι ψυχάς; ἀλλ᾽ ἐπειδὴ σωματικοῖς ὀφθαλμοῖς ταῦτα ἰδεῖν οὐκ ἔστιν, ἀνάβηθι τῷ λογισμῷ, καὶ ὑπὲρ τὸν οὐρανὸν τοῦτον στὰς, ἀνάβλεψον εἰς ἐκεῖνον τὸν ἀνώτερον τούτου οὐρανὸν, εἰς τὸ ὕψος τὸ ἄπειρον, εἰς τὸ φῶς τὸ ἀπρόσιτον, εἰς τοὺς δήμους τῶν ἀγγέλων, καὶ πάλιν ἐπιλαβοῦ τῆς παρ᾽ ἡμῖν εἰκόνος καταβὰς αὐτόθεν, καὶ ὑπόγραψόν μοι τὰ περὶ τὸν βασιλέα τὸν ἐπὶ γῆς, οἷον, ἄνδρας χρυσοφοροῦντας, καὶ ζεύγους λευκῶν ἡμιόνων χρυσῷ καλλωπιζομένων, καὶ ὄχημα χρυσοκόλλητον, καὶ πέταλα τούτῳ περιστιζόμενα· καὶ δράκοντας ἐν ἱματίοις σχηματιζομένους σηρικοῖς, καὶ ἀσπίδας χρυσοῦς ἐχούσας ὀφθαλμούς· καὶ ἵππους χρυσοφοροῦντας, καὶ χαλινοὺς χρυσοῦς, καὶ ταῦτα συναγαγὼν ἀκριβῶς, ἀπὸ τούτων μετάθες πάλιν ἐπὶ τὰ ἄνω τὸν λογισμὸν, καὶ τὴν ἡμέραν ἐννόησον τὴν φοβερὰν, καθ᾽ ἣν ὁ Χριστὸς παραγίνεται. οὐ γὰρ ζεῦγος ἡμιόνων ὄψει τότε, οὐδὲ ὀχήματα χρυσᾶ, οὐδὲ δράκοντας καὶ ἀσπίδας, ἀλλὰ τὸν οὐρανὸν ἀνοιγόμενον μὲν ἅπαντα, κατερχόμενον δὲ τὸν μονογενῆ τοῦ Θεοῦ υἱὸν, οὐκ εἴκοσιν, οὐδὲ ἑκατὸν δορυφορούντων αὐτὸν, ἀλλὰ χιλιάδων καὶ μυριάδων ἀγγέλων τε καὶ ἀρχαγγέλων· καὶ πάντα ἔσται φόβου καὶ τρόμου μεστὰ, τῶν πώποτε γενομένων ἀνθρώπων, ἐξ οὗ γέγονεν ὁ Ἀδὰμ μέχρι τῆς ἡμέρας ἐκείνης, ἀπὸ γῆς ἀνισταμένων καὶ ἁρπαζομένων· καὶ αὐτοῦ μετὰ τοσαύτης φαινομένου δόξης, ὥστε τὸν ἥλιον καὶ τὴν σελήνην ἅπαν κρύψαι τὸ φῶς ὑπὸ τῆς αὐγῆς ἐκείνης ὑπερλαμπόμενον, καὶ ἀποδιδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ἐκ τῆς ἑρμην. τοῦ ιγ΄ Ματθ. εὐαγγ.

Ἀλλ᾽ οἱ πολλοὶ τῶν ἀλογώτερον διακειμένων παραμυθίαν τινὰ φέρειν νομίζουσι τὸ μετὰ πάντων ἐν τῇ γεέννῃ κολάζεσθαι. καὶ γὰρ σφόδρα ψυχρὸς οὗτος ὁ λόγος, τὸ λέγειν, ὡς πάντες κἀγώ. ἐννόησόν μοι τοὺς ὑπὸ ποδαλγίας κατεχομένους, οἱ, ὅταν ὑπὸ δριμείας ὀδύνης κατατείνωνται, κἂν μυρίους δείξῃς χαλεπώτερα πάσχοντας, οὐδὲ εἰς νοῦν λαμβάνουσι. τὸ γὰρ ἐπιτεταμένον τῆς ἀλγηδόνος οὐ συγχωρεῖ τῷ λογισμῷ σχολήν τινα ἄγειν εἰς τὸ λογίσασθαι ἑτέρους, καὶ παραμυθίαν εὑρεῖν. μὴ τοίνυν ταῖς ψυχραῖς ταύταις ἐλπίσι τρεφώμεθα. τὸ γὰρ δέξασθαι παραμυθίαν ἐκ τῶν τοῦ πέλας κακῶν, ἐν τοῖς συμμέτροις γίνεται τῶν παθῶν· ὅταν δὲ ὑπερέχῃ ἡ βάσανος, καὶ ζάλης ᾖ μεστὰ πάντα τὰ ἔνδον, καὶ μηδὲ ἑαυτὴν εἰδέναι ἡ ψυχὴ λοιπὸν ἔχῃ, πόθεν παραμυθίαν καρπώσεται;

Ἐκ τοῦ ς΄ λόγ. τοῦ εἰς Θεόδωρ. ἐκπεσ.

Εἴ τίς σε εἰς θέατρον ἤγαγεν, ἔνθα πάντες ἐκάθηντο χρυσᾶς περιβεβλημένοι στολάς· καὶ ἐν μέσῳ τοῦ πλήθους ἕτερόν τινα ἀπέδειξεν ἀπὸ λίθων καὶ μαργαριτῶν μόνων καὶ τὰ ἱμάτια καὶ τὸν στέφανον τὸν ἐπὶ τῆς κεφαλῆς ἔχοντα, εἶτά σε ἐπηγγείλατο εἰς ἐκεῖνον καταστήσειν τὸν δῆμον, ἆρα οὐκ ἂν ἅπαντα ἔπραξας, ὥστε τῆς ἐπαγγελίας ταύτης τυχεῖν; νῦν δὲ οὐκ ἀπὸ

τοιούτων,

κρύπτων, ἀλλ᾽ ἀπὸ τῶν οὐδὲ ἑρμηνευθῆναι δυναμένων τοῦ ἐν οὐρανοῖς ἡμῖν συγκειμένου θεά-
τρου (περὶ γὰρ τοῦ βασιλέως οὐδὲ εἰπεῖν ἔνι, ἵνα μὴ μικρὸν πονήσωμεν χρόνον) τοσούτων ἑ-
αυτοὺς ἀποστερήσομεν ἀγαθῶν; εἰ γὰρ μυρίους θανάτους καθ᾽ ἑκάστην ἡμέραν ὑπομένειν
ἔδει, εἰ γὰρ τὴν γέενναν αὐτὴν ὑπὲρ τοῦ τὸν Χριστὸν ἰδεῖν ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ, καὶ
5 εἰς τὸν τῶν ἁγίων καταλεγῆναι χορὸν, οὐκ ἔδει ἅπαντα ὑπομένειν ἐκεῖνα; ἀλλ᾽ ὅμως
πολλοὶ τῶν ἀλογώτερον διακειμένων τὸ τῆς γεέννης ἀπαλλαγῆναι μόνον ἀγαπητὸν τίθενται·
ἐγὼ δὲ τῆς γεέννης πολλῷ χαλεπωτέραν κόλασιν εἶναί φημι, τὸ μὴ γενέσθαι ἐν τῇ τοῦ Χριστοῦ
δόξῃ, καὶ τὸν ἐκπεσόντα ἐκεῖθεν οὐχ οὕτως οἶμαι δεῖν πενθεῖν τὰ ἐν τῇ γεέννῃ κακὰ, ὡς τὴν
ἀπότιλωσιν [τὴν ἐκ] τοῦ δεσπότου. τοῦτο γὰρ μόνον πάντων χαλεπώτερον εἰς κολάσεως
10 λόγον ἐστίν. Εἰ τὸν Χριστὸν ἐφιλοῦμεν ὡς φιλεῖν ἐχρῆν, ἔγνωμεν ἂν τί γεέννης χαλεπώτε-
ρον, τὸ προσκροῦσαι τῷ φιλουμένῳ· ἐπειδὴ δὲ οὐ φιλοῦμεν, οὐκ ἴσμεν τῆς κολάσεως ταύτης τὸ
μέγεθος. καὶ τοῦτό ἐστιν ὃ μάλιστα ὀδύρομαι καὶ θρηνῶ. Εἰ γὰρ ἂν ἄνθρωπος ὢν οὕτω φιλῶν,
βασιλεὺς δὲ οὕτω φιλούμενος, οὐκ ἂν ᾔδεσθη τὸ τοῦ ἔρωτος μέγεθος; σφόδρα μὲν οὖν. ὅταν
δὲ τοὐναντίον ᾖ, καὶ ἄφατον μὲν ἐκείνου τὸ κάλλος, καὶ ἡ δόξα, καὶ ὁ πλοῦτος τοῦ φιλοῦντος ἡμᾶς,
15 ἡμῶν δὲ πολλὴ ἡ εὐτέλεια· πῶς οὐχὶ μυρίας ἐσμὲν ἄξιοι κολάσεως, οἱ οὕτως εὐτελεῖς καὶ ἀπερ-
ῥιμμένοι, παρὰ τοιούτου μεγάλου καὶ θαυμαστοῦ φιλούμενοι μεθ᾽ ὑπερβολῆς ἁπάσης, καὶ κα-
ταφρονοῦντες αὐτοῦ τῆς ἀγάπης, τοῦ μηδὲν ἡμῶν προτιμῶντος; ἕνα γὰρ εἶχεν υἱὸν μονογενῆ καὶ
γνήσιον, καὶ οὐδὲ τούτου ἐφείσατο δι᾽ ἡμᾶς· ἡμεῖς δὲ αὐτοῦ τὰ τοῦ Σατανᾶ ἐπιτάγματα προτιμῶ-
μεν. ἆρ᾽ οὖν οὐκ εἰκότως γέεννα καὶ κόλασις, εἰ καὶ διπλῆ καὶ τριπλοῦ ἦν καὶ μυριάκις τοσαύτη;
20 [Καλῶς εἶπεν ἕνα φόβον φοβεῖσθαι, τὸν ἀπὸ τῆς ἁμαρτίας, ἄλλον δὲ μηδένα· οὐ γάρ ἐστιν ἐκεῖ
χρήμασι διαφθεῖραι τὸν δικαστὴν, οὐδὲ καταβαλόντα δῶρα ἐξαρπάσαι τῆς ποινῆς ἑαυτὸν,
οὐδὲ προστασία καὶ συνήθεια, οὐδὲ ἄλλῳ τῶν τοιούτων οὐδενί. κἂν γὰρ πλούσιος ᾖς, κἂν
δυνάστης, κἂν ἦν γνώριμος, πάντα ταῦτα εἰκῆ καὶ μάτην. ἀπὸ γὰρ τῶν ἔργων ἕκαστος ἐκεῖ καὶ
κολάζεται καὶ στεφανοῦται· ἐπεὶ καὶ ὁ ἐπὶ τοῦ Λαζάρου σφόδρα πλούσιος ἦν, ἀλλ᾽ οὐδὲν αὐτὸν ὁ
25 πλοῦτος ὤνησε· καὶ αἱ παρθένοι γνωρίμους εἶχον τὰς φρονίμους παρθένους, ἀλλ᾽ οὐδὲν αὐτὰς ἡ
οἰκείωσις ὠφέλησεν. ἓν γάρ ἐστιν ἐκεῖ τὸ ζητούμενον μόνον, ἡ πρὸς τοὺς δεομένους φιλοτιμία.
ἐπεὶ ὅτι γε οὔτε συγγένεια, οὔτε οἰκειότης ὠφελεῖ τι χωρὶς ἔργων, ἄκουσον τί φησιν ὁ προφήτης,
Ἐὰν στῇ Νῶε καὶ Ἰὼβ καὶ Δανιὴλ, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ῥύσωνται. καὶ τί λέγω ἐν τῷ
μέλλοντι, ὅπου γε καὶ ἐν τῷ παρόντι βίῳ οὐδὲν ὤνησε φιλία, ἢ συγγένεια; πόσα γοῦν ἀπωδύρατο
30 καὶ ἐθρήνησεν ὁ Σαμουὴλ, καὶ τὸν Σαοὺλ οὐκ ἐξήρπασε; πόσα δὲ ὁ Ἱερεμίας ηὔξατο, καὶ τοὺς Ἰου-
δαίους οὐδὲν ὤνησεν, ἀλλὰ καὶ ἐπετιμήθη εὐχόμενος; καὶ τί θαυμάζεις, εἰ Ἱερεμίας καὶ Σαμουὴλ
οὐκ ἠκούοντο; πόσα περὶ Ἰουδαίων ὁ Παῦλος ἐθρήνει λέγων· Ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς
ἐμῆς καρδίας, καὶ ἡ δέησίς μου ἡ πρὸς τὸν Θεὸν ὑπὲρ ὑμῶν ἐστιν εἰς σωτηρίαν; τί οὖν ἴσχυ-
σεν αὐτοῦ ἡ δέησις; οὐδέν. καὶ τί λέγω δέησις, ὅπου γε καὶ ἀνάθεμα ηὔχετο εἶναι ὑπὲρ αὐτῶν; τί
35 οὖν; παρείληται τῶν ἁγίων αἱ εὐχαί; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα ἰσχὺν ἔχουσιν, ὅταν αὐταῖς καὶ
σὺ βοηθῇς. οὕτως ἀνέστησε τὴν Ταβιθὰ ὁ Πέτρος, οὐκ εὐχῇ μόνον, ἀλλὰ καὶ τῇ ἐκείνης ἐ-
λεημοσύνῃ. οὕτως ἑτέρων περιέστησαν εὐχόμενοι οἱ ἅγιοι, καὶ τοῦτο μὲν ἐνταῦθα τὰ σκάμματα
καὶ τὰ παλαίσματα, ἐκεῖ δὲ οὐδὲ τοῦτο, ἀλλ᾽ ἀπὸ τῶν ἔργων ἡ σωτηρία μόνον.] Μὴ δή
μου καταγνῶτε τῆς θρηνῳδίας· οὐ γὰρ τὸ θρηνεῖν, ἀγαπητοὶ, χαλεπὸν, ἀλλὰ τὸ θρηνῶν ἄξια
40 ποιεῖν· οὐδὲ τὸ ὀδύρεσθαι ἀπὸ τρόπαιον, ἀλλὰ τὸ ὀδυρμῶν παράξια παραιτεῖν. μὴ κο-
λασθῇς, καὶ οὐ πενθῶ· μὴ ἐμβληθῇς εἰς γέενναν, καὶ οὐκ ὀδύρομαι. βέλτιον γὰρ ἐν τούτοις
ἡμᾶς δάκνεσθαι νῦν, ἢ κατ᾽ ἐκεῖνον τὸν καιρὸν τιμωρουμένους. σὺ δὲ ἂν μὲν τὸ σῶμά σου ἀ-
σθενῇ, πάντας παρακαλεῖς συναλγεῖν σοι, καὶ ἀσυμπαθεῖς ἡγῇ τοὺς μὴ συναλγοῦντάς
σοι· τῆς δὲ ψυχῆς ἀπολλυμένης, λέγεις μοι μὴ πενθεῖν; ἀλλ᾽ οὐ δύναμαι. πατὴρ γάρ εἰ-

Εκ τῆς ἑρμ. εἰς Ρωμ. ἐπισ.

Εκ τῆς ἑρμην. τοῦ ρλ. ψαλμ.

Ιεζεκ ιδ ιδ.

Ρωμ. θ. α.

Εκ τοῦ λόγ. τοῦ εἰς τὸ, Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν.

μι, καὶ πατὴρ φιλόστοργος. Εἴθε ἦν ἰδεῖν ὑμᾶς τῆς διανοίας μου τὴν πυρὰν, καὶ ἔγνωτε ἂν, ὅτι πάσης γυναικὸς χηρείαν ἄωρον ὑποστάσης πλέον καίομαι. οὐχ οὕτω γυνὴ πενθεῖ τὸν ἄνδρα τὸν ἑαυτῆς, οὐδὲ πατὴρ υἱὸν, ὡς ἐγὼ τὸ πλῆθος τοῦτο τὸ παρ᾽ ἡμῖν, ὅτι οὐδεμίαν ὁρῶ προκοπὴν ἐν ὑμῖν. ἀλλὰ πάντες εἰς διαβολὰς καὶ κατηγορίας, καὶ ἅπας ἡμῖν ὁ καιρὸς εἰς τὸ κατηγορεῖν ἀναλίσκεται.

Ἐκ τοῦ λόγ. τοῦ περὶ τελείας ἀγάπης.

Εἴδετέ ποτε τοὺς ἀπαγομένους τὴν ἐπὶ θάνατον; ποίαν νομίζετε αὐτοὺς ἔχειν τὴν ψυχὴν, τὴν μέχρι τῆς πύλης ὁδὸν βαδίζοντας; πόσων θανάτων οὐ χείρονα; τί οὐκ ἂν ἕλοιντο καὶ πρᾶξαι καὶ παθεῖν, ὥστε ἀπαλλαγῆναι τῆς ἀχλύος ἐκείνης καὶ τοῦ νέφους; ἐγὼ πολλῶν ἤκουσα λεγόντων, φιλανθρωπίᾳ βασιλικῇ μετὰ τὴν ἀπαγωγὴν εἰς τοὐπίσω κληθέντων, ὅτι οὐδὲ ἀνθρώπους ἑωρῶμεν τοὺς ἀνθρώπους, τεθορυβημένης τῆς ψυχῆς καὶ ἐκπληττομένης καὶ ἐξεστηκυίας. Εἰ τοίνυν σωματικὸς ὑμᾶς θάνατος οὕτω φοβεῖ, ὅταν ὁ αἰώνιος παραγένηται, τί ποιήσομεν, ὅταν τὴν γῆν ἀπορρηγνυμένην ἴδωμεν, ὅταν τὸν οὐρανὸν συνελκόμενον, ὅταν αὐτὸν παραγινόμενον τὸν τῶν ἁπάντων βασιλέα, τίς ἄρα ἡμῖν ἔσται τότε ἡ ψυχή; εἰ ἑτέρων ἀναιρουμένων τὸν θάνατον τοῦτον τὸν ὕπνου οὐδὲν διαφέροντα, οἱ μηδὲν κοινωνοῦντες οὕτω διατίθενται, ὡς καταπεπληχέναι καὶ παρειμένην τὴν ψυχὴν ἔχειν ἀπὸ τοῦ φόβου καὶ τῆς ἀθυμίας· ὅταν ἡμεῖς αὐτοὶ τοῖς μείζοσι περιπίπτωμεν ἀθάνατα κολαζόμενοι, τίς ἄρα ἔσται κατάστασις; οὐκ ἔστι, πιστεύσατε, παραστῆσαι τῷ λόγῳ τὸ πάθος. οὐκ ἔστι. ναὶ, φησιν, ἀλλὰ φιλάνθρωπος ὁ Θεὸς, καὶ οὐδὲν τούτων ἔσται. οὐκοῦν εἰκῇ γέγραπται; οὔ, φησιν, ἀλλὰ πρὸς ἀπειλὴν μόνον, ἵνα σωφρονῶμεν. ἂν οὖν μὴ σωφρονῶμεν, ἀλλὰ μένωμεν κακοὶ, οὐκ ἐπάξει τὴν κόλασιν; οὐκοῦν οὐδὲ τοῖς ἀγαθοῖς ἀποδώσει τὰς ἀμοιβάς; ναί, φησι· τοῦτο γὰρ πρέπον ἐστὶ, καὶ ὑπὲρ τὴν ἀξίαν εὐεργετεῖν. ὥστε ἐκεῖνα μὲν ἀληθῆ καὶ πάντως ἔσται, τὰ δὲ τῶν κολάσεων οὐ πάντως, ἀλλ᾽ ἀπειλῆς ἕνεκεν καὶ φόβου; τί οὖν; ἤκουσας περὶ τοῦ κατακλυσμοῦ; μὴ καὶ ἐκεῖνα ἕνεκεν ἀπειλῆς εἴρηται; οὐχὶ ἐξέβη καὶ γέγονε; ταῦτα καὶ ἐκεῖνοι πολλὰ ἔλεγον, καὶ ἐν ἑκατὸν ἔτεσι τῆς κιβωτοῦ τεκταινομένης, καὶ τοῦ δικαίου βοῶντος, οὐδεὶς ὁ πιστεύων ἦν. ἀλλ᾽ ἐπειδὴ οὐκ ἐπίστευσαν τῇ διὰ τῶν ῥημάτων ἀπειλῇ, ὑπέστησαν τὴν διὰ τῶν πραγμάτων τιμωρίαν· ἧς τὴν πεῖραν ἐκφυγεῖν σπουδάσωμεν, ὅση δύναμις, ἵνα καὶ τὸν ἐνταῦθα βίον ἀμέμπτως διανύσωμεν, καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ. α.

Λογ. κ.

Ἐκ τοῦ λόγ. τοῦ, Εἰ καὶ χθὲς ὑμῶν ἀπολειφ.

Διὰ τοῦτο συνεχῶς τὸν περὶ μετανοίας κινῶ λόγον, ἵνα μήτε ὁ ἁμαρτάνων ἀπογινώσκῃ, μήτε ὁ κατορθῶν μέγα φρονῇ. δίκαιος εἶ; μὴ ἐκπέσῃς· ἁμαρτωλὸς εἶ; μὴ ἀπογνῷς. κἂν καθ᾽ ἡμέραν ἁμαρτάνῃς, καθ᾽ ἡμέραν μετανόει. ὅπερ ἐν ταῖς οἰκίαις ποιοῦμεν ταῖς παλαιαῖς· ὅταν σαθρωθῶσιν, ὑπεξαιρούμεθα τὰ σεσαθρωμένα, καὶ καινὰ ἐπισκευάζομεν, καὶ οὐδέποτε συνεχῶς ἐπιμελεῖσθαι τούτων διαλιμπάνομεν. ἐὰν παλαιωθῇς ἀπὸ τῆς ἁμαρτίας, ἀνακαίνισον σαυτὸν ὑπὸ τῆς μετανοίας. καὶ ἔνι, φησὶ, μετανοήσαντα σωθῆναι; καὶ πάνυ ἔνι. πάντα τὸν βίον ἐν ἁμαρτίαις διετέλεσα, καὶ ἐὰν μετανοήσω, σώζομαι; καὶ πάνυ. πόθεν δῆλον; ἀπὸ τῆς τοῦ δεσπότου σου φιλανθρωπίας. μὴ τῇ μετανοίᾳ σου θάῤῥει· μὴ γὰρ ἡ μετάνοιά σου ἰσχύει τοσαῦτα κακὰ ἀποσμῆξαι; εἰ ἡ μετάνοια μόνη ἦν, εἰκότως ἐφοβοῦ· ἐπεὶ δὲ τῇ μετανοίᾳ κεράννυται Θεοῦ φιλανθρωπία, θάῤῥει ὅτι περιγίνεταί σου τῆς κακίας. πολὺ γὰρ φιλάνθρωπος

γρ. συνεχῶς ἐπιμελείας ἀπολειπόμεθα

γρ. ἀπὸ

θρωπός ἐστιν ὁ Θεὸς, καὶ τοσοῦτον φιλάνθρωπος, ὡς οὐδὲ τοῦ μονογενοῦς ἐφείσατο, ἵνα ἀγοράσῃ δούλους ἀγνώμονας. καὶ μή μοι λέγε, ἥμαρτον, πολλὰ ἥμαρτον καὶ μεγάλα, καὶ πῶς δύναμαι σωθῆναι; σὺ οὐ δύνασαι· ὁ δεσπότης σου δύναται, καὶ οὕτως ἐξαλείφει τὰ ἁμαρτήματα, ὡς μήτε ἴχνος αὐτῶν μένειν. ἐπὶ μὲν γὰρ τῶν σωμάτων οὐκ ἔνι τοῦτο· ἀλλὰ κἂν μυριάκις
5 σπουδάσῃ ὁ ἰατρὸς, κἂν φάρμακα ἐπιθήσῃ τῷ τραύματι, τὸ μὲν τραῦμα ἠφάνισεν, ἡ δὲ οὐλὴ ἐναπέμεινεν, ἔλεγχον τοῦ τραύματος περιφέρουσα, τὴν ἀμορφίαν τῆς ὄψεως. καὶ φιλονεικεῖ μυρία ὁ ἰατρὸς, καὶ τὴν οὐλὴν ἐξαλεῖψαι οὐ δύναται· ἀντιπίπτει γὰρ αὐτῷ ἡ ἀσθένεια τῆς φύσεως, καὶ τὸ ἀνίσχυρον τῆς τέχνης, καὶ τὸ ἀτελὲς τῶν φαρμάκων. ὁ δὲ Θεὸς, ὅταν ἐξαλείφῃ τὰ ἁμαρτήματα, οὐδὲ οὐλὴν ἀφίησιν, οὐδὲ ἴχνος συγχωρεῖ μένειν, ἀλλὰ μετὰ τῆς
10 ὑγιείας καὶ τὴν εὐμορφίαν χαρίζεται, μετὰ τῆς ἀπαλλαγῆς τῆς κολάσεως καὶ δικαιοσύνην δίδωσι, καὶ ποιεῖ τὸν ἡμαρτηκότα ἴσον εἶναι τῷ μὴ ἡμαρτηκότι. κἂν γὰρ μυρία τραύματά τις ἔχων ἄνθρωπος μετανοήσῃ, καὶ ποιήσῃ ὅ τι χρηστὸν, οὕτως αὐτὰ ἐξαλείφει ὁ Θεὸς, ὡς μηδὲ οὐλὴν, μηδὲ ἴχνος, μηδὲ ὑπόδειγμα φαίνεσθαι τῶν ἁμαρτημάτων. ὥσπερ οὖν ἐν τῷ σώματι τραύματα καὶ φάρμακα, οὕτω καὶ ἐν τῇ ψυχῇ ἁμαρτήματα καὶ μετάνοια. καὶ πρόσ-
15 εχε ὃ λέγω. τραῦμα, καὶ φάρμακον· ἁμαρτία, καὶ μετάνοια. τὸ τραῦμα [μέν] ἡ ἁμαρτία, τὸ φάρμακον ἡ μετάνοια. τὸ τραῦμα [μὲν] τὴν σηπεδόνα ἔχει, τὸ φάρμακον τὸν καθαρισμὸν τῆς σηπεδόνος κέκτηται. μὴ ἐν τῷ φαρμάκῳ σηπεδών; μὴ ἐν τῷ τραύματι ἴασις; οὐκ ἔχει ταῦτα τὴν οἰκείαν τάξιν, κἀκεῖνα τὴν οἰκείαν; μὴ δύναται μεταβληθῆναι τοῦτο πρὸς ἐκεῖνο, ἢ ἐκεῖνο πρὸς τοῦτο; οὐδαμῶς. ἔλθωμεν καὶ ἐπὶ τῆς ψυχῆς τῶν ἁμαρτημάτων.
20 ἡ ἁμαρτία τὴν αἰσχύνην ἔχει, ἡ μετάνοια τὴν παῤῥησίαν κέκτηται. Εἰδὼς οὖν ὁ Σατανᾶς, ὅτι ἡ μὲν ἁμαρτία ἔχει τὴν αἰσχύνην, πρᾶγμα ἱκανὸς ἀποκροῦσαι τὸν ἁμαρτάνοντα δυνάμενον· ἡ δὲ μετάνοια ἔχει τὴν παῤῥησίαν, πρᾶγμα ἱκανὸν ἐπισπάσασθαι τὸν μετανοοῦντα· ἐνήλλαξε τὴν τάξιν, καὶ ἔδωκε τὴν αἰσχύνην τῇ μετανοίᾳ, καὶ τὴν παῤῥησίαν τῇ ἁμαρτίᾳ. καὶ ἐν μὲν τῇ ἁμαρτίᾳ οὐκ ἀφίησιν αὐτὸν αἰσχύνεσθαι. οἶδε γὰρ, ὅτι ἐὰν αἰσχυν-
25 θῇ, φεύγει τὴν ἁμαρτίαν· ἐν δὲ τῇ μετανοίᾳ ποιεῖ αὐτὸν αἰσχύνεσθαι· οἶδε γὰρ, ὅτι αἰσχυνόμενος οὐ μετανοεῖ. Ὁ γὰρ μετανοήσας ἐφ᾽ οἷς ἔπραξε δεινοῖς, κἂν μὴ τῶν ἁμαρτημάτων ἀξίαν ἐπιδείξηται τὴν μετάνοιαν, καὶ αὐτῆς ταύτης ὅμως ἕξει τὴν ἀντίδοσιν. Τοῖς μὲν οὖν οὐδέπω καταχεθεῖσιν ὑπὸ τοῦ πάθους παραινῶ μὴ ἁλῶναι· εὐκολώτερον γὰρ φυλάξασθαι μὴ ἐμπεσεῖν, ἢ ἐμπεσόντας ἀποστῆναι. τοῖς δὲ καταχεθεῖσι καὶ κατεῤῥαγμένοις, ἐὰν θέ-
30 λωσιν ἐπιδοῦναι ἑαυτοὺς ταχέως τῇ μετανοίᾳ, πολλὴν ἐπαγγέλλομαι σωτηρίας ἐλπίδα. καὶ γὰρ καὶ τὰ καλὰ καὶ τὰ κακὰ, ὅταν ἐπὶ πλεῖον ἡμῖν ἐνδιατρίψῃ, δυνατώτερα γίνεται. καὶ φυτὸν ἄρτι μὲν φυτευθὲν ἐπὶ γῆς, εὐκόλως ἀνασπᾶται· χρόνῳ δὲ πολλῷ ῥιζωθὲν, οὐκέτι· καὶ οἰκοδομὴ νεοπαγὴς μὲν οὖσα, περιτρέπεται εὐκόλως ὑπὸ τῶν ἐνοχλούντων· παγεῖσα δὲ καλῶς πολλὰ παρέχει τοῖς καθαιρεῖν ἐπιχειροῦσι τὰ πράγματα· καὶ θηρία τόποις ἐμ-
35 φιλοχωρῆσαν πολλῷ χρόνῳ, δυσκόλως ἐλαύνεται. καὶ καθάπερ πυρετὸς παρὰ μὲν τὴν ἀρχὴν προσβαλὼν, οὐ σφόδρα φλέγει τῇ δίψῃ τοὺς κάμνοντας· ἐπιδοὺς δὲ, καὶ τὴν φλόγα ἐγείρας, ἀνίατα διψᾷν παρασκευάζει λοιπόν· κἂν παράσχῃ τις αὖθις ἐμφορηθῆναι τοῦ πόματος, οὐ σβέννυσιν, ἀλλ᾽ ἐκκαίει τὴν κάμινον· οὕτω καὶ ἐπὶ τοῦ πάθους συμβαίνει, ἂν παρὰ τὴν ἀρχὴν εἰσελαῦνον εἰς τὴν ψυχὴν τὴν ἡμετέραν μὴ κωλύσωμεν, μηδὲ ἀπο-
40 κλείσωμεν τὰς θύρας· ἐπελθὸν λοιπὸν, ἀνίατον ἐργάζεται τοῖς δεξαμένοις τὸ νόσημα. Ὥσπερ οὖν ὁ νωθρὸς τὴν ψυχὴν καὶ ὀλίγωρος, κἂν πολὺν λάβῃ πρὸς μετάνοιαν χρόνον, οὐδὲν μέγα ἐργάσεται, οὐδὲ καταλλάξει τὸν Θεὸν ἑαυτῷ διὰ τὴν ῥᾳθυμίαν· οὕτω καὶ ὁ διεγηγερμένος καὶ τῇ προθυμίᾳ ζέων, καὶ μετὰ πολλῆς σπουδῆς τὴν μετάνοιαν ἐπιδεικνύμενος, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ πολλοῦ χρόνου ἁμαρτήματα ἀφανίσαι δυνήσεται. καὶ ὅπως, ἄκουσον.

Ἐκ τοῦ β. λόγ. τοῦ εἰς Θεόδωρ. ἐκπεσόντα.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α. ἐπιστ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὴν προφητ. Ἰωνᾶν καὶ Δανιὴλ καὶ τοὺς γ. παῖδας.

οὐχὶ τρίτον ὁ Πέτρος ἠρνήσατο; οὐχὶ μεθ' ὅρκου τρίτον; οὐχὶ πρὸς παιδίσκης εὐτελοῦς ῥήματα
δείσας; τί οὖν; πολλοῦ χρόνου ἐδέησεν αὐτῷ πρὸς μετάνοιαν; οὐδαμῶς· ἀλλ' αὐτῇ τῇ νυκ-
τὶ καὶ ὠλίσθησε, καὶ ἀνέστη. μετὰ γὰρ τὸ χαλεπὸν ἐκεῖνο πτῶμα (ἀρνήσεως γὰρ οὐδὲν ἴσον
κακόν) πάλιν αὐτὸν πρὸς τὴν προτέραν ἐπανήγαγε τιμὴν ἡ μετάνοια, καὶ τὴν ἐπιστασί-
αν τῆς ἐκκλησίας τὴν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐνεχείρισε· καὶ ὃ πάντων μεῖζον, ἀπέ- 5
δειξεν ἡμῖν αὐτὸν πλείονα τῶν ἀποστόλων ἁπάντων ἔχοντα τὴν εἰς τὸν δεσπότην ἀγάπην.
τί δὲ οἱ Νινευῖται; ἦλθε πρὸς αὐτοὺς ὁ προφήτης, ἀνέγνω τὴν ἀπόφασιν, καθάπερ ἐπι-
στολὴν βασιλικήν, κόλασιν ἔχουσαν, καὶ ἐβόα λέγων· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφή-
σεται. ἤκουσαν ταῦτα ἐκεῖνοι, καὶ οὐκ ἠπίστησαν, οὐ κατεφρόνησαν, ἀλλ' εὐθέως δρόμος ἁ-
πάντων ἐπὶ τὴν νηστείαν, ἀνδρῶν, γυναικῶν, παιδίων, καὶ οὐδὲ ἡ τῶν ἀλόγων φύσις ταύτης 10
ἀτελὴς τῆς λειτουργίας ἦν. πανταχοῦ σάκκος, πανταχοῦ σποδός, πανταχοῦ θρῆνος καὶ
οἰμωγαί. καὶ γὰρ καὶ αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀπὸ τοῦ θρόνου καταβὰς τοῦ βασι-
λικοῦ, σάκκον ὑπεστρώσατο, καὶ σποδὸν κατεπάσατο. καὶ ἦν ἰδεῖν πρᾶγμα φοβερὸν καὶ
παράδοξον, ὑπὸ σάκκου πορφυρίδα παρευδοκιμηθεῖσαν. ὅπερ γὰρ οὐκ ἴσχυσεν ἡ ἁλουρ-
γίς, τοῦτο ἴσχυσεν ὁ σάκκος· ὅπερ οὐκ ἴσχυσε τὸ διάδημα, τοῦτο κατώρθωσεν ἡ σποδός. Ἐν- 15
νοήσωμεν τοίνυν ἕκαστος ἡμῶν ὅσα ἁμαρτημάτων ἔχει φορτία, καὶ ἀντιρρόπους ποιήσωμεν τὰς
φιλανθρωπίας· μᾶλλον δὲ καὶ πολλῷ πλείους, ἵνα μὴ μόνον σβεσθῶσιν αἱ ἁμαρτίαι, ἀλλ' ἵνα καὶ
εἰς δικαιοσύνην ἡμῖν λογισθῶσιν αἱ δικαιοσύναι. ἂν γὰρ μὴ τοσαῦτα ᾖ τὰ ἀγαθά, ὡς καὶ τὰ
ἐγκλήματα ἀποδύσασθαι, καὶ ἐκ τῶν ὑπολειφθέντων εἰς δικαιοσύνην ἡμῖν λογισθῆναι, οὐδεὶς
ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως. Ἀνθρώπους μὲν γὰρ προσκυνῶν, καὶ φίλους καὶ γείτονας, καὶ θυρωροὺς 20
παρακαλεῖς, καὶ χρήματα δαπανᾷς, καὶ πολλὰς ἀναλίσκεις ἡμέρας προσιὼν καὶ δεόμενος, κἂν
ἅπαξ, κἂν δίς, κἂν μυριάκις σε διακρούσηται προσκυνηθείς, καθάπαξ οὐκ ἀναπίπτεις, ἀλλ'
ἐναγώνιος μᾶλλον γινόμενος πλείονα τὴν ἱκετηρίαν τίθης· τοῦ δὲ τῶν ὅλων Θεοῦ προσκυνουμένου,
χασμώμεθα, καὶ ἀναπίπτομεν, καὶ τρυφῶμεν, καὶ πότε αὐτὸν ἐξιλεώσασθαι δυνησόμεθα; πῶς δὲ οὐκ
αὐτῷ τούτῳ μειζόνως προσκρούομεν μᾶλλον αὐτόν; τοῦ γὰρ ἁμαρτάνειν, τὸ μηδὲ ἀλγεῖν ἁμαρ- 25
τάνοντας μᾶλλον ἀγανακτεῖν αὐτὸν ποιεῖ καὶ ὀργίζεσθαι. καὶ μὴ εἴπῃς, ὅτι πολλὰ ἥμαρτον, καὶ οὐ
δύναμαι παρακαλέσαι τὸν Θεὸν ὀργιζόμενον. εἰ γὰρ τὸν ἄρχοντα ἐκεῖνον, τὸν μήτε Θεὸν φοβού-
μενον, μήτε ἀνθρώπους αἰσχυνόμενον ἐπέκαμψεν ἡ χήρα, πολλῷ μᾶλλον τὸν ἀγαθὸν ἐπισπά-
σεται ἡ συνεχὴς ἔντευξις. ὥστε κἂν μὴ φίλος ᾖς, κἂν μὴ τὰ ὀφειλόμενα ἀπαιτῇς, κἂν
τὰ πατρῷα κατεδηδοκὼς ᾖς καὶ κατηναλωκώς, καὶ πολὺν χρόνον ἐξ ὄψεως γινόμενος· κἂν ὀρ- 30
γιζομένῳ, κἂν ἀγανακτοῦντι προσέλθῃς (θέλησον μόνον ἐπανελθεῖν) καὶ πάντα ἀπολή-
ψῃ, καὶ τὴν ὀργήν, καὶ τὴν καταδίκην σβέσεις εὐθέως. Σκοπὸς γὰρ τῷ Θεῷ, ἀδελφοί,
μακροθυμεῖν τοῖς ἁμαρτάνουσι. διπλοῦς ἐστιν εἰς σωτηρίαν ἵλεως, μνηστευόμενος αὐτοῖς
τὴν ἐκ μετανοίας σωτηρίαν, καὶ τοῖς ἐξ αὐτῶν ἀπογόνοις, τοῖς εἰς τὴν ἀρετὴν ἐπιδιδόναι
μέλλουσι, ταμιευόμενος τὴν εὐεργεσίαν. καὶ ἵνα πάλιν ἀναλάβω τὸν λόγον, ὁ Θεὸς μακρο- 35
θυμεῖ, ἵνα καὶ ὁ ἁμαρτάνων μετανοήσῃ, καὶ τοῖς ἐξ αὐτοῦ τικτομένοις μὴ ἀποκλείσῃ τὴν σωτη-
ρίαν· κἂν γὰρ αὐτὸς ὁ ἁμαρτάνων ἀμετανόητα πλαίη, φείδεται τῆς ῥίζης πολλάκις, ἵνα φυ-
λάξῃ τοὺς καρπούς, πολλάκις μὲν οὖν καὶ αὐτὸν ἀναμένων τὴν σωτηρίαν. καὶ ὅπως, ἄκουε.
Θάρρα, ὁ πατὴρ Ἀβραάμ, εἰδώλων ἦν καὶ προσκυνητὴς καὶ ποιητής· ἀλλ' οὐκ ἔδωκεν ἐν τῷ
τῆς ἀσεβείας τὴν δίκην· καὶ εἰκότως. εἰ γὰρ προλαβὼν ὁ Θεὸς ἀπέτεμε τὴν ῥίζαν, 40
πόθεν ὁ τοσοῦτος καρπὸς τῆς πίστεως ἀνεδίδοτο; τί τοῦ Ἠσαῦ μοχθηρότερον; τί τῆς κακίας
ἐκείνης ἀναιδέστερον; οὐ πόρνος καὶ βέβηλος, ὡς φησιν ὁ Παῦλος; οὐ μητραλῴας καὶ πατραλῴ-
ας; οὐκ ἀδελφοῦ φονεύς, ὅσον εἰς πρόθεσιν; οὐχ ὑπὸ τοῦ Θεοῦ μισούμενος, ὡς ἡ γραφὴ
μαρτυρεῖ λέγουσα, τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα; εἰ τοίνυν πόρνος καὶ ἀδελ-

φοκτόνος

[Marginal notes: beside line 15: Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἑβρ. ἐπιστ. — beside line 18: γρ. ἐλεημ. — beside line 20: Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ. — beside line 32: Ἐκ τοῦ λόγου, ὅτι ἡ ἀρχή, πάντοτε μὲν ὁ θεῖος ἀπόστολος. — beside line 33: γρ. μνημ. ἐμήν. — beside line 38: γρ. αὐτῶν — beside line 42: Ἑβρ. ιβ΄ ιϛ΄.]

φονικὸς καὶ βέβηλος, καὶ μισόθεος, διὰ τί μὴ ἀφανίζεται; διὰ τί μὴ ἐκκόπτεται; διὰ τί παράγγελμα τὴν προσήκουσαν τιμωρίαν οὐ δέχεται; διὰ τί; καλὸν, ὡς ἀληθῶς, ἀδελφοὶ, τὴν αἰτίαν εἰπεῖν. εἰ ἐξεκόπη, μέγιστον καρπὸν δικαιοσύνης ὁ κόσμος ἀπώλλυε· καὶ ὁποῖον ἄκουε· Ἡσαῦ ἐγέννησε τὸν Ραγουήλ· Ραγουὴλ τὸν Ζαρά· Ζαρὰ τὸν Ἰώβ. ὁρᾷς πηλίκον ὑπομονῆς ἄνθος ἠφανίζετο, εἰ προλαβὼν ὁ Θεὸς δίκην ἀπῄτησε τὴν ῥίζαν; Μηδεὶς τοίνυν ἐν κακίᾳ ὢν ἀπογινωσκέτω· μηδεὶς ἐν ἀρετῇ ὢν νυσταζέτω· μήτε οὗτος θαρρείτω, πολλάκις γὰρ αὐτὸν καὶ ἡ πόρνη προελεύσεται· μήτε ἐκεῖνος ἀπογινωσκέτω, δυνατὸν γὰρ αὐτῷ καὶ τοὺς πρώτους παρελθεῖν. ὅταν γὰρ ἂν ἐπανέλθωμεν εἰς τὴν σφοδρὰν ἀγάπην τοῦ Θεοῦ, οὐ μέμνηται τῶν προτέρων, οὐκ ἔστιν ὡς ἄνθρωπος ὁ Θεός· οὐ γὰρ ὀνειδίζει τὰ παρελθόντα, οὐδὲ λέγει, διὰ τί τοσοῦτον ἀπελείφθης χρόνον, ἂν μετανοήσωμεν· ἀλλὰ ἀγαπᾷ, ὅταν προσέλθωμεν, μόνον ὡς χρὴ προσέλθωμεν. τί γὰρ τοῦ Μανασσῆ χεῖρον; τί δὲ τοῦ Σολομῶντος μακαριώτερον; ἀλλ' ὁ μὲν ἠδυνήθη τὸν Θεὸν ἐξιλεώσασθαι· ὁ δὲ ἀπονυστάξας ἔπεσε. Διὰ τοῦτο καὶ Ἡσαῦ οὐκ ἔτυχε συγγνώμης, ὅτι οὐ μετενόησεν ὡς ἔδει. τὰ γὰρ δάκρυα οὐκ ἦν μετανοίας, ἀλλὰ ἐπηρείας καὶ θυμοῦ. μετενόησε καὶ Ἰούδας, ἀλλὰ κακῶς· ἀπήγξατο γάρ. εἰ δὲ μετάνοιαν ἀκριβῆ θέλεις ἰδεῖν, ἄκουσον τὴν τοῦ Πέτρου μετάνοιαν μετὰ τὴν ἄρνησιν. ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτὸν μέγα φρονεῖν συνειδότα ἑαυτῷ, ὅτι μᾶλλον τῶν ἄλλων ἀγαπᾷ τὸν Χριστὸν, διὰ τοῦτο ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μυρίοις ἑαυτὸν περιέβαλε μετὰ ταῦτα κινδύνοις. μετενόησε καὶ ὁ μακάριος Δαβὶδ, οὕτω λέγων· Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· καὶ τὴν πάλαι γεγενημένην ἁμαρτίαν, μετὰ τοσαῦτα ἔτη, μετὰ τοσαύτας γενεὰς, ὡς νεωστὶ συμβᾶσαν, ἐπένθει. τὸν γὰρ μετανοοῦντα οὐκ ὀργίζεσθαι χρὴ, οὐδὲ ἀγριαίνειν, ἀλλὰ συντετρῖφθαι, ὡς κατεγνωσμένον, ὡς οὐκ ἔχοντα παρρησίαν, ὡς καταδεδικασμένον, ὡς ἀπὸ ἐλέους σωθῆναι ὀφείλοντα μόνον, ὡς ἀγνώμονα περὶ τὸν εὐεργέτην φανέντα, καὶ ἀδόκιμον, καὶ μυρίων κολάσεων ἄξιον. Μήτε οὖν ὁ ἐπὶ τῆς σκηνῆς ἀπογινωσκέτω, μήτε ὁ ἐν τῇ ἐκκλησίᾳ θαρρείτω· πρὸς μὲν γὰρ τοῦτόν φησιν ὁ Θεός, Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ· πρὸς δὲ ἐκεῖνον, Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; οὗτος μὲν γὰρ φυλάξαι δεῖται, ὅπερ ἔχει· ἐκεῖνος δὲ γενέσθαι, ὅπερ οὐκ ἔστιν. οὗτος διατηρῆσαι τὴν ὑγίειαν· ἐκεῖνος τῆς ἀρρωστίας ἀπαλλαγῆναι· κάμνει γάρ. πρὸς μὲν οὖν ἐκεῖνόν φησιν, Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· πρὸς δὲ τοῦτον, Θέλεις ὑγιὴς γενέσθαι; ἐγερθεὶς ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. κἂν γὰρ τριακονταοκτὼ ἔτη ἔχῃς, ὡς ὁ παραλυτὸς ἐκεῖνος, σπουδάσῃς δὲ γενέσθαι ὑγιὴς, οὐδεὶς ὁ κωλύων· μόνον θέλησον διαναστῆναι· ἅψαι μόνον τῆς ἐκεῖ φερούσης ὁδοῦ, καὶ προσβόησον ταχέως· μὴ τὰς θύρας ἀποκλείσῃς, μὴ τὴν εἴσοδον φράξῃς. βραχὺς ὁ παρὼν καιρὸς, ὀλίγος ὁ πόνος· εἰ δὲ καὶ πολὺς ἦν, οὐδὲ οὕτως ἀπαγορεύειν ἔδει. κἂν γὰρ μὴ κάμνῃς τὸν κάλλιστον τοῦτον κάματον, τὸν ἐν τῇ μετανοίᾳ, ἐν τῷ κόσμῳ ἐκείνῳ πάντως κάμῃ καὶ ταλαιπωρήσεις ἑτέρως. εἰ δὲ καὶ ἐνταῦθα κακὸς κάματος, διὰ τί μὴ τοῦτον αἱρούμεθα, τὸν πολὺν ἔχοντα τὸν καρπὸν, καὶ μεγάλην τὴν ἀμοιβήν; Εἰ γὰρ ἀναξίους ὄντας ἡμᾶς εὐεργετεῖ ὁ Θεὸς, καὶ ἡμαρτηκότας φιλανθρωπεύεται· εἰ τῆς κακίας ἀποστάντες τὴν ἀρετὴν μεταδιώξομεν, τίνων οὐκ ἐπιτευξόμεθα; τίνων οὐκ ἀπολαυσόμεθα τῶν ἀγαθῶν; οὕτω γὰρ νομῶ ἐγγίζουσιν αἱ εὐεργεσίαι μᾶλλον, ἢ αἱ τιμωρίαι ἐφέλκονται πρὸς τὴν ὑπακοὴν τῶν ἐπιταγμάτων. εἰ τοίνυν καὶ πρὶν ἤ τι ἀγαθὸν ἡμᾶς ἐπιδείξασθαι, μᾶλλον δὲ καὶ κολάσεως ἄξια ἐργασαμένους, τοσαύτης ἠξίωσε τῆς εὐεργεσίας ὁ Θεός· εἰ εὐγνώμονες γενοίμεθα, καὶ τὴν ἐπὶ τοῖς προλαβοῦσιν εὐχαριστίαν ἐπιδειξοίμεθα, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ποιησοίμεθα, πόσης οὐκ αὖ πάλιν ἀξιώσειε τῆς παρ' αὐτοῦ φιλοτιμίας; Εἰ γὰρ ἡμεῖς τοὺς προσκεκρουκότας τῶν οἰκετῶν, ἐὰν ἐπαγγείλωνται γενέσθαι βελτίους, καὶ προσιέμεθα, καὶ πάλιν ἐπὶ τῆς προτέρας ἀ-

γομεν

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἑβρ. ἐπιστ.

Ψαλμ. ϛ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

α. Κορ ι.ιϛ.

Ἱερ η δ.

Ἰωάν. ε. ιδ. ϛ.

Ἐκ τῆς ἑξαημ.

Ἐκ τοῦ β λόγ. τοῦ εἰς Θεόδωρ. ἔκπτω.

γενόμενον τιμῆς, πολλάκις δὲ καὶ πλείονος αὐτοῖς τῆς παῤῥησίας μεταδιδόαμεν· πολλῷ μᾶλλον ὁ
Θεὸς ἐπὶ ἡμῶν τοῦτο ποιήσει, εἰ ἀντίῤῥοπον τῶν ἁμαρτημάτων ἐπιδειξόμεθα τὴν μετάνοι-
αν. καὶ τοῦτο ἀπὸ τῶν κατὰ τὸν μακάριον Δαβὶδ δῆλον. ἐπειδὴ γὰρ ὑποσκελισθεὶς κατέπεσε,
μοιχείας καὶ φόνου ἁλοὺς ἐγκλήματι, εἶτα οὐκ ἔμεινε κείμενος ἐν τῷ πτώματι, ἀλλὰ καὶ
διανέστη πάλιν, καὶ πρὸς τὸν ἐχθρὸν μετὰ τοῦ Θεοῦ παρετάξατο· οὕτως αὐτὸν γενναίως κατεπά-
λαισεν, ὡς καὶ τελευτήσας προστῆναι τῶν ἐκγόνων τῶν αὐτοῦ. τοῦ γὰρ Σολομῶντι τὴν με-
γάλην ἐκείνην παρανομίαν τετολμηκότι, καὶ μυρίων ἀξίῳ γενομένῳ θανάτων, διὰ τὸν Δα-

γ. Βασ. ια. ια.

βὶδ ὁ Θεός φησιν ἀφεῖναι τὴν βασιλείαν ὁλόκληρον, οὑτωσὶ λέγων· Διαῤῥήσσων διαῤῥή-
ξω τὴν βασιλείαν ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. πλὴν ἐν ταῖς ἡμέραις σου
οὐ ποιήσω ταῦτα, διὰ Δαβὶδ τὸν πατέρα σου· ἐκ χειρὸς τοῦ υἱοῦ σου λήψομαι αὐτήν. καὶ
τῷ Ἐζεκίᾳ δὲ μέλλοντι κινδυνεύειν ὑπὲρ τῶν ἐσχάτων, καίτοιγε ὄντι δικαίῳ, πάλιν διὰ τὸν μα-

Ησ. λζ. λε. καὶ λη. ς.

κάριον ἐκεῖνον ἔλεγε βοηθεῖν· Ὑπερασπιῶ γάρ, φησι, τῆς πόλεως ταύτης δι' ἐμέ, καὶ διὰ
Δαβὶδ τὸν παῖδά μου.

Ἐκ τοῦ ἐξαημ.

Ὥσπερ οὖν ἐπὶ τῶν τὴν οἰκείαν εὐγνωμοσύνην ἐπιδεικνυμέ-
νων, διὰ τὴν περιοῦσαν αὐτῷ ἀγαθότητα ἀνακαλεῖται τὰς παρ' αὐτοῦ ἀποφάσεις ὁ Θεός,
καὶ μεταβαλλομένους προσίεται, καὶ τῆς ἐπικειμένης ἀπαλλάττει τιμωρίας· οὕτω πάλιν ἐπει-
δὰν ἐπαγγέλληται ἢ ἀγαθὰ ἵνα παρέξει, ἢ προθεσμίαν μετανοίας, ἴδῃ δὲ ἀναξίους γεγονό-
τας, καὶ τότε πάλιν ἀνακαλεῖται αὐτοῦ τὰς ὑποσχέσεις.

Ἐκ τῆς αὐτῆς.

Οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν χα-
λεπόν, ὡς τὸ τοῖς ἁμαρτήμασιν ἐπιμένειν. διὰ τοῦτο καὶ προλαμβάνων τὰς εὐεργεσίας εἰς
ἡμᾶς κατατίθεται ὁ Θεός, καὶ ἡμαρτηκότας πάλιν συγγνώμης ἀξιοῖ, καὶ τὰς τιμωρίας παρα-
πόδας οὐκ ἐπάγει, ἵνα διὰ πάντων πρὸς μετάνοιαν ἡμᾶς ἐφελκύσηται, καὶ δι' ὧν εὐεργετεῖ,
καὶ δι' ὧν μακροθυμεῖ· πολλάκις δὲ καὶ δι' ὧν ἐνίους κολάζει, ἑτέρους σῶσαι βούλεται, ἵνα
τῷ ἐκείνων φόβῳ σωφρονισθέντες, τῆς τιμωρίας τὴν πεῖραν διαφύγωσιν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β. ἐπι.

Ἥμαρτες πολ-
λά; στῆθι λοιπόν· ὑπόστρεψον τὴν ἐναντίαν· ὁμολόγησον τῷ Θεῷ χάριν, ὅτι σε οὐκ ἐν μέ-
σοις ἀνήρπασε τοῖς ἁμαρτήμασι, μὴ καὶ ἑτέραν ζήτει προθεσμίαν εἰς τὸ κακῶς ἐργάζεσθαι·
μὴ λέγε, ἔσται καιρός, ὅταν ἐπιστρέψαι δεῇ· πολλοὶ μεταξὺ πλεονεκτοῦντες ἀνηρπάγησαν,
καὶ ἀπῆλθον ἐπὶ φανερὰν δίκην. φοβήθητι μὴ καὶ σὺ τοῦτο πάθῃς ἀναπολογήτως. ἀλλὰ
πολλοῖς ἔδωκε προθεσμίαν ὁ Θεὸς ἐξομολογήσασθαι ἐν ἐσχάτῳ γήρᾳ· τί οὖν; καὶ σοὶ δώσει;
ἴσως δώσει, φησί. τί λέγεις, ἴσως, καὶ ἐνίοτε, καὶ πολλάκις; ἐννόησον ὅτι περὶ ψυχῆς βουλεύῃ, καὶ
τίθει καὶ τὸ ἐναντίον, καὶ λογίζου, καὶ λέγε· τί δέ, ἐὰν μὴ δῷ; τί δέ, ἐὰν δῷ, φησιν; ἔδωκε
μὲν αὐτός· πλὴν τοῦτο ἐκείνου ἀσφαλέστερον καὶ κερδαλεώτερον. ἐὰν μὲν γὰρ ἤδη ἄρξῃ, τὸ
πᾶν ἐκέρδανας, ἄν τε λάβῃς, ἄν τε μὴ λάβῃς προθεσμίαν· ἐὰν δὲ ἀεὶ μέλλῃς, δι' αὐτὸ τοῦτο
πολλάκις οὐ λήψῃ. σὺ δὲ εἰς μὲν πόλεμον ἐξιών, οὐ λέγεις, οὐκ ἀνάγκη διαθέσθαι, ἴσως
ἐπανήξω· οὐδὲ περὶ γάμου βουλευόμενος λέγεις, λάβω γυναῖκα πενιχράν, πολλοὶ παρὰ
δόξαν καὶ οὕτως ἐπλούτησαν· οὐδὲ οἰκίαν οἰκοδομούμενος, καταβάλω θεμελίους σαθρούς,
πολλαὶ καὶ οὕτως ἔστησαν οἰκίαι· ὑπὲρ δὲ ψυχῆς βουλευόμενος, τοῖς σαθροτέροις ἐγχειρεῖς, τό,
ἴσως, καὶ ἐνίοτε, καὶ πολλάκις, τιθείς, καὶ τοῖς ἀδήλοις ἐπιτρέπεις σαυτόν; οὐ τῷ ἀδήλῳ, φής,
ἀλλὰ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ· φιλάνθρωπος γὰρ ὁ Θεός· οἶδα κἀγώ· ἀλλ' ὁ φι-
λάνθρωπος οὗτος κἀκείνους, οὕσπερ εἶπον, ἀνήρπασε.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α. ἐπις. Λουκ. ιη. ιγ. Ησ. νζ. ιζ.

Βούλει μαθεῖν πῶς ἐστιν ἡμῶν ἀ-
γαθὸς ὁ δεσπότης; ἀνῆλθεν ὁ τελώνης μυρίων γέμων κακῶν, καὶ εἰπών, Ἱλάσθητί μοι, μόνον,
κατῆλθε δεδικαιωμένος. καὶ διὰ τοῦ προφήτου δέ φησιν ὁ Θεός, Δι' ἁμαρτίαν βραχύ τι ἐλύπη-
σα αὐτόν, καὶ εἶδον ὅτι ἐλυπήθη καὶ ἐπορεύθη στυγνός, καὶ ἰασάμην τὰς ὁδοὺς αὐτοῦ. τί τῆς φι-
λανθρωπίας ταύτης ἴσον; ἵνα στυγνάσῃ μόνον, ἀφῆκε τὰ ἁμαρτήματα· ἡμεῖς δὲ οὐδὲ
αὐτὸ τοῦτο ποιοῦμεν. διὸ μάλιστα αὐτὸν παροργίζομεν. ὁ γὰρ καὶ διὰ μικρὰν ἵλεως
γενόμενος, ὅταν μηδὲ τούτου τύχῃ, εἰκότως ἀγανακτεῖ, καὶ τὴν ἐσχάτην ἀπαιτεῖ τιμωρίαν
ἡμᾶς.

ἡμᾶς. ὑπερβολὴ οὔσης γάρ ἐστιν αὕτη καταφρονήσεως. τί γοῦν ἐλυπήθη ποτὲ διὰ ἁμαρτίας; τίς ἐστέναξε; τίς τὸ στῆθος ἔπληξεν; οὐδένα ἔγωγε οἶμαι· ἀλλὰ μυρίας μὲν ἡμέρας θρηνοῦσιν ἄνθρωποι ὑπὲρ οἰκετῶν ἀποθανόντων, ὑπὲρ ζημίας χρημάτων, τὴν δὲ ψυχὴν ἀπολλύντες καθ' ἑκάστην ἡμέραν, οὐδὲ εἰς νοῦν βαλλόμεθα. πῶς οὖν δυνήσῃ τὸν Θεὸν ἐξιλεώσασθαι, ὅταν μηδέ, ὅτι ἥμαρτες, εἰδῇς; ναί, φησιν, ἥμαρτον. ναί μοι λέγεις τῇ γλώττῃ· εἰπὲ τῇ διανοίᾳ, καὶ μετὰ τοῦ ῥήματος στέναξον, ἵνα διηνεκῶς εὐθυμῇς. καὶ γὰρ εἰ ἠλγοῦμεν ἐπὶ τοῖς ἁμαρτήμασιν, εἰ ἐστενάζομεν ἐπὶ τοῖς πλημμελήμασιν, οὐδὲν ἂν ἄλλο ἡμᾶς ἐλύπησε, τῆς ὀδύνης ταύτης πᾶσαν ἀθυμίαν προωθουμένης. Ὥσπερ οὖν τῷ στρουθῷ τῶν πτερῶν ὄφελος οὐδὲν ὑπὸ τῆς παγίδος ἁλόντι, ἀλλ' εἰκῇ τε μάτην πτερύσσεται· οὕτω καὶ σοὶ τῶν λογισμῶν οὐδὲν ὄφελος, ἐὰν κατὰ κράτος ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας ἁλῷς. Εἰ γὰρ ἐπὶ ἑνὸς οὐ θέλομεν ἀσχημονῆσαι ἐνταῦθα, ἐπὶ δὲ μυριάδων ἐκεῖ τοσούτων τί ποιήσομεν; Οὐδὲ γὰρ τὸ τῶν προτέρων ἀποστῆναι κακῶν μόνον, ἀλλὰ καὶ τὸ ἀμείνονα ἐπιδείξασθαι καλά, λέγεται μετάνοια. Ἔκκλινον γάρ, φησιν, ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. οὐδὲ γὰρ ἀρκεῖ εἰς ὑγίειαν ἡμῖν τὸ βέλος ἐξελεῖν μόνον, ἀλλὰ καὶ τὸ φάρμακα ἐπιθεῖναι τῷ τραύματι.

[Μὴ τοίνυν τὸν ὑγρὸν καὶ διαλελυμένον βίον ζηλώσῃς, ἄνθρωπε (οὐ γὰρ φέρει εἰς τὸν οὐρανὸν ἐκείνη ἡ ὁδός) ἀλλὰ τὸν στενὸν καὶ τεθλιμμένον. Εἰ δὲ βούλει περὶ τὰς ἄνω διατριβὰς ἀπολυτῆσαι, φεῦγε τὰς ἡδονάς, καὶ καταπάτει μετὰ τὴν φαντασίαν τοῦ βίου, πενίαν δὲ καὶ συντριβὴν διανοίας, καὶ ἐξομολόγησιν, καὶ δακρύων πηγάς, καὶ πάντα μετέρχου ταῦτα, ἃ καὶ ἀσφαλέστερόν σε καθίστησι, καὶ τὰς εὐχὰς ὑψηλοτέρας ἐργάζεται. ἂν οὕτως ἑαυτὸν κατασκευάσῃς, καὶ μετὰ τοιαύτης τὸν Θεὸν καλέσῃς διανοίας, πάντως εὐχόμενον εἰσακούσεται. Εἰ γὰρ ὁ προφήτης Ἐλισαῖος προσιοῦσαν τὴν γυναῖκα οὐκ ἀφίησι τὸν μαθητὴν ἀπώσασθαι, Ἄφες αὐτήν, λέγων, ὅτι κατώδυνός ἐστιν ἡ ψυχὴ αὐτῆς· ἀπολογίαν μεγίστην ἔχει, φησί, καὶ συνηγορίαν, τὴν θλίψιν· πολλῷ μᾶλλον ὁ Θεὸς οὐ διακρούσεταί σε μετὰ κατωδυνίου ψυχῆς προσιόντα.] Συμβαίνει δέ τινα μετανοοῦντα κατορθῶσαι πολλὰ καὶ μεγάλα, μεταξὺ δὲ ἁμαρτεῖν πάλιν, τῶν κατορθωμάτων ἐκείνων ἁμαρτίαν ἀντίρροπον· καὶ τοῦτο μάλιστα ἱκανὸν εἰς ἀπόγνωσιν ἐμβαλεῖν, ὡς τῶν οἰκοδομηθέντων καθαιρεθέντων, καὶ πάντων ἐκείνων μάτην τε εἰς κενὸν ποιηθέντων αὐτῷ. δεῖ δὲ ἐκεῖνο λογίζεσθαι, καὶ τοῦτον ἐκκρούειν τὸν λογισμόν, ὅτι εἰ μὴ φθάσαντες κατορθωμάτων μέτρον ἀντίρροπον τοῖς μετὰ ταῦτα γινομένοις ἁμαρτήμασιν ἀπεθέμεθα, οὐδὲν ἂν ἡμᾶς σφόδρα καὶ ὁλοσχερῶς καταδῦσαι ἐκώλυσε. νυνὶ δέ, καθάπερ τις θώραξ ἰσχυρός, βέλος ὀξὺ καὶ πικρὸν δεξάμενος, οὐκ ἀφῆκεν ἐργάσασθαι τὸ αὐτοῦ, ἀλλ' αὐτὸς διατμηθεὶς τὸν πολὺν ἔλυσε τῷ σώματι κίνδυνον. οὐ δεινὸν τοίνυν τὸν πολεμοῦντα τρωθῆναι, ἀλλὰ τὸ μετὰ τὴν πληγὴν ἀπογνῶναι καὶ ἀμελῆσαι τοῦ τραύματος. οὐδεὶς ἔμπορος ἅπαξ ναυαγίῳ περιπεσών, καὶ τὸν φόρτον ἀπολέσας, ἀπέστη τοῦ πλεῖν, ἀλλὰ πάλιν τὴν θάλασσαν καὶ τὰ μακρὰ διαβαίνει πελάγη, καὶ τὸν πρότερον ἀνακτᾶται πλοῦτον· πολλάκις ἀθλητὰς θεωροῦμεν μετὰ πολλὰ πτώματα στεφανίτας γινομένους. ἤδη δὲ καὶ στρατιώτης πολλάκις φυγών, ἔσχατον ἀριστεὺς ἀνεδείχθη, καὶ τῶν πολεμίων ἐκράτησε. πολλοὶ δὲ καὶ τῶν τὸν Χριστὸν ἀρνησαμένων διὰ τὸν τῶν βασάνων φόβον ἀνεμαχέσαντο πάλιν, καὶ τοὺς τοῦ μαρτυρίου στεφάνους ἀπῆλθον ἀναδησάμενοι. Εἰ δὲ τούτων ἕκαστος ἐκ τῆς προτέρας πληγῆς ἀπέγνω, οὐκ ἂν τῶν δευτέρων ἀπέλαυσεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς ἀνδριάντας.

Ἐκ τῆς πρὸς Κορ. β' ἐπιστ.

Ἐκ τῆς ὁμιλ. τῆς κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ὁμιλ. τῆς ριθ' ψαλμ. Ψαλμ. λ.

δ. Βασ. δ. κζ'.

Ἐκ τοῦ β' λόγ. τοῦ εἰς Θεόδωρ. ἐκπεσόντα.

ΠΕΡΙ ΜΕΤΑΝΟΙΑΣ. β.

Ἐκ τοῦ δ' λόγ. τῶν περὶ μετανοίας

Ἡ μετάνοια δεινὴ καὶ φοβερὰ τοῖς ἁμαρτωλοῖς, φάρμακον τῶν πλημμελημάτων, δαπάνημα τῶν δακρύων, ἀνάλωμα τῶν παρανομιῶν, παρρησία πρὸς τὸν Θεόν, ὅπλον κατὰ τοῦ διαβόλου, μάχαιρα ἀποτέμνουσα αὐτοῦ τὴν κεφαλήν, σωτηρίας ἐλπίς, ἀπογνώσεως ἀναίρεσις. αὕτη τὸν οὐρανὸν ἀνοίγει, αὕτη εἰς τὸν παράδεισον εἰσάγει, αὕτη τοῦ διαβόλου περιγίνεται. διὰ δὴ τοῦτο συνεχῶς τοὺς περὶ ταύτης κινῶ λόγους, ἵνα μήτε ὁ ἁμαρτάνων ἀπογινώσκῃ, μήτε ὁ κατορθῶν μέγα φρονῇ. Ὁ δοκῶν γὰρ ἑστάναι, βλεπέτω μὴ πέσῃ. ὥσπερ καὶ τὸ θαρρεῖν ποιεῖ ὑποσκελίζεσθαι. δίκαιος εἶ; μὴ πέσῃς. ἁμαρτωλὸς εἶ; μὴ ἀπογνῷς. οὐ παύομαι συνεχῶς ταῦτα ἐπαλείφων ἡμᾶς τὰ φάρμακα. καὶ γὰρ οἶδα ἡλίκον ὅπλον ἐστὶ κατὰ τοῦ διαβόλου, τὸ μὴ ἀπογινώσκειν ὑμᾶς. ἂν ἔχῃς ἁμαρτήματα, μὴ ἀπογνῷς. οὐ παύσομαι συνεχῶς ταῦτα λέγων. κἂν καθ' ἡμέραν ἁμαρτάνῃς, καθ' ἡμέραν μετανόει. ὅπερ ἐν ταῖς παλαιαῖς ποιοῦμεν οἰκίαις· ὅταν σαθρωθῶσιν, ὑπεξαιροῦμεν τὰ σεσαθρωμένα, καὶ καινὰ ἐπισκευάζομεν, καὶ οὐδέποτε συνεχοῦς ἐπιμελείας ἀπολυόμεθα. ἐὰν παλαιωθῇς σήμερον ἀπὸ τῆς ἁμαρτίας, ἀνακαίνισον σεαυτὸν αὔριον ἀπὸ τῆς μετανοίας. καὶ ἔνι, φησί, μετανοήσαντα σωθῆναι; ἔνι, καὶ πάνυ ἔνι. πάντα τὸν βίον ἐν ἁμαρτίᾳ διετέλεσα, καὶ, ἐὰν μετανοήσω, σώζομαι; πάνυ. πόθεν δῆλον; ἀπὸ τῆς τοῦ δεσπότου σου φιλανθρωπίας. μὴ γὰρ τῇ μετανοίᾳ σου θαρρῶ; μὴ γὰρ ἡ μετάνοιά σου ἰσχύει τοσαῦτα κακὰ ἀποσμήξασθαι; εἰ μετάνοια μόνη ἦν, εἰκότως ἐφόβου· ἐπειδὴ δὲ τῇ μετανοίᾳ κεράννυται Θεοῦ φιλανθρωπία, θάρρει. Θεοῦ γὰρ φιλανθρωπίας μέτρον οὐκ ἔστιν, οὐδὲ λόγῳ ἑρμηνευθῆναι δύναται αὐτοῦ ἡ ἀγαθότης. ἡ μὲν γὰρ σὴ κακία μέτρον ἔχει, τὸ δὲ φάρμακον μέτρον οὐκ ἔχει· ἡ σὴ κακία, οἵα ἐὰν ᾖ, ἀνθρωπίνη ἐστὶ κακία, ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἄφατος. θάρρει, ὅτι περιγίνεταί σου τῆς κακίας. ἐννόησον σπινθῆρα εἰς πέλαγος ἐμπεσόντα, μὴ δύναται στῆναι ἢ φανῆναι; ὅσον σπινθὴρ πρὸς πέλαγος, τοσοῦτον κακία πρὸς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν· μᾶλλον δὲ οὐ τοσοῦτον, ἀλλὰ πολλῷ πλέον. τὸ μὲν γὰρ πέλαγος, κἂν μέγα ᾖ, μέτρον ἔχει· ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία ἀπερίοριστος. ταῦτα λέγω, οὐχ ἵνα ὑμᾶς ῥαθυμοτέρους ἐργάσωμαι, ἀλλ' ἵνα σπουδαιοτέρους ἐπεργάσωμαι. παρῄνεσα πολλάκις εἰς θέατρον μὴ ἀναβαίνειν. ἤκουσας, οὐκ ἐπείσθης; ἀνέβης εἰς τὸ θέατρον; παρήκουσάς μου τοῦ λόγου; μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν καὶ ἀκοῦσαι. ἤκουσα, καὶ οὐκ ἐτήρησα, φησί. πῶς δύναμαι εἰσελθεῖν καὶ ἀκοῦσαι; πῶς αὐτὸ τοῦτο οἶδας, ὅτι οὐκ ἐτήρησας; πῶς αἰσχύνῃ; πῶς ἐρυθριᾷς; πῶς μηδενὸς ἐλέγχοντος, τὸν χαλινὸν περιφέρεις; πῶς τοὺς λόγους μου ἔχεις ἐρριζωμένον; πῶς μὴ φαινομένου μου, ἡ διδασκαλία μου καθαίρει σε; οὐκ ἐτήρησας; κατέγνως σαυτοῦ; εἰς τὸ ἥμισυ ἐτήρησας, κἂν μὴ τηρήσῃς, εἴπῃς δὲ, οὐκ ἐτήρησα. ὁ γὰρ καταγνοὺς ἑαυτοῦ ἐπὶ τῷ μὴ τηρῆσαι, ἐπὶ τὸ τηρῆσαι σπουδάζει. ἐθεώρησας; εἰργάσω παρανομίαν; αἰχμάλωτος ἐγένου τῇ πόρνῃ; κατέβης ἀπὸ τοῦ θεάτρου; πάλιν ἐμνήσθης; ᾐσχύνθης; πρόσελθε. ἐλυπήθης; παρακάλεσον τὸν Θεόν. ἀλλὰ μὴ στῆθι μέχρι τούτου. οὐαί μοι, ἤκουσα, καὶ οὐκ ἐτήρησα· πῶς εἰσέλθω εἰς τὴν ἐκκλησίαν; πῶς πάλιν ἀκούσω; μᾶλλον εἴσελθε, ἐπειδὴ οὐκ ἐτήρησας, ἵνα πάλιν ἀκούσας τηρήσῃς. φάρμακον ἐὰν ἐπιτεθῇ σοι, καὶ μὴ καθαρίσῃ σε, τῇ ἄλλῃ ἡμέρᾳ οὐκ ἐπιτίθης αὐτὸ πάλιν; ἔστω τις δρυτόμος· θελέτω τέμνειν δρῦν· λαμβάνει ἀξίνην, κόπτει τὴν ῥίζαν. ἐὰν δῷ μίαν πληγὴν, καὶ μὴ πέσῃ τὸ δένδρον, οὐ δίδωσιν ἄλλην πληγήν; οὐ τὴν τρίτην; οὐ τὴν τετάρτην; οὐ τὴν πέμπτην; οὐ τὴν δεκάτην; οὕτω καὶ σὺ ποίει. δρῦς ἐστιν ἡ πόρνη, ἄκαρ-

α. Κορ. ι. ιβ.

ἴσ. ὑμῖν

που δένδρον, βλαστοὺς ἐκφέρουσα, χαίρουσιν αἱ λόγοι τρέφειν. ἐν πολλῷ χρόνῳ ἐρριζώθη ἐν τῇ διανοίᾳ σου, ἐν τῇ περιβολῇ τὴν κλάδον κατέβαλέ σοι τὸ σπουδαῖον. ὁ λόγος μου ἄξιός ἐστιν. ἤκουσας μίαν ἡμέραν. πρὸς μίαν ἡμέραν πῶς ἡ τοσαύτη χρόνῳ ἐρριζωμένη; ἐὰν γὰρ δὶς, ἐὰν γὰρ τρεὶς, ἐὰν γὰρ ἑκατοντάκις, οὐκ ἔστι θαυμαστόν· μόνον ἔκκοψον πρᾶγμα πονηρὸν καὶ ἰσχυρὸν καὶ συνήθειαν πονηράν. μάννα ἤσθιον οἱ Ἰουδαῖοι, καὶ κρόμμυα ἐζήτουν τὰ ἐν Αἰγύπτῳ· Καλῶς ἦν ἡμῖν ἐν Αἰγύπτῳ. οὕτως ἰσχυρὸν πρᾶγμα ἡ συνήθεια καὶ κάκιστον. κἂν γὰρ εἰς δέκα ἡμέρας κατορθώσῃς, ἐὰν γὰρ εἰς εἴκοσιν, ἐὰν γὰρ εἰς τριάκοντα, οὐκ ἀγαπῶ; σὺ χάριν ἔχεις; οὐ περιπτύσσομαί σε; μόνον μὴ ἀποκάμῃς, ἀλλ' αἰσχύνου καὶ καταγίνωσκε. πάλιν διαλεχθῆναι περὶ ἀγάπης. ἤκουσας, ἀπῆλθες καὶ ἥρπασας, οὐκ ἐπιδείξω διὰ τῶν ἔργων τὸν λόγον; μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν. αἰσχύνου ἁμαρτάνων, μὴ αἰσχύνου μετανοῶν [ἀλλὰ ἁμαρτάνων.] πρόσεχε τί ἐποίησέ σοι ὁ διάβολος. δύο ταῦτά ἐστιν, ἁμαρτία καὶ μετάνοια· ἁμαρτία τραῦμα, μετάνοια φάρμακον· ἐν τῇ ἁμαρτίᾳ ὄνειδος, ἐν τῇ ἁμαρτίᾳ γέλως· ἐν τῇ μετανοίᾳ παρρησία, ἐν τῇ μετανοίᾳ ἐλευθερία, ἐν τῇ μετανοίᾳ καθαρισμὸς τοῦ ἁμαρτήματος. πρόσεχε μετὰ ἀκριβείας. τῇ ἁμαρτίᾳ αἰσχύνη ἕπεται, τῇ μετανοίᾳ παρρησία ἀκολουθεῖ. ἀλλ' ὁ Σατανᾶς τὴν τάξιν ἀντέστρεψε, καὶ ἔδωκε τὴν παρρησίαν τῇ ἁμαρτίᾳ, τὴν δὲ αἰσχύνην τῇ μετανοίᾳ. οὐκ ἀφίσταμαι ἕως ἑσπέρας, ἕως οὗ αὐτὸ λύσω. ἔστι τραῦμα, καὶ φάρμακον. τὸ τραῦμα τὴν σηπεδόνα ἔχει, τὸ φάρμακον τὸν καθαρισμὸν τῆς σηπεδόνος κέκτηται. μὴ ἐν τῷ φαρμάκῳ ἡ σηπεδών; μὴ ἐν τῷ τραύματι ἴασις; οὐκ ἔχει ταῦτα τὴν οἰκείαν τάξιν, κἀκεῖνα τὴν οἰκείαν; μὴ δύναται μεταβῆναι τοῦτο πρὸς ἐκεῖνο, ἢ ἐκεῖνο πρὸς τοῦτο; ἔλθωμεν καὶ ἐπὶ τῶν τῆς ψυχῆς ἁμαρτημάτων· ἡ ἁμαρτία τὴν αἰσχύνην ἔχει, ἡ ἁμαρτία τὸ ὄνειδος ἔχει καὶ τὴν ἀτιμίαν συγκεκληρωμένην· ἡ μετάνοια τὴν παρρησίαν ἔχει, ἡ μετάνοια τὴν ὑγιείαν, τὴν δικαιοσύνην. Λέγε γὰρ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. εἰδὼς οὖν ὁ διάβολος, ὅτι ἡ μὲν ἁμαρτία ἔχει τὴν αἰσχύνην, πρᾶγμα ἱκανῶς ἀποκρούσασθαι τὸν ἁμαρτάνοντα δυνάμενον· ἡ δὲ μετάνοια ἔχει τὴν παρρησίαν, πρᾶγμα ἱκανὸν ἐπισπάσασθαι τὸν μετανοοῦντα· ἐνήλλαξε τὴν τάξιν, καὶ ἔδωκε τὴν αἰσχύνην τῇ μετανοίᾳ, καὶ τὴν παρρησίαν τῇ ἁμαρτίᾳ. πόθεν, ἐγὼ λέγω. ἁλίσκεταί τις ὑπὸ ἐπιθυμίας χαλεπῆς πρὸς πάνδημον πόρνην· ἀκολουθεῖ τῇ πόρνῃ αἰχμάλωτος. εἰσέρχεται εἰς τὸ καταγώγιον, οὐκ αἰσχυνόμενος, οὐκ ἐρυθριῶν συμπλέκεται τῇ πόρνῃ, πράττει τὴν ἁμαρτίαν· οὐδαμοῦ αἰσχύνη αὐτῷ, οὐδαμοῦ ἐπιτιμία. ἐξέρχεται ἐκεῖθεν μετὰ τὸ τέλος τῆς ἁμαρτίας· καὶ ἵνα μετανοήσῃ, αἰσχύνεται. ἄθλιε, ὅτε περιεπλέκου τῇ πόρνῃ, οὐκ ᾐσχύνου· ἀλλ' ὅτε ἦλθες μετανοῆσαι, τότε αἰσχύνῃ; αἰσχύνεται, εἰπὲ, εἰς τί; ὅτι ἐπόρνευσε, καὶ ἐρυθριᾷ· τὸ πρᾶγμα πράττει, καὶ οὐκ ἐρυθριᾷ, καὶ τὸ ῥῆμα ἐρυθριᾷ; διαβόλου δέ ἐστιν ἡ κακουργία αὕτη. ἐν τῇ ἁμαρτίᾳ οὐκ ἀφίησιν αὐτὸν αἰσχύνεσθαι, ἀλλὰ δημοσιεύεσθαι (οἶδε γὰρ ὅτι ἐὰν αἰσχυνθῇ, φεύγει τὴν ἁμαρτίαν) καὶ ἐν τῇ μετανοίᾳ ποιεῖ αὐτὸν αἰσχύνεσθαι. οἶδε γὰρ ὅτι αἰσχυνόμενος οὐ μετανοεῖ. δύο ποιεῖ κακὰ, καὶ τὴν μετάνοιαν ἐπέχει, καὶ εἰς τὴν ἁμαρτίαν ἕλκει. τί αἰσχύνῃ λοιπόν; ὅτε ἐπόρνευες, οὐκ ᾐσχύνου· καὶ ὅτε τὸ φάρμακον ἐπιτίθησιν, αἰσχύνῃ; ὅτε ἀπαλλάττεις σαυτὸν ἁμαρτίας, αἰσχύνῃ; τότε ὤφειλες αἰσχύνεσθαι, τότε ἔδει σε αἰσχύνεσθαι, ὅτε ἡμάρτανες· ὅτε ἐγένου ἁμαρτωλὸς, οὐκ ᾐσχύνου, καὶ ὅτε γίνῃ δίκαιος, αἰσχύνῃ; Λέγε γὰρ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς. ὢ φιλανθρωπία δεσπότου. οὐκ εἶπεν, ἵνα μὴ κολασθῇς, ἀλλ', ἵνα δικαιωθῇς. οὐκ ἤρκει αὐτῷ, ἵνα μὴ κολασθῇ, ἀλλὰ καὶ δίκαιον ποιεῖ; καὶ πάνυ. ἀλλὰ πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ. δίκαιον αὐτὸν ποιεῖ. καὶ ποῦ τοῦτο ἐποίησεν; ἐπὶ τοῦ λῃστοῦ· ἵνα εἴπῃ μόνον ἐκεῖνος, Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, τὸν ἑταῖρῳ ἑαυτοῦ, καὶ ἡμεῖς μὲν δικαίως (ἄξια γὰρ ὧν ἐπράξαμεν, ἀπολαμβάνομεν) λέγει, σήμερον

Ησ. μγ. κϛ.
Παροιμ. ιη. ιζ.
Ησ. μγ. κϛ.
Λουκ. κγ. μα.

μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. οὐκ εἶπεν, ἀπαλλάττω σε κολάσεως καὶ τιμωρίας, ἀλλ' εἰς τὸν παράδεισον εἰσάγω τὸν δίκαιον. εἶδες ἀπὸ ἐξομολογήσεως δίκαιον γενόμενον; πολὺ φιλάνθρωπός ἐστιν ὁ Θεός. υἱοῦ οὐκ ἐφείσατο, ἵνα δούλου φείσηται· παρέδωκε τὸν μονογενῆ, ἵνα ἀγοράσῃ δούλους ἀγνώμονας· τὸ αἷμα τοῦ υἱοῦ αὐτοῦ τιμὴν κατέβαλεν. ὢ φιλανθρωπίας δεσπότου. καὶ μή μοι λέγε πάλιν, ἥμαρτον πολλά, καὶ πῶς δύναμαι σωθῆναι; σὺ οὐ δύνασαι, ἀλλ' ὁ δεσπότης σου δύναται· καὶ οὕτως ἐξαλείψει σου τὰ ἁμαρτήματα, ὡς μήτε ἴχνος αὐτῶν μένειν. ἐπὶ μὲν γὰρ τῶν σωμάτων οὐκ ἔνι τοῦτο· ἀλλὰ κἂν μυριάκις σπουδάσῃ ὁ ἰατρός, κἂν φάρμακα ἐπιθῇ τῷ τραύματι, τὸ μὲν τραῦμα ἠφάνισε, τὴν δὲ οὐλὴν οὐκ ἐξήλειψεν. ἀντιπίπτει γὰρ αὐτῷ ἡ ἀσθένεια τῆς φύσεως, καὶ τὸ ἀνίσχυρον τῆς τέχνης, καὶ τὸ ἀτελὲς τῶν φαρμάκων. ὁ δὲ Θεός, ὅταν ἐξαλείφῃ ἁμαρτήματα, οὐδὲ οὐλὴν ἀφίησιν, οὐδὲ ἴχνος συγχωρεῖ μένειν· ἀλλὰ μετὰ τῆς ὑγείας καὶ τὴν εὐμορφίαν χαρίζεται, μετὰ τῆς ἀπαλλαγῆς τῆς κολάσεως καὶ δικαιοσύνην ἐπιδίδωσι, καὶ ποιεῖ τὸν ἡμαρτηκότα ἴσον εἶναι τῷ μὴ ἡμαρτηκότι. μὴ ἔστιν ἁμαρτία ἔχουσα ἀπόγνωσιν, ἢ νικῶσα τὴν φιλανθρωπίαν τοῦ Θεοῦ; καὶ πῶς ὁ Ἰούδας ἀπώλετο; πῶς; ὅτι οὐκ ἔστιν ἀναγκαστικὴ ἡ μετάνοια. καὶ μὴν ἄκουσον τί φησι πρὸς αὐτὸν ὁ διδάσκαλος.

Ἐκ τοῦ αὐτοῦ

Τί σοι ποιήσω, Ἰούδα; οὐκ οἶδας τί ποιήσεις; οἶδα, ἀλλ' οὐ βούλομαι. ἀπαιτεῖ τῶν ἁμαρτημάτων ἡ φύσις, καὶ κατέχει τῆς φιλανθρωπίας τὸ μέγεθος. τί σοι ποιήσω; φείσομαί σου; ἀλλὰ γίνῃ ῥαθυμότερος. ἀλλ' ἐπεξέλθω σοι; ἀλλ' οὐκ ἀνέχεταί μου ἡ φιλανθρωπία. τί σοι ποιήσω; ὡς Σόδομα θήσομαί σε, καὶ ὡς Γόμορρα καταστρέψω σε; ἀλλὰ πατήρ εἰμι, καὶ πατὴρ φιλόστοργος.

Ἐκ τοῦ α. λόγ. τῶν περὶ μετανοίας.

Ταύτην οὖν καὶ ἡμεῖς τὴν φιλανθρωπίαν εἰδότες, μὴ ἀπογινώσκωμεν, ἀλλὰ μηδὲ ῥαθυμῶμεν ἁπλῶς. ἑκάτερα γὰρ ταῦτα ὀλέθρια. ἡ μὲν γὰρ ἀπόγνωσις τὸν κείμενον οὐκ ἀφίησιν ἀναστῆναι· ἡ δὲ ῥαθυμία καὶ τὸν ἑστῶτα ποιεῖ καταπεσεῖν. ἐκείνη τῶν παρελθόντων ἀγαθῶν ἀποστερεῖν εἴωθεν, αὕτη τῶν ἐπικειμένων οὐκ ἀφίησιν ἀπαλλαγῆναι κακῶν. καὶ ἡ μὲν καταφρόνησις ἐξ αὐτῶν καταφέρει τῶν οὐρανῶν· ἡ δὲ ἀπόγνωσις εἰς αὐτὴν κατάγει τῆς κακίας τὴν ἄβυσσον, ὥσπερ οὖν τὸ μὴ ἀπογνῶναι, κἀκεῖθεν ταχέως ἀναδραμεῖν ποιεῖ. σκόπει δὲ ἀμφοτέρων τὴν ἰσχύν. ὁ διάβολος ἀγαθὸς ἦν πρὸ τούτου· ῥαθυμήσας δὲ καὶ ἀπογνοὺς ἔπεσεν εἰς τοσαύτην κακίαν, ὡς μηδὲ ἀναστῆναι λοιπόν. ὅτι γὰρ ἀγαθὸς ἦν, ἄκουσον τί φησιν.

Λουκ. ι. ιη.

Εἶδον τὸν Σατανᾶν, ὡς ἀστραπήν, ἐκ τοῦ οὐρανοῦ πεσόντα. ἡ δὲ τῆς ἀστραπῆς παραβολὴ καὶ τὸ φαιδρὸν τῆς προτέρας δείκνυσιν ἀναστροφῆς, καὶ τὴν τῆς πτώσεως ὀξύτητα. ὁ Παῦλος βλάσφημος ἦν καὶ διώκτης καὶ ὑβριστής· ἐπειδὴ δὲ ἐσπούδασε καὶ οὐκ ἀπέγνω, καὶ ἀνέστη καὶ τῶν ἀγγέλων γέγονεν ἴσος. ὁ Ἰούδας ἀπόστολος ἦν, ἀλλὰ ῥαθυμήσας γέγονε προδότης. ὁ λῃστὴς πάλιν μετὰ τοσαύτην κακίαν ἐπειδὴ μὴ ἀπέγνω, πρὸ τῶν ἄλλων ἁπάντων εἰς τὸν παράδεισον εἰσῆλθεν. ὁ φαρισαῖος θαρρήσας, ἐξ αὐτοῦ τοῦ ὕψους τῆς ἀρετῆς κατέπεσεν· ὁ τελώνης μὴ ἀπογνοὺς οὕτως ὠρθώθη, ὡς κἀκεῖνον παραδραμεῖν. βούλει σοι δείξω καὶ πόλιν ὁλόκληρον τοῦτο ποιήσασαν; ἡ τῶν Νινευϊτῶν πόλις οὕτως ἐσώθη πᾶσα· καίτοιγε ἡ ἀπόφασις εἰς ἀπόγνωσιν

Ἰων. γ. δ.

αὐτοὺς ἐνέβαλλεν. οὐ γὰρ εἶπεν, ὅτι ἐὰν μετανοήσωσι, σωθήσονται, ἀλλ' ἁπλῶς, Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. ἀλλ' ὅμως ἀπειλοῦντος τοῦ Θεοῦ, καὶ τοῦ προφήτου βοῶντος, καὶ τῆς ἀποφάσεως οὐκ ἐχούσης μέλλησιν οὐδὲ διορισμόν, οὐκ ἀνέπεσον, οὐδὲ τὰς χρηστὰς προέδωκαν ἐλπίδας. διὰ γὰρ τοῦτο οὐ προσέθηκε διορισμόν, οὐδὲ εἶπεν, ἐὰν δὲ μετανοήσωσι, σωθήσονται, ἵνα καὶ ἡμεῖς ὅταν ἀκούσωμεν ἀποφάσεως τοῦ Θεοῦ φερομένης χωρὶς διορισμοῦ, μηδὲ οὕτως ἀπογνῶμεν, εἰς ἐκεῖνο τὸ ὑπόδειγμα βλέποντες. οὐδὲν γὰρ οὕτως ἰσχυρὸν ὅπλον τῷ διαβόλῳ, ὡς ἀπόγνωσις. διὰ τοῦτο οὐχ οὕτως αὐτὸν εὐφραίνομεν ἁμαρτάνοντες, ὡς ἀπογινώσκοντες. ἄκουσον γοῦν ἐπὶ τοῦ πεπορνευκότος, πῶς τῆς ἁμαρτίας μᾶλλον τὴν ἀπόγνωσιν δέδοικεν ὁ Παῦλος. γράφων γὰρ Κορινθίοις, οὕτως ἔλεγεν·

γάρ· Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσι τολμᾶται, ἀλλ' οὐδὲ ὀνομάζεται. [α. Κορ. ε. α.] ὃ γὰρ μέχρι προσηγορίας ἐκείνοις ἀφόρητον, τοῦτο ὑμῖν ἔργῳ τετόλμηται. καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ. καὶ οὐκ εἶπε, καὶ ἐκεῖνος πεφυσίωται, ἀλλ' ἀφεὶς τὸν ἡμαρτηκότα, τοῖς ὑγιαίνουσι διαλέγεται· καθάπερ οἱ ἰατροὶ ποιοῦσιν, ἀφέντες τοὺς κάμνοντας, πρὸς τοὺς προσήκοντας αὐτοῖς πλείονι κέχρηνται λόγῳ· ἄλλως δὲ, καὶ οὗτοι τῆς ἀπονοίας αἴτιοι ἦσαν αὐτῷ, μὴ ἐπιτιμῶντες, μηδὲ ἐπιπλήττοντες. ἐκοίνωσε τοίνυν τὸ ἔγκλημα, ἵνα ῥᾳδία γένηται τοῦ τραύματος ἡ θεραπεία. δεινὸν μὲν γὰρ τὸ ἁμαρτάνειν, πολλῷ δὲ χαλεπώτερον, τὸ καὶ μέγα φρονεῖν ἐπὶ τοῖς ἁμαρτήμασιν. εἰ γὰρ ἐπὶ δικαιοσύνῃ τὸ φυσᾶσθαι κένωσις δικαιοσύνης ἐστὶ, πολλῷ μᾶλλον ἐπὶ τοῖς ἁμαρτήμασι τοῦτο συμβαῖνον ἐσχάτην οἴσει βλάβην ἡμῖν, καὶ τῶν ἁμαρτημάτων αὐτῶν μεῖζον τὸ ἔγκλημά ἐστι. διὰ τοῦτό φησιν, Ὅταν πάντα ποιήσητε, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. [Λυκ. ιζ. ι.] εἰ δὲ οἱ πάντα ποιοῦντες ὀφείλουσι συνεστάλθαι, πολλῷ μᾶλλον τὸν ἡμαρτηκότα καὶ θρηνεῖν καὶ ἐν τοῖς ἐσχάτοις ἑαυτὸν ἀριθμεῖν ἄξιον. ὅπερ οὖν καὶ τότε δηλῶν ἔλεγε· Καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε. τί λέγεις; ἕτερος ἥμαρτε, καὶ ἐγὼ πενθήσω; ναὶ, φησί. σώματος γὰρ καὶ μελῶν δίκην, ἀλλήλοις ἐσμὲν συνδεδεμένοι· ἐπὶ δὲ τοῦ σώματος, κἂν ὁ ποὺς δέξηται τραῦμα, τὴν κεφαλὴν ἐπικύπτουσαν ὁρῶμεν· καίτοι τί ταύτης σεμνότερον; ἀλλ' οὐχ ὁρᾷ τὴν ἀξίαν ἐν τῷ καιρῷ τῆς συμφορᾶς· οὕτω καὶ σὺ ποίησον. διὰ τοῦτο καὶ Παῦλος παραινεῖ χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. [Ρωμ. ιβ. ιε.] Ἀλλ' ὅπερ ἔλεγον, σκόπει πῶς δέδοικε τὴν ἀπόγνωσιν ὁ Παῦλος, ὡς μέγα ὅπλον τοῦ διαβόλου. [Ἐκ τοῦ αὐτοῦ.] εἰπὼν γὰρ, Κυρώσατε εἰς αὐτὸν ἀγάπην, καὶ τὴν αἰτίαν προστίθησι· μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. ἐν τῇ φάρυγγι τοῦ λύκου, φησὶν, ἐστὶ τὸ πρόβατον. φθάσωμεν τοίνυν, προεξαρπάσωμεν, πρὶν ἢ καταπίῃ καὶ διαφθείρῃ τὸ μέλος ἡμῶν. ἐν κλυδωνίῳ νῦν ἐστιν ἡ ναῦς· πρὸ τοῦ ναυαγίου διασῶσαι αὐτὴν σπουδάσωμεν. καθάπερ γὰρ θαλάττης αἰρομένης, καὶ κυμάτων πάντοθεν κορυφουμένων, ὑποβρύχιον γίνεται τὸ σκάφος, οὕτω καὶ ψυχὴ τῆς ἀθυμίας αὐτὴν πάντοθεν περιστοιχιζομένης, ἀποπνίγεται ταχέως, εἰ μή τινα ἔχῃ τὴν χεῖρα ὀρέγοντα· καὶ ἡ σωτήριος ἐπὶ τοῖς ἁμαρτήμασι λύπη, ὀλέθριος ἐπὶ τῆς ἀμετρίας γίνεται. Εἰδὼς τοίνυν ὁ Παῦλος ὅπερ ἐποίησεν ὁ διάβολος ἐπὶ τοῦ Ἰούδα, ἔδεισε μὴ καὶ ἐνταῦθα γένηται τοῦτο. τί δὲ ἐποίησεν ἐπὶ τοῦ Ἰούδα; μετενόησεν ὁ Ἰούδας. Ἥμαρτον γὰρ, φησὶ, παραδοὺς αἷμα ἀθῷον. [Ματθ. κζ. δ.] ἤκουσε τῶν ῥημάτων τούτων ὁ διάβολος· ἔγνω τῆς ἐπὶ τὸ βέλτιον ἐρχόμενον ὁδοῦ, καὶ πρὸς σωτηρίαν βαδίζοντα, καὶ ἐφοβήθη τὴν μεταβολήν. φιλάνθρωπον, φησὶν, ἔχει δεσπότην. ὅτε ἔμελλεν αὐτὸν παραδιδόναι, ἐδάκρυσεν αὐτὸν, καὶ μυρία παρεκάλεσεν· οὐ πολλῷ μᾶλλον μετανοοῦντα δέξεται; ἀδιόρθωτον ὄντα ἐφειλκύσατο καὶ ἐκάλεσεν· οὐ πολλῷ μᾶλλον διορθωθέντα καὶ τὴν ἁμαρτίαν ἐπιγνόντα ἐπισπάσεται; διὰ γὰρ τοῦτο καὶ σταυρωθῆναι ἦλθε. τί οὖν ἐποίησεν; ἐθορύβησεν αὐτὸν, ἐσκότωσε τῇ τῆς ἀθυμίας ὑπερβολῇ, ἐδίωξεν, ἤλασεν, ἕως ἐπὶ τὸν βρόχον ἤγαγε, καὶ τῆς παρούσης ὑπεξήγαγε ζωῆς, καὶ τῆς προθυμίας τῆς κατὰ τὴν μετάνοιαν ἀπεστέρησεν. ὅτι γὰρ, εἰ ἔζη, καὶ αὐτὸς ἐσώθη ἂν, δῆλον ἐκ τῶν σταυρωσάντων. εἰ γὰρ τοὺς ἐπὶ τὸν σταυρὸν αὐτὸν ἀναβιβάσαντας ἔσωσε, καὶ ἐν αὐτῷ τῷ σταυρῷ ὢν παρεκάλει τὸν πατέρα καὶ συγγνώμην αὐτοῖς ᾔτει τοῦ τολμήματος· εὔδηλον ὅτι καὶ τὸν προδότην, εἰ νόμῳ τῷ προσήκοντι τὴν μετάνοιαν ἐπεδείξατο, μετὰ πάσης ἂν εὐμενείας ἐδέξατο. ἀλλ' ἐκεῖνος οὐκ ἠνέσχετο ἐμμεῖναι τῷ φαρμάκῳ, τῇ περισσοτέρᾳ λύπῃ καταποθείς. τοῦτο τοίνυν ὁ Παῦλος φοβούμενος, ἐπείγει τοὺς Κορινθίους ἐξαρπάσαι τῆς φάρυγγος τοῦ διαβόλου τὸν ἄνθρωπον. καὶ τί χρὴ λέγειν τὰ Κορινθίων; Πέτρος μετὰ τὴν τῶν μυστηρίων κοινωνίαν ἠρνήσατο τρίς, καὶ δακρύσας ἀπήλειψεν ἅπαντα· ἡ πόρνη δάκρυσι τὸν δεσπότην ἐξευμενίσατο· Παῦλος ὁμολογῶν τὸ ἁμάρτημα, διδάσκαλος τῶν μετανοούντων ἐγένετο. ταύτας τὰς ἐμπλάστρους λαβόντες, τὰ τραύματα ἑαυτῶν θεραπεύσωμεν, λέγοντες· Ἴασαί με, Κύριε, καὶ [Ιερ. ιζ. ιδ.]

ἰαθήσομαι; Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. ἀποδεξάμενος γὰρ ἡμᾶς ὁ ἰατρὸς λέξει· Ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ οὐ μὴ μνησθήσομαι ἔτι. ἴδε πόσα φάρμακα κατεσκεύασέ σοι ὁ ἰατρός· ὅπερ θέλεις αὐτὸς ἐπίλεξον. ποικίλην σοι βοηθημάτων ἐπέδειξε πρὸς τὴν τῶν τραυμάτων διαφοράν. Εἰ μὴ δύνασαι νηστεῦσαι, ὡς οἱ Νινευῖται, κἂν, ὡς ἡ πόρνη, δάκρυσι τὰς ἁμαρτίας ἀπόπλυνον· εἰ μὴ δύνασαι ἐλεῆσαι, ἐξαγόρευσόν σου τὰς ἁμαρτίας· ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ κατάφυγε μετὰ τοῦ Δαβὶδ λέγων· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου. οὐ γάρ ἐστι δῆγμα ἐχίδνης, ἵνα πρὸς αὐτὸ ἐπιθῶ φάρμακον, οὐδὲ πηλὸς ἀπὸ βορβόρου γενόμενος, ἵνα ὕδατι αὐτὸν ἀποπλύνω· ἀλλὰ ἀπὸ δήγματος διαβόλου ἐστὶ τὸ τραῦμα, τοῦ ἐλέους τῆς σῆς φιλανθρωπίας δεόμενον· μόνον πρόσελθε αὐτῷ. ἐπιστάξει γὰρ τὸ ἔλαιον ὁ φιλάνθρωπος, ὁ εἰπών, Ὅτι ἐὰν ἐπιστρέψῃ ὁ ἄνομος ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, οὐ μνησθήσομαι τῶν ἀνομιῶν αὐτοῦ, ὧν ἐποίησεν. ἐπιστρέψωμεν τοίνυν, παρακαλέσωμεν, ἀποπλύνωμεν διὰ τῶν δακρύων τὸν ῥύπον τῆς ἁμαρτίας, κρούσωμεν τὸ στῆθος, τύψωμεν μέτωπον, εἰς αἴσθησιν ἔλθωμεν ὧν ἡμάρτομεν· ἵνα καὶ ἡμεῖς παρὰ τοῦ Κυρίου ἀκούσωμεν τό, Σήμερον μετ' ἐμοῦ ἔσεσθε ἐν τῷ παραδείσῳ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

Ψαλ. μ. δ. Ησ. μγ. κε. Ψαλ. ν. α. Ιεζεκ. ιη. κα.

Λογ. κγ.

ΠΕΡΙ ΜΙΣΟΥΣ ΚΑΙ ΕΧΘΡΑΣ.

Εἴ τις παρὰ τοῦ πλησίον ἠδίκηται, εἰς μνήμην τὸν Δαβὶδ λαμβανέτω, καὶ εἰς νοῦν βαλλέσθω, ἵνα ὡς ἔτι ζῇ ἡ καρδία, τῇ μνήμῃ τοῦ πραοτάτου καὶ ἀνεξικάκου τούτου δυνηθῇ τὸ πέλαγος τῆς μήνιδος διαλῦσαι. Διὰ τί γάρ σοι ἐχθρός ἐστιν ὁ ἀδελφός; ὕβρισέ σε; ἀλλ' οὐδὲν ἠδίκησεν· ἀλλὰ χρημάτων ἕνεκεν τοῦτον περιορᾷς ἐχθραίνοντα; μή, παρακαλῶ, μὴ ἀναβάλλῃ τὰ τῆς μήνιδος διακόψαι σχοινία· αἱ γὰρ ἀναβολαὶ μελλήσεις τίκτουσιν. ἂν σήμερον ὑπερτεθῇ, μᾶλλον ἐρυθριᾷς· κἂν αὔριον προσαχθῇς, μείζων ἡ αἰσχύνη· κἂν τὴν τρίτην, ἔτι πλέον αἰσχυνθήσῃ τὴν ἀναβολὴν μηκυνόμενος. δότε μοι, παρακαλῶ, μετὰ προθυμίας ταῦτα λέγειν· ποιήσατέ με ἀκοῦσαι ὅτι ἀπὸ τῆς συνεχοῦς ταύτης διδασκαλίας ὠνήσαμέν τι· ὅτι ἐχθρόν τις ἀπελθὼν εὐθέως περιέλαβεν ἄμφω τὼ χεῖρε, περιεχύθη, περιεπλάκη, κατεφίλησεν, ἐδάκρυσε. κἂν γὰρ θηρίον ἐκεῖνος ᾖ, κἂν λίθος, κἂν ὁτιοῦν, ὑπὸ τῆς τοιαύτης καταμαλαχθεὶς φιλοφροσύνης ἡμερωθήσεται. καὶ σαυτὸν μὲν ἀπαλλάξεις τῶν ἐγκλημάτων, ἐκεῖνον δὲ πρὸς εὔνοιαν ἐπισπασάμενος κερδανεῖς. Καὶ μή μοι λεγέτω τις, ὅτι μιαρὸν ἐχθρὸν ἔχω, πονηρόν, διεφθαρμένον, ἀδιόρθωτον, καὶ καταλλάξαι αὐτὸν οὐ δύναμαι. ὅπερ γὰρ ἂν εἴπῃς, οὐκ ἔστι τοῦ Σαοὺλ χείρων· ὃς καὶ ἅπαξ, καὶ δίς, καὶ πολλάκις διασωθεὶς ὑπὸ τοῦ Δαβίδ, αὐτὸς μυριάκις ἐπιβουλεύσας, εἶτα ἀντὶ τούτων εὐεργετηθείς, ἔμεινε τὴν ἑαυτοῦ πονηρίαν διατηρῶν. τί γὰρ ἔχεις εἰπεῖν; ὅτι γῆν ἀπετέμετο, καὶ ἐν ἀγροῖς ἠδίκησε, καὶ οἰκίας ὅρια ὑπερέβη, καὶ ἀνδράποδα ἥρπασε, καὶ ὕβρισε, καὶ ἐπλεονέκτησε, καὶ εἰς πενίαν ἤγαγεν; ἀλλ' οὔπω τὴν ψυχὴν ἀφείλετο, ὅπερ ἐκεῖνος ἐσπούδασεν. εἰ δὲ καὶ τὴν ψυχὴν ἐσπούδασεν ἀφελέσθαι, ἀλλ' ἅπαξ τοῦτο ἴσως ἐτόλμησεν, οὐχὶ δὶς καὶ τρὶς καὶ πολλάκις, ὡς ἐκεῖνος. εἰ δὲ δὶς καὶ τρὶς καὶ πολλάκις, ἀλλ' οὐ τοσαῦτα εὐεργετηθείς, οὐδὲ εἰς τὰς χεῖρας τὰς σὰς πολλάκις ἐμπεσών, καὶ διασωθείς. εἰ δὲ καὶ τοῦτο, καὶ οὕτω πλεονεκτεῖ πάλιν ὁ Δαβίδ, ὅτι ἀτελεστέροις ἐντρεφόμενος νόμοις, καὶ οὐδὲν ἀπαιτοῦσι τοιοῦτον, πρὸς αὐτὴν τὴν κορυφὴν τὴν ἐν τῇ χάριτι ἔφθασε. καὶ σὺ μὲν πολλάκις ὑπὸ τῶν παρελθόντων ὀργιζόμενος μνησικακεῖς· ἐκεῖνος δὲ καὶ ὑπὸ τῶν μελλόντων δεδοικώς,

Εκ τῆς ἑρμηνείας τῆς πρὸς Θεσσ. α. ἐπιστ. ὁμιλ. δ.

Εκ τοῦ γ΄ λόγ. τοῦ εἰς τὸν Δαβὶδ καὶ τὸν Σαούλ.

χῶς, καὶ εἰδὼς ἀκριβῶς ὅτι ἀοίκητος αὐτῷ ἔσται ἡ πόλις, καὶ ἀβίωτος ὁ βίος σώσαντι τὸν ἐχθρὸν, οὐκ ἀφίστατο τῆς ἐκείνου κηδεμονίας, ἀλλὰ πάντα ἔπραττε καθ' ἑαυτοῦ τὸν πολέμιον τρέφων. τί δήποτέ ἐστιν, εἰπέ μοι, ὅπερ ἐγκαλῶν τῷ ἐχθρῷ οὐ βούλει καταλλαγῆναι; τί γάρ σε τοσοῦτον ἠδίκησε; χρήματά σε ἀφείλετο; ἀλλ' ἐὰν ἐνέγκῃς γενναίως τὴν ἁρπαγὴν, τοσοῦτον λήψῃ μισθὸν, ὅσον ἂν εἰ ταῖς τῶν πενήτων αὐτὰ χερσὶν ἐναπέθηκας. καὶ γὰρ ὁ πένησι δεδωκὼς, καὶ ὁ τὸν πλεονεκτήσαντα μὴ ἐπιβουλευσάμενος, ἢ καὶ καταρασάμενος διὰ τὸν Θεὸν, τὰ αὐτὰ πεποιήκασιν. ὅταν οὖν ἡ ὑπόθεσις τῆς δαπάνης ᾖ μία, εὔδηλον ὅτι καὶ ὁ στέφανος εἷς. ἀλλ' εἰς ψυχὴν ἐπεβούλευσε καὶ ἀνελεῖν ἐπεχείρησε; μαρτύριόν σοι τὸ πρᾶγμα λογίζεται, ἂν τὸν ἐπίβουλον καὶ μέχρι τοσούτου τὴν ἔχθραν ἐξάγοντα ἐν τοῖς εὐεργέταις ἀριθμῇς, καὶ διατελῇς εὐχόμενος ὑπὲρ αὐτοῦ, καὶ τὸν Θεὸν ἵλεων γενέσθαι παρακαλῶν. μὴ δὴ τοῦτο ἴδωμεν ὅτι διεκώλυσεν ὁ Θεὸς σφαγῆναι τὸν Δαβὶδ ὑπὸ τοῦ Σαοὺλ διωκόμενον· ἀλλ' ὅτι [διπλοῦν καὶ] τριπλοῦν καὶ τετραπλοῦν στέφανον μαρτυρίου ἐδύσατο ἀπὸ τῆς ἐκείνου ἐπιβουλῆς. ὁ γὰρ διὰ τὸν Θεὸν τὸν πολέμιον σώσας, τὸν ἅπαξ καὶ δὶς καὶ πολλάκις τὸ δόρυ κατὰ τῆς αὐτοῦ κεφαλῆς ἀκοντίσαντα, καὶ γενόμενος κύριος ἀνελεῖν, εἶτα φεισάμενος, καὶ ταῦτα εἰδὼς ὅτι μετὰ τὴν φειδὼ ταύτην πάλιν ἐπιθήσεται, εὔδηλον ὅτι μυριάκις ἐσφάγη τῇ προθέσει· μυριάκις δὲ σφαγεὶς διὰ τὸν Θεὸν, πολλοὺς ἔχει μαρτυρίου στεφάνους. καὶ ὅπερ ὁ Παῦλος ἔλεγε, τοῦτο καὶ αὐτὸς ἐλογίζετο, Καὶ καθ' ἡμέραν ἀπέθνησκε διὰ τὸν Θεόν. δυνάμενος γὰρ ἀνελεῖν τὸν ἐπιβουλεύοντα, διὰ τὸν Θεὸν οὐκ ἠθέλησεν· ἀλλ' εἵλετο κινδυνεύειν καθ' ἑκάστην ἡμέραν μᾶλλον, ἢ δικαίαν ἐργασάμενος σφαγὴν, ἀπὸ τοσούτων ἀπαλλαγῆναι θανάτων. εἰ δὲ τὸν μέχρι ζωῆς αὐτῆς ἐπιβουλεύοντα, οὔτε ἀμύνασθαι, οὔτε μισεῖν χρὴ, πολλῷ μᾶλλον τὸν εἰς ὁτιοῦν ἄλλο ἀδικοῦντα τῶν ἔξω. βούλει μαθεῖν, ὅτι δυνατὸν, ἂν ἐθέλωμεν, πάντας ἀνθρώπους πρὸς ἡμᾶς ἀπεχθῶς ἔχοντας καταλλάξαι, κἂν πονηρός τις καὶ διεφθαρμένος καὶ ἀδιόρθωτος ᾖ; τί λέοντος ἀγριώτερον; ἀλλ' ὅμως τοῦτον ἡμεροῦσιν ἄνθρωποι, καὶ ἡ τέχνη τὴν φύσιν βιάζεται, καὶ γίνεται προβάτου παντὸς ἡμερώτερος καὶ ἐπιεικέστερος, ὁ πάντων θηρίων ἀγριώτερος καὶ βασιλικώτερος, καὶ διὰ τῆς ἀγορᾶς βαδίζει μηδένα φοβῶν ἡμερότητι. ἵνα οὖν ἕξομεν ἀπολογίαν, τίνα συγγνώμην, θηρία μὲν ἡμεροῦντες, ἀνθρώπους δὲ λέγοντες μὴ δύνασθαι καταπραΰνειν ποτὲ, μηδὲ πρὸς ἡμᾶς ἔχειν ἡδέως; καίτοιγε τῷ θηρίῳ μὲν παρὰ φύσιν τὸ ἥμερον, τῷ ἀνθρώπῳ δὲ παρὰ φύσιν τὸ ἄγριον. ὅταν οὖν τῆς φύσεως περιγινώμεθα, τίνα ἕξομεν ἀπολογίαν, προαίρεσιν λέγοντες μὴ δύνασθαι διορθοῦν; εἰ δὲ καὶ ἀνίατα νοσεῖ, ὅσος σοι μείζων ὁ πόνος, τοσοῦτός σοι καὶ ὁ μισθὸς παραμένοντι καὶ θεραπεύοντι τὸν τοσοῦτα ἀνίατα. τί δὲ τοσοῦτον ἡμάρτηται τῷ ἐχθρῷ, ὅτι ἀναδύῃ πρὸς τὴν ἐκείνου καταλλαγήν; εἶπέ σε κακῶς, καὶ μοιχὸν καὶ πόρνον ἐκάλεσε; καὶ τί τοῦτο; εἰ μὲν ἀληθῆ λέγει, διόρθωσαι· εἰ δὲ ψευδῆ, καταγέλασον· εἰ σύνοιδας σαυτῷ τὰ εἰρημένα, σωφρόνισον· εἰ μὴ σύνοιδας, καταφρόνησον· μᾶλλον δὲ μὴ καταγελάσῃς, μηδὲ καταφρονήσῃς μόνον, ἀλλὰ χαῖρε καὶ σκίρτα κατὰ τὸν τοῦ Κυρίου λόγον· Ὅταν γὰρ, φησιν, ὀνειδίσωσιν ὑμᾶς, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν, ἕνεκεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ψευδόμενοι, χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ σκιρτήσατε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. εἰ δὲ ἀληθεύων εἴπῃ, σὺ δὲ μετ' ἐπιεικείας ἐνέγκῃς τὰ ῥήματα, καὶ μὴ ἀνθυβρίσῃς, μηδὲ λοιδορήσῃς, ἀλλὰ στενάξῃς πικρὸν, καὶ καταγνῷς τῶν πεπλημμελημένων, οὐκ ἐλάττονα τοῦ προτέρου καρπώσῃ μισθόν. πολλάκις γὰρ ἃ οὐκ ἐποίησαν φίλοι ἐπαινοῦντες καὶ χαριζόμενοι, ἐποίησαν ἐχθροὶ κακῶς λέγοντες, κἂν ἀληθεύωσιν. οἱ μὲν γὰρ, ὡς εἰκὸς, χαριζόμενοι, εἴτε καὶ κολακεύοντες, πρὸς μείζονα ὄγκον τὴν νόσον ἐπαίρουσιν· οἱ δὲ ὑπὸ τῆς ἔχθρας κινούμενοι, καὶ τὰ ἁμαρτήματα ὀνειδίζοντες, εἰς ἀνάγκην ἐνέβαλον διορθώσεως, καὶ γίνεται ἡμῖν ἡ ἔχθρα μεγίστης ὠφελείας ὑπόθεσις. μὴ

α Κορ. ιε. λα.

Λυκ. ϛ. κϐ.

τοίνυν λέγωμεν, ὅτι ὁ δεῖνά με παρώξυνε, καὶ ὁ δεῖνά με προήγαγεν εἰπεῖν ῥήματα αἰσχρά. ὑμεῖς τούτων αἴτιοι πανταχοῦ. ἂν γὰρ θέλωμεν φιλοσοφεῖν, οὐ μόνον ἐχθρὸς, ἀλλ' οὐδὲ αὐτὸς ὁ διάβολος ἡμᾶς δυνήσεται πρὸς ὀργὴν κινῆσαι. καὶ τοῦτο ἀπὸ τῆς περὶ τὸν Δαβὶδ ἱστορίας δῆλον. αὐτοῦ γὰρ εἰπόντος, Ἰδοὺ τὸ πτερύγιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου, καὶ τὰ ἄλλα πάντα, ἃ μετὰ τούτων ἀπελογήσατο τῷ Σαοὺλ, ἐκεῖνός φησιν, Ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ; (α. Βασ. κδ. ιζ.) ὢ πόση διὰ τῆς τῶν ἐκείνου ῥημάτων ἐπιεικείας τῷ τεθηριωμένῳ τούτῳ ἀθρόον γέγονεν ἡ μεταβολή; ὁ γὰρ μηδὲ ἀπὸ ψιλοῦ τοῦ ὀνόματος ἀνεχόμενος αὐτὸν καλέσαι ποτὲ, ἀλλὰ καὶ αὐτὴν αὐτοῦ μισῶν τὴν προσηγορίαν, καὶ εἰς συγγένειαν αὐτὸν ἤγαγε, τέκνον αὐτὸν προσειπὼν, καὶ πρὸς αὐτὸν τὸν φθόγγον διεθερμαίνετο τῆς φωνῆς. καὶ καθάπερ πατὴρ χρονίας ἀκούσας φωνῆς παιδὸς ἐπανελθόντος ποθὲν, οὐχὶ πρὸς τὴν ὄψιν μόνον, ἀλλὰ καὶ πρὸς τὴν φωνὴν αὐτὴν διεγείρεται· οὕτω καὶ ὁ Σαοὺλ, ἐπειδὴ τὰ ῥήματα τοῦ Δαβὶδ εἰσελθόντα τὴν ἔχθραν ἐξέβαλεν, ἐπέγνω λοιπὸν τὸν ἅγιον, καὶ πάθος ἀποθέμενος, πάθος ἐδέξατο. ἐκβαλὼν γὰρ θυμὸν, ἀθυμίαν ἐδέξατο καὶ συμπάθειαν. τί τοῦ Δαβὶδ μακαριώτερόν τε καὶ ὑψηλότερον, ὅτι τὸν ἀνδροφόνον πατέρα ἐποίησε, καὶ τὸν λύκον πρόβατον, καὶ τὴν κάμινον τῆς ὀργῆς δρόσου πολλῆς ἐνέπλησε, καὶ τὰ κύματα εἰς γαλήνην μετέβαλε, καὶ τὴν φλεγμονὴν τοῦ θυμοῦ κατέσβεσεν ἅπασαν;

(Ἐκ τοῦ αὐτοῦ.) Μὴ τοῦτο τοίνυν μόνον σκοπῶμεν, ἀγαπητοὶ, ὅπως μηδὲν πάθωμεν παρὰ τῶν ἐχθρῶν κακὸν, ἀλλ' ὅπως μηδὲν αὐτοὺς ἡμεῖς ἐργασώμεθα δεινόν· καὶ οὐδὲν πεισόμεθα κακὸν, κἂν μυρία πάσχωμεν δεινά. ὥσπερ οὖν οὐδὲ ὁ Δαβὶδ φυγαδευόμενος, ἐλαυνόμενος, μέχρι τῆς ψυχῆς αὐτῆς ἐπιβουλευόμενος ἔπαθέ τι δεινόν· ἀλλὰ τῶν πολεμίων λαμπρότερος ἦν καὶ σεμνότερος, καὶ ποθεινότερος ἅπασιν, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ αὐτῷ τῷ Θεῷ. τί γὰρ ἠδικήθη ὁ ἅγιος ἐκεῖνος τότε, τοσαῦτα παθὼν παρὰ τοῦ Σαούλ; οὐχὶ μέχρι τῆς σήμερον ἡμέρας ᾄδεται, καὶ λαμπρὸς μὲν ἐν γῇ, λαμπρὸς δὲ ἐν οὐρανῷ; οὐχὶ τὰ ἀπόρρητα αὐτὸν ἀγαθὰ μένει, καὶ ἡ τῶν οὐρανῶν βασιλεία; τί δὲ ὠφέλησεν ὁ ταλαίπωρος ἐκεῖνος καὶ ἄθλιος, τοσαῦτα ἐπιβουλεύσας; οὐχὶ καὶ τῆς βασιλείας ἐξέπεσε, καὶ ἐλεεινὸν ὑπέστη θάνατον μετὰ τοῦ παιδὸς, καὶ παρὰ πάντων κατηγορεῖται; καὶ τὸ δὴ χαλεπώτερον, τὰς ἀθανάτους ἐκδέχεται νῦν τιμωρίας; ὅταν οὖν τὸν ἐχθρὸν ἴδῃς τὸν σὸν, ἢ καὶ εἰς νοῦν λάβῃς, μὴ τοῦτο λέγε, ὅτι τὰ καὶ τὰ ἔπαθον, τὰ καὶ τὰ ἤκουσα, καὶ τὸν θυμὸν διὰ τούτων ἀνάψῃς, καὶ τὴν φλεγμονὴν εἰς ὄγκον ἐπαρῇς μείζονα· ἀλλ' ὅσα μὲν ἤκουσας καὶ ἔπαθες λυπηρὰ, πάντα ἐπιλανθάνου· εἰ δὲ καὶ ἀναμνησθῇς, τῷ διαβόλῳ ταῦτα λογίζου· σύλλεγε δὲ, εἴ τί σοι χρηστὸν εἶπέ ποτε καὶ ἐποίησε, καὶ ταχέως καταλύσεις τὴν ἔχθραν. κἂν ἐγκαλεῖν καὶ διαλέγεσθαι μέλλῃς, πρότερον τὸ πάθος ἐκβαλὼν, καὶ τὸν θυμὸν σβέσας, οὕτως ἔλεγχε καὶ εὐθύνας ἀπαίτει, καὶ δυνήσῃ περιγενέσθαι ῥᾳδίως. θυμούμενοι γὰρ οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαί τί ποτε δυνησόμεθα ὑγιές· ἀπαλλαγέντες δὲ τοῦ πάθους, οὔτε αὐτοὶ ῥῆμά ποτε ἐξοίσομεν τραχὺ, οὔτε ἑτέρων λεγόντων οὕτως ἀκουσόμεθα. οὐ γὰρ οὕτως ἡ τῶν λεγομένων φύσις, ὡς ἡ τῆς ἔχθρας πρόληψις ἡμᾶς ἀγριοῦν εἴωθε. καθάπερ γὰρ νυκτὸς παρούσης, οὐδὲ παρόντα πολλάκις ἐπιγινώσκομεν φίλους, ἡμέρας δὲ γενομένης καὶ πόρρωθεν αὐτοὺς ὁρῶντες γνωρίζομεν· οὕτω καὶ ἐπὶ τῆς ἔχθρας συμβαίνειν εἴωθεν. ἕως μὲν ἂν ὦμεν ἀηδῶς πρὸς ἀλλήλους ἔχοντες, καὶ φωνῆς ἑτέρως ἀκούομεν, καὶ ὄψιν μετὰ διεφθαρμένης βλέπομεν γνώμης· ἐπειδὰν δὲ ἀποθώμεθα τὴν ὀργὴν, ἡ πρὸ τούτου πολεμία καὶ ἐχθρὰ φωνὴ, προσηνὴς καὶ ἡδίστη, καὶ ἡ πολεμία ὄψις καὶ ἀηδὴς, ποθεινὴ καὶ ἐπίχαρις φαίνεται. ὅταν δὲ ὀνειδίσῃ σε ὁ ἐχθρὸς ἁμάρτημα, ὃ σαυτῷ σύνοιδας, σὺ ἀκούσας ἐκεῖνον μὲν μὴ ὑβρίσῃς, στενάξῃς δὲ πικρὸν, καὶ τὸν Θεὸν παρακαλέσῃς, εὐθέως ἀπέθου τὴν ἁμαρτίαν ἅπασαν. καὶ ἵνα μὴ νομίσῃς ἡμᾶς ἁπλῶς σε ψυχαγωγεῖν, ἀπὸ τῶν θείων γραφῶν τὴν μαρτυρίαν παρέξομεν. Φαρισαῖός τις ἦν καὶ τελώνης, ὁ μὲν εἰς ἐσχάτην κακίαν ἐληλακὼς, ὁ δὲ δικαιοσύνης ἐπιμελούμενος· καὶ ἀνῆλθον ἀμφότεροι εἰς τὸ ἱερὸν προσεύξασθαι. (Λουκ. ιη. ι.) εἶτα ἐκεῖνος στὰς ἔλεγεν,

Ὁ Θεὸς,

Ὁ Θεός, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ, ὡς καὶ οἱ πολλοὶ τῶν ἀνθρώπων, ἅρπαγες, πλεονέκται, ἢ καὶ ὡς οὗτος ὁ τελώνης· ὁ δὲ τελώνης πόῤῥωθεν ἑστὼς, οὐκ ἀνθύβρισεν, οὐκ ἀντελοιδόρησεν, οὐκ εἶπέ τι τῶν ψυχρῶν ῥημάτων, ἃ καθ' ἑκάστην ἡμέραν ἀλλήλοις πλύνοντες λέγομεν· ἀλλ' ἀπικρὸν στενάξας, καὶ πατάξας τὸ στῆθος, τοῦτο μόνον εἶπεν· Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ κατῆλθε δεδικαιωμένος. Εἶδες πῶς; κατεδέξατο ὄνειδος, καὶ ἀπενίψατο ὄνειδος· ἐπέγνω τὰ ἁμαρτήματα, καὶ ἀπέθετο τὰ ἁμαρτήματα, καὶ ἡ κατηγορία τῆς ἁμαρτίας γέγονεν ἀναίρεσις τῆς ἁμαρτίας· καὶ ὁ ἐχθρὸς ἄκων εὐεργέτης καθίσταται. ἆρα τί τούτου γένοιτ' ἂν μακαριώτερον, τί δὲ εὐκολώτερον πρὸς ἁμαρτημάτων ἀπαλλαγήν; πόσα γὰρ ἔδει καμεῖν τὸν τελώνην, ἵνα τύχοιτο, ἀγρυπνοῦντα, χαμευνοῦντα, τὰ ὄντα τοῖς δεομένοις παρέχοντα, ἐν σποδῷ καὶ σάκκῳ καθήμενον ἐν πολλῷ τῷ χρόνῳ, ὥστε δυνηθῆναι τὰ ἁμαρτήματα ἀποθέσθαι ἐκεῖνα; καὶ νῦν οὐδὲν τούτων ποιήσας, διὰ ψιλοῦ ῥήματος πᾶσαν ἀπέθετο τὴν κακίαν καὶ τὰ ὀνείδη, καὶ αἱ λοιδορίαι τοῦ δόξαντος αὐτὸν ὑβρίζειν, χωρὶς ἱδρώτων καὶ πόνων καὶ χρόνου μακροῦ, στέφανον αὐτῷ δικαιοσύνης ἐκόμισαν. Διὰ τοῦτο καὶ ὑπερεύχεσθαι τῶν ἐχθρῶν προσέταξεν ὁ Θεὸς, ὡς μὴ μόνον ἀφιέναι αὐτοῖς τὰ ὀφειλήματα, ἀλλὰ καὶ εἰς τοὺς πρώτους τῶν φίλων αὐτοὺς ἀριθμεῖν. ἐὰν δὲ ἀδικῇς μὲν μηδὲν, ἀποστρέφῃ δὲ, καὶ οὐχ ἡδέως ὁρᾷς, καὶ τὸ τραῦμα ἔχῃς ἀνακμάζον σου τῇ ψυχῇ, οὔπω τὴν ἐντολὴν ἐποίησας, ἣν προσέταξεν ὁ Χριστός. πῶς οὖν αὐτὸς ἵλεων γενέσθαι τὸν Θεὸν παρακαλεῖς, τοῖς εἰς σὲ πεπλημμεληκόσιν οὔπω γεγονὼς ἵλεως αὐτός;

Ἐκ τοῦ λόγ. τοῦ πρὸς Δημήτριον μετάζοντα.

Εἰ δὲ βούλει γνῶναι, ὅτι κἂν ἡμεῖς παρακαλέσωμεν ὑπὲρ τῶν ἐχθρῶν ἡμῶν καὶ ἠδικηκότων, ὁ Θεὸς οὐκ ἀφίησιν, ἐὰν μέλλωσι γενέσθαι χείρους διὰ τῆς ἡμετέρας ἀνεξικακίας, ἱστορίαν ὑμῖν ἐρῶ παλαιάν. κατελάλησέ ποτε τοῦ Μωϋσέως ἡ Μαριάμ. τί οὖν ὁ Θεός; λέπραν ἐπαφῆκεν αὐτῇ καὶ ἀκάθαρτον ἐποίησε, καίτοιγε τὰ ἄλλα οὖσαν ἐπιεικῆ τε καὶ σώφρονα. Εἶτα τοῦ Μωϋσέως αὐτοῦ τοῦ ὑβρισμένου παρακαλοῦντος, ἱκετεύοντος ἀφεῖναι τὴν ὀργὴν, οὐκ ἠνέσχετο ὁ Θεός· ἀλλὰ τί ἔφη; Εἰ πατέρα εἶχε, καὶ ἐξ ὄψεως αὐτὴν ἐποίησεν, οὐκ ἂν ἤνεγκε τὴν ἐπιτίμησιν; σὲ μὲν οὖν ἀποδέχομαι τῆς πρᾳότητος καὶ τῆς ἀνεξικακίας, ἐμὲ δὲ οὐδέπω αὐτὴν ἀφεῖναι δεῖ τῆς κολάσεως. ἀναμνήσθητι τοίνυν τῆς φοβερᾶς κρίσεως, καθ' ἣν ἅπαντα γυμνὰ καὶ τετραχηλισμένα· ἐννόησον ὅτι τὰ κρυπτόμενα νῦν, ἐκκαλύπτονται τότε. ἂν τοίνυν ἀφῇς τῷ πλησίον τὰ ἁμαρτήματα, ἅπερ ἀποκαλυφθῆναι μέλλει τότε, ταῦτα ἐνταῦθα ἀφανίζεται πάντα, καὶ ἀπελθὼν μηδὲν ἐπισυρόμενος ὧν ἐπλημμέλησας. ὥστε μείζονα λαμβάνεις, ἢ δίδωσι.

Ἐκ τῆς ἀνδρι-

Καὶ γὰρ πολλάκις ἡμαρτήκαμεν τοιαῦτα, ἃ μηδεὶς ἕτερος εἶδεν. Εἶτα ἐννοοῦντες ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην πρὸ τῶν ὀφθαλμῶν ἅπαντα κείσεται ἡμῶν τὰ ἁμαρτήματα ἐν τῷ κοινῷ τῆς οἰκουμένης θεάτρῳ, οὐ τῆς κολάσεως χαλεπώτερον ἀλγήσομεν πνιγόμενοι καὶ ἀγχόμενοι τῷ συνειδότι; ἀλλὰ τὴν τοσαύτην σου αἰσχύνην, τὰ τοσαῦτα ἁμαρτήματά ἐστιν ἀπονίψασθαι διὰ τῆς εἰς τὸν πλησίον συγχωρήσεως. καὶ, εἰ βούλεσθε, ἀκούσατε ταύτης τῆς ἐντολῆς τὴν δύναμιν· ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουὴλ, φησὶν, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς. ἀλλ' ὅμως, οὓς οὐκ ἠδύνατο Μωϋσῆς καὶ Σαμουὴλ ἐξαρπάσαι τῆς ὀργῆς τοῦ Θεοῦ, αὕτη δύναται ἐξαρπάσαι ἡ ἐντολή· διὰ τοῦτο ἐκείνοις, οἷς ταῦτα εἶπε, συνεχῶς παρεκάλει λέγων· Κακίαν ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ μὴ μνησικακείτω ἐν ταῖς καρδίαις ὑμῶν· καὶ τὴν κακίαν τοῦ πλησίον ὑμῶν μὴ λογιζέσθω.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ζαχ. ζ. ι.

Εἰ δὲ τοὺς ἐχθροὺς ἀγαπᾶν κελευόμεθα, ὅταν καὶ τοὺς φιλοῦντας μισῶμεν, ποίαν τίσομεν δίκην; Εἰ ὁ τὸν φιλοῦντα ἀγαπῶν, οὐδὲν πλέον ἔχει τῶν τελωνῶν, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν, ποῦ στήσεται; πῶς δὲ ἐκφεύξεται γέενναν, τῶν ἐθνικῶν χείρων γενόμενος; Εἰ ὁ μὴ φιλῶν τὸν ἀδελφὸν, κἂν χρήματα διακενώσῃ, κἂν ἐν μαρτυρίῳ διαλάμψῃ, οὐδὲν αὐτῷ πλέον· ὁ καὶ πολεμῶν τῷ μηδὲν ἠδικηκότι, ἐννόησον πόσης ἂν εἴη τιμωρίας ἄξιος; εἰ τοῖς τὰ εἰς αὐτοὺς μὴ συγχωροῦσιν ἁμαρτήματα οὐκ ἀφίησιν ὁ Θεὸς, τοῖς τοὺς οὐδὲν ἠδικηκότας ἀδικεῖν ἐπιχειροῦσι ποίαν ἄφεσιν δώσει;

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ.

σιν; τί τοίνυν μαχόμεθα πρὸς ἀλλήλους εἰκῇ; τί πολεμοῦμεν ἀλλήλοις, προστεταγμένοι καὶ τοὺς μισοῦντας φιλεῖν; Τί λέγεις, ἄνθρωπε; ἐχθρὸν ἔχεις, καὶ οὐ καταισχύνῃ; οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ διάβολος, ὅτι καὶ ὁμογενεῖς ἐπισπώμεθα; εἴθε μήτε ἐκεῖνος ἠθέλησεν ἡμῖν πολεμεῖν, εἴθε μηδὲ ἐκεῖνος διάβολος ἦν. οὐκ οἶσθα πόση ἡδονὴ μετὰ τὰς καταλλαγάς; τί γὰρ εἰ καὶ ἐν ἔχθρᾳ οὐ σφόδρα φαίνεται; εἰ δὲ λέγεις ὅτι φλεγμαίνεις τῆς ὕβρεως μεμνημένος, ἀναμνήσθητι εἴ γέγονέ σοι καλὸν παρὰ τοῦ λελυπηκότος, καὶ ὅσα ἑτέροις σὺ διέθηκας κακά, καὶ ταχέως καταλύσεις τὴν ἔχθραν. οὐδὲν γὰρ τοσοῦτον κακῶς ἔπαθες, ὅσον σεαυτὸν ἐργάσῃ μνησικακῶν κακόν. πῶς γὰρ ἐπιτεύξῃ συγγνώμης, ἧς ἑτέροις οὐ μεταδίδως; Ἑλλήνων παῖδες οὐδὲν μέγα προσδοκῶντες, πολλάκις ἐπὶ ἀνεξικακίᾳ ἐφιλοσόφησαν· καὶ σὺ ὑπὲρ οὗ τὴν ψυχὴν ὁ Χριστὸς ἔδωκε, καὶ οὐδὲ σφαγῆναι παρῃτήσατο ἐχθροῦ ὄντος, καὶ ἐπὶ τοιαύταις ἐλπίσι μέλλων ἀποδημεῖν, ἀναδύῃ, καὶ ὀκνεῖς πρὸς τὸ καταλλάξαι τὴν ἔχθραν; καὶ ὅπερ ὁ χρόνος ποιεῖ, τοῦτο οὐκ ἀνέχῃ πρὸ τοῦ χρόνου ποιῆσαι διὰ τὸν τοῦ Θεοῦ νόμον· ἀλλ' ἀμισθὶ μᾶλλον ἢ ἐπὶ μισθῷ βούλει σβεσθῆναι τὸ πάθος; οὐδὲ γὰρ ἂν ἀπὸ τοῦ χρόνου γένηται τοῦτο, ἔσται σοί τι πλέον, ἀλλὰ καὶ πολλὴ ἡ κόλασις, ὅτι ὅπερ ὁ χρόνος εἰργάσατο, τοῦτο ὁ τοῦ Θεοῦ νόμος οὐκ ἔπεισέ σε ποιῆσαι. διὰ γὰρ τοῦτο μάλιστά σοι μισθὸν ἄφατον πορίζει, ἵνα φθάσῃς ἐκεῖνον· ὡς ἐὰν παρακληθεὶς καταλλαγῇς, οὐκ ἔτι τῆς τοῦ Θεοῦ προσταγῆς γέγονεν ἡ φιλία, ἀλλὰ τῆς ἐκείνου σπουδῆς· διὸ καὶ ἀστεφάνωτος ἀναχωρεῖς, ἐκείνου τὰ βραβεῖα λαμβάνοντος.

Ἐκ τῆς ὁμιλ. τοῦ κϛ' Ματθ. εὐαγγ.

Λῃσταὶ κοινωνοῦντές τισιν, οὐκέτι εἰσὶ λῃσταὶ πρὸς οὓς ἂν κοινωνήσωσιν, ἀλλὰ μεταβάλλει τὸν τρόπον ἡ τράπεζα, καὶ τοὺς τῶν θηρίων ἀγριωτέρους, προβάτων ἡμερωτέρους ποιεῖ· ἡμεῖς δὲ τοιαύτης τραπέζης μετέχοντες, τοιαύτης κοινωνοῦντες τροφῆς, ὁπλιζόμεθα κατ' ἀλλήλων; καὶ πῶς οὐκ ἂν εἴημεν καὶ τῶν θηρίων χείρους; διά τοι τοῦτο ὑμεῖς μὲν ἀσθενέστεροι, ὁ δὲ πάντων ἡμῶν πολέμιος ἰσχυρότερος καθ' ἑκάστην γίνεται τὴν ἡμέραν· οὐ γὰρ μετ' ἀλλήλων κατ' ἐκείνου φραττόμεθα· ἀλλὰ μετ' ἐκείνου κατ' ἀλλήλων ἱστάμεθα, καὶ αὐτῷ στρατηγῷ πρὸς τὰς τοιαύτας παρατάξεις κεχρήμεθα· οὗ τὴν στρατηγίαν ἐκφύγοιμεν χάριτι τοῦ Χριστοῦ· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐκ τῆς ὁμιλ. τῆς πρὸς Ῥωμ. δη.

Λογ. κγ.

ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ ΚΑΙ ΣΩΦΡΟΣΥΝΗΣ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν προφήτ. Ἰωνᾶν καὶ Δαν. καὶ τοὺς γ. παῖδας.

Βούλει μαθεῖν ὅσος κόσμος ἀνθρώποις ἡ νηστεία; ὅση ἀσφάλεια καὶ φυλακή; ἐννόησόν μοι τὸ μακάριον καὶ θαυμαστὸν γένος τῶν μοναζόντων. οὗτοι γὰρ τοὺς ἐν μέσῳ θορύβους φυγόντες, καὶ πρὸς τὰς κορυφὰς τῶν ὀρέων ἀναδραμόντες, καὶ τὰς καλύβας ἐν τῇ τῆς ἐρημίας ἡσυχίᾳ, καθάπερ ἐν ἀκλύστῳ τινὶ λιμένι, πηξάμενοι, ταύτην συνέμπορον καὶ συγκοινωνὸν τοῦ βίου παντὸς ἔλαβον. διὰ τοῦτο ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων ἐποίησεν· οὐκ ἐκείνους δὲ μόνον, ἀλλὰ καὶ ἐν ταῖς πόλεσιν ὅσους ἂν εὕρῃ προσιεμένους αὐτήν, πρὸς τὸ αὐτὸ τῆς φιλοσοφίας ὕψος ἀνάγει. ἐκείνη καὶ νῦν ἡμᾶς πρὸς τὸν πατρῷον συνήγαγεν οἶκον· ἐκείνη καὶ τοὺς πρὸ τούτου ῥαθυμοτέρους, σήμερον πρὸς τὰς μητρικὰς ἐπανήγαγε χεῖρας. εἰ δὲ προσδοκηθεῖσα μόνον τοσαύτην ὑμῖν ἐνεποίησε τὴν σπουδήν, φανεῖσα καὶ παραγενομένη πόσην ὑμῖν ἐργάσεται τὴν εὐλάβειαν; εἰ ταύτης ἤκουσε τῆς φωνῆς ὁ Ἀδάμ, οὐκ ἂν ἤκουσε τῆς δευτέρας τῆς λεγούσης, Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἀλλ' ἐπειδὴ ταύτης παρήκουσε, διὰ τοῦτο θάνατος καὶ ἀθυμία καὶ φροντίδες καὶ ζωὴ θανάτου παντὸς χαλεπωτέρα. καὶ ὥσπερ ὑβρισθεῖσα θάνατον ἐπήγαγε τῷ ὑβρίσαντι, οὕτω πάλιν τιμηθεῖσα, θάνατον ἀνεκαλέσατο. τὴν γὰρ τῶν Νινευϊτῶν πόλιν τὴν μεγάλην καὶ

θαυμαστὴν

θαυμαστὴν ἐπὶ γόνυ κειμένην, παρὰ αὐτὸ τὸ βάραθρον τὴν κεφαλὴν κλίνασαν, καὶ μέλλουσαν τὴν ἄνωθεν φερομένην δέχεσθαι πληγὴν, καθάπερ τις ἄνωθεν ἐπιστᾶσα δύναμις, ἐξ αὐτῶν ἥρπασε τῶν τοῦ δημιουργοῦ χειρῶν, καὶ πρὸς τὴν ζωὴν ἐπανήγαγεν.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς ἀνδριάντ.

Ἴδωμεν τοίνυν πῶς ἀνέστησαν οἱ Νινευΐται, καὶ πῶς τῆς ὀργῆς ἀπηλλάγησαν ἐκείνης. Οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ τὰ πρόβατα, καὶ οἱ βόες μὴ νεμέσθωσαν, φησί. τί λέγεις, εἰπέ μοι; καὶ τὰ ἄλογα νηστεύει, καὶ ἵπποι καὶ ἡμίονοι σάκκῳ περιβάλλονται; ναί, φησι· καθάπερ γὰρ ἀνθρώπου τινὸς τελευτήσαντος, οὐκ οἰκέτας μόνον, οὐδὲ θεραπαινίδας, ἀλλὰ καὶ ἵππους οἱ προσήκοντες σάκκῳ περιβαλόντες, ἀκολουθεῖν ἐπὶ τὸ μνῆμα κελεύουσι, τὸ μέγεθος τῆς συμφορᾶς ἐπιδεικνύμενοι, καὶ πρὸς ἔλεον ἅπαντας ἐπισπώμενοι· οὕτω δὴ καὶ τῆς πόλεως ἐκείνης ἀπόλλυσθαι μελλούσης, καὶ τὴν ἄλογον φύσιν σάκκῳ περιέβαλον, καὶ ζυγῷ νηστείας. Οὐκ ἔστι τὰ ἄλογα λόγῳ μαθεῖν, φησι, τοῦ Θεοῦ τὴν ὀργήν· μανθανέτωσαν διὰ τοῦ λιμοῦ. καὶ γὰρ τὰ μέλλοντα κοινωνεῖν τῆς κολάσεως, κοινωνείτω καὶ τῆς νηστείας.

Ἰων. γ. ζ.

Ἐκ τοῦ ἑξαημ.

Εἰ δέ τινες τῶν ἐνταῦθα συνόντων ὑπὸ ἀσθενείας σωματικῆς κωλυόμενοι, οὐ δύνανται ἄσιτοι διαμένειν, τούτοις παραινῶ, καὶ τὴν ἀσθένειαν τὴν σωματικὴν παραμυθεῖσθαι, καὶ τῆς διδασκαλίας ταύτης τῆς πνευματικῆς μὴ ἀποστερεῖν ἑαυτοὺς, ἀλλὰ ταύτῃ μᾶλλον πλείονα τὴν σπουδὴν ἐπιδείκνυσθαι. διὰ γὰρ τοῦτο τὴν ἀποχὴν τῶν βρωμάτων κελεύει γίνεσθαι ὁ Θεὸς, ἵνα χαλινοῦντες τὰ σκιρτήματα τῆς σαρκὸς, εὐήνιον αὐτὴν ἀπεργαζώμεθα πρὸς τὴν τῶν ἐντολῶν ἐκπλήρωσιν. Εἰ δὲ μέλλοιμεν μηδὲ τὴν ἀπὸ τῆς νηστείας βοήθειαν ἑαυτοῖς προσάγειν διὰ τὴν τοῦ σώματος ἀσθένειαν, καὶ πλείονα τὴν ῥαθυμίαν ἐπιδείκνυσθαι, τὰ μέγιστα ζημιούμεθα. Εἰ γὰρ μετὰ νηστείας ἡ τῶν κατορθωμάτων ἔλλειψις οὐδὲν ἡμᾶς ὀνίνησι· πολλῷ μᾶλλον, εἰ μηδὲ τῷ φαρμάκῳ τῆς νηστείας χρήσασθαι δυνάμεθα, πλείονα τὴν ῥαθυμίαν ἐπιδειξόμεθα πρὸς τὴν τῶν ἐντολῶν ἐκπλήρωσιν. Εἰ γὰρ οἱ τῶν βιωτικῶν μετέχοντες πραγμάτων, οὐκ ἄν ποτε ἀνάσχοιντο ἐπιτηδεύματος ἅψασθαι, μὴ πρότερον τὸ ἐκεῖθεν κέρδος περισκοπήσαντες· πολλῷ μᾶλλον ἡμᾶς δίκαιοι τοῦτο ποιεῖν, καὶ μὴ ἁπλῶς τὰς ἑβδομάδας τῆς νηστείας παρατρέχειν, ἀλλὰ διερευνᾶσθαι τὴν ἑαυτῶν συνείδησιν, καὶ τῷ λογισμῷ βασανίζειν καὶ σκοπεῖν, τί μὲν ἐν ταύτῃ τῇ ἑβδομάδι κατώρθωται, τί δὲ ἐν τῇ ἑτέρᾳ, καὶ τίνα προσθήκην ἐδεξάμεθα εἰς τὴν ἐπιοῦσαν, καὶ ποῖον τῶν ἐν ἡμῖν παθῶν διωρθώσαμεν. Εἰ γὰρ μὴ μέλλοιμεν οὕτω τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν, καὶ τοσαύτην ἐπιμέλειαν ποιεῖσθαι τῆς ἑαυτῶν ψυχῆς, οὐδὲν ἡμῖν ὄφελος ἔσται τῆς νηστείας καὶ τῆς ἀσιτίας, ἧς ὑπομένομεν.

Ἐκ τῆς αὐτῆς.

Εἰ τοίνυν δι' ἀσθένειαν σωματικὴν οὐ δύνασαι ἄσιτος παραμένειν τὴν ἡμέραν, οὐδεὶς εὖ φρονῶν ὑπὲρ τούτου σε ἐγκαλέσαι δυνήσεται. δεσπότην γὰρ ἔχομεν ἥμερον καὶ φιλάνθρωπον, καὶ οὐδὲν τῶν ὑπὲρ δύναμιν παρ' ἡμῶν ἐπιζητοῦντα. οὐδὲ γὰρ τὴν ἀποχὴν τῶν βρωμάτων καὶ τὴν νηστείαν ἁπλῶς ἀπαιτεῖ παρ' ἡμῶν γίνεσθαι, οὐδὲ διὰ τοῦτο, ἵνα ἄσιτοι διαμένωμεν μόνον, ἀλλ' ἵνα ἀφιστάντες ἑαυτοὺς ἀπὸ τῶν βιωτικῶν πραγμάτων, πᾶσαν τὴν σχολὴν ἐν τοῖς πνευματικοῖς ἀναλίσκωμεν. ὡς εἰ μετὰ νηφούσης διανοίας τὸν ἑαυτῶν βίον ᾠκονομοῦμεν, καὶ περὶ τὰ πνευματικὰ πᾶσαν τὴν σπουδὴν ἐπεδεικνύμεθα, καὶ τῇ τρυφῇ οὕτω προσείχομεν, ὡς τὴν χρείαν μόνον πληροῦν, καὶ ἐν ταῖς ἀγαθαῖς πράξεσιν ἅπαντα τὸν βίον καταναλίσκειν, οὐδὲ χρεία ἦν ἡμῖν τῆς βοηθείας τῆς ἀπὸ τῆς νηστείας. ἀλλ' ἐπειδὴ ῥᾴθυμός ἐστιν ἡ φύσις ἡ ἀνθρωπίνη, καὶ τῇ τρυφῇ καὶ τῇ ἀνέσει μᾶλλον ἑαυτὴν ἐπιδίδωσι, διὰ τοῦτο, καθάπερ πατὴρ φιλόστοργος, τὴν ἀπὸ τῆς νηστείας ἡμῖν ἰατρείαν ἐπενόησεν ὁ φιλάνθρωπος δεσπότης, ἵνα καὶ τὰ τῆς τρυφῆς ἡμῖν ἐκκόπτηται, καὶ τὴν περὶ τὰ βιωτικὰ φροντίδα μεταγάγωμεν ἐπὶ τὴν τῶν πνευματικῶν ἐργασίαν.

Ἐκ τοῦ λόγου τοῦ εἰς τὸν προφήτ. Ἰωνᾶν καὶ Δανιὴλ, καὶ τοὺς γ. παῖδας,

Ἀλλ' εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ καθάπερ θηρίῳ τῇ νηστείᾳ πυκτεύειν μέλλοντες, οὕτω τῇ γαστριμαργίᾳ καθοπλίζονται, καὶ διαρρήξαντες ἑαυτοὺς καὶ σκοτώσαντες, μετὰ πολλῆς τῆς ἀφροσύνης ὑποδέχονται τὸ γαληνὸν καὶ ἥμερον τῆς νηστείας ὄμμα. κἂν ἐγὼ ἐρωτήσω, τίνος ἕνεκεν εἰς βαλανεῖον τρέχεις

σήμερον,

σήμερον, λέγεις, ἵνα καθαρὸν τὸ σῶμα τὴν νηστείαν ὑποδέξωμαι· ἐγὼ δὲ ἐρωτήσω, τίνος ἕνεκεν μεθύεις, πάλιν εἰπέ, ἐπεὶ τῇ νηστείᾳ εἰσιέναι μέλλω. πῶς οὖν οὐκ ἄτοπον, σώματι μὲν καθαρῷ, ψυχῇ δὲ ἀκαθάρτῳ καὶ μεθυούσῃ τὴν καλλίστην νηστείαν ταύτην ὑποδέχεσθαι;

Ἐκ τοῦ α. λόγ. τοῦ εἰς τὸν πλούσιον, καὶ εἰς Λάζαρον.

Τοσοῦτον τοίνυν ἑαυτοὺς ἐθίσωμεν ἐσθίειν, ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπᾶσθαι καὶ βαρύνεσθαι. οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν, ἀλλὰ διὰ τοῦτο ἐσθίομεν, ἵνα ζῶμεν. οὐ γὰρ τὸ ζῆν διὰ τὸ φαγεῖν, ἀλλὰ διὰ τὸ ζῆν τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Πρὸς χρείαν, ἀδελφοί, οὐ πρὸς ἡδονὴν ἡ ζωὴ συμμεμέτρηται. τὸ οὖν περιττὸν τῆς φύσεως ἀποθέμενοι, τὸ ἀναγκαῖον μόνον ἀσπασώμεθα.

Ἐκ τοῦ λόγ. εἰς τό, ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ.

Τί γὰρ τῆς τραπέζης ἐκείνης αἰσχρότερον γένοιτ' ἄν, ἔνθα μέθη μὲν καὶ ἀδηφαγία καὶ πᾶσα ἀσωτία ἀπελήλαται, θαυμαστὴ δέ τις ἀντεισενήνεκται περὶ τῆς φυλακῆς τῶν τοῦ Θεοῦ νόμων ἅμιλλα· καὶ παρατηρεῖ μὲν ἀνὴρ τὴν γυναῖκα, καὶ ὅπως εἰς τὰ τῆς ἐπιορκίας μηδέποτε ἐμπέσῃ βάραθρα· φυλάττει δὲ γυνὴ τὸν ἄνδρα, καὶ καταδίκη τῷ παραβάντι κεῖται μεγίστη; οὐκ ἐπαισχύνεται δὲ οὐδὲ ὑπὸ τῶν δούλων ὁ δεσπότης ἐλέγχεσθαι, οὐδὲ τοὺς οἰκέτας αὐτοῦ ἐπὶ τούτοις διορθοῦν. οὐκ ἂν τις ἁμάρτοι τὴν τοιαύτην οἰκίαν ἐκκλησίαν προσειπών. ὅπου γὰρ σωφροσύνη τοσαύτη, ὡς ἐν καιρῷ τρυφῆς μεμνῆσθαι ὑπὲρ τῶν θείων νόμων, καὶ τοὺς παρόντας ἅπαντας ὑπὲρ τούτου πρὸς ἀλλήλους ἀγωνίζεσθαι καὶ φιλονεικεῖν, εὔδηλον ὅτι δαιμόνων μὲν ἅπασα πονηρὰ δύναμις ἀπελήλαται, ὁ Χριστὸς δὲ πάρεστιν ἐπὶ τῇ καλῇ τῶν δούλων φιλονεικίᾳ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἀλλὰ πολλὴ μὲν ἡ ἡδονὴ τῇ κακίᾳ, φησί, πολὺς δὲ τῇ ἀρετῇ συνέζευκται ὁ πόνος καὶ ὁ ἱδρώς. καὶ ποία σοι χάρις ἦν, τίνος δ' ἂν ἔλαβες μισθόν, εἰ μὴ ἐπίπονον τὸ πρᾶγμα ἦν; καὶ γὰρ πολλοὺς ἔχω δεῖξαι φύσει τὸ μίγνυσθαι γυναιξὶ μισοῦντας· τούτους οὖν σώφρονας καλέσομεν, ἢ στεφανώσομεν; οὐδαμῶς. σωφροσύνη γάρ ἐστιν ἐγκράτεια, καὶ τὸ μαχομένων περιγίνεσθαι τῶν ἡδονῶν.

Ἐκ τοῦ λόγ. τοῦ περὶ τοῦ χρησίμως τὰς περὶ Χριστοῦ καὶ ἐθνῶν προφητείας ἀσαφεῖς εἶναι.

Πολλάκις γὰρ ἡμῶν τὴν διάνοιαν κύματα καταλαμβάνει παθῶν, τῶν θαλαττίων ἀγριώτερα, καὶ πολλὴν αὐτῇ ἐμποιοῦντα τὴν σύγχυσιν. ἀλλ' ὁ μὲν ῥᾴθυμος καὶ κατημεληκώς, ἀρχομένου τοῦ χειμῶνος, εὐθέως θορυβεῖται, ταράττεται, κλονεῖται, περιορᾷ γινομένην ὑποβρύχιον τὴν ψυχὴν ὑπὸ τῶν παθῶν καὶ ναυάγιον ὑπομένουσαν· ὁ δὲ καρτερὸς καὶ νεανικός, καθάπερ κυβερνήτην ἐπὶ τῶν οἰάκων, οὕτω τὸν λογισμὸν ἐπάνω τῶν παθῶν καθίσας, οὐ πρότερον ἀφίσταται πάντα ποιῶν, ἕως ἂν κατευθύνῃ τὸ σκάφος πρὸς τὸν εὔδιον τῆς φιλοσοφίας λιμένα.

Ἐκ τοῦ λόγ. τοῦ πρὸς τοὺς ἔχοντας συνεισάκτους παρθένους.

Μὴ δὴ καταμαλάττωμεν ἡμῶν τὴν ἰσχύν· μηδὲ ἐκκόπτωμεν τὰ νεῦρα ταῖς τῶν γυναικῶν ὁμιλίαις. καὶ γὰρ ἄφατος καὶ πολλὴ ταῖς ψυχαῖς ἡμῶν ἐντεῦθεν εἰσρεῖ κακία. τί γὰρ εἰ καὶ μὴ αἰσθανόμεθα τῇ φιλίᾳ μεθύοντες; τοῦτο γὰρ αὐτὸ πάντων ἐστὶ δεινότατον, ὅτι οὐδὲ ἴσμεν ὅπως ἐκνευριζόμεθα, καὶ κηροῦ παντὸς γινόμεθα μαλακώτεροι. καθάπερ γάρ τις λέοντα γαῦρον καὶ βλοσυρὸν λαβών, εἶτα ἀποκείρας μὲν τὴν κόμην, ἀνελὼν δὲ τοὺς ὀδόντας, καὶ περιελὼν τοὺς ὄνυχας, αἰσχρὸν ποιεῖ καὶ καταγέλαστον, καὶ παιδίοις εὐκαταγώνιστον, τὸν φοβερὸν καὶ ἀφόρητον καὶ ἀπὸ μόνου τοῦ βρυχήματος τὰ πάντα σείοντα· οὕτω δὴ καὶ αὗται πάντας, ὅσους ἂν λάβωσιν, εὐχειρώτους τῷ διαβόλῳ ποιοῦσι, μαλακωτέρους, θερμοτέρους, ἀναισχύντους, ἀνοήτους, ἀκροχόλους, θρασεῖς, ἀκαίρους, ἀγεννεῖς, ἀπηνεῖς, δουλοπρεπεῖς, ἀνελευθέρους, ἰταμούς, φλυάρους, καὶ ἁπλῶς πάντα τὰ γυναικεῖα πάθη τὰ διεφθαρμένα φέρουσαι, εἰς τὴν τούτων ἐναπομάττονται ψυχήν. ἀμήχανον οὖν τὸν γυναιξὶ συνοικοῦντα μετὰ συμπαθείας τοσαύτης καὶ ταῖς ἐκείνων ἐντρεφόμενον ὁμιλίαις, μὴ ἀγύρτην τινὰ εἶναι καὶ ἀγοραῖον καὶ συρφετώδη. κἂν γὰρ φθέγγηταί τι, πάντα ἀπὸ τῶν ἱστῶν καὶ τῶν ἐρίων φθέγξεται, τῆς γλώττης αὐτοῦ τῇ ποιότητι τῶν γυναικείων ἀναχρωσθείσης ῥημάτων. κἂν ποιῇ τι, μετὰ πολλῆς τοῦτο ἐργάζεται δουλοπρεπείας, πόρρω τῆς χριστιανοῖς πρεπούσης ἐλευθερίας ἑαυτὸν ἀποικίσας, καὶ πρὸς οὐδὲν τῶν μεγάλων κατορθωμάτων γενόμενος χρήσιμος.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Εἰ τοίνυν βούλει δεῖξαι σαφῶς ἡμῖν, ὅτι οὐ χαίρεις αἰσχρὰ φθεγγόμενος,

γενόμενος, μηδὲ ἀκούειν ἀνέχου. νῦν δὲ πότε δυνήσῃ τῶν ὑπὲρ τῆς σωφροσύνης ἱδρῶτας ἐνεγκεῖν, κατὰ μικρὸν ὑπορρέων ὑπὸ τοῦ γέλωτος, καὶ τῶν αἰσχρῶν τούτων ῥημάτων; καὶ γὰρ ἀγαπητὸν, ἁπάντων τούτων καθαρευούσαν ψυχὴν δυνηθῆναι γενέσθαι σεμνὴν καὶ σώφρονα.

Καὶ μή μοι λεγέτω τις, ὅτι οὐ δυνάμενοι σωθῆναι, ἐὰν μὴ ἀποτάξωμαι γυναικὶ, ἐὰν μὴ ἀποτάξωμαι παιδίοις, ἐὰν μὴ ἀποτάξωμαι πράγμασι. μὴ γὰρ κώλυμα ὁ γάμος; βοηθός σοι δέδοται ἡ γυνή· μὴ γὰρ ἐπίβουλος; οὐχὶ φαῦλος ὁ γάμος, ἀλλὰ κακὸν ἡ πορνεία. ἐγὼ τῷ ἐμῷ κινδύνῳ ἐγγυῶμαί σοι τὴν σωτηρίαν. εἰ δὲ καὶ φαύλη ἐστὶ, μὴ προφασίζου· καὶ γὰρ ἡ γυνὴ τοῦ Ἰὼβ πονηρὰ ἦν καὶ φαύλη, καὶ βλασφημεῖν αὐτῷ συνεβούλευε. τί οὖν; ἔσεισε τὸν πύργον; κατήνεγκε τὸν ἀδάμαντα; διελύετο τῆς πέτρας; οὐδαμῶς. ἀλλ' ἐκείνη προσέκρουσε, καὶ ὁ πύργος ἀσφαλέστερος ἐγένετο· ὁ καρπὸς ἐπεχύθη, καὶ τὸ δένδρον οὐκ ἐσαλεύθη· τὰ φύλλα ἔπεσε, καὶ ἡ ῥίζα ἔμενεν ἀσάλευτος.

Ἐκ τοῦ δ'. λόγ. τοῦ εἰς τὸν Ὀζίαν.

Ὥσπερ οὖν κυβερνήτης ἐν λιμένι ναυάγιον ἐργαζόμενος οὐκ ἂν τύχοι συγγνώμης τινός· οὕτως οὐδὲ ἄνθρωπος μετὰ τὴν ἀσφάλειαν τὴν ἀπὸ τοῦ γάμου τῶν ἑτέρων διορύττων γάμους, ἢ γυναῖκα τοῦ πλησίον περιέργως ὁρῶν, οὐκ ἂν τύχοι τινὸς ἀπολογίας, οὔτε παρὰ ἀνθρώποις, οὔτε παρὰ Θεῷ, κἂν μυριάκις τὴν τῆς φύσεως ἐπιθυμίαν προβάλλῃ). ποία γὰρ ἐκ τῆς τοιαύτης ἐπιθυμίας γένοιτο ἂν ἡδονὴ, ὅταν φόβος παρῇ, καὶ ἀγωνία, καὶ κίνδυνος, καὶ δικαστηρίων φόβος καὶ εὐθυνῶν, καὶ δικαστοῦ θυμὸς λογίζηται, καὶ ξίφος, καὶ δήμιος, καὶ βάραθρον, καὶ ἀπαγωγή; ὁ γὰρ τοιοῦτος καὶ τὰς σκιὰς, καὶ τοὺς τοίχους, καὶ αὐτοὺς τοὺς λίθους καθάπερ φωνὴν ἀφιέντας οὕτως ὑφορᾶται καὶ ὑποπτεύει, καὶ πάντα τρέμει καὶ δέδοικε, καὶ τῇ προσδοκίᾳ τῶν τοσούτων δεινῶν τὴν ψυχὴν καταδάκνεται.

Ἐκ τοῦ γ. λόγ. τοῦ εἰς τὸν Ὀζίαν.

Ὥστε οὐχὶ κώλυμα ὁ γάμος, ἀλλὰ ἀσφάλεια μᾶλλον τῆς σωφροσύνης ἐστί. τοσοῦτον γάρ ἐστιν ἡ παρθενία πρᾶγμα, καὶ τοσούτου δεῖται τοῦ πόνου, ὅτι κατελθὼν ἐξ οὐρανοῦ ὁ Χριστὸς, ἵνα τοὺς ἀνθρώπους ἀγγέλους ποιήσῃ, καὶ τὴν ἄνω πολιτείαν ἐνταῦθα καταφυτεύσῃ, οὐδὲ τότε ἐθάρρησεν ἐπιτάξαι τοῦτο, οὐδὲ εἰς νόμου τάξιν ἀγαγεῖν· ἀλλ' ἀποθνήσκειν μὲν διὰ αὐτὸν ἐνομοθέτησεν (οὗ τί βαρύτερον γένοιτ' ἄν;) καὶ σταυροῦσθαι διηνεκῶς, καὶ τοὺς ἐχθροὺς εὐεργετεῖν· παρθενεύειν δὲ οὐκ ἐνομοθέτησεν, ἀλλ' ἀφῆκεν ἐν τῇ τῶν ἀκουόντων κεῖσθαι προαιρέσει, εἰπὼν, Ὁ δυνάμενος χωρεῖν χωρείτω. καὶ γὰρ μέγας ὁ ὄγκος τοῦ πράγματος, καὶ σφόδρα ἀπόκρημνον τοῦτο τῆς ἀρετῆς τὸ χωρίον. καὶ τοῦτο δηλοῦσι καὶ οἱ ἐν τῇ παλαιᾷ πολλὰ κατορθώσαντες. καὶ γὰρ Μωϋσῆς ἐκεῖνος ὁ μέγας, τῶν προφητῶν τὸ κεφάλαιον, ὁ γνήσιος τοῦ Θεοῦ φίλος, ὁ τοσαύτης ἀπολαύσας παρρησίας, ὡς ἑξακοσίας χιλιάδας γενομένας ὑπευθύνους κολάσει ἐξαρπάσαι θεηλάτου πληγῆς, ὁ τοσοῦτος καὶ τηλικοῦτος ἀνὴρ, θαλάττῃ μὲν ἐπέταξε, καὶ πέλαγος ἔσχισε, καὶ πέτρας διέῤῥηξε, καὶ ἀέρα μετέβαλε, καὶ τὸ Νειλῷον ὕδωρ εἰς αἷμα μετέστησε, καὶ πᾶσαν τὴν κτίσιν μετεστοιχείωσε, καὶ μυρία ἕτερα ἐπεδείξατο θαύματα, καὶ ἀρετῆς πολλὰ κατορθώματα· πρὸς δὲ τοὺς ἀγῶνας τούτους οὐδὲ ἀποβλέψαι ἴσχυσεν, ἀλλ' ἐδεήθη γάμου, καὶ τῆς ἐντεῦθεν ἀσφαλείας· καὶ οὐκ ἐτόλμησεν εἰς τὸ τῆς παρθενίας πέλαγος ἑαυτὸν ἐκδοῦναι, τὰ ἐκεῖθεν κύματα δεδοικώς. καὶ ὁ πατριάρχης δὲ, ὁ τοῦ παιδὸς ἱερεὺς, τὸ μὲν τυραννικώτατον τῆς φύσεως ἴσχυσε καταπαλαῖσαι πάθος, καὶ παῖδα ἀνελεῖν ἐδυνήθη, καὶ παῖδα τὸν Ἰσαὰκ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει, ἐν αὐτῇ τῆς νεότητος τῇ ἀκμῇ, μονογενῆ, γνήσιον, καὶ παρὰ ἐλπίδα πᾶσαν αὐτῷ δεδομένον, καὶ ἀναγαγεῖν αὐτὸν ἐπὶ τὸ ὄρος ἴσχυσε· καὶ μάχαιραν ἥρπασε, καὶ διὰ τοῦ λαιμοῦ τοῦ παιδὸς τὸ ξίφος ὤθησε (καὶ γὰρ ὤθησε καὶ ἥμαξεν) ἀλλ' ὅμως ὁ τοσοῦτον καὶ τηλικοῦτον ἰσχύσας διανύσαι ἆθλον, καὶ αὐτῆς ἐξελθὼν τῆς φύσεως, πρὸς τοὺς ἀγῶνας τῆς παρθενίας ἀποδύσασθαι οὐκ ἐτόλμησεν· ἀλλ' ἔδεισε καὶ αὐτὸς τὰ σκάμματα ταῦτα, καὶ τὴν ἐκ τοῦ γάμου παραμυθίαν ἐπεσπάσατο.

Ἐκ τῆς πρὸς Ὀλυμπιάδα β. ἐπιστ.

Καὶ ὁ δίκαιος δὲ Ἰὼβ, ὃς τὴν τοῦ διαβόλου συνέκοψεν ὄψιν, παιόμενος, οὐ παίων, καὶ ἅπαν ὑπέμεινε πειρα-

Ἐκ τοῦ λόγ. τοῦ πρὸς τοὺς ἐς δὲ ὃν χειρομένους τοῦ ἀποστολικοῦ ῥητοῦ τοῦ λέγοντος, εἴτε προφάσει, εἴτε ἀληθείᾳ Χριστὸς καταγγέλ.

σμῶν

σμαὶ εἶδος· καὶ ἕκαστον μετ' ὑπερβολῆς ἁπάσης· τὰ γὰρ δοκοῦντα εἶναι κατὰ τὸν βίον λυπηρὰ, καὶ ὄντα, ταῦτα πάντα εἰς ἓν ἐξεχύθη σῶμα, καὶ μιᾶς κατεσκεδάσθη ψυχῆς τῆς ἐκείνου· ὁ τοσοῦτος οὖν καὶ τηλικοῦτος ἀνὴρ, ὁ τοσαύτας ἀνάγκας φύσεως καταπατήσας, οὐκ ἐτόλμησεν οὐδὲ αὐτὸς εἰς τὸν ἀγῶνα τοῦτον καθεῖναι· ἀλλὰ καὶ γυναικὸς ἀπέλαυσε, καὶ πατὴρ ἐγένετο παίδων τοσούτων. οὐδαμοῦ γὰρ ἀγαμίαν ἐνομοθέτησεν ὁ Θεός· ᾧ πρέπει δόξα καὶ τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κδ΄.

ΠΕΡΙ ΟΡΓΗΣ ΚΑΙ ΘΥΜΟΥ.

Ἐκ τῆς ἑρμην. τῆς κατὰ Ἰωάν. δ΄ ἀγ.

Βούλει μαθεῖν πόσον τὸ ὀργίζεσθαι κακόν; παράστηθι μαχομένοις ἐν ἀγορᾷ. ἐν γὰρ σαυτῷ τὴν ἀσχημοσύνην οὐ δύνασαι ῥᾳδίως ἰδεῖν, ἐσκοτωμένῳ καὶ μεθύοντι· ἀλλ' ὅταν καθαρεύσῃς τοῦ πάθους, τότε ἂν μᾶλλον θεωρήσειας τὰ σά. ὅταν γὰρ περὶ τὸ στῆθος ὁ θυμὸς ζέσας διανίσταται καὶ ἀγριαίνῃ, πῦρ πνέει τὸ στόμα, πῦρ ἀφιᾶσιν οἱ ὀφθαλμοὶ, οἰδεῖ πάντοθεν ἡ ὄψις, ἀτάκτως αἱ χεῖρες ἐκτείνονται, καὶ καταγελάστως οἱ πόδες πηδῶσι καὶ ἐνάλλονται τοῖς κατέχουσι, καὶ μαινομένων οὐδὲν διεστήκασιν, ἀλλ' οὐδὲ τῶν ἀγρίων ὄνων, λακτίζοντες, δάκνοντες. οὕτως ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. ἀλλ' οἰδαίνει, φησὶν, ἡ καρδία, καὶ ταῖς ὕβρεσι δάκνεται. οἶδα κἀγώ· διὰ γὰρ τοῦτο τοὺς κρατοῦντας θαυμάζω. ἂν γὰρ θέλωμεν, δυνατὸν διακρούσασθαι τὸ πάθος. διὰ τί γὰρ, ἀρχόντων ἡμᾶς ὑβριζόντων, τοῦτο μὴ πάσχομεν; ὅτι φόβος ἀντίρροπος ἕστηκε τοῦ πάθους ἡμῶν. διὰ τί καὶ οἱ οἰκέται παρ' ὑμῶν ὑβριζόμενοι μυρία, σιγῇ πάντα φέρουσιν; ὅτι καὶ αὐτοὶ τὸν αὐτὸν ἐπικείμενον ἔχουσι δεσμόν. νῦν δὲ ἀνθρώπων μὲν ἕνεκα καὶ τὰ ἀφόρητα φέρομεν, καὶ πρὸς τοὺς ὑβρίζοντας λέγομεν· ὁ δεῖνά με ὕβρισεν, οὐ σύ· ἐπὶ δὲ τοῦ Θεοῦ οὐδὲ ταύτην ἔχομεν τὴν εὐλάβειαν; εἴπωμεν δὲ πρὸς τὴν ἡμετέραν ψυχήν· ὁ Θεὸς ἡμᾶς ὑβρίζει νῦν, ὁ κελεύων σιγᾶν· μὴ σκιρτῶμεν, μηδὲ ἔστω Θεὸς εὐτελέστερος ἀνθρώπων. ὅταν οὖν σε λυπήσῃ τις, ἐννόησον τὰ ἡμαρτημένα σοι πρὸς τὸν Θεὸν, καὶ ὅτι τῇ πρὸς ἐκεῖνον ἐπιεικείᾳ πραότερόν σοι κατασκευάσεις τὸ δικαστήριον τῶν μελλουσῶν εὐθυνῶν. ἄφετε γὰρ, φησὶ, καὶ ἀφεθήσεται ὑμῖν. πρὸς τούτοις δὲ κἀκεῖνο σκόπησον, εἴ ποτε εἰς ἀγριότητα ἐξενεχθεὶς ἐκράτησας σαυτοῦ, καὶ εἴ ποτε περιεσύρης ὑπὸ τοῦ πάθους, καὶ ἀμφοτέρους παράβαλε τοὺς καιρούς· πότε σαυτὸν ἐπῄνεσας; ἡνίκα ἡττήθης, ἢ ὅτε σαυτοῦ ἐκράτησας; οὐχὶ τότε μὲν καταρώμεθα ἑαυτοῖς πολλάκις, καὶ πολὺ τὸ τῆς μεταμελείας ἡμῖν ἐπεισέρχεται, καὶ ῥημάτων ἕνεκα καὶ πραγμάτων, ὅταν δὲ περιγενώμεθα, τρυφῶμεν, γαυριῶμεν, ὡς νενικηκότες; νίκη γὰρ ἐπὶ τῆς ὀργῆς, οὐ τὸ τοῖς ἴσοις ἀμύνεσθαι (ἐσχάτη γὰρ αὕτη ἧττα ἐστὶν) ἀλλὰ τὸ πράως ἐνεγκεῖν παθόντα κακῶς καὶ ἀκούσαντα. μὴ πρὸς τοὺς παραινοῦντας σιγᾶν ἀντίτεινε λέγων· οὐκ ἀνέξομαι ἵνα μου καταγελάσας ὁ δεῖνα ἀπέλθῃ. οὐ γὰρ δὴ τότε σου καταγελάσεται, ἀλλ' ὅταν ἐπεξέλθῃς. εἰ δὲ καὶ τότε καταγελάσεται, ὡς ἀνόητος καὶ τοῦτο πείσεται· σὺ δὲ μὴ ζήτει νικᾶν τὴν παρὰ τῶν ἀνοήτων μαρτυρίαν, ἀλλ' ἀποχρῶσαν νόμιζε τὴν παρὰ τῶν συνετῶν· μᾶλλον δὲ πρὸς τὸν Θεὸν ἀνάβλεψον, κἀκεῖνός σε ἐπαινέσεται. τὸν δὲ παρ' ἐκείνου θαυμαζόμενον οὐ δεῖ τὴν παρὰ τῶν ἀνθρώπων τιμὴν ἐπιζητεῖν. κἂν χρήματά τις ἔχῃ πολλὰ καὶ κτήματα, οὕτως αὐτοῖς κεχρήσθω, ὡς πάροικος, καὶ μικρὸν ὕστερον αὐτῶν ἀποστησόμενος καὶ ἑκὼν καὶ ἄκων. κἂν ἠδικημένος τις ᾖ παρά τινος, μὴ ἀθάνατα ὀργιζέσθω, μᾶλλον δὲ μηδὲ πρόσκαιρα. Μὴ ἐπιδυέτω γὰρ, φησὶν, ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. (Ἐφ. δ΄.) καὶ γὰρ οἰκίας ὁλοκλήρους ἀνέτρεψε, καὶ συνηθείας ἀρχαίας διέλυσε, καὶ τραγῳδίας ἀπαραμυθήτους εἰργάσατο τοῦτο τὸ πάθος. ὅταν οὖν ἐπηρεάζῃ σέ τις, μὴ πρὸς αὐτὸν ἴδῃς, ἀλ-

λὰ

λα πρὸς τὸν κινοῦντα τοῦτον δαίμονα, καὶ τὴν ὀργὴν ἅπασαν κατ' ἐκείνου κένωσον· αὐ-
τὸν δὲ καὶ ἐλέει τὸν ὑπ' ἐκείνου κινούμενον. εἰ γὰρ τὸ ψεύδεσθαι ἀπὸ τοῦ διαβόλου,
τὸ ὀργίζεσθαι εἰκῆ πολλῷ μᾶλλον ἐκεῖθεν. Ὀργίζεσθαι μὲν οὖν οὐκ ἔνι, μηδενὸς ὄντος
τοῦ παροξύνοντος· ἐπιθυμεῖν δὲ ἀνάγκη, καὶ τῆς ὄψεως τῆς εἰς τοῦτο κινούσης μὴ φαινομένης.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, Πάτερ ἡμῶν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ὅταν σε ὑβρίσῃ τις, ἐννόησον τὴν κόλασιν, ἣν κολάζεται· καὶ οὐ μόνον οὐχ ἕξεις ὀργὴν, ἀλλὰ
καὶ δάκρυα ἀφήσεις. οὐδὲ γὰρ πρὸς τὸν πυρέττοντά τις παροξύνεται, οὐδὲ πρὸς τὸν φλεγ-
μαίνοντα, ἀλλ' ἐλεεῖ πάντας τοὺς τοιούτους καὶ δακρύει. εἰ δὲ καὶ ἀμύνασθαι βούλει, σίγησον,
καὶ καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν· ἂν δὲ δηχθεὶς ὑβρίσῃς, ἀναγκάζεις ἀληθῆ νομίζε-
σθαι τὰ λεγόμενα. διὰ τί γὰρ ὁ πλούσιος ἀκούων ὅτι πένης ἐστὶ, γελᾷ; ὅτι μὴ σύνοιδεν
ἑαυτῷ πενίαν. ἂν τοίνυν μέλλωμεν γελᾶν ἐπὶ ταῖς ὕβρεσι, μεγίστην ἀπόδειξιν παρεξόμεθα
τοῦ μὴ συνειδέναι τοῖς λεγομένοις. ὕβρισέ σε καὶ ἐλοιδόρησέ τις; παρακάλεσον τὸν Θεὸν, ὥστε
ἵλεων αὐτῷ γενέσθαι ταχέως. ἀδελφός ἐστι σὸς, μέλος ἐστὶ σόν. ἀλλὰ πλέον ἐπεμβαίνει
μοι, φησίν. οὐκοῦν διὰ ταῦτά σοι μείζων ὁ μισθός. διὰ ταῦτα μάλιστα τὸν θυμὸν ἀ-
φεῖναι δίκαιον, ἐπειδὴ ἔτρωσεν αὐτὸν ὁ διάβολος. μὴ τοίνυν ἐπιπλήξῃς καὶ σὺ, μηδὲ καταβά-
λῃς σαυτὸν μετ' ἐκείνου. ἕως μὲν γὰρ ἂν ἑστήκῃς, δύνασαι κἀκεῖνον διασῶσαι· ἂν δὲ καὶ
σαυτὸν καταρρίψῃς διὰ τοῦ ἀνθυβρίσαι, τίς ὑμᾶς ἀναστήσει λοιπόν; ἐκεῖνος ὁ τρωθείς; ἀλλ'
οὐ δυνήσεται κείμενος. ἀλλὰ σὺ ὁ πεσὼν μετ' ἐκείνου; καὶ πῶς ὁ οὐκ ἀρκέσας σαυτῷ,
χεῖρα ὀρέξεις ἑτέρῳ; ἔτρωσεν αὐτὸν ὁ διάβολος, μὴ τρώσῃς καὶ σύ· ἀλλὰ καὶ τὸ πρότερον
ἔκβαλε βέλος. ἂν γὰρ οὕτως ἀλλήλοις ὁμιλῶμεν, ταχέως ὑγιεῖς πάντες ἐσόμεθα· ἂν δὲ κατ'
ἀλλήλων καθοπλιζώμεθα, οὐδὲ τοῦ διαβόλου χρεία πρὸς τὴν ἡμετέραν ἀπώλειαν. ἀλλ'
ἔπαθες πρότερος κακῶς; ἀλλ' οὐ τὸ κακῶς παθεῖν ἐστιν ἄθλιον, ἀλλὰ τὸ ποιῆσαι κακῶς.

Ἐκ τῆς πρὸς τοὺς Ἐφεσ.

Μὴ γὰρ εἴπῃς, οὐδέν ἐστι κακὸν, ἂν τὸν δεῖνα ὑβρίσω. διὰ τοῦτο μέγα ἐστὶ κακὸν, ἐπειδὴ οὐδὲν εἶναι
δοκεῖ. τὰ γὰρ μηδὲν εἶναι δοκοῦντα εὐκόλως καὶ καταφρονεῖται· τὰ δὲ καταφρονούμενα καὶ αὔξεται,
τὰ δὲ αὐξανόμενα καὶ ἀνίατα γίνεται. οὐδὲν τοίνυν ἡγῇ ποιεῖν δεινὸν τοῦ ἀδελφοῦ κατηγορῶν; πῶς
οὖν καλεῖς ἀδελφόν; εἰ δὲ οὐκ ἔστιν ἀδελφὸς, πῶς λέγεις, Πάτερ ἡμῶν; τὸ γὰρ, ἡμῶν, πολ-
λῶν ἐστι προσώπων σημαντικόν.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, Πάτερ ἡμῶν.

Οὐ γὰρ δύναται πατέρα καλεῖν τὸν φιλάνθρωπον
Θεὸν ὁ τὴν γνώμην ἔχων θηριώδη καὶ ἀπάνθρωπον· οὐδὲ γὰρ σώζει τοὺς χαρακτῆρας τῆς
ἐν τῷ ἐπουρανίῳ πατρὶ ἀγαθότητος, ἀλλ' εἰς τὸ θηριῶδες εἶδος ἑαυτὸν μετεμόρφωσε, καὶ
τῆς θεϊκῆς εὐγενείας ἐξέπεσεν. ὅταν γάρ τις σκιρτᾷ μὲν ὡς ταῦρος, λακτίζῃ δὲ ὡς ὄνος, μνη-
σικακῇ δὲ ὡς κάμηλος, καὶ γαστριμαργῇ μὲν ὡς ἄρκτος, ἁρπάζῃ δὲ ὡς λύκος, πλήττῃ δὲ ὡς σκορ-
πίος, ὕπουλος δὲ ᾖ ὡς ἀλώπηξ, χρεμετίζῃ δὲ ἐπὶ γυναιξὶν ὡς ἵππος θηλυμανής· πῶς δύ-
ναται ὁ τοιοῦτος τὴν υἱῷ πρέπουσαν ἀναπέμψαι φωνὴν, καὶ πατέρα ἑαυτοῦ καλεῖν τὸν Θεόν;
τί οὖν ὀνομάζεσθαι χρὴ τὸν τοιοῦτον; θηρίον; ἀλλὰ τὰ θηρία ἑνὶ τούτων τῶν ἐλαττωμά-
των κατέχεται· οὗτος δὲ πάντα συναγαγὼν ἐν ἑαυτῷ, καὶ τῆς ἐκείνων ἀλογίας γίνεται ἀλο-
γώτερος. τὰ μὲν γὰρ θηρία, καίτοι κατὰ φύσιν ὄντα ἄγρια, ἀνθρωπίνης ἀπολαύσαντα τέχνης,
ἥμερα πολλάκις γίνεται· οὗτος δὲ ἄνθρωπος ὢν, καὶ τὴν ἀγριότητα ἐκείνων τὴν κατὰ φύσιν εἰς
τὴν ἡμερότητα μεταβάλλων τὴν παρὰ φύσιν, ποίαν ἕξει ἀπολογίαν, τὴν ἑαυτοῦ πραότη-
τα τὴν κατὰ φύσιν εἰς ἀγριότητα ἐξάγων τὴν παρὰ φύσιν, καὶ τὸ μὲν ἄγριον φύσει ποιῶν
ἥμερον, ἑαυτὸν δὲ τὸν ἥμερον φύσει, ποιῶν ἄγριον, καὶ λέοντα μὲν τιθασσεύων καὶ χειροήθη ποιῶν,
τὸν δὲ θυμὸν τὸν ἴδιον λέοντος κατασκευάζων ἀγριώτερον; καὶ γὰρ τὸν μὲν λέοντα ἡμεροῖ καὶ ποιεῖ
ἄνθρωπον, ἑαυτὸν δὲ περιορᾷ ἐξ ἀνθρώπου γινόμενον λέοντα· καὶ ἐκείνῳ μὲν τὰ ὑπὲρ φύσιν
χαρίζεται, ἑαυτῷ δὲ οὐδὲ τὰ κατὰ φύσιν πορίζεται.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Εἰ οὐδὲν οὕτως ὁμοιοῖ τῷ Θεῷ, ὡς τὸ
τοῖς ἀδικοῦσιν εἶναι συγγνωμονικὸν τὸν ἀδικούμενον· πόσης οὐκ ἂν εἶεν κολάσεως ἄξιοι οἱ μετὰ
ταῦτα πάντα μὴ μόνον αὐτοῖς οὐκ ἀφιέντες, ἀλλὰ καὶ τὸν Θεὸν ἐπὶ τὴν ἄμυναν τῶν ἐχθρῶν
παρακαλοῦντες,

παρακαλοῦντες, καὶ κατ' αὐτὴν ἐντυγχάνοντες. τίνα δὲ λοιπὸν ἕξουσι σωτηρίας ἐλπίδα, ὅταν καὶ ἡνίκα ἐξιλεοῦσθαι αὐτὸν δέῃ, καὶ τότε αὐτὸν παροξύνωσιν, ἱκετῶν μὲν σχῆμα περικείμενοι, θηρίων δὲ φωνὰς ἀφιέντες, καὶ καθ' ἑαυτῶν τὰ τοῦ πονηροῦ βέλη ἐξακοντίζοντες. Εἰ γὰρ ὅτι ἔλεως χρείαν ἔχεις, οὐδὲ τότε ἀφίης τὴν ὀργὴν, ἀλλὰ καὶ σφόδρα αὐτῆς μέμνησαι, καὶ ταῦτα εἰδὼς ὅτι κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς· πότε δυνήσῃ γενέσθαι φιλάνθρωπος;

Ἐκ τῆς πρὸς Ἐφ. (ἄλλ. ιϛ) ἐπιστ.

Ἔπαθες κακῶς, καὶ ἀμύνασθαι βούλει τῷ κακῶς σοι ποιήσαντι; ποίησον αὐτῷ καλῶς, καὶ ἠμύνω. ἂν μὲν γὰρ ἐπεξέλθῃς, ὁμοίως καὶ σὲ κἀκεῖνον ἅπαντες μέμψονται· ἂν δὲ ἐνέγκῃς, σὲ μὲν κροτήσουσι καὶ θαυμάσονται, ἐκεῖνον δὲ κατηγορήσουσι. τί δὲ ἐχθρῷ γένοιτ' ἂν μεῖζον κακὸν καὶ πικρότερον, τοῦ τὸν ἐχθρὸν ἰδεῖν παρὰ πάντων θαυμαζόμενον καὶ κροτούμενον, ἑαυτὸν δὲ παρὰ πάντων ὑβριζόμενον ἐπ' ὄψεσι τοῦ ἐχθροῦ;

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἑβρ. ἐπιστ.

Θηρίον ἐστὶν εὐκόλως ἐκπηδῶν ὁ θυμός· καὶ διὰ τοῦτο μυρίων θριγκίων καὶ διαφραγμάτων ἡμῖν δεῖ πρὸς τὸ περιγενέσθαι αὐτοῦ καὶ κατασχεῖν. διὰ γὰρ τοῦτο ἡμῖν μάλιστα τοῦτο τὸ μέρος ὥσπερ ἔκ τινων λίθων τῶν ὀστῶν ᾠκοδόμησεν ὁ Θεὸς, ἔρεισμα αὐτῷ θεὶς, ὥστε μὴ διαρρήξαντά ποτε, μηδὲ διατεμόντα, εὐκόλως τὸ πᾶν λυμήνασθαι ζῶον. πῦρ γάρ ἐστι, φησὶ, καὶ ζάλη μεγάλη· καὶ οὐκ ἂν ἕτερον μέρος τοῦ ὅλου σώματος ταύτην ἂν τὴν βίαν ἀνάσχοιτο.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Οὐχ οὕτω λέων τὰ σπλάγχνα διασπαράξαι δύναται τὰ ἡμέτερα, ὡς θυμὸς τοῖς σιδηροῖς ὄνυξι διηνεκῶς ἐγκαθήμενος ἀπόλλυσιν ἅπαντα. οὐ γὰρ δὴ τῷ σώματι λυμαίνεται μόνον, ἀλλὰ καὶ αὐτὴν τῆς ψυχῆς διαφθείρει τὴν ὑγείαν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ.

Ὅταν οὖν ἐλθών τις εἴπῃ σοι, ὅτι ὁ δεῖνά σε ὕβρισε, καὶ κακῶς σε πρὸς ἅπαντας λέγων διατελεῖ, ἐπαίνεσον πρὸς τοὺς παρόντας τὸν ὑβρικότα· κἂν σφόδρα ὦσιν ἀνόητοι, σὲ μὲν ἐπαινέσονται καὶ θαυμάσονται, ἐκεῖνον δὲ μισήσουσιν, ὡς θηρίου παντὸς χαλεπώτερον, ὅτι ὁ μὲν οὐδὲν ἠδικημένος ἐλύπησε, σὺ δὲ καὶ κακῶς παθὼν, τοῖς ἐναντίοις ἠμείψω. πρὸς τούτοις δὲ, καὶ τὰ εἰρημένα πάντα δυνήσῃ δεῖξαι ἕωλα ὄντα. ὁ μὲν γὰρ δακνόμενος, τοῦ συνειδέναι τοῖς λεγομένοις ἀπόδειξιν παρέχεται τὸ ἀλγεῖν· ὁ δὲ καταγελάσας, αὐτῷ τούτῳ παρὰ τοῖς παροῦσι πάσης ἀπήλλαξεν ἑαυτὸν ὑποψίας. Εἰ δὲ καὶ ἐκεῖνον ἀμύνασθαι ἐπιθυμεῖς, καὶ τοῦτο ἐκ περιουσίας ἕψεται, καὶ τοῦ Θεοῦ κολάζοντος αὐτὸν ἀνθ' ὧν εἴρηκε, καὶ πρὸ τῆς κολάσεως ἐκείνης τῆς σῆς φιλοσοφίας ἀντὶ καιρίας αὐτῷ γινομένης πληγῆς. οὐδὲν γὰρ οὕτω τοὺς ὑβρίζοντας ἡμᾶς κολάζειν εἴωθεν, ὡς τὸ τοὺς ὑβριζομένους ἡμᾶς καταγελᾶν τῶν ὕβρεων. ὅταν δὲ ὑβρισθεὶς ἀνθυβρίσῃς, ἡττήθης, οὐχ ὑπὸ ἀνθρώπου, ἀλλ', ὅπερ ἐστὶν αἴσχιον, ὑπὸ πάθους ἀνελευθέρου τοῦ θυμοῦ κινηθείς. ἂν δὲ σιγήσῃς, καὶ ἐνίκησας, καὶ ἀπονητὶ τὸ τρόπαιον ἔστησας, καὶ μυρίους ἕξεις τοὺς στεφανοῦντας, καὶ τοῦ τῆς λοιδορίας ψεῦδος καταγινώσκοντας. ὁ μὲν γὰρ ἀντιλέγων, ὡς δακνόμενος ἀντερεῖν δοκεῖ· ὁ δὲ δακνόμενος ὑπόνοιαν παρέχει τοῦ συνειδέναι τοῖς λεγομένοις. ἂν δὲ καταγελάσῃς, τῷ τε γέλωτι τὴν κατὰ σαυτοῦ ψῆφον ἐξέλυσας, καὶ τὸν ὑβρίσαντα μᾶλλον ἀλγεῖν ἐντεῦθεν ἐποίησας. οὐδὲ γὰρ οὕτως ἥδεται τῷ μὴ ὑβρίζεσθαι, ὡς δάκνεται τὸ μὴ δύνασθαί σου καθάψασθαι. ὅταν οὖν οὗ μάλιστα ἐπιθυμεῖ, τούτου μάλιστα ἀποστερήσῃς αὐτὸν, τοῦ παντὸς ἀπεστέρησας, ἐξευτέλισας καὶ δείξας εὐκαταφρόνητον.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς ἀνδριάντας.

Οὐ γὰρ οὕτω τὸ κρατῆσαι πολεμίων λαμπροὺς ποιεῖ τοὺς βασιλεύοντας, ὡς τὸ κρατῆσαι θυμοῦ καὶ ὀργῆς. ἐκεῖ μὲν γὰρ τῶν ὅπλων καὶ τῶν στρατιωτῶν τὸ κατόρθωμα γίνεται· ἐνταῦθα δὲ γυμνὸν σόν ἐστι τὸ τρόπαιον· καὶ ἐκεῖ μὲν καὶ ἑτέρους ἔχεις τοὺς συμμερίζοντας τὴν νίκην, ἐνταῦθα δὲ μόνος τὸ τρόπαιον ἔστησας.

Ἐκ τῆς ἑρμην. τοῦ ζ'. Ψαλ.

Ὅταν οὖν σε ὑβρίσῃ τις, φέρε γενναίως· ἑαυτὸν γὰρ, οὐ σὲ ὕβρισεν. ἂν πλήξῃ, τὴν δεξιὰν μὴ ἀντιτείνῃς· ἐκεῖνος γάρ ἐστιν ὁ πληττόμενος, σὲ μὲν τῇ χειρὶ, ἑαυτὸν δὲ τῷ θυμῷ παίων, καὶ πονηρὰν παρὰ πάντων λαμβάνων δόξαν. Εἰ δὲ δοκεῖ σοι δύσκολα ταῦτα εἶναι, ἐννόησον, ὅτι εἰ μαινόμενός τις τὸ ἱμάτιόν σου περιέρρηξε, τίνα ἂν ἔφης πάσχειν κακῶς, σὲ τὸν παθόντα, ἢ ἐκεῖνον τὸν ποιήσαντα; εὔδηλον ὅτι ἐκεῖνον. Εἶτα ἔνθα μὲν σοι ἱμάτιον

διαρρήγνυται,

διαρρήγνυται, ὁ ποιήσας τοῦ παθόντος χαλεπώτερα πέπονθεν· ἔνθα δὲ καρδία διαρρήγνυ-
ται (ὁ γὰρ θυμὸς τοῦτο ποιεῖ) οὐκ ἐκεῖνον ἡγήσῃ μείζονα πεπονθέναι δεινὰ σοῦ τοῦ μικρὸν ὁτιοῦν
ὑπομείναντος; Εἰ κακὸν ἀντὶ κακοῦ οὐ χρὴ ἀποδιδόναι, πολλῷ μᾶλλον κακὸν ἀντὶ ἀγαθοῦ,
καὶ μὴ προϋπάρξαντος κακοῦ, ἀποδοῦναι κακόν. ἀλλ' ὁ δεῖνα, φησὶ, πονηρός ἐστι, καὶ ἐλύπησε,
καὶ πολλά με ἠδίκησε. βούλει αὐτὸν ἀμύνασθαι; μὴ ἀνταποδῷς· ἔασον ἀτιμώρητον, ἀπραγ-
μόνησον. αὕτη γὰρ ὄντως ἄμυνα, κἀκείνῳ βλάβην φέρουσα, καὶ ὠφέλειάν σοι. ἀπὸ ταύτης
γὰρ χαρὰ τίκτεται. ὅταν γὰρ τοιαύτην ἔχωμεν ψυχὴν, ὥστε μηδένα ἀμύνεσθαι, ἀλλὰ
πάντας εὐεργετεῖν, πόθεν, εἰπέ μοι, τὸ τῆς λύπης κέντρον παρεισελθεῖν δυνήσεται; ὁ γὰρ οὕτω
χαίρων τῷ παθεῖν κακῶς, ὡς καὶ εὐεργεσίαις ἀμείβεσθαι τὸν πεποιηκότα κακῶς, πῶς δυνή-
σεται ἀνιαθῆναι λοιπόν; τί γὰρ, εἰπέ μοι, κακὸν πέπονθας; νόσος ἐπέπεσεν; ἀλλ' οὐδὲν ξένον·
θνητὸν γὰρ ἡμῖν τὸ σῶμα καὶ παθητόν. ἀλλὰ πενία χρημάτων; ἀλλὰ καὶ ταῦτα κτητὰ, καὶ
ἀπόκτητα, καὶ ἐνταῦθα μένοντα. ἀλλ' ἐπιβουλαὶ καὶ συκοφαντίαι; ἀλλ' οὐχ ἡμεῖς ἀδικούμε-
θα ἐν τούτοις, ἀλλ' ἐκεῖνοι οἱ πεποιηκότες· Ψυχὴ γὰρ, φησὶν, ἡ ἁμαρτάνουσα, αὐτὴ καὶ ἀποθανεῖ-
ται. ἥμαρτε δὲ οὐχ ὁ παθὼν κακῶς, ἀλλ' ὁ ποιήσας κακῶς. Μηδὲν τοίνυν οὕτω σπουδάζωμεν,
ἀγαπητοὶ, ὡς ὀργῆς καθαρεύειν, καὶ τοὺς πρὸς ἡμᾶς ἀηδῶς ἔχοντας καταλλάττειν, εἰδότες,
ὅτι οὔτε εὐχὴ, οὔτε ἐλεημοσύνη, οὔτε νηστεία, οὔτε κοινωνία μυστηρίων, οὔτε ἄλλο τῶν τοιούτων οὐ-
δὲν, ἐὰν μνησικακῶμεν, δυνήσεται ἡμᾶς προστῆναι κατὰ τὴν ἡμέραν ἐκείνην. ὥστε οὐκ
ἄν τις ἁμάρτοι, πάσης ἁμαρτίας χαλεπωτέραν ταύτην ἀποφηνάμενος. οὐδένα γὰρ οὕτως
ὁ Θεὸς μισεῖ καὶ ἀποστρέφεται, ὡς ἄνθρωπον μνησίκακον καὶ διατηροῦντα ὀργήν. Πῶς γὰρ
βούλει τὸν δεσπότην ἥμερόν σοι γενέσθαι καὶ πρᾶον, τῷ συνδούλῳ γινόμενος αὐτὸς χαλεπὸς καὶ
ἀσύγγνωστος; ἀλλ' ὕβρισέ σε ὁ σύνδουλός σου; καὶ σὺ τὸν Θεὸν ὕβρισας πολλάκις. ποῦ δὲ ἴσον
σύνδουλος καὶ δεσπότης; καὶ οὗτος μὲν ἐκπαθεὶς καὶ ἠδικημένος ἴσως ὕβρισε, καὶ παροξυνθείς· σὺ
δὲ τὸν Θεὸν ὕβρισας οὐκ ἠδικημένος, οὐδὲ ἐπηρεασμένος, ἀλλ' εὐεργετούμενος ὑπ' αὐτοῦ καθ'
ἑκάστην ἡμέραν. καὶ τίνα ἕξομεν ἀπολογίαν ἢ συγγνώμην; ἐννόησον τοίνυν, ὅτι, εἰ βου-
ληθείη μετ' ἀκριβείας τὰ εἰς αὐτὸν γινόμενα ὁ Θεὸς ἐξετάζειν, οὐδὲ μίαν βιωσόμεθα ἡ-
μέραν. Ἀνομίας γὰρ, φησὶν, ἐὰν παρατηρήσῃς Κύριε, Κύριε, τίς ὑποστήσεται;
Ἄκουε δὲ τοῦ Χριστοῦ λέγοντος, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ,
ὅστις ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσην-
έχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. ἆρα πόσα ἐνεπιστεύθη, ὅτι τοσαῦτα κατέ-
φαγε; καὶ οὐχὶ τοῦτο μόνον ἦν τὸ χαλεπὸν, ἀλλ' ὅτι καὶ πρῶτος προσηνέχθη τῷ δεσπότῃ. εἰ
μὲν γὰρ μετὰ πολλοὺς ἑτέρους εὐγνωμονήσαντας οὗτος εἰσηνέχθη, οὐχ οὕτω θαυμαστὸν ἦν τὸ μὴ
προσκυνηθῆναι τὸν δεσπότην. ἡ γὰρ τῶν φθασάντων εὐγνωμοσύνη τοῖς μὴ τοιαῦτα εὐγνωμο-
νήσασιν ἡμερώτερον αὐτὸν ἔμελλε ποιεῖν. τὸ δὲ πρῶτον εἰσαχθέντα ἀγνώμονα φανῆναι, καὶ
οὕτως ἀγνώμονα γινόμενον φιλανθρώπου τυχεῖν τοῦ δεσπότου, τοῦτο ἐστὶ τὸ μάλιστα θαυμα-
στὸν καὶ παράδοξον. ἄνθρωποι μὲν γὰρ ἐπειδὰν εὕρωσι τοὺς ὀφείλοντας, ὥσπερ θήραν ἢ ἄ-
γραν εὑρόντες, οὕτω γεγήθασι, καὶ πάντα ποιοῦσιν ὅπως τὸ πᾶν ἀπαιτήσωσι· κἂν μὴ δυ-
νηθῶσι διὰ τὴν πενίαν τῶν ὀφειλόντων, τὴν ὑπὲρ τῶν χρημάτων ὀργὴν εἰς τὸ ταλαίπω-
ρον τῶν ἀθλίων ἐκχέουσι σῶμα, αἰκίζοντες, τύπτοντες, καὶ μυρία αὐτὸ διατιθέντες κακά. ὁ δὲ
Θεὸς τοὐναντίον. ἐπὶ γὰρ ἡμῶν τὸ ἀπαιτῆσαι, πλοῦτος· ἐπὶ δὲ Θεοῦ τὸ συγχωρῆσαι μά-
λιστα πλοῦτος. Εἰ σκεῦος ἀκάθαρτόν τις λαβὼν, ἐπὶ τῆς τραπέζης κατέθετο τῆς σῆς,
ξύλοις ἂν αὐτὸν παίων ἤλασας· τὸν δὲ Θεὸν ἐπὶ τῆς τραπέζης τῆς αὐτοῦ (τράπεζα γὰρ αὐτοῦ
τὸ στόμα ἡμέτερον) σκεύους ἀκαθάρτου παντὸς ῥήματα βδελυρώτερα προσφέρων οὐκ οἴει
παροξύνειν, εἰπέ μοι; καὶ πῶς ἔνι τοῦτο; βέλτιον σποδὸν ἀπὸ τοῦ στόματος ἀφιέναι, ἢ ῥῆμα
αἰσχρόν. οὐδὲν γὰρ οὕτω τὸν ἅγιον Θεὸν παροργίζει, ὡς τὰ τοιαῦτα ῥήματα. οὐδὲν οὕτως ἱ-

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσ. α΄ ἐπιστ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, Ὡμοιώθη ἡ βασιλεία τῶν ἔργων ἀνθρώπῳ οἰκοδεσπότῃ.

Ἐκ τῶν ἀνδριάντ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ.

Ματθ. ιη. κγ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β΄ ἐπιστ.

σαμοὺς καὶ ἀναισχύντους ποιεῖ, ὡς τὸ λέγειν τὰ τοιαῦτα, καὶ ἀκούειν. οὐδὲν οὕτως ἐκλύει τὰ νεῦρα τῆς σωφροσύνης, ὡς ἡ διὰ τούτων ἀναπτομένη καὶ διεγειρομένη φλόξ. Βούλει μαθεῖν

Ἐκ τῆς αὐτῆς.

ὅσον τὸ αἰσχρὰ φθέγγεσθαι κακόν; ἐννόησον τοὺς ἀκούοντας πῶς ἐρυθριῶσιν ἐν τῇ ἀσχημοσύνῃ τῇ σῇ. τί γὰρ εὐτελέστερον ἀνδρὸς αἰσχρολόγου; τί δὲ ἀτιμότερον; εἰς γὰρ τὴν τῶν μίμων ὠθεῖ ἑαυτὸν ὁ τοιοῦτος τάξιν· μᾶλλον δὲ ἐκεῖνοι ἐρυθριῶσιν, οὗτος δὲ οὐκ ἔστι. καὶ καθάπερ βόρβορόν τινα ἀπὸ τοῦ στόματος ἀφιείς, οὕτως ἑαυτὸν μολύνει τοῖς τοιούτοις ῥήμασιν. εἰ δὲ τὸ ῥεῖθρον οὕτως ἀκάθαρτον, ἐννόησον οἵα ἡ πηγὴ τοῦ βορβόρου τούτου. Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ.

Ματθ ιβ. λδ.

Ἐκ τ ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ὅταν οὖν ἴδωμέν τινας μαχομένους καὶ συρρηγνυμένους ἀλλήλοις, πάντα ποιῶμεν καὶ σπουδάζωμεν, ὥστε αὐτοὺς τῆς τοιαύτης ἀπαλλάττειν κακίας, καὶ μὴ θέατρον περιϊστῶντες διαβολικὸν, καὶ ταῖς ἑτέρων ἀσχημοσύναις ἐπευφραινώμεθα. τί γὰρ τούτου γένοιτ' ἂν ὠμότερον, ἢ κυνικώτερον; ὁρᾷς κακῶς πάσχοντας καὶ διαρρηγνυμένους, καταξαίνοντας τὴν ἐσθῆτα, συγκοπτομένους τὸ πρόσωπον, καὶ ὑπομένεις ἡσυχῇ παρεστάναι; μὴ γὰρ ἄρκτος ἐστὶν ὁ μαχόμενος; μὴ γὰρ θηρίον; ἄνθρωπός ἐστιν ὁ πανταχοῦ σοι κοινωνῶν, ἀδελφός ἐστι, μέλος ἐστί. μὴ θεώρει, ἀλλὰ διάλυε· μὴ ἑτέρους παρακάλει ἐπὶ τὴν ἀσχημοσύνην, ἀλλὰ καὶ τοὺς συνειλεγμένους ἀποσόβει. ὁρᾷς ἄνθρωπον ἀσχημονοῦντα, καὶ οὐχ ἡγῇ αὐτὸς ἀσχημονεῖν, οὐδὲ εἰσέρχῃ μέσος, καὶ τὰ τῶν ἀδελφῶν διαλύεις κακά; ἵνα καὶ αὐτὸς πληγὰς λάβω, φησί; μάλιστα μὲν οὐ πείσῃ τοῦτο. ἂν δὲ καὶ πάθῃς, μαρτύριόν σοι τὸ πρᾶγμά ἐστι· διὰ γὰρ τὸν Θεὸν ἔπαθες. Εἰ γὰρ ἐχθρῶν ὄνον καταπίπτοντα μὴ περιορᾶν τοῖς Ἰουδαίοις ἐκέλευσεν ὁ Θεός, οὐ πολλῷ μᾶλλον ἀνθρώπων ψυχὰς ὀρέγειν καὶ συναγωνίσασθαι χρή;

Ἐκ τ ἑρμην. τ περὶ Θεσ. α. ἐπι.

Ὅταν διαστῶμεν, οὐκ ἔτι τοῦ συνελθεῖν ἐσμὲν κύριοι, ἀλλ' ἑτέρους ἀναμένομεν. ἕκαστος αἰσχύνεται καὶ ἐρυθριᾷ ἐπιμελεῖσθαι καταλλάξαι τὸν ἕτερον. ὁρᾷ διαστῆναι μὲν καὶ διαχωρισθῆναι οὐκ αἰσχύνεται, ἀλλὰ τοῦ κακοῦ γενέσθαι ἀρχηγός, προσελθεῖν δὲ καὶ τὸ ἐσχισμένον ῥάψαι αἰσχύνεται.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς ἀνδριάντ.

Ἐὰν μὲν οὖν παρὰ ἑτέρου παρακληθεὶς ἀφῇς τὴν ὀργὴν, ἐκείνου λογίζεται τὸ κατόρθωμα. οὐ γὰρ τῷ Θεῷ πειθόμενος, ἀλλ' ἐκείνῳ χαριζόμενος τὸν νόμον ἐπλήρωσας. ἐὰν δὲ μηδενὸς παρακαλοῦντος, μήτε αὐτοῦ τοῦ λελυπηκότος πρὸς σὲ παραγινομένου καὶ δεηθέντος, αὐτὸς πᾶσαν αἰσχύνην καὶ πάντα ὄκνον ῥίψας ἀπὸ τῆς διανοίας, προσδράμῃς τῷ ἠδικηκότι, καὶ καταλύσῃς τὴν ὀργὴν, ὁλόκληρον σὺ γίνῃ τὸ κατόρθωμα, καὶ τὸν πάντα λήψῃ μισθὸν, καὶ κληρονόμος γενήσῃ τῆς βασιλείας τῶν οὐρανῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. κβ.

ΠΕΡΙ ὍΡΚΩΝ.

χ ίμ

Ἐκ τοῦ λόγ. τ εἰς ἀνδριάντ.

ΜΗ τῆς κατὰ ψυχὴν ἀρετῆς ἀμελῶμεν, ἀγαπητοί. ποία γὰρ ὀδύνη, εἰπέ μοι, ὀργὴν ἀφεῖναι τῷ λελυπηκότι; ὀδύνη μὲν οὖν ἐστι τὸ μνησικακεῖν, καὶ μὴ καταλλάττεσθαι. ποῖος πόνος μὴ κακῶς εἰπεῖν μηδένα; ποία δυσκολία ἀπαλλαγῆναι φθόνου καὶ ἔριδος καὶ βασκανίας; ποῖος μόχθος ἀγαπᾶν τὸν πλησίον; ποῖος κάματος μὴ ὀμνύναι; πολλάκις γὰρ ὑπὸ θυμοῦ καὶ ὀργῆς κατεχόμενοι ὠμόσαμεν μηδέποτε διαλλάττεσθαι τοῖς λελυπηκόσιν, εἶτα τῆς ὀργῆς σβεσθείσης βουληθέντες καταλλαγῆναι ὑπὸ τῆς ἀνάγκης τῶν ὅρκων, ὥσπερ τινὶ παγίδι κατεχόμενοι, τοῦτο ποιῆσαι οὐ βουλόμεθα· ὡς δυοῖν θάτερον πάθοιμεν, ἢ καταλλαγέντες ἐπιορκήσομεν, ἢ μὴ καταλλαγέντες τοῖς τῆς μνησικακίας ἐπιτιμίοις ὑπευθύνους ἑαυτοὺς καταστήσομεν. πῶς γὰρ οὐκ ἄτοπον, ἱμάτιον μὲν ἔχοντας τῶν λοιπῶν βέλτιον, μὴ αἰσχύνεσθαι συνεχῶς αὐτῷ καταχρᾶσθαι, τὸ δὲ τοῦ

Θεοῦ

Θεοῦ ὄνομα πανταχοῦ περιφέρειν ἁπλῶς, καὶ ὡς ἔτυχεν; οὐ γὰρ δὴ τὴν ἁμαρτίαν ταύτην φέρει κόλασιν, ἀλλὰ τὰ κατορθώματα μείζονα ἡμῖν ἐπάγει τὴν τιμωρίαν. οὐδὲ γὰρ οἱ ὀμνύοντες ἔχουσιν ἵνα πρόφασιν προβάλλεσθαι, ἀλλὰ καταφρονήσει μόνον. καὶ οἶδα μὲν ὅτι ἐπαχθὴς εἶναι δοκῶ λοιπὸν καὶ φορτικὸς τῇ συνεχείᾳ τῆς παραινέσεως δόξω ἐνοχλεῖν· ἀλλ' ὅμως οὐκ ἀφίσταμαι, ἵνα κἂν τὴν ἀναισχυντίαν αἰδεσθέντες τὴν ἐμὴν, ἀποστῆτε τῆς πονηρᾶς ταύτης τῶν ὅρκων συνηθείας. εἰ γὰρ ὁ δικαστὴς ἐκεῖνος ὁ ἄδικος καὶ ὠμὸς χήρας ἐνόχλησιν αἰδεσθεὶς, τὸν τρόπον μετέβαλε, πολλῷ μᾶλλον ὑμεῖς τοῦτο ἐργάσασθε· καὶ μάλιστα, ὅταν ὁ παρακαλῶν ὑμᾶς μὴ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τῆς ὑμετέρας σωτηρίας τοῦτο ποιῇ· μᾶλλον δὲ καὶ ὑπὲρ ἐμαυτοῦ· καὶ οὐκ ἂν ἀρνησαίμην τοῦτο ποιεῖν. τὰ γὰρ ὑμέτερα ἀγαθὰ, ἐμαυτοῦ νομίζω εἶναι κατορθώματα. εἰ γὰρ μηδὲ γέεννα ἦν, μηδὲ κόλασις, ἐγὼ δὲ προσελθὼν ὑμῖν τοῦτο ἐν χάριτος ᾐτησάμην μέρει, ἆρα οὐκ ἂν ἐπενεύσατε; οὐκ ἂν ἐδώκατε τὴν αἴτησιν κούφην οὕτως αἰτοῦντι χάριν; ὅταν δὲ ὁ Θεὸς αὐτὴν αἰτῇ ᾖ, δι' ὑμᾶς τοὺς διδόντας, οὐ δι' ἑαυτὸν λαμβάνοντα, τίς οὕτως ἀγνώμων, τίς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς Θεῷ χάριν αἰτοῦντι μὴ δοῦναι; παρακαλῶ οὖν ὑμᾶς τὴν κεφαλὴν Ἰωάννου λαβόντας ἀποτετμημένην καὶ θερμοῦ τοῦ αἵματος ἔτι ἀποστάζουσαν, οὕτως ἀπελθεῖν οἴκαδε ἕκαστον, καὶ νομίζειν πρὸ τῶν ὀφθαλμῶν ὁρᾷν αὐτὴν φωνὴν ἀφιεῖσαν καὶ λέγουσαν· μισήσατε τὸν ἐμοῦ σφαγέα, τὸν ὅρκον. πολλάκις γὰρ τεχνίτης διωμόσατο τῷ μαθητῇ μὴ περιέσεσθαι αὐτὸν ἀφήσειν φαγεῖν καὶ πιεῖν, ἕως τὸ δοθὲν ἔργον ἀπολύσει. τοῦτο δὲ καὶ παιδαγωγὸς πολλάκις πρὸς νέον, καὶ πρὸς θεράπαιναν ἐποίησε δέσποινα· καὶ ἀνάγκη, τῆς ἑσπέρας καταλαβούσης, καὶ τοῦ ἔργου μὴ πληρωθέντος, ἢ λιμῷ διαφθαρῆναι τοὺς οὐκ ἀνύσαντας, ἢ ἐπιορκῆσαι πάντως τοὺς ὀμόσαντας. πολλάκις καὶ ἐπὶ τῆς οἰκίας ἀριστοποιουμένων ἡμῶν, καὶ τῶν οἰκετῶν τινος διαμαρτάνοντος, ὤμοσε μαστιγώσειν ἡ γυνή· ἀντώμοσεν ὁ ἀνὴρ τὰ ἐναντία, καὶ αἱρέσει φιλονεικῶν καὶ οὐκ ἐπιτρέπων. ἐνταῦθα κἂν ὁποιονοῦν ποιήσωσιν, ἀνάγκη πάντως ἐπιορκίαν συστῆναι· ὅπερ γὰρ ἂν γένηται, θάτερος αὐτῶν ἐπιορκίᾳ ἁλώσεται· μᾶλλον δὲ ἀμφότεροι πάντως. καὶ πῶς, ἐγὼ λέγω. τοῦτο γάρ ἐστι τὸ παράδοξον. ὁ ὀμόσας μαστιγώσειν τὸν οἰκέτην, ἢ τὴν θεραπαινίδα, εἶτα κωλυθεὶς, αὐτός τε ἐπιώρκησε μὴ ποιήσας ὅπερ ὤμοσε, καὶ τῷ κωλύσαντι πάλαι καὶ διακόψαντι τὴν εὐορκίαν, τὸ ἔγκλημα τῆς ἐπιορκίας περιέστησεν. οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνοι, ἀλλὰ καὶ οἱ ἑτέροις τὴν ἀνάγκην ταύτην ἐφιστῶντες, ὑπεύθυνοι τῶν αὐτῶν ἐγκλημάτων εἰσί. πῶς γὰρ οὐκ ἄτοπον, οἰκέτην μὲν μὴ τολμᾷν ἐξ ὀνόματος τὸν δεσπότην τὸν ἑαυτοῦ καλεῖν, μηδὲ ἁπλῶς καὶ ὡς ἔτυχε, τὸν δὲ τῶν ἀγγέλων δεσπότην ἁπλῶς καὶ μετὰ πολλῆς τῆς καταφρονήσεως πανταχοῦ περιφέρειν; βούλει μαθεῖν πῶς δυνατὸν ἀπαλλαγῆναι τῆς πονηρᾶς συνηθείας τοῦ ὅρκου; ἐγώ σε διδάξω τρόπον τινὰ, ὃν ἂν ποιήσῃς, περιέσῃ πάντως. ὅταν γὰρ ἴδῃς σαυτὸν ἢ καὶ ἑτέρους τινὰς ἁλόντας τῷ κακῷ τούτῳ πάθει, καὶ συνεχῶς ὑπομνησθέντας, καὶ οὐ διορθώσαντας, κέλευσον μὴ δειπνήσαντας καθευδῆσαι, καὶ ταύτην καὶ σαυτῷ κἀκείνοις τὴν καταδίκην ἐπίθες· καταδίκην, οὐ ζημίαν, ἀλλὰ κέρδος φέρουσαν. ἡ γὰρ γλῶσσα οὕτω βασανιζομένη διηνεκῶς, καὶ μηδενὸς ὑπομιμνήσκοντος, ἱκανὴν λαμβάνει παράκλησιν· καὶ κἂν ἁπάντων ὦμεν ἀναισθητότεροι, διὰ πάσης ἡμέρας τῷ μεγέθει τῆς βασάνου ταύτης ὑπομιμνησκόμενοι, οὐ δεηθησόμεθα συμβουλῆς ἑτέρας καὶ παραινέσεως. Ὥσπερ γὰρ, φησὶν, οἰκέτης ἐνδελεχῶς ἐξεταζόμενος, ἀπὸ μώλωπος οὐ καθαρισθήσεται· οὕτως ὁ ὀμνύων καὶ ὀνομάζων διαπαντὸς τὸ ὄνομα τοῦ Θεοῦ, ἀπὸ ἁμαρτίας οὐ καθαρισθήσεται. πείσωμεν τοίνυν ἑαυτοὺς τὸν τῶν ὅρ-

Ἐκ τῶν αὐτῶν.

κων φυγεῖν συνήθειαν, καὶ τὴν ἐπὶ τὸ βέλτιον ποιήσασθαι μεταβολήν. εἰ γὰρ καὶ χθὲς καὶ πρὸ ἐκείνης περὶ ταύτης ὑμῖν διελέχθην τῆς ὑποθέσεως, ἀλλ' οὐδὲ σήμερον ἀποστήσομαι, οὐδὲ τὴν ἐπιοῦσαν, οὐδὲ τὴν μετ' ἐκείνην, ταῦτα συμβουλεύων. καὶ τί λέγω τὴν αὔριον καὶ τὴν μετ' ἐκείνην; ἕως ἂν ὑμᾶς ἴδω κατορθώσαντας, οὐκ ἀφέξομαι. τὸ γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ὑπομιμνήσκειν, οὐ τοῦ λέγοντος, ἀλλὰ τῶν ἀκουόντων ἐστὶν ἔγκλημα διηνεκοῦς δεομένων διδασκαλίας. τί γὰρ εὐκολώτερον τοῦ μὴ ὀμνύναι; συνήθεια ἐστὶ τὸ κατόρθωμα μόνον, οὐκ ἔστι πόνος σώματος. ὁ προλαβὼν καὶ κατορθώσας ὀνειδιζέτω τῷ λειπομένῳ, ἵνα αὐτὸν τοῖς σκώμμασι διεγείρῃ πλέον· ὁ ὑστερήσας καὶ μηδέπω κατωρθωκὼς βλεπέτω τὸν προλαβόντα, καὶ φιλονεικείτω φθάσαι πρὸς ἐκεῖνον ταχέως. καὶ μή μοι λεγέτω τις· τί δὲ ἐὰν ἀνάγκην ὅρκων τις ἡμῖν ἐπιθῇ; τί δὲ ἐὰν μὴ πιστεύῃ; μάλιστα μὲν οὖν ὅπου παραβαίνεται νόμος, ἀνάγκης μεμνῆσθαι οὐ χρή. μία γὰρ ἔστω ἀνάγκη ἀπαραίτητος, τὸ μὴ προσκρούσαι Θεῷ. πλὴν ἐκεῖνα λέγω πῶς, τοὺς περιττοὺς περικόψωμεν ὅρκους, τοὺς ἁπλῶς καὶ χωρὶς ἀνάγκης, τοὺς ἐπὶ τῆς οἰκίας, τοὺς ἐπὶ τῶν φίλων, τοὺς ἐπὶ τῶν οἰκετῶν. κἂν τούτους ἀνέλῃς, ἐν ἐκείνοις οὐδὲν ἐμοῦ δεήσῃ λοιπόν. αὐτὸ γὰρ τὸ στόμα μελετῆσαν δεδοικέναι καὶ φεύγειν τοὺς ὅρκους, οὐδ' ἂν μυριάκις ἀναγκάσῃ τις, καταδέξεται λοιπὸν εἰς ἐκείνην ἐμπεσεῖν τὴν συνήθειαν. λέγεται δέ τις τῶν ἔξωθεν ῥητόρων ὑπό τινος συνηθείας ἀλόγου τὸν δεξιὸν συνεχῶς ὦμον κινεῖν βαδίζων· ἀλλ' ὅμως περιεγένετο τῆς συνηθείας, καὶ μαχαίρας ἀκονήσας ἑκατέρωθεν ἐπέθηκε τοῖς ὤμοις, ὥστε τῷ φόβῳ τῆς τομῆς σωφρονίσαι τὸ μέλος κινούμενον. τοῦτο καὶ σὺ ποίησον ἐπὶ τῆς γλώττης, καὶ ἀντὶ μαχαίρας ἐπίθες αὐτῇ τὸν φόβον τῆς κολάσεως· καὶ περιέσῃ πάντως. ἀμήχανον γάρ, ἀμήχανον μεριμνῶντας καὶ σπουδάζοντας καὶ ἔργον τοῦτο ποιουμένους ἡττηθῆναί ποτε. ποία γὰρ ἡμῖν ἀπολογία λοιπὸν ἔσται, τίς δὲ συγγνώμη, ὅταν μετὰ τοσαύτην παραίνεσιν τοῖς ἐπὶ τῶν ὅρκων κακοῖς ἐπιμένωμεν; πῶς οὖν αἰτησόμεθα ἀπαλλαγὴν τῶν κατεχόντων ἡμᾶς δεινῶν, μίαν ἐντολὴν ἀνύσαι μὴ δυνηθέντες; πῶς δὲ προσδοκήσομεν τὴν χρηστὴν μεταβολήν; πῶς δὲ εὐξόμεθα; ποίᾳ γλώττῃ τὸν Θεὸν καλέσομεν; πῶς γὰρ οὐκ ἄτοπον, βασιλέως μὲν ἐπιτάττοντος, καὶ τὰ χαλεπώτατα φέρειν· Θεοῦ δὲ νομοθετοῦντος οὐδὲν χαλεπὸν οὐδὲ δύσκολον, καταφρονεῖν, καὶ συνήθειαν πονηρὰν προβάλλεσθαι; μή, παρακαλῶ, μὴ μέχρι τοσούτου τῆς ἑαυτῶν καταφρονῶμεν σωτηρίας. φοβηθῶμεν τὸν Θεόν, ὡς φοβούμεθα ἄνθρωπον. ἄτοπον γὰρ τοὺς βασιλικοὺς νόμους μετὰ ἀκριβείας φυλάττειν, τοὺς δὲ θείους καὶ ἐκ τῶν οὐρανῶν καταβάντας ἀλόγως καταφρονεῖν. τίνος γὰρ ἕνεκεν ὁ Θεὸς οὐ τὸν ὀμόσαντα μόνον, ἀλλὰ καὶ τὴν οἰκίαν αὐτοῦ τῇ δρεπάνῃ καταλύει; ὅτι τῶν χαλεπωτάτων ἁμαρτημάτων τὰ τιμωρίας βούλεται μένειν ὁ Θεὸς διηνεκεῖς, ὥστε τοὺς μετὰ ταῦτα σωφρονίζεσθαι πάντας. καὶ γὰρ τὸν ἐπίορκον ἀποθανόντα ἀνάγκη ταφῆναι καὶ τοῖς κόλποις παραδοθῆναι τῆς γῆς. ὥστε οὖν μὴ τῷ σώματι καὶ τὴν πονηρίαν αὐτῷ συνταφῆναι, τὴν οἰκίαν ἐποίησε χῶμα, ὑπὲρ τοῦ τοὺς παριόντας ἅπαντας ὁρῶντας αὐτὴν, καὶ τὴν αἰτίαν μανθάνοντας τῆς καταστροφῆς, φεύγειν τὴν τῆς ἁμαρτίας μίμησιν. τοῦτο καὶ ἐπὶ [τῶν] Σοδόμων ἐγένετο. ἐπειδὴ γὰρ ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἐξεκαύθη καὶ ἡ τῆς γῆς φύσις, καὶ φωνῆς ἁπάσης λαμπρότερον πάσαις ταῖς μετὰ ταῦτα παραινεῖ γενεαῖς ἡ τῆς γῆς ὄψις, μονονουχὶ βοῶσα καὶ λέγουσα· μὴ ποιεῖτε τοιαῦτα, ἵνα μὴ πάθητε τοιαῦτα. τί ποιεῖς, ἄνθρωπε; ἐπὶ τραπέζης ὁρκίζεις ἱερᾶς, καὶ ἔνθα ὁ Χριστὸς κεῖται τεθυμένος, ἐκεῖ τὸν ἀδελφὸν καταθύεις τὸν σόν; καὶ οἱ μὲν λῃσταὶ ἐπὶ τῶν ὁδῶν θύουσι· σὺ δὲ ἔμπροσθεν τῆς μητρὸς τὸν υἱὸν καταθύεις, ἐναγέστερον τοῦ Κάϊν ἐργαζόμενος φόνον; ἐκεῖνος μὲν γὰρ ἔθυσε τὸν ἀδελφὸν ἐπὶ τῆς ἐρημίας κατὰ τὸν παρόντα θάνατον· σὺ δὲ θύεις τὸν ἀδελ-

φὸν

φὸν ἐν μέσῳ τῆς ἐκκλησίας κατὰ τῶν μελλόντων θάνατον. μὴ γὰρ ἐκκλησία διὰ τοῦτο γέ-
γονεν, ἵνα ὀμνύωμεν; διὰ τοῦτο γέγονεν, ἵνα εὐχώμεθα. μὴ γὰρ τράπεζα διὰ τοῦτο ἕστηκεν
ἱερά, ἵνα ὁρκίζωμεν; διὰ τοῦτο ἕστηκεν, ἵνα τὰ ἁμαρτήματα ἡμῶν λύωμεν, οὐχ ἵνα δεσμῶ-
μεν. σὺ δὲ εἰ μηδὲν ἕτερον, αὐτὸ γοῦν τὸ βιβλίον αἰδέσθητι, ὃ προτείνεις εἰς ὅρκον, καὶ τὸ εὐ-
αγγέλιον, ὃ μετὰ χεῖρας λαμβάνων κελεύεις ὀμνύναι, ἀναπτύξας καὶ ἀκούσας τί περὶ ὅρκων ὁ
Χριστὸς ἐκεῖ διαλέγεται, φρῖξον καὶ ἀπόστηθι. τί οὖν ἐκεῖ περὶ ὅρκων φησίν; Ἐγὼ δὲ
λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· σὺ δὲ τὸν νόμον τὸν κωλύοντα ὀμνύναι, τοῦτον ὅρκον ποιεῖς; ὢ Ματθ. ε λδ.
τῆς ὕβρεως, ὢ τῆς παρανομίας. ταὐτὸν γὰρ ποιεῖς, ὥσπερ ἂν εἴ τις τὸν νομοθέτην τὸν κω-
λύοντα φονεύειν, αὐτὸν σύμμαχον λαβὼν κελεύῃ σφαγέα γενέσθαι. καθάπερ οὖν μάχης
γενομένης, πολλάκις ὑβριζόμενοι φέρομεν γενναίως, καὶ πρὸς τὸν ὑβρίζοντα λέγομεν·
τί σοι ποιήσω; ὁ δεῖνά με ἐλύπησεν ὁ στρατιώτης ὁ σός· ἐκεῖνός μου κατέχει τὰς χεῖρας· καὶ γέ-
γονε τοῦτο εἰς παραμυθίαν· οὕτω καὶ ἐπειδὰν μέλλῃς τινὰ ὁρκίζειν, ἐπίσχες σαυτὸν καὶ
κώλυσον, καὶ εἰπὲ πρὸς τὸν μέλλοντα ὀμνύναι· τί σοι ποιήσω, ὅτι ὁ Θεὸς ἐκέλευσε μὴ [ὀμνύ-
ειν, μήτε] ὁρκίζειν, ἐκεῖνός με κατέχει νῦν; ἀρκεῖ τοῦτο καὶ εἰς τιμὴν τοῦ νομοθετήσαντος, καὶ
εἰς ἀσφάλειαν σήν, καὶ εἰς φόβον τοῦ μέλλοντος ὀμνύναι. δότε μοι τοίνυν τοὺς ἐντεῦθεν ἀ-
φικνουμένους λέγειν, ὅτι ὅπερ ἐστὶν ἐν Ἀντιοχείᾳ, τοῦτο οὐδαμοῦ τῶν πόλεων ἐστὶν ἰδεῖν. ἕλοιντο
γὰρ ἂν ἄνθρωποι τὴν πόλιν οἰκοῦντες ἐκείνην, τὴν γλῶτταν ἀποκόψαι πρότερον, ἢ
ὅρκον ἀπὸ τοῦ στόματος προέσθαι. εἰ γὰρ ἕνα τις, ἢ δύο κερδάνας τοσοῦτον λήψεται παρὰ
τοῦ Θεοῦ τὸν μισθόν· τὴν οἰκουμένην ἅπασαν παιδεύοντες, πόσας οὐ λήψονται τὰς ἀμοι-
βάς; ἀλλ' ὑπὸ τῆς συνηθείας ὁρμᾷ πολλάκις ἡ γλῶττα τὸ πονηρὸν ἐκεῖνο φθέγξασθαι
ῥῆμα; ἀλλ' ἐπειδὰν ὁρμήσῃ, πρὶν ἢ τὸ ῥῆμα ἐξενεγκεῖν, κατάδακε τοῖς ὀδοῦσιν αὐτὴν πάν-
τοθεν σφοδρῶς. βέλτιον γὰρ αὐτὴν αἷμα ῥέειν νῦν, ἢ τότε σταγόνος ὕδατος ἐπιθυμοῦσαν μὴ
δυνηθῆναι τῆς παραμυθίας τυχεῖν. τί ποιεῖς, ἄνθρωπε, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ προ-
στάτην καὶ κηδεμόνα βλασφημῶν; ἢ οὐκ αἰσθάνῃ κατὰ κρημνοῦ φερόμενος, καὶ εἰς βάραθρον
σαυτὸν ἐμβάλλων ἀπωλείας ἐσχάτης; μὴ γὰρ ἐὰν βλασφημήσῃς, κουφότερον τὸ πρᾶγ-
μα ποιεῖς; ἐπιτείνεις μὲν οὖν αὐτό, καὶ χαλεπωτέραν ἐργάζῃ τὴν ὀδύνην. διὰ γὰρ τοῦ-
το ὁ διάβολος μυρία ἐπάγει δεινά, ἵνα εἰς ἐκεῖνό σε καταγάγῃ τὸ βάραθρον. κἂν μὲν ἴ-
δῃ βλασφημοῦντα, ῥᾳδίως αὔξει τὴν ἀλγηδόνα καὶ μείζω ποιεῖ, ἵνα κἀντεῦθεν ἀποδυσπε-
τήσῃς. πάλιν, ἐὰν ἴδῃ γενναίως φέροντα, καὶ ὅσῳ τὸ πάθος ἐπιτείνεται, τοσούτῳ μᾶλλον εὐ-
χαριστοῦντα τῷ Θεῷ, εὐθέως ἀφίσταται, ὡς εἰκῇ καὶ μάτην ἐφεδρεύων λοιπόν. καὶ καθά-
περ κύων τραπέζῃ παρεστηκώς, ἂν μὲν ἴδῃ τὸν ἐσθίοντα ἄνθρωπον συνεχῶς αὐτῷ ῥίπτοντα
τῶν ἐπὶ τῆς τραπέζης τι παρακειμένων, μένει διηνεκῶς· ἂν δὲ ἅπαξ καὶ δεύτερον παρα-
στὰς μηδὲν ἀπέλθῃ λαβών, ἀφίσταται λοιπὸν ἅτε εἰκῇ προσεδρεύων καὶ μάτην· οὕτω καὶ
ὁ διάβολος συνεχῶς κέχηνε πρὸς ἡμᾶς, ἂν ῥίψῃς αὐτῷ, καθάπερ κυνί, ῥῆμα βλάσφη-
μον, δεξάμενος πάλιν ἐπιθήσεται· ἐὰν δὲ μείνῃς εὐχαριστῶν, ἀπέπνιξας αὐτὸν τῷ λι-
μῷ, καὶ ταχέως αὐτὸν ἀπήγαγες καὶ ἀποπηδῆσαι ἐποίησας. καὶ ὅτι ταῦτα τοῦτον
ἔχει τὸν τρόπον, ἱστορίαν ὑμῖν ἐρῶ παλαιάν. ἐπελθόντων ποτὲ πολεμίων τοῖς Ἰου-
δαίοις, καὶ τοῦ Ἰωνάθαν (υἱὸς δὲ ἦν τοῦ Σαοὺλ οὗτος) τοὺς μὲν κατακόψαντος,
τοὺς δὲ εἰς φυγὴν ἐμβαλόντος, βουλόμενος ὁ Σαοὺλ ὁ τούτου πατὴρ μειζόνως κατὰ τῶν α Βασ. ιδ.
ὑπολειφθέντων τὸ στρατόπεδον διεγεῖραι, καὶ ποιῆσαι μὴ πρότερον ἀποστῆναι, ἕως ἂν πάντας
χειρώσωνται, τοὐναντίον ἢ περ ἠθέλησεν ἔπραξεν, ὀμόσας μηδένα φαγεῖν ἄρτον, ἕως ἐκδικήσεως
τῶν ἐχθρῶν αὐτοῦ. ἆρα τί τούτου γένοιτ' ἂν ἀνοητότερον; πεποιηκότας γὰρ καὶ κατακοπέντας
στρατιώτας ὀφείλων διαναπαῦσαι, καὶ νεαρωτέρους ἐπαφεῖναι τοῖς πολεμίοις, τὴν πολε-

μίων αὐτῶν χαλεπώτερον κατεργάσατο, διὰ τῆς ἀνάγκης τοῦ ὅρκου λιμῷ παραδοὺς αὐτοὺς χαλεπωτάτῳ. σφαλερὸν μὲν οὖν καὶ τὸ περὶ ἑαυτοῦ ἵνα ὀμνύωμεν· πολλὰ γὰρ ὑπὸ τῆς τῶν πραγμάτων περιστάσεως ἐμποδιζόμεθα. τὸ δὲ καὶ τὴν ἑτέρων γνώμην τῇ τῶν οἰκείων ὅρκων ἀνάγκῃ καταδῆσαι, πολλῷ σφαλερώτερον. ὅπερ ὁ Σαοὺλ τότε ἀπερισκέπτως ἐποίησε. "δρυμὸν περιῄει τὸ στρατόπεδον μελισσῶνα ἔχοντα, καὶ ὁ μελισσὼν κατὰ πρόσωπον τοῦ λαοῦ, καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ διεπορεύετο λαλῶν. εἶδες οἷον τὸ βάραθρον; τράπεζα ἐσχεδιασμένη, ἵνα καὶ τὸ εὔκολον τῆς ἐπιχειρήσεως, καὶ τὸ ἡδὺ τῆς τροφῆς, καὶ ἡ τοῦ λήσεσθαι ἐλπὶς εἰς τὴν παράβασιν αὐτοὺς προσκαλέσηται τῶν ὅρκων. καὶ γὰρ ὁ Ἰωνάθαν οὐκ ἀκούσας ἐν τῷ ὁρκίζειν τὸν πατέρα αὐτοῦ, ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐβάπτισεν εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ. ὅρα τίνα ὁ πονηρὸς πρὸς τὴν ἐπιορκίαν ὤθησεν· οὐχ ἕνα τῶν στρατιωτῶν, ἀλλ' αὐτὸν τὸν υἱὸν τοῦ ὀμωμοκότος βασιλέως. οὐδὲ γὰρ ἐπιορκίαν ἐργάσασθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ παιδοκτονίαν κατεσκεύαζε, καὶ τὴν φύσιν αὐτὴν καθ' ἑαυτῆς ὁπλίσαι ἠπείγετο· καὶ ὅπερ ἐπὶ τοῦ Ἰεφθάε ποτὲ ἐποίησε, τοῦτο καὶ μετὰ ταῦτα ποιήσειν ἤλπιζε. καὶ γὰρ ἐκεῖνος ὑποσχόμενος τῷ Θεῷ τὸν πρῶτον ἀπαντήσοντα αὐτῷ μετὰ τὴν τοῦ πολέμου νίκην κατασφάξειν, εἰς παιδοκτονίαν ἐνέπεσε· τὸ γὰρ θυγάτριον πρῶτον ἀπαντῆσαν αὐτῷ κατέθυσε. [καὶ τί λέγω παιδοκτονίαν; ἐπενόησε γὰρ ὁ πονηρὸς καὶ τούτου πάλιν ἐναγέστερον φόνον εὑρεῖν.] εἰ μὲν γὰρ εἰδὼς ἥμαρτε καὶ ἐσφάγη, παιδοκτονία μόνον τὸ γινόμενον ἦν· νυνὶ δὲ ἐξ ἀγνοίας ἁμαρτὼν (οὐδὲ γὰρ ἤκουσε τῶν ὅρκων) εἶτα ἀναιρεθεὶς, διπλοῦν ἂν ἐποίησε τῷ πατρὶ τὸ ἄγος. εἶτα ἰδών, φησί, τις τῶν στρατιωτῶν, λέγει· ὁρκώσας ὥρκωσεν ὁ πατήρ σου τὸν λαόν, ὃς φάγεται ἄρτον σήμερον. καὶ ἐξελύθη ὁ λαός· καὶ εἶπεν Ἰωνάθαν, ἀπώλεσε καὶ διέφθειρεν ὁ πατήρ μου ἅπαντας. παραβαθέντος τοίνυν τοῦ ὅρκου, πάντες ἐσίγων, καὶ οὐδεὶς τὸν ὑπεύθυνον εἰς μέσον ἀγαγεῖν ἐτόλμα. οὐ μικρὸν δὲ καὶ τοῦτο ἔγκλημα λοιπὸν ἐγίνετο· οὐ γὰρ οἱ ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ συνειδότες καὶ περιστέλλοντες κοινωνοῦσι τοῦ ἐγκλήματος. καὶ εἶπεν ὁ ἱερεύς, προσέλθωμεν πρὸς τὸν Θεόν· καὶ ἐπηρώτησε Σαοὺλ τὸν Θεόν, εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, καὶ εἰ παραδώσεις αὐτοὺς εἰς τὰς χεῖράς μου· καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὁ Κύριος. ὅρα πραότητα καὶ ἐπιείκειαν τοῦ φιλανθρώπου Θεοῦ. οὐ γὰρ σκηπτὸν ἀφῆκεν, οὐδὲ τὴν γῆν ἔσεισεν, ἀλλ' ὅπερ φίλοι πρὸς φίλους ποιοῦσιν, ἐπειδὰν ὑβρισθῶσι, τοῦτο πρὸς τὸν δοῦλον ὁ δεσπότης ἐποίησε. καὶ εἶπε Σαούλ· προσαγάγετε τὰς φυλὰς τοῦ λαοῦ, καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον· ὅτι ζῇ Κύριος ὁ σώσας τὸν Ἰσραήλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. καὶ οὔπω τοῦ ἡμαρτηκότος φανέντος, τὴν κρίσιν πεποίηται· καὶ τὸν ἁλόντα οὐκ εἰδὼς ἀπεφήνατο, καὶ ὁ πατὴρ ἐγένετο δήμιος, καὶ πρὸ τῆς ἐξετάσεως τὴν καταδικάζουσαν ψῆφον ἐξήνεγκε. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; κλήρῳ τὸ πρᾶγμα ἐπέτρεψε· καὶ εἶπε Σαούλ, βάλετε κλῆρον ἀνὰ μέσον ἐμοῦ καὶ Ἰωνάθαν. καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνάθαν, ἀπάγγειλόν δή μοι τί ἐποίησας. καὶ εἶπεν Ἰωνάθαν, γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ τῷ σκήπτρῳ τῷ ἐν τῇ χειρί μου μικροῦ μέλιτος, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω. τίνα οὐκ ἂν ἔκαμψε; τίνα οὐκ ἂν εἰς οἶκτον ἐνήνεγκε ταῦτα τὰ ῥήματα; ἐννόησον ὅσον χαλεπὰ λοιπὸν ὁ Σαοὺλ ὑπέμεινε, τῶν σπλάγχνων αὐτῷ διακοπτομένων, καὶ ἑκατέρωθεν βαθυτάτου κρημνοῦ φερομένου. καὶ οὐδὲ οὕτως ἐσωφρονίζετο. ἀλλὰ τί φησι; Τάδε ποιήσαι μοι ὁ Θεός, καὶ τάδε προσθείη, ὅτι θανάτῳ ἀποθανῇ σήμερον. καὶ εἶπεν ὁ λαὸς πρὸς Σαούλ· τάδε ποιήσαι ἡμῖν ὁ Θεός, καὶ τάδε προσθείη, εἰ θανάτῳ θανατωθήσεται ὁ ποιήσας τὴν σωτηρίαν τὴν μεγάλην τῷ Ἰσραήλ· ζῇ Κύριος, εἰ πεσεῖται τῆς τριχὸς τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὴν γῆν, ὅτι ἔλεον Θεοῦ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ. ἰδοὺ καὶ ὁ δῆμος

δεύτερον

δεύτερον ὤμοσε, καὶ δεύτερον ὤμοσε τῷ βασιλεῖ. ἀνάγκη λοιπὸν διαρρᾶξαι τὸν ὅρκον· πάντας γὰρ εὐορκῆσαι τούτους ἀδύνατον. εἰ γὰρ ἠθέλησεν ὁ βασιλεὺς ἀντιστῆναι καὶ ἐπεξελθεῖν τῷ ὅρκῳ, πᾶς ὁ δῆμος ἀντέστη, καὶ τυραννὶς ἂν ἐγένετο χαλεπωτάτη· πάλιν εἰ ἠθέλησεν ὁ παῖς τῆς οἰκείας φειδόμενος σωτηρίας δοῦναι ἑαυτὸν τῷ στρατοπέδῳ, πατροκτόνος εὐθέως ἂν ἐγένετο. ὁρᾷς καὶ τυραννίδα καὶ παιδοκτονίαν καὶ πατροκτονίαν καὶ πόλεμον ἐμφύλιον, καὶ μάχην, καὶ σφαγάς, καὶ αἵματα, καὶ μυρίους νεκροὺς ἀφ᾽ ἑνὸς ὅρκου κειμένους; εἶδες ὁποῖον ὅρκος τῆς ἀπωλείας τὸ βάραθρον κατεσκεύασεν; ἵν᾽ οὖν μὴ καὶ ἡμεῖς τὰ παραπλήσια ἐκείνοις πεισώμεθα, ἀποστῶμεν τῆς πονηρᾶς τῶν ὅρκων συνηθείας, ὡς ἂν τοῦ Θεοῦ τὴν εὔνοιαν ἐντεῦθεν ἐπισπασάμενοι, καὶ τὸν παρόντα βίον ἀσφαλῶς διανύσωμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ᾽ οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΑΙΔΩΝ ΑΝΑΤΡΟΦΗΣ.

Λογ. κϛ´.

Δέομαι καὶ ἀντιβολῶ, πολλὴν τὴν τῶν οἰκείων παίδων, ἀγαπητοί, ποιώμεθα πρόνοιαν, καὶ πανταχοῦ τὴν σωτηρίαν ζητῶμεν αὐτῶν τῆς ψυχῆς. μίμνησαι τὸν μακάριον Ἰὼβ, ὃς καὶ ὑπὲρ τῶν κατὰ διάνοιαν αὐτοῖς πλημμελουμένων διδοικὼς προσέφερε θυσίας ὑπὲρ αὐτῶν, καὶ πολλὴν τὴν [ὑπὲρ] αὐτῶν πρόνοιαν ἐποιεῖτο. μίμνησαι τὸν Ἀβραάμ· καὶ γὰρ [καὶ] ἐκεῖνος οὐχ ὑπὲρ χρημάτων καὶ κτημάτων ἐσπούδαζεν, ἀλλ᾽ ὑπὲρ τῶν θείων νόμων, ὅπως αὐτῶν τὴν φυλακὴν τοῖς ἐγγόνοις μετ᾽ ἀκριβείας παρακατάθοιτο. καὶ ὁ Δαβὶδ δὲ ἡνίκα ἐτελεύτα, ἀντὶ μεγάλης κληρονομίας, καλέσας τὸν υἱὸν τὸν ἑαυτοῦ, ταῦτα παρήγγειλε, καὶ συνεχῶς ἔλεγεν, ὅτι εἰ βουληθείης, παιδίον, κατὰ τοὺς τοῦ Θεοῦ νόμους ζῆν, οὐδέν σοι προσαπαντήσεται τῶν ἀδοκήτων, ἀλλὰ πάντα κατὰ ῥοῦν ἥξει τὰ πράγματα, καὶ πολλῆς ἀπολαύσεις τῆς ἀσφαλείας· ἂν δὲ ἐκείνης ἐκπέσῃς τῆς βοηθείας, οὐδὲν ὄφελός σοι τῆς βασιλείας, καὶ τῆς πολλῆς ταύτης δυνάμεως. εὐσεβείας μὲν γὰρ οὐκ οὔσης, καὶ τὰ ὄντα ἀπόλλυται χρήματα μετὰ κινδύνου καὶ τῆς ἐσχάτης αἰσχύνης· ταύτης δὲ παρούσης, καὶ τὰ οὐκ ὄντα προσγίνεται. Δεῖ τοίνυν σκοπεῖν τοὺς γονεῖς, οὐχ ὅπως τοὺς παῖδας ἐν ἀργυρίῳ καὶ χρυσίῳ πλουσίους ποιήσωσιν, ἀλλ᾽ ὅπως ἐν εὐσεβείᾳ καὶ φιλοσοφίᾳ καὶ τῇ κτήσει τῆς ἀρετῆς πάντων γένοιντ᾽ ἂν εὐπορώτεροι, ὅπως μὴ πολλῶν δέοιντο, ὅπως μὴ περὶ τὰ βιωτικὰ καὶ τὰς νεωτερικὰς ἐπιθυμίας ὦσιν ἐπτοημένοι. καὶ τὰς εἰσόδους αὐτῶν, καὶ τὰς ἐξόδους μετ᾽ ἀκριβείας περιεργάζεσθαι χρή· τὰς διατριβάς, τὰς συνουσίας· εἰδότες, ὅτι τούτων ἀμελουμένων οὐδεμίαν ἕξουσι παρὰ τῷ Θεῷ συγγνώμην. εἰ γὰρ τῆς τῶν ἄλλων προνοίας ἀπαιτούμεθα τὰς εὐθύνας (Ἕκαστος γὰρ μὴ τὸ ἑαυτοῦ ζητείτω, φησίν, ἀλλὰ τὸ τοῦ ἑτέρου) πόσῳ μᾶλλον τῆς τῶν παίδων; σὺ δὲ ὅπως μὲν ἵππος γένοιτο καλὸς αὐτοῖς, καὶ οἰκία λαμπρά, καὶ πολυτελὴς ἀγρός, πάντα ποιεῖς καὶ πραγματεύῃ· ὅπως δὲ ψυχὴ καλὴ καὶ προαίρεσις εὐσεβής, οὐδένα ἔχεις λόγον; καίτοι τὰ μὲν κτήματα, κἂν πολλὰ ᾖ καὶ πολυτελῆ, τοῦ δυναμένου μετ᾽ ἀρετῆς αὐτὰ οἰκονομεῖν οὐκ ὄντος σπουδαίου, πάντα ἀπόλλυται καὶ οἰχήσεται μετ᾽ αὐτοῦ· ἂν δὲ ἡ ψυχὴ γενναία γένηται καὶ φιλόσοφος, κἂν μηδὲν ἔνδον ἀποκείμενον ᾖ, τὰ πάντων δυνήσεται μετ᾽ ἀδείας ἔχειν. ἀλλὰ τοιοῦτοί τινες πολλοὶ τῶν πατέρων περὶ τὰ τέκνα πάσχουσιν, οὐ βουλόμενοι μαστίξαι, οὐδὲ ἐπιτιμῆσαι ῥήμασιν, οὐδὲ λυπῆσαι τοὺς ἑαυτῶν υἱοὺς ἀτάκτως ζῶντας καὶ παρανόμως. πολλάκις εἶδον ἐπὶ τοῖς αἰσχίστοις ἁλόντας, εἰς δικαστήριον ἀρπαγέντας, ὑπὸ δημίων ἀποτμηθέντας. ὅταν γὰρ σὺ μὴ παιδεύσῃς, ὅταν σὺ μὴ σωφρονίσῃς, μιαροῖς ἀνθρώποις καὶ διεφθαρμένοις ἑαυτὸν ἀναμίξας, καὶ κοινωνήσας τῆς πονηρίας αὐτοῖς, ὑπὸ

τοὺς

Ἐκ τοῦ λόγου τοῦ εἰς τὴν χήραν καταλεγέσθω.

Ἐκ τοῦ αὐτοῦ.

τοὺς κοινοὺς ἄγεται νόμους, καὶ κολάζεται πάντων ὁρώντων· καὶ μετὰ τῆς συμφορᾶς μείζων
ἡ αἰσχύνη γίνεται, δακτυλοδεικτούντων ἁπάντων τὸν πατέρα μετὰ τὴν ἐκείνου τελευτήν, καὶ ἀ-
βίωτον αὐτῷ ποιούντων τὴν ἀγοράν. ποίοις γὰρ ὀφθαλμοῖς ἀντιβλέψαι δυνήσεται τοῖς ἀ-
παντῶσιν αὐτῷ μετὰ τὴν τοιαύτην τοῦ παιδὸς ἀσχημοσύνην καὶ συμφοράν; τί ταύτης τῆς
ἀνοίας χεῖρον γένοιτ' ἄν; οὐκ αἰσχύνῃ καὶ ἐρυθριᾷς, εἰπέ μοι, ὅταν τὸν υἱὸν τὸν σὸν ὁ δικαστὴς 5
κολάσῃ, καὶ σωφρονέστερον ποιήσῃ, καὶ τῆς ἔξωθεν ἐκεῖνος δεηθῇ διορθώσεως, τοσοῦτον ἐξ ἀρχῆς
σοι συνοικήσας χρόνον; οὐκ ἐγκαλύπτῃ καὶ καταδύῃ; τολμᾷς δὲ ὅλως, εἰπέ μοι, πατὴρ
ἔτι καλεῖσθαι, οὕτω προδοὺς τὸν υἱόν, καὶ τὴν ἀναγκαίαν αὐτῷ φορὰν οὐκ εἰσενεγκών, ἀλ-
λὰ περιϊδὼν ὑπὸ πάσης διαφθαρῆναι κακίας; κἂν μὲν δραπέτην τινὰ ἴδῃς ῥαπίζοντα
τὸ παιδίον, ἀγανακτεῖς, καὶ ὀργίζῃ, καὶ δυσχεραίνεις, καὶ θηρίου χαλεπώτερον ἐπιπηδᾷς τῇ 10
τοῦ τυπτήσαντος ὄψει· τὸν δὲ διάβολον καθ' ἑκάστην ἡμέραν ὁρῶν αὐτὸν ῥαπίζοντα, δαίμονας
εἰς ἁμαρτήματα ἐνάγοντας, [καὶ] καθεύδεις, καὶ οὐκ ἀγανακτεῖς, οὐδὲ δυσχεραίνεις,
οὐδὲ ἐξαρπάζεις τοῦ χαλεπωτάτου θηρίου τὸν υἱόν; καὶ ποίας, εἰπέ μοι, τεύξῃ φιλανθρω-
πίας; πῶς γὰρ οὐκ ἄτοπον, "ὅταν μὲν ὑπὸ δαίμονος" ἐνεργῆταί σου ὁ υἱός, πρὸς πάντας τοὺς γρ. ὅτε
ἁγίους τρέχεις, καὶ τοὺς ἐν ταῖς κορυφαῖς τῶν ὀρέων ἐνοχλεῖς, ὥστε αὐτὸν τῆς μανίας ἀ- 15 γρ. λύπῃ
παλλάξαι ἐκείνης· ἁμαρτίας δέ, ἣ πάντως δαίμονός ἐστι χαλεπωτέρα, συνεχῶς ἐνοχλούσης,
οὐδὲν πλέον ποιεῖς; καίτοι τὸ μὲν παρὰ δαίμονος ἐνοχλεῖσθαι χαλεπὸν οὐδέν· οὐ γὰρ
εἰς γέενναν ἐμβαλεῖν τὸ δαιμόνιον δύναται πάντως· ἀλλ' ἐὰν νήφωμεν, καὶ στεφάνους ἡμῖν ὁ
πειρασμὸς οὗτος οἴσει λαμπροὺς καὶ περιφανεῖς, ὅταν εὐχαρίστως φέρωμεν τὰς τοιαύτας ἐ-
πηρείας· τὸν δὲ ἁμαρτίᾳ συζῶντα ἀμήχανον σωθῆναί ποτε, ἀλλ' ἀνάγκη πάντως καὶ ἐνταῦθα 20
ἐπονείδιστον εἶναι, καὶ ἀπελθόντα ἐκεῖ ἀθάνατα πάλιν κολάζεσθαι. τί δὲ καὶ ἀπολογήσῃ λοι-
πόν; οὐ κατῴκησά σοι, φησίν, ἐξ ἀρχῆς τὸν παῖδα; ἐπέστησα δέ σε αὐτῷ διδάσκαλον καὶ προ-
στάτην καὶ κηδεμόνα καὶ ἄρχοντα· οὐ τὴν ἐξουσίαν αὐτοῦ πᾶσαν φέρων εἰς τὰς σὰς ἐνέθηκα χεῖ-
ρας; οὐχ ἁπαλὸν ὄντα διαπλάττειν ἐκέλευσα καὶ ῥυθμίζειν; ποίαν οὖν ἔχοις συγγνώμην,
εἰ περιεῖδες αὐτὸν ἀποσκιρτήσαντα; τί γὰρ ἂν εἴποις; ὅτι δυσήνιός ἐστι καὶ τραχύς; ἀλλ' ἐξ 25
ἀρχῆς ἔδει σε ταῦτα πάντα ὁρῶντα, ὅτε εὐήνιος ἦν καὶ κομιδῇ νέος, χαλινοῦν, μετὰ ἀκριβείας
ἐθίζειν, πρὸς τὰ δέοντα ῥυθμίζειν, κολάζειν αὐτοῦ τὰ "νοσήματα τῆς ψυχῆς, ὅτε εὐκολωτέ- γρ. κιν.
ρα ἡ ἐργασία· τότε τὰς ἀκάνθας ἐκτεμεῖν ἔδει, ὅτε ἁπαλωτέρας οὔσης τῆς ἡλικίας, εὐκολώ-
τερον ἀνεσπῶντο, καὶ οὐκ ἂν ἀμελούμενα τὰ πάθη καὶ αὐξανόμενα δυσκατέργαστα γέγονε. τίνα
οὖν ἀπολογίαν ἔχοιμεν ἂν εἰπεῖν, ὅταν ὁ Θεὸς μέν, ἐπειδὰν περὶ αὐτὸν ἡμεῖς ὑβριζώμεθα, 30
Ἐξοδ. κα. μηδὲ τῆς ζωῆς αὐτῶν φείδηται (Ὁ μὲν γὰρ κακολογῶν πατέρα ἢ μητέρα, φησί, θανάτῳ τε-
λευτάτω) ἡμεῖς δὲ ὑβριζομένου αὐτοῦ περὶ αὐτῶν, μηδὲ ἀγανακτεῖν αὐτοῖς ὑπομένωμεν; ἐ-
γώ, φησίν, οὐδὲ ἀποκτεῖναι παραιτοῦμαι τὸν ὑβρίζοντά σε· σὺ δὲ οὐδὲ ῥήματι λυπεῖν ἀνέχῃ
τὸν τοὺς ἐμοὺς καταπατοῦντα νόμους; καὶ πῶς ταῦτα συγγνώμης ἄξια; μὴ τοίνυν τῶν παίδων ἀ-
μελῶμεν, εἰδότες ὅτι τῶν κατὰ Θεὸν αὐτοῖς εὖ διακειμένων, καὶ κατὰ τὸν παρόντα βίον ἔσονται 35
εὐδόκιμοι καὶ λαμπροί. τὸν γὰρ ἀρετῇ συζῶντα καὶ ἐπιεικείᾳ πάντες αἰδοῦνται καὶ τιμῶσι,
κἂν ἁπάντων πενέστερος ᾖ· ὥσπερ οὖν τὸν πονηρὸν καὶ διεστραμμένον ἀποστρέφονται καὶ μισοῦσι, κἂν
εὐπορίαν ᾖ κεκτημένος πολλήν. ἂν γὰρ τῶν παίδων ἀμελῶμεν, κἂν τὰ ἄλλα ὦσιν ἐπι-
Ἐκ τοῦ λόγ. ζ. εἰς τὸν πιστὸν πατέρα. εικεῖς καὶ μέτριοι, διὰ ταύτην τὴν ἁμαρτίαν τὴν ἐσχάτην ὑποστήσονται δίκην. Εἰ
δὲ βούλεσθε γνῶναι σαφῶς, ὅτι, κἂν τὰ ὑμέτερα ἡμῖν ἅπαντα καλῶς ᾖ διῳκημένα, τῆς δὲ τῶν 40
παίδων ἀμελῶμεν σωτηρίας, τὴν ἐσχάτην τισόμεθα δίκην, προσέχετε μετὰ ἀκριβείας τοῖς
α. Βασ. β. λεγομένοις. ἱερεύς τις ἦν παρὰ τοῖς Ἰουδαίοις, μέτριος ἄνθρωπος καὶ ἐπιεικής· Ἠλεὶ τού-
τῳ ὄνομα ἦν· οὗτος γέγονε δύο παίδων πατήρ· καὶ ὁρῶν αὐτοὺς ἐπὶ κακίαν βαδίζοντας, οὐ κατεῖ-
χεν, οὐδὲ ἐκώλυεν, μᾶλλον δὲ κατεῖχε μὲν καὶ ἐκώλυεν, οὐ μετὰ πάσης δὲ ἐποίει τοῦτο σπουδῆς,

τιμωρίαν

τιμωρίαν μὲν οὐκ ἐπετίθει, λόγοις δὲ καὶ παραινέσεσιν ἐπειρᾶτο τῆς πονηρίας ταύτης ἀπάγειν αὐτούς· καὶ τοιαῦτα πρὸς αὐτοὺς συνεχῶς ἔλεγε ῥήματα· Μή, τέκνα, μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοή, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. καίτοι ἱκανὰ μὲν καὶ ταῦτα αὐτοὺς ἀνακτήσασθαι τὰ ῥήματα· ἀλλ' ὅμως ἐπειδὴ μὴ τὸ πᾶν, ὡς ἐχρῆν, ἐπεδείξατο, ἑαυτῷ τε, κἀκείνοις ἐξεπολέμωσε τὸν Θεόν· καὶ φεισάμενος αὐτὸς τῶν παίδων ἀκαίρως, μετὰ τῶν παίδων καὶ τὴν ἑαυτοῦ προσαπώλεσε σωτηρίαν. καίτοι πλὴν ταύτης τῆς εἰς τοὺς παῖδας ῥαθυμίας οὐδὲν ἕτερον εἶχεν ἐγκαλεῖν ὁ Θεὸς τῷ πρεσβύτῃ. εἰ δὲ τὸν ἐλάττονα ἁμαρτόντα οὕτω πανέστιον ἀνέτρεψεν ὁ Θεός, τοὺς χαλεπώτερα πεπλημμεληκότας ἀτιμωρήτους ἀφήσει; εἰ γὰρ τὸν ἱερέα, τὸν πρεσβύτην, τὸν ἔνδοξον, τὸν εἴκοσιν ἔτη προστάντα ἀλήπτως τοῦ τῶν Ἑβραίων ἔθνους, οὐδὲν τοῦτον ἴσχυσε παραιτήσασθαι· ἀλλ' ἐπειδὴ τῶν παίδων οὐκ ἐπεμελήθη μετὰ ἀκριβείας, σφόδρα καὶ ἐλεεινῶς ἀπώλετο, καὶ τῆς ὀλιγωρίας ταύτης ἡ ἁμαρτία, καθάπερ κῦμα ἄγριον καὶ μέγα, πάντα ὑπερέχει ἐκεῖνα, καὶ τὰ κατορθώματα ἀπέκρυψεν ἅπαντα· τίς ἡμᾶς λήψεται δίκη, τοὺς καὶ τῆς ἀρετῆς ἀποδέοντας πολὺ τῆς ἐκείνου, καὶ τῶν παίδων οὐ μόνον οὐ προϊσταμένους, ἀλλὰ καὶ βαρβάρου παντὸς χαλεπώτερον περὶ τούτους διακειμένους; ὥσπερ γάρ τις ἐπὶ τῶν οἰκείων ἁμαρτημάτων οὐκ ἔχει καταφυγὴν εἰς ἀπολογίαν καὶ συγγνώμην· οὕτως οὐδὲ ὑπὲρ τῶν τοῖς παισὶν ἁμαρτανομένων οἱ γεννήτορες. καὶ μάλα εἰκότως. εἰ μὲν γὰρ ἐκ φύσεως ἡ κακία τοῖς ἀνθρώποις προσῆν, εἰκότως ἄν τις εἰς ἀπολογίαν κατέφυγεν· ἐπειδὴ δὲ ἐκ προαιρέσεως καὶ φαῦλοι γινόμεθα καὶ σπουδαῖοι, τίνα ἂν ἔχοι λόγον εὐπρόσωπον εἰπεῖν ὁ τὸν μάλιστα πάντων ποθούμενον διαστραφῆναι καὶ γενέσθαι πονηρὸν ἀφείς; Μὴ δὴ πλοῦτον τοῖς παισὶ καταλίπῃς, ἀλλὰ καταλίπῃς ἀρετήν. καὶ γὰρ ἐσχάτης ἀλογίας, ζῶντας μὲν μὴ ποιεῖν αὐτοὺς κυρίους πάντων τῶν ὄντων, τελευτήσαντας δὲ πολλὴν τῇ τῆς νεότητος εὐκολίᾳ παρέχειν τὴν ἄδειαν. καίτοιγε ζῶντας μὲν δυνησόμεθα καὶ εὐθύνας ἀπαιτεῖν, καὶ κακῶς τοῖς οὖσι κεχρημένους σωφρονίζειν καὶ χαλινοῦν· τελευτήσαντες δὲ, ἂν μετὰ τῆς ἡμετέρας ἐρημίας, καὶ τῆς νεότητος καὶ τὴν ἀπὸ τοῦ πλούτου παράσχωμεν ἐξουσίαν, εἰς μυρίους ὠθήσομεν κρημνοὺς τοὺς ἀθλίους καὶ ταλαιπώρους ἐκείνους. μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως πλουσίους αὐτοὺς καταλίπωμεν, ἀλλ' ὅπως ἐναρέτους. ἂν μὲν γὰρ τῷ πλούτῳ θαρρῶσιν, οὐδενὸς ἐπιμελήσονται ἄλλου, ὡς ἔχοντες συσκιάσαι τὴν τῶν τρόπων κακίαν ἀπὸ τῆς τῶν χρημάτων περιουσίας· ἂν δὲ ἴδωσιν ἑαυτοὺς τῆς ἐκεῖθεν παραμυθίας ὄντας ἐρήμους, πάντα ἐργάσονται, ὥστε διὰ τῆς ἀρετῆς πολλὴν τῇ πενίᾳ τὴν παραμυθίαν εὑρέσθαι.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ.

Μὴ οὖν πρότερον ἰδιωτικῶν ἢ δημοσίων ἁψώμεθα πραγμάτων, ἕως ἂν τὴν ψυχὴν διορθωσώμεθα τὴν ἑαυτῶν. ἐὰν ὑμεῖς τοὺς ἑαυτῶν υἱοὺς οὕτω παιδεύσητε, κἀκεῖνοι τοὺς ἑαυτῶν παιδεύσουσι, καὶ πάλιν ἐκεῖνοι τοὺς ἑαυτῶν διδάξουσι· καὶ οὕτω μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ τὸ πρᾶγμα προβαῖνον, τοῖς τὴν ῥίζαν παρασχοῦσιν ἅπαντα οἴσει τοῦτον τὸν μισθόν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορινθ. β ἐπισ.

Ἐὰν γὰρ ἀναθρέψῃς σὺ καλῶς τὸ παιδίον, οὕτω κἀκεῖνος τὸν υἱὸν τὸν ἑαυτοῦ, καὶ οὗτος τὸν υἱόν, καὶ καθάπερ σειρά τις καὶ ἀκολουθία πολιτείας ἀρίστης μέχρι παντὸς βαδιεῖται, παρὰ σοῦ λαβοῦσα τὴν ἀρχὴν καὶ τὴν ῥίζαν, καὶ τῆς τῶν ἐγγόνων ἐπιμελείας σοὶ φέρουσα τοὺς καρπούς.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, χήρα καταλεγέσθω.

Οἱ γὰρ τῆς τῶν παίδων κοσμιότητός τε καὶ σωφροσύνης ἀμελοῦντες πατέρες παιδοκτόνοι τυγχάνουσι· καὶ χαλεπώτεροι ἢ ἐκεῖνοι, ὅσῳ καὶ πρὸς ψυχὴν ἡ ἀπώλεια καὶ ὁ θάνατος. ὥσπερ οὖν ἂν ἵππον ἴδῃς κατὰ κρημνοῦ φερόμενον, χαλινὸν ἐμβάλλεις τῷ στόματι, καὶ ἀναχαιτίζεις μετὰ σφοδρότητος καὶ μαστίζεις πολλάκις (καίτοιγε τοῦτο κόλασίς ἐστιν, ἀλλ' ἡ κόλασις αὕτη σωτηρίας μήτηρ ἐστίν) οὕτω καὶ ἐπὶ τῶν παίδων ποίει τῶν σῶν, ἁμαρτανόντων αὐτῶν. δῆσον τὸν πλημμελήσαντα, ἕως ἂν ἐξιλεώσῃ τὸν Θεόν· μὴ ἀφῇς λελυμένον, ἵνα μὴ πλέον δεθῇ τῇ τοῦ Θεοῦ ὀργῇ. ἂν γὰρ σὺ δήσῃς, ὁ Θεὸς οὐκ ἔτι δεσμεῖ· ἂν δὲ σὺ μὴ δήσῃς, τὰ ἄρρηκτα αὐτὸν περιμένει δεσμά. ἀλλ' ἱκανὴν ἔδωκε χρόνοις τιμωρίαν, φησί. πόσον, εἰπέ μοι; ἐν-

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. ἐπισ. β'.

ἡμῶν

αὐτόν,

αὐτὸν, καὶ ἔτη δύο καὶ τρία; ἀλλ' οὐ χρόνου πλῆθος ζητῶ, ἀλλὰ ψυχῆς διόρθωσιν. τοῦτο τοίνυν δεῖξον, εἰ κατενύγη, εἰ μετεβάλετο, καὶ τὸ πᾶν γέγονεν· ὡς ἂν μὴ τοῦτο ᾖ, οὐδὲν ὄφελος τοῦ χρόνου λοιπόν. οὐδὲ γὰρ, εἰ πολλάκις ἐπεδέθη τὸ τραῦμα, ζητοῦμεν, ἀλλ' εἰ ὤνησέ τι ὁ δεσμός. εἰ μὲν οὖν ὠφέλησε καὶ ἐν χρόνῳ βραχεῖ, μηκέτι περικείσθω· εἰ δὲ μηδὲν ὤνησε, καὶ μετὰ δέκα ἐνιαυτοὺς ἔτι περικείσθω· καὶ ὅρος ἔστω ἔσω λύσεως, τοῦ δεδεμένου τὸ κέρδος. 5

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β. ἐπιστ.

Οὐδὲν γὰρ οὕτω δείκνυσι τὸν τὴν ἀρχὴν ἔχοντα, ὡς ἡ φιλοστοργία ἡ περὶ τοὺς ἀρχομένους. οὐδὲ γὰρ πατέρα οὐ τὸ γεννῆσαι μόνον ποιεῖ, ἀλλὰ καὶ τὸ φιλεῖν μετὰ τὸ γεννῆσαι. εἰ δὲ ἔνθα φύσις ἀγάπης χρεία, πολλῷ μᾶλλον ἔνθα ἡ χάρις. καὶ σὺ δὲ, ὦ παῖ, ὡς οἰκέτης δούλευσον τοῖς γεννήσασί σε. τί γὰρ ἂν ἀντιδώσεις αὐτοῖς, οἷα αὐτοί σοι; ἀντιγεννῆσαι γὰρ αὐτοὺς οὐκ ἔνι.

Ἐκ τῆς ἑρμ. τῆς πρὸς Κορινθ. β. ἐπιστ.

Ἀλλὰ καὶ ὅταν ὁ πατὴρ ἢ ἀδελφὸς ἐπιτιμήσῃ ἤ σοι, συνοργίσθητι καὶ σύ, εἴτε ὡς ἀδελ- 10 φοῦ κηδόμενος, εἴτε ὡς πατρὶ συναγανακτῶν. ἂν γὰρ ἴδῃ ὁ ἡμαρτηκὼς, ὅτι ἐπετιμήθη μὲν παρὰ τοῦ πατρὸς, ἐκολακεύθη δὲ παρὰ σοῦ, ῥαθυμότερος ἔσται. καὶ οὐδὲ μέχρι τούτου τὰ τῆς ζημίας, ἀλλὰ καὶ κόλασιν ἄγεις ἐπὶ σαυτόν. ὁ γὰρ κωλύων τὸ τραῦμα θεραπευθῆναι τοῦ πεποιηκότος αὐτὸ οὐκ ἐλάττονα ἕξει κόλασιν, ἀλλὰ καὶ μείζονα. οὐ γάρ ἐστιν ἴσον πλῆξαι, καὶ τὸ πληγὲν κωλῦσαι θεραπευθῆναι. τοῦτο μὲν γὰρ θάνατον τίκτει πάντως, ἐκεῖνο δὲ οὐ πάν- 15 τως.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς αἰδρι- αίτας.

Μὴ δὴ τῶν γεγεννηκότων καταφρονῶμεν. κἂν γὰρ αὐτῶν καταφρονήσωμεν, οὐκ ἀρχόντων δεδοικότες, ἐπιεικέστεροι πάντως ἐσόμεθα· κἂν ἐκείνων διαπτύσωμεν ἁμαρτάνοντες, τὴν τοῦ συνειδότος οὐδέποτε δυνησόμεθα διαφυγεῖν ἐπιτίμησιν· κἂν ταύτην ἀτιμάσωμεν καὶ διακρουσώμεθα, τὴν παρὰ τῶν πολλῶν ὑπόληψιν δεδοικότες, ἀμείνους ἐσόμεθα· κἂν πρὸς ταύτην ἀναισχυντήσωμεν, ὁ τῶν νόμων ἐπικείμενος φόβος καὶ ἄκοντας ἡμᾶς σωφρονίσαι δυνήσεται. 20 ὥσπερ γὰρ κολαζομένων τῶν πονηρῶν, ἕτεροι βελτίους γίνονται, οὕτω καὶ τινῶν κατορθούντων πολλοὶ πρὸς τὸν ἴσον ἐνάγονται ζῆλον.

Ἐκ τῆς αὐτῆς.

Καὶ γὰρ τὸ παιδίον, ἕως μὲν ἂν ὑπὸ παιδαγωγοῦ τινος ἄγηται φοβεροῦ, κἂν σωφρονῇ, κἂν μετ' ἐπιεικείας ζῇ, θαυμαστὸν οὐδέν· ἀλλὰ τῷ τοῦ παιδαγωγοῦ φόβῳ τὴν σωφροσύνην τοῦ νέου λογίζονται πάντες· ὅταν δὲ ἀποθέμενος τὴν ἔξωθεν ἀνάγκην, ἐπὶ τῆς αὐτῆς μένῃ σεμνότητος, τότε καὶ τὴν ἐπὶ τῆς προτέ- 25 ρας ἡλικίας σωφροσύνην αὐτῷ πάντες λογίζονται.

Ἐκ τῆς πρὸς Κορ. β΄ ἐπιστ.

Διὰ τοῦτο τοὺς διδασκάλους μᾶλλον τῶν πατέρων ἐπιζητεῖν δεῖ καὶ ποθεῖν· διὰ τούτων μὲν γὰρ τὸ ζῆν, δι' ἐκείνων δὲ τὸ καλῶς ζῆν ἔσται.

Ἐκ τοῦ λόγου τοῦ εἰς παραβολ. τοῦ πλουσίου καὶ Λαζάρου.

Μηδὲ ὅτι πατέρα ἅγιον ἔχεις, ἐγκαλλωπίζου· αὐτὸ μὲν οὖν τοῦτο καταδικάσεταί σε πλέον, ὅταν οἴκοθεν ἔχων τὸ παράδειγμα τῆς εὐγενείας, ἀνάξιον σαυτὸν τῆς προγονικῆς παράσχῃς ἀρετῆς. μέγα ἀγαθὸν ἐν τοῖς κατορθώμασι τοῖς οἰκείοις τὰς ἐλπί- 30 δας τῆς σωτηρίας ἔχειν. οὐδὲ γὰρ φίλος οὐδεὶς οὐδέπω παραστήσεται ἐκεῖ. εἰ γὰρ ἐνταῦθά φησι τῷ Ἱερεμίᾳ, Μὴ ἀξίου περὶ τοῦ λαοῦ τούτου, ἐνταῦθα, ὅπου κύριοί ἐσμεν τοῦ μεταβαλέσθαι, πολλῷ μᾶλλον ἐκεῖ.

κ. τί λέγ[…] πατέρα μ[…] τινα ἔχ[…]

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Τιμοθ. α΄ ἐπιστ.

Τὰ γὰρ τῶν προγόνων ἐγκώμια, ὅταν μὲν αὐτοῖς κοινωνῶμεν, καὶ ἡμῶν ἐστιν· ὅταν δὲ μή, οὐδὲν ἰσχύει, ἀλλὰ καὶ μᾶλλον κατακρίνει. καὶ ὅπως, ἄκουε.

Ἐκ τῆς ἑρμην. τοῦ ζ΄. ψαλ.

Ἀβεσσαλὼμ υἱὸς ἐγένετο τῷ Δαβὶδ νέος, ἀκόλαστος, διεφθαρμένος. οὗτος ἐπανέστη ποτὲ τῷ πα- 35 τρὶ, καὶ τῆς βασιλείας αὐτὸν, καὶ τῆς οἰκίας, καὶ τῆς πατρίδος ἐκβαλών, διὰ τὸ ἐκεῖνον κατέχειν ἅπαντα· ὃς οὔτε τὴν φύσιν, οὔτε τὴν ἀναστροφὴν, οὔτε τὴν ἡλικίαν, οὔτε τὰ προλαβόντα ᾔδεσεν, ἀλλ' οὕτως ἦν καθάπαξ ὠμὸς καὶ ἀπηνὴς, καὶ θηρίον μᾶλλον ἢ ἄνθρωπος, ὡς ἅπαντα ταῦτα διαρρήξας τὰ κωλύματα, αὐτοῖς μετὰ ἀναισχυντίας ἐπιπηδῆσαι τοῖς τῆς φύσεως νόμοις, καὶ ταραχῆς ἐμπλῆσαι ἅπαντα καὶ θορύβου. εἰ γὰρ ὡς πατέρα αἰδεσθῆναι μὴ ἐβούλετο, ὡς γεγεννηκότα ἐχρῆν· εἰ 40 δὲ τὴν πολιὰν κατημέλει, ὡς εὐεργέτην αἰσχυνθῆναι ἔδει· εἰ δὲ μηδὲ οὕτως, ὡς οὐδὲν ἠδικηκότα. ἀλλ' ὁ τῆς φιλαρχίας ἔρως πάσης ταύτην ἐξέβαλε τὴν αἰδῶ, καὶ θηρίον τὸν ἄνθρωπον ἐποίησε. καὶ ὁ μὲν μακάριος ἐκεῖνος ὁ γεννησάμενος καὶ ἀναθρεψάμενος, ἀλήτης καὶ φυγὰς κατὰ τὴν ἔρημον ἐπλανᾶτο, καθάπερ τις μετανάστης τῇ ὑπερορίᾳ καὶ τοῖς ἐντεῦθεν κολαζόμενος κακοῖς· ἐκεῖνος δὲ ἐνετρύ-

φα.

φα τοῖς τοῦ παιδὸς ἀγαθοῖς. τῶν τοίνυν πραγμάτων ἐν τούτοις ὄντων, καὶ τῶν στρατοπέδων μὲν
ἐκείνου τεταγμένων, καὶ τῆς πόλεως ὑπὸ τὸν τύραννον οὔσης, Χουσί τις ἄνθρωπος ἐπιεικής,
φίλος ὢν τῷ Δαβίδ, ἔμενε τὴν πρὸς αὐτὸν φιλίαν διατηρῶν ἐν τῇ τῶν καιρῶν τούτων με-
ταβολῇ, καὶ ἰδὼν αὐτὸν ἄνθρωπον κατὰ τὴν ἔρημον πλανώμενον, διέρρηξε τὸν χιτωνίσκον, κατεπάσα-
5 το τέφραν, ἐστέναξεν, ἀνέκραξε πικρὸν καὶ ἐλεεινόν· καὶ ἐπειδὴ μηδὲν ἠδύνατο, τὴν ἀπὸ τῶν
δακρύων εἰσφέρει παραμυθίαν. οὐ γὰρ ἦν τῶν καιρῶν φίλος, οὐδὲ τῆς δυναστείας, ἀλλὰ
τῆς ἀρετῆς· διὰ τοῦτο, τῆς ἀρχῆς μεταπεσούσης, αὐτὸς τὴν φιλίαν οὐ μετέβαλεν. ἰδὼν
τοίνυν αὐτὸν ὁ Δαβὶδ ταῦτα ποιοῦντα, φησὶ πρὸς αὐτόν· φίλου μὲν καὶ ταῦτα καὶ γνησίως
πρὸς ἡμᾶς διακειμένου· ὀνίνησι δὲ οὐδὲν ἡμᾶς. ἀλλὰ τί δεῖ βουλεύσασθαι καὶ σκέψασθαι, ὅ-
10 πως ἂν λύσειν τὰ δεινά, καὶ διέξοδόν τινα εὕρω τῆς συμφορᾶς. ταῦτα εἰπὼν εἰσηγεῖται
γνώμην ἐκείνῳ τοιαύτην· ἀπελθών, φησι, πρὸς τὸν υἱὸν τὸν ἐμόν, καὶ φίλου προσωπεῖον
ὑποδύς, διασκέδασόν μοι τὰς ἐκείνου βουλάς, καὶ τοῦ Ἀχιτόφελ τὴν βουλὴν ἄκυρον ποίη-
σον. ὁ γὰρ Ἀχιτόφελ ἐμοῦ καὶ τοῦ τυράννου τότε ἐκράτησεν οἰκειωθεὶς αὐτῷ, καὶ δεινὸς μὲν
ἦν τὰ πολεμικά, δεινὸς δὲ καὶ στρατηγῆσαι πολέμῳ καὶ μάχῃ· διὸ καὶ τοῦ τυράννου μᾶλλον αὐτὸν
15 ἐδεδοίκει ὁ Δαβίδ· οὕτως ἦν δεινὸς ἐν ταῖς γνώμαις ὁ ἀνήρ. ταῦτα ἀκούσας ὁ Χουσὶ ἐπεί-
σθη, καὶ οὐδὲν μικρόψυχον ἐλογίσατο οὐδὲ ἄνανδρον, οὐδὲ εἶπε, τί δὲ ἐὰν ἁλῶ; τί δὲ ἐὰν
γυμνωθῇ καὶ ἐλεγχθῇ μου τὸ προσωπεῖον; τί δὲ ἐὰν φωραθῇ τὸ δρᾶμα τῆς ὑποκρί-
σεως; δεινὸς ὁ Ἀχιτόφελ, ἴσως καὶ τοῦτο ἐλέγξει καὶ ποιήσει κατάφωρον· καὶ ἀπολοῦμαι εἰκῇ
καὶ μάτην. οὐδὲν τῶν τοιούτων ἐννοήσας, εἰς τὸ στρατόπεδον ὁλόκληρον ἐνεπήδησε, τὸ πᾶν
20 ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ εἰς μέσους ἑαυτὸν ἀφῆκε τοὺς κινδύνους. ὡς δὲ ἐπέστη τῇ πόλει, ἰδὼν
προσπελάζοντα τὸν τύραννον, προσῆλθεν· ὁ δὲ ἰδὼν αὐτὸν ἄνθρωπον, καὶ τῇ φιλαρχίᾳ μεθύ-
ων, οὐκ ἐξήτασεν ἀκριβῶς τὰ κατ' αὐτόν, ἀλλ' ἐπισκώπτων αὐτὸν καὶ ὀνειδίζων, ἄπιθι,
φησι, μετὰ τοῦ ἑταίρου σου, οὐδὲ τὸ ὄνομα ὑπομείνας εἰπεῖν τοῦ πατρός, ὑπὸ μίσους
καὶ ἀπεχθείας πολλῆς. ὁ δὲ Χουσὶ οὐδὲν διαταραχθείς, οὐδὲ διαθορυβηθείς, τί φη-
25 σιν; ὅτε ἦν ὁ Θεὸς μετ' αὐτοῦ, τὰ ἐκείνου ἐφρόνουν· ἐπειδὴ δὲ μετὰ σοῦ νῦν ἕστηκεν, ἀ-
κόλουθον θεραπεύειν τὰ σά. ἐπῆρε τοῦτο τὸν τύραννον καὶ ἐφύσησε, καὶ οὐδὲν ἐξετάσας ἀκρι-
βῶς (κοῦφος γὰρ ἀνὴρ πιστεύει παντὶ λόγῳ, τοῖς ἐναντίοις ἐκτραχηλιασθείς) εὐθέως αὐ-
τὸν εἰς τοὺς γνησίους εἰσάγει, καὶ εἰς τοὺς πρώτους ἐνέγραφε τῶν φίλων. τὸ δὲ πᾶν ὁ
Θεὸς ᾠκονόμει παρὼν καὶ στρατηγῶν τοῖς γινομένοις. καὶ λοιπὸν βουλῆς προκειμένης περὶ πο-
30 λέμου, καὶ ἑτέρων ἕτερα εἰσηγουμένων, περὶ τοῦ πότερον εὐθέως ἐπιθέσθαι χρή, ἢ μικρὸν ἀ-
ναβαλλομένους, παρελθὼν ὁ Ἀχιτόφελ ὁ δεινὸς ἐκεῖνος συμβουλεῦσαι καὶ γνώμην εἰσενεγ-
κεῖν, ταύτην εἰσηγεῖτο τὴν συμβουλήν· τεταλαιπωρημένῳ, φησί, νῦν καὶ τεθορυβημένῳ ἐ-
πιθώμεθα τῷ πατρί σου σῷ, καὶ μὴ συγχωρήσαντες αὐτὸν μηδὲ μικρόν, οὕτως ἀνέλωμεν· ἂν
γὰρ ἀπαρασκευάστῳ ὄντι νῦν ἐπιθώμεθα, οὐδεὶς ἔσται πόνος ἡμῖν. ταῦτα ἀκούσας ὁ τύ-
35 ραννος καλεῖ καὶ τὸν Χουσὶ τὸν αὐτομολήσαντα τῇ ὑποκρίσει πρὸς αὐτόν, καὶ φησι· μετα-
δῶμεν καὶ τούτῳ τοῦ λόγου· ὅπερ οὐκ ἦν κατὰ ἀκολουθίαν ἀνθρωπίνην, τὸ ἄνθρωπον ἐλθόντα
τοῦτον, οὕτω τιμῆσαι καὶ νομίσαι ἀξιόπιστον εἶναι), ὡς καὶ συμβουλῆς ἀξιοῦν πραγμάτων ἕ-
νεκεν τοιούτων. ἀλλ', ὅπερ ἔφθην εἰπών, ὅταν ὁ Θεὸς στρατηγῇ, καὶ τὰ δύσκολα εὔκολα
γίνεται. καὶ εἰσάγεται) ὁ Χουσί, καὶ μεταδίδωσι παρρησίας αὐτῷ ὁ τύραννος, καὶ ἀξιοῖ λέγειν τὰ
40 παριστάμενα. τί οὖν ὁ Χουσί; οὐδέποτε, φησιν, οὕτω διήμαρτεν Ἀχιτόφελ. εἶδες σύνεσιν
ἀνδρός; οὐκ εὐθέως αὐτῷ τὴν γνώμην ἐκβάλλει, ἀλλὰ μετ' ἐγκωμίου. θαυμάσας γὰρ
αὐτὸν πρότερον ὡς ἐν τοῖς ἔμπροσθεν χρόνοις καιρίως συμβουλεύοντα, οὕτω τὴν παροῦσαν
κακίζει γνώμην, μονονουχὶ λέγων, θαυμάζω, πῶς νῦν διήμαρτεν· οὐ γάρ μοι δοκεῖ συμφέ-
ρειν οὗτος ὁ λογισμός. ἂν μὲν γὰρ νῦν ἐπιθώμεθα, καθάπερ ἄρκος τις παροιστρῶσα θυμοῦ

γέμων

γέμων ὁ πατὴρ ὁ σός, καὶ ἀπεγνωκὼς τῆς ἑαυτοῦ ζωῆς, ἐν ἀκμαζούσῃ τῇ ὀργῇ πολεμήσει, οὐδένα τῆς ἑαυτοῦ σωτηρίας ποιήσεται λόγον, καὶ μετὰ πολλῆς ἐμπεσεῖται τῆς σφοδρότητος ἡμῖν. εἰ δὲ μικρὸν ἐνδοίημεν, μετὰ πλείονος ἐπιθησόμεθα τῆς παρασκευῆς, καὶ μετὰ μείζονος τῆς ἀσφαλείας, καὶ ἀπονητί, καὶ μετὰ εὐκολίας ἁπάσης, ὥσπερ [ἐν] σαγήνῃ λαβόντες αὐτόν, οὕτως ἐπλυήξομεν. ἐπαινεῖ τὴν γνώμην ὁ Ἀβεσσαλὼμ ταύτην, καὶ λυσιτελεστέραν εἶναι ἔφησεν αὐτῷ. ταῦτα δὲ ἔλεγεν ὁ Χουσί, βουλόμενος δοῦναι καιρὸν τῷ Δαβίδ, ὥστε στῆναι μικρὸν καὶ ἀναπνεῦσαι, καὶ στρατεύματα συναγαγεῖν. οὕτω τοίνυν ἐκβαλὼν τοῦ Ἀχιτόφελ τὴν γνώμην, διά τινων κεκρυμμένων πέμψας ἀνδρῶν, ἀπήγγειλεν ἅπαντα τῷ Δαβίδ, καὶ ὅτι τὴν αὐτοῦ γνώμην ἐκύρωσεν ὁ τύραννος, τὴν φέρουσαν τῷ Δαβίδ τὴν νίκην. οὕτω γοῦν καὶ ἐγένετο. ἐπειδὴ γὰρ μικρὸν ἐνέδωσαν οἱ περὶ τὸν τύραννον, παρασκευασάμενος ὁ Δαβίδ ἐπέθετο, καὶ τὸ τρόπαιον ἔστησεν. ὅπερ ὁ Ἀχιτόφελ ἀπὸ πολλῆς συνέσεως καὶ δεινότητος συνορῶν, καὶ ἐντεῦθεν ἤδη τὸ τέλος καταμαθών, ὅτι ὄλεθρος ἦν τῷ Ἀβεσσαλὼμ αὕτη ἡ γνώμη, οὐκ ἐνεγκὼν τὴν ἐντεῦθεν ἐπήρειαν, ἀπελθὼν βρόχον ἀνῆψε, καὶ ἀπήγξατο, καὶ οὕτω τὸν βίον κατέλυσε. περὶ τοῦ Ἀχιτόφελ οὖν καὶ τοῦ Ἀβεσσαλὼμ εἴρηται, Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ. ἀμφοτέρων γὰρ εἰς κεφαλὴν ἡ τιμωρία κατέβη. ὁ μὲν γὰρ ἀγχόνῃ χρησάμενος, οὕτω τὸν βίον κατέλυσεν· ὁ Ἀβεσσαλὼμ δὲ οὐκ ἀπήγξατο, ἀλλ' ἄκων ἐκρέματο, καὶ οὐκ εὐθέως ἀνῄρητο, ἀλλ' ὥσπερ ἐν δικαστηρίῳ πρότερον ἀνηρτήθη καὶ τῷ ξύλῳ προσηλώθη, καὶ τοῦ Θεοῦ τὴν ψῆφον ἄνωθεν φέροντος, ἐπὶ πολὺ ἐκρέματο χρόνον ὑπὸ τοῦ συνειδότος λοιπὸν μαστιζόμενος. καὶ ἵνα μάθῃς, ὅτι οὐκ ἀνθρωπίνης ἦν σπουδῆς τὰ γινόμενα, ἀλλ' ὅλον θεῖον ἦν τὸ δικαστήριον, τρίχες αὐτὸν καὶ ξύλον ἔδησαν, καὶ ζῶον ἄλογον προέδωκε· καὶ ἀντὶ μὲν σχοινίων ἡ κόμη, ἀντὶ δὲ ξύλου τὸ δένδρον γέγονεν, ἀντὶ δὲ στρατιώτου ἡ ἡμίονος. καὶ σκόπει τοῦ Θεοῦ τὴν μακροθυμίαν. καὶ γὰρ ἀφῆκεν αὐτὸν χρόνον πολύν, εἰς μετάνοιαν ἐφελκόμενος, καὶ πεῖραν λαβεῖν ἐποίησε τῆς τοῦ πατρὸς γλυκύτητος. εἰ γὰρ μὴ θηρίον ἦν, καὶ λιθίνην εἶχε ψυχήν, ἱκανὰ ἦν ἐκεῖνα πάντα αὐτὸν ἀπαγαγεῖν τῆς ἀκαίρου μανίας· ἡ τράπεζα, καθ' ἣν ἐκοινώνει τῷ πατρὶ τῶν ἁλῶν, ὁ οἶκος, τὰ συνέδρια, ἔνθα οἱ λόγοι πρὸς αὐτὸν ἐγίνοντο· τὰ ἄλλα πάντα, ἔνθα αὐτῷ κατηλλάγη φόνον τοιοῦτον πεποιηκότι. μετὰ τούτων καὶ ἕτερα ἦν ἱκανὰ αὐτὸν μαλάξαι. καὶ γὰρ ἤκουσεν, ὅτι φυγὰς καὶ ἀλήτης περιήρχετο, ὅτι τὰ ἔσχατα ἔπασχε δεινά. πῶς δὲ οὐκ ἐνενόησεν, ὅτι καὶ νικήσας πάντων ἀθλιώτερον ἂν ἔζη βίον, ἐναγὴς ὢν καὶ ἀκάθαρτος ἀπὸ τοῦ τροπαίου; καὶ ταῦτα λοιπόν, γέροντος ὄντος τοῦ πατρός, καὶ ἐπὶ θύραις τῆς προσδοκίας οὔσης, οὐκ ἀνέμενε χρόνον ἐπὶ μικρόν. πόσην νῦν εἰσὶν οἱ πενίαν ὀδυρόμενοι; πόσης ταῦτα πενίας χαλεπώτερα; πόσης νόσου; πόσης ἰδιώνης; οὐκ εἶπεν οὐδὲν τοιοῦτον πρὸς ἑαυτὸν ὁ δίκαιος ἐκεῖνος, οὐδὲ ἀπεδυσπέτησεν, οὐδὲ ἐθρήνησε λέγων, καλάς γε ἀπολαμβάνω τὰς ἀμοιβὰς ὁ ἐν τῷ νόμῳ αὐτοῦ μελετῶν ἡμέρας καὶ νυκτός· ὁ ἐν ἀξιώματι τοιούτῳ πάντων γινόμενος ταπεινότερος, ὁ τῶν ἐχθρῶν φεισάμενος, εἰς χεῖρας ἀκολάστου παιδὸς ἐκδίδομαι. οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ἔφερεν ἅπαντα μετὰ φιλοσοφίας, μίαν μόνον ἔχων παραμυθίαν ἐν τοῖς γινομένοις, τὸ πεπεῖσθαι, ὅτι τοῦ Θεοῦ ταῦτα εἰδότος γίνεται. καὶ καθάπερ οἱ τρεῖς παῖδες ἐν τῇ καμίνῳ ὄντες ἔλεγον· Καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. εἰ δέ τις εἴποι πρὸς αὐτούς, καὶ ποίᾳ ἐλπίδι ἀποθνήσκετε; τί προσδοκῶντες; τί δὲ ἐλπίζοντες μετὰ τὸν θάνατον, μετὰ τὸ πῦρ; (οὐδέπω γὰρ τῆς ἀναστάσεως ἦν ἡ προσδοκία) ἤκουσεν ἂν παρ' αὐτῶν, ὅτι αὕτη μεγίστη ἐστὶν ἡμῖν ἀντίδοσις, τὸ διὰ τὸν Θεὸν ἀποθανεῖν· οὕτω καὶ οὗτος μεγίστην ταύτην ἡγεῖτο αὐτῷ εἶναι παραμυθίαν, τὸ τὸν Θεὸν εἰδότα ταῦτα μὴ κωλύειν. εἰ γὰρ ἐραστὴς μυριάκις ἂν ἕλοιτο ὑπὲρ ἐρωμένης κατασφαγῆναι, καίτοι οὐδὲν μετὰ τὸν θάνατον προσδοκῶν παρ' ἐκείνης·

Ψαλ. ζ. ιζ.

Δαν. γ. ιη.

ἐκείνης· πολλῷ μᾶλλον ἡμᾶς δεῖ μὴ βασιλείας προσδοκίᾳ, μὴ ἄλλῃ τινὶ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι, ἀλλὰ δι' αὐτὸν τὸν Θεὸν πάντα πάσχειν· ὅτι αὐτῷ πρέπει ἡ δόξα καὶ ἡ μεγαλοπρέπεια, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ Παῦλον, συντεθὲν παρὰ Θεοδώρου Μαγίστρου ἀπὸ διαφόρων λόγων τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Λογ. κζ.

Τῆς μὲν ἐπιγραφῆς τῶν ἀποστολικῶν πράξεων ἅπαν ὑμῖν ἤδη τὸ χρέος καταβεβλήκαμεν. ἀκόλουθον δὲ λοιπὸν ἦν, καὶ τῆς ἀρχῆς ἅψασθαι τοῦ βιβλίου καὶ εἰπεῖν, τί ποτέ ἐστι, Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. ἀλλὰ Παῦλος οὐκ ἀφίησιν ἡμᾶς χρήσασθαι τῇ τάξει ταύτῃ τῆς ἀκολουθίας, πρὸς ἑαυτὸν καὶ τὰ οἰκεῖα κατορθώματα τὴν ἡμετέραν γλῶτταν καλῶν. ἐπιθυμῶ γὰρ αὐτὸν ἰδεῖν εἰς Δαμασκὸν εἰσαγόμενον, δεδεμένον, οὐκ ἐν ἁλύσει σιδηρᾷ, ἀλλὰ φωνῇ δεσποτικῇ. ἐπιθυμῶ δὲ ἰδεῖν ἁλιευθέντα τὸν ἰχθὺν τοῦτον τὸν μέγαν, τὸν ἅπασαν ἀναβράσαντα τὴν θάλασσαν, τὸν μυρία κύματα κατὰ τῆς ἐκκλησίας ἐπεγείραντα. ἐπιθυμῶ ἰδεῖν αὐτὸν ἁλιευθέντα, οὐχὶ ἀγκίστρῳ, ἀλλὰ λόγῳ δεσποτικῷ. καθάπερ γάρ τις ἁλιεὺς ἐπὶ πέτρας ὑψηλῆς καθήμενος, καὶ τὸν κάλαμον μετεωρίζων ἀφ' ὑψηλοῦ, τὸ ἄγκιστρον ἀφίησιν εἰς τὸ πέλαγος· οὕτω δὴ καὶ ὁ δεσπότης ὁ ἡμέτερος, ὁ τὴν ἁλείαν δείξας τὴν πνευματικήν, καθάπερ ἐφ' ὑψηλῆς πέτρας τῶν οὐρανῶν καθήμενος, ὥσπερ ἄγκιστρον, τὴν φωνὴν ἐκείνην ἀφεὶς ἄνωθεν καὶ εἰπών· Σαῦλε, Σαῦλε, τί με διώκεις; οὕτω τὸν ἰχθὺν τοῦτον τὸν μέγαν ἡλίευσε. Τίς γὰρ τὸν ὠμὸν καὶ ἀπάνθρωπον, καὶ διώκτην, καὶ βλάσφημον, καὶ οὕτω τὴν ἐκκλησίαν λυμαινόμενον, ὡς καὶ κατὰ τοὺς οἴκους πορευόμενον, σύρειν ἄνδρας τε καὶ γυναῖκας, καὶ πάντα συγχέειν καὶ ταράττειν, ἀπέστρεψεν, εἰ μὴ ἐξαίφνης ὁ βασιλεὺς ὁ ἡμέτερος καλέσας μετέστησε, καὶ πρὸς ἑαυτὸν ἐπανήγαγε; καὶ γὰρ καὶ οἱ μαθηταὶ ὅπουπερ ἂν παραγινόμενον εἶδον, δεδοικότες ἔφριττον, καὶ οὐδὲ ἀντιβλέψαι ἐτόλμων. καὶ ὅτε πάλιν τῶν φίλων ἐγένετο, τὸν αὐτὸν φόβον ἐδείκνυον. εἰ δὲ ἤδη καταλλαγέντα αὐτὸν ἐδεδοίκεσαν, ἐχθρὸν ὄντα καὶ πολέμιον τί οὐκ ἂν ἐποίουν; ἐγὼ δὲ τί πάθω; ἀνάγκη φυγεῖν πολλῇ τῇ σφοδρότητι χρησάμενον, μὴ πάλιν κατασχὼν ἀπαγάγῃ τοῦ προκειμένου. καὶ γὰρ ἴστε πολλάκις ἑτέρωθί με βαδίζοντα καὶ τετραμμένον ἀπαντήσας, ἐν μέσῳ τῷ λόγῳ κατέσχε, καὶ οὕτως εἷλεν, ὡς ἐν αὐτῷ τρέψαι καὶ καταλῦσαι τὸν λόγον. Οὗτος τοίνυν ὁ μακάριος Παῦλος, ὁ τὴν οἰκουμένην φωτίσας πᾶσαν, ἐν καιρῷ τῆς κλήσεως ἐτυφλώθη ποτέ· ἀλλ' ἡ πήρωσις ἐκείνου φωτισμὸς τῆς οἰκουμένης ἐγένετο. ἐπειδὴ γὰρ ἔβλεπε κακῶς, ἐπήρωσεν αὐτὸν καλῶς ὁ Θεός, ὥστε ἀναβλέψαι χρησίμως· καὶ ἐπειδὴ καθ' ὑπερβολὴν ἐδίωκε τὴν ἐκκλησίαν, καὶ οὕτω σφοδρὸς ἦν καὶ ἀπρόσιτος, σφοδρότερον δέχεται τὸν χαλινόν, ἵνα μὴ τῇ ῥύμῃ τῆς προθυμίας ἐκείνης ἀγόμενος παρακούσῃ τῶν λεγομένων, καὶ ἵνα μάθῃ τίνα πολεμεῖ, ὃν οὐ μόνον κολάζοντα, ἀλλ' οὔτε εὐεργετοῦντα ἐνεγκεῖν δύναται. οὐδὲ γὰρ σκότος αὐτὸν ἐπήρωσεν, ἀλλ' ὑπερβολὴ φωτὸς αὐτὸν ἐσκότισεν. Εἰ πόλεμος ἡμῖν περιεστήκει βαρβαρικός, καὶ ἐπὶ τῆς παρατάξεως οἱ πολέμιοι μυρία περιέφερον ἡμῖν πράγματα· εἶτα ὁ στρατηγὸς τῶν βαρβάρων, ὁ μυρία προσάγων μηχανήματα, καὶ πάντα συγχέων τὰ ἡμέτερα, καὶ πολλοῦ θορύβου καὶ ταραχῆς ἐμπιπλῶν, καὶ τὴν πόλιν αὐτὴν ἀπειλῶν κατασκάψειν καὶ παραδώσειν πυρί, καὶ δουλείαν ἡμῖν ἐπανατεινόμενος, ἐξαίφνης ὑπὸ τοῦ βασιλέως τοῦ ἡμετέρου δεθεὶς, αἰχμάλωτος εἰς τὴν πόλιν ἤγετο· οὐκ ἂν ἅπαντες μετὰ γυναικῶν καὶ παιδίων πρὸς τὴν θεωρίαν

Πράξ. α. α.

Πράξ. θ. δ.

Ἐκ τοῦ λόγ. τοῦ, ὅτι χρήσιμοι οἱ ἐλέγχοι.

Ἐκ τοῦ δ. λόγ. τῶν εἰς τὸ ὄνομ. ἀπός. Παῦλον.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, Σαῦλος δὲ ἔτι ἐμπν. ἀπειλῆς καὶ φόνου.

ἐκείνην ἐξεπηδήσαμεν; ἐπειδὴ δὲ καὶ νῦν πόλεμος συνέστηκεν Ἰουδαίων θορυβούντων καὶ ταραττόντων ἅπαντα, καὶ πολλὰ τῇ τῆς ἐκκλησίας ἀσφαλείᾳ προσαγόντων μηχανήματα· τὸ δὲ κεφάλαιον τῶν πολεμίων ὁ Παῦλος, ὁ πάντων μείζονα καὶ ποιῶν καὶ λέγων, ὁ πάντα θορυβῶν καὶ ταράττων, ἔδησε δὲ αὐτὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ βασιλεὺς ὁ ἡμέτερος, ἔδησε καὶ αἰχμάλωτον ἤγαγεν· οὐκ ἐξελθωμεν ἅπαντες ἐπὶ τὴν θεωρίαν ταύτην, ὥστε ἰδεῖν αὐτὸν αἰχμάλωτον ἀγόμενον; καὶ γὰρ οἱ ἄγγελοι ἐκ τῶν οὐρανῶν ὁρῶντες αὐτὸν δεδεμένον καὶ εἰσαγόμενον, ἐσκίρτων· οὐκ ἐπειδὴ δεδεμένον αὐτὸν εἶδον, ἀλλ' ἐπειδὴ ἐνενόουν ὅσους αὐτὸς ἀπὸ τῶν δεσμῶν λύειν ἔμελλεν· οὐκ ἐπειδὴ χειραγωγούμενον ἐθεάσαντο, ἀλλ' ἐπειδὴ ἐλογίζοντο ὅσους ἔμελλεν ἀπὸ τῆς γῆς χειραγωγεῖν ἐκεῖνος· οὐκ ἐπειδὴ πεπηρωμένον εἶδον, ἀλλ' ἐπειδὴ ἐνενόουν ὅσους ἔμελλεν ἀπὸ σκότους ἐξάγειν. Διὰ τοῦτο κἀγὼ πάντας ἀφεὶς τοὺς ἄλλους, εἰς Παῦλον ἅλλεσθαι σπεύδω. Παῦλος γὰρ καὶ Παύλου πόθος ἠνάγκασεν ἡμᾶς πηδῆσαι τοῦτο τὸ πήδημα.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Φιλιππησίους.

Τίς λαλήσει τὰς δυναστείας σου, Κύριε, ὅτι Παῦλον οὐκ ἀφῆκας λαθεῖν, ὅτι ἔδειξας τῇ οἰκουμένῃ τοιοῦτον ἄνδρα; ᾔνεσάν σε πάντες ἄγγελοι ὁμοθυμαδὸν, ὅτε τὰ ἄστρα εἰργάσω, καὶ ὅτε τὸν ἥλιον· ἀλλ' οὐχ οὕτως, ὡς ὅτε Παῦλον ἔδειξας τῇ οἰκουμένῃ πάσῃ. διὰ τοῦτο φαιδροτέρα γέγονεν ἡ γῆ τοῦ οὐρανοῦ, ἐπειδὴ φαιδρότερος τοῦ ἡλιακοῦ φωτός. καὶ τοῦτο μὲν ὁ ἥλιος παραχωρεῖ τῇ νυκτί· ἐκεῖνος δὲ τοῦ διαβόλου περιεγένετο· καὶ ὁ μὲν ἀφ' ὕψους φερόμενος, κάτω τὰς ἀκτῖνας ἀφίησιν· αὐτὸς δὲ κάτωθεν ἀνατέλλων, οὐχὶ τὸ μέσον οὐρανοῦ καὶ τῆς γῆς τοῦ φωτὸς ἀνεπλήρωσεν, ἀλλ' ἅμα τὸ στόμα ἀνέῳξε, καὶ τοὺς ἀγγέλους ἐνέπλησε πολλῆς τῆς ἡδονῆς. Εἰ γὰρ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ γίνεται ἐν τοῖς οὐρανοῖς, αὐτὸς δὲ ἐκ πρώτης δημηγορίας μυριάδας πέντε ἀνδρῶν ἐθήρευσε, πόσης οὐκ ἐμπίπλησι χαρᾶς τὰς ἄνω δυνάμεις; καὶ τί λέγω ἁπλῶς; ἀρκεῖ Παῦλον φθέγγεσθαι, καὶ τοὺς οὐρανοὺς σκιρτᾶν καὶ εὐφραίνεσθαι.

Λουκ. ιε ζ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β΄. ἐπιστ.

Τί γὰρ τῶν σπλάγχνων τούτων θερμότερον, ὃς πανταχοῦ τῆς οἰκουμένης περιέτρεχε συρόμενος, λιθαζόμενος, ἵνα τοὺς δεδεμένους λύσῃ, καὶ πρὸς ἑαυτὸν μεταστήσῃ; οὐδὲ γὰρ ὡς μαχόμενος οὕτω τὰ πράγματα ἐκίνει, ἀλλ' ὡς ἐπὶ ἑτοίμην καὶ πρόχειρον νίκην ἐρχόμενος, οὕτως ἵστη τὰ τρόπαια, κατασκάπτων, καθαιρῶν, καταβάλλων τοῦ διαβόλου τὰ ὀχυρώματα, καὶ τῶν δαιμόνων τὰ μηχανήματα, καὶ οὐδὲ μικρὸν ἀνέπνει, ἀλλ' ἀπὸ τούτων ἐπ' ἐκείνους, καὶ πάλιν ἀπ' ἐκείνων ἐφ' ἑτέρους μεταπηδῶν, καὶ καθάπερ τις στρατηγὸς ἄριστος, καθ' ἑκάστην ἡμέραν ἱστῶν τρόπαια, μᾶλλον δὲ καθ' ἑκάστην ὥραν. ἀπὸ γὰρ χιτωνίσκου μόνου εἰς τὴν παράταξιν εἰσελθὼν, αὐτάνδρους ᾕρει τῶν ἐναντίων τὰς πόλεις· καὶ τόξα, καὶ δόρατα, καὶ βέλη, καὶ πάντα ἡ γλῶττα Παύλου. καὶ γὰρ ἐφθέγγετο μόνον, καὶ παντὸς πυρὸς σφοδρότερον τοῖς πολεμίοις αἱ ῥήσεις ἐμπίπτουσαι, τοὺς μὲν δαίμονας ἤλαυνον, τοὺς δὲ ὑπ' αὐτῶν κατεχομένους ἀνθρώπους πρὸς αὐτὸν ἐπανήγαγον. ὅτι γὰρ τὸν δαίμονα ἐκεῖνον τὸν πονηρὸν ἐξέβαλε, γοήτων ἀνδρῶν μυριάδες πέντε συνελθόντες τὰ βιβλία τῶν μαγειῶν κατέκαυσαν, καὶ πρὸς τὴν ἀλήθειαν μεθίσταντο. καὶ καθάπερ ἐν πολέμῳ πύργου πεσόντος, ἢ τυράννου κατενεχθέντος, οἱ μετ' ἐκείνου πάντες τὰ ὅπλα ῥίψαντες τῷ στρατηγῷ προστρέχουσιν· οὕτω δὴ καὶ τότε ἐγένετο. τοῦ γὰρ δαίμονος ἐκβληθέντος, πολιορκηθέντες ἅπαντες, καὶ τὰ βιβλία ῥίψαντες, μᾶλλον δὲ καταλύσαντες, τοῖς Παύλου ποσὶ προσέτρεχον· ὁ δὲ καθάπερ ἐν στρατοπέδῳ τῇ οἰκουμένῃ παρατατόμενος, οὐδαμοῦ ἵστατο· ἀλλ' ὥσπερ τις ὑπόπτερος ὤν, πάντα ἐποίει· καὶ νῦν μὲν χωλὸν διώρθου, νῦν δὲ νεκρὸν ἤγειρε, νῦν δὲ ἕτερον ἐπήρου, τὸν μάγον λέγω, καὶ οὐδὲ ἐν δεσμωτηρίῳ κατακλειόμενος ἡσύχαζεν, ἀλλὰ καὶ ἐκεῖ τὸν δεσμοφύλακα μετῆγε πρὸς ἑαυτὸν, τὴν καλὴν ταύτην αἰχμαλωσίαν ἐργαζόμενος. θαυμάζεται Δαβὶδ τὸν Γολιὰθ καταφέρων ἀπὸ λίθου μόνου ἑνός· ἀλλ' εἰ τὰ Παύλου κατορθώματά τις ἐξετάσειε, παιδὸς ἔργον ἐκεῖνο· καὶ ὅσον ποιμένος καὶ

στρατηγοῦ

στρατηγοῦ τὸ μέσον, τοσοῦτον τούτου κἀκείνου τὸ διάφορον. οὐδὲ γὰρ οὐ λίθον ῥίψας οὗτος νοητὸν Γολιὰθ κατέφερεν, ἀλλὰ φθεγγόμενος μόνον ἅπασαν κατέλυσε τοῦ διαβόλου τὴν φάλαγγα. καὶ καθάπερ λέων βρυχώμενος καὶ φλόγα ἀπὸ τῆς γλώττης ἀφιείς, οὕτω πᾶσιν ἀφόρητος ἦν ἐπιών, καὶ πανταχοῦ μετεπήδα συνεχῶς· ἔδραμεν ἐπὶ τούτους, ἦλθεν ἐπ' ἐκείνους, μετέστη πρὸς τούτους, ἀπεπήδησε πρὸς ἑτέρους, ἀνέμου ταχύτερον ἐπιών· καὶ καθάπερ μίαν οἰκίαν ἢ πλοῖον ἕν, τὴν οἰκουμένην ἅπασαν κυβερνῶν, καὶ τοὺς μὲν βαπτιζομένους ἀνέλκων, τοὺς δὲ ἰλιγγιῶντας στηρίζων, τοῖς ναύταις παρακελευόμενος, ἐπὶ τῶν αὐχένων καθήμενος, τὴν πρῷραν περισκοπῶν, σχοινία τείνων, κώπην ἕλκων, ἱστὸν ἑλκύων, πρὸς τὸν οὐρανὸν βλέπων, πάντα αὐτὸς ὤν, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρωρεύς, καὶ ἱστίον, καὶ πλοῖον, καὶ πάντα πάσχων, ἵνα τὰ ἑτέρων λύσῃ κακά. καὶ καθάπερ τις ἀθλητὴς αὐτὸς παλαίων, τρέχων, πυκτεύων· ἢ στρατιώτης τειχομαχῶν, πεζομαχῶν, ναυμαχῶν, οὕτω πᾶν εἶδος μετῄει μάχης· καὶ πῦρ ἐνέπνει, καὶ πᾶσιν ἀπρόσιτος ἦν, ἑνὶ σώματι καταλαμβάνων τὴν οἰκουμένην, καὶ μιᾷ γλώττῃ πάντας τρεπούμενος. οὐχ οὕτως αἱ πολλαὶ σάλπιγγες ἐνέπιπτον τοῖς λίθοις τοῖς Ἱεριχουντίων πόλεως, καὶ καθῄρουν αὐτούς, ὡς ἡ Παύλου φωνὴ ἠχοῦσα, τὰ ὀχυρώματα τὰ διαβολικὰ χαμαὶ ἔρριπτε, καὶ πρὸς ἑαυτὸν τοὺς ἐναντίους μετῆγε· καὶ διὰ θυρίδος ἀπὸ τοῦ τείχους ἐχαλάσθη, ἵνα κἀκεῖθεν ἄνω περιστρέψῃ τοὺς ἐρριμμένους χαμαί.

Ἐκ τοῦ γ. λόγ. τοῦ εἰς Σταγείρ.

Τὸν μὲν οὖν λιμόν, καὶ τὸ δίψος, καὶ τὴν γύμνωσιν, καὶ τὰ ναυάγια, καὶ τοὺς φόβους, καὶ τὰς ἐπιβουλάς, καὶ τὰ δεσμωτήρια, καὶ τὰς πληγάς, καὶ τὰ ἄλλα πάντα, ὅσα τοῦ κηρύγματος ἕνεκεν ὁ μακάριος Παῦλος ὑπέμεινεν, οὐδὲν οἶμαι δεῖν λέγειν, ὧν ἕκαστον ἱκανὸν συνταράξαι σφοδρῶς, καὶ κατακλάσαι τὴν ἀγίαν ἐκείνην ψυχήν. ὅταν δὲ λέγῃ, Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; τοῦτό ἐστιν ὃ πάντων μάλιστα δείκνυσι καὶ ἀφόρητον περιέχει τὴν ἀθυμίαν αὐτοῦ. εἰ γὰρ καθ' ἕκαστον τῶν σκανδαλιζομένων αὐτὸς ἐπυροῦτο, οὐκ ἦν σβεσθῆναι τὴν πύρωσιν ταύτην ἀπὸ τῆς ἐκείνου ψυχῆς. οὐ γὰρ διελίμπανον οἱ σκανδαλιζόμενοι καὶ τὴν ὑπόθεσιν παρέχοντες τῷ πυρί. ὁ δὲ καὶ τοὺς Ἰουδαίους ἀπιστοῦντας ὁρᾶν, τίνα αὐτῷ ἀθυμίας καὶ ὀδύνης μικρὰν γοῦν ἀνακωχὴν ἔχειν ἠδύνατο; Ηὐχόμην γάρ, φησιν, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου τῶν κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· ποθεινότερον ἦν μοι εἰς γέενναν ἐμπεσεῖν, ἢ τοὺς Ἰσραηλίτας ἀπιστοῦντας ὁρᾶν. ὁ δὲ τὴν ἐν τῇ γεέννῃ κόλασιν ἑλόμενος ὑπὲρ τοῦ δυνηθῆναι προσαγαγέσθαι τοὺς Ἰουδαίους ἅπαντας, εὔδηλον ὅτι τούτου μὴ τυχών, τῶν ἐν τῇ γεέννῃ κολαζομένων διῆγε βαρύτερον.

β. Κορ. ια. κθ.

Ρωμ. θ. γ.

Βαβαὶ τοῦ διαπύρου ἔρωτος τῆς ἀγάπης. ὁ πυρὸς καταπολεμῶν Παῦλος, ὁ ἀδαμάντινος, ὁ στερρός, ὁ ἀκλινής, ὁ ἀκαμπής, ὁ λέγων, Τίς ἡμᾶς χωρίσει ἀπὸ τοῦ Χριστοῦ; θλίψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὁ γῆς καὶ θαλάττης καταπολεμῶν, ὁ τῶν ἀδαμαντίνων τοῦ θανάτου πυλῶν καταγελῶν· οὗτος, ἐπειδή τινων ἀγαπητῶν εἶδε δάκρυα, οὕτω κατεκλάσθη καὶ συνετρίβη, ὡς μηδὲ κρύψαι τὸ πάθος, ἀλλ' εἰπεῖν εὐθέως· Τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ὢ τοῦ θαύματος. ἄβυσσος αὐτὸν οὐ συνέτριψεν ὑδάτων, καὶ μικρὰ δάκρυα συνέτριψε καὶ κατέκλασε. τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; τί λέγεις, εἰπέ μοι; ἐκείνην τὴν ἀδαμαντίνην ψυχὴν συντρῖψαι δάκρυον ἴσχυσε; ναί, φησι· πολλὴ γὰρ ἡ τῆς ἀγάπης ἰσχύς· αὕτη μου περιγίνεται καὶ κρατεῖ. πρὸς πάντα γὰρ ἀντέχω, πλὴν τῆς ἀγάπης.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσσ. α'. ἐπισ.

Ρωμ. η. λε.

Πράξ. κα. ιγ.

Ἀκούσατε ὅσοι μηδὲ χρημάτων διὰ τὸν Χριστὸν καταφρονεῖτε, μᾶλλον δὲ δι' ἑαυτούς, καὶ φρίξατε τὸ περὶ τὸν Χριστὸν τοῦ Παύλου φίλτρον ἐν διανοίᾳ λαμβάνοντες. οὐδὲ γὰρ τὸν Χριστὸν οὕτως ἐφίλει διὰ τὰ τοῦ Χριστοῦ, ἀλλὰ δι' αὐτὸν τὰ ἐκείνου· καὶ ἓν ἐδεδοίκει μόνον, τὸ μὴ τῆς ἀγάπης ἐκπεσεῖν τῆς πρὸς ἐκεῖνον. τοῦτο γὰρ αὐτῷ καὶ γεέννης φοβερώτερον ἦν· ὥσπερ καὶ τὸ μένειν ἐν αὐτῇ βασιλείας ποθεινότερον.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ρωμ. ἐπισ.

ἐστὶν. ὅταν οὖν ἐκεῖνος μὲν διὰ τὸν τοῦ Χριστοῦ πόθον καὶ εἰς γέενναν καταδέχηται ἐμπεσεῖν, καὶ βασιλείας ἐκπεσεῖν, εἴγε ἀμφότερα ταῦτα προὔκειτο, ἡμεῖς δὲ μηδὲ τοῦ παρόντος καταφρονῶμεν βίου· ἆρα ἄξιοι τῶν γοῦν ὑποδημάτων αὐτοῦ ἐσμεν λοιπόν, τοσοῦτον ἀφεστηκότες αὐτοῦ τῇ μεγαλονοίᾳ;

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β. ἐπι.

Εἰ γὰρ οἰκίας τις μιᾶς προνοούμενος, καὶ οἰκέτας ἔχων, καὶ ἐπιτρόπους, καὶ οἰκονόμους, οὐδὲ ἀναπνεῖ πολλάκις ὑπὸ τῶν φροντίδων, οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος· ὁ οὐκ οἰκίας μιᾶς, ἀλλὰ καὶ πόλεων, καὶ δήμων, καὶ ἐθνῶν, καὶ ὁλοκλήρου τῆς οἰκουμένης τὴν φροντίδα ἔχων, καὶ ὑπὲρ τηλικούτων πραγμάτων, καὶ τοσούτων ὄντων τῶν ἐπηρεαζόντων, καὶ μόνος ὤν, καὶ τοσαῦτα πάσχων, καὶ οὕτω κηδόμενος, ὡς οὐδὲ πατὴρ παίδων, ἐννόησον τί ὑπέμεινεν.

Ἐκ τῆς πρὸς Ὀλυμπιάδα β΄. ἐπισ.

Εἴ τις φιλεῖν ἐθέλει γνησίως, καὶ δύναμιν ἀγάπης ἐπίστασθαι, ἐπὶ τὸν ταύτης τρόφιμον τὸν μακάριον Παῦλον δραμέτω, κἀκεῖνος αὐτὸν διδάξει, ἡλίκος ἐστὶν ἆθλος ἐνεγκεῖν χωρισμὸν φιλουμένου, καὶ ἡλίκης δεόμενος ψυχῆς. Οὐ γάρ, οὐχ ὁ τὴν σάρκα ἀποδυσάμενος, καὶ τὸ σῶμα ἀποθέμενος, καὶ γυμνῇ σχεδὸν τὴν οἰκουμένην περιιὼν τῇ ψυχῇ, καὶ πᾶν πάθος ἐξορίσας τῆς διανοίας, καὶ τῶν ἀσωμάτων δυνάμεων τὴν ἀπάθειαν μιμούμενος, τὰ μὲν ἄλλα πάντα ῥᾳδίως ἔφερεν, ὡς ἐν ἀλλοτρίῳ πάσχων σώματι, καὶ δεσμωτήρια, καὶ ἁλύσεις, καὶ ἀπαγωγάς, καὶ μάστιγας, καὶ ἀπειλάς, καὶ θάνατον, καὶ πᾶν κολάσεως εἶδος· μιᾶς δὲ ψυχῆς ἀγαπωμένης παρ' αὐτοῦ χωρισθείς, οὕτω συνεχύθη καὶ διεταράχθη, ὡς, ἐν ᾗ τὸν ἀγαπώμενον προσεδόκησεν ἰδεῖν, οὐχ εὗρεν, εὐθέως καὶ τῆς πόλεως ἀποπηδῆσαι. τί τοῦτο, ὦ μακάριε Παῦλε; ξύλῳ μὲν δεδεμένος, καὶ δεσμωτήριον οἰκῶν, καὶ μάστιγας ἔχων ἐπικειμένας, καὶ τὰ νῶτα αἵματι περιρρεόμενος, καὶ ἐμυσταγώγεις, καὶ ἐβάπτιζες, καὶ θυσίαν προσῆγες, καὶ ἑνὸς οὐ κατεφρόνησας μέλλοντος σώζεσθαι· εἰς δὲ τὴν Τρωάδα ἐλθών, καὶ τὴν ἄρουραν εὑρὼν ἐκκεκαθαρμένην καὶ ἑτοίμην οὖσαν τὰ σπέρματα ὑποδέξασθαι, τοσοῦτον ἔρριψας ἀπὸ τῶν χειρῶν κέρδος, καὶ ἀπεπήδησας εὐθέως; ναί, φησι· πολλῇ γὰρ κατεσχέθην ἀθυμίας τυραννίδι, καὶ σφόδρα μου συνέχει τὴν διάνοιαν ἡ Τίτου ἀπουσία· καὶ οὕτω μου ἐκράτησε καὶ περιεγένετο, ὡς ἀναγκάσαι τοῦτο ποιῆσαι. Εἶδες πῶς μέγιστος ἆθλος τὸ δυνηθῆναι ἐνεγκεῖν πρᾴως ἀγαπωμένου χωρισμόν; πῶς ὀδυνηρὸν πρᾶγμα καὶ πικρόν; πῶς ὑψηλῆς δεόμενον καὶ νεανικῆς ψυχῆς; οὐδὲ γὰρ ἀρκεῖ τοῖς ἀγαπῶσι μόνον τὸ τῇ ψυχῇ συνδεδέσθαι, οὐδὲ ἀποχρῶνται τούτῳ εἰς παραμυθίαν, ἀλλὰ καὶ σωματικῆς δέονται παρουσίας. κἂν μὴ τοῦτο προσῇ, οὐ μικρὸν τῆς εὐφροσύνης ὑποτέτμηται μέρος.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α. ἐπις.

Βούλει μαθεῖν ἡλίκον ὅπλον ἐστὶν εἰς τὸ τοὺς ἀδελφοὺς ἐπισπᾶσθαι, κἂν ἄπιστοί τινες εἶεν, τὸ πρᾷον εἶναι καὶ ἥμερον καὶ γλυκὺν προεχόμενον τρόπον; ἄκουσον τί φησιν ὁ Παῦλος πρὸς δικαστὴν εἰσιὼν ἄπιστον κριθησόμενος·

Πραξ. κϛ β.

Μακάριον ἥγημαι ἐμαυτόν, μέλλων ἐπὶ σοῦ κρίνεσθαι. ταῦτα δὲ ἔλεγεν, οὐ κολακεύων αὐτόν· ἄπαγε· ἀλλὰ διὰ τῆς ἡμερότητος κερδῆσαι βουλόμενος. διὸ καὶ ἐκ μέρους ἐκέρδανε, καὶ τὸν δικαστὴν εἷλεν ὁ τέως κατάδικος εἶναι νομιζόμενος, καὶ τὴν νίκην αὐτὸς ὁ χειρωθεὶς ὁμολογεῖ λαμπρᾷ τῇ φωνῇ παρόντων ἁπάντων, λέγων·

Πραξ. κϛ κη.

Ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. τί οὖν ὁ Παῦλος; Εὐξαίμην ἂν ἔγωγε, μὴ μόνον σε, ἀλλὰ καὶ τοὺς παρόντας ἅπαντας τοῦτο γενέσθαι, ὅπερ ἐγώ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἐφεσίους ἐπισ.

Πολλὰ μὲν οὖν πολλαχοῦ τῶν Παύλου θαυμάτων τὰ σημεῖα τυγχάνει, ἀλλ' οὐχ οὕτως ἐστὶ ποθεινά, ὡς τὰ στίγματα· καὶ οὐχ οὕτω με ἐν ταῖς γραφαῖς εὐφραίνει θαύματα ἐργαζόμενος, ὥσπερ πάσχων κακῶς, μαστιζόμενος, συρόμενος, λιθαζόμενος.

Πραξ. ιδ ιθ.

Λιθάσαντες γὰρ αὐτόν, φησιν, ἔσυρον ἔξω τῆς πόλεως. καὶ πάλιν·

Πραξ. ιϛ κγ.

Δείραντες αὐτόν, καὶ ἐπιθέντες πολλὰς πληγάς, ἔβαλον εἰς φυλακήν. πόσον καύχημα, πόση ἡδονή, πόση τιμή, πόση λαμπρότης εἰδέναι, ὅτι διὰ τὸν Χριστὸν ἐδέθη; ἀλλ' ὅρα τὸ θαυμαστόν.

Πραξ. ιϛ κϛ.

Καὶ ἐσείσθη, φησί, τὸ δεσμωτήριον, δεδεμένου Παύλου, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. Εἶδες δεσμῶν φύσιν τὰ δεσμὰ ἀναλύουσαν; Ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμέ-

νας

νας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν, ἔμελλεν ἑαυτὸν ἀναιρεῖν. τί οὖν ὁ Παῦλος; ἐφώνησε φωνῇ μεγάλῃ λέγων, μηδὲν πράξῃς σαυτῷ κακόν· πάντες γάρ ἐσμεν ἐνθάδε. ὁρᾷς αὐτοῦ τὸ ἀκενόδοξον, καὶ τὸ ἄτυφον, καὶ τὸ φιλόστοργον; οὐκ εἶπεν, ὅτι δι' ἡμᾶς ταῦτα γέγονεν, ἀλλ' ὡσανεὶ τῶν δεσμωτῶν εἷς, φησι, πάντες γάρ ἐσμεν ἐνθάδε. Εἰ γὰρ ἐσίγησε, καὶ μὴ διὰ τῆς μεγάλης φωνῆς κατέσχεν ἐκείνου τὰς χεῖρας, ὤθησεν ἂν διὰ τοῦ λαιμοῦ τὸ ξίφος. ἐβόησε δέ, ἐπειδὴ εἰς τὴν ἐνδοτέραν φυλακὴν ἦν βεβλημένος. κατὰ σαυτοῦ τοῦτο πεποίηκας, φησιν, ἐνδοτέρω βαλὼν τοὺς μέλλοντάς σε ἐλευθεροῦν τοῦ κινδύνου. Εἶδες τὸ φιλάνθρωπον καὶ κηδεμονικὸν τοῦ Παύλου; εἵλετο δεδέσθαι μᾶλλον καὶ κινδυνεύειν αὐτός, ἢ ἐκεῖνον ἰδεῖν ἀπολλύμενον. Καὶ καθάπερ τις στρατιώτης τὴν οἰκουμένην πολεμοῦσαν ἔχων ἅπασαν, καὶ ἐν μέσοις τοῖς τάγμασι τῶν πολεμίων στρεφόμενος, καὶ μηδὲν πάσχων δεινόν· οὕτω καὶ Παῦλος μόνος ἐν βαρβάροις, ἐν Ἕλλησι, πανταχοῦ γῆς, πανταχοῦ θαλάττης φαινόμενος. καὶ ὥσπερ σπινθὴρ εἰς καλάμην ἢ χόρτον ἐμπίπτων πρὸς τὴν αὐτοῦ φύσιν μετατίθησι τὰ καιόμενα· οὕτω καὶ οὗτος ἅπασιν ἐπιὼν, πάντας μεθίστη πρὸς τὴν ἀλήθειαν. Τίνα οὐκ ἂν ἐκπλήξειεν ἡ τῶν περικειμένων τῷ μακαρίῳ Παύλῳ δεσμῶν δύναμις· ὅτι τοὺς δήσαντας εἰς τοὺς πόδας ὑπὸ τοῦ δεδεμένου, καὶ ὑποχειρίους ἐκείνους τοῦτο ἐποίει; Προσέπεσε γάρ, φησιν, ὁ δεσμοφύλαξ τῷ Παύλῳ, καὶ ὁ λελυμένος ὑπὸ τοὺς πόδας ἦν τοῦ δεδεμένου, καὶ ὁ δήσας ἠξίου τὸν δεθέντα λυθῆναι τοῦ φόβου. οὐχὶ σὺ ἔδησας, εἰπέ μοι; οὐχὶ εἰς τὴν ἐσωτέραν ἔβαλες φυλακήν; οὐχὶ εἰς τὸ ξύλον ἠσφαλίσω τοὺς πόδας; τί τρέμεις; τί θορυβῇ; τί δακρύεις; τί τὸ ξίφος ἐπισπάσω; οὐκ ᾔδειν, φησίν, ὅτι τοσαύτη τῶν τοῦ Χριστοῦ δεσμίων ἡ δύναμις. τί λέγεις; οὐρανοὺς ἔλαβεν ἐξουσίαν ἀνοίγειν, καὶ δεσμωτήριον οὐκ ἔμελλεν ἀνοίγειν; τοὺς ὑπὸ δαιμόνων δεδεμένους ἔλυε, καὶ σιδήρειον ἔμελλεν αὐτοῦ περιέσεσθαι; ὁ ψυχὰς τοίνυν δεδεμένας λύων, τὸ σῶμα τοῦ αὐτοῦ οὐκ ἂν ἴσχυσε λῦσαι; ὁ διὰ τῶν ἱματίων αὐτοῦ ἑτέρους τῶν δεσμῶν ἐκείνων λύων, καὶ τῶν δαιμόνων ἀπαλλάττων, αὐτὸς δὲ ἑαυτῷ ἑαυτὸν οὐκ ἂν ἔλυσε; διὰ τοῦτο πρότερον ἐδέθη, καὶ τότε τοὺς δεδεμένους ἔλυσεν, ἵνα μάθῃς, ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι δεδεμένοι πολλῷ τῶν λελυμένων μείζονα ἔχουσι τὴν ἰσχύν. οὕτω γὰρ λαμπροτέρα ἡ ἰσχὺς τοῦ ἁγίου δείκνυται, ὅταν καὶ δεδεμένος τῶν λελυμένων κρατῇ. ὅταν οὖν ὁ δεδεμένος μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς δεδεμένους λύῃ, τί τῶν τοίχων τὸ ὄφελος; τί τὸ πλέον ἀπὸ τοῦ εἰς τὴν ἐσωτέραν αὐτὸν βαλεῖν φυλακήν, ὅπουγε καὶ τὴν ἐξωτέραν ἀνέῳξε; βούλεσθε μαθεῖν ὅσον ἐστὶν ἅλυσις σιδηρᾶ διὰ Χριστὸν περικειμένη σώματι δουλικῷ; ἀκούσατε τοῦ μακαρίου Παύλου τὸ αὐτὸ τοῦτο ἐγκαυχωμένου καὶ λέγοντος· Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ. καὶ γὰρ μέγα ἀξίωμα καὶ σφοδρόν, καὶ βασιλείας καὶ ὑπατείας καὶ πάντων μεῖζον τὸ διὰ τὸν Χριστὸν δεδέσθαι. οὐδὲν γὰρ οὕτω λαμπρόν, ὡς δέσμιος διὰ Χριστόν, ὡς αἱ ἁλύσεις αἱ περικείμεναι ταῖς ἁγίαις χερσὶν ἐκείναις. τοῦτο τοῦ ἀπόστολον εἶναι, τοῦ διδάσκαλον εἶναι, τοῦ εὐαγγελιστὴν εἶναι, κατὰ πολὺ λαμπρότερον καὶ σεμνότερον. Εἴ τις φιλεῖ τὸν Χριστόν, ἔγνω τὸ λεγόμενον. Εἴ τις μαίνεται καὶ περικαίεται τοῦ δεσπότου, οἶδε τὴν δύναμιν τῶν δεσμῶν· ἕλοιτο ἂν δέσμιος εἶναι διὰ Χριστόν, ἢ τοὺς οὐρανοὺς οἰκεῖν. τὸ γὰρ καὶ τοῦ καθίσαι ἐκ δεξιῶν αὐτοῦ, τοῦτο λαμπρότερον· καὶ τοῦ καθίσαι ἐπὶ δώδεκα θρόνων, τοῦτο σεμνότερον καὶ μακαριώτερον. Εἴ τις ἐμοὶ τὸν οὐρανὸν ἐχαρίζετο πάντα, ἢ τὴν ἅλυσιν ἐκείνην, ἣ τὰς χεῖρας ὁ Παῦλος ἐδέδετο, ἐκείνην ἂν ἐγὼ προετίμησα. Εἴ τις με μετὰ τῶν ἀγγέλων ἵστη ἄνω, ἢ μετὰ Παύλου δεδεμένου, τὸ δεσμωτήριον ἂν εἱλόμην. Εἴ τις με μετ' ἐκείνων ἐποίει τῶν δυνάμεων τῶν περὶ τὸν θρόνον, ἢ δεσμώτην τοιοῦτον, τοιοῦτος ἂν εἱλόμην γενέσθαι δεσμώτης. καὶ γὰρ οὐδὲν βέλτιον τοῦ κακῶς παθεῖν τι διὰ Χριστόν. Εἴ τις μοι νεκροὺς ἔδωκεν ἀναστῆσαι νῦν, οὐκ ἂν τοῦτο εἱλόμην, ἀλλὰ τὴν ἅλυσιν. καὶ γὰρ οὐδὲν τῆς ἁλύσεως ἐκείνης μακαριώτερον. ηὐξάμην ἐν τοῖς τόποις γενέσθαι νῦν ἐκείνοις, ἐν οἷς ἔκειντο τὰ δεσμὰ

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Κορ. β'. ἐπισ.

Ἐκ τῆς πρὸς Ἐφεσ. ἐπισ.

Πραξ. ις. κθ.

Ἐφεσ. δ. α.

μένει, καὶ ἰδεῖν τὰς ἀλύσεις, ἃς δεδοίκασι μὲν δαίμονες καὶ φρίττουσιν, αἰδοῦνται δὲ ἄγγελοι. εἰ τῶν
ἐκκλησιαστικῶν φροντίδων ἐκτὸς ἤμην, καὶ τὸ σῶμα εὔρωστον εἶχον, οὐκ ἂν παρῃτησάμην
ἀποδημίαν τοσαύτην ποιήσασθαι ὑπὲρ τοῦ τὰς ἀλύσεις μόνον ἰδεῖν, καὶ τὸ δεσμωτήριον, ἔνθα ὁ

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κολασ. ἐπιστ.

Παῦλος ἐδέδετο. Εἴ τίς μοι τὸν Παῦλον ἐδίδου ἀπὸ τοῦ οὐρανοῦ διακύπτοντα ἰδεῖν, καὶ φωνὴν ἀ-
φιέντα, ἢ ἐκ τοῦ δεσμωτηρίου, ἐκ τοῦ δεσμωτηρίου ἂν εἱλόμην. οἱ γὰρ ἐκ τοῦ οὐρανοῦ πρὸς αὐτὸν ἔρχονται,

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἐφεσ. ἐπιστ.

ὅταν εἰς τὸ δεσμωτήριον ᾖ. Ὢ μακαρίων δεσμῶν, ὢ μακαρίων χειρῶν, ἃς ἐκόσμησεν
ἡ ἅλυσις ἐκείνη ἡ περιτεθεῖσα τῷ Παύλῳ. οὐκ ἦσαν οὕτω τίμιαι αἱ χεῖρες αὐτοῦ, τὸν χωλὸν
τὸν ἐν Λύστροις ἐγείρασαι, ὡς τὰ δεσμὰ περικείμεναι. Εἰ κατ' ἐκείνους τοὺς χρόνους ἤ-
μην ἐγώ, τότε ἂν μάλιστα αὐταῖς περιεπλεξάμην, καὶ ἐπὶ τὰς κόρας ἔθηκα τὰς ἐμάς, οὐκ
ἂν ἐπαυσάμην καταφιλῶν χεῖρας καταξιωθείσας ὑπὲρ τοῦ δεσπότου δεθῆναι τοῦ ἐμοῦ.
οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι εἰς τρίτον οὐρανὸν ἡρπάγη, καὶ εἰς τὸν παράδεισον, ὡς ὅτι εἰς
τὸ δεσμωτήριον ἐνεβλήθη. οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι ἤκουσεν ἄρρητα ῥήματα, ὡς ὅτι
ὑπέμεινε τὰ δεσμά· καὶ γὰρ ταῦτα ἐκείνων κατὰ πολὺ μείζονα. αἱρετώτερον γὰρ ἐμοὶ πα-
θεῖν κακῶς ὑπὲρ τοῦ Χριστοῦ, ἢ τιμᾶσθαι παρὰ τοῦ Χριστοῦ. τοῦτο καὶ Παῦλος ἐνθυμούμενος
ἔλεγεν, ὡς εἰκός· εἰ αὐτὸς δι' ἐμὲ γενόμενος δοῦλος, καὶ τὴν δόξαν κενώσας, οὐχ οὕτως ἐν δόξῃ
εἶναι ἡγεῖτο, ὡς ὅτε ἐσταυροῦτο ὑπὲρ ἐμοῦ· τί ἐμὲ παθεῖν οὐ δεῖ; ἄκουε γὰρ αὐτοῦ λέγοντος·

Ἰωαν. ιζ. ε.

Δόξασόν με, πάτερ. τί λέγεις; ἐπὶ σταυρὸν ἄγῃ μετὰ λῃστῶν καὶ τυμβωρύχων, τὸν τῶν ἐπαρά-
των ὑφίστασαι θάνατον· ἐμπτύεσθαι μέλλεις καὶ ῥαπίζεσθαι, καὶ ταῦτα δόξαν καλεῖς; ναί, φησιν·
ὑπὲρ γὰρ τῶν φιλουμένων ἐγὼ πάσχω ταῦτα, καὶ εἰκότως αὐτὰ δόξαν ἡγοῦμαι. Εἰ οὖν ὁ
δεσπότης ὁ ἐμὸς τοὺς οἰκέτας καὶ ταλαιπώρους φιλήσας, δόξαν τὸ πρᾶγμα καλεῖ, καὶ τοῦτο
τῆς ἐν τῷ πατρικῷ θρόνῳ δόξης μᾶλλον προτίθησι· πολλῷ μᾶλλον ἐγὼ ὀφείλω ταῦτα
δόξαν ἡγεῖσθαι. ὡς οὐδὲν τῆς Παύλου ψυχῆς μακαριώτερον. ἐν τίσι καυχᾶται; ἐν δεσμοῖς,

Πραξ. κ. κβ.

ἐν θλίψεσιν, ἐν ἀλύσεσιν, ἐν στίγμασι. Πορεύομαι γάρ, φησιν, εἰς Ἱεροσόλυμα δεδεμένος
τῷ πνεύματι, τὰ ἐν αὐτοῖς συναντήσοντά μοι μὴ εἰδώς, πλὴν ὅτι τὸ πνεῦμά μοι κατὰ πόλιν
διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσι. τί οὖν ἀπέρχῃ, εἰ δεσμὰ καὶ θλί-
ψεις σε μένουσι; δι' αὐτὸ τοῦτο, ἵνα δεσμευθῶ διὰ Χριστόν, ἵνα ἀποθάνω δι' αὐτόν. οὐ γὰρ μό-
νον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου μου. τί οὖν ἐστι
τοῦτο; οὐκ αἰσχύνῃ, οὐ δέδοικας τὴν οἰκουμένην δεσμώτης περιιών; οὐ φοβῇ, μή τις ἀσθένειαν
τοῦ Θεοῦ σου καταγνῷ; μή τις διὰ τοῦτο οὐ μὴ προσέλθῃ; οὐ τοιαῦτά μου, φησι, τὰ δεσμά·

Φιλιπ. α. ιγ.

οἶδε καὶ ἐν βασιλείοις λάμπειν· Ὥστε τοὺς δεσμούς μου, φησι, φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ
πραιτωρίῳ, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ, πεποιθότας τοῖς δεσμοῖς μου, περισ-
σοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. ὁρᾷς δεσμῶν ἰσχὺν μᾶλλον ἢ νεκρῶν ἀναστάσε-
ως; ἐδεσμεύθη ἐν Ῥώμῃ, καὶ τοὺς πλείονας ἐπεσπάσατο. ἐδεσμεύθη ἐν Ἱεροσολύμοις, καὶ

Πραξ. κδ. κε.

δεδεμένος δημηγορῶν, τὸν βασιλέα κατέπληξε, καὶ τὸν ἄρχοντα εἰς φόβον ἤγαγεν· Ἔμ-
φοβος γὰρ γενόμενος ἀπέλυσεν αὐτόν. δεδεμένος ἔπλει, καὶ τὸ ναυάγιον ἔλυσε, καὶ τὸν χει-
μῶνα ἐπέδησεν. ἐν δεσμοῖς ὄντος * αὐτοῦ, τὸ θεῖον ἐκεῖνο καθήψατο, καὶ μηδὲν λυμηνάμε-

* πύ

Πραξ. ις. κγ.

νον ἐξέπεσε. καὶ θέα πανταχοῦ τοῦτο γινόμενον. μεμαστίγωτο, καὶ μεμαστίγωτο ἰσχυρῶς· Πολ-
λὰς γὰρ αὐτῷ, φησιν, ἐπιθέντες πληγάς· καὶ ἐδέδετο, καὶ τοῦτο πάλιν ἰσχυρῶς· εἰς γὰρ τὴν ἐ-
σωτέραν φυλακὴν ἐνέβαλον αὐτόν, καὶ μετὰ πλείονος ἀσφαλείας· καὶ ἐν τοσούτοις ὤν, κατὰ τὸ με-
σονύκτιον, ὅτε καὶ οἱ σφόδρα [illegible] καθεύδουσιν, ᾖδε καὶ ὕμνει τὸν Κύριον. τί ταύτης γέ-
νοιτ' ἂν τῆς ψυχῆς ἀδαμαντινώτερον; ἐνενόει ὅτι καὶ οἱ παῖδες ἐν πυρὶ ᾖδον, καὶ ἐν καμίνῳ·
ἴσως ἐλογίζετο, ὅτι οὐδὲν τοιοῦτον ἐγὼ πέπονθα. ἀλλὰ καλῶς ποιῶν ὁ λόγος, εἰς ἑτέρους
πάλιν ἐξενήνοχε δεσμούς, καὶ δεσμωτήριον ἕτερον. τί πάθω; βούλομαι σιγῆσαι, ἀλλ' οὐ δύνα-
μαι. ἕτερον δεσμωτήριον εὗρον, ἐκείνου πολλῷ θαυμασιώτερον καὶ ἐκπληκτικώτερον. ἀλ-

ἀλλά μοι διανάστητε ὡς ἤδη ἀρχομένου τοῦ λόγου, καὶ ἀκμαζούσαις προσέλθετε ταῖς δια-
νοίαις. Βούλομαι διακόψαι τὸν λόγον, καὶ οὐκ ἀνέχεται· οὐ δύναμαι παύσασθαι, οὐδὲ δύ-
ναμαι σιγῆσαι, πολλά με περιέρρευσεν, οὐκ οἶδα ποῖον πρότερον εἴπω, ποῖον δεύτερον. διό, πα-
ρακαλῶ, μή με τάξιν τις ἀπαιτείτω· πολλὴ γὰρ ἡ τῶν πραγμάτων σύγχυσις· μα-
5 κρὰ ἡ τοῦ Παύλου γέγονεν ἅλυσις, καὶ ἐπὶ πολὺ κατέχει ἡμᾶς. ἀλλ' οὐ διὰ τοῦτο σιγή-
σομαι· εἰ γὰρ αὐτὸς ἐν δεσμωτηρίῳ οὐκ ἐσίγησεν, οὐδὲ ἐν μάστιξιν, ἐγὼ σιγήσομαι κα-
θήμενος, ἡμέρας οὔσης, καὶ μετὰ πολλῆς ἀνέσεως φθεγγόμενος; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Τίς
γὰρ οὐκ ἂν ἐκπλαγείη; τίς οὐκ ἂν θαυμάσειε; μᾶλλον δὲ τίς κατ' ἀξίαν ἐκπλαγείη καὶ
θαυμάσειεν ἂν τὴν γενναίαν ἐκείνην καὶ οὐρανομήκη τοῦ Παύλου ψυχήν; ὅτι δεδεμένος καὶ κα-
10 θειργμένος ἀπὸ τοσούτου διαστήματος Φιλιππησίοις ἐπέστελλεν. ἴστε γὰρ ὅσον τὸ μέσον Μα-
κεδονίας καὶ Ῥώμης. ἀλλ' οὔτε τῆς ὁδοῦ τὸ μῆκος, οὔτε τοῦ χρόνου τὸ πλῆθος, οὔτε ὁ τῶν
πραγμάτων ὄχλος, οὔτε ὁ κίνδυνος καὶ τὰ ἐπάλληλα δεινά, οὔτε ἄλλο οὐδὲν τὴν ἀγά-
πην καὶ τὴν μνήμην ἐξέβαλε τῶν μαθητῶν, ἀλλ' εἶχεν αὐτοὺς ἅπαντας ἐν διανοίᾳ, καὶ
οὐχ οὕτως αὐτοῦ ταῖς ἁλύσεσιν αἱ χεῖρες ἐδέδεντο, ὡς τῷ πόθῳ τῶν μαθητῶν ἡ ψυχὴ συνε-
15 δέδετο καὶ προσήλωτο. καὶ καθάπερ βασιλεὺς ἐπὶ τὸν θρόνον ἀναβὰς ὑπὸ τὴν ἕω, καὶ
καθίσας ἐν ταῖς βασιλικαῖς αὐλαῖς, μυρίας εὐθέως δέχεται πανταχόθεν ἐπιστολάς· οὕτω
δὴ κἀκεῖνος, καθάπερ ἐν βασιλικαῖς αὐλαῖς τῷ δεσμωτηρίῳ καθήμενος, πολλῷ πλείω καὶ
ἐδέχετο, καὶ ἔπεμπε συνεχῶς τὰ γράμματα, τῶν πανταχόθεν ἐθνῶν, ἐπὶ τὴν ἐκείνου σο-
φίαν, περὶ τῶν καθ' ἑαυτοὺς πραγμάτων ἀναφερόντων ἅπαντα· καὶ τοσούτῳ πλείονα
20 πράγματα τοῦ βασιλέως οὗτος ᾠκονόμει, ὅσῳ καὶ μείζονα ἀρχὴν ἐμπεπίστευτο. Ὢ
τῆς τοῦ Παύλου δυνάμεως· ἅλυσιν περιέκειτο, καὶ τὸν ἀναδεδεμένον τὸ διάδημα Νέρωνα
ἔδακνε· ῥάκια περιέκειτο αὐχμῶντα, ἀπὸ τὸ δεσμωτήριον οἰκῶν, καὶ μᾶλλον τῆς ἁλουργίδος
πάντας ἐπέστρεφε πρὸς τὰ περικείμενα αὐτῷ δεσμά, ἐπὶ γῆς εἱστήκει κατεχόμενος, καὶ κάτω
νεύων· καὶ τὸν ἐπ' ὀχήματος χρυσοῦ ἀφέντες, ἐκείνῳ προσεῖχον. εἰκότως. τὸ μὲν γὰρ ἐν συνη-
25 θείᾳ θέαμα ἦν βασιλέα ἰδεῖν ἐπὶ ζεύγους καθήμενον λευκοῦ· τοῦτο δὲ ξένον καὶ παράδοξον,
δεσμώτην ὁρᾷν μετὰ τοσαύτης παρρησίας βασιλεῖ διαλεγόμενον, μεθ' ὅσης ἂν ὁ βασιλεὺς
πρὸς ἀνδράποδον οἰκέτην καὶ ταλαίπωρον. ὄχλος περιειστήκει πολύς, καὶ δοῦλοι πάντες τοῦ
βασιλέως ἦσαν· ἐθαύμαζον δὲ οὐ τὸν δεσπότην αὐτῶν, ἀλλὰ τὸν νικῶντα τὸν δεσπότην τὸν αὐτῶν.
ἀλλὰ γὰρ ἔλαθον ἀπὸ τοῦ ὄνυχος τὸν λέοντα ἐπαινῶν, δέον ἀπὸ τῶν ἄλλων αὐτὸν ἐπαινεῖν. τί-
30 νων τούτων; πῶς ἥξει μετὰ τοῦ βασιλέως τῶν οὐρανῶν μετὰ λαμπροῦ τοῦ σχήματος· πῶς ὁ
Νέρων στήσεται κατηφὴς τότε καὶ στυγνός. εἰ γὰρ οὔπω τῶν στεφάνων ὁ καιρός, καὶ τοσαύ-
της ἀπέλαυσε τιμῆς ὁ ἀθλητής, ὅταν ὁ ἀγωνοθέτης ἔλθῃ, πόσης ἀπολαύσεται τιμῆς; ἐν
τοῖς ἀλλοτρίοις ὤν, ξένος ὢν καὶ παρεπίδημος, καὶ οὕτω θαυμάζεται· ὅταν ἐν τοῖς ἰδίοις ᾖ, τίνος
οὐκ ἀπολαύσεται ἀγαθοῦ; τίνος οὐ μεθέξει; τίνος οὐκ ἐπιτεύξεται; οὐδεὶς βασιλεὺς γενό-
35 μενος τῆς Ῥώμης τοσαύτης ἀπέλαυσε τιμῆς, ὅσης ὁ Παῦλος. ἀλλ' ὁ μὲν βασιλεὺς ἔξω που
κεῖται ἐρριμμένος· ὁ δὲ τὸ μέσον κατέχει τῆς πόλεως, καθάπερ βασιλεύων καὶ ζῶν. εἰ δὲ ἐν-
ταῦθα, ἔνθα ἠλαύνετο καὶ ἔνθα ἐδιώκετο, τοσαύτης ἀπέλαυσε τιμῆς· ὅταν ἔλθῃ, τί ἔσται; εἰ
ὅπου σκηνοποιὸς ἦν οὕτως ἐγένετο λαμπρός· ὅταν ἔλθῃ ἀντιλάμπων ταῖς ἡλιακαῖς ἀκτῖ-
σι, τί ἔσται; εἰ μετὰ τοσαύτης εὐτελείας τοσαύτης μεγαλοπρεπείας περιεγένετο· ὅταν
40 ἔλθῃ, τί ἔσται; μὴ ἔνι φυγεῖν τὰ πράγματα; βούλεσθε δείξω τὸν σκηνοποιὸν ἐντιμότερον
γεγενότα τοῦ πάντων βασιλέων μᾶλλον θαυμασθέντος; Τί τοῦ Ἀλεξάνδρου ἐνδοξό-
τερον κατὰ τὴν τοῦ κόσμου δόξαν; τί ὑψηλότερον; οὐχὶ πολλὰ καὶ μεγάλα κατώρθωσε ζῶν; οὐχὶ
ἔθνη καὶ πόλεις ὑπέταξε, καὶ πολέμους πολλοὺς καὶ μάχας ἐνίκησε, καὶ τρόπαια ἔστησεν; οὐχὶ
τρισκαιδέκατος ἐνομίσθη εἶναι Θεὸς παρὰ τῇ συγκλήτῳ Ῥωμαίων; ἀλλὰ τὸ μὲν ζῶντα κα-

τορθοῦν

Ἐκ τοῦ λόγ. τοῦ πρὸς τοὺς οὐκ εἰς δέον χρωμένους τῷ ἀποστολικῷ ῥητῷ, Εἴτε προφάσει, εἴτε ἀληθείᾳ

Ἐκ τῆς πρὸς Τιμ. ἐπισ. β.

γρ. τέτυ

Ἐκ τῆς ἑρμηνεί. τῆς πρὸς Κορινθ. β ἐπισ.

τορθοῦν πολέμους καὶ νίκας, βασιλέα ὄντα καὶ στρατόπεδα ἔχοντα, θαυμαστὸν οὐδέν· τὸ δὲ μετὰ θάνατον καὶ τάφον τοσαῦτα πανταχοῦ γῆς καὶ θαλάττης καθ' ἑκάστην ἡμέραν ἐργάζεσθαι, τοῦτο ἐστὶ τὸ μάλιστα πολλῆς ἐκπλήξεως γέμον. ποῦ γάρ, εἰπέ μοι, τὸ σῆμα Ἀλεξάνδρου; δεῖξόν μοι, καὶ εἰπὲ τὴν ἡμέραν, καθ' ἣν ἐτελεύτησεν. ἀλλ' οὐκ ἂν ἔχοις. τοῦ δὲ Παύλου καὶ τὸ σῆμα λαμπρὸν ἴδοι τις ἂν τὴν βασιλικωτάτην Ῥώμην καταλαβών, καὶ ἡμέραν καταφανῆ, ἑορτὴν τῇ οἰκουμένῃ ποιοῦσαν. καὶ τὸ μὲν ἐκείνου καὶ οἰκεῖοι ἀγνοοῦσι· τὸ δὲ τούτου καὶ οἱ βάρβαροι ἐπίστανται. καὶ ὁ τάφος τοῦ δούλου τοῦ Χριστοῦ λαμπρότερος τῶν βασιλικῶν ἐστὶν αὐλῶν. καὶ γὰρ αὐτὸς ὁ τὴν ἁλουργίδα περικείμενος ἀπέρχεται τὸ σῆμα τὸ ἐκείνου περιπτυξόμενος, καὶ τὸν τῦφον ἀποθέμενος, ἕστηκε δεόμενος τοῦ νεκροῦ, ὥστε αὐτῷ παραστῆναι παρὰ Θεῷ, καὶ τοῦ σκηνοποιοῦ καὶ τοῦ ἁλιέως καὶ τετελευτηκότος, ὡς προστάτου δεῖται ὁ τὸ διάδημα ἔχων. καὶ τοῦτο οὐκ ἐν τῇ Ῥώμῃ μόνον ἴδοι τις ἄν, ἀλλὰ καὶ ἐν Κωνσταντινουπόλει. καὶ γὰρ καὶ ἐνταῦθα Κωνσταντῖνον τὸν μέγαν μεγάλῃ τιμῇ τιμᾶν ἐνόμισεν ὁ παῖς, εἰ πρὸς τοῖς προθύροις αὐτὸν τοῦ ἁλιέως καταθοῖτο. καὶ ὅπερ εἰσὶν οἱ πυλωροὶ τοῖς βασιλεῦσιν ἐν τοῖς βασιλείοις, τοῦτο ἐν τῷ σήματι οἱ βασιλεῖς τοῖς ἁλιεῦσι. καὶ οἱ μὲν ὥσπερ δεσπόται τοῦ τόπου ἔνδον κατέχουσιν· οἱ δὲ ὡς πάροικοι καὶ γείτονες ἠγάπησαν τῆς αὐλείας αὐτοῖς ἀφορισθῆναι θύραν. καὶ οἱ μὲν βασιλεῖς οἰκέτην καὶ ὑπηρέτην, οἱ δὲ ἀρχόμενοι βασιλέων τὴν ἀξίαν περίκεινται. εἰ δὲ ἐνταῦθα τὰ ὑπὲρ φύσιν ἐγένετο, ἐν τῷ μέλλοντι πόσῳ μᾶλλον;

Ἐκ τῆς πρὸς Ῥωμ. Τίς μοι νῦν ἔδωκε περιχυθῆναι τῷ σώματι Παύλου, καὶ προσηλωθῆναι τῷ τάφῳ, καὶ τὴν κόνιν ἰδεῖν τοῦ σώματος ἐκείνου, δι' οὗ πανταχοῦ τῆς οἰκουμένης διέδραμε, τοῦ τὰ ὑστερήματα ἀναπληρώσαντος τοῦ Χριστοῦ, τοῦ τὰ στίγματα βαστάξαντος, τοῦ πανταχοῦ τὸ κήρυγμα κατασπείραντος, τὴν κόνιν τοῦ στόματος, δι' οὗ Χριστὸς ἐφθέγγετο, καὶ τὸ φῶς ἐξέλαμψε πάσης ἀστραπῆς ὑψηλότερον, καὶ φωνὴ ἐξεπήδησε πάσης βροντῆς φοβερωτέρα τοῖς δαίμοσιν; οὐδὲ γὰρ οὕτως ἡμῖν ἡ βροντὴ φοβερά, ὡς ἐκείνη τοῖς δαίμοσιν ἡ φωνή. εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ ἴσχυον, πολλῷ μᾶλλον τὴν φωνήν. τούτου τοῦ στόματος ἐβουλόμην τὴν κόνιν ἰδεῖν, δι' οὗ τὰ μεγάλα καὶ ἀπόρρητα ὁ Χριστὸς ἐλάλησε, καὶ μείζονα ἢ δι' ἑαυτοῦ· δι' οὗ τὸ μακάριον ἐκεῖνο ἐφθέγξατο ῥῆμα λέγων, *(Ῥωμ. θ. γ.)* Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου· δι' οὗ ἐλάλει ἐνώπιον βασιλέων, καὶ οὐκ ᾐσχύνετο· δι' οὗ ἔφυγον δαίμονες, οὐχὶ φθεγγομένου μόνον ἀκούοντες, ἀλλὰ καὶ πόρρωθεν ὄντος· δι' οὗ τὰ ἐν τῇ γῇ μετερρύθμισεν ἅπαντα, καὶ τὰ ἐν οὐρανοῖς δέ, ὃν ἐβούλετο διέπειν τρόπον, δεσμῶν οὓς ἐβούλετο, καὶ λύων ἐκεῖ, κατὰ τὴν δεδομένην ἐξουσίαν αὐτῷ. τίς ἄν μοι τὴν κόνιν τῆς τοῦ Παύλου καρδίας ὑπέδειξε, τῆς πυρουμένης καθ' ἕκαστον τῶν ἀπολλυμένων, καὶ ὠδινούσης ἐκ δευτέρου τὰ ἐξαμβλώματα τῶν παίδων; ταύτην καὶ διαλελυμένην ἐπιθυμῶ ἰδεῖν, τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, τὴν εὐρυτέραν τῆς οἰκουμένης, τὴν τῆς ἀκτῖνος φαιδροτέραν, τὴν τοῦ πυρὸς θερμοτέραν, τὴν τοῦ ἀδάμαντος στερροτέραν, τὴν καινὴν ζήσασαν ζωήν, ἢ ταύτην τὴν ἡμετέραν· Ζῶ γὰρ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοί, φησιν, ὁ Χριστός. ἆρα ἐκείνου καρδία ἦν ἡ Παύλου καρδία, καὶ τοῦ πνεύματος τοῦ ἁγίου πλὰξ καὶ βιβλίον τῆς χάριτος· τὴν καταξιωθεῖσαν Χριστὸν φιλῆσαι, ὡς οὐδεὶς ἄλλος ἐφίλησε· τοῦ θανάτου καὶ γεέννης καταφρονοῦσαν, καὶ ὑπὸ δακρύων ἀδελφικῶν συντριβομένην. *(Πράξ. κα.)* Τί γὰρ ποιεῖτε κλαίοντες, φησι, καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐβουλόμην τὴν κόνιν ἰδεῖν τῶν χειρῶν Παύλου τῶν ἐν ἁλύσει, δι' ὧν τῆς ἐπιθέσεως τὸ πνεῦμα ἐχορηγεῖτο· δι' ὧν τὰ θεῖα γράμματα ἐγράφετο. *(Γαλ. ϛ. ια.)* Ἴδετε γὰρ πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί· τῶν χειρῶν ἐκείνων, ἃς ἰδοῦσα ἡ ἔχις ἐξέπεσεν εἰς τὴν πυράν. ἐβουλόμην τὴν κόνιν ἰδεῖν τῶν ὀφθαλμῶν πηρωθέντων καλῶς, τῶν ἀναβλεψάντων ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης, τῶν καὶ ἐν σώματι Χριστὸν ἰδεῖν καταξιωθέντων. ἐβουλόμην καὶ τῶν ποδῶν ἐκείνων ἰδεῖν τὴν κόνιν, τῶν περιδραμόντων τὴν οἰκουμένην, καὶ μὴ καμόντων· τῶν ἐν τῷ ξύλῳ

δεδεμένων,

δεδεμένων, ἡνίκα τὸ δεσμωτήριον ἔσειε, τὴν οἰκουμένην καὶ ἀοίκητον περιελθόντων. καὶ τί δεῖ κατὰ μέρος λέγειν; ἐβουλόμην αὐτὸν ἐκεῖνον ἰδεῖν τὸν λέοντα τὸν πνευματικόν. ὥσπερ γὰρ λέων πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἀφιεὶς εἰς ἀλωπέκων ἀγέλας, οὕτως εἰς τὴν τῶν δαιμόνων καὶ φιλοσόφων ἐνέπεσε φατρίαν, καὶ καθάπερ σκηπτοῦ τινος ἐμβολή, εἰς τὰς τοῦ διαβόλου κατηνέχθη φάλαγγας. οὐδὲ γὰρ εἰς παράταξιν ἵστατο πρὸς αὐτὸν ὁ διάβολος, ἀλλ' οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν, ὥστε εἰ καὶ σκιὰν ἴδοι, καὶ φωνῆς ἀκούσειε πόῤῥωθεν, δραπετεύσειν εὐθέως. ἐννοήσατε καὶ φρίξατε, οἷον ὄψεται θέαμα Ῥώμη τὸν Παῦλον ἐξαίφνης ἀνιστάμενον ἀπὸ τῆς θήκης μετὰ Πέτρου, καὶ αἰρόμενον εἰς ἀπάντησιν τοῦ Χριστοῦ· οἷον ἀποστέλλει τῷ Χριστῷ ἡ Ῥώμη δῶρον· οἵους στεφάνους περίκειται δύο· οἵας χρυσᾶς ἁλύσεις διέζωσται. οὐχ οὕτως ἐστὶν ὁ οὐρανὸς λαμπρὸς, ὅταν ἀφῇ τὰς ἀκτῖνας ὁ ἥλιος, ὡς ἡ Ῥωμαίων πόλις τὰς δύο ταύτας λαμπάδας ἀφιεῖσα πανταχοῦ τῆς οἰκουμένης. Τίς ἄρα λόγος ἀρκέσει τοῖς Παύλου κατορθώμασιν, ἢ ποία δυνήσεται γλῶσσα ἐφικέσθαι τῶν ἐγκωμίων τῶν τούτου; εἴτε γὰρ προφῆται ἐπεδείξαντό τι γενναῖον, εἴτε πατριάρχαι, εἴτε δίκαιοι, εἴτε ἀπόστολοι, εἴτε μάρτυρες, ταῦτα ὁμοῦ συλλαβὼν ἔχει μετὰ τοσαύτης ὑπερβολῆς, μεθ' ὅσης οὐδεὶς ἐκείνων ὅπερ ἕκαστος εἶχε καλὸν ἐκέκτητο. ὅταν οὖν ἅπαντα τὰ ἐν ἀνθρώποις καλὰ συλλαβοῦσα ἔχῃ ψυχὴ μία, καὶ πάντα μεθ' ὑπερβολῆς· οὐ μόνον δὲ τὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰ τῶν ἀγγέλων· πῶς περιεσόμεθα ἐκ τοῦ μεγέθους τῶν ἐγκωμίων; πόσης οὖν οὐκ ἂν εἴημεν καταγνώσεως ἄξιοι, ὅταν εἷς ἄνθρωπος πάντα συνειληφὼς ἐν ἑαυτῷ τὰ καλὰ, ἡμεῖς οὐδὲ τὸ πολλοστὸν μέρος αὐτοῦ μιμεῖσθαι σπουδάζωμεν; ἐκ πολλῶν μὲν γὰρ κατορθωμάτων ὁ πατριάρχης θαυμάζεται Ἀβραάμ, μάλιστα δὲ ἐκ τοῦ τὸν υἱὸν καταθῦσαι τὸν ἑαυτοῦ· ὁ δὲ Ἰσαὰκ ἐπὶ τῇ ἀνεξικακίᾳ, ὅτι τῶν οἰκείων ἐλαυνόμενος ὅρων οὐκ ἐπεξῄει, ἀλλὰ παρεχώρει πανταχοῦ τῶν οἰκείων κτημάτων, ἕως τὴν λυπούντων τὴν ἄδικον ἐκόρεσεν ἐπιθυμίαν· καὶ ὁ Ἰακὼβ δὲ ἐπὶ τῇ καρτερίᾳ καὶ τῇ ὑπομονῇ· καὶ ὁ Δαβὶδ ἐπὶ τῇ πραότητι· καὶ ὁ Ἠλίας ὅτι ὑπὲρ τοῦ δεσπότου ἐζήλωσεν. ἀλλὰ τί Παύλου γένοιτ' ἂν ἴσον, ὃς πάντα ταῦτα ὁμοῦ συλλαβὼν ἔχει, καὶ μεθ' ὑπερβολῆς; οὐδὲ γὰρ υἱὸν κατέθυσεν οὗτος, ἀλλ' ἑαυτὸν μυριάκις κατέθυσε· καὶ οὐδὲ τῶν οἰκείων ὅρων ἠλαύνετο μόνον, ἀλλὰ καὶ γῆν καὶ θάλατταν, καὶ Ἑλλάδα καὶ βάρβαρον, καὶ πᾶσαν ἁπαξαπλῶς ὅσην ἥλιος ἐφορᾷ γῆν, ὥσπερ τις ὑπόπτερος περιῆλθε, συρόμενος, τυπτόμενος, λιθαζόμενος, καθ' ἑκάστην ἡμέραν ἀποθνήσκων. οὐδὲ δὶς ἑπτὰ ἔτη ἐδούλευσε συγκαιόμενος τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτός, ἀλλὰ τὸν ἅπαντα βίον ἐν λιμῷ καὶ γυμνότητι καὶ ἁλύσεσι καὶ δεσμωτηρίῳ καὶ ἐπιβουλαῖς καὶ κινδύνοις διετέλεσεν. ἐπιείκειαν δὲ καὶ πραότητα τίς μὲν μᾶλλον, τίς δὲ ἴσον τῆς Παύλου ψυχῆς ἀμφότερα ταῦτα κατώρθωσεν; εἰ δὲ τὸν ζῆλον ἴδοις αὐτοῦ, τοσοῦτον ὄψει κρατοῦντα τοῦ Ἠλιοῦ, ὅσον ἐκεῖνος τῶν ἄλλων προφητῶν περιῆν. ἀλλ' ὁ Ἰωάννης ἀκρίδας ἤσθιε καὶ μέλι ἄγριον· ἀλλ' οὗτος ἐν μέσῃ τῇ οἰκουμένῃ, καθάπερ ἐκεῖνος ἐν τῇ ἐρήμῳ, διέτριβεν, ἀκρίδας μὲν καὶ μέλι ἄγριον οὐ σιτούμενος, πολὺ δὲ εὐτελεστέραν ταύτης παρατιθέμενος τράπεζαν, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς, διὰ τὴν ὑπὲρ τοῦ κηρύγματος σπουδήν. λείπεται πρὸς τοὺς ἀγγέλους αὐτὸν ἐξισάσαι λοιπόν. καὶ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. εἰ γὰρ τὸν Ἰωάννην ἄγγελον ἐκάλεσεν ἡ γραφή, τί θαυμάζεις, εἰ τὸν ἁπάντων ἀμείνω ταῖς δυνάμεσι παραβάλλωμεν ἐκείναις; Καὶ γὰρ τί ποτέ ἐστιν ἄνθρωπος, καὶ ὅση τῆς φύσεως τῆς ἡμετέρας ἡ εὐγένεια, καὶ ὅσης ἐστὶν ἀρετῆς δεκτικὸν τουτὶ τὸ ζῶον, ἔδειξε μάλιστα πάντων ἀνθρώπων Παῦλος. καὶ νῦν ἕστηκεν ἐξ οὗ γέγονε, λαμπρᾷ τῇ φωνῇ πρὸς ἅπαντας τοὺς ἐγκαλοῦντας ἡμῶν τῇ κατασκευῇ, ἀπολογούμενος ὑπὲρ τοῦ δεσπότου, καὶ δεικνὺς, ὅτι καὶ ἀγγέλων καὶ ἀνθρώπων οὐ πολὺ τὸ μέσον, ἐὰν αὐτοῖς προσέχειν ἐθέλωμεν. οὐ γὰρ ἄλλην φύσιν λαχὼν, οὐδὲ ἑτέρας κοινωνήσας ψυχῆς, οὐδὲ ἄλλον οἰκήσας κόσμον, ἀλλ'

ἐν

Ἐκ τοῦ α΄ λόγ. τῶν εἰς ἅγιον ἀπόστ. Παῦλον.

Ἐκ τοῦ β΄ λόγ. τῶν εἰς ἅγιον ἀπόσ. Παῦλον.

ἐν τῇ αὐτῇ γῇ καὶ χώρᾳ, καὶ νόμοις καὶ ἔθεσι τραφεὶς πάντας ἀνθρώπους ὑπερηκόντισε τοὺς ἐξ
οὗ γεγόνασιν ἄνθρωποι γενομένους· καὶ ὡς ἂν νεκρὸς πρὸς νεκρὸν ἀκίνητος γένοιτο, οὕτω μετ᾽
ἀκριβείας τῆς φύσεως τὰ σκιρτήματα κατευνάζων, οὐδὲν οὐδέποτε πρὸς οὐδὲν ἀνθρώ-
Ἐκ τ ἐξ ρμ. πινον ἔπαθε. Εἰ τοίνυν Παῦλος, ὁ τοσούτοις κομῶν κατορθώμασι, καὶ καθάπερ ἄγγελος ἐπὶ
τῆς γῆς φαινόμενος, καθ᾽ ἑκάστην ἐσπούδαζε κερδαίνειν, καὶ πρὸς τοὺς ὑπὲρ τῆς ἀλη- 5
θείας κινδύνους παρατάττεσθαι, καὶ τὴν ἐμπορείαν τὴν πνευματικὴν ἑαυτῷ συλλέ-
γειν καὶ μηδέποτε ἵστασθαι· ποίαν ἐροῦμεν ἡμεῖς ἀπολογίαν οἱ μὴ μόνον πάντων ὄντες ἔ-
ρημοι τῶν κατορθωμάτων, ἀλλὰ καὶ τοσούτοις ἐλαττώμασιν ὑποκείμενοι, ὧν καὶ ἓν μόνον προσ-
ὸν ἡμῖν, ἱκανὸν εἰς αὐτὸ τῆς ἀπωλείας τὸ βάραθρον καταγαγεῖν, καὶ μηδεμίαν ποιούμενοι
σπουδὴν καὶ γνώμην ταῦτα διορθοῦν, μήποτε τῶν τῆς ἀρετῆς ἔργων ἐφάπτεσθαι; ἢ οὐχὶ 10
τῆς αὐτῆς ἡμῖν φύσεως ἦν ὁ μακάριος ἐκεῖνος; ἐκκαίομαι γὰρ εἰς τὸν τοῦ ἀνδρὸς πό-
θον, καὶ διὰ τοῦτο συνεχῶς αὐτὸν περιστρέφων οὐ παύομαι· καὶ ὥσπερ εἰς ἀρχέτυπόν τινα εἰ-
κόνα, εἰς τὴν τούτου ψυχὴν ἐνορῶν, λογίζομαι τῶν παθῶν τὴν ὑπεροψίαν, τῆς ἀνδρείας
τὴν ὑπερβολήν, τοῦ φίλτρου τοῦ πρὸς τὸν Θεὸν τὸ διάπυρον, καὶ ἐκπλήττομαι, πῶς πᾶ-
σαν μὲν τὴν τῶν ἀρετῶν συναγωγὴν εἷς ἄνθρωπος βουληθεὶς κατόρθωσιν, ἡμῶν δὲ ἕκα- 15
στος οὐδὲ τὸ τυχὸν κατορθοῦν βούλεται. τίς οὖν ἡμᾶς ἐξαιρήσεται τῆς κολάσεως τῆς ἀ-
παραιτήτου, Παύλου τοσοῦτον μέγεθος ἀρετῆς ἐπιδειξαμένου, τοῦ τῆς αὐτῆς ἡμῖν κοινω-
νοῦντος φύσεως, τοῦ τοῖς αὐτοῖς πάθεσιν ὑποκειμένου, τοῦ ἐν τοσαύτῃ καιρῶν δυσκολίᾳ γεγο-
νότος, καὶ καθ᾽ ἑκάστην ἡμέραν, ὡς εἶπεν, ἑλκομένου, σπαραττομένου, καὶ δημοσίᾳ συρομένου
ὑπὸ τῶν τῷ κηρύγματι πολεμούντων; καὶ ἵνα μὴ παρὰ τῆς ἡμετέρας γλώττης ἀκούητε τὰ 20
παρὰ τοῦ μακαρίου τούτου κατορθώματα, καὶ τὴν ἀνδρείαν, ἣν ὑπὲρ τοῦ τῆς εὐσεβείας κηρύγ-
β.Κορ. ια κα. ματος καθ᾽ ἑκάστην ἐπεδείκνυτο, ἀναγκαῖον αὐτοῦ ἀκοῦσαι λέγοντος· Ἐν ᾧ δ᾽ ἄν τις τολ-
μᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. σκόπει ψυχὴν φιλόθεον· οὐ μόνον τόλμαν, ἀλ-
λὰ καὶ ἀφροσύνην τὸ πρᾶγμα καλεῖ· παιδεύων ἡμᾶς μὴ ἁπλῶς ἄνευ ἀνάγκης, καὶ
μηδενὸς ἀναγκάζοντος, τὰ ὑφ᾽ ἡμῶν γεγενημένα ἐκπομπεύειν, εἴ γέ τινες ἐξ ἡμῶν εὑρεθεῖεν 25
ἀγαθόν τι ἐργασάμενοι. Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀ-
βραάμ εἰσι; κἀγώ· ἐπὶ τούτοις, φησί, μέγα φρονοῦσι; μὴ νομιζέτωσαν λείπεσθαι ἡ-
μᾶς· καὶ γὰρ καὶ ἡμεῖς τῶν αὐτῶν μετέχομεν. Εἶτα ἐπήγαγε· Διάκονοι Χριστοῦ εἰσι;
παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ. θέα μοι ἐνταῦθα τοῦ μακαρίου τούτου τῆς ψυχῆς τὴν
ἀρετήν. ἐπειδὴ γὰρ καὶ τόλμαν καὶ ἀφροσύνην ἐκάλεσε τὸ γεγενημένον ὑπ᾽ αὐ- 30
τοῦ, καίτοι εἰς τοσαύτην ἀνάγκην καταστάς· οὐδὲ οὕτως ἠρκέσθη τοῖς εἰρημένοις·
ἀλλ᾽ ὅτε ἔμελλεν ἑαυτὸν δεικνύναι πολλῷ τῷ μέτρῳ ἐκείνους ὑπερακοντίζοντα, ἵνα μὴ
τις νομίσῃ ἀπὸ φιλαυτίας αὐτὸν ταῦτα φθέγγεσθαι, πάλιν παραφροσύνην καλεῖ τὸ
παρ᾽ αὐτοῦ λεγόμενον, μονονουχὶ λέγων· μὴ γὰρ οὐκ οἶδα ὅτι πρᾶγμα ποιῶ τοῖς πολλοῖς
παρεισάμενον, καὶ οὐκ ἐμοὶ πρέπον; ἀλλ᾽ ἡ πολλή με ἀνάγκη εἰς τοῦτο συνωθήσασα ἐκβι- 35
άζεται. διὸ σύγγνωτέ μοι, φησί, παραφροσύνης ῥήματα φθεγγομένῳ. τούτου καὶ τὴν σκιὰν
μιμησώμεθα ἡμεῖς οἱ τοσαῦτα φορτία ἁμαρτημάτων ἔχοντες ἐπικείμενα, καὶ πολλάκις ἕν τι
βραχὺ κατορθοῦντες, καὶ οὐδὲ τοῦτο εἰς τὰ ταμεῖα τῆς διανοίας φυλάττειν ἀνεχόμενοι,
ἀλλὰ διὰ τὸ τὴν παρὰ τῶν ἀνθρώπων θηρᾶσθαι δόξαν ἐκπομπεύοντες καὶ εἰς μέσον
προτιθέντες, καὶ διὰ τῆς ἀκαίρου ταύτης φλυαρίας, τῆς παρὰ τοῦ Θεοῦ ἀμοιβῆς ἑαυτοὺς 40
ἀποστεροῦντες. ἀλλ᾽ οὐχ ὁ μακάριος οὗτος τοιοῦτόν τι πέπονθεν, ἀλλ᾽ εἰπών, ὑπὲρ ἐγώ,
ἀπαριθμεῖται λοιπὸν τὰ τῆς ἀνδρείας αὐτοῦ κατορθώματα, καί φησιν· Ἐν κόποις περισσοτέρως,
ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις. τί λέγεις; ξένον τι καὶ παράδοξόν ἐστι τὸ
παρὰ σοῦ λεγόμενον. ἔστι γὰρ πολλάκις θάνατον ὑπομεῖναι; ναί, φησιν· εἰ καὶ μὴ τῇ πεί-

ρᾳ,

ρα, ἀλλὰ τῇ γνώμῃ διδάσκων ἡμᾶς ὅτι διηνεκῶς τοιούτοις ἑαυτὸν κινδύνοις ἐξεδίδου διὰ τὸ κήρυγμα θάνατον αὐτῷ τίκτουσιν. ἀλλ' ἡ τοῦ Θεοῦ χάρις ἐν αὐτοῖς μέσοις τοῖς κινδύνοις τὸν ἀθλητὴν διεφύλαττεν, ὥστε τοῖς μαθητευομένοις πολλὴν γίνεσθαι παρ' αὐτοῦ τὴν ὠφέλειαν. καὶ τὸ ἑξῆς δὲ ἐπαγόμενον πάλιν ἅπαντα, ὡς εἰπεῖν, τὰ εἰρημένα ἀποκρύπτει· Τίς γὰρ 5 ἀσθενεῖ, φησι, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; βαβαὶ πόση τοῦ ἀνδρὸς τούτου ἡ φιλοστοργία, πόση ἀγρυπνία, πόση ἡ μέριμνα; ποία μήτηρ οὕτω διακόπτεται τὰ σπλάγχνα, τοῦ παιδὸς αὐτῆς πυρέττοντος, καὶ ἐπὶ τῆς κλίνης κειμένου, ὡς ὁ μακάριος οὗτος; ὑπὲρ τῶν ἐν ἑκάστῳ τόπῳ ἀσθενούντων μᾶλλον ἠσθένει, καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦτο. σκόπει γάρ μοι λέξεως ἔμφασιν. οὐκ εἶπε, τίς σκανδαλίζεται, καὶ οὐκ 10 ἐγὼ λυποῦμαι, ἀλλὰ πυροῦμαι φησι, τὴν ἐπίτασιν ἡμῖν τῆς ὀδύνης δηλῶν, καὶ μονονουχὶ δεικνὺς ἐμπυριζόμενον αὐτὸν καὶ καιόμενον εἴσωθεν ὑπὲρ τῶν τὰ σκάνδαλα ὑπομενόντων. οἶδα ὅτι εἰς πολὺ μῆκος τὸν λόγον ἐξέτεινα· ἀλλ' οὐκ οἶδα πῶς ἐμπεσὼν εἰς τὸν πλοῦτον τῶν κατορθωμάτων τοῦ ἁγίου τούτου, καθάπερ ὑπὸ ῥύμης ὑδάτων σφοδροτάτης, οὕτω τῶν ἰλωτ-των θησαυρῶν. διὸ μέχρι τούτου στήσας τὸν λόγον, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην δι-15 ηνεκῶς τοῦτον ἐν διανοίᾳ περιφέρειν, καὶ τοῦτο λογίζεσθαι συνεχῶς, ὅτι τῆς αὐτῆς ἡμῖν κοινωνῶν φύσεως, καὶ τοῖς αὐτοῖς πάθεσιν ὑποκείμενος, καὶ ἐπιτήδευμα ἔχων εὐτελὲς καὶ εὐκαταφρόνητον, καὶ δέρματα ῥάπτων, καὶ ἐπὶ ἐργαστηρίου ἑστηκώς, ἐπειδὴ ἐβουλήθη καὶ ἠθέλησε πρὸς τὸ ὕψος τῆς ἀρετῆς πόνοις ἑαυτὸν ἐκδοῦναι, καὶ ἄξιον ἑαυτὸν καταστῆσαι τῆς ὑποδοχῆς τοῦ ἁγίου πνεύματος, δαψιλεστέρας ἀπήλαυσε τῆς ἄνωθεν φιλοτιμίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπι-20 τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ Παῦλον. β.

Λογ. κη.

25 Τοὺς τῶν ἁγίων βίους καὶ τὴν πολιτείαν διὰ τοῦτο ἀναγράπτους ἡμῖν καταλέλοιπεν ἡ τοῦ πνεύματος χάρις, ἵνα μαθόντες, ὡς τῆς αὐτῆς ὄντες ἡμῖν φύσεως ἅπαντα τὰ τῆς ἀρετῆς κατώρθωσαν, διαναστῶμεν πρὸς τὴν ταύτης ἐργασίαν, καὶ σφοδρὸν τὸν ἔρωτα τῆς πρὸς 30 αὐτοὺς ἀγάπης ἀναψώμεθα. πῶς οὖν τοῦτο γενήσεται; ἂν συνεχῶς ἐχώμεθα τῶν ἀνδρῶν ἐκείνων, καὶ ἐν διανοίᾳ αὐτοὺς περιφέροντες, τῆς αὐτῆς ἐκείνοις ἐχώμεθα πολιτείας. ἐν τούτῳ γὰρ πλέον ἢ πᾶσιν ὁμοῦ τοῖς ἄλλοις ὁ Θεὸς δοξασθήσεται. Εἰ γὰρ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, οὐ φωνὴν ἀφιέντες, ἀλλ' ἑτέρους διὰ τῆς ὄψεως εἰς τοῦτο παρασκευάζοντες, πολλῷ μᾶλλον οἱ παρεχόμενοι βίον θαυμαστόν, 35 καὶ σιγῶσι, τὸν Θεὸν δοξάζουσιν, ἑτέρων δι' αὐτοὺς τὸν Θεὸν δοξαζόντων. οὐρανὸς μὲν γὰρ ἐπὶ τοσοῦτον ὁρώμενος, οὐ σφόδρα ἔπεισε θαυμάσαι τὸν τούτου δημιουργόν· οἱ μακάριοι δὲ ἀπόστολοι, ὀλίγον κηρύξαντες χρόνον, τὴν οἰκουμένην ἐφειλκύσαντο πᾶσαν. καὶ οὐδὲ μὲν ἵστηκε τὸν οἰκεῖον φυλάττων ὅρον τι καὶ χαμηλὰ· τῆς δὲ ἐκείνων ψυχῆς τὸ ὕψος πάντας ὑπερέβη τοὺς οὐρανούς, καὶ τὸ κάλλος δὲ αὐτῆς τοιοῦτον ἦν, ὡς καὶ τὸν Θεὸν ἀνακηρύττειν αὐτό. τὰ μὲν γὰρ ἄστρα 40 οἱ ἄγγελοι ἐθαύμασαν, ὅτε ἐγένοντο· τῆς δὲ τῶν ἀποστόλων ψυχῆς τὸ κάλλος αὐτὸς ἐπῄνεσεν, εἰπών· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. καὶ τοῦτον μὲν τὸν οὐρανὸν νεφέλη πολλάκις ἐκάλυψε· τὴν δὲ τούτων ψυχὴν οὐδεὶς ἐκάλυψε πειρασμός, ἀλλὰ καὶ τότε μάλιστα ἐξέλαμπε. διὸ καὶ Παῦλος ἔλεγεν· Εὐδοκῶ ἐν ἀσθενείαις, ἐν διωγμοῖς, ἐν θλίψεσι. καὶ Φιλιππησίοις πάλιν· Διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς ἐν τοῖς δεσμοῖς μου. καὶ ἀλλαχοῦ· Ἵνα ὑμεῖς, φησιν,

Ψαλ. ιη. α.

Ματθ. ε. ιδ.

β. Κορ. ιβ. ι.

Φιλιπ. α. ζ.

φησιν, ἀκούσονται, ἐγὼ δέδοικα· πανταχοῦ τὸν δεσμὸν περιφέρει, ὃν σφόδρα ἐρᾷ, ὃς διετείνετό μου
τὴν καρδίαν καὶ εἰς ἐπιθυμίαν ἄγει τὸν Παῦλον εἰς μέσον ἀγαγεῖν, τὸν μᾶλλον τῶν ἄλλων κο-
[Πραξ. θ. ιε.] πιάσαντα, περὶ οὗ ὁ Χριστός φησι, Σκεῦος ἐκλογῆς μοί ἐστιν. οὗτος γοῦν ἐν τῷ και-
ρῷ τοῦ κηρύγματος ἐλυμαίνετο τὴν ἐκκλησίαν, κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων
τε ἄνδρας καὶ γυναῖκας· ἐν δὲ τῷ ἐγγίζειν αὐτὸν τῇ Δαμασκῷ, ἄφνω περιήστραψεν αὐτὸν
[Εκ τοῦ δ'. λόγ. τῶν εἰς τὸν ἅγιον Παῦλον.] φῶς, καὶ ἐπήρωσεν. Ἀλλ' ἡ πήρωσις ἐκείνου φωτισμὸς γέγονε τῆς οἰκουμένης. ἐπεὶ γὰρ
ἔβλεπε κακῶς, ἐπήρωσεν αὐτὸν καλῶς ὁ Θεός, ὥστε ἀναβλέψαι χρησίμως, ὁμοῦ μὲν τῆς ἑ-
αυτοῦ δυνάμεως ἀπόδειξιν αὐτῷ παρεχόμενος, ὁμοῦ δὲ ἐν τῷ πάθει τὰ μέλλοντα προδια-
τυπῶν, καὶ τοῦ κηρύγματος τὸν τρόπον διδάσκων, ὅτι ταῦτα πάντα οἴκοθεν ἀποβαλόντα, καὶ
μύσαντα τοὺς ὀφθαλμοὺς, αὐτῷ πανταχοῦ ἕπεσθαι χρή. διὸ καὶ αὐτὸς ἐβόα, τοῦτο αὐτὸ δη-
[α. Κορ. γ. ιη.] λῶν· Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, γενέσθω μωρὸς, ἵνα γένηται σοφός· ὡς οὐκ ἐνὸν ἀνα-
βλέψαι καλῶς, μὴ πρότερον πηρωθέντα καλῶς, καὶ τοὺς οἴκοθεν ταράττοντας αὐτὸν ἐκβα-
λόντα λογισμοὺς, καὶ τῇ πίστει τὸ πᾶν ἐπιτρέψαντα. ἀλλὰ μηδεὶς ταῦτα ἀκούων, ἠναγ-
κασμένην νομιζέτω εἶναι ταύτην τὴν κλῆσιν. καὶ γὰρ ἠδύνατο πάλιν ἐπανελθεῖν, ὅθεν ἐξέ-
βη. πολλοὶ γοῦν ἕτερα μείζονα θαύματα ἰδόντες, ὑπέστρεψαν πάλιν, καὶ ἐν τῇ καινῇ, καὶ
ἐν τῇ παλαιᾷ, οἷον ὁ Ἰούδας, ὁ Ναβουχοδονόσορ, ὁ Ἐλύμας ὁ μάγος, ὁ Σίμων, ὁ Ἀνανίας,
ἡ Σάπφειρα, ὅλος τῶν Ἰουδαίων ὁ δῆμος. ἀλλ' οὐχ ὁ Παῦλος, ἀλλὰ διαβλέψας πρὸς
τὸ ἀκήρατον φῶς, τὸν δρόμον ἐπέτεινε, καὶ πρὸς τὸν οὐρανὸν ἵπτατο. εἰ δὲ ἐξετάσεις, τίνος
[Γαλ. α. ιγ.] ἕνεκεν ἐπηρώθη, ἄκουσον αὐτοῦ λέγοντος· Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ
Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν, καὶ
προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέ-
ρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. ἐπεὶ οὖν οὕτω σφοδρὸς ἦν καὶ
ἀπρόσιτος, σφοδροτέρου ἐδεῖτο χαλινοῦ, ἵνα μὴ τῇ ῥύμῃ τῆς προθυμίας ἀγόμενος πα-
ρακούσῃ τῶν λεγομένων. διὰ δὴ τοῦτο καταστέλλων αὐτοῦ τὴν μανίαν, πρότερον κατευνάζει τὰ
κύματα τῆς ῥαγδαίας ὀργῆς ἐκείνης διὰ τῆς πηρώσεως, καὶ τότε αὐτῷ διαλέγεται, δεικνὺς τῆς σοφίας
αὐτοῦ τὸ ἀπρόσιτον, καὶ τὸ τῆς γνώσεως ὑπερέχον· καὶ ἵνα μάθῃ τίνα πολεμεῖ, ὃν οὐ μόνον κολά-
ζοντα, ἀλλ' οὐδὲ εὐεργετοῦντα δύναται ἐνεγκεῖν. οὐ γὰρ σκότος αὐτὸν ἐπήρωσεν, ἀλλ' ὑπερβο-
λὴ φωτὸς αὐτὸν ἐσκότισε· καὶ ὅμως τοσοῦτον ἦρεν, ὥστε τὰ ἱμάτια αὐτοῦ δεδοικέναι τοὺς δαίμονας.
[Εκ τοῦ ε'. λόγ. τῶν εἰς τὸν ἀπόστ. Παῦλον.] Ἀλλ' οὐ θαυμάζω τοῦτο, ὥσπερ οὐδὲ ἐπὶ τὴν σκιὰν Πέτρου τὰ νοσήματα ἔφυγε. τὸ δὲ θαυμαστὸν
τοῦτο, ὅτι καὶ παρὰ τῆς χάριτος μεγάλα ἀπὸ βαλβῖδος αὐτῆς καὶ προοιμίων αὐτῶν ἐφάνη
ποιῶν. οὐδὲ γὰρ δύναμιν τοσαύτην ἔχων, οὐδὲ χειροτονίαν δεξάμενος οὕτω τῷ πρὸς
Χριστὸν ἐξήφθη ζήλῳ, ὡς πάντα τῶν Ἰουδαίων τὸν δῆμον διεγεῖραι καθ' ἑαυτοῦ· καὶ ἰδὼν ἑαυ-
τὸν ἐν τοσούτοις ὄντα κινδύνοις, ὡς καὶ τὴν πόλιν πολιορκεῖσθαι, διὰ θυρίδος ἐχαλάσθη διὰ
τοῦ τείχους· καὶ διαφυγὼν οὐδὲ οὕτως εἰς ὄκνον ἐνέπεσεν, οὐδὲ εἰς δειλίαν καὶ φόβον, ἀλλὰ
πλείονα προθυμίαν ἐδέχετο, παραχωρῶν μὲν τοῖς κινδύνοις δι' οἰκονομίαν, οὐ παραχωρῶν δὲ
τῆς διδασκαλίας οὐδενί, ἀλλὰ τὸν σταυρὸν πάλιν ἁρπάσας ἠκολούθει· καίτοι γε παρὰ πόδας
ἔχων ἔτι τὸ παράδειγμα τὸ κατὰ τὸν Στέφανον, καὶ ὁρῶν κατ' αὐτοῦ μάλιστα πάντων φόνου
πνέοντας Ἰουδαίους, καὶ αὐτῶν ἐπιθυμοῦντας αὐτοῦ τῶν σαρκῶν ἀπογεύσασθαι. πόθεν οὖν
οὔτε ἀφειδῶς ἐνέπιπτε τοῖς κινδύνοις, οὐδὲ διαφεύγων μαλακώτερος ἐγίνετο πάλιν;
σφόδρα τῆς παρούσης ἤρα ζωῆς διὰ τὸ κέρδος τὸ ἐξ αὐτῆς· καὶ σφόδρα αὐτῆς ὑπερεώρα
διὰ τὴν φιλοσοφίαν τὴν ὑπὸ τῆς ὑπεροψίας γινομένην αὐτῷ· ἢ διὰ τὸ ἐπείγεσθαι
πρὸς τὸν Ἰησοῦν ἀπελθεῖν. ὅπερ γὰρ ἀεὶ λέγω περὶ αὐτοῦ, καὶ οὐδέποτε παύσομαι λέγων,
οὐδεὶς οὕτως εἰς ἐναντία πράγματα ἐμπεσὼν, ἑκάτερα πρὸς ἀκρίβειαν ἤσκησεν. οὐδεὶς
γοῦν οὕτω τῆς παρούσης ἐπεθύμησε ζωῆς, οὐδὲ τῶν σφόδρα φιλοψυχούντων· οὐδεὶς

οὕτως

οὕτως αὐτὴν ὑπερεῖδεν, οὐδὲ τὴν μετὰ ὑπερβολῆς θανατῶσαν. οὕτω πάσης ἐπιθυμίας καθαρὸς ἦν ἐκεῖνος, καὶ οὐδενὶ προσεπάσχε τῶν παρόντων, ἀλλὰ πανταχοῦ τῇ βουλῇ τοῦ Θεοῦ τὴν ἐπιθυμίαν ἐκίρνα τὴν ἑαυτοῦ· καὶ νῦν μὲν αὐτὴν καὶ τῆς μετὰ Χριστοῦ συνουσίας καὶ ὁμιλίας ἀναγκαιοτέραν εἶναί φησι, νῦν δὲ οὕτω βαρεῖαν καὶ ἐπαχθῆ, ὡς καὶ στενάζειν καὶ ἐπείγεσθαι πρὸς τὴν ἀνάλυσιν. ἐκείνων γὰρ ἐπεθύμει μόνον, τῶν κατὰ Θεὸν κέρδος αὐτῷ φερόντων, εἰ καὶ ἐναντία ταῦτα εἶναι συνέβαινε τοῖς προτέροις. καὶ γὰρ ποικίλος τις ἦν καὶ παντοδαπός, οὐχ ὑποκρινόμενος (μὴ γένοιτο) ἀλλὰ πάντα γινόμενος, ἅπερ ἡ τοῦ κηρύγματος καὶ τῆς σωτηρίας τῶν ἀνθρώπων ἀπῄτει χρεία, καὶ τοῦτο τὸν δεσπότην μιμούμενος τὸν ἑαυτοῦ. καὶ γὰρ καὶ ὁ Θεὸς ἄνθρωπος ἐφαίνετο, ὅτε ἔδει φανῆναι τοῦτο, καὶ ἐν πυρὶ πάλαι, ὅτε ὁ καιρὸς τοῦτο ἀπῄτει, καὶ νῦν μὲν ἐν ὁπλίτου σχήματι καὶ στρατιώτου, νῦν δὲ ἐν εἰκόνι πρεσβύτου, νῦν δὲ ἐν αὔρᾳ λεπτῇ, νῦν δὲ ὡς ὁδοιπόρος, νῦν δὲ αὐτὸ ἄνθρωπος, καὶ οὐδὲ ἀποθανεῖν οὕτω παρῃτήσατο. ὃ δὲ, ἔδει τοῦτο, ὅταν εἴπω, μηδεὶς ἀνάγκην εἶναι νομιζέτω τὸν λόγον, ἀλλὰ τῆς αὐτοῦ φιλανθρωπίας μόνον. καὶ ποτὲ μὲν ἐν θρόνῳ, ποτὲ δὲ ἐπὶ τῶν χερουβὶμ κάθηται· πάντα δὲ ταῦτα πρὸς τὰς ὑποκειμένας οἰκονομίας ἐσήμαινε. διὸ καὶ διὰ τοῦ προφήτου ἔλεγεν· Ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. οὕτω καὶ Παῦλος τὸν ἑαυτοῦ μιμούμενος δεσπότην, οὐκ ἂν κατεγνώσθη, νῦν μὲν Ἰουδαῖος γινόμενος, νῦν δὲ ὡς ἄνομος· καὶ νῦν μὲν νόμον ἐφύλαττε, νῦν δὲ ὑπερεώρα νόμου. καὶ ποτὲ μὲν ἀντείχετο τῆς παρούσης ζωῆς, ποτὲ δὲ αὐτῆς κατεφρόνει· καὶ νῦν μὲν ᾔτει χρήματα, νῦν δὲ καὶ διδόμενα διεκρούετο· καὶ ἔθυε, καὶ ἐξυρᾶτο, καὶ πάλιν ἀνεθεμάτιζε τοὺς ποιοῦντας· καὶ νῦν μὲν περιέτεμε, νῦν δὲ περιτομὴν ἐξέβαλε. καὶ τὰ μὲν γινόμενα ἐναντία ἦν, ἡ δὲ γνώμη καὶ ἡ διάνοια, ἀφ᾽ ἧς ταῦτα ἐγίνετο, σφόδρα ἀκόλουθος καὶ ἑαυτῇ συνημμένη. ἓν γὰρ ἐζήτει, τὴν τῶν ταῦτα ἀκουόντων καὶ ὁρώντων τὴν σωτηρίαν. διὰ δὴ τοῦτο, νῦν μὲν ἐπαίρει νόμον, νῦν δὲ αὐτὸν καθαιρεῖ. οὐ γὰρ δὴ μόνον ἐν οἷς ἔπραττεν, ἀλλὰ καὶ ἐν οἷς ἔλεγε, ποικίλος τις ἦν καὶ παντοδαπός· οὐχὶ μεταβαλλόμενος τὴν γνώμην, οὐδὲ ἕτερος ἐξ ἑτέρου γινόμενος, ἀλλὰ μένων ὅπερ ἦν, καὶ τῶν εἰρημένων ἕκαστον πρὸς τὴν παροῦσαν μεταχειρίζων χρείαν.

Ὠσ. ιϛ. ι.

Διά τοι τοῦτο, οὐκ ἂν τις ἁμάρτοι λειμῶνα ἀρετῶν καὶ παράδεισον πνευματικὸν καλέσας τὴν Παύλου ψυχήν· οὕτω πολλῇ μὲν ἤνθει τῇ χάριτι, ἀξίαν δὲ τῆς χάριτος ἐπεδείκνυτο τὴν φιλοσοφίαν τῆς ψυχῆς. ἐπεὶ γὰρ σκεῦος ἐκλογῆς γέγονε, καὶ καλῶς ἑαυτὸν ἐξεκάθηρε, δαψιλὴς ἡ τοῦ πνεύματος ἐξεχύθη εἰς αὐτὸν δωρεά· ὅθεν ἡμῖν καὶ τοὺς θαυμαστοὺς ἔτεκε ποταμούς, οὐ κατὰ τὴν τοῦ παραδείσου πηγήν, τέσσαρας μόνους, ἀλλὰ πολλῷ πλείους καθ᾽ ἑκάστην ῥέοντας τὴν ἡμέραν, οὐ τὴν γῆν ἀρδεύοντας, ἀλλὰ τὰς τῶν ἀνθρώπων ψυχὰς εἰς καρπογονίαν ἀρετῆς διεγείροντας. ἀλλ᾽ ἵνα μὴ παρὰ τῆς ἡμετέρας γλώττης ἀκούητε τὰ παρὰ τοῦ μακαρίου τούτου κατορθώματα, καὶ τὴν ἀνδρείαν, ἣν ὑπὲρ τοῦ κηρύγματος τῆς εὐσεβείας καθ᾽ ἑκάστην ἐπεδείκνυτο, ἀναγκαῖον αὐτοῦ ἀκοῦσαι λέγοντος. ἡνίκα γὰρ εἰς ἀνάγκην κατέστη διὰ τὴν τῶν ψευδαποστόλων ἀπάτην τὰ ἑαυτοῦ διηγεῖσθαι, οὕτω πως ἤρξατο μετὰ τὸ πολλὰ ἕτερα εἰπεῖν. Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις· ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις, κινδύνοις ἐν πόλεσι, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ· ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψῃ, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι, χωρὶς τῶν παρεκτός. εἰπὼν δὲ χωρὶς τῶν παρεκτὸς, ἠνίξατο, ὅτι τὰ παραλειφθέν-

Ἐκ τοῦ α΄ λόγ. τῶν εἰς τὸν ἅγ. Παῦλον.

β. Κορ. ια. κγ.

τὰ πλείονα εἰκὸς εἶναι τῶν εἰρημένων. εἶτα πάλιν φησίν· Ἡ ἐπισύστασίς μου ἡ καθ᾽ ἡμέραν,
ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. Εἶδες πλάτος ψυχῆς, εἶδες διανοίας μέγεθος; ὅσην γὰρ
ὁ ἥλιος διατρέχει γῆν τὰς οἰκείας ἀκτῖνας ἀφιείς, τοσαύτην καὶ ὁ μακάριος οὗτος εἶχε τὴν
μέριμναν καὶ τὴν φροντίδα. διὸ καὶ ἔλεγε· Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ

β. Κορ. ια. κθ.

οὐκ ἐγὼ πυροῦμαι; βαβαί, πόση τοῦ ἀνδρὸς τούτου ἡ φιλοστοργία; πόση ἡ ἀγρυπνία; πόση ἡ 5
μέριμνα; ποία μήτηρ οὕτω διακόπτεται τὰ σπλάγχνα, τοῦ παιδὸς αὐτῆς πυρέττοντος, καὶ ἐπὶ
τῆς κλίνης κειμένου, ὡς ὁ μακάριος οὗτος ὑπὲρ τῶν ἐν ἑκάστῳ τόπῳ ἀσθενούντων μᾶλλον
ἠσθένει, καὶ ὑπὲρ τῶν σκανδαλιζομένων ἐπυροῦτο; Τίς οὖν ἀρκέσει λόγος τοῖς τούτου κα-

Εκ τοῦ α. λόγ. τῶν εἰς τὸν ἀπόσ. Παῦλον.

τορθώμασιν; ἢ ποία δυνήσεται γλῶσσα ἐφικέσθαι τῶν ἐγκωμίων τῶν ἐκείνου; ὅταν γὰρ ἅπαντα
τὰ ἐν ἀνθρώποις καλὰ συλλαβοῦσα ἔχῃ ψυχὴ μία, καὶ πάντα μεθ᾽ ὑπερβολῆς, οὐ μόνον δὲ 10
τὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰ τῶν ἀγγέλων, πῶς περιεσόμεθα τοῦ μεγέθους τῶν ἐγκωμίων;
οὐ μὴν διὰ τοῦτο σιγήσομεν, ἀλλὰ καὶ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐροῦμεν. καὶ γὰρ καὶ τοῦτο
ἐγκωμίου μέγιστον εἶδος, τὸ νικᾶν τῶν κατορθωμάτων τὸ μέγεθος, μετὰ πάσης περιουσίας τοῦ
λόγου τὴν δύναμιν, καὶ ἡ ἧττα μυρίων ἡμῖν ἐστι λαμπροτέρα τροπαίων. πόθεν οὖν εὐκαιρεῖ
ἅψασθαι τῶν ἐγκωμίων; πόθεν δὲ ἄλλοθεν, ἢ ἀπ᾽ αὐτοῦ πρώτου δεῖξαι τὰ πάντων ἔχοντα ἀ- 15
γαθά; εἴτε γὰρ προφῆται ἐπεδείξαντό τι γενναῖον, εἴτε πατριάρχαι, εἴτε δίκαιοι, εἴτε

Ἑβ. ια.

ἀπόστολοι, εἴτε μάρτυρες, πάντα ταῦτα ὁμοῦ συλλαβὼν εἶχε μετὰ τοσαύτης ὑπερβολῆς,
μεθ᾽ ὅσης οὐδεὶς ἐκείνων, ὅπερ ἕκαστος εἶχε καλόν, ἐκέκτητο. σκόπει δέ· προσήνεγκεν Ἄβελ
θυσίαν, καὶ ἐντεῦθεν ἀνακηρύττεται. ἀλλ᾽ ἐὰν τὴν Παύλου θυσίαν εἰς μέσον ἀγάγῃς, τοσοῦ-
τον δείκνυται βελτίων ἐκείνης, ὅσον τῆς γῆς ὁ οὐρανός. ποίαν οὖν βούλεσθε, εἴπω; οὐδὲ 20
γὰρ μία μόνον ἐστί. καὶ γὰρ ἑαυτὸν καθ᾽ ἑκάστην κατέθυε τὴν ἡμέραν· καὶ ταύτην πάλιν δι-
πλῆν ἐποίει τὴν προσφοράν, τοῦτο μέν, καθ᾽ ἑκάστην ἀποθνήσκων, τοῦτο δέ, τὴν νέκρωσιν
ἐν τῷ σώματι αὐτοῦ περιφέρων. καὶ γὰρ πρὸς κινδύνους διηνεκῶς παρετάττετο, καὶ ἐσφάττετο
τῇ προαιρέσει, καὶ τῆς σαρκὸς τὴν φύσιν οὕτως ἐνέκρωσεν, ὡς τῶν σφαγιαζομένων ἱερείων μη-
δὲν ἔλαττον διακεῖσθαι, ἀλλὰ καὶ πολλῷ πλέον. οὐδὲ γὰρ βοῦς καὶ πρόβατα προσέφε- 25
ρεν, ἀλλ᾽ ἑαυτὸν διπλῆ καθ᾽ ἑκάστην ἐσφαγίαζε τὴν ἡμέραν. διὸ καὶ ἐθαῤῥησεν εἰπεῖν·
Ἐγὼ γὰρ ἤδη σπένδομαι, σπονδὴν ἑαυτοῦ τὸ αἷμα καλέσας. οὐ μὴν ἠρκέσθη ταῖς θυσίαις

β Τιμ. δ. ς.

ταύταις, ἀλλ᾽ ἐπειδὴ καλῶς ἑαυτὸν καθιέρωσε, καὶ τὴν οἰκουμένην πᾶσαν προσήνεγκε, καὶ
γῆν καὶ θάλατταν, καὶ Ἑλλάδα καὶ βάρβαρον, καὶ πᾶσαν ἁπαξαπλῶς τὴν κτίσιν ταύτην, κα-
θάπερ τις ὑπόπτερος ἀετὸς γενόμενος ἐπῆλθεν, οὐχ ἁπλῶς ὁδοιπορῶν, ἀλλὰ τὰς ἀκάν- 30
θας τῶν ἁμαρτημάτων ἀνασπῶν, καὶ τὸν λόγον τῆς εὐσεβείας καταοπείρων, τὴν πλάνην ἀπε-
λαύνων, τὴν ἀλήθειαν ἐπανάγων, ἐξ ἀνθρώπων ἀγγέλους ποιῶν, μᾶλλον δὲ ἀπὸ δαιμόνων
ἀγγέλους τοὺς ἀνθρώπους. διὸ καὶ μέλλων ἀπιέναι μετὰ τοὺς πολλοὺς ἱδρῶτας καὶ τὰ πυκνὰ ταῦ-
τα τρόπαια, παραμυθούμενος τοὺς μαθητάς, ἔλεγεν· Εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λει-

Φιλιπ. β. ιζ.

τουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· καὶ ὑμεῖς οὖν χαίρετε καὶ συγχαίρετέ 35
μοι. τί τοίνυν γένοιτ᾽ ἂν τῆς θυσίας ταύτης ἴσον, ἣν τὴν μάχαιραν τοῦ πνεύματος σπασά-
μενος ἔθυσεν; ἣν ἐν τῷ θυσιαστηρίῳ προσήγαγε τῷ ὑπεράνω τῶν οὐρανῶν; ἀλλ᾽ ἀνῃρέθη
δολοφονηθεὶς ὑπὸ τοῦ Κάϊν ὁ Ἄβελ, καὶ ταύτῃ λαμπρότερος γέγονεν; ἀλλ᾽ ἐγώ σοι μυρί-
ους ἠρίθμησα θανάτους, καὶ τοσούτους, ὅσας ἡμέρας κηρύττων ὁ μακάριος ἔζησεν οὗτος. εἰ δὲ καὶ
τὴν μέχρι τῆς πείρας αὐτῆς προελθοῦσαν βούλει μαθεῖν σφαγήν, ἐκεῖνος μὲν ὑπὸ τοῦ ἀ- 40
δελφοῦ μήτε ἀδικηθέντος, μήτε εὐεργετηθέντος κατέπεσεν· οὗτος δὲ ὑπὸ τούτων ἀνῄρητο, οὓς
ἐξαρπάσαι τῶν μυρίων ἠπείγετο κακῶν, καὶ δι᾽ οὓς πάντα ἔπασχεν, ἅπερ ἔπαθεν. ἀλλὰ Νῶε
δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ, καὶ μόνος ἐν ἅπασι τοιοῦτος ἦν; καὶ γὰρ καὶ Παῦλος μόνος ἐν

ἅπασι

ἅπασι τοιοῦτος. κἀκεῖνος μὲν ἑαυτὸν μετὰ τῶν παίδων διέσωσε μόνον· οὗτος δὲ, πολὺ χαλε-
πωτέρου τὴν οἰκουμένην κατακλυσμοῦ καταλαβόντος, οὐ σανίδας πηξάμενος, καὶ κιβωτὸν
ποιήσας, ἀλλὰ ἀντὶ σανίδων τὰς ἐπιστολὰς συνθεὶς, οὐ δύο καὶ τρεῖς καὶ πέντε συγγενεῖς, ἀλλὰ
τὴν οἰκουμένην ἅπασαν καταποντίζεσθαι μέλλουσαν ἐκ μέσων ἥρπασε τῶν κυμάτων.
5 οὐδὲ γὰρ τοιαύτη ἦν ἡ κιβωτὸς, ὡς ἐν ἑνὶ περιφέρεσθαι τόπῳ, ἀλλὰ τὰ πέρματα τῆς οἰκου-
μένης κατέλαβε, καὶ πάντας εἰσάγει μέχρι τοῦ νῦν εἰς τὴν λάρνακα ταύτην, σύμμετρον
τῷ πλήθει τῶν σωζομένων αὐτὴν κατασκευάζων, καὶ δεχόμενος ἀλόγων ἀνοητοτέρους, τοῖς ἄ-
νω δυνάμεσιν ἐφαμίλλους ἐργάζεται, καὶ ταύτῃ νικῶν τὴν κιβωτὸν ἐκείνην. ἐκείνη μὲν κό-
ρακα λαβοῦσα, κόρακα πάλιν ἐξέπεμψε, καὶ λύκον ὑποδεξαμένη, τὴν θηριωδίαν οὐ
10 μετέβαλεν· οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ λαβὼν λύκους, πρόβατα εἰργάσατο, καὶ λαβὼν κό-
ρακας καὶ κολοιοὺς, περιστερὰς τούτους ἀπετέλεσε, καὶ πᾶσαν ἀλογίαν καὶ θηριωδίαν τὴν τῆς ἀνθρώ-
πων φύσεως ἐκβαλὼν, τὴν τοῦ πνεύματος ἐπεισήγαγεν ἡμερότητα. καὶ μέχρι νῦν μένει πλέουσα
ἡ κιβωτὸς αὕτη, καὶ οὐ διαλέλυται, οὐδὲ ἴσχυσεν αὐτῆς τὰς σανίδας χαυνῶσαι τῆς κακίας ὁ χειμὼν,
ἀλλ' αὐτὴ πλέουσα τοῦ χειμῶνος τὸν σάλον κατέλυσε· καὶ μάλα εἰκότως. οὐ γὰρ ἀσφάλ-
ὑπ., καὶ 15 τῳ" πίσσῃ, ἀλλὰ πνεύματι ἁγίῳ κεχρισμέναι αἱ σανίδες αὗταί εἰσιν. ἀλλὰ τὸν Ἀβρα-
ὰμ θαυμάζομεν, ὅτι ἀκούσας, Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, ἀφῆκε πα- *Γεν. ιβ. α.*
τρίδα καὶ οἰκίαν, καὶ φίλους καὶ συγγενεῖς, καὶ πάντα ἦν αὐτῷ τὸ ἐπίταγμα τοῦ Χριστοῦ; καὶ γὰρ
καὶ ἡμεῖς τοῦτο θαυμάζομεν. ἀλλὰ τί Παύλου γένοιτ' ἂν ἴσον, ὃς οὐ πατρίδα καὶ οἰκίαν καὶ
συγγενεῖς ἀφῆκεν, ἀλλ' αὐτὸν τὸν κόσμον, καὶ τὰ ἐν αὐτῷ πάντα διὰ τὸν Ἰησοῦν, καὶ αὐτὸν τὸν οὐ-
20 ρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ ἓν μόνον ἐζήτει, τοῦ Ἰησοῦ τὴν ἀγάπην; Οὔτε γὰρ ἐνε- *Ρωμ. η. λθ.*
στῶτα, φησὶν, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς
ἀγάπης τοῦ Θεοῦ. ἀλλ' ἐκεῖνος εἰς κινδύνους ῥίψας ἑαυτὸν, τὸν ἀδελφιδοῦν ἐξήρπασε τῶν
βαρβάρων; ἀλλ' οὗτος οὐ τὸν ἀδελφιδοῦν, οὐδὲ τρεῖς καὶ πέντε πόλεις, ἀλλὰ τὴν οἰκουμένην
ἅπασαν, οὐκ ἀπὸ βαρβάρων, ἀλλ' ἀπ' αὐτῆς τῶν δαιμόνων ἥρπασε τῆς χειρὸς, μυρίους
25 καθ' ἑκάστην ὑπομένων κινδύνους, καὶ τοῖς οἰκείοις θανάτοις ἑτέροις πολλὴν ἀσφάλειαν
κτώμενος. τὸ δὲ κεφάλαιον αὐτοῦ τῶν ἀγαθῶν ἐστι καὶ ἡ κορωνὶς τῆς φιλοσοφίας, τὸ τὸν υἱὸν
καταθῦσαι. ἀλλὰ καὶ ἐνταῦθα τὰ πρῶτα παρὰ τῷ Παύλῳ ὄντα εὑρήσομεν, ὃς οὐχὶ υἱὸν,
ἀλλ' ἑαυτὸν μυριάκις κατέθυσεν, ὅπερ ἔφθην εἰπών. τί δ' ἄν τις θαυμάσειε τοῦ Ἰσαάκ; πολλὰ
μὲν καὶ ἄλλα, μάλιστα δὲ αὐτοῦ τὴν ἀνεξικακίαν, ὅτι φρέατα ὀρύττων, καὶ τῶν οἰκείων ἐλαυνό-
30 μενος ὅρων, οὐκ ἐπεξῄει, ἀλλὰ καταχωννύμενα ὁρῶν ὑπείχετο, καὶ πρὸς ἕτερον ἀεὶ μεθίστατο
τόπον, οὐχ ὁμόσε ἀεὶ τοῖς λυποῦσι χωρῶν, ἀλλ' ἐξιστάμενος καὶ παραχωρῶν πανταχοῦ τῶν
οἰκείων κτημάτων, ἕως αὐτῶν τὴν ἄδικον ἐκόρεσεν ἐπιθυμίαν. ἀλλ' ὁ Παῦλος οὐ φρέατα
λίθοις καταχωννύμενα ὁρῶν, ἀλλὰ τὸ ἑαυτοῦ σῶμα, οὐ παρεχώρει, καθάπερ ἐκεῖνος, μόνον,
ἀλλ' εἰσιὼν, τοῖς λίθοις τοὺς βάλλοντας αὐτὸν εἰς τὸν οὐρανὸν εἰσάγειν ἐφιλονείκει. ὅσῳ
35 γὰρ κατεχώννυτο ἡ πηγὴ, τοσούτῳ μᾶλλον ἐξερρήγνυτο, καὶ πλείους ἐξέχεε ποταμοὺς εἰς ὑπο-
μονήν. τὸν παῖδα θαυμάζει τὸν τούτου τῆς καρτερίας ἡ γραφή. καὶ ποία ἀδαμαντίνη ψυ-
χὴ τὴν Παύλου δύναιτ' ἂν ἐπιδείξασθαι ὑπομονήν; οὐδὲ γὰρ δὶς ἑπτὰ ἔτη ἐδούλευ-
σεν, ἀλλὰ τὸν πάντα βίον ὑπὲρ τῆς τοῦ Χριστοῦ νύμφης, οὐ συγκαιόμενος μόνον τῷ καύμα-
τι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, ἀλλὰ μυρίας νιφάδας πειρασμῶν ὑπομέ-
40 νων, καὶ νῦν μὲν μάστιξι, νῦν δὲ λίθοις τὸ σῶμα κατατεμνόμενος, καὶ νῦν μὲν θηρίοις
μαχόμενος, νῦν δὲ πελάγει παλαίων, καὶ λιμῷ διηνεκεῖ ἡμέρας καὶ νυκτὸς, καὶ κρυ-
μῷ, καὶ πανταχοῦ ὑπὲρ τὰ σκάμματα πηδῶν, καὶ τὰ πρόβατα ἀπὸ τῆς τοῦ διαβό-
λου φάρυγγος ἀφαρπάζων. ἀλλὰ σώφρων ὁ Ἰωσήφ; ἀλλὰ δέδοικα μὴ γέλως
ᾖ, τὸν Παῦλον ἐντεῦθεν ἐγκωμιάζειν, ὃς ἐσταύρωσεν ἑαυτὸν τῷ κόσμῳ, καὶ οὐ τὰ

λαμπρὰ ἐν τοῖς σώμασι μόνον, ἀλλὰ πάντα τὰ πράγματα οὕτως ἑώρα, ὡς ἡμεῖς τὴν κόνιν καὶ τὴν τέφραν· καὶ ὡς ἂν νεκρὸς πρὸς νεκρὸν ἀκίνητος γένοιτο, οὕτω μετ᾽ ἀκριβείας τῆς φύσεως τὰ σκιρτήματα κατευνάζων, οὐδὲν οὐδέποτε πρὸς ἀνθρώπινον πάθος ἔπαθεν. ἐκπλήττονται τὸν Ἰὼβ πάντες ἄνθρωποι; καὶ μάλα εἰκότως. καὶ γὰρ μέγας ἀθλητής, καὶ πρὸς αὐτὸν τὸν Παῦλον ἀντιβλέψαι δυνάμενος διὰ τὴν ὑπομονήν, διὰ τὴν τοῦ βίου καθαρότητα, διὰ τὴν τοῦ Θεοῦ μαρτυρίαν, διὰ τὴν καρτερὰν μάχην ἐκείνην, διὰ τὴν θαυμαστὴν νίκην, τὴν μετὰ τὴν μάχην. ἀλλὰ Παῦλος οὐχὶ μῆνας πολλοὺς ἀγωνιζόμενος οὕτω διῆλθεν, ἀλλ᾽ ἔτη πολλά, οὐχὶ τήκων βώλακας γῆς ἀπὸ ἰχῶρος ζέων, ἀλλ᾽ εἰς αὐτὸ τοῦ λέοντος τὸ νοητὸν στόμα συνεχῶς ἐμπίπτων, καὶ μυρίοις παλαίων πειρασμοῖς, πάσης πέτρας στερρότερος ἦν· οὐχὶ παρὰ τριῶν φίλων, ἢ τεσσάρων, ἀλλὰ παρὰ πάντων ὀνειδιζόμενος τῶν ἀπίστων ψευδαδέλφων, ἐμπτυόμενος, λοιδορούμενος. ἀλλ᾽ ἡ φιλοξενία τοῦ Ἰὼβ μεγάλη, καὶ ἡ πρὸς τοὺς δεομένους φιλανθρωπία; οὐδὲ ἡμεῖς ἀντιλέγομεν· ἀλλὰ τῆς Παύλου τοσοῦτον καταδεεστέραν εὑρήσομεν, ὅσον ψυχῆς σῶμα ἀφέστηκεν. ἃ γὰρ ἐκεῖνος περὶ τοὺς τὴν σάρκα πεπηρωμένους ἐπεδείκνυτο, ταῦτα οὗτος περὶ τοὺς τὴν ψυχὴν λελωβημένους ἔπραττε, πάντας τοὺς χωλοὺς καὶ ἀναπήρους τὸν λογισμὸν διορθούμενος, καὶ τοὺς γυμνοὺς καὶ ἀσχημονοῦντας περιβάλλων τῇ τῆς φιλοσοφίας στολῇ. καὶ ἐν τοῖς σωματικοῖς δὲ τοσοῦτον αὐτοῦ περιῆν, ὅσῳ πολλῷ μεῖζον τὸ πενίᾳ συζῶντα καὶ λιμῷ βοηθεῖν τοῖς δεομένοις, τοῦ ἐκ περιουσίας τοῦτο ποιεῖν. τοῦ μὲν γὰρ ἡ οἰκία παντὶ ἐλθόντι ἀνέῳκτο, τοῦ δὲ ἡ ψυχὴ πάσῃ τῇ οἰκουμένῃ ἥπλωτο, καὶ ὁλοκλήρους δήμους ὑπεδέχετο λέγων·

β. Κορ. ς. ιβ.

Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. καὶ ὁ μέν, προβάτων αὐτῷ καὶ βοῶν ὄντων ἀπείρων, φιλότιμος περὶ τοὺς δεομένους ἦν· οὗτος δὲ οὐδὲν πλέον κεκτημένος τοῦ σώματος, ἀπ᾽ αὐτοῦ τοῖς δεομένοις ἐπήρκει, καὶ βοᾷ λέγων·

Πράξ. κ. λδ.

Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται, τὴν ἀπὸ τοῦ σώματος ἐργασίαν πρόσοδον τοῖς πεινῶσι καὶ λιμώττουσι κεκτημένος. ἀλλ᾽ οἱ σκώληκες καὶ τὰ τραύματα χαλεπὰς καὶ ἀκαρτερήτους παρεῖχον τῷ Ἰὼβ τὰς ὀδύνας; ὁμολογῶ κἀγώ. ἀλλ᾽ ἐὰν τὰς ἐν τοσούτοις ἔτεσι τοῦ Παύλου μάστιγας, καὶ τὸν λιμὸν τὸν διηνεκῆ, καὶ τὴν γυμνότητα, καὶ τὰς ἁλύσεις, καὶ τὸ δεσμωτήριον, καὶ τοὺς κινδύνους, καὶ τὰς ἐπιβουλὰς τὰς παρὰ τῶν οἰκείων, τὰς παρὰ τῶν ἀλλοτρίων, τὰς παρὰ τῶν τυράννων, τὰς παρὰ τῆς οἰκουμένης ἁπάσης ἀντιθῇς, καὶ μετὰ τούτων τὰ πάντων πικρότερα, λέγω δὴ τὰς ὑπὲρ τῶν πιπτόντων ὀδύνας, τὴν φροντίδα τῶν ἐκκλησιῶν πασῶν, τὴν πύρωσιν, ἣν ὑπὲρ ἑκάστου τῶν σκανδαλιζομένων ὑπέμενεν, ὄψει πῶς πέτρας στερροτέρα ἦν ἡ ταῦτα φέρουσα ψυχή, καὶ σίδηρον καὶ ἀδάμαντα ἐνίκα· καὶ ἅπερ ἐκεῖνος ἔπασχεν ἐν τῷ σώματι, ταῦτα οὗτος ἐν τῇ ψυχῇ, καὶ σκώληκος παντὸς χαλεπώτερον ἡ καθ᾽ ἕκαστον τῶν σκανδαλιζομένων ἀθυμία διέτρωγε τὴν ψυχήν. ὅθεν καὶ πηγὰς δακρύων ἠφίει διηνεκῶς, οὐ τὰς ἡμέρας μόνον, ἀλλὰ καὶ τὰς νύκτας· καὶ πάσης γυναικὸς ὠδινούσης δριμύτερον διεσπᾶτο καθ᾽ ἕκαστον αὐτῶν. διὸ καὶ ἔλεγε·

Γαλ. δ. ιθ.

Τεκνία μου, οὓς πάλιν ὠδίνω. τίνα αὖ τις μετὰ τὸν Ἰὼβ ἐκπλαγείη; τὸν Μωϋσέα πάντως. ἀλλὰ καὶ τοῦτον ἐκ πολλοῦ περιόντος ὑπερηκόντισε. μεγάλα μὲν γὰρ αὐτοῦ καὶ τὰ ἄλλα· τὸ δὲ κεφάλαιον καὶ ἡ κορωνὶς τῆς ἁγίας ψυχῆς ἐκείνης, ὅτι ἐξαλειφθῆναι εἵλετο τῆς βίβλου ὑπὲρ τῆς σωτηρίας τῶν Ἰουδαίων. ἀλλ᾽ οὗτος μὲν συναπολέσθαι ἑτέροις ἠρεῖτο· ὁ δὲ Παῦλος οὐ συναπολέσθαι, ἀλλ᾽ ἑτέρων σωζομένων αὐτὸς ἐκπεσεῖν τῆς δόξης τῆς ἀπεράντου. καὶ ὁ μὲν τῷ Φαραώ, ὁ δὲ τῷ διαβόλῳ καθ᾽ ἡμέραν ἐπύκτευε· καὶ ὁ μὲν ὑπὲρ ἑνὸς ἔθνους, ὁ δὲ ὑπὲρ τῆς οἰκουμένης ἁπάσης ἔκαμνεν, οὐχ ἱδρῶτι, ἀλλὰ καὶ αἵματι ἀντὶ ἱδρῶτος πάντοθεν περιρρεόμενος, οὐχὶ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἀοίκητον διορθούμενος· οὐχὶ τὴν Ἑλλάδα μόνον, ἀλλὰ καὶ τὴν βάρβαρον. ἐνῆν καὶ τὸν Ἰησοῦν εἰς μέσον παραγαγεῖν, καὶ τὸν Σα-

μουήλ,

μένη, καὶ τοὺς ἄλλους προφήτας. Ἀλλ' ἵνα μὴ μακρότερον ποιῶμεν τὸν λόγον, ἐπὶ τοὺς κο-
ρυφαίους αὐτῶν βαδίσωμεν. ὅταν γὰρ τούτων φανῇ κρείττων, οὐδεμία περὶ τῶν ἄλλων ἀμφι-
σβήτησις λείπεται. τίνες δ' οἱ κορυφαῖοι; τίνες δ' ἄλλοι μετὰ τούτους, ἢ ὁ Δαβὶδ καὶ ὁ Ἠλίας
καὶ ὁ Ἰωάννης; ὧν ὁ μὲν, τῆς προτέρας παρουσίας, ὁ δὲ, τῆς δευτέρας τοῦ Χριστοῦ πρόδρομος.
5 διὸ καὶ τῆς προσηγορίας ἀλλήλοις ἐκοινώνησαν. τί οὖν τὸ ἐξαίρετον τοῦ Δαβίδ; ἡ ταπεινο-
φροσύνη καὶ ὁ πρὸς Θεὸν ἔρως. καὶ τίς μᾶλλον, τίς δ' οὐχ ἧττον τῆς Παύλου ψυχῆς ἀμ-
φότερα ταῦτα κατώρθωσε; τί δὲ τὸ θαυμαστὸν τοῦ Ἠλίου; ὅτι τὸν οὐρανὸν ἔκλεισε, καὶ λιμὸν
ἐπήγαγε, καὶ πῦρ κατήγαγεν; οὐκ ἔγωγε οἶμαι· ἀλλ' ὅτι ἐζήλωσεν ὑπὲρ τοῦ δεσπότου, καὶ πυ-
ρὸς σφοδρότερος ἦν. ἀλλ' εἰ τὸν Παύλου ζῆλον ἴδοις, τοσοῦτον εὑρήσεις κρατοῦντα, ὅσον ἐκεῖνος
10 τῶν ἄλλων περιῆν. τί γὰρ ἂν γένοιτο τῶν ῥημάτων ἐκείνων ἴσον, ἅπερ ὑπὲρ τῆς τοῦ δεσπότου
δόξης ζηλῶν ἔλεγεν· Ὅτι ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν τῶν συγγενῶν μου κατὰ
σάρκα; διὰ τοῦτο τῶν οὐρανῶν αὐτῷ προκειμένων, καὶ τῶν στεφάνων, καὶ τῶν ἐπάθλων, ἔμελλε
καὶ ἐβράδυνε λέγων· Τὸ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. διὰ τοῦτο οὐδὲ τὴν
κτίσιν αὐτὴν τὴν ὁρωμένην, ἀλλ' οὐδὲ τὴν νοητὴν ἐνόμισεν ἀρκεῖν εἰς παράστασιν τῆς ἀ-
15 γάπης καὶ τοῦ ζήλου, ἀλλὰ καὶ ἑτέραν οὐκ οὖσαν ἔπλασε τῷ λόγῳ, ὥστε ἐνδείξασθαι ὅπερ ἠθέ-
λησε καὶ ἐπεθύμει. ἀλλ' ὁ Ἰωάννης ἀκρίδας ἤσθιε καὶ μέλι ἄγριον; ἀλλ' οὗτος ἐν μέσῃ τῇ οἰ-
κουμένῃ, καθάπερ ἐκεῖνος ἐν τῇ ἐρήμῳ, διέτριβεν, ἀκρίδας μὲν καὶ μέλι ἄγριον μὴ σιτούμενος,
πολὺ δ' εὐτελεστέραν ταύτης παρατιθέμενος τράπεζαν, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τρο-
φῆς διὰ τὴν ὑπὲρ τοῦ κηρύγματος σπουδήν. ἀλλὰ πολλὴν πρὸς τὸν Ἡρώδην οὗτος παρ-
20 ρησίαν ἐπεδείξατο; ἀλλ' οὗτος οὐχ ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ μυρίους κατ' ἐκεῖνον ἐπεστόμισε,
μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέρους ἐκείνου τοῦ τυράννου. λείπεται πρὸς τοὺς ἀγγέλους
αὐτὸν ἐξετάσαι λοιπόν· διόπερ ἀφέντες τὴν γῆν, πρὸς τὰς τῶν οὐρανῶν ἀναβησώμεθα ἁψῖ-
δας. ἀλλὰ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου. εἰ γὰρ τοὺς ἱερέας ἀγγέλους ἐκά-
λεσεν ἡ γραφὴ, τί θαυμαστὸν εἰ τὸν ἁπάντων ἀμείνω ταῖς δυνάμεσι παραβαλλόμενον ἐ-
25 κείναις; τί οὖν ἐστιν ἐκείνων τὸ μέγα; ὅτι μετὰ πάσης ἀκριβείας ὑπακούουσι τῷ Θεῷ, ὅπερ
καὶ ὁ Δαβὶδ ἐκπληττόμενος ἔλεγε· Δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ. τούτου γὰρ
ἴσον οὐδὲν, κἂν μυριάκις ὦσιν ἀσώματοι. τὸ γὰρ μάλιστα ποιοῦν τούτους μακαρίους, τοῦτό
ἐστιν· ὅτι πείθονται τοῖς προστάγμασιν, ὅτι οὐδαμοῦ παρακούουσι. τοῦτο τοίνυν καὶ ὑπὸ τοῦ
Παύλου μετὰ ἀκριβείας ἐστὶν ἰδεῖν φυλαττόμενον. οὐ γὰρ δὴ τὸν λόγον αὐτοῦ ἐποίησε μόνον, ἀλλὰ
30 καὶ τὰ προστάγματα. καὶ τοῦτο δηλῶν ἔλεγε· Τίς οὖν μοί ἐστιν ὁ μισθός; ἵνα εὐαγγελιζόμε-
νος, ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. τί ἕτερον θαυμάζων αὐτῶν ὁ προφήτης
ἔλεγεν· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον; ἀλλὰ
καὶ τοῦτο ἐπὶ Παύλου ἐστὶν ἰδεῖν. καθάπερ γὰρ πνεῦμα καὶ πῦρ, οὕτω τὴν οἰκουμένην διέ-
δραμεν ἅπασαν, καὶ τὴν γῆν ἐξεκάθηρεν. ἀλλ' οὔπω τὸν οὐρανὸν ἔλαχε; τὸ γὰρ θαυ-
35 μαστὸν τοῦτο, ὅτι ἐν τῇ γῇ τοιοῦτος ἦν, καὶ σῶμα θνητὸν περικείμενος, πρὸς τὰς ἀσωμά-
τους ἡμιλλᾶτο δυνάμεις. διὰ τοῦτο καὶ ἐκεῖ ἀπελθὼν, ἐκεῖ ἵσταται τοῦ θρόνου τοῦ
βασιλικοῦ, ἔνθα τὰ χερουβὶμ δοξάζει, ἔνθα τὰ σεραφὶμ πέταται. Ἐκεῖ οὖν καὶ
ἡμεῖς ἀπελθόντες, Παῦλον ὀψόμεθα, εἰ καὶ μὴ πλησίον ἑστῶτες, ἀλλ' ὀψόμεθα πάντως, μετὰ
Πέτρου καὶ τοῦ τῶν ἁγίων χοροῦ κορυφαῖον ὄντα καὶ προεστῶτα, καὶ τῆς ἀγάπης ἀπολαυσό-
40 μεθα τῆς γνησίας. εἰ γὰρ ἐνταῦθα ὢν, οὕτως ἠγάπα τοὺς ἀνθρώπους, ὡς αἱρέσεως οὔσης
ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, ἑλέσθαι ἐνταῦθα εἶναι, πολλῷ μᾶλλον ἐκεῖ θερμότερον ἐπι-
δείξεται τὸ φίλτρον. ἐγὼ καὶ τὴν Ῥώμην διὰ τοῦτο φιλῶ, ὅτι καὶ ζῶν αὐτοῖς ἔγραφε, καὶ οὕτως
αὐτοὺς ἐφίλει, καὶ παρὼν αὐτοῖς διελέχθη, καὶ τὸν βίον ἐκεῖ κατέλυσε, καὶ τὸ ἅγιον σῶμα κατέχου-
σι. διὸ καὶ ἐπίσημος ἡ πόλις ἐντεῦθεν μᾶλλον, ἢ ἀπὸ τῶν ἄλλων ἁπάντων· καὶ καθάπερ

Ῥωμ. θ. γ.

Φιλιπ. α. κδ.

Ψαλ. ρβ. κ.

α. Κορ. θ. ιη.

Ψαλ. ργ. δ.

Ἐκ τ ὁμιλ. λβ. εἰς τ πρὸς Ῥωμ. ἐπισ.

σῶμα μέγα καὶ ἰσχυρὸν, ὀφθαλμοὺς ἔχει δύο λάμποντας, τῶν ἁγίων τούτων τὰ σώματα. οὐχ
οὕτως ἐστὶν ὁ οὐρανὸς λαμπρὸς, ὅταν ἀφῇ τὰς ἀκτῖνας ὁ ἥλιος, ὡς ἡ Ῥωμαίων πόλις τὰς
δύο ταύτας λαμπάδας πανταχοῦ τῆς οἰκουμένης ἀφιεῖσα. ἐντεῦθεν ἁρπαγήσεται Παῦλος,
ἐντεῦθεν Πέτρος. ἐννοήσατε καὶ φρίξατε, οἷον ὄψεται θέαμα Ῥώμη, τὸν Παῦλον ἐξαίφνης ἀ-
νιστάμενον ἀπὸ τῆς θήκης ἐκείνης μετὰ Πέτρου, καὶ αἰρόμενον εἰς ἀπάντησιν τοῦ Χριστοῦ·
οἷον ἀποστέλλει τῷ Χριστῷ δῶρον ἡ Ῥώμη, οἵους στεφάνους ἡ πόλις περίκειται δύο, οἵας
χρυσᾶς ἁλύσεις διέζωσται, οἵας πηγάς; διὰ ταῦτα θαυμάζω τὴν πόλιν, οὐ διὰ τὸν
χρυσὸν τὸν πολὺν, οὐ διὰ τοὺς κίονας, οὐ διὰ τὴν ἄλλην φαντασίαν, ἀλλὰ διὰ τοὺς στύλους
τῆς ἐκκλησίας τούτους. τίς μοι νῦν ἔδωκε περιχυθῆναι τῷ σώματι Παύλου, καὶ προσηλω-
θῆναι τῷ τάφῳ, καὶ τὴν κόνιν ἰδεῖν τοῦ σώματος ἐκείνου, τοῦ τὰ ὑστερήματα ἀναπληρώ-
σαντος τοῦ Χριστοῦ, τοῦ τὰ στίγματα βαστάσαντος, τοῦ πανταχοῦ τὸ κήρυγμα κατασπεί-
ραντος; τὴν κόνιν τοῦ σώματος, δι' οὗ Χριστὸς ἐφθέγγετο, δι' οὗ ἐλάλει ἐνώπιον βασιλέων,
καὶ οὐκ ᾐσχύνετο, δι' οὗ Παῦλον ἐμάθομεν, δι' οὗ τὸν Παύλου δεσπότην; οὐχ οὕτως ἡμῖν ἡ
βροντὴ φοβερὰ, ὡς ἐκείνη τοῖς δαίμοσιν ἡ φωνή. ὥσπερ οὖν ἀστραπὴ ἐξ οὐρανοῦ φανεῖσα
καταπλήττει τοὺς ὁρῶντας, οὕτως ἡ Παύλου φωνὴ κατέπληττε τὸν διάβολον, καὶ καθάπερ
σκηπτοῦ τις ἐμβολὴ, εἰς τὰς τούτου κατηνέχθη φάλαγγας. οὐδὲ γὰρ ἐκ παρατάξεως
ἵστατο πρὸς αὐτὸν, ἀλλ' οὕτως ἐδεδοίκει καὶ ἔτρεμεν, ὡς εἰ καὶ σκιὰν ἴδοι καὶ φωνῆς ἀκούσειε, πόρ-
ρωθεν δραπετεύειν. εἰ γὰρ τὰ ἱμάτια αὐτοῦ ἔφευγε, πολλῷ μᾶλλον τὴν φωνήν. αὕτη
δεδεμένους αὐτὸν ἦγεν, αὕτη τὴν οἰκουμένην ἐξεκάθηρεν, αὕτη νοσήματα ἔλυσε, κακίαν ἐξέ-
βαλεν, ἀλήθειαν ἐπανήγαγε, τὸν Χριστὸν εἶχεν ἐγκαθήμενον, καὶ μετ' αὐτοῦ πανταχοῦ
περιῄει· καὶ ὅπερ τὰ χερουβὶμ, τοῦτο ἡ Παύλου φωνή. καθάπερ γὰρ ἐπὶ τῶν δυνάμεων
ἐκείνων ἐκάθητο, οὕτω καὶ ἐπὶ τῆς τοῦ Παύλου γλώττης. καὶ γὰρ ἀξία τοῦ δέξασθαι τὸν
Χριστὸν ἐγένετο ἐκεῖνα φθεγγομένη, ἃ τῷ Χριστῷ φίλα ἦν, καὶ πρὸς ὕψος ἄφατον ἱπταμένη,
καθάπερ τὰ σεραφίμ. οὐ τοῦ σώματος δὲ μόνον, ἀλλὰ καὶ τῆς καρδίας ἐκείνης ἐβουλόμην
τὴν κόνιν ἰδεῖν, ἣν οὐκ ἄν τις ἁμάρτοι, καρδίαν τῆς οἰκουμένης εἰπὼν, καὶ τῶν μυρίων
πηγὴν ἀγαθῶν, καὶ ἀρχὴν καὶ στοιχεῖον τῆς ἡμετέρας ζωῆς. τὸ γὰρ πνεῦμα τῆς ζωῆς
ἐντεῦθεν εἰς ἅπαντας ἐχορηγεῖτο, καὶ τοῖς μέλεσι τοῦ Χριστοῦ διεδίδοτο. ταύτην καὶ διαλε-
λυμένην ἐπεθύμουν ἰδεῖν, τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, τὴν εὐρυτέραν τῆς οἰκουμένης, τὴν τῆς
ἀκτῖνος φαιδροτέραν, τὴν τοῦ πυρὸς θερμοτέραν, τὴν τοῦ ἀδάμαντος στερροτέραν, τὴν καταξιω-
θεῖσαν φιλῆσαι Χριστὸν, ὡς οὐδεὶς ἄλλος ἐφίλησεν. ἐβουλόμην τὴν κόνιν ἰδεῖν τῶν χειρῶν τῶν ἐν
ἁλύσει, δι' ὧν τῆς ἐπιθέσεως τὸ πνεῦμα τὸ ἅγιον ἐχορηγεῖτο· δι' ὧν τὰ θεῖα γράμματα ἐγρά-
φετο· τῶν χειρῶν ἐκείνων, ἃς ἰδοῦσα ἡ ἔχις ἐξέπεσεν εἰς τὴν πυράν. ἐβουλόμην τὴν
κόνιν ἰδεῖν τῶν ὀφθαλμῶν τῶν πηρωθέντων καλῶς, τῶν ἀναβλεψάντων ἐπὶ σωτηρίᾳ τῆς
οἰκουμένης, τῶν καὶ ἐν σώματι Χριστὸν ἰδεῖν ἀξιωθέντων, τῶν ὁρώντων τὰ γήϊνα καὶ οὐχ ὁρών-
των, τῶν βλεπόντων τὰ μὴ βλεπόμενα, τῶν μὴ εἰδότων ὕπνον, τῶν ἐν μέσαις νυξὶν
ἀγρυπνούντων, τῶν οὐ πασχόντων τὰ τῶν ὀφθαλμῶν. ἐβουλόμην καὶ τῶν ποδῶν ἐκείνων
ἰδεῖν τὴν κόνιν, τῶν περιδραμόντων τὴν οἰκουμένην καὶ μὴ καμόντων, τῶν ἐν τῷ ξύλῳ δε-
δεμένων, ἡνίκα τὸ δεσμωτήριον ἔσεισε, τῶν οἰκουμένην καὶ ἀοίκητον περιελθόντων, τῶν ὁδοι-
πορησάντων πολλάκις. καὶ τί δεῖ κατὰ μέρος λέγειν; ἐβουλόμην τὸν τάφον ἰδεῖν, ἔνθα τὰ ὅ-
πλα τῆς δικαιοσύνης ἀπόκειται, τὰ ὅπλα τὰ τοῦ φωτὸς, τὰ μέλη τὰ νῦν ζῶντα, νενεκρω-
μένα δὲ ὅτε ἔζη, τὰ τοῦ Χριστοῦ μέλη, τὰ ἐνδεδυμένα τὸν Χριστὸν, τὸν ναὸν τοῦ πνεύματος,
τὴν οἰκοδομὴν τὴν ἁγίαν, τὰ δεδεμένα τῷ πνεύματι, τὰ καθηλωμένα τῷ φόβῳ τοῦ
Χριστοῦ, τὰ ἔχοντα τὰ στίγματα Χριστοῦ. τοῦτο τὸ σῶμα τειχίζει τὴν πόλιν ἐκείνην, ὃ παν-
τὸς πύργου καὶ μυρίων περιβόλων ἐστὶν ἀσφαλέστερον· καὶ μετὰ τούτου τὸ Πέτρου. καὶ γὰρ ζῶν-

τα

τὰ ἔτη μετά. Ἀνέβην γὰρ εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον. διὰ τοῦτο καὶ ἀπελθόντα (Γαλ. α. ιη.)
κατηξίωσεν ὁμόσκηνον αὐτῷ ποιῆσαι ἡ χάρις. τοῦτον οὖν καὶ ἡμεῖς μιμώμεθα. καὶ γὰρ καὶ αὐ-
τὸς ἄνθρωπος ἦν, τῆς αὐτῆς φύσεως ἡμῖν μετέχων, καὶ τὰ ἄλλα ἅπαντα ἔχων κοινά. ἀλλ'
ἐπειδὴ πολλὴν τὴν περὶ τὸν Χριστὸν ἀγάπην ἐπεδείξατο, τοὺς οὐρανοὺς ὑπερέβη, καὶ μετὰ τῶν ἀγ-
5 γέλων ἔστη. ὥστε ἂν βουληθῶμεν καὶ ἡμεῖς διαναστῆναι μικρόν, καὶ τὸ πῦρ ἐκεῖνο ἀνάψαι ἐν
ἡμῖν, δυνησόμεθα ζηλῶσαι τὸν ἅγιον ἐκεῖνον. οὐδὲ γάρ, εἴπερ ἀδύνατον ἦν τοῦτο, ἐβόα
λέγων· Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. μὴ τοίνυν θαυμάζωμεν αὐτὸν, μη- (α Κορ. δ. ιϛ.)
δὲ ἐκπληττώμεθα μόνον, ἀλλὰ καὶ μιμώμεθα, ἵνα καταξιωθῶμεν καὶ ἐντεῦθεν ἀπελθόντες
αὐτὸν ἰδεῖν, καὶ τῆς ἀπορρήτου δόξης μετασχεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι
10 καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ
πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΠΛΕΟΝΕΞΙΑΣ. Λογ. κθ.

15 Τίνος ἕνεκεν ἀπὸ πλεονεξίας πλουτεῖν ἐπιθυμεῖς, ἄνθρωπε; ἵνα ἑτέροις (Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α'. ὁμιλ.)
μὲν τὸ χρυσίον ἀποκέηται καὶ τὸ ἀργύριον, σοὶ δὲ ἀραὶ καὶ κατηγορίαι; καὶ
ἵν' ὁ ἀποστερηθεὶς ὑπὲρ τῆς τῶν ἀναγκαίων δαπάνης τροφῆς καὶ ὀλο-
φύρηται, καὶ μυρίους ἐφέλκηταί σοι κατηγόρους; καὶ ὃ τούτου πολὺ φρι-
κωδέστερον, ὅταν κατὰ τὴν ἡμέραν ἐκείνην παρὰ τοῦ βήματος τοῦ φοβε-
20 ροῦ ὁ κακῶς παθὼν καὶ τὰ αὐτοῦ πάντα ἀπολωλεκὼς παράγηται εἰς
μέσον, σοῦ μηδένα ἔχοντος συνήγορον, τί πρὸς τὸν δικάζοντα ἐρεῖς; νῦν μὲν γὰρ καὶ δια-
φθείρει τὸ δικαστήριον δυνήσῃ τοῦτο, τὸ τῶν ἀνθρώπων, ἐκεῖνο δὲ τότε οὐκ ἔτι· μᾶλλον δὲ οὐδὲ
τοῦτο. καὶ γὰρ ὁ Θεὸς ὁρᾷ τὰ γινόμενα, καὶ ἐγγύθεν ἐστὶ τοῖς ἀδικουμένοις καὶ μὴ καλούμενος.
ὁ γὰρ κακῶς παθὼν, κἂν αὐτὸς ἀνάξιος ᾖ τοῦ τυχεῖν τινος ἐκδικήσεως· ἀλλ' ὅμως ἐπειδὴ τῷ
25 Θεῷ τὰ γινόμενα οὐκ ἀρέσκει, ἔχει τὸν ἀμυνόμενον πάντως. καὶ μή μοι λέγε· πῶς ὁ δεῖνα
εὐπραγεῖ πονηρὸς ὤν; εἰ γὰρ καὶ εὐπραγεῖ, ἀλλ' οὐκ εἰς τέλος. Μὴ παραζήλου γάρ, (Ψαλ. λϛ. α.)
φησιν, ἐν πονηρευομένοις, ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης τα-
χὺ ἀποπεσοῦνται. ἡ πλεονεξία ζύμη τίς ἐστι παλαιά, καὶ ὅπουπερ ἂν ἐμπέσῃ, καὶ εἰς οἵαν
οἰκίαν εἰσέλθῃ, ἀκάθαρτον αὐτὴν ἐργάζεται· κἂν μικρὸν δὲ ἐξ ἀδικίας κερδάνῃς, ὁλόκλη-
30 ρόν σου τὴν οὐσίαν ἐζύμωσε. διὰ τοῦτο πολλάκις τὰ εἰσενεχθέντα κακῶς ὀλίγα, τὰ καλῶς
κείμενα ἐξέβαλε πολλὰ ὄντα. τί οὖν, φησιν, ὅταν πολλοὶ πλεονεκτοῦντες, μὴ τὰ αὐτὰ
πάσχωσι; μάλιστα μὲν πείσονται, κἂν μὴ παραυτὰ πάθωσιν· ἂν δὲ νῦν ἐκφύγωσι, τότε φο-
βήθητι μᾶλλον· ἐπὶ μείζονι γὰρ κολάσει τηροῦνται. μᾶλλον δὲ κἂν αὐτοὶ διαφύγωσιν, ἀλλ'
οἱ κληρονομήσαντες τὰ αὐτῶν τὰ αὐτὰ πείσονται. καὶ ποῦ τοῦτο δίκαιον, φησί; καὶ σφόδρα
35 δίκαιον. καὶ γὰρ ὁ διαδεξάμενος κλῆρον ἀδικίας γέμοντα, εἰ καὶ αὐτὸς μὴ ἥρπασεν, ἀλλ' ὅ-
μως οἶδεν ἀκριβῶς, ὅτι τὰ ἑτέρων ἔχει, καὶ διὰ τοῦτο δίκαιος ἦν παθεῖν. ταῦτα δὲ καὶ οἱ τῶν
ἔξωθεν ἴσασι νόμοι, οἳ τοὺς ἁρπάσαντας καὶ ὑφελομένους ἀφέντες, ἐκείνους κελεύουσιν ἀπαι-
τεῖν, παρ' οἷς ἂν εὕροι τις τὰ αὐτοῦ κείμενα ἅπαντα. εἰ μὲν οὖν οἶδας τοὺς ἠδικημένους, ἀπό-
δος μετὰ πολλῆς τῆς προσθήκης κατὰ τὸν Ζακχαῖον· εἰ δὲ ἀγνοεῖς, εἰς τοὺς δεομένους ταῦτα
40 διανείμαι, καὶ παραμυθήσῃ καὶ οὕτω τὸ δεινόν. Ἐὰν γὰρ πάντα τὰ παρ' ἑτέρων δῶμεν, οὐ- (Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωαν. δ'αγ.)
δὲν κέρδος ἡμῖν. καὶ δείκνυσιν ὁ Ζακχαῖος, ὃς τότε ἔφησεν ἐξιλεοῦσθαι τὸν Θεόν, δοὺς τῶν ἀ-
φαιρεθέντων τετραπλάσιονα· ἡμεῖς δὲ μυρία ἁρπάζοντες, καὶ ὀλίγα διδόντες, νομίζομεν
ἵλεων ποιεῖν τὸν Θεόν. εἰ γὰρ τὰ δεύτερα προσενεγκὼν ὁ Κάϊν, καὶ ταῦτα οὐδὲ ἠδικηκὼς
ἕτερον, ἔδωκε δίκην τὴν ἐσχάτην· ὅταν ἐξ ἁρπαγῆς καὶ πλεονεξίας προσφέρωμεν, πῶς οὐ
πεισόμεθα

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

πεισόμεθα χαλεπώτερα; Τί τὸν δικαστὴν ὑβρίζεις ἀκάθαρτα δῶρα προσάγων αὐτῷ; οὐ βούλεται Χριστὸς πλεονεξίᾳ τρέφεσθαι, οὐδὲ δέχεται τοιαύτην τροφήν. Βέλτιον λιμῷ τηκόμενον περιορᾶν, ἢ τρέφειν ἀπὸ τούτων αὐτόν. Βέλτιον οὐδὲν δοῦναι, ἢ τὰ ἄλλων ἑτέροις. Εἰπὲ γάρ μοι, εἴ τινας εἶδες δύο, τὸν μὲν γυμνόν, τὸν δὲ ἱμάτιον ἔχοντα· εἶτα τὸν ἔχοντα τὸ ἱμάτιον ἀποδύσας περιέβαλες τὸν γυμνόν, ἆρ' οὐκ ἠδίκησας; παντί που δῆλον. Εἰ δὲ ὅπερ ἔλαβες ἑτέρῳ δοὺς ἅπαν, ἠδίκησας, οὐκ ἠλέησας· ὅταν μηδὲ τὸ πολλοστὸν μέρος δῷς ὧν ἁρπάζεις, καὶ ἐλεημοσύνην τὸ πρᾶγμα καλῇς, ποίαν οὐχ ὑποστήσῃ τιμωρίαν;

Ἐκ τοῦ κατὰ Ἰωάν.

Εἰ ὁ Λάζαρος ἀδικηθεὶς μὲν οὐδὲν παρὰ τοῦ πλουσίου, μὴ ἀπολαύσας δὲ τῶν ἐκείνου, πικρὸς ἕστηκε κατήγορος, τίνος ἀπολογίας τεύξονται οἱ πρὸς τῷ μὴ ἐλεεῖν οἴκοθεν, καὶ τὰ ἀλλότρια λαμβάνοντες;

Ἐκ τῆς πρὸς Ὀλυμπιάδα β. ἐπιστ.

Εἰ οἱ μὴ θρέψαντες πεινῶντα τὸν Χριστόν, μετὰ τοῦ διαβόλου καταδικάζονται εἰς τὸ πῦρ τὸ ἄσβεστον· οἱ καὶ λιμῷ αὐτὸν παραδιδόντες δι' ὧν ἁρπάζουσι, καὶ ἐνδεδυμένον γυμνοῦντες, καὶ ξένον ὄντα οὐ μόνον οὐ συναγαγόντες, ἀλλὰ καὶ ἐλάσαντες, καὶ ἀρρωστοῦντα οὐ μόνον οὐκ ἐπισκεψάμενοι, ἀλλὰ καὶ ἐπὶ πλεῖον συντρίψαντες, καὶ οὐ μόνον δεδεμένον οὐκ ἰδόντες, ἀλλὰ καὶ λελυμένον εἰς δεσμωτήριον παρασκευάσαντες ἐμβληθῆναι, πόσην ὑποστήσονται τιμωρίαν;

Ἐκ τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Εἰ ὁ τοὺς φιλοῦντας ἀγαπῶν, οὐδὲν ἄμεινον τῶν ἐθνικῶν διακείσεται· ὁ τοῖς μηδὲν ἠδικηκόσιν ἐπηρεάζων, ποίαν ἕξει συγγνώμην;

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν Λάζα.

Εἰ ὁ τῶν ἑαυτοῦ μὴ μεταδιδοὺς κατήγορον ἔχει τὸν οὐκ ἐλεηθέντα· ὁ καὶ τὰ ἀλλότρια ἁρπάζων ποίας τεύξεται συγγνώμης; οὐ γὰρ τὸ τὰ ἀλλότρια ἁρπάζειν μόνον, ἀλλὰ καὶ τὸ τῶν ἑαυτοῦ μὴ μεταδιδόναι ἑτέροις, καὶ τοῦτο ἁρπαγὴ καὶ πλεονεξία, καὶ ἀποστέρησίς ἐστιν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Εἰ οἱ μὴ θρέψαντες πεινῶντα τὸν Χριστὸν τοσοῦτον ἐπὶ τὴν κεφαλὴν αὐτῶν εἵλκυσαν πῦρ· οἱ καὶ τὰ μηδὲν αὐτοῖς προσήκοντα ἁρπάζοντες, καὶ τὰ ἑτέρων ἀδίκως περιβαλλόμενοι, καὶ τὰς τῶν ὀρφανῶν καὶ χηρῶν ἀνατρέποντες οἰκίας, ποίας ἀπολαύσονται παραμυθίας; Φρίξωμεν τοίνυν τὸ πρᾶγμα· φύγωμεν τὴν ἁμαρτίαν. Φύγωμεν δέ, ἂν ἐννοήσωμεν τοὺς πρὸ ἡμῶν ἀδικήσαντας, τοὺς πλεονεκτήσαντας δὲ ἀπελθόντας. Οὐχὶ τῶν μὲν χρημάτων αὐτῶν καὶ πόνων ἀπολαύουσιν ἕτεροι· αὐτοὶ δὲ ἐν κολάσει καὶ τιμωρίᾳ καὶ τοῖς ἀνηκέστοις κακοῖς; πῶς οὖν οὐκ ἐσχάτης ταῦτα ἀνοίας, κόπτεσθαι καὶ ταλαιπωρεῖν, ἵνα καὶ ζῶντες τοῖς πόνοις κατατεινώμεθα, καὶ ἀπελθόντες τὰς ἀφορήτους ὑπομένωμεν κολάσεις καὶ τιμωρίας;

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ.

Τί τοίνυν τοῦ ἅρπαγος ἐλεεινότερον γένοιτ' ἄν, ὅταν τὰ μὲν συλλεγέντα ἅπαντα πολλάκις ἐχθροὶ καὶ πολέμιοι πρὸς ἀλλήλους διενείμαντο, τὰ δὲ ἐκ τούτων ἐπισωρευθέντα αὐτῷ ἁμαρτήματα λαβὼν ἄπεισι, τὰς ὑπὲρ τούτων παρανομίας μετὰ πολλῆς ἀπαιτούμενος τῆς ἀκριβείας;

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ.

Ἆρα τί τῶν πλεονεκτῶν γένοιτ' ἂν χαλεπώτερον, ὅτι δὲ τὴν ζωὴν αὐτῶν θανάτου παντὸς χαλεπωτέραν ἐργάζονται, τῆς φροντίδος καὶ τῆς ἀθυμίας καὶ τῆς διηνεκοῦς ἀγρυπνίας κατατεινούσης αὐτήν, καὶ κατὰ μικρὸν δαπανώσης, καὶ πᾶσαν ἡδονήν. Οἱ δὲ ἀρετῆς καὶ κακίας ἐντεῦθεν ἐλαύνοντες; καὶ ἐν μὲν τῷ κερδαίνειν κἂν τὰ πάντα περιβάλωνται, οὐδεμιᾶς αἰσθάνονται ἡδονῆς τῷ τῶν πλειόνων ἐφίεσθαι· ἐν δὲ τῷ ζημιοῦσθαι, κἂν ὀβολὸν ἀπολέσωσι, πάντων ἡγοῦνται χαλεπώτερα πεπονθέναι, καὶ αὐτῆς ἐκπεπτωκέναι νομίζουσι τῆς ζωῆς. κἂν γυναῖκα ὁ τοιοῦτος ἔχῃ, κἂν παιδία, κἂν φίλους· ἂν μὴ πάντοθεν ἐξῇ κερδαίνειν αὐτῷ, τῶν φύσει πολεμίων αὐτῷ οὗτοι πολεμιώτεροι καταφαίνονται.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Δικαίως γάρ τίς φησιν εἶναι φιλαργύρου μηδὲν ὠμότερον. ὁ γὰρ τοιοῦτος καὶ ἑαυτὸν ἀποδίδοται, καὶ κοινὸς περιέρχεται τῆς οἰκουμένης ἐχθρός, ἀλγῶν ὅτι μὴ χρυσίον φέρει ἀντὶ τῶν ἀσταχύων ἡ γῆ, καὶ ἀντὶ τῶν ναμάτων αἱ κρῆναι, καὶ ἀντὶ τῶν λίθων τὰ ὄρη· δυσχεραίνων πρὸς τὴν ἄλλων εὐετηρίαν, ἐν τοῖς κοινοῖς ἀγαθοῖς συνεσταλμένος· πᾶσαν ἀποστρεφόμενος πρόφασιν, ὅθεν οὐκ ἔστιν ἀργύριον λαβεῖν· πάντα ὑπομένων, ὅθεν δὲ δύο συλλέξαι μόνον ὀβολοὺς ἔνι· ἅπαντας μισῶν, τοὺς πένητας, τοὺς πλουτοῦντας· τοὺς μέν, μήποτε προσελθόντες αἰτήσωσι· τοὺς δέ, ὅτι μὴ τὰ ἐκείνων ἔχει· ἅπαντας τὰ αὐτοῦ νομίζει κεκτῆσθαι, καὶ ὡς παρὰ

πάντων

πάντων ἠδικημένος, οὕτω πρὸς ἅπαντας διάκειται. καὶ ὅπερ ἐστὶ μαινομένῳ ξίφος, τοῦτο καὶ φιλαργύρῳ πλοῦτος, μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτερον. ὁ μὲν γὰρ μαινόμενος τὸ ξίφος λαβὼν καὶ ὠθήσας δι' ἑαυτοῦ, τῆς τε μανίας ἀπηλλάγη, καὶ οὐκ ἔτι δευτέραν λαμβάνει πληγήν· ὁ δὲ φιλάργυρος μυρία χαλεπώτερα ἐκείνου τραύματα καθ' ἑκάστην δέχεται τὴν ἡμέραν, οὐκ ἀπαλλάττων τῆς μανίας ἑαυτὸν, ἀλλ' ἐπιτείνων μειζόνως· καὶ ὅσωπερ ἂν λάβῃ πλείονα τραύματα, τοσούτῳ μᾶλλον ὑπόθεσιν ἑτέρας παρέχει πληγῆς χαλεπωτέρας. Τί τοίνυν τοῦ πλεονέκτου γένοιτ' ἂν χαλεπώτερον, ὅτι μετὰ τὸ τὴν ψυχὴν ἀπολέσαι τὴν ἑαυτοῦ, καὶ τὸ σῶμα μυρίαις κατατρίβει φροντίσι, καὶ τρυφῆς καὶ ἡδονῆς καὶ τιμῆς καὶ δόξης ἁπάσης ἐστέρηται, δι' ἣν μάλιστα πολλὰ ἁμαρτάνουσιν ἄνθρωποι; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι μηδὲν ἠδικημένος κατὰ τῶν οὐδὲν ἠδικηκότων ἐκθηριοῦται καὶ ὁπλίζεται, καὶ πάντα ἀπὸ τῆς ψυχῆς ῥίψας τὰ καλὰ, πρὸς πάντας ἐκπεπολέμωται. οἱ μὲν γὰρ ἀδικούμενοι μισοῦσιν αὐτὸν, ἅτε [καὶ] κακῶς παθόντες· οἱ δὲ μηδέπω παθόντες, δεδοικότες μὴ πάθωσι, καὶ συναλγοῦντες τοῖς πεπονθόσι, τὸν αὐτὸν ἐπιδείκνυνται πόλεμον· οἱ δὲ μείζους καὶ δυνατώτεροι δακνόμενοι καὶ ἀγανακτοῦντες ὑπὲρ τῶν ταπεινοτέρων, ἔτι δὲ καὶ βασκαίνοντες, ὁμοίως εἰσὶν ἐχθροὶ καὶ μισοῦσι. καὶ τί λέγω τοὺς ἀνθρώπους; ὅταν γὰρ καὶ τὸν Θεὸν ἐκπεπολεμωμένον ἔχῃ, τίς αὐτῷ λοιπὸν ἐλπὶς ἔσται, ἢ παραψυχή;

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Τοῦτο πλοῦτος τὸ ἀδικεῖν, εἰπέ μοι; τοῦτο οὐ χαλεπώτερον καταδίκου; ὁ κατάδικος δέδεται τὸ σῶμα, οὗτος δέδεται τὴν ψυχήν. ὁρᾷς αὐτὸν δεσμώτην, καὶ οὐκ ἐλεεῖς αὐτόν; διὰ τοῦτο αὐτόν, φησι, μισῶ, ὅτι δέδεται οὐκ ἀνάγκῃ, ἀλλὰ προαιρέσει τὴν ἅλυσιν ἐπισπασάμενος. πάλιν σὺ πρὸς τοὺς πλουτοῦντας· πάλιν ὑμεῖς κατὰ τῶν ἁρπαζομένων. ὑμεῖς οὐ κορέννυσθε ἐσθίοντες, καὶ καταδάκνοντες τοὺς πένητας· καὶ ἐγὼ οὐ κορέννυμαι διορθούμενος ὑμᾶς. ἀεὶ σὺ τοῖς πλουσίοις κεκόλλησαι· ἀεὶ καὶ σὺ τῷ πένητι κεκόλλησαι. ἀπόστηθι τοῦ προβάτου μου, ἀπόστηθι τῆς ποίμνης μου. εἰ δὲ λυμαίνῃ μου τὴν ποίμνην, ἐγκαλεῖς ὅτι διώκω σε; οὐ διώκω σε· λύκον διώκω. εἰ μὴ εἶ λύκος, οὐ διώκω σε· εἰ δὲ διώκω σε, σαυτὸν αἰτιῶ, ὅτι λύκος ἐγένου.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸ, μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος.

Ἐὰν μὲν ὁ βασιλεὺς κελεύσῃ ἀπέχεσθαι τῶν ἑτέρων χρημάτων, μᾶλλον δὲ καὶ τὰ αὐτῶν δοῦναι, πάντες ἑτοίμως εἰσφέρομεν· τοῦ δὲ Θεοῦ κελεύοντος μὴ ἁρπάζειν, οὐκ ἀνεχόμεθα, ἀλλὰ προτιμῶμεν τοῦ Θεοῦ τοὺς ἀνθρώπους; καὶ πῶς οὐ δεινόν; εἰ γὰρ καὶ ἐξ ἴσου τιμῶντες ἀνθρώπους τῷ Θεῷ, ὑβρίζομεν τὸν Θεόν· πόσῳ μᾶλλον, ὅταν προτιμῶμεν ἀνθρώπους; Βαρὺ τὸ ῥῆμα καὶ ἐπαχθές· οἶδα κἀγώ. ἀλλὰ δείξατε, ὅτι φορτικὸν, φυγόντες τὸ ἔργον· εἰ δὲ τὸ ἔργον οὐ δεδοίκατε, πῶς ὑμῖν πιστεῦσαι δυνάμαι λέγουσιν, ὅτι τὰ ῥήματα δεδοίκαμεν, καὶ βαρεῖς ἡμᾶς ὑμεῖς ἑαυτοὺς τῷ ἔργῳ βαρεῖτε, καὶ οὐδεὶς λόγος· ἐγὼ δὲ ἂν τὰ ῥήματα εἴπω, ὧν ὑμεῖς τὰ πράγματα πράττετε, ἀγανακτεῖτε; καὶ πῶς οὐκ ἄτοπον; γένοιτο ψευδῆ εἶναι τὰ παρ' ἐμοῦ λεγόμενα. βούλομαι αὐτὸς λοιδορίας δόξαν λαβεῖν κατ' ἐκείνην τὴν ἡμέραν, ὡς εἰκῆ καὶ μάτην λοιδορησάμενος ὑμῖν, ἢ ὑμᾶς ἰδεῖν ὑπὲρ τοιούτων ἐγκαλουμένους.

Ἐκ τῆς πρὸς Φιλημ. ἐπισ.

Ὁ γὰρ ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται. καὶ καθάπερ αἱ ὠδίνουσαι γυναῖκες ὑπὸ τῶν ὀδυνῶν διακόπτονται· οὕτω καὶ ὁ δόλον ἐργαζόμενος, πρὶν ἢ τὸν πλησίον ἀδικῆσαι, αὐτὸς διακόπτεται καὶ ὀδυνᾶται· καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς δριμύτητος. κἂν γὰρ μυριάκις πονηρός τις ᾖ, τὸ κριτήριον τοῦ συνειδότος οὐ διαφθείρεται· φρικτὸν γάρ ἐστι καὶ παρὰ τοῦ Θεοῦ ἡμῖν παρὰ τὴν ἀρχὴν ἐντεθέν· κἂν μυρία φιλονεικήσωμεν, ἐφέστηκεν ἐκεῖνο καταβοῶν, κολάζον, καταδικάζον· καὶ οὐκ ἔστιν οὐδεὶς τῶν ἐν κακίᾳ ζώντων, ὃς οὐ μυρίαν ὀδύνην ὑπομένει, καὶ βουλευόμενος τὰ κακὰ, καὶ εἰς ἔργον ἐκφέρων τὴν βουλήν. τί γὰρ τοῦ Ἀχαὰβ πονηρότερον; ἀλλ' ὅμως ἐκεῖνος ἐπιθυμήσας τοῦ ἀμπελῶνος, ἐννόησον πόσην ὀδύνην εἶχε. βασιλεὺς γὰρ ὢν καὶ πάντων κρατῶν, καὶ οὐδένα ἔχων τὸν ἀντιλέγοντα, ἐπειδὴ τοῦ συνειδότος τὴν ψῆφον οὐκ ἤνεγκεν, εἰσῆλθε σκυθρωπάζων, κάτω κύπτων, συγκεχυμένος, πολλὴν ἀχλὺν ἐπὶ τῆς

Ἐκ τῆς ἑρμην. τοῦ ζ. ψαλ.

γ Βασ. κε.

ὄψεως

ὄψεως φέρων, τῆς ἀπὸ τοῦ συνειδότος καταδίκης τοὺς ἐλέγχους ἐπὶ τοῦ προσώπου κηρύττων, καὶ οὐ δυνάμενος συσκιάσαι τὴν ἀπὸ τῆς ἀθυμίας ἐγγενομένην αὐτῷ ὀδύνην.

Ἐκ τῆς πρὸς τοὺς Κορ. α'. ἐπιστ.

Βούλεσθε γνῶναι σαφῶς, πῶς οὐκ ἀφίησιν ἀνθρώπους εἶναι τοὺς ἀνθρώπους ὁ πλοῦτος, ἀλλὰ θηρία καὶ δαίμονας; αὐχμὸς κατέλαβέ ποτε τὴν πόλιν τὴν ἡμετέραν, καὶ ἦν ἰδεῖν χαλκοῦν τὸν οὐρανὸν γεγενημένον, καὶ τὸν θάνατον τὸν ἁπάντων θανάτων χαλεπώτερον καθ' ἑκάστην προσδοκώμενον τὴν ἡμέραν, καὶ Θεὸν παρακαλούμενον λῦσαι τὸ δέος· οὗ τῇ φιλανθρωπίᾳ παρ' ἐλπίδα ἅπασι πολὺς καὶ ἄπειρος ὑετὸς ἄνωθεν κατεφέρετο. πάντων οὖν ἐν πανηγύρει καὶ ἑορτῇ καθεστώτων, ἅτε ἐξ αὐτῶν ἀναβάντων τῶν τοῦ θανάτου πυλῶν, τῶν πλουτούντων τις, στυγνός, κατηφής, ἀποτεθνηκὼς ὑπὸ ἀθυμίας περιῄει· καὶ πολλῶν τὴν αἰτίαν πυνθανομένων, οὐδὲ κατασχεῖν ἔνδον ἴσχυσεν, ἀλλ' ὑπὸ τῆς τυραννίδος τοῦ χαλεποῦ τούτου πάθους κεντούμενος, εἰς μέσον τὴν αἰτίαν ἐξήνεγκε· μυρία γὰρ μέτρα σίτου κεκτημένος, φησίν, οὐκ ἔχω πῶς διαθῶμαι ταῦτα λοιπόν. τί λέγεις; ἀλγεῖς ὅτι μὴ πάντες ἀπώλοντο, ἵνα σὺ συναγάγῃς χρυσίον; οὐκ ἤκουσας τί φησιν ὁ Σολομών·

Παροιμ. ια. κς.

Ὁ τιμιουλκῶν σῖτον δημοκατάρατος; ἀλλὰ περιέρχῃ κοινὸς ἐχθρὸς τῶν τῆς οἰκουμένης ἀγαθῶν, καὶ τῆς τοῦ δεσπότου φιλοτιμίας πολέμιος, καὶ τοῦ μαμμωνᾶ φίλος, μᾶλλον δὲ δοῦλος; οὐ γὰρ ἐκκοπῆναι τὴν γλῶτταν ἐκείνην ἔδει; οὐ γὰρ σβεσθῆναι τὴν καρδίαν τὴν ταῦτα τεκοῦσαν τὰ ῥήματα; τί γὰρ αὐτοῦ ἐλεεινότερον γένοιτ' ἂν τοῦ πλουσίου, τοῦ δι' αὐτὸ τοῦτο ἀλγοῦντος, ὅτι ἄπειρα κέκτηται, καὶ δυσχεραίνοντος ὡς ἀπολωλεκέναι νομίζοντος, καὶ καθ' ἑκάστην ἡμέραν εὐχομένου γενέσθαι λιμόν, ἵνα αὐτῷ χρυσίον προσγένηται;

Ἐκ τῆς ὁμιλ. θ. τῆς εἰς τὴν πρὸς Κορ. α. ἐπιστ.

Πῶς ὑμῖν ὑπογράψω βούλεσθέ τι τοῦ πλεονέκτου πάθη καὶ ἁρπαγάς; τί γὰρ τῶν χειρῶν ἐκείνων μιαρώτερον; τί τῶν ὀφθαλμῶν ἐκείνων ἀναισχυντότερον, ἢ ἀναιδέστερον καὶ κυνικώτερον; οὐ βλέπει τοὺς ἀνθρώπους ἀνθρώπους, οὐδὲ τὸν οὐρανὸν οὐρανόν· ἀλλὰ πάντα χρήματα εἶναι νομίζει. οἱ γὰρ ἀνθρώπων ὀφθαλμοὶ πένητας εἰώθασιν ὁρᾶν καταπεπονημένους, καὶ ἐπικλᾶσθαι· οἱ δὲ ἅρπαγες ὁρῶσι πένητας, καὶ μᾶλλον ἐκθηριοῦνται. οἱ ἀνθρώπων ὀφθαλμοὶ οὐ τῶν ἄλλοις διδομένων ἐφίενται, ἀλλὰ καὶ τὰ αὐτῶν εἰς ἑτέρους κενοῦσιν· οὗτοι δὲ οὐκ ἀνέχονται, εἰ μὴ τὰ πάντων λαβόντες ἰδιοποιήσαιντο. οἱ ἀνθρώπων ὀφθαλμοὶ γυμνὸν ἰδεῖν τὸ σῶμα τοῦ πλησίον οὐκ ἀνέχονται· οὗτοι δὲ εἰ μὴ πάντας γυμνώσαιεν, καὶ τὰ πάντων οἴκοι καταθεῖντο, οὐδέποτε κόρον λαμβάνουσι· μᾶλλον δὲ οὐδὲ τότε ἐμπίπλανται. διόπερ οὐδὲ θηρίων τὰς χεῖρας τὰς τούτων ἄν τις εἶναι φαίη μόνον, ἀλλὰ καὶ τούτων ἀγριωτέρας πολλῷ καὶ χαλεπωτέρας. ἄρκτοι μὲν γὰρ καὶ λύκοι, ἐπειδὰν λάβωσι κόρον τῆς τοιαύτης τροφῆς, ἀφίστανται· οὗτοι δὲ κόρον οὐκ ἔχουσι. καίτοι διὰ τοῦτο χεῖρας ἡμῖν ἐποίησεν ὁ Θεός, ἵνα ἑτέροις βοηθῶμεν, οὐχ ἵνα ἐπιβουλεύωμεν· ἐπεὶ εἰ μέλλοιμεν εἰς τοῦτο αὐταῖς κεχρῆσθαι, βέλτιον αὐτὰς ἐκκοπῆναι, καὶ χωρὶς τούτων εἶναι. ὅταν γὰρ πρόβατον μὲν σπαραττόμενον ὑπὸ θηρίου τις ἰδὼν ἀλγῇ, καὶ τὴν ψυχὴν δάκνηται), εἰς δὲ τὸν ὁμόφυλον τοῦτο αὐτὸς ἐργαζόμενος, οὐ νομίζῃ τι ποιεῖν δεινόν· πῶς ἂν εἴη ἄνθρωπος ὁ τοιοῦτος, ἀλλ' οὐ θηρίον, καὶ τοῦ θηρίου χείρων; τὰ μὲν γὰρ θηρία τῇ φύσει ἐστὶ τοιαῦτα· οἱ δὲ πλεονέκται κατὰ φύσιν τὸ ἥμερον ἔχοντες, παρὰ φύσιν τὸ θηριῶδες ἑαυτοὺς ἐξάγειν βιάζονται. τῶν τοιούτων καὶ τὰ στόματα θηρίων ἐστὶ στόματα· μᾶλλον δὲ καὶ τούτων ἀγριώτερα. καὶ γὰρ ῥήματα φθέγγονται μᾶλλον ἐκείνων τῶν ὀδόντων ἰοὺς ἀφιέντα φόνον ἐργαζόμενα. εἰ δὲ καὶ τὴν διάνοιαν τις ἐξετάσειε τῶν τοιούτων, οὐκ ἔτι θηρία μόνον, ἀλλὰ καὶ δαίμονας αὐτοὺς προσερεῖ. καὶ γὰρ πολλῆς γέμουσι τῆς ἀπωλείας, καὶ τῆς πρὸς τὸν ὁμόφυλον ἔχθρας. οἱ μὲν γὰρ δαίμονες τοὺς ἐπιβουλευομένους ἀνθρώπους συμπράττοντας ἑαυτοῖς ἔχουσιν· ὡς εἰ μὴ συνέπραττον, τὸ πλέον τῆς ἐπιβουλῆς τῆς καθ' ἡμῶν ἐκείνοις ἀνῄρητο· οὗτοι δὲ καὶ φιλονεικούντων αὐτοῖς τῶν ἐπηρεαζομένων κρατεῖν ἐπιχειροῦσι. καὶ οὔτε βασιλείας ἔρως ἐκεῖ, οὔτε γεέννης φόβος, οὐκ αἰδὼς τῶν ἀνθρώπων, οὐκ ἔλεος, οὐ συμπάθεια, ἀλλ' ἀναισχυντία καὶ ἰταμότης καὶ ὑπεροψία τῶν μελλόντων ἁπάντων·

καὶ

καὶ μῦθος αὐτοῖς εἶναι δοκεῖ τὰ τοῦ Θεοῦ ῥήματα.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσ. α. ἐπιστ.

Οὕτως θηρίων χαλεπωτάτων, ὁ μὴ ὑπό τινος ἀδικούμενος αὐτὸς ἄρχει ἀδικίας· μᾶλλον δὲ οὐδὲ θηρίων. ἐκεῖνα γὰρ ἂν ἀφῇς ἐπὶ τῆς ἐρήμου νέμεσθαι, καὶ μὴ στενοχωρήσας εἰς ἀνάγκην καταστήσῃς, οὐδέποτε λυμαίνεται, οὔτε προσελεύσεται, οὔτε δήξεται, ἀλλ' ἀπελεύσεται τὴν οἰκείαν ὁδόν. σὺ δὲ ἄνθρωπος ὢν λογικός, τετιμημένος ἀρχῇ τοσαύτῃ καὶ τιμῇ καὶ δόξῃ, οὐδὲ τὰ θηρία μιμῇ περὶ τοὺς ὁμοφύλους, ἀλλὰ τὸν ἀδελφὸν ἀδικεῖς καὶ κατεσθίεις; καὶ πόθεν ἀπολογήσεσθαι δυνήσῃ; οὐχ ὁρᾷς τὴν μέλισσαν, ἧς τὴν ἐργασίαν βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται, πῶς οὐδὲν αὐτῆς προΐσταται εἰς τὸ μὴ ἀποθανεῖν ποιεῖ κακῶς, ἀλλ' ἐναποθνήσκει τῷ κέντρῳ; διὰ ταύτης παιδεύθητι μὴ λυπεῖν τοὺς πλησίον· αὐτοὶ γὰρ τὸν θάνατον δεχόμεθα πρότεροι. ἐκείνους μὲν γὰρ πρὸς μικρὸν ἴσως ἐλυπήσαμεν, αὐτοὶ δὲ οὐκ ἔτι ζησόμεθα, ὡς οὐδὲ ἐκείνη.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Διὰ τοῦτο χρήματα λέγεται, ἵνα χρώμεθα εἰς δέον, οὐχ ἵνα φυλάττωμεν· τοῦτο γὰρ οὐκ ἔστι κτήσασθαι, ἀλλὰ κτηθῆναι. εἰ γὰρ τοῦτο μέλλοιμεν σκοπεῖν, ὅπως αὐτὰ πολλὰ ποιήσωμεν, οὐχ ὅπως εἰς δέον ἀπολαύσωμεν, ἀνατέτραπται ἡ τάξις, καὶ ἐκεῖνα μᾶλλον ἡμᾶς κέκτηται, οὐχ ἡμεῖς ἐκεῖνα.

Ἐκ τῆς αὐτῆς.

Ὁ γὰρ χρημάτων ἐρῶν, οὐ μόνον τοὺς ἐχθροὺς οὐκ ἀγαπήσει, ἀλλὰ καὶ τοὺς φίλους μισήσει. οὐδὲ γὰρ συγγένειαν οἶδεν ὁ τοιοῦτος, οὐ συνηθείας μέμνηται, οὐχ ἡλικίαν αἰδεῖται, οὐ φίλον ἔχει τινά· ἀλλὰ πρὸς πάντας ἀπεχθῶς διάκειται, καὶ πρὸ τῶν ἄλλων πάντων, πρὸς ἑαυτόν, οὐ τῷ μόνον ἀπολλύναι τὴν ψυχὴν τὴν ἑαυτοῦ, ἀλλὰ καὶ τῷ μυρίαις ἑαυτὸν κατατείνειν φροντίσι.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Καὶ ὁ μὲν χρημάτων καταφρονῶν, ἔστησε τὴν ἐπιθυμίαν· ὁ δὲ πλουτεῖν βουλόμενος καὶ περιβάλλεσθαι, πλεῖον ἀνῆψε μᾶλλον, καὶ οὐδέποτε ἵσταται· ἀλλὰ κἂν μυρία λάβῃ τάλαντα, ἑτέρων τοσούτων ἐπιθυμεῖ· κἂν τούτων ἐπιτύχῃ, πάλιν δὶς τοσούτων ἄλλων ἐφίεται· καὶ προϊών, καὶ τὰ ὄρη καὶ τὴν γῆν καὶ τὴν θάλατταν, καὶ πάντα εὔχεται αὐτῷ γενέσθαι χρυσίον, καινήν τινα μανίαν μαινόμενος καὶ φοβεράν, καὶ οὐδέποτε σβεσθῆναι δυναμένην.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ὅταν γὰρ ἑτέροις τὰ ἑαυτῶν δοῦναι προσταττόμενοι, τὰ ἑτέρων ἁρπάζωμεν, τίς ἄρα ἡμῖν ἔτι σωτηρίας ἐλπίς; Εἰ μὴ πεινῶντα θρέψας, κολάζῃ· εἰ καὶ ἀπέδυσας ἐνδεδυμένον, ποίας τεύξῃ συγγνώμης; Εἰπὲ δή μοι· εἴ τις σε εἰς Περσικὴν ἤγαγε γῆν ὀψόμενον τὰ ἐκεῖ καὶ ἐπανήξοντα, εἶτα ἐκέλευσεν οἰκίας δείμασθαι, ἆρα οὐκ ἂν αὐτοῦ κατέγνως ἄνοιαν τὴν ἐσχάτην, ὡς ἀκαίρως δαπανᾶν κελεύοντος; πῶς οὖν ἐπὶ τῆς γῆς τὸ αὐτὸ τοῦτο ποιεῖς, ἣν μικρὸν ὕστερον ἀπολείψεις; ἀλλὰ τοῖς παιδίοις καταλείψω, φησίν. ἀλλὰ καὶ ἐκεῖνοι μικρὸν ὕστερον καταλείψουσι μετὰ σέ· πολλάκις δὲ καὶ πρὸ σοῦ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ.

Διὰ τοῦτο οὖν πλεονεκτεῖς, καὶ τὰ τῶν ἄλλων ἁρπάζεις, ἵνα σοι ὁ τοῦ ἵππου χαλινὸς ἀλείφηται πολλῷ τῷ χρυσῷ, καὶ ὁ τῆς οἰκίας ὄροφος καὶ αἱ τῶν κιόνων κεφαλαί; καὶ πόσης οὐκ ἂν εἴη ταῦτα γεέννης ἄξια, ὅταν τὸν ἀδελφὸν τὸν οὕτω παρὰ τοῦ δεσπότου σου τιμηθέντα, ἵνα λίθους καλλωπίσῃς καὶ ἔδαφος καὶ σώματα ζώων ἀλόγων οὐδὲ αἰσθανομένων τοῦ κόσμου, εἰς μυρίας ἐμβάλλῃς συμφοράς, καὶ ὁ μὲν κίων ἐν ἐπιμελείᾳ πολλῇ, ὁ δὲ ἄνθρωπος, μᾶλλον δὲ ὁ Χριστὸς διὰ τὸν κίονα, καὶ τὰ εἰρημένα ἅπαντα, εἰς ἔσχατον κατακλείεται λιμόν. κἂν μὲν θρόνον κατασκευάσαι δέῃ, κἂν ὑποπόδιον, πάντα ἀπὸ χρυσοῦ καὶ ἀργύρου κατασκευάζεται· ὁ δὲ τοῦ Χριστοῦ μέλος, καὶ δι' ὃν ἐξ οὐρανοῦ παραγέγονεν, οὐδὲ τῆς ἀναγκαίας ἀπολαύει τροφῆς, ἀλλὰ πάντων σοι γέγονεν ὁ Χριστὸς ἀτιμότερος. καὶ τί τῆς τοιαύτης παρανομίας χαλεπώτερον; πόσοι ποταμοὶ πυρὸς ἀρκέσουσι τῇ τοιαύτῃ ψυχῇ, ὅταν τὰ μὲν ἄλογα ἀγαπᾷ τὰ συγγενῆ, καὶ ἀρκῆται τῇ συγγενείᾳ τῆς φύσεως εἰς τὴν πρὸς ἄλληλα φιλοστοργίαν· σὺ δὲ μετὰ τῆς φύσεως καὶ μυρίας ἔχων ὑποθέσεις φιλίας, ἐκείνων ἀγριώτερος δείκνυσαι;

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Μὴ δὴ ἀμφοτέρωθεν παροξύνωμεν τὸν Θεόν, καὶ συνάγοντες ὅθεν οὐ χρή, καὶ σκορπίζοντες εἰς ἅπερ οὐ δεῖ. πόσης γὰρ οὐκ ἂν ἄξιον εἴη ὀργῆς, ὅταν τῇ πόρνῃ διδῷς, παρατρέχων τὸν πένητα; εἰ γὰρ καὶ ἐκ δικαίων πόνων παρεῖχες, οὐχὶ ἔγκλημα

ἦν

ἣν τὸ πρᾶγμα, μισθὸν κακίας παρέχειν, καὶ ὑπὲρ ὧν κολάζειν ἐχρῆν, ὑπὲρ τούτων τιμᾶν; ὅταν δὲ καὶ ὀρφανοὺς ἀποδύωσι, καὶ χήρας ἀδικῶσι, πρόφασις ἀσελγείας, ἐννόησον ἡλίκον τοῖς τοιαῦτα τολμῶσιν ἔσται τὸ πῦρ. Φοβήθητε ὅσοι τοὺς πένητας ἀδικεῖτε. ἔχετε δύναμιν ὑμεῖς καὶ πλοῦτον καὶ χρήματα καὶ δικαστῶν εὔνοιαν· ἀλλ' ἔχουσιν ἐκεῖνοι πάντων ἰσχυρότερον ὅπλον, τοὺς στεναγμοὺς καὶ τοὺς θρήνους, καὶ αὐτὸ τὸ ἀδικεῖσθαι, ἅπερ τὴν ἐκ τῶν οὐρανῶν ἐπισπᾶται συμμαχίαν. ταῦτα τὰ ὅπλα οἰκίας ὀρύττει, θεμελίους κατασκάπτει, πόλεις ἀνεῖλει, ὁλόκληρα ἔθνη κατεπόντισε. τοσαύτη τῶν ἐπηρεαζομένων παρὰ τῷ Θεῷ ἡ πρόνοια. μέγα γὰρ καὶ ἰσχυρὸν ὅπλον, στεναγμὸς ἀδικουμένων ἀνθρώπων. αἰδεῖται τὴν εὐγνωμοσύνην αὐτῶν ὁ Θεός, ὅταν κακῶς πάσχοντες μηδὲν μὲν πονηρὸν ἐκφέρωσι ῥῆμα, στενάζωσι δὲ μόνον καὶ ἀποδύρωνται τὰ οἰκεῖα κακά· καὶ τοῖς μὲν ἵλεως γίνεται, τιμωρεῖται δὲ τοὺς ἐπηρεάζοντας. φύγωμεν τοίνυν τὸ ἀδικεῖν, ἵν' ἵλεων ἔχωμεν τὸν Θεόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ τῆς ἑρμην. τοῦ ια ψαλ.

Λογ. λ. ΠΕΡΙ ΠΛΟΥΤΟΥ ΚΑΙ ΠΕΝΙΑΣ.

Ἐκ τοῦ δ'. λόγ. τοῦ περὶ εἱμαρμένης.

Ὅταν ἴδῃς πλουτοῦντά τινα παρὰ τὴν ἀξίαν, μὴ μακαρίζῃς, μὴ ζηλωτὸν νομίζῃς, μὴ καταγνῷς τῆς τοῦ Θεοῦ προνοίας, μὴ μάτην φέρεσθαι καὶ εἰκῇ τὰ παρόντα νόμιζε. ἀναμνήσθητι τοῦ Λαζάρου καὶ τοῦ πλουσίου, πῶς ὁ μὲν πρὸς ἄκρον ἐληλάκει εὐπορίας καὶ τρυφῆς, ὠμὸς ὢν καὶ ἀπηνὴς καὶ ἀπάνθρωπος, καὶ κυνῶν ἁπάντων ἀγριώτερος. καίτοι τὸν μὲν τὸν πένητα ἠλέουν, καὶ ἐθεράπευον, οὐκ ὀκνοῦντες τῇ γλώττῃ ἅψασθαι τῶν ἑλκῶν τῶν κατὰ παντὸς τοῦ σώματος· ὁ δὲ οὐδὲ ψιχίων αὐτῷ μετεδίδου. ὁ δὲ πένης ἐκεῖνος, ὁ ὄντως πλούσιος, ὁ ὄντως εὔπορος, εἰς αὐτὸ τὸ τῆς πενίας ἔσχατον κατέπεσε, καὶ αὐτῆς τῆς ἀναγκαίας ἠπόρει τροφῆς, καὶ νόσῳ καὶ λιμῷ διηνεκεῖ προσεπάλαιε· καὶ ὁ μὲν πλείω τῆς χρείας εἶχεν, ὁ δὲ οὐδὲ τῆς συμμετρίας ἀπήλαυεν· ἀλλ' ὅμως οὐκ ἐδυσχέραινεν, οὐ κατηγόρησε τοῦ Θεοῦ, οὐκ ἐμέμψατο τὴν πρόνοιαν. πῶς οὖν οὐκ ἄτοπον, ὅταν αὐτοὶ μὲν τὸν πάσχοντα κακῶς, οὕτω τὸν δεσπότην εὐλογῶσιν ἐν πᾶσι· σὺ δὲ ὁ τῶν παλαισμάτων ἑστηκὼς ἔξω, ὑπὲρ τούτων βλασφημῇς τὸν Θεόν, ὑπὲρ ὧν εὐχαρίστως ἐκεῖνοι φέρουσιν; ὁ μὲν γὰρ πάσχων δεινῶς, κἂν εἴπῃ τι ῥῆμα φορτικὸν καὶ ἐπαχθές, εἰ καὶ μὴ τοσαύτης ὅσης ἕτερος, ἀλλ' ὅμως γε καὶ ἐλάττονος μετέχει συγγνώμης· ὁ δὲ ἔξω τῶν δεινῶν ἑστώς, καὶ ὑπὲρ ἑτέρων τὴν ἑαυτοῦ ψυχὴν ἀπολλύς, ποίας ἂν εἴη συγγνώμης ἄξιος, ὑπὲρ τούτων βλασφημῶν τὸν Θεόν, ὑπὲρ ὧν ὁ παθὼν κακῶς εὐχαριστεῖ, καὶ διὰ παντὸς αὐτὸν ὑμνῶν οὐκ ἀφίσταται;

Ἐκ τοῦ λόγ. τοῦ ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δύναιτο.

Διὰ τί γὰρ ὁ πλοῦτος, ἄνθρωπε, περισπούδαστος εἶναί σοι δοκεῖ; διὰ τὴν ἡδονὴν πάντως τὴν ἀπὸ τῶν τραπεζῶν; διὰ τὴν τιμὴν καὶ δορυφορίαν τὴν ἀπὸ τῶν διὰ τοῦτόν σε θεραπευόντων, διὰ τὸ δύνασθαι τοὺς λυποῦντας ἀμύνασθαι καὶ πᾶσιν εἶναι φοβερόν; οὐδὲ γὰρ ἂν ἑτέρας αἰτίας ἔχοις εἰπεῖν, ἀλλ' ἡδονὴν καὶ κολακείαν, καὶ φόβον καὶ τιμωρίαν. οὔτε γὰρ σοφώτερον, οὔτε σωφρονέστερον ὁ πλοῦτος ποιεῖν εἴωθεν· οὐ χρηστόν, οὐ φιλάνθρωπον, οὐκ ἄλλο τι μέρος τῆς ἀρετῆς εἰς τὴν ψυχὴν εἰσάγει καὶ καταφυτεύει. οὐδ' ἂν ἰσχύσῃς εἰπεῖν ὅτι διὰ τί τούτων περισπούδαστός ἐστί σοι καὶ ποθεινὸς οὗτος· οὐ γὰρ δὴ μόνον οὐδὲν οἶδε τούτων καταφυτεύειν ἢ γεωργεῖν τῶν ἀγαθῶν, ἀλλὰ κἂν ἀποκείμενα εὕρῃ, λυμαίνεται καὶ κωλύει, ἔνια δὲ καὶ ἀνασπᾷ, καὶ τὰ ἐναντία τούτων ἐπεισάγει. ἀλλὰ μὴ εἴπω περὶ τούτων. οἱ γὰρ τῇ νόσῳ ταύτῃ ἑαλωκότες, οὐκ ἂν ἀνάσχοιντο ἀκούειν, τῆς ἡδονῆς ὄντες ὅλοι, καὶ διὰ τοῦτο αὐτὸ γινόμενοι δοῦλοι, κατηγορουμένων αὐτῶν ὁμοῦ καὶ ἐλεγχομένων. διὰ τοῦτο οὖν, εἰπέ μοι, ποθεινὸς ἡμῖν ὁ

πλοῦτος καὶ περιμάχητος εἶναι δοκεῖ, ὅτι τὰ χαλεπώτατα ἐν ὑμῖν τρέφει πάθη· ὀργήν τε εἰς ἔργον διεξάγων, καὶ τῆς δοξομανίας τὰς πομφόλυγας εἰς μείζονα ὄγκον ἐπαίρων, καὶ πρὸς ἀπόνοιαν διεγείρων; διὰ ταῦτα μὲν οὖν μάλιστα ἀμεταστρεπτὶ φεύγειν αὐτὸν χρή, ὅτι θηρία τινὰ ἄγρια καὶ χαλεπὰ εἰς τὴν διάνοιαν εἰσοικίζει τὴν ἡμετέραν, δι' αὐτὸ τὸ μὴ παρὰ πολύ τινι ἀποστερεῖν τιμῆς, τὴν δὲ ἐναντίαν ἐκείνης τοῖς ἐκείνης χρώμασιν ἀναχρωννύς, καὶ οὕτω προσάγων τοῖς ἠπατημένοις, καὶ πείθων ταύτην ἐκείνης εἶναι μείζω, οὐκ οὖσαν μὲν τῇ φύσει, ἀλλὰ τῇ ὄψει μᾶλλον δοκοῦσαν εἶναι. καθάπερ γὰρ τὰ κάλλη τῶν ἑταιριζομένων γυναικῶν ἐπιτρίμμασι καὶ ὑπογραφαῖς συγκείμενα, κάλλους μὲν ἀπεστέρηται, τὴν δὲ αἰσχρὰν ὄψιν καὶ δυσειδῆ καλήν τι καὶ εὐειδῆ παρὰ τοῖς ἠπατημένοις ὑπ' αὐτῶν εἶναι δοκεῖ· οὕτω δὴ καὶ ὁ πλοῦτος ἀτιμίαν τὴν τιμὴν μᾶλλον δείκνυσιν εἶναι. μὴ γάρ μοι τὰς ἐν τῷ φανερῷ διὰ φόβον καὶ θωπείαν γινομένας εὐφημίας ἴδῃς, ἀλλὰ τὸ ἑκάστου συνειδὸς τῶν τὰ τοιαῦτά σε κολακευόντων ἀνάπτυξον, καὶ ὄψει μυρίους ἔνδον καταβοῶντάς σου κατηγόρους, καὶ τῶν μάλιστα ἐχθρῶν καὶ πολεμίων μᾶλλον ἀποστρεφομένους σε καὶ μισοῦντας. καὶ εἴ ποτε τὸ ἐκ τοῦ φόβου τούτου συγκείμενον προσωπεῖον μεταβολὴ πραγμάτων ἐπελθοῦσα ἀφανίσειέ τε καὶ διελέγξειε, καθάπερ τὰς ὄψεις ἐκείνας ἥλιος θερμοτέραν ἀκτῖνα ἀφείς, τότε ὄψει καλῶς, ὅτι παρὰ τὸν ἔμπροσθεν χρόνον ἐν ἐσχάτῃ μὲν ἦς ἀτιμίᾳ παρὰ τοῖς θεραπεύουσι· τιμῆς δὲ ἐνόμιζες ἀπολαύειν ὑπὸ τῶν μάλιστά σε μισούντων, καὶ ἐν ἐσχάταις συμφοραῖς ἐπιθυμούντων ἰδεῖν. Ὅπερ γάρ ἐστιν ἄνθρωπος ζῶον εὐτελές, ἐπίκηρον, ὀλιγοχρόνιον, τοιοῦτον καὶ ὁ πλοῦτος· μᾶλλον δὲ οὐ τοιοῦτον, ἀλλὰ καὶ ἀσθενέστερον. οὐ γὰρ μετὰ τοῦ ἀνθρώπου, ἀλλὰ καὶ πρὸ τοῦ ἀνθρώπου τελευτᾷ πολλάκις· καὶ ἴστε πάντες ὡς μυρία ἐνταῦθα ὑποδείγματα τοῦ ἀώρου πλούτου μεμαθήκατε. καὶ ὁ μὲν κεκτημένος ζῇ, τὸ δὲ κτῆμα ἀπώλετο· καὶ εἴθε ἀπώλετο μόνον, καὶ μὴ καὶ τὸν κεκτημένον συναπόλλυεν. οὐκοῦν οὐκ ἂν ἁμάρτοι τις, τὸν πλοῦτον ἀγνώμονα οἰκέτην καλέσας· οἰκέτην αἱμοβόρον καὶ ἀνδροφόνον· οἰκέτην ἀμοιβὰς ἀποδιδόντα τῷ δεσπότῃ, τὴν σφαγήν· καὶ τὸ δὴ χαλεπώτερον, οὐχ ὅταν αὐτὸν καταλίπῃ, περιβάλλοι κινδύνοις, ἀλλὰ καὶ πρὶν ἢ καταλίπῃ, θορυβεῖ αὐτὸν καὶ ταράττει.

Ἐκ τοῦ λόγου τοῦ εἰς τὸ, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος.

Τίς ἄρα Εὐτροπίου γέγονεν ὑψηλότερος; οὐ πᾶσαν τὴν οἰκουμένην παρῆλθε τῷ πλούτῳ; οὐ πρὸς αὐτὰς τῶν ἀξιωμάτων ἀνέβη τὰς κορυφάς; οὐχὶ πάντες αὐτὸν ἔτρεμον καὶ ἐδεδοίκεισαν; ἀλλ' ἰδοὺ γέγονε καὶ δεσμωτῶν ἀθλιώτερος, καὶ οἰκετῶν ἐλεεινότερος, καὶ τῶν λιμῷ τηκομένων πτωχῶν ἐνδεέστερος, καθ' ἑκάστην ἡμέραν ξίφη βλέπων ἠκονημένα, καὶ βάραθρον, καὶ δημίους, καὶ τὴν ἐπὶ θάνατον ἀπαγωγήν· καὶ οὐδέ, εἴ ποτε γέγονεν ἐπὶ τῆς ἡδονῆς ἐκείνης, οἶδεν, οὐδὲ αὐτῆς αἰσθάνεται τῆς ἀκτῖνος· ἀλλ' ἐν μεσημβρίᾳ μέσῃ, καθάπερ ἐν πυκνοτάτῃ νυκτὶ περιεστοιχισμένος, οὕτω τὰς ὄψεις πεπήρωται. μᾶλλον δὲ ὅσα ἂν φιλονεικήσωμεν, οὐ δυνησόμεθα λόγῳ παραστῆσαι τὸ πάθος, ὅπερ ὑπομένειν αὐτὸν εἰκός, καθ' ἑκάστην ὥραν ἀποτέμνεσθαι προσδοκῶντα. πύξινον γὰρ αὐτοῦ βλέπω τὸ πρόσωπον, καὶ τοῦ νῦν νεκρωθέντος ἅπαξ οὐδὲν ἄμεινον διακείμενον· κτύπος δὲ τῶν ὀδόντων καὶ πάταγος, καὶ τρόμος αὐτῷ τοῦ παντὸς σώματος πρόσεστι, καὶ φωνὴ διακεκομμένη, καὶ γλῶττα διαλυομένη, καὶ σχῆμα τοιοῦτον, οἷον εἰκὸς τὴν λιθίνην ἔχειν ψυχήν. οὐκ ἔλεγόν σοι συνεχῶς, ὅτι δραπέτης ἐστὶν ὁ πλοῦτος, σὺ δὲ ἡμῶν οὐκ ἠνείχου; οὐκ ἔλεγον, ὅτι ἀγνώμων ἐστὶν οἰκέτης, σὺ δὲ οὐκ ἐβούλου πείθεσθαι; ἰδοὺ ἐκ τῶν πραγμάτων ἔδειξεν ἡ πεῖρα, ὅτι οὐ δραπέτης μόνον, οὐδὲ ἀγνώμων, ἀλλὰ καὶ ἀνδροφόνος. οὗτος γάρ σε νῦν τρέμειν καὶ δεδοικέναι παρεσκεύασεν. οὐκ ἔλεγόν σοι, ἡνίκα συνεχῶς ἐπετίμας μοι λέγοντι τἀληθῆ, ὅτι ἐγώ σε φιλῶ μᾶλλον τῶν κολακευόντων; ἐγὼ ὁ ἐλέγχων πλέον κήδομαι τῶν χαριζομένων; οὐ προσετίθην τοῖς ῥήμασι τούτοις, ὅτι ἀξιοπιστότερα τραύματα φίλων ἢ ἑκούσια φιλήματα ἐχθρῶν; εἰ τῶν ἐμῶν ἠνείχου τραυμάτων, οὐκ ἄν σοι τὰ φιλήματα ἐκείνων τὸν θάνατον τοῦτον ἔτεκεν. τὰ γὰρ ἐμὰ τραύματα ὑγίειαν ἐργάζεται· τὰ δὲ ἐκείνων φιλήματα νό-

Ἐκ τοῦ λόγου τοῦ εἰς τὸν ὕπατον Εὐτρόπιον.

σοι αἰτίαν κατεσκεύασε. πόθεν δὴ τοῦτο; ἐκ τοῦ μὴ τὰς μεταβολὰς τῶν ἀνθρωπίνων ἐν-
νοεῖν σε πραγμάτων. εἰ γὰρ ἐδεδοίκεις μεταβολήν, οὐκ ἂν ὑπέμεινας μεταβολήν.
ἀλλ' ἐπείπερ οὔτε οἴκοθεν, οὔτε παρ' ἑτέρων ἐγένου βελτίων, διὰ τοῦτο τὴν πεῖραν τὴν διὰ τῶν
ῥημάτων, διὰ τῶν πραγμάτων ὑπέμεινας.

Ἐκ τοῦ λόγ. τοῦ ὅτε τῆς ἐκκλη. ἔξω εὑρεθεὶς Εὐτρ. ἀπεσπάσθη.

Ἀεὶ λέγω, ὅτι ὁ πλοῦτος τοὺς κακῶς αὐτῷ κε-
χρημένους προδίδωσι, καὶ ἦλθεν ὁ καιρὸς δεῖξαι τῶν πραγμάτων τὴν ἀλήθειαν. τί κατέχεις 5
αὐτὸν ἐν πειρασμῷ σε μὴ ὠφελοῦντα; εἰ ἔχει ἰσχύν, ὅταν ἐμπέσῃς εἰς ἀνάγκην, παρέστω
σοι· εἰ δὲ τότε φεύγει, τί χρείαν αὐτοῦ ἔχεις; Ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι, καίτοι
πολλοὶ ἐγκαλοῦσιν ἡμῖν. ἀεὶ λέγει, κεκόλληται τοῖς πλουσίοις· καὶ γὰρ κἀκεῖνοι ἀεὶ κεκόλληνται τοῖς
πένησιν. ἐγὼ δὲ κεκόλλημαι τοῖς πλουσίοις, μᾶλλον δὲ οὐ τοῖς πλουσίοις, ἀλλὰ τοῖς κακῶς τῷ πλού-
τῳ κεχρημένοις. ἀεὶ λέγω, οὐ τὸν πλούσιον διαβάλλων, ἀλλὰ τὸν ἅρπαγα. ἄλλο πλούσιος, ἄλλο 10
ἅρπαξ. διαίρει τὰ πράγματα, μὴ σύγχεε τὰ ἄμικτα. πλούσιος εἶ; οὐ κωλύω. ἁρ-
πάζεις; κατηγορῶ. ἔχεις τὰ σά; ἀπόλαυε. λαμβάνεις τὰ ἀλλότρια; οὐ σιωπῶ. θέλεις με
λιθάσαι; ἕτοιμός εἰμι καὶ τὸ αἷμά μου ἐκχέειν· μόνον τὴν ἁμαρτίαν σου κωλύσω, ἐμοὶ οὐ μέ-
λει μῖσος, οὐ μέλει πόλεμος· ἑνός μοι μέλει, τῆς προκοπῆς τῶν ἀκουόντων. καὶ γὰρ οἱ πένητες ἐμὰ τέκνα,
καὶ οἱ πλούσιοι ἐμὰ τέκνα· ἡ αὐτὴ γαστὴρ ἀμφοτέρους ὤδινεν, αἱ αὐταὶ ὠδῖνες ἀμφοτέρους ἔτεκον. 15
ὁ βουλόμενος λιθαζέτω, ὁ βουλόμενος μισείτω, ὁ βουλόμενος ἐπιβουλευέτω· ὑποθῆκαί μοι στε-
φάνων αἱ ἐπιβουλαί, καὶ ἀριθμὸς βραβείων τὰ τραύματα. οὐ δέδοικα ἐπιβουλήν· ἓν δέ-
δοικα μόνον, ἁμαρτίαν. μή με τις ἐλέγξει ἁμαρτάνοντα, καὶ ἡ οἰκουμένη πολεμείτω με.

Ἐκ τοῦ αὐτοῦ.

Εἴδετε
τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν; εἴδετε τῆς δυναστείας τὸ ἐπίκηρον; εἴδετε τὸν πλοῦ-
τον, ὃν ἀεὶ δραπέτην ἐκάλουν; οὐ δραπέτην δὲ μόνον, ἀλλὰ καὶ ἀνδροφόνον· οὐ γὰρ καταλιμ- 20
πάνει τοὺς ἔχοντας, ἀλλὰ καὶ κατασφάζει τοὺς ἔχοντας. ὅταν τις αὐτὸν θεραπεύσῃ,

γρ. [illegible]

τότε μάλιστα αὐτὸν προδίδωσι. τί θεραπεύεις πλοῦτον τὸν μηδέποτε καταχεθῆναι δυνάμε-
νον; βούλει αὐτὸν κατασχεῖν; μὴ κατορύξῃς αὐτόν, ἀλλὰ δὸς εἰς τὰς χεῖρας τῶν πενήτων. θηρίον
ἐστὶν ὁ πλοῦτος, ἐὰν κατέχηται, φεύγει· ἐὰν σκορπίζηται, μένει. σκόρπισον, ἵνα μείνῃ· μὴ κα-
τορύξῃς, ἵνα μὴ φύγῃ. ποῦ ὁ πλοῦτος, ἡδέως ἂν ἐροίμην τοὺς ἀπελθόντας, ποῦ ὁ πλοῦτος; 25
ταῦτα δὲ λέγω οὐκ ὀνειδίζων, μὴ γένοιτο· οὐδὲ ἀναξαίνων τὰ ἕλκη· ἀλλὰ τὰ ἑτέρων ναυά-
για ὑμῖν λιμένα κατασκευάζων.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς ἀνδριάντας.

Καὶ γὰρ ὁ σήμερον πλούσιος, αὔριον πένης. διὸ καὶ
πολλάκις ἐγέλασα διαθήκας ἀναγινώσκων λεγούσας· ὁ δεῖνα μὲν ἐχέτω τὴν δεσποτείαν
τῶν ἀγρῶν, ἢ τῆς οἰκίας, τὴν δὲ χρῆσιν ἄλλος· πάντες γὰρ τὴν χρῆσιν ἔχομεν, δεσπο-
τείαν δὲ οὐδείς. καὶ γὰρ παρὰ πᾶσαν ἡμῖν τὴν ζωὴν παραμείνῃ μηδεμίαν μεταβολὴν 30

γρ. ἡμῖν

ὁ πλοῦτος δεχόμενος, καὶ ἑκόντες καὶ ἄκοντες ἐν τῇ τελευτῇ παραχωρήσομεν αὐτὸν ἑτέροις,
τὴν χρῆσιν μὲν καρπωσάμενοι καὶ μόνον, τὴν δεσποτείαν δὲ οὔ· ἀλλὰ γυμνοὶ καὶ ἔρημοι πρὸς

γρ. τὴν δεσποτείαν

ἐκείνην ἀποδημοῦντες τὴν ζωήν. ὅθεν δῆλον, ὅτι ἐκεῖνοι δεσποτείαν ἔχουσιν, οἱ καὶ τῆς
χρήσεως αὐτοῦ καταφρονήσαντες, καὶ τῆς ἀπολαύσεως καταγελάσαντες. ὁ γὰρ τὰ ὄντα
ῥίψας καὶ τοῖς πένησιν αὐτὰ διαδούς, ἐχρήσατο εἰς δέον τοῖς οὖσι, καὶ τὴν δεσποτείαν αὐτῶν ἔχων 35
ἀπῆλθεν. ὥστε εἴ τις θέλοι καὶ τὴν κτῆσιν αὐτῶν, καὶ τὴν χρῆσιν, καὶ τὴν δεσποτείαν ἔχειν, ἀπαλ-
λαττέσθω τῶν ὄντων ἁπάντων· ὡς ἐάν γε μὴ τοῦτο ποιῇ, τῇ τελευτῇ μὲν αὐτῶν ἀποστήσεται
πάντως· πολλάκις δὲ καὶ πρὸ τῆς τελευτῆς μετὰ μυρίων αὐτὰ δεινῶν ἀποβαλεῖται καὶ κινδύ-
νων. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινόν, ὅτι μεταβολὴ γίνεται, καὶ ἀθρόως, ἀλλ' ὅτι καὶ ἀμελετήτως

γρ. [illegible]

Ἐκ τοῦ γ. λόγ. τοῦ εἰς τὸν πλούσιον καὶ τὸν Λάζ.

ἔρχεται ὁ πλούσιος πρὸς τὴν τῆς πενίας ὑπομονήν. Τίνος οὖν ἕνεκεν τὸν πλοῦτον ζη- 40

[illegible]

λωτὸν εἶναι νομίζεις, καὶ τοὺς αὐτὸν κεκτημένους μακαρίζεις καὶ ζηλοῖς; τίνι γὰρ διαφέρει ὁ
πλούσιος τοῦ πένητος; οὐχ ἓν σῶμα περιβάλλει; οὐ μίαν τρέφει γαστέρα; διὰ τί δὲ καὶ πολ-
λοὺς ἔχεις οἰκέτας; ὥσπερ γὰρ ἐν ἱματίοις τὴν χρείαν διώκειν δεῖ μόνον, καὶ ἐν τραπέζῃ,
οὕτω καὶ ἐν οἰκέταις. καὶ γὰρ ἐνὶ τὸν ἕνα χρῆσθαι δεσπότην οἰκέτῃ μόνῳ ἐχρῆν· μᾶλλον δὲ καὶ
δύο

δύο καὶ τρεῖς δεσπότας ἑνὶ οἰκέτῃ. Εἰ δὲ βαρὺ τοῦτο, ἐννόησον τοὺς οὐδένα ἔχοντας, καὶ εὐκολωτέρας ἀπολαύοντας θεραπείας. Διὰ γὰρ τοῦτο καὶ χεῖρας ἡμῖν ἔδωκεν ὁ Θεός, καὶ πόδας, ἵνα μὴ δεώμεθα οἰκετῶν. Οὐδὲ γὰρ χρείας ἕνεκεν τὸ τῶν οἰκετῶν ἐπεισήχθη γένος, ἐπεὶ μετὰ τοῦ Ἀδὰμ ἐπλάσθη ἂν καὶ δοῦλος· ἀλλὰ τῆς ἁμαρτίας, καὶ τῆς παρακοῆς ἐστὶ τὸ ἐπιτίμιον καὶ ἡ
5 κόλασις. εἰ δὲ καὶ ἀναγκαῖον τὸ δούλους ἔχειν, ἕνα που μόνον ἔχειν, ἢ τὸ πολὺ, δεύτερον. τί γάρ σοι βούλεται τὰ πλήθη τῶν οἰκετῶν, καὶ τὸ σοβεῖν ἐπὶ τῆς ἀγορᾶς; μὴ γὰρ μεταξὺ θηρίων περιπατεῖς, ὅτι ἀπελαύνεις τοὺς ἐντυγχάνοντας; μὴ φοβηθῇς· οὐδεὶς δάκνει τῶν παριόντων, καὶ πλησίον σοι βαδιζόντων. ἀλλὰ γὰρ ὕβριν ἡγῇ τὸ μετὰ πάντων συμβαδίζειν; καὶ πόσης τοῦτο μανίας, τὸ μὲν ἵππους πλησίον ἑπομένους μὴ νομίζειν φέρειν ὕβριν, ἀνθρώπους δὲ, εἰ μὴ ἀπὸ μυρίων ἐλαύ-
10 νοιντο σταδίων, καταισχύνειν ἡγεῖσθαι; τί δὲ ταύτης χεῖρον τῆς ἀλογίας, ἀνθρώπους ἐλαύνειν καὶ διώκειν, ἵνα τὸ κτῆνος μετ' εὐρυχωρίας παρέλθῃ; Τοσαύτη γὰρ τῆς πρὸς ἀλλήλους ἡμῶν χρείας ἀνάγκη οἰκονομικῶς παρὰ τοῦ Θεοῦ κατεσκεύασται, ὅτι κἂν πάντων ἀνθρώπων πλουσιώτερος ᾖ τις, οὐδὲ οὕτω ταύτης ἀπήλλακται τῆς συναφείας, καὶ οὐ δεῖται τοῦ καταδεεστέρου. οὐ γὰρ δὴ τῶν πλουσίων οἱ πένητες δέονται μόνον, ἀλλὰ καὶ οἱ πλούσιοι τῶν πενήτων, καὶ οὗτοι μᾶλλον ἐκείνων, ἢ ἐκεῖ-
15 νοι τούτων. καὶ ἵνα τοῦτο σαφέστερον ἴδῃς, ποιήσωμεν, εἰ δοκεῖ, δύο πόλεις, τὴν μὲν πλουσίων μόνων, τὴν δὲ πενήτων· καὶ μήτε ἐν τῇ τῶν πλουτούντων ἔστω τις πένης, μήτε ἐν τῇ τῶν πενήτων ἔστω τις πλούσιος ἀνήρ· καὶ ἴδωμεν ποία μᾶλλον ἀρκέσαι ἑαυτῇ δυνήσεται. Οὐκοῦν ἐν μὲν ἐκείνῃ τῇ τῶν εὐπόρων οὐδεὶς ἔσται δημιουργός, οὐκ οἰκοδόμος, οὐ τέκτων, οὐχ ὑποδηματορράφος, οὐκ ἀρτοποιός, οὐ γεωργός, οὐ χαλκοτύπος, οὐ σχοινοστρόφος, οὐκ ἄλλο τῶν τοιούτων
20 οὐδέν. τίς γὰρ ἂν ἕλοιτο τῶν πλουτούντων ταῦτα μετιέναι ποτὲ, ὅπου γε καὶ αὐτοὶ οἱ ταῦτα μεταχειρίζοντες, ὅταν εὐπορήσωσιν, οὐκ ἀνέχονται τῆς ἀπὸ τῶν ἔργων τούτων ταλαιπωρίας; πῶς οὖν ἡ πόλις στήσεται ἡμῖν αὕτη; διδόντες, φησὶν, ἀργύριον οἱ πλουτοῦντες, ταῦτα ὠνήσονται παρὰ τῶν πενήτων. πῶς δὲ οἰκίας οἰκοδομήσονται; ἢ καὶ τοῦτο ὠνήσονται; ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο φύσιν. οὐκοῦν ἀνάγκη τοὺς τεχνίτας ἐκεῖ καλεῖν, καὶ διαφθείρειν τὸν νόμον, ὃν ἐθή-
25 καμεν ἐξ ἀρχῆς τὴν πόλιν οἰκίζοντες. ἴδωμεν οὖν καὶ τὴν τῶν πενήτων πόλιν, εἰ καὶ αὕτη ὁμοίως ἐνδεῶς διακείσεται τῶν πλουτούντων ἐστερημένη, πρότερον διακαθάραντες τῷ λόγῳ τὸν πλοῦτον, οἷον χρυσὸν, ἄργυρον, λίθους τιμίους, καὶ ἱμάτια σηρικὰ, καὶ ἁλουργὰ, καὶ διάχρυσα· καὶ τοῦτο ἐκεῖθεν ἀπελάσαντες. τί οὖν; παρὰ τοῦτο ἐνδεῶς ζήσει τὰ τῆς πόλεως ταύτης, εἰπέ μοι; οὐδαμῶς· ἄν τε γὰρ οἰκοδομεῖν δέῃ, ἄν τε σίδηρον χαλκεύειν, ἄν τε ἱμάτιον
30 ὑφαίνειν, οὐ χρυσοῦ καὶ ἀργύρου δεῖ καὶ μαργαριτῶν, ἀλλὰ τέχνης καὶ χειρῶν. τί δὲ ἂν γεωργεῖν δέῃ καὶ σκάπτειν τὴν γῆν; πλουτούντων, ἢ πενομένων χρεία; παντί που δῆλον ὅτι πενήτων. ποῦ οὖν δεησόμεθα τῶν πλουτούντων λοιπὸν, πλὴν εἰ μὴ καθελεῖν δέοι τὴν πόλιν ταύτην; Ὅταν οὖν ἴδῃς τινὰ λάμποντα ἔξωθεν ἀπὸ τῶν ἱματίων καὶ τῆς πολλῆς δορυφορίας, ἀνάπτυξον αὐτοῦ τὸ συνειδὸς, καὶ πολλὴν εὑρήσεις τὴν κόνιν. ἐννόησον τὸν Παῦλον, τὸν Πέτρον· ἐννόησον τὸν Ἰωάννην, τὸν
35 Ἠλίαν, μᾶλλον δὲ αὐτὸν τὸν τοῦ Θεοῦ υἱὸν, τὸν οὐκ ἔχοντα ποῦ τὴν κεφαλὴν κλῖναι. ἐκείνου γενοῦ ζηλωτὴς, καὶ τῶν ἐκείνου δούλων, καὶ τὸν ἄφατον τοῦτον φαντάζου πλοῦτον. Εἰ δὲ μικρὸν διαβλέψας, ὑπὸ τούτου σκοτισθεὶς πάλιν, καθάπερ ἔν τινι ναυαγίῳ καταιγίδος ἐπελθούσης, ἄκουσον τῆς ἀποφάσεως τοῦ Χριστοῦ λεγούσης, Ὅτι ἀδύνατον πλούσιον εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ πρὸς τὴν ἀπόφασιν ταύτην θὲς τὰ ὄρη καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα (εἰ
40 βούλει) τῷ λόγῳ ποίησον εἶναι χρυσὸν, καὶ οὐδὲν ὄψει ἴσον τῆς ζημίας τῆς ἐκεῖθεν σοι γινομένης. εἰ γὰρ τῶν πλουτούντων ὑμῶν ἕκαστος ὁλόκληρον ἐκέκτητο κόσμον, καὶ ἕκαστος αὐτῶν τοσούτους εἶχεν ἀνθρώπους, ὅσοι νῦν εἰσι πανταχοῦ γῆς καὶ θαλάσσης καὶ οἰκουμένης· καὶ ἕκαστος γῆν καὶ θάλατταν καὶ τὰ πανταχοῦ οἰκοδομήματα καὶ πόλεις καὶ ἔθνη ἐκέκτητο, καὶ πανταχόθεν ἀντὶ ὕδατος, ἀντὶ πηγῶν αὐτῷ τὸ χρυσίον ἐπέρρει, τριῶν ὀβολῶν οὐκ ἂν ἔφην ἀξίους εἶναι τοὺς

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Κορ. ὄπις.

Ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθ. εὐαγγ.

Ματθ. ιθ. κγ.

οὕτω πλουτοῦντας, καὶ τῆς βασιλείας ἐκπεσόντας. εἰ γὰρ νῦν χρημάτων τῶν ἀπολλυμένων ἐφιέμενοι, ὅταν μὴ ἐπιτύχωσι, βασανίζονται, εἰ λάβοιεν αἴσθησιν τῶν ἀγαθῶν ἐκείνων, τί λοιπὸν ἀρκέσει εἰς παραμυθίαν αὐτοῖς;

Ἐκ τοῦ λόγ. τοῦ περὶ τελείας ἀγάπης.

Εἰπὲ δή μοι, εἴ τις σε εἰς βασίλεια εἰσήγαγε, καὶ παρόντων πάντων διαλεχθῆναί σοι τὸν βασιλέα παρεσκεύασε, καὶ ὁμοτράπεζον αὐτῷ καὶ ὁμοδίαιτον ἐποίησεν, οὐ πάντων ἂν ἔφης σαυτὸν εἶναι μακαριώτερον; εἰς δὲ τὸν οὐρανὸν ἀναβῆναι μέλλων, καὶ παρ' αὐτὸν ἑστάναι τὸν βασιλέα τῶν ὅλων, καὶ τοῖς ἀγγέλοις ἀντιλάμπειν, καὶ τῆς ἀπορρήτου δόξης ἀπολαύειν ἐκείνης, ἀμφιβάλλεις εἰ δέοι προέσθαι χρήματα; δέον, εἰ καὶ τὴν ζωὴν αὐτὴν ἀποδύσασθαι ἔδει, σκιρτᾶν καὶ ἀγάλλεσθαι καὶ πτεροῦσθαι ὑπὸ τῆς ἡδονῆς. σὺ δὲ, ἵνα μὲν ἀρχὴν λάβῃς τὴν παρέχουσάν σοι κλοπῶν ἀφορμὰς (οὐ γὰρ κέρδος ἐγὼ τὸ τοιοῦτον καλῶ) καὶ τὰ ὄντα ἐκβάλλεις, καὶ τὰ ἑτέρων δανεισάμενος, εἰ δέοι καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα ὑποθέσθαι, οὐ κατοκνεῖς· τῆς δὲ βασιλείας τῶν οὐρανῶν προκειμένης, τῆς οὐδένα διάδοχον ἐχούσης ἀρχῆς, ὀκνεῖς καὶ ἀναδύῃ, καὶ πρὸς χρήματα κέχηνας; ἀλλ' οἴμοι τῆς πολλῆς ἀναισθησίας, ὅτι τοιούτων προσδοκωμένων ἀγαθῶν, ἔτι πρὸς τὰ παρόντα κεχήναμεν, καὶ οὐκ ἐννοοῦμεν τοῦ διαβόλου τὴν κακουργίαν, ὃς διὰ τῶν μικρῶν τὰ μεγάλα ἡμᾶς ἀφαιρεῖται· καὶ δίδωσι πηλὸν, ἵνα ἁρπάσῃ οὐρανόν· καὶ δείκνυσι σκιὰν, ἵνα ἐκβάλῃ τῆς ἀληθείας· καὶ ἐν ὀνείροις φαντάζει (τοῦτο γὰρ ὁ παρὼν πλοῦτος) ἵνα, ἡμέρας γενομένης, δείξῃ πάντων πενεστέρους.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. ἐπιστ.

Τίς γὰρ οὕτω πολέμιος διηνεκὴς καὶ ἀκόρεστος καθέστηκεν, ὡς ὁ πλοῦτος; ζώντων μὲν ἡμῶν καὶ τὴν ψυχὴν ἀπολλύει, τελευτώντων δὲ καὶ τὸ σῶμα ἐνυβρίζων, ὡς οὐδὲ τῇ γῇ κρύπτεσθαι συγχωρῶν, ὃ κοινὸν καὶ τῶν καταδίκων ἐστίν. ἐκείνους μὲν γὰρ τοῦ θανάτου τὴν δίκην ἀπαιτήσαντες οἱ νομοθέται, οὐδὲν περαιτέρω προσεργάζονται· τοὺς δὲ κεκτημένους αὐτὸν ὁ πλοῦτος καὶ μετὰ θάνατον πικροτάτην ἀπαιτεῖ δίκην, γυμνοὺς προτιθεὶς καὶ ἀτάφους· θέαμα δεινὸν καὶ ἐλεεινόν. καὶ γὰρ τῶν ἀπὸ ψήφου τῶν παρόντων καὶ θυμοῦ δικαστικοῦ, χαλεπώτερα οὗτοι πάσχουσιν. ἐκεῖνοι μὲν γὰρ τὴν πρώτην ἡμέραν καὶ δευτέραν μείναντες ἄταφοι, τῇ γῇ παραδίδονται· οὗτοι δὲ ὅταν παραδοθῶσι τῇ γῇ, τότε παρὰ τῶν τυμβωρύχων γυμνοῦνται καὶ καθυβρίζονται. εἰ δὲ μὴ καὶ τὴν θήκην λαβόντες ἀπέρχονται, οὐκ ἔτι τῷ πλούτῳ χάρις, ἀλλὰ τῇ πενίᾳ κἂν ταῦτα· ὡς εἴ γε καὶ ταύτην ἐνεχειρίσαμεν τῷ πλούτῳ, καὶ ἀφέντες ἀπὸ λίθου κατασκευάζειν αὐτὴν ἐχαλκεύσαμεν ἀπὸ χρυσοῦ, καὶ ταύτην ἂν ἀπωλέσαμεν. τί τοίνυν ἀθλιώτερον τοῦ πλουτοῦντος γένοιτ' ἂν, ὅταν μηδὲ θάνατος αὐτῷ παρέχῃ τὴν ἄδειαν, ἀλλὰ τὸ δείλαιον σῶμα ἐκείνου οὐδὲ τῆς ζωῆς ἀποστερηθὲν ἀπήλλακται τῶν ἐν τῇ ζωῇ κακῶν, ληστευόμενον καὶ συλούμενον διὰ τὸν τῆς φιλοχρηματίας ἔρωτα, ὑπὸ κακούργων καὶ τυμβωρύχων, τῶν πρὸς τὴν κόνιν καὶ τέφραν ἐπειγομένων πολεμεῖν, καὶ πολλῷ χαλεπώτεροι, ἢ ἡνίκα ἔζη; τότε μὲν γὰρ εἰς ταμιεῖον εἰσιόντες, καὶ κιβώτια μὲν ἐκένουν, τοῦ σώματος δὲ ἀπείχοντο, καὶ οὐκ ἂν τοσαῦτα ἔλαβον, ὡς καὶ αὐτὸ γυμνῶσαι τὸ σῶμα· νυνὶ δὲ οὐδὲ τούτου ἀπέχονται, ἀλλὰ κινοῦσιν αὐτὸ καὶ περιστρέφουσι, καὶ μετὰ πολλῆς ὠμότητος ἐνυβρίζουσι. μετὰ γὰρ τὸ παραδοθῆναι τῇ γῇ, γυμνὸν καὶ τῆς ἐκεῖθεν περιβολῆς, καὶ τῆς ἀπὸ τῶν ἱματίων ποιήσαντες, οὕτως ἀφιᾶσιν ἐρρῖφθαι ἐν ἐρημίᾳ πολλῇ. καὶ ἡ μὲν φύσις καὶ τοὺς ἐχθροὺς αὐτῷ καταλλάττει τότε· ὁ δὲ πλοῦτος καὶ τοὺς οὐδὲν ἔχοντας ἐγκαλεῖν ἐκπολεμοῖ, καὶ οὕτως ἐκθηριοῖ καὶ κατεξανίστησι τὴν κατὰ τοῦ νεκροῦ καὶ ἀκινήτου τῶν ἀνθρώπων μανίαν, ὡς οὐδὲ ἂν αὐτῶν τῶν σαρκῶν ἀπέσχοντο, εἴγε που χρήσιμα ἦν αὐτοῖς καὶ τὰ μέλη.

Ἐκ τῶν ἀνδριάντ.

Μὴ τοίνυν μέγα νομίζωμεν ἀγαθὸν εἶναι τὸν πλοῦτον. μέγα γὰρ ἀγαθὸν, οὐ τὸ κεκτῆσθαι χρήματα, ἀλλὰ τὸ κεκτῆσθαι φόβον Θεοῦ. ἰδοὺ νῦν, εἴ τις ἦν δίκαιος καὶ πολλὴν παρρησίαν ἔχων πρὸς τὸν Θεὸν, εἰ καὶ πάντων πενέστερος ἦν, ἤρκει λῦσαι τὰ παρόντα δεινά· ἤρκει γὰρ μόνον τὰς χεῖρας ἐκτεῖναι εἰς τὸν οὐρανὸν, καὶ καλέσαι τὸν Θεὸν, καὶ τὸ νέφος τοῦτο παρῆλθεν ἄν. χρυσίον δὲ τοσοῦτον ἀπόκειται,

καὶ πηλοῦ πλοῦτός ἐστιν ἀχρηστότερον πρὸς τὴν λύσιν τῶν ἐπικειμένων κακῶν· οὐκ ἐν τούτῳ
δὲ μόνῳ τῷ κινδύνῳ, ἀλλὰ κἂν νόσος καταλάβῃ, κἂν θάνατος, κἂν ἄλλο τι τῶν τοιούτων, ἐ-
λέγχεται τῶν χρημάτων ἡ δύναμις, μηδεμίαν ἔχουσα παραμυθίαν τοῖς συμβαίνουσιν οἴ-
κοθεν ἐπιδεῖξαι. Ποῦ νῦν οἱ πλουτοῦντες, οἱ τόκους ἀριθμοῦντες, καὶ τόκους τόκων,
5 οἱ τὰ πάντων λαμβάνοντες, καὶ οὐδέποτε κορεννύμενοι; ἠκούσατε τῆς Πέτρου φωνῆς τῆς ἐ-
πιδεικνυμένης πενίαν πλούτου μητέρα; τῆς οὐδὲν ἐχούσης, καὶ τῶν τὰ διαδήματα περικει-
μένων εὐπορωτέρας; αὕτη [μὲν] γὰρ ἡ μηδὲν ἔχουσα, καὶ νεκροὺς ἀνίστα, καὶ χωλοὺς διώρθου, καὶ
δαίμονας ἤλαυνε, καὶ τοιαῦτα εἰργάζετο, ἅπερ οἱ τὴν ἁλουργίδα περιβεβλημένοι, καὶ τὰ με-
γάλα καὶ φοβερὰ στρατόπεδα ἄγοντες, οὐδέποτε ἴσχυσαν. τί τοίνυν φησίν; Ἀργύριον καὶ χρυ-
10 σίον οὐχ ὑπάρχει μοι. τί ταύτης σεμνότερον τῆς φωνῆς; τί μακαριώτερον καὶ εὐπορώτε-
ρον; ἕτεροι μὲν γὰρ ἐπὶ τοῖς ἐναντίοις ἐναβρύνονται λέγοντες· ἔχω τόσα καὶ τόσα χρυσίου τά-
λαντα, καὶ πλέθρα γῆς ἄπειρα, καὶ οἰκίας καὶ ἀνδράποδα· οὗτος δὲ ἐπὶ τῷ πάντων εἶναι γυμνός,
καὶ οὐ καταδύεται τῇ πενίᾳ, οὐδὲ ἐγκαλύπτεται, ἀλλὰ καὶ ἐγκαλλωπίζεται· οὕτως ἐστὶ μηδὲν
ἔχοντα τὰ πάντων κατέχειν· οὕτως ἐστὶ τὰ πάντων κεκτῆσθαι. ἂν δὲ κτησώμεθα τὰ πάντα, τῶν
15 πάντων ἀπεστερήμεθα. ὁ κοινὰ τοίνυν τὰ ὑπάρχοντα, καὶ οὐκ ἴδια λογιζόμενος, οὐ τοῖς αὐ-
τοῦ μόνον, ἀλλὰ καὶ τοῖς ἑτέρων χρήσεται ὡς ἰδίοις· ὁ δὲ ἀποκλείων καὶ ποιῶν ἑαυτὸν κύριον τῶν
αὐτοῦ μόνων, οὐδὲ τούτων ἔσται κύριος. ὁ γοῦν μηδὲν ὅλως κεκτημένος, μήτε οἰκίαν, μήτε τρά-
πεζαν, μήτε περιττὸν ἱμάτιον, ἀλλὰ διὰ τὸν Θεὸν πάντων ἀπεστερημένος, ὡς ἰδίοις κέχρηται
τοῖς κοινοῖς, καὶ παρὰ πάντων, ἅπερ ἂν θέλῃ, λήψεται, καὶ οὕτω τὰ πάντων ὁ μηδὲν ἔχων κατέχει·
20 ὁ δὲ ἔχων τινά, οὐδὲ τούτων ἔσται κύριος· ὑπὸ γὰρ δώσει τις τῶν κεκτημένων, καὶ λῃστῶν, καὶ κλε-
πτῶν, καὶ συκοφαντῶν, καὶ μεταβολῆς πραγμάτων, καὶ πάντων μᾶλλον ἔσται, ἢ ἐκείνου τὰ
ἐκείνου. καί, εἰ βούλει, ἴδωμεν τὸν ταῦτα εἰρηκότα καὶ πεπραχότα, τὸν σκηνοποιόν, τὸν Κί-
λικα, τὸν οὐδέ τινος οὔτε πατρίδος δῆλον, παραγάγωμεν εἰς μέσον. οὗτος γοῦν τὴν ἅπασαν
διέδραμεν οἰκουμένην ἐν λιμῷ καὶ δίψῃ καὶ γυμνότητι, οὐδὲν ὅλως ἐπιφερόμενος, οὐ πρὸς
25 φίλους ἀπιών, οὐ πρὸς συνήθεις (καὶ γὰρ κοινὸς ἐν ἀρχῇ πολέμιος πᾶσιν ἦν) ἀλλ' ὅμως τὰ πάντων
εἶχε μετὰ τὸ εἰσελθεῖν. ὁ δὲ Ἀνανίας καὶ ἡ Σάπφειρα, ἵνα μικρά τι τῶν ἰδίων κτήσωνται, πάντων
ἐξέπεσον μετὰ καὶ αὐτῆς τῆς ζωῆς. ἀπόστηθι τοίνυν τῶν σῶν, ἵνα ὡς ἰδίοις χρήσῃ τοῖς ἀλλοτρίοις.
Ὥσπερ γὰρ ὁ πονηρὰ συνειδὼς ἑαυτῷ, κἂν τὰ πάντων περιβέβληται χρήματα, πάντων ἐστὶν
ἀθλιώτερος· οὕτω καὶ ὁ τὸ συνειδὸς κεκαθαρμένον ἔχων, κἂν ῥάκια περιβεβλημένος ᾖ, καὶ λιμῷ
30 παλαίων, τῶν σφόδρα τρυφώντων ἐστὶν εὐθυμότερος. Διὰ τοῦτο χρήματα ἔχεις, ἵνα λύ-
σῃς πενίαν, οὐχ ἵνα πραγματεύσῃ πενίαν· σὺ δὲ ἐν προσχήματι παραμυθίας μείζο-
να ἐργάζῃ τὴν συμφοράν, καὶ πωλεῖς φιλανθρωπίαν χρημάτων; πώλησον, οὐ κωλύω,
ἀλλὰ βασιλείας οὐρανῶν. μὴ μικρὰν λάβῃς τιμὴν τοῦ τοσούτου κατορθώματος τόκον ἑκα-
τοσταῖον, ἀλλὰ τὴν ἀθάνατον ζωὴν ἐκείνην. τί πτωχὸς εἶ καὶ πένης καὶ μικρολόγος, ὀλίγου
35 τὰ μεγάλα πωλῶν, χρημάτων ἀπολλυμένων; τί τὸν Θεὸν ἀφείς, ἀνθρώπινα κερδαίνεις
κέρδη; τί τὸν πλουτοῦντα παραδραμών, τὸν οὐκ ἔχοντα ἐνοχλεῖς· καὶ τὸν ἀποδιδόντα κα-
ταλιπών, τῷ ἀγνωμονοῦντι συμβάλλεις; ἐκεῖνος ἀποδοῦναι ἐπιθυμεῖ, οὗτος δὲ καὶ δυσχεραί-
νει ἀποδιδούς· οὗτος μόλις τὴν ἑκατοστὴν ἀποδίδωσιν, ἐκεῖνος δὲ ἑκατονταπλασίονα, καὶ ζωὴν
αἰώνιον· οὗτος μετὰ ὕβρεων καὶ λοιδοριῶν, ἐκεῖνος μετὰ ἐπαίνων καὶ εὐφημίας· οὗτος σοι βασκανίαν
40 ἐγείρει, ἐκεῖνος δὲ καὶ στεφάνους σοι πλέκει· οὗτος μόλις ἐνταῦθα, ἐκεῖνος δὲ καὶ ἐκεῖ καὶ ἐνταῦ-
θα. ἆρ' οὖν οὐκ ἐσχάτης τοῦτο ἀνοίας, τὸ μηδὲ εἰδέναι κερδαίνειν; Τὰ χρήματα δεῖ κε-
κτῆσθαι ἐν τάξει δεσποτῶν, καὶ μὴ δούλων, ὥστε κρατεῖν αὐτῶν, καὶ μὴ κρατεῖσθαι παρ' αὐτῶν.
χρήματα γὰρ διὰ τοῦτο εἴρηται, ἵν' εἰς τὰς ἀναγκαίας αὐτοῖς χρώμεθα διακονίας, οὐχ
ἵνα εἰς φυλακὴν ἀποθώμεθα. δούλου γὰρ τὸ τηρεῖν· τὸ δὲ ἀναλίσκειν, τοῦ κυρίου, καὶ πολλὴν

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β' ἐπισ.

Πράξ. γ. ς.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ρωμ. ἐπισ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

ἔχοντος τὴν ἐξουσίαν. Ὥστε οὐδὲν ἀφρονέστερον τοῦ χρημάτων δούλου. δοκεῖ κρατεῖν κρα-
τούμενος· δοκεῖ κύριος εἶναι, δοῦλος ὤν· καὶ δεσμὰ περιτιθεὶς ἑαυτῷ, ὡς πάντων κρατῶν ἀ-
γάλλεται· καὶ χαλεπώτερον τὸ θηρίον καθ' ἑαυτοῦ ἐργαζόμενος, εὐφραίνεται καὶ πηδᾷ, αἰχμά-
λωτος γινόμενος· καὶ ὁρῶν κύνα λυττῶντα καὶ ἐφαλλόμενον αὐτοῦ τῇ ψυχῇ, δέον δῆσαι καὶ
λιμῷ τῆξαι, ἄφθονον αὐτῷ παρέχει τὴν τροφήν, ἵνα μειζόνως ἐφάλληται καὶ φοβερώτερος ᾖ. 5

Μὴ τοίνυν ἀπὸ τοῦ πολλὰ περιβάλλεσθαι νόμιζέ σοι προσγίνεσθαι τὴν ἡδονήν, ἀλλ' ἀπὸ
τοῦ μὴ θέλειν πλουτεῖν. ἂν γὰρ ἐπιθυμῇς πλουτεῖν, οὐδέποτε μαστιζόμενος παύσῃ· ἔ-
ρως γάρ ἐστιν οὗτος ἀτέλεστος, καὶ ὅσῳπερ ἂν προέλθῃς πλείονα ὁδόν, τοσούτῳ μᾶλλον τοῦ τέ-
λους ἀφέστηκας· καὶ ὅσῳ ἂν ἑτέρων πλειόνων ἐπιθυμῇς, τοσούτῳ μᾶλλον ἐπιτείνεται τὰ τῆς
βασάνου. ἐπεὶ καὶ διψῶντες τότε ἀνακτώμεθα ἑαυτούς, ὅταν ὅσον βουλόμεθα πίνωμεν· ἕως 10
δ' ἂν διψῶμεν, κἂν πάσας ἐξαντλήσωμεν τὰς πηγάς, μείζων ἡμῖν ἡ βάσανος γίνεται.

Καὶ καθάπερ τὸν δεσμώτην ἐπειδὰν ἴδῃς, καὶ ἐπὶ τοῦ νώτου, καὶ ἐπὶ τῶν χειρῶν, πολλάκις δὲ καὶ
ἐπὶ τῶν ποδῶν σεσιδηρωμένον, διὰ τοῦτο μάλιστα ταλανίζεις· οὕτω καὶ τὸν πλούσιον, ὅταν
θεάσῃ μυρία περιβεβλημένον πράγματα, μὴ διὰ ταῦτα πλούσιον, ἀλλὰ διὰ ταῦτα μὲν
οὖν ἄθλιον εἶναι νόμιζε. μετὰ γὰρ τῶν δεσμῶν τούτων, καὶ δεσμοφύλακα ἔχει χαλε- 15
πόν, τὸν πονηρὸν ἔρωτα τῶν χρημάτων, ὃς οὐκ ἀφίησιν ὑπερβῆναι τοῦτο τὸ δεσμωτήριον,
ἀλλὰ μυρίας αὐτῷ κατασκευάζει καὶ πέδας καὶ φυλακάς, καὶ θύρας καὶ μοχλούς· καὶ εἰς
τὴν ἐνδοτέραν αὐτὸν ἐμβαλὼν φυλακήν, πείθει καὶ ἥδεσθαι τοῖς δεσμοῖς τούτοις, ἵνα μηδὲ
ἐλπίδα τινὰ ἀπαλλαγῆς εὕρῃ τῶν ἐπικειμένων κακῶν. οὐ τοσοῦτον γὰρ πένης ἐφίεται τῶν ἀναγ-
καίων, ὡς τῶν περιττῶν ὁ πλουτῶν· οὐδ' αὖ τοσαύτην ἰσχὺν ἔχει πρὸς τὸ χρήσασθαι τῇ πο- 20
νηρίᾳ, ὅσην δύναμιν ἐκεῖ. Εἰ τοίνυν καὶ βούλεται μᾶλλον, καὶ δύναται, εὔδηλον, ὅτι μᾶλλον
καὶ πλείονα ἐργάσεται.

Πλούσιόν σε ἐποίησεν ὁ Θεός, ἵνα τοῖς δεομένοις βοηθῇς, ἵνα τὰ ἁ-
μαρτήματα λύσῃς τὰ σαυτοῦ διὰ τῆς ἑτέρων σωτηρίας. ἔδωκέ σοι χρήματα, οὐχ ἵνα κα-
τακλείσῃς ἐπ' ὀλέθρῳ τῷ σῷ, ἀλλ' ἵνα ἐκχέῃς ἐπὶ σωτηρίᾳ τῇ σῇ. διὰ τοῦτο καὶ τὴν κτῆσιν
αὐτῶν ἄδηλον ἐποίησε καὶ οὐ μόνιμον, ἵνα καὶ ἐν τούτῳ τῆς περὶ αὐτὰ μανίας καταλύσῃ τὸν τό- 25
νον. Εἰ γὰρ νῦν οὐκ ἔχοντες θαρρεῖν οἱ κεκτημένοι περὶ αὐτῶν, ἀλλὰ καὶ πολλὰς ὁρῶντες
ἐκ τοῦ πράγματος τικτομένας ἐπιβουλάς, οὕτως ἐκκαίονται περὶ τὸν ἐκείνων πόθον· εἰ
καὶ τοῦτο τῷ πλούτῳ προσῆν τὸ βέβαιον καὶ ἀδιάπτωτον, τίνος ἂν ἐφείσαντο, τίνος ἂν ἀπέ-
σχοντο;

Τίς γάρ, εἰπέ μοι, τοῦ Ἡλία πενέστερος ἦν; ἀλλὰ διὰ τοῦτο πάντας ἐνίκα τοὺς
πλουτοῦντας, ἐπειδὴ πένης ἦν, καὶ αὐτὴν δὲ τὴν πενίαν ἀπὸ πλουσίας εἵλετο διανοίας, καὶ 30
ἅπαντα τῶν χρημάτων τὸν πλοῦτον ἐλάττονα τῆς ἑαυτοῦ μεγαλοψυχίας ἐνόμιζεν εἶναι, καὶ οὐκ
ἄξιον αὐτοῦ τῆς φιλοσοφίας. εἰ γὰρ μεγάλα [αὐτῷ] τὰ παρόντα ἐνόμιζεν εἶναι, οὐκ ἂν μηλωτὴν
ἐκτήσατο μόνον. οὕτω γὰρ τῆς παρούσης κατέγνω ματαιότητος, ὡς καὶ πηλὸν ἐρριμμένον τὸ
χρυσίον ἑώρα. διὰ γὰρ τοῦτο καὶ ὁ βασιλεὺς τοῦ πένητος ἐδεῖτο, καὶ πρὸς τὸ στόμα ἐκεχήνει
τοῦ μηδὲν πλέον μηλωτῆς ἔχοντος, ὁ τοσοῦτον χρυσίον ἔχων· οὕτω λαμπροτέρα τῆς πορφυ- 35
ρίδος [ἡ μηλωτὴ] ἦν, καὶ τῶν βασιλικῶν αὐλῶν τὸ σπήλαιον τοῦ δικαίου. Διὰ τοῦτο καὶ
εἰς τὸν οὐρανὸν ἀνιὼν, οὐδὲν ἕτερον, ἀλλ' ἢ τὴν μηλωτὴν τῷ μαθητῇ κατέλιπε· μετὰ ταύτης,
φησί, τῷ διαβόλῳ ἐπάλαισα, ταύτην λαβὼν ὅπλιζου καὶ σὺ κατ' ἐκείνου. ἰσχυρὸν γὰρ ὅπλον
ἀκτημοσύνη, καὶ ἀκαταγώνιστον καταγώγιον. καὶ ἐδέξατο, καθάπερ μεγίστην κληρονο-
μίαν, τὴν μηλωτὴν ὁ Ἐλισσαῖος. καὶ γὰρ ἦν ἀληθῶς μεγίστη κληρονομία, καὶ παντὸς χρυ- 40
σοῦ τιμιωτέρα, καὶ ἦν διπλοῦς Ἡλίας ἐκεῖνος, καὶ ἦν ἄνω Ἡλίας, καὶ κάτω Ἡλίας. οἶδα ὅ-
τι μακαρίζετε τὸν δίκαιον ἐκεῖνον, καὶ ἐβούλεσθε ἕκαστος αὐτὸς εἶναι. τί οὖν, ἂν ὑμῖν ἐπιδεί-
ξω, ὅτι ἕτερόν τι πολλῷ μεῖζον ἐκείνου πάντες ἐλάβομεν; ὁ μὲν γὰρ Ἡλίας μηλωτὴν ἀ-
φῆκε τῷ μαθητῇ· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου ἀναβαίνων, τὴν σάρκα ἡμῖν κατέλιπε τὴν ἑαυ-
τοῦ.

Marginalia (left): Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ. — Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ. — Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγ. — Ἐκ τῶν ἀνδριάντ. — Ἐκ τῶν αὐτῶν.

Marginalia (right): ἴσ. αὐτὴν δῆσαι — γρ. ἴδῃ — γρ. ἀξία. ἴσ. ἐπὶ γῆς πηλ.

τοῦ. Ὅταν τοίνυν χρημάτων ἀπώλειαν ἀκούσαντες μὴ ταραχθῶμεν, ἀλλ' εἴπωμεν, εὐλογητὸς ὁ Θεός, καὶ πολλῷ πλείονα τὸν πλοῦτον εὑρήσομεν. οὐ γὰρ δὴ τοσαῦτα καρπώσῃ τὸν πλοῦτον ἀναλίσκων εἰς δεομένους, καὶ περιιὼν, καὶ πένητας ἐπιζητῶν, καὶ σκορπίζων τὰ ὄντα τοῖς πεινῶσιν, ὅσα διὰ τούτου τοῦ ῥήματος κερδαίνεις. ἐπεὶ καὶ τὸν Ἰὼβ οὐχ οὕτω θαυμάζω τὴν οἰκίαν ἀνοίγοντα τοῖς δεομένοις, ὡς ἐκπλήττομαι καὶ ἀνακηρύττω τὴν ἁρπαγὴν τῶν χρημάτων εὐχαρίστως φέροντα. ὁ γὰρ τοιοῦτος ἂν δυνηθῇ τῆς φύσεως τὰ κύματα κατευνάσας εἰπεῖν μετὰ τοῦ Ἰὼβ ἀδακρυτί, Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, μετὰ τοῦ Ἀβραὰμ αὐτοῦ στήσεται, μετὰ τοῦ Ἰὼβ ἀνακηρυχθήσεται ἀπὸ μόνου τούτου τοῦ ῥήματος. Ὅταν οὖν ἀφέληταί σοι χρυσίον, ἢ διὰ λῃστῶν, ἢ δι' ἑτέρας τινὸς προφάσεως ὁ διάβολος, δόξασον τὸν δεσπότην, καὶ πλέον ἔσῃ κεκερδηκώς, καὶ διπλῆν δώσεις τῷ ἐχθρῷ τὴν πληγήν, ὅτι τε οὐκ ἐδυσχέρανας, καὶ ὅτι ηὐχαρίστησας. ἂν μὲν γὰρ ἴδῃ, ὅτι σε ταπεινοῖ ἡ τῶν χρημάτων ζημία, καὶ πείθει κατὰ τοῦ δεσπότου δυσχερᾶναι, οὐδέποτε ἀποστήσεται τοῦτο ἐργαζόμενος. ἂν δὲ θεάσηται, ὅτι οὐ μόνον οὐ βλασφημεῖς τὸν πεποιηκότα σε Θεόν, ἀλλὰ καὶ εὐχαριστεῖς μᾶλλον αὐτῷ ἐφ' ἑκάστῳ τῶν συμβαινόντων δεινῶν, ἀποστήσεται ἐπάγων τοὺς πειρασμούς, εἰδώς, ὅτι εὐχαριστίας ὑπόθεσίς σοι γίνεται τῶν δεινῶν ἡ πεῖρα, καὶ λαμπροτέρους σοι τοὺς στεφάνους ἐργάζεται· ὅπερ καὶ ἐπὶ τοῦ Ἰὼβ γέγονεν. ἀφελόμενος γὰρ αὐτοῦ τὰ χρήματα, καὶ τὸ σῶμα πατάξας, ἐπειδὴ εἶδεν εὐχάριστον μᾶλλον γινόμενον, οὐκ ἔτι προσελθεῖν ἐτόλμησεν, ἀλλ' ἀγεννῆ καὶ ἀσύστατον ὑπομείνας ἧτταν ἀπῆλθε, λαμπρότερον ἐργασάμενος τοῦ Θεοῦ τὸν ἀθλητήν. καὶ ὁ μὲν Ἰὼβ μετὰ τὸ τοὺς στεφάνους τῆς ὑπομονῆς καὶ τῆς ἀνδρείας ἅπαντας ἀναδήσασθαι, διπλᾶ τὰ ἀπολωλότα ἀπείληφεν ἅπαντα· σὺ δὲ οὐχὶ διπλᾶ καὶ τριπλᾶ, ἀλλ' ἑκατονταπλασίονα ἀπολήψῃ πάντα, ἂν φέρῃς γενναίως, καὶ ζωὴν αἰώνιον κληρονομήσεις· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ τῆς ἑρμ. τῆς πρὸς Κορινθ. β. ἐπισ.

Ἰὼβ. α κα.

Ἐκ τῆς δ. ιβγ. τῆς περὶ ἀνδριάντων.

ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

Λογ. λα.

Ἐκ τοῦ α. λογ. τῆς εἰς Σταγείρ.

Τίνος ἕνεκεν οὐ τὸν ἐξ ἀρχῆς ἀπατήσαντα ἐχθρὸν ἠφάνισεν ὁ Θεός; εἰ γὰρ πρὸς βίαν ἐκράτει, φησίν, εἶχεν ἄν τινα λόγον τὸ ζητούμενον· εἰ δὲ ταύτης μὲν ἀφῄρηται τῆς δυνάμεως, πείθει δὲ μόνον, τὸ δὲ μὴ πεισθῆναι ἐφ' ἡμῖν, τίνος ἕνεκα τῆς εὐδοκιμήσεως τὴν πρόφασιν περιαιρεῖς, καὶ τὴν τῶν στεφάνων ἐκκόπτεις ὑπόθεσιν; καὶ ἄλλως, εἰ μὲν εἰδὼς αὐτὸν πάντων περιεσόμενον ἀφῆκεν, οὐδὲ οὕτως ἄξιον ἀπορεῖν· παρ' ἡμῶν γὰρ τὸ κρατεῖν ἐκεῖνον, ἑκόντων ὑποκλινομένων, οὐ βιαζομένων. εἰ δὲ πολλοὶ μὲν οἱ ἤδη περιγενόμενοι, πολλοὶ δὲ καὶ αὖθις ἔσονται, τί τοὺς μέλλοντας εὐδοκιμεῖν τοσαύτης ἀποστερεῖς τιμῆς; ἀλλ' οὐ πάντες αὐτοῦ περιέσονται· ἀλλὰ πολλῷ δικαιότερον τοὺς μὲν γενναίους λαμβάνειν ἀφορμάς, ἐν αἷς ἐπιδείξονται τὴν προαίρεσιν· τοὺς δὲ μὴ τοιούτους ἀπὸ τῆς οἰκείας κολάζεσθαι ῥᾳθυμίας, ἢ διὰ τούτους ἐκείνους ἐπηρεάζεσθαι. ὁ μὲν γὰρ φαῦλος, κἂν ἠδίκηται, οὐ παρὰ τὸν ἀνταγωνιστήν, ἀλλὰ παρὰ τὴν αὐτοῦ νωθρίαν. καὶ δηλοῖ τὸ πλῆθος τῶν νικώντων. τότε δὲ ἂν οἱ σπουδαῖοι διὰ τοὺς φαύλους ἐπεβουλεύθησαν, οὐκ ἔχοντες ὅπου χρήσονται τῇ ἀνδρείᾳ. οὕτω δὴ ἔδει καὶ τῆς τοῦ στόματος, καὶ τῆς τῶν ὀφθαλμῶν κατηγορήσωσι διαπλάσεως· διὰ τούτων γὰρ ἐπιθυμοῦσιν ὧν οὐ δεῖ, καὶ εἰς μοιχείας ἐμπίπτουσιν οἱ πολλοί· δι' ἐκεῖνο δὲ βλασφημοῦσι, καὶ τὰ ὀλέθρια τῶν δογμάτων ἐκφέρουσιν ἕτεροι. ἆρ' οὖν διὰ τοῦτο χωρὶς γλώττης καὶ ὀφθαλμῶν τοὺς ἀνθρώπους γενέσθαι ἐχρῆν; οὐκοῦν

καὶ

καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἀποτεμοῦμεν· αἱ μὲν γὰρ αἱμάτων πλήρεις, οἱ δὲ εἰς κακίαν τρέχουσι. πρὸς τούτοις δὲ, καὶ τὰ ὦτα, ὅτι καὶ ματαίαν παραδέχεται ἀκοὴν, καὶ τὴν τῶν δογμάτων φθορὰν τῇ ψυχῇ παραπέμπει· εἰ δὲ ταῦτα, καὶ σῖτα καὶ ποτὰ, καὶ οὐρανὸν καὶ γῆν καὶ θάλασσαν καὶ σελήνην καὶ τὸν τῶν ἄστρων χορόν. ποῦ γὰρ ἔσται ταῦτα χρήσιμα, τοῦ, δι' ὃν ἐγένετο, κατακοπέντος [οὕτως] ἐλεεινῶς; ὁρᾷς τὸν γέλωτα καὶ τὴν ἀτοπίαν, εἰς ἣν ὁ λόγος καταστρέφειν ἀναγκάζεται; ὁ διάβολος ἑαυτῷ κακὸς, οὐχ ἡμῖν. ἡμεῖς γὰρ, εἰ βουλοίμεθα, καὶ πολλὰ καρπωσόμεθα δι' αὐτὸν καλὰ, ἄκοντός γε καὶ μὴ βουλομένου· τὸ δὲ θαῦμα καὶ ἐν τούτῳ μεῖζον, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἡ ὑπερβολή. τὸ γὰρ βελτίους γίνεσθαι τοὺς ἀνθρώπους, δάκνει μὲν αὐτὸν καὶ καθ' ἑαυτὸ, καὶ λυπεῖ· ὅταν δὲ καὶ δι' αὐτὸν τοῦτο προξενῆται ἡμῖν, οὐδ' ἐνεγκεῖν δυνήσεται τὴν ἐπήρειαν. Φασί τινες, ὡς, εἰ μὴ συνεχώρησεν ὁ Θεὸς, οὐκ ἂν προσῆλθεν ὁ διάβολος, οὐκ ἂν ἠπάτησε τὴν ἀρχὴν τὸν ἄνθρωπον. τί οὖν ἐροῦμεν πρὸς ταῦτα; ὅτι, εἰ μὴ τοῦτο ἐγεγόνει, οὐδ' ἂν ἔμαθεν ὁ Ἀδὰμ ὅσον εἶχεν ἀγαθόν· οὐδ' ἂν ἐκ τῆς ἀπονοίας ἐκείνης κατέβη ποτέ. ὁ γὰρ τοσοῦτον ἑαυτὸν καταξιῶν, ὡς καὶ Θεὸς γενέσθαι προσδοκᾷν, τί οὐκ ἂν ἐτόλμησεν ἕτερον μὴ σωφρονισθείς; τέως μὲν δὲ μηδὲ συμβεβουλευκέναι τι τὸν διάβολον· ἆρα ἂν ἄπταιστος διετέλεσε, μὴ γενομένου τούτου; οὐκ ἔστιν εἰπεῖν. ὁ γὰρ ὑπὸ τῆς γυναικὸς οὕτως εὐκόλως ἀναπεισθεὶς, ἔτι, καὶ διαβόλου οὐκ ὄντος, ταχέως ἂν ἀφ' ἑαυτοῦ πρὸς τὴν ἁμαρτίαν κατέπεσεν. ὁ γὰρ τὴν παρ' ἑτέρου δεξάμενος οὕτως ἀπάτην εὐκόλως, ἔτι καὶ περὶ τῆς ἀπάτης ῥαθύμως καὶ χαύνως διέκειτο. οὐδὲ γὰρ ἂν ἴσχυσε τοσοῦτον ἐκεῖνος, εἰ νήφουσαν καὶ ἐγρηγορυῖαν διελέγετο ψυχήν. καὶ τίνος ἕνεκεν τοιοῦτον ἐδίδου πρόσταγμα τῷ Ἀδὰμ ὁ Θεὸς, ἁμαρτήσοντα τοῦτον εἰδώς; ὅτι καὶ τὸ δοῦναι τὴν ἐντολὴν μείζονος κηδεμονίας ἐστὶν, ἢ τὸ μὴ δοῦναι. ἔστω γὰρ ὁ Ἀδὰμ τὴν μὲν προαίρεσιν ἔχων οὕτω ῥάθυμον, ὡς τὸ τέλος ἀπέδειξε· δεχέσθω δὲ μηδεμίαν ἐντολὴν, ἀλλὰ μενέτω τρυφῶν· ἆρα ἡ ἀσθένεια καὶ ἡ ῥαθυμία ἀπὸ τῆς ἀνέσεως ταύτης ἐπὶ τὸ χεῖρον, ἢ ἐπὶ τὸ κρεῖττον ἐπέδωκεν ἄν; ἀλλὰ παντί που δῆλον, ὅτι πρὸς ἐσχάτην ἂν κατέπεσε κακίαν ἄφροντις ὤν. ὁ γὰρ μηδέπω θαῤῥεῖν ὑπὲρ τῆς ἀθανασίας ἔχων, ἀλλ' ἔτι μετέωρον τὴν ἐλπίδα ταύτην οὖσαν εἰδὼς, καὶ πρὸς τοσοῦτον ἀλαζονείας καὶ ἀνοίας ἀρθεὶς, ὡς ἐλπίσαι γενέσθαι Θεὸς, καὶ ταῦτα, οὐδαμόθεν τὸν ταῦτα ἐπαγγειλάμενον πιστὸν ὁρῶν· εἰ βεβαίαν εἶχε τὴν ἀθανασίαν, ποῦ οὐκ ἂν ἔφθασεν ἀπονοίας; τί δὲ οὐκ ἂν ἐξήμαρτε; πότε δὲ ἂν ὑπήκουσε τοῦ Θεοῦ; ὁ γὰρ μετὰ τὴν τοῦ προστάγματος δόσιν οὕτω καταφρονήσας τοῦ δεδωκότος αὐτῷ τὸ πρόσταγμα· εἰ μηδὲν ὅλως ἠκηκόει παρ' αὐτοῦ, ταχέως ἂν, ὅτι καὶ ὑπὸ δεσποτείαν ἐστὶν, ἠγνόησεν. εἰ μηδεὶς ὅλως ἐνταῦθα ἐκολάζετο τῶν πονηρῶν, μηδὲ ἐτιμᾶτο τῶν χρηστῶν, πολλοὶ τῶν διαπιστούντων τῷ τῆς ἀναστάσεως λόγῳ, τὴν μὲν ἀρετὴν, ὡς κακῶν αἰτίαν, ἔφυγον, τὴν δὲ πονηρίαν, ὡς ἀγαθῶν πρόξενον, ἐδίωκον. εἰ δὲ πάλιν ἐνταῦθα τὸ κατ' ἀξίαν ἅπαντες ἀπελάμβανον, περιττὸν ἂν ἡγήσαντο εἶναι καὶ ψευδῆ τὸν τῆς κρίσεως λόγον. ἵνα οὖν μήτε οὗτος διαπιστῆται, μήτε ὁ πολὺς καὶ χυδαῖος λαὸς φαυλότερος γίνηται καταφρονῶν, ἐπεξέρχεται καὶ ἐνταῦθα τῶν ἁμαρτανόντων πολλοῖς, καὶ ἀμείβεται τῶν κατορθούντων ἐνίοις, τῷ μὲν μὴ εἰς πάντας τοῦτο ποιεῖν τὸν τῆς κρίσεως πιστούμενος λόγον· τῷ δὲ καὶ πρὸ τῆς κρίσεως κολάζειν τινὰς, τοὺς πολὺν ὕπνον καθεύδοντας διεγείρων. ἀπὸ μὲν γὰρ τοῦ τιμωρεῖσθαι τοὺς πονηροὺς διανίστανται πολλοὶ τῷ φόβῳ τοῦ μὴ τὰ αὐτὰ παθεῖν· ἀπὸ δὲ τοῦ μὴ πάντας ἐνταῦθα τὸ κατ' ἀξίαν ἀπολαβεῖν ἀναγκάζονται λογίζεσθαι, ὅτι εἰς ἕτερόν τινα τοῦτο ταμιεύεται καιρόν. διὰ τοῦτο τὸν Κάϊν ἁμαρτήσαντα οὐκ ἀνεῖλεν εὐθέως ὁ Θεὸς, ὥστε δι' αὐτὸν τοὺς ἑξῆς ἅπαντας σωφρονίζεσθαι, καὶ γίνεσθαι βελτίους διὰ τῆς εἰς ἐκεῖνον ἐπιτιμήσεως. οὐδὲ γὰρ ἦν ἴσον ἀκοῦσαι, ὅτι Κάϊν τις ἀνελὼν ἀδελφὸν ἀπέθανε, καὶ ὁρᾶν τὸν ἀνελόντα δίκην τίνοντα. τότε μὲν γὰρ, κἂν ἠπιστήθη τοῦτο λεγόμενον διὰ τὴν τοῦ μύσους ὑπερβολήν· νυνὶ δὲ φαινόμενος καὶ παρών, καὶ πολλοὺς

γρ. τετήρηται

πολλοὺς δὲ ἐπὶ πολὺν χρόνον μάρτυρας τῆς τιμωρίας ποιούμενος, καταδήλους καὶ πιστοὺς καὶ τοῖς
τότε, καὶ τοῖς ἐφεξῆς καθίστη τὸ γεγονός. ἄλλως τε, εἰ μὲν αὐτὸν ἀπέκτεινεν εὐθέως ὁ Θεός, οὐκ
ἄν τινα προθεσμίαν αὐτῷ μετανοίας καὶ βελτιώσεως ἔδωκε· τότε δὲ τρέμων καὶ δέει συζῶν, εἰ
μὴ λίαν ἀναίσθητος ἦν, καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπος, πολλὰ ἂν ἀπὸ ταύτης ἐκέρδανε
τῆς ζωῆς· χωρὶς δὲ τούτων ἐλάττονα αὐτῷ τὴν μέλλουσαν κόλασιν διὰ ταύτης αὐτῷ τῆς
τιμωρίας εἰργάζετο. τὰ γὰρ ἐν τῷ παρόντι βίῳ ἐπαγόμενα ἡμῖν παρὰ τοῦ Θεοῦ λυπη-
ρὰ ἢ κολαστήρια, οὐ μικρὸν τῶν ἐκεῖ βασάνων ὑποτέμνεται μέρος. διὰ τοῦτο τοὺς τῶν αὐ-
τῶν ἀξίους τιμωριῶν οὐχ ὁμοῦ πάντας κολάζειν εἴωθεν ὁ Θεός, ἵνα οἱ λειπόμενοι βελτίους
ταῖς ἐκείνων γίνωνται συμφοραῖς· κολάζει δὲ καὶ πάντας ὁμοῦ πολλάκις, ὡς ἐπὶ τοῦ κατα-
κλυσμοῦ, ἵνα ἐκεῖνοι μὲν περαιτέρω προελθεῖν τῆς κακίας κωλυθῶσιν· οἱ δὲ μετ' ἐκείνους
ἐκείνων μειζόνως κερδαίνωσι, τῆς ζύμης, ὡς ἄν τις εἴποι, καὶ τῆς ὑποθέσεως τῶν κακῶν
ἀφανισθείσης ἐκ μέσου μετὰ τῶν τολμησάντων αὐτῶν, καὶ μὴ τοσούτους διδασκάλους φαυ-
λότητος ἔχωσιν. εἰ γὰρ καὶ χωρὶς παραδείγματος εὐκόλως δύναιντ' ἂν εὕροιεν οἱ ἄνθρω-
ποι τὰ κακά, τί ἂν οὐκ ἔπραξαν, πολλῶν ὄντων τῶν παρακαλούντων αὐτοὺς ἐπὶ τὰς πράξεις
τὰς πονηράς; τοῦτο οὖν μόνον πεπεῖσθαι χρή, ὅτι συμφερόντως ἡμῖν ἅπαντα οἰκονομεῖται
παρὰ τοῦ Θεοῦ· τὸν δὲ τρόπον μηκέτι ζητεῖν, μηδὲ ἀγνοοῦντας ἀσχάλλειν ἢ ἀθυμεῖν. οὔτε γὰρ
δυνατὸν ταῦτα εἰδέναι, οὔτε συμφέρει· τὸ μὲν διὰ τὸ θνητοὺς εἶναι, τὸ δὲ διὰ τὸ ταχέως εἰς
ἀπόνοιαν αἱρεῖσθαι. βούλεται μὲν γὰρ καὶ τοὺς μὴ πιστεύοντας αὐτῷ σωθῆναι μεταβαλλομέ-
νους ὁ Θεός· καθὼς καὶ αὐτός φησιν, Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς
μετάνοιαν. (Ματθ. θ.) ὅταν δὲ μηδὲ τοσαύτης ἐπιμελείας ἀπολαύσαντες ἐθελήσωσι γενέσθαι βελ-
τίους, καὶ ἐπιγνῶναι τὴν ἀλήθειαν, οὐδὲ οὕτως αὐτοὺς ἀφίησιν· ἀλλ' ἐπειδὴ τῆς οὐρανίου ζωῆς
ἑαυτοὺς ἑκόντες ἀπεστέρησαν· τὰ γοῦν εἰς τὸν παρόντα βίον αὐτοῖς ἅπαντα χορηγεῖ. τὸν ἥλι-
ον ἀνατέλλων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ τὰ ἄλλα πάντα
τὰ πρὸς τὴν σύστασιν τῆς παρούσης παρέχων ζωῆς. εἰ δὲ ἐχθρῶν τοσαύτην ποιεῖται πρό-
νοιαν, τοὺς πιστεύοντας αὐτῷ, καὶ θεραπεύοντας αὐτὸν κατὰ δύναμιν τὴν αὐτῶν, πῶς περιό-
ψεται;

(Ἐκ τοῦ λόγ. γ. εἰς τό, τίνος ἕνεκεν οὐκ ἐκ τοῦ μέσου γέγονεν ὁ διάβολος.)

Καὶ τίνος ἕνεκεν οὐκ ἐκ τοῦ μέσου γέγονεν ὁ διάβολος; ἔστω ἀνταγωνιστὴς εἷς, ἔ-
στωσαν καὶ ἀθληταὶ δύο πρὸς ἐκεῖνον παλαίειν μέλλοντες· καὶ τούτων τῶν δύο ἀθλητῶν ὁ μὲν
ὑπὸ γαστριμαργίας ἔστω διεφθαρμένος, ἠμελημένος, ἐξησθενημένος, ἐκνενευρισμένος· ὁ δὲ
σπουδάζων, εὐεκτῶν, ἐν παλαίστραις διατρίβων, ἐν γυμνασίοις πολλοῖς πᾶσαν ἢ σπου-
δὴν περὶ τὴν ἄθλησιν ἐπιδεικνύμενος. ἂν τοίνυν ἀνέλῃς τὸν ἀνταγωνιστὴν, τίνι ἐπηρέ-
ασας τούτων; ἆρα τῷ ῥαθύμῳ καὶ ἀμελεῖ, ἢ τῷ σπουδαίῳ καὶ τοσαῦτα πεπονηκότι; εὔδηλον
ὅτι τῷ σπουδαίῳ. ὁ μὲν γὰρ διὰ τὸν ῥάθυμον ἠδίκηται, ἀναιρεθέντος τοῦ ἀνταγωνιστοῦ· ὁ δὲ
ῥάθυμος, ὄντος τούτου, οὐκέτι διὰ τὸν σπουδαῖον ἐπηρέασται· ἀπὸ γὰρ τῆς οἰκείας ῥαθυ-
μίας κατέπεσεν. ὁ τοίνυν ἀσθενὴς τὴν προαίρεσιν καὶ ἠμελημένος καὶ ῥάθυμος, καὶ διαβόλου
οὐκ ὄντος, καταπίπτει ταχέως, καὶ εἰς βάραθρα πολλὰ κακίας ἑαυτὸν καταβάλλει. κἂν
γὰρ ἐπὶ τὰ ἡμέτερα μέλη ἔλθωμεν, καὶ ταῦτα εὑρήσομεν ἀπωλείας αἴτια, ἐὰν μὴ προσέχω-
μεν, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν. σκόπει δέ· ὀφθαλ-
μὸς ἐδόθη, ἵνα βλέπων τὴν κτίσιν, δοξάσῃς τὸν κτίστην καὶ δεσπότην· ἀλλ' ἐὰν μὴ καλῶς χρή-
σῃ τῷ ὀφθαλμῷ, μοιχείας σοι γίνεται πρόξενος. γλῶττα δὲ ἐδόθη, ἵνα ὑμνῇς καὶ τὸν ποιητὴν
εὐφημῇς· ἀλλ' ἐὰν μὴ καλῶς προσέχῃς, βλασφημίας καὶ αἰσχρολογίας σοι γίνεται αἰτία.
χεῖρες ἐδόθησαν, ἵνα ἀνατείνῃς αὐτὰς εἰς εὐχάς· ἀλλ' ἐὰν μὴ νήφῃς, εἰς πλεονεξίαν ταύ-
τας ἐκτείνεις. πόδες ἐδόθησαν, ἵνα τρέχῃς εἰς καλὰ ἔργα· ἀλλ' ἐὰν ἀμελῇς, τὰς πονηρὰς
δι' αὐτῶν ἕξεις πράξεις. ὁρᾷς ὅτι τὸν ἀσθενῆ πάντα βλάπτει, καὶ αὐτὰ τὰ σωτήρια φάρ-
μακα εἰς θάνατον ἐμβάλλει, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τὴν
ἐκείνου;

ἐκείνου; Ἀρκεῖ μόνον ἡ θεοπτία ἀπολέσαι τοὺς πονηρούς. Εἰ γὰρ ἁγίων παρουσία ἀσθενεῖν τῶν δαιμόνων ποιεῖ τὴν ἰσχὺν, πολλῷ μᾶλλον τοῦ Θεοῦ.

Ἐκ τῆς ἑρμην. τοῦ ρκγ΄. ψαλ.

Ὅταν ἴδωμεν πραγμάτων ἀταξίαν καὶ ταραχὴν, μὴ τὸν Θεὸν αἰτιώμεθα, μηδὲ ἀπρονόητα εἶναι νομίζωμεν τὰ παρόντα· οὐ γὰρ ὄντως ἀταξία καὶ ταραχὴ, οὐχ ἡ τῶν πραγμάτων ἐστὶ φορὰ, ἀλλ' ὁ οὕτω διακείμενος λογισμὸς, ὃς κἂν μυρίας εὐταξίας ἀπολαύῃ, ἕως ἂν [μὴ] τὴν ἀταξίαν τὴν ἐν αὐτῷ, καὶ τὴν ταραχὴν διορθώσηται, οὐδὲν αὐτῷ τῆς ἐν τοῖς πράγμασιν εὐταξίας ἔσται τὸ πλέον. ἀλλ' ὥσπερ ὀφθαλμὸς νοσῶν μὲν, καὶ ἐν μεσημβρίᾳ φανοτάτῃ σκότος ὄψεται, καὶ ἕτερα ἀνθ' ἑτέρων, καὶ οὐδὲν αὐτῷ τῆς ἀκτῖνος ἔσται πλέον· ὑγιαίνων δὲ καὶ ἐρρωμένος καὶ ἐν ἑσπέρᾳ δυνήσεται τὸ σῶμα χειραγωγεῖν μετὰ ἀσφαλείας· οὕτω καὶ τῆς διανοίας τῆς ἡμετέρας ὁ ὀφθαλμὸς, ἕως μὲν ἂν ἐρρωμένος ᾖ, κἂν ἄτακτα εἶναι δοκοῦντα ἴδῃ, καλὰ ὄψεται· ὅταν δὲ διεφθαρμένος, κἂν εἰς αὐτὸν ἀναγάγῃς αὐτὸν τὸν οὐρανὸν, καὶ τὸν ἐκεῖ πολλὴν ἀταξίαν καταγνώσεται καὶ ταραχήν.

Ἐκ τοῦ α΄. λογ. τοῦ περὶ προνοίας.

Διὰ τοῦτο οὔτε πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην ὁ Θεὸς, ἵνα μὴ ἀπογνῷς τὴν ἀνάστασιν καὶ ἀπελπίσῃς τὴν κρίσιν, ὡς πάντων ἐνταῦθα διδόντων λόγον· οὔτε πάντας ἀφίησιν ἀτιμωρητὶ ἀπελθεῖν, ἵνα μὴ πάλιν ἀπρονόητα τὰ πάντα εἶναι νομίσῃς.

Ἐκ τῆς ἑρμ. τῆς πρὸς Κορινθ. δ'της

Εἴ τις ἀπιστεῖ τῇ ἀναστάσει, ἐννοείτω πόσα ἐξ οὐκ ὄντων ἐποίησεν ὁ Θεὸς, καὶ δεχέσθω καὶ περὶ ἐκείνης ἀπόδειξιν. καὶ γὰρ γῆν λαβὼν, ἔφυρε καὶ ἐποίησεν ἄνθρωπον, γῆν οὐκ οὖσαν πρὸ τούτου. πῶς οὖν ἡ γῆ γέγονεν ἄνθρωπος; πῶς δὲ αὐτὴ οὐκ οὖσα παρήγετο; ποίαν δὲ ὑποβάθραν εἶχε; καὶ τί μετὰ τὴν γῆν; καὶ μετ' ἐκεῖνο πάλιν τὸ μετὰ τὴν γῆν; πῶς δὲ ἐξ αὐτῆς παρήχθησαν ἅπαντα τὰ τῶν ἀλόγων ἄπειρα γένη, τὰ τῶν σπερμάτων, τὰ τῶν φυτῶν; τοῦτο γὰρ τῆς ἀναστάσεως ἀπορώτερον. οὐ γάρ ἐστιν ἴσον σβεσθέντα ἀνάψαι λύχνον, καὶ μηδαμοῦ φαινόμενον δεῖξαι πῦρ· οὐδὲ κατενεχθεῖσαν οἰκίαν ἀναστῆσαι, καὶ μηδὲ ὅλως ὑφεστῶσαν παραγαγεῖν. ἐνταῦθα μὲν γὰρ εἰ μηδὲν ἄλλο, ἀλλ' ἡ ὕλη ὑπέκειτο· ἐκεῖ δὲ οὐδὲ ἡ οὐσία ἐφαίνετο. διὰ τοῦτο τὸ δυσκολώτερον ἡμῖν εἶναι δοκοῦν ἐποίησε πρότερον, ἵνα ἐκ τούτου τὸ εὐκολώτερον παραδείξῃ. καὶ ἐπὶ τῆς γεννήσεως δὲ τῆς ἡμετέρας, οὐ σπέρμα βραχὺ πρῶτον ἄμορφον καὶ ἀτύπωτον ἐνίεται εἰς τὴν ὑποδεχομένην μήτραν αὐτό; πόθεν οὖν ἡ τοσαύτη τοῦ ζώου διάπλασις; τί δὲ ὁ σῖτος; οὐ κόκκος γυμνὸς εἰς τὴν γῆν καταβάλλεται; οὐ μετὰ τὸ καταβληθῆναι, σήπεται; πόθεν ἄσταχυς, καὶ ἀνθέρικες, καὶ καλάμη, καὶ τὰ ἄλλα πάντα; οὐ κέγχρις σύκου μικρὰ πολλάκις ἐμπεσοῦσα εἰς γῆν, καὶ ῥίζαν καὶ κλάδους καὶ καρποὺς ἤνεγκε; εἶτα τούτων μὲν ἕκαστον δέχῃ, καὶ οὐ περιεργάζῃ, τὸν δὲ Θεὸν μόνον ἀπαιτεῖς εὐθύνας μετασκευάζοντα ἡμῶν τὸ σῶμα; καὶ πῶς ταῦτα συγγνώμης ἄξια;

Ἐκ τῆς ἑξαημ.

Καὶ τίνος ἕνεκεν ἀφῆκε τὸν διάβολον ὁ Θεὸς, τοιοῦτον πονηρὸν ὄντα, ὥστε ὑποσκελίζειν ἡμᾶς; ἵνα τῷ φόβῳ συνωθούμενοι, καὶ τοῦ πολεμίου τὴν ἔφοδον προσδοκῶντες, πολλὴν τὴν ἀγρυπνίαν καὶ διηνεκῆ τὴν νῆψιν ἐπιδεικνύμεθα. καὶ τί θαυμάζεις, εἰ τὸν διάβολον διὰ τοῦτο κατέλιπε; κηδόμενος γὰρ ἡμῶν τῆς σωτηρίας, καὶ διεγείρων ἡμῶν τὴν ῥαθυμίαν, καὶ ὑποθέσεις στεφάνων κατασκευάζων, αὐτὴν τὴν γέενναν διὰ τοῦτο κατεσκεύασεν, ἵνα ὁ τῆς τιμωρίας φόβος, καὶ τῆς κολάσεως τὸ ἀφόρητον πρὸς τὴν βασιλείαν ἡμᾶς συνωθήσῃ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἂν οὖν ποιήσῃς τι χρηστὸν, καὶ μὴ λάβῃς αὐτοῦ τὴν ἀντίδοσιν ἐνταῦθα, μὴ ταράττου· μετὰ γὰρ προσθήκης ἐν τῷ μέλλοντι καιρῷ ἀναμένει σε τούτων ἡ ἀμοιβή. κἂν ποιήσῃς τι πονηρὸν, καὶ μὴ δῷς δίκην, μὴ θάρρει (*γ. θαῤῥῶν*)· ἐκεῖ γάρ σε ἐκδέξεται ἡ τιμωρία, ἂν μὴ μεταβάλῃ καὶ γένῃ βελτίων.

Ἐκ τοῦ ε΄. λόγ. τῶν περὶ εἱμαρμένης.

Θορυβῇ καὶ ἀλύεις καὶ πάντα ταραχῆς πληροῖς, ὁρῶν πολλοὺς ἐν πονηρίᾳ ζῶντας καὶ εὐθηνουμένους, καὶ τῶν παρόντων ἀπολαύοντας, καὶ ἀλγεῖς ἐπὶ τῇ τοῦ Θεοῦ μακροθυμίᾳ; τί ποιεῖς, εἰπέ μοι; πόσοι ταῖς ὁδοῖς ἐφεδρεύουσι; πόσοι τοίχους διορύττουσι; πόσοι δηλητηρίοις φαρμάκοις πολλοὺς ἀπώλεσαν; ἆρ' οὖν ὑπὲρ τούτων ἐγκαλοῦμεν τῷ δικαστῇ; οὐδαμῶς. ἂν μὲν γὰρ λαβὼν αὐτοὺς ὑπὸ τὴν ψῆφον ἀφῇ, καὶ τὸν μὴ

παθόντα

παθόντα κακῶς κολάσῃ, τὸν δὲ ποιήσαντα τιμήσῃ, καὶ στεφανώσας ἐκπέμψῃ, κατηγορίας ὄντως ἄξιος, καὶ ἐγκλημάτων ἐσχάτων· ὅταν δὲ μηδέπω ὦσι παραδοθέντες, αὐτὸς τὰς εὐθύνας ἀπαιτεῖς, καὶ προλαβὼν καταγινώσκεις; ἐννόησον τὰ σαυτῷ βεβιωμένα, ἄνθρωπε, εἰς τὸ σὸν εἴσελθε συνειδός· καὶ οὐ μόνον οὐκ ἐπαρέσεις σου τὴν ψῆφον, ἀλλὰ καὶ μεταθήσῃ τὴν γνώμην, καὶ τῆς μακροθυμίας ἀποδέξῃ τὸν φιλάνθρωπον, καὶ χάριν εἴσῃ τῆς ἀνοχῆς, θαυμάσας τῆς ἀνεξικακίας αὐτόν. Εἰ γὰρ ἔμελλεν ἕκαστος παρ' αὐτὰ τὰ ἁμαρτήματα δίκην ἀπαιτεῖσθαι τῶν πεπλημμελημένων, οὐκ ἂν ἡμῶν ἔφθασε τὸ γένος πάλαι ἀνάρπαστον γενόμενον. Μὴ τοίνυν, ἀδελφοί, καταπέσωμεν. οὐ γὰρ οὕτω φροντίζομεν τῆς ἡμετέρας σωτηρίας, ὡς ὁ ποιήσας ἡμᾶς· καὶ οὐχ οὕτως ἡμῖν μέλει τοῦ μηδὲν παθεῖν δεινόν, ὡς τῷ τὴν ψυχὴν ἡμῖν χαρισαμένῳ Θεῷ. Οὔτε γὰρ ἐν συμφοραῖς ἀφίησιν ἀεὶ τοὺς ἀνθρώπους ὁ Θεός, ἵνα μὴ ἀποκάμωσιν· οὔτε ἐν ἀνέσει, ἵνα μὴ ῥαθυμότεροι γένωνται· ἀλλὰ ταῖς ἐναλλαγαῖς ποικίλλει τὴν σωτηρίαν αὐτῶν. Εἰ γὰρ πλοῖον ἄνευ κυβερνήτου οὐ συνίσταται, ἀλλὰ καταποντίζεται εὐκόλως, ὁ κόσμος πῶς ἂν συνέστη ἐπὶ τοσοῦτον χρόνον, μηδενὸς αὐτὸν κυβερνῶντος; καὶ ἵνα μηδὲν πλέον εἴπω, νόμισον πλοῖον εἶναι τὸν κόσμον· ἔσωθεν ὑποκεῖσθαι τὴν γῆν· ἱστίον τὸν οὐρανόν· ἐπιβάτας τοὺς ἀνθρώπους· πέλαγος τὴν ὑποκειμένην ἄβυσσον· πῶς οὖν ἐπὶ τοσούτους χρόνους ναυάγιον οὐκ ἐγένετο; ἔασον γοῦν πλοῖον μίαν ἡμέραν χωρὶς κυβερνήτου καὶ ναυτῶν, καὶ ὄψει καταποντιζόμενον εὐθέως. ἀλλ' ὁ κόσμος οὐδὲν τοιοῦτον ἔπαθε, πεντακισχίλια καὶ πολλῷ πλείονα λοιπὸν ἔχων ἔτη. καὶ τί λέγω πλοῖον; καλύβην μικρὰν ἐπήξατό τις ἐν ταῖς ἀμπέλοις, καὶ τοῦ καρποῦ συνενεχθέντος ἀφῆκεν ἔρημον, καὶ οὐδὲ δύο πολλάκις διαμένει ἡμέρας, ἀλλὰ [καὶ] διαλύεται καὶ καταπίπτει ταχέως. Εἶτα καλύβη μὲν οὐκ ἂν στῇ χωρὶς τοῦ προνοοῦντος αὐτήν· δημιούργημα δὲ τοσοῦτον, οὕτω καλὸν καὶ θαυμαστόν, πῶς ἂν διέμεινεν ἐπὶ τοσοῦτον ἀδιάπτωτον χρόνον χωρὶς προνοίας τινός; ἐννόησόν μοι τὸ κάλλος τοῦ οὐρανοῦ πόσον ἔχει χρόνον, καὶ οὐκ ἠμαυρώθη. ἐννόησόν μοι τῆς γῆς τὴν δύναμιν, πῶς οὐκ ἠτόνησεν αὐτῆς ἡ γαστήρ, τοσοῦτον τίκτουσα χρόνον. ἐννόησόν μοι τὰς πηγάς, πῶς ἀναβλύζουσι, καὶ οὐκ ἀπέλιπον ἐξ οὗ γεγόνασιν. ἐννόησόν μοι τὴν θάλασσαν, πόσους δεχομένη ποταμοὺς οὐχ ὑπερέβη τὸ μέτρον. ἄξιον ἐφ' ἑκάστου τῶν εἰρημένων λέγειν· Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. Πῶς γὰρ οὐκ ἄτοπον, τέκτονι μὲν παρακαθήμενοι, καὶ διακλῶντα ξύλα καὶ διαπρίζοντα θεώμενοι, μὴ ἀπαιτεῖν λόγον μηδὲ εὐθύνας· καὶ ἰατρὸν καίοντα καὶ τέμνοντα σάρκα, καὶ ἐν οἰκίσκῳ κατακλείοντα, καὶ λιμῷ ἄγχοντα τὸν κάμνοντα, μὴ περιεργάζεσθαι, ἀλλ' ἡσυχάζειν, καὶ σιωπᾶν· τὴν δὲ ἄφατον σοφίαν, τὴν ἄφατον φιλανθρωπίαν περιεργάζεσθαι καὶ πολυπραγμονεῖν; καὶ βοηθῆσαι μὲν καὶ προέσθαι χρήματα ὑπὲρ ἀδικουμένων πιεζομένων οὐκ ἂν ῥᾳδίως ἕλοιντο· ἐξετάζουσι δὲ ἄλλου, διατί ὁ δεῖνα πένης, διατί ὁ δεῖνα πηρός, διατί ὁ δεῖνα πλούσιος. οὐ κύπτεις κάτω καὶ καταγινώσκεις σαυτοῦ, καὶ ἐπιτιθεὶς χαλινὸν τῇ γλώσσῃ, καὶ καταστέλλεις τὴν διάνοιαν, καὶ ἀφεὶς τὸ ταῦτα πολυπραγμονεῖν τὴν περιεργίαν ταύτην ἐπὶ τὸν βίον στρέφεις τὸν σόν; διάκυψον εἰς τὰ πεπραγμένα σοι, εἰς τὸ πέλαγος τῶν ἁμαρτημάτων σου, καὶ εἰ περίεργος εἶ καὶ πολυπράγμων, ἀπαίτησον σαυτὸν εὐθύνας τῶν ῥημάτων, τῶν πραγμάτων, ὧν κακῶς εἶπας, ὧν κακῶς ἐποίησας. νῦν δὲ σαυτὸν μὲν ἀνεξέταστον ἀφίης, τῷ Θεῷ δὲ κάθῃ δικάζων, καὶ προστίθης σου τοῖς ἁμαρτήμασιν ἁμαρτήματα. καὶ πῶς ταῦτα οὐκ ἄξια κολάσεως; ἣν γένοιτο πάντας ἡμᾶς ἀποφυγεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εκ τοῦ λόγ. τοῦ εἰς ἀνδριάντ.

Εκ τῆς ἑρμην. τοῦ ἔργ. Ψ λη.

Εκ τοῦ ἀνδρι. αὐτ.

Ψαλμ. ργ.

Εκ τῆς ἑρμην. τοῦ λα. Ψαλ.

ΠΕΡΙ

Λογ. λϛ. ΠΕΡΙ ΣΙΩΠΗΣ ΚΑΙ ΑΠΟΡΡΗΤΩΝ.

Ἐκ τῶν λογ. τῶν εἰς τοὺς ἀνδριάντ.

Σειρ. ιθ. θ.

Λόγος ἁπλῶς προσενεχθεὶς ὁλοκλήρους ἀνέτρεψεν οἰκίας, καὶ ψυχὰς ἀπώλεσε καὶ κατέδυσε. καὶ τῶν μὲν χρημάτων τὴν ζημίαν διορθοῦσθαι πάλιν ἔνι· λόγον δὲ ἐκπηδήσαντα ἅπαξ, ἀνακτήσασθαι πάλιν οὐκ ἔνι. Ἤκουσας λόγον, φησί, συναποθανέτω σοι· σβέσον αὐτόν, κατάχωσον, μὴ συγχωρήσῃς ἐξελθεῖν, μηδὲ κινηθῆναι παράπαν· ἀπόκτεινον τὸ λεχθέν· λήθῃ παράδος, ἵνα τοῖς μὴ ἀκούσασιν ὅμοιος ᾖς. οἱ πολλοὶ τῶν ἀνθρώπων ἐπειδὰν εἴπωσί τι τῶν ἀπορρήτων, παρακαλοῦσι τὸν ἀκούοντα, καὶ ὁρκοῦσι μηδενὶ λοιπὸν εἰπεῖν ἑτέρῳ· αὐτόθεν δηλοῦντες, ὅτι πρᾶγμα ἄξιον κατηγορίας ἐποίησαν. εἰ γὰρ ἐκεῖνον μηδενὶ εἰπεῖν ἑτέρῳ παρακαλεῖς, πολλῷ μᾶλλόν σε πρότερον τοῦτον ταῦτα εἰπεῖν οὐκ ἐχρῆν. εἰ γὰρ βούλει μὴ ἐξενεχθῆναι τὸν λόγον εἰς ἕτερον, μηδὲ αὐτὸς εἴπῃς· ὅτε δὲ προέδωκας ἑτέρῳ τοῦ λόγου τὴν φυλακήν, περιττὰ ποιεῖς καὶ ἀνόητα παραγγέλλων καὶ ὁρκίζων ὑπὲρ τῆς τῶν εἰρημένων φυλακῆς. ἀλλ' ἡδὺ τὸ κακηγορεῖν; ἡδὺ μὲν οὖν τὸ μὴ λέγειν κακῶς. ὁ μὲν γὰρ λέγων κακῶς ἐναγώνιος λοιπόν ἐστι, ὑποπτεύει καὶ δέδοικε, μετανοεῖ καὶ καταρᾶται τὴν ἑαυτοῦ γλῶτταν, δεδοικὼς καὶ τρέμων, μήποτε εἰς ἑτέρους ἐξενεχθὲν τὸ ῥῆμα, μέγαν ἐπαγάγῃ τὸν κίνδυνον. ὁ δὲ παρ' ἑαυτῷ κατέχων ἐν ἀσφαλείᾳ πολλῇ, μετὰ πολλῆς βιώσεται τῆς ἡδονῆς. οὐ γάρ ἐστιν ἄνθρωπον τοὺς ἀλλοτρίους πολυπραγμονοῦντα βίους, τῆς οἰκείας ἐπιμεληθῆναί ποτε ζωῆς. τῆς γὰρ σπουδῆς αὐτῷ πάσης εἰς τὴν τῶν ἑτέρων πολυπραγμοσύνην ἀναλισκομένης, ἀνάγκη τὰ αὐτοῦ ἁπλῶς κεῖσθαι καὶ ἠμελημένως. ὁ δὲ καὶ πικρῶς τὰ ἀλλότρια ἐξετάζων πράγματα, ἐν τοῖς καθ' ἑαυτὸν πλημμελήμασιν οὐδεμιᾶς ἀπολαύσεται συγγνώμης ποτέ. οὐδὲ γὰρ ἀπὸ τῆς φύσεως τῶν πεπλημμελημένων ἡμῖν μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς κρίσεως τῆς περὶ ἑτέρων οἴσει τὴν ψῆφον ὁ Θεός· αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λγ. ΠΕΡΙ ΤΟΥ ΜΗ ΕΠΑΙΣΧΥΝΕΣΘΑΙ ΟΜΟΛΟΓΕΙΝ τὸν τίμιον σταυρόν, καὶ ὡς δι' αὐτοῦ ἔσωσεν ἡμᾶς ὁ Χριστός, καὶ ὡς δεῖ ἐν αὐτῷ καυχᾶσθαι, καὶ περὶ ἀρετῆς, καὶ ὅπως ἐφίεται τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ περὶ ἐλεημοσύνης.

Ματθ. ιϛ. λθ.

Ἰωαν. η. κη.

Ἐκ τῆς ὁμιλ. ν' τῶν εἰς τὸ κατὰ Ματθ. εὐαγγ.

Τοῦτό ἐστιν, ἀδελφοί μου, τὸ σημεῖον, ὅπερ ὁ δεσπότης πᾶσιν ὑπέσχετο δώσειν, λέγων· Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου· τὸν σταυρὸν λέγων, καὶ τὸν θάνατον, καὶ τὴν ταφήν, καὶ τὴν ἀνάστασιν. καὶ πάλιν ἑτέρως δηλῶν τοῦ σταυροῦ τὴν ἰσχύν, ἔλεγεν· Ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι· τουτέστιν, ὅταν σταυρώσητέ με, φησί, καὶ νομίσητε περιγενέσθαι μου, τότε μάλιστα εἴσεσθέ μου τὴν ἰσχύν. [καὶ καλῶς εἶπεν ὁ Χριστός.] μετὰ γὰρ τὸ σταυρωθῆναι Χριστόν, τὰ Ἰουδαϊκὰ ἔθη ἐπαύσαντο, τὸ κήρυγμα ἤνθησε, πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἐξετάθη ὁ λόγος, καὶ γῆ, καὶ θάλαττα, καὶ οἰκουμένη, καὶ ἀοίκητος τὴν δύναμιν αὐτοῦ διαπαντὸς ἀνακηρύττουσι. Μηδεὶς τοίνυν αἰσχυνέσθω τὰ σεμνὰ τῆς σωτηρίας ἡμῶν σύμβολα, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν, δι' ὃ καὶ ζῶμεν, καὶ δι' ὅ ἐσμεν· ἀλλ' ὡς στέφανον, οὕτω περιφέρωμεν τὸν σταυρὸν τοῦ Χριστοῦ. καὶ γὰρ πάντα δι' αὐτοῦ τελεῖται τὰ καθ' ἡμᾶς. κἂν ἀναγεννηθῆναι δέῃ, σταυρὸς παραγίνεται· κἂν τρα-

φῆναι τὴν μυστικὴν ἐκείνην σφραγῖδα, καὶ χριστοποιηθῆναι, καὶ ὁποιονοῦν ἕτερον ποιῆσαι, πανταχοῦ τὸ τῆς νίκης ἡμῖν παρίσταται σύμβολον. διὰ τοῦτο καὶ ἐν οἰκίαις, καὶ ἐπὶ τῶν τοίχων, καὶ ἐπὶ τῶν θυρῶν, καὶ ἐπὶ τοῦ μετώπου, καὶ ἐπὶ τῆς διανοίας μετὰ πολλῆς ἐπιγράφομεν αὐτὸν τῆς σπουδῆς. τῆς γὰρ ὑπὲρ ἡμῶν σωτηρίας καὶ τῆς ἐλευθερίας τῆς κοινῆς, καὶ τῆς ἐπιεικείας ἡμῶν τοῦ δεσπότου τοῦτό ἐστι * τὸ σημεῖον. ὡς πρόβατον γὰρ ἐπὶ σφαγὴν ἤχθη. ὅταν τοίνυν σφραγίζῃ, ἐννόει πᾶσαν τοῦ σταυροῦ τὴν ὑπόθεσιν, καὶ σβέσον τὸν θυμόν, καὶ τὰ λοιπὰ πάντα πάθη. ὅταν σφραγίζῃ, πολλῆς ἔμπλησον τὸ μέτωπον παρρησίας, ἐλευθέραν τὴν ψυχὴν ποίησον. ἴστε δὲ πάντως ποῖά ἐστι τὰ ἐλευθερίαν ἡμῖν παρέχοντα. διὸ καὶ Παῦλος εἰς τοῦτο ἐνάγων ἡμᾶς, εἰς τὴν ἐλευθερίαν λέγω τὴν προσήκουσαν ἡμῖν, οὕτως ἀνήγαγε, τοῦ σταυροῦ καὶ τοῦ αἵματος ἀναμνήσας τοῦ δεσποτικοῦ. Τιμῆς γάρ, φησιν, ἠγοράσθητε, μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. (α. Κορ. ζ. κγ.) ἐννόησον, φησι, τὴν ὑπὲρ σοῦ καταβληθεῖσαν τιμήν, καὶ οὐδενὸς ἀνθρώπων ἔσῃ δοῦλος· τιμὴν δὲ αἷμα λέγων τὸ διὰ σταυροῦ. οὐ γὰρ ἁπλῶς τῷ δακτύλῳ ἐγχαράττειν αὐτὸν δεῖ, ἀλλὰ πρότερον τῇ προαιρέσει μετὰ πολλῆς τῆς πίστεως, καὶ οὕτως ἐντυποῦν αὐτὸν τῇ ὄψει. οὐδεὶς ἐγγύς σου στῆναι δυνήσεται τῶν ἀκαθάρτων δαιμόνων, ὁρῶν τὴν μάχαιραν, ἐν ᾗ τὴν πληγὴν ἔλαβεν· ὁρῶν τὸ ξίφος, ἐν ᾧ τὴν καιρίαν ἐδέξατο. εἰ γὰρ ἡμεῖς τόπους ὁρῶντες, ἐν οἷς τέμνονται οἱ καταδίκοι, φρίττομεν, ἐννόησον τί πείσεται ὁ διάβολος τὸ ὅπλον ὁρῶν, δι᾽ οὗ πᾶσαν αὐτοῦ τὴν δύναμιν ἔλυσεν ὁ Χριστός, καὶ τὴν τοῦ δράκοντος ἀπέταμε κεφαλήν. μὴ τοίνυν ἐπαισχυνθῇς τοσοῦτον ἀγαθόν, ἵνα μή σε ἐπαισχυνθῇ ὁ Χριστός, ὅταν ἔρχηται μετὰ τῆς δόξης αὐτοῦ, καὶ τὸ σημεῖον ἔμπροσθεν φαίνηται λάμπον ὑπὲρ τὴν ἀκτῖνα τοῦ ἡλίου. καὶ γὰρ φανήσεται ὁ σταυρὸς τότε φωνὴν ἀφιεὶς διὰ τῆς ὄψεως, καὶ πρὸς τὴν οἰκουμένην ἅπασαν ἀπολογούμενος ὑπὲρ τοῦ δεσπότου, καὶ δεικνύς, ὅτι οὐδὲν ἐνέλιπε τῶν εἰς αὐτὸν ἡκόντων. τοῦτο τὸ σημεῖον καὶ ἐπὶ τῶν προγόνων ἡμῶν θύρας ἀνέῳξε κεκλεισμένας· τοῦτο δηλητήρια ἔσβεσε φάρμακα· τοῦτο κωνείου δύναμιν ἐξέλυσε· τοῦτο θηρίων δήγματα ἰοβόλων ἰάσατο. εἰ γὰρ ᾅδου πύλας ἀνέῳξε, καὶ οὐρανῶν ἁψῖδας ἀνεπέτασε, καὶ παραδείσου εἴσοδον ἀνεκαίνισε, καὶ τοῦ διαβόλου τὰ νεῦρα ἐξέκοψε, τί θαυμαστὸν εἰ φαρμάκων δηλητηρίων καὶ θηρίων καὶ τῶν ἄλλων τῶν τοιούτων περιεγένετο; τοῦτον τοίνυν ἐγκόλαψον τῇ διανοίᾳ τῇ σῇ, καὶ τὴν σωτηρίαν περίπτυξαι τῶν ἡμετέρων ψυχῶν. οὗτος γὰρ ὁ σταυρὸς τὴν οἰκουμένην ἐπέστρεψε, τὴν πλάνην ἐξήλασε, τὴν ἀλήθειαν ἐπανήγαγε, τὴν γῆν οὐρανὸν ἐποίησε, τοὺς ἀνθρώπους ἀγγέλους εἰργάσατο. διὰ τοῦτον οἱ δαίμονες οὐκέτι φοβεροί, ἀλλ᾽ εὐκαταφρόνητοι· οὐδὲ ὁ θάνατος θάνατος, ἀλλ᾽ ὕπνος. διὰ τοῦτον πάντα ἔρριπται χαμαί, καὶ πεπάτηται τὰ πολεμοῦντα ἡμῖν. ἂν τοίνυν εἴπῃ σοί τις, τὸν ἐσταυρωμένον προσκυνεῖς; εἰπὲ φαιδρᾷ τῇ φωνῇ, καὶ γεγηθότι προσώπῳ, καὶ προσκυνῶ, καὶ οὐ παύσομαί ποτε προσκυνῶν· κἂν γελάσῃ, δάκρυσον αὐτόν, ὅτι μαίνεται. εὐχαρίστησον τῷ δεσπότῃ, ὅτι τοιαῦτα ἡμᾶς εὐηργέτησεν, ἃ μηδὲ μαθεῖν δύναταί τις χωρὶς τῆς ἄνωθεν ἀποκαλύψεως. διὰ γὰρ τοῦτο καὶ οὗτος γελᾷ, ὅτι Ὁ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. (α Κορ β. ιδ.) ἐπεὶ καὶ τὰ παιδία τοῦτο πάσχει, ὅταν τι τῶν μεγάλων ἴδῃ καὶ θαυμαστῶν· κἂν εἰς μυστήρια παιδίον ἀγάγῃς, γελάσεται. τούτοις δὴ καὶ οἱ Ἕλληνες ἐοίκασι τοῖς παιδίοις, μᾶλλον δὲ καὶ τούτων εἰσὶν ἀτελέστεροι· διὸ καὶ ἀθλιώτεροι, ὅτι οὐκ ἐν ἀώρῳ ἡλικίᾳ, ἀλλ᾽ ἐν τελείᾳ τὰ τῶν παιδίων πάσχουσιν· ὅθεν οὐδὲ συγγνώμης ἄξιοί εἰσιν. ἀλλ᾽ ἡμεῖς λαμπρᾷ τῇ φωνῇ μέγα βοῶντες καὶ ὑψηλόν, κράζωμεν, καὶ λέγωμεν, κἂν πάντες παρῶσιν Ἕλληνες, μετὰ πλείονος τῆς παρρησίας εἴπωμεν, ὅτι τὸ καύχημα ἡμῶν ὁ σταυρός, καὶ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἁπάντων, καὶ ἡ παρρησία καὶ ὁ στέφανος ἅπας. ἐβουλόμην δύνασθαι καὶ μετὰ Παύλου λέγειν, Ὅτι ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ, (Γαλ. ς. ιδ.) ἀλλ᾽ οὐ δύναμαι ποικίλοις πάθεσι κατεχόμενος. διὸ παραινῶ καὶ ὑμῖν καὶ πρό γε ὑμῶν ἐ-

μεν τῷ σταυρωθῆναι τῷ κόσμῳ, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὴν γῆν, ἀλλὰ τῆς ἄνω πα-
τρίδος ἐρᾷν, καὶ τῆς ἐκεῖθεν δόξης, καὶ τῶν αἰωνίων ἀγαθῶν*. καὶ γὰρ στρατιῶται βασιλέως
ἐσμὲν οὐρανίου, καὶ ὅπλα ἐνδεδύμεθα πνευματικά. τί τοίνυν καπήλων καὶ ἀγυρτῶν, μᾶλλον δὲ
σκωλήκων βίον μεταχειριζόμεθα; ὅπου γὰρ βασιλεὺς, ἐκεῖ καὶ τὸν στρατιώτην εἶναι δεῖ. καὶ
γὰρ στρατιῶται γεγόναμεν, οὐ τῶν μακρὰν, ἀλλὰ τῶν ἐγγύς. ὁ μὲν γὰρ ἐπὶ γῆς βασιλεὺς, 5
οὐκ ἂν ἀνάσχοιτο πάντας εἶναι ἐν τοῖς βασιλείοις, οὐδὲ παρὰ τὰς αὐτοῦ πλευράς· ὁ δὲ τῶν οὐ-
ρανῶν, ἅπαντας ἐγγὺς εἶναι βούλεται τοῦ θρόνου τοῦ βασιλικοῦ. καὶ πῶς δυνατὸν ἐνταῦθα ὄν-
τας, φησὶ, παρ' ἐκεῖνον ἑστάναι τὸν θρόνον; ὅτι καὶ Παῦλος ἐπὶ γῆς ὢν, ὅπου τὰ σεραφὶμ ἦν,
ὅπου τὰ χερουβὶμ, καὶ *ἐγγυτέρω τούτων τοῦ Χριστοῦ, ἢ οὗτοι οἱ ἀσπιδηφόροι τοῦ βασιλέως. οὗ-
τοι μὲν γὰρ πολλαχοῦ τὰς ὄψεις πολλάκις περιφέρουσιν, ἐκεῖνον δὲ οὐδὲν ἐφάνταζεν, οὐδὲ πε- 10
ριεῖλκεν, ἀλλὰ πᾶσαν τὴν διάνοιαν πρὸς τὸν βασιλέα καὶ Κύριον τεταμένην εἶχεν. ὥ-
στε ἐὰν βουληθῶμεν, δυνατὸν καὶ ἡμῖν τοῦτο*. εἰ μὲν γὰρ τόπῳ διειστήκει, καλῶς ἂν ἠπό-
ρεις· εἰ δὲ πανταχοῦ πάρεστι, τῷ σπουδάζοντι καὶ συντεταμένῳ πλησίον ἐστί. διὰ τοῦτο καὶ
ὁ προφήτης ἔλεγεν, Οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. καὶ αὐτὸς πάλιν ὁ Θεός·
Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ πόρρωθεν. ὥσπερ οὖν αἱ ἁμαρτίαι διιστῶσιν ἡμᾶς αὐτοῦ, οὕ- 15
τω καὶ αἱ δικαιοσύναι συνάγουσιν ἡμᾶς πρὸς αὐτόν. Ἔτι γὰρ λαλοῦντός σου, φησὶν, ἐρῶ, ἰδοὺ
πάρειμι. ποῖος πατὴρ οὕτως ἂν ὑπακούσειέ ποτε τοῖς ἐκγόνοις; ποία μήτηρ οὕτως ἐστὶ πα-
ρεσκευασμένη καὶ διηνεκῶς ἑστηκυῖα, μήποτε καλέσειεν αὐτὴν τὰ παιδία; οὐκ ἔστιν οὐδεὶς,
οὐ πατὴρ, οὐ μήτηρ, ἀλλ' ὁ Θεὸς ἕστηκε διηνεκῶς ἀναμένων, εἴ τις ποτὲ καλέσειεν αὐτὸν τῶν
οἰκετῶν, καὶ οὐδέποτε, καλεσάντων ἡμῶν ὡς δεῖ, παρήκουσε. διὰ τοῦτό φησιν, ἔτι λαλοῦντός 20
σου. οὐκ ἀναμένω σε πληρῶσαι, καὶ εὐθέως ὑπακούσω. καλέσωμεν τοίνυν αὐτὸν, ὡς κλη-
θῆναι βούλεται. πῶς δὲ βούλεται; Λῦε, φησὶ, πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγ-
γαλιὰς βιαίων συναλλαγμάτων, πᾶσαν συγγραφὴν ἄδικον διάσπα· διάθρυπτε πεινῶντι
τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνὸν, περίβαλε, καὶ
ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει. τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ 25
τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ· καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ
Θεοῦ περιστελεῖ σε· τότε ἐπικαλέσῃ με, καὶ εἰσακούσομαί σου· ἔτι λαλοῦντός σου, ἐρῶ, ἰδοὺ
πάρειμι. καὶ τίς ταῦτα πάντα δύναται ποιῆσαι, φησί; τίς δὲ οὐ δύναται, εἰπέ μοι; τί γὰρ
δυσχερὲς τῶν εἰρημένων; τί δὲ ἐργῶδες; τί δὲ οὐ ῥᾴδιον; οὕτω γάρ ἐστιν οὐχὶ δυνατὰ μόνον, ἀλλὰ καὶ
εὔκολα, ὅτι πολλοὶ καὶ τὸ μέτρον τῶν εἰρημένων ὑπερηκόντισαν, οὐκ ἄδικα γραμματεῖα διασπά- 30
σαντες μόνον, ἀλλὰ καὶ τὰ ὄντα ἀποδυσάμενοι πάντα· οὐ στέγῃ καὶ τραπέζῃ τοὺς πτωχοὺς ὑπο-
δεχόμενοι, ἀλλὰ καὶ τῷ τοῦ σώματος ἱδρῶτι κάμνοντες, ὥστε αὐτοὺς διαθρέψαι, οὐ συγγενεῖς
μόνον, ἀλλὰ καὶ ἐχθροὺς εὐεργετοῦντες. τί δὲ ὅλως καὶ δύσκολον τῶν εἰρημένων; οὐδὲ γὰρ εἶπεν,
ὑπέρβηθι τὸ ὄρος, διάβηθι τὸ πέλαγος, διάσκαψον γῆς πλέθρα τόσα καὶ τόσα, ἄσιτος
διάμενε, σάκκον περιβαλοῦ· ἀλλὰ μετάδος τῆς οἰκίας, μετάδος τοῦ ἄρτου, τὰ ἀδίκως 35
κείμενα γραμματεῖα διάρρηξον. τί τούτων εὐκολώτερον, εἰπέ μοι; εἰ δὲ καὶ δύσκολα εἶναι
νομίζεις, σκόπει μοι καὶ τὰ ἔπαθλα, καὶ ἔσται σοι ῥᾴδια πάντα. καθάπερ γὰρ οἱ βασιλεῖς ἐν
ταῖς ἱπποδρομίαις περὶ τῶν ἀγωνιζομένων στεφάνους, καὶ ἱμάτια, καὶ βραβεῖα τιθέασιν· οὕτω δὴ
καὶ ὁ Χριστὸς ἐν μέσῳ τίθησι τῷ σταδίῳ τὰ ἔπαθλα, καθάπερ διὰ πολλῶν χειρῶν τῶν τοῦ
προφήτου ῥημάτων ἐκτείνων αὐτά. καὶ οἱ μὲν βασιλεῖς, κἂν μυριάκις ὦσι βασιλεῖς, ἅτε 40
ἄνθρωποι ὄντες, καὶ εὐπορίαν δαπανωμένην ἔχοντες, καὶ φιλοτιμίαν ἀναλισκομένην, τὰ ὀ-
λίγα πολλὰ φιλοτιμοῦνται δεῖξαι. διὸ καὶ ἓν ἕκαστον ἑκάστῳ τῶν διακόνων ἐγχειρίζοντες,
οὕτως εἰσάγουσιν εἰς τὸ μέσον. ὁ δὲ βασιλεὺς ὁ ἡμέτερος τοὐναντίον· πάντα ὁμοῦ συμ-
φορήσας, ἐπειδὴ σφόδρα ἐστὶν εὔπορος καὶ οὐδὲν πρὸς ἐπίδειξιν ποιεῖ, οὕτως εἰς μέσον
προτίθησιν

Marginalia: * σπουδάζει ἐπιτυχεῖν. * μᾶλλον. * κατηξιοῦνται. Ψαλ. κβ. δ. Ιερ. κγ. κγ. γ. Θεὸς [illegible]. Ησ. νη. θ. γ. ἀναμένω σε πληρῶσαι, ἀλλ' εὐθέως. Ησ. νη. ϛ.

προστίθησιν ἅπερ ἐκταθέντα, ἄπειρα ἔσται, καὶ πολλῶν δεήσεται τῶν κατηχουσῶν χειρῶν. καὶ ἵνα μάθῃς τοῦτο, ἕκαστον αὐτῶν περισκόπησον μετ' ἀκριβείας. Τότε ῥαγήσεται, φησὶ, πρώϊμον τὸ φῶς σου. ἆρα οὐ δοκεῖ σοι ἕν τι εἶναι δῶρον; ἀλλ' οὐκ ἔστιν ἕν. καὶ γὰρ πολλὰ ἔνδον ἔχει, καὶ στεφάνους, καὶ βραβεῖα, καὶ ἕτερα ἔπαθλα· καὶ εἰ βούλεσθε, λύσαντες δείξομεν τὸν 5 πλοῦτον ἅπαντα, καθὼς ἡμῖν οἷόν τε ἐπιδεῖξαι· μόνον μὴ ἀποκάμητε· καὶ πρῶτον μάθωμεν, τί ἐστι ῥαγήσεται. * τὸ ταχὺ καὶ δαψιλὲς ἡμῖν ἐμφαίνει, καὶ πῶς σφόδρα ἐφίεται τῆς ἡμετέρας σωτηρίας, καὶ πῶς ὠδίνει τὰ ἀγαθὰ αὐτὰ προελθεῖν καὶ ἐπείγεται, καὶ οὐδὲν ἔσται τὸ κωλῦον τὴν ἄφατον ῥύμην. δι' ὧν ἁπάντων τὴν δαψίλειαν αὐτῶν ἐνδείκνυται καὶ τὸ ἄπειρον τῆς περιουσίας. τί δέ ἐστι πρώϊμον; τουτέστιν, οὐ μετὰ τὸ ἐν τοῖς πειρασμοῖς γενέσθαι, 10 οὐδὲ μετὰ τὴν τῶν κακῶν ἔφοδον, ἀλλὰ πρόφθάνει. καθάπερ γὰρ ἐπὶ τῶν καρπῶν λέγομεν πρώϊμον τὸ πρὸ τοῦ καιροῦ φανὲν, οὕτω καὶ ἐνταῦθα τὸ ταχὺ πάλιν ἐμφαίνων, οὕτως εἶπεν. ὥσπερ ἀνωτέρω ἔλεγεν, ἔτι λαλοῦντός σου, ἐρῶ, ἰδοὺ πάρειμι. ποῖον δὲ λέγει φῶς, καὶ τί ποτέ ἐστι τοῦτο τὸ φῶς; οὐ τοῦτο τὸ αἰσθητὸν, ἀλλ' ἕτερον πολλῷ βέλτιον, ὃ τὸν οὐρανὸν ἡμῖν δείκνυσι, τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τὰ χερουβὶμ, τὰ σεραφὶμ, τοὺς θρόνους, τὰς κυ15 ριότητας, τὰς ἀρχὰς, τὰς ἐξουσίας, τὸ στρατόπεδον ἅπαν, τὰς πόλεις τὰς βασιλικὰς, τὰς σκηνάς. ἂν γὰρ τοῦ φωτὸς ἐκείνου καταξιωθῇς, καὶ ταῦτα ὄψει καὶ ἀπαλλαγήσῃ γεέννης καὶ τοῦ σκώληκος τοῦ ἰοβόλου, καὶ τῶν βρυγμῶν τῶν ὀδόντων, καὶ τῶν δεσμῶν τῶν ὀδυνηρῶν καὶ τῆς στενοχωρίας, καὶ τῆς θλίψεως, καὶ τοῦ σκότους τοῦ ἀφεγγοῦς, καὶ τοῦ διχοτομηθῆναι, καὶ τῶν ποταμῶν τοῦ πυρὸς, καὶ τῆς κατάρας, καὶ τῶν τῆς ὀδύνης χωρίων, καὶ ἀπελεύσῃ ἔνθα ἀπέδρα ὀδύνη καὶ 20 λύπη, ἔνθα πολλὴ ἡ χαρὰ, καὶ εἰρήνη, καὶ ἀγάπη, καὶ τρυφὴ, καὶ εὐφροσύνη· ἔνθα ζωὴ αἰώνιος, καὶ δόξα ἄρρητος, καὶ κάλλος ἄφραστον· ἔνθα αἰώνιοι σκηναὶ, καὶ ἡ δόξα τοῦ βασιλέως ἡ ἀπόρρητος, καὶ τὰ ἀγαθὰ ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἔνθα ὁ νυμφὼν ὁ πνευματικὸς, καὶ αἱ παστάδες τῶν οὐρανῶν, καὶ αἱ παρθένοι αἱ τὰς φαιδρὰς ἔχουσαι λαμπάδας, καὶ οἱ τὸ ἔνδυμα τοῦ γάμου ἔχοντες· ἔνθα τὰ πα25 λάτια ὑπάρχει τοῦ δεσπότου, καὶ τὰ ταμεῖα τὰ βασιλικά. εἶδες ἡλίκα τὰ ἔπαθλα, καὶ ὅσα διὰ μιᾶς ῥήσεως ἐπεδείξατο, καὶ πῶς πάντα συνεφόρησεν; οὕτω καὶ τῶν ἑξῆς ῥήσεων ἑκάστην ἀναπτύξαντες, πολλὴν εὑρήσομεν τὴν περιουσίαν, καὶ πέλαγος ἀχανές. μὴ οὖν ἀναβαλλώμεθα, μηδὲ ὀκνῶμεν ὑπὲρ τοὺς δεομένους. μὴ, παρακαλῶ, ἀλλὰ κἂν πάντα ῥίψαι δέῃ, κἂν εἰς πῦρ ἐμβληθῆναι, κἂν ξίφους καταπολμῆσαι, κἂν κατὰ μαχαιρῶν ἅλλεσθαι, κἂν ὁτιοῦν παθεῖν, πάντα φέ30 ρωμεν εὐκόλως, ὥστε δυνάσθαι τὸ πνεῦμα τὸ ἅγιον ἔχειν παρ' ἑαυτοῖς. ἀλλὰ καὶ τοὺς ἐγκεχειρισμένους τὴν ἐνέργειαν τῶν θείων μυστηρίων μετὰ πολλῆς θεραπεύωμεν τῆς τιμῆς. μεγάλη γὰρ ἡ τῶν ἱερέων ἀξία. Ὧν ἂν ἀφῆτε, φησὶν, ἀφέωνται αἱ ἁμαρτίαι. διὸ καὶ Παῦλος ἔλεγε· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, καὶ ὑπερεκπερισσοῦ ἡγεῖσθε αὐτοὺς ἐν τιμῇ. σὺ μὲν γὰρ τὰ σαυτοῦ μεριμνᾷς· κἂν ταῦτα διαθῇ καλῶς, οὐδείς σοι τῶν ἄλλων ἔσται λόγος. ὁ δὲ ἱερεὺς 35 κἂν τὸν οἰκεῖον οἰκονομήσῃ βίον καλῶς, τῶν δὲ σῶν μὴ μετ' ἀκριβείας ἐπιμεληθήσεται, μετὰ τῶν πονηρῶν εἰς τὴν γέενναν ἄπεισι, καὶ πολλάκις ἀπὸ τῶν οἰκείων οὐ προδοθεὶς, ἀπὸ τῶν ὑμετέρων ἀπόλλυται, κἂν μὴ πάντα τὰ ἥκοντα εἰς αὐτὸν ἀπαρτίσῃ καλῶς. εἰδότες οὖν τοῦ κινδύνου τὸ μέγεθος, πολλὴν ἀπονέμετε αὐτοῖς εὔνοιαν· ὃ καὶ Παῦλος ᾐνίξατο λέγων, Ὅτι ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. διὸ πολλῆς δεῖ θεραπείας ἀπο40 λαύειν αὐτούς. ἐὰν δὲ ἐπεμβαίνητε μετὰ τῶν ἄλλων αὐτοῖς καὶ ὑμεῖς, οὐδὲ τὰ ὑμέτερα καλῶς διακείσεται. ἕως μὲν γὰρ ἂν ἐν εὐθυμίᾳ διάγῃ ὁ κυβερνήτης, ἐν ἀσφαλείᾳ ἔσται καὶ τὰ τῶν ἐπιβατῶν· ἂν δὲ λοιδορουμένων ἐκείνων καὶ ἀπεχθῶς ἐχόντων πρὸς αὐτὸν, οὐ ταλαιπωρῆσαι οὐδὲ ἀγρυπνεῖν ὁμοίως δύναται, οὔτε τὴν τέχνην διασώζειν, καὶ ἄκων μυρίοις αὐτοὺς περι-

Ἑβρ. ιγ'. ιζ'.

Ἑβρ. ιγ'. ιζ'.

βλαβῇ κακοῖς. οὕτω καὶ ὁ ἱερεὺς, ἂν μὴ ἀπολαύῃ τῆς παρ' ὑμῶν θεραπείας, καὶ τὰ ὑμέτερα
διαθεῖναι καλῶς δυνήσεται· ἂν δὲ ἀθυμίᾳ αὐτὸν περιβάλλητε, τὰς χεῖρας ἐκλύσαντες, εὐ-
χειρώτους μεθ' ὑμῶν αὐτοὺς ποιήσετε τοῖς κύμασι, κἂν σφόδρα γενναῖοι ὦσιν. ἐννόησον τί περὶ
(Ματθ. κγ. β.) τῶν Ἰουδαίων φησὶν ὁ Χριστός. Ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ
Φαρισαῖοι· πάντα οὖν ὅσα λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε. νῦν δὲ οὐκ ἔστιν εἰπεῖν, ἐπὶ τῆς
Μωϋσέως καθέδρας ἐκάθισαν οἱ ἱερεῖς, ἀλλ' ἐπὶ τῆς τοῦ Χριστοῦ· τὴν γὰρ ἐκείνου διε-
(β. Κορ. ε. κ.) δέξαντο διδασκαλίαν. διὸ καὶ Παῦλός φησιν· Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρα-
καλοῦντος δι' ἡμῶν. οὐχ ὁρᾷς ἐπὶ τῶν ἔξωθεν ἀρχόντων ἅπαντας ὑποκύπτοντας, καὶ γένει
βελτίους ὄντας πολλάκις καὶ βίῳ καὶ συνέσει τῶν δικαζόντων αὐτούς; ἀλλ' ὅμως διὰ τὸν δεδω-
κότα οὐδὲν τούτων ἐννοοῦσιν, ἀλλ' αἰδοῦνται τὴν ψῆφον τοῦ βασιλέως, κἂν ὁστισοῦν ὁ λαβὼν
τὴν ἀρχὴν ᾖ. εἶτα ἂν μὲν ἄνθρωπος χειροτονήσῃ, τοσοῦτος ὁ φόβος· τοῦ Χριστοῦ δὲ χειρο-
τονοῦντος, καὶ ὑπερορῶμεν τὸν χειροτονούμενον, καὶ λοιδορούμεθα, καὶ μυρίοις ὀνείδεσι πλύνο-
μεν; καὶ τοὺς ἀδελφοὺς ἡμῶν κωλυθέντες κρίνειν, κατὰ τῶν ἱερέων τὴν γλῶτταν ἀκονῶμεν; καὶ
ποῦ ταῦτα ἀπολογίας ἄξια, ὅταν τὴν μὲν ἐν τῷ ὀφθαλμῷ τῷ ἡμετέρῳ δοκὸν οὐ κατανοοῦ-
μεν, τὸ δὲ κάρφος τοῦ ἑτέρου πικρῶς περιεργαζώμεθα; οὐκ οἶσθα, ὅτι χαλεπώτερον σαυτῷ
ποιεῖς τὸ δικαστήριον οὕτω δικάζων; καὶ ταῦτα λέγω, οὐκ ἀποδεχόμενος τοὺς ἀναξίως τὴν
ἱερωσύνην διοικοῦντας, ἀλλ' ἐλεῶν καὶ δακρύων. οὐ μὴν διὰ τοῦτό φημι παρὰ τῶν ἀρχο-
μένων κρίνεσθαι, κἂν ὁ βίος αὐτῶν σφόδρα διαβεβλημένος ᾖ. σὺ δὲ ἂν σαυτῷ προσέχῃς,
οὐδὲν παραβλαβήσῃ εἰς τὰ ἐγκεχειρισμένα αὐτῷ παρὰ τοῦ Θεοῦ. εἰ γὰρ δι' ὄνου φωνὴν
ἀφεθῆναι ἐποίησε, καὶ διὰ μάντεως εὐλογίας πνευματικὰς ἐχαρίσατο, καὶ ἐν ἀλόγῳ στόμα-
τι καὶ ἐν ἀκαθάρτῳ γλώττῃ τοῦ Βαλαὰμ ἐνεργήσας διὰ τοὺς προσκεκρουκότας Ἰουδαίους,
πολλῷ μᾶλλον δι' ὑμᾶς τοὺς εὐγνώμονας, καὶ εἰ σφόδρα φαῦλοι εἰσὶν οἱ ἱερεῖς, τὰ αὐτοῦ
πάντα ἐργάσεται, καὶ πέμψει τὸ πνεῦμα τὸ ἅγιον. οὐδὲ γὰρ ὁ καθαρὸς ἀπὸ τῆς οἰκείας ἐπι-
σπᾶται αὐτὸ καθαρότητος, ἀλλὰ χάρις ἐστὶν ἡ τὸ πᾶν ἐργαζομένη. Πάντα γάρ, φησι, δι'
(α. Κορ. γ. κβ.) ὑμᾶς, εἴτε Παῦλος, εἴτε Ἀπολλὼς, εἴτε Κηφᾶς. ἃ γὰρ ἐγκεχείρισται ὁ ἱερεὺς, Θεοῦ
μόνον ἐστὶ δωρεῖσθαι· καὶ ὅσῳπερ ἂν ἡ ἀνθρωπίνη φθάσῃ φιλοσοφία, ἐλάττων τῆς χάριτος ἐ-
κείνης φαίνεται. καὶ ταῦτα λέγω, οὐχ ἵνα ῥαθύμως τὸν ἑαυτῶν βίον οἰκονομῶμεν, ἀλλ' ἵνα
μὴ, ῥαθυμούντων τινῶν τῶν προεστώτων, ὑμεῖς οἱ ἀρχόμενοι ἑαυτοῖς πολλάκις ἐπισωρεύ-
ητε τὰ κακά. καὶ τί λέγω τοὺς ἱερεῖς; οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος ἐργάσασθαί τι δύναται
εἰς τὰ δεδομένα παρὰ Θεοῦ, ἀλλὰ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα πάντα οἰκονομεῖ· ὁ δὲ ἱε-
ρεὺς τὴν ἑαυτοῦ δανείζει γλῶτταν, καὶ τὴν ἑαυτοῦ παρέχει χεῖρα. καὶ γὰρ οὐδὲ δίκαιον ἦν
διὰ τὴν ἑτέρου κακίαν, εἰς τὰ σύμβολα τῆς σωτηρίας ἡμῶν τοὺς πίστει προσιόντας παρα-
βλάπτεσθαι. ταῦτ' οὖν ἅπαντα εἰδότες, καὶ τὸν Θεὸν φοβώμεθα, καὶ τοὺς ἱερέας αὐτοῦ ἐν-
τίμως ἔχωμεν, πᾶσαν αὐτοῖς ἀπονέμοντες τιμήν· ἵνα καὶ ὑπὲρ τῶν οἰκείων κατορθωμάτων,
καὶ ὑπὲρ τῆς εἰς ἐκείνους θεραπείας πολλὴν λάβωμεν παρὰ Θεοῦ τὴν ἀμοιβὴν, χάριτι καὶ
φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι,
δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗΣ.

ΟΤαν ἁμαρτίαν συμβεβλημένη ᾖ τῇ ταπεινοφροσύνῃ, οὕτω τρέχει μετ' εὐκολίας, ὡς δικαιοσύνην μετὰ ἀπονοίας οὖσαν ὑπερβαλεῖν καὶ παραλαβεῖν· ἂν δὲ μετὰ δικαιοσύνης αὐτὴν συνάψῃς, ποῦ οὐκ ἀφίξεται; πόσους οὐ διαβήσεται οὐρανούς; παρ' αὐτὸν πάντως στήσεται τοῦ Θεοῦ τὸν θρόνον, ἀνὰ μέσον τῶν ἀγγέλων μετὰ παρρησίας πολλῆς. Εἰ γὰρ οἱ τὰ οἰκεῖα ὁμολογοῦντες ἁμαρτήματα, τοσαύτην ἑαυτοῖς παρέξουσι τὴν παρρησίαν· οἱ τὰ πολλὰ μὲν ἑαυτοῖς συνειδότες ἀγαθά, ταπεινοῦντες δὲ ἑαυτῶν τὴν ψυχήν, πόσων οὐκ ἐπιτεύξονται στεφάνων; ὥστε κἂν μυρία ἄνωθεν οἰκοδομήσῃς, κἂν ἐλεημοσύνην, κἂν εὐχάς, κἂν νηστείας, κἂν πᾶσαν ἀρετήν, ταύτης μὴ προκαταβληθείσης, πάντα εἰκῆ καὶ μάτην ἐποικοδομηθήσεται. Οὐδὲν γάρ ἐστιν, οὐδὲν τῶν ἡμετέρων κατορθωμάτων, ὃ χωρὶς αὐτῆς στῆναι δυνήσεται· ἀλλὰ κἂν σωφροσύνην εἴπῃς, κἂν παρθενίαν, κἂν χρημάτων ὑπεροψίαν, κἂν ὁτιοῦν, πάντα ἀκάθαρτα καὶ ἐναγῆ καὶ βδελυρά, ταπεινοφροσύνης ἀπούσης.

[Ἐκ τοῦ λόγ. τοῦ πρὸς τοὺς ἐκ-εἰς δίεν χωμένους τὸ ἀποστολικὸν ῥητὸν τὸ λέγον, Εἴτε προφάσει, εἴτε ἀληθ.]

Διὰ γὰρ τοῦτο ἐκ δύο οὐσιῶν κατεσκεύασεν ἡμᾶς ὁ Θεός, ἵν', ὅταν μὲν εἰς ἀπόνοιαν ἐπαρθῇς, καταστείλῃ σε τὸ εὐτελὲς τῆς σαρκός· ὅταν δὲ ἀνάξιόν τι καὶ ἀγεννὲς τῆς δοθείσης σοι παρὰ τοῦ Θεοῦ τιμῆς ἐννοήσῃς, ἀναγάγῃ σε πρὸς τὸν τῶν οὐρανίων δυνάμεων ζῆλον ἡ τῆς ψυχῆς εὐγένεια. μέγα γὰρ ἀγαθὸν τὴν οἰκείαν ἐπισκέπτεσθαι συγγένειαν, καὶ εἰδέναι πόθεν συνεστήκαμεν· καὶ γὰρ αὕτη ἀρκοῦσα διδασκαλία, ἡ τῆς φύσεως ἐπίσκεψις, πάντα τὰ πάθη καταστεῖλαι δυναμένη, καὶ ποιῆσαι γαλήνην ἐν διανοίᾳ. ἀναλόγισαι τὴν φύσιν σου καὶ τὴν κατασκευήν, καὶ ἀρκεῖ σοι τοῦτο πρὸς τὸ καταστέλλεσθαι διηνεκῶς.

[Ἐκ τοῦ λόγ. τοῦ περὶ τοῦ μὴ καχυρεῖν.]

Επλάσθη ὁ Αδὰμ ἀπὸ [τῆς] γῆς, ἀλλ' οὐκ εἶδεν ὅπως ἐπλάσθη· οὐ γὰρ ἐχρῆν αὐτὸν μάρτυρα παρεῖναι τῶν γινομένων, ἵνα μὴ ἐπαίρηται κατὰ τοῦ Θεοῦ. Εἰ γὰρ τοσαύτῃ ταπεινώσει περιβεβλημένος ἐπαίρεται, καὶ ἀγνοεῖ τὸν κτίσαντα, καὶ ἀθετεῖ τὸν πλάσαντα, εἰ ἔλαβε τὸ ὑπὲρ τὴν φύσιν, τίς ἂν ἐχώρησεν αὐτοῦ τῆς ὑπερηφανίας τὴν ἀμετρίαν; διὰ τοῦτο ὁ Θεὸς πλάσας τὸν ἄνθρωπον, καὶ δυνάμεις μεγάλας ἐνέθηκε τῷ πλάσματι, καὶ ταπεινώσεις πολλάς, ἵνα διὰ μὲν τῆς ἐγκειμένης δυνάμεως ἡ χάρις τοῦ τεχνίτου θαυμάζηται, διὰ δὲ τῆς ταπεινώσεως τὸ φρόνημα τὸ ἀνθρώπινον καταστέλληται. ἔδωκεν αὐτῷ γλῶτταν φθεγγομένην, Θεὸν ὑμνοῦσαν, τὰ θεῖα ᾄδουσαν, ἑρμηνεύουσαν τὰ κάλλη τῆς κτίσεως. διαλέγεται περὶ οὐρανοῦ καὶ γῆς μικρὸν σαρκίον ἡ γλῶττα, οὐδὲ δύο δακτύλων ἔχουσα μέγεθος. καὶ τί λέγω δακτύλων; οὐδὲ ἄκρον ὄνυχος· ἀλλὰ τὸ ἄκρον ἐκεῖνο τὸ μικρὸν φθέγγεται περὶ οὐρανοῦ καὶ γῆς. καὶ ἵνα μὴ νομίσῃ ὅτι μεγάλη τίς ἐστι, καὶ ὑπὲρ τὴν ἑαυτῆς φύσιν ἐπαίρηται, πολλάκις καὶ φύματα καὶ τραύματα αὐτῇ περιπλέκεται, ἵνα μάθῃ ὅτι θνητὴ οὖσα περὶ τῶν ἀθανάτων λαλεῖ, καὶ ὀφείλει γνωρίζειν, τίς μὲν ἡ τοῦ κηρυττομένου δύναμις, καὶ τίς ἡ ἀσθένεια τοῦ κηρύττοντος. ἔδωκεν αὐτῷ ὀφθαλμόν, τὴν μικρὰν ἐκείνην κέγχρον, καὶ δι' αὐτῆς καθορᾷ πᾶσαν τὴν κτίσιν. καὶ ἵνα μὴ περιλαμβάνων πᾶσαν τῇ ὄψει τὴν κτίσιν ἐπαίρηται, πολλάκις καὶ ὀφθαλμίαι, καὶ λῆμαι, καὶ δάκρυα, καὶ ὅσα θολοῖ τὴν ὄψιν, ἐπιγίνεται, ἵνα ἀπὸ μὲν τῆς ἀσθενείας ἑαυτὸν γνωρίζῃ, ἀπὸ δὲ τῆς δημιουργίας τὸν τεχνίτην ἐκθειάζῃ. εἰ οὖν τοιαύτην ἀσθένειαν περιφέρων [ὁ] ἄνθρωπος, ὑπὸ τῆς ἰδίας εὐτελείας ἐπιλανθάνεται, ὡς καὶ κατὰ δημιουργοῦ θρασύνεσθαι· εἰ ταύτης παντελῶς ἀπήλλακτο τῆς ἀσθενείας, τίς ἂν αὐτὸν ἤνεγκεν ἐπαιρόμενον;

[Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν περὶ φύσεως νόμον.]

Εννόησον τινὶ κοινωνεῖς, ἄνθρωπε, φυσώμενος, καὶ πρὸς ἀλαζονείαν ἐπαιρόμενος, καὶ τοῦ ξένου τὴν θεραπείαν ἐπαισχυνόμενος. καὶ πῶς τοῦτο γένοιτ' ἄν, φησι; Εἰ γὰρ εὐγενής τις εἴη καὶ περιφανὴς καὶ λαμπρὸς καὶ ἐπίσημος, αὐτὸς τοῦ ξένου νίψει τοὺς πό-

[Ἐκ τοῦ λόγ. τοῦ εἰς τό, Χήρα καταλεγέσθω.]

δας; καὶ πῶς οὐκ αἰσχρόν; αἰσχρὸν μὲν οὖν τὸ μὴ νίπτειν μᾶλλόν ἐστι. κἂν γὰρ μυριάκις αὐτοῦ τὴν εὐγένειαν ἐπάρῃς, καὶ τὴν περιφάνειαν, καὶ τὴν λαμπρότητα, τῆς αὐτῆς μετέχει τῷ νιπτομένῳ φύσεως, καὶ σύνδουλός ἐστι τοῦ θεραπευομένου, καὶ ὁμότιμος. ἐννόησον τίς τῶν μαθητῶν τοὺς πόδας ἔνιψε, καὶ παῦσαι περὶ εὐγενείας διαλεγόμενος.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τοὺς αἰδρι- αίτας.

Τὸ γὰρ μὴ μέγα φρονεῖν ἐπὶ τοῖς οὖσιν, οὐ πρὸς τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ πρὸς τὰ παρόντα ἐπιτήδειον. 5 οὐδὲν γὰρ οὕτως ἐπίφθονον, ὡς ἄνθρωπος πλουτῶν· ὅταν δὲ καὶ ἀπόνοια προσῇ τούτῳ, διπλοῦς ὁ κρημνὸς γίνεται. ὁ δὲ μετριάζειν εἰδὼς, ὑποτέμνει τῇ ταπεινοφροσύνῃ τῆς βασκανίας τὴν τυραννίδα, καὶ μετ᾽ ἀσφαλείας ἔχει ἅπερ ἔχει. τοιοῦτον ὁ μισθὸς τούτου. οὐ γὰρ πρὸς τὰ μέλλοντα ἡμᾶς ὠφελεῖ μόνον, ἀλλὰ καὶ ἐνταῦθα ἤδη δίδωσι τὰς ἀμοιβάς. μὴ τοίνυν μέγα φρονῶμεν ἐπὶ πλούτῳ, ἀλλὰ μηδὲ ἐφ᾽ ἑτέρῳ μηδενί. εἰ γὰρ ὁ ἐπὶ τοῖς πνευ- 10 ματικοῖς μέγα φρονῶν οἴχεται καὶ ἀπόλωλε, πολλῷ μᾶλλον ὁ ἐπὶ τοῖς βιωτικοῖς. ἐννοήσωμεν ἡμῶν τὴν φύσιν, ἀναλογισώμεθα τὰ ἁμαρτήματα, μάθωμεν τίνες ἐσμέν, καὶ ἀρκεῖ τοῦτο εἰς πάσης ταπεινοφροσύνης ἡμῖν ὑπόθεσιν.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. (ἄλλ. Ματθ.) εὐαγγ.

Οὗτος γὰρ μάλιστά ἐστιν ὁ ἑαυτὸν εἰδὼς, ὁ μηδὲν ἑαυτὸν εἶναι νομίζων. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ φίλον, ὡς τὸ μετὰ τῶν ἐσχάτων ἑαυτὸν ἀριθμῆσαι.

Ἐκ τοῦ λόγου τοῦ εἰς τὸ, μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινός.

Δεῦτε γάρ, φησι, μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρ- 15 δίᾳ. Εἰ γὰρ μὴ ἤμην πρᾶος, τοῦ βασιλέως ὢν υἱὸς, δούλην ἐπελεξάμην μητέρα; Εἰ μὴ ἤμην πρᾶος ὁ τῆς ἀφανοῦς καὶ φαινομένης οὐσίας δημιουργὸς πρὸς ὑμᾶς ἐπεδήμουν; Εἰ μὴ ἤμην πρᾶος, φάτνης ἐδεχόμην πενίαν, ὁ τῆς κτίσεως ὅλης κεκτημένος τὸν πλοῦτον; Εἰ μὴ ἤμην πρᾶος, τὸν νῶτόν μου παρεῖχον ὑπὲρ αἰχμαλώτων εἰς μάστιγας; τί δὲ τὸ μεῖζον οὐ λέγω; Εἰ μὴ πρᾶος ἤμην, ἄλλων τὸ παθεῖν χρεωστούντων, ὁ μηδὲν ὀφείλων ἐ- 20 γὼ τὸ τοῦ θανάτου χρέος ὑπὲρ ἐκείνων κατέβαλον; οὕτως εἰμὶ πρᾶος, ὅτι ἥμαρτες σὺ, καὶ ἐμαστιγώθην ἐγώ. οὕτως εἰμὶ ταπεινὸς, ὅτι ἱκετεύων τοὺς ἐμοὺς οὐκ αἰσχύνομαι δούλους· διὸ αἱροῦμαι παρακαλεῖν, ἵνα μὴ κολάζειν ἀναγκασθῶ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Φι- λιππησ.

Ὅταν οὖν εἰς ἔννοιαν ἔλθῃς θαυμάσαι σαυτὸν ἐπὶ ταπεινοφροσύνῃ, ἐννόησον τὸν δεσπότην σου τί κατῆλθε, καὶ οὐκέτι θαυμάσεις σαυτὸν, οὐδὲ ἐπαρθήσῃ· ἀλλὰ καὶ καταγελάσεις σαυτοῦ, ὡς οὐδὲν πεποιηκότος. ταπεινὸς εἶ, καὶ πάν- 25 των ἀνθρώπων ταπεινότερος; μὴ διὰ τοῦτο μέγα φρόνει, μηδὲ ἑτέροις ὀνείδιζε, μὴ ἀπολέσῃς τὸ καύχημα. διὰ τοῦτο ταπεινοφρονεῖς, ἵνα ἀπονοίας ἀπαλλαγῇς. ἂν τοίνυν δι᾽ αὐτῆς εἰς ἀπόνοιαν ἐμπέσῃς, κρεῖττον μὴ ταπεινοφρονεῖν.

Ἐκ τοῦ α. λόγου τοῦ εἰς Σταγείρ.

Εἰ δέ τις λέγει βέλτιον εἶναι κατορθοῦντας ἐπαίρεσθαι, ἢ ταπεινωθῆναι πεσόντας, πολὺ καὶ τῆς ἀλαζονείας ἀγνοεῖ τὴν ζημίαν, καὶ τῆς ταπεινοφροσύνης τὸ κέρδος. εὖ γὰρ ἴσθι σαφῶς, ὅτι ἄνθρωπος μετ᾽ ἀπονοίας κατορ- 30 θῶν (εἴγε ὅλως τοῦτό ἐστι κατορθοῦν) ταχέως ἐμπεσεῖται εἰς τὴν ἐσχάτην ἀπώλειαν. καὶ ὁ μὲν ὀλισθῆσαι συγχωρηθεὶς, καὶ μετριάζειν μαθὼν ἀπὸ τοῦ πτώματος, καὶ ἀναστήσεται καὶ ἀνακτήσεται ἑαυτὸν θᾶττον, εἴγε βούλοιτο· ὁ δὲ δοκῶν μὲν εὖ πράττειν μετ᾽ ἀλαζονείας, μηδὲν δὲ πάσχων δεινὸν, οὔτε αἴσθησιν τῆς οἰκείας παρανομίας λήψεταί ποτε, ἀλλὰ καὶ αὐξήσει τὸ δεινὸν, καὶ λύσεται τὴν ἐνθένδε κενὸς ἀπερχόμενος. καὶ τί δήποτε, φησι, οἱ τὰ ὀρθὰ βαδί- 35 ζοντες παρὰ τῶν πειρασμῶν μετὰ τοὺς πειρασμοὺς πολλάκις κατέπεσον; τίς οὖν ὁ καλῶς τοὺς τὰ ὀρθὰ βαδίζοντας ἐπιστάμενος, πλὴν τοῦ πλάσαντος κατὰ μόνας τὰς καρδίας ἡμῶν, καὶ συνιέντος εἰς πάντα τὰ ἔργα ἡμῶν; πολλοὶ γὰρ πολλάκις τῶν δοκούντων ἡμῖν εἶναι χρηστῶν, πάντων εἰσὶ πονηρότεροι. ἵνα δὲ τοὺς τοιούτους ἀφέντες, ἐπὶ τοὺς ὄντως βιοῦντας ὀρθῶς ἔλθωμεν τῷ λόγῳ, τίς οἶδεν, εἰ τὰ μὲν ἄλλα αὐτοῖς κατώρθωται, τὸ δὲ κεφάλαιον ἠμέ- 40 ληται τῶν ἀγαθῶν, ἡ ταπεινοφροσύνη, καὶ διὰ τοῦτο αὐτοὺς ἀφῆκεν ὁ Θεὸς, ἵνα μάθωσιν, ὅτι οὐ τῇ οἰκείᾳ δυνάμει κατώρθουν ἐκεῖνα, ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ;

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ.

Ἐπιείκεια γὰρ λέγεται, οὐχ ὅταν τις παρὰ τῶν ἐν δυναστείᾳ ἀδικούμενος φέρῃ πρᾴως, ἀλλ᾽ ὅταν καὶ ὑπὸ τῶν νομιζομένων ὑποδεεστέρων εἶναι ἐπηρεαζόμενος παραχωρῇ. ὅρα γὰρ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν,

λαν θεραπείαν, καὶ οἵαν εἰς τοὺς οἰκείους αὐτοῦ δούλους ἐπιδείκνυται θεραπείαν. ἡνίκα γὰρ Ἰσαὰκ παρὰ τοῦ βασιλέως Γεράρων, καὶ τῶν ποιμένων, καὶ τῶν ἐγχωρίων ἀδίκως ἀπηλαύνετο τῶν ἰδίων πόνων, οὐκ ἐδυσχέραινεν, οὐδὲ μικρόψυχον ἐπεδείξατο, οὐδὲ ἀνεβόησε πρὸς ἑαυτὸν, οὐδὲ εἶπεν, ὅτι οὐδὲ ἀπολαύειν φρεάτων εἰμὶ κύριος. ἆρα μὴ ἔρημος γέγονα τῆς ἄνωθεν ῥοπῆς; ἆρα μὴ τῆς προνοίας ἀπεστέρημαι τῆς παρὰ τοῦ δεσπότου; οὐδὲν τοιοῦτον οὐκ ἐνενόησεν, οὐκ ἐλογίσατο, ἀλλὰ μετ᾽ ἐπιεικείας πάντα ἔφερε. διὰ τοῦτο καὶ πλείονος ἀπήλαυσε τῆς τιμῆς, καὶ τῆς ἄνωθεν συμμαχίας. ὤφθη γὰρ αὐτῷ Κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπεν· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, καὶ εὐλογήσω σε. *Γεν. κϛ. κδ.* θέλων γὰρ τὸν δίκαιον ἀνακτήσασθαι, καὶ θαῤῥεῖν παρασκευάσαι, ἐπιφαίνεται αὐτῷ, καί φησιν· ἐγώ εἰμι ὁ Θεὸς ὁ τὸν πατέρα τὸν σὸν ἐπίδοξον ποιήσας, καὶ ἐν τοσαύτῃ περιφανείᾳ καταστήσας, καὶ ξένον ὄντα τῶν ἐγχωρίων λαμπρότερον ἀπεργασάμενος· ἐγώ εἰμι ἐκεῖνος, ὁ ἐκεῖνον οὕτως αὐξηθῆναι παρασκευάσας. μὴ τοίνυν φοβοῦ, μετὰ σοῦ γάρ εἰμι· καὶ πληθυνῶ τὸ σπέρμα σου διὰ Ἀβραὰμ τὸν πατέρα σου. πολλὰς γὰρ ὀφείλω τὰς ἀμοιβὰς ἐκείνῳ τῆς εἰς ἐμὲ ὑπακοῆς. ταῦτα ἀκούσας ὁ δίκαιος, ἐν ἀδείᾳ λοιπὸν ἦν· ὁ γὰρ εἰπὼν, μετὰ σοῦ εἰμι, καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου, οὗτος καὶ τὴν περιφάνειαν εἰργάσατο. ὅρα πόση τῆς ταπεινώσεως ἡ ἰσχύς. οἱ γὰρ πρώην ἐλάσαντες, νῦν παραγίνονται πρὸς τὸν δίκαιον, οὐ μόνον ἀπολογούμενοι περὶ τῶν ἤδη γεγενημένων, καὶ συγγνώμην αἰτοῦσιν, ἀλλὰ καὶ ἀνακηρύττουσι. τίς γὰρ ἂν εἴη τούτου ἰσχυρότερος, τοῦ μεθ᾽ ἑαυτοῦ τὸν Θεὸν ἔχοντος; ἰδόντες γὰρ, φασιν, ἑωράκαμεν, ὅτι Κύριος μετὰ σοῦ. ἴδωμεν δὲ πῶς καὶ ὁ τούτου υἱὸς Ἰακὼβ τὴν ἀποδημίαν ποιεῖται διωκόμενος. οὐ μικρὰν γὰρ κἀντεῦθεν καρπωσόμεθα τὴν ὠφέλειαν. Πορευομένου γὰρ εἰς Χαῤῥὰν, ἔδυ ὁ ἥλιος, καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη. *Γεν. κη. ια.* εἶδες ἄφατον φιλοσοφίας; εἶδες πῶς οἱ παλαιοὶ τὰς ὁδοιπορίας ἐποιοῦντο; ἀνὴρ ἐν οἰκίᾳ τραφεὶς, πολλῆς ἀπολαύσας θεραπείας, λαβὼν λίθον, ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ. ὅρα τοῦ παιδὸς τὴν ἀνδρείαν. τῷ λίθῳ αὐτὶ προσκεφαλαίου ἐχρήσατο, καὶ ἐπὶ τοῦ ἐδάφους ἐκάθευδε. διὰ τοῦτο καὶ τῆς τοῦ δεσπότου ὄψεως καταξιοῦται. καί φησιν· Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ τοῦ πατρός σου· ἐγὼ καὶ τὸν πατριάρχην, καὶ τὸν πατέρα τὸν σὸν εἰς τοσαύτην περιφάνειαν αὐξηθῆναι πεποίηκα. μὴ τοίνυν φοβοῦ, ἀλλὰ πίστευε, ὅτι ἐγὼ ὁ κἀκείνοις τὰς ὑποσχέσεις πληρώσας, καὶ σὲ τῆς ἐμῆς ἀξιώσω προνοίας. ἀλλὰ καὶ νῦν μετὰ σοῦ εἰμι, διαφυλάττων σε ἐν τῇ ὁδῷ, οὗ ἐὰν πορευθῇς. μὴ νομίσῃς, φησὶ, μόνος τὴν ὁδοιπορίαν ποιεῖσθαι· ἐμὲ ἕξεις συνοδοιπόρον, ἐμὲ ἕξεις φύλακα ἐν πάσῃ ὁδῷ· μετὰ σοῦ γάρ εἰμι.

Ἐκ τοῦ ἑρμην. τοῦ κατ' Ματθ. εὐαγγ. Εἰ τοίνυν βούλει μεγάλα σου ποιῆσαι τὰ κατορθώματα, μὴ νόμιζε αὐτὰ εἶναι μεγάλα, ἀλλὰ χάριτι ὁμολόγει σώζεσθαι, ἵνα ὀφειλέτην ἑαυτῷ τὸν Θεὸν καταστήσῃς, οὐχὶ τῶν κατορθωμάτων μόνον, ἀλλὰ καὶ τῆς τοιαύτης εὐγνωμοσύνης. ὅταν μὲν γὰρ κατορθῶμεν, τῶν κατορθωμάτων ὀφειλέτην ἔχομεν μόνον· ὅταν δὲ μηδὲ ἡγώμεθά τι κατωρθωκέναι, καὶ αὐτῆς τοῦ οὕτω διακεῖσθαι, καὶ μειζόνως ἢ ἐκείνων.

Ἐκ τοῦ ἑρμην. τῆς πρὸς Ἐφεσ. ἐπισ. Εἰ οὕτω ταπεινοφρονεῖν βούλει, μὴ ἐν ῥήμασι, μηδὲ ἐν σχήμασι μόνον, ἀλλὰ καὶ ἐν πράγμασι, καὶ ἐν φθέγμασι τὴν ἀρετὴν ἐπιδείκνυσο· καὶ μὴ πρὸς τοῦτον μὲν ταπεινὸς, πρὸς δὲ ἐκεῖνον θρασύς, ἀλλὰ πρὸς πάντας ἔσο ταπεινὸς, κἂν φίλος ᾖ, κἂν ἐχθρὸς, κἂν μέγας, κἂν μικρός· τοῦτο γὰρ ταπεινοφροσύνη. ἔστι γὰρ ταπεινὸν μὲν εἶναι, ὀξὺν δὲ καὶ ὀργίλον, ἀλλ᾽ οὐδὲν ὄφελος· πολλάκις γὰρ ὑπὸ τῆς ὀργῆς κατηγμένος πάντα ἀπώλεσε. τὴν γὰρ ἀληθῆ ταπεινοφροσύνην ἐντεῦθεν μάλιστα δεῖ διδάσκεσθαι τοὺς προσέχοντας.

Ἐκ τοῦ ἑρμην. τοῦ κατ' Ματθ. εὐαγγ. Ματθ. ιζ. κδ. Ἐλθόντος τοῦ Ἰησοῦ εἰς Καπερναοὺμ, προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ, καὶ εἶπον, ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; καὶ ὅρα, αὐτῷ μὲν τῷ Χριστῷ οὐκ ἐτόλμησαν προσελθεῖν, τῷ Πέτρῳ δὲ καὶ οὐδὲ τούτῳ μετὰ πολ-

λῆς

λῆς τῆς σφοδρότητος, ἀλλ' ἐπιεικέστερον. οὐδὲ γὰρ ἐγκαλοῦντος, ἀλλ' ἐρωτῶντός ἐστιν ἐλέγειν,
ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; τὴν μὲν γὰρ προσήκουσαν περὶ αὐτοῦ δόξαν οὐ-
δέπω εἶχον, ἀλλ' ὡς περὶ ἀνθρώπου οὕτω διέκειντο· πλὴν ἀπένεμόν τινα αἰδῶ καὶ τιμὴν
διὰ τὰ προλαβόντα σημεῖα. τί οὖν ὁ Πέτρος; ναί, φησι· καὶ τούτοις μὲν εἶπεν ὅτι τελεῖ·
αὐτῷ δὲ οὐκ εἶπεν, ἴσως ἐρυθριῶν ὑπὲρ τούτων αὐτῷ διαλεχθῆναι. τί οὖν ὁ τὰ πάντα
σαφῶς εἰδὼς Θεός; προλαβὼν αὐτὸν φησι· Τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς
ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν, ἢ ἀπὸ τῶν ἀλλοτρίων; ἔφη,
ἀπὸ τῶν ἀλλοτρίων. λέγει αὐτῷ ὁ Ἰησοῦς· ἄρα γε ἐλεύθεροί εἰσιν οἱ υἱοί. ἵνα γὰρ μὴ νο-
μίσῃ ὁ Πέτρος, ὅτι παρ' ἐκείνων ἀκηκοὼς λέγει, προλαμβάνει αὐτόν, τοῦτό τε αὐτὸ δηλῶν, καὶ
παρρησίαν αὐτῷ παρέχων ὀκνοῦντι προτέρῳ περὶ τούτων εἰπεῖν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἐλεύ-
θερος μέν εἰμι τοῦ δοῦναι κῆνσον. εἰ γὰρ οἱ τῆς γῆς βασιλεῖς παρὰ τῶν υἱῶν αὐτῶν οὐ
λαμβάνουσιν, ἀλλ' ἢ παρὰ τῶν ἀρχομένων, πολλῷ μᾶλλον ἐμὲ ἀπηλλάχθαι δεῖ τῆς ἀ-
παιτήσεως ταύτης, οὐκ ἐπιγείου βασιλέως, ἀλλὰ τοῦ τῶν οὐρανῶν ὄντα με υἱὸν καὶ βασι-
λέα. καὶ ταῦτα εἰπών φησιν· Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θά-
λασσαν βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ εὑρήσεις ἐν αὐτῷ
στατῆρα· ἐκεῖνον λαβών, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὅρα πῶς οὔτε παραιτεῖται τὸν φόρον, οὔ-
τε ἁπλῶς κελεύει δοῦναι, ἀλλὰ πρότερον δείξας οὐκ ὄντα ὑπεύθυνον, τότε δίδωσι· τὸ
μὲν, ἵνα ἐκεῖνοι μὴ σκανδαλισθῶσι· τὸ δὲ, ἵνα μὴ οὗτοι. οὐδὲ γὰρ ὡς ὀφείλων δίδωσιν, ἀλλ'
ὡς τὴν ἐκείνων ἀσθένειαν διορθούμενος. καὶ τίνος ἕνεκεν οὐκ ἐξ ἀποκειμένων κελεύει δοῦναι;
ἵνα καὶ ἐν τούτῳ δείξῃ Θεὸν ἑαυτὸν ὄντα τῶν ὅλων, καὶ ὅτι τῆς θαλάσσης κρατεῖ. οὐδὲ γὰρ μι-
κρὸν ἦν ἀπὸ τῶν βυθῶν ἐκείνων προειπεῖν, ὅτι πρῶτος ἐμπεσεῖται ὁ τὸν φόρον τελῶν ἰ-
χθύς, καὶ ὥσπερ ἀμφίβληστρον εἰς τὴν ἄβυσσον ἐκείνην ἀφέντα αὐτὴν τὸ πρόσταγμα, ἀνα-
γαγεῖν τὸν κομίζοντα τὸν στατῆρα, καὶ τὴν θάλασσαν οὕτω ποιῆσαι δωροφορεῖν, καὶ πάντοθεν
τὴν ὑποταγὴν αὐτῆς ἐπιδείκνυσθαι. εἰ τοίνυν βούλει μέγα δεῖξαί σου τὸ κατόρθωμα,
μὴ μέγα φρόνει, καὶ τότε τοῦτο μεῖζον ἀπέφηνας. εἰ γὰρ ὅταν ἁμαρτωλοὶ ὦμεν, ἂν νομίσω-
μεν τοῦτο εἶναι ὅπερ ἐσμέν, δίκαιοι γινόμεθα, ὥσπερ οὖν καὶ ὁ τελώνης· ὅταν δίκαιοι ὄντες ἁμαρ-
τωλοὺς ἑαυτοὺς εἶναι νομίζωμεν, πόσῳ μᾶλλον; ἂν μὲν γὰρ εἴπῃς σαυτὸν εὐδόκιμον, γέγονας
ἄχρηστος, κἂν εὐδόκιμος ᾖς· ἂν δὲ ἀχρεῖον ὀνομάσῃς, γέγονας εὔχρηστος, κἂν ἀδόκιμος ᾖς. ὡς
γὰρ ὑπερηφάνοις οἶδεν ὁ Θεὸς ἀντιτάσσεσθαι, οὕτω διδόναι χάριν τοῖς ταπεινοῖς· ὅτι αὐτῷ
πρέπει δόξα καὶ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. λε.

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ ΚΑΙ ΜΑΚΡΟΘΥΜΙΑΣ.

Εἰ βούλεσθε, προθῶμεν ὑμῖν εἰς ὑπομονῆς παράκλησιν, ἀγαπη-
τοί, τὰ τοῦ δικαίου Ἰὼβ ἀνδραγαθήματα. ἐκεῖνος γάρ, ἐκεῖνος ὁ τοσαύτης
ἀπολαύσας δόξης, καὶ παρὰ πάντων δορυφορούμενος, καὶ πανταχοῦ
μετὰ πολλῆς ἀνακηρυττόμενος τῆς περιφανείας, εἰς ἀτιμίαν καὶ εὐ-
τέλειαν ἀθρόον κατενεχθείς, πενίᾳ, καὶ νόσῳ, καὶ παίδων ἀποβολῇ, καὶ
ἐχθρῶν ἐπαναστάσει, καὶ φίλων ἀγνωμοσύνῃ, καὶ λιμῷ, καὶ σφοδροῖς ὀδύ-
ναις, καὶ λοιδορίαις, καὶ συκοφαντίαις προσεπάλαιε· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ ἀμελετή-
τῳ ὄντι ταῦτα ἐπέθεντο. ὁ γὰρ ἐκ πενήτων τεχθείς, καὶ ἐν οἰκίᾳ τοιαύτῃ τραφείς, ἅτε γεγυμνασ-
μένος καὶ μελετήσας, ῥᾳδίως ἂν ἐνέγκοι τὸ τῆς πενίας βάρος· ὁ δὲ τοσούτοις περιρρεόμενος χρή-
μασι, καὶ τοσούτῳ πλούτῳ κομῶν, εἶτα ἀθρόον εἰς τὸ ἐναντίον μεταπεσών, οὐκ ἂν εὐκόλως ὑπο-
μείνῃ τὴν τοιαύτην μεταβολήν. καὶ ὁ παῖδας ἀποβαλὼν πάλιν, κἂν ἅπαντας ἀποβάλῃ, μὴ ἐν ἑνὶ

δὲ καιρῷ, τοὺς λειπομένους τῶν ἀπελθόντων ἔχει παραμυθίαν· καὶ τῆς τῶν προτέρων τελευτῆς τοῦ πάθους λήξαντος, ἂν ἡ τοῦ δευτέρου προσγένηται μετὰ χρόνον, τούτῳ αὐτῷ προσηνέστερον γίνεται τὸ πάθος. οὐ γὰρ νεαρῷ ὄντι ἔπεισι τῷ ἕλκει, ἀλλὰ κοιμισθέντι ἤδη καὶ ἀφανισθέντι· ὅθεν οὐκ ὀλίγον ὑποτέμνεται τῆς ὀδύνης. οὗτος δὲ ὁλόκληρον αὐτῷ τὸν χορὸν εἶδεν ἐν μιᾷ ἀναρπασθέντα καιροῦ ῥοπῇ, καὶ τρόπῳ πικροτάτῳ τελευτῆς, καὶ ἐν ὥρᾳ συμποσίου, καὶ ἐν οἰκίᾳ τῇ τοῖς ξένοις ἀνεῳγμένῃ, καὶ τάφος αὐτοῖς ὁ οἶκος ἐγένετο. τίς δ' ἂν εἴποι τὸν λιμὸν ἐκεῖνον τὸν καινότερον, καὶ ἑρμηνεῦσαι μὴ δυνάμενοι, τὸν ἑκούσιον, τὸν ἀκούσιον; οὐ γὰρ οἶδα πῶς αὐτὸν καλέσω. ἑκούσιον; ἀλλ' ἐβούλετο ἀπολαύσασθαι τῶν προκειμένων. ἀλλ' ἀκούσιον; ἀλλὰ παρῆν τὰ σιτία, καὶ οὐδεὶς ὁ κωλύων ἦν· ἀλλὰ καὶ παρακειμένης ἀπείχετο τῆς τραπέζης, καὶ ὁρωμένων οὐχ ἥπτετο τῶν σιτίων. τῶν γὰρ περὶ τὸ σῶμα τραυμάτων ἡ δυσωδία προαπαντῶσα κατέλυε τὴν ἐπιθυμίαν, καὶ αὐτὴν ἐνεπίμπλα τὴν τράπεζαν τῆς ἀηδίας. Βρῶμον γάρ, φησιν, ὁρῶ τὰ σιτία μου. καὶ ἡ μὲν ἀνάγκη τοῦ λιμοῦ τῶν προκειμένων ἅπτεσθαι ἐβιάζετο· ἡ δὲ ὑπερβολὴ τῆς δυσωδίας τῆς ἐκ τῶν σαρκῶν γινομένης ἐνίκα τοῦ λιμοῦ τὴν βίαν. πῶς ἂν διηγησαίμην τὰς ὀδύνας, τὰς πηγὰς τῶν σκωλήκων, τὸν ἰχῶρα τὸν καταρρέοντα, τὰ ὀνείδη τῶν φίλων, τὴν καταφρόνησιν τῶν οἰκετῶν; Οὐ γὰρ ἐφείσαντό μου, φησιν, οἱ οἰκέται μου ἀπὸ προσώπου ἐμπτυσμάτων· καὶ οὓς οὐχ ἡγησάμην ἀξίους εἶναι κυνῶν τῶν ἐμῶν νομάδων, οὗτοι νῦν ἐπιτεθείκασί μοι, καὶ νουθετοῦσί με ἐλάχιστοι. ἆρα οὐχὶ χαλεπὰ ταῦτα ἅπαντα εἶναι δοκεῖ; καὶ γάρ ἐστι χαλεπὰ καὶ ἀφόρητα· ἀλλ' ὅμως ὅτι κατηξίωσεν ὁ φιλάνθρωπος Θεὸς εἰπεῖν αὐτῷ τῶν ἀγώνων τούτων τὴν αἰτίαν, ὅτι ἵνα δίκαιος ἀναφανῇς ταῦτα συνεχωρήθη, οὕτως ἀνέπνευσεν, ὡς μηδὲν δόξαι πεπονθέναι τῶν λυπηρῶν ἐκείνων. Ὡς γὰρ ἐν τῷ σκάμματι τὸν ἀθλητὴν καὶ ἱδρῶτι καὶ κόνει καὶ θέρμῃ πολλῇ καὶ πόνοις καὶ ταλαιπωρίαις μάχεσθαι δεῖ· οὕτω καὶ τὸν δίκαιον ἐν τούτῳ πολλὰ ὑπομένειν χρή, καὶ φέρειν ἅπαντα γενναίως, εἴγε μέλλοι λαμπροὺς ἀπολήψεσθαι τοὺς στεφάνους ἐκεῖ. Εἰ γὰρ δὴ σῶμα μακαρίζομεν τὸ δυνάμενον ψῦχος καὶ καῦμα ἀλύπως φέρειν, καὶ λιμὸν καὶ ἔνδειαν καὶ ὁδοιπορίαν καὶ ταλαιπωρίας ἑτέρας· πολλῷ μᾶλλον ψυχὴν μακαρίζειν δεῖ τὴν δυναμένην καρτερῶς καὶ γενναίως ἁπάσας τῶν δεινῶν φέρειν τὰς προσβολάς, καὶ διατηρεῖν ἀδούλωτον αὐτῆς διαπαντὸς τὸ φρόνημα. ὥσπερ γὰρ ἡ ἀργίας καὶ ἀδείας ἀπολαύουσα ψυχή, εὐκόλως ὑπὸ τῶν παθῶν ἁλίσκεται, οὕτω καὶ ἡ διηνεκῶς τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν ἐσχολακυῖα, οὐδὲ σχολὴν ἂν ταῦτα ἐννοῆσαί ποτε, τῆς περὶ τὰ παλαίσματα μερίμνης πάντων αὐτὴν ἀπαγούσης ἐκείνων. Οὐ γὰρ τὸ ποιῆσαί τι χρηστὸν μόνον, ἀλλὰ καὶ τὸ παθεῖν τι κακόν, πολλὰς ἔχει τὰς ἀμοιβάς. καὶ δείκνυσιν ὁ Ἰὼβ ἀπὸ τῶν παθημάτων μᾶλλον, ἢ ἀπὸ τῶν κατορθωμάτων εὐδοκιμήσας. Οὐδὲ γὰρ οὕτω λαμπρὸς ἦν, ἡνίκα τὰ χρήματα ἐκέκτητο, καὶ τὴν οἰκίαν ἀνέῳγε τοῖς πένησι, καὶ τὰ ὄντα ἐξεδίδου, ὡς ὅτε ἀκούσας αὐτὴν καταπεσοῦσαν οὐκ ἀπεδυσπέτησεν. οὐκ ἦν οὕτω λαμπρός, ὅτε ἀπὸ τῆς κουρᾶς τῶν προβάτων τοὺς γυμνοὺς περιέβαλλεν, ὡς ἦν λαμπρὸς καὶ εὐδόκιμος, ὅτε ἀκούσας, ὅτι πῦρ κατέπεσε καὶ πάντα ἀνήλωσεν, ηὐχαρίστησε. τότε φιλάνθρωπος ἦν, νῦν ἐγένετο φιλόσοφος· τότε ἠλέει τοὺς πένητας, νῦν δὲ εὐχαρίστει τῷ δεσπότῃ. καὶ οὐκ εἶπε πρὸς ἑαυτόν, τί ποτε τοῦτό ἐστι; τὰ ποίμνια ἀνήλωται ἀφ' ὧν ἐτρέφοντο μυρίοι πένητες· καὶ εἰ ἀνάξιος ἤμην ἐγὼ ἀπολαύειν εὐπορίας, διὰ γοῦν τοὺς μετέχοντας ἔδει φείσασθαι. ἀλλ' οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν· ἀλλ' ᾔδει τὸν Θεὸν πρὸς τὸ συμφέρον πάντα οἰκονομοῦντα. καὶ ἵνα μάθῃς ὅτι μείζονα ὕστερον ἔδωκε τὴν πληγὴν τῷ διαβόλῳ, ὅτε ἀφαιρεθεὶς ηὐχαρίστησεν, ἢ ὅτε κεκτημένος ἠλέει, ἄκουσον. ὅτε ἐκέκτητο, κἂν ὑποψίαν εἶχεν εἰπεῖν ὁ διάβολος, ὅτι μὴ δωρεὰν σέβεταί σε Ἰώβ; ἐπεὶ δὲ πάντα ἔλαβε καὶ πάντων αὐτὸν ἐγύμνωσεν, ὁ δὲ τὴν αὐτὴν εὔνοιαν πρὸς τὸν Θεὸν διετήρησε, τότε λοιπὸν ἐνε-

Ἰωβ. λ. α.

Ἐκ τοῦ λόγ. τοῦ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως.

Ἐκ τῆς πρὸς Κορ. β'. ἐπισ.

Ἐκ τῶν ἀνδριάντ.

φράγη

φράγῃ τὸ ἀναίσχυντον αὐτοῦ στόμα, καὶ οὐκ ἔτι οὐδὲν ἔχειν εἰπεῖν. λαμπρότερος γὰρ ἦν ἀπὸ
τῶν προτέρων ὁ δίκαιος ὤν. τοῦ γὰρ ἐν πλούτῳ ζῶντα ποιεῖν ἐλεημοσύνην, τὸ πάντα
ἀφαρπαγέντα γενναίως ἐνεγκεῖν καὶ μετ' εὐχαριστίας, πολλῷ μεῖζόν ἐστι. Τὸ μὲν γὰρ
ἐξ οὐρίας φερομένων τῶν πραγμάτων εὐχαριστεῖν τῷ Θεῷ, θαυμαστὸν οὐδέν· ὅταν δὲ πολὺ
τὸ κλυδώνιον ᾖ, καὶ τὸ σκάφος περιτρέπηται καὶ κινδυνεύῃ, τότε ἐστὶν ἡ πολλὴ τῆς ὑπομονῆς καὶ 5
τῆς εὐγνωμοσύνης ἐπίδειξις. Εἰ γὰρ οἱ μυρία συνειδότες ἑαυτοῖς κακά, ἂν ὀλίγον
χρυσίον ἀπολέσωσι, καὶ τοῦτο πολλάκις ἐξ ἁρπαγῆς ἔχοντες, ἀβίωτον τὸν βίον εἶναι νομίζουσι·
πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιος ὁ Ἰὼβ, τὰ ἐκ δικαίων συλλεγέντα ὁρῶν ἁπλῶς, καὶ ὡς ἔ-
τυχεν ἁρπαζόμενα· καὶ μετὰ πάντα ἐκεῖνα μυρίας ὑπομένων [πειρασμῶν] νιφά-
δας, καὶ διὰ πάντων ἀκίνητος μένων, καὶ τὴν προσήκουσαν περὶ τούτων ἀναφέ- 10
ρων τῷ δεσπότῃ εὐχαριστίαν; ἂν [μὲν] γὰρ μηδὲν τῶν ἄλλων μηδεὶς εἴπῃ, τὰ τῆς
γυναικὸς μόνον ῥήματα καὶ πέτραν ἦν ἱκανὰ διασαλεῦσαι. Εἰ γὰρ ἐν εὐθυμίᾳ ὄντας, καὶ
μηδὲν πάσχοντας ἄνδρας πολλοὺς πολλάκις ἔπεισαν [αἱ] γυναῖκες· ἐννόησον πῶς ἦν ἐκείνη
νεανικὴ ψυχή, ἡ μετὰ τοσούτων ὅπλων αὐτὴν ἀποκρουσαμένη. ὅταν γὰρ γυνὴ ᾖ, καὶ ἐλε-
εινὰ λέγῃ, καὶ τὸν καιρὸν ἔχῃ συμπράττοντα, καὶ τὰ τραύματα καὶ τοὺς μώλωπας, καὶ 15
μυρία κύματα τῶν λογισμῶν, πῶς οὐκ ἄν τις δικαίως ἀδάμαντος παντὸς στερροτέραν τὴν
οὐδὲν ὑπὸ τοσούτου χειμῶνος παθοῦσαν ψυχὴν ἀποφήνηται; δότε μοι μετὰ παρρησίας εἰ-
πεῖν, ὅτι καὶ τῶν ἀποστόλων εἰ μὴ μείζων, ἀλλ' οὐκ ἐλάττων ὁ μακάριος ἐκεῖνος ἦν. οὗτοι
μὲν γὰρ τὸ διὰ τὸν Χριστὸν ταῦτα πάσχειν παρεμυθοῦντο· ἐκεῖνος δὲ [καὶ] ταύτης ἔρημος ἦν
τῆς παραμυθίας· καὶ τὸ δὴ μεῖζον, ὅτι ἐν πολλῇ τρυφῇ τραφείς, οὐκ ἐξ ἁλιέων καὶ τελω- 20
νῶν καὶ τῶν εὐτελῶς βεβιωκότων, ἀλλὰ τοσαύτης ἀπολελαυκὼς τῆς τιμῆς ἔπασχεν ἅπαν-
τα. καὶ ὃ φορτικώτατον ἐπὶ τῶν ἀποστόλων εἶναι ἐδόκει, αὐτὸς ὑπέμεινε παρὰ φίλων καὶ
οἰκετῶν καὶ τῶν εὖ πεπονθότων, οὐ παρὰ τῶν ἐχθρῶν ὀνειδιζόμενος καὶ μισούμενος. Καὶ
ὅτι ταῦτα τοῦτον εἶχε τὸν τρόπον, φέρε λοιπὸν κατορθωμάτων καὶ παθημάτων ποιησώμεθα σύγ-
κρισιν· ἵνα μάθητε σαφῶς, ὅτι οὐ κατορθώμασι μόνον, ἀλλὰ καὶ παθήμασιν ἀμοιβαὶ κεῖνται, 25
καὶ ἀμοιβαὶ σφόδρα μεγάλαι, καὶ κατορθώμασιν οὐκ ἐλάττους. καὶ εἰσαγάγωμεν, εἰ
δοκεῖ, αὖθις τοῦτον τὸν μέγαν τῆς ὑπομονῆς ἀθλητὴν Ἰὼβ, τὸν ἑκατέροις διαλάμψαν-
τα τούτοις, καὶ ἴδωμεν συγκρίναντες πότε λαμπρότερος ἦν, ὅτε τὴν οἰκίαν αὐτοῦ πᾶσι τοῖς
παροδεύουσιν ἀνέῳξεν, ἢ ὅτε κατενεχθείσης αὐτῆς οὐδὲν ἐφθέγξατο ῥῆμα πικρόν, ἀλλ' εὐφήμησε
τὸν Θεόν. πότε φαιδρότερος ἦν, εἰπέ μοι; ὅτε ἔθυεν ὑπὲρ τῶν παίδων καὶ πρὸς ὁμόνοιαν 30
αὐτοὺς ἦγεν, ἢ ὅτε καταχωσθέντων, καὶ τῷ πικροτάτῳ τρόπῳ τῆς τελευτῆς καταλυσάντων
τὸν βίον, μετὰ πολλῆς τῆς φιλοσοφίας ἤνεγκε τὸ συμβάν; πότε μᾶλλον ἐξέλαμψεν; ὅτε
ἀπὸ τῆς κουρᾶς τῶν ἀρνῶν αὐτοῦ ἐθερμάνθησαν τῶν γυμνῶν οἱ ὦμοι, ἢ ὅτε ἀκούσας ὅτι
πῦρ ἐξ οὐρανοῦ ἔπεσε καὶ κατέφαγε τὴν ἀγέλην μετὰ τῶν ποιμένων, οὐ διεθρυβήθη, οὐδὲ
διεταράχθη, ἀλλὰ πράως ἤνεγκε τὴν συμφοράν; πότε μείζων ἦν; ὅτε τῇ ὑγείᾳ τοῦ σώμα- 35
τος πρὸς τὴν τῶν ἀδικουμένων ἐκέχρητο προστασίαν, συντρίβων τὰς μύλας τῶν ἀδίκων,
καὶ ἐκ μέσου ὀδόντων αὐτῶν ἐξαρπάζων ἁρπάγματα· ἢ ὅτε τὸ σῶμα τοῦτο αὐτοῦ, τὸ τῶν ἀδικου-
μένων ὅπλον, ἑώρα κατεσθιόμενον ὑπὸ τῶν σκωλήκων, καὶ καθήμενος ἐπὶ τῆς κοπρίας αὐτὸς αὐτὸ
κατέξαινε λαβὼν ὄστρακον; Τήκω γὰρ βώλακας γῆς ἀπὸ ἰχῶρος ξέων, φησί. καίτοι ἐκεῖνα μὲν
πάντα κατορθώματα, ταῦτα δὲ παθήματα ἦν· ἀλλ' ὅμως ταῦτα αὐτὸν λαμπρότερον ἐ- 40
κείνων ἀπέφηνεν. ἐκείνων μὲν γὰρ γινομένων, εἰ καὶ ἀναισχύντως σφόδρα καὶ ἰταμῶς, ἀλλ' ὅμως
ἀντεῖπεν ὁ διάβολος λέγων· Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; τούτων δὲ συμβαινόντων, ἐγκα-
λυψάμενος ἀνεχώρησε νῶτα δούς, καὶ οὐδὲ ἀναισχύντου τινὸς ἀντιλογίας σκιὰν γοῦν ἔχων προ-
βαλέσθαι. Τοιγαροῦν ὅταν ἴδῃς ἄνδρα δίκαιον μεγάλα κατορθοῦντα, καὶ μυρία πάσχον-

τα

Margin notes (left): Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ. — Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ. — Ἐκ τῆς πρὸς Ὀλυμπιάδα γ. ἐπισ. — ... τῆς πρὸς ... ρ. α. ἐπισ.

Margin notes (right): γρ. ἀπόδειξις — γρ. νιφ. — γρ. συμπ... — γρ. ἐλάττω. — γρ. ἑκατέροις διαλάμψ. — γρ. παριοῦσιν

τὰ δεινά, μὴ θαυμάσῃς· τοιοῦτον γὰρ ἐστὶ θαυμάζειν. εἰ πολλὰς λαμβάνων ὁ διάβολος πληγὰς ἐμμένει ἡσυχάζων, καὶ πράως φέρειν τὰ τραύματα. οὐδὲ γάρ, εἰ ὄφις κεντούμενος συνεχῶς ἀγριαίνοι, καὶ ἐφάλλοιτο τῷ κεντοῦντι, θαυμάζειν χρή· καὶ τὸν ἐκ πολέμου δὲ καὶ νίκης καὶ σφαγῆς ἐπανιόντα ἀνάγκη καὶ ἡμάχθαι, πολλάκις δὲ καὶ τραύματα ἔχειν. ὅταν τοίνυν ἴδῃς τινὰ ἐλεημοσύνας ποιοῦντα, καὶ ἄλλα μυρία ἐργαζόμενον ἀγαθά, καὶ ταύτῃ συγκόπτοντα τοῦ διαβόλου τὴν δύναμιν, εἶτα πειρασμοῖς περιπίπτοντα καὶ κινδύνοις, μὴ διὰ τοῦτο θορυβηθῇς. διὰ γὰρ τοῦτο περιέπεσε πειρασμοῖς, ἐπειδὴ σφόδρα ἔπληξε τὸν διάβολον. καὶ πῶς ὁ Θεὸς συνεχώρησε, φησίν; ἵνα μᾶλλον στεφανωθῇ· ἵνα πλείονα τὴν πληγὴν λάβῃ ἐκεῖνος. μέγα μὲν γάρ, καὶ ἐξ οὐρίας φερομένων τῶν πραγμάτων, καὶ ἐλεεῖν καὶ ἀρετῆς ἀντέχεσθαι· πολλῷ δὲ μεῖζον, τὸ δεινὰ πάσχοντα ἀμετάστρεπτον καὶ μετὰ πλείονος ἔχεσθαι τῆς προθυμίας τῶν ὑπὲρ τῆς ἀρετῆς πόνων. Ὥσπερ γὰρ ἐπὶ τῶν ἁμαρτανόντων οἱ μηδὲν παθόντες δεινὸν ἐνταῦθα, μείζονα ὑφίστανται [τὴν] τιμωρίαν ἐκεῖ· οὕτως ἐπὶ τῶν κατορθούντων οἱ πολλὰ παθόντες ἐνταῦθα δεινά, πολλῆς ἀπολαύσονται ἐκεῖ τῆς τιμῆς. καὶ καθάπερ ἁμαρτωλῶν ὄντων δύο, ὧν ὁ μὲν ἐνταῦθα κολασθῇ, ὁ δὲ μὴ κολασθῇ, μακαριώτερος ὁ κολασθεὶς τοῦ μὴ κολασθέντος ἐστίν· οὕτω δὴ καὶ δικαίων ἐνταῦθα ὄντων δύο, ὧν ὁ μὲν πλείους, ὁ δὲ ἐλάττους ὑπομείνῃ τὰς θλίψεις, μακαριώτερος ὁ τὰς πλείους ὑπομείνας ἐστίν.

Ἐκ τοῦ γ. λόγ. τοῦ εἰς τὸν πλούσιον καὶ τὸν Λάζ.

Οἱ δὲ τὴν τοῦ Θεοῦ παιδείαν εὐχαρίστως μὴ φέροντες, ἀλλὰ δυσανασχετοῦντες, πρὸς τῷ μηδὲν ἐξ αὐτῆς καρπώσασθαι, καὶ ταῖς ἐσχάταις ἑαυτοὺς περιβάλλουσι συμφοραῖς.

Ἐκ τοῦ α. λόγ. τοῦ εἰς τὸ Σταυ.

Ἀλλ᾽ ἐν πενίᾳ διάγεις καὶ λιμῷ καὶ μυρίοις κινδύνοις; οὐκοῦν ἀπὸ τῶν πενήτων μάθε εὐχαριστεῖν τῷ δεσπότῃ. οὗτοι γὰρ πάντα τὸν βίον ἑαυτῶν ἐν τῷ ἐπαιτεῖν καταναλίσκοντες οὐ βλασφημοῦσιν, οὐκ ἀγανακτοῦσιν, οὐδὲ δυσχεραίνουσιν, ἀλλ᾽ εὐχαρίστως φέρουσι. τί γὰρ τοιοῦτον ἔπαθες, οἷον ἐκεῖνος; ἐξεκόπης τὸν ὀφθαλμόν; ἀλλ᾽ ἐκεῖνος τοὺς δύο. ἐνόσησας νόσον μακράν; ἐκεῖνος δὲ καὶ ἀνίατον. ἀπέβαλες τοὺς παῖδας; ἀλλ᾽ ἐκεῖνος καὶ τὴν ὑγείαν τοῦ οἰκείου σώματος. ἐζημιώθης ζημίαν μεγάλην; ἀλλ᾽ οὐδέπω πρὸς τὸ ἑτέρων δεῖσθαι κατέστης.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσ. α. ἐπισ.

Ἀλλ᾽ οὐκ ἀρκεῖ ταῦτα; ἐννόησόν μοι τὸν Ἰὼβ τὸν τῆς ὑπομονῆς ἀπερίτρεπτον πύργον. τίς γὰρ τούτου πενέστερος γέγονεν, ὃς καὶ τῶν ἐν βαλανείοις ἐρριμμένων, καὶ τῶν ἐν τῇ καμιναίᾳ τέφρᾳ καθευδόντων, καὶ πάντων ἁπλῶς ἀνθρώπων πενέστερος ἦν. οὗτοι μὲν γὰρ κἂν ἱμάτιον ἔχουσι διερρωγός· ἐκεῖνος δὲ γυμνὸς ἐκάθητο· καὶ ὃ μόνον ἱμάτιον εἶχε παρὰ τῆς φύσεως, τῆς σαρκὸς τὴν περιβολήν, χαλεπῇ σηπεδόνι καὶ τοῦτο διέφθειρεν ὁ διάβολος. καὶ οἱ μὲν πένητες κἂν ὑπὸ στέγην εἰσὶ προπυλαίων τῶν ἐν τοῖς βαλανείοις, κἂν καλάμῃ καλύπτονται· ἐκεῖνος δὲ αἴθριος διανυκτερεύων ἀεὶ διετέλει, οὐδὲ τὴν ἀπὸ ψιλῆς στέγης παραμυθίαν ἔχων· καὶ τὸ δὴ μεῖζον, ὅτι οὗτοι μὲν πολλὰ ἑαυτοῖς συνίσασι τὰ δεινά (καὶ οὐ μικρὸν τοῦτο εἰς παραμυθίαν συμφορᾶς, τὸ συνειδέναι ἑαυτῷ δικαίως τιμωρουμένῳ) ἐκεῖνος δὲ καὶ ταύτης ἀπεστέρητο τῆς παραμυθίας, καὶ πολιτείαν ἐπιδειξάμενος ἀρετῆς γέμουσαν, τὰ τῶν ἔσχατα τετολμηκότων ὑπέμεινε. καὶ οὗτοι μὲν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἐνεμελέτησαν τῇ συμφορᾷ· ἐκεῖνος δὲ ἀμελέτητον ὑπέμεινε πενίαν, ἀθρόον δεξάμενος τὴν ἐκ τοῦ πλούτου μεταβολήν. εἶδες αὐτὸν πρὸς ἐσχάτην ἐλθόντα πενίαν καὶ μεθ᾽ ἣν ἑτέραν οὐκ ἔστιν εὑρεῖν; τί γὰρ ἂν τοῦ γυμνοῦ καὶ μηδὲ στέγην ἔχοντος πενέστερον γένοιτ᾽ ἄν, μηδὲ ἐδάφους αὐτοῦ ἀπολαύοντος; οὐ γὰρ ἐπὶ τῆς γῆς, ἀλλὰ καὶ ἐπὶ τῆς κοπρίας ἐκάθητο. οὐκοῦν ὅταν ἴδῃς σαυτὸν ἐν πενίᾳ γενόμενον, ἐννόησον τοῦ δικαίου τὸ πάθος, καὶ εὐθέως διαναστήσῃ, καὶ πάντα ἀποκρούσῃ λογισμὸν τῆς ἀθυμίας. εἰ δὲ βούλει καὶ τὸν παρὰ τῆς φύσεως πόλεμον τὸν μετὰ πολλῆς τῆς ὑπερβολῆς τῷ γενναίῳ τούτῳ ἐπιτεθέντα ἀκούειν, πρόσεχε ὧ λέγω. δέκα παιδία ἀπώλεσε, τὰ δέκα ἀθρόον, ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, τὰ δέκα πολλὴν ἀρετὴν ἐπιδεδειγμένα, καὶ οὐδὲ τῷ κοινῷ τῆς φύσεως νόμῳ, ἀλλὰ βιαίῳ θανάτῳ καὶ ἐλεεινῷ. τίς ἂν ἔχοι

Ἐκ τοῦ λόγ. τοῦ ὅτι ἐκ ῥᾳθυμίας ἡ κακία

τοιαύτην

τοιαύτην συμφορὰν εἰσφέρειν; ποῖος σιδηροῦς ἄνθρωπος, ποῖος ἀδάμας τοσαῦτα ἂν ὑπομεῖναι δύναιτο; οὐκ ἔστιν οὐδεὶς, οὐκ ἔστιν. εἰ γὰρ καὶ καθ' ἑαυτὸ τούτων ἕκαστον ἀφόρητον, ἐννόησον ὡς ὁμοῦ πάντα συνελθόντα πόσον ἤγειρε καὶ τὸν θόρυβον. ὅταν τοίνυν ἀποβάλῃς υἱὸν καὶ θυγατέρα ὁμοῦ, ἀνάδραμε πρὸς τὸν δίκαιον ἐκεῖνον, καὶ πάντως εὑρήσεις πολλὴν σεαυτῷ τὴν παραμυθίαν. Αναμνήσθητι τῶν ῥημάτων αὐτοῦ τῶν ἐπὶ τῇ συμφορᾷ τῶν παίδων, ἃ μυρίων 5 στεφάνων μᾶλλον ἀνέδησε τὴν ἁγίαν κεφαλὴν ἐκείνην. λόγισαι δὲ μέγεθος τῆς συμφορᾶς, καὶ τὸ καινὸν ἐκεῖνο ναυάγιον, καὶ τὴν ξένην καὶ παράδοξον ἐκείνην τραγῳδίαν. σὺ μὲν γὰρ ἴσως ἕνα ἀπώλεσας, ἢ δεύτερον, ἢ τρίτον· ἐκεῖνος δὲ τοσούτους καὶ τοσαύτας· καὶ ὁ πολύπαις ἐξαίφνης ἄπαις ἐγίνετο· καὶ οὐδὲ κατὰ μικρὸν αὐτῷ τὰ σπλάγχνα ἀνηλίσκετο, ἀλλ' ἀθρόον ἅπας ὁ καρπὸς ἀνηρπάζετο, καὶ οὐδὲ προϊόντος, οὐδὲ παραμυθουμένου, ἵνα, κἂν ἑκάστῳ 10 των ἀκούσας τῶν ῥημάτων, ἔχῃ τινὰ παραμυθίαν τῆς οὕτω πικρᾶς τελευτῆς· ἀλλὰ παρὰ ἐλπίδα πᾶσαν καὶ θάτερον ὑπερέβαλλε θατέρου τῶν λυπηρῶν. οὐ γὰρ ἄωρος θάνατος μόνον, ἀλλὰ καὶ τὸ ἐν ἀκμῇ πάντας εἶναι· τὸ ἐναρέτους εἶναι καὶ φιλικούς· τὸ πάντας ὁμοῦ· τὸ φύσεως εἶναι ἑκατέρας· τὸ μὴ τῷ κοινῷ νόμῳ τῆς φύσεως· τὸ μετὰ τοσαύτην ζημίαν· τὸ μηδὲν ἑαυτῷ συνειδότα πονηρὸν, μηδὲ ἐκείνοις, ταῦτα παθεῖν. τούτων γὰρ ἕκαστον ἱκανὸν μὲν καὶ 15 καθ' ἑαυτὸ θορυβῆσαι· ὅταν δὲ καὶ ὁμοῦ φαίνηται συντρέχοντα, ἐννόησον τῶν κυμάτων ὅσον τὸ ὕψος, ὅση τοῦ χειμῶνος ἡ ὑπερβολὴ καὶ τῆς ζάλης. Θαυμαστὰ μὲν οὖν ταῦτα καὶ ἁπλῶς ἀκουόμενα· ἂν δὲ μετ' ἀκριβείας ἐξετάσῃς αὐτὰ, τότε μειζόνως ὄψει τὸ θαῦμα. ἐννόησον γὰρ ὅτι οὐχὶ τοὺς ἡμίσεις ἔλαβεν ὁ διάβολος, καὶ τοὺς ἡμίσεις ἀφῆκεν, οὐδὲ τοὺς πλείονας ἔλαβε, καὶ τοὺς ἐλάττους ἀφῆκεν, ἀλλ' ὁλόκληρον ἐτρύγησε τὸν καρπὸν, καὶ τὸ δένδρον οὐ κατέβαλε· πᾶσαν ἐπήγαγε τὴν θάλασσαν μετὰ τῶν κυμάτων, καὶ τὸ σκάφος οὐ κατεπόντισεν· ὅλην τὴν δύναμιν ἐκένωσε, καὶ τὸν πύργον οὐκ ἔσεισεν, ἀλλ' εἱστήκει πάντοθεν βαλλόμενος [καὶ] ἀκλινὴς μένων· καὶ νιφάδες ἐφέροντο βελῶν, καὶ οὐκ ἐπλήττετο, μᾶλλον δὲ ἐπέμποντο μὲν, οὐκ ἐτίτρωσκον δέ. ἐννόησον ὅσον ἐστὶ τὸ τοσούτους παῖδας ἀπολωλέναι. τί γὰρ οὐκ ἦν ἱκανὸν δακρύειν; οὐχὶ τὸ πάντας ἀναρπασθῆναι; οὐχὶ τὸ πάντας ἀθρόον καὶ ἐν μιᾷ ἡμέρᾳ; οὐχὶ τὸ ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει; οὐχὶ τὸ πολλὴν ἀρετὴν ἐπιδεικνυμένους, καὶ τὸ ἔσω τῆς τιμωρίας τοιούτῳ καταλῦσαι τὸν βίον; οὐχὶ τὸ μετὰ τοσαύτας πληγὰς ἐσχάτην ἐπενεχθῆναι ταύτην; οὐχὶ τὸ φιλόστοργον εἶναι τὸν γεγεννηκότα; οὐ τὸ ποθεινοὺς εἶναι τοὺς ἀπελθόντας; ὅταν μὲν γὰρ πονηρούς τις ἀποβάλληται παῖδας, δάκνεται μὲν τῷ πάθει, πλὴν ἀλλ' οὐ μετὰ τοσαύτης τῆς σφοδρότητος· ἡ γὰρ πονηρία τῶν ἀπελθόντων δριμυτέραν οὐκ ἀφίησι γενέσθαι τὴν ὀδύνην. ὅταν δὲ καὶ ἐνάρετοι ὦσι, μόνιμον τὸ τραῦμα γίνεται, οὐχὶ τὸν ἀπὸ τῆς φύσεως μόνον ἐπιδεικνυμένῳ πόθον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς εὐλαβείας. πάλιν, ὅταν κατὰ μέρος ἀναρπάζωνται, ἔχει τινὰ παραμυθίαν τὸ πάθος· οἱ γὰρ ἐπιλειπόμενοι τὴν ἐπὶ τοῖς ἀπελθοῦσι συσκιάζουσιν ἀθυμίαν. ὅταν δὲ ὁλόκληρος ὁ χορὸς ἀπέλθῃ, πρὸς τίνα δυνήσεται ἰδεῖν ὁ πολύπαις, ἀθρόον ἄπαις γενόμενος; εἰ γὰρ ἐν τρισὶν ἢ πέντε ἡμέραις ἀπελθόντων τινῶν, αἱ γυναῖκες καὶ οἱ προσήκοντες ἅπαντες τοῦτο μάλιστα πάντων ὀλοφύρονται, ὅτι ταχέως καὶ ἐξαίφνης ἀνηρπάγη τῆς ἐκείνων ὄψεως ὁ τετελευτηκώς· πολλῷ μᾶλλον τότε ἂν ἤλγησεν, οὐκ ἐν ἡμέραις τρισὶ καὶ δύο καὶ μιᾷ, ἀλλ' ἐν ὥρᾳ μιᾷ ἅπαντας οὕτως ἀφαιρεθείς. τὸ γὰρ μεγετηθὲν τῷ χρόνῳ δεινὸν, κἂν σφόδρα ἀφόρητον ᾖ, τῇ προσδοκίᾳ κοῦφον ἂν γένοιτο ῥᾳδίως· τὸ δὲ παρὰ ἐλπίδα συμβὰν καὶ ἐξαίφνης, κἂν φύσει κοῦφον ᾖ, τῷ παρὰ ἐλπίδα συμβῆναι καὶ ἐξαίφνης ἀφόρητον γίνεται. ὅταν οὖν τι καὶ καθ' ἑαυτὸ χαλεπὸν ᾖ, καὶ τὴν ἐκ τοῦ παρὰ ἐλπίδα συμβῆναι λάβῃ προσθήκην, ἐννόησον πῶς ἀφόρητον γίνεται καὶ πάντα ὑπερβαίνει λόγον. οὐδὲ γὰρ ἐπὶ κλίνης εἶδεν αὐτοὺς ἀποπνέοντας καὶ ψυχορραγοῦντας, ἀλλὰ τῇ οἰκίᾳ καταχωσθέντας ἅπαντας. ἐννόησον τοίνυν, τίς [ἄρα] ἦν ἀφόρητον ἐκεῖνο τὸ χῶμα· καὶ νῦν

μὲν

Εκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α'. ἐπισ. ὁμιλ. κη.

Εκ τοῦ λόγ. τοῦ εἰς τὸ, περὶ δὲ τῶν κεκοιμημένων.

γ. λυπούντων

γ. ἀκμῇ πάντας εἶναι τοὺς ἑαυτοῦ.

γ. ἀνήρπασαν

μετὰ λίθον, νῦν δὲ μόνος ἀνέλκων παιδίον, καὶ χεῖρα ἰδὼν ἐπὶ φιάλην κατέχουσαν, καὶ δεξιὰν ἑτέραν ἐπικειμένην τῷ πίνακι, καὶ ἄλλον τοῦ σώματος διεφθαρμένον τὸν τύπον· ῥινὸς συντριβείσης, κεφαλῆς διακλασθείσης, ὀφθαλμῶν ἀφανισθέντων, ἐγκεφάλου διεσπαρμένου, πάσης ἁπλῶς τῆς μορφῆς διεφθαρμένης, καὶ τῆς τῶν τραυμάτων ποικιλίας οὐκ ἀφιείσης τὸν πατέρα τῶν τεθνεώτων ὄψεων ἐπιγνῶναι τὸν τύπον. συνεχύθητε ταῦτα ἀκούοντες, καὶ δακρύετε; ἐννοήσατε τοίνυν τίς ἦν ἐκεῖνος ταῦτα ὁρῶν. εἰ γὰρ ἡμεῖς μετὰ τοσοῦτον χρόνον οὐ δυνάμεθα ἀδακρυτὶ τῆς τραγῳδίας ἐκείνης τὴν ἀκοὴν ἐνεγκεῖν, καὶ ταῦτα ἀλλοτρίας ἀκούοντες συμφοράς, τίς ἦν ὁ ἀδάμας ἐκεῖνος, ὃς ἅμα ταῦτα παραλαμβάνων, οὐκ ἐν ἀλλοτρίοις, ἀλλ' ἐν οἰκείοις ἐφιλοσόφει κακοῖς; οὐδὲ γὰρ ἀπεδυσπέτησεν, οὐδὲ εἶπε, τί ποτε τοῦτό ἐστιν; αὕτη μοι τῆς φιλοφροσύνης ἡ ἀμοιβή; διὰ τοῦτο τοῖς ξένοις ἠνέῳξά μου τὴν οἰκίαν, ἵνα τάφον τῶν παίδων γενομένην αὐτὴν ἐπίδω; διὰ τοῦτο πᾶσαν περὶ αὐτοὺς ἀρετὴν ἐπεδειξάμην, ἵνα τοιοῦτον ὑπομείνωσι θάνατον; οὐκ εἶπε τούτων οὐδὲν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερε πάντα γενναίως, καὶ μετὰ τοσαύτην ἐπιμέλειαν αὐτῶν ἀφαιρεθείς. ἆρ' οὖν ταῦτα μόνα αὐτῷ συνέβη τὰ δεινά; ἡ δὲ τῶν φίλων ἐγκατάλειψις καὶ προδοσία, τὰ δὲ σκώμματα καὶ αἱ λοιδορίαι, ἡ δὲ χλευασία καὶ ὁ γέλως, τὸ δὲ ὑπὸ πάντων διασύρεσθαι, ἆρα φορητὰ ταῦτα καὶ παραμυθίας ἄξια; ταῦτά γε οὐδὲ ἀκοῦσαι φορητά, μήτιγε διὰ τῶν πραγμάτων αὐτῶν ὑπομεῖναι. οὐδὲ γὰρ οὕτως ἡ τῶν συμφορῶν φύσις, ὡς οἱ παρὰ τὰς συμφορὰς ἡμῖν ὀνειδίζοντες, δάκνειν εἰώθασιν ἡμῶν τὴν ψυχήν. Θέα δέ μοι κἀντεῦθεν λοιπὸν τὸ ἐπιεικὲς καὶ φιλόθεον τῆς γενναίας ἐκείνης καὶ ἀδαμαντίνης ψυχῆς. ἐπειδὴ γὰρ ἑαυτὸν μὲν ἐν τοῖς ἐσχάτοις ὄντα ἑώρα, τὴν πᾶσαν ἐπελθόντα ἀρετήν, πονηροὺς δὲ ἀνθρώπους καὶ γόητας εὐημεροῦντας, οὐκ εἶπεν οὐδὲν τοιοῦτον, οἷα εἰκός τινας τῶν ἀσθενεστέρων εἰπεῖν· ἐπὶ τούτοις ἔθρεψα τοὺς παῖδας, καὶ μετὰ ἀκριβείας ἤσκησα πάσης; ἐπὶ τούτοις ἀνέῳξά μου τὴν οἰκίαν τοῖς παριοῦσιν, ἵνα μετὰ τοὺς πολλοὺς δρόμους ἐκείνους, τοὺς ὑπὲρ τῶν δεομένων, τοὺς ὑπὲρ τῶν γυμνῶν, τοὺς ὑπὲρ τῶν ὀρφανῶν, ταύτας ἀπολάβω τὰς ἀμοιβάς; ἀλλ' ἀντὶ τούτων τὰ πάσης θυσίας κρείττονα ῥήματα ἀνήνεγκεν ἐκεῖνα εἰπών· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. εἰ δὲ διέρρηξε τὰ ἱμάτια, καὶ τὴν κόμην ἀπεκείρατο, μὴ θαυμάσῃς· πατὴρ γὰρ ἦν, καὶ πατὴρ φιλόστοργος, καὶ ἔδει δειχθῆναι καὶ τὴν τῆς φύσεως συμπάθειαν, καὶ τὴν τῆς γνώμης φιλοσοφίαν· εἰ γὰρ μηδὲ τοῦτο ἐποίησε, τάχα ἄν τις καὶ ἀναισθησίας ἐνόμισε τὴν φιλοσοφίαν ταύτην. Καὶ σὺ τοίνυν ὅταν χρήματα ἀπολέσῃς τὰ σά, καὶ μὴ δυσχεράνῃς, ἀλλὰ γενναίως ἐνεγκὼν εὐχαριστήσῃς τῷ Θεῷ, καὶ τὰ τοῦ Ἰὼβ ἀποφθέγξῃ ῥήματα· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, κέρδος τὴν ζημίαν διὰ τούτων ἐποίησας. τί λέγεις; ὁ Κύριος ἀφείλετο; ὁ κλέπτης ἀφείλετο, καὶ πῶς δυνήσομαι εἰπεῖν, ὁ Κύριος ἀφείλετο; μὴ θαυμάσῃς. καὶ γὰρ ὁ Ἰὼβ, ἃ ὁ διάβολος ἔλαβε, ταῦτα ἔφησεν ὅτι ὁ Κύριος ἀφείλετο. καὶ πῶς ἃ ὁ κλέπτης ἔλαβε, σὺ οὐκ ἐρεῖς ὅτι ὁ Κύριος ἀφείλετο; μὴ γὰρ εἴπῃς, οὐκ ἔχω χάριν· οὐκ ἐμῆς γνώμης τὸ πρᾶγμα ἦν· οὐκ εἰδότος, οὐδὲ βουλομένου ὁ λῃστὴς ἔλαβε· ποῖος ἔσται μοι μισθός; οὐδὲ γὰρ τοῦ Ἰὼβ εἰδότος, οὐδὲ βουλομένου ταῦτα ἐγίνετο. πῶς γάρ; ἀλλ' ὅμως οὐκ ἔλαττον ἔχει τῶν ἐλεημοσύνην δόντων ἐκεῖνος, ὁ μὴ δοὺς τότε. ἂν δὲ καὶ πρὸς μάντιν σε παραινέσωσί τινες ἀπελθεῖν, σὺ δὲ διὰ τὸν τοῦ Θεοῦ φόβον, ἐπειδὴ κεκώλυται, ἕλῃ μᾶλλον μὴ λαβεῖν τὰ χρήματα, ἢ παρακοῦσαι τοῦ Θεοῦ, ἴσον ἔχεις τὸν μισθὸν τῶν εἰς πένητας αὐτὰ δεδωκότων, ὅτι ἀπολέσας ηὐχαρίστησας, καὶ δυνάμενος πρὸς μάντεις ἀπελθεῖν, εἵλου μὴ λαβεῖν αὐτὰ μᾶλλον, ἢ οὕτω λαβεῖν. καθάπερ γὰρ ἐκεῖνος διὰ τὸν τοῦ Θεοῦ φόβον εἰς τοὺς δεομένους ἐκένωσεν, οὕτω καὶ σὺ διὰ τὸν τοῦ Θεοῦ φόβον, ἁρπασάντων ἐκείνων, οὐκ ἀνέλαβες. ἀπεστέρησέ σε χρημάτων ἐκεῖνος; σὺ σαυτὸν μὴ ἀποστερήσῃς τῆς σωτηρίας. ἀλγῶν γὰρ ἐφ' οἷς παρ' ἑτέρων κακῶς ἔπαθες, αὐτὸς πλείοσι σαυτὸν

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α΄. ἐπισ.

Ἰωβ. α. κα.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Θεσ. α΄. ἐπισ.

περιβάλλεις κακοῖς. ἐκεῖνός σε ἴσως πενίᾳ περιέβαλε· σὺ δὲ σαυτὸν ἐν τοῖς κυρίοις κατα-
βλάπτεις κακούργως. ἐκεῖνος ἀπεστέρησέ σε τὰ ἐκτὸς σοῦ ὄντα, καὶ ὕστερον καὶ ἄκοντός σου ἀποπη-
δήσαντα· σὺ δὲ τὸν αἰώνιον πλοῦτον σαυτοῦ ἀφαιρῇ. ἐλύπησέ σε ὁ διάβολος ἀφελόμενος τὰ χρή-
ματα· λύπησον αὐτὸν καὶ σὺ εὐχαριστήσας, καὶ μὴ δυσφράνῃς. ἂν πρὸς σαυτὸν ἀπέλθῃς, εὐ-
φράνας· ἂν εὐχαριστήσῃς τῷ Θεῷ, καιρίαν ἔδωκας αὐτῷ τὴν πληγήν. καὶ ὅρα τί γίνεται· οὔτε αὐτὰ
εὑρήσεις ἀπελθὼν πρὸς τοὺς μάντεις. οὐ γάρ ἐστιν ἐκείνων εἰδέναι. εἰ δέ που καὶ εἴποιεν ἐπιτυχόντες,
καὶ τὴν ψυχὴν προσαπολλύεις, καὶ ὑπὸ τῶν ἀδελφῶν καταγελασθήσῃ τῶν σῶν, καὶ πάλιν
αὐτὰ κακῶς ἀπολέσεις. ὁ γὰρ δαίμων εἰδὼς ὅτι ζημίαν οὐ φέρεις, ἀλλὰ ὑπὲρ τούτων καὶ
τὸν Θεόν σου ἀρνῇ, πάλιν χρήματα δίδωσιν, ἵνα ἀφορμὴν ἔχῃ τοῦ πάλιν σε ἀπατῆσαι καὶ
ἀποστῆσαι. καὶ καθάπερ ἡμεῖς ἐκεῖνα τοῖς ἐχθροῖς διατιθέμεν, οἷς λυποῦμεν αὐτούς· ἂν δὲ 10
ἴδωμεν ὅτι οὐκ ἀλγοῦσιν, ἀφιστάμεθα λοιπὸν, ὡς οὐκ ἔχοντες αὐτοὺς δάκνειν· οὕτω καὶ ὁ διά-
βολος, ἂν ἴδῃ καταγελῶντα καὶ καταφρονοῦντά σε τῆς αὐτοῦ ἐγχειρήσεως, ἀποστήσεται
τῆς τοιαύτης ὁδοῦ, προσεγγίζων οὐκέτι. ἔξεστιν οὖν σοι ταῦτα ὑπομένοντα τοσοῦτον λα-
βεῖν μισθὸν, ὅσον ἂν εἰ ἑκὼν ἔρριψας αὐτά. καὶ εἰκότως τοῦτον μᾶλλον θαυμάζομεν, τὸν ἐ-
πηρείας εὐχαρίστως φέροντα, ἢ τὸν ἑκόντα διδόντα. τί δήποτε; ὅτι ἐκεῖνος μὲν τοῖς ἐπαίνοις 15
τρέφεται καὶ τῷ συνειδότι, καὶ χρηστὰς ἔχει τὰς ἐλπίδας, καὶ πρότερον γενναίως ἐνεγκὼν τὴν
στέρησιν τῶν χρημάτων, τότε αὐτὰ ἔρριψεν· οὗτος δὲ ἔτι προσδεδεμένος ἀφῃρέθη βίᾳ. οὐκ
ἔστι δὲ ἴσον, πρότερον πεισθέντα ἀποστῆναι χρημάτων, οὕτως αὐτὰ κενῶσαι, καὶ ἔτι αὐτῶν
ποθοῦντα ἀποστερηθῆναι· οὐδὲ πάλιν ἐν πολλῷ χρόνῳ μελετῆσαι καταφρονῆσαι τῶν χρη-
μάτων, καὶ ἀθρόον ζημίαν συμβᾶσαν ὑπενεγκεῖν. Ὁ μὲν γὰρ ἔτι προεσκευασμένος 20
πρὸς τὰ δεινὰ, ῥᾷον ἂν ἐνέγκῃ τὴν τούτων ἐπαγωγήν· ὁ δὲ ἀναπεσὼν, καὶ τῶν φροντίδων ἀ-
πολύσας τοὺς λογισμοὺς, ἂν συμβῇ τι τοιοῦτον πάλιν, οἷα καὶ πρότερον, διπλῇ ταράττεται καὶ
δυσχείρωτος γίνεται, τῷ τε ἀπροσδοκήτῳ, καὶ τῷ διαλελύσθαι τὴν σπουδὴν ἅπασαν αὐτῷ,
καὶ τὴν πρὸς ἐκεῖνα παρασκευήν. οὐ μικρὸν δὲ εἰς ὀδύνης λόγον, ἀλλὰ καὶ πάντων ἀφο-
ρητότερον, ὅταν τις ἀπηλλάχθαι νομίσας, καὶ πρὸς τὸ τέλος ἥκειν αὐτὸ, καὶ φροντίδα καὶ μέριμναν 25
ἅπασαν ἀποθέμενος, πάλιν ἄνωθεν ἀρχὴν ἑτέραν εὕρῃ τῶν δυσχερῶν. Διὰ τί γὰρ τὴν
γυναῖκα τοῦ Ἰὼβ μετὰ τῶν τέκνων οὐκ ἠφάνισεν ὁ διάβολος; ἐπειδὴ ἤλπιζε μεγάλα αὐτῷ συν-
τελεῖν πρὸς τὴν ἐπιβουλὴν ἐκείνου. εἰ γὰρ παραδείσου, φησὶ, δι' αὐτῆς ἐξέβαλον τὸν
Ἀδὰμ, πολλῷ μᾶλλον ἀπὸ κοπρίας ὑποσκελίσαι δυνήσομαι τὸν Ἰώβ. καὶ θέα τὴν κα-
κουργίαν. οὐδὲ γὰρ τῶν βοῶν ἀπολλυμένων προσήγαγε τὸ μηχάνημα τοῦτο, οὐδὲ τῶν ὄ- 30
νων, οὐδὲ τῶν καμήλων, οὐδὲ τῆς οἰκίας κατενεχθείσης, οὐδὲ τῶν παίδων καταχωσθέντων·
ἀλλὰ σιγᾷ τέως, καὶ ἡσυχάζειν ἐᾷ, τὸν ἀθλητὴν ὁρῶν. ὅτε δὲ τῶν σκωλήκων ἀνέβλυσεν ἡ
πηγὴ, καὶ σηπόμενον τὸ δέρμα κατέρρει, καὶ δαπανώμεναι αἱ σάρκες ἰχῶρας πολλοὺς γέμοντας
δυσωδίας ἐποίουν· καὶ τηγάνων καὶ καμίνων καὶ πάσης φλογὸς ὀδυνηρότερον αὐτὸν ἡ τοῦ διά-
βολου κατηνάλισκε χεὶρ, θείου παντὸς χαλεπώτερον διατρώγουσα πάντοθεν καὶ κατεσθί- 35
ουσα τὸ σῶμα, καὶ πολὺς ἐν τῇ τοιαύτῃ συμφορᾷ παρῆλθεν ὁ χρόνος, καὶ διὰ ταῦτα αὐτὸν
εἶδε διψῶντα ἀπαλλαγῆς καὶ ἀποθανεῖν ἐπιθυμοῦντα, ὡς οὐδὲ ἀναπνεῖν ἔχοντα (Εἰ γὰρ
δυναίμην, φησὶν, ἐμαυτὸν χειρώσασθαι, ἢ δεηθῆναι ἑτέρου καὶ ποιήσει μοι τοῦτο) τότε αὐ-
τὴν προσάγει καί φησι· Μέχρι τίνος καρτερεῖς λέγων, ἰδοὺ ἀναμένω χρόνον τινὰ ἔτι μι-
κρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου; καὶ γὰρ ἐκεῖνος ἐνοχλοῦσαν ἀεὶ πα- 40
ραμυθούμενος καὶ διακρουόμενος τοιαῦτα ἐφθέγγετο· ἀνάμεινον ἔτι μικρὸν, καὶ ταχέως ἔσται
τούτων τὸ τέλος. ὀνειδίζουσα τοίνυν αὐτῷ, φησι· μὴ καὶ νῦν τὸ αὐτὸ ἐρεῖς; πολὺς γὰρ ἤδη
χρόνος παρέδραμε, καὶ τέλος τούτων οὐκ ἐφάνη. ἀπώλετο δέ σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς,
οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου, τῆς ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπία-

σα

Marginalia (left): Ἐκ τοῦ β. λόγου τοῦ εἰς τὸν Σταγ. (at line 20) — Ἐκ τῆς ἑρμ. τῆς πρὸς Κορινθ. α. ἐπισ. (at line 26) — Ἰὼβ. α. θ. (at line 39)

Marginalia (right): γ. διὰ τί (at line 26) — γ. ἐπὶ (at line 29) — γ. αὐτὴν (at line 42)

σα μετὰ μόχθων· κἀγὼ πλανῆτις καὶ λάτρις τόπον ἐκ τόπου, καὶ οἰκίαν ἐξ οἰκίας περιερχομένη. οὐδὲ γὰρ περὶ σαυτοῦ μόνον, ἀλλὰ καὶ πλανῶμαι καὶ δουλεύω δουλείαν ξένην καὶ καινήν, πανταχοῦ περιιοῦσα, καὶ τὰ σύμβολα τῆς συμφορᾶς περιφέρουσα, καὶ πᾶσι τὰς διδάσκουσα τὰ ἐμὰ κακά· καὶ ὃ πάντων ἐστὶν ἐλεεινότερον, προσδεχομένη τὸν ἥλιον πότε δύσει, καὶ
5 ἀναπαύσομαι τῶν μόχθων μου, καὶ τῶν περιεχουσῶν με ὀδυνῶν, αἵ με νῦν συνέχουσιν. ἀλλ' εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. τί οὖν ὁ μακάριος οὗτος καὶ ἀδάμαντος στερρότερος; βλέψας εἰς αὐτὴν πικρὸν (ὢ διανοίας σώφρονος καὶ μετρίας) καὶ περὶ τῆς φωνῆς, ἀπὸ τῆς ὄψεως διεκρούσατο τὰ μηχανήματα. ἐκείνη μὲν γὰρ προσεδόκησε δακρύων κινῆσαι πηγάς, οὗτος δὲ λέοντος σφοδρότερος γέγονε, θυμοῦ πληρωθεὶς καὶ ἀγανακτήσεως, καί φησιν· Ἵνα τί
10 ὡς μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας; εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα παρὰ Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀντὶ τίνων γὰρ ἐκεῖνα ἡμῖν ἔδωκεν ὁ Θεός; ποίαν ἐκτίνει ἀμοιβήν; οὐδεμίαν· ἀλλ' ἐξ ἀγαθότητος μόνης καὶ φιλανθρωπίας. Γυμνὸς γὰρ ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι, φησίν. Ὑπογράψατε τοίνυν τὸν ἀθλητὴν καὶ ὑμᾶς ἑαυτοῖς, καὶ νομίσατε βλέπειν καὶ τὴν κοπρίαν ἐκείνην, καὶ αὐτὸν ἐν μέσῃ τῇ κοπρίᾳ κα-
15 θήμενον, τὸν ἀνδριάντα τὸν χρυσοῦν, τὸν διάλιθον, τὸν πῶς εἴπω οὐκ οἶδα. οὐδὲ γὰρ ἔχω τιμίαν οὕτως ὕλην εὑρεῖν, ὡς δυνηθῆναι παραβαλεῖν τὸ ἡμαγμένον ἐκεῖνο σῶμα· οὕτω πάσης ὕλης τιμίας ἐκ πολλοῦ τοῦ περιόντος τῆς σαρκὸς ἐκείνης ἡ φύσις ἐδείκνυτο λαμπροτέρα, καὶ τὰ τραύματα τῶν ἡλιακῶν ἀκτίνων φαιδρότερα. αὗται μὲν γὰρ τὰς τοῦ σώματος καταυγάζουσιν ὄψεις· ἐκεῖνα δὲ τῆς διανοίας ἡμῶν φωτίζουσι τὰ ὄμματα. τίς εἶδε, τίς ἤκουσε τοιαῦτα
20 θαυμαστὰ παλαίσματα; οἱ μὲν γὰρ τῶν ἔξωθεν ἀγώνων πύκται, ἐπειδὰν κατακόψωσι τὰς κεφαλὰς τῶν ἀντιπάλων, τότε νικῶσι καὶ στεφανοῦνται· οὗτος δὲ ὅτε κατέκοψε τὸ σῶμα τοῦ δικαίου, τότε ἐνικήθη καὶ ἀνεχώρησε. τί γέγονεν, ὦ διάβολε; τίνος ἕνεκεν ἀναχωρεῖς; οὐκ ἐγένετο πάντα ὅσα ἠθέλησας; οὐκ εἷλες αὐτοῦ τὰ ποίμνια; τὰ βουκόλια; τὰς ἀγέλας τῶν ἵππων, τῶν ἡμιόνων; οὐχὶ καὶ τὸν χορὸν τῶν παίδων ἀπώλεσας, καὶ τὴν σάρκα ἅπασαν κατέκοψας; τίνος ἕνε-
25 κεν ἀνεχώρησας; ὅτι ἐγένετο μὲν ὅσα ἠθέλησα, φησίν· ὃ δὲ γενέσθαι μάλιστα ἐβουλόμην, καὶ δι' ὃ πάντα ἐποίησα, τοῦτο οὐκ ἐγένετο. οὐδὲ γὰρ ἐβλασφήμησε. διὰ γὰρ τοῦτο πάντα ἐκεῖνα ἐποίουν, φησίν, ἵνα τοῦτο ἐξέλθῃ· τούτου δὲ μὴ γινομένου, οὐδέν μοι πλέον ἀπὸ τῆς ζημίας τῶν χρημάτων ἐγένετο, καὶ τῆς τῶν παίδων ἀπωλείας, καὶ τῆς τοῦ σώματος πληγῆς· ἀλλὰ τοὐναντίον ὅπερ οὐκ ἐβουλόμην ἐξέβη. λαμπρότερον ἐποίησα τὸν ἐχθρόν, φαιδρότερον εἰρ-
30 γασάμην τὸν ἀντίδικον. ἔγνως ὅσον τῆς θλίψεως τὸ κέρδος ἐγένετο; καλὸν μὲν γὰρ τὸ σῶμα καὶ ὑγιαῖνον ἦν· πολλῷ δὲ σεμνότερον γέγονε κατατμηθὲν ὑπὸ τῶν τραυμάτων ἐκείνων· ἐπεὶ καὶ ἔρια καλὰ μὲν καὶ πρὸ τῆς βαφῆς· ἐπειδὰν δὲ ἁλουργὰ γίνηται, ἄφατον προσλαμβάνει τὸ κάλλος, καὶ πολλὴν τὴν εὐπρέπειαν. εἰ γὰρ μὴ ἀπέδυσεν αὐτόν, οὐκ ἂν ἔγνω τοῦ στεφανίτου τὴν εὐεξίαν. εἰ μὴ διέτρησεν αὐτοῦ τὸ σῶμα ταῖς ὠτειλαῖς, οὐκ ἂν ἀντέλαμ-
35 ψαν ἔνδοθεν αἱ ἀκτῖνες. εἰ μὴ ἐκάθισεν αὐτὸν ἐπὶ τῆς κοπρίας, οὐκ ἂν ἔγνωμεν αὐτοῦ τὸν πλοῦτον. οὐδὲ γὰρ οὕτω λαμπρὸς βασιλεὺς ἐπὶ θρόνου καθήμενος, ὡς ἐκεῖνος τότε ἐπὶ τῆς κοπρίας καθήμενος ἐπίσημος ἦν καὶ περιφανής. μετὰ μὲν γὰρ τὸν βασιλικὸν θρόνον θάνατος· μετὰ δὲ τὴν κοπρίαν ἐκείνην οὐρανῶν βασιλεία. Διὰ γὰρ τοῦτο τὴν οὐσίαν αὐτοῦ ἐσύλα ὁ διάβολος, οὐχ ἵνα πένητα ποιήσῃ, ἀλλ' ἵνα βλάσφημόν τι ῥῆμα ἐκβαλεῖν βιάσηται· καὶ τὸ
40 σῶμα κατέτεμνεν, οὐχ ἵνα ἀρρωστίᾳ περιβάλῃ, ἀλλ' ἵνα ὑποσκελίσῃ τὴν κατὰ ψυχὴν ἀρετήν. ἀλλ' ὅμως πάντα αὐτοῦ κινήσας τὰ μηχανήματα, καὶ πένητα ἀντὶ πλουτοῦντος ποιήσας (τοῦτο δὴ τὸ πᾶσιν ἡμῖν φρικωδέστατον εἶναι δοκοῦν) καὶ ἀντὶ πολύπαιδος ἄπαιδα, καὶ καταξάνας αὐτοῦ τὸ σῶμα ἁπάντων τῶν ἐν δικαστηρίοις δημίων χαλεπώτερον (οὐ γὰρ οὕτω διορύττουσι τῶν ἐκείνων ὄνυχες τὰς πλευρὰς τῶν ἐμπιπτόντων αὐτοῖς, ὡς κατέξαναν αὐτοῦ τὸ

Ἰωβ. β. θ.

Ἐκ τοῦ αἰδρι.

Ἐκ τοῦ λόγου ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δύναται.

σῶμα τῶν σκωλήκων τὰ στόματα) καὶ οὐχὶ τῆς πόλεως ἐκβαλὼν μόνον, οὐδὲ τῆς οἰκίας, καὶ εἰς ἄλλην
μεταστήσας πόλιν, ἀλλὰ τὴν χώραν αὐτῷ καὶ οἰκίαν καὶ πόλιν καταστήσας, οὐ μόνον οὐδὲν αὐτὸν
ἐλυμήνατο, ἀλλὰ καὶ λαμπρότερον δι' ὧν ἐπεβούλευσεν ἀνέφηνε. Καὶ σὺ τοίνυν ἂν ἀφέ-
λητταί σου τις χρήματα, καὶ γενναίως ἐνέγκῃς, τοῖς εἰς τοὺς πένητας πάντα δεδαπανηκόσι τὸν αὐ-
τὸν λήψῃ μισθόν. ὥσπερ γὰρ σπουδάζοντες, καὶ ἀπὸ τῶν λυπούντων κερδαίνομεν, οὕτω ῥαθυ- 5
μοῦντες οὐδὲ ἀπὸ τῶν ὠφελούντων ἀμείνους γινόμεθα. Εἰ γὰρ ὁ Ἰὼβ τοσαῦτα παθὼν οὐδὲν
ἠδίκηται, καὶ παθὼν οὐ παρὰ ἀνθρώπου, ἀλλὰ παρὰ τοῦ πάντων ἀνθρώπων πονηρῶν πονη-
ροτέρου δαίμονος, τίς ἕξει λοιπὸν ἀπολογίαν τῶν λεγόντων· ὅτι ὁ δεῖνά με ἠδίκησε καὶ παρέ-
βλαψεν; Εἰ γὰρ ὁ διάβολος ὁ τοσαύτης γέμων κακίας πάντα αὐτοῦ κινήσας τὰ ὄργανα, καὶ
πάντα ἀφεὶς τὰ βέλη, καὶ ὅσα ἦν ἐν ἀνθρώποις κακὰ, μετὰ πολλῆς τῆς ὑπερβολῆς καὶ εἰς τὴν 10
οἰκίαν τοῦ δικαίου καὶ εἰς τὸ σῶμα κενώσας, οὐδὲν τὸν ἄνδρα ἠδίκησεν, ἀλλὰ καὶ μᾶλλον ὠφέ-
λησε· πῶς δυνήσονταί τινες τὸν δεῖνα καὶ τὸν δεῖνα αἰτιάσασθαι, ὡς παρ' αὐτῶν, ἀλλ' οὐχ ὡς οἴκοθεν
ἠδικημένοι. Θαυμάζεις τοὺς τρεῖς παῖδας; καὶ γὰρ κἀγώ· ὅτι κατετόλμησαν καμίνου, ὅτι
κατεξανέστησαν τοῦ τυράννου, Τοῖς θεοῖς σου, λέγοντες, οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ
ἔστησας, οὐ προσκυνοῦμεν. ἀλλὰ μεγίστη τοῦτο παραμυθία ἦν αὐτοῖς, τὸ σαφῶς εἰδέναι, ὅτι 15
διὰ τὸν Θεὸν πάντα πάσχουσιν, ἅπερ ἂν πάθωσιν. ὁ δὲ μακάριος ἐκεῖνος οὐκ ᾔδει ὅτι ἀγωνί-
σματα καὶ πάλη ἦν ἅπερ ἔπαθεν. εἰ γὰρ ᾔδει, οὐκ ἂν ὅλως ᾔσθετο τῶν γινομένων. ὅτε γοῦν ἤκου-
σεν, Ἄλλως με οἴει κεχρηματικέναι σοι, ἢ ἵνα δίκαιος ἀναφανῇς; ἐννόησον πῶς εὐθέως ἀπὸ ψι-
λοῦ ῥήματος ἀνέπνευσε, πῶς ἑαυτὸν ἐξευτέλισε, πῶς οὐδὲ πεπονθέναι ἐνόμισεν ἅπερ ἔπαθεν,
οὕτω λέγων· Τί ἔτι κρίνομαι νουθετούμενος ὑπὸ Κυρίου καὶ ἐλεγχόμενος, ἀκούων τοιαῦτα, οὐ- 20
δὲν ὢν ἐγώ; Ζηλώσωμεν τοίνυν τὴν τοῦ ἁγίου τούτου εὐλάβειαν ἕκαστος, μαθόντες ὅσα
ἀπὸ τῆς ὑπομονῆς βλαστάνει καλά. καθάπερ γὰρ ἐν κοινῷ θεάτρῳ τῆς οἰκουμένης ἑστὼς ὁ
μακάριος καὶ γενναῖος ἐκεῖνος ἀνὴρ, ἅπασι διὰ τῶν συμβεβηκότων αὐτῷ παθῶν διαλέγεται) πάν-
τα φέρειν τὰ συμπίπτοντα γενναίως, καὶ πρὸς μηδὲν ἐνδιδόναι τῶν ἐπιόντων δεινῶν. οὐ γάρ ἐστιν,
οὐκ ἔστιν οὐδὲν ἀνθρώπινον πάθος, ὃ μὴ δύναται παραμυθίαν ἐκεῖθεν δέξασθαι. ἃ [μὲν] γὰρ 25
ἐν πάσῃ τῇ οἰκουμένῃ διέσπαρται πάθη, ταῦτα ὁμοῦ συνελθόντα εἰς ἓν σῶμα κατέσκηψε τὸ ἐ-
κείνου. τίς οὖν ἔσται συγγνώμη τῷ μὴ δυναμένῳ τὸ μέρος τῶν ἐπαχθέντων ἐκείνῳ δεινῶν μετ' εὐ-
χαριστίας ἐνεγκεῖν, ὃς μὴ μέρος μόνον, ἀλλ' ὁλόκληρα φαίνεται τὰ πάντων ἀνθρώπων φέρων κακά;
Ἀλλ' ὁ δεῖνα τοσαύτας ἐλεημοσύνας ποιῶν, φησι, πάντων ἐγυμνώθη· ἕτερος, γενομένου τινὸς
ἐμπρησμοῦ, πάντα ἀπώλεσεν· ἄλλοι ναυαγίοις περιέπεσον, καὶ εἰς πενίαν κατηνέχθησαν· ἕτεροι 30
πάλιν ἐν ἀρρωστίᾳ καὶ νόσῳ, καὶ παρ' οὐδενὸς οὐδεμιᾶς ἀπέλαυσαν βοηθείας. καὶ τί τοῦτο; ἀνά-
μνήσθητι τῶν τῷ Ἰὼβ συμβεβηκότων, καὶ εὐχαρίστησον τῷ δεσπότῃ, τῷ δυναμένῳ κωλῦσαι καὶ μὴ
κωλύσαντι. ἀλλ' ἐν πενίᾳ διάγεις καὶ λιμῷ καὶ μυρίοις κινδύνοις; ἀναμνήσθητι τοῦ Λαζάρου τοῦ
πενίᾳ καὶ ἐρημίᾳ καὶ μυρίοις ἑτέροις τοιούτοις παλαίοντος, καὶ ταῦτα μετὰ πολλὴν ἀρετήν.
ἀναμνήσθητι τῶν ἀποστόλων, οἳ ἐν λιμῷ καὶ δίψῃ καὶ γυμνότητι διῆγον· τῶν προφητῶν, 35
τῶν δικαίων· καὶ πάντας αὐτοὺς εὑρήσεις, οὐ τῶν πλουτούντων οὐδὲ τῶν τρυφώντων, ἀλλὰ τῶν
πενομένων, τῶν θλιβομένων, τῶν στενοχωρουμένων. ταῦτα πρὸς ἑαυτὸν συλλέγων εὐχαρίστη-
σον τῷ δεσπότῃ, ὅτι σε τῆς μοίρας ταύτης ἐποίησεν, οὐχὶ μισῶν, ἀλλὰ καὶ σφόδρα φιλῶν· ἐπεὶ
κἀκείνους οὐχὶ μισῶν ἠφίει τοσαῦτα πάσχειν δεινά, ἀλλ' ἐπειδὴ σφόδρα ἐφίλει, λαμπροτέρους
αὐτοὺς διὰ τῶν δεινῶν τούτων εἰργάζετο. Εἰ γὰρ ἄνθρωποι τοὺς ὑπὲρ αὐτῶν κάμ- 40
νοντας οὐκ ἀφιᾶσι χωρὶς μισθῶν καὶ ἀμοιβῶν ἀπελθεῖν, πολλῷ μᾶλλον ὁ Θεὸς τοὺς τοσαῦ-
τα πεπονηκότας οὐκ ἂν ἕλοιτο τῆς τῶν πόνων αὐτῶν ἀμοιβῆς ἀποστερῆσαί ποτε· ἀλλ' ἀνάγ-
κη καιρὸν ἕτερόν τινα εἶναι μετὰ τὴν τελευτὴν, καθ' ὃν ἀπολήψονται τὰς ἀμοιβὰς τῶν ἐνταῦθα
πόνων. καὶ γὰρ πολλῶν ἤκουσα λεγόντων· ὁ δεῖνα μέτριος καὶ ἐπιεικὴς ἄνθρωπος ὑφ' ἑτέρου
παραλόμενος

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπιστ.

Ἐκ τοῦ λόγου τοῦ ὅτι τὸν ἑαυτὸν μὴ ἀδικ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Δαν. γ. ιη.

Ἰαβ. μ. γ.

Ἐκ τοῦ λόγου τοῦ ὅτι ἐκ ῥαθυμίας ἡ κακία

Ἐκ τοῦ ἀνδρι. λόγ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἑβρ. ἐπιστ.

ἢ. ταῦτα

χ. ἐκ πα

παρανόμου τινὸς καὶ πονηροῦ, καθ' ἑκάστην εἰς δικαστήριον ἕλκεται· ἕτερος συκοφαντηθεὶς ἀδίκως ἀπέθανεν· ἄλλος κατεποντίσθη, φησίν· ἕτερος κατεκρημνίσθη· καὶ ὁ Θεὸς γινόμενα ταῦτα συνεχώρησε. διὰ τί; διὰ τὸ μὴ ταχέως αἱρεῖσθαι εἰς ἀπόνοιαν τῷ μεγέθει τῶν θαυμάτων καὶ τῶν κατορθωμάτων, ἀφίησιν αὐτοὺς ὁ Θεὸς κακοῦσθαι· καὶ ἵνα μὴ μείζονα τῆς ἀνθρωπίνης φύσεως περὶ αὐτῶν ὑπόνοιαν ἔχωσιν ἕτεροι, καὶ θεούς, ἀλλ' οὐκ ἀνθρώπους αὐτοὺς εἶναι νομίσωσι, καὶ ἵνα ἡ τοῦ Θεοῦ φανῇ δύναμις διὰ τῶν ἐξασθενούντων, διὰ τῶν δεσμουμένων κρατοῦσα καὶ περιγινομένη, καὶ τὸ κήρυγμα αὔξουσα· καὶ ἵνα αὐτῶν ἐκείνων ἡ ὑπομονὴ φανερωτέρα γένηται, οὐκ ἐπὶ μισθῷ τῷ Θεῷ δουλευόντων, ἀλλὰ καὶ τοσαύτην ἐπιδεικνυμένων εὐγνωμοσύνην, ὡς καὶ μετὰ τοσαῦτα κακὰ τὴν οἰκείαν περὶ αὐτὸν ἐπιδείκνυσθαι εὔνοιαν· καὶ ἵνα πάντες οἱ περιπίπτοντες τοῖς δεινοῖς, ἱκανὴν ἔχωσι παράκλησιν καὶ παραμυθίαν, εἰς ἐκείνους ἀφορῶντες, καὶ τῶν συμβεβηκότων αὐτοῖς μεμνημένοι κακῶν· καὶ ἵν' ὅταν παρακαλῶμεν ὑμᾶς πρὸς τὴν ἐκείνων ἀρετήν, καὶ πρὸς ἕκαστον ὑμῶν λέγωμεν, ὅτι μίμησαι Παῦλον, ζήλωσον Πέτρον, μὴ νομίζοντες διὰ τὴν τῶν κατορθωμάτων ὑπερβολὴν ἑτέρας αὐτοὺς μετεσχηκέναι φύσεως, ἀποκνήσητε πρὸς τὴν μίμησιν· καὶ ἵνα ὅταν δέῃ μακαρίζειν καὶ ταλανίζειν, μάθωμεν, τίνας μὲν χρὴ μακαρίους ἡγεῖσθαι, τίνας δὲ ἀθλίους καὶ ταλαιπώρους. Εἰ δὲ βούλει μαθεῖν ὅτι οὐ τὸ ποιεῖν κακῶς, τοῦτο ποιεῖ δυνατωτέρους, ἀλλὰ τὸ κακῶς πάσχοντας φέρειν, θέα μοι τὸν Ἰακὼβ πόσα παρὰ τοῦ Λάβαν ἠδίκηται. τίς οὖν ἰσχυρότερος γέγονεν, ὁ λαβὼν αὐτὸν εἰς χεῖρας, καὶ μὴ τολμῶν ἅψασθαι, ἀλλὰ δεδοικὼς καὶ τρέμων· ἢ οὗτος ὁ χωρὶς ὅπλων καὶ στρατοπέδων μυρίων αὐτοῦ βασιλέων γενόμενος φοβερώτερος; οὐχὶ οὗτος; καθάπερ γὰρ ὁ πῦρ πατῶν ἑαυτὸν κατακαίει, καὶ ὁ ἀδάμαντα παίων ἑαυτῷ ἐπηρεάζει, καὶ ὁ πρὸς κέντρα λακτίζων ἑαυτὸν αἱμάττει· οὕτως ὁ ἀδικεῖν μεμελετηκὼς ἑαυτὸν ἀδικεῖ, καὶ πηλοῦ παντὸς ἀσθενέστερος γίνεται.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγ.

Ἐξέπεσέ ποτε καὶ ὁ μακάριος Δαβὶδ τῆς πατρίδος, καὶ περὶ τῆς ἐλευθερίας καὶ τῆς ψυχῆς αὐτῆς ἐκινδύνευσε, καὶ τοῦ στρατοπέδου πρὸς τὸν ἀκόλαστον νεανίσκον τὸν τύραννον ἐκεῖνον καὶ πατραλοίαν μεταταξαμένου, ἐπλανᾶτο κατὰ τὴν ἔρημον, καὶ οὐκ ἐδυσχέραινεν, οὐδὲ ἀπεδυσπέτησε πρὸς τὸν Θεόν, οὐδὲ εἶπε, τί ποτε τοῦτό ἐστι; συνεχώρησε τῷ παιδὶ κατεξαναστῆναι τοῦ γεγεννηκότος; καίτοι καὶ εἰ δίκαια ἐγκαλεῖν εἶχεν, οὐδὲ οὕτω τοῦτο γενέσθαι ἔδει. νυνὶ δὲ οὐ μικρόν, οὐ μέγα ἠδικημένος παρ' ἡμῶν, περιέρχεται τὴν δεξιὰν ἐπιθυμῶν αἵματι μολῦναι πατρικῷ· καὶ ὁ Θεὸς ταῦτα ἀνέχεται ὁρῶν; ἀλλ' οὐδὲν τούτων εἶπε· καὶ τὸ δὴ μεῖζον καὶ θαυμαστόν, ὅτι πλανωμένῳ καὶ πάντων ἐκπεπτωκότι Σεμεΐ τις ἄνθρωπος πονηρὸς καὶ μιαρὸς ἐπέθετο, μιαιφόνον ἀποκαλῶν καὶ ἀσεβῆ, καὶ τὰ μυρία κακά· καὶ οὐδὲ οὕτως ἠγρίαινεν, ἀλλὰ καὶ στρατηγοῦ ἀξιοῦντος ἐπιτραπῆναι διαβῆναι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν ἐκείνου, οὐ μόνον οὐκ ἐπέτρεψεν, ἀλλὰ καὶ ἐδυσχέρανε λέγων· Τί ἐμοὶ καὶ σοί, υἱὲ Σαρουΐα; ἄφετε αὐτόν, καταράσθω, ὅπως ἴδῃ τὴν ταπείνωσίν μου Κύριος, καὶ ἀνταποδώσει μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ. ὁρᾷς πῶς οἶδεν ὁ δίκαιος, ὅτι τὸ φέρειν γενναίως τὰς λοιδορίας ἀφορμὴ πλείονος εὐδοκιμήσεως γίνεται; καὶ γὰρ οὕτως ἔχει· ἐπειδὰν λοιδορηθέντες καὶ μυρία παθόντες δεινά, τοὺς ὀνειδίζοντας φέρωμεν γενναίως, μείζονα παρὰ τοῦ Θεοῦ τὴν εὔνοιαν κατὰ πολὺ ἐπισπώμεθα.

Ἐκ τῆς β. λόγ. τῆς εἰς τὴν προφ. Ἄνναν.

β. Βασ. ις.

Ἠθέλησε καὶ ὁ Μωϋσῆς ἀδικουμένῳ βοηθῆσαί τινι, καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσε, καὶ τῆς πατρίδος ἐξέπεσε· καὶ ὁ Θεὸς συνεχώρησεν, ἵνα σὺ μάθῃς τῶν ἁγίων τὴν ὑπομονήν. Εἰ γὰρ προειδότες, ὡς οὐδὲν πεισόμεθα δεινόν, οὕτως ἡπτόμεθα τῶν πνευματικῶν πραγμάτων, οὐδὲν μέγα ἂν ἐδόξαμεν ποιεῖν. τοῦτο καὶ οἱ τρεῖς παῖδες ἔλεγον· Ἔστι Θεὸς ἐν οὐρανῷ δυνατὸς ἐξελέσθαι ἡμᾶς [ἐκ τῶν χειρῶν σου.] καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. καὶ σὺ τοίνυν ὅταν μέλλῃς τι ἐργάζεσθαι τῶν κατὰ Θεόν, πολλοὺς προσδόκα τοὺς κινδύνους, πολλὰς τὰς ζημίας, πολλοὺς τοὺς θανάτους, καὶ μὴ

Ἐκ τῶν ἀνδριάντ.

Δαν. γ. ιη.

[Σειρ. β. α.] ξενίζου, μηδὲ θορυβοῦ, συμβαινόντων τούτων. Τέκνον γάρ, φησιν, εἰ προσέρχῃ δουλεύειν
τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. Οὐδεὶς πυκτεύειν αἱρούμενος, χω-
ρὶς τραυμάτων προσδοκᾷ στέφανον ἀναδήσασθαι. ὅταν οὖν αὐτός τι ποιήσας ἀγαθόν, τὰ
ἐναντία ἀπολαύσῃς, ἢ ἕτερον παθόντα τοῦτο ἴδῃς, εὐφραίνου καὶ χαῖρε· μείζονος γὰρ ἀπο-
λαύσεως τὸ πρᾶγμα γέγονε. μὴ δὴ καταπέσῃς τῇ προθυμίᾳ, μηδὲ ὀκνηρότερος γένῃ, ἀλ- [χ. πάντη]
λὰ μᾶλλον ἐπιτίθεσο μετὰ πλείονος τῆς προθυμίας· κἂν μυριάκις ἴδῃς διακόπτοντά σε
τὸν διάβολον, μηδέποτε ἀποστῇς. ἐπεὶ καὶ οἱ ἀπόστολοι, ἡνίκα ἐκήρυττον μαστιζόμενοι, δεσ-
μωτήρια συνεχῶς οἰκοῦντες, οὐ μόνον μετὰ τὴν τῶν κινδύνων ἀπαλλαγήν, ἀλλὰ καὶ ἐν αὐ-
τοῖς τοῖς κινδύνοις μετὰ μείζονος τῆς προθυμίας τὸ τῆς ἀληθείας κατήγγελλον κήρυγμα. καὶ
ἔστιν ἰδεῖν Παῦλον ἐν αὐτῷ τῷ δεσμωτηρίῳ, ἐν αὐταῖς ταῖς ἁλύσεσι κατηχοῦντα, μυσταγω-
[Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ἐφεσ. ἐπισ.] γοῦντα, καὶ ἐν δικαστηρίῳ πάλιν τὸ αὐτὸ τοῦτο ποιοῦντα. Καὶ θέα μοι τὴν μακαρίαν ἐ-
κείνην ψυχήν, ἐν τίσι καυχᾶται· ἐν δεσμοῖς, ἐν θλίψεσιν, ἐν ἁλύσει, ἐν στίγμασι. Πο-
[Πραξ. κ.] ρεύομαι γάρ, φησιν, εἰς Ἱεροσόλυμα δεδεμένος τῷ πνεύματι, τὰ ἐν αὐτῇ συναντήσοντά
μοι μὴ εἰδώς· πλὴν ὅτι τὸ πνεῦμά μοι κατὰ πόλιν διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλί-
ψεις μένουσι. τί οὖν ἀπέρχῃ, εἰ δεσμά σε καὶ θλίψεις μένουσι; δι' αὐτὸ τοῦτο, ἵνα δεσμευθῶ διὰ
Χριστόν, ἵνα ἀποθάνω δι' αὐτόν. οὐ γὰρ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ
τοῦ ὀνόματος τοῦ Κυρίου μου. τί οὖν ἐστι τοῦτο; οὐκ αἰσχύνῃ, οὐ δέδοικας τὴν οἰκουμένην δε-
σμώτης περιιών; οὐ φοβῇ μή τις ἀσθένειαν τοῦ Θεοῦ σου καταγνῷ; μή τις διὰ τοῦτο οὐ μὴ
[Φιλ. α. ιγ.] προσέλθῃ; οὐ τοιαῦτά μου, φησί, τὰ δεσμά· οἶδε καὶ ἐν βασιλείοις λάμπειν· Ὥστε τοὺς δε-
σμούς μου, φησί, φανερούς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοὺς πλείονας τῶν ἀδελ-
φῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾷν ἀφόβως τὸν λόγον λαλεῖν.
ὁρᾷς δεσμῶν ἰσχὺν μᾶλλον, ἢ νεκρῶν ἀναστάσεως; ἐδεσμεύθη ἐν Ῥώμῃ, καὶ τοὺς πλείονας ἐ-
πεσπάσατο· ἐδεσμεύθη ἐν Ἱεροσολύμοις, καὶ δεδεμένος δημηγορῶν τὸν βασιλέα κατέπληξε,
καὶ τὸν ἄρχοντα εἰς φόβον ἤγαγεν· ἔμφοβος γὰρ γενόμενος ἀπέλυσεν αὐτόν. δεδεμένος ἔπλει, καὶ τὸ
ναυάγιον ἔλυσε, καὶ τὸν χειμῶνα ἐπέδησεν. ἐν δεσμοῖς ὄντος αὐτοῦ, τὸ θηρίον ἐκεῖνο καθήψατο, καὶ
μηδὲν λυμηνάμενον ἐξέπεσε. καὶ θέα πανταχοῦ τοῦτο γινόμενον. μεμαστιγωμένον, καὶ μεμαστιγωμένον
[Πραξ. ις. κγ.] ἰσχυρῶς. Πολλὰς γὰρ αὐτῷ, φησιν, ἐπιθέντες πληγάς. καὶ ἐδέδετο, καὶ τοῦτο πάλιν ἰσχυρῶς·
εἰς γὰρ τὴν ἐσωτέραν φυλακὴν ἐνέβαλον αὐτόν, καὶ μετὰ πλείονος ἀσφαλείας. καὶ ἐν τοσού-
τοις ὢν κατὰ τὸ μεσονύκτιον, ὅτε καὶ οἱ σφόδρα ἀνειμένοι καθεύδουσιν, ᾖδε καὶ ὕμνει τὸν Θεόν. τί
ταύτης γένοιτ' ἂν τῆς ψυχῆς ἀδαμαντινώτερον; ἐνενόει ὅτι καὶ οἱ παῖδες ἐν πυρὶ ᾖδον καὶ ἐν
καμίνῳ· ἴσως ἐλογίζετο, ὅτι οὐδὲν τοιοῦτον ἐγὼ πέπονθα. ἀλλὰ καλῶς ποιῶν ὁ λόγος, εἰς
ἑτέρους πάλιν ἐξενήνοχε δεσμούς, καὶ δεσμωτήριον ἕτερον. τί πάθω; βούλομαι σιγῆσαι, ἀλλ' οὐ
δύναμαι, ἕτερον δεσμωτήριον εὗρον ἐκείνου πολλῷ θαυμασιώτερον καὶ ἐκπληκτικώτερον.
βούλομαι διακόψαι τὸν λόγον, καὶ οὐκ ἀνέχεται. οὐ δύναμαι παύσασθαι, οὐ δύναμαι σι-
γῆσαι. πολλά με περιρρεῖ. οὐκ οἶδα ποῖον πρῶτον εἴπω, ποῖον δεύτερον. διό, παρακα-
λῶ, μή με τάξιν τις ἀπαιτείτω· πολλὴ γὰρ ἡ τῶν πραγμάτων σύγχυσις. μακρὰ ἡ
τοῦ Παύλου γέγονεν ἅλυσις, καὶ διὰ τοῦτο κατέχει ἡμᾶς. ἀλλ' οὐ διὰ τοῦτο σιγήσομαι· εἰ γὰρ
αὐτὸς ἐν δεσμωτηρίῳ οὐκ ἐσίγησεν, οὐδ' ἐν μάστιξιν, ἐγὼ σιωπήσομαι καθήμενος ἡμέρας [χ. σιγήσω]
οὔσης καὶ μετὰ πολλῆς ἀνέσεως φθεγγόμενος; καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; πολλὰ μὲν οὖν πολ-
λαχοῦ τῶν τοῦ Παύλου θαυμάτων τὰ σημεῖα τυγχάνει, ἀλλ' οὐχ οὕτως ἐστὶ ποθεινά, ὡς τὰ στίγ-
ματα· καὶ οὐχ οὕτω με ἐν ταῖς γραφαῖς εὐφραίνει θαύματα ἐργαζόμενος, ὥσπερ κακῶς πάσχων,
[Πραξ. ιδ. ιθ.] μαστιζόμενος, συρόμενος, λιθαζόμενος. Λιθάσαντες γὰρ αὐτόν, φησιν, ἔσυρον ἔξω τῆς πό-
[Πραξ. ις. κγ.] λεως. καὶ πάλιν· Δείραντες αὐτὸν καὶ ἐπιθέντες πληγὰς πολλάς, ἔβαλον εἰς φυλακήν. πό-
σον καύχημα, πόση ἡδονή, πόση τιμή, πόση λαμπρότης εἰδέναι, ὅτι διὰ τὸν Χριστὸν ἐδέ-
θη;

θη; ἀλλ' ὅρα τὸ θαυμαστόν. Καὶ ἐσείσθη, φησί, τὸ δεσμωτήριον, δεδεμένου Παύλου, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. Εἶδες δεσμῶν φύσιν τὰ δεσμὰ αἰσχύνουσαν; ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν. τί οὖν ὁ Παῦλος; Ἐφώνησε φωνῇ μεγάλῃ λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν, ἅπαντες γάρ ἐσμεν ἐνθάδε. ὁρᾷς αὐτοῦ τὸ ἀκενόδοξον καὶ τὸ ἄτυφον καὶ τὸ φιλόστοργον; οὐκ εἶπεν, ὅτι δι' ἡμᾶς ταῦτα γέγονεν, ἀλλ' ὡσανεὶ τῶν δεσμωτῶν εἷς, φησί· πάντες γάρ ἐσμεν ἐνθάδε. εἰ γὰρ ἐσίγησε, καὶ μὴ διὰ τῆς μεγάλης φωνῆς κατέσχεν ἐκείνου τὰς χεῖρας, ὤθησεν ἂν διὰ τοῦ λαιμοῦ τὸ ξίφος. ἐβόησε δέ, ἐπειδὴ εἰς τὴν ἐνδοτέραν φυλακὴν ἦν βεβλημένος· κατὰ σαυτοῦ τοῦτο πεποίηκας, φησίν, ἐνδοτέρω βαλὼν τοὺς μέλλοντάς σε ἐλευθεροῦν τοῦ κινδύνου. εἶδες τὸ φιλάνθρωπον καὶ κηδεμονικὸν τοῦ Παύλου; εἵλετο δεδέσθαι μᾶλλον καὶ κινδυνεύειν αὐτός, ἢ ἐκεῖνον περιιδεῖν ἀπολλύμενον. τίνα οὐκ ἂν ἐξεπλήξεν ἡ τῶν περικειμένων αὐτῷ δεσμῶν δύναμις, ὅτι τοὺς δήσαντας εἰς τοὺς πόδας ἦγε τοῦ δεδεμένου, καὶ ὑποχειρίους ἐκείνους τοῦτο ἐποίει; προσέπεσε γάρ, φησιν, ὁ δεσμοφύλαξ τῷ Παύλῳ, καὶ ὁ λελυμένος ὑπὸ τοὺς πόδας ἦν τοῦ δεδεμένου· καὶ ὁ δήσας ἠξίου τὸν δεθέντα λυθῆναι τοῦ φόβου. οὐχὶ σὺ ἔδησας, εἰπέ μοι; οὐχὶ εἰς τὴν ἐσωτέραν ἔβαλες φυλακήν; οὐχὶ εἰς τὸ ξύλον ἠσφαλίσω τοὺς πόδας; τί τρέμεις; τί θορυβῇ; τί δακρύεις; τί τὸ ξίφος ἀπεσπάσω; οὐκ ᾔδειν, φησίν, ὅτι τοσαύτη τῶν τοῦ Χριστοῦ δεσμίων ἡ δύναμις. τί λέγεις; οὐρανοὺς ἔλαβεν ἐξουσίαν ἀνοίγειν, καὶ δεσμωτήριον οὐκ ἔμελλεν ἀνοίγειν; τοὺς ὑπὸ δαιμόνων δεδεμένους ἔλυε, καὶ σιδήριον ἔμελλεν αὐτοῦ περιέσεσθαι; ὁ ψυχὰς τοιαύτας δεδεμένας λύων, τὸ σῶμα τὸ αὐτοῦ οὐκ ἂν ἴσχυσε λῦσαι; ὁ διὰ τῶν ἱματίων αὐτοῦ ἑτέρους τῶν δεσμῶν ἐκείνων λύων, καὶ τῶν δαιμόνων ἀπαλλάττων, αὐτὸς δι' ἑαυτοῦ ἑαυτὸν οὐκ ἂν ἔλυσε; διὰ τοῦτο πρότερον ἐδέθη, καὶ τότε τοὺς δεδεμένους ἔλυσεν, ἵνα μάθῃς ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι δεδεμένοι πολλῷ τῶν λελυμένων μείζονα ἔχουσι τὴν ἰσχύν. οὕτω γὰρ λαμπροτέρα ἡ ἰσχὺς τοῦ ἁγίου δείκνυται, ὅταν καὶ δεδεμένος τῶν λελυμένων κρατῇ· ὅταν οὖν ὁ δεδεμένος μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς δεδεμένους λύῃ, τί τῶν τοίχων τὸ ὄφελος; τί τὸ πλέον ἀπὸ τοῦ εἰς τὴν ἐσωτέραν αὐτὸν ἐμβαλεῖν φυλακήν, ὅπου γε καὶ τὴν ἐξωτέραν ἀνέῳξεν; ἀλλ' ἀκούσωμεν αὐτοῦ τὸ αὐτὸ τοῦτο ἐγκαυχωμένου καὶ λέγοντος· Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ. καὶ γὰρ μέγα ἀξίωμα καὶ σφοδρόν, καὶ βασιλείας καὶ ὑπατείας καὶ πάντων μεῖζον, τὸ διὰ Χριστὸν δεδέσθαι. οὐδὲν γὰρ οὕτω λαμπρὸν ὡς δέσμιος διὰ Χριστόν, ὡς αἱ ἁλύσεις αἱ περικείμεναι ταῖς ἁγίαις χερσὶν ἐκείναις. τοῦτο τοῦ ἀπόστολον εἶναι, τοῦ διδάσκαλον εἶναι, τοῦ εὐαγγελιστὴν εἶναι κατὰ πολὺ λαμπρότερον καὶ σεμνότερον. εἴ τις φιλεῖ τὸν Χριστόν, ἔγνω τὸ λεγόμενον· εἴ τις μαίνεται καὶ περικαίεται τοῦ δεσπότου, οἶδε τὴν δύναμιν τῶν δεσμῶν· ἕλοιτο ἂν δέσμιος εἶναι διὰ Χριστόν, ἢ τοὺς οὐρανοὺς οἰκεῖν. τάχα γε καὶ τοῦ καθίσαι ἐκ δεξιῶν αὐτοῦ, τοῦτο λαμπρότερον, καὶ τοῦ καθίσαι ἐπὶ δώδεκα θρόνων, τοῦτο σεμνότερον καὶ μακαριώτερον. Εἴ τις ἐμοὶ τὸν οὐρανὸν ἐχαρίζετο πάντα, ἢ τὴν ἅλυσιν ἐκείνην, ἣν τὰς χεῖρας Παῦλος ἐδέδετο, ἐκείνην ἂν ἐγὼ προετίμησα. εἴ τίς με μετὰ τῶν ἀγγέλων ἵστη ἄνω, ἢ μετὰ Παύλου δεδεμένου, τὸ δεσμωτήριον ἂν εἱλόμην. εἴ τίς με μετ' ἐκείνων ἐποίει τῶν δυνάμεων τῶν περὶ τὸν θρόνον, ἢ δεσμώτην τοιοῦτον, τοιοῦτος ἂν μᾶλλον εἱλόμην γενέσθαι δεσμώτης. καὶ γὰρ οὐδὲν βέλτιον τοῦ κακῶς παθεῖν τι διὰ τὸν Χριστόν. εἴ τίς μοι νεκροὺς ἔδωκεν ἀναστῆσαι νῦν, οὐκ ἂν τοῦτο εἱλόμην, ἀλλὰ τὴν ἅλυσιν· καὶ γὰρ οὐδὲν τῆς ἁλύσεως ἐκείνης μακαριώτερον. ἐβουλόμην ἐν τοῖς τόποις γενέσθαι νῦν ἐκείνοις, ἐν οἷς ἐκεῖνα τὰ δεσμὰ λέγεται, καὶ ἰδεῖν τὰς ἁλύσεις, ἃς δεδοίκασι μὲν δαίμονες καὶ φρίττουσιν, αἰδοῦνται δὲ ἄγγελοι. Εἰ τῶν ἐκκλησιαστικῶν φροντίδων ἐκτὸς ἤμην, καὶ τὸ σῶμα εὔρωστον εἶχον, οὐκ ἂν παρῃτησάμην ἀποδημίαν τοσαύτην ποιήσασθαι ὑπὲρ τοῦ τὰς ἁλύσεις μόνον ἰδεῖν, καὶ τὸ δεσμωτήριον, ἔνθα ὁ Παῦλος ἐδέδετο. ὦ μακαρίων δεσμῶν, ὦ μακαρίων χειρῶν, ἃς ἐκόσμησεν ἡ ἅλυσις ἐκείνη ἡ περιτεθεῖσα τῷ Παύλῳ.

οὐκ

Πραξ. ις. κς.

γίνετ.

γ. βέλτιον αὐτῇ ὅσον ἡ ἅλυσις στρέφει διὰ Χριστὸν περικειμένη τῷ μακαρίῳ; εἴκότι τοῦ ... γνωρίζον

Εφ. δ. α.

ἠλλαξάμην

οὐκ ἦσαν οὕτω τίμιαι αἱ χεῖρες αὐτοῦ, τὸν χωλὸν τὸν ἐν Λύστροις ἐγείρουσαι, ὡς τὰ δεσμὰ περικείμεναι. εἰ καὶ κατ' ἐκείνους τοὺς χρόνους ἤμην ἐγώ, τότε ἂν μάλιστα αὐτὰς περιεπτυξάμην, καὶ ἐπὶ τὰς κόρας ἔθηκα τὰς ἐμάς· οὐκ ἂν ἐπαυσάμην καταφιλῶν χεῖρας καταξιωθείσας ὑπὲρ τοῦ δεσπότου δεθῆναι τοῦ ἐμοῦ. οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι εἰς τρίτον οὐρανὸν ἡρπάγη καὶ εἰς τὸν παράδεισον, ὡς ὅτι εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι ἤκουσεν ἄρρητα ῥήματα, ὡς ὅτι ὑπέμεινε τὰ δεσμά. καὶ γὰρ ταῦτα ἐκείνων κατὰ πολὺ μείζονα. αἱρετώτερον γὰρ ἐμοὶ παθεῖν κακῶς ὑπὲρ τοῦ Χριστοῦ, ἢ τιμᾶσθαι παρὰ τοῦ Χριστοῦ. τοῦτο καὶ Παῦλος ἐνθυμούμενος ἔλεγεν, ὡς εἰκός· εἰ αὐτὸς δι' ἐμὲ γενόμενος δοῦλος, καὶ τὴν δόξαν κενώσας, οὐχ οὕτως ἐν δόξῃ εἶναι ἡγεῖτο, ὡς ὅτε ἐσταυροῦτο ὑπὲρ ἐμοῦ, τί ἐμὲ παθεῖν οὐ δεῖ; ἄκουε γὰρ αὐτοῦ λέγοντος· Δόξασόν με, πάτερ. τί λέγεις; ἐπὶ τὸν σταυρὸν ἄγῃ μετὰ λῃστῶν καὶ τυμβωρύχων, τὸν τῶν ἐπαράτων ὑφίστασαι θάνατον· ἐμπτύεσθαι μέλλεις καὶ ῥαπίζεσθαι, καὶ ταῦτα δόξαν καλεῖς; ναί, φησιν· ὑπὲρ γὰρ τῶν φιλουμένων ἐγὼ πάσχω ταῦτα, καὶ εἰκότως αὐτὰ δόξαν ἡγοῦμαι. εἰ οὖν ὁ δεσπότης ὁ ἐμὸς τοὺς οἰκτροὺς καὶ ταλαιπώρους φιλήσας, δόξαν τὸ πρᾶγμα καλεῖ, καὶ τοῦτο τῆς ἐν τῷ πατρικῷ θρόνῳ δόξης μᾶλλον προστίθησι, πολλῷ μᾶλλον ὀφείλω ἐγὼ ταῦτα δόξαν ἡγεῖσθαι.

Ιωαν. ζ. α.

Ἐκπλήττονται τὸν Ἰὼβ ἅπαντες οἱ ἄνθρωποι διὰ τὴν ὑπομονὴν αὐτοῦ, διὰ τὴν τοῦ βίου καθαρότητα, διὰ τὴν τοῦ Θεοῦ μαρτυρίαν, διὰ τὴν καρτερὰν μάχην ἐκείνην, διὰ τὴν θαυμαστὴν νίκην τὴν μετὰ τὴν μάχην· ἀλλὰ τὴν τοῦ Παύλου ὑπομονὴν ποία ἂν ἀδαμαντίνη ψυχὴ δύναιτ' ἂν ἐπιδείξασθαι; οὐδὲ γὰρ μῆνας πολλοὺς ἀγωνιζόμενος ὑπω διῆγεν, ἀλλ' ἔτη πολλά· οὐχὶ σήκων βώλακας γῆς ἀπὸ ἰχῶρος ξέων, ἀλλ' εἰς αὐτὸ τοῦ λέοντος τὸ νοητὸν στόμα συνεχῶς ἐμπίπτων καὶ μυρίοις παλαίων πειρασμοῖς, καὶ οὐδὲ παρὰ φίλων τριῶν ἢ τεσσάρων, ἀλλὰ παρὰ πάντων τῶν ἀπιστούντων ὀνειδιζόμενος, ἐμπτυόμενος, λοιδορούμενος, καὶ μυρίας νιφάδας πειρασμῶν ὑπομένων· καὶ νῦν μὲν μάστιξι, νῦν δὲ λίθοις τὸ σῶμα κατατιπόμενος, καὶ λιμῷ διηνεκεῖ καὶ κρυμῷ τηκόμενος. ἀλλ' ἡ φιλοξενία τοῦ Ἰὼβ μεγάλη; οὐδὲ ἡμεῖς ἀντεροῦμεν, ἀλλὰ τῆς Παύλου τοσοῦτον καταδεεστέραν εὑρήσομεν, ὅσῳ ψυχῆς σῶμα ἀφέστηκεν. ἃ γὰρ ἐκεῖνος περὶ τοὺς τὴν σάρκα πεπηρωμένους ἐποίει, ταῦτα οὗτος περὶ τοὺς τὴν ψυχὴν λελωβημένους ἐπεδείκνυτο. καὶ ὁ μέν, προβάτων αὐτῷ καὶ βοῶν ὄντων ἀπείρων, ταῦτα ἔπραττεν· οὗτος δὲ οὐδὲν πλέον κεκτημένος τοῦ σώματος, ἀπ' αὐτοῦ τούτου τοῖς δεομένοις ἐπήρκει, καὶ βοᾷ λέγων· Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. τούτους ζηλώσωμεν, τούτους μιμησώμεθα ἅπαντες, ἵνα καὶ τῶν ὁμοίων αὐτοῖς ἐπαίνων καὶ μισθῶν ἐπιτύχωμεν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ἐκ τοῦ α. λόγ. τῶν εἰς τὸν ἅγιον Παῦλον.

ΠΕΡΙ ΦΘΟΝΟΥ.

Λογ. λϛ.

Ἐκ τῆς πρὸς Κορ. α. ἐπιστ. ὁμιλ. λα.

Οὐδὲν οὕτω μερίζειν καὶ διασπᾶν ἡμᾶς ἀπ' ἀλλήλων εἴωθεν, ὡς φθόνος καὶ βασκανία, τὸ χαλεπὸν τοῦτο νόσημα, καὶ πάσης ἀπεστερημένον συγγνώμης, καὶ τῆς τῶν κακῶν ῥίζης τῆς φιλαργυρίας κατὰ πολὺ χαλεπώτερον. ὁ μὲν γὰρ φιλάργυρος τότε ἥδεται, ὅταν αὐτὸς λάβῃ· ὁ δὲ βάσκανος τότε ἥδεται, ὅταν ἕτερος μὴ λάβῃ, εὐεργεσίαν οἰκείαν νομίζων τὴν ἑτέρων κακοπραγίαν. τί τοίνυν γένοιτ' ἂν μανικώτερον; τῶν γὰρ οἰκείων κακῶν ἀμελῶν, ἐπὶ τοῖς ἀλλοτρίοις τήκεται καλοῖς, ἄβατον ἑαυτῷ κατασκευάζων τὸν οὐρανόν· καὶ πρὸ τοῦ οὐρανοῦ δέ, καὶ τὸν παρόντα βίον ἀβίωτον. οὐδὲ γὰρ οὕτω ξύλον καὶ ἔριον σὴς ἐγκαθήμενος καὶ σκώληξ διατρώγειν εἴωθεν, ὡς ὁ τῆς βασκανίας πυρετὸς αὐτὰ κατεσθίει τὰ

ὀστᾶ

ὅσα τῶν βασκαινόντων, καὶ τῆς ψυχῆς τὴν σωφροσύνην λυμαίνεται. Οὐκ ἄν τις ἁμάρτοι καὶ
θηρίων καὶ δαιμόνων χείρους τοὺς βασκαίνοντας προσειπών. τὰ μὲν γὰρ ἢ τροφῆς δεόμενα, ἢ
πρότερον ὑφ' ἡμῶν παροξυνθέντα, τότε καθ' ἡμῶν καθοπλίζεται· οὗτοι δὲ καὶ εὐεργετη-
θέντες πολλάκις τὰ τῶν ἀδικούντων τοὺς εὐεργέτας διέθηκαν. καὶ οἱ μὲν δαίμονες πρὸς μὲν
5 ἡμᾶς ἄσπονδον ἔχουσιν ἔχθραν, τοῖς δὲ ὁμογενέσιν οὐκ ἐπιβουλεύουσιν· οὗτοι δὲ οὐδὲ τὴν κοινω-
νίαν αἰδοῦνται τῆς φύσεως, οὐδὲ τῆς οἰκείας φείδονται σωτηρίας, ἀλλὰ πρὸ τῶν φθονου-
μένων τὰς ἑαυτῶν ψυχὰς κολάζουσι, θορύβου παντὸς καὶ ἀθυμίας πληροῦντες αὐτὰς εἰκῇ καὶ
μάτην. Τοιοῦτον ἡ βασκανία, ἧς οὐκ ἂν γένοιτο κακία χείρων. ὁ μὲν γὰρ μοιχὸς καὶ ἡ-
δονήν καρποῦταί τινα, καὶ ἐν βραχεῖ χρόνῳ τὴν ἁμαρτίαν ἀπαρτίζει τὴν ἑαυτοῦ· ὁ δὲ βά-
10 σκανος πρὸ τοῦ φθονουμένου ἑαυτὸν κολάζει καὶ τιμωρεῖται, καὶ οὐδέποτε παύεται τῆς ἁμαρτίας,
ἀλλ' ἐν τῷ πράττειν αὐτὴν ἐστὶ διηνεκής. καθάπερ γὰρ χοῖρος βορβόρῳ, καὶ δαίμων
βλάβῃ χαίρει τῇ ἡμετέρᾳ· οὕτω καὶ οὗτος τοῖς τοῦ πλησίον χαίρων κακοῖς, κἂν γένηταί τι ἀη-
δές, τότε ἀναπαύεται καὶ ἀναπνεῖ, τὰς ἀλλοτρίας συμφορὰς οἰκείας εὐθυμίας ἡγούμενος, καὶ
οἰκεῖα κακὰ τὰ τῶν ἄλλων ἀγαθά. καὶ καθάπερ οἱ κάνθαροι τρέφονται κόπρῳ, οὕτω καὶ οὗτοι
15 ταῖς ἑτέρων δυσημερίαις, κοινοί τινες ἐχθροὶ καὶ πολέμιοι τῆς φύσεως ὄντες. καὶ οἱ μὲν ἄλλοι
ἄλογον σφαττόμενον ἐλεοῦσιν· οὗτοι δὲ ἄνθρωπον ὁρῶντες εὐεργετούμενον, ἐκθηριοῦνται
καὶ τρέμουσι καὶ ὠχριῶσι. καὶ τί ταύτης τῆς μανίας χεῖρον γένοιτ' ἄν; Τί ὠχρι-
ᾷς, εἰπέ μοι, καὶ τρέμεις, καὶ περιδεὴς ἕστηκας; τί γέγονε δεινόν; ὅτι λαμπρὸς ὁ ἀδελφὸς καὶ
περιφανὴς καὶ εὐδόκιμος; οὐκ οὖν στεφανοῦσθαί σε ἔδει καὶ χαίρειν καὶ τὸν Θεὸν δοξάζειν, ὅτι
20 τὸ μέλος τὸ σὸν ὁρᾷς λαμπρὸν καὶ περιφανές; ἀλλὰ ἀλγεῖς, ὅτι ὁ Θεὸς δοξάζεται; ὁρᾷς ποῦ ὁ
πόλεμος τείνει. οὐχὶ τοῦτό με λυπεῖ, φησιν, ἀλλὰ δι' ἐμοῦ τὸν Θεὸν ἐβουλόμην δοξάζεσθαι.
οὐκοῦν χαῖρε, εὐδοκιμοῦντος τοῦ ἀδελφοῦ, καὶ δοξάζεται διὰ σοῦ πάλιν ὁ Θεός. εἰ γὰρ
καὶ πολέμιος ἦν καὶ ἐχθρός, ὁ δὲ Θεὸς δι' αὐτοῦ ἐδοξάζετο, φίλον ἔδει ποιήσασθαι διὰ τοῦτο.
σὺ δὲ τὸν φίλον ἐχθρὸν ποιεῖς, ἐπειδὴ ὁ Θεὸς δοξάζεται δι' αὐτῆς εὐδοκιμήσεως ἐκείνου. καὶ πῶς
25 ἂν ἑτέρως τὸν πρὸς τὸν Χριστὸν ἐπιδείξω πόλεμον; διὰ τοῦτο κἂν σημεῖά τις ποιῇ, κἂν παρ-
θενίαν, κἂν νηστείαν, κἂν χαμευνίαν ἐπιδείξηται, καὶ πρὸς τοὺς ἀγγέλους διὰ ταύτης φθάσῃ
τῆς ἀρετῆς, τῷ δὲ τῆς βασκανίας ὑποκείμενος ᾖ πάθει, πάντων ἐστὶν ἐναγέστερος. εἰ γὰρ τὸ
φιλεῖν τοὺς φιλοῦντας οὐδὲν ἡμᾶς πλέον ἔχειν ἀφίησι τῶν ἐθνικῶν· ὁ τοῖς φιλοῦσι βασκαί-
νων ποῦ στήσεται; καὶ γὰρ τοῦ πολεμεῖν χεῖρόν ἐστι τὸ βασκαίνειν. ὁ μὲν γὰρ πολεμῶν, τῆς αἰ-
30 τίας λυθείσης, δι' ἣν ὁ πόλεμος, καὶ τὴν ἔχθραν κατέλυσεν· ὁ δὲ βάσκανος οὐδέποτε ἂν γέ-
νοιτο φίλος. καὶ ὁ μὲν φανερὰν τὴν μάχην ἐπιδείκνυται, ὁ δὲ συνεσκιασμένην· καὶ ὁ μὲν
αἰτίαν ἔχει πολλάκις εἰπεῖν εὔλογον τοῦ πολέμου, ὁ δὲ οὐδὲν ἕτερον, ἢ μανίαν καὶ γνώμην Σα-
τανικήν. Καὶ ὥσπερ ὁ ἀδικῶν οὐκ ἀδικεῖ, ἀλλ' ἀδικεῖται· οὕτω καὶ ὁ τῷ πλησίον ἐπι-
βουλεύων, ἑαυτὸν ἀναιρεῖ. καὶ ὥσπερ εἰ ἀδικοῦμεν τοὺς πλησίον, ἑαυτοὺς ἀδικοῦμεν, οὕτως
35 εὖ ποιοῦντες αὐτούς, ἑαυτοὺς εὖ ποιοῦμεν. Ὁ γὰρ κακῶς ἀκούων ψευδῆ, οὐ μόνον οὐκ ἠ-
δίκηται, ἀλλὰ μισθὸν ἔχει μέγιστον. οὐ γὰρ ὁ πάσχων, ἀλλ' ὁ δρῶν κακῶς, οὗτός ἐστιν ὁ τῆς
τιμωρίας ἄξιος, ἂν μὴ παράσχῃ λαβὰς τῆς κακηγορίας εὐλόγους ἐκεῖνος. καὶ ὥσπερ ἀμή-
χανον παρὰ πάντων ἀκούειν καλῶς τὸν ἐνάρετον, οὕτως ἀμήχανον παρὰ πάντων ἀκούειν
κακῶς, ἂν μὴ πολλὰς πολλαχόθεν αὐτὸς ἑαυτῷ παράσχῃ τὰς ἀφορμάς. αἱ δημόσιαι
40 γινόμεναι κακηγορίαι πολλάκις ἰταμοὺς καὶ ἀναισχυντοτέρους τοὺς ἀνθρώπους ποιοῦσιν. ἕως
μὲν γὰρ ἂν ἴδωσιν οἱ πολλοὶ τῶν ἁμαρτανόντων, ὅτι δυνατὸν αὐτοὺς λαθεῖν, ἐπιμεληθεῖν
ῥᾳδίως αἱροῦνται· ὅταν δὲ τὴν παρὰ τῶν πολλῶν ἀπολέσωσι δόξαν, εἰς ἀπόγνωσίν τε
ἐμπίπτουσι, καὶ εἰς ἀναισχυντίαν ἐξολισθαίνουσιν. ἀλλ' ἠδικήθης τι παρ' αὐτοῦ; τί
τοίνυν καὶ σαυτὸν ἀδικεῖς; ὁ γὰρ ἀμυνόμενος, καθ' ἑαυτοῦ τὸ ξίφος ὠθεῖ. εἰ τοίνυν
βούλει

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ῥωμ. ἐπισ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Φιλιπ. ἐπισ.

Ἐκ τῆς ἑρμην. τοῦ μθ'. Ψαλ.

βούλει καὶ σαυτὸν εὐεργετῆσαι καὶ ἐκεῖνον ἀμύνασθαι, εἰπὲ καλῶς τὸν ἠδικηκότα· ἂν δὲ κακῶς εἴπῃς, οὐ πιστευθήσῃ, τῆς ἔχθρας τὴν ὑποψίαν δεχόμενος. Ἡ γὰρ ἔχθρα προσαπαντῶσα ταῖς τῶν ἀκουόντων διανοίαις, οὐκ ἀφίησιν αὐτὰς ἐπιθεῖναι ταῖς ἀκοαῖς τὰ λεγόμενα. Μὴ τοίνυν λέγε κακῶς, ἵνα μὴ καὶ σαυτὸν μολύνῃς· μηδὲ βόρβορον ὕφαινε μετὰ πηλοῦ καὶ πλινθείας, ἀλλὰ στεφάνους ἀπὸ ῥόδων πλέκε, καὶ ἴων, καὶ τῶν λοιπῶν ἀνθέων· μηδὲ κόπρον ἀπὸ τοῦ στόματος φέρε, καθάπερ οἱ κάνθαροι. Τοῦτο γὰρ οἱ κακηγοροῦντες, αὐτοὶ τῆς δυσωδίας ἀπολαύουσι πρῶτον. Τὸν μὲν γὰρ λοίδορον πάντες ἀποστρέφονται, ὡς σαπρὸν ὄζοντα, καθάπερ τινὰ βδέλλαν ἢ κάνθαρον κόπρῳ τρεφόμενον τοῖς ἑτέρων κακοῖς· τὸν δὲ εὔφημον ἔχοντα στόμα, ὡς κοινὸν προσίενται μέλος, καὶ ὡς ἀδελφὸν γνήσιον.

γ. λέγῃς

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Τί γὰρ τὸν Ἄβελ ἠδίκησεν ὁ Κάϊν; οὐκ ἐκεῖνον μὲν ταχύτερον ἄκων εἰς βασιλείαν παρέπεμψεν, ἑαυτὸν δὲ μυρίοις περιέπειρε κακοῖς; τί τὸν Ἰακὼβ ἔβλαψεν ὁ Ἡσαῦ; οὐχ ὁ μὲν ἐπλούτει καὶ μυρίων ἀπέλαυεν ἀγαθῶν· αὐτὸς δὲ καὶ τῆς πατρῴας οἰκίας ἐξέπεσε, καὶ εἰς τὰ ἀλλότρια ἐπλανᾶτο μετὰ τὴν ἐπιβουλὴν ἐκείνην; τί δὲ οἱ παῖδες τούτου τὸν Ἰωσὴφ ἐποίησαν χεῖρον, καὶ ταῦτα μέχρις αἵματος ἐλθόντες; οὐχὶ οὗτοι μὲν καὶ λιμὸν ὑπέμειναν, καὶ περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, ἐκεῖνος δὲ βασιλεὺς τῆς Αἰγύπτου γέγονε πάσης; ὅσῳ γὰρ ἂν φθονῇς, τοσούτῳ μειζόνων γίνῃ πρόξενος ἀγαθῶν τῷ φθονουμένῳ. Θεὸς γάρ ἐστιν ὁ πάντα ἐφορῶν· καὶ ὅταν ἴδῃ τὸν οὐδὲν ἀδικοῦντα ἀδικούμενον, μᾶλλον ἐπαίρει καὶ ποιεῖ λαμπρόν, καὶ ταύτῃ σε κολάζει. Εἰ γὰρ τοὺς ἐφηδομένους τοῖς ἐχθροῖς οὐκ ἀφίησιν ἀτιμωρήτους παρελθεῖν, πολλῷ μᾶλλον τοὺς βασκαίνοντας τοῖς οὐδὲν ἠδικηκόσιν. Εἰ γὰρ ὁ τοὺς φιλοῦντας ἀγαπῶν, οὐδὲν πλέον ἔχει τελωνῶν, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν, ποίας τεύξεται φιλανθρωπίας;

Ἐκ τῆς τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Τίνος οὖν ἕνεκεν ἀλγεῖς, ἄνθρωπε, τοῖς τοῦ πλησίον καλοῖς; Εἰ γὰρ ἀλγεῖν δεῖ, ἐφ' οἷς αὐτοὶ πάσχομεν κακοῖς ἀλγεῖν ἐχρῆν, οὐκ ἐφ' οἷς ἑτέρους εὐδοκιμοῦντας ὁρῶμεν. Ἢ οὐκ οἶδας, ὅτι πάσης ἀπεστέρηται συγγνώμης τουτὶ τὸ ἁμάρτημα; καὶ εἰκότως. Ὁ μὲν γὰρ πόρνος ἔχει τὴν ἐπιθυμίαν εἰπεῖν, καὶ ὁ κλέπτης τὴν πενίαν, καὶ ὁ ἀνδροφόνος τὸν θυμόν, ψυχρὰς μὲν καὶ ἀλόγους, ὅμως δὲ ἔχουσί τινας προφάσεις εἰπεῖν· σὺ δὲ ποίαν αἰτίαν ἐρεῖς, εἰπέ μοι; οὐδεμίαν, ἀλλ' ἢ πονηρίαν ἐπιτεταμένην μόνον. Εἰ γὰρ ἐχθροὺς ἀγαπᾶν κελευόμεθα, ὅταν καὶ τοὺς φιλοῦντας μισῶμεν, ποίαν τίσομεν δίκην; εἰ γὰρ ὁ τοὺς φιλοῦντας ἀγαπῶν οὐδὲν ἄμεινον τῶν ἐθνικῶν διακείσεται, ὁ τοῖς μηδὲν ἠδικηκόσιν ἐπηρεάζων, ποίαν ἕξει συγγνώμην; ὁ δαίμων φθονεῖ μέν, ἀνθρώποις δέ, δαίμονι δὲ οὐδενί· σὺ δὲ ἄνθρωπος ὤν, ἀνθρώποις φθονεῖς; καὶ ποίας τεύξῃ συγγνώμης;

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. β'. ἐπισ.

Δεινὸν ἡ βασκανία, δεινόν, καὶ τῆς οἰκείας ἀναπείθει καταφρονεῖν σωτηρίας. Οὕτω γὰρ ὁ Σαοὺλ δαίμονα πονηρὸν ἐκάλεσε κατὰ τῆς ἑαυτοῦ ψυχῆς· καὶ καλέσας, τὸν ἰατρὸν πάλιν ἐβάσκαινε. Τοιοῦτον γὰρ ὁ φθόνος. ᾜδει ὅτι ἐσώθη, καὶ ἀπολέσθαι μᾶλλον ἤθελεν, ἢ τὸν σώσαντα εὐδοκιμοῦντα ἰδεῖν.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Κορ. α'. ἐπισ.

Καί, εἰ βούλεσθε, διηγήσομαι ὑμῖν τίνας εὐεργεσίας εὐεργέτησεν ὁ Δαβὶδ τὸν Σαούλ, καὶ τίσιν αὐτὸν μετὰ ταῦτα ἐκεῖνος ἠμείψατο. Πολέμου ποτὲ τοὺς Ἰουδαίους καταλαβόντος χαλεπωτάτου, καὶ πάντων καταπεπληγότων καὶ δεδοικότων, καὶ οὐδενὸς προκύψαι τολμῶντος, ἀλλ' ἐν ἐσχάτοις τῆς πόλεως οὔσης ἁπάσης, καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἑκάστου βλέποντος, καὶ καθ' ἑκάστην ἀποθανεῖσθαι τὴν ἡμέραν προσδοκώντων ἁπάντων, εἰσελθὼν οὗτος ἀπὸ τῶν προβάτων ἐπὶ τὴν παράταξιν, τὸν ἁπάντων ἀνεδέξατο πόλεμον, καὶ οὐδεμίαν ὁρῶν ἀνάγκην ἐπικειμένην αὐτῷ, ἀλλὰ καὶ πολλοὺς τοὺς κωλύοντας ἔχων (καὶ γὰρ καὶ ὁ ἀδελφὸς ἐπετίμα, καὶ ὁ βασιλεὺς πρὸς τὸ τῆς ἡλικίας ἄωρον ἀφορῶν κατεῖχε καὶ μένειν ἐκέλευε) διαθερμανθεὶς οἴκοθεν ἐπὶ τοὺς βαρβάρους ἔτρεχε, καὶ τοσαύτην κηδεμονίαν περὶ τὸν βασιλέα ἐπεδείξατο, ὡς καὶ περὶ τοῦ πολέμου καὶ τῆς νίκης ἐπ' ὄψιν αὐτὸν κείμενον ἀναστήσας εἰπεῖν, Μὴ συμπεσέτω ἡ καρδία τοῦ κυρίου μου δι' αὐτόν· ὅτι ὁ δοῦλός σου πορεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλλοφύλου τούτου. Ἆρα μικρὸν

α. Βασ. ιζ. λβ

τοῦτο,

τοῦτο, εἰπέ μοι, τὸν μηδεμίαν ἀνάγκην ἔχοντα τὴν ψυχὴν ἐπιδοῦναι τὴν ἑαυτοῦ, καὶ ὑπὲρ τῆς ἐκείνων ὠφελείας εἰς μέσους ἐμπηδῆσαι τοὺς πολεμίους, μηδὲν μηδέποτε παρ' αὐτῶν εὖ παθόντα; ἆρα οὐκ ἔδει αὐτὸν μετὰ ταῦτα δεσπότην αὐτὸν ἐπιγράφεσθαι, καὶ σωτῆρα κοινὸν τῆς πόλεως ἀναγορεύειν, τὸν καὶ τὴν ἀπαράτρεπτον ζωὴν μετὰ τὴν τοῦ Θεοῦ χάριν διατηρήσαντα; ποία γὰρ ταύτης εὐεργεσίας μείζων ἑτέρα ἦν; οὐ γὰρ εἰς χρήματα, οὐδὲ εἰς δόξαν καὶ δυναστείαν, ἀλλ' εἰς αὐτὴν αὐτοῦ τὴν ψυχὴν τὴν εὐεργεσίαν κατέθετο, καὶ ἐξ αὐτῶν αὐτὸν ἀνεκαλέσατο τῶν τοῦ θανάτου πυλῶν· καὶ δι' ἐκεῖνον ἔζη λοιπὸν ὁ βασιλεὺς, καὶ ἀπέλαυε τῆς ἀρχῆς. πῶς οὖν αὐτὸν μετὰ ταῦτα ἠμείψατο; εἰ μὲν γὰρ πρὸς τὸ ὕψος τῶν κατορθωμάτων τὸ μέγεθος εἶδεν, οὐδ' εἰ τὸν στέφανον ἀπὸ τῆς αὐτοῦ λαβὼν κεφαλῆς ἐπὶ τὴν τοῦ Δαβὶδ ἔθηκεν, οὐδέπω τὴν ἀξίαν ἦν ἀποδεδωκὼς ἀμοιβὴν, ἀλλὰ τὸ πλέον ὀφείλων. ἐκεῖνος μὲν γὰρ τὴν ζωὴν καὶ βασιλείαν αὐτῷ ἐχαρίσατο· οὗτος δὲ βασιλείας αὐτῷ παραχωρεῖν ἔμελλε μόνης. πλὴν ἀλλ' ἴδωμεν αὐτοῦ τὰς ἀμοιβάς. ἐπειδὴ τοῦ βαρβάρου τὴν κεφαλὴν ἔλαβε, καὶ τὰ λάφυρα ἦγεν ἐπανιών, Ἐξῆλθον αἱ χορεύουσαι, φησίν, ᾄδουσαι καὶ λέγουσαι· ἐπάταξε Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσι· καὶ ὠργίσθη Σαοὺλ, καὶ ἦν ἀποβλεπόμενος τὸν Δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης. τίνος ἕνεκεν, εἰπέ μοι; εἰ γὰρ χρή τι θαυμαστὸν εἰπεῖν, τῷ Σαοὺλ ἐχαρίσαντο μᾶλλον, ἢ τῷ Δαβὶδ, ταῦτα λέγουσαι· καὶ ἀγαπᾶν αὐτὸν ἐχρῆν, ὅτι τὰς χιλιάδας γοῦν ἔδωκαν αὐτῷ. τί οὖν ἀγανακτεῖ, ὅτι ἔδωκαν τὰς μυριάδας ἐκείνῳ; εἰ μὲν γὰρ ἦν τι συντελέσας εἰς τὸν πόλεμον, καὶ μικρὰν γοῦν τινα μοῖραν εἰσενεγκών, καλῶς ταῦτα ἐλέγετο, ὅτι Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσιν. εἰ δὲ αὐτὸς μὲν δειλιῶν καὶ τρέμων ἔσω ἐκάθητο, καθ' ἑκάστην ἡμέραν ἀποθανεῖσθαι προσδοκῶν, οὗτος δὲ τὸ πᾶν εἰργάσατο· πῶς οὐκ ἄτοπον ἦν, τὸν μηδὲν εἰς τοὺς κινδύνους συμβαλλόμενον ἀγανακτεῖν, ὅτι μὴ τὸ πλέον τῆς εὐφημίας ἔλαβεν; εἰ γὰρ ἀγανακτεῖν ἐχρῆν, τὸν Δαβὶδ ἀγανακτεῖν ἔδει, ὅτι τὸ πᾶν αὐτὸς κατορθώσας, μέρος ἦν ἕτερον ἔχει τῆς εὐφημίας. Ἀλλὰ τοιοῦτον ἡ βασκανία· οὐκ ἀνέχεται πράως ὁρᾶν τὴν ἑτέρων εὐπραγίαν· ἀλλὰ τὴν τῶν πλησίον εὐημερίαν οἰκείαν δυσπραγίαν εἶναι νομίζει, καὶ τήκεται τοῖς τῶν πλησίον ἀγαθοῖς, καθάπερ καὶ ὁ βασιλεὺς Γεράρων ὑπέμεινεν. ὁρῶν γὰρ τὸν Ἰσαὰκ καθ' ἑκάστην ἡμέραν αὐξανομένην τὴν εὐπορίαν ἐδεδοίκει, καὶ μεταναστῆναι ἐκεῖθεν καταναγκάζει τὸν δίκαιον. ἄξιον δὲ ἀκοῦσαι καὶ αὐτῶν τῶν ῥημάτων τῆς θείας γραφῆς, ἵνα δι' αὐτῶν θαυμάσωμεν τοῦ Θεοῦ τὴν εὔνοιαν, ἣν περὶ τοὺς αὐτοῦ οἰκέτας ἐπιδείκνυται. ἔσπειρε δὲ, φησὶν, Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ, καὶ εὗρεν ἑκατοστεύουσαν κριθὴν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. Εἶδες φιλοτιμίαν δεσπότου; εἶδες ἐπίτασιν εὐεργεσίας; ἀλλ' ἴδωμεν καὶ τοῦ βασιλέως τὸν ζῆλον, οἷος ἐγένετο διὰ τὴν τοῦ δικαίου εὐπορίαν. Ἄπελθε, φησὶν, ἀφ' ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου. καὶ ἀληθῶς δυνατώτερος ἦν, τὴν ἄνωθεν συμμαχίαν ἔχων ἐν ἅπασι, καὶ ὑπὸ τῆς τοῦ Θεοῦ δεξιᾶς φρουρούμενος. ποῦ τοίνυν ἀπελαύνεις τὸν δίκαιον; οὐκ οἶσθα ὅτι ὅπου ἂν αὐτῷ συμβαίη ἀπελθεῖν, ἐν τοῖς τοῦ δεσπότου τοῦ ἑαυτοῦ ἔσται αὐτὸν ἀνάγκη; κἂν γὰρ εἰς αὐτὴν τὴν ἔρημον ἀπελθεῖν καταναγκάσῃς, οὕτως εὐμήχανον δεσπότην ἔχει, ὡς καὶ ἐκεῖ γενόμενον πολλῷ πλέον περιφανέστερον ἀποδεῖξαι. διὰ γὰρ τῶν ἐναντίων μάλιστα τὰ ἐναντία πολλάκις οἰκονομεῖ. αὐτῷ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ πατρὶ καὶ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

α. Βασ. ιη.

Ἐκ τῆς ἑρμηνείας τῆς ἑξαημ.

Γεν. κϛ. ιϛ.

Λογ. λζ.

ΠΕΡΙ ΨΥΧΗΣ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὸν περὶ φύσεως νόμον.

Ἐοίκασιν οἱ ἔργοις κομῶντες ἀγαθοῖς, καὶ τὴν πρὸς τὸν Θεὸν πίστιν ἀγνοήσαντες, λειψάνοις νεκρῶν καλὰ μὲν ἐνδεδυμένοις, αἴσθησιν δὲ τῶν καλῶν οὐκ ἔχουσι. τί γὰρ ὄφελος ἀνθρώπῳ ψυχὴν μὲν ἔχειν νεκράν, τοῖς δὲ ἀγαθοῖς ἔργοις περιβεβλημένην; τὰ ἔργα ἐπ' ἐλπίδι τῆς ἀμοιβῆς καὶ στεφάνων· εἰ δὲ τὸν ἀγωνοθέτην ἀγνοεῖς, ὑπὸ τίνος ἀθλεῖς; ὥσπερ γὰρ τοῖς ἀνθρώποις προηγεῖται τὸ ζῆν, καὶ οὕτω τὸ τρέφεσθαι· οὕτω δεῖ προηγεῖσθαι ἡμῖν τῆς ζωῆς τὴν εἰς Χριστὸν ἐλπίδα, τρέφεσθαι δὲ καὶ τοῖς ἔργοις τοῖς ἀγαθοῖς. τὸν γὰρ μὴ τρεφόμενον ἐγχωρεῖ ζῆν πολλάκις, τὸν δὲ μὴ ζῶντα οὐκ ἐγχωρεῖ τρέφεσθαι. καὶ ἄνευ μὲν πίστεως τὸν ἐργαζόμενον ἔργα δικαιοσύνης οὐ δυνήσῃ παραστῆσαι ζήσαντα· ἄνευ δὲ ἔργων τὸν πιστὸν δυνάμεθα δεῖξαι καὶ ζήσαντα, καὶ βασιλείας ἀξιωθέντα. οὐδεὶς ἄνευ πίστεως ἔζησεν, ὁ δὲ λῃστὴς πιστεύσας μόνον ἐδικαιώθη. μὴ γάρ μοι λέγε, οὐκ ἔσχε καιρὸν πολιτεύσασθαι· εἰ γὰρ ἐπέζησε τῇ πίστει, καὶ ἔργων ἠμέλησεν, ἐξέπιπτε τῆς σωτηρίας. μεμαρτύρητο καὶ Κορνήλιος ἐπὶ ἐλεημοσύναις καὶ προσευχαῖς, ἀλλὰ Χριστὸν ἠγνόει. καὶ ἐπεὶ εἶδεν ὁ τῆς ἀληθείας ὀφθαλμός, ὁ μέγας κριτής, ὅτι καλὰ μὲν τὰ ἔργα, νεκρὰ δέ ἐστιν οὐκ ἔχοντα πίστιν, ἀποστέλλει βραβεύοντα τοῖς ἔργοις ἄγγελον, ὥστε τὸν καλῶς ἀθλοῦντα στεφανῶσαι τῇ πίστει, ὅς φησι πρὸς αὐτόν, Κορνήλιε, αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. εἰ τοίνυν εἰσηκούσθη ἡ δέησις, καὶ αἱ ἐλεημοσύναι ἐδέχθησαν, τί μοι τὸ λοιπὸν εἰς δικαιοσύνην; ἀλλὰ πέμψον, φησίν, εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον, ὃς ἐλθὼν λαλήσει σοι τὰ ῥήματα, ἐν οἷς σωθήσῃ σὺ καὶ ὅλος ὁ οἶκός σου. εἰ οὖν ἐξ ὧν λέγει Πέτρος, σώζεται καὶ αὐτὸς καὶ ὁ οἶκος αὐτοῦ, οὐκ εἶχεν οὐδέπω ἐκ τῶν ἔργων τὴν σωτηρίαν, ἕως αὐτοῦ τοῖς ἔργοις ἐβράβευσεν ἡ πίστις.

χ. αὐτῷ

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Ρωμαίους.

Λέγεταί τις καὶ τῶν ἔξωθεν φιλοσόφων, εἰς οἰκίαν λαμπρὰν εἰσελθών, πολλῷ μὲν καταλαμπομένην χρυσίῳ, πολλῷ δὲ ἀστράπτουσαν τῷ τῶν μαρμάρων καὶ τῶν κιόνων κάλλει· ἐπεὶ δὲ τὸ ἔδαφος εἶδε πανταχοῦ τάπησιν ἔχον ἐστρωμένους, εἰς τὴν ὄψιν ἐμπτύσαι τοῦ τῆς οἰκίας δεσπότου· εἶτα ἐγκαλούμενος εἰπεῖν, διὰ τὸ μηδαμοῦ τῆς οἰκίας ἑτέρωθι τοῦτο δέξασθαι ποιῆσαι, εἰς τὴν ὄψιν ἀναγκασθῆναι ὑβρίσαι τὴν ἐκείνου. ὁρᾷς πῶς καταγέλαστος ὁ τὰ ἔξωθεν καλλωπίζων ἐστί, καὶ παρὰ πᾶσιν εὐκαταφρόνητος τοῖς νοῦν ἔχουσι; καὶ μάλα εἰκότως. ὅταν γὰρ τοὺς μὲν τοίχους καὶ τὸ ἔδαφος, καὶ τὰ ἄλλα πάντα καλλωπίζῃς, τὴν δὲ ψυχὴν περιορᾷς ῥακοδυτοῦσαν, αὐχμῶσαν, πεινῶσαν, τραυμάτων γέμουσαν, ὑπὸ μυρίων σπαραττομένην κυνῶν, ποίαν οὐκ ἄν, εἰπέ μοι, ὑποστήσῃ τιμωρίαν;

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Χρήματα μὲν γὰρ ἂν ἀπολέσῃς, δυνήσῃ δοῦναι χρήματα, κἂν οἰκίαν, κἂν ἀνδράποδα, κἂν ὁποιονοῦν ἕτερον τῶν κτημάτων· ψυχὴν δὲ ἂν ἀπολέσῃς, ἑτέραν ἐπιδοῦναι ψυχὴν οὐ δυνήσῃ· ἀλλά, κἂν τὸν κόσμον ἔχῃς ἅπαντα, κἂν βασιλεὺς τῆς οἰκουμένης ᾖς, οὐχ οἷός τε ἔσῃ τὰ τῆς οἰκουμένης ἅπαντα καταβαλὼν μετὰ τῆς οἰκουμένης αὐτῆς ψυχὴν ἀγοράσαι μίαν. εἰ γὰρ ἐπὶ σώματος, κἂν μυρία διαδήματα περικείμενος ᾖς, σῶμα δὲ ἔχῃς ἐπίνοσον φύσει, καὶ ἀνιάτως ἔχοι, οὐ δυνήσῃ, κἂν τὴν βασιλείαν ἅπασαν ἐπιδῷς, τὸ σῶμα διορθῶσαι τοῦτο, κἂν μυρία σώματα προσθῇς, καὶ πόλεις καὶ χρήματα· ἐπὶ τῆς ψυχῆς πόσῳ μᾶλλον;

Ἐκ τῆς αὐτῆς.

Πάντα διπλᾶ δέδωκεν ἡμῖν ὁ Θεὸς τῇ φύσει, δύο ὀφθαλμούς, δύο ὦτα, δύο χεῖρας, δύο πόδας, ἵνα, ἐὰν τὸ ἕτερον τούτων βλαβῇ, διὰ τοῦ ἑτέρου τὴν χρείαν παραμυθώμεθα· ψυχὴν δὲ μίαν δέδωκεν ἡμῖν· ἂν ταύτην ἀπολέσωμεν, μετὰ τίνος ἐμβιωτεύσομεν;

χ. ψυχῆς

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ιωαν. εὐαγγ.

Ψυχὴ γὰρ καθάπαξ ὑπὸ φιλοχρηματίας ἁλοῦσα, οὐ ῥᾳδίως οὐδὲ εὐκόλως παραιτήσεται καὶ πρᾶξαι καὶ εἰ-

πεῖν

ποιῶν τι τῶν παροξυνόντων Θεὸν, ἀλλὰ καὶ ἑτέρους γινόμενον διὰ τοῦτο δούλην, καὶ πάντα ἀπεναντίας ἐπιτάττοντος τῷ Θεῷ. Ψυχὴ καθάπαξ τῆς οἰκείας ἀπογνοῦσα σωτηρίας, οὐδαμοῦ τῆς μανίας ἀφίσταται, ἀλλὰ τὰς ἡνίας τῆς σωτηρίας αὐτῆς ἐκδοῦσα, ταῖς ἀλόγοις ἐπιθυμίαις πανταχοῦ φέρεται, καὶ τοῖς ἀπαντῶσιν ἐστὶν ἄφορητος, ὑποφθάνουσα μὲν ἁπάντων, καταφρονεῖν δὲ τολμῶντος οὐδενὸς, ἀλλὰ πάντα τῆς κακίας κατατρέχει τὰ χωρία, ἕως ἂν εἰς αὐτὰ τῆς ἀπωλείας τὰ βάραθρα φέρουσα, κατακρημνίσῃ τὴν ἑαυτῆς σωτηρίαν. ψυχὴ καθάπαξ ἁμαρτίᾳ ἐνδοῦσα μὲν, καὶ ἀναλγήτως διατεθεῖσα, πολλὴν παρέχει τῷ νοσήματι τὴν προσθήκην. Ὥσπερ γὰρ ὁ εἰς ἐγκαλινδούμενος βορβόρῳ ἤδη, οὕτω καὶ ψυχὴ ὑπὸ κακῆς συνηθείας καταχωσθεῖσα, οὐδὲ αἴσθησιν λαμβάνει τῆς τῶν ἁμαρτημάτων δυσωδίας. καὶ ὥσπερ γῆν μὴ βρεχομένην οὐκ ἔστι, κἂν μυρία τις βάλῃ σπέρματα, στάχυας ἐξενεγκεῖν· οὕτω ψυχὴν οὐκ ἔστι μὴ ταῖς θείαις γραφαῖς φωτισθεῖσαν πρότερον, κἂν μυρία τις ἐγχέῃ ῥήματα, καρπόν τινα ἐπιδείξασθαι. καὶ καθάπερ ἡ γῆ, ὅταν μὴ σπείρηται μηδὲ φυτεύηται, βοτάνην ἀναδίδωσιν ἁπλῶς· οὕτω καὶ ἡ ψυχὴ, ὅταν μὴ ἔχῃ τι πρᾶξαι τῶν ἀναγκαίων, ἐπὶ δὲ ἀργεῖν οὐ δύναται, πάντως τῶν περιττῶν ἐπιθυμοῦσα, πονηροῖς ἑαυτὴν ἐκδίδωσι πράγμασιν. ὥσπερ γὰρ ἐπὶ τῶν σωμάτων φλεγμονὴ, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς ἀπόνοια· εἶτα δὲ ἐξ ἀπονοίας ἐπιθυμία τῶν οὐ προσηκόντων ἐπακολουθεῖν εἴωθε. Καὶ ὥσπερ ἐν τοῖς σώμασιν οἱ τῶν τραυμάτων καταφρονήσαντες, πυρετοὺς ἔτεκον, καὶ σηπεδόνας, καὶ θάνατον· οὕτω καὶ ἐπὶ τῶν ψυχῶν, οἱ τῶν μικρῶν ὑπερορῶντες ἁμαρτημάτων, τὰ μείζονα ἐπεισάγουσι. Διὰ τοῦτο δὲ σῶμα ἡμῖν ἔδωκεν ἀπὸ τῆς γῆς ὁ Θεὸς, ἵνα καὶ αὐτὸ εἰς οὐρανὸν ἀναγάγωμεν, οὐχ ἵνα δι' αὐτοῦ καὶ τὴν ψυχὴν εἰς τὴν γῆν κατασπάσωμεν. ὢ τοῦ θαύματος· πῶς πάντες εἰς τὰ παρόντα κεχήνασι πράγματα, καὶ τῶν μελλόντων οὐδέποτε λαμβάνουσιν ἔννοιαν· ἀλλ' εἰς μὲν τὰς σωματικὰς ἀπολαύσεις ἀδιαλείπτως ἐπείγονται, τὰς δὲ ψυχὰς ἐῶσιν ἐν λιμῷ κατατήκεσθαι· καὶ μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνοντες τραύματα, οὐδέποτε αἴσθησιν λαμβάνουσι τῶν ἐν οἷς εἰσι κακῶν· ἀλλὰ τὴν μὲν τοῦ σώματος θεραπείαν ἑαυτοῖς περιποιοῦνται, τῆς δὲ ψυχῆς ὑπερορῶσιν αὐχμώσης τε καὶ ῥυπώσης, καὶ ὑπὸ μυρίων ἐνοχλουμένης κακῶν· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι μετ' οὐ πολλοὺς ἱδρῶτάς τε καὶ πόνους, οὐδὲ τὸ θνητὸν σῶμα θανάτου κρεῖττον ἐργάζονται, ἀλλὰ καὶ τὴν ἀθάνατον μετὰ τοῦ θνητοῦ ταῖς ἀθανάτοις ὑποβάλλουσι τιμωρίαις. διὰ τοῦτο λίαν ὀλοφυρόμενος τὴν περικεχυμένην ἄνοιαν ταῖς τῶν ἀνθρώπων ψυχαῖς, καὶ τῆς ἐπικειμένης αὐτοῖς ἀχλύος τὴν παχύτητα, ἐβουλόμην εὑρεῖν σκοπιάν τινα ὑψηλὴν, ὑποδεικνύουσάν μοι πάντα τὰ τῶν ἀνθρώπων γένη· ἐβουλόμην δὲ καὶ φωνῆς τυχεῖν πάντα περιηχούσης τὰ πέρατα, καὶ πᾶσιν ἀρκούσης τοῖς ἐπὶ γῆς, καὶ στῆναι καὶ βοῆσαι, καὶ τὴν Δαβιτικὴν ἐκείνην ἀνακηρῦξαι φωνήν· Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; Πῶς γὰρ οὐκ ἄτοπον, ἐπὶ μὲν τοῦ σώματος κἂν τὸ τυχὸν καταλάβῃ πάθος, καὶ ἰατροὺς καλεῖν, καὶ χρήματα ἀναλίσκειν, καὶ καρτερίαν ἐπιδείκνυσθαι, καὶ οὐ πρότερον ἀφίστασθαι ἅπαντα πράττοντας, ἕως ἂν ἀποθώμεθα τὸ λυποῦν· τῆς δὲ ψυχῆς καθ' ἑκάστην ἡμέραν κεντουμένης, κρημνιζομένης, καὶ πάντα τρόπον ἀπολλυούσης ἑαυτὴν, οὐδὲ βραχὺν ἔχειν λόγον; Οὐ γὰρ τὸν ἔχοντα σηπεδόνα θρηνεῖν ἁπλῶς δεῖ, ἀλλὰ τὸν ἔχοντα καὶ εἰκῆ κείμενον, καὶ μὴ τυγχάνοντα ἰατρικῶν χειρῶν. τὸν δὲ τεμνόμενον καὶ καιόμενον, τοῦτον μάλιστα φαίην ἂν πρὸς ὑγίειαν ὁδεύειν, οὐ τὴν ἀπὸ τῆς τομῆς ὀδύνην βλέποντες, ἀλλὰ τὴν ἀπὸ τῆς ὀδύνης ὑγίειαν. οὕτω καὶ ἐπὶ τῆς ψυχῆς διακεῖσθαι χρὴ, οὐχὶ τοὺς κολαζομένους (οὗτοι γὰρ πρὸς ὑγίειαν ἕλκονται) ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀτιμωρητὶ πενθεῖν δεῖ καὶ ὀδύρεσθαι. Ὁ γὰρ χρησταῖς συντρεφόμενος ἐλπίσι, καὶ περὶ τῶν μελλόντων θαῤῥῶν, ἀπεντεῦθεν ἤδη τῆς βασιλείας ἐγεύσατο. οὐδὲν γὰρ οὕτω ψυχὴν εἴωθεν ἀνακτᾶσθαι καὶ ἀμείνω ποιεῖν, ὡς ἡ χρηστὴ τῶν μελλόντων ἐλπίς. οἱ μὲν γὰρ ἅπασαν τὴν σπουδὴν εἰς τὸν καλλωπισμὸν κενοῦντες τῆς ἑ-

Ἐκ τοῦ γ. λόγ. τῶν εἰς Ὀζίαν.

Ἐκ τῆς ἑρμην. τῆς ἑξαημ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Γαλάτ. ὑπ.

Ἐκ τῆς ἑρμην. τῆς πρὸς Τιμοθ. α΄ ἐπισ.

Ἐκ τοῦ λόγ. τοῦ πρὸς Δημήτ. μονάζ.

Ἐκ τῆς ἑρμην. τοῦ ζ΄. ψαλμ.

Ἐκ τῶν λόγ. τῶν εἰς τοὺς ἀδιαφ...

γρ. πίας

γρ. λίαν

γρ. εὑρεῖν

αὐτῶν οἰκίας, ἐν τοῖς ἔξω πλουτοῦντες, ἀμελοῦσι τῶν ἔνδον, καὶ ἔρημον καὶ αὐχμῶσαν καὶ ἀραχνίων γέμουσαν περιορῶσι τὴν ἑαυτῶν ψυχήν· ἂν δὲ τῶν ἔξωθεν ἀμελήσαντες, εἰς τὴν ἑαυτῶν διάνοιαν τὴν προθυμίαν καταναλώσωσιν ἅπασαν, πανταχόθεν αὐτὴν καλλωπίζοντες, καταγώγιον ἔσται τῷ Χριστῷ τῶν τοιούτων ἀνθρώπων ἡ ψυχή. τοῦ δὲ τὸν Χριστὸν ἔχοντος ἔνοικον τί γένοιτ' ἂν μακαριώτερον; τίνα οὖν ἕξομεν ἀπολογίαν, ποίαν συγγνώμην, ὅταν μὲν τοῦ σώματος νοσοῦντες, ἔνθα καὶ ἀργύριον δεῖ καταβαλεῖν, καὶ ἰατροὺς παρακαλέσαι, καὶ ὀδύνην ὑπομεῖναι πολλήν, τοσαύτην ποιώμεθα πρόνοιαν· ψυχῆς δὲ καταφρονῶμεν, καὶ ταῦτα μήτε ἀργύριον καταβαλεῖν μέλλοντες, μήτε ἑτέρους διενοχλεῖν, μήτε ὀδύνας ὑφίστασθαι· ἀλλὰ χωρὶς τούτων πάντων, διὰ τοῦ προελέσθαι καὶ βουληθῆναι μόνον, πᾶσαν αὐτοῖς δυνάμενοι ποιήσασθαι τὴν διόρθωσιν, καὶ ἀκριβῶς εἰδότες, ὡς, εἰ μὴ τοῦτο ποιήσαιμεν, τὴν ἐσχάτην ὑποστησόμεθα δίκην, καὶ τὰς ἀπαραιτήτους κολάσεις καὶ τιμωρίας; Καὶ καθάπερ οἱ τὸ δεσμωτήριον οἰκοῦντες, ἀεὶ μὲν ἐν κατηφείᾳ καὶ ὀδύναις εἰσί, μάλιστα δὲ κατὰ τὴν ἡμέραν ἐκείνην, καθ' ἣν ἂν μέλλωσιν ἐξάγεσθαι, καὶ πρὸς αὐτὰς τὰς τοῦ δικάζοντος ἄγεσθαι θύρας, καὶ περὶ τὰς κιγκλίδας ἑστῶτες, καὶ τῆς τοῦ κρίνοντος φωνῆς ἔνδοθεν ἀκούοντες, ἀποπήγνυνται τῷ φόβῳ, καὶ τῶν νεκρῶν οὐδὲν ἄμεινον διάκεινται· οὕτω καὶ ἡ ψυχὴ μάλιστα μὲν καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς ἁμαρτίας ὀδυνᾶται καὶ στενοχωρεῖται, πολλῷ δὲ πλέον, ὅταν ἐντεῦθεν ἀποσπασθεῖσα, πρὸς τὰς εὐθύνας τὰς ἐκεῖ καὶ τὸ φοβερὸν ἀπάγεσθαι μέλλῃ δικαστήριον. διὰ τοῦτο πολλάκις ἀναδύεται, καὶ πρὸς τὸ βάθος κάτω χωρεῖ, καὶ δέδοικε, καὶ φεύγει, μέλλουσα τῆς σαρκὸς ἀφίστασθαι. τότε γὰρ εἴτε ἥρπασέ τις, εἴτε ἐπλεονέκτησεν, εἴτε τινὰ ἐπηρέασεν, εἴτε τινὸς ἐχθρὸς γέγονεν ἀδίκως, εἴτε ἄλλ' ὁτιοῦν εἰργάσατο δεινόν, ἅπας ὁ τῶν ἁμαρτημάτων χορὸς ἀνεγείρεται, καὶ πρὸ τῶν ὀφθαλμῶν φέρεται πικρὸς ἑστηκὼς τοῦ συνειδότος κατήγορος. Διὰ τοῦτο καὶ ἀθάνατος ἡμῖν γέγονεν ἡ ψυχή, καὶ τὸ σῶμα δὲ ἔσται ἀθάνατον, ἵνα τῶν ἀτελευτήτων ἀπολαύσωμεν ἀγαθῶν. σὺ δὲ τῇ γῇ προσηλωμένος ἧς, τῶν οὐρανίων προκειμένων, ἐννόησον ὅση ἐστὶν εἰς τοὺς δωρουμένους ὕβρις· ὅταν ἐκεῖνος μὲν τὰ ἄνω σοι προτείνῃ, σὺ δὲ οὐ πολὺν αὐτῶν ποιούμενος λόγον, τὴν γῆν ἀνταλλάσσῃ τῶν οὐρανίων· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[marg.: γρ. χλιδῇ] [marg.: γρ. δικαστοῦ]

[marg.: Ἐκ τοῦ β. λόγ. τῶν εἰς τὸν πλούσ. καὶ Λάζ.]

[marg.: Ἐκ τῆς ἑρμην. τοῦ κγ΄ Ἰωάν. εὐαγγ.]

Λογ. λη.

ΠΕΡΙ ΤΟΥ ΜΗ ΚΑΤΑΦΡΟΝΕΙΝ ΤΗΣ ΤΟΥ ΘΕΟΥ ἐκκλησίας, καὶ τῶν ἁγίων μυστηρίων.

[marg.: Ἐκ τοῦ λόγ. τοῦ εἰς Πέτρον καὶ Ἠλίαν.]

Ὀλίγοι ἡμῖν σήμερον οἱ παραγενόμενοι, ἀγαπητοί. ἆρα τί τὸ αἴτιον; μνήμην μαρτύρων ἐπιτελοῦμεν, καὶ οὐδεὶς ἡμῖν ἀπήντησεν· ἀλλὰ τὸ διάστημα τῆς ὁδοῦ εἰς ῥαθυμίαν αὐτοὺς ἐνέβαλε· μᾶλλον δὲ οὐ τὸ διάστημα τῆς ὁδοῦ, ἀλλ' ἡ ῥαθυμία αὐτοὺς ἐνεπόδισεν. ὥσπερ γὰρ τὸν σπουδαῖον καὶ διεγηγερμένον τῇ προαιρέσει οὐδὲν δύναται κωλῦσαι· οὕτω τὸν ῥάθυμον καὶ ἀναπεπτωκότα πάντα δύναται κωλῦσαι. οἱ μάρτυρες τὸ ἴδιον αἷμα ἐξέχεον ὑπὲρ τῆς ἀληθείας· καὶ σὺ οὐδὲ βραχείας ὁδοῦ διάστημα καταφρονῆσαι δύνασαι; ἐκεῖνοι τὴν κεφαλὴν ἀπέθεντο διὰ τὸν Χριστόν· σὺ δὲ οὐδὲ μικρὸν ἀπαντῆσαι θέλεις διὰ τὸν δεσπότην; ὁ δεσπότης διὰ σὲ ἀπέθανε, καὶ σὺ δι' αὐτὸν ὀκνεῖς; μνήμη μαρτύρων, καὶ σὺ ῥαθυμεῖς, καὶ ἀναπέπτωκας; δέον ἐστί σε παραγενέσθαι, καὶ ἰδεῖν τὸν διάβολον ἡττώμενον, καὶ μάρτυρα νικῶντα, καὶ Θεὸν δοξαζόμενον, καὶ ἐκκλησίαν στεφανουμένην. ἀλλὰ ἁμαρτωλός εἰμι, φησί, καὶ οὐ δύναμαι ἀπαντῆσαι. ἐπειδὴ ἁμαρτωλὸς εἶ, ἀπάντησον, ἵνα γένῃ δίκαιος. τίς δὲ τῶν ἀνθρώπων ἄνευ ἁμαρτίας, εἰπέ μοι; ἢ οὐκ οἶδας ὅτι καὶ αὐτοὶ οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες ἁμαρτίαις εἰσὶ προσηλωμέ-

νοι; σάρκα γὰρ εἰσὶν ἐνδεδυμένοι καὶ σώματι συμπεπλεγμένοι· καὶ ἡμεῖς αὐτοὶ οἱ ἐπὶ θρόνου καθήμενοι καὶ διδάσκοντες, ἁμαρτίαις συμπεπλέγμεθα· ἀλλ' οὐκ ἀπογινώσκομεν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, οὐδὲ ἀπανθρωπίαν αὐτῷ περιάπτομεν. διὰ γὰρ τοῦτο καὶ αὐτοὺς τοὺς ἱερεῖς πάθει δουλεύειν παρεσκεύασεν ὁ Θεός, ἵνα ἐξ ὧν αὐτοὶ πάσχωσι, καὶ τοῖς ἄλλοις συγγνώμην διδῶσι. Πόσης οὐκ ἂν εἴη ταῦτα παραπληξίας καὶ ἀλογίας, ὅτι ἂν μὲν κιθαρῳδὸς ἢ ὀρχηστὴς, ἢ ἄλλος τις τῶν τοιούτων ἡμᾶς καλέσῃ, μετὰ σπουδῆς ἅπαντες τρέχομεν, καὶ χάριν αὐτῷ τῆς κλήσεως ἴσμεν, καὶ ἡμέρας ὁλοκλήρου τὸ ἥμισυ μέρος ἀναλίσκομεν ἐκείνῳ προσέχοντες μόνῳ· τοῦ δὲ Θεοῦ διὰ προφητῶν καὶ ἀποστόλων ἡμῖν διαλεγομένου, χασμώμεθα, κνώμεθα, καὶ ἰλιγγιῶμεν; καὶ ἐν μὲν ἱπποδρομίαις, οὐκ ὀροφῆς ἐπικειμένου τοῦ τὸν ὑετὸν στέγοντος, οἱ πλείους, πολλῶν ὄμβρων καταφερομένων, καὶ ἀνέμου τὸ ὕδωρ εἰς τὰς ὄψεις ῥιπίζοντος, ἑστήκασι μαινόμενοι, καὶ ψύχους, καὶ ὑετοῦ, καὶ μήκους ὁδοῦ καταφρονοῦσι, καὶ οὐδὲν αὐτοὺς οὔτε οἴκοι κατέχει, οὔτε ἐκεῖ κωλύει διαβῆναι· εἰς δὲ τὴν ἐκκλησίαν ἀπελθεῖν ὁ ὑετὸς ἡμῖν καὶ ὁ πηλὸς κώλυμα γίνεται. καὶ ἂν μὲν ἐρωτηθῶσι, τίς ἐστιν ὁ Ἀμώς, ἢ ὁ Ἀβδίας, ἢ ποῖος τῶν προφητῶν ὁ ἀριθμὸς, ἢ τῶν ἀποστόλων, οὐδὲ χρᾶναι δύνανται· ὑπὲρ δὲ ἵππων καὶ ἡνιόχων, καὶ σοφιστῶν καὶ ῥητόρων δεινότερον τὰς ἀπολογίας συντιθεῖσι. καὶ πῶς ταῦτα ἀνεκτά, εἰπέ μοι; Παρῄνεσα πολλάκις εἰς θέατρα μὴ ἀναβαίνειν. ἤκουσας, οὐκ ἐπείσθης; ἀνέβης εἰς τὸ θέατρον; παρήκουσάς μου τοῦ λόγου; μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν καὶ ἀκοῦσαι. ἤκουσα, καὶ οὐκ ἐτήρησα, φησί· πῶς δύναμαι εἰσελθεῖν καὶ ἀκοῦσαι; πόθεν αὐτὸ τοῦτο οἶδας, ὅτι οὐκ ἐτήρησας, πόθεν αἰσχύνῃ, πόθεν ἐρυθριᾷς, πόθεν μηδενὸς ἐλέγχοντος, τὸν χαλινὸν ἐπιφέρεις; πόθεν τὸν λόγον μου ἔχεις ἐρριζωμένον, πόθεν μὴ φαινομένου μου, ἡ διδασκαλία μου καθαίρει σε. οὐκ ἐτήρησας; μᾶλλον εἴσελθε, ἵνα πάλιν ἀκούσας τηρήσῃς. φάρμακον ἐὰν ἐπιτεθῇ σοι, καὶ μὴ καθαρίσῃ σε, τῇ ἄλλῃ ἡμέρᾳ οὐκ ἐπιτίθης αὐτὸ πάλιν; ἔστω τις δρυτόμος, ὦ ἄνθρωπε, καὶ θελέτω τεμεῖν δρῦν· λαμβάνει ἀξίνην, εἶτα κόπτει τὴν ῥίζαν· ἐὰν δῷ μίαν πληγὴν, καὶ μὴ πέσῃ τὸ δένδρον, οὐ δίδωσιν ἄλλην πληγήν; οὐ τετάρτην; οὐ πέμπτην; οὐ δεκάτην; οὕτω καὶ σὺ ποίει. Ταῦτα λέγω, οὐχ ἵνα ὑμᾶς ῥαθυμοτέρους ἐργάσωμαι, ἀλλ' ἵνα σπουδαιοτέρους καταστήσω. Εἰσῆλθες εἰς τὴν ἐκκλησίαν, ἄνθρωπε, ἠξιώθης τῆς τοῦ Χριστοῦ συντυχίας· ἐὰν μὴ ἀπολυθῇς, μὴ ἐξέλθῃς. ἐὰν γὰρ πρὸ τῆς ἀπολύσεως ἐξέλθῃς, ὡς δραπέτης εὐθύνῃ. τὴν ὅλην ἡμέραν ἐν τοῖς σωματικοῖς ἀναλίσκεις, καὶ δύο ὥρας ἐν τοῖς πνευματικοῖς οὐκ ἀσχολῇ; εἰς θέατρον πολλάκις ἀπέρχῃ, καὶ ἕως τῆς ἀπολύσεως οὐ κατέρχῃ· καὶ εἰς τὴν ἐκκλησίαν εἰσέρχῃ, καὶ πρὸ τῶν θείων μυστηρίων ἐξέρχῃ; φοβήθητι τὸν εἰρηκότα, Ὁ καταφρονῶν πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ. Καὶ βασιλεῖ μὲν παρεστὼς, οὐδὲ ἁπλῶς μειδιᾶσαι αἰσχύνῃ· τῷ δὲ τῶν ἁπάντων δεσπότῃ παρεστηκὼς, οὐχ ἵστασαι μετὰ φόβου καὶ τρόμου, ἀλλὰ γελᾷς, αὐτοῦ πολλάκις ὀργιζομένου; οὐκ ἐννοεῖς ὅτι τῶν ἁμαρτημάτων ταύτῃ μειζόνως παροξύνεις αὐτόν; οὐ γὰρ οὕτω τοὺς ἁμαρτάνοντας, ὡς τοὺς μὴ μετὰ τὴν ἁμαρτίαν συστελλομένους ἀποστρέφεσθαι εἴωθεν ὁ Θεός. τί ποιεῖς, ἄνθρωπε; ἐν ἐκκλησίᾳ ἑστὼς κάλλη γυναικῶν περιεργάζῃ, καὶ οὐ φρίττεις οὕτως ἐνυβρίζων εἰς τὸν ναὸν τοῦ Θεοῦ; πορνεῖόν σοι δοκεῖ εἶναι ἡ ἐκκλησία, καὶ τῆς ἀγορᾶς ἀτιμοτέρα; ἐν ἀγορᾷ μὲν γὰρ δέδοικας καὶ αἰσχύνῃ φανῆναι γυναῖκα περιεργαζόμενος· ἐν δὲ τῷ ναῷ, τοῦ Θεοῦ αὐτοῦ διαλεγομένου σοι καὶ ἀπειλοῦντος ὑπὲρ τούτων, τοιούτων κατατολμᾷς κατ' αὐτὸν καιρὸν, καθ' ὃν ἀκούεις μὴ ταῦτα ποιεῖν, καὶ οὐ φρίττεις, οὐδὲ ἐξέστηκας, ἐργαστήριον παρανομίας τὴν καρδίαν ἀποτελῶν, καὶ τοὺς ὀφθαλμούς; βέλτιον τοὺς τοιούτους πηροὺς εἶναι, ἢ εἰς ταῦτα κεχρῆσθαι τοῖς ὀφθαλμοῖς. Ἐννόησον τίνος πλησίον ἕστηκας ἐν τῇ ἱερᾷ καὶ φρικαλέᾳ μυσταγωγίᾳ, ἄνθρωπε, μετὰ τίνων μέλλεις καλεῖν τὸν Θεόν· μετὰ τῶν χερουβίμ, μετὰ τῶν σεραφίμ, καὶ τῶν ἄλλων οὐρανίων δυνάμεων. ἀναλόγισαί σου

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ἰωάν. εὐαγγ.

Ἐκ τοῦ δ. λόγο. τοῦ περὶ μετανοίας. οὗ ἡ ἀρχὴ, Εἶδες χθὲς ἡμῶν ἀπ.

Ἐκ τοῦ λόγ. τοῦ εἰς τὴν λίμνην Γεννησαρέτ, καὶ εἰς Πέτρον τὸν ἀπόστολον.

Παροι. ιγ. ιγ.

Ἐκ τῆς ἑρμην. τοῦ κατὰ Ματθ. εὐαγγ.

Ἐκ τοῦ γ. λόγ. τοῦ περὶ ἀκαταλήπτου.

τῶν συγχορευτάς. Ἀρκεῖ σοι τοῦτο εἰς νῆψιν, ὅταν ἐνθυμηθῇς, ὅτι σῶμα περικείμενος, καὶ σαρκὶ συμπεπλεγμένος, μετὰ τῶν ἀσωμάτων δυνάμεων κατηξιώθης ἀνυμνεῖν τὸν κοινὸν δεσπότην ἁπάντων. μὴ τοίνυν διαλελυμένος τὴν προθυμίαν τῶν ἱερῶν κοινώνει, καὶ μυστικῶν ὕμνων ἐκείνων, μὴ βιωτικοὺς κατ' ἐκεῖνον τὸν καιρὸν ἔχε λογισμούς· ἀλλὰ πάντα τὰ γήϊνα τῆς διανοίας ἐξορίσας, καὶ πρὸς τὸν οὐρανὸν ὅλον ἑαυτὸν μεταθεὶς, ὡς αὐτοῦ πλησίον ἑστὼς τοῦ θρόνου τῆς δόξης, καὶ μετὰ τῶν σεραφὶμ ἱπτάμενος, οὕτω τῷ Θεῷ τὸν πανάγιον ὕμνον ἀνάφερε.

Ἐκ τοῦ αὐτοῦ. Διὰ γὰρ τοῦτο ἑστάναι καλῶς κατὰ τὸν τῆς θείας μυσταγωγίας καιρὸν κελευόμεθα, ἵνα τοὺς χαμαὶ συρομένους λογισμοὺς ἀνορθώσωμεν, ἵνα τὴν ἔκλυσιν τὴν ἐκ τῶν βιωτικῶν γινομένην ἡμῖν πραγμάτων ἐκβαλόντες, ὀρθὴν ἔμπροσθεν τοῦ Θεοῦ ἀναστῆσαι δυνηθῶμεν ἡμῶν τὴν ψυχήν. οὐ γὰρ περὶ χειρῶν καὶ γονάτων λέγει τῶν τοῦ σώματος (οὐδὲ γὰρ δρομεῦσιν ἀνθρώποις, οὐδὲ παγκρατιασταῖς διαλέγεται) ἀλλὰ τὴν ἰσχὺν τῶν ἔνδον λογισμῶν παρακαταβεβλημένην ὑπὸ τῶν πειρασμῶν ἀναστῆσαι διὰ τῶν ῥημάτων τούτων παρακελεύεται.

Ἐκ τοῦ αὐτοῦ. Κατὰ γὰρ τὸν τῆς θείας συνάξεως καιρὸν, ἀδελφοὶ, οὐκ ἄνθρωποι μόνον βοῶσι τὴν φρικωδεστάτην ἐκείνην βοὴν, ἀλλὰ καὶ ἄγγελοι προσπίπτουσι τῷ δεσπότῃ, καὶ ἀρχάγγελοι δέονται· ἔχουσι γὰρ καὶ τὸν καιρὸν αὐτοῖς συμμαχοῦντα, καὶ τὴν προσφορὰν βοηθοῦσαν. καὶ καθάπερ ἄνθρωποι κλάδους ἐλαιῶν ἐκκόψαντες ἐπισείουσι τοῖς βασιλεῦσι, διὰ τοῦ φυτοῦ ἐλέους καὶ φιλανθρωπίας αὐτοὺς ἀναμιμνήσκοντες· οὕτω δὴ καὶ οἱ ἄγγελοι τότε ἀντὶ κλάδων ἐλαιῶν αὐτὸ τὸ σῶμα τὸ δεσποτικὸν προτεινόμενοι, τὸν δεσπότην παρακαλοῦσιν ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, μονονουχὶ λέγοντες, ὅτι ὑπὲρ τούτων δεόμεθα, οὓς αὐτὸς φθάσας οὕτως ἀγαπῆσαι κατηξίωσας, ὡς τὴν ψυχὴν ἐπιδοῦναι τὴν ἑαυτοῦ· ὑπὲρ τούτων ἐκχεόμεθα τὰς ἱκετηρίας, ὑπὲρ ὧν αὐτὸς τὸ αἷμα ἐξέχεας· ὑπὲρ τούτων παρακαλοῦμεν, ὑπὲρ ὧν τὸ σῶμα τοῦτο κατέθυσας.

Ἐκ τῶν λόγων τῶν εἰς τοὺς ἀνδριάντ. Ἕκαστος τοίνυν ἀναλογιζέσθω πρὸς ἑαυτὸν, ποῖον ἐλάττωμα διώρθωσε, ποῖον κατόρθωμα προσεκτήσατο, ποίαν ἁμαρτίαν ἀπενίψατο, κατὰ τί βελτίων ἐγένετο. κἂν μὲν εὕρῃ πλέον τι γενόμενον ἀπὸ τῆς νηστείας αὐτῷ πρὸς τὴν καλὴν ταύτην ἐμπορίαν, καὶ συνίδῃ ἑαυτῷ πολλὴν " πεποιημένῳ τὴν " πραγματείαν ἐπιμέλειαν, προσερχέσθω· εἰ δὲ ἠμελημένος ἔμεινε, νηστείαν μὲν ἔχων ἐπιδείξασθαι μόνην, τῶν δὲ ἄλλων οὐδὲν κατωρθωκὼς, ἔξω μενέτω, καὶ τότε εἰσίτω, ὅταν ἅπαντα ἐκκαθάρῃ τὰ ἁμαρτήματα. τὸν μὲν γὰρ μὴ νηστεύοντα, εἰκὸς καὶ συγγνώμης τυχεῖν, σώματος ἀσθένειαν προβαλλόμενον· τὸν δὲ μὴ διορθώσαντα ἑαυτοῦ τὰ πλημμελήματα, ἀδύνατον ἀπολογίας τυχεῖν. τῆς γὰρ ἐν ταῖς συνάξεσι ῥαθυμίας ἐὰν ἀπαιτήσῃ τὰς εὐθύνας ὁ Θεὸς, τί ποιήσομεν; ἴστε γὰρ δήπου τοῦτο, ὅτι πολλάκις αὐτοῦ διαλεγομένου πρὸς πάντας ἡμᾶς διὰ τῶν προφητῶν, πολλοὺς καὶ μακροὺς ποιούμεθα πρὸς τοὺς πλησίον λόγους περὶ τῶν οὐδὲν ἡμῖν προσηκόντων πραγμάτων. ἂν τοίνυν, πάντα παρεὶς τὰ ἄλλα, ταύτης τῆς ἁμαρτίας θελήσῃ δίκην ἀπαιτῆσαι ἡμᾶς, ποία σωτηρίας ἔσται ἡμῖν ἐλπίς; μὴ γὰρ δὴ μικρὸν εἶναι νομίσῃς τὸ πλημμέλημα, ἀλλ', εἰ βούλει τὸ μέγεθος αὐτοῦ κατιδεῖν, ἐπ' ἀνθρώπων τοῦτο αὐτὸ ἐξέτασον, καὶ τότε ὄψει τῆς ἀτοπίας τὸ μέγεθος. τόλμησον, ἄρχοντος πρὸς σὲ φθεγγομένου, μᾶλλον δὲ φίλου τινὸς τῶν ὀλίγον σεμνοτέρων, ἀφεὶς αὐτὸν πρὸς οἰκέτην διαλέγεσθαι τὸν σαυτοῦ, καὶ τότε ὄψει ἡλίκον τολμᾷς ἐπὶ Θεοῦ τοῦτο ποιῶν. ἐὰν γὰρ ᾖ τις τῶν ἐπιφανεστέρων ἐκεῖνος, καὶ δίκην σε ἔχει ἀπαιτῆσαι τῆς ὕβρεως· ἀλλ' ὁ Θεὸς τοσαῦτα καὶ πλείονα τούτων καθ' ἑκάστην ὑβριζόμενος [τὴν ἡμέραν] οὐ παρ' ἑνὸς καὶ δύο καὶ τριῶν ἀνθρώπων, ἀλλὰ παρὰ πάντων ἡμῶν σχεδὸν, ἀνέχεται καὶ μακροθυμεῖ.

γρ. πεπαυμένην / *γρ. πραγμάτων*

Ἐκ τοῦ γ. λόγου τοῦ περὶ ἀκαταλήπτου. Καὶ βασιλέως μὲν ὀργὴν ἐπιγείου καταλῦσαι βουλόμενοι, μετὰ τῶν παίδων καὶ γυναικῶν συντρέχετε πάντες, καὶ τῆς βασιλικῆς ὀργῆς πολλάκις τὸν καταδίκον ἐξαρπάζετε· τὸν δὲ οὐράνιον βασιλέα μέλλοντες ἵλεων ποιῆσαι, καὶ ἐξαρπάσειν τῆς ὀργῆς αὐτοῦ οὐχ ἕνα, οὐδὲ δύο, καὶ τρεῖς, καὶ ἑκατὸν, ἀλλὰ πάντας τοὺς κατὰ τὴν οἰκουμένην ἁμαρτωλοὺς, ἔξω καθέζεσθε, καὶ οὐ συντρέχετε κοινῇ πάντες, ἵνα ὁ Θεὸς

τὴν

τὴν συμφωνίαν ὑμῶν αἰδεσθεὶς, κἀκείνοις ἀφῇ τὴν κόλασιν, καὶ ἡμῖν συγχωρήσῃ τὰ ἁμαρτήματα; Εἰ γὰρ ἐπ' ἀγορᾶς τύχῃς ὢν κατὰ τὸν καιρὸν ἐκεῖνον, εἰ γὰρ ἐπὶ τῆς οἰκίας, εἰ γὰρ ἐν ἀπαραιτήτοις πράγμασιν, οὐχὶ πάντως λέοντος σφοδρότερον ἅπαντα διαρρήξας τὰ δεσμὰ, πρὸς τὴν κοινὴν ἱκετηρίαν αὐτομολήσεις; καὶ ποίαν ἕξεις σωτηρίας ἐλπίδα; Τί γὰρ τῆς τοῦ Θεοῦ ἐκκλησίας δυνατώτερον γένοιτ' ἄν; μή μοι λέγε τείχη καὶ ὅπλα· τείχη μὲν χρόνῳ παλαιοῦνται, ἐκκλησία δὲ οὐδέποτε γηρᾷ. τείχη βάρβαροι καταλύουσιν· ἐκκλησίας δὲ οὐδὲ δαίμονες περιγίνονται. καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, μαρτυρεῖ τὰ πράγματα. πόσοι ἐπολέμησαν τὴν ἐκκλησίαν, καὶ οἱ πολεμήσαντες ἀπώλοντο, αὕτη δὲ ὑπὲρ τῶν οὐρανῶν ἀναβέβηκε; τοιοῦτον ἔχει μέγεθος ἡ ἐκκλησία· πολεμουμένη νικᾷ, ἐπιβουλευομένη περιγίνεται, ὑβριζομένη λαμπροτέρα καθίσταται. συνήκατε τὴν ἡμέραν ἐκείνην, ὅσα ἐκινεῖτο καθ' ἡμῶν ὅπλα, καὶ θυμὸς στρατιωτικὸς πυρὸς σφοδρότερος, καὶ ἡμεῖς πρὸς τὰς βασιλικὰς αὐλὰς ἀπηρχόμεθα, καὶ θέατρον ἐγινόμεθα τῇ οἰκουμένῃ; ἀλλὰ διὰ τὴν τοῦ Θεοῦ χάριν οὐδὲν ἡμᾶς ἐκείνων κατέπληξε. διὰ τί; ὅτι οὐδὲν τῶν παρόντων δεινόν. τί γάρ ἐστι δεινόν; θάνατος; ἀλλ' οὐκ ἔστι δεινόν· ταχέως γὰρ ἐπὶ τὸν λιμένα ἀπερχόμεθα. ἀλλὰ δήμευσις; Γυμνὸς ἐξῆλθον, γυμνὸς καὶ ἀπελεύσομαι. ἀλλ' ἐξορία; Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλὰ συκοφαντία; Χαίρετε ὅταν εἴπωσι πᾶν πονηρὸν καθ' ὑμῶν ῥῆμα, ὅτι μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Εἰ γὰρ καὶ ἀπηρχόμην, ἀλλ' οὐκ ἦν ὕβρις μοι τὸ γινόμενον· ὕβρις γὰρ ἓν μόνον, ἁμαρτία· κἂν ἡ οἰκουμένη σε ὑβρίσῃ, σὺ δὲ σαυτὸν μὴ ὑβρίσῃς, οὐχ ὑβρίσθης. προδοσία μόνη ἡ τοῦ συνειδότος· μὴ προδῷς σὺ τὸ συνειδὸς, καὶ οὐδείς σε προδίδωσιν. ἀπηρχόμην, καὶ ἑώρων τὰ πράγματα, μᾶλλον δὲ τὰ ῥήματά μου πράγματα γινόμενα, καὶ τὴν προσομιλίαν μου τὴν διὰ τῶν ῥημάτων, ἐπὶ τῆς ἀγορᾶς διὰ πραγμάτων κηρυττομένην. Ἐβουλόμην τοίνυν εἰδέναι, ποῦ διατρίβουσιν οἱ τῆς συνάξεως καταφρονήσαντες, καὶ τῆς ἱερᾶς ταύτης ἀπολειφθέντες τραπέζης. μᾶλλον δὲ οἶδα σαφῶς. ἢ γὰρ περὶ ἀτόπων καὶ καταγελάστων πραγμάτων διαλέγονται, ἢ βιωτικαῖς εἰσι προσηλωμένοι φροντίσιν· ἀμφοτέρων δὲ ἡ διατριβὴ συγγνώμης ἀπεστέρηται, καὶ κόλασιν ἔχει τὴν ἐσχάτην. καὶ περὶ μὲν τῆς προτέρας οὐδὲ λόγων δεῖ, οὐδὲ ἀποδείξεως· ὅτι δὲ καὶ οἱ τὰ τῆς οἰκίας ἡμῖν προβαλλόμενοι πράγματα, καὶ τὴν ἀφόρητον ἐκεῖθεν ἀνάγκην λέγοντες, οὐδὲ οὕτω δύνανται συγγνώμης τυχεῖν, μὴ τὰ πνευματικὰ τῶν γηΐνων προτιμῶντες πραγμάτων, παντί που δῆλον. τίς γὰρ οἰκέτης, εἰπέ μοι, πρὶν ἢ δεσποτικὴν πληρῶσαι διακονίαν, τῆς κατὰ τὴν ἰδίαν οἰκίαν ἐπιμελήσεταί ποτε; πῶς οὖν οὐκ ἄτοπον, ἐπ' ἀνθρώπων μὲν, ἔνθα ψιλὸν ὄνομα ἡ δεσποτεία, τοσαύτην τοῖς κυρίοις παρέχειν τὴν αἰδῶ καὶ τὴν ὑπακοὴν, τῆς δὲ ἀληθῶς δεσποτείας, οὐχ ἡμῶν μόνον, ἀλλὰ καὶ τῶν ἄνω δυνάμεων, μηδὲ τῆς αὐτῆς τοῖς ἡμετέροις συνδούλοις ἀξιοῦν θεραπείας; Εἴθε ἦν μοι δυνατὸν δεῖξαι τοῖς ὑμετέροις ὀφθαλμοῖς τὴν ἐκείνων ψυχὴν, καὶ εἴδετε ἂν ῥυπῶσαν, αὐχμῶσαν, κατηχυμμένην, τεταπεινωμένην καὶ ἀπαρρησίαστον. ὥσπερ γὰρ τὰ βαλανείων οὐκ ἀπολαύοντα σώματα αὐχμοῦ καὶ ῥύπου γέμει πολλοῦ· οὕτω καὶ ψυχὴ διδασκαλίας οὐκ ἀπολαύουσα πνευματικῆς, πολλὴν τῶν ἁμαρτημάτων ἔχει προκειμένην αὐτῇ τὴν κηλῖδα. Εἴθε ἦν δυνατὸν ἀναπτύξαι τὰς καρδίας τῶν ἀπολιμπανομένων τῆς θείας συνάξεως· εἴθε ἦν δυνατὸν ὑμῖν εἰς τὸ συνειδὸς αὐτῶν εἰσεληλυθέναι, καὶ τότε εἴδετε ἂν καλῶς πόσων τραυμάτων γέμουσιν, ὅσας ἀκάνθας ἔχουσι. καθάπερ γὰρ γῆ γεωργικῶν οὐκ ἀπολαύουσα χειρῶν, χερσοῦται καὶ ὑλομανεῖ· οὕτω καὶ ψυχὴ πνευματικῆς οὐκ ἀπολαύουσα διδασκαλίας, ἀκάνθας καὶ τριβόλους ἐκπέμπει. Εἰ γὰρ ἡμεῖς οἱ καθ' ἑκάστην ἡμέραν τῆς τῶν προφητῶν καὶ ἀποστόλων μετέχοντες ἀκροάσεως, καὶ συνεχεῖς ἐπῳδὰς τὰς ἀπὸ τῶν θείων γραφῶν ἐπᾴδοντες τοῖς ἡμετέροις πάθεσι, μόλις κατέχομεν θυμὸν, μόλις χαλινοῦμεν ὀργὴν, μόλις ἐκβάλλομεν τηκεδόνα φθόνου, μόλις καταπαύομεν ἐπιθυμίαν, μόλις καταστέλλομεν τὰ

Ἐκ τοῦ λόγ. ὅτι τῆς ἐκκλη. ἔξω ἀρθεὶς Εὐτρ. ἀπεσπάσθη.

Ἰωβ α. καὶ Ψαλ. κγ. α. Ματθ. ε. ιβ.

Ἐκ τῶν λόγ. τῶν ἐπιτίμησις κατὰ τῶν ἀπολειφθέντων, καὶ εἰς τὸ προοίμιον τῆς πρὸς Κορ. ἐπι.

ἀναίσχυντα θηρία· ἐκεῖνοι οἱ μηδέποτε ταύτης ἀπολαύοντες τῆς ἰατρείας, μηδὲ τῆς θείας
"ἐπακούοντες διδασκαλίας, ποίαν ἐλπίδα σωτηρίας ἕξουσιν; Ὥσπερ γὰρ ὁ τοῦ λιμένος
ἐξελθὼν πανταχοῦ πλανᾶται, καὶ ὁ τοῦ φωτὸς ἀποστερηθεὶς πολλοῖς περιπίπτει· οὕτω καὶ ὁ
εἰς λήθην ἐμπεσὼν τοῦ φόβου τοῦ Θεοῦ, φροντίσι καὶ μερίμναις καὶ ὀδύναις ἐκδίδοται διη-
νεκῶς. καὶ καθάπερ ἀντεχομένου τοῦ Θεοῦ καὶ μεθ' ἡμῶν ὄντος, τὰ λυποῦντα ἐκποδὼν γίνεται·
οὕτως ἀφισταμένου καὶ ἐπιλανθανομένου, καὶ ψυχὴ διακόπτεται, καὶ καρδία ὀδυνᾶται, καὶ
οἱ λυποῦντες ἐπεμβαίνουσιν, ὥστε διὰ πάντων δακρυομένους τοὺς ῥαθυμοτέρους σπουδαιο-
τέρους ἐπιμεληθῆναι, ὅθεν ἐξέπεσον. Παιδεύσει γάρ σε ἡ ἀποστασία σου, φησί, καὶ ἡ κακία σου
ἐλέγξει σε. ὥστε καὶ ἡ ἐγκατάλειψις τοῦ Θεοῦ προνοίας εἶδός ἐστιν. ὅταν γὰρ προνοῶν
καὶ κηδόμενος καταφρονῆται, ἀφίησι μικρὸν καὶ ἐγκαταλιμπάνει, ἵνα τότε, τῆς ῥαθυμίας
ἐκβληθείσης, σπουδαιότεροι οἱ ὀλίγωροι γένωνται. Πολλοὺς οἶμαι τῶν πρώην κατα-
λιπόντων ἡμᾶς, καὶ πρὸς τὰ θέατρα τῆς παρανομίας αὐτομολησάντων παρεῖναι σήμερον· καὶ
ἐβουλόμην εἰδέναι τούτους σαφῶς, ὥστε αὐτοὺς τῶν ἱερῶν ἐκβαλεῖν προθύρων, οὐχ ἵνα μένω-
σιν ἔξω διηνεκῶς, ἀλλ' ἵνα διορθωθέντες ἐπανέλθωσι πάλιν. ἐπεὶ καὶ πατέρες παῖδας
σφαλλομένους τῆς οἰκίας ἐκβάλλουσι, καὶ τῆς τραπέζης ἀπείργουσιν, οὐχ ἵνα διαπαντὸς
τούτων ἐκπέσωσιν, ἀλλ' ἵνα [καὶ] βελτίους τῇ νουθεσίᾳ ταύτῃ γενόμενοι, μετὰ τῆς προσηκούσης
δόξης πρὸς τὸν πατρῷον ἐπανέλθωσι κλῆρον. τοῦτο δὴ καὶ ποιμένες ποιοῦσι· τὰ ψώρας
ἐμπεπλησμένα πρόβατα τῶν ὑγιαινόντων εἴργουσιν, ἵνα ἀποθέμενα τὴν ἀρρωστίαν, μετὰ ἀ-
σφαλείας πρὸς τὰ ὑγιαίνοντα ἐπανέλθῃ πάλιν, καὶ μὴ νοσοῦντα τὴν ἀγέλην ἅπασαν
ἐμπλήσῃ τῆς ἀρρωστίας ἐκείνης. διὰ τοῦτο καὶ ἡμεῖς ἐβουλόμεθα τούτους εἰδέναι. ἀλλ' εἰ καὶ
μὴ τοῖς ὀφθαλμοῖς αὐτοὺς διακρῖναι δυνάμεθα, ὁ λόγος αὐτοὺς ἐπιγνώσεται πάντως, καὶ τοῦ
συνειδότος αὐτῶν ἐπιλαβόμενος, πείσει ῥᾳδίως ἑκόντας αὐτοὺς ὑπεξελθεῖν· διδάσκων ὅτι
ἐκεῖνος ἔνδον ἐστὶ μόνος, ὁ τῆς ἐνταῦθα διατριβῆς ἀξίαν παρέχων τὴν γνώμην· ὡς ὁ μετὰ
πολιτείας διεφθαρμένης τοῦ ἱεροῦ τούτου μετέχων συλλόγου, κἂν τὸ σῶμα ἐνταῦθα εἰσάγῃ,
ἐκβέβληται, καὶ τῶν ἀποκεκλεισμένων ἔξω καὶ μὴ δυναμένων τῆς ἱερᾶς μετασχεῖν τραπέ-
ζης μᾶλλον ἀπελήλαται. ἐκεῖνοι μὲν γὰρ κατὰ τοὺς τοῦ Θεοῦ νόμους ἐκβληθέντες καὶ μένοντες
ἔξω, χρηστὰς ἔχουσιν ἐλπίδας, κἂν ἐθέλωσι τὰ παραπτώματα διορθῶσαι δι' ἃ τῆς ἐκ-
κλησίας ἐξέπεσον, δυνήσονται μετὰ καθαροῦ τοῦ συνειδότος πάλιν ἐπανελθεῖν· οἱ δὲ
μολύναντες ἑαυτούς, καὶ κελευσθέντες μὴ πρότερον ἐπιβῆναι, ἕως ἂν ἀποκαθάρωνται τὴν
κηλῖδα τὴν ἐκ τῶν ἁμαρτημάτων, εἶτα ἀναισχυντοῦντες, χαλεπώτερον τὸ τραῦμα ἐργάζον-
ται. οὐ γὰρ οὕτω τὸ ἁμαρτάνειν χαλεπόν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία. Πολ-
λοὶ τῶν μυστηρίων ἅπαξ μεταλαμβάνουσι τοῦ ἐνιαυτοῦ, ἕτεροι δὲ δίς· ἄλλοι δὲ πολλάκις.
τίνας οὖν τούτων ἀποδεξόμεθα; τοὺς ἅπαξ, ἢ τοὺς πολλάκις, ἢ τοὺς ὀλιγάκις; οὔτε τοὺς ἅπαξ,
οὔτε τοὺς πολλάκις, οὔτε τοὺς ὀλιγάκις· ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, τοὺς μετὰ κα-
θαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀνεπιλήπτου· οἱ τοιοῦτοι ἀεὶ προσιέτωσαν· οἱ δὲ μὴ τοιοῦ-
τοι, μηδὲ ἅπαξ. κρίμα γὰρ ἑαυτοῖς λαμβάνουσι καὶ κατάκριμα. ὥσπερ γὰρ ἡ τροφὴ
φύσει οὖσα θρεπτική, ἐὰν εἰς κακόσιτον ἐμπέσῃ, πάντα ἀπόλλυσι καὶ διαφθείρει, καὶ
γίνεται νόσου ἀφορμή, οὕτω δὴ καὶ τὰ τῶν φρικτῶν μυστηρίων. τραπέζης ἀπολαύεις πνευματι-
κῆς, τραπέζης βασιλικῆς, καὶ πάλιν φύρεις βορβόρῳ; τὸ σῶμα μύρῳ χρίεις, καὶ πάλιν δυσω-
δίας πληροῖς; μετὰ ἐνιαυτὸν τῆς μεταλήψεως μετέχων, οἴει ἀρκεῖν σοι πρὸς καθαρισμὸν
τῶν ἁμαρτημάτων τοῦ παντὸς χρόνου, καὶ πάλιν ἑβδομάδος παρελθούσης ἐκδίδως σαυτὸν
τοῖς προτέροις; εἰπὲ δή μοι· ἐὰν ὑγιαίας εἰς τεσσαράκοντα ἡμέρας ἀπὸ νόσου μακρᾶς, πά-
λιν σαυτὸν ἐκδῷς τοῖς νοσοποιοῖς ἐκείνοις, οὐχὶ καὶ τὸν πρότερον κόπον ἀπώλεσας; εἰ τοίνυν
τὰ φυσικὰ μεθίσταται, πολλῷ μᾶλλον τὰ τῆς προαιρέσεως. Κἂν μὴ ὄζῃ τὸ στόμα, τοῦ

Ἐκ τῆς ἑρμην. τοῦ ις. ψαλ.

γρ. ἐπιλαθ.

Ἱερ. β. ιθ.

Ἐκ τοῦ γ. λογ. τοῦ κατὰ Δαβὶδ καὶ τοῦ Σαούλ.

Ἐκ τοῦ λόγ. τοῦ, Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθ.

Ἐκ τῆς πρὸς Κορ. β. ἐπισ.

τὴν

τῶν κοινῶν μετέχεις σιτίων· τοσαύτης δὲ δυσωδίας οὔσης ἐν τῇ ψυχῇ, μυστηρίων τολμᾷς κοι-
νωνεῖν, εἰπέ μοι; καὶ ποίας τεύξῃ συγγνώμης; Φησὶ γὰρ ὁ θεῖος ἀπόστολος, Ὁ ἐσθίων καὶ πίνων
τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἐστὶ τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου· τουτέστι, τὴν
αὐτὴν δώσει δίκην, ὅσην ὑποστήσονται τιμωρίαν οἱ σταυρώσαντες τὸν Χριστόν. καθάπερ γὰρ ἐκεῖ-
5 νοι τῷ σφαγεῖς ἔνοχοι ἐγένοντο τοῦ αἵματος, οὕτω καὶ οὗτοι τῷ ἀναξίως κοινωνοῦντες τῶν μυ-
στηρίων. ὥσπερ γὰρ εἴτε διαῤῥήξῃ τις τὴν πορφυρίδα τὴν βασιλικὴν, εἴτε μολύνῃ
βορβόρῳ, παραπλησίως εἰς τὸν ἐνδεδυκότα αὐτὴν ἐνύβρισε βασιλέα· οὕτω δὴ καὶ ἐνταῦθα,
οἵ τε ἀνελόντες τὸ σῶμα τὸ δεσποτικὸν, οἵ τε ἀκαθάρτῳ δεχόμενοι τῇ διανοίᾳ, ὁμοίως ἐμπα-
ροινοῦσι τῷ ἐνδύματι τῷ βασιλικῷ. διέῤῥηξαν μὲν οὖν αὐτὸ τῷ Ἰουδαῖοι τῷ σταυρῷ, μο-
10 λύνει δὲ καὶ ὁ ἀκαθάρτῳ δεχόμενος αὐτὸ τῇ ψυχῇ. ὥστε εἰ καὶ διάφορα τὰ τῆς παρανομίας,
ἀλλὰ τὰ τῆς ὕβρεως ἴσα. τοῦτο πολλῶν καθήψατο, τοῦτο πολλοὺς ἐθορύβησεν, ἔδακε τὸ
συνειδὸς τῶν ἀκουόντων, μᾶλλον δὲ οὐχὶ τῶν ἀκουόντων μόνον, ἀλλὰ καὶ ἐμοῦ τοῦ λέγοντος, πρὸ
ὑμῶν. κοινὴ γὰρ ἡ διδασκαλία, κοινὰ τὰ τραύματα· διὸ καὶ κοινὰ τὰ φάρμακα ἐπιτίθημι.
τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐγένετο ἔργον, ὥστε καὶ τὸν λέγοντα καὶ τοὺς ἀκούοντας τοῖς
15 αὐτοῖς ὑποκεῖσθαι νόμοις, τῆς αὐτῆς κοινωνεῖν φύσεως, ὁμοίως ἕκαστον ὑπεύθυνον εἶναι
παραβαίνοντα. διὰ τί; ἵνα μετὰ συμμετρίας ποιῆται τὴν ἐπιτίμησιν· ἵνα συγγνωμονικὸς
γίνηται τοῖς ἁμαρτάνουσιν· ἵνα ἀναμιμνησκόμενος τῆς οἰκείας ἀσθενείας, μὴ ἀφόρητον ποιῆ-
ται τὸν ἔλεγχον. Ἂν τοίνυν ἴδῃς τινὰ τῶν μετὰ σοῦ συναγελαζομένων πορνεύοντα, καὶ μυ-
στηρίοις προσερχόμενον, εἰπὲ τῷ διακονουμένῳ τὴν τούτων διανομήν· ὁ δεῖνα ἀνάξιος
20 μυστηρίων, κώλυσον τὸν βέβηλον τῶν ἁγίων. εἰ γὰρ μηδὲ διηγεῖσθαι τὰ δικαιώματα τοῦ
Θεοῦ ὁ τοιοῦτος ἄξιος, ἐννόησον οἷ προβήσεται τὰ τῆς κολάσεως αὐτῷ, ὅταν καὶ τῆς ἱερᾶς
ἅπτηται τραπέζης· οὐκ αὐτῷ δὲ μόνον, ἀλλὰ καὶ σοὶ τῷ συσκιάζοντι. οὐ γὰρ εἶπε, Καὶ ἐ-
μοίχευες, ἀλλὰ, Μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. βαβαί· ἡλίκον ἐστὶ κακὸν περιστέλ-
λειν τῶν ἄλλων τὰς σηπεδόνας. κοινωνὸν γάρ σέ φησιν εἶναι τῆς ἐπὶ τῷ πλημμελήματι τιμω-
25 ρίας. καὶ εἰκότως. ὁ μὲν γὰρ ἔχει τὸ πάθος εἰπεῖν, εἰ καὶ ἀσύγγνωστος ἡ πρόφασις· σὺ δὲ
οὐδὲ τοῦτο. τίνος [οὖν] ἕνεκεν τῆς ἡδονῆς οὐκ ἀπολαύων, τῆς κολάσεως κοινωνὸς καὶ μερι-
στὴς γίνῃ; μὴ γάρ μοι ἐκεῖνο τὸ ῥῆμα λέγε, τῆς πολλῆς γέμον ἀναλγησίας· τί δέ μοι μέλει;
τὰ ἐμαυτοῦ μεριμνῶ. τότε γὰρ μάλιστα μεριμνήσεις τὰ σὰ, ὅταν τὰ σὰ ζητῇς ἐν τῷ τοῦ
πλησίον συμφέροντι· καθὰ καὶ Παῦλος ἔλεγε, Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, [ἵνα εὕρῃ τὸ ἑαυτοῦ.]
30 ὅταν γὰρ ὁ ἁμαρτητικὸς πάντας ἀποστρεφομένους αὐτὸν ἴδῃ, μέγα τι καὶ πονηρὸν ἡγήσεται εἰρ-
γάσθαι· ἂν δὲ μὴ μόνον μὴ ἀγανακτοῦντας μηδὲ δυσχεραίνοντας θεάσηται, ἀλλὰ καὶ πρᾴως
φέροντας καὶ συνεφαπτομένους, καὶ τὸ ἐκ τοῦ συνειδότος διαφθείρει δικαστήριον, τῆς τῶν πολ-
λῶν ψήφου συμπαραλυούσης αὐτοῦ τῇ διεφθαρμένῃ γνώμῃ. Πολλοὶ τὸ βάρος τῶν πρὸς ὑμᾶς
εἰρημένων ἐλέγχων οὐκ ἐνεγκόντες, μετὰ τὴν ἀναχώρησιν προσελθόντες ἐδυσχέραινον, ἠγα-
35 νάκτουν, ἀπάγεις ἡμᾶς, λέγοντες, τῆς ἱερᾶς τραπέζης, καὶ τῆς κοινωνίας ἀποσοβεῖς. διὰ τοῦτο
δὲ ταῦτα ἠναγκάσθην εἰπεῖν, ἵνα μάθητε ὅτι οὐκ ἀπάγω, ἀλλὰ συνάγω μᾶλλον· οὐδὲ
ἀποσοβῶ, οὐδὲ ἀπείργω, ἀλλ' ἐπισπῶμαι διὰ τῶν ἐλέγχων πλέον. ὁ γὰρ φόβος τῆς τι-
μωρίας, καθάπερ πῦρ εἰς κηρὸν, οὕτως εἰς τὸ συνειδὸς τῶν ἁμαρτανόντων ἐμπίπτων,
λύει μὲν ἡμῶν καὶ τήκει τὰ πλημμελήματα διηνεκῶς ἐγκαθήμενος, καθαρὰν δὲ καὶ ἀποστίλ-
40 βουσαν ἐργαζόμενος τὴν διάνοιαν, πλείονα τὴν παῤῥησίαν ἡμῖν ἐντίθησι. καὶ καθάπερ ὁ πικρὰ
φάρμακα τοῖς κακοσίτοις διδοὺς, καὶ τοὺς πονηροὺς ἐκκαθαίρων χυμοὺς, διεγείρει τὴν καταβε-
βλημένην ὄρεξιν, καὶ μετὰ πλείονος παρασκευάζει τῆς προθυμίας τῆς συνήθους ἅπτεσθαι
τροφῆς· οὕτω δὴ καὶ ὁ πικρὰ λέγων ῥήματα, καὶ καθαίρων τοὺς πονηροὺς λογισμοὺς τῆς δια-
νοίας, καὶ τὸ βαρὺ τῶν ἁμαρτημάτων ἀποσκευαζόμενος φορτίον, δίδωσιν ἀναπνεῦσαι τῷ
συνειδότι,

Ἐκ τοῦ λόγου ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν.

α. Κορ. ια. κζ.

Ἐκ τῆς ἑρμηνείας τοῦ μθ. ψαλ.

Ψαλ. μθ. ιθ.

α. Κορ. ι. κδ.

Ἐκ τοῦ λόγου ὅτι ἐπικίνδυνον καὶ τοῖς λέγουσι καὶ τοῖς ἀκούουσι τὸ πρὸς χάριν δημηγορεῖν.

συνειδότι, καὶ μετὰ πολλῆς τῆς ἡδονῆς ἀπογεύσασθαι τοῦ σώματος παρασκευάζει τοῦ δεσποτικοῦ. Εἰκότως ἄρα ὁ μακάριος Παῦλος ἔλεγε· Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. σὺ μὲν γὰρ τὰ ἑαυτοῦ μεριμνᾷς, κἂν ταῦτα διαθῇ καλῶς, οὐδείς σοι τῶν ἄλλων ἔσται λόγος λοιπόν· ὁ δὲ ἱερεὺς, κἂν τὸν οἰκεῖον οἰκονομήσῃ βίον καλῶς, τῶν δὲ σῶν μὴ μετ' ἀκριβείας ἐπιμελήσηται, μετὰ τῶν πονηρῶν εἰς τὴν γέενναν ἄπεισι· καὶ πολλάκις ἀπὸ τῶν οἰκείων οὐ προδοθεὶς, ἀπὸ τῶν ἀλλοτρίων ἀπόλλυται. Ἀλλ' ἐπειδὴ σφοδρότερον τῶν ἀναξίως τῶν θείων μεταλαμβανόντων μυστηρίων καθηψάμεθα, ἀναγκαῖον καὶ πρὸς ὑμᾶς τοὺς διακονουμένους διαλεχθῆναι λοιπόν, ὥστε μετὰ πολλῆς τῆς σπουδῆς διανέμειν ταυτὶ τὰ δῶρα· οὐ μικρὰ γὰρ κόλασις ὑμῖν ἐστίν. Εἰ γὰρ συνειδότες τινὶ πονηρίαν, συγχωρήσετε ταύτης μετασχεῖν τῆς τραπέζης, τὸ αἷμα αὐτοῦ ἐκ τῶν χειρῶν ἐκζητηθήσεται τῶν ὑμετέρων. κἂν στρατηγὸς ᾖ, κἂν ὕπαρχος, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος, ἀναξίως δὲ προσίῃ, κώλυσον. μείζονα ἐκείνου τὴν ἐξουσίαν ἔχεις. μὴ παροξύνῃς τὸν δεσπότην, οὐκ ἐκκαθαίρων τὸ σῶμα τοῦτο. μὴ ξίφος δῷς ἀντὶ τῆς τροφῆς· ἀλλὰ κἂν ὑπὸ ἀσθενείας ἐκεῖνος ἔρχηται μεθέξων, κωλῦσαι μὴ φοβηθῇς. φοβήθητι τὸν δεσπότην Θεόν, μὴ τὸν ἄνθρωπον. ἂν τὸν ἄνθρωπον φοβηθῇς, καὶ ὑπ' αὐτοῦ καταγελασθήσῃ, καὶ τὸν δεσπότην παροξυνεῖς· ἂν δὲ τὸν Θεόν, καὶ ἀνθρώποις αἰδέσιμος ἔσῃ, καὶ τῷ Θεῷ φιλητός. Εἰ δὲ αὐτὸς οὐ τολμᾷς, ἐμοὶ πρόσαγε, οὐ συγχωρήσω ταῦτα τολμᾶσθαι· τῆς ψυχῆς ἀποστήσομαι πρότερον, ἢ τοῦ αἵματος μεταδώσω τοῦ δεσποτικοῦ παρ' ἀξίαν, καὶ τὸ αἷμα τὸ ἐμαυτοῦ προήσομαι πρότερον, ἢ μεταδώσω αἵματος οὕτω φρικώδους παρὰ τὸ προσῆκον. κρεῖττον γὰρ στερηθῆναι τοῦ βίου μᾶλλον διὰ τὸν Θεόν, ἢ διὰ τὸν βίον αὐτοῦ τοῦ Θεοῦ. ᾧ πρέπει δόξα καὶ κράτος, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ τῆς ἑρμ. τοῦ κατὰ Ἰωάν. εὐαγγ.
Ἑβρ. ιγ´ ιζ´.
Ἐκ τῆς ἑρμηνείας τοῦ κατὰ Ματθ. εὐαγγ.
κ. ψάμμα
κ. ἴσ.

Λογ. λθ. ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΠΟΛΛΑΣ ΟΔΟΥΣ ἩΜΙΝ Ο ΘΕΟΣ

ἔδωκε πρὸς τὸ μὴ ἁμαρτάνειν, ἐὰν θέλωμεν· καὶ ὅτι τὸν μέλλοντα ἐπιτυχεῖν τῆς βασιλείας τῶν οὐρανῶν πάσας δεῖ φυλάττειν τὰς ἐντολάς· τὸν δέ τινα μὲν κατορθοῦντα, τινὰ δὲ παραβαίνοντα ἐν τῇ γεέννῃ γνῶναι ἔστι τὴν διαφορὰν πρὸς τοὺς ἄλλους.

Ἐκ τῆς ὁμιλ. δ´. τῆς ἑρμ. τῆς πρὸς Φιλιπ. ἐπ.

Πάλιν ἀναγκάζομαι, ἀγαπητοί, κατηγορῆσαι τῶν προόντων πραγμάτων. καὶ τί πάθω; οὐκ ἐβουλόμην, ἀλλ' ἀναγκάζομαι. Εἰ μὲν γὰρ ἦν σιγήσαντα καὶ μηδὲν εἰπόντα τῶν γινομένων, ἀφανίσαι διὰ τῆς σιγῆς τὰ γινόμενα, ἔδει σιγᾶν· εἰ δὲ τοὐναντίον γίνεται (οὐ γὰρ μόνον οὐκ ἀφανίζεται, ἡμῶν σιγώντων, ἀλλὰ καὶ χαλεπώτερα γίνεται) ἀναγκαῖον εἰπεῖν. ὁ γὰρ κατηγορῶν τῶν ἁμαρτανόντων, εἰ καὶ μηδὲν ἕτερον, οὐκ ἀφίησι περαιτέρω προελθεῖν. Οὐδεμία γάρ ἐστιν οὕτως ἀναίσχυντος ψυχὴ καὶ ἰταμή, ὡς συνεχῶς ἀκούουσα κακιζόντων αὐτὴν τινῶν, μὴ ἐντρέπεσθαι, μηδὲ καθυφεῖναι τῆς κακίας τῆς πολλῆς. ἔνι γὰρ, ἔνι καὶ τοῖς ἀναισχύντοις μικρόν τι αἰδοῦς· ὁ Θεὸς γὰρ ἐνέσπειρε τὴν αἰδῶ τῇ φύσει τῇ ἡμετέρᾳ. ἐπειδὴ γὰρ ὁ φόβος οὐκ ἤρκει ῥυθμίσαι ἡμᾶς, καὶ πολλὰς ἑτέρας κατεσκεύασεν ὁδοὺς τοῦ μὴ ἁμαρτάνειν· οἷον, τὸ κατηγορεῖσθαι ἀνθρώπων, τὸ δεδοικέναι νόμους τοὺς κειμένους, τὸ δόξης ἐρᾶν, τὸ φιλίας ἀντιποιεῖσθαι. πᾶσαι γὰρ αὗται αἱ ὁδοὶ τοῦ μὴ ἁμαρτάνειν εἰσί. πολλάκις γὰρ ἃ διὰ τὸν Θεὸν οὐκ ἐγίνετο, διὰ φόβον ἀνθρώπων ἐγίνετο. τὸ γὰρ ζητούμενον τοῦτό ἐστι· πρότερον μὴ ἁμαρτάνειν μαθεῖν, εἶτα τὸ διὰ τὸν Θεὸν τοῦτο ποιεῖν ὕστερον κατορθώσομεν. ἐπεὶ διὰ τί Παῦλος τοὺς μέλλοντας κρατεῖν τῶν ἐχθρῶν οὐκ ἀπὸ τοῦ φόβου προτρέπει τοῦ Θεοῦ, ἀλλὰ ἀπὸ τῆς ἐκδικίας ἀναμένειν;

Τοῦτο

Τοῦτο γὰρ ποιῶν, φησιν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. πῶς γὰρ τοῦτο βούλεται, κατορθωθῆναι τὴν ἀρετήν. ὅπερ οὖν ἔλεγον, ἔνεστί τι αὐχεῖν τηρεῖν ἐν ἡμῖν. πολλὰ φυσικὰ ἔχομεν ἀγαθὰ πρὸς τὴν ἀρετήν· οἷον, πρὸς τὸ ἐλεεῖν ἀπὸ φύσεως κινούμεθα πάντες ἄνθρωποι, καὶ οὐδὲν οὕτως ἀγαθὸν ἐν τῇ φύσει ἡμῶν ἐστιν ἄλλο, ὡς τοῦτο. ὅθεν ἄν τις εἰκότως ἐξετάσειε, διὰ τί τοῦτο μάλιστα τῇ φύσει ἡμῶν ἐνέσπαρται, τὸ κατακλᾶσθαι δάκρυσι, τὸ ἐπικάμπτεσθαι, τὸ ἑτοίμους εἶναι. οὐδεὶς φύσει ἐστὶν ἀργός, οὐδεὶς φύσει ἐστὶν ἀκενόδοξος, οὐδεὶς φύσει ἐστὶ ζήλου κρείττων· ἀλλὰ τὸ ἐλεεῖν πᾶσιν ἔγκειται φύσει, κἂν ὠμός τις ᾖ, κἂν ἀπηνής. καὶ τί θαυμαστόν; θηρία ἐλεοῦμεν· οὕτως ἐκ περιουσίας ἡμῖν ὁ ἔλεος ἔγκειται. κἂν σκύμνον ἴδωμεν λέοντος, πάσχομέν τι· ἐπὶ δὲ ὁμοφύλου πολλῷ πλέον. ὅρα πόσοι ἀνάπηροι· καὶ τοῦτο ἱκανὸν εἰς ἔλεον ἡμᾶς ἀγαγεῖν. οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν, ὡς ἐλεημοσύνη. διὰ τοῦτο οἱ ἱερεῖς τούτῳ ἐχρίοντο, καὶ οἱ βασιλεῖς, καὶ οἱ προφῆται. τῆς γὰρ τοῦ Θεοῦ φιλανθρωπίας εἶχον σύμβολον τὸ ἔλαιον· πάλιν ἐμάνθανον ὅτι τοὺς ἄρχοντας πλέον ἐλέου δεῖ ἔχειν· ἐδήλου ὅτι καὶ τὸ πνεῦμα εἰς ἀνθρώπους δι' ἔλεον μέλλει ἔρχεσθαι. ἐπειδὴ ὁ Θεὸς ἐλεεῖ τοὺς ἀνθρώπους καὶ φιλανθρωπεύεται, διὰ τοῦτο ἐλαίῳ ἐχρίοντο. καὶ γὰρ τὴν ἱερωσύνην ἀπὸ ἐλέους ἐποίησε· καὶ βασιλεῖς ἐλαίῳ ἐχρίοντο. Ἐλεεῖς γάρ, φησι, πάντας, ὅτι πάντα δύνασαι· κἂν ἄρχοντά τις ἐπαινῇ, οὐδὲν οὕτως αὐτῷ πρέπον ἐρεῖ, ὡς ἔλεος. τοῦτο γὰρ ἀρχῆς ἴδιον, τὸ ἐλεεῖν. ἐννόησον ὅτι δι' ἔλεον ὁ κόσμος συνεστάθη, καὶ μίμησαι τὸν δεσπότην. Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα. κἂν ἁμαρτωλοὺς εἴπῃς, κἂν δικαίους εἴπῃς, πάντες τοῦ ἐλέους τοῦ Θεοῦ δεόμεθα· πάντες ἀπολαύομεν αὐτοῦ, κἂν αὐτὸς ᾖ Παῦλος, κἂν Πέτρος, κἂν Ἰωάννης. καὶ ἄκουσον αὐτῶν λεγόντων· οὐδὲν δεῖ λόγων τῶν ἡμετέρων. τί γάρ φησιν ὁ μακάριος οὗτος; Ἀλλ' ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα. τί οὖν; μετὰ ταῦτα οὐκ ἐδεῖτο ἐλέους; ἄκουσον τί φησι· Περισσότερον αὐτῶν πάντων ἐκοπίασα· οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. καὶ περὶ Ἐπαφροδίτου φησί· Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπῃ σχῶ· καὶ πάλιν, Ἐβαρήθημεν, φησιν, ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς, καὶ ῥύσεται. καὶ πάλιν· Ἐρρύσθην ἐκ στόματος λέοντος· καὶ ῥύσεταί με ὁ Κύριος. καὶ πανταχοῦ εὑρήσομεν τοῦτο αὐτὸν καυχώμενον, ὅτι ἐλέῳ ἐσώθη. καὶ Πέτρος δὲ ἀπὸ τοῦ ἐλεηθῆναι τοιοῦτος ἦν. ἄκουε γὰρ τοῦ Χριστοῦ πρὸς αὐτὸν λέγοντος, Ὅτι ἠθέλησεν ὁ Σατανᾶς σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον, καὶ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. καὶ Ἰωάννης ἐν ἐλέῳ τοιοῦτος ἦν· καὶ πάντες δὲ ἁπλῶς. ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς. πάντες γὰρ δεόμεθα τοῦ ἐλέους τοῦ Θεοῦ· Ἔλεος γὰρ Θεοῦ, φησιν, ἐπὶ πᾶσαν σάρκα. εἰ δὲ οὗτοι ἐδέοντο τοῦ ἐλέους τοῦ Θεοῦ, τί ἄν τις εἴποι περὶ τῶν λοιπῶν; πόθεν γάρ, εἰπέ μοι, τὸν ἥλιον ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς; τί δέ, εἰ μόνον ἐνιαυτὸν τὸν ὑετὸν ἐπέσχεν, οὐκ ἂν ἅπαντα ἀπώλεσε; τί δέ, εἰ ἐπομβρίαν εἰργάσατο; τί δέ, εἰ ὑπερέβρεξε; τί δέ, εἰ μύας ἔπεμψεν; ἀλλὰ τί λέγω; εἰ οὕτως ἐποίησεν, οἷόν ποτε, οὐκ ἂν ἅπαντες ἀπώλοντο; Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, εὐχερὲς εἰπεῖν. ἂν ἀπειλήσῃ τῇ γῇ μόνον, πάντες εἰς ἐγίνοντο τάφος. Ὡς σταγὼν ὕδατος ἀπὸ κάδου, φησίν, οὕτω τὰ ἔθνη ἐνώπιον αὐτοῦ· ὡς σίελος λογισθήσονται· ὡς ῥοπὴ ζυγοῦ. ὡς εὔκολον ἡμῖν τὴν τρυτάνην κινῆσαι, οὕτως αὐτῷ πάντα ἀπολέσαι, καὶ ποιῆσαι πάλιν. ὁ τοίνυν τοσαύτην ἔχων ἐξουσίαν ὑμῶν, καὶ ὁρῶν ἡμᾶς καθ' ἑκάστην ἁμαρτάνοντας, καὶ μὴ κολάζων, οὐχὶ ἐλέῳ διαβαστάζει; ἐπεὶ καὶ τὰ κτίσματα ἐλέῳ ἐστίν. Ἀνθρώπους γὰρ καὶ κτήνη σώσεις, Κύριε. εἶδεν ἐπὶ τὴν γῆν, καὶ ἔπλησεν αὐτὴν ζώων. διὰ τί; διὰ σέ. σὲ

δὲ

Ῥωμ. ιβ. κ. — Σοφ. ια. κγ. — Σειρ. ιη. ιϛ. — α. Τιμ. α. ιγ. — α. Κορ. ιε. ι. — Φιλιπ. β. κζ. — β. Κορ. α. η. — β. Τιμ. δ. ιζ. — Λουκ. κβ. λα. — Ἰωαν. ιε. ιϛ. — Ψαλ. η. ε. — Ἡσ. μ. ιε. — Ψαλ. λϛ. ζ.

δὲ διὰ τί ἐποίησε; δι' ἀγαθότητα. οὐδὲν ἐλαίου κρεῖττον· φωτός ἐστιν αἴτιον, καὶ ἐκεῖ φωτὸς αἴτιον. Καὶ ἀνατελεῖ, φησὶν ὁ προφήτης, πρώϊμον τὸ φῶς σου, ἐὰν ποιήσῃς ἔλεον εἰς τὸν πλησίον. καὶ ὥσπερ τὸ ἔλαιον τοῦτο τὸ φῶς κατέχει· οὕτως ἡ ἐλεημοσύνη ἐκεῖ φῶς μέγα ἡμῖν χαρίζεται καὶ θαυμάσιον. πολὺς τοῦ ἐλέου τούτου ὁ λόγος τῷ Παύλῳ ἦν. ἄκουε γὰρ αὐτοῦ λέγοντος· Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν· ἄλλοτε δέ, ἐὰν ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι. καὶ πανταχοῦ ἄνω καὶ κάτω περὶ τούτου ὁρᾷς αὐτὸν μεριμνῶντα. καὶ πάλιν· Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι. καὶ πάλιν· Ταῦτα γάρ ἐστι καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. ἄκουε δὲ καὶ ἄλλου τινὸς λέγοντος· Ελεημοσύνη ἐκ θανάτου ῥύεται. ἐὰν δὲ τὸν ἔλεον ἀφέλῃς, Κύριε, τίς στήσεται; Καὶ ἐὰν εἰσέλθῃς, φησίν, εἰς κρίσιν μετὰ τοῦ δούλου σου. μέγα τι ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. τοῦτο γὰρ ἂν ἄνθρωπος ἐλεήμων· μᾶλλον δὲ τοῦτο ὁ Θεός, τὸ ἐλεεῖν. ὁρᾷς ὅση τοῦ ἐλέους τοῦ Θεοῦ ἡ ἰσχύς; τοῦτο πάντα ἐποίησε· τοῦτο τὸν κόσμον εἰργάσατο δι' ἀγαθότητα μόνον· διὰ τοῦτο καὶ γέενναν ἠπείλησεν, ἵνα βασιλείας τύχωμεν. βασιλείας δὲ τυγχάνομεν δι' ἔλεον. διὰ τί γὰρ μόνος ὢν τοσούτους ἐποίησεν; οὐ δι' ἀγαθότητα; οὐ διὰ φιλανθρωπίαν; ἂν ἐρωτήσῃς, διὰ τί τόδε καὶ τόδε; πανταχοῦ τὴν ἀγαθότητα εὑρήσεις. ἐλεήσωμεν τὸν πλησίον, ἵνα ἐλεηθῶμεν αὐτοί· οὐκ ἐκείνοις μᾶλλον, ἢ ἡμῖν αὐτοῖς συνάγομεν τὸν ἔλεον τοῦτον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὅταν σφοδρὰ ᾖ τοῦ πυρὸς ἡ φλόξ, τὸ ἔλεον τοῦ τοιούτου πυρός ἐστι σβεστικόν, ἡμῖν δὲ φωτὸς αἴτιον. οὕτω τοῦ πυρὸς τῆς γεέννης διὰ τούτου ἀπαλλαγησόμεθα· ἐπεί, πόθεν σπλαγχνισθήσονται καὶ ἐλεήσει; ἀπὸ τῆς ἀγάπης ὁ ἔλεος γίνεται. οὐδὲν οὕτω παροξύνει τὸν Θεόν, ὡς τὸ ἀνελεήμονα εἶναι. Ὥσπερ δὲ αἰσθήσεις ἡμῖν πέντε εἰσί, καὶ πάσαις εἰς δέον κεχρῆσθαι δεῖ, οὕτω καὶ πάσαις ταῖς ἀρεταῖς. Εἰ δέ τις σωφρονοίη μέν, ἀνελεήμων δὲ εἴη· ἢ ἐλεήμων μὲν ᾖ, πλεονεκτοίη δέ· ἢ ἀπέχοιτο μὲν τῶν ἀλλοτρίων, τῶν δὲ αὐτοῦ μὴ μεταδιδοίη· πάντα εἰκῇ γέγονεν. οὐ γὰρ ἀρκεῖ μία μόνον ἀρετὴ παραστῆσαι τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας ἡμᾶς, ἀλλὰ πολλῆς δεῖ καὶ ποικίλης καὶ παντοδαπῆς καὶ πάσης αὐτῆς. ἄκουε γὰρ αὐτοῦ λέγοντος τοῖς αὐτοῦ μαθηταῖς· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. καὶ πάλιν· Ὃς ἐὰν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· τουτέστιν, ἐν τῇ ἀναστάσει. οὐ γὰρ δὴ εἰς βασιλείαν εἰσελεύσεται. οἶδε γὰρ καὶ αὐτὸς τὸν καιρὸν τῆς ἀναστάσεως βασιλείαν καλεῖν. μίαν ἐὰν λύσῃ, φησίν, ἐλάχιστος κληθήσεται· ὥστε πασῶν ἡμῖν δεῖ. καὶ ὅρα πῶς οὐκ ἔνι χωρὶς ἐλεημοσύνης εἰσελθεῖν, ἀλλὰ κἂν αὕτη μόνη ἐλλείπῃ, εἰς τὸ πῦρ ἀπελευσόμεθα. Ἀπέλθετε γάρ, φησιν, οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. τίνος ἕνεκεν καὶ διὰ τί; Ὅτι ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με. Εἶδες πῶς οὐδὲν ἕτερον ἐγκληθέντες, διὰ τοῦτο μόνον ἀπώλοντο; καὶ αἱ παρθένοι διὰ τοῦτο μόνον ἐξεβλήθησαν τοῦ νυμφῶνος· καίτοιγε σωφροσύνην εἶχον. Εἰρήνην, φησί, μετὰ πάντων διώκετε, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. ἐννόησον τοίνυν, ὅτι χωρὶς μὲν σωφροσύνης οὐκ ἔστιν ἰδεῖν τὸν Κύριον· οὐ πάντως δὲ μετὰ σωφροσύνης δυνατὸν ἰδεῖν. πολλάκις γὰρ ἕτερον ἐνεπόδισε. πάλιν, ἂν πάντα κατορθώσωμεν, τὸν δὲ πλησίον οὐδὲν ὠφελήσωμεν, οὐδὲ οὕτως εἰσελευσόμεθα εἰς τὴν βασιλείαν. πόθεν δῆλον; ἀπὸ τῶν τὰ τάλαντα πιστευθέντων οἰκετῶν. ἐκεῖ γὰρ ἡ ἀρετὴ πᾶσα ἀκέραιος ἦν, καὶ οὐδὲν ἐλέλειπτο. ἀλλ' ἐπειδὴ περὶ τὴν ἐργασίαν ὀκνηρὸς γέγονεν, εἰκότως ἐξεβάλλετο. ἔστι καὶ ἀπὸ λοιδορίας μόνης εἰς γέενναν ἐμπεσεῖν. Ὁ γὰρ λέγων, φησί, τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. κἂν ἅπαντά τις κατορθώσῃ, ὑβριστὴς δὲ ᾖ, οὐκ εἰσελεύσεται. καὶ μή τις ὠμότητα καταγινωσκέτω τοῦ Θεοῦ, εἰ τὸν τοῦτο ἐπταικότα ἐκβάλλει τῆς βασιλείας τῶν οὐρανῶν. εἰ γὰρ ἐπ' ἀνθρώπων, κἂν

ὁποιῶν

Ησ. νη. η. — Γαλ. β. ι. — Τιτ. γ. ιδ. — Τιτ. γ. η. — Ψαλ. ρμβ. β. — Εκ τῆς ὁμιλ. δ. τῆς ἑρμ. τῆς πρὸς Εφεσ. ἐπισ. — Ματθ. κη. ιθ. — Ματθ. ε. ιθ. — Ματθ. κε. μα. — Εβρ. ιβ. ιδ. — Ματθ. ε. κβ.

ὅπου μὲν τῶν παρανόμων ἐργάσηταί τις, ἐξέπεσε τῆς τοῦ βασιλέως ὄψεως, κἂν ἕνα νόμον τῶν κειμένων παραβῇ· κἂν συκοφαντήσῃ κατηγορῶν, ἀπώλεσε τὴν ἀρχήν· κἂν μοιχεύσῃ ἢ ἄλλο τι, ἀνάξιος γέγονε· κἂν μυρία ᾖ κατωρθωκὼς, ἀπόλλυται· κἂν φόνον ἐργάσηται καὶ δειχθῇ, καὶ τοῦτο ἱκανὸν αὐτὸν διαφθεῖραι. εἰ δὲ τῶν ἀνθρώπων νόμοι τοσαύτης ἀπολαύουσι τῆς φυλακῆς, πολλῷ μᾶλλον οἱ τοῦ Θεοῦ. ἀλλ' ἀγαθός ἐστι, φησι. μέχρι τίνος τὸν μωρὸν τοῦτον λόγον φθεγγόμεθα; μωρὸν δὲ εἶπον, οὐχ ὅτι οὐκ ἀγαθός ἐστιν, ἀλλ' ὅτι τὴν ἀγαθότητα αὐτοῦ νομίζομεν εἰς ταῦτα χρησίμην ἡμῖν εἶναι, καίτοι μυρία πολλάκις διαλεχθέντων ἡμῶν περὶ τούτου. ἄκουε γὰρ τῆς γραφῆς λεγούσης· Μὴ εἴπῃς, ὁ οἰκτιρμὸς αὐτοῦ ὁ πολὺς τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται. οὐχὶ κωλύει λέγειν ἡμᾶς, ὁ οἰκτιρμὸς αὐτοῦ πολύς (οὐ τοῦτο παραινεῖ· ἀλλὰ βούλεται ἡμᾶς καὶ συνεχῶς λέγειν τοῦτο, καὶ διὰ τοῦτο πάντα κινεῖ Παῦλος) ἀλλὰ διὰ τὰ ἑξῆς· μὴ ἐπὶ τούτῳ, φησί, θαύμαζε τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἐπὶ τῷ ἁμαρτάνειν καὶ λέγειν, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται. διὰ γὰρ τοῦτο τοσαῦτα περὶ ἀγαθότητος διαλεγόμεθα, οὐχ ἵνα ταύτῃ θαρροῦντες, πάντα πράττωμεν (ἐπεὶ ἡ ἀγαθότης ἐπὶ λύμῃ ἔσται τῆς ἡμετέρας σωτηρίας) ἀλλ' ἵνα μὴ ἀπογινώσκωμεν ἐν τοῖς ἁμαρτήμασιν, ἀλλὰ μετανοῶμεν. τὸ γὰρ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει, οὐκ εἰς πλείονα κακίαν. εἰ δὲ μοχθηρὸς γένῃ διὰ τὴν χρηστότητα, σὺ διαβάλλεις μᾶλλον αὐτὴν παρὰ τοῖς ἀνθρώποις (πολλοὺς γὰρ ὁρῶ κατηγοροῦντας τῆς μακροθυμίας τοῦ Θεοῦ) ὥστε δίκην δώσεις, οὐκ εἰς δέον αὐτῇ χρησάμενος. φιλάνθρωπος ὁ Θεός, ἀλλὰ καὶ δίκαιος κριτής· συγχωρεῖ ἁμαρτίας, ἀλλ' ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ὑπερβαίνει ἀδικίας, ἐξαίρει ἀνομίας, ἀλλὰ καὶ ἐξέτασιν ποιεῖται. πῶς οὖν ἐναντία; οὐκ ἐναντία, ἂν τοῖς χρόνοις αὐτὰ διέλωμεν. ἐξαίρει ἀνομίας ἐνταῦθα καὶ διὰ λουτροῦ, καὶ διὰ μετανοίας· ἐξέτασιν ποιεῖται τῶν πεπραγμένων ἐκεῖ διὰ πυρὸς καὶ βασάνων. ἂν τοίνυν κἂν ὦ μυρία, φησίν, ἐργασάμενος κακά, καὶ δι' ἓν ἐξ αὐτῶν ἐκβάλωμαι, καὶ τῆς βασιλείας ἐκπίπτω, τίνος ἕνεκεν οὐκ ἐργάζομαι πάντα τὰ κακά; ἀγνώμονος οἰκέτου ὁ λόγος, ἀλλ' ὅμως καὶ τοῦτον ἐπιλυσόμεθα τὸν λόγον. μὴ ἐργάζου τὰ κακά, ἵνα σαυτὸν ὠφελήσῃς. βασιλείας μὲν γὰρ πάντες ὁμοίως ἐκπεσούμεθα, ἐν δὲ γεέννῃ οὐ τὴν αὐτὴν δώσομεν δίκην πάντες, ἀλλ' ὁ μὲν μείζονα, ὁ δὲ ἡμερωτέραν. εἰ μὲν γὰρ σὺ κἀκεῖνος καταφρονήσατε, καὶ ὁ τὰ πολλά, καὶ ὁ τὰ ὀλίγα, ὁμοίως ἐκπεσεῖσθε τῆς βασιλείας. εἰ δὲ οὐχ ὁμοίως καταφρονήσατε, ἀλλ' ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον, ἐν τῇ γεέννῃ τῆς διαφορᾶς αἰσθήσεσθε. τί οὖν, φησιν, ἀπειλεῖ τοῖς ἐλεημοσύνην μὴ δεδωκόσιν εἰς τὸ πῦρ ἀπελεύσεσθαι, οὐχ ἁπλῶς εἰς τὸ πῦρ, ἀλλ' εἰς τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ; τίνος ἕνεκεν, καὶ διὰ τί; οὐδὲν οὕτω τὸν Θεὸν παροξύνει, ἀλλὰ πάντων αὐτὸν περιίστησι τῶν δεινῶν. εἰ γὰρ τοὺς ἐχθροὺς φιλεῖν δεῖ· ὁ καὶ τοὺς φίλους διαφθείρων, καὶ τῶν Ἑλλήνων κατὰ τοῦτο χείρων ὤν, τίνος οὐκ ἔσται κολάσεως ἄξιος; ὥστε ἐνταῦθα τὸ μέγεθος τοῦ ἁμαρτήματος μετὰ τοῦ διαβόλου ἐποίησεν αὐτὸν ἀπελθεῖν. Οὐαὶ γὰρ τοῖς ἐλεημοσύνην μὴ ποιοῦσι. εἰ δὲ ἐπὶ τῆς παλαιᾶς τοῦτο ἦν, πολλῷ μᾶλλον ἐπὶ τῆς καινῆς· εἰ ἔνθα συγκεχώρητο χρημάτων κτῆσις καὶ ἀπόλαυσις καὶ ἐπιμέλεια, τοσαύτη πρόνοια ἐγένετο τῆς εἰς τοὺς πένητας βοηθείας· πόσῳ μᾶλλον ἔνθα κελευόμεθα πάντα ῥῖψαι; τί γὰρ οὐκ ἐποίουν ἐκεῖνοι; δεκάτας, καὶ πάλιν δεκάτας παρεῖχον, ὀρφανοῖς, χήραις, προσηλύτοις ἐπήρκουν. ἀλλά μοί τις θαυμάζων τινά, ἔλεγε, δεκάτας δίδωσιν ὁ δεῖνα. πόσης αἰσχύνης τοῦτο γέμει, εἰ ὃ ἐπὶ τῶν Ἰουδαίων οὐκ ἦν θαυμασμοῦ, τοῦτο ἐπὶ τῶν χριστιανῶν θαυμαστὸν γέγονεν; εἰ τότε κίνδυνος ἦν, τὸ δεκάτας ἀπολιπεῖν, ἐννόησον ὅσον ἐστὶ νῦν. ἡ μέθη πάλιν οὐ κληρονομεῖ τὴν βασιλείαν. ἀλλὰ τίς ὁ τῶν πολλῶν λόγος; οὐκοῦν εἰ κἀγὼ κἀκεῖνος ἐν τοῖς αὐτοῖς, οὐ μικρὰ παραμυθία. τί οὖν; μάλιστα μὲν, οὐ τῆς αὐτῆς σὺ κἀκεῖνος ἀπολαύσετε τιμωρίας, ἄλλως δὲ, οὐδὲ παραμυθία τοῦτό ἐστι.

Σειρ. ε. ς.

πότε

τότε γὰρ ἡ κοινωνία τῶν παθῶν ἔχει παραμυθίαν, ὅταν σύμμετρα ᾖ τὰ δεινά· ὅταν δὲ ὑπερβαίνῃ καὶ ἐν ἐκστάσει ἡμᾶς ποιῇ, οὐκέτι ἀφίησι λαβεῖν παραμυθίαν. εἰπὲ γάρ μοι, καταικιζομένῳ, καὶ εἰς τὸν πυρετὸν ἐμβεβηκότι, ὅτι καὶ ὁ δεῖνα τοῦτο πάσχει· ἀλλ' οὐδὲ αἰσθήσεται τῆς παραμυθίας. οὐχὶ πάντες ὁμοῦ ἀπώλοντο οἱ Ἰσραηλῖται; ποίαν τοῦτο αὐτοῖς παραμυθίαν ἔφερεν; οὐχὶ μᾶλλον αὐτὸ τοῦτο αὐτοὺς ἐλύπει; διὸ καὶ ἔλεγον, ἀπολώλαμεν, ἐξολώλαμεν, παρανηλώμεθα. ποία τοίνυν αὕτη παραμυθία; μάτην ἑαυτοὺς παραμυθούμεθα ταύταις ταῖς ἐλπίσι· μία μόνη παραμυθία ἐστὶ, τὸ μὴ ἐμπεσεῖν εἰς τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον· ἐμπεσόντας δὲ οὐκ ἔνι παραμυθίας τυχεῖν, ἔνθα ὁ βρυγμὸς τῶν ὀδόντων, ἔνθα κλαυθμὸς, ἔνθα σκώληξ ἀτελεύτητος, ἔνθα πῦρ ἄσβεστον. ἐννοήσεις γὰρ ὅλως τινὰ, εἰπέ μοι, παραμυθίαν, ἐν θλίψει καὶ στενοχωρίᾳ ὤν; ἐν σαυτῷ γὰρ ἔσῃ λοιπόν; μὴ, δέομαι καὶ παρακαλῶ, μὴ ἑαυτοὺς εἰκῇ ἀπατῶμεν, καὶ τούτοις τοῖς λόγοις παραμυθώμεθα· ἀλλὰ ταῦτα πράττωμεν, ἅπερ ἡμᾶς σῶσαι δυνήσεται. συγκαθίσαι τῷ Χριστῷ πρόκειται, καὶ σὺ περὶ τούτων ἀκριβολογῇ; εἰ γὰρ μηδὲν ἕτερον ἦν ἁμάρτημα, ὑπὲρ τῶν ῥημάτων τούτων πόσην κόλασιν ὑποστῆναι ὑμᾶς ἐχρῆν, ὅτι οὕτω νωθεῖς, ὅτι οὕτω ταλαίπωροι καὶ ῥᾴθυμοί ἐσμεν, ὡς, προκειμένης τοσαύτης τιμῆς, ταῦτα λέγειν; ὅταν δὲ ἐννοήσῃς τότε τοὺς κατωρθωκότας, οὐ τήκῃ πλέον; ὅταν ἴδῃς ἀπὸ δούλων καὶ ἀπὸ δυστήνων ὀλίγα καμόντας ἐνταῦθα, καὶ τοῦ θρόνου μετέχοντας ἐκεῖ τοῦ βασιλικοῦ, οὐχὶ τῆς κολάσεώς σοι ταῦτα χείρονα ἔσται; εἰ γὰρ νῦν ὁρῶν εὐδοκιμοῦντας, καίτοι οὐδὲν πάσχων κακὸν, πάσης τιμωρίας χεῖρον, ὑπὸ τούτου μόνου διαφθείρῃ, καὶ πενθεῖς σαυτὸν καὶ δακρύεις, καὶ μυρίων εἶναι θανάτων κρίνεις ἄξιον, τί τότε ὑποστήσῃ; εἰ γὰρ μὴ γέεννα ἦν, αὐτὴ ἡ ἔννοια τῆς βασιλείας οὐκ ἦν ἱκανὴ ἀπολέσαι καὶ διαφθεῖραι; καὶ ὅτι τοῦτο οὕτως ἔχει, ἱκανὸν ἀπὸ τῆς πείρας τῶν πραγμάτων μαθεῖν. μὴ τοίνυν εἰκῇ ψυχαγωγῶμεν ἑαυτοὺς τοῖς τοιούτοις ῥήμασιν· ἀλλὰ προσέχωμεν καὶ φροντίζωμεν τῆς ἑαυτῶν σωτηρίας, καὶ ἀρετῆς ἐπιμελώμεθα, καὶ πρὸς τὴν τῶν καλῶν ἐργασίαν ἑαυτοὺς διεγείρωμεν, ἵνα καταξιωθῶμεν τυχεῖν τῆς τοσαύτης δόξης, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, κράτος, δόξα, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. μ.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΔΕΙ ΠΑΝΤΑ ΠΟΙΕΙΝ ΚΑΙ πραγματεύεσθαι ὑπὲρ τῆς σωτηρίας τῶν ἀδελφῶν ἡμῶν· καὶ ὅτι μέγα ἀγαθὸν, τὸ συγχωρεῖν τοῖς εἰς ἡμᾶς πλημμελοῦσι τὰ ἁμαρτήματα· τοῦτο δὲ μεῖζον ἐλεημοσύνης ἐστίν.

Εκ τῆς ὁμιλ. κγ. τ̃ ἑρμην. τ̃ πρὸς Εβρ. ἐπιστ.

ΟΥδὲν τῶν ἐπιτυγχανόντων τῆς βασιλείας τῶν οὐρανῶν μακαριώτερον, ἀδελφοί, ὥσπερ οὐδὲ τῶν ἀποτυγχανόντων ἀθλιώτερον. εἰ γὰρ πατρίδος τις ἐκβεβλημένος, ὑπὸ πάντων ἐλεεῖται, καὶ κληρονομίαν ἀπολέσας, δοκεῖ παρὰ πᾶσιν ἐλεεινὸς εἶναι· ὁ τοῦ οὐρανοῦ ἐκπίπτων καὶ τῶν ἀποκειμένων ἀγαθῶν ἐκεῖ, πόσοις ὀφείλει δάκρυσι δακρύεσθαι; μᾶλλον δὲ οὐδὲ δακρύεσθαι; δακρύεται γάρ τις, ὅταν τι πάθῃ ὧν οὐκ αὐτός ἐστιν αἴτιος· ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν περιπείρῃ τῇ κακίᾳ, οὐδὲ δακρύων, ἀλλὰ θρήνων ἔσται ἄξιος· μᾶλλον δὲ καὶ τότε πένθους. ἐπεὶ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν Ἱερουσαλὴμ, καίτοι ἀσεβοῦσαν, ἐπένθησε καὶ ἐδάκρυσεν, ὄντως μυρίων ὀδυρμῶν ἄξιοί ἐσμεν, μυρίων θρήνων, εἰ δὲ πᾶσα ἡ οἰκουμένη λαβοῦσα φωνὴν, καὶ λίθοι, καὶ ξύλα, καὶ δένδρα, καὶ θηρία, καὶ ὄρνις, καὶ ἰχθύες, καὶ ἁπλῶς πᾶσα ἡ οἰκουμένη, εἰ δὲ λαβοῦσα φωνὴν, ἡμᾶς ὀδύρηται τοὺς ἐκπεπτωκότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν κατ' ἀξίαν ὀδύρεται, οὐδὲ θρηνήσει. ποῖος

Λυκ. ιθ.

γάρ.

γὰρ λόγος παραστῆσαι δυνήσεται, ποῖος νοῦς ἐκείνην τὴν μακαριότητα, καὶ τὴν ἀρετὴν ἐ-
κείνην, τὴν ἡδονήν, τὴν δόξαν, τὴν εὐφροσύνην, τὴν λαμπρότητα; Ἃ ὀφθαλμὸς οὐκ
εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. οὐκ εἶπεν, ὅτι ὑπερ-
βαίνει ἁπλῶς, ἀλλ', οὐδὲ ἐνενόησέ ποτέ τις ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὧν γὰρ
ἑτοιμαστὴς καὶ παρασκευαστὴς ὁ Θεὸς ἀγαθῶν, ποῖα εἰκὸς εἶναι ταῦτα; Εἰ γὰρ ποιήσας ἡμᾶς
εὐθέως, οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου, τοσαῦτα εἰργάσατο, παράδεισον, ὁμιλίαν τὴν
μετ' αὐτοῦ, ἀθανασίαν ὑπέσχετο, βίον μακάριον καὶ φροντίδων ἀπηλλαγμένον· τοῖς τοσαῦ-
τα πεποιηκόσι καὶ ἠθληκόσι καὶ ὑπὲρ αὐτοῦ ὑπομείνασι τί οὐ χαριεῖται; τοῦ μονογενοῦς οὐκ
ἐφείσατο δι' ἡμᾶς, τὸν υἱὸν τὸν γνήσιον εἰς θάνατον ἔδωκε δι' ἡμᾶς ἐχθροὺς ὄντας· τίνος οὐ κατα-
ξιώσει γενομένους φίλους; τίνος οὐ μεταδώσει, καταλλάξας ἑαυτῷ; καὶ πλούσιός ἐστι σφόδρα
καὶ ἄπειρος, καὶ ἐπιθυμεῖ καὶ σπουδάζει τῆς ἡμετέρας φιλίας τυχεῖν· ἡμεῖς δὲ οὐ σπου-
δάζομεν οὕτως, ἀγαπητοί, ἐπιτυχεῖν. καὶ τί λέγω, οὐ σπουδάζομεν; οὐ θέλομεν ἐπι-
τυχεῖν αὐτοῦ τῶν ἀγαθῶν, ὡς αὐτὸς θέλει. καὶ ὅτι πλέον θέλει, δι' οὗ ἐποίησεν ἔδειξεν.
ἡμεῖς μὲν γὰρ ὑπὲρ ἡμῶν αὐτῶν μόλις ὀλίγου καταφρονοῦμεν χρυσίου· αὐτὸς δὲ ὑπὲρ
ἡμῶν καὶ τὸν υἱὸν ἔδωκε τὸν αὐτοῦ. γενώμεθα εἰς δέον τῇ ἀγάπῃ τοῦ Θεοῦ· ἀπολαύσωμεν
αὐτοῦ τῆς φιλίας. Ὑμεῖς γὰρ φίλοι μου ἐστέ, φησιν, ἐὰν ποιῆτε ἃ λέγω ὑμῖν. βαβαί·
οὓς ἐχθρούς, οὓς ἀπείρως αὐτῷ διεστηκότας, ὧν ἀσυγκρίτῳ τῇ ὑπερβολῇ κατὰ πάντα διενηνό-
χε, τούτους φίλους αὐτοῦ καλεῖ. τί οὖν οὐχ αἱρετὸν παθεῖν ὑπὲρ ταύτης τῆς φιλίας; ὑπὲρ
ἀνθρώπων φιλίας πολλάκις κινδυνεύομεν· ὑπὲρ δὲ τῆς τοῦ Θεοῦ οὐδὲ χρήματα προϊέ-
μεθα; πένθους ὄντως ἄξια τὰ ἡμέτερα· πένθους καὶ δακρύων καὶ ὀδυρμῶν καὶ ὀλοφυρμοῦ με-
γάλου καὶ κοπετῶν. τῆς ἐλπίδος ἡμῶν ἐξεπέσαμεν· ἐταπεινώθημεν ἀπὸ τοῦ ὕψους ἡμῶν·
ἀνάξιοι τῆς τιμῆς ἐφάνημεν τοῦ Θεοῦ· ἀγνώμονες καὶ μετὰ τὰς εὐεργεσίας γεγόναμεν καὶ ἀ-
χάριστοι. ἐγύμνωσεν ἡμᾶς πάντων ὁ διάβολος τῶν ἀγαθῶν. οἱ καταξιωθέντες εἶναι υἱοὶ καὶ
ἀδελφοὶ καὶ συγκληρονόμοι, τῶν ἐχθρῶν αὐτοῦ οὐδὲν διενηνόχαμεν τῶν ὑβριζόντων αὐτόν. τίς
ἡμῖν ἔσται παραμυθία λοιπόν; αὐτὸς ἡμᾶς ἐκάλεσε πρὸς τὸν οὐρανόν· ἡμεῖς δὲ ἑαυτοὺς
πρὸς τὴν γέενναν ὠθήσαμεν. Ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς·
οἱ μὲν αἵματα ἐφ' αἵμασι μιγνύουσιν, οἱ δὲ πράγματα πράττουσιν αἱμάτων χείρονα.
πολλοὶ τῶν ἀδικουμένων, πολλοὶ τῶν πλεονεκτουμένων μυρίους εὔχονται θανάτους, ἢ ταῦτα
παθεῖν· καὶ εἰ μὴ τὸν τοῦ Θεοῦ φόβον ἐδεδοίκεσαν, καὶ διεχειρίσαντο ἂν ἑαυτούς, οὕτω φονῶντες
καθ' ἑαυτῶν. ταῦτα οὖν οὐχ αἱμάτων χείρω; οἴμοι ψυχή, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς
γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. νῦν καὶ ἡμεῖς βοήσωμεν ὑπὲρ ἡμῶν αὐ-
τῶν πρότερον. ἀλλά μοι τοῦ θρήνου συλλάβεσθε. τάχα τινὲς καὶ οἰωνίζονται, καὶ γελῶσι. διὰ
γὰρ τοῦτο ἐπιτείνειν χρὴ τὸν θρῆνον, ὅτι οὕτω μαινόμεθα καὶ παραπαίομεν, ὅτι οὐδὲ, εἰ μαι-
νόμεθα, ἴσμεν, ἀλλ' ἐφ' οἷς ἐχρῆν στένειν γελῶμεν. Ἀποκαλύπτεται, ἄνθρωπε, ὀργὴ ἀπ'
οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων. Ὁ Θεὸς ἐμφανῶς ἥξει, πῦρ ἐνώ-
πιον αὐτοῦ προπορεύσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά· πῦρ ἐναντίον αὐτοῦ καυθήσε-
ται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. ἡμέρα Κυρίου ὡς κλίβανος καιόμενος· καὶ οὐδεὶς ταῦτα
εἰς νοῦν βάλλεται, ἀλλὰ μύθων μᾶλλον καταπεφρόνηται τὰ φρικώδη ταῦτα δόγματα καὶ φο-
βερά, καὶ πεπάτηται, καὶ ὁ ἀκούων οὐδείς· οἱ δὲ ἀκούοντες καὶ χλευάζοντες πάντες. τίς ἔσται πό-
ρος ἡμῖν; πόθεν σωτηρίαν εὑρήσομεν; ἀπολώλαμεν, παραπλώμεθα, γεγόναμεν τῶν ἐχθρῶν
ἡμῶν κατάγελως, καὶ χλευασμὸς τῶν Ἑλλήνων καὶ τῶν δαιμόνων. μεγαφρονεῖ νῦν ὁ διάβολος,
γαυροῦται καὶ χαίρει· ἐν αἰσχύνῃ οἱ πιστευθέντες ἡμᾶς ἄγγελοι πάντες καὶ κατηφεῖς·
οὐδεὶς ὁ ἐπιστρέφων, εἰκῇ πάντα ἡμῖν ἀνάλωται, καὶ ἡμεῖς ὑμῖν δοκοῦμεν ληρεῖν; εὔκαιρον
καὶ νῦν καλέσαι τὸν οὐρανόν, ὅτι οὐδεὶς ὁ ἀκούων, διαμαρτύρεσθαι τὰ στοιχεῖα. Ἄκουε, οὐρανέ,

α Κορ. β. θ.
Ιωαν. ιε. ιδ.
Ρωμ. α. ιη.
Ψαλ. μθ. γ.
Ησ. α. β.

καὶ ἐνωτίζου γῆ, ὅτι Κύριος ἐλάλησε· δότε χεῖρα, ὀρέξατε οἱ μηδέπω καταβαπτισθέντες τοῖς ὑπὸ τῆς μέθης ἀπολωλόσιν, οἱ ὑγιαίνοντες τοῖς κάμνουσιν, οἱ νήφοντες τοῖς μαινομένοις καὶ τοῖς παραφερομένοις. μηδεὶς τοίνυν χάριν τῆς σωτηρίας τοῦ φίλου παραιτείσθω. καὶ ἡ ὕβρις, καὶ ἡ ἐπιτίμησις, εἰς ἓν ὁράτω μόνον, αὐτοῦ τὴν ὠφέλειαν. ὅταν πυρετὸς καταλάβῃ, καὶ δοῦλοι κρατοῦσι δεσποτῶν· ὅταν γὰρ ἐκεῖνος μὲν ἐπίκειται, τὴν ψυχὴν συγχέων, ἀνδραπόδων δὲ ἐσμὸς περιεστήκει, οὐδενὶ εἴκει, οὐδ᾽ ἐπιγινώσκει τὸν νόμον τὸν δεσποτικὸν ἐν τῇ βλάβῃ τοῦ δεσπότου. συστρέψωμεν ἑαυτούς, παρακαλῶ. πόλεμοι καθημερινοί, καταποντισμοί, ἀπώλειαι μυρίαι κύκλῳ, καὶ πάντοθεν ἡ ὀργὴ τοῦ Θεοῦ περιστοιχίζεται ἡμᾶς· ἡμεῖς δέ, ὡς εὐαρεστοῦντες, οὕτως ἐσμὲν ἐν ἀδείᾳ. πάντες τὰς χεῖρας εἰς πλεονεξίαν εὐτρεπίζομεν, οὐδεὶς εἰς βοήθειαν. πάντες εἰς ἁρπαγήν, οὐδεὶς εἰς προστασίαν. ἕκαστος ὅπως πλείονα ποιήσῃ τὰ ὄντα ἐσπούδακεν, οὐδεὶς ὅπως βοηθήσῃ τῷ δεομένῳ. ἕκαστος πῶς προσθῇ τοῖς χρήμασι, πολλὴν ἔχει τὴν μέριμναν, οὐδεὶς ὅπως τὴν ψυχὴν τὴν ἑαυτοῦ διασώσῃ. φόβος εἷς ἔχει πάντας, μὴ πενιχροί, φησι, γενώμεθα, μὴ εἰς γέενναν ἐμπέσωμεν, οὐδεὶς ἀγωνιᾷ καὶ τρέμει. ταῦτα θρήνων, ταῦτα κατηγορίας, ταῦτα διαβολῆς ἄξια. ἀλλ᾽ οὐ ταῦτα ἐβουλόμην λέγειν, ἀλλ᾽ ὑπὸ τῆς ὀδύνης βιάζομαι. σύγγνωτε, ὑπὸ πάθους ἀναγκάζομαι· πολλὰ καὶ ὧν οὐ βούλομαι, φθέγγομαι. χαλεπὴν ὁρῶ τὴν πληγήν, ἀπαραμύθητον τὴν

Ιερ. θ. α.

συμφοράν, παρακλήσεως μείζονα τὰ καταλαβόντα ἡμᾶς δεινά. ἀπολώλαμεν· Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων, ἵνα θρηνήσω; κλαύσωμεν, ἀγαπητοί, κλαύσωμεν, στενάξωμεν. τάχα τινές εἰσιν ἐνταῦθα λέγοντες, πάντα θρήνους ἡμῖν λέγει, πάντα δάκρυα. οὐκ ἐβουλόμην, πιστεύσατε, οὐκ ἐβουλόμην, ἀλλ᾽ ἐγκώμια καὶ ἐπαίνους διεξιέναι. νυνὶ δὲ οὐ τούτων καιρός· οὐ τὸ θρηνεῖν, ἀγαπητοί, χαλεπόν, ἀλλὰ τὸ θρήνων ἄξια ποιεῖν· οὐ τὸ ὀδύρεσθαι ἄτοπον, ἀλλὰ τὸ τὰ ὀδυρμῶν ἄξια πράττειν. μὴ κολασθῇς, καὶ οὐ πενθῶ· μὴ ἀποθάνῃς, καὶ οὐ κλαίω. ἀλλ᾽ ἐὰν μέν σοι τὸ σῶμα κέηται νεκρόν, πάντας παρακαλεῖς συναλγεῖν, καὶ ἀσυμπαθεῖς ἡγῇ τοὺς μὴ πενθοῦντας· τῆς δὲ ψυχῆς ἀπολλυμένης, λέγεις μὴ πενθεῖν; ἀλλ᾽ οὐ δύναμαι. πατήρ εἰμι, καὶ δακρύω· πατήρ εἰμι φι-

Γαλ. δ. ιθ.

λόστοργος. ἀκούετε οἷα βοᾷ ὁ Παῦλος· Τεκνία μου, οὓς πάλιν ὠδίνω. ποία μήτηρ κύουσα οὕτω πικρὰς ἀφίησι φωνάς, ὡς ἐκεῖνος; εἴθε ἐνῆν αὐτὴν τῆς διανοίας τὴν πυρὰν ἰδεῖν, καὶ εἴδετε ἄν, ὅτι πάσης γυναικὸς καὶ κόρης χηρείαν ἄωρον ὑποστάσης πλέον καίομαι. οὐχ οὕτως ἐκείνη τὸν ἄνδρα πενθεῖ τὸν ἑαυτῆς, οὐδὲ πατὴρ υἱόν, ὡς ἐγὼ τὸ πλῆθος τοῦτο τὸ παρ᾽ ἡμῖν. οὐδεμίαν ὁρῶ προκοπήν· πάντα εἰς διαβολὰς καὶ κατηγορίας· οὐδεὶς ἔργον τίθεται ἀρέσκειν Θεῷ· ἀλλὰ τὸν δεῖνα, φησιν, εἴπωμεν κακῶς, καὶ τὸν δεῖνα· ὁ δεῖνα ἀνάξιος τοῦ κλήρου, ὁ δεῖνα ἀσέμνως βιοῖ. ὀφείλοντες τὰ ἡμέτερα πενθεῖν, κακῶς κρίνομεν ἑτέρους; οὐδ᾽ ὅτε

α. Κορ. δ. ζ.

καθαροί ἐσμεν ἁμαρτημάτων ὀφείλομεν τοῦτο ποιεῖν. τίς γάρ σε διακρίνει, φησί; Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου, μυρίων αὐτὸς γέμων κακῶν; ὅταν εἴπῃς, ὁ δεῖνα πονηρός ἐστι καὶ λυμεών, καὶ μοχθηρός, ἐννόησον σαυτόν, καὶ ἐξέτασον ἀκριβῶς τὰ σαυτοῦ, καὶ μεταμεληθήσῃ ἐπὶ τοῖς λεχθεῖσιν. εἴ τις οὖν ἐν ἐκκλησίᾳ, ὥσπερ ἐν δικαίοις σταθμοῖς, τοὺς λόγους ἡμῶν στῆσαι ἐπιχειρήσει· ἐν μυρίοις ταλάντοις λόγων βιωτικῶν μόλις εὑρήσει δηνάρια ἑκατὸν ῥημάτων πνευματικῶν, ἢ μᾶλλον οὐδὲ ὀβολοὺς δέκα. εἰ οὖν ὁ Θεὸς ταῦτα παρατηρήσει, τίς ὑποστήσεται;

Ἐκ τ. ὁμιλ. α. τ. ἑρμ. τ. πρὸς Φιλημ. ἐπιστ.

Ταῦτα ἐννοοῦντες οἰκτίρμονες ὦμεν, συγγνωμονικοὶ περὶ τοὺς ἁμαρτάνοντας εἰς ἡμᾶς. ἑκατὸν δηνάριά ἐστιν ἐνταῦθα, τὰ εἰς ἡμᾶς ἁμαρτήματα· τὰ δὲ εἰς τὸν Θεὸν παρ᾽ ἡμῶν, μυρία τάλαντα. ἴστε γὰρ ὅτι καὶ τῇ ποιότητι τῶν προσώπων τὰ ἁμαρτήματα κρίνονται. οἷόν τι λέγω· ὁ τὸν ἰδιώτην ὑβρίσας ἥμαρτεν, ἀλλ᾽ οὐχ ὁμοίως, ὡς ὁ τὸν ἄρχοντα, καὶ μειζόνως τούτου ὁ τὸν μείζονα ἄρχοντα, ἀλλ᾽ οὐχ ὁμοίως ὡς ὁ τὸν ἐλάτ-

ἐλάττονα· ὁ δὲ τὸν βασιλέα, πολλῷ πλέον. καὶ ἡ μὲν ὕβρις ἐστὶν ἡ αὐτή· τῇ δὲ ὑπεροχῇ τοῦ προσώπου μείζων γίνεται. εἰ δὲ ὁ βασιλέα ὑβρίζων, ἀφόρητον ἔχει τὴν τιμωρίαν διὰ τὴν τοῦ προσώπου ἀξιοπιστίαν· ὁ τὸν Θεὸν ὑβρίζων πόσων ἔσται ὑπεύθυνος ταλάντων; ὥστε κἂν τὰ αὐτὰ εἰς τὸν Θεὸν ἁμαρτάνωμεν, ἅπερ εἰς τοὺς ἀνθρώπους, οὐδὲ οὕτω τὸ ἴσον ἐστίν· ἀλλ' ὅσον μέσον Θεοῦ, καὶ ἀνθρώπων, τοσοῦτον τῶν ἁμαρτημάτων ἐκείνων, καὶ τούτων. νῦν δὲ καὶ πλείονα εὑρίσκω τὰ ἁμαρτήματα οὐ τῇ ὑπεροχῇ τοῦ προσώπου μεγάλα γινόμενα, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει. καὶ φρικτὸς μὲν ὁ λόγος καὶ φοβερὸς οὕτως, πλὴν ἀνάγκη λεχθῆναι, ἵνα ὑμῶν τὴν διάνοιαν κατασείσῃ καὶ διασαλεύσῃ· δείκνυσι ὅτι πολλῷ πλέον ἀνθρώπους φοβούμεθα, ἢ τὸν Θεόν, καὶ τιμῶμεν ἀνθρώπους, ἢ τὸν Θεόν. ἐννόησον· ὁ μοιχεύων οἶδεν, ὅτι Θεὸς αὐτὸν ὁρᾷ, καὶ τούτου μὲν καταφρονεῖ· ἂν δὲ ἄνθρωπος ἴδῃ, κατέχει τὴν ἐπιθυμίαν. οὐχὶ προτιμᾷ ἀνθρώπους μόνον, οὐχὶ ὑβρίζει τὸν Θεόν, ἀλλὰ καὶ τὸ πολλῷ χαλεπώτερον, ἐκείνους δεδοικώς, τούτου καταφρονεῖ. ἂν μὲν γὰρ ἐκεῖνος ἴδῃ, κατέχει τὴν φλόγα τῆς ἐπιθυμίας. μᾶλλον δὲ ποίαν φλόγα; οὐκέτι φλόξ, ἀλλὰ ὕβρις. εἰ μὲν γὰρ μὴ ἐξὸν γυναικὶ κεχρῆσθαι, εἰκότως φλὸξ τὸ πρᾶγμα ἦν· νυνὶ δέ, ὕβρις καὶ στρῆνος. ἂν μὲν γὰρ ἄνθρωπος ἴδῃ, ἵσταται τῆς μανίας· τῆς δὲ τοῦ Θεοῦ μακροθυμίας ἔλαττον φροντίζει. πάλιν, ἕτερος ὁ κλέπτων συνοῖδεν ὅτι ἁρπάζει, καὶ ἀνθρώπους μὲν πειρᾶται ἀπατῆσαι, καὶ ἀπολογεῖται πρὸς τοὺς ἐγκαλοῦντας, καὶ σχῆμα περιτίθησι τῇ ἀπολογίᾳ· τὸν δὲ Θεὸν μὴ δυνάμενος πεῖσαι, οὐ φροντίζει, οὐδὲ αἰδεῖται, οὐδὲ τιμᾷ. κἂν μὲν ὁ βασιλεὺς κελεύσῃ ἀπέχεσθαι τῶν ἑτέρων χρημάτων, μᾶλλον δὲ καὶ τὰ αὐτοῦ δοῦναι, πάντες ἑτοίμως εἰσφέρομεν· τοῦ δὲ Θεοῦ κελεύοντος μὴ ἁρπάζειν, μηδὲ τὰ ἑτέρων λαμβάνειν, οὐκ ἀνεχόμεθα. ὁρᾷς ὅτι προτιμῶμεν ἀνθρώπους τοῦ Θεοῦ; φορτικὸν τὸ ῥῆμα καὶ ἐπαχθές· ἀλλὰ δείξατε ὅτι φορτικόν, φύγετε τὸ ἔργον. εἰ δὲ τὸ ἔργον οὐ δεδοίκατε, πῶς ὑμῖν πιστεῦσαι δυνάμεθα λέγουσιν, ὅτι τὰ ῥήματα δεδοίκαμεν, καὶ βαρεῖς ἡμᾶς; ὑμεῖς ἑαυτοὺς τῷ ἔργῳ βαρεῖτε, καὶ οὐδεὶς λόγος· ἐγὼ δὲ ἂν τὰ ῥήματα εἴπω, ὧν ὑμεῖς τὰ πράγματα πράττετε, ἀγανακτεῖτε; καὶ πῶς οὐκ ἄτοπον; γένοιτο ψευδῆ εἶναι τὰ παρ' ἐμοῦ. βούλομαι αὐτὸς λοιδορίας δόξαν λαβεῖν κατ' ἐκείνην τὴν ἡμέραν, ὡς εἰκῇ καὶ μάτην λοιδορησάμενος ὑμᾶς, ἢ ἰδεῖν ὑπὲρ τοιούτων ἐγκαλουμένους. οὐ μόνον δὲ αὐτοὶ ἀνθρώπους προτιμᾶτε τοῦ Θεοῦ, ἀλλὰ καὶ ἑτέρους ἀναγκάζετε. πολλοὶ πολλοὺς οἰκέτας ἠνάγκασαν, καὶ παῖδας· τοὺς μὲν εἰς γάμον εἵλκυσαν μὴ βουλομένους, τοὺς δὲ ὑπηρετήσασθαι διακονίαις ἀτόποις, καὶ ἔρωτι μιαρῷ, καὶ ἁρπαγαῖς, καὶ πλεονεξίαις, καὶ βίαις, ὥστε διπλοῦν εἶναι τὸ ἔγκλημα, καὶ μηδὲ ἀπὸ τῆς ἀνάγκης συγγνώμην αὐτοὺς εὑρέσθαι. εἰ γὰρ αὐτὸς ἄκων πράττεις τὰ πονηρὰ καὶ διὰ τὸ ἐπίταγμα τοῦ ἄρχοντος· μάλιστα μὲν οὐδὲ οὕτως ἰσχυρὰ ἡ ἀπολογία, πλὴν χαλεπωτέρα γίνεται ἡ ἁμαρτία, ὅταν καὶ ἐκείνους ἀναγκάζῃς τοῖς αὐτοῖς περιπίπτειν. ποία γὰρ ἂν εἴη τῷ τοιούτῳ συγγνώμη λοιπόν; ταῦτα εἶπον, οὐχὶ καταισχῦναι βουλόμενος ὑμᾶς, ἀλλὰ δεῖξαι πόσων ἐσμὲν ὀφειλέται τῷ Θεῷ. εἰ γὰρ καὶ ἐξ ἴσου τιμῶντες ἄνθρωπον τοῦ Θεοῦ, ὑβρίζομεν τὸν Θεόν· πολλῷ μᾶλλον, ὅταν προτιμῶμεν ἀνθρώπους. εἰ καὶ ταῦτα τὰ ἁμαρτήματα τὰ εἰς ἀνθρώπους γινόμενα εἰς Θεὸν πολλῷ μείζονα δείκνυται· πόσῳ μᾶλλον, ὅτι καὶ αὐτὴ ἡ ἁμαρτία τῇ ποιότητι μείζων ἢ καὶ χαλεπωτέρα; ἐξεταζέτω τις ἑαυτόν, καὶ ὄψεται πάντα δι' ἀνθρώπους ποιῶν. σφόδρα ἦμεν μακάριοι, εἰ τοσαῦτα διὰ τὸν Θεὸν ἐπράττομεν, ὅσα δι' ἀνθρώπους, καὶ τὴν παρὰ τῶν ἀνθρώπων δόξαν, καὶ τὸν φόβον, καὶ τὴν ζημίαν. εἰ τοίνυν τοσούτων ἐσμὲν ὑπεύθυνοι, ὀφείλομεν μετὰ πάσης προθυμίας ἀφιέναι τοῖς ἀδικοῦσιν ἡμᾶς καὶ πλεονεκτοῦσι, καὶ μὴ μνησικακεῖν. ὁδὸς γάρ ἐστι λύσεως ἁμαρτημάτων οὐδὲ πόνων δεομένη, οὐδὲ δαπάνης χρημάτων, οὐδὲ ἄλλου οὐδενός, ἀλλ' ἁπλῶς προαιρέσεως. οὐκ ἀποδημίαν χρὴ στείλασθαι, οὐκ εἰς τὴν ὑπερορίαν ἐλθεῖν, οὐ κινδύνους

ὑποστῆναι καὶ πόνους, ἀλλὰ θελῆσαι μόνον. ποίαν, εἰπέ μοι, συγγνώμην ἕξομεν ἐν τοῖς δο-
κοῦσιν εἶναι δυσκόλοις, ὅταν καὶ πρᾶγμα τοσοῦτον ἔχον κέρδος, καὶ τοσαύτην τὴν ὠφέλειαν,
καὶ οὐδένα πόνον, μὴ πράττωμεν; οὐ δύνασαι χρημάτων καταφρονῆσαι; οὐ δύνασαι τὰ
ὄντα δαπανῆσαι εἰς τοὺς δεομένους; θελῆσαι οὐ δύνασαί τι ἀγαθόν; ἀφεῖναι τῷ ἠδικηκότι
οὐ δύνασαι; εἰ γὰρ μὴ τοσούτων ὑπεύθυνος ἦς, ἐκέλευσε δὲ μόνον ὁ Θεὸς ἀφεῖναι, οὐκ 5
ἔδει; νῦν δὲ τοσούτων ὑπεύθυνος ὢν οὐκ ἀφίης; καὶ ταῦτα δὲ ἀφ' ὧν ἔχεις αὐτῷ, ἀπαιτεῖ.
ἂν μὲν οὖν ἡμεῖς παρ' ὀφειλέτην ἔλθωμεν ἡμέτερον, ἐκεῖνος εἰδὼς τοῦτο, θεραπεύει, καὶ
ὑποδέχεται, καὶ τιμᾷ, καὶ πᾶσαν ἐπιδείκνυται φιλοφροσύνην μετὰ δαψιλείας, καὶ ταῦτα,
οὐκ ἀπὸ τοῦ δανείσματος διαλυόμενος, ἀλλ' ἡμέρας ἡμᾶς θέλων καταστῆσαι περὶ τὴν
ἀπαίτησιν· σὺ δὲ τῷ Θεῷ ὀφείλων τοσαῦτα, καὶ κελευόμενος ἀφεῖναι, πάλιν ἵνα σὺ λάβῃς, 10
οὐκ ἀφίης; τί δήποτε, παρακαλῶ; οἴμοι, πόσης μὲν ἀπολαύομεν φιλανθρωπίας; πόσην
δὲ ἐπιδεικνύμεθα κακίαν; πόσοι ὕπνοι; πόσην νωθείαν; πῶς εὔκολον ἡ ἀρετή; ἐνταῦθα οὐ
σώματος ἰσχύος χρεία, οὐ πλούτου χρημάτων, οὐ δυναστείας, οὐ φιλίας, οὐκ ἄλλου οὐδενός· ἀλλ'
ἀρκεῖ θελῆσαι μόνον, καὶ τὸ πᾶν ἀνύσται, πρᾶγμα πολλὴν ἔχον ὠφέλειαν. ἐλύπησεν ὁ
δεῖνα, καὶ ὕβρισε, καὶ ἔσκωψεν; ἐννόησον, ὅτι καὶ σὺ πολλὰ τοιαῦτα εἰς ἑτέρους ποιεῖς, καὶ εἰς 15
αὐτὸν τὸν δεσπότην· ἄφες καὶ συγχώρησον· ἐννόησον, ὅτι λέγεις· Ἄφες ἡμῖν τὰ ὀφειλήματα (Ματθ. ϛ. ιϛ.)
ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν. ἐννόησον, ὅτι εἰ μὴ ἀφῇς, οὐ δυνήσῃ μετὰ παρρησίας τοῦτο
εἰπεῖν· ἂν δὲ ἀφῇς, ὀφειλὴν τὸ πρᾶγμα ἀπαιτεῖς, οὐ διὰ τὴν τοῦ πράγματος φύσιν,
ἀλλὰ διὰ τὴν τοῦ δεδωκότος φιλανθρωπίαν. καὶ πόθεν ἴσον, τὰ εἰς τοὺς ὁμοδούλους ἀφιέντα
τῶν εἰς τὸν δεσπότην ἡμαρτηκότων τὴν ἄφεσιν λαβεῖν; ἀλλ' ὅμως τυγχάνομεν τῆς τοσαύ- 20
της φιλανθρωπίας, ἐπειδὴ πλούσιός ἐστιν ἐν ἐλέει καὶ οἰκτιρμοῖς. ἵνα δέ σοι δείξω, ὅτι καὶ
χωρὶς τούτων καὶ χωρὶς τῆς ἀφέσεως, ἀπὸ τοῦ ἀφεῖναι μόνον σὺ καρποῦσαι τὸ κέρδος· ἐννό-
ησον πόσους ὁ τοιοῦτος ἔχει φίλους, πῶς πανταχοῦ ἐγκώμια τοῦ τοιούτου ἅπαντες διεξέρχον-
ται. ἀγαθὸς ἀνήρ, εὐμετάλλακτος, οὐκ οἶδε μνησικακῆσαι, ἅμα ἐπλήγη, καὶ ἅμα ἰάθη.
τὸν τοιοῦτον περιστάσει τινὶ περιπεσόντα τίς οὐκ ἂν ἐλεήσῃ; τίς οὐ συγγνώσεται ἁμαρτάνοντι; 25
τίς οὐ δώσει χάριν παρ' ἑτέρων ἀξιοῦντι; τίς οὐ θελήσει φίλος εἶναι καὶ δοῦλος ψυχῆς οὕτως
ἀγαθῆς; ναί, παρακαλῶ, πάντα ὑπὲρ τούτου πράττωμεν, μὴ πρὸς φίλους, μὴ πρὸς
συγγενεῖς μόνον, ἀλλὰ καὶ πρὸς τοὺς οἰκέτας. Ἀνιέντες γάρ, φησι, τὴν ἀπειλήν, εἰδότες, ὅτι (Ἐφεσ. ϛ. θ.)
καὶ ὁ Κύριος ὑμῶν ἐστιν ἐν οὐρανοῖς. ἂν ἀφίωμεν τοῖς πλησίον τὰ ἁμαρτήματα, ἂν ἐλεημο-
σύνας παρέχωμεν, ἂν ταπεινοὶ ὦμεν (καὶ γὰρ καὶ τοῦτο ἀφαιρεῖ ἁμαρτίας. εἰ γὰρ ὁ τελώ- 30
νης, ἵνα μόνον εἴπῃ, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθε δεδικαιωμένος, πολλῷ μᾶλλον (Λουκ. ιη. ιγ.)
καὶ ἡμεῖς, ἐὰν ταπεινοὶ ὦμεν καὶ συντετριμμένοι, δυνησόμεθα πολλῆς φιλανθρωπίας τυ-
χεῖν) ἂν ὁμολογῶμεν τὰ ἑαυτῶν ἁμαρτήματα, καὶ καταγινώσκωμεν ἑαυτῶν, τὸ πλεῖον ἀπο-
σμηξόμεθα τοῦ ῥύπου. πολλαὶ γὰρ αἱ ὁδοὶ αἱ καθαρεύουσαι. πάντοθεν τοίνυν πολεμῶμεν τῷ
διαβόλῳ. οὐδὲν εἶπον δύσκολον, οὐδὲν δυσχερές. ἄφες τῷ λελυπηκότι· ἐλέησον τὸν δεό- 35
μενον· ταπείνωσόν σου τὴν ψυχήν. κἂν σφόδρα ἦς ἁμαρτωλός, δυνήσῃ καὶ τῆς βασιλείας
ἐπιτυχεῖν, διὰ τούτων αὐτὰ ἐκκαθαίρων τὰ ἁμαρτήματα, καὶ ἀποσμήχων τὴν κηλῖδα.
γένοιτο δὲ πάντας ἡμᾶς ἐνταῦθα ἀποκαθηραμένους ἅπαντα τῶν ἁμαρτημάτων τὸν ῥύπον
διὰ τῆς ἐξομολογήσεως, ἐκεῖ τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, 40
νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΔΕΙ ΜΙΜΕΙΣΘΑΙ ΗΜΑΣ ΚΑΝ τοὺς οἰκέτας ἡμῶν, ὁπόσα ἐκεῖνοι διὰ τὸν ἡμέτερον φόβον πράττουσιν, ἵνα καὶ ἡμεῖς διὰ τὸν τοῦ Θεοῦ φόβον ταῦτα πράττωμεν· καὶ περὶ τῶν ἀνεκδιηγήτων ἀγαθῶν τῶν τοῖς ἁγίοις ηὐτρεπισμένων.

Λογ. μα.

Εἰ τοῖς οἰκέταις ὁ Παῦλος, ἀγαπητοί, πολλῇ κεχρῆσθαι τῇ ὑπακοῇ τοῖς κυρίοις, Τιμοθέῳ γράφων, ἐπέταττεν· ἐννοήσατε πῶς ἡμᾶς πρὸς τὸν δεσπότην διακεῖσθαι χρή, τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντα ἡμᾶς, τὸν τρέφοντα, τὸν ἐνδιδύσκοντα. Εἰ καὶ μηδαμῶς οὕτω ἑτέρως, κἂν ὡς οἱ οἰκέται οἱ ἡμέτεροι, δουλεύσωμεν αὐτῷ. οὐχὶ πᾶσαν τὴν ζωὴν εἰς τοῦτο κατεστήσαντο ἐκεῖνοι, εἰς τὸ ἀναπαύεσθαι τοὺς δεσπότας αὐτῶν, καὶ τοῦτο ἔργον αὐτοῖς ἐστι, καὶ τοῦτο βίος, τὸ τὰ δεσποτικὰ μεριμνᾷν; οὐχὶ τὰ τοῦ δεσπότου πᾶσαν τὴν ἡμέραν μεριμνῶσι, τὰ δὲ αὐτῶν πολλάκις μικρὸν ἑσπέρας μέρος; ἡμεῖς δὲ τοὐναντίον, τὰ μὲν ἡμέτερα διαπαντός, τὰ δὲ τοῦ δεσπότου οὐδὲ μικρὸν μέρος· καὶ ταῦτα, οὐ δεομένου τῶν ἡμετέρων, καθάπερ οἱ δεσπόται τῶν δούλων, ἀλλὰ καὶ τούτων αὐτῶν πάλιν εἰς ἡμέτερον περιχωρούντων κέρδος. ἐκεῖ μὲν γὰρ ἡ διακονία τοῦ οἰκέτου τὸν δεσπότην ὠφελεῖ· ἐνταῦθα δὲ ἡ διακονία τοῦ δούλου τὸν μὲν δεσπότην οὐδέν, πάλιν δὲ αὐτὸν τὸν οἰκέτην ὀνίνησι. Τῶν ἀγαθῶν γάρ μου, φησίν, οὐ χρείαν ἔχεις. Εἰπὲ γάρ μοι, τί τῷ Θεῷ κέρδος, ἐὰν ἐγὼ δίκαιος ὦ; ποία δὲ βλάβη, ἐὰν ἄδικος; οὐχὶ ἀκήρατος ἡ φύσις ἐκείνη; οὐχὶ ἀβλαβής; οὐχὶ πάντως ἀνωτέρα πάθους; οἱ οἰκέται οὐδὲν ἴδιον ἔχουσιν, ἀλλὰ πάντα δεσποτικά, κἂν μυριάκις πλουτῶσιν· ἡμεῖς δὲ πολλὰ ἴδια ἔχομεν. οὐχ ἁπλῶς τοσαύτης τιμῆς ἀπολαύομεν παρὰ τοῦ τῶν ὅλων Θεοῦ. ποῖος δεσπότης ὑπὲρ οἰκέτου τὸν υἱὸν ἔδωκε τὸν ἑαυτοῦ; οὐδείς· ἀλλὰ πάντες ἂν ἕλοιντο τοὺς οἰκέτας ὑπὲρ τῶν παίδων δοῦναι. ἐνταῦθα δὲ τοὐναντίον, τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, ὑπὲρ πάντων τῶν ἐχθρῶν, τῶν μισούντων αὐτόν. Οἱ οἰκέται, κἂν βαρέα τινὰ ἐπιτάττωνται, οὐδὲ οὕτω δυσχεραίνουσι, καὶ μάλιστα, ἂν ὦσιν εὐγνώμονες· ἡμεῖς δὲ ἀποδυσπετοῦμεν μυρία. τοῖς οἰκέταις οὐδεὶς ἐπαγγέλλεται τοιοῦτον, οἷον ἡμῖν ὁ Θεός. ἀλλὰ τί; ἐλευθερίαν, φησί, τὴν ἐνταῦθα, τὴν πολλάκις τῆς δουλείας χαλεπωτέραν; πολλάκις γὰρ κατέλαβε λιμός, καὶ πικροτέρα δουλείας αὕτη ἡ ἐλευθερία γέγονε· καὶ τὸ δῶρον τοῦτο τὸ μέγιστον. παρὰ δὲ τῷ Θεῷ οὐδὲν ἐπίκηρον, οὐδὲν φθαρτόν. Ἀλλὰ τί; Οὐ λέγω ὑμᾶς δούλους, φησίν· ὑμεῖς φίλοι μου ἐστέ. αἰσχυνθῶμεν, ἀγαπητοί, φοβηθῶμεν· κἂν ὡς οἱ οἰκέται ἡμῖν δουλεύουσι, δουλεύσωμεν ἡμεῖς τῷ δεσπότῃ· μᾶλλον δὲ οὐδὲ πρὸς τὸ πολλοστὸν μέρος τὴν δουλείαν ἡμεῖς ἐπιδεικνύμεθα. ἐκεῖνοι διὰ τὴν ἀνάγκην φιλοσοφοῦσι, σκεπάσματα μόνον ἔχουσι καὶ τροφάς· ἡμεῖς δὲ ὑβρίζομεν εἰς τὴν τρυφήν. Εἰ μηδαμόθεν ἄλλοθεν, κἂν παρ' ἐκείνων δεχώμεθα τῆς φιλοσοφίας τοὺς κανόνας. οἶδε γὰρ ἡ γραφὴ οὐχὶ πρὸς οἰκέτας, ἀλλὰ καὶ πρὸς ἄλογα πέμπειν τοὺς ἀνθρώπους· οἷον, ὅταν τὴν μέλιτταν, ὅταν τοὺς μύρμηκας κελεύῃ μιμεῖσθαι. ἐγὼ δὲ κἂν τοὺς οἰκέτας μιμήσασθαι παραινῶ· ὅσα ἐκεῖνοι διὰ τὸν φόβον τὸν ἡμέτερον πράττουσι, κἂν τοσαῦτα διὰ τὸν τοῦ Θεοῦ φόβον ἡμεῖς πράττωμεν· οὐ γὰρ εὑρήσομεν πράττοντας ὑμᾶς. ἐκεῖνοι διὰ τὸν φόβον τὸν ἡμέτερον ὑβρίζονται μυριάκις, καὶ πάντως φιλοσόφου μᾶλλον ἑστήκασι σιγῶντες· ὑβρίζονται καὶ δικαίως καὶ ἀδίκως, καὶ οὐκ ἀντιλέγουσιν, ἀλλὰ παρακαλοῦσιν, ἀδικοῦντες οὐδὲν πολλάκις· οὐδὲν πλέον τῆς χρείας λαμβάνοντες, πολλάκις δὲ καὶ ἔλαττον, στέργουσι· καὶ ἐπὶ στιβάδος καθεύδοντες, καὶ ἄρτου μόνου πληρούμενοι, τὴν ἄλλην πᾶσαν δίαιταν ἔχοντες εὐτελῆ, οὐκ ἐγκαλοῦσιν, οὐδὲ δυσχεραίνουσιν. ἐκεῖνοι διὰ τὸν

Ἐκ τ. ὁμιλ. ις. τ. ἑρμ. τ. πρὸς Τιμ. α. ἐπισ.
α. Τιμ. ς. α.
Ψαλ. ιε. β.
Ἰωάν. ιε. ιε.
Παροιμ. ς.

παρ' ἡμῶν φόβον ἐμπιστευόμενοι χρήματα πάντα ἀποδιδόασι (μὴ γάρ μοι τοὺς μοχθηρούς
εἴπῃς τῶν οἰκετῶν, ἀλλὰ τοὺς μὴ λίαν κακούς) ἂν ἀπειλήσωμεν, εὐθέως συστέλλονται. ἆρα
οὐ φιλοσοφίας ταῦτα; μὴ γάρ ὅτι ἀνάγκη ἐστὶν εἴπῃς, ὅτι καὶ ἐπὶ σοὶ ἀνάγκη τῆς γεέννης
ἐπίκειται, καὶ οὐδὲ οὕτω σωφρονεῖς, οὐδὲ τοσαύτην παρέχεις τιμὴν τῷ Θεῷ, ὅσης ἀπο-
λαύεις παρὰ τοῦ οἰκέτου. ἔχει ἕκαστος τῶν οἰκετῶν οἴκημα τὸ νενομοθετημένον, καὶ οὐκ ἐπεμβαίνει τῷ τοῦ 5
πλησίον, οὐδὲ λυμαίνεται τῇ ἐπιθυμίᾳ τοῦ πλείονος. καὶ ταῦτα ἴδοι τις ἂν ἐν οἰκέ-
ταις διὰ τὸν τῶν δεσποτῶν φόβον φυλαττόμενα. καὶ σπανίως ἂν ἴδοις οἰκέτην τὰ τοῦ
οἰκέτου ἁρπάζοντα, ἢ λυμαινόμενον· παρὰ δὲ τοῖς ἐλευθέροις τὰ ἐναντία τού-
των ἐστίν. ἀλλήλους δάκνομεν, καὶ κατεσθίομεν, οὐ δεδοίκαμεν τὸν δεσπότην· τὰ τῶν συν-
δούλων ἁρπάζομεν, κλέπτομεν, τύπτομεν, ὁρῶντος αὐτοῦ. τοῦτο δὲ οὐκ ἂν ποιήσειεν οἰκέ- 10
της, ἀλλὰ κἂν τύπτῃ, μὴ ὁρῶντος τοῦ δεσπότου· κἂν ὑβρίζῃ, μὴ ἀκούοντος· ἡμεῖς δέ, τοῦ Θεοῦ
πάντα καὶ ὁρῶντος καὶ ἀκούοντος, τολμῶμεν. φόβος ὁ τοῦ δεσπότου περὶ τῶν ὀφθαλμῶν ἐ-
κείνων διαπαντός· ἡμῶν δὲ οὐδὲ οὐδέποτε. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονε, πάντα
συγκέχυται καὶ διέφθαρται, καὶ αὐτοὶ μὲν οὐδέποτε εἰς νοῦν λαμβάνομεν τὰ ἡμαρτημένα·
τοὺς δὲ οἰκέτας τοὺς ἡμετέρους ἁμαρτάνοντας ἅπαντα ἐξετάζομεν μετὰ ἀκριβείας καὶ τὰ μι- 15
κρότατα. ταῦτα λέγω, οὐχὶ τοὺς οἰκέτας ὑπτίους ποιῆσαι βουλόμενος, ἀλλὰ τὸ ἡμέτερον ὕ-
πτιον ἐπιστρέψαι, τὸ ῥᾴθυμον διεγεῖραι· ἵνα κἂν οὕτω δουλεύωμεν τῷ Θεῷ, ὡς ἡμῖν οἱ οἰ-
κέται· οὕτω τῷ πεποιηκότι ἡμᾶς, ὡς ἡμῖν οἱ ὁμοούσιοι, καὶ μηδὲν τοιοῦτον ἔχοντες παρ' ἡμῶν.
ἐλεύθεροι τῇ φύσει καὶ οὗτοί εἰσιν. Ἀρχέτωσαν τῶν ἰχθύων, καὶ τούτοις εἴρηται. οὐκ ἔστιν αὕ- *Γεν. α. κς.*
τη φύσεως ἡ δουλεία, ἀλλ' ἀξίας ἐστὶ καὶ περιστάσεως· ἀλλ' ὅμως πολλὴν ἡμῖν παρέχουσι τὴν 20
τιμήν. ἡμεῖς δὲ τούτοις μὲν μετὰ πάσης ἀκριβείας ἐπιτιθέμεθα τῆς ἡμετέρας ἕνεκεν δια-
κονίας· τῷ δὲ Θεῷ οὐδὲ τὸ πολλοστὸν παρέχομεν μέρος, καὶ ταῦτα πάλιν εἰς ἡμᾶς στρεφο-
μένης τῆς ὠφελείας. ὅσῳ γὰρ ἂν σπουδαιότερον δουλεύσωμεν τῷ Θεῷ, τοσούτῳ
μᾶλλον ἑαυτοὺς ὀνήσομεν, καὶ αὐτοὶ μᾶλλον κερδανοῦμεν. μὴ δὴ τοσαύτης ἀποστερήσωμεν
ὠφελείας ἡμᾶς αὐτούς. ὁ μὲν γὰρ Θεὸς αὐτάρκης ἐστὶ καὶ ἀνενδεής· ἡ δὲ ἀμοιβὴ καὶ τὸ κέρδος 25
πάλιν εἰς ἡμᾶς ἀνατρέχει. Εἰ δὲ δεῖ φιλοσοφῆσαι καὶ περὶ τῶν ἀποκειμένων τοῖς ἁγί- *Εκ τῆς ς. ὁμιλ. τ. πρὸς Εβρ. ἐπισ.*
οις ἀγαθῶν, ἀληθῶς ἐκείνη ἐστὶν ἡ ὄντως ἀνάπαυσις, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στενα-
γμός· ἔνθα οὐδὲ φροντίδες, οὐδὲ πόνοι, οὔτε ἀγωνία, οὔτε φόβος καταπλήττων καὶ σείων τὴν
ψυχήν, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ φόβος ἡδονῆς πλήρης ὤν. οὐκ ἔστιν ἐκεῖ, Ἐν ἱδρῶτι τοῦ προ- *Γεν. γ. ιθ. ις.*
σώπου σου φαγῇ τὸν ἄρτον σου, οὐδὲ ἄκανθαι καὶ τρίβολοι. οὐκ ἔστι, Ἐν λύπαις τέξῃ τέκνα, 30
καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. πάντα χαρά, εἰρήνη, εὐ-
φροσύνη, ἡδονή, ἀγαθωσύνη, πραότης, ἀγάπη. οὐκ ἔστιν ἐκεῖ ζηλοτυπία, οὐδὲ βασκα-
νία, οὐ θάνατος ἐστὶν ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς, οὐκ ἔστι σκότος, οὔτε νύξ· πάν-
τα ἡμέρα, πάντα φῶς, πάντα λαμπρά. οὐκ ἔστι καμεῖν, οὐκ ἔστι κόρον λαβεῖν, ἀεὶ ἐν ἐπι-
θυμίᾳ τῶν ἀγαθῶν διατελέσομεν. βούλεσθε δῶ τινα καὶ εἰκόνα ὑμῖν τῆς ἐκεῖ καταστάσεως; 35
οὐκ ἔστι δυνατόν. πλὴν ἀλλ' ὅμως, ὡς δυνατόν, πειράσομαι δοῦναι ὑμῖν τινα εἰκόνα. ἀ-
ναβλέψωμεν εἰς τὸν οὐρανόν, ὅταν, μηδενὸς ἐνοχλοῦντος νέφους, φαίνῃ τὸν ἑαυτοῦ στέφανον·
εἶτα πρὸς τὸ κάλλος τῆς ὄψεως αὐτοῦ πολὺν διατρίψαντες χρόνον, ἐννοήσωμεν, ὅτι καὶ ἔ-
δαφος ἕξομεν οὐ τοιοῦτον μὲν ὄν, ἀλλὰ τοσούτῳ γινόμενον κάλλιον, ὅσῳ τῶν πηλίνων ὀρόφων
ὁ χρυσοῦς· καὶ τὸν μετ' ἐκεῖνον πάλιν, τὸν ἀνώτερον ὄροφον, εἶτα τοὺς ἀγγέλους, τοὺς ἀρχαγ- 40
γέλους, τοὺς ἀπείρους δήμους τῶν ἀσωμάτων δυνάμεων, αὐτὰ τοῦ Θεοῦ τὰ βασίλεια, τὸν
θρόνον τὸν πατρικόν. ἀλλ' οὐκ ἰσχύει, ὅπερ ἔφην, ὁ λόγος παραστῆσαι τὸ πᾶν· πείρας
χρεία, καὶ τῆς διὰ πείρας γνώσεως. πῶς οἴεσθε, εἰπέ μοι, τὸν Ἀδὰμ εἶναι ἐν τῷ παραδείσῳ;
πολὺ βελτίων ἐστὶν ἐκείνης αὕτη ἡ διαγωγή, ὅσῳ τῆς γῆς ὁ οὐρανός. πλὴν ἀλλὰ καὶ ἕτε-

ραι

ραν εἰκόνα ἐπιζητήσωμεν. εἰ συμβαίη τὸν βασιλεύοντα νῦν πάσης τῆς οἰκουμένης κρατῆσαι, εἶτα μήτε ὑπὸ πολέμων, μήτε ὑπὸ φροντίδων ἐνοχλεῖσθαι, ἀλλὰ τιμᾶσθαι μόνον καὶ τρυφᾶν, καὶ πολλοὺς μὲν ἔχειν δορυφόρους, πανταχόθεν δὲ τὸ χρυσίον αὐτῷ ἐπιρρεῖν, καὶ ἀποβλεπτὸν εἶναι· ποίαν οἴεσθε ἔχειν ψυχὴν αὐτόν, εἰ τοὺς πολέμους τοὺς πανταχοῦ τῆς γῆς πεπαυμένους ὁρῴη; τοιοῦτόν τι ἔσται. μᾶλλον δὲ οὔπω καὶ τῆς εἰκόνος ἐφικόμην ἐκείνης, διὸ χρὴ καὶ ἑτέραν ἐπιζητῆσαι. ἐννόησον δή μοι. ὥσπερ γὰρ παιδίον βασιλικόν, ἕως μὲν ἂν ἐν τῇ μήτρᾳ ᾖ, οὐδὲν ἐπαισθάνεται· εἰ δὲ συμβαίη ἄφνω ἐξελθὸν ἐκεῖθεν ἐπὶ τὸν θρόνον ἀνελθεῖν τὸν βασιλικόν, μὴ ἠρέμα, ἀλλ' ἀθρόον πάντα παραλαβεῖν· οὕτως ἐστὶν ἡ κατάστασις αὕτη κἀκείνη· ἢ εἴ τις δεσμώτης μυρία παθὼν κακά, ἀθρόον ἐπὶ τὸν βασιλικὸν ἁρπαγείη θρόνον. ἀλλ' οὐδὲ οὕτως ἐφικόμην ἀκριβῶς τῆς εἰκόνος. ἐνταῦθα μὲν γὰρ κἂν ἄν τις ἐπιτύχῃ καλῶν, κἂν αὐτὴν εἴπῃς τὴν βασιλείαν, παρὰ μὲν τὴν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν πόθον, καὶ παρὰ τὴν δευτέραν, καὶ τρίτην· χρόνου δὲ προϊόντος, μένει μὲν ἐν ἡδονῇ, οὐ τοσαύτῃ δέ· λήγει γὰρ ὑπὸ τῆς συνηθείας ἀεί, οἷα ἂν ᾖ· ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπιδίδωσιν. ἐννόησον ὅσον ἐστὶ ψυχὴν ἀπελθοῦσαν ἐκεῖ μηκέτι τέλος προσδοκᾶν τῶν ἀγαθῶν ἐκείνων, μηδὲ μεταβολήν, ἀλλ' ἐπίδοσιν, καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, καὶ ζωὴν παντὸς μὲν κινδύνου, πάσης δὲ ἀθυμίας καὶ φροντίδος ἀπηλλαγμένην, μεστὴν εὐθυμίας καὶ μυρίων ἀγαθῶν. εἰ γὰρ εἰς πεδίον ἐξιόντες, ἔνθα σκηνὰς ὁρῶμεν στρατιωτῶν ἐκ παραπετασμάτων πηγνυμένας, καὶ δόρατα καὶ κράνη καὶ ὀμφαλοὺς ἀσπίδων λάμποντας, μετέωροι γινόμεθα τῷ θαύματι· εἰ δὲ καὶ τὸν βασιλέα συμβαίη μέσον ἰδεῖν τρέχοντα, ἢ καὶ ἵππον ἐλαύνοντα μετὰ ὅπλων χρυσῶν, τὸ πᾶν ἔχειν νομίζομεν· τί οἴει, ὅταν τῶν ἁγίων ἴδῃς τὰς σκηνὰς τὰς αἰωνίους τῷ οὐρανῷ πεπηγυίας; (Δέξονται γὰρ ὑμᾶς, φησίν, εἰς τὰς αἰωνίους αὐτῶν σκηνάς) ὅταν αὐτῶν ἕκαστον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς ἴδῃς ἀπολάμποντα, οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ὁ ἀνθρώπινος ὀφθαλμὸς οὐ δύναται ἰδεῖν; καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀνθρώπων. τί δ' ἄν τις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν χερουβίμ, τῶν σεραφίμ, τῶν θρόνων, τῶν κυριοτήτων, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον, πάντα νοῦν ὑπερβαῖνον; ἀλλὰ γὰρ μέχρι τινὸς οὐ στήσομαι διώκων ἀνέφικτα; Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, φησίν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. οὐκοῦν οὐδὲν οὔτε ἐλεεινότερον τῶν ἀποτυγχανόντων, οὔτε μακαριώτερον τῶν ἐπιτυγχανόντων. γενώμεθα δὲ τῶν μακαρίων καὶ ἡμεῖς, ἵνα ἐπιτύχωμεν τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λουκ. ις. θ.

α. Κορ. β. θ.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ ΟΥ ΧΡΗ ΘΟΡΥΒΕΙΣΘΑΙ ΟΡΩΝΤΑΣ ἡμᾶς τοὺς μὲν ἀγαθοὺς δυσπραγοῦντας, τοὺς δὲ πονηροὺς ἐν ἀφθονίᾳ τυγχάνοντας· καὶ ὅτι οὐδὲν διαφέρει ὁ λῃστὴς νεκροῦ ὁ ἐν ἁμαρτίαις ζῶν.

Λογ. μβ.

ΜΗδεὶς ὁρῶν πονηροὺς εὐπραγοῦντας, ἀγαπητοί, θορυβείσθω. οὐκ ἔστι γὰρ ἐνταῦθα ἡ ἀνταπόδοσις, οὔτε τῆς πονηρίας, οὔτε τῆς ἀρετῆς. εἰ δὲ ποῦ γέγονε καὶ τῆς πονηρίας καὶ τῆς ἀρετῆς, ἀλλ' οὐχὶ κατ' ἀξίαν, ἀλλ' ἁπλῶς, ὡσανεὶ γεῦμα τῆς κρίσεως, ἵνα τῇ ἀναστάσει διαπιστοῦντες, κἂν τοῖς ἐνταῦθα σωφρονίζωνται. ὅταν οὖν ἴδωμεν πονηρὸν πλουτοῦντα, μὴ καταπίπτωμεν· ὅταν ἴδωμεν ἀγαθὸν κακῶς πάσχοντα, μὴ θορυβώμεθα.

Ἐκ τῆς ὁμιλ. τ' ἑρμην. τῆς πρὸς Ἑβραίους.

βώμεθα. ἐκεῖ γὰρ οἱ στέφανοι, ἐκεῖ αἱ κολάσεις. καὶ ἄλλως δὲ οὐκ ἔστιν οὔτε κακὸν πάντῃ εἶναι
κακὸν, ἀλλ' ἔστι τινὰ ἔχειν αὐτὸν καὶ ἀγαθά· οὔτε ἀγαθὸν πάντῃ εἶναι ἀγαθὸν, ἀλλ' ἔχειν τινὰ καὶ ἁ-
μαρτήματα. ὅταν οὖν εὐπραγῇ ὁ πονηρὸς, ἐπὶ κακῷ τῆς αὐτοῦ κεφαλῆς. ἵνα γὰρ ἐκείνων
τῶν ὀλίγων ἀγαθῶν τὴν ἀντίδοσιν ἐνταῦθα λαβὼν, ἐκεῖ λοιπὸν τέλεον κολάζηται, τούτου
χάριν ἐνταῦθα ἀπολαμβάνει. καὶ μακάριος ἐκεῖνος μάλιστά ἐστιν, ὁ ἐνταῦθα κολαζόμενος, ἵνα 5
πάντα ἀποθέμενος τὰ ἁμαρτήματα, εὐδόκιμος καὶ καθαρὸς ἀπίῃ καὶ ἀνεύθυνος. καὶ τοῦτο δι-
(α. Κορ ια λ.) δάσκων ὁ Παῦλος ἡμᾶς, φησί· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἄρρωστοι καὶ ἀσθενεῖς, καὶ κοιμῶνται ἱ-
(α Κορ ε. ε.) κανοί· καὶ πάλιν, Παρέδωκα τὸν τοιοῦτον τῷ Σατανᾷ. καὶ ὁ προφήτης φησίν, Ὅτι ἐδέξα-
(Ησ. μ. β. Ψαλ. λθ. ιζ.) το ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα. καὶ πάλιν ὁ Δαβίδ· Ἰδὲ τοὺς ἐχθρούς μου, ὅτι ἐ-
(Ψαλ. κδ. ιθ.) πληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου, καὶ μῖσος ἄδικον ἐμίσησάν με· καὶ, Ἄφες πάσας 10
(Ησ. κς. ιβ.) τὰς ἁμαρτίας μου. καὶ πάλιν ἕτερος· Κύριε, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας
ἡμῖν. ἀλλὰ ταῦτα μὲν δεικνύντος ἐστὶ τοὺς καλοὺς τὰς ὑπὲρ τῶν ἁμαρτημάτων δίκας
ἐνταῦθα ἀπολαμβάνοντας. ὅτι δὲ τὰ ἀγαθὰ πονηροὶ ἀπολαμβάνοντες ἐνταῦθα, ἐκεῖ τέ-
(Λουκ ις. κε.) λεον κολάζονται, ἄκουε τοῦ Ἀβραὰμ λέγοντος πρὸς τὸν πλούσιον· Ἀπέλαβες τὰ ἀγαθά
σου, καὶ Λάζαρος τὰ κακά. ποῖα ἀγαθά; ἐνταῦθα γὰρ τὸ, ἀπέλαβες, ἀλλὰ μὴ, ἔλαβες, 15
εἰπὼν, δείκνυσι κατ' ὀφειλὴν ἑκατέρους παθόντας, καὶ τὸν μὲν ἐν εὐπραγίᾳ, τὸν δὲ ἐν δυσπρα-
γίᾳ γινόμενον· καὶ φησι, Διὰ τοῦτο οὗτος ἐνταῦθα παρακαλεῖται (ὁρᾷς γὰρ αὐτὸν καθαρὸν
ἁμαρτημάτων) καὶ σὺ ὀδυνᾶσαι. μὴ τοίνυν ἀλύωμεν, ὅταν εὐπαθοῦντας ὁρῶμεν ἐνταῦθα
τοὺς ἁμαρτωλοὺς, ἀλλ' ὅταν κακῶς πάσχωμεν αὐτοὶ χαίρωμεν. ἁμαρτιῶν γὰρ ἐστὶ τὸ πρᾶγ-
μα ἔκτισις. μὴ ζητῶμεν ἄνεσιν· θλίψιν γὰρ ἐπηγγείλατο τοῖς αὐτοῦ μαθηταῖς ὁ Χριστός. 20
(β. Τιμ γ.) καὶ φησιν ὁ Παῦλος· Πάντες οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ, διωχθήσονται. οὐδεὶς
γενναῖος ἀθλητὴς ἐν τῷ σκάμματι λουτρὰ ἐπιζητεῖ, καὶ τράπεζαν πλήθουσαν σιτίοις καὶ
οἴνῳ· τοῦτο οὐκ ἔστιν ἀθλητοῦ, ἀλλὰ βλακός. ὁ γὰρ ἀθλητὴς μάχεται κόνει, ἐλαίῳ, ἀκτῖνος
θερμότητι, ἱδρῶτι πολλῷ, θλίψει καὶ στενοχωρίᾳ. ἀγῶνος οὖν ἐστὶ καὶ τοῦ πυκτεύειν ὁ καιρὸς·
οὐκοῦν καὶ τοῦ τραύματα λαμβάνειν, καὶ αἱμάττεσθαι, καὶ ἀλγεῖν. ἄκουσον τί φησιν ὁ μακά- 25
(α. Κορ. θ. κς.) ριος Παῦλος· Οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. πάντα τὸν βίον ἐναγώνιον εἶναι νομί-
σωμεν, καὶ οὐδέποτε ἄνεσιν ζητήσωμεν, οὐδέποτε θλιβόμενοι ξενοπαθήσωμεν· εἴπερ μηδὲ
πύκτης, ὅτε ἐν ἀγῶνί ἐστι, ξενοπαθεῖ. ἕτερός ἐστιν ὁ τῆς ἀνέσεως καιρός. διὰ θλίψεως
ἡμᾶς τελειωθῆναι δεῖ. εἰ καὶ μὴ διωγμός ἐστι, μηδὲ θλίψις, ἀλλ' εἰσὶν ἕτεραι θλίψεις,
αἱ καθ' ἑκάστην ἡμέραν συμπίπτουσαι. εἰ δὲ ταύτας οὐ φέρομεν, σχολῇ γε ἐκείνας ἠνέγ- 30
(α. Κορ. ι ιγ.) καμεν ἄν. Πειρασμὸς ὑμᾶς οὐκ εἴληφε, φησιν, εἰ μὴ ἀνθρώπινος. εὐχώμεθα μὲν οὖν
τῷ Θεῷ μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰσελθόντες δὲ φέρωμεν γενναίως. ἐκεῖνο μὲν γὰρ
σωφρόνων ἀνδρῶν, τὸ μὴ κινδύνοις ἐπιρρίπτειν ἑαυτοὺς, τοῦτο δὲ γενναίων καὶ φιλοσόφων. μή-
τε οὖν ἐπιρρίπτωμεν ἑαυτοὺς ἁπλῶς· θρασύτητος γάρ· μήτε ἀγόμενοι καὶ τῶν πραγ-
μάτων καλούντων ἐνδιδῶμεν· δειλίας γάρ. ἀλλ' ἐὰν μὲν τὸ κήρυγμα καλῇ, μὴ πα- 35
ραιτώμεθα· ἁπλῶς δὲ αἰτίας μὴ οὔσης, μήτε χρείας, μήτε ἀνάγκης τῆς κατὰ θεοσέβειαν κα-
λούσης, μὴ ἐπιτρέχωμεν· ἐπίδειξις γὰρ ἐστὶ τὸ πρᾶγμα, καὶ φιλοτιμία περιττή. ἐ-
ὰν δέ τι τῶν τὴν εὐσέβειαν παραβλαπτόντων γίνηται, κἂν μυρίους ὑπομεῖναι θανά-
τους δέῃ, μὴ παραιτώμεθα μηδέν. μὴ προσκαλοῦ τοὺς πειρασμοὺς, ὅταν σοι τὰ
κατὰ τὴν εὐσέβειαν προχωρῇ, ὡς ποθεῖς. τί περιττοὺς ἐπισπᾶσαι κινδύνους οὐ- 40
(Ματθ. ς.) δὲν κέρδος ἔχοντας; ταῦτα λέγω, βουλόμενος ὑμᾶς φυλάττειν τοὺς νόμους τοῦ Χρι-
(Μαρκ. η.) στοῦ κελεύοντος εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμὸν, καὶ κελεύοντος τὸν σταυρὸν
λαβόντας ἀκολουθεῖν αὐτῷ. ταῦτα γὰρ οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδον-
τα. σὺ μὲν γὰρ οὕτω παρεσκεύασο, ὡς στρατιώτης γενναῖος ἐν τοῖς ὅπλοις, ἔσο διηνεκῶς
νήφων,

νήφων, ἐγρηγορώς, ἀεὶ τὸν πόλεμον προσδοκῶν. πόλεμον μέντοι μὴ τίκτε· τοῦτο γὰρ οὐκ ἔστι στρατιώτου, ἀλλὰ στασιαστοῦ. ἐὰν δὲ ἡ τῆς εὐσεβείας σάλπιγξ καλῇ, εὐθέως ἔξιθι, καὶ καταφρόνησον τῆς ψυχῆς, καὶ ἔμβηθι μετὰ πολλῆς τῆς προθυμίας εἰς τοὺς ἀγῶνας· ῥῆξον τὴν φάλαγγα τῶν ἐναντίων, σύγκοψον τὸ πρόσωπον τοῦ διαβόλου, στῆσον τὸ τρόπαιον. ἐὰν δὲ μηδὲν ἡ εὐσέβεια παραβλάπτηται, μήτε παρθῇ τις τὰ ἡμέτερα δόγματα (κατὰ τὴν ψυχὴν λέγω) μηδὲ ἀναγκάζῃ τι ποιεῖν τῶν μὴ δοκούντων τῷ Θεῷ, μὴ περιττὸς ἔσο. αἱμάτων διψῶμεν τῶν τοῦ χριστιανοῦ βίου· αἱμάτων, οὐκ ὥστε τὰ ἀλλότρια ἐκχεῖν, ἀλλ' ὥστε τὸ ἕτοιμον εἶναι τὸ ἑαυτῶν ἐκχεῖν. μετὰ τοσαύτης τοίνυν προθυμίας τὸ αἷμα ἐκχέωμεν τὸ ἴδιον, ὅταν ὑπὲρ Χριστοῦ τοῦτο ᾖ, μεθ' ὅσης ἂν ὕδωρ τις ἐκχέοι (καὶ γὰρ ὕδωρ ἐστὶ τὸ αἷμα περιρρέον τὸ σῶμα) καὶ μετὰ τοσαύτης εὐκολίας τὸ σῶμα ἀποδυώμεθα, μεθ' ὅσης ἂν καὶ τὸ ἱμάτιον. τοῦτο δὲ ἔσται, ἐὰν μὴ χρήμασιν ὦμεν προσδεδεμένοι, ἐὰν μὴ οἰκίαις, ἐὰν μὴ προσπαθείᾳ, ἂν μὴ πάντων ὦμεν ἀπηρτημένοι. εἰ γὰρ οἱ τὸν στρατιωτικὸν τοῦτον βίον ζῶντες πᾶσιν ἀποτάσσονται, καὶ ἔνθα ἂν ὁ πόλεμος καλῇ, ἐκεῖ παραγίνονται καὶ ὁδοιποροῦσι, καὶ πάντα μετὰ προθυμίας ὑπομένουσι· πολλῷ μᾶλλον ἡμᾶς τοὺς τοῦ Χριστοῦ στρατιώτας οὕτω παρασκευάζεσθαι χρὴ καὶ παρατάττεσθαι πρὸς τὸν πόλεμον τῶν παθῶν. οὐκ ἔστι διωγμὸς νῦν, μηδὲ γένοιτο γενέσθαι ποτέ· ἀλλ' ἕτερος πόλεμός ἐστιν, ὁ τῆς τῶν χρημάτων ἐπιθυμίας, ὁ τῆς βασκανίας, ὁ τῶν παθῶν. τοῦτον τὸν πόλεμον διηγούμενος ὁ Παῦλος, φησιν· Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. ἀεὶ οὗτος ὁ πόλεμος ἐνέστηκε. διὰ τοῦτο ἀεὶ ὡπλισμένους ἡμᾶς ἑστάναι βούλεται· Στῆτε οὖν, φησι, περιζωσάμενοι· ὅπερ καὶ αὐτὸ ἐνεστῶτός ἐστι καιροῦ. καὶ ἐμφαίνει, ὅτι ἀεὶ δεῖ ὁπλίζεσθαι. πολὺς γὰρ ὁ πόλεμος διὰ γλώττης, πολὺς δι' ὀφθαλμῶν· τοῦτον τοίνυν κατέχωμεν· πολὺς ὁ τῶν ἐπιθυμιῶν. διὰ τοῦτο ἐκεῖθεν ἄρχεται καθοπλίζειν τὸν στρατιώτην τοῦ Χριστοῦ. Στῆτε γὰρ περιζωσάμενοι, φησι, τὴν ὀσφὺν ὑμῶν, καὶ ἐπήγαγεν, ἐν ἀληθείᾳ. διὰ τί ἐν ἀληθείᾳ; ἐμπαιγμὸς γάρ ἐστι καὶ ψεῦδος ἡ ἐπιθυμία. διὸ φησιν ὁ προφήτης· Αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων. οὐκ ἔστιν ἡδονὴ τὸ πρᾶγμα, ἀλλὰ σκιὰ ἡδονῆς. περιζωσάμενοι, φησι, τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· τουτέστι, τῇ ἀληθινῇ ἡδονῇ, τῇ σωφροσύνῃ, τῇ κοσμιότητι. διὰ τοῦτο ταῦτα παρῄνει, εἰδὼς τῆς ἁμαρτίας τὴν ἀτοπίαν, καὶ βουλόμενος ἡμῶν πάντα τὰ μέλη περιπεφράχθαι (Θυμὸς γάρ, φησιν, ἄδικος οὐκ ἀθωωθήσεται) καὶ θώρακα ἡμᾶς περιθέσθαι βούλεται, καὶ ἀσπίδα. θηρίον γάρ ἐστιν εὐκόλως ἐμπηδῶν ὁ θυμός, καὶ μυρίων θριγκίων καὶ διαφραγμάτων ἡμῖν δέονται πρὸς τὸ περιγενέσθαι καὶ κατασχεῖν. καὶ διὰ τοῦτο ἡμῖν τοῦτο μάλιστα τὸ μέρος, ὥσπερ ἔκ τινων λίθων τῶν ὀστέων ᾠκοδόμησεν ὁ Θεὸς ἔρυμα αὐτῷ περιθείς, ὥστε μὴ διαρρήξαντι, μήτε διατεμόν, εὐκόλως τὸ πάντων λυμήνασθαι ζῷον. πῦρ γάρ ἐστι, φησι, καὶ ζάλη μεγάλη· καὶ οὐκ ἂν ἕτερον μέλος ταύτην τὴν βίαν ἀνάσχοιτο. λέγουσι δὲ καὶ ἰατρῶν παῖδες τούτου χάριν ὑπεστορέσθαι τὸν πνεύμονα τῇ καρδίᾳ, ὥστε εἰς ἁπαλὸν αὐτὸν ὄντα καθάπερ εἴς τινα σπόγγον ἐναλλομένην διαπαύεσθαι τὴν καρδίαν· ἀλλὰ μὴ εἰς τὸ ἀντίτυπον καὶ σκληρὸν τὸ στέρνον καταβάλλεσθαι τῇ ῥύμῃ τοῦ ἅλματος. δεῖ τοίνυν ἡμῖν θώρακος ἰσχυροῦ, ὥστε διαπαντὸς ἐν ἡσυχίᾳ τοῦτο τὸ θηρίον διατηρεῖν. δεῖ δὲ ἡμῖν καὶ περικεφαλαίας. ἐπειδὴ γὰρ ἐκεῖ τὸ λογιστικὸν τυγχάνει, καὶ ἀπὸ τούτου ἢ σωθῆναι δυνατόν, ὅταν τὰ δέοντα γίγνωνται, ἢ ἀπολέσθαι ἔνι, διὰ τοῦτό φησι, καὶ περικεφαλαίαν σωτηρίου. ὁ γὰρ ἐγκέφαλος φύσει μέν ἐστιν ἁπαλός. διὸ καὶ αὐτόν, καθάπερ τινὶ ὀστράκῳ, τῷ βρέγματι καλύπτεται ἄνωθεν· πάντων δὲ ἡμῖν αἴτιος γίνεται τῶν ἀγαθῶν καὶ τῶν κακῶν, εἴτε τὰ δέοντα νοεῖ, εἴτε τὰ μὴ τοιαῦτα. καὶ οἱ πόδες δὲ καὶ αἱ χεῖρες ὅπλων ἡμῖν δέονται. οὐχ αὗται αἱ χεῖρες, οὐδὲ οὗτοι οἱ πόδες· ἀλλὰ πάλιν οἱ τῆς ψυχῆς, αἱ μὲν ἵνα μετιῶσι τὰ δέοντα, οἱ δέ, ἵνα πορεύωνται ἔνθα χρή.

Ἐφεσ. ϛ. ιβ. ιδ.

Ψαλμ. λζ. ζ.

Σειρ. α. κβ.

Πάντα τοίνυν, ἀγαπητοί, ὑπὲρ ἐκείνης πράττωμεν τῆς μελλούσης ζωῆς· πάντα πρὸς ἐκείνην

Ἐκ τῆς η. ὁμιλ. τῆς πρὸς Θεσσ. α'. ἐπιστ.

ἐκείνην ὁρῶντες ἐργαζώμεθα. σκότος ἐστὶν ἡ κακία, ἀγαπητοί, θάνατός ἐστι, νύξ ἐστιν, οὐδὲν
ὁρῶμεν τῶν δεόντων, οὐδὲν πράττομεν τῶν προσηκόντων. καθάπερ γὰρ οἱ νεκροὶ δυσειδεῖς
εἰσὶ καὶ ὀδωδότες· οὕτω καὶ αἱ ψυχαὶ τῶν ἐν κακίᾳ πολλῆς εἰσιν ἀκαθαρσίας μεσταί. μέμυκεν
αὐτῶν τὰ ὄμματα, τὸ στόμα συνείληπται, ἀκίνητοι μένουσιν ἐν τῇ κλίνῃ τῆς κακίας, μᾶλλον
δὲ τῶν ταῦτα παθόντων ἐλεεινότεροι. οὗτοι μὲν γὰρ πρὸς ἑκάτερα νεκροί· ἐκεῖνοι δὲ πρὸς μὲν 5
ἀρετὴν ἀναίσθητοι, ζῶντες δὲ πρὸς κακίαν. νεκρὸν κἂν πλήξῃ τις, οὐκ αἰσθάνεται, οὐδὲ
ἀμύνεται, ἀλλ' ἔστιν ὥσπερ ξύλον αὖον· οὕτω καὶ ἡ ψυχὴ αὖον ὄντως ἐστὶν ἀποβαλοῦσα τὴν ζω-
ήν. μυρία καθ' ἑκάστην ἡμέραν λαμβάνει τὰ τραύματα, καὶ οὐκ αἰσθάνεται, ἀλλ' ἀνάλ-
γητος πρὸς πάντα διάκειται. οὐκ ἄν τις ἁμάρτοι τοῖς μεμηνόσιν αὐτοὺς παραβάλλων, τοῖς
μεθύουσι, τοῖς παραπαίουσι. πάντα δὲ ταῦτα ἔχει ἡ κακία, καὶ πάντων ἐστὶ χαλεπωτέρα. ὁ μαι- 10
νόμενος ἔχει πολλὴν συγγνώμην παρὰ τῶν ὁρώντων· οὐ γάρ ἐστι προαιρέσεως τὸ νόσημα, ἀλ-
λὰ φύσεως μόνης· ὁ δὲ ἐν κακίᾳ διάγων, πόθεν συγγνωσθήσεται; πόθεν οὖν ἡ κακία; πόθεν οἱ
πλείους κακοί, εἰπέ μοι; πόθεν ἡ κακία τῶν νοσημάτων; πόθεν φρενῖτις; πόθεν ὕπνος βα-
ρύς; οὐχὶ ἐξ ἀπροσεξίας; εἶτα φυσικὰ νοσήματα ἀπὸ προαιρέσεως ἔχει τὴν ἀρχήν, τὰ
προαιρετικὰ πολλῷ μᾶλλον. ἡ μέθη πόθεν; οὐχὶ ἐξ ἀκρασίας ψυχῆς; ἡ φρενῖτις οὐχὶ ἀ- 15
πὸ ὑπερβολῆς πυρετοῦ; ὁ δὲ πυρετὸς οὐχὶ ἀπὸ τῶν πλεοναζόντων ἐν ἡμῖν στοιχείων;
ἡ πλεονεξία δὲ τῶν ἐν ἡμῖν στοιχείων οὐχὶ ἐξ ἀπροσεξίας; ὅταν γὰρ ἢ ἔνδειαν, ἢ
πλεονεξίαν εἰς ἀμετρίαν τὴν ἐν ἡμῖν ἐξαγάγωμεν, ἀνάπτομεν ἐκεῖνο τὸ πῦρ. πάλιν,
ἂν τῆς φλογὸς ἀναφθείσης ἐπιμένωμεν καταφρονοῦντες, καθ' ἑαυτῶν ἐργαζόμεθα πυ-
ράν, ἣν οὐδὲ σβέσαι δυνάμεθα. οὕτω καὶ ἐπὶ τῆς κακίας γίνεται, ὅταν ἀρξαμένην αὐτὴν 20
μὴ κωλύωμεν, μηδὲ ἐγκόπτωμεν, οὐδὲ ἐφικέσθαι δυνάμεθα τοῦ τέλους λοιπόν, ἀλλὰ μεί-
ζων γίνεται τῆς ἡμετέρας ἰσχύος. διό, παρακαλῶ, πάντα πράττωμεν, ὥστε μηδέποτε ἀπονυ-
στάξαι. οὐχ ὁρᾶτε τοὺς φύλακας, ὅτι πολλάκις μικρὸν ἑαυτοὺς δόντες τῷ ὕπνῳ, οὐδὲν ἀπώ-
ναντο τῆς πολλῆς φυλακῆς; δι' ἐκείνου γὰρ τοῦ μικροῦ τὸ πᾶν διέφθειραν, τῷ βουλομένῳ
κλέψαι πολλὴν δόντες τὴν ἄδειαν. καθάπερ γὰρ οὐχ οὕτως ἡμεῖς τοὺς κλέπτας ὁρῶμεν, 25
ὡς ἐκεῖνοι ἡμᾶς ὁρῶσιν· οὕτω καὶ ὁ διάβολος μάλιστα πάντων ἐφέστηκε καὶ ἐφεδρεύει καὶ τεί-
ζει τοὺς ὀδόντας. μὴ νυστάζωμεν τοίνυν· μὴ εἴπωμεν παρὰ τοῦτο οὐδέν, περὶ ἐκεῖνο οὐδέν·
ὅθεν οὐ προσεδοκήσαμεν, πολλάκις ἐσυλήθημεν. οὕτω καὶ ἐπὶ τῆς κακίας· ὅθεν οὐ προσε-
δοκήσαμεν, ἀπωλόμεθα. πάντα περισκοπῶμεν ἀκριβῶς. μὴ μεθυσκώμεθα, καὶ οὐχ
ὑπνώσομεν· μὴ τρυφῶμεν, καὶ οὐ καθευδήσομεν· μὴ μαινώμεθα πρὸς τὰ ἔξω, καὶ ἐν νήψει 30
διατελέσομεν· ῥυθμίζωμεν ἑαυτοὺς πάντοθεν. καὶ καθάπερ τοὺς ἐπὶ σχοίνου τεταμένης βα-
δίζοντας οὐκ ἔνι ῥᾳθυμῆσαι μικρὸν (τὸ γὰρ μικρὸν μέγα ἐργάζεται κακόν· περιστραφεὶς γὰρ
εὐθέως κατηνέχθη καὶ ἀπώλετο) οὕτως οὐδὲ ἡμᾶς ῥᾳθυμεῖν δυνατόν. στενὴν βαδίζομεν ὁ-
δόν, ὑπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην, ὁμοῦ δύο πόδας οὐ δεχομένην. ὁρᾷς πόσης
ἡμῖν ἀκριβείας δεῖ; οὐχ ὁρᾷς τοὺς τὰς τοιαύτας ὁδοιποροῦντας ὁδούς, πῶς οὐ τοὺς πόδας ἀ- 35
σφαλίζονται μόνον, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς; ἂν γὰρ δόξῃ ἑτέρωθι προσέχειν αὐτόν, κἂν
ὁ πούς βεβαίως εἱστήκει, ἰλιγγιάσας ἀπὸ τοῦ βάθους ὁ ὀφθαλμός, τὸ πᾶν κατήνεγκεν. ἀλλ'
ἑαυτῷ δεῖ προσέχειν καὶ τῇ βαδίσει. διὰ τοῦτό φησι, μήτε δεξιά, μήτε ἀριστερά. πολὺς ὁ βυ-
θὸς τῆς κακίας ἐστί, μεγάλοι γὰρ κρημνοί, πολὺ κάτω σκότος. τῇ στενῇ προσέχωμεν μετὰ φόβου,
μετὰ τρόμου περιπατῶμεν. οὐδεὶς τοιαύτην ὁδεύων ὁδὸν ἐπιφέρεταί τι τῶν περιττῶν. ἀγα- 40
πητὸν γὰρ εὐζώνους ὄντας δυνηθῆναι διαδραμεῖν. οὐδεὶς συμποδίζει τοὺς πόδας τοὺς ἑαυτοῦ,
ἀλλ' εὐλύτους ἀφίησιν· ἡμεῖς δὲ μυρίαις φροντίσιν ἑαυτοὺς καταδεσμοῦντες, καὶ μυρία φορ-
τία βιωτικὰ ἐπιφερόμενοι κεχηνότες καὶ ἐκκεχυμένοι, πῶς τὴν στενὴν προσδοκῶμεν βαδί-
ζειν ὁδόν; οὐχ ἁπλῶς εἶπεν, ὅτι στενή ἐστιν, ἀλλὰ μετὰ θαυμασμοῦ. τί στενὴ ἡ ὁδός; τουτέστι,

σφόδρα

σφόδρα στενή· τοῦτο καὶ ἡμᾶς ποιοῦμεν ἐπὶ τῶν πολύ θαυμαζομένων. καὶ τεθλιμμένη, φησίν,
ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. καὶ καλῶς εἶπε στενή· ὅταν γὰρ καὶ ῥημάτων καὶ ἐννοιῶν καὶ
πράξεων καὶ πάντων ὀφείλωμεν εὐθύνας ὑπέχειν, στενὴ ὄντως ἐστί. στενοτέραν δὲ αὐτὴν ποι-
οῦμεν ἡμεῖς, πλατύνοντες ἑαυτοὺς καὶ εὐρύνοντες, καὶ τοὺς πόδας ἐκχέοντες. ἡ γὰρ στενὴ παντὶ
5 μὲν δυσχερής, μάλιστα δὲ τῷ λιπαινομένῳ· ὡς ὅγε κατατήκων ἑαυτὸν, οὐδὲ αἰσθήσεται τῆς
στενοχωρίας· ὥστε ὁ μεμελετηκὼς θλίβεσθαι, οὐδὲ ἀποδυσπετήσει πρὸς τὸ πιέζεσθαι. μὴ
τοίνυν μετὰ ἀνέσεως προσδοκάτω τις τὸν οὐρανὸν ὄψεσθαι· οὐ γάρ ἐστι· μηδεὶς μετὰ τρυφῆς
ἐλπιζέτω τὴν στενὴν ὁδεύειν ὁδόν· οὐ γὰρ δυνατόν· μηδεὶς τὴν εὐρύχωρον βαδίζων, τὴν
ζωὴν ἐλπιζέτω. ὅταν οὖν ἴδῃς λουτροῖς, τραπέζῃ πολυτελεῖ, ἢ δορυφορίαις ἑτέραις ἐν-
10 τρυφῶντά τινα, μὴ ταλανίσῃς σαυτὸν, ὡς οὐ μετέχων τούτων, ἀλλὰ στέναξον ἐκεῖνον, ὅτι τὴν
ἀπολλυμένην ὁδὸν ὁδεύει. τί γὰρ ὄφελος ταύτης τῆς ὁδοῦ, ὅταν εἰς θλῖψιν τελευτᾷ;
ποῖον δὲ βλάβος ἀπ᾽ ἐκείνης τῆς στενοχωρίας, ὅταν εἰς ἄνεσιν ἔρχηται; εἰπέ μοι, εἴ τις εἰς
τὰ βασίλεια καλούμενος, καὶ διὰ στενωπῶν θλιβερῶν καὶ ἀποκρήμνων βαδίζοι, ἕτερος δέ τις
τὴν ἐπὶ θάνατον ἀγόμενος, διὰ μέσης τῆς ἀγορᾶς ἕλκοιτο· τίνα, εἰπέ μοι, μακαριοῦ-
15 μεν; τίνα στενάξομεν; οὐχὶ τὸν διὰ τῆς εὐρυχώρου βαδίζοντα; οὕτω καὶ νῦν μὴ τοὺς τρυ-
φῶντας μακαρίζωμεν, ἀλλὰ τοὺς μὴ τρυφῶντας. οὗτοι πρὸς τὸν οὐρανὸν σπεύδουσιν, ἐ-
κεῖνοι πρὸς τὴν γέενναν. καὶ ἴσως μὲν αὐτῶν πολλοὶ γελάσονται τὰ παρ᾽ ἡμῶν λεγόμενα· ἐ-
γὼ δὲ αὐτοὺς μάλιστα διὰ τοῦτο ὀδύρομαι καὶ θρηνῶ, ὅτι οὐδὲ ἴσασιν ἐφ᾽ οἷς χρὴ γελᾶν, ὑ-
πὲρ ὧν χρὴ μάλιστα πενθεῖν, ἀλλὰ πάντα συγχέουσι καὶ ταράττουσι καὶ θορυβοῦσι, διὰ
20 ταῦτα αὐτοὺς ἐγὼ θρηνῶ. τί λέγεις, ἄνθρωπε; μέλλων ἀναστήσεσθαι καὶ λόγον ὑφέ-
ξειν τῶν σοι πεπραγμένων, καὶ τὴν ἐσχάτην ὑποστήσεσθαι δίκην, τούτων μὲν οὐδένα λόγον
ποιῇ, γαστρίζεσθαι δὲ μελετᾷς καὶ μεθύειν; καὶ πρὸς τούτοις γελᾷς; ἀλλ᾽ ἐγώ σε θρηνῶ, τὰ μέ-
νοντά σε κακὰ ἐπιστάμενος, τὴν διαδεξομένην σε τιμωρίαν· καὶ διὰ τοῦτο θρηνῶ μάλιστα,
ὅτι γελᾷς. πένθησον σὺν ἐμοὶ, θρήνησον μετ᾽ ἐμοῦ τὰ σὰ κακά. εἰπέ μοι, ἐάν τις σοι τῶν
25 οἰκείων ἀποδημήσῃ ἐν Χριστῷ, οὐχὶ τοὺς μὲν γελῶντας ἐπὶ τῇ τελευτῇ καὶ ἀποστρέφῃ, καὶ ἐ-
χθροὺς ἡγῇ, τοὺς δὲ δακρύοντας καὶ συμπενθοῦντας φίλους; εἶτα τῆς μὲν γυναικὸς προκειμέ-
νης νεκρᾶς, τοὺς γελῶντας ἀποστρέφῃ· τῆς δὲ ψυχῆς σοι τεθανατωμένης, τοὺς δακρύοντας ἀποστρέ-
φῃ, γελᾷς δὲ αὐτός; ὁρᾷς πῶς ἡμᾶς διέθηκεν ὁ διάβολος ἐχθροὺς ἑαυτοῖς εἶναι καὶ πολεμίους;
ἀνανήψωμέν ποτε, διαβλέψωμεν, γρηγορήσωμεν, ἐπιλαβώμεθα τῆς αἰωνίου ζωῆς, τὸν πο-
30 λὺν ὕπνον ἀποτιναξώμεθα. κρίσις ἐστὶν, ἀνάστασίς ἐστιν, ἐξέτασις τῶν πεπραγμένων. ὁ Κύ-
ριος ἔρχεται ἐν νεφέλαις, πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφο-
δρά· ποταμὸς πυρὸς σύρεται ἔμπροσθεν αὐτοῦ, σκώληξ ἀτελεύτητος, πῦρ ἄσβεστον, σκότος
ἐξώτερον, βρυγμὸς τῶν ὀδόντων. κἂν μυριάκις ἐπὶ τούτοις δυσχεραίνητε, ἐγὼ λέγων οὐ παύ-
σομαι. εἰ γὰρ λιθαζόμενοι οἱ προφῆται οὐκ ἐσίγων, πολλῷ μᾶλλον ἡμᾶς ἀπεχθείας
35 δεῖ φέρειν, καὶ μὴ πρὸς χάριν ὑμῖν ὁμιλεῖν, ἵνα μὴ ἀπατήσαντες ὑμᾶς αὐτοὶ διχοτομηθῶ-
μεν. ἐκεῖ κόλασίς ἐστιν ἀθάνατος, ἀπαραμύθητος, ὁ παραστησόμενος οὐδείς. Τίς ἐλεήσει, Σειρ 16. ιζ.
φησὶν, ἐπαοιδὸν ὀφιόδηκτον; ὅταν ἡμεῖς ἑαυτοὺς μὴ ἐλεήσωμεν, τίς ἡμᾶς ἐλεήσει, εἰπέ μοι;
ἐὰν ἴδῃς τινὰ ξίφος ἐλαύνοντα δι᾽ ἑαυτοῦ, τοῦτο δυνήσῃ φείδεσθαί ποτε; οὐδαμῶς. πολλῷ
μᾶλλον, ὅταν παρὸν ᾖ κατορθῶσαι, μὴ κατορθώσωμεν, τίς ἡμῶν φείσεται; οὐδείς. ἐλεήσω-
40 μεν ἑαυτούς. ὅταν εὐχώμεθα τῷ Θεῷ λέγοντες, ἐλέησόν με, Κύριε, τοῦτο λέγοντες πρὸς
ἑαυτοὺς, καὶ ἑαυτοὺς ἐλεήσωμεν. ἡμεῖς ἐσμεν κύριοι τοῦ τὸν Θεὸν ἡμᾶς ἐλεῆσαι. αὐτὸς ἡμῖν
τοῦτο ἐχαρίσατο, ἐὰν ἄξια ἐλέους πράττωμεν, ἐὰν ἄξια φιλανθρωπίας τῆς παρ᾽ αὐτοῦ, ἐ-
λεήσει ἡμᾶς ὁ Θεός. ἐὰν δὲ ἑαυτοὺς κἂν ἐλεῶμεν, τίς ἡμῶν φείσεται; ἐλέησον τὸν πλησίον,
καὶ ἐλεηθήσῃ παρὰ τοῦ Θεοῦ. πόσοι καθ᾽ ἑκάστην ἡμέραν προσέρχονται λέγοντες, ἐλέησόν

με,

με, καὶ οὐδὲ ἐπιστρέφῃ; πόσοι γυμνοί, πόσοι ἀνάπηροι, καὶ οὐκ ἐπικαμπτόμεθα, ἀλλὰ παραπεμπόμεθα αὐτῶν τὰς ἱκετηρίας; πῶς οὖν ἀξιοῖς ἐλεηθῆναι, αὐτὸς οὐδὲν ἄξιον ἐλέους ποιῶν; γινώμεθα οἰκτίρμονες, γινώμεθα ἐλεήμονες, ἵν' οὕτως εὐαρεστήσωμεν τῷ Θεῷ, καὶ ἐπιτύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, τιμή, κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. 5

Λογ. μγ.

ΠΕΡΙ ΤΟΥ, ΟΤΙ Ο ΤΩΝ ΠΑΡΟΝΤΩΝ ΚΑΤΑΦΡΟΝῶν, ἀμφοτέρων ἐξουσιάζει· καὶ ὅτι παντὸς βορβόρου καὶ ἀκαθαρσίας ἡ πλεονεξία χείρων. 10

Ἐκ τῆς ὁμιλ. κε. τῆς ἑρμην. τῆς πρὸς Ἑβρ. ἐπιστ.

Ἐπειδὴ μεγάλη τις ἐξ ἀρχῆς ἔμελλε δίδοσθαι χάρις, ἀγαπητοί, τοῖς ἀνθρώποις, βουλόμενος ὁ Θεὸς μὴ χάριτι τοῦτο ποιῆσαι, ἀλλ' ὡς ὀφειλὴν παρασχεῖν, παρασκευάζει πρότερον ἀνθρώπους τὸν υἱὸν τὸν ἑαυτοῦ ἐπιδοῦναι ὑπὲρ τοῦ προστάγματος τοῦ Θεοῦ· ἵνα μηδὲν δόξῃ 15 μέγα ποιεῖν τὸν ἑαυτοῦ ἐπιδιδοὺς υἱόν, εἴγε ἄνθρωπος πρὸ αὐτοῦ τοῦτο ἐποίησεν· ἵνα μὴ χάριτι μόνον νομισθῇ τοῦτο ποιεῖν, ἀλλὰ καὶ ὀφειλῇ. οὓς γὰρ ἂν φιλῶμεν, καὶ τοῦτο αὐτοῖς χαρίζεσθαι βουλόμεθα, τὸ δοκεῖν παρ' αὐτῶν τι πρότερον λαβόντας μικρόν, οὕτως αὐτοῖς τὸ πολὺ διδόναι, καὶ καυχώμεθα ἐπὶ τῇ λήψει μᾶλλον, ἢ ἐπὶ τῇ δόσει, καὶ οὐ λέγομεν τόδε ἐδώκαμεν αὐτῷ, ἀλλά, τόδε ἐλάβομεν παρ' αὐτοῦ. Ὅθεν 20 αὐτόν, φησί, καὶ ἐν παραβολῇ ἐκομίσατο, τουτέστιν, ὡς ἐν αἰνίγματι. ὥσπερ γὰρ παραβολὴ ἦν ὁ κριὸς τοῦ Ἰσαάκ, ἢ ὡς ἐν τύπῳ. ἐπειδὴ γὰρ ἀπήρτιστο ἡ θυσία, καὶ ἔσφακτο ὁ Ἰσαὰκ τῇ προαιρέσει, διὰ τοῦτο αὐτὸν χαρίζεται τῷ πατριάρχῃ. ὁρᾷς ὅ,τι ἀεὶ λέγω, τοῦτο καὶ νῦν δείκνυται; ὅταν παραστήσωμεν ἡμῶν τὴν διάνοιαν ἀπηρτισμένην, καὶ δείξωμεν ὅτι ὑπερορῶμεν τῶν γηΐνων πραγμάτων, τότε ἡμῖν καὶ τὰ γήϊνα χαρίζεται, πρότερον δὲ οὔχ, ἵνα 25 μὴ δὲ λάβῃ ἡμᾶς προσδεδεμένους ἔτι προσδήσῃ. λῦε, φησί, σαυτὸν τῆς δουλείας, καὶ τότε λάβε, ἵνα μηκέτι ὡς δοῦλος λάβῃς, ἀλλ' ὡς δεσπότης. καταφρόνησον πλούτου, καὶ ἔσῃ πλούσιος· καταφρόνησον δόξης, καὶ ἔσῃ ἔνδοξος· καταφρόνησον τῆς τιμωρίας τῶν ἐχθρῶν, καὶ τότε αὐτῆς ἐπιτεύξῃ· καταφρόνησον ἀνέσεως, καὶ τότε αὐτὴν λήψῃ· ἵνα λαβὼν μὴ ὡς δέσμιος λάβῃς, μηδὲ ὡς δοῦλος, ἀλλ' ὡς ἐλεύθερος. καθάπερ γὰρ ἐπὶ τῶν παίδων τῶν μικρῶν, ὅ- 30 ταν μὲν ἐπιθυμῇ τὸ παιδίον παιδικῶν ἀθυρμάτων μετὰ πολλῆς σπουδῆς ἐκεῖνα κρύπτομεν, οἷον, σφαίρας, καὶ ὅσα τοιαῦτα, ἵνα μὴ ἐμποδίζηται τῶν ἀναγκαίων· ὅταν δὲ αὐτῶν καταφρονήσῃ καὶ μηκέτι ἐπιθυμῇ, ἀδεῶς αὐτὰ μεταδίδομεν, εἰδότες ὡς οὐδεμία βλάβη λοιπὸν αὐτῷ ἐντεῦθεν γίνεται, τῆς ἐπιθυμίας ἐκείνης οὐκέτι ἰσχυούσης ἀπάγειν αὐτὸν τῶν ἀναγκαίων· οὕτω καὶ ὁ Θεός, ὅταν ἴδῃ μηκέτι ἐπιθυμοῦντας τῶν ἐνταῦθα λοιπόν, ἀφίησιν αὐτοῖς κεχρῆσθαι. 35 ὡς γὰρ ἐλεύθεροι καὶ ἄνδρες αὐτὰ ἔχομεν, οὐχ ὡς παῖδες. ὅτι γὰρ ἐὰν καταφρονήσῃς τῆς τιμωρίας τῶν ἐχθρῶν, τότε ἐπιτεύξῃ, ἄκουε τί φησιν· Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν, καὶ ἐὰν διψᾷ, πότιζε αὐτόν· καὶ ἐπήγαγε· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ πάλιν, ὅτι, ἐὰν καταφρονήσῃς τοῦ πλούτου, τότε αὐτοῦ ἐπιτεύξῃ, ἄκουε τοῦ Χριστοῦ λέγοντος· Οὐκ ἔστιν ὃς ἀφῆκε πατέρα, ἢ μητέρα, ἢ οἰκίας, ἢ ἀδελφούς, 40 ὃς οὐχὶ ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. καὶ ὅτι, ἐὰν καταφρονήσῃς δόξης, τότε αὐτῆς ἐπιτεύξῃ, ἄκουε πάλιν αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· Ὁ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, ἔστω ὑμῶν διάκονος. καὶ πάλιν· Ὃς γὰρ ἂν ταπεινώσῃ ἑαυτόν, οὗτος ὑψωθήσεται. τί λέγεις; ἐὰν ποτίσω τὸν ἐχθρόν, τότε αὐτὸν κολάζω; ἐὰν ἀφῶ τὰ ὑπάρχοντα, τότε αὐ-

Ἑβρ. ια. ιθ.

Ῥωμ. ιβ. κ.

Ματθ. ιθ. κθ.

Ματθ. κ. κϛ.

Ματθ. κγ. ιβ.

τὰ

τὰ ἔχω; ἐὰν ταπεινώσω ἑαυτὸν, τότε ὑψηλὸς ἔσομαι; ναὶ, φησί· τοιαύτη γὰρ ἡ ἐμὴ δύναμις,
διὰ τῶν ἐναντίων τὰ ἐναντία παρέχειν. εὔπορός εἰμι καὶ εὐμήχανος· μὴ δείσῃς· τῷ ἐμῷ
θελήματι ἡ τῶν πραγμάτων ἀκολουθεῖ φύσις, οὐκ ἐγὼ τῇ φύσει ἕπομαι· ἐγὼ πάντα ἐρ-
γάζομαι, οὐκ ἐγὼ ὑπ' ἐκείνων ἄγομαι. διὸ καὶ μεταπλάττειν καὶ μεταρρυθμίζειν αὐ-
5 τὰ βούλομαι. καὶ τί θαυμάζεις ἐν τούτοις; τὸ αὐτὸ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν εὑρήσεις. ἐ-
ὰν ἀδικήσῃς, ἠδικήθης· ἐὰν ἀδικηθῇς, τότε οὐκ ἠδικήθης. ἐὰν ἀμύνῃ, τότε οὐκ ἠμύνω,
ἀλλὰ σαυτὸν ἠμύνω. Ὁ γὰρ ἀγαπῶν τὴν ἀδικίαν, φησὶ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ὁρᾷς
ὅτι οὐκ ἠδικήθης, ἀλλ' ἀδικεῖς; διὰ τοῦτο καὶ Παῦλός φησι· Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; α. Κορ. ϛ. ζ.
Εἶδες ὅτι οὐκ ἔστι τοῦτο ἀδικεῖσθαι; ὅταν ὑβρίσῃς, τότε ὑβρίσθης· καὶ τοῦτο ἐκ μέρους ἴσασι
10 καὶ πολλοὶ, ὡς ὅταν λέγωσι πρὸς ἀλλήλους, ἄγωμεν ἐντεῦθεν, μὴ ὑβρίσῃς σαυτόν. διὰ
τί; ὅτι πολὺ τὸ μέσον σοῦ κἀκείνου. ὅσα γὰρ ἂν ὑβρίσῃς, ἐκεῖνος δόξαν ἡγεῖται. τοῦτο ἐπὶ
πάντων ἐννοῶμεν, καὶ γενώμεθα ὑψηλότεροι τῶν ὕβρεων. πῶς; ἐγὼ λέγω. ἂν πρὸς αὐτὸν
τὸν ἁλουργίδα ἔχοντα μάχην ἔχωμεν, τὸ ὑβρίζειν αὐτὸν ἡμᾶς αὐτοὺς ὑβρίζειν ἡγού-
μεθα. τοῦ γὰρ πλεονεκτεῖσθαι ἄξιοι ἡγούμεθα. τί λέγεις, εἰπέ μοι; τῶν οὐρανῶν πολίτης ὢν, καὶ
15 τὴν ἄνω φιλοσοφίαν ἔχων, μετὰ τοῦ γήϊνα φρονοῦντος πλεονεκτεῖς σαυτόν; κἂν γὰρ μυρία χρή-
ματα κέκτηται, κἂν ἐν δυναστείᾳ ᾖ, οὔπω οἶδε τὸ καλὸν τὸ σόν. μὴ ὑβρίσῃς σαυτὸν, ἐκεῖνον
ὑβρίζων· σαυτοῦ φείσαι, μὴ ἐκείνου· σαυτὸν τίμησον, μὴ ἐκεῖνον. οὐχὶ παροιμία τοιαύτη
ἐστὶν, ὁ τιμῶν, ἑαυτὸν τιμᾷ; εἰκότως. οὐ γὰρ ἐκεῖνον τιμᾷ, ἀλλ' ἑαυτόν. ἄκουε σοφοῦ τινος
λέγοντος· Ποίησον τῇ ψυχῇ σου τιμὴν κατὰ τὴν ἀξίαν αὐτῆς. κατὰ τὴν ἀξίαν αὐτῆς, τί ἐστιν; Σειρ. ι. λα.
20 εἰ ἐπλεονέκτησε, φησὶ, μὴ πλεονεκτήσῃς, εἰ ὕβρισε, μὴ ὑβρίσῃς. εἰπέ μοι, παρακαλῶ, εἴ τις
πένης πηλὸν ἐρριμμένον ἀπὸ τῆς αὐλῆς ἔλαβε τῆς σῆς, ἆρα ἂν ὑπὲρ τούτου δικαστήριον
συνεκρότησας; οὐδαμῶς. διὰ τί; ἵνα μὴ ὑβρίσῃς σαυτὸν, ἵνα μὴ πάντες σου καταγνῶσι. τοῦτο καὶ
νῦν γίνεται. πένης γάρ ἐστιν ὁ πλούσιος, καὶ ὅσῳ πλουτεῖ, τοσούτῳ πένης γίνεται τὴν ὄντως πενίαν.
πηλός ἐστιν ὁ χρυσὸς ἐν αὐλῇ ἐρριμμένος, οὐκ ἐν τῇ οἰκίᾳ σου κείμενος. ἡ γὰρ οἰκία σου οὐ-
25 ρανός ἐστιν. ὑπὲρ τούτου οὖν συγκροτήσεις δικαστήριον, καὶ οὐ καταγνώσονταί σου καὶ οἱ ἄνω πο-
λῖται; οὐκ ἐκβαλοῦσί σε τῆς ἑαυτῶν πατρίδος καὶ οὕτω ταπεινὸν, καὶ οὕτως εὐτελῆ, ὡς
ὑπὲρ ὀλίγου πηλοῦ μάχεσθαι αἱρεῖσθαι; εἰ γὰρ ὁ κόσμος ὅλος σὸς, εἶτα αὐτόν τις ἔλαβεν,
ἐπιστραφῆναι ἐχρῆν; οὐκ οἶδας ὅτι δεκάκις τὴν οἰκουμένην ἐὰν θῇς, καὶ ἑκατοντάκις, καὶ
μυριάκις, καὶ δὶς τοσοῦτον, οὐδὲ πρὸς τὸ πολλοστὸν τῶν ἐν τοῖς οὐρανοῖς ἐστιν ἀγαθῶν; ὁ τοί-
30 νυν τὰ ἐνταῦθα θαυμάζων, ἐκεῖνα ὑβρίζει. εἴγε ὅσον αὐτὰ ἄξια σπουδῆς ἡγεῖται, τοσοῦ-
τον ἐκείνων ἀπολιμπάνεται, μᾶλλον δὲ οὐδὲ θαυμάσαι ἐκεῖνα δυνήσεται. πῶς γὰρ, πρὸς
ταῦτα ἐπτοημένος; διατέμνωμεν τὰ σχοινία καὶ τὰς πλεκτάνας. τοῦτο γὰρ τὰ γήϊνα πρά-
γματα· μέχρι πότε κάτω κύπτομεν; μέχρι τινὸς ἀλλήλοις ἐπιβουλεύομεν, καθάπερ τὰ
θηρία, καθάπερ καὶ ἰχθύες; μᾶλλον δὲ τὰ θηρία οὐκ ἐπιβουλεύει ἀλλήλοις, ἀλλὰ τοῖς
35 ἀλλοφύλοις· οἷον, ἄρκος ἄρκον οὐ ταχέως ἀναιρεῖ, οὐδὲ ὄφις ὄφιν οὐκ ἀναιρεῖ, τὸ ὁ-
μόφυλον αἰδούμενος. σὺ δὲ μετὰ τοῦ ὁμοφύλου καὶ μυρία ἔχων δικαιώματα, τὸ συγγενὲς, τὸ
λογικὸν, τὸ καὶ Θεὸν εἰδέναι, μυρία ἄλλα ἕτερα· τῆς φύσεως τὴν ἰσχὺν, καὶ συγγενῆ, καὶ τῆς
φύσεως κεκοινωνηκότα, τοῦτον ἀναιρεῖς καὶ μυρίοις περιβάλλεις κακοῖς; τί γὰρ εἰ μὴ τὸ ξίφος
ὤθεις, καὶ βαπτίζεις εἰς τὴν δέρην τὴν δεξιάν; ἕτερα χαλεπώτερα τούτου ποιεῖς, λύπαις
40 διηνεκέσι περιβάλλων. ἐκεῖνο γὰρ εἰ εἰργάσω, ἀπήλλαξας ἂν αὐτὸν φροντίδος· νῦν δὲ
λιμῷ δουλείας περιβάλλεις, ἀποδυσπετήσεσιν, ἀμυθήτοις πολλαῖς. ταῦτα λέγω, καὶ λέγων
οὐ παύομαι, οὐχὶ φονᾶν ὑμᾶς παρασκευάζων, οὐδὲ ὡς ἐπὶ ἔλαττον ἐκείνου κακὸν ἔρχε-
σθαι προτρεπόμενος, ἀλλὰ μὴ θαρρεῖτε, ὡς μὴ μέλλοντας δώσειν δίκην. Φονεύων γάρ, φη- Σειρ. λδ. κδ.
σι, καὶ πλησίον ὁ ἀφαιρούμενος συμβίωσιν. καταισχύνατε ἑαυτοὺς τὰς χεῖράς ποτε· μᾶλλον

ἵνα μὴ καταισχύνωμεν, ἀλλ' ἐκπλύνωμεν αὐτὰς καλῶς· μὴ πρὸς πλεονεξίαν, ἀλλὰ πρὸς ἐλεημοσύνην. μὴ ἄκαρποι ἔχωμεν τὴν χεῖρα, μηδὲ ξηράν. ἡ μὲν γὰρ μὴ ποιοῦσα ἐλεημοσύνην, ξηρά· ἡ δὲ καὶ πλεονεκτοῦσα, μιαρὰ καὶ ἀκάθαρτος. μηδεὶς μετὰ τοιούτων ἐσθιέτω χειρῶν. ὕβρις γὰρ τῶν κεκλημένων τοῦτο. εἰπὲ γάρ μοι, εἴ τις ἐπὶ ταπήτων καὶ στρωμνῆς ἁπαλῆς καὶ χρυσοπάστων σινδόνων κατακλίνας ἡμᾶς ἐν οἴκῳ λαμπρῷ καὶ μεγάλῳ, καὶ πολὺ πλῆθος διακόνων παραστησάμενος, εἶτα πίνακα ἐξ ἀργύρου παρασκευασάμενος καὶ χρυσοῦ, καὶ πολλῶν ἐμπλήσας ἐδεσμάτων, καὶ πολυτελῶν καὶ παντοδαπῶν, ἠνάγκαζεν ἐσθίειν, εἰ μόνον ἠνεξόμεθα αὐτοῦ τὰς χεῖρας εἰς βόρβορον χέοντος, ἢ καὶ κόπρον ἀνθρωπίνην, καὶ οὕτω συγκατακλινομένου· ἆρα ἄν τις ταύτην ἠνέσχετο τὴν κόλασιν, ἀλλ' οὐχ ὕβριν τὸ πρᾶγμα ἐνόμισεν ἄν; ἔγωγε οἶμαι, καὶ εὐθέως ἂν ἀποπηδήσει. νῦν δὲ βορβόρου τοῦ ὄντος οὐχὶ τὰς χεῖρας ὁρᾷς ἐμπεπλησμένας, ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα, καὶ οὐκ ἀποπηδᾷς; οὐκ ἀποφεύγεις; οὐκ ἐπιτιμᾷς; ἀλλ' ἐὰν ἐν δυναστείᾳ ᾖ, μέγα τὸ πρᾶγμα τίθεσαι, καὶ τὴν ψυχὴν ἀπολλύεις τὴν σαυτοῦ τοιαῦτα σιτούμενος; πάντως γὰρ βορβόρου πλεονεξία χείρων. ψυχὴν γὰρ, οὐ σῶμα μολύνει, καὶ ποιεῖ δυσέκπλυτον. σὺ τοίνυν ὁρῶν τοῦ βορβόρου τούτου ἀνακεχρωσμένον μετὰ τῶν κατακλινόμενον καὶ τὰς χεῖρας καὶ τὴν ὄψιν, ἐμπεπλησμένην δὲ καὶ τὴν οἰκίαν καὶ τὴν τράπεζαν (βολβίτων γὰρ καὶ ἐπὶ τούτων ἀκαθαρτότερα ἐκεῖνα καὶ μιαρώτερα τὰ ἐδέσματα) ὡς δὴ τιμηθεὶς διάκεισαι, καὶ ὡς μέλλων τρυφᾷν; καὶ οὐδὲ τὸν Παῦλον δέδοικας, εἰς μὲν ἑλλήνων τράπεζαν, εἰ βουλοίμεθα, ἀκωλύτως συγχωροῦντα ἀπελθεῖν, εἰς δὲ τὰς τῶν πλεονεκτῶν οὐδὲ βουλομένους ἐῶντα; Ἐὰν γάρ τις ἀδελφὸς ὀνομαζόμενος ᾖ, φησὶ, πόρνος· ἀδελφὸν ἐνταῦθα λέγων, πάντα τὸν πιστὸν ἁπλῶς, οὐ τὸν μονάζοντα. τί γάρ ἐστι τὸ ποιοῦν τὴν ἀδελφότητα; τὸ λουτρὸν τῆς παλιγγενεσίας, τὸ δυνηθῆναι καλέσαι πατέρα τὸν Θεόν. ὥστε ὁ μὲν μοναχὸς ὢν, ἂν κατηχούμενος ᾖ, οὐκ ἀδελφός· ὁ δὲ πιστὸς, κἂν κοσμικὸς εἴη, ἀδελφός ἐστιν. Εἴ τις, φησὶν, ἀδελφὸς ὀνομαζόμενος. οὐδὲ γὰρ ἴχνος μονάζοντος τότε ἦν, ἀλλὰ πάντα πρὸς κοσμικοὺς διελέγετο ὁ μακάριος οὗτος. ἐάν τις, φησὶν, ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, ἢ πλεονέκτης, ἢ μέθυσος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. ἀλλ' οὐκ ἐπὶ τῶν ἑλλήνων οὕτως, ἀλλ', Ἐάν τις ὑμᾶς καλέσῃ τῶν ἀπίστων (τοὺς ἕλληνας λέγων) καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε. ἐάν δέ τις ἀδελφὸς ὀνομαζόμενος, φησὶ, μέθυσος. βαβαὶ, πόση ἡ ἀκρίβεια; ἡμεῖς δὲ οὐ μόνον οὐ φεύγομεν τοὺς μεθύσους, ἀλλὰ καὶ ἀπερχόμεθα πρὸς αὐτοὺς, μεθέξοντες τῶν παρ' αὐτῶν. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γεγένηται, πάντα συγκέχυται, καὶ ἀνατέτραπται, καὶ ἀπόλωλεν. εἰπὲ γάρ μοι, εἰ καλέσει σέ τις τῶν τοιούτων ἐπὶ ἑστίασιν, σὺ τῶν πενήτων καὶ εὐτελῆ νομιζόμενοι, εἶτα ἀκούσειε παρὰ σοῦ· ὅτι ἐπειδὴ ἀπὸ πλεονεξίας ἐστὶ τὰ παρατιθέμενα, οὐκ ἀνεξόμεθα μολύναι τὴν ἐμαυτοῦ ψυχὴν, οὐκ ἂν ἠδέσθη; οὐκ ἂν ἐνετράπη; οὐκ ἂν κατῃσχύνθη; τοῦτο μόνον ἱκανὸν ἦν διορθῶσαι, καὶ ποιῆσαι ταλανίσαι μὲν ἐπὶ τῷ πλούτῳ ἑαυτὸν, θαυμάσαι δὲ ἐπὶ τῇ πενίᾳ σε, εἴπερ ἑώρα ἑαυτὸν μετὰ τοσαύτης σπουδῆς καταφρονούμενον παρὰ σοῦ. ἀλλὰ γεγόναμεν δοῦλοι ἀνθρώπων, οὐκ οἶδα πόθεν, τοῦ Παύλου ἄνω καὶ κάτω βοῶντος, Μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. πόθεν οὖν γεγόναμεν δοῦλοι, εἰπέ μοι; ἐπειδὴ πρότερον γαστρὸς γεγόναμεν δοῦλοι, καὶ χρημάτων, καὶ δόξης, καὶ τῶν ἄλλων ἁπάντων· προεδώκαμεν τὴν ἐλευθερίαν, ἣν ἐχαρίσατο ἡμῖν ὁ Χριστός. τί οὖν μένει τὸν γενόμενον δοῦλον, εἰπέ μοι; ἄκουε τοῦ Χριστοῦ λέγοντος· Ὁ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. ἔχεις ἀπόφασιν αὐτοτελῆ, ὅτι οὐδέποτε εἰς βασιλείαν εἰσέρχεται. ἡ γὰρ οἰκία τοῦτό ἐστιν. Ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου, φησὶ, μοναὶ πολλαί εἰσιν. ὁ τοίνυν δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα. δοῦλον ἐκεῖνον λέγει, τὸν τῆς ἁμαρτίας δοῦλον. ὁ δὲ μὴ μένων ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ἐν τῇ γεέννῃ μένει εἰς τὸν αἰῶνα, οὐδαμόθεν ἔχων παραμυθίαν. ἀλλὰ γὰρ εἰς τοσοῦτον κακίας τὰ πράγματα ἦλθεν, ὡς καὶ ἐλεημοσύνας αὐτὰς ἀπὸ τούτων ποιεῖν, καὶ πολλοὺς δέχεσθαι.

α. Κορ. ε. ια.

α. Κορ. ι. κζ.

α. Κορ. ζ. κγ.

Ιωαν. θ. λε.

Ιωαν. ιδ. β.

δέχεσθαι. διὰ τοῦτο ἡ παῤῥησία ἡμῶν ἐκκέκοπται, καὶ οὐδὲ ἐπιτιμῆσαί τινι δυνάμεθα. ἀλλ'
ὅμως κἂν ἀπὸ τοῦ νῦν φθεγγόμενοι τὴν ἐντεῦθεν βλάβην, ὑμεῖς τε, οἱ τὸν βόρβορον τοῦτον
ἀνελίττοντες, παύσασθε τῆς τοιαύτης λύμης. Ὥσπερ δὲ τὸ νεκρὸν σῶμα πρὸς οὐδεμί-
αν αἴσθησίν ἐστι χρήσιμον, ἀλλὰ καὶ λυπεῖ τοὺς πλησιάζοντας· οὕτω καὶ ἡ ἁμαρτία εὐθέως τὸ
5 λογιστικὸν πλήττει, καὶ οὐκ ἀφίησιν οὐδὲ αὐτὴν τὴν διάνοιαν ἠρεμεῖν, ἀλλὰ θορυβεῖ καὶ τα-
ράττει. λέγεται δὲ καὶ λοιμὸς τικτόμενος διαφθείρειν τὰ σώματα. τοιαύτη ἐστὶ καὶ ἡ ἁμαρτία,
λοιμοῦ οὐδὲν διενήνοχεν, οὐ τὸν ἀέρα διαφθείρουσα πρότερον, εἶτα τὰ σώματα, ἀλλ' εὐθέ-
ως εἰς τὴν ψυχὴν εἰσπηδῶσα. οὐχ ὁρᾷς τοὺς λοιμώττοντας, πῶς φλεγμαίνουσι, πῶς
διαστρέφονται, πῶς δυσωδίας εἰσὶν ἐμπεπλησμένοι, πῶς αὐτῶν αἰσχρὰ ἡ ὄψις, πῶς ὅλοι
10 ἀκάθαρτοι; τοιοῦτοί εἰσι καὶ οἱ ἁμαρτάνοντες, κἂν μὴ βλέπωσιν. εἰπὲ γάρ μοι· παντὸς
πυρέττοντος οὐκ ἔστι χείρων ὁ τῇ ἐπιθυμίᾳ τῶν χρημάτων, ἢ τῶν σωμάτων ἁλούς; οὐχὶ ἀ-
καθαρτότερος τούτων πάντων ἐστί, πάντα τὰ ἀναίσχυντα καὶ ποιῶν καὶ πάσχων; τί γὰρ αἰσχρό-
τερον ἀνδρὸς χρημάτων ἐρῶντος; ὅσα αἱ ἑταιριζόμεναι γυναῖκες, ὅσα αἱ ἐπὶ τῆς σκηνῆς οὐ
παραιτοῦνται ποιεῖν, τοσαῦτα οὐδὲ οὗτος· μᾶλλον δὲ ἐκείνας εἰκός ἐστι παραιτήσασθαι, ἢ τοῦ-
15 τον, καὶ δουλοπρεπῆ πράγματα ὑπομένει κολακεύων οὓς οὐ δεῖ, πανταχοῦ ἀνώμαλος·
πονηροὺς ἄνδρας καὶ γέροντας πολλάκις διεφθαρμένους, πολλῷ καὶ πενεστέρους αὐτοῦ καὶ εὐτε-
λεστέρους παρακάθηται κολακεύων, καὶ ἑτέρους ἀγαθοὺς καὶ πάντοθεν ἐναρέτους ὑβρίζων καὶ
θρασυνόμενος. εἶδες ἑκατέρωθεν τὴν ἀσχημοσύνην; τὴν ἀναισχυντίαν; καὶ ταπεινός
ἐστι πέρα τοῦ μέτρου, καὶ ἀλαζών. ἀλλ' ἑστήκασιν ἐπὶ οἰκήματος αἱ πόρναι. καὶ τοῦτό ἐστι τὸ ἔγ-
20 κλημα, ὅτι τὸ σῶμα πωλοῦσι χρημάτων ἕνεκεν. ἀλλὰ πενία, φησί, καὶ λιμὸς καταναγκά-
ζει. εἰ καὶ τὰ μάλιστα, οὐδὲ τοῦτο ἱκανὸν εἰς ἀπολογίαν. ἐξῆν γὰρ ἐργαζομένας δια-
τρέφεσθαι. ἐνταῦθα δὲ ἕστηκεν ὁ πλεονέκτης, οὐκ ἐπὶ οἰκήματος, ἀλλ' ἐπὶ τῆς πόλε-
ως μέσης· οὐ σῶμα, ἀλλὰ τὴν ψυχὴν προδιδοὺς τῷ διαβόλῳ, ὥστε καὶ συγγίνεσθαι καὶ
εἰσέρχεσθαι πρὸς αὐτὸν, ὥσπερ ὄντως πρὸς πόρνην· καὶ τὴν ἐπιθυμίαν αὐτοῦ πᾶσαν πλη-
25 ρώσας, ἐξέρχεται· καὶ ὁρῶσι πᾶσα ἡ πόλις, οὐ δύο ἄνδρες καὶ τρεῖς. καὶ τοῦτο δὲ τῶν πορνῶν ἴδιόν
ἐστιν, ὅτι τοῦ τὸ χρυσίον διδόντος εἰσί, κἂν δοῦλος ᾖ, κἂν μοναχὸς, κἂν ὁστισοῦν, πρὸς τιμὴν δὲ τὸν
μισθὸν, καταδέχονται· τοὺς δὲ ἐλευθέρους, κἂν πάντων ὦσιν εὐγενέστεροι, χωρὶς τοῦ ἀργυ-
ρίου οὐ προσίενται. τοῦτο καὶ ἐνταῦθα οὗτοι ποιοῦσι. τοὺς μὲν ὀρθοὺς λογισμοὺς, ὅταν ἀργύ-
ριον μὴ ἔχωσιν, ἀποστρέφονται· τοῖς δὲ μιαροῖς καὶ ὄντως θεομάχοις συγγίνονται διὰ τὸ χρυ-
30 σίον, καὶ ἀσχημόνως συγγίνονται, καὶ τὸ κάλλος ἀπολλύουσι τῆς ψυχῆς. καθάπερ γὰρ ἐκεῖναι,
φύσει μὲν εἰδεχθεῖς, καὶ μέλαιναι, καὶ ἀγροικίδες, καὶ ἄμορφοι, καὶ κακόπλαστοι, καὶ πάντοθεν αἰ-
σχραί· οὕτως αἱ τούτων γίνονται ψυχαί, οὐδὲ τοῖς ἔξωθεν ἐπιτρίμμασι τὴν ἀμορφίαν συγ-
καλύψαι δυνάμεναι. ὅταν γὰρ ἐσχάτη ᾖ δυσειδία, ὅσα ἂν ἐπινοήσωσιν, οὐδὲ ὑποκρίνα-
σθαι δύνανται. ὅτι γὰρ ἀναισχυντία πόρνας ποιεῖ, ἄκουσον τοῦ προφήτου λέγοντος· Ἀπη-
35 ναισχύντησας πρὸς πάντας, ὄψις πόρνης ἐγένετό σοι. τοῦτο καὶ πρὸς τοὺς πλεονέκτας ἐστὶν εἰ-
πεῖν· ἀπηναισχύντησας πρὸς πάντας· οὐ πρὸς τούσδε, καὶ τούσδε, ἀλλὰ πρὸς πάντας.
πῶς; οὐ πατέρα, οὐχ υἱὸν, οὐ γυναῖκα, οὐ φίλον, οὐκ ἀδελφὸν, οὐκ εὐεργέτην, οὐδένα ἁ-
πλῶς αἰδεῖται ὁ τοιοῦτος. καὶ τί λέγω φίλον καὶ ἀδελφὸν καὶ πατέρα; αὐτὸν οὐκ αἰδεῖται τὸν
Θεὸν, ἀλλὰ πάντα μῦθος εἶναι αὐτῷ δοκεῖ, καὶ γελᾷ ὑπὸ τῆς πολλῆς ἐπιθυμίας μεθύων, καὶ
40 οὐδὲ τῇ ἀκοῇ παραδεχόμενός τι τῶν ὠφελεῖν αὐτὸν δυναμένων. ἀλλ' ὢ τῆς ἀτοπίας, καὶ
ὅσα φθέγγονται; οὐαί σοι, μαμωνᾶ, καὶ τῷ μὴ ἔχοντί σε. ἐνταῦθα διαπρίομαι ὑπὸ τοῦ θυ-
μοῦ. οὐαὶ γὰρ τοῖς ταῦτα λέγουσι, κἂν ἐν γέλωτι λέγωσιν. εἰπὲ γάρ μοι, οὐ τοιαύτην
ἀπειλὴν ἠπείλησεν ὁ Θεὸς, λέγων· Οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν; σὺ δὲ ἐκλύεις τὴν
ἀπειλήν; οὐχὶ εἰδωλολατρείαν αὐτὴν εἶναι φησὶν ὁ Παῦλος, καὶ τὸν πλεονέκτην εἰδωλο-

Ἐκ τῆς ὁμιλ. ιε. τῆς εἰς τὴν πρὸς Ἑβ. ἐπιστ.

Ἱερ. γ. γ.

Ματθ. ς. κδ.

λαίτρων καλεῖ; σὺ δὲ ἕστηκας γελῶν κατὰ τὰς βιωτικὰς γυναῖκας, γελωτοποιῶν κατὰ τοὺς ἐν τῇ
σκηνῇ; τοῦτο πάντα ἀνέτρεψε καὶ κατέβαλε. γέλως γέγονε τὰ ἡμέτερα καὶ πολιτισμὸς καὶ ἀστει-
ότης· οὐδὲν εὐσταθὲς, οὐδὲν βαρύ. οὐ πρὸς τοὺς βιωτικοὺς ἄνδρας λέγω μόνον ταῦτα, ἀλλ'
οἶδα οὓς αἰνίττομαι. γέλωτος γὰρ ἐμπέπλησται ἡ ἐκκλησία. ἂν ὁ δεῖνα ἀστεῖον εἴπῃ,
γέλως εὐθέως ἐν τοῖς καθημένοις γίνεται. καὶ τὸ θαυμαστὸν, ἐν αὐτῷ τῷ καιρῷ τῆς εὐχῆς οὐ
παύονται πολλοὶ τοῦ γέλωτος. πανταχοῦ χορεύει ὁ διάβολος, πάντας ἐνεδύσατο, πάντων
κρατεῖ. ἠτίμασται ὁ Χριστὸς, παρέωσται, ἐν οὐδενὸς ἐστὶ μέρει ἡ ἐκκλησία. οὐκ ἀκούετε
Εφεσ. ε. δ. Παύλου λέγοντος· Αἰσχρότης καὶ μωρολογία καὶ εὐτραπελία ἀρθήτω ἀφ' ὑμῶν; μετὰ τῆς αἰ-
σχρότητος τὴν εὐτραπελίαν τίθησι, σὺ δὲ γελᾷς; τί ἐστι μωρολογία; τὰ μηδὲν ἔχοντα χρή-
σιμον. γελᾷς δὲ ὅλως καὶ διαχεῖς τὸ πρόσωπον ὁ μονάζων, ὁ ἐσταυρωμένος, ὁ πενθῶν; γε-
λᾷς, εἰπέ μοι; ποῦ τοῦ Χριστοῦ τοῦτο ποιοῦντος ἤκουσας; οὐδαμοῦ· ἀλλὰ κατηφοῦντος
μὲν πολλάκις. καὶ γὰρ ὅτε τὴν Ἱερουσαλὴμ εἶδεν, ἐδάκρυσε· καὶ ὅτε τὸν προδότην ἐνενό-
ησεν, ἐταράχθη· καὶ ὅτε τὸν Λάζαρον ἐγείρειν ἔμελλεν, ἔκλαυσε· σὺ δὲ γελᾷς; εἰ ἐπὶ τοῖς ἑ-
τέρων ἁμαρτήμασιν ὁ μὴ ἀλγῶν κατηγορίας ἄξιος, ὁ ἐπὶ τοῖς αὐτοῦ ἀνηλγήτως διακείμε-
νος καὶ γελῶν ποίας ἔσται συγγνώμης ἄξιος; πένθους ὁ καιρὸς καὶ θλίψεως, ὑπωπιασμοῦ καὶ
δουλαγωγίας, ἀγώνων καὶ ἱδρώτων, σὺ δὲ γελᾷς; οὐχ ὁρᾷς πῶς ἐπετιμήθη Σάῤῥα; οὐκ ἀκούεις
Λουκ. ς. κε. τοῦ Χριστοῦ λέγοντος, Οὐαὶ οἱ γελῶντες, ὅτι κλαύσετε; ταῦτα ψάλλεις καθ' ἑκάστην ἡμέραν;
τί γὰρ λέγεις, εἰπέ μοι; ὅτι ἐγέλασα; οὐδαμῶς. ἀλλὰ τί; ἐκοπίασα ἐν τῷ στεναγμῷ μου.
ἀλλὰ τάχα τινές εἰσιν οὕτω διακεχυμένοι καὶ χαῦνοι, ὡς καὶ ἐν τῇ ἐπιτιμήσει ταύτῃ γελᾷν, ὅτι
δὴ περὶ γέλωτος ταῦτα διαλεγόμεθα. καὶ γὰρ τοιοῦτόν ἐστιν ἡ παραφορά, τοιαύτη ἡ παρα-
πληξία· οὐδὲ αἰσθάνεται τῆς ἐπιτιμήσεως. ἕστηκεν ὁ ἱερεὺς τοῦ Θεοῦ τὴν πάντων εὐ-
χὴν ἀναφέρων, σὺ δὲ γελᾷς οὐδὲν δεδοικώς; καὶ ἐκεῖνος μὲν ὑπὲρ σοῦ τὰς εὐχὰς ἀναφέ-
Αμβακ. α. ε. ρει, σὺ δὲ καταφρονεῖς; οὐκ ἀκούεις τῆς γραφῆς λεγούσης· Οὐαὶ οἱ καταφρονηταί; οὐ
φρίττεις; οὐ συστέλλεις σαυτόν; καὶ εἰς μὲν βασίλεια εἰσιὼν, καὶ σχήματι καὶ βλέμματι καὶ
βαδίσματι καὶ πᾶσι τοῖς ἄλλοις κοσμεῖς σαυτόν· ἐνταῦθα δὲ, ἔνθα τὰ ὄντως εἰσὶ βασίλεια,
καὶ τοιαῦτα, οἷα τὰ οὐράνια, γελᾷς; σὺ μὲν οὖν οἶδα ὅτι οὐχ ὁρᾷς· ἄκουε δὲ ὅτι ἄγγελοι πάρεισι
πανταχοῦ, καὶ μάλιστα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρεστήκασι τῷ βασιλεῖ, καὶ πάντα ἐμπέπλησται
τῶν ἀσωμάτων ἐκείνων δυνάμεων. οὗτος ἐμοὶ καὶ πρὸς γυναῖκας ὁ λόγος, αἳ ἐπὶ μὲν τῶν ἀν-
δρῶν οὐ τολμῶσι τοῦτο ποιεῖν ταχέως· κἂν ποιῶσι δὲ, οὐκ ἀεὶ, ἀλλὰ παρὰ τὸν καιρὸν τῆς ἀ-
νέσεως· ἐνταῦθα δὲ ἀεὶ κατακαλύπτουσα, εἰπέ μοι, τὴν κεφαλὴν, καὶ γελᾷς, ὦ γύναι, ἐν ἐκ-
κλησίᾳ καθημένη; εἰσῆλθες ἐξομολογήσασθαι τὰ ἁμαρτήματα, προσπεσεῖν τῷ Θεῷ,
δεηθῆναι καὶ ἱκετεῦσαι περὶ τῶν κακῶς σοι πεπλημμελημένων, καὶ μετὰ γέλωτος τοῦτο ποι-
εῖς; πῶς οὖν αὐτὸν ἐξιλεώσασθαι δυνήσῃ; καὶ τί κακὸν ὁ γέλως, φησίν; οὐ κακὸν ὁ γέλως,
ἀλλὰ κακὸν τὸ παρὰ μέτρον, τὸ ἄκαιρον. ὁ γέλως ἔγκειται ἐν ἡμῖν, ἵνα, ὅταν φίλους ἴδωμεν
διὰ μακροῦ χρόνου, τοῦτο ποιῶμεν· ὅταν τινὰς καταπεπληγμένους καὶ δεδοικότας, ἀνῶμεν
αὐτοὺς τῷ μειδιάματι· οὐχ ἵνα ἀνακαγχάζωμεν καὶ ἀεὶ γελῶμεν. γέλως ἔγκειται τῇ ψυ-
χῇ τῇ ἡμετέρᾳ, ἵνα ἀνῆταί ποτε ἡ ψυχὴ, οὐχ ἵνα διαχέηται· ἐπεὶ καὶ ἐπιθυμία ἡμῖν ἔγκειται
σωμάτων, καὶ οὐ πάντως ἀνάγκη διὰ τὸ ἐγκεῖσθαι καὶ αὐτῇ χρῆσθαι ἢ μὴ χρῆσθαι ἀμέτρως·
ἀλλὰ καὶ κρατοῦμεν αὐτῆς, καὶ οὐ λέγομεν, ἐπειδὴ ἔγκειται, χρησώμεθα. μετὰ δακρύων δούλευε
τῷ Θεῷ, ἵνα δυνηθῇς ἀπονίψασθαι τὰ ἡμαρτημένα. οἶδα ὅτι πολλοὶ διαμωκῶνται ἡμᾶς
λέγοντες, εὐθέως δάκρυα. διὰ τοῦτο δακρύων καιρός. οἶδα ὅτι καὶ οἰωνίζονται οἱ λέ-
α. Κορ. ιε. λβ. γοντες· Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Ματαιότης ματαιοτήτων,
Εκκλησ. α. β. τὰ πάντα ματαιότης. οὐκ ἐγὼ λέγω, ἀλλ' αὐτὸς ὁ τὴν πεῖραν τῶν πραγμάτων
καὶ β. δ. πάντων λαβὼν ταῦτά φησιν· Ὠκοδόμησά μοι οἰκίας, ἐφύτευσα ἀμπελῶνας, κολυμ-

βήθρας

βήθρας ὑδάτων, ἐποίησά μοι οἰνοχόους καὶ οἰνοχούσας. καὶ τί δὴ μετὰ ταῦτα πάντα; ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. πενθήσωμεν τοίνυν, ἀγαπητοί, πενθήσωμεν, ἵνα ὄντως γελάσωμεν, ἵνα ὄντως ἡσθῶμεν ἐν τῷ καιρῷ τῆς χαρᾶς τῆς εἰλικρινοῦς. ταύτῃ μὲν γὰρ τῇ χαρᾷ πάντως λύπη ἀναμέμικται, καὶ οὐδέποτε καθαρὰν αὐτὴν ἔστιν εὑρεῖν· ἐκείνη δὲ εἰλικρινής τίς ἐστι καὶ ἄδολος, καὶ οὐδὲν ὕπουλον ἔχουσα, οὐδὲ ἀναμεμιγμένον. ἐκείνην ἡσθῶμεν τὴν χαράν, ἐκείνην μεταδιώξωμεν· ἄλλως δὲ οὐκ ἔστι ταύτης ἐπιτυχεῖν, ἢ διὰ τοῦ ἐνταῦθα μὴ τὰ ἡδέα, ἀλλὰ τὰ ὠφελοῦντα αἱρεῖσθαι, καὶ μικρὸν θλίβεσθαι ἑκόντας, καὶ μετ᾽ εὐχαριστίας ἅπαντα φέροντας. οὕτω γὰρ δυνησόμεθα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτυχεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΠΕΡΙ ΚΑΤΑΝΥΞΕΩΣ ΚΑΙ ΥΠΟΜΟΝΗΣ ΚΑΙ ΕΠΙθυμίας τῶν μελλόντων ἀγαθῶν, καὶ περὶ τῆς δευτέρας παρουσίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Λογ. μδ.

Παρακαλῶ ὑμᾶς, ἀδελφοί, μὴ μόνον ἀπὸ τῶν παρόντων περὶ τῆς τοῦ Θεοῦ ψηφίζεσθαι προνοίας, ἀλλὰ καὶ ἀπὸ τῶν μελλόντων. τὰ μὲν γὰρ παρόντα, ἀγών ἐστι, καὶ σκάμματα, καὶ στάδιον· τὰ δὲ μέλλοντα, ἔπαθλα, καὶ στέφανοι, καὶ βραβεῖα. ὥσπερ γοῦν τὸν ἀθλητὴν ἐν τῷ σκάμματι, καὶ ἱδρῶτι, καὶ κόνει, καὶ θέρμῃ πολλῇ, καὶ πόνοις, καὶ ταλαιπωρίαις μάχεσθαι δεῖ· οὕτω καὶ τὸν δίκαιον ἐνταῦθα πολλὰ ὑπομένειν χρή, καὶ φέρειν ἅπαντα γενναίως, εἰ μέλλει λαμπροὺς ἀπολήψεσθαι τοὺς στεφάνους ἐκεῖ. διὰ τοῦτο καὶ ὁ Παῦλος συνεχῶς ἡμῖν τὸν περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, καθάπερ ἠκούσατε αὐτοῦ βοῶντος καὶ λέγοντος· Πιστεύομεν γὰρ ὅτι ὁ ἐγείρας τὸν Κύριον, καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ καὶ παραστήσει σὺν ὑμῖν. διὸ οὐκ ἐκκακοῦμεν, φησι, μεγίστην παράκλησιν ἔχοντες ἐν τοῖς ἀγῶσι, τὴν τῶν μελλόντων ἐλπίδα. καὶ οὐκ εἶπε πρὸς αὐτούς, διὸ μὴ ἐκκακεῖτε, ἀλλὰ τί; διὸ οὐκ ἐκκακοῦμεν· δεικνὺς καὶ ἑαυτὸν ἐν τοῖς ἀγῶσιν ὄντα διηνεκῶς. Ἀλλ᾽ εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ᾽ ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. Πῶς ἀνακαινοῦται; τῇ πίστει, τῇ ἐλπίδι, τῇ προθυμίᾳ, τῷ κατατολμᾶν τῶν δεινῶν. ὅσῳ γὰρ ἂν μυρία πάσχῃ τὸ σῶμα, τοσούτῳ χρηστοτέρας ἔχει τὰς ἐλπίδας ἡ ψυχή, καὶ λαμπροτέρα γίνεται, καθάπερ χρυσίον πυρούμενον ἐπὶ πλέον. καὶ ὅρα πῶς καθαιρεῖ τὰ λυπηρὰ τοῦ παρόντος βίου. Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεώς, φησι, καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα· εἰς τὴν ἐλπίδα τὸ πρᾶγμα κατακλείσας. καὶ ὅπερ ἀλλαχοῦ ἔλεγεν, Ὅτι τῇ ἐλπίδι ἐσώθημεν· καί, ἐλπὶς δὲ βλεπομένη, οὐκ ἔστιν ἐλπίς· τοῦτο καὶ ἐνταῦθα κατασκευάζων, τίθησι παράλληλα τὰ παρόντα τοῖς μέλλουσι, τὸ παραυτίκα πρὸς τὸ αἰώνιον, τὸ ἐλαφρὸν πρὸς τὸ βαρύ, τὴν θλίψιν πρὸς τὴν δόξαν. καὶ οὐδὲ τούτοις ἀρκεῖται, ἀλλὰ καὶ ἑτέραν τίθησι λέξιν, διπλασιάζων ταύτην, καὶ λέγων· Καθ᾽ ὑπερβολὴν εἰς ὑπερβολήν. Εἶτα καὶ τὸν τρόπον δείκνυσιν, εἰπὼν πῶς ἐλαφρὸν τῶν τοιούτων θλίψεων. πῶς οὖν ἐλαφρόν; μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. οὕτω καὶ τοῦτο κοῦφον τὸ παρόν, κἀκεῖνο μέγα τὸ μέλλον, ἂν τῶν ὁρωμένων ἀπάγωμεν ἑαυτούς. τὰ γὰρ βλεπόμενα, πρόσκαιρα· οὐκοῦν καὶ αἱ θλίψεις τοιαῦται· τὰ δὲ μὴ βλεπόμενα αἰώνια· οὐκοῦν καὶ οἱ στέφανοι τοιοῦτοι. καὶ οὐκ εἶπε μόνον, αἱ θλίψεις τοιαῦται, ἀλλὰ καί, τὰ βλεπόμενα ἅ-

β. Κορ. δ. ιγ.

β. Κορ. δ. ιϛ.

Ἐκ τῆς ὁμιλ. θ. τῆς ἑρμ. τῆς πρὸς Κορ. β. ἐπιστ.

β. Κορ. δ. ιζ. ιη.

Ρωμ. η. κδ.

πάντα, κἂν κόλασις ᾖ, κἂν ἀνάπαυσις, ὥστε μηδὲ ἐκεῖθεν χαυνοῦσθαι, μηδὲ ἐντεῦθεν βαπτίζεσθαι. διὰ τοῦτο οὐδὲ περὶ τῶν μελλόντων εἶπε, βασιλεία αἰώνιος, ἀλλά, τὰ μὴ βλεπόμενα, αἰώνια, κἂν βασιλεία, κἂν κόλασις ᾖ πάλιν, ὥστε καὶ ἐκεῖθεν φοβῆσαι, καὶ ἐντεῦθεν προτρέψασθαι· ἐπεὶ οὖν τὰ βλεπόμενα, πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα, αἰώνια· πρὸς ἐκεῖνα βλέπωμεν, τὰ αἰώνια. ποίαν γὰρ καὶ ἕξομεν ἀπολογίαν, τὰ πρόσκαιρα ἀντὶ τῶν αἰωνίων αἱρούμενοι; εἰ γὰρ καὶ τὸ παρὸν ἡδύ, ἀλλ᾽ οὐ διηνεκές· τὸ μέντοι ὀδυνηρὸν αὐτοῦ, διηνεκὲς καὶ ἀσύγγνωστον. ποίαν γὰρ ἕξουσιν ἀπολογίαν οἱ πνεύματος ἁγίου καταξιωθέντες, καὶ τοσαύτης ἀπολαύσαντες δωρεᾶς, χαμαίζηλοι γινόμενοι, καὶ καταπίπτοντες εἰς τὴν γῆν; καὶ γὰρ πολλῶν ἀκούω λεγόντων τὰ καταγέλαστα ταῦτα ῥήματα· δός μοι τὴν σήμερον, καὶ λάβε τὴν αὔριον. εἰ μὲν γὰρ τοιαῦτα ᾖ, φησιν, οἷα καὶ φατὲ τὰ ἐκεῖ, ἓν ἀνθ᾽ ἑνὸς γέγονεν· ἂν δὲ μηδὲν ὅλως ᾖ, δύο ἀντ᾽ οὐδενός. τί τῶν ῥημάτων τούτων παρανομώτερον; τί ληρωδέστερον; ἡμεῖς περὶ οὐρανῶν διαλεγόμεθα, καὶ τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων, καὶ σὺ τὰ τῶν ἱπποδρομιῶν ἡμῖν ἄγεις εἰς μέσον, καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐγκαλύπτῃ τοιαῦτα φθεγγόμενος, ἃ τῶν παραπαιόντων ἐστί; οὐκ ἐρυθριᾷς οὕτω προσηλωμένος τοῖς παροῦσιν; οὐ παύσῃ παραφρονῶν, καὶ ἐξεστηκώς, καὶ ἐν νεότητι ληρῶν; καὶ τὸ μὲν Ἕλληνας τοιαῦτα λέγειν, οὐδὲν θαυμαστόν· τὸ δὲ πιστοὺς ἀνθρώπους τοιαῦτα ληρεῖν, ποίαν ἂν ἔχοι συγγνώμην; ὅλως γὰρ ὑποπτεύεις τὰς ἀθανάτους ἐκείνας ἐλπίδας; ὅλως νομίζεις ἀμφίβολα ταῦτα; καὶ πῶς ταῦτα ἄξια συγγνώμης; ἀλλ᾽ οὐχ ὁρᾷς τὰ ἐκεῖ; οὐδὲ γὰρ τὸν Θεὸν βλέπεις. ἆρα οὖν οὐχ ἡγήσῃ εἶναι Θεόν, ἐπειδὴ μὴ ὁρᾷς Θεόν; καὶ σφόδρα ἡγοῦμαι, φησιν. ἂν οὖν ἔρηταί τίς σε πάλιν, καὶ τίς ἦλθεν ἀπὸ τοῦ οὐρανοῦ, καὶ ταῦτα ἀπήγγειλε; τί ἐρεῖς; πόθεν οἶσθα ὅτι ἐστὶ Θεός; ἀπὸ τῶν ὁρωμένων, φησίν, ἀπὸ τῆς εὐταξίας τῆς ἐν πάσῃ τῇ κτίσει, ἀπὸ τοῦ πᾶσιν εἶναι τοῦτο καταδῆλον. οὕτως οὖν καὶ τὸν περὶ κρίσεως δέχου λόγον. πῶς, φησιν; ἐρήσομαί σε, σὺ δέ μοι ἀπόκριναι. δίκαιός ἐστιν αὐτὸς ὁ Θεός, καὶ τὰ κατ᾽ ἀξίαν ἀπονέμει ἑκάστῳ, ἢ τοὐναντίον, τοὺς μὲν ἀδίκους βούλεται εὐημερεῖν καὶ τρυφᾶν, τοὺς δὲ ἀγαθοὺς ἐν τοῖς ἐναντίοις εἶναι; οὐδαμῶς, φησιν. οὐδὲ γὰρ ἄνθρωπος τοῦτο πάθοι. ποῦ οὖν οἱ καλῶς ἐνταῦθα πράξαντες τῶν ἀγαθῶν ἀπολαύσονται, ποῦ δὲ οἱ πονηροὶ τῶν ἐναντίων, εἰ μὴ μέλλει τις μετὰ ταῦτα ζωὴ καὶ ἀντίδοσις εἶναι; ὁρᾷς, ὅτι ἓν ἀνθ᾽ ἑνός, καὶ οὐχὶ δύο ἀνθ᾽ ἑνός; μᾶλλον δὲ δύο ἀντ᾽ οὐδενὸς ἔσται τοῖς δικαίοις, τοῖς δὲ ἁμαρτωλοῖς καὶ οἱ ἐνταῦθα τρυφῶσι, τοὐναντίον ἅπαν; οἱ μὲν γὰρ ἐνταῦθα τρυφήσαντες, εἶτα ἐκεῖ κολασθέντες, οὐδὲ ἓν ἀνθ᾽ ἑνὸς ἔλαβον· οἱ δὲ ἐν ἀρετῇ διάγοντες δύο ἀντ᾽ οὐδενός. τίνες γὰρ ἐν ἀνέσει; οἱ τῷ παρόντι ἀποχρησάμενοι βίῳ, ἢ οἱ φιλοσοφήσαντες; σὺ μὲν ἴσως ἐκείνους ἐρεῖς, ἐγὼ δὲ τούτους δείκνυμι, μάρτυρας αὐτοὺς ἐκείνους καλῶν, τοὺς ἀπολελαυκότας τῶν παρόντων, καὶ οὐκ ἀναισχυντήσουσι πρὸς ἃ μέλλω λέγειν. καὶ γὰρ προμνηστρίαις τινὲς ἐπηράσαντο πολλάκις, καὶ τῇ ἡμέρᾳ, καθ᾽ ἣν ἐπλάκησαν αἱ παστάδες, καὶ τοὺς μὴ γεγαμηκότας ἐμακάρισαν. πολλοὶ δὲ δι᾽ οὐδὲν ἕτερον παρῃτήσαντο, ἀλλ᾽ ἢ διὰ τὸ φορτικὸν τοῦ πράγματος. καὶ ταῦτα λέγω, οὐ τὸν γάμον διαβάλλων· τίμιος γάρ· ἀλλὰ διὰ τοὺς κακῶς αὐτῷ χρωμένους. εἰ δὲ οἱ γάμῳ ὡμιληκότες ἀβίωτον πολλάκις τὸν βίον ἐνόμισαν, τί ἂν εἴποιμεν περὶ τῶν εἰς πορνικὰ βάραθρα κατενεχθέντων, καὶ παντὸς αἰχμαλώτου δουλικώτερον καὶ ἀθλιώτερον διακειμένων; περὶ τῶν ἐν τρυφῇ κατασαπέντων, καὶ μυρία τῷ σώματι νοσήματα περιβεβληκότων; ἀλλὰ τὸ ἐν δόξῃ εἶναι, ἡδύ. οὐδὲν μὲν οὖν ταύτης τῆς δουλείας πικρότερον. καὶ γὰρ ἁπάντων ἀνδραπόδων μᾶλλόν ἐστι δουλικώτερος ὁ κενόδοξος, καὶ τοῖς τυχοῦσιν ἀρέσαι βουλόμενος· ὁ δὲ ταύτην καταπατήσας, πάντων ἐστὶν ἀνώτερος, καὶ μόνος ἐλεύθερος, ὁ μὴ φροντίζων τῆς παρὰ ἑτέρων δόξης. ἀλλὰ τὸ χρήματα ἔχειν, ἐπέραστον. ἀλλὰ πολλάκις ἀπεδείξαμεν, ὅτι ἐν πλείονι πλούτῳ καὶ ἀνέσει οἱ τούτων ἀπηλλαγμένοι καὶ μηδὲν ἔχοντες μᾶλλόν εἰσιν. ἀλλὰ τὸ μεθύειν, ἡδύ; καὶ τίς ἂν εἴποι τοῦτο; οὐκοῦν τὸ μὴ

πλουτεῖν,

κ. ταῦτα

κ. ταῦτα

πλουτεῖν, τοῦ πλουτεῖν ἥδιον· καὶ τὸ μὴ γῆμαι, τοῦ γῆμαι· καὶ τὸ μὴ κενοδοξεῖν, τοῦ κενοδοξεῖν·
καὶ τὸ μὴ τρυφᾶν, τοῦ τρυφᾶν· καὶ ἐνταῦθα τὸ πλέον ἔχουσιν οἱ τοῖς πλουτοῦσι μὴ περιπεπλεγ-
μένοι. καὶ οὔπω λέγω, ἐκεῖνος μὲν κἂν μυρίοις βασάνοις κατατείνηται, ἔχει τὴν χρηστὴν ἐλ-
πίδα διαβαστάζουσαν αὐτόν, οὗτος δὲ κἂν μυρίας ἀπολαύῃ τρυφῆς, ἔχει τὸν φόβον τοῦ μέλ-
5 λοντος ἐκταράττοντα αὐτοῦ τὴν ἡδονὴν καὶ συγχέοντα· καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸς τρόπος κο-
λάσεως, ὥσπερ οὖν ὁ ἐναντίος, τρυφῆς καὶ ἀνέσεως. καὶ τρίτος δὲ μετὰ τοῦτον ἐστὶ τρόπος. ποῖος
δὴ οὗτος; ὅτι τὰ μὲν τῆς τρυφῆς τῆς βιωτικῆς οὐδὲ, ἡνίκα ἐστί, φαίνεται, τῇ τε φύσει καὶ τῷ χρό-
νῳ ἐλεγχόμενα· ἐκεῖνα δὲ οὐ μόνον ἐστίν, ἀλλὰ καὶ ἀκίνητα μένει. ὅρα ὅτι οὐ δύο ἀντ' οὐδενὸς
μόνον, ἀλλὰ καὶ τρία, καὶ πέντε, καὶ δέκα, καὶ μυρία ἀντ' οὐδενὸς δυνησόμεθα εἰπεῖν. ἵνα δὲ καὶ
10 ἐπὶ ὑποδείγματος αὐτὸ τοῦτο μάθῃς, παρέστηκε. ὁ πλούσιος καὶ ὁ Λάζαρος, ὁ μὲν τῶν
παρόντων, ὁ δὲ τῶν μελλόντων ἀπήλαυσεν. ἆρα οὖν σοι δοκεῖ ἓν εἶναι καὶ τὸ ἐν παντὶ χρό-
νῳ κολάζεσθαι, καὶ τὸ ἐν βραχείᾳ ὥρᾳ πονεῖν; τὸ νοσεῖν ἐν φθαρτῷ σώματι, καὶ τὸ ἀ-
θάνατα ἀποτηγανίζεσθαι χαλεπῶς; τὸ στεφανοῦσθαι καὶ τὸ τρυφᾶν ἀθάνατα μετὰ τὴν
μικρὰν ἀρρωστίαν ἐκείνην, καὶ τὸ βασανίζεσθαι ἀπέραντα μετὰ τὴν βραχεῖαν τῶν πα-
15 ρόντων ἀπόλαυσιν; καὶ τίς ἂν ταῦτα εἴποι; τί γὰρ βούλει εἴπωμεν; τὴν ποσότητα;
τὴν ποιότητα; τὴν κατ' ἀξίαν τοῦ Θεοῦ περὶ ἑκατέρων ψῆφον; μέχρι τίνος τὰ κανθάρων
φθέγγεσθε ῥήματα, τῶν βορβόρῳ διηνεκῶς ἐγκαλινδουμένων; οὐδὲ γὰρ ἀνθρώπων
ταῦτα λογικὴν ψυχὴν οὕτω ζημίαν ἀντ' οὐδενὸς αἱρεῖσθαι, δέον ὀλίγου πόνου τοὺς οὐ-
ρανοὺς λαβεῖν. βούλει σε καὶ ἑτέρωθεν διδάξω, ὅτι ἐστὶν ἐκεῖ κριτήριον φοβερόν; ἄνοιξόν σου
20 τὰς θύρας τοῦ συνειδότος, καὶ βλέπε τὸν ἐν τῇ διανοίᾳ σου ἐγκαθήμενον δικαστήν.
εἰ δὲ σὺ σαυτὸν καταχρίνεις, καίτοι φίλαυτος ὤν, καὶ οὐκ ἂν ἀνάσχοιο μὴ δικαίαν τὴν κρίσιν
ἐνεγκεῖν, οὐ πολλῷ μᾶλλον ὁ Θεὸς πολλὴν ποιήσεται τοῦ δικαίου τὴν πρόνοιαν, καὶ τὴν ἀδέ-
καστον περὶ πάντων οἴσει ψῆφον, ἀλλ' ἁπλῶς καὶ εἰκῆ πάντα φέρεσθαι ἐάσει; καὶ τίς ἂν
ταῦτα εἴποι; οὐκ ἔστιν οὐδείς. ἀλλὰ καὶ Ἕλληνες, καὶ βάρβαροι, καὶ ποιηταί, καὶ φιλόσοφοι,
25 καὶ πᾶν ἁπλῶς ἀνθρώπων συμφωνοῦσιν ἐν τούτοις ἡμῖν, εἰ καὶ μὴ ὁμοίως, καὶ φασὶν εἶναί τινα
δικαστήρια ἐν ᾅδου· οὕτω φανερὸν καὶ ὡμολογημένον τὸ πρᾶγμά ἐστι. καὶ τίνος ἕνεκεν ἐνταῦ-
θα οὐκ εὐθέως κολαζόμεθα, φησίν; ἵνα τὴν μακροθυμίαν ἐπιδείξηται τὴν ἑαυτοῦ, καὶ τὴν
ἐκ μετανοίας ἡμῖν παράσχῃ σωτηρίαν, καὶ μήτε τὸ γένος ἡμῶν ἀνάρπαστον ἐργάζηται, τούς τε
ἐκ μεταβολῆς ἀρίστης δυναμένους σωθῆναι, μὴ προεξαρπάσῃ τῆς σωτηρίας. εἰ γὰρ
30 εὐθέως ἐκόλαζε παρ' αὐτὰ τὰ ἁμαρτήματα καὶ ἀνῄρει, πῶς ἂν ἐσώθη Παῦλος; πῶς δὲ Πέ-
τρος, οἱ κορυφαῖοι τῆς οἰκουμένης διδάσκαλοι; πῶς ἂν ὁ Δαβὶδ τὴν ἀπὸ τῆς μετανοίας
ἐκαρπώσατο σωτηρίαν; πῶς οἱ Γαλάται; πῶς ἕτεροι πλείους; διὰ δὴ ταῦτα οὐδὲ
πάντας ἐνταῦθα ἀπαιτεῖ δίκην, ἀλλ' ἐκ πάντων ἐνίους· οὔτε ἐκεῖ πάντας, ἀλλὰ τοὺς μὲν ἐν-
ταῦθα, τῶν δὲ ἐκεῖ, ἵνα καὶ τοὺς σφόδρα ἀναισθήτους διεγείρῃ δι' ὧν κολάζει, καὶ τὰ μέλλοντα
35 προσδοκᾶν ποιήσῃ δι' ὧν οὐ κολάζει. ἢ οὐχ ὁρᾷς πολλοὺς ἐνταῦθα κολαζομένους, ὡς τοὺς
τῷ πύργῳ καταχωσθέντας; ὡς ἐκείνους, ὧν τὸ αἷμα ταῖς θυσίαις ἔμιξεν ὁ Πιλάτος; ὡς
τοὺς ἀώρῳ θανάτῳ παρὰ Κορινθίοις τελευτήσαντας διὰ τὸ τῶν μυστηρίων ἀναξίως με-
ταχεῖν; ὡς τὸν δῆμον τῶν Ἰουδαίων ὑπὸ τῶν βαρβάρων κατασφαγέντα; ὡς ἑτέρους πολ-
λοὺς καὶ τότε καὶ νῦν διηνεκῶς; καὶ ἕτεροι δὲ πολλὰ ἁμαρτόντες ἀπῆλθον μὴ δόντες ἐνταῦθα δί-
40 κην, ὡς ὁ πλούσιος ἐπὶ τοῦ Λαζάρου, ὡς ἕτεροι πολλοί. ταῦτα δὲ ποιεῖ, καὶ τοὺς ἀπιστοῦντας
τοῖς μέλλουσι διεγείρων, καὶ τοὺς πιστεύοντας ἐργαζόμενος προθυμοτέρους, καὶ τοὺς ῥαθυμοῦν-
τας σπουδαιοτέρους ποιῶν. ὁ γὰρ Θεός, δίκαιος κριτὴς καὶ ἰσχυρός, καὶ μακρόθυμος, καὶ μὴ
ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἂν δὲ τῇ μακροθυμίᾳ εἰς ῥαθυμίαν χρησώμεθα, ἔσται
καιρός, ὅτε οὐδὲ βραχὺ μακροθυμήσει λοιπόν, ἀλλ' εὐθέως ἐπάξει τὴν δίκην. μὴ τοίνυν,

ἵνα

ἵνα μίαν ῥοπὴν τρυφήσωμεν (τοιοῦτος γὰρ ὁ παρὼν βίος) ἀπείρων αἰώνων ἐπισπασώμεθα κόλασιν, ἀλλὰ ῥοπὴν πονέσωμεν, ἵνα διηνεκῶς στεφανωθῶμεν. οὐχ ὁρᾶτε ὅτι καὶ ἐν τοῖς βιωτικοῖς οὕτως οἱ πλείους τῶν ἀνθρώπων ποιοῦσι, καὶ τὸν ὀλίγον πόνον αἱροῦνται παρὰ τὴν μακρὰν ἀνάπαυσιν, εἰ καὶ τοὐναντίον αὐτοῖς ἐκβαίνει; ἐνταῦθα μὲν γὰρ ἰσομοιρία τῶν πόνων καὶ κέρδους, πολλάκις δὲ τὸ ἔμπαλιν· ἐπὶ δὲ τῆς βασιλείας, ἀντιστρόφως· ὀλίγον μὲν τὸ ἐπίπονον, πολὺ δὲ τὸ ἡδὺ καὶ ἄπειρον. σκόπει δέ· ὁ γεωργὸς δι' ὅλου πονεῖται τοῦ ἔτους, καὶ πρὸς αὐτῷ τῷ τέλει τῆς ἐλπίδος ἐκπίπτει πολλάκις τοῦ καρποῦ τῶν πολλῶν πόνων. ὁ κυβερνήτης πάλιν, καὶ ὁ στρατιώτης, μέχρις ἡλικίας ἐσχάτης ἐν πολέμοις καὶ πόνοις, καὶ πολλάκις ἑκάτερος αὐτῶν ἀπῆλθε κενός, ὁ μὲν τοῦ πλούτου τῶν φορτίων, ὁ δὲ περὶ τῆς νίκης καὶ τῆς ζωῆς αὐτῆς ἐκπεσών. τίνα οὖν ἕξομεν ἀπολογίαν, εἰπέ μοι, ἐν μὲν τοῖς βιωτικοῖς τὰ ἐπίπονα προτιμῶντες, ἵνα μικρὸν ἀναπαυσώμεθα, ἢ οὐδὲ μικρόν (καὶ γὰρ ἄδηλος ἡ ἐλπίς) ἐν δὲ τοῖς πνευματικοῖς ἀντιστρόφως ποιοῦντες, καὶ ἄφατον κόλασιν ἐπισπώμενοι διὰ μικρὰν ῥαθυμίαν; διὸ παρακαλῶ πάντας ὑμᾶς, ὀψέ γοῦν ποτε ἐκ τῆς παραπληξίας ταύτης ἀνενεγκεῖν. οὐδεὶς γὰρ ἡμᾶς ἐξαιρήσεται ἐν ἐκείνῳ τῷ καιρῷ· οὐκ ἀδελφός, οὐ πατήρ, οὐ παῖδες, οὐ φίλοι, οὐ γείτων, οὐκ ἄλλος οὐδείς· ἀλλ' ἐὰν ἀπὸ τῶν ἔργων προδοθῶμεν, πάντα οἰχήσεται καὶ ἀπολούμεθα πάντως. πόσα ὁ πλούσιος ἐθρήνησεν ἐκεῖνος, καὶ τὸν πατριάρχην παρεκάλεσε, καὶ πεμφθῆναι τὸν Λάζαρον ᾔτησεν; ἀλλ' ἄκουσον τί πρὸς αὐτὸν ἔλεγεν ὁ Ἀβραάμ· Χάος μέγα μεταξὺ ἡμῶν καὶ ὑμῶν, ὥστε μηδὲ βουλομένοις ἐξεῖναι διαβῆναι. πόσα παρεκάλεσαν αἱ παρθένοι ἐκεῖναι τὰς ὁμήλικας ὑπὲρ ὀλίγου ἐλαίου; ἀλλ' ἄκουσον αἱ ἐκεῖναι τί λέγουσι· Μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· καὶ οὐδεὶς αὐτὰς ἴσχυσεν εἰς τὸν νυμφῶνα εἰσαγαγεῖν. ταῦτα δὴ λογιζόμενοι καὶ ἡμεῖς ἐπιμελώμεθα τῆς ἡμετέρας ζωῆς. ὅσους γὰρ ἂν εἴπῃς πόνους, καὶ ὅσας ἂν προσενέγκῃς τιμωρίας, οὐδὲν ἅπαντα ταῦτα ἔσται πρὸς τὰ μέλλοντα ἀγαθά. τίθει γοῦν, εἰ βούλει, πῦρ, καὶ σίδηρον, καὶ θηρία, καὶ εἴ τι τούτων χαλεπώτερον· ἀλλ' ὅμως οὐδὲ σκιὰ ταῦτα πρὸς ἐκεῖνα τὰ βασανιστήρια. ταῦτα μὲν γὰρ ὅταν ἐπιτεθῇ σφοδρότερον, τότε μάλιστα κοῦφα, ταχεῖαν ποιοῦντα τὴν ἀπαλλαγήν, τοῦ σώματος οὐκ ἀρκοῦντος καὶ εἰς σφοδρότητα καὶ εἰς μῆκος κολάσεως· ἐκεῖ δὲ οὐχ οὕτως, ἀλλ' ἀμφότερα συνέρχεται, καὶ ἡ παράτασις καὶ ἡ ὑπερβολή καὶ ἐν τοῖς χρηστοῖς, καὶ ἐν τοῖς λυπηροῖς. ἕως οὖν ἐστι καιρός, προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ἵνα ἥμερον αὐτὸν ἴδωμεν τότε καὶ γαληνόν, ἵνα τὰς ἀπειληφόρους δυνάμεις ἐκείνας διαφύγωμεν. οὐχ ὁρᾷς τοὺς ἐνταῦθα στρατιώτας, τοὺς τοῖς ἄρχουσι διακονουμένους, πῶς ἕλκουσι, πῶς δεσμοῦσι, πῶς μαστίζουσι, πῶς τὰς πλευρὰς διορύττουσι, πῶς τὰς λαμπάδας ταῖς βασάνοις προσάγουσιν; ἀλλὰ ταῦτα πάντα παίγνια καὶ γέλως πρὸς ἐκείνας τὰς τιμωρίας. καὶ γὰρ πρόσκαιροι αὗται αἱ κολάσεις· ἐκεῖ δὲ οὔτε ὁ σκώληξ τελευτᾷ, οὔτε τὸ πῦρ σβέννυται. καὶ γὰρ τὸ σῶμα πάντως ἄφθαρτον ἔσται τὸ ἀνιστάμενον τότε. ἀλλὰ μὴ γένοιτό ποτε πείρᾳ ταῦτα ἡμᾶς μαθεῖν, ἀλλὰ μέχρι ῥήματος στῆναι ἡμῖν τὰ φοβερά, μηδὲ παραδοθῆναι τοῖς βασανισταῖς ἐκείνοις, ἀλλ' ἐντεῦθεν σωφρονισθῆναι. πόσα τότε ἐροῦμεν ἑαυτῶν κατηγοροῦντες; πόσα ὀλοφυρούμεθα; πόσα οἰμώξομεν; ἀλλ' οὐδὲν ὄφελος λοιπόν. ἐπεὶ οὐδὲ ναῦται, τοῦ πλοίου διαλυθέντος καὶ καταδύντος, ὠφελῆσαι δυνήσονται λοιπόν, οὔτε ἰατροί, τοῦ κάμνοντος ἀπελθόντος· ἀλλ' ἐροῦσι μὲν πολλάκις, ὅτι τό, καὶ τὸ ἐχρῆν ποιῆσαι· πάντα δὲ εἰκῆ καὶ μάτην. ἕως μὲν γὰρ ἐκ τῆς διορθώσεως ἐλπίδες μένουσι, καὶ λέγειν ἅπαντα, καὶ ποιεῖν χρή· ἐπειδὰν δὲ μηκέτι κύριοι μηδενὸς ὦμεν, τοῦ παντὸς διαφθαρέντος, εἰκῆ καὶ λέγεται πάντα, καὶ γίνεται. καὶ γὰρ καὶ Ἰουδαῖοι ἐροῦσι τότε, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἀλλ' οὐδὲν ἀπὸ ταύτης ἀπώνασθαι δυνήσονται τῆς φωνῆς εἰς τὸ τὴν κόλασιν διαφυγεῖν. ὅτε γὰρ ἔδει εἰπεῖν, οὐκ εἶπον. ἵν' οὖν μὴ καὶ ἡμεῖς τοῦτο πάθωμεν, ἐντεῦθεν ἤδη μεταβαλώμεθα, καὶ σπουδάσωμεν εἰς ἐκείνην εἰσελθεῖν τὴν κατάπαυσιν, καθὼς εἶπεν ὁ ἀπόστολος.

Λουκ. ις. κς. — Ματθ. κε. θ. — Ιωαν. ιβ. ιγ.

Οὕτως

Ὅπου γὰρ ἐκείνη ἐστὶν ἡ ἀνάπαυσις, ἔνθα ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός· ἔνθα οὔτε φροντίδες, οὔτε πόνοι, οὔτε ἀγωνία, οὔτε φόβος καταπλήττων καὶ σείων τὴν ψυχήν· ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ φόβος, ἡδονῆς πλήρης ὤν. Οὐκ ἔστιν ἐν ἱδρῶτι τοῦ προσώπου φαγεῖν τὸν ἄρτον ἐκεῖ, οὐδὲ ἄκανθαι καὶ τρίβολοι· οὐκ ἔστιν ἐν λύπαις τίκτειν τέκνα, οὐδὲ, Πρὸς τὸν ἄνδρα 5 ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· πάντα εἰρήνη, χαρά, εὐφροσύνη, ἡδονή, ἀγαθωσύνη, πρᾳότης. Οὐκ ἔστιν ἐκεῖ ζηλοτυπία, οὐδὲ βασκανία, οὐ νόσος, οὐ θάνατος, οὐχ ὁ τοῦ σώματος, οὐκ ἐκεῖνος ὁ τῆς ψυχῆς. Οὐκ ἔστιν ἐκεῖ σκότος, οὐδὲ νύξ· πάντα ἡμέρα, πάντα φῶς, πάντα λαμπρά. Οὐκ ἔστι κάμνειν, οὐκ ἔστι κόρον λαβεῖν, ἀεὶ ἐν ἐπιθυμίᾳ τῶν ἀγαθῶν διατελέσομεν. Βούλεσθε δώσω τινὰ εἰκόνα ὑμῖν τῆς ἐκεῖ καταπαύσεως; Οὐκ ἔστι 10 δυνατόν· πλὴν ἀλλ' ὅμως, ὡς δυνατόν, πειρασόμεθα δοῦναι ὑμῖν τινα εἰκόνα. Ἀναβλέψωμεν εἰς τὸν οὐρανὸν, ὅταν, μηδενὸς ἐνοχλοῦντος νέφους, φαίνῃ τὸν ἑαυτοῦ στέφανον· εἶτα ὅταν τὸ κάλλος τῆς ὄψεως αὐτοῦ πολὺν διαβλέψαντες χρόνον, ἐννοήσωμεν ὅτι καὶ ἔδαφος ἕξομεν, καὶ οὐ τοιοῦτον μόνον, ἀλλὰ τοσοῦτον γινόμενον κάλλιον [ἴδωμεν,] ὅσον τῶν πηλίνων ὀρόφων ἐστὶν ὁ χρυσοῦς· καὶ μετ' ἐκεῖνον πάλιν, τὸν ἀνώτερον ὄροφον. Εἶτα τοὺς ἀγγέλους, τοὺς 15 ἀρχαγγέλους, τοὺς ἀπείρους δήμους τῶν ἀσωμάτων δυνάμεων, αὐτὰ τὰ τοῦ Θεοῦ βασίλεια, τὸν θρόνον τὸν πατρικόν. Ἀλλ' οὐκ ἰσχύει, ὅπερ ἔφθην, ὁ λόγος δηλῶσαι τὸ πᾶν. Πείρας γὰρ χρεία καὶ τῆς διὰ πείρας γνώσεως. Πῶς οἴεσθε, εἰπέ μοι, τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ εἶναι; Πολὺ ἐκείνης βελτίων ἐστὶν ἡ διαγωγὴ αὕτη, ὅσῳ τῆς γῆς οὐρανός. Πλὴν καὶ ἑτέραν εἰκόνα ἐπιζητήσωμεν. Εἰ συμβῇ τὸν βασιλεύοντα νῦν πάσης κρατῆσαι τῆς γῆς, 20 εἶτα μήτε ὑπὸ πολέμων, μήτε ὑπὸ φροντίδων ἐνοχλεῖσθαι, ἀλλὰ τιμᾶσθαι μόνον, καὶ τρυφᾶν, καὶ πολλοὺς ἔχειν φόρους, πάντοθεν δὲ τὸ χρυσίον αὐτῷ ἐπιρρεῖν, καὶ ἀποβλεπτὸν εἶναι· ποίαν οἴεσθε ἔχειν αὐτὸν ψυχήν, εἰ τοὺς πολέμους τοὺς πανταχοῦ τῆς γῆς πεπαυμένους ἑώρα; Τοιοῦτόν τι ἐστί. Μᾶλλον δὲ οὔπω τῆς εἰκόνος ἐφικόμην ἐκείνης, διὸ χρὴ ἑτέραν ἐπιζητῆσαι. Ἐννόησον δή μοι. Ὥσπερ γὰρ παιδίον βασιλικὸν, ἕως μὲν ἂν ἐν τῇ μήτρᾳ ᾖ, οὐδενὸς ἐ- 25 παισθάνεται· εἰ δὲ συμβῇ ἄφνω ἐξελθεῖν ἐκεῖθεν, καὶ ἐπὶ τὸν θρόνον ἀνελθεῖν τὸν βασιλικὸν, μὴ ἠρέμα, ἀλλ' ἀθρόον πάντα προσλαβεῖν, οὕτως ἐστὶν ἡ κατάπαυσις αὕτη κἀκείνη. Ἢ εἴ τις δεσμώτης μυρία παθὼν κακὰ, ἀθρόον ἐπὶ τὸν βασιλικὸν ἁρπαγῇ θρόνον· ἀλλ' οὐδὲ οὕτως ἐφικόμην ἀκριβῶς τῆς εἰκόνος. Ἐνταῦθα μὲν γὰρ ὧν ἄν τις ἐπιτύχῃ καλῶν, κἂν αὐτὴν εἴπῃς τὴν βασιλείαν, παρὰ μὲν τὴν πρώτην ἡμέραν ἀκμάζοντα ἔχει τὸν 30 πόθον, καὶ παρὰ τὴν δευτέραν, καὶ τὴν τρίτην· χρόνου δὲ προϊόντος, μένει μὲν ἐν ἡδονῇ, οὐ τοσαύτῃ δέ. Λήγει γὰρ ἀπὸ τῆς συνηθείας, οἷα ἂν ᾖ. Ἐκεῖ δὲ οὐ μόνον οὐ μειοῦται, ἀλλὰ καὶ ἐπιδίδωσιν. Ἐννόησον γὰρ ὅσον ἐστὶ ψυχὴν ἀπελθοῦσαν ἐκεῖ, μηκέτι τέλος προσδοκᾶν τῶν ἀγαθῶν ἐκείνων, μηδὲ μεταβολήν, ἀλλ' ἐπίδοσιν, καὶ ζωὴν τέλος οὐκ ἔχουσαν, καὶ ζωὴν παντὸς μὲν κινδύνου, πάσης δὲ ἀθυμίας καὶ φροντίδος ἀπηλλαγμένην, μεστὴν εὐθυ- 35 μίας καὶ μυρίων ἀγαθῶν. Εἰ γὰρ εἰς πεδίον ἐξιόντες ἐνταῦθα, ἔνθα σκηνὰς ὁρῶμεν στρατιωτῶν ἐκ παραπετασμάτων πηγνυμένας, καὶ δόρατα, καὶ κράνη, καὶ ὀφθαλμοὺς ἀσπίδων λάμποντας, μετέωροι γινόμεθα τῷ θαύματι· εἰ δὲ καὶ τὸν βασιλέα συμβῇ εἰς μέσον ἰδεῖν τρέχοντα μετὰ ὅπλων χρυσῶν, τὸ πᾶν ἔχειν νομίζομεν· τί οἴει, ὅταν τῶν ἁγίων ἴδῃς τὰς σκηνὰς τὰς αἰωνίους ἐν τῷ οὐρανῷ πεπηγυίας (Δέξονται γὰρ ἡμᾶς εἰς τὰς αἰωνίους, φησί, σκη- 40 νάς) ὅταν αὐτῶν ἕκαστον ὑπὲρ τὰς ἀκτῖνας τὰς ἡλιακὰς ἴδῃς ἀπολάμποντα, οὐκ ἀπὸ χαλκοῦ καὶ σιδήρου, ἀλλ' ἀπὸ τῆς δόξης ἐκείνης, ἧς τὰς μαρμαρυγὰς ἀνθρώπινος οὐ δύναται ὀφθαλμὸς ἰδεῖν; καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀνθρώπων· τί δ' ἄν τις εἴποι τὰς χιλιάδας τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, τῶν χερουβίμ, τῶν σεραφίμ, τῶν ἀρχῶν, τῶν ἐξουσιῶν, ὧν τὸ κάλλος ἀμήχανον, πάντα νοῦν ὑπερβαῖνον; ἀλλὰ γὰρ μέχρι τίνος οὐ στήσομαι διώκων ἀκίχητα;

Ἐκ τῆς ς. ὁμιλ. τ. ἑρμην. τῆς πρὸς Ἑβραί.

Λουκ. ις. θ.

α. Κορ. β. θ. — *Ἐκ τοῦ κγ. ὁμιλ. τῆς ἑρμην. τῆς πρὸς Ἑβρ. ἐπιστ.*

χητα; Οὔτε γὰρ ὀφθαλμὸς εἶδε, φησὶν, οὐδὲ οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Τί τοίνυν μακαριώτεροι τῶν ἐπιτυγχανόντων τῆς δόξης ἐκείνης; τί τῶν ἀποτυγχανόντων ἀθλιώτεροι; Εἰ γὰρ πατρίδος τις ἐκβεβλημένος ὑπὸ πάντων ἐλεεῖται, καὶ ὁ κληρονομίαν ἀπολέσας, δοκεῖ παρὰ πᾶσιν ἐλεεινὸς εἶναι· ὁ ἐκ τοῦ οὐρανοῦ ἐκπίπτων καὶ τῶν ἀποκειμένων ἀγαθῶν, πόσοις ὀφείλει δάκρυσι καταρραίνεσθαι; δακρύει γάρ τις, ὅταν τι πάθῃ τῶν ἀβουλήτων, ὧν οὐκ αὐτός ἐστιν αἴτιος· ὅταν δὲ ἐξ οἰκείας γνώμης ἑαυτὸν περιπείρῃ τῇ κακίᾳ, οὐδὲ δακρύων, ἀλλὰ θρήνων ἐστὶν ἄξιος, μᾶλλον δὲ καὶ τότε πένθους· ἐπεὶ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν Ἱερουσαλὴμ, καίτοι ἀσεβοῦσαν, ἐπένθησε καὶ ἐδάκρυσεν. οὕτως μυρίων ὀδυρμῶν ἄξιοί ἐσμεν καὶ μυρίων θρήνων. ἐὰν πᾶσα ἡ οἰκουμένη λαβοῦσα φωνὴν, καὶ λίθοι, καὶ ξύλα, καὶ δένδρα, καὶ θηρία, καὶ ὄρνιθες, καὶ ἰχθύες, ὀδύρηται ἡμᾶς τοὺς ἐκπεπτωκότας τῶν ἀγαθῶν ἐκείνων, οὐδὲν κατ' ἀξίαν ὀδυρεῖται, οὐδὲ θρηνήσει. ποῖος γὰρ λόγος παραστῆσαι δυνήσεται, ποῖος νοῦς ἐκείνην τὴν μακαριότητα,

α. Κορ. β. θ.

καὶ τὴν ἀρετὴν ἐκείνην, τὴν δόξαν, τὴν εὐφροσύνην, τὴν λαμπρότητα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη; οὐκ εἶπεν, ὅτι ὑπερβαίνει ἁπλῶς, ἀλλ', οὐδὲ ἐνενόησέ ποτέ τις, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ὧν γὰρ ἑτοιμαστὴς καὶ παρασκευαστὴς ὁ Θεὸς ἀγαθῶν, ὁποῖα εἰκὸς εἶναι ταῦτα; Εἰ γὰρ ποιήσας ἡμᾶς εὐθέως, οὐδενὸς παρ' ἡμῶν προϋπηργμένου, τοσαῦτα ἐχαρίσατο, παράδεισον, ὁμιλίαν τὴν μετ' αὐτοῦ, ἀθανασίαν, βίον μακάριον καὶ φροντίδων ἀπηλλαγμένον· τοῖς τοσαῦτα πεπονηκόσι καὶ ἠθληκόσι καὶ ὑπὲρ αὐτοῦ ὑπομείνασι τί οὐ χαρίσεται; τοῦ μονογενοῦς οὐκ ἐφείσατο δι' ἡμᾶς, τὸν υἱὸν τὸν γνήσιον εἰς θάνατον ἔδωκε δι' ἡμᾶς, τοὺς ἐχθροὺς ὄντας· τίνος οὐκ ἀξιώσει γενομένους φίλους; τίνος οὐ μεταδώσει καταλλάξας ἑαυτῷ; καὶ πλούσιός ἐστι σφόδρα ἀπείρως, καὶ ἐπιθυμεῖ καὶ σπουδάζει τῆς ἡμετέρας φιλίας τυχεῖν, ἡμεῖς οὐ σπουδάζομεν οὕτως, ἀγαπητοί. καὶ τί λέγω, οὐ σπουδάζομεν; οὐ θέλομεν οὔτε τυχεῖν αὐτοῦ τῶν ἀγαθῶν, ὡς αὐτὸς θέλει. καὶ ὅτι πλέον ἡμῶν θέλει, ὃ ἐποίησεν ἔδειξεν. ἡμεῖς μὲν γὰρ ὑπὲρ ἡμῶν αὐτῶν μόλις καταφρονοῦμεν ὀλίγου χρυσίου, αὐτὸς δὲ ὑπὲρ ἡμῶν καὶ τὸν υἱὸν ἔδωκε τὸν αὐτοῦ. χρησώμεθα εἰς δέον τῇ ἀγάπῃ τοῦ Χριστοῦ· ἀπολαύσωμεν αὐτοῦ τῆς φιλίας.

Ἰωάν. ιε ιδ.

Ὑμεῖς γὰρ φίλοι μου ἐστὲ, φησὶν, ἐὰν ποιῆτε ἃ λέγω ὑμῖν. Βαβαί· τοὺς ἐχθροὺς, τοὺς ἀπείρως αὐτοῦ διεστηκότας, ὧν ἀσυγκρίτῳ τῇ ὑπερβολῇ κατὰ πάντα διενήνοχε, τούτους φίλους ἐποίησε, καὶ καλεῖ φίλους. τί οὖν οὐχ αἱρετὸν παθεῖν ὑπὲρ ταύτης τῆς φιλίας; ὑπὲρ ἀνθρώπων φιλίας πολλάκις κινδυνεύομεν· ὑπὲρ δὲ τῆς τοῦ Χριστοῦ ἀγάπης οὐ χρήματα προησόμεθα; πένθους ὄντως ἄξια τὰ ἡμέτερα, πένθους, καὶ ὀδυρμῶν, καὶ ὀλοφυρμῶν μεγάλων, καὶ κοπετῶν. τῆς ἐλπίδος ἡμῶν ἐξεπέσαμεν, ἐταπεινώθημεν ἀπὸ τοῦ ὕψους ἡμῶν, ἀνάξιοι τῆς τιμῆς ἐφάνημεν τοῦ Θεοῦ, ἀγνώμονες μετὰ τὰς εὐεργεσίας γεγόναμεν καὶ ἀχάριστοι. ἐγύμνωσεν ἡμᾶς πάντων ὁ διάβολος τῶν ἀγαθῶν. οἱ καταξιωθέντες εἶναι υἱοὶ, ἀδελφοὶ, καὶ κληρονόμοι, τῶν ἐχθρῶν αὐτοῦ οὐδὲν διενηνόχαμεν τῶν ὑβριζόντων. Τίς ἡμῖν ἔσται παραμυθία λοιπόν; αὐτὸς ἡμᾶς ἐκάλεσε πρὸς τὸν οὐρανὸν, ἡμεῖς δὲ ἑαυτοὺς εἰς τὴν γέενναν ὠθήσαμεν. ἀρὰ καὶ ψεῦδος καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς. οἱ μὲν αἵματα ἐφ' αἵμασι μίσγουσιν, οἱ δὲ πράγματα πράττουσιν αἱμάτων χείρω. πολλοὶ γὰρ τῶν πλεονεκτουμένων μυρίους εὔχονται θανάτους, ἢ ταῦτα παθεῖν. καὶ εἰ μὴ τὸν τοῦ Θεοῦ φόβον ἐδεδοίκεσαν, καὶ διεχειρίσαντο ἑαυτοὺς, οὕτω φονεύοντες καθ' ἑαυτῶν. ταῦτα οὖν οὐχ αἱμάτων χείρω; οἴμοι ψυχή, Ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· νῦν καὶ ἡμεῖς βοήσωμεν περὶ ἡμῶν πρέπον· ἀλλά μοι τοῦ θρήνου συλλάβεσθε. τάχα τινὲς καὶ ὀνειδίζουσι καὶ γελῶσι. ἔδει γὰρ τοῦτο ἐπιτείνειν χρὴ τὸν θρῆνον, ὅτι οὕτω μαινόμεθα καὶ παραπαίομεν, καὶ οὐδ', ὅτι μαινόμεθα, ἴσμεν, ἀλλ' ἐφ' οἷς ἐχρῆν στένειν, γελῶμεν.

Ῥωμ. α ιη.

Ἀποκαλύπτεται, ἄνθρωπε, ὀργὴ ἀπὸ Θεοῦ,

Marginal variants: γρ. ἀκρίτῳ — * γρ. ἀπείροις — γρ. ἀδικουμένων — γρ. χειρῶντες

Θεοῦ, ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων. Ὁ Θεὸς ἐμφανῶς ἥξει, πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα· Ἡμέρα Κυρίου, ὡς κλίβανος καιόμενος, καὶ οὐδεὶς ταῦτα εἰς νοῦν βάλλεται, ἀλλὰ μύθων μᾶλλον καταπεφρόνηνται τὰ φρικώδη καὶ φοβερὰ πράγματα ταῦτα. καὶ ὁ ἀκούων οὐδείς, οἱ δὲ γελῶντες καὶ χλευάζοντες πάντες. τίς ἐστιν ἡμῖν πόρος; πόθεν σωτηρίας εὕρωμεν; ἀπολώλαμεν, παραπλώμεθα, γεγόναμεν τῶν ἐχθρῶν ἡμῖν κατάγελως, καὶ χλευασμὸς τῶν ἑλλήνων καὶ τῶν δαιμόνων. μέγα φρονεῖ νῦν ὁ διάβολος, καὶ γαυροῦται, καὶ χαίρει ἐν τῇ αἰχμαλωσίᾳ ἡμῶν. οἱ πιστευθέντες ἡμᾶς ἄγγελοι πάντες ἐν κατηφείᾳ, οὐδεὶς ὁ ἐπιστρέφων, εἰκῆ πάντα ἡμῖν ἀνάλωται, καὶ ἡμεῖς ὑμῖν δοκοῦμεν ληρεῖν. εὔκαιρον καὶ νῦν καλέσαι τὸν οὐρανόν, ὅτι οὐδεὶς ὁ ἀκούων, διαμαρτύρασθαι τὰ στοιχεῖα· Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, [ἡ] γῆ, ὅτι Κύριος ἐλάλησε. χεῖρα ὀρέξατε οἱ μηδέποτε καταβαπτισθέντες τοῖς ὑπὸ τῆς μέθης ἀπολωλόσιν, οἱ ὑγιαίνοντες τοῖς κάμνουσιν, οἱ νήφοντες τοῖς μαινομένοις. οἱ σπουδαῖοί τε καὶ ἑδραῖοι τοῖς περιφερομένοις. μηδείς, παρακαλῶ, χάριν τῆς σωτηρίας τοῦ φίλου προτιμάτω, καὶ ἡ ὕβρις καὶ ἡ ἐπιτίμησις εἰς ἓν ὁράτω μόνον, αὐτοῦ τὴν ὠφέλειαν. ὅταν πυρετὸς καταλάβῃ, καὶ δοῦλοι κρατοῦσι δεσποτῶν. ὅταν γὰρ ὀξεῖος ἐπικαίηται τὴν ψυχὴν συγχέων, ἀνδραπόδων δὲ ἰσμὸς περιεστήκει, οὐκ ἐπιγινώσκει τῶν νόμων τῶν δεσποτικῶν ἐν τῇ βλάβῃ τοῦ δεσπότου. συστρεφώμεθα ἑαυτοῖς, παρακαλῶ. πόλεμοι καθημερινοί, καταποντισμοί, ἀπώλειαι μυρίαι κύκλῳ. καὶ πανταχόθεν ἡ ὀργὴ τοῦ Θεοῦ ἡμᾶς περιτοιχίζεται· ἡμεῖς δὲ ὡς εὐαρεστοῦντες, οὕτως ἐσμὲν ἐν ἀδείᾳ. πάντες τὰς χεῖρας εἰς πλεονεξίαν ἐκτείνομεν, οὐδεὶς εἰς βοήθειαν· πάντες εἰς ἁρπαγήν, οὐδεὶς εἰς προστασίαν. ἕκαστος πλείονα τὰ ὄντα σπουδάζει ποιῆσαι, οὐδεὶς δὲ πρὸς τὸ βοηθῆσαι τῷ δεομένῳ. ἕκαστος πῶς προσθήσει τοῖς χρήμασι, πολλὴν ἔχει τὴν μέριμναν, οὐδεὶς δέ, ὅπως τὴν ψυχὴν αὐτοῦ διασώσῃ. φόβος εἷς ἔχει πάντας, μὴ πένητες, φησί, γενώμεθα· μὴ εἰς γέενναν δὲ ἐμπέσωμεν, οὐδεὶς ἀγωνιᾷ καὶ τρέμει. ταῦτα θρηνῶν, ταῦτα διαβολῆς ἄξια· ἀλλ' ἐπὶ ταῦτα οὐκ ἐβουλόμην λέγειν, ἀλλ' ὑπὸ τῆς ὀδύνης βιάζομαι. διὸ σύγγνωτε. ὑπὸ γὰρ τοῦ πένθους ἀναγκάζομαι πολλὰ καὶ ἃ οὐ βούλομαι φθέγγεσθαι. χαλεπὴν ὁρῶ τὴν πληγήν, ἀπαραμύθητον τὴν συμφοράν, παρακλήσεως μείζονα τὰ καταλαβόντα ἡμᾶς δεινά· ἀπολώλαμεν. Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς μου πηγὰς δακρύων; κλαύσωμεν, ἀγαπητοί, κλαύσωμεν, στενάξωμεν. τάχα τινές εἰσιν ἐνταῦθα λέγοντες, πάντοτε θρήνους ἡμῖν λέγεις; πάντοτε δάκρυα; οὐκ ἐβουλόμην, πιστεύσατε, οὐκ ἐβουλόμην, ἀλλ' ἐγκώμια καὶ ἐπαίνους διεξιέναι· νυνὶ δὲ τούτων ὁ καιρός. οὐ τὸ θρηνεῖν, ἀγαπητοί, χαλεπόν, ἀλλὰ τὸ θρήνων ἄξια ποιεῖν. οὐ τὸ ὀδύρεσθαι ἀποτρόπαιον, ἀλλὰ τὸ τὰ ὀδυρμῶν ἄξια πράττειν. μὴ κολασθῇς, καὶ οὐ πενθῶ· μὴ ἀποθάνῃς, καὶ οὐ κλαίω. σὺ δὲ ἂν μὲν τὸ σῶμά σου ἀλγῇ, πάντας παρακαλεῖς συναλγεῖν, καὶ ἀσυμπαθεῖς ἡγῇ τοὺς μὴ συναλγοῦντάς σοι· τῆς δὲ ψυχῆς ἀπολλυμένης, λέγεις μὴ πενθεῖν; ἀλλ' οὐ δύναμαι. πατὴρ γάρ εἰμι, καὶ πατὴρ φιλόστοργος. ἀκούετε οἷα βοᾷ ὁ Παῦλος; Τεκνία μου, οὓς πάλιν ὠδίνω. ποία γὰρ μήτηρ κύουσα οὕτω δεινὰς ἀφίησι φωνάς, ὡς ἐκεῖνος; εἴθε ἐνῆν ὑμῖν αὐτῆς τῆς διανοίας τὴν πυρὰν ἰδεῖν, καὶ εἴδετε ἄν, ὅτι πάσης γυναικὸς καὶ κόρης χηρείαν ἀωρὶ ὑποστάσης πλέον καίομαι. οὐχ οὕτως ἐκείνη τὸν ἄνδρα πενθεῖ τὸν ἑαυτῆς, οὐδὲ πατὴρ υἱόν, ὡς ἐγὼ τὸ πλῆθος τοῦτο τὸ παρ' ἡμῖν. οὐδεμίαν γὰρ ὁρῶ προκοπήν· πάντας εἰς διαβολὰς καὶ κατηγορίας, οὐδεὶς εἰς ἔργον τίθεται ἀρέσκειν Θεῷ, ἀλλὰ τὸν δεῖνα, φησί, λέγομεν κακῶς, καὶ τὸν δεῖνα· ὁ δεῖνα ἀνάξιος τοῦ κλήρου, ὁ δεῖνα ἀσέμνως βιοῖ· ὀφείλοντες τὰ ἡμέτερα πενθεῖν, κατακρίνομεν ἑτέρους· οὐδέ, εἰ καθαροὶ ὦμεν ἁμαρτημάτων, ὀφείλομεν τοῦτο ποιεῖν. Τίς γάρ σε διακρίνει, φησί; τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; τί δὲ κρίνεις τὸν ἀδελφόν σου μυρίων γέμων κακῶν;

ὅταν

Ψαλ. ϟϛ γ.

ἐναντίον

Μαλαχ. δ. α.

Ησ. α. β.

Ἱερ. θ. α.

Γαλ. δ. ιθ.

α. Κορ. δ. ζ.

καὶ σὺ

ὅταν εἴπῃς, ὁ δεῖνα μοχθηρός ἐστι, καὶ λυμεὼν, καὶ πονηρὸς, ἐννόησον σαυτὸν, καὶ ἐξέτασον τὰ σαυτοῦ ἀκριβῶς, καὶ μεταμεληθήσῃ ἐπὶ τοῖς λεχθεῖσιν. οὐ γάρ ἐστιν, οὐκ ἔστι πρὸς ἀρετὴν προτροπή τις τοιαύτη, οἵα ἁμαρτημάτων ἀνάμνησις. ἐὰν ταῦτα τὰ δύο στρέφωμεν περὶ ἑαυτοῖς, δυνησόμεθα τυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, δυνησόμεθα καθαίρειν ἑαυτοὺς καὶ ἀποσμήχειν· μόνον λάβωμεν ἔννοιάν ποτε, μεριμνήσωμεν τὸ πρᾶγμα, ἀγαπητοὶ, ἀλγήσωμεν ἐν τέως τῷ λογισμῷ, ἵνα μὴ ἀλγήσωμεν ἐκεῖ τῇ κολάσει, ἀλλ' ἵνα ἀπολαύσωμεν τῶν αἰωνίων ἀγαθῶν, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός· ἵνα τύχωμεν τῶν ὑπερβαινόντων τὴν ἀνθρωπίνην ἔννοιαν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λογ. με. ΠΕΡΙ ΤΟΥ ΜΗ ΠΕΝΘΕΙΝ ΣΦΟΔΡΩΣ ΤΟΥΣ τελευτῶντας.

Ἐκ τῆς ὁμιλ. μα. τῆς ἑρμ. τῆς πρὸς Κορινθ. α. ἐπισ.

Μὴ πενθῶμεν πικρῶς, ἀγαπητοὶ, τοὺς τελευτῶντας καὶ τοὺς ἐνθένδε ἀπιόντας· ἀλλὰ μᾶλλον θρηνήσωμεν καὶ κλαύσωμεν τοὺς κακῶς τὸν ἑαυτῶν βίον καταλύσαντας. ἐπεὶ καὶ γεωργὸς, ὅταν ἴδῃ τὸν σῖτον διαλυόμενον, οὐ θρηνεῖ, ἀλλ' ἕως μὲν ἂν βλέπῃ στερεὸν ἐν τῇ γῇ μένοντα, δέδοικε καὶ τρέμει· ἐπὰν δὲ ἴδῃ διαλυθέντα, χαίρει. ἀρχὴ γὰρ τῆς μελλούσης σπορᾶς, ἡ διάλυσις. οὕτω καὶ ἡμεῖς τότε χαίρωμεν, ὅταν πέσῃ ἡ οἰκία ἡ φθαρτὴ, ὅταν σπαρῇ ὁ ἄνθρωπος. καὶ μὴ θαυμάσῃς, εἰ σπορὰν τὴν ταφὴν ἐκάλεσε. καὶ γὰρ αὕτη βελτίων ἡ σπορά. ἐκείνην μὲν γὰρ διαδέχονται θάνατοι, καὶ πόνοι, καὶ κίνδυνοι, καὶ φροντίδες, ταύτην δὲ, ἂν ὀρθῶς βιῶμεν, στέφανοι καὶ βραβεῖα· καὶ τὴν μὲν φθορὰ καὶ θάνατος, τὴν δὲ ἀφθαρσία καὶ ἀθανασία καὶ τὰ μυρία ἀγαθά. ἐπ' ἐκείνης τῆς σπορᾶς συμπλοκαὶ, καὶ ἡδοναὶ, καὶ ὕπνος· ἐπὶ ταύτης δὲ φωνὴ μόνον ἐκ τῶν οὐρανῶν καταβαίνουσα, καὶ πάντα ἀθρόως τελεσφορεῖται· καὶ ὁ ἀνιστάμενος οὐκέτι λοιπὸν ἐπὶ βίον ἄγεται πολύμοχθον, ἀλλ' ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. εἰ δὲ καὶ προστασίαν ἐπιζητεῖς, καὶ διὰ τοῦτο θρηνεῖς τὸν ἄνδρα, ἐπὶ τὸν κοινὸν πάντων προστάτην καὶ σωτῆρα καὶ εὐεργέτην καταφύγε τὸν Θεὸν, ἐπὶ τὴν ἄμαχον συμμαχίαν, ἐπὶ τὴν εὔκολον βοήθειαν, ἐπὶ τὴν διηνεκῆ σκέπην, τὴν πανταχοῦ παροῦσαν, καὶ πανταχόθεν ἡμᾶς τειχίζουσαν. ἀλλ' ἡ συνήθεια ποθεινὸν καὶ ἐπέραστον. οἶδα κἀγώ. ἀλλ' ἐὰν ἐπιτρέψῃς τῷ λογισμῷ τὸ πάθος, καὶ λογίσῃ πρὸς ἑαυτὸν, τίς ὁ λαβὼν, καὶ ὅτι γενναίως ἐνεγκὼν, θυσίαν τὴν γνώμην ἀναφέρεις τῷ Θεῷ, καὶ τοῦτο τὸ κῦμα δυνήσῃ διαδραμεῖν· καὶ ὅπερ ὁ χρόνος οὐκ ἐργάζεται, τοῦτο ἡ φιλοσοφία ποιήσει. ἂν δὲ καταμαλακισθῇς, λήξει μὲν τῷ χρόνῳ τὸ πάθος, σοὶ δὲ οὐδένα τὸν μισθὸν οἴσει. μετὰ δὲ τῶν λογισμῶν τούτων καὶ παραδείγματα σύλλεγε, τὰ ἐν τῷ παρόντι βίῳ, τὰ ἐν ταῖς θείαις γραφαῖς. ἐννόησον ὅτι ὁ Ἀβραὰμ κατέσφαξε τὸν υἱὸν τὸν ἑαυτοῦ, καὶ οὔτε ἐδάκρυσεν, οὔτε πικρὸν ῥῆμα ἐξεβόησεν. ἀλλ' ἐκεῖνος Ἀβραὰμ, φησὶν, ἦν. καὶ μὴν σὺ ἐπὶ μείζονα ἐκλήθης σκάμματα. ὁ δὲ Ἰὼβ ἤλγησε μὲν, τοσοῦτον δὲ, ὅσον εἰκὸς πατέρα φιλόπαιδα καὶ σφόδρα κηδόμενον τῶν ἀπελθόντων· ὡς ἄγε νῦν ποιοῦμεν ἡμεῖς, ἐχθρῶν καὶ πολεμίων ἐστί. οὐδὲ γὰρ, εἴ τινος εἰς βασίλεια ἀπενεχθέντος καὶ στεφανωθέντος, ἐκόπτες σεαυτὸν καὶ ἐθρήνεις, φίλον ἄν σε τοῦ στεφανωθέντος ἔφην εἶναι, ἀλλ' ἐχθρὸν σφόδρα καὶ πολέμιον. ἀλλ' οὐδὲ νῦν ἐκεῖνον θρηνῶ, φησὶν, ἀλλ' ἐμαυτόν. ἀλλ' οὐδὲ τοῦτο φιλοῦντος, τὸ θέλειν ἔτι ἐναγώνιον εἶναι ἐκεῖνον διὰ σαυτὸν, καὶ ὑποκεῖσθαι τῇ ἀδηλίᾳ τοῦ μέλλοντος, δέον στεφανοῦσθαι καὶ προσορμεῖν, ἢ πελάγιον σαλεύειν, ἐξὸν ἐν λιμένι εἶναι. ἀλλ' οὐκ οἶδα ποῦ κεχώρηκε, φησι. διὰ τί οὐκ

οἶδας,

οἶδας, εἰπέ μοι; εἴτε γὰρ ὀρθῶς ἔζη, εἴτε ἑτέρως, δῆλον ποῦ χωρήσει. διὰ αὐτὸ γὰρ τοῦτο κόπτομαι, φησὶν, ὅτι ἁμαρτωλὸς ἀπῆλθε. σκῆψις ταῦτα καὶ πρόφασις. εἰ γὰρ διὰ τοῦτο τὸν ἀπελθόντα ἐθρήνεις, ζῶντα διαπλάσαι ἐχρῆν καὶ ῥυθμίσαι. ἀλλὰ τὰ σαυτοῦ σὺ πανταχοῦ σκοπεῖς, οὐ τὰ ἐκείνου. εἰ δὲ καὶ ἁμαρτωλὸς ἀπῆλθε, καὶ διὰ τοῦτο δεῖ χαίρειν, ὅτι ἐνεκόπη τὰ ἁμαρτήματα, καὶ οὐ προσέθηκε τῇ κακίᾳ, καὶ βοηθεῖν, ὡς ἂν οἷόν τε ᾖ, οὐ τῷ δακρύειν, ἀλλ' εὐχαῖς καὶ ἱκετηρίαις καὶ ἐλεημοσύναις καὶ προσφοραῖς. οὐ γὰρ ἁπλῶς ταῦτα ἐπινενόηται, οὐδὲ εἰκῆ μνήμην ποιούμεθα τῶν ἀπελθόντων ἐπὶ τῶν θείων μυστηρίων, καὶ ὑπὲρ αὐτῶν προσίεμεν δεόμενοι τοῦ ἀμνοῦ τοῦ κειμένου, τοῦ λαβόντος τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀλλ' ἵνα τις αὐτοῖς ἐντεῦθεν γένηται παραμυθία· οὐδὲ μάτην ὁ παρεστὼς τῷ θυσιαστηρίῳ τῶν φρικτῶν μυστηρίων τελουμένων βοᾷ, ὑπὲρ πάντων τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελουμένων. εἰ γὰρ μὴ ὑπὲρ αὐτῶν αἱ μνεῖαι ἐγίνοντο, οὐδ' ἂν ταῦτα ἐλέχθη. οὐ γάρ ἐστι σκηνὴ τὰ ἡμέτερα (μὴ γένοιτο) πνεύματος γὰρ διατάξει ταῦτα γίνεται. βοηθῶμεν τοίνυν αὐτοῖς, καὶ μνείαν ὑπὲρ αὐτῶν ἐπιτελῶμεν. εἰ γὰρ τοὺς παῖδας τοῦ Ἰὼβ ἐκάθαιρεν ἡ τοῦ πατρὸς θυσία, τί ἀμφιβάλλεις, εἰ καὶ ἡμῶν ὑπὲρ τῶν ἀπελθόντων προσφερόντων, γίνεταί τις αὐτοῖς παραμυθία; εἴωθε γὰρ ὁ Θεὸς καὶ ἑτέροις ὑπὲρ ἑτέρων χαρίζεσθαι, καὶ τοῦτο ἐδείκνυτο ὁ Παῦλος λέγων· Ἵνα ἐν πολλῷ προσώπῳ τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. *[β. Κορ. α. ια.]* μὴ δὴ ἀποκάμωμεν τοῖς ἀπελθοῦσι βοηθοῦντες, καὶ προσφέροντες ὑπὲρ αὐτῶν εὐχὰς τελείας. καὶ γὰρ τὸ κοινὸν τῆς οἰκουμένης κεῖται καθάρσιον, διὰ τοῦτο θαρροῦντες ὑπὲρ τῆς οἰκουμένης δεόμεθα τότε, καὶ μετὰ μαρτύρων αὐτοὺς καλοῦμεν, μετὰ ὁμολογητῶν, μετὰ ἱερέων. *[χ. λαμπρῶν]* καὶ γὰρ ἓν σῶμά ἐσμεν ἅπαντες, κἂν λαμπρότερα μέλη μελῶν· καὶ δυνατὸν πανταχόθεν συγγνώμην αὐτοῖς συναγαγεῖν ἀπὸ τῶν εὐχῶν, ἀπὸ τῶν ὑπὲρ αὐτῶν δώρων, ἀπὸ τῶν μετ' αὐτῶν καλουμένων. τί τοίνυν ἀλγεῖς, τί δὲ θρηνεῖς, ὁπότε τοσαύτην δυνατὸν συγγνώμην συναγαγεῖν τῷ ἀπελθόντι; ἀλλ' ὅτι σὺ γέγονας ἔρημος, καὶ προστάτην ἀπώλεσας; ἀλλὰ μηδέποτε τοῦτο εἴπῃς. οὐδὲ γὰρ τὸν Θεὸν ἀπώλεσας· ὥστε, ἕως ἂν τοῦτον ἔχῃς, καὶ αὐτὸς ἔσται σοι μείζων καὶ πατρὸς, καὶ παιδὸς, καὶ κηδεστοῦ. καὶ γὰρ καὶ ζώντων ἐκείνων, οὗτος ἦν ὁ τὰ πάντα ποιῶν. ταῦτα τοίνυν ἐννόει, καὶ λέγε κατὰ τὸν Δαβίδ· Κύριος φωτισμός μου, καὶ σωτήρ μου, τίνα φοβηθήσομαι; *[Ψαλ. κς. α.]* εἰπὲ, σὺ εἶ ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν, καὶ ἐπίσπασαι αὐτοῦ τὴν βοήθειαν, καὶ μᾶλλον αὐτὸν ἕξεις νῦν προνοοῦντα, ἢ πρότερον, ὅσον ἐν μείζονι καθέστηκας ἀπορίᾳ. ἀλλὰ παιδίον ἀπώλεσας; οὐκ ἀπώλεσας· μὴ λέγε· ὕπνος τὸ πρᾶγμά ἐστιν, οὐ θάνατος· μετάστασις, οὐκ ἀπώλεια· ἀποδημία ἀπὸ τῶν ἐλαττόνων ἐπὶ τὰ βελτίω. μὴ δὴ παρόξυνε τὸν Θεὸν, ἀλλ' ἵλεων ποίει. ἂν γὰρ ἐνέγκῃς γενναίως, ἔσται τις κἀντεῦθεν τῷ ἀπελθόντι καὶ σοὶ παραμυθία· ἂν δὲ τοὐναντίον ποιῇς, μᾶλλον ἐξάπτεις τὴν ὀργὴν τοῦ Θεοῦ. καὶ γὰρ εἰ, παιδὸς μαστιχθέντος ὑπὸ τοῦ δεσπότου, σὺ παρεστὼς ἐδυσχέραινες, μειζόνως ἂν παρώξυνας κατὰ σαυτοῦ τὸν δεσπότην. *[[illegible]]* μὴ δὴ ποίει τοῦτο, ἀλλ' εὐχαρίστει, ἵνα σοι καὶ ταύτῃ σκεδασθῇ τὸ νέφος τῆς ἀθυμίας. εἰπὲ κατὰ τὸν μακάριον ἐκεῖνον· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο. *[Ἰωβ. α. κα.]* ἐννόησον ὅσοι μᾶλλόν σου εὐαρεστοῦντες, οὐδὲ ἔλαβον τὴν ἀρχὴν παῖδας, οὐδὲ πατέρες ἐκλήθησαν. οὐδὲ γὰρ ἐγὼ, φησὶν, ἐβουλόμην. καὶ γὰρ βέλτιον ἦν μηδὲ πεῖραν λαβεῖν, ἢ μετὰ τὸ γεύσασθαι τῆς ἡδονῆς ἐκπεσεῖν. μὴ, παρακαλῶ, μὴ λέγε ταῦτα, μὴ παροργίσῃς καὶ ταύτῃ τὸν δεσπότην, ἀλλ' ὑπὲρ μὲν ὧν ἔλαβες, εὐχαρίστησον, ὑπὲρ δὲ ὧν οὐκ εἰς τέλος ἔσχες, δόξαζε. οὐκ εἶπεν ὁ Ἰὼβ, ὅτι βέλτιον ἦν μὴ λαβεῖν, τοῦτο ὃ σὺ λέγεις ἀγνωμόνως· ἀλλὰ καὶ ὑπὲρ ἐκείνων ηὐχαρίστει λέγων· Ὁ Κύριος ἔδωκε· καὶ ὑπὲρ τούτων ηὐλόγει, λέγων· Ὁ Κύριος ἀφείλετο· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. καὶ τὴν γυναῖκα οὕτως ἐπεστόμιζε δικαιολογούμενος πρὸς αὐτὴν, καὶ τὰ θαυμαστὰ ἐκεῖνα φθεγγόμε- *[χ. θαυμάσια]*

Ιωβ β. ι.

νος ῥήματα· Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; καίτοιγε μετὰ ταῦτα χαλεπώτερος γέγονεν ὁ πειρασμός, ἀλλ' ἐκεῖνος οὐδὲ οὕτως ἐξελύετο, ἀλλ' ὁμοίως ἔφερε γενναίως, καὶ ἐδόξαζε. τοῦτο καὶ σὺ ποίει καὶ λογίζου πρὸς ἑαυτόν, ὅτι οὐκ ἄνθρωπος ἔλαβεν, ἀλλ' ὁ Θεὸς ὁ ποιήσας, ὁ μᾶλλον σοῦ κηδόμενος, καὶ τὸ συμφέρον εἰδώς, οὐ πολέμιός τις, οὐδὲ ἐπίβουλος. ὅρα πόσοι ζῶντες ἀβίωτον τὸν βίον τοῖς γονεῦσιν ἐποίησαν. τοὺς δὲ γενναίους οὐχ ὁρᾷς, φησιν; ὁρῶ καὶ τούτους, ἀλλὰ καὶ τούτων ἀσφαλέστερα τὰ κατὰ τὸν παῖδα τὸν σόν. εἰ γὰρ καὶ εὐδοκιμοῦσιν, ἀλλ' ἐν ἀδήλῳ τὰ τοῦ τέλους αὐτῶν· ὑπὲρ δὲ ἐκείνου λοιπὸν οὐ δέδοικας, οὐδὲ τρέμεις, μήτι πάθῃ, ἢ μεταβολήν τινα δέξηται. ταῦτα καὶ ἐπὶ γυναικὸς λογίζου καλῆς καὶ οἰκουροῦ, καὶ ὑπὲρ πάντων εὐχαρίστει τῷ Θεῷ. κἂν ἀπολέσῃς γυναῖκα, δόξαζε. ἴσως σε εἰς ἐγκράτειαν ἀναγαγεῖν βούλεται ὁ Θεός, καὶ ἐπὶ μείζονα καλεῖ σκάμματα, ἐλευθερῶσαί σε τοῦ δεσμοῦ ἠθέλησεν. Εἰπὲ δή μοι, εἰ καθημένων ἡμῶν ἔπεμψεν ὁ βασιλεύς, τινὰ καλῶν εἰς τὰ βασίλεια, κλαίειν ἔδει καὶ θρηνεῖν, εἰπέ μοι; ἄγγελοι πάρεισιν ἐξ οὐρανῶν ἀπεσταλμένοι, κἀκεῖθεν ἥκοντες, παρ' αὐτοῦ πεμφθέντες τοῦ βασιλέως τὸν σύνδουλον καλέσαι τὸν αὐτῶν, καὶ σὺ κλαίεις, εἰπέ μοι; οὐκ οἶδας ὅσον μυστήριόν ἐστι τὸ γινόμενον; πῶς φρικτὸν καὶ φοβερὸν καὶ ὕμνων ἄξιον ὄντως καὶ αἴνων; βούλει μαθεῖν, ἵνα εἰδῇς ὅτι οὐχὶ δακρύων ὁ καιρός; τῆς γὰρ τοῦ Θεοῦ σοφίας μέγιστόν ἐστι μυστήριον. ὥσπερ τινὰ οἰκίαν ἀφεῖσα πρόεισιν ἡ ψυχὴ πρὸς τὸν ἑαυτῆς ἐπειγομένη δεσπότην· σὺ δὲ πενθεῖς; οὐκοῦν καὶ τικτομένου τοῦ παιδίου τοῦτο ποιεῖν ἐχρῆν. καὶ γὰρ τοῦτο τόκος ἐστὶν ἐκείνου πολλῷ βελτίων. πρόεισι γὰρ εἰς ἕτερον φῶς, ἀπολύεται, ὥσπερ ἀπὸ δεσμωτηρίου τινός, ὡς ἀπὸ ἀγῶνος ἔξεισι. ναί, φησιν· ἐπὶ μὲν τῶν εὐδοκίμων καλῶς ταῦτα λέγεις. τί οὖν πρὸς σέ, ἄνθρωπε, ὅτι οὐδὲ ἐπὶ εὐδοκίμων τοῦτο ποιεῖς; εἰπὲ γάρ μοι· τί τοῦ παιδίου καταγνῶναι ἔχοις ἂν τοῦ μικροῦ; τίνος ἕνεκεν πενθεῖς αὐτό; τί τοῦ νεοφωτίστου; καὶ γὰρ καὶ ἐκεῖνος εἰς τὸ αὐτὸ περιέστη. τίνος ἕνεκεν πενθεῖς, εἰπέ μοι; καθάπερ γὰρ ἥλιος καθαρὸς ἀνίεισιν, οὕτω καὶ ψυχὴ σῶμα ἀπολείπουσα μετὰ καθαροῦ συνειδότος λάμπει φαιδρόν. οὐχ οὕτω βασιλέα ἐπιβαίνοντα πόλεως μετὰ τοσαύτης σιγῆς ἐστιν ἰδεῖν, ὡς ψυχὴν ἀφεῖσαν σῶμα, καὶ μετ' ἀγγέλων ἀπιοῦσαν. ἐννόησον τίς ἐστιν ἡ ψυχή, ἐν οἵᾳ τότε ἐκπλήξει ἐστίν, ἐν οἵῳ θαύματι, ἐν οἵᾳ ἡδονῇ. τί πενθεῖς, εἰπέ μοι; ἀλλ' ἐπὶ ἁμαρτωλῶν τοῦτο μόνον ποιεῖς; εἴθε τοῦτο ἦν, καὶ οὐκ ἂν ἐκώλυσα τὰ πένθη· εἴθε τοιοῦτος ὁ σκοπὸς ἦν. οὗτος ὁ θρῆνος ἀποστολικός, οὗτος ὁ θρῆνος δεσποτικός. ἔκλαυσε γὰρ καὶ Ἰησοῦς τὴν Ἱερουσαλήμ. ἐβουλόμην τούτῳ διῃρῆσθαι τῷ νόμῳ τὰ πένθη· ὅταν δὲ ἀνακαλουμένου ῥήματα λέγῃς, καὶ συνῆσθαι, καὶ παράστασιν, οὐχὶ διὰ τοῦτο πενθεῖς, ἀλλὰ σκήπτῃ. πένθησον, στέναξον τὸν ἁμαρτωλόν· καὶ ἐγὼ καταίξω δάκρυα, καὶ ἐγὼ σοῦ μᾶλλον, ὅσῳ καὶ μείζονι τιμωρίᾳ ὑπεύθυνος ὁ τοιοῦτος. ἐγὼ θρηνήσω μετὰ τοιούτου σκοποῦ. οὐ σὲ δὲ μόνον τὸν τοιοῦτον δεῖ θρηνεῖν, ἀλλὰ καὶ τὴν πόλιν ἅπασαν καὶ τοὺς ἀπελθόντας, καθάπερ τοὺς ἐπὶ θάνατον ἀπαγομένους. ὄντως γὰρ θάνατος οὗτός ἐστι πονηρός, ὁ τῶν ἁμαρτωλῶν. ἀλλὰ τὰ ἄνω κάτω γεγένηται. οὗτος ὁ θρῆνος καὶ φιλοσοφίας ἐστί, καὶ διδασκαλίαν ἔχει πολλήν, ἐκεῖνος δὲ μικροψυχίαν. εἰ ἐθρηνοῦμεν τὸν θρῆνον τοῦτον ἅπαντες, ζῶντας ἂν αὐτοὺς διωρθώσαμεν. ὥσπερ γὰρ εἰ κύριος ἦς φάρμακα ἐπενεγκεῖν κωλύοντα τὸν θάνατον ἐκεῖνον τὸν σωματικόν, ἐποίησας ἄν· οὕτω καὶ νῦν, εἰ τοῦτον ἐθρήνεις τὸν θάνατον, ἐκώλυσας ἂν καὶ ἐπὶ σοῦ καὶ ἐπ' ἐκείνου τοῦτο γενέσθαι. νῦν δὲ αἴνιγμά ἐστι τὸ γινόμενον, κυρίους μὲν ὄντας μὴ συγχωρῆσαι τοῦτο ἐπελθεῖν, ἀφεῖναι γενέσθαι, γενόμενον δὲ πενθεῖν. ὄντως θρήνων ἄξιοι ὅταν παραστῶσι τῷ βήματι τοῦ Χριστοῦ, οἷα ἀκούσονται ῥήματα; οἷα πείσονται πράγματα; εἰκῆ ἔζησαν οὗτοι· μᾶλλον δὲ οὐκ εἰκῆ, ἀλλὰ καὶ ἐπὶ κακῷ. καὶ ἐπὶ τούτων εὔκαιρον εἰπεῖν· Συμφέρον ἦν αὐτοῖς εἰ οὐκ ἐγεννήθησαν. τί γὰρ ὄφελος, εἰπέ μοι, τοσοῦτον ἀναλῶσαι χρόνον ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς; εἰ γὰρ εἰκῆ μόνον ἀνήλωτο, οὐκ ἂν ἤρ-

κεσεν

Εκ τῆς κα. ὁμιλ. τ̃ ἑρμ. τ̃ εἰς πράξεις τῶν ἀπος.

Μαρκ ιδ. κα.

κεσιν ἡ ζημία; εἰπέ μοι· εἴ τις μισθωτὸς γενόμενος εἴκοσιν ἔτη κατακόπτοιτο εἰκῆ, οὐ
κλαύσεται καὶ θρηνήσει, καὶ δόξει πάντων ἐλεεινότερος εἶναι; οὕτω πᾶσαν τὴν ζωὴν εἰκῆ κα-
τεκόπη, οὐδὲ μίαν ἡμέραν ἔζησεν ἑαυτῷ, ἀλλὰ τῇ τρυφῇ, τῇ ἀσελγείᾳ, τῇ πλεονεξίᾳ,
τῇ ἁμαρτίᾳ, τῷ διαβόλῳ. τοῦτον οὖν οὐ θρηνήσομεν, εἰπέ μοι; οὐ πειρασόμεθα τῶν
5 κινδύνων ἐξαρπάσαι; ἔστι γάρ, ἔστιν, ἐὰν μόνον θέλωμεν, ἡμερωτέραν αὐτῷ γενέσθαι τὴν κό-
λασιν. εὐχὰς ὑπὲρ αὐτοῦ ποιῶμεν συνεχεῖς, ἐλεημοσύνην διδῶμεν, κἂν ἐκεῖνος ἀνάξι-
ος ᾖ, ἡμᾶς ὁ Θεὸς δυσωπηθήσεται. εἰ γὰρ Παῦλος ἕτερον ἠλέησε, καὶ δι' ἄλλους ἄλλον
ἐφείσατο, πολλῷ μᾶλλον ἡμᾶς τοῦτο δεῖ ποιεῖν. ἐκ τῶν ἐκείνου χρημάτων, ἐκ τῶν σῶν,
ὅθεν ἂν θέλῃς, βοήθησον, ἐπίσταξον ἔλαιον, μᾶλλον δὲ ὕδωρ. οὐκ ἔχει ἐλεημοσύνας οἰκείας
10 ἐπιδείξασθαι; κἂν συγγενικάς. οὐκ ἔχει τὰς ὑπ' αὐτοῦ γενομένας; κἂν τὰς ὑπὲρ αὐτοῦ,
ἵνα μετὰ παῤῥησίας αὐτὸν ἐξαιτῆται τότε ἡ γυνή, λύτρον ὑπὲρ αὐτοῦ καταθεμένη. ὅσῳ πλε-
ιόνων γέγονεν ἁμαρτημάτων ὑπεύθυνος, τοσούτῳ μείζονος αὐτῷ δεῖ τῆς ἐλεημοσύνης. οὐ
διὰ τοῦτο μόνον, ἀλλ' ὅτι οὐδὲ ἴσην ἔχει τὴν ἰσχὺν νῦν, ἀλλ' ἐλάττω πολλῷ. οὐ γάρ ἐστιν ἴσον
αὐτόν τινα ποιῆσαι, καὶ ἕτερον ὑπὲρ αὐτοῦ. ὡς οὖν ἐλάττονος οὔσης, οὕτω καὶ τῷ πλήθει με-
15 γίστην ποιῶμεν αὐτήν. μὴ περὶ σήματα, μὴ περὶ ἐντάφια ἀσχολώμεθα· τοῦτο ἐντάφιον μέγι-
στον· περιστήσον χήρας, εἰπὲ τοὔνομα, πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις καὶ
τὰς ἱκετηρίας· δυσωπήσει τοῦτο τὸν Θεόν. εἰ καὶ μὴ ὑπ' αὐτοῦ γένηται, ἀλλὰ δι' αὐτὸν ἕ-
τερος γὰρ αἴτιος τῆς ἐλεημοσύνης· καὶ τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστί. χῆραι πε-
ριεστῶσαι καὶ δακρύουσαι, οὐχὶ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος ἴσασιν ἐξαρπάσαι θα-
20 νάτου. πολλοὶ καὶ τῶν ὑφ' ἑτέρων δι' αὐτοὺς γενομένων ἐλεημοσυνῶν ἀπώναντο.
εἰ γὰρ καὶ μὴ τέλεον, ἀλλ' ὅμως παραμυθίαν εὗρόν τινα. εἰ μὴ τοῦτό ἐστι, πῶς τὰ παι-
δία σώζεται; καίτοιγε ἐκεῖ οὐδὲν αὐτὰ εἰσφέρει, ἀλλ' ὁ γονεὺς τὸ πᾶν. καὶ γυναιξὶν εὐ-
χαρίσθη παιδία πολλάκις, οὐδὲν αὐτὰ εἰσενεγκόντα. πολλὰς ἡμῖν ὁ Θεὸς τοῦ σώζεσθαι
δίδωσιν ὁδούς, μόνον μὴ ἀμελῶμεν. τί οὖν ἂν πένης ᾖ, φησί; πάλιν ἐρῶ, τὸ πολὺ τῆς ἐλεη-
25 μοσύνης οὐκ ἐν τῷ διδομένῳ κρίνεται μόνον, ἀλλὰ καὶ ἐν τῇ προαιρέσει· μόνον μὴ δῷς ἔ-
λαττον τῆς δυνάμεως, καὶ τὸ πᾶν ἐξέτισας. τί οὖν, φησίν, ἂν ἔρημος ᾖ, καὶ ξένος, καὶ μηδένα
ἔχῃ; διὰ τί γὰρ μηδένα ἔχει, εἰπέ μοι; τούτῳ αὐτῷ δίδως δίκην, ὅτι μηδένα ἔχεις σαυτῷ
φίλον οὕτως ἐνάρετον. τοῦτο οὖν γίνεται, ἵνα, κἂν αὐτοὶ μὴ ὦμεν ἐνάρετοι, σπουδάζωμεν
ἑταίρους καὶ φίλους ἐναρέτους ἔχειν, καὶ γυναῖκα, καὶ υἱόν, καὶ φίλον, ὡς καρπούμενοί τι καὶ δι' αὐ-
30 τῶν· μικρὸν μέν, καρπούμενοι δὲ ὅμως. ἂν σπουδάσῃς μὴ πλουτοῦσαν, ἀλλ' εὐλαβῆ γυ-
ναῖκα ἀγαγέσθαι, ταύτης ἀπολαύσῃ τῆς παραμυθίας. ἂν σπουδάσῃς μὴ πλουτοῦντα
υἱὸν καταλιπεῖν, ἀλλ' εὐλαβῆ, καὶ θυγάτριον σεμνόν, καὶ ταύτης ἀπολαύσῃ τῆς παραμυθίας.
ἂν ταῦτα σπουδάσῃς, καὶ αὐτὸς ἔσῃ τοιοῦτος. καὶ τοῦτο μέρος ἀρετῆς, τοιούτους αἱρεῖσθαι καὶ
φίλους, καὶ γυναῖκα, καὶ παιδία. οὐκ εἰκῆ προσφοραὶ ὑπὲρ τῶν ἀπελθόντων γίνονται,
35 οὐκ εἰκῆ ἱκετηρίαι, οὐκ εἰκῆ ἐλεημοσύναι. ταῦτα πάντα τὸ πνεῦμα διέταξε, δι' ἀλ-
λήλων ἡμᾶς ὠφελεῖσθαι βουλόμενον. ὅρα· ὠφελεῖται ἐκεῖνος διὰ σοῦ, ὠφελῇ σὺ δι' ἐκεῖ-
νον. κατεφρόνησας χρημάτων προαχθεὶς ἐργάσασθαί τι γενναῖον, καὶ σὺ αὐτῷ τῆς σωτη-
ρίας, καὶ αὐτός σοι τῆς ἐλεημοσύνης γέγονεν αἴτιος. μὴ ἀμφίβαλλε, ὅτι καρπώσεταί τι χρηστόν.
οὐχ ἁπλῶς ὁ διάκονος βοᾷ, ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν
40 ἐπιτελουμένων. οὐχ ὁ διάκονός ἐστιν ὁ ταύτην ἀφιεὶς τὴν φωνήν, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον, τὸ
χάρισμα λέγω. τί λέγεις; ἐν χερσὶν ἡ θυσία, καὶ πάντα πρόκειται εὐτρεπισμένα, πάρεισιν
ἄγγελοι, ἀρχάγγελοι, πάρεστιν ὁ υἱὸς τοῦ Θεοῦ, μετὰ τοσαύτης φρίκης ἑστήκασιν ἅπαντες, παρεστή-
κασιν ἐκεῖνοι βοῶντες πάντων σιγώντων, καὶ οἴει ἁπλῶς γίνεσθαι τὰ λεγόμενα; οὐκοῦν καὶ
τὰ ἄλλα ἁπλῶς, καὶ τὰ ὑπὲρ τῆς ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα, καὶ τὰ ὑπὲρ

τοῦ πληρώματος; μὴ γένοιτο. ἀλλὰ πάντα μετὰ πίστεως γίνεται. τί οἴει δὲ τὸ ὑπὲρ μαρτύρων προσφέρεσθαι; τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ ὥρᾳ, κἂν μάρτυρες ὦσι, κἂν ὑπὲρ μαρτύρων, μεγάλη τιμὴ τὸ ὀνομασθῆναι, τοῦ δεσπότου παρόντος, τῆς μνείας ἐπιτελουμένης ἐκείνης, τῆς φρικτῆς θυσίας, τῶν ἀφάτων μυστηρίων. καθάπερ γὰρ, καθημένου τοῦ βασιλέως, ὅσα ἄν τις βούληται, ἀνύει, ἐγερθέντος δὲ, ὅσα ἂν λέγῃ, εἰκῆ ἐρεῖ· οὕτω καὶ τότε· ἕως ἂν πρόκειται τὰ τῶν μυστηρίων, πᾶσι τιμὴ μεγίστη, τὸ μνήμης ἀξιοῦσθαι. ὅρα γάρ· καταγγέλλεται τότε τὸ μυστήριον τὸ φρικτὸν, ὅτι ὑπὲρ τῆς οἰκουμένης ἔδωκεν ἑαυτὸν ὁ Θεός· μετὰ τοῦ θαύματος ἐκείνου εὐκαίρως ὑπομιμνήσκει αὐτοὺς τῶν ἡμαρτηκότων. καθάπερ γὰρ ὅταν ἐπινίκια τῶν βασιλέων ἄγηται, τότε εὐφημοῦνται μὲν καὶ ὅσοι τῆς νίκης ἐκοινώνησαν, ἀφίενται δὲ καὶ ὅσοι ἐν δεσμοῖς εἰσι διὰ τὸν καιρόν· παρελθόντος δὲ τοῦ καιροῦ, ὁ μὴ τυχὼν οὐκέτι τινὸς ἀπολαύει, οὕτω δὴ καὶ ἐνταῦθα. τῶν ἐπινικίων οὗτος ὁ καιρός. Ὁσάκις γὰρ ἂν, φησιν, ἐσθίητε τὸν ἄρτον τοῦτον, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. μηδὲ ἁπλῶς παρεισίωμεν, μηδὲ ὡς ἔτυχε ταῦτα γίνεσθαι νομίζωμεν. ἄλλως δὲ μαρτύρων μεμνήμεθα, καὶ τοῦτο εἰς πίστιν, ὅτι οὐ τέθνηκεν ὁ Κύριος· καὶ τοῦτο τὸ τεθανατῶσθαι τὸν θάνατον σημεῖον, τοῦ νεκροὺς αὐτοὺς γεγενῆσθαι. ταῦτα εἰδότες, ἐπινοῶμεν ὅσας δυνάμεθα παραμυθίας τοῖς ἀπελθοῦσιν, ἀντὶ δακρύων, ἀντὶ θρήνων, ἀντὶ μνημείων τὰς ἐλεημοσύνας, τὰς εὐχὰς, τὰς προσφοράς· ἵνα κἀκεῖνοι καὶ ἡμεῖς τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς υἱοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

α. Κορ ια κϛ.

Λογ. μϛ.

ΟΤΙ, ΕΙ ΚΑΙ ΠΑΝΤΩΝ ΑΜΑΡΤΗΜΑΤΩΝ ἐσμὲν ὑπεύθυνοι, δυνάμεθα καὶ δι' ἐξαγορεύσεως σωθῆναι, καὶ ὅτι ἕκαστος ἡμῶν τῶν πιστῶν ἄγγελον ἔχει φύλακα, καὶ περὶ τῶν ἱερέων.

ΤΩν ἀνθρώπων, ἀγαπητοὶ, οἱ μὲν καὶ ἐνταῦθα κολάζονται καὶ ἐκεῖ, οἱ δὲ ἐνταῦθα μόνον, οἱ δὲ ἐκεῖ μόνον, οἱ δὲ οὐδὲ ἐνταῦθα, οὐδὲ ἐκεῖ. ἐνταῦθα μὲν καὶ ἐκεῖ, ὡς οἱ σταυρωταὶ τοῦ Χριστοῦ. καὶ γὰρ καὶ ἐνταῦθα ἔδοσαν δίκην, ἡνίκα ἔπαθον τὰ ἀνήκεστα ἐκεῖνα, τῆς πόλεως ἁλούσης· καὶ ἐκεῖ χαλεπωτάτην ὑπομένουσιν, ὡς οἱ Σοδόμων πολῖται, ὡς ἕτεροι πολλοί· ἐκεῖ δὲ μόνον, ὡς ὁ πλούσιος ὁ ἀποτηγανιζόμενος, καὶ οὐδὲ σταγόνος κύριος ὤν· ἐνταῦθα δὲ, ὡς ὁ πεπορνευκὼς παρὰ Κορινθίοις· οὔτε δὲ ἐνταῦθα, οὔτε ἐκεῖ, ὡς οἱ ἀπόστολοι, ὡς οἱ προφῆται, ὡς ὁ μακάριος Ἰώβ. οὐ γὰρ δὴ κολάσεως ἦν ἅπερ ἔπαθον, ἀλλ' ἀγώνων καὶ παλαισμάτων. σπουδάσωμεν τοίνυν τῆς τούτων εἶναι μερίδος· εἰ δὲ μὴ τούτων, κἂν τῶν ἐνταῦθα ἀποδυομένων τὰ ἁμαρτήματα. καὶ γὰρ φοβερὸν ἐκεῖνο τὸ κριτήριον, καὶ ἀπαραίτητος ἡ τιμωρία, καὶ ἀνήκεστος ἡ κόλασις. εἰ δὲ βούλει μηδὲ ἐνταῦθα δοῦναι δίκην, σαυτῷ δίκασον· ἀπαίτησον σου τὰς εὐθύνας· ἄκουσον Παύλου λέγοντος, Ὅτι εἰ ἐκρίνομεν ἑαυτοὺς, οὐκ ἂν ἐκρινόμεθα. ἂν τοῦτο ποιῇς, ἐνδῶ προβαίνων καὶ ἐπὶ στέφανον ἥξεις. καὶ πῶς ἀπαιτήσομεν δίκην, φησὶν, ἑαυτούς; πένθησον, στέναξον πικρὸν, ταπείνωσον σαυτὸν, κάκωσον, ἀνάμνησον τῶν ἁμαρτημάτων κατ' εἶδος. οὐ μικρὰ τοῦτο βάσανος ψυχῆς. εἴ τις γέγονεν ἐν κατανύξει, οἶδεν ὅτι μάλιστα πάντων ἡ ψυχὴ τούτῳ κολάζεται· εἴ τις γέγονεν ἐν ἁμαρτίας μνήμῃ, οἶδε τὴν ἐντεῦθεν ὀδύνην. διὰ τοῦτο δικαιοσύνην ἔπαθλον τίθησιν ὁ Θεὸς τῇ τοιαύτῃ μετανοίᾳ, λέγων· Λέγε σὺ πρῶτον τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς. οὐ γάρ ἐστιν, οὐκ ἔστι μικρὸν εἰς διόρθωσιν τὸ πάντα συναγαγόντα τὰ ἁμαρτήματα, κατ' εἶδος αὐτὰ στρέφειν συνεχῶς, καὶ ἀναλογίζεσθαι. ὁ γὰρ τοῦτο ποιῶν οὕτω κατανυγήσεται, ὡς μήτε τοῦ

α. Κορ. ια λα.

ζῆν ἑαυτὸν ἄξιον εἶναι νομίζειν. ὁ δὲ τοῦτο νομίζων, καὶ ἀέρος παντὸς ἁπαλώτερος ἔσται. μὴ γάρ μοι πορνείας εἴπῃς μόνον, μηδὲ ταῦτα τὰ δῆλα· ἀλλὰ καὶ τὰς λαθραίους ἐπιβουλάς, καὶ τὰς συκοφαντίας, καὶ τὰς κακηγορίας, καὶ τὰς κενοδοξίας, καὶ τὸν φθόνον, καὶ πάντα τὰ τοιαῦτα συνάγειν χρή. οὐδὲ γὰρ ταῦτα μικρὰν οἴσει κόλασιν. καὶ γὰρ καὶ ὁ λοίδορος εἰς γέενναν ἐμπεσεῖται, καὶ ὁ μεθύων οὐδὲν κοινὸν ἔχει πρὸς τὴν βασιλείαν, καὶ ὁ μὴ ἀγαπῶν τὸν πλησίον οὕτω προσκρούει τῷ Θεῷ, ὡς μηδὲ μαρτυρήσαντος αὐτοῦ ὠφελεῖσθαι, καὶ ὁ τῶν οἰκείων ἀμελῶν τὴν πίστιν ἤρνηται, καὶ ὁ πένητας περιορῶν εἰς τὸ πῦρ πέμπεται. μὴ τοίνυν μικρὰ ταῦτα εἶναι νόμιζε, ἀλλὰ συνάγαγε πάντα, καὶ ὡς ἐν βιβλίῳ γράφε. ἂν γὰρ σὺ γράψῃς, ὁ Θεὸς ἐξαλείφει, ὥσπερ οὖν, ἐὰν μὴ σὺ γράψῃς, ὁ Θεὸς καὶ ἐγγράφει, καὶ δίκην ἀπαιτεῖ. πολὺ τοίνυν βέλτιον παρ' ἡμῶν αὐτὰ γράφεσθαι, καὶ ἄνωθεν ἐξαλείφεσθαι, ἢ τοὐναντίον, ἡμῶν ἐπιλανθανομένων, τὸν Θεὸν αὐτὰ πρὸ τῶν ὀφθαλμῶν ἐνεγκεῖν τῶν ἡμετέρων κατὰ τὴν ἡμέραν ἐκείνην. ἵν' οὖν μὴ τοῦτο γένηται, πάντα μετ' ἀκριβείας ἀναλογιζώμεθα, καὶ εὑρήσομεν πολλῶν ἑαυτοὺς ὑπευθύνους ὄντας. τίς γὰρ πλεονεξίας καθαρός; μὴ γάρ μοι τὸ μέτρον εἴπῃς· ἀλλὰ καὶ τῷ μικρῷ τὴν αὐτὴν δώσομεν δίκην. τοῦτο ἐννόει, καὶ μετανόει. τίς ὕβρεως ἀπήλλακται; τοῦτο δὲ εἰς γέενναν ἐμβάλλει. τίς λάθρᾳ τὸν πλησίον οὐ κακηγόρησε; τίς οὐκ ἀπενοήθη; οὗτος δὲ πάντων ἀκαθαρτότερος. τίς δὲ οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς γυναῖκα; οὗτος δὲ μοιχὸς ἀπηρτισμένος. τίς οὐκ ὠργίσθη τῷ ἀδελφῷ εἰκῆ; οὗτος δὲ ἔνοχος τῷ συνεδρίῳ. τίς οὐκ ὤμοσεν; οὗτος δὲ τοῦ πονηροῦ. τίς οὐκ ἐπιώρκησεν; οὗτος δὲ τοῦ πονηροῦ πλέον. τίς οὐκ ἐδούλευσε τῷ μαμωνᾷ; οὗτος δὲ τῆς γνησίας ἐξέπεσε τοῦ Χριστοῦ δουλείας. ἔχω καὶ ἕτερα πλείονα τούτων εἰπεῖν· ἀλλ' ἀρκεῖ καὶ ταῦτα, καὶ ἱκανὰ τὸν μὴ λίθον ὄντα μηδὲ σφόδρα ἀναίσθητον εἰς κατάνυξιν ἀγαγεῖν. εἰ γὰρ ἕκαστον αὐτῶν εἰς γέενναν ἐμβάλλει, πάντα ὁμοῦ συνελθόντα τί οὐκ ἐργάσεται; Ὁρᾶτε, φησι, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. οἱ γὰρ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ἕκαστος γὰρ πιστὸς ἄγγελον ἔχει. ἐπεὶ καὶ ἐξ ἀρχῆς ἕκαστος ἀνὴρ τῶν εὐδοκίμων ἄγγελον εἶχε, καθώς φησιν ὁ Ἰακώβ· Ὁ ἄγγελος ὁ τρέφων με, καὶ ὁ ῥυόμενός με ἐκ νεότητός μου. εἰ τοίνυν ἀγγέλους ἔχομεν, νήφωμεν, καθάπερ παιδαγωγῶν τινων ἡμῖν παρόντων. πάρεστι γὰρ καὶ δαίμων. διὰ τοῦτο εὐχόμεθα καὶ λέγομεν, τὸν ἄγγελον αἰτοῦντες τῆς εἰρήνης, καὶ πανταχοῦ εἰρήνην αἰτοῦμεν (οὐδὲν γὰρ ταύτης ἴσον) ἐν ταῖς ἐκκλησίαις εἰρήνην, ἐν ταῖς εὐχαῖς, ἐν ταῖς λιταῖς, ἐν ταῖς προσρήσεσι· καὶ ἅπαξ καὶ δὶς καὶ τρὶς καὶ πολλάκις αὐτὴν δίδωσιν ὁ τῆς ἐκκλησίας προεστώς. Εἰρήνη ὑμῖν. διὰ τί; ὅτι αὕτη μήτηρ πάντων τῶν ἀγαθῶν ἐστιν, αὕτη τῆς χαρᾶς ὑπόθεσις. διὰ τοῦτο καὶ ὁ Χριστὸς εἰσιοῦσιν εἰς τὰς οἰκίας τοῖς ἀποστόλοις τοῦτο λέγειν προσέταξεν εὐθέως, καθάπερ τι σύμβολον τῶν ἀγαθῶν. Εἰσερχόμενοι γάρ, φησιν, εἰς τὰς οἰκίας λέγετε, Εἰρήνη ὑμῖν. ταύτης γὰρ οὐκ οὔσης, πάντα περιττά. καὶ ὁ Χριστὸς τοῖς μαθηταῖς ἔλεγεν· Εἰρήνην ἀφίημι ὑμῖν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. αὕτη τῇ ἀγάπῃ προοδοποιεῖ. καὶ οὐ λέγει ὁ τῆς ἐκκλησίας προεστώς, εἰρήνη ὑμῖν ἁπλῶς, ἀλλ', εἰρήνη πᾶσι. τί γάρ, ἂν μετὰ τοῦδε μὲν εἰρήνην ἔχωμεν, μεθ' ἑτέρου δὲ πόλεμον καὶ μάχην, τί τὸ κέρδος; οὐδὲ γὰρ ἐν τῷ σώματι, ἂν τὰ μὲν ἡσυχάζῃ τῶν στοιχείων, τὰ δὲ διαστασιάζῃ, δυνατὸν ὑγείαν συνεστάναι ποτέ, ἀλλὰ διὰ τῆς ἁπάντων εὐταξίας καὶ συμφωνίας καὶ εἰρήνης. κἂν μὴ πάντα ἡσυχάζῃ, καὶ ἐπὶ τῶν οἰκείων ὅρων μένῃ, πάντα ἀνατρέπεται. καὶ ἐν τῇ διανοίᾳ δὲ τῇ ἡμετέρᾳ, ἂν μὴ πάντες ἡσυχάζωσιν οἱ λογισμοί, εἰρήνη οὐκ ἔσται. τοσοῦτόν ἐστιν ἀγαθὸν ἡ εἰρήνη, ὡς υἱοὺς Θεοῦ καλεῖσθαι τοὺς αὐτῆς ποιητὰς καὶ δημιουργούς. εἰκότως· ἐπεὶ καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἐπὶ τούτῳ ἦλθεν εἰς τὴν γῆν, εἰρηνοποιήσων τὰ ἐν τῇ γῇ, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. εἰ δὲ οἱ εἰρηνοποιοὶ υἱοὶ Θεοῦ, οἱ νεωτεροποιοὶ υἱοὶ διαβόλου. τί λέγεις; ἔριδας καὶ μάχας ἐμβάλλεις; καὶ τίς οὕτως ἄθλιος, φησίν; εἰσὶ γὰρ πολλοὶ χαίροντες ἐπὶ

Ἐκ τῆς γ. ὁμιλ. τῆς [illegible] πρὸς Κολ. ἐπισ.

Ματθ. ιη. ι.

Γεν. μη. ιϛ.

Ματθ. ι. ιβ.

Ἰωαν. ιδ. κζ.

τοῖς κακοῖς, καὶ τὸ σῶμα τοῦ Χριστοῦ διασπῶντες μᾶλλον, ἢ ὁ στρατιώτης τῇ λόγχῃ διέτρημεν, ἢ Ἰουδαῖοι τοῖς ἥλοις διέκοψαν. ἐκεῖνο τούτου ἔλαττον τὸ κακόν. ἐκεῖνα διαιρεθέντα τὰ μέλη πάλιν συνήφθη· ταῦτα δὲ ἀποσπασθέντα, ἂν ἐνταῦθα μὴ συναφθῇ, οὐκέτι συναφθήσονται, ἀλλὰ μένει τοῦ πληρώματος ἔξω. ὅταν βούλῃ τῷ ἀδελφῷ πολεμῆσαι, ἐννόησον ὅτι τοῖς μέλεσι τοῦ Χριστοῦ πολεμεῖς, καὶ παῦσαι τῆς μανίας. τί γὰρ εἰ ἀπερριμμένος ἐστί; τί γὰρ εἰ εὐτελής; τί γὰρ εἰ εὐκαταφρόνητος; Οὕτως οὐκ ἔστι θέλημα, φησὶν, ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. καὶ πάλιν· Οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. ὁ Θεὸς δι᾽ αὐτὸν καὶ σὰρξ καὶ δοῦλος ἐγένετο, καὶ ἐσφάγη· σὺ δὲ οὐδὲν αὐτὸν εἶναι νομίζεις; εἰ οὐκ οἴκοι μάχῃ καὶ κατὰ τοῦτο τῷ Θεῷ, τὰς ἐναντίας αὐτῷ φέρων ψήφους; ὅταν εἰσέλθῃ ὁ τῆς ἐκκλησίας προεστὼς, εὐθέως λέγει· Εἰρήνη ὑμῖν· ὅταν ὁμιλῇ, Εἰρήνη πᾶσιν· ὅταν ἡ θυσία τελεσθῇ, Εἰρήνη πᾶσι· καὶ μεταξὺ πάλιν, Χάρις ὑμῖν καὶ εἰρήνη. πῶς οὖν οὐκ ἄτοποι, εἰ τοσαυτάκις ἀκούοντες εἰρήνην ἔχειν, ἐκπεπολεμώμεθα πρὸς ἀλλήλους; λαμβάνοντες καὶ ἀποδιδόντες, τῷ διδόντι τὴν εἰρήνην πολεμοῦμεν; λέγεις, Καὶ τῷ πνεύματί σου, καὶ διαβάλλεις αὐτὸν ἔξω; οἴμοι, ὅτι τὰ σεμνὰ τῆς ἐκκλησίας σχήματα γέγονε πραγμάτων μόνον, οὐκ ἀλήθειά τις. οἴμοι, ὅτι μέχρι ῥημάτων τὰ σύμβολα μένει τοῦ στρατοπέδου τούτου· ὅθεν καὶ ἀγνοεῖτε διὰ τί λέγεται, Εἰρήνη πᾶσιν. ἀλλ᾽ ἀκούετε τὰ ἑξῆς. τί φησιν ὁ Χριστός; Εἰς ἣν δ᾽ ἂν πόλιν, ἢ κώμην εἰσέλθητε, εἰσερχόμενοι εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτήν. καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. διὰ τοῦτο οὐκ ἴσμεν, ὅτι τύπον ῥημάτων νομίζομεν ταῦτα εἶναι, καὶ οὐ συνιέμεθα τῷ ἔργῳ. μὴ γὰρ ἐγὼ δίδωμι τὴν εἰρήνην; ὁ Χριστὸς δι᾽ ἡμῶν φθέγγεσθαι καταξιοῖ. εἰ καὶ τῶν ἄλλων ἁπάντων χρόνῳ κενοὶ τῆς χάριτός ἐσμεν, ἀλλ᾽ οὐ νῦν δι᾽ ὑμᾶς. εἰ γὰρ εἰς ὄνον ἐνήργησε καὶ εἰς μάντιν ἡ τοῦ Θεοῦ χάρις δι᾽ οἰκονομίαν, καὶ τὴν τῶν Ἰσραηλιτῶν ὠφέλειαν· εὔδηλον ὅτι οὐδὲ εἰς ἡμᾶς παραιτήσεται ἐνεργεῖν, ἀλλ᾽ ἀνέξεται καὶ τοῦτο δι᾽ ἡμᾶς. μηδεὶς τοίνυν εἴπῃ, ὅτι εὐτελὴς ἐγὼ καὶ ταπεινὸς καὶ οὐδενὸς ἄξιος λόγου, καὶ οὕτω μοι προσεχέτω· εἰμὶ γὰρ τοιοῦτος. ἀλλ᾽ ἀεὶ ἔθος τῷ Θεῷ διὰ τῶν πολλοὺς καὶ τοῖς τοιούτοις ἐφίστασθαι· καὶ ἵνα μάθητε, τὸν Κάϊν κατηξίωσε λαλῆσαι διὰ τὸν Ἄβελ, τὸν διάβολον διὰ τὸν Ἰὼβ, τὸν Φαραὼ διὰ τὸν Ἰωσὴφ, τὸν Ναβουχοδονόσορ διὰ τὸν Δανιὴλ, τὸν Βαλτάσαρ διὰ τὸν αὐτόν. καὶ μάγοι δὲ ἀποκαλύψεως ἔτυχον, καὶ Καϊάφας προεφήτευσε χριστοκτόνος ὢν καὶ ἀνάξιος, διὰ τὸ τῆς ἱερωσύνης ἀξίωμα. λέγεται δὲ καὶ Ἀαρὼν διὰ τοῦτο μὴ λεπρωθῆναι. διὰ τί γὰρ, εἰπέ μοι, ἀμφοτέρων καταλαλησάντων, ἐκείνη μόνη τὴν δίκην ὑπέμεινε; μὴ θαυμάσῃς. εἰ γὰρ ἐν τοῖς ἔξωθεν ἀξιώμασι, κἂν μυρία τις κατηγορῆται, οὐ πρότερον εἰς δικαστήριον ἄγεται, ἕως ἂν ἀποθῆται τὴν ἀρχὴν, ἵνα μὴ ἐκείνη μετ᾽ αὐτοῦ ὑβρίζηται· πολλῷ μᾶλλον ἐπὶ τῆς ἀρχῆς τῆς πνευματικῆς, κἂν ὁστισοῦν ᾖ, ἐνεργεῖ ἡ τοῦ Θεοῦ χάρις· ἐπεὶ πάντα ἀπόλωλεν· ὅταν δὲ αὐτὴν ἀποθῆται, εἴτε ἀπελθὼν, εἴτε καὶ ἐνταῦθα, τότε δὴ, τότε χαλεπωτέραν δώσει τὴν δίκην. μὴ δὴ νομίζετε παρ᾽ ἡμῶν ταῦτα λέγεσθαι· ἡ τοῦ Θεοῦ χάρις ἐστὶν ἡ καὶ εἰς ἀναξίους ἐνεργοῦσα, οὐ δι᾽ ἡμᾶς, ἀλλὰ δι᾽ ὑμᾶς. ἀκούσατε οὖν τί φησιν ὁ Χριστός· Ἐὰν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ᾽ αὐτήν. πῶς δὲ ἀξία γίνεται; Ἐὰν δέξωνται ὑμᾶς, φησίν· Ἐὰν δὲ μὴ δέξωνται ὑμᾶς, μηδὲ ἀκούσωσι τῶν λόγων ὑμῶν, ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ. τί οὖν ὄφελος ὅτι δέχεσθε ἡμᾶς, καὶ οὐκ ἀκούετε τῶν παρ᾽ ἡμῶν λεγομένων; τί δὲ κέρδος ὅτι θεραπεύετε, καὶ οὐ προσέχετε τοῖς λεγομένοις ὑμῖν; ἐκείνη ἐστὶ τιμὴ ἡμῖν· ἐκείνη θεραπεία ἡ θαυμαστὴ καὶ ὑμᾶς ὠφελοῦσα καὶ ἡμᾶς, ἐὰν ἡμῶν ἀκούητε. ἀκούετε καὶ τοῦ Παύλου λέγοντος· Οὐχ ἥδετε, ἀδελφοὶ, ὅτι ἀρχιερεύς ἐστιν. ἄκουε καὶ τοῦ Χριστοῦ λέγοντος·

Margin: Ματθ. ιη. ιδ. καὶ ι. (at line 6); Ματθ. ι. ιϛ. (at line 17); Ματθ. ι. ιγ. (at line 38); Πραξ. κγ. ε. (at line 45). Line numbers: 5, 10, 15, 20, 25, 30, 35, 40.

Πάντα, ὅσα ἂν λέγωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε. Οὐκ ἐμοῦ καταφρονεῖς, ἀλλὰ τῆς ἱερωσύνης. ἂν ἴδῃς ταύτης γυμνόν, τότε καταφρόνει· τότε οὐδὲ ἐγὼ ἀνέχομαι ἐπιτάττειν. ἕως δ' ἂν ἐπὶ τοῦ θρόνου τούτου καθήμεθα, ἕως ἂν τὴν προεδρίαν ἔχωμεν, ἔχομεν καὶ τὴν ἀξίαν καὶ τὴν ἰσχύν, εἰ καὶ ἀνάξιοί ἐσμεν. εἰ ὁ Μωϋσέως θρόνος οὕτως ἦν αἰδέσιμος, ὡς δι' ἐκεῖνον ἀκούεσθαι, πολλῷ μᾶλλον ὁ τοῦ Χριστοῦ θρόνος. ἐκεῖνον ἡμεῖς διεδεξάμεθα, ἀπὸ τούτου φθεγγόμεθα, ἀφ' οὗ καὶ ὁ Χριστὸς ἔθετο ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς. Οἱ πρεσβεῖς, οἷοι περ ἂν ὦσι, διὰ τὸ τῆς πρεσβείας ἀξίωμα πολλῆς ἀπολαύουσι τῆς τιμῆς. ὅρα γάρ, εἰς μέσην βαρβάρων ἔρχονται τὴν γῆν μόνοι μεταξὺ τοσούτων πολεμίων. καὶ ἐπειδὴ μεγάλα ὁ τῆς πρεσβείας ἰσχύει νόμος, πάντες αὐτοὺς τιμῶσι, πάντες εἰς αὐτοὺς ἀποβλέπουσι, πάντες μετὰ ἀσφαλείας ἐκπέμπουσι. καὶ ἡμεῖς τοίνυν πρεσβείας ἀνεδεξάμεθα λόγον, καὶ ἥκομεν παρὰ τοῦ Θεοῦ (τοῦτο γάρ ἐστι τὸ τῆς ἐπισκοπῆς ἀξίωμα) ἥκομεν πρὸς ὑμᾶς πρεσβεύοντες, ἀξιοῦντες καταλῦσαι τὸν πόλεμον· καὶ λέγομεν ἐπὶ τίσιν· οὐ πόλεις ἐπαγγελλόμενοι δώσειν, οὐδὲ σίτου μέτρα τόσα καὶ τόσα, οὐδὲ ἀνδράποδα, οὐδὲ χρυσίον, ἀλλὰ βασιλείαν οὐρανῶν, ζωὴν αἰώνιον, συνουσίαν τὴν μετὰ Χριστοῦ, τὰ ἄλλα ἀγαθά, ἃ μήτε εἰπεῖν ἡμῖν δυνατόν, ἕως ἂν ἐν τῇ σαρκὶ ταύτῃ ὦμεν καὶ τῷ παρόντι βίῳ. πρεσβεύομεν τοίνυν, ἀπολαύειν δὲ βουλόμεθα τιμῆς· οὐ δι' ἡμᾶς (μὴ γένοιτο. ἴσμεν γὰρ ἡμῶν τὸ εὐτελές) ἀλλὰ δι' ὑμᾶς, ἵνα ὑμεῖς μετὰ σπουδῆς τῶν παρ' ἡμῶν ἀκούητε, ἵνα ὑμεῖς ὠφεληθῆτε, ἵνα μὴ μετὰ ῥαθυμίας ἢ ἀπροσεξίας κατέχητε τὰ λεγόμενα. οὐχ ὁρᾶτε τοὺς πρεσβεῖς, πῶς πάντες αὐτοὺς θεραπεύουσιν; ἡμεῖς Θεοῦ πρεσβεῖς ἐσμεν πρὸς ἀνθρώπους. εἰ δὲ προσάπτει τις ὑμῖν τοῦτο, οὐχ ἡμεῖς, ἀλλ' αὐτὴ ἡ ἐπισκοπή, οὐχ ὁ δεῖνα, ἀλλ' ὁ ἐπίσκοπος· μηδεὶς ἐμοῦ ἀκουέτω, ἀλλὰ τοῦ ἀξιώματος. πάντα τοίνυν ποιῶμεν κατὰ τὸ Θεῷ δοκοῦν, ἵνα εἰς δόξαν Θεοῦ ζήσωμεν, καὶ καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. κγ. γ.

ΕΙΣ ΤΟ ΜΗ ΑΝΑΞΙΩΣ ΠΡΟΣΕΡΧΕΣΘΑΙ ΤΟΙΣ θείοις μυστηρίοις.

Λογ. μζ.

Ἐπειδὴ ἐμνήσθημεν τῆς θυσίας ταύτης, βούλομαι πρὸς ὑμᾶς μικρὰ εἰπεῖν τοὺς μεμυημένους· μικρὰ μὲν τῷ μέτρῳ, μεγάλην δὲ ἔχοντα τὴν ἰσχὺν καὶ τὴν ὠφέλειαν. οὐ γὰρ ἡμέτερα εἰσὶ τὰ λεγόμενα, ἀλλὰ τοῦ θείου πνεύματος. τί οὖν ἐστι; πολλοὶ τῆς θυσίας ταύτης ἅπαξ μεταλαμβάνουσι τοῦ [παντὸς] ἐνιαυτοῦ· ἕτεροι δὲ δίς, ἄλλοι πολλάκις. πρὸς ἅπαντας τοίνυν ὁ λόγος ἡμῖν ἐστι χρήσιμος, καὶ πρὸς αὐτοὺς τοὺς ἐν τῇ ἐρήμῳ καθεζομένους. ἐκεῖνοι γὰρ ἅπαξ τοῦ ἐνιαυτοῦ μετέχουσι, πολλάκις δὲ καὶ διὰ δύο ἐτῶν. τί οὖν; τίνας ἀποδεξόμεθα; οὔτε τοὺς ἅπαξ, οὔτε τοὺς πολλάκις, ἀλλὰ τοὺς μετὰ καθαροῦ συνειδότος, μετὰ καθαρᾶς καρδίας, τοὺς μετὰ βίου ἀμολύντου. οἱ τοιοῦτοι ἀεὶ προσιέτωσαν· οἱ δὲ μὴ τοιοῦτοι, μηδὲ ἅπαξ. Ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, ὥς φησιν ὁ ἀπόστολος. ταῦτα δίδοται τοῖς ἁγίοις· τοῦτο καὶ ὁ διάκονος ἐπιφωνεῖ, τοὺς ἁγίους καλῶν διὰ τῆς φρικτῆς ἐκείνης φωνῆς. ἐπειδὴ γὰρ οὐκ ἔστι δυνατὸν ἀνθρώπῳ εἰδέναι τὰ τοῦ πλησίον, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ, αὐτὴν ἀφίησι τὴν φωνήν, τὰ ἅγια τοῖς ἁγίοις. εἴ τις οὐκ ἔστιν ἅγιος, μὴ προσίτω. οὐχ ἁπλῶς φησιν, ἁμαρτημάτων καθαρός, ἀλλ' ἅγιος. τὸ γὰρ ἅγιον οὐχ ἡ τῶν ἁμαρτημάτων ἀπαλλαγὴ ποιεῖ μόνον, ἀλλὰ καὶ ἡ τοῦ πνεύματος παρουσία, καὶ τῶν ἀγαθῶν ἔργων ὁ πλοῦτος. τί δέ ἐστι τὸ ἁμάρτημα; τὸ μὴ μετὰ φρίκης προσιέναι,

Ἐκ τοῦ λόγου εἰς τὸ ἑκούσιον τῶν ἁμαρτανόντων

ἡ μετ' ἀξίας

α. Κορ. ια. κθ.

ἡ τῶν

προσιέναι, ἀλλὰ τύπτοντας τὰ στήθη, καὶ ἀλαλάζοντας, καὶ τὰ λοιπά. Ταῦτα πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι. οὐχ ὁρᾶτε ἐπὶ τῶν Ὀλυμπίων, ὅταν ὁ ἀγωνοθέτης ἐπὶ τῆς κεφαλῆς ἔχων, πῶς ἡ εὐταξία τοῦ κήρυκος βοῶντος ἡσυχίαν εἶναι; πῶς οὐκ ἄτοπον, ἔνθα μὲν ὁ διάβολος πομπεύει, πολλὴν εἶναι τὴν ἡσυχίαν· ἔνθα δὲ ὁ Χριστὸς πρὸς ἑαυτὸν συγκαλεῖ, πολλὴν εἶναι τὸν θόρυβον; μᾶλλον ἐν πελάγει γαλήνη, καὶ ἐν λιμένι κύματα. τί θορυβεῖς, εἰπέ μοι; πραγμάτων ἀνάγκη καλεῖ πάντως. ὅλως γὰρ οἶδας, ὅτι πράγματα ἔχεις ἐν τῇ ὥρᾳ ἐκείνῃ; μέμνησαι δὲ ὅλως, ὅτι ἐπὶ γῆς εἶ; καὶ πῶς οὐχὶ τοῦτο λιθίνης διανοίας, τὸ νομίζειν κατὰ τὸν καιρὸν ἐκεῖνον ἐπὶ γῆς εἶναι, καὶ οὐχὶ μετὰ τῶν ἀγγέλων χορεύειν, μεθ' ὧν καὶ τὸ μυστικὸν ἐκεῖνο μέλος ἀνέπεμψας τῷ Θεῷ, ἐπινίκιον ᾠδὴν, ἅγιος, ἅγιος, ἅγιος; διὰ τοῦτο ἀετοὺς ἡμᾶς ἐκάλεσεν ὁ Χριστὸς εἰπών, Ὅπου τὸ πτῶμα, ἐκεῖ καὶ οἱ ἀετοί, ἵνα οὐρανοβατῶμεν, ἵνα ὑψηλὰ πετώμεθα, τοῖς πτεροῖς τοῦ πνεύματος κουφιζόμενοι· ἡμεῖς δὲ κατὰ τοὺς ὄφεις χαμαὶ συρόμεθα, καὶ γῆν ἐσθίομεν. Βούλεσθε εἴπω, πόθεν ὁ θόρυβος γίνεται; ὅτι οὐ διαπαντὸς τὰς θύρας ὑμῖν ἀποκλείομεν, ἀλλὰ συγχωροῦμεν πρὸ τῆς ἐσχάτης εὐχαριστίας ἀναχωρεῖν. τοῦτο πολλῆς καταφρονήσεώς ἐστι. τί ποιεῖς, ἄνθρωπε; τοῦ Χριστοῦ παρόντος, τῶν ἀγγέλων παρεστώτων, τῆς τραπέζης προκειμένης, αὐτὸς καταλείπεις καὶ ἀναχωρεῖς, καὶ ἐπὶ δείπνῳ μὲν κληθεὶς, οὐ τολμᾷς ἀναχωρῆσαι πρὸ τῶν φίλων; Βούλεσθε εἴπω τίνος ἔργον ποιοῦσιν οἱ πρὸ τῆς εὐχαριστίας ἀναχωροῦντες; ὅτε ἐκοινώνησε τὸ ἔσχατον δεῖπνον Ἰούδας τὴν τελευταίαν νύκτα ἐκείνην, τῶν ἄλλων πάντων ἀνακειμένων, αὐτὸς προπηδήσας ἐξέβη. ἐκεῖνον μιμοῦνται οἱ τοιοῦτοι. εἰ μὴ γὰρ ἐξῆλθεν, οὐκ ἂν ἐγένετο προδότης, οὐκ ἂν ἀπώλετο· εἰ μὴ τοῦ ποιμνίου ἑαυτὸν ἐχώρισεν, οὐκ ἂν θηριάλωτος γέγονεν. ὁρᾷς ὅτι ἡ ἐσχάτη μετὰ τὴν θυσίαν εὐχὴ κατ' ἐκεῖνον γίνεται τὸν τύπον; ἐκεῖνος γὰρ μετὰ Ἰουδαίων, οὗτοι μετὰ τοῦ δεσπότου ὑμνήσαντες ἐξῆλθον. Ταῦτα λέγω, οὐχ ἵνα θορυβῆτε καὶ κράζητε, ἀλλὰ μετὰ πολλῆς σιγῆς καὶ εὐκοσμίας τῆς ἱερᾶς ταύτης ἀψώμεθα θυσίας, ἵνα καὶ τὴν ψυχὴν ἐκκαθαρώμεθα, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν. μὴ πρόσεχε, ὅτι ἄρτος ψιλὸς καὶ οἶνός ἐστι. σῶμα γὰρ καὶ αἷμα κατὰ τὴν δεσποτικὴν τυγχάνει ἀπόφασιν. μὴ ἀπὸ τῆς γεύσεως κρίνῃς τὸ πρᾶγμα, ἀλλ' ἀπὸ τῆς πίστεως πληροφοροῦ ἀνενδοιάστως. προσιὼν δὲ, μὴ τεταμέναις χερσίν, ἀλλὰ τὴν ἀριστερὰν θρόνον ποίησον τῆς δεξιᾶς, καὶ κοιλάνας τὴν παλάμην, ὡς μέλλων βασιλέα ὑποδέχεσθαι, μετὰ πολλοῦ φόβου τὸ σῶμα τοῦ Χριστοῦ ὑπόδεξαι, ἵνα μή τις μαργαρίτης ἐκπέσῃ ἐκ τῆς χειρός σου, καὶ ζημιωθῇς ἓν τῶν μελῶν σου. ὁμοίως προσέρχου καὶ τῷ ἁγίῳ αἵματι, μὴ ἀνατείνων τὰς χεῖρας *** λέγων τὸ ἀμήν. ἔτι δὲ τῆς νοτίδος οὔσης ἐν τοῖς χείλεσι, ταῖς χερσὶν ἐπαφώμενος τοὺς ὀφθαλμοὺς, καὶ τὸ μέτωπον· καὶ τὰ λοιπὰ αἰσθητήρια ἁγίαζεται· καὶ εὐχαρίστει τῷ Θεῷ τῷ ἀξιώσαντί σε τηλικούτου μυστηρίου. καὶ

Ἐκ τοῦ ε. λόγ. τοῦ περὶ μετανοίας.

πῶς, φησίν, ἐν μέσῳ τοῦ κόσμου ἐστὶ σωθῆναι; τί λέγεις; Βούλει συντόμως δείξω μὴ τὸν τόπον εἶναι τὸν σώζοντα, ἀλλὰ τὸν τρόπον, καὶ τὴν πρὸς Θεὸν προαίρεσιν; Ἀδὰμ ἐν τῷ παραδείσῳ ὤν, ὡς ἐν λιμένι, ὑπέστη τὸ ναυάγιον· ὁ δὲ Λὼτ ἐν τοῖς Σοδόμοις, ὥσπερ ἐν πελάγει, διεσώζετο· ὁ Ἰὼβ ἐπὶ τῆς κοπρίας ἐδικαιώθη. ὁ δὲ Σαοὺλ ἐν τοῖς ταμιείοις ὢν τῆς βασιλείας, τῆς ἐντεῦθεν καὶ τῆς ἐκεῖθεν ἐξέπεσε δόξης καὶ τιμῆς. οὐκ ἔστι τοῦτο ἀπολογία, ἀλλὰ ταῦτα πάσχομεν ἐκ τοῦ μὴ ἐν ταῖς εὐχαῖς καὶ θείαις συνάξεσι σχολάζειν ἡμᾶς. ἢ οὐχ ὁρᾷς τοὺς βουλομένους ἀξιώματα λαβεῖν ἐκ τοῦ ἐπιγείου βασιλέως, πῶς παρεδρεύουσι, καὶ ἑτέρους εἰς παράκλησιν κινοῦντες, ὅπως μὴ ἐκπέσωσι τοῦ ζητουμένου; Ταῦτά μοι πρὸς τοὺς ἀπολιμπανομένους τῶν ἁγίων συνάξεων εἴρηται, καὶ πρὸς τοὺς ἐν τῇ φοβερᾷ τῆς μυστικῆς ὥρᾳ εἰς συντυχίαν καὶ ματαιολογίας ἀσχολουμένους. τί ποιεῖς, ἄνθρωπε; οὐχ ὑπέσχου τῷ ἱερεῖ εἰπόντι, ἄνω τὸν νοῦν καὶ τὰς καρδίας, καὶ εἶπες, ἔχομεν πρὸς τὸν Κύριον; οὐκ αἰδέσαι καὶ ἐρυθριᾷς εἰς ταῦτα τὰ ῥήματα, καὶ τὴν ὥραν ψεύστης εὑρισκόμενος; βαβαί, τῆς βασιλικῆς

λικῆς τραπέζης ἐξηρτυμένης, τοῦ ἀμνοῦ τοῦ Θεοῦ ὑπὲρ σοῦ σφαγιαζομένου, τοῦ ἱερέως ὑπὲρ σοῦ ἀγωνιζομένου, τῶν σεραφεὶμ παρεστώτων, τῶν ἑξαπτερύγων τὰ πρόσωπα καλυπτόντων, πασῶν τῶν ἀσωμάτων δυνάμεων μετὰ τοῦ ἱερέως πρεσβευόντων ὑπὲρ σοῦ, τοῦ πυρὸς τοῦ πνευματικοῦ κατερχομένου, τοῦ αἵματος ἐν τῷ κρατῆρι τῆς ἀχράντου πλευρᾶς κενουμένου,
5 οὐδὲ τὸ συνειδὸς σου κατακρίνει σε, ἄνθρωπε; ἑκατὸν ἑξήκοντα ὀκτὼ ὡρῶν ἐχούσης τῆς ἑβδομάδος, μίαν καὶ μόνην ὥραν ἀφώρισεν ὁ Θεὸς· καὶ αὐτὴν ἐὰν εἰς πράγματα βιωτικὰ καὶ συντυχίας καὶ γελοῖα ἀναλίσκῃς, μετὰ ποίας λοιπὸν παρρησίας τοῖς θείοις μυστηρίοις προσέρχῃ, μετὰ ποίου συνειδότος; ἆρα εἰ κόπρον εἶχες ἐν ταῖς χερσὶν, ἐτόλμας προσεγγίσαι τῷ κρασπέδῳ τοῦ βασιλέως; οὐδαμῶς. μηδὲ ὅτι ἄρτος ἐστὶν ἴδῃς, μηδὲ ὅτι οἶνος. οὐ γὰρ
10 ὡς αἱ λοιπαὶ κοιναὶ βρώσεις εἰς ἀφεδρῶνα χωρεῖ. ἄπαγε, μηδὲν νομίσῃς τοιοῦτον. ἀλλὰ καὶ προσερχόμενοι, μὴ ὡς ἐξ ἀνθρώπων, ἀλλ' ὡς ἐξ αὐτῶν τῶν σεραφεὶμ τῇ λαβίδι τοῦ πυρὸς, ἣν Ἠσαΐας εἶδε, μεταλαμβάνειν τοῦ θείου σώματος νοήσωμεν. δέομαι καὶ παρακαλῶ μὴ ἀπολειπώμεθα τῶν ἐκκλησιῶν· συναγόμενοι δὲ, μὴ εἰς συντυχίας ἐν τῇ ἐκκλησίᾳ ἀσχολώμεθα, ἀλλὰ στῶμεν ἔμφοβοι καὶ ἔντρομοι, κάτω τὸ ὄμμα νεύοντες, ἄνω τὴν ψυχὴν ἔχοντες·
15 στενάζωμεν τῇ καρδίᾳ. ἢ οὐχ ὁρᾷς τῷ φθαρτῷ καὶ προσκαίρῳ βασιλεῖ παρεσταμένους, πῶς εἰσὶν ἀμετακίνητοι, μηδὲν φθεγγόμενοι, μηδὲ τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖσε περιστρέφοντες, ἀλλὰ στυγνοὶ καὶ κατηφεῖς, ἔμφοβοι; ἐξ ἑαυτοῦ, ἄνθρωπε, τὸν ἔλεγχον λάβε, καὶ κἂν ὡς τῷ ἐπιγείῳ βασιλεῖ, πρόσελθε καὶ τῷ ἐπουρανίῳ Θεῷ. ταῦτα πολλάκις λέγω, καὶ λέγων οὐ παύσομαι. εἰσερχόμενοι δὲ ἐν ταῖς ἐκκλησίαις, ὡς Θεῷ πρέπει, εἰσέλθωμεν, μὴ μνησικακίαν ἐν τῇ
20 ψυχῇ σου ἔχοντες, ἵνα μὴ, λέγοντες, ἄφες ἡμῖν, ὡς καὶ ἡμεῖς ἀφίεμεν, κατακριθῶμεν. φοβερὸν γάρ ἐστι τὸ λεγόμενον καὶ σχεδὸν πρὸς τὸν Θεὸν βοᾷ ὁ τοῦτο λέγων· ἀφῆκα, δέσποτα, ἄφες· συνεχώρησα, συγχώρησον. ταῦτα οὖν εἰδότες, καὶ τὸ πῦρ ἐκεῖνο, καὶ τὸ φοβερὸν δικαστήριον, ἐπιστρέψωμεν λοιπὸν ἐκ τῆς πλάνης τῆς ὁδοῦ ἡμῶν. ἐλεύσεται γὰρ ἡμέρα, ὅτε τὸ θέατρον τοῦ βίου διαλύεται, καὶ οὐδεὶς λοιπὸν οὐκέτι ἀγωνίζεται. οὐκ ἔστιν ὁ καιρὸς τῆς μετανοίας, ἐκεῖνος τῆς
25 κρίσεως· οὐκ ἔστι τῶν ἀγώνων, ἐκεῖνος τῶν στεφάνων. διεγέρθητε, παρακαλῶ, καὶ τῶν λεγομένων προθύμως ἀκούσατε. ἐζήσαμεν τῇ σαρκὶ, ζήσωμεν λοιπὸν καὶ τῷ πνεύματι· ἐζήσαμεν τῇ ἀμελείᾳ, ζήσωμεν λοιπὸν τῇ μετανοίᾳ. τί φυσᾶσαι, γῆ καὶ σποδὸς, ὦ ἄνθρωπε; τί ὑπερηφανεύεις; τί μεγαλαυχεῖς; τί ἐλπίζεις ἐκ τῆς τοῦ κόσμου δόξης καὶ πλούτου; ἐξέλθωμεν ἐπὶ τοὺς τάφους, παρακαλῶ· ἴδωμεν τὰ ἐκεῖ μυστήρια· ἴδωμεν τὴν φύσιν διεσπαρμένην, ὀστᾶ βεβρωμένα, σώματα σεσηπότα.
30 ἐπίσκεψαι, κἂν σοφὸς εἶ, κἂν φρόνιμος. εἰπέ μοι, ἐκεῖ τίς ὁ βασιλεὺς, καὶ τίς ὁ ἰδιώτης, τίς ὁ εὐγενὴς, καὶ τίς ὁ δοῦλος, τίς ὁ σοφὸς, καὶ τίς ὁ ἰδιώτης, ποῦ τὸ κάλλος ἐκεῖ τῆς νεότητος, ποῦ ἡ περιχαρὴς ὄψις, ποῦ οἱ ὀφθαλμοὶ οἱ εὐειδεῖς, ποῦ τὸ ἀπόστιλβον πρόσωπον; οὐ πάντα κόνις; οὐ πάντα τέφρα; οὐ πάντα σποδός; οὐ πάντα σκότος; οὐ πάντα βρῶμος καὶ δυσωδία; ταῦτα ἐννοοῦντες, καὶ τῆς ἐσχάτης ἡμέρας ἐνθυμηθέντες, ὡς καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγα-
35 θὸν, ἵνα τῆς μελλούσης ἀτελευτήτου γεέννης ἀπαλλαγῶμεν, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

κ. τὸ ἐν ἁγ. τ. ἡμ. Ἰω. Ἀρχ. Κων. λέγει, Τί πράττων

ΑΠΑΝΘΙΣΜΑ ΕΝ ΕΙΔΕΙ ΛΟΓΟΥ ΕΚ ΧΡΥΣΟΣΤΟΜΟΥ συλλεγὲν παρὰ Θεοδώρου· Τί πράττων ὁ χριστιανὸς κληρονομήσει ζωὴν αἰώνιον;

Λογ. μη.

40

Ἀγαπᾷν

Ἀγαπᾶν τὸν Θεὸν ἐξ ὅλης τῆς ψυχῆς αὐτοῦ καὶ τῆς δυνάμεως, καὶ φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ, καὶ τὸν πλησίον ἀγαπᾶν, ὡς ἑαυτόν, κατὰ τὴν τοῦ Κυρίου φωνὴν εἰπόντος· Ἐὰν τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσητε, μένετε ἐν τῇ ἀγάπῃ μου· καὶ πάλιν, Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους· ὁ ταπεινῶν τὴν ψυχὴν αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ, καὶ μηδέποτε καταπαιρόμενος τοῦ πλησίον αὐτοῦ· Καρδίαν γὰρ συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει· ὁ συνθλιβόμενος ἐπὶ τῇ τοῦ πλησίον ἁμαρτίᾳ, καὶ πενθῶν τὰς ἰδίας ἁμαρτίας, καὶ χαίρων ἐπὶ τῇ τοῦ πλησίον εὐφροσύνῃ, καὶ μὴ φθόνῳ τηκόμενος * ἐπὶ τῇ τούτου εὐδαιμονίᾳ· ὁ ἐν πραότητι δεχόμενος καὶ παιδεύων τοὺς ἀντιδιατιθεμένους, καὶ ἐπιποθῶν ἀεὶ καὶ διψῶν τὴν δικαιοσύνην τοῦ Θεοῦ ἐργάζεσθαι· οὗτος γὰρ τηρήσει καὶ τὸ καθαρὸν τῆς ἑαυτοῦ ψυχῆς· ὁ ἐπικαμπτόμενος ἐλέῳ εἰς τοὺς χρήζοντας τὸν ἔλεον, καὶ ὑπὲρ τῆς κατὰ Θεὸν εἰρήνης ὅλον διδοὺς ἑαυτόν, καὶ ἀγωνιζόμενος κληθῆναι υἱὸς Θεοῦ καὶ διὰ ταύτην τὴν ἐργασίαν, ἔτι δὲ καὶ ὑβριζόμενος καὶ κατηγορούμενος καὶ διωκόμενος, καὶ ἀποθνήσκων ἕνεκεν τῆς δικαιοσύνης τοῦ Θεοῦ, καὶ τῆς ὁμολογίας τῆς εἰς Χριστόν, ὅτι τοῦτό ἐστιν ἡ αἰώνιος ζωή· ὁ πᾶσαν ἐκτρεπόμενος αἱρετικὴν βλασφημίαν, καὶ ὀρθῶς ὁμολογῶν τὴν τῆς ἁγίας Τριάδος ὁμολογίαν· ὁ ἀλήθειαν λέγων ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ μὴ δολῶν τὴν ἑαυτοῦ γλῶτταν ἐν ψεύδει, καὶ μὴ ποιῶν κακὸν τῷ πλησίον, κατὰ τὸ γεγραμμένον· ὁ μὴ κατηγορῶν, μὴ λοιδορῶν, μηδὲ ἄλλο τι τῶν ἀπηγορευμένων ἐργαζόμενος, ἀλλὰ τηρῶν ἐπιμελῶς πάσας τὰς ἐντολὰς τοῦ Χριστοῦ, καὶ ποιῶν αὐτάς· ἐκτείνων τὰς χεῖρας εἰς ἐλεημοσύνην, ἀποστερούμενος, καὶ μὴ ἀντιτείνων· μεταδιδοὺς τῷ μὴ ἔχοντι χιτῶνα· λοιδορούμενος καὶ εὐλογῶν, ἀγγαρευόμενος καὶ προστεθείς· μηδὲν αἰσχρὸν ἢ βλάσφημον ἐν τῷ στόματι προφέρων ῥῆμα, ἢ ὅρκον προϊέμενος, ἀλλ' ἕνα ὅρον γινώσκων, τὴν ἀλήθειαν, καὶ λέγων πάντοτε ταύτην, νύκτα καὶ ἡμέραν, καὶ πλείω τοῦ ναί, καὶ τοῦ οὔ, κατὰ τὴν τοῦ Κυρίου διάταξιν μὴ λέγων τινὶ ἐν ταῖς ἀπολογίαις αὐτοῦ· κινῶν τε τὴν γλῶτταν πρὸς ὑμνῳδίας, τὰ γόνατα καὶ τὰς χεῖρας σὺν τῷ νοῒ πρὸς δέησιν, δάκρυον πρὸς κατάνυξιν ἐκχέων ἐνώπιον τοῦ Θεοῦ· μεριμνῶν διὰ παντὸς τὸν θάνατον αὐτοῦ, καὶ τὴν μέλλουσαν κρίσιν, καὶ τὴν ἀπολογίαν τῶν ἔργων αὐτοῦ, πάντοτε ἀναλογιζόμενος ἃ ἥμαρτεν, ὑπὲρ αὐτῶν προσφέρων τὰς αἰνέσεις τῷ Θεῷ· τὰς δὲ ἀγαθὰς πράξεις ἐπιμελῶς ἐργαζόμενος, καὶ μὴ ἐπιφέρων αὐτάς, ἐπιδεικνύμενός [τισι], ἢ μεγαλαυχούμενος ἐν αὐταῖς, ὥσπερ ὁ Φαρισαῖος, ἀλλὰ τῷ εἰδότι Θεῷ καταλιμπάνων τὴν γνῶσιν αὐτῶν, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· φεύγων μέθην, φεύγων ἐπιορκίαν, γαστριμαργίαν, αἰσχρολογίαν, φθόνον, ἔριν, κακίαν, πλεονεξίαν τὴν δευτέραν εἰδωλολατρείαν, θυμόν, ὀργήν, πορνείαν, μοιχείαν, καὶ πᾶσαν ῥυπαρίαν σώματος· μὴ ποιῶν φαρμακείαν, ἢ μαντείαν, ἢ ἐπαοιδήν τινα, ἀλλ' ἁγνίζων ἑαυτὸν νυκτὸς καὶ ἡμέρας πρὸς τὸ ἀμέμπτως μεταλαμβάνειν τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ· προϊστάμενος ὀρφανῶν, ἔτι δὲ καὶ χηρῶν ὁμοίως καὶ προσηλύτων· μὴ ἀποστρεφόμενος ἐκ τοῦ αἰτοῦντος, ἢ τοῦ θέλοντος δανείσασθαι, ἀλλὰ καὶ διασπῶν πᾶσαν ἀδικον συγγραφήν· εἰ δὲ καὶ δικαίαν κέκτηται, μὴ ἐπιφέρων ἢ ἐπιδεικνύμενός τισιν ἅπαξ τοῦ Θεοῦ ὤν, καὶ τοῦ Θεοῦ ἔχων, εἴπερ τι ἔχει δικαίως ἐξ αὐτοῦ, καὶ αὐτῷ παρέχων τὰ ἴδια, καὶ ἐκ τοῦ Θεοῦ ζητῶν τὸ ἔλλειπον· καὶ δοξάζων τοὺς δοξάζοντας τὸν Θεόν, καὶ τιμῶν τοὺς δούλους αὐτοῦ· τοὺς ἐχθροὺς τῆς πίστεως ἐλεῶν διὰ τὴν τύφλωσιν, καὶ πάσῃ δυνάμει πειρώμενος ἐπιστρέφειν, τοὺς δὲ ἐπιμένοντας ἀποστρεφόμενος, καὶ τέλειον μῖσος μισῶν τοὺς μισοῦντας τὸν Κύριον· ἐν πάσῃ ἀγαθωσύνῃ, ἐν πάσῃ εὐσεβείᾳ, ἐν πάσῃ ἁγνείᾳ ἀναστρεφόμενος, ὡς ὅλον ἔχων ἐν ἑαυτῷ τὸν Θεόν, καὶ ὅλος ὑπάρχων τοῦ Θεοῦ, ἐκ τῆς μνήμης αὐτοῦ, καὶ τῶν ἐντολῶν αὐτοῦ ἀεὶ καὶ κινούμενος, καὶ σαλευόμενος,

Ἰωαν. ιγ. — Ψαλ. ν. — γρ. ἐν — γρ. ὑπὸ — γρ. Θεῷ ἀπηγορευμένων — γρ. ἁπλῆν

σαλευόμενος, καὶ κοιταζόμενος, καὶ ἀνιστάμενος, καὶ ἐσθίων καὶ πίνων καὶ διημερεύων κατὰ τὸ γεγραμμένον· Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ· καὶ φοβηθήτω πᾶσα ἡ γῆ, ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· μὴ μνησικακῶν, ὅτι ὁδοὶ μνησικάκων εἰς θάνατον, καὶ ὁ ἀφεὶς τῷ πλησίον τὸ ἁμάρτημα, ἀφίεται ὑπὸ τοῦ Θεοῦ τὰ ἁμαρτήματα αὐτοῦ. ἐὰν γὰρ μὴ μνησθῶμεν τῶν ἁμαρτημάτων, ὧν εἰς ἡμᾶς ἥμαρτον ἕτεροι, οὐδὲ ὁ Θεὸς τῶν ἡμετέρων μέμνηται, ὧν εἰς αὐτὸν ἡμάρτομεν. κρίνειν δὲ δικαίως ἐν φόβῳ Θεοῦ. ἡ γὰρ κρίσις τοῦ Θεοῦ ἐστι, μὴ κατακρίνειν ἑτέρους ἐν ἁμαρτήμασι, ἤγουν ἐξουδενοῦν καὶ βδελύττεσθαι, καὶ ἐπιτηρεῖν τὰ τοῦ πλησίον κακά, καὶ ἑαυτὸν δικαιοῦν, καὶ μὴ βλέποντα τὰς ἰδίας δοκούς, ἀλλὰ τὰ κάρφη τοῦ πλησίον, ἤγουν τὰ μικρὰ τῶν ἀδελφῶν ἡμῶν ἐλαττώματα προφέρειν· ὅπερ μεγάλως παροργίζει τὸν Θεόν. οὐ γὰρ δίκαιοι κρίνειν ἀλλότριον οἰκέτην· τοῦ γὰρ Θεοῦ πᾶς ἄνθρωπος. τὸ δὲ κρίνειν καὶ διορθοῦσθαι ἐν ἀγάπῃ, καὶ ἐξελέσθαι ἀδικούμενον ἐκ χειρὸς τοῦ ἀδικοῦντος αὐτόν, καὶ γενέσθαι ἀδυνάτων πατέρα, καὶ ὀφθαλμὸν ἕνα τῶν τυφλῶν, καὶ πόδα τῶν χωλῶν, κατὰ τὸ εἰρημένον, εὐσεβὲς καὶ δίκαιον μετὰ τῆς προσηκούσης νουθεσίας καὶ παραινέσεως γινόμενον· καθὼς ὁ μακάριος ἀπόστολός φησι· Τριετίαν νύκτα καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον ὑμῶν· φεύγειν δὲ τὸν χριστιανὸν τὰ αἰσχρὰ κέρδη, καὶ εἶναι μᾶλλον εὐλαβῆ καὶ ὅσιον, καὶ προσέχειν τῇ ἀναγνώσει, καὶ τῇ παρακλήσει, καὶ τῇ νουθεσίᾳ, καὶ τῇ διδασκαλίᾳ κατὰ τὸ εἰρημένον· Διδάσκων καὶ νουθετῶν ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ· τιμῶντας καὶ τοὺς γεγεννηκότας ἡμᾶς, ἵνα γενώμεθα μακροχρόνιοι ἐπὶ τῆς γῆς, καὶ μὴ κακολογεῖν πατέρα ἢ μητέρα, ἀλλὰ προνοεῖσθαι καὶ τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων τῆς πίστεως. καὶ ὁ μὴ ἀπολιμπανόμενος τῶν ἐκκλησιαστικῶν συλλόγων, ἤγουν τῶν κοινῶν συνάξεων καὶ εὐχῶν, ἀλλὰ καὶ δημοσίως ἐναντίον παντὸς τοῦ λαοῦ διδοὺς τῷ Θεῷ τὰς εὐχάς, καὶ μὴ ἐξουδενῶν παραινέσεις σοφάς, ἢ θεοσεβῆ διδάγματα· ἢ ἄπιστα κρίνων, ἢ ἀδύνατα τὰ τοῦ Θεοῦ θαύματα καὶ ἔργα, κατὰ γενεὰν ἐνεργούμενα, μὴ λογιζόμενος τοῦτο. οὕτως ἄνθρωπος ποιήσας, καὶ οὕτως ἔχων τὸν Θεὸν ἐν τῇ καρδίᾳ αὐτοῦ ἐν φρονήσει, τὴν ἡτοιμασμένην κληρονομήσει τοῖς ἁγίοις βασιλείαν ἀπὸ καταβολῆς κόσμου, τὴν μηδέποτε τέλος ἔχουσαν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πραξ. κ. λα.

Εφ. ε. ιθ.

5

ORATIONES ALIQVOT CHRYSOSTOMI, QVAS DIV ET FRVSTRA QVÆSITAS GRÆCE, NE QVID AD OPERIS perfectionem deesset, Latinè damus.

10

15

Quum Saturninus & Aurelianus acti essent in exilium, & Gaïnas egressus esset è civitate, & de avaritia.

20

INCERTO INTERPRETE.

MUlto tempore silui, & post longum temporis spatium ad charitatem vestram reversus sum. Quanquam id non accidit ullâ vel animi 25 socordiâ, vel corporis desidiâ, sed absui tumultus componens, fluctus sedans, tempestatem corrigens, eosque, qui iam demergi cœperant, ad portum & in tranquillum porrectâ manu reducere studens. Sum enim communis omnium pater, eóque necesse est curam agere non tantùm eorum qui stant, sed eorum quoque qui 30 collapsi sunt: non illorum tantùm qui secundis navigant ventis, sed & illorum qui tempestate jactantur: non eorum modò qui in tuto sunt, verumetiam illorum qui periclitantur. Harum sanè rerum gratiâ reliqui vos ad temporis spatium, obambulans, exhortans, obtestans, supplicans ut à domino ea calamitas dissolveretur. Posteaquam autem inamœnis illis ac tristibus finis est impositus, denuo me 35 ad vos recepi, ad vos, qui in tuto estis, qui multâ cum tranquillitate navigatis. Ad illos profectus eram, ut tempestatem sedarem: ad vos reversus sum, ne qua tempestas exoriatur. Ad illos decesseram, ut eos à molestiis liberarem: ad vos redii, ne in similes molestias incidatis. Quemadmodum enim oportet habere curam, non eorum modò qui stant erecti, sed eorum quoque qui lapsi sunt: ita rursus non lapsi tantùm nobis de- 40 bent esse curæ, sed & stantes: illi quidem ut erigantur, hi verò ne cadant: illi ut ab urgentibus malis liberentur, hi ne incurrant in molestias imminentes. Nihil enim est in rebus humanis stabile, nihil inconcussum, sed hominum vita imitatur mare vesaniens, quotidie parturiens naufragia, naufragia, inquam, tum nova, tum periculosa. Omnia tumultuum ac turbarum plena sunt, omnia scopuli & præcipitia, omnia rupes sub aquis 45 latentes, & sinuosæ cautes. Omnia terrores, discrimina, suspiciones, tremores & angores. Nemo cuiquam fidit, à suo quisque proximo metuit. tempus fortassis illud in propinquo est, quod Propheta depinxit his verbis: Ne fiduciam habeatis in amicis, & in principibus nolite spem ponere, à suo quisque proximo cavete, à conjuge tuâ cave, ne quid illi credas. Quid ita tandem? Quia tempus malum est, quia omnis frater insi- 50 diatur calcaneo ut supplantet, & omnis amicus dolosè incedit. Non est amicus tutus, non frater firmus. Sublatum est charitatis bonum, civile bellum habet omnes, ac ne id quidem apertum, sed obumbratum. Innumerabiles ubique personæ, simulatæque facies. Multa ovium vellera, innumeri ubique lupi sub his occultati: ut jam inter hostes aliquis tutiùs vixerit, quàm inter hos qui videntur amici. Qui heri adulabantur, qui

Mich. 7.

qui blandiebantur, qui manus exosculabantur, hodie repentè comperti sunt esse lupi, abjectisq; personis, facti sunt omnibus accusatoribus acerbiores. Pro quibus hesterno die gratias agebant, pro his nunc incusant & calumniantur. Quæ est igitur horum omnium causa? Pecuniarum amor, vesana divitiarum cupiditas, morbus insanabilis, 5 fornax quæ nunquam extinguitur, tyrannis quaquaversum per totum orbem terrarum diffusa. Hanc ob causam & nos quæ priùs dicebamus, nunc denuo dicimus, nec dicere desinemus, tametsi heri complures incusabant nos, talia loquentes: Itáne nunquam desines adversùs divites armatam habere linguam? Non desines cum his assiduè belligerari? Num ego cum illis bellum gero? Num adversus illos armor? An potiùs pro il- 10 lis cuncta tum dico, tum facio? Imò ipsi adversùs seipsos gladios acuunt. An non id declaravit ipsa rerum experientia? Quo, inquies, pacto? Ego quidem increpans & assiduè objurgans, quærebam illorum commodum: sed illi veriùs sunt hostes, qui nobis hæc loquentibus culpam impingunt. Vidistis eventus rerum cum oratione nostra congruere. An non semper dixi, fugitivas esse divitias, ab hoc ad illum transeuntes? 15 Atque utinam transîssent solùm, non etiam occidissent: utinam discessissent tantùm, ac non è medio quoque sustulissent. Nunc autem prætérquam quòd deserunt suam protectionem, etiam gladio tradunt, & in barathrum pertrahunt, eò quòd sunt periculosæ proditrices, cúmq; his potissimùm bellum gerunt, à quibus amantur. Ingratę sunt, fugitivę, homicidę, crudeles & implacabiles, bestię incicurabiles, prçcipitiū undequaq; 20 præruptum, scopulis assiduis plenæ & fluctibus, mare innumeris ventis agitatum. Tyranni acerbè imperantes, dominæ quovis barbaro sæviores, inimicæ irreconciliabiles, hostes implacabiles, quæq; nunquam erga eos, à quibus possidentur, remittunt simultatem. At non hujusmodi paupertas, sed his quæ dicta sunt contraria. Ea siquidem est tutum asylum, portus tranquillus, perpetua securitas, delicię periculorum expertes, 25 voluptas sincera, vita turbationum nescia, vita fluctuum ignara, copia inexpugnabilis, philosophiæ parens, frænum intemperantię, supplicii sublatio, radix modestię. Quamobrem igitur rogo, hanc fugientes, illas persequimini? illas hostes, illas homicidas, illas quâvis bestiâ sęviores? Talis enim est pecuniarum amor, tale vesanum auri studium. Cur hostem tibi domesticum & perpetuum convictorem tibi facis? Cur bestiam irri- 30 tas, quam delinire oportuit? Et quo pacto, inquis, fiet mansueta? Si vel nunc mea verba toleretis, dum delicta fervent, dum calamitas viget, dum omnes in tumultu sunt ac mœrore. Ergo qui fieri possit, ut bestia non sit bestia? Equidem possum illam immutare, si vos velitis. Nam ea sermonum vis est. Quo pacto igitur à feritate sua mutabitur? Si didicerimus quomodo fiat sæva, more leonum, more pardorum, more ursorum, 35 qui dum includuntur coërcentúrq; in tenebris, erigunt animos, acuúntque iras. Itidem & divitiæ dum includuntur & defodiuntur, acriùs rugiunt quàm leones, perturbántque omnia. Quòd si eas è tenebris eduxeris, & in egenorum ventres dissemines, ex feris bestiis fiunt oves: quæ fuerant insidiosæ duces, pro scopulis fiunt portus, pro naufragio tranquillitas. Quandoquidem hoc & in navigiis videre licet, si quando onus est justo 40 gravius, demergit cymbam: rursum cum est moderatum, prospero fertur cursu. Idem usuvenit in nostris ædibus. Quum ultra quàm usus postulat, congeris pecunias, exigui venti procella, & quivis rerum inexpectatarum incursus demergit cymbam. At si tantum reponas, quantum postulat necessitas, etiamsi vehemens turbo ingruat, facilè percurris undas. Noli igitur plus concupiscere, quàm exigit necessitas, ne totum amittas. 45 Noli quæ superant usum congregare, ne perdas etiam necessaria. Noli præfinitos terminos prætergredi, ne facultatibus universis exuaris: sed quod superest reseca, ut necessariis ditescas. An non vides quòd agricolæ vitem putant, ne vim omnem in pampinis & palmitibus, sed in radice proferat? Idem & tu facito. Amputa folia, omnéque studium huc intende, ut quamplurimum fructus ferat. Quod si facere recuses rebus 50 prosperis, expectes adversas. In tranquillitate tempestatem expecta, in sanitate morbum expecta, in divitiis paupertatem ac mendicitatem expecta. Memento, inquit scriptura, tempus famis in tempore abundantiæ: mendicitatem & egestatem in diebus opulentiæ. Ad hunc modum si fueris affectus, tum & divitias multa cum sobrietate administrabis: & egestatem, si incidat, fortissimè perferes. Malum enim inexpectatum perturbat animum, si incidat: quod autem expectabatur, si accidat, non mul-

Sirach. 18. 25.

tum adfert perturbationis. Ita duo commoda lucrifeceris, alterum, ne prosperitas te reddat ebrium & insolentem: alterum, ne commovearis ac perturberis, rebus in diversum commutatis: maximè si semper expectatione contrariorum pendebis, sufficerit pro experientia expectatio. Tale est quod dico: dives es, expecta quotidie paupertatem. Quare & quamobrem? Quoniam ista expectatio tibi maximam adferre poterit utilitatem. Etenim qui in divitiis expectat paupertatem, non indiget deliciis, non extollitur, non diffluit, non concupiscit aliena. Nam expectationis metus qui illi adest, pædagogi cujusdam vice cohibet ejus mentem, nec patitur mala avaritiæ germina subnasci, dum ea metu contrariorum, veluti falce quadam, prohibet crescere, amputátq;. Hoc igitur unum est è maximis bonis quæ lucrifacies. Alterum autem non est isto minus, videlicet ut si accesserit paupertas, non expavescas. Assumatur igitur rerum tristium expectatio, nequando veniat ipsa tristium experientia: ob hoc enim venit experientia, quòd non adsit expectatio. Quòd si illa correxisset hominem, hac non erat opus admodum. Hujus rei testis Ionas Ninivitis prædicens interitum. Siquidem illi dum expectant quod Propheta prædixerat, eis imminere calamitatem insanabilem, expectatione malorum venturorum fregerunt iram numinis. Rursus Iudęi non credentes prophetę prædicenti Hierosolymorum excidium, acerba perpessi sunt. Sapiens enim metuens declinavit malum, insipiens fiduciâ suâ involvitur. Qui expectat paupertatem dum versatur in divitiis, haud facilè fiet pauper. Nam quod ab expectatione lucrari noluisti, id ab ipsa experientia pulchrè disces. Proinde quum in divitiis es, expecta paupertatem: quum in affluentia, expecta famem: quum in gloria, expecta ignominiam: quum in sanitate vivis, expecta morbum. Assiduè perpende rerum humanarum naturam, quæ nihilo meliùs habet, quàm amnium defluxus, & fumo in aërem evanescente fugacior est, & umbra prætercurrente inanior. In his si philosophatus fueris, nec suavia te poterunt inflare, nec molesta dejicere: si præsentibus bonis non admodum hæreas, neq; absentibus discruciaberis. Consuefacias animum ad diversorum expectationem. Sæpe quidem fiet, ut diversa non accidant: sed si acciderint, non vehementer te commovebunt. Atque ut intelligatis me hæc non ex conjectura loqui, volo vobis narrare veterem quandam historiam. Fuit vir quidam admirabilis & magnus, & ubique per orbem terrarum celebratus, beatus ille Iob, ille pietatis athleta, ille totius mundi victor & coronifer, qui per omnia certaminum genera transivit, qui innumera trophæa erexit devicto diabolo. Hic erat dives & pauper, gloriosus & contemptibilis, multorum liberorum pater, & orbus. Hic versatus est in aulis regalibus, sed idem fuit in sterquilinio. Hic fuit in splendida veste, sed post illam in morsu tinearum. Hic possedit innumera ministeria, sed idem sustinuit innumeras contumelias, à familiaribus in ipsum insurgentibus, ab amicis convitiantibus, ab uxore insultante. Omnia illi priùs velut è fonte affluebant, pecuniarum copia, potentiæ magnitudo, gloriæ accessio, pax & securitas, honores & obsequium, corporis sanitas, & filiorum opulentia, nec erat in his quicquam molestum. Aderant illi divitiæ cum securitate, prosperitas stabilis. Atq; optimo quidem jure. Deus enim illum undique vallaverat. Sed post illa omnia recesserunt, móxq; innumeræ tempestates migrârunt in domum illius, omnes, inquam, ac sibi vicissim succedentes ac perpetuæ: denique supra modum, supráque fidem omnes. Siquidem universæ facultates illi semel ereptæ sunt, famuli, liberiq; præmaturâ violentâq; morte oppressi sunt, ad mensam & ipso in convivio mactati, non quidem securi aut gladio, sed à malo spiritu, qui domum concussit. Tum uxor in illum armabatur, suásq; machinas admovit justo. Famuli porrò & amici, partim expuerunt in faciem ejus, quemadmodum ait ipse, Non pepercerunt faciem meam conspuere: partim irruerunt in eum, & ex tota domo ejectus est, ac deinceps in sterquilinio vitam egit, ac vermium fontes scatebant, undiq; sanguine & sanie diffluebat ille pretiosus adamas. Et acceptâ testâ absterfit saniem, ipse sibi factus carnifex: dolor dolorem excipiebat, & cruciatus intolerabiles, & nox die molestior, & dies nocte terribilior, sicut ipse dicit: Quum obdormiero, dico, quando erit dies? Cùm surgo, rursum dico, quando erit vespera? Plenus dolorum sum à vespera usque ad diluculum. Omnia præcipitia, omnia scopuli, nec est ullus qui consoletur, qui insultent, innumeri. Attamen in tanta tempestate, tantísque fluctibus adeo intolerandis, constitit adversùs omnia generoso animo & illabefactabilis. In causa fuit id

Iob. 30.

Iob. 7.

id quod dicebam : nimirum quòd quum dives esset, expectabat egestatem : quum sanus esset, expectabat ægrotationem : quum tot liberorum esset pater, expectabat ut subitò fieret orbus. Atque hunc timorem semper apud se suscepit, & hanc anxietatem semper apud se aluit, intelligens rerum humanarum naturam, momentariámq; volubilitatem negotiorum considerans. Eóq; dixit : Timor quem timebam, evenit mihi : & periculum quod metuebam, occurrit mihi. Semper enim cogitatione spectabat ad illum timorem, operiens eum, sperans expectánsq; : eóq; quum advenisset, non perturbavit illum. Neque silui, inquit, neque quievi, sed mihi venit ira. Non dixit, Non silebo, neque quiescam, præsenti tempore : sed, Non quievi, præterito tempore. Neque enim rerum prosperitas attulit arrogantiam, sed expectatio tristium non sinebat me quiescere. Quanquam affluentia vehementer hortabatur ad delicias, sed asperitas eorum quæ expectabantur, profligabat securitatem. Et licèt præsens fælicitas cogeret frui rebus, tamen futurorum solicitudo voluptatem interrupit. Ideóque quoniam præmeditans in animo suo hæc ventura prospexerat rebus lætis, hæc certamina posteaquam acciderunt, fortiter & animosè pertulit, utpote jam olim ad illa exercitatus : & quoniam eâ expectatione præceperat, non est perturbatus, quum cerneret illa adesse : quoniam ne tum quidem, quum adessent læta, vehementer illis adhæsit. Audi quid dicat : Quòd si delectatus sum, quum mihi multæ affluerent divitiæ, si reposui copiosam auri vim mihi, si fiduciam habui in lapidibus pretiosis, si ad innumerabilia posui manum meam. Quid ais, homo ? non delectatus es divitiis affluentibus tibi ? Nequaquam, inquit. Quid ita ? Quoniam videbam illarum instabilem fluxámq; naturam, videbam possessionem haud durabilem. An non video quidem, inquit, solem orientem ac deficientem, lunam verò intereuntem ? non enim in eodem manet statu. Quod autem dicit, tale est : Si stellæ, quæ sunt in cœlis perpetuóq; lucent, recipiunt nonnullam mutationem, sol deficiens, luna interiens, an non extremæ dementiæ sit, terrena pro stabilibus fixísq; ducere ? Eóq; nec præsentibus magnopere delectabar, nec discedentibus vehementer contristatus sum : quoniam probè noveram earum rerum naturam. Hæc nos audientes, charissimi, neque paupertate dejiciamur, neque divitiis intumescamus, sed in rerum permutatione animum immutabilem retinentes, Philosophiæ fructum metamus, ut & hîc voluptate perfruamur, & futura assequamur bona : quæ contingat nobis omnibus adipisci, gratiâ & bonitate domini nostri Iesu Christi, &c.

Iob. 3. *Iob. 31. 25.* *Iob. 31. 26.*

In Ioseph de continentia.

INCERTO INTERPRETE.

Mihi quidem semper utilissimus videtur, & Christi servis dignus sermo de continentia, maximè autem tempore hoc, quando Christum induti pueri ecclesiæ præ aliis bonis continentiam possidere maximè debent. Nemo injustè vel intempestivè de fortitudine & certamine factum dixerit sermonem, cùm athletæ juxta Olympicas leges exercentur. Itaque & nos nunc, athletas Christi, quos vidimus accepisse virtutem à spiritu propter divina sacramenta, ad agonem spiritualem missuri, meritò de continentia disserimus. In mundanis enim certaminibus post victoriam coronæ, in Christi autem stadiis ante victoriam coronæ. Quare autem coronatos in agonem mittit nos Christus ? ut metum incutiat adversariis, sensúsq; nostros erigat, ut ad honorem à Deo nobis datum spectantes, nihil indignum Domino vel loquamur, vel faciamus. Nam si rex aliquis purpurâ amictus, coronâque caput ornatus, & victus naturæ affectionibus, indignum quiddam regiâ majestate fecerit, mox ut in regiam stolam aspexerit, emendat se, operámque dat ne posthac à fœdis vincatur cupiditatibus. Et tu quoque indutus Christum, vitatâ turpis animæ concupiscentiâ, ad divinam statim stolam respice, melióque statim eris, neque maligni artibus offenderis. Igitur pulchrum quidem continentiam commendare laudibus, pulchrius autem possidere. Et sanè non parum ad continentiam incitantur, qui multum de ea loquuntur & audiunt. Atque eam ob rem

virtutes sanctorum celebrare sacris scripturis voluit Deus, ut omnes homines in illorum trahantur imitationem, vestigiáq; illorum diligenter sequendo, persuasi continentiam parent. Etenim si in gymnicis certaminibus plerique visis athletis coronatis, accensi, etiam ipsi se exuerunt, & multos sudores laborésque pertulerunt, ut ramis vel oleæ, vel lauri coronarentur: quanta ergo nos convenit alacritate pro continentia sudores ferre, 5 quando alios à Deo coronatos videmus, ut cœlestibus redimiamur coronis, propter bona salutariáq; facinora? Quomodo non grave, & multâ irâ dignum, si athletas allectet folium lauri vel olivæ, & gloria transitoriæ hujus vitæ: nos autem nihil moveant Christi munera, ut omnem voluptatem amoveamus, & timorem Dei præferamus concupiscentiis? Porrò non in solis hominibus videmus similium imitationem, sed & in bru- 10 tis. Nam & columbæ sæpe visâ unâ avolante, statim sequuntur omnes: & pullus generosus in equorum armento exiliens, secum rapit omne armentum. Et inter vos, ut in armento Christi, bonus est pullus Ioseph continentissimus, cœlestibus exultationibus ad sui imitationem nos conservos vocans. Saltemus igitur cum bono adolescente spiritualem choream, laudantes ipsius continentiam, non verbis solùm, sed & operum imita- 15 tione. Ille igitur, ille erat diligens & perpetuus continentiæ custos, cùm posset reginæ ipsi imperare, & in deliciis atque luxu divitem & voluptarium agere. Veruntamen quamvis talium & tantorum Dominus fuerit, cùm cogitâsset quòd divitiæ quidem, & potentia ac gloria cum præsenti vita transeant, & temporalium lucrum duntaxat habeant, solius autem virtutis nullus sit finis, ideo voluptatibus timorem Christi, ut 20 frænum quoddam injecit. Divitias autem & delicias, ac promissiones dominæ derisit, miseriam in carcere dulciorem censens præclaris domiciliis, tametsi his qui excellenter formosi sunt, difficile est imperare voluptati. Hic autem tantum specimen exhibuit continentiæ, ut pulchritudine animæ pulchritudinem corporis occultaret, stellæ cuidam pulchræ formositate corporis, angelis autem venustate animæ conferendus. 25 Nos autem decet admirari, non solùm adolescentis continentiam, sed & pericula, quæ pro illa sustinuit, qui morte gravius ac terribilius judicavit servire voluptatibus. Admirabitur autem, qui virtute ipsius diligenter cognoverit, & tempora expenderit in quibus animam puram servavit. Nam priúsquam in terra & Dominus & opifex universi apparuit, libertatem custodivit mentis. In domo impiorum educabatur, multos ha- 30 bebat ad deteriora adhortantes, carebat continentiæ magistro. Omnes voluptati serviebant, ventri indulgebant, nihil pium, nihil sanctum faciebant: attamen in tantorum taliúmque impiorum corona, videns dominam intemperantem jacêre, cœlestium thesaurorum proditor non est factus, sed spiritus templum indeprædabile custodivit, malens mori, quàm servire voluptatibus. Non audierat Paulum dicentem, Corpora nostra 35 membra Christi esse: & priúsquam audiret vocem divinam, non minor apparuit his qui cœlestibus promissionibus honorati sunt, docens nos in ecclesiis quàm oporteat nos certare, & incorruptam servare animam. Nam si ego, dicere potest Ioseph, qui ante natum Christum fui, nec audivi excelsum Apostolum Paulum clamantem, Corpora nostra membra esse Christi, putavi Dei servos decere ut imperent voluptati: nec in- 40 ventus sum continentiæ decoctor, quamvis multa pericula parata viderem: quantum vos convenit cum timore & tremore vivere in continentia, ut ne appareatis indigni honore, & ne membra Christi fiant membra scorti? Hoc verbum potest omnem animam continentiâ munire, hoc verbum ardentes concupiscentias facilè restinguit. Neque imber in ignem cadens, ita facilè flammam deprimit, ut malas concupiscentias mar- 45 cescere facit sermo ille in animam admissus. Eosdem sermones nobis loqui & magnus Iob potest, qui non solùm diligens continentiæ fuit exercitator, sed & legem oculis suis posuit, ne in virginis viderent faciem, ne fortè mentem illius irradians raperet pulchritudo: quamvis quis non admiraretur & obstupesceret, videns virum hunc cum diabolo quidem viriliter certare, & omnes maligni machinas vincere, virginis autem faciem 50 fugere, & à formosæ puellæ aspectu oculos subducere? Diabolum quidem videns accedentem non fugit, sed mansit sicut leo viribus fidens: virgine autem visâ non stetit, neque moratus in contuenda pulchritudine, sed statim secessit. Censebat nimirum in prælio contra dæmones virili & audaci animo opus: in continentiæ autem præparatione victoriam concedi, non ex virginum consuetudine, sed secessu. Quisquis igitur promittit

1. Cor. 6.

Iob. 31.

mittit virginitatem, accipiat consilia continentissimi omnium hominum, qui & ipse ante Christum incarnatum tam diligens continentiæ fuit custos. Neque enim negligenter audiendum, quòd ante Christum incarnatum apparuerint justi tantum continentiæ specimen exhibentes. Non enim erat quod tantâ vi ad virtutem illam urgeret, neque virginibus crimen erat neglecta continentiæ possessio. Quomodo autem hoc? quia hujus causæ gratiâ Deus excelsus universorum opifex nostram accepit formam, ut angelorum sanctimoniam ex cœlo deduceret. Quando igitur homines post tantum honorem voluptatibus se mancipant, dici nequit temeritatis magnitudo, qua membra Christi membra meritricis facientes, Domini misericordiam afficiunt, & quantum in eis est, vanam reddunt. Audiunt dæmones, & timent, quia Deus non connivet ut conjungantur sibi, nos autem sibi adjungat. Et audent fidelium quidam abscindere se à Christo, & jungere meretricibus? Non tantum est malum è cœlo in lutum cadere, quantum malum fuerit membrum Christi factum à divino honore excidere, & membrum fieri scorti. Quando igitur concupiscentia mala inflammat animam, statim recordare Christi, cogita astare tibi Paulum adhortantem, ac dicentem: Nescitis quòd corpora vestra membra sunt Christi? Gerens membra Christi, faciésne membra scorti? Si illorum verborum fueris recordatus, statim fugientem videbis voluptatem. Nam si ancillas domina casta & pudica turpitudini deditas statim solo aspectu pudicas facit: quid mirum, si titillantem voluptatem Christi memoria statim sopit? Semper crucem habe ante oculos tuos radiantem, & purus à peccatis per id temporis abibis. Nam sicut columna nubis figura nostræ crucis, Hebræorum multitudinem protegebat, ne quid mali ab Ægyptiis pateretur: ita crux ante oculos visa, omnem statim abigit malam voluptatem. Hæc enim salus est animæ, fœdarúmque concupiscentiarum salubre antidotum. Etenim infirmitates corporis medicorum artes sanant, animam autem ægrotam curant statim eloquia Christi. Eapropter & eos qui peccârunt, & adhuc carnis serviunt voluptatibus, oramus & precamur, ut excitentur ac resipiscant, ne omnino ab affectionibus vincantur, néve impetu ferantur, néve in amaram servitutem sponte se subjiciant, sed se in acie opponant, & timore Christi mentem corroborent, ac ejiciant ex arce gravem dominam: ut abjectâ omni maculâ, & peccantium turbâ, cum sancta & incorrupta animâ possimus accedere ad divina & reverenda sacramenta magni Dei & salvatoris Iesu Christi: cui gloria & imperium in secula seculorum. Amen.

1. Cor. 6.

Cùm de expulsione ipsius sancti Iohannis ageretur,

HOMILIA.

MUlti quidem fluctus, & undæ immanes, sed submergi non vereor: quia supra petram sto. Insaniat licet mare, petram non potest commovere: insurgant quantumlibet fluctus, navis Iesu obrui non potest. Sed quid putant? Ne mortem verear, cui vivere Christus est, & mori lucrum; ne exilium pertimescam, qui noverim domini esse terram, & plenitudinem ejus; sed bonorum proscriptionem metuam, qui sciam quòd nihil intulerim in hunc mundum, sed neque auferre quid possim; Quicquid terroris habet mundus, contemno: quicquid delectabile habet, rideo. Divitias non cupio, paupertatem non horresco, mortem non timeo. Vita enim mihi ad vestrum profectum tantummodo ducitur, sed charitatem vestram precor, ut æquo animo sitis. Nemo enim nos à vobis poterit divellere. Quos enim Christus conjunxit, homo non separabit. Quod si de muliere & viro dicitur, Propter hoc relinquet homo patrem suum & matrem, & adhærebit uxori suæ, & erunt duo in carne una: & si hujusmodi nuptiarum conjunctio ab homine non potest separari, multò magis ecclesia non potest à pastore divelli. Sed impugnas me. Quid mihi nocebit impugnatio tua, nisi quia me quidem clariorem impugnationibus tuis reddes, tuas verò conteras vires? Durum enim tibi erit adversum stimulum calcitrare: quia non stimulum retundes, sed pedes calcitrans vulnerabis: neque fluctus, qui saxo illiduntur, amplius aliquid proficient, quàm ut

Genes. 3.
Ephes. 5.

ſemetipſos fracti diſſolvant, & in ſpumas extenuati depereant. Chriſti eccleſia nihil fortius, ſi quis eam impugnare proponit, vires atterat neceſſe eſt: tale eſt enim, velut ſi cœlo bellum meditetur inferre. Homini ſi bellum inferas, fortaſſe vinces, aut fortè vinceris: eccleſiam vincere nulla vis poterit. Dei eſt eccleſia, qui eſt omnibus fortior. Aut ęmulamur dominum. Nunquid fortiores illo ſumus? Deus fundavit hoc, quod labefactare conaris. Aut experiri vis potentiam domini? Ipſe eſt qui reſpicit ſuper terram, & facit eam tremere: & iterum qui jubet, & tremor ejus ſolidatur. Aut non vidiſti, trementem civitatem tuam quoties ſtare fecit? Multò magis eccleſiam ſuam trementem poterit confirmare: fortior enim eccleſia multò quàm terra, imò & fortior cœlo. Cœlum & terra tranſibunt, verba autem mea non tranſibunt. Quæ verba? Tu es Petrus, & ſuper hanc petram ędificabo eccleſiam meam, & portæ inferi non prævalebunt in eam. Quòd ſi non credis verbo, rebus ipſis & operibus crede. Quanti tyranni aggreſſi ſunt impugnare eccleſiam Dei? quanta tormenta, quantas cruces adhibuerunt, ignes, fornaces, feras, beſtias, gladios intendentes, & nihil agere potuerunt? Ubi nunc ſunt illi qui hæc fecerunt, & ubi illi qui hæc fortiter pertulerunt? Nunc ij æternis pœnis premuntur, & iſti æternis gaudiis eriguntur: fulget enim eccleſia ſuper ſplendorem ſolis, & perſecutores ejus perpetuis tenebris conteguntur. Non legis ſcriptum, quia undecim ſoli erant, & vinci non potuerunt? Nunc ubi orbis terrarum repletus eſt piorum multitudine, quomodo poterunt vinci? Cœlum & terra tranſibunt, verba autem mea non tranſibunt: & meritò: charior enim eccleſia Dei, quàm cœlum. Non enim eccleſia propter cœlum, ſed propter eccleſiam cœlum. Nihil enim, quæſo, perturbet vos eorum quæ agi videtis. Ponamus ante oculos noſtros Petrum ſuper aquas incedentem, & parum quid hæſitantem, atque ob hoc paululum periclitantem, non propter potentiam fluctuum, ſed propter infirmitatem fidei. Nunquid humana voluntate huc venimus, aut propter hominem huc producti ſumus? & hæc non arroganter loquor, neque jactantia agitatus, ſed animos veſtros, qui fortè turbantur, cupio confirmare. Intuemini ergo quomodo commota eſt & contremuit terra, & tamen non corruit civitas. Quomodo, impuriſſime diabole, eccleſiam te putas poſſe dejicere, qui trementes parietes dejicere minimè valuiſti? Non eſt in parietibus eccleſia, ſed in multitudine piorum. Ecce quàm fortes, quàm immobiles ſtatis, non ferro, ſed fide vincti. Et quid de tanta multitudine loquor? Unum fidelem vincere non potes. O diabole, neſcis quæ tibi fecerint martyres? Quomodo frequenter ingreſſa eſt puella ætate tenera, annis immatura, & inventa eſt ferro fortior? cum latera ejus ſcinderes, fidem tamen ejus movere non poſſes. Defecit frequenter caro in tormentis, & robur fidei non defecit. Conſumptum eſt corpus, & mens non potuit inclinari. Interiit ſubſtantia, & perſtitit patientia. Si ergo frequenter ab una puella victus es, quomodo ſperas tantæ hujus & tam fidelis multitudinis fidem te poſſe evincere? Non audis domini vocem dicentis: Quia ubi duo aut tres ſunt congregati in nomine meo, ibi ſum & ego in medio eorum? Quid, ubi tanta fidelium multitudo eſt charitatis nexibus vincta? Non ego propria virtute confido, habeo ſcripturam domini mei, manum ipſius teneo, illa mihi cautio ſatis tuta eſt, illa me ſecurum reddet & intrepidum: etiamſi orbis terræ commoveatur, ego cautionem domini mei teneo. Lego manum ejus, ipſa mihi murus eſt inexpugnabilis. Vultis vobis recitem domini cautionem? Ecce, inquit, vobiſcum ſum omnibus diebus uſque ad conſummationem ſeculi. Chriſtus mecum eſt, quem timebo? Etiamſi fluctus inſurgat, etiamſi totum pelagus adverſum me conturbetur, etiamſi principum furor, omnia mihi illa araneæ erunt, & araneis fragiliora. Et niſi propter fragilitatem veſtram, hodie non dubitarem ire quò vellent. Semper enim dico: Domine, voluntas tua fiat: non quod ille vult, vel ille, ſed quod tu vis: tua voluntas mihi turris fortiſſima, & petra ſtabilis, & baculus fidus. Si tu vis permanere mecum hîc, habeo gratiam: ſi non vis, ſimilem refero gratiam. Nemo vos conturbet, fratres, orate tantùm: hæc enim diabolus movet, non aliam ob cauſam, quàm ut religioſa ſtudia veſtra diſrumpat, & exercitia veſtra, quæ in orationibus & vigiliis gerebatis, extinguat. Sed non obtinebit, nec eripiet à vobis ſtudia religioſa: niſi quia ſolicitiores vos inveniet, & fervidiores efficiet. Craſtina vobiſcum exibo ad orationes: & ubi ego ſum, ibi & vos eritis: & ubi vos eſtis, ibi ero & ego. Unum corpus ſumus, neque caput à corpore, neque corpus à capite ſeparabitur:

1. Cor. 10. 22. Pſal. 103. 32. Matt. 24. 35. Matt. 15. 18. Matth. 8. Matt. 28. 20.

tur: etiamsi loco dividamur, sed charitate conjungimur, ego à vobis nec morte divellar. Nam etsi corpus meum moriatur, anima mea vivit, & memoriam vestri tenebit. Vos estis mihi patres, vos mihi mater, vos mihi vita, vos mihi gratia: si vos proficitis, mihi placebit. Vos estis corona mea, & divitiæ meæ, vos estis thesaurus meus. Ego millies pro vobis immolari paratus sum: & nec gratia mihi in hoc est, sed debitum reddo. Bonus enim pastor debet animam suam pro ovibus suis ponere: hujusmodi enim mors immortalitatem parit. Non enim propter divitias mundi, insidias patior: quod si esset, utique contristari deberem. Nec propter aliquod peccatum, sed propter charitatem, quam erga vos habeo: quia omnia ago ut vos proficiatis: & ne subintroëat conturbare gregem bene institutum, sed ut permaneatis in simplicitate fidei. Hæc est causa periculorum meorum, & hæc sufficiant mihi ad coronam. Quid enim non patior pro vobis? Vos mihi cives, vos mihi fratres, vos mihi filii, vos mihi membra, vos mihi corpus, vos mihi lux, imò & ista luce dulciores. Quid enim mihi tantum præstant radii solis, quantum charitatis vestræ splendor acquirit? Ecce pro charitate vestra corona mihi paratur in futuro seculo, hoc mihi solis hujus splendor pręstare non poterit. Hęc autem dico in auribus audientium. Et quid ita ad audiendum solicitum & paratum, quàm aures vestræ? Ecce quot dies sunt quòd vigilatis, & nullum vestrûm somnium inclinavit, nec temporis spatium frangit, nullum timor, nullum minæ deterrent, sed terror eorum fortiores vos reddet. Video in vobis quod semper optavi, ideo quòd contempsistis mundi negotia, renuntiâstis omnibus: nihil jam de terra, neque de terrenis actibus cogitatis. Ad cœlestia vos migrâsse jam cerno, absoluti estis vinculis corporis, ad beatam illam & cœlestem contenditis philosophiam. Hoc mihi sufficit vidisse de vobis, hæc mea consolatio, ista me in agonibus meis velut unguenta quædam corroborant, & fortiorem me agonibus reddunt, & ad gaudia immortalia atque ęterna transmittunt: pro his gratias agamus Deo, cui gloria in secula seculorum. Amen.

Post reditum prioris exilii, HOMILIA.

QUid dicam? quid loquar? Benedictus Deus, hunc egrediens dixi sermonem: hunc iteravi revertens, & illic constitutus hunc in ore volvebam. Puto vos meminisse, cùm ante hoc beatum Iob adduxissem in medio dicentem: Sit nomen domini benedictum. *Iob. 1.* Hanc vobis historiam dereliqui, has gratiarum actiones iterabo regressus. Sit nomen domini benedictum in secula. Diversæ rerum causæ, sed una glorificatio: & cùm expellebar, benedicebam, & reversus iterum benedico. Et si variæ quidem causæ, sed una definitio. Super hyemem & æstatem unus est finis: culturæ fertilitas subsequens campi. Benedictus Deus, qui concessit exire: benedictus Deus, qui redire præcepit. Benedictus Deus, qui permisit hyemem: benedictus Deus, qui dissolvit hyemem, & fecit tranquillitatem. Hæc dico admonens vos, ut semper benedicatis. Si evenerint mala, benedicite, & dissolventur mala: si prospera venerint, benedicite, & perseverabunt prospera. Siquidem Iob cùm in prosperis esset, benedicebat: & cùm pauper esset effectus, glorificabat: neque tunc ingratus fuit, neque postea blasphemavit. Diversa quidem tempora, sed una voluntas gubernantis actum. Nec tranquillitas resolvit, nec tempestas hyemis demergit. Benedictus Deus, & cùm à vobis sum segregatus, & cùm iterum recepi vos. In utróque Dei providentia est, separatus à vobis corpore, sed anima non sum a vobis divisus. Et ex vestro affectu meum metimini animum. Et quid dicam? Non sum separatus à vobis, sed magis accensus sum desiderio vestri, quod etiam de vobis confido: nihil nobis nocuere insidiæ, nihil læsit invidia, sed magis augmentum præstitit charitati, & multiplicavit discipulorum numerum. Ante hoc enim diligebar à meis, nunc verò honorificabor à Iudæis. Sperabant me à meis filiis separare, sed magis mihi extraneos adjunxerunt. Non illis agam gratias: sed Dei misericordiæ gloriam referam, qui conatus illorum malos in melius commutavit. Nam & Iudæi crucifixerunt Christum, & illius morte humanum salvatum est genus. Non illis gratiæ, sed crucifixo. Considerent quid boni pugna eorum præstitit, insidiæ eorum qualem nobis lætitiam

præpara-

præparaverunt. Ante hoc quidem ecclesia replebatur, sed nunc & in plateis ecclesię factæ sunt. Et unanimes, & conjuncti psallentes, Dei in vos provocatis aspectum: voces vestræ cœli secreta penetrârunt, ut omnis ætas vestras psalmodias miraretur attenta. Cursus equorum hodie, & pauci illuc, imò cuncti in ecclesia, quasi torrens quidam ac fluvius vestra facta est multitudo. Voces vestræ elevantur ad cœlum, amorem, qui ad patrem est, ostendentes. Orationes vestræ meum coronaverunt caput. Oratio omni monili præclarior viri & mulieris. In Christo enim Iesu non masculus, neque fœmina. (*Galat. 3.*) Qualiter enarrem potentias domini, aut mirabilia ejus recenseam? Videtis quia quod dico, verum est. Quoniam si quis tentationem viriliter tulerit, magnum ex ipsa vindemiat fructum. Ideo vos ad Apostolos invitavi, ut ad eos, qui aliquando persecutionem passi fuerant, veniremus. Et nos quidem insidias passi, illi verò impugnati. Sed inimici illis nihil nocuerunt: quia isti orbem terrarum lucraverunt. Veniamus ad sancta corpora, quæ Christi stigmata portaverunt. Veniamus ad Timotheum novum Paulum, & Andream alterum Petrum. Credimus juvari nos illorum meritis. Si virilem animum geris, non timeas tentationes. Omnes sancti per ista transierunt. Multa tribulatio corporum, sed majus refrigerium animarum. Præstet vos dominus semper augeri, & celebres conventus agere. Gloria quippe pastoris est ovium multitudo. Quid faciam? quid loquar, incultum ubi seminem non habeo agrum? Extensa est propago vitium, perfectum est templum, & præ multitudine piscium rumpuntur retia mea. Quid faciam? laborandi locum non habeo, gaudendi habeo tempus, ideo loquor: non quia indigetis doctrinâ, sed ut meam voluntatem vobis ostendam, ubique spicæ comant. Tantæ oves & nusquam lupus: tot spicæ, & nusquam lolium: tantæ vineæ, & nusquam vulpes. Ubi nunc latent lupi? quò abierunt vulpes, quæ eos persecutæ sunt? O rem inauditam. Pastor quiescit, & oves luporum rabiem abegerunt, insidias vulpium oppresserunt. O ovium sapientia, ô filiorum affectus, ô discipulorum charitas, ô pulchritudo sponsæ, absente viro abegit adulteros, ostensæ sunt ejus divitiæ, apparuit pulchritudo. Latrones confusi ierunt, & aufugerunt. Dicite mihi, quo modo persecuti estis lupos? quo modo pepulistis latrones? Frequenti, inquit, oratione ad Deum. Quo modo despexistis adulteros? Continuis, inquit, lachrymis, ex desiderio viri. Non accepi arma, non sumpsi lanceas, non arripui scutum: solummodo ostendi eis pulchritudinem meam, quâ perspectâ, vulnerati fugerunt. Ubi nunc illi? Proculdubio in confusione. Ubi nos? in lætitia. Ubi nunc illi? conscientię suæ malo tabescunt. Ubi verò nos? in magna exultatione glorificamus Deum. Quid dicam? quid loquar? Adjiciat dominus super vos, & super filios vestros: & allevet dominus vultum suum, & misereatur vestri in Christo Iesu domino nostro, cum quo est Deo patri, & Spiritui sancto honor, gloria & potestas, per immortalia secula. Amen.

De regressu sancti Iohannis de Asia Constantinopolim, HOMILIA.

MOses magnus ille Dei famulus, caput Prophetarum, maris viator, aëris agitator, mensæ apparator, qui à genitrice projectus est, & ab impugnatrice salvatus: genuit quidem eum mater, abstulit autem eum Ægyptia, & enutrivit: & qui in Ægypto nutriebatur, in cœlis conversabatur: qui tantum ac tale statuit trophæum, iste talis ac tantus vir, qui quadraginta dies reliquerat populum, invenit eum idola fabricantem, & seditiones commoventem. Ego autem non quadraginta dies tantùm, sed & quinquaginta & centum, & amplius, & inveni vos lætantes, & philosophantes, & in Dei timore perseverantes. Nunquid ego Mose altior sum? Absit: hoc enim dicere extremæ dementię est. Sed quia populus iste illo populo sublimior, propterea & ille de monte descendens increpabat Aaron ob seditionem populi, & irascens invehebatur in eum, cur acquieverit voluntati eorum. Ego autem adveniens præconia vestra, & coronas contexam. Ubi enim prævaricatio, ibi reatus subsequatur necesse est, & objurgatio: ubi autem correctio, ibi laudes & præconia & coronæ: ideóque etsi ampliori tempore demoratus sum foras, non me pœnitet, quia confidebam de vestræ charitatis affectu, & integritate fidei:

dei: sciebam enim uxorem mihi desponsatam castitate esse munitam, sicut in seculari conjugio assolet evenire. Etenim vir quando impudicam uxorem habere se novit, nec prospicere ei de domo permittit: qui etsi peregrinari aliquando coactus fuerit, cogitur citò reverti, quasi quodam suspicionis aculeo stimulatus: qui autem sobriam & castam
5 habet, foras securus moratur, sufficientes procuratorum munimine mores relinquens moris: hoc ego & Moses passi sumus, ille quidem, quia inemendabilem synagogam habebat uxorem, reliquit eam. & fornicata est, & compellit eum Deus, dicens: Exurge, descende: impiè enim fecit populus tuus. Sed ego nullam hujusmodi jussionem accepi. Et cùm paululum mihi infirmitas corporis accidisset, non me inquietavit vestra
10 absentia, sed securus de vobis ægrotationis meæ expectavi medelam. Non enim opus habent sani medico, sed qui malè habent. Nam etsi tardavi parumper à vobis, non hoc ad detrimentum vestri, sed ad divitias puto proficere vestras: quæ enim per me, imò magis per gratiam Dei correcta sunt, vestra corona est, vester profectus est. Et ideo gaudeo & tripudio, & tanquam volitare me credo, & gaudii hujus magnitudinem effari
15 non queo. Quid ergo faciam? quo modo indicabo exultationem mentis meę? In testimonium voco conscientiam vestram, quoniam video ex adventu meo gaudio esse repletam: quod gaudium corona & laus mea est. Si enim mea unius viri præsentia tantam plebem tali replevit voluptate: quantum putatis mihi ex visione vestra gaudium cumulatum? Et Iacob quidem unum filium videns Ioseph, gaudebat senex, & recrea-
20 batur spiritu: ego autem non unum Ioseph, sed omnes vos illi similes video, & gaudeo, quia Paradisum meum recepi illo Paradiso meliorem: & ibi quidem serpens erat insidians, hîc autem Christus mysteria celebrans: ibi Heva erat seducens, hîc autem est coronans ecclesia: ibi Adam seducebatur, hîc autem populus adhæret Deo: ibi arbores diversæ, hîc autem donationes variæ: in Paradiso arbores marcescentes, in ecclesia ar-
25 bores fructificantes: in illo Paradiso unumquodque genus sementis in suo perseverat statu, in isto verò Paradiso si invenero labruscam, vitem uberem efficiam: si invenero oleastrum, veram olivam efficiam: talis etenim est terræ istius natura: propter hæc gaudeo, prætermitto satisfactionem: quo modo verò vos abduxit tanti temporis longitudo, suscipite satisfactionem meam, charissimi. Si servum alicubi derigatis non re-
30 vertentem, exigitis causas ubi moratus sit, ubi tantum expenderit temporis: & ego servus sum vestræ charitatis: emisistis enim me, non pecuniam conficientes, sed charitatem ostendentes. Gaudeo quippe tali servitio mancipatus, nec unquam hoc famulatu opto me solui: etenim istud servitium mihi libertate elegantius: istud servitium in illud tribunal beatum collocavit mihi sedem: istud servitium non est necessitatis, sed vo-
35 luntatis. Quis enim non libentissimè serviat dilectioni vestræ tam elegantissimis amatoribus? quod etsi lapideam haberem animam, cerâ fecissetis molliorem. Quid dicam desiderio vestro, & favori, quem hesterna ostendistis die, quo modo voces vestræ cum gaudio coelum penetrârunt? ipsum sanctificantes aërem, civitatem fecistis ecclesiam: honorabor ego, & Deus glorificabatur: hæretici confundebantur, ecclesia verò coro-
40 nabatur: quia magna lætitia est matri, cùm exultant filii: & grande gaudium pastori, cùm exultant agni gregis. Veni ad gaudia virtutum vestrarum, audivi quia cum hæreticis colluctati estis, & quia iniquè egerunt in baptismo, redarguistis: nunquid incassum dicebam, quoniam casta uxor absente viro repellit adulteros, absente pastore abigit lupos, sine gubernatore nautæ salvaverunt navem, sine duce milites victoriam re-
45 portaverunt, sine doctore discipuli profecerunt, sine patre filii roborati sunt? imò magis non sine patre: vester enim profectus meum gaudium, vestra glorificatio mea corona est. Sed desiderabamus, inquitis, tecum facere Pascha. Satisfacio dilectioni vestræ, quippe cùm jam iracundiam vestro dissolveritis aspectu. Nam si pater prodigum suscipiens filium statim reconciliavit, neque poenas exegit ab eo, sed illico am-
50 plexus est: multò magis filii patrem suscipientes. Sed tamen & ad hoc respondeo: Pascha mecum in vobis facere habebatis, nemo prohibet hodie vos mecum facere Pascha: sed forsitan dicetis; Nunquid duo Pascha facturi sumus? Non, sed unum, & ipsum multipliciter. Sicut enim semper sol exoritur, & non dicimus multos soles, sed est sol quotidie oriens: sic & Pascha semper consummatur, & cùm semper celebretur, unum est solennitatis nostræ. Iudæorum similes non sumus, non servimus loco, nec subditi

Exod. 32.

Matt. 9.12.

subditi sumus necessitati temporis dominicâ vôce firmati. Quotiescúnque, inquit, manducaveritis panem istum, & hunc biberitis calicem, mortem Domini annunciabitis. Annunciamus namque hodie mortem Christi. Sed tunc quidem festivitas. Et hodie festivitas. Ubi enim charitas gaudet, ibi est festivitas: & ubi recepi lætantes filios, maximam celebro festivitatem. Etenim & illa festivitas charitas est. Sic enim, inquit Apostolus, Deus dilexit mundum, ut filium suum unigenitum daret pro eo. Sed multi, inquiunt, te absente baptizati sunt. Et quid tum? nihil minus habet gratia, non claudicat donum Dei, præsente me baptizati non sunt, sed præsente Christo sunt baptizati. Nunquid homo est qui baptizat? Homo dexteram porrigit, sed Deus manum gubernat. Noli de gratia dubitare, charissime, quia donum Dei est. Attende diligenter quæ dicuntur, si fortè aliqua de causâ sacra explicanda est, cùm obtuleris preces, & subscriptam acceperis sacram, non requiris quali calamo subscripserit rex, neque in quali charta, neque quali, quóve atramento, sed unum sólummodo quæris, si rex subscripserit: sic & in baptismo, charta, conscientia est: calamus, lingua sacerdotis: manus, gratia est Spiritus sancti. Sive ergo per me, sive per illum qui officio fungitur sacerdotis, ipsa manus scribit, nos ministri sumus, non authores. Et Paulus minister est: Sic enim, inquit, æstimet nos homo, tanquam ministros Christi, & dispensatores mysteriorum Dei. Quid enim habes, quod non accepisti? Si quid habeo, accepi: si autem accepi, non meum, sed ejus qui dedit donum est. Noli ergo dubitare, charissime: gratia enim Dei perfecta est, locus non prohibet, sive hic baptizeris, sive in navi, sive in itinere. Philippus baptizavit in via, Paulus in vinculis, Christus in cruce latronem ex vulnere, & statim Paradisi meruit januam reserare. Propter hæc gaudeo & exulto, & orationes vestras exigo, cum quibus ad Asiam perrexi, cum quibus reversus sum, cum quibus pelagum transfretavi, & adjutus vestris orationibus fæliciter navigavi: nec enim navim citra vos ingressus sum, nec exivi citra vos, non in civitate citra vos, aut in ecclesia sine vobis, sed avulsus quidem eram corpore, connexus autem charitate. Videbam namque ecclesiam vestram & in pelago, & in exultatione gaudebam. Tale enim quid significat charitas, quæ nescit angustari: intrabam in ecclesiam, adstabam altari, orationes offerebam, & dicebam: Domine, conserva ecclesiam, quam mihi tradidisti. Ego quidem corpore absens sum, sed tua misericordia præsens est, quæ me illuc perduxit, & plusquam merebar, concessit. Et quia amplificavit, multitudo testatur præsentium. Florere video vineam, & nusquam spinæ, neque sentium ulla vestigia: exultant oves, & nusquam lupus. Quòd si etiam alicubi repertus fuerit, demutatur, & fit ovis. Tanta enim vestra est fides & charitas, ut æmulatione vestra cæteros provocetis. Ipse dominus vos conservavit, & ipse me reduxit, & in infirmitate positus orationum vestrarum sensi auxilium, quas mihi quotidie in suffragium postulo. Perigrinatio mea coronavit civitatem vestram. Et quia diligebatis ex initio, nunc omnibus manifestum est. Sic enim me absentem, tanquam præsentem habuistis. Nam in Asia cum essem ad corrigendas ecclesias, hinc illò venientes nunciabant nobis, dicentes: Inflammâsti civitatem. Et certè charitas tempore solet marcescere, vestra autem dilectio quotidie augmentabatur. Et quem ita absentem diligebatis, præsentem credo quòd meliùs ametis. Iste meus thesaurus, hæ sunt meæ divitiæ. Et ideo vestras orationes requiro. Orationes vestræ murus mihi, & munimen sunt. Noli dicere, Ego languidus sum, quo modo potero pro sacerdote orare? Audi scripturam dicentem: Oratio autem fiebat continua. Et ecclesiastica oratio solvit vincula Petri, & Pauli dilatavit prædicationis fiduciam. Oratio caminum ignis extinxit, oratio conclusit ora leonum, oratio seditionem compescuit, oratio paradisum aperuit, oratio cœli cardines reseravit, oratio sterilem fœcundavit, oratio Cornelii cœlos penetravit, oratio publicanum justificavit. Tale à vobis munimen requiro, talem gratiam postulo: & Deus gloriæ suscipiens orationes vestras, det mihi in apertione oris mei sermonem, quo possim creditum mihi populum instruere ad salutem per Christum dominum nostrum, cum quo est Deo patri cum Spiritu sancto honor, gloria, & potestas in secula seculorum. Amen.

1. Cor. 11. 26.
Ioh. 3. 16.
1. Cor. 4.
Act. 12.

De recipiendo Severiano, HOMILIA.

SIcuti capiti corpus cohærere necessarium est, ita ecclesiam Sacerdoti, & Principi populum: útq; virgulta radicibus, & fontibus fluvii, ita & filii patri, & magistro discipuli. Hęc autem non superfluò ad charitatem vestram præfati sumus: sed quoniam dicenda mihi sunt quædam apud vos, ut nemo turbetur, neque sermoni nostro aliqua oriatur interruptio, sed ut obedientia discipulorum crescat in vobis, & quantum affectum patri deferatis, appareat. Adornate me filii, & imponite mihi obedientiæ vestræ coronam, facite me apud omnes beatum judicari, & doctrinam meam magnificate per obedientiam vestram secundum Apostoli monita, dicentes: Obedite præpositis vestris, & obtemperate eis, quia ipsi pervigilant pro vobis, quasi pro animabus vestris rationem reddituri. Hæc ergo præmoneo, ne quis superbiat in commonitionem nostram. Pater enim sum, & necesse est me filiis consilium suadere: quod enim in carnalibus patribus natura carnis, hoc in nobis gratia Spiritus agit. Pater sum, & pater nimis super filios tremens, ita ut sanguinem meum pro vobis fundere paratus sim. Et in hoc non est mihi gratia. Apostolica enim lex est, & domini præceptum dicentis: Pastor bonus animam suam ponit pro ovibus suis. Sed & vos eadem facite pro nobis: simili nâmq; erga nos devincti estis affectu. Nam & Paulum audite quid dicit. Salutate, inquit, Priscillam & Aquilam adjutores meos in Christo, qui pro anima mea suas cervices posuerunt. Sicut enim pulchrum est pastorem pro ovibus immolari: ita rursum pulchrum est & oves à pastore nec morte sejungi. Cùm enim inseparabiles fuerint ab eo, lupum diabolum non timebunt. Murus enim charitatis firmior est adamante. Et frater cùm adjuvatur à fratre, erit sicut civitas munita & firma. Hæc autem præmitto, ut cum omni affectu, quæ dicimus, audiatis, neque aliquis vestrum incipiat perturbari. Loquimur rem, quam dignum est in ecclesia loqui, & quam dignum est libenter audiri. Pro pace loquimur ad vos. Et quid ita conveniens, quàm sacerdotem Dei pacem populo persuadere? Contradictio nulla est, ubi & legatio sancta, & legatus acceptus est. Pro pace loquimur, pro qua filius Dei descendit ad terras, ut pacificaret per sanguinem non solùm quæ in terra sunt, sed & quæ in cœlis, & terrena cœlestibus sociaret. Pro pace loquimur, pro qua filius Dei passus est, propter quam crucifixus est & sepultus, quam nobis pro omni hæreditatis censu reliquit, & velut murum ecclesię dedit, quam scutum adversum diabolum posuit, quam gladium adversum dæmones dedit, quam portum tranquillissimum fidelibus collocavit, quam repropitiationem ad Deum dedit, quam delictorum absolutionem concessit: pro hac ergo legatus ad vos missus sum. Nolite mihi incutere pudorem, nolite legationem meam fœdare, acquiescite mihi, quęso vos. Multa dudum tristia gesta sunt in ecclesia, Deum confiteor, sed non laudo perturbationes, seditiones non amplector. Sed omittamus jam hæc, desinite, conquiescite, cohibete animos, refrænate iracundiam: sufficit jam quòd laboravit ecclesia, finis sit, desinat turbatio: hoc enim & Deo placitum, & piissimo principi acceptum est. Oportet enim & regibus obedire, maximè cùm & ipsi obtemperent ecclesiasticis legibus. Dicit enim Apostolus, Principibus & potestatibus subditi estote: quantò magis religioso principi, & pro ecclesia laboranti? Si ergo præparavi animos vestros ad suscipiendam legationem meam, recipite fratrem nostrum Severianum episcopum. Habeo gratiam quòd sermonem meum laudibus prosecuti estis. Dedistis mihi fructus obedientię: nunc me semen bonum gratulor seminâsse. Ecce enim statim frumenti manipulos colligam. Retribuat vobis dominus præmium benignitatis, & obedientię mercedem. Nunc enim veram hostiam pacis obtulistis Deo, quia nemo turbatus est audito hoc nomine, sed cum charitate * suscipitis: simul ut sermone locuti sumus, omnem ex animo fugâstis iracundiam. Suscipite ergo eum pleno pectore, apertis manibus. Si quid triste gestum est, omittite: quia ubi tempus pacis, recordatio dissensionis nulla est, ut sit gaudium in cœlo, gaudium in terra, lætitio & exultatio spiritualis in ecclesia Dei. Et oremus de reliquo, ut pacificam Deus custodire dignetur ecclesiam, pacem fixam & perpetuam dare, in Christo Iesu domino nostro, cum quo est gloria Deo patri, unà cum Spiritu sancto, in secula seculorum. Amen.

Heb. 13. — *Iohan. 10.* — *Rom. 16.* — *Tit. 3.*

* *suscepistis.*

Sermo

Sermo ipsius Seueriani de pace, cum susceptus esset à beato Iohanne episcopo Constantinopolitano.

IN adventu Domini & Salvatoris nostri atq; in præsentia eius corporali, angeli ducentes choros cœlestes evangelizabant pastoribus, dicentes: Annuntiamus vobis hodie gaudium magnum, quod erit omni populo. Ab ipsis enim sanctis angelis etiam mutuatam nos vocem, annuntiamus vobis hodie gaudium magnum. Hodie enim in pace Ecclesia est, & hæretici in ira. Hodie Ecclesiæ navis in portu est, & hęreticorum furor jactatur in fluctibus. Hodie Pastores Ecclesiæ in securitate, & hæretici in perturbatione sunt. Hodie oves Domini in tuto, & lupi insaniunt. Hodie vinea Domini in abundantia, & operarii iniquitatis in egentia. Hodie populus Christi exaltatus est, & inimici veritatis humiliati sunt. Hodie Christus in lætitia, & diabolus in luctu. Hodie Angeli in exultatione, & dæmones in confusione. Et quid opus est multa dicere? Hodie Christus, qui est Rex Pacis, cum sua pace procedens, fugavit omne dissidium, dissensiones depulit, discordiam perturbavit. Et sicut cœlum splendor solis, ita ecclesiam fulgor pacis illuminat. O quàm desiderabile nomen Pacis, quàm religionis Christianæ stabile fundamentnm, & altaris dominici cœlestis armatura. Et quid possumus de Pace proloqui? Pax nomen est ipsius Christi, sicut dicit & Apostolus: Quia Christus pax nostra, qui fecit utrâq; unum, quæ nequaquam fide, sed invidia diaboli dissidebant. Verum sicut procedente rege & plateæ mundantur, & tota civitas diversis floribus & ornatibus coronatur, ut nihil sit quod minus digni vultui regis appareat: ita & nunc procedente Christo rege Pacis, omne quod triste est, auferatur è medio, & illucescente veritate fugetur mendacium: fugiat discordia, resplendescente concordia. Et sicut frequenter fieri vidimus, ubi regum vel fratrum tabulæ pinguntur, ut in utrisq; unanimitatis declarentur insignia, artifex picto fœmineo habitu post tergum utriúsq; concordiam statuit, brachiis suis utrúmq; complectentem, indicans quòd hi qui videntur corporibus separati, sententiis & voluntate conveniant: ita nunc pax Domini media assistens, & utrúmq; nostrûm gremio palpante connectens, discreta corpora in unum convenire animum, ulnis jungentibus docet. In qua sine dubio completur sermo propheticus, qui ait: Et erit consilium pacificum inter utrósque. Et hesterno quidem die pater noster communis, evangelico pacem sermone præfatus est: hodie verò nos verba pacis exponamus. Ipse nos heri resupinis manibus in verbo pacis excepit, & nos hodie dilatato pectore, ulnísq; patentibus ad dominum cum muneribus pacis occurramus. Jam bella destructa sunt, pulchritudo pacis obtinuit. Nunc in luctu est diabolus, & in lamentatione omnis dæmonum turma, nunc in cœlestibus lætitia, & in angelis exultatio, quibus specialis familiaris pax. Hoc enim etiam cœlestes admirantur virtutes opus, quas fons ejus habet perennis, ex quo etiam terrena hæc nostra guttis quibusdam exinde stillantibus irrorantur. Et ideo etiamsi in terris pax, laudis ejus splendor redundat in cœlum, laudant eam cœlestes angeli, & dicunt: Gloria in excelsis Deo, & in terra pax hominibus bonæ voluntatis. Vides quomodo cœlestes omnes & terrestres invicem sibi munera pacis emittunt? Cœlestes angeli pacem terris annuntiant, sancti in terris Christum, qui est pax nostra, collaudant in cœlestibus positum, & mysticis choris acclamant, Osanna in excelsis. Dicamus ergo & nos, Gloria in altissimis Deo, qui humiliavit diabolum, & exaltavit Christum suum. Gloria in altissimis Deo, qui discordiam fugat, & pacem statuit. Dico enim vobis artem diaboli, cujus neq; vos astutiam ignoratis. Vidit satanas firmitatem fidei, stabilitatem in ea pietate dogmatum septam, vidit & operum bonorum fructibus abundantem: & ideo pro his omnibus ad insaniam venit, & rabie furoris exarsit, ut scinderet amicitiam & evelleret charitatem, ut disrumperet pacem: sed pax Domini semper sit nobiscum, in Christo Iesu Domino nostro, cum quo est Deo Patri & Spiritui sancto gloria, in secula seculorum. Amen.

Luc. 2. 10. — *Eph. 2. 14.* — *Luc. 2. 14.* — *Matt. 21. 9.*

ETONÆ, *Excusum in Collegio Regali.*
1612.